GALENI
OPERA
VOL. IV.

1538

2508(1)

68

A XVIII.a

78618

G. III. 9.

25

78618

G. III. 9.

ΓΑΛΗΝΟΥ Δ
GALENI LIBRORVM
PARS QVARTA, QVORVM INDEX VIII. PAGINA CONTINETVR.

H. Dodwell

BASILEAE EX OFFICINA HERVAGIANA. ANNO M. D. XXXVIII.

IOACHIMVS CAMERARIVS AD LECTOREM

NE LAVDES Tydida meas neue ingere probra,
Omnia nam coràm memorabis nota Pelasgis.

Liceat enim mihi ijs uersibus nunc uti, quibus affatur Diomedem prudentissimus uir Vlysses, ille quidem magna in re, sed tamen & hæc qualiacunq; habenda dicendaq; sint, nobis profecto cordi sunt. Atq; utinam possem ut Diomedes Vlyssem, sic ego hoc nostrũ opus atq; studium uerè meritoq; laudare. In quo si res non esset contraria uotis meis, haud scio an non paterer me deterreri ulla ratione, quin prædicarem de hac ipsa, uel iactàtius, &, ut ille apud Comicum loquitur, plenis faucibus. Nunc ita se res habet, ut quicquid est hoc operæ ac laboris nostri, quemadmodũ in medium proponitur, ita relinquendum sit, probandũ improbandúmue omnibus, in quo quidẽ non quid præstiterit diligentia & industria nostra, sed quanta, ut aliquid præstaretur, cura & assiduitas fuerit, possem sanè, si uellem, uerbosè cõmemorare. Nihil enim certe, neq; cogitationũ neq; considerationũ omisimus: nihil coniecturæ, nihil exquisitionis. Verborum omnium respectus à nobis habitus: Sententiarum quasi rationes acceptæ & relatæ animo nostro. Læsis autem & saucijs atq; uitiosis, ea est medicina adhibita, non quæ præsens quidem malũ tolleret, sed aliud non minus uel etiam grandius infligeret, id quod de imperitorum curationibus usu uenire solet, qui sæpenumero non sanitate morbũ, sed alio difficiliori morbo commutant, nonnunquam etiam extinctione uitæ illum tollunt. Sed nos hanc præcipitem uel potius sceleratã uiam ingrediendã non putauimus. Itaq; & à quibusdam non nimis, ut arbitrabamur, difficilis correctionis, tamen abstinuimus manus, atq; interdum demonstrato remedio, sicut nobis quidem uideretur, usum reliquimus arbitrio aliorum. Quod igitur de nobis paulo inflatius commemorare fortasse non malo iure posse uideamur, id est, quod maxima & singulari cũ religione in hac emẽdatione nostra uersati simus, hocq; egerimus ut pauca potius & certa reponeremus, quàm incerta multa supponeremus. Quæ timiditas, uel magis fidelitas studiosis infinita castigatione gratior esse debet, certe multo utilior futura est. Cum autem hanc editionem possem si non alio pacto, at comparatione cum priore in cœlum propemodum efferre, tum uero pulcherrimos & diuinos conatus atq; uoluntatẽ eorum qui nunc hæc cõmoda facultatibus, & laboribus suis comparata afferunt studiosis Medicinæ, uel potius philosophiæ, cuius ista scripta præceptis & doctrina referta sunt, debita celebratione ornare, sed mihi in utroq; temperandum. Nec enim uelut eminere hoc opus alterius quasi supplantatione, sed per se uolumus, & eorũ qui hoc nunc proferunt atq; edunt, cum aliæ res innumerabiles præconia laudum faciunt, tum hæc occasio ad illas tanquam concinendas idonea non est. De ipso uero autore scriptorum quid dicam? An ego ausim tentare? ut ille gloria augeatur laudatione nostra, idq; breuiter, non enim certe à nobis liber nunc etiam alius inserendus his libris fuit. Itá ne ego desipiam ut Solis tantum iubar accensa lucernula illustrius me redditurum existimem? Redeo igitur ad rem, & de nostra opera dicam adhuc paucula. Quam profecto fideliter sc& attentè atq; cautè gessisse quisquis hæc leges, & facile perspicies & probare debebis, acceptamq; habere hanc timiditatẽ nostram, magis quàm audaciam requirere. In ipsis quibus ἀναμφισβήτως Galeni scriptis quibusdam, notis sumus adiuti Britannicis, ut opinor, præterea nullum extrinsecus auxilium affuit, nisi leuissimum quoddam uersionum, ideo quia ex

hac ipsa Aldina descriptione illæ essent elaboratæ. In uno autem & altero libello τῶν νόθων, scriptis adiuti sumus eiusdem argumenti aliorum, nonnullo quidem cum fructu, ut in Dogmatis & Astrologicis. Huius omnino partis quædã ita fuere miserè deprauata, ut si maximè corrigi possent, ille tamen qui corrigeret non alienũ scriptum emendasse, sed composuisse suũ uideretur: ut exempli gratia libellus de Elenchis & de Qualitatibus, insignes ut calamitates indicem: In quibus & diligentius percensendis & quasi articulatè fingendis libenter inseruiuimus publico usui studiosorũ, cum elaborari in hac editione cõpe rissemus, quod nos multorũ sanè annorũ ualetudinis afflictione uexati eo tempore cupidè faceremus, quantũ liceret, quantumq́; suppeditaretur ocij, cum ab alijs negotijs tum hoc maiore & magis ex nobis ægrotationum, ut medicorum scripta legeremus & inprimis Galeni doctissimi & diligentissimi Asclepiadum & interpretis & imitatoris. Hanc autem partem seu tomum, in quo accuratius uersaremur, non tam propter eximios curationum libros, quàm uarietatẽ quandam scriptorũ nobis proposuimus, cuius lectio si nunc ulli ullo in loco melior, expeditior, iucundior uisa fuerit, debet is ob id gratiam habere studio nostro, sin hoc illam non merebitur, non improbare tamen neq; spernere uoluntatem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΟΡΚΟΣ

Ὄμνυμι ἀπόλλωνα ἰητρὸν, καὶ ἀσκληπιὸν, καὶ ὑγείαν, καὶ πανάκειαν, καὶ θεοὺς πάντας τε καὶ πάσας ἵστορας ποιεύμενος ἐπιτελέα ποιήσειν κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν ὅρκον τόνδε, καὶ ξυγγραφὴν τήνδε. ἡγήσασθαι δὲ τὸν διδάξαντά με τὴν τέχνην ταύτην ἴσα καὶ γενέτῃσι ἐμοῖσι, καὶ βίου κοινώσασθαι, καὶ χρεῶν χρηΐζοντι μετάδοσιν ποιήσασθαι, καὶ γένος τὸ ἐξ ἑωυτέου ἀδελφοῖς ἴσον ἐπικρινέειν ἄρρεσι, καὶ διδάξειν τὴν τέχνην ταύτην ἢν χρηΐζωσι ἄνευ μισθοῦ καὶ ξυγγραφῆς. παραγγελίης τε, καὶ ἀκροήσιος, καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος μετάδοσιν ποιήσασθαι υἱοῖσί τε ἐμοῖσι καὶ τοῖ ἐμὲ διδάξαντος, καὶ μαθηταῖς συγγεγραμμένοις τε καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ, ἄλλῳ δὲ οὐδενί. διαιτήμασί τε χρήσομαι ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξειν. οὐ δώσω δὲ οὐδενὶ φάρμακον αἰτηθεὶς θανάσιμον. οὐδὲ ὑφηγήσομαι συμβουλίην τοιήνδε. ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν φθόριον δώσω. ἁγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν καὶ τέχνην τὴν ἐμήν. οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας. ἐκχωρήσω δὲ ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε. εἰς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόντων ἐκτὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης, καὶ φθορίης τῆς τε ἄλλης, καὶ ἀφροδισίων ἔργων. ἐπί τε γυναικείων σωμάτων καὶ ἀνδρείων ἐλευθέρων τε καὶ δούλων. ἃ δ' ἂν ἐν θεραπείῃ ἢ ἴδω ἢ ἀκούσω ἢ καὶ ἄνευ θεραπείης κατὰ βίον ἀνθρώπων, ἃ μὴ χρή ποτε ἐκλαλέεσθαι ἔξω, σιγήσομαι, ἄρρητα ἡγεύμενος εἶναι τὰ τοιαῦτα. ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι καὶ μὴ ξυγχέοντι, εἴη ἐπαύρασθαι καὶ βίου καὶ τέχνης δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποις εἰς τὸν αἰεὶ χρόνον, παραβαίνοντι δὲ καὶ ἐπιορκοῦντι τἀναντία τουτέων.

ΓΑΛΗΝΟΥ ΤΑ ΕΝ ΤΩ ΤΕΤΑΡΤΩ.	GALENI QVAE IN QVARTO.
Περὶ φλεβοτομίας πρὸς Ἐρασίστρατον. Βιβ. ά	De uenæ sectione aduersus Erasistratum. lib. i.
Περὶ φλεβοτομίας πρὸς Ἐρασιστρατείους τοὺς ἐν Ῥώμῃ. Βιβ. ά.	De uenæ sectione aduersus sequaces Erasistrati Romæ agentes. lib. i.
Περὶ φλεβοτομίας θεραπευτικόν. Βιβ. ά	de curatione per uenæ sectionem. lib. i.
Περὶ βδελλῶν, ἀντισπάσεως, σικύας, καὶ ἐγχαράξεως ἢ κατασχασμοῦ. Βιβ. ά.	de hirudinibus, reuulsione, cucurbitula, & concisione cutis siue scarificatione. lib. i.
Τῷ ἐπιλήπτῳ παιδὶ ὑποθήκη.	consilium puero morbo comitiali laboranti scriptum.
Περὶ τῶν παρὰ τὴν λέξιν σοφισμάτων. Βιβ. ά.	de captionibus quæ in dictione consistunt. lib. i.
Θεραπευτικὴ μέθοδος Βιβλία ιδ΄.	curandi ratio. libri xiiii.
Τὰ πρὸς Γλαύκωνα θεραπευτικὰ Βιβ. β΄.	de curatione ad Glauconem libri ii.
Ὑγιεινὰ Βιβλία ς΄.	de tuenda ualetudine libri vi.
Πρὸς Θρασύβουλον, πότερον ἰατρικῆς, ἢ γυμναστικῆς ἐστὶ τὸ ὑγιαινόν. Βιβ. ά	ad Thrasibulum, utrum medicinæ an gymnasticæ sit tueri ualetudinem. lib. i.
Περὶ τοῦ διὰ μικρᾶς σφαίρας γυμνασίου. Βιβ. ά.	de ea, quæ parua pila fit exercitatione. lib. i.
Περὶ τροφῶν δυνάμεως Βιβ. γ΄.	de facultate alimentorum. libri. iii.
Περὶ εὐχυμίας, καὶ κακοχυμίας. Βιβ. ά.	de boni & mali succi cibis lib. i.
Περὶ τῶν ἰδίων Βιβλίων. Βιβ. ά.	de libris suis. lib. i.
Περὶ τῆς τάξεως τῶν ἰδίων Βιβλίων. Βιβ. ά.	de ordine librorum suorum. lib. i.
ΝΟΘΑ.	Libri Galeno adscripti.
Εἰσαγωγή, ἢ ἰατρός. Βιβ. ά.	introductio, uel medicus. lib. i.
Ὅροι ἰατρικοί. Βιβ. ά	definitiones medicæ. lib. i.
Ὅτι αἱ ποιότητες ἀσώματοι. Βιβ. ά.	quod qualitates sine corpore sint. lib. i.
Εἰ ζῶον τὸ κατὰ γαστρός. Βιβ. ά.	an animal sit, quod in corpore continetur. lib. i.
Περὶ οὔρων. Βιβ. ά.	de urinis. lib. i.
Διάγνωσις τῶν ἐν νεφροῖς παθῶν, καὶ θεραπεία. Βιβλίον ά.	dignotio passionum, quæ in renibus sunt ac eorum curatio. lib. i.
Περὶ φιλοσόφου ἱστορίας. Βιβ. ά.	de philosophi narratione. lib. i.
Περὶ εὐπορίστων πρὸς Σόλωνι. Βιβ. ά.	de facile parabilib. medicamētis ad Solonem. lib. i.
Περὶ εὐπορίστων ἄλλο.	de facile parabilibus medicamentis. lib. alius
Περὶ μέτρων, καὶ σταθμῶν. Βιβ. ά.	de mensuris, & ponderibus. lib. i.
Περὶ μελαγχολίας ἐκ τῶν Γαληνοῦ, καὶ Ῥούφου, καὶ ἀπὸ Σικαμίου τοῦ Ἀετίου.	de atra bile ex libris Galeni, Ruphi & Aëtij Sicamij excerpta.
Περὶ ἀντιβαλλομένων. Βιβ. ά.	de medicamentis quæ inter se commutantur. lib. i.
Περὶ κατακλίσεως προγνωστικὰ, ἐκ τῆς μαθηματικῆς ἐπιστήμης. Βιβ. ά.	de decubitu prænotiones ex mathematica scientia. lib. i.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΛΕΒΟΤΟΜΙΑΣ ΠΡΟΣ ΕΡΑΣΙΣΤΡΑΤΟΝ.

ΑΞΙΟΝ εἶναι μοι δοκεῖ, ζητήσεως οὐ σμικρᾶς, τί δή ποτε καὶ τἆλλα τῆς τέχνης ἱκανὸς ὢν ὁ Ἐρασίστρατος, κἀν τοῖς σμικροτάτοις οὕτως ἐπιμελὴς, ὥστε καὶ λαχάνων τινῶν καὶ καταπλασμάτων ἑψήσεις γράφειν, ἐφ᾽ ὧν ἤρκεσεν ἂν ἑτέρῳ πρὸς ὅτι συμφέρει μόνον εἰπόντι, τὸν τρόπον τῆς σκευασίας παραλιπεῖν, ὡς οὐδὲν μέγα καὶ αὐτὸν τινὶ τῶν ἐντυγχανόντων ἐξευρεῖν, ἐν οὕτως ἰσχυρῷ καὶ μεγάλῳ βοηθήματι τῇ φλεβοτομίᾳ, καὶ οὐδενὸς ἧττον τῶν δραστικωτάτων εὐδοκιμοῦντι παρὰ τοῖς πρεσβυτέροις αὐτοῦ, λόγον οὐδένα πεποίηται. σχεδὸν γὰρ οὔτε τοὔνομα τῆς φλεβοτομίας ἐστὶν εὑρεῖν ἐν οὐδενὶ συγγράμματι, πλὴν ἅπαξ ἐν τῷ περὶ αἵματος ἀναγωγῆς ἐπιμνησθέντος αὐτοῦ, καὶ τὸ πάρεργον μᾶλλον, ὡς ἄν τῳ δόξειεν, ἢ μετά τινος ἀξιολόγου σπουδῆς. μάθοις δ᾽ ἂν ἐξ αὐτῆς τῆς ῥήσεως ἐχούσης ὧδε. ἀποδέσεις δὲ ποιεῖσθαι παρά τε τὰς μασχάλας καὶ τοὺς βουβῶνας, μὴ ὥσπερ ἔνιοι τῶν μιμουμένων τὰς θεραπείας, οὐδὲν παρακολουθοῦντος, αἵματος χάριν ταῦτα ποιοῦνται, ἀλλ᾽ ἀποπιέζονται ἱκανῶς τοῖς δεσμοῖς. ἐν γὰρ τοῖς ἀποδουμένοις μέρεσι τοῦ σώματος πλεῖον αἷμα ἀπολαμβάνεται. δηλοῖ δὲ ἥτε διάτασις τῶν φλεβῶν, καὶ ἡ φλεβοτομία. πολὺ γὰρ πλεῖον ῥεῖ, ὅτε ἀποδεθῇ τὸ φλεβοτομούμενον μέρος τοῦ σώματος. ἐπὶ δὲ τῆς ἀναγωγῆς τοῦ αἵματος πλεῖστον ἀπολαμβάνεται τοῦ αἵματος ἀπὸ τῆς ἀποδέσεως, ἔν τε τοῖς σκέλεσι καὶ τοῖς βραχίοσιν. ἐλάσσονος γὰρ γινομένου τοῦ περὶ τὸν θώρακα καὶ ἐλαφροτέρα ἔσται ἡ ἀναγωγή. τὸ δ᾽ αὐτὸ τοῦτο βούλονται ποιεῖν καὶ οἱ φλεβοτομοῦντες τοὺς ἀνάγοντας τὸ αἷμα. ἀλλὰ πολὺ βέλτιον ὁ Χρύσιππος, οὐ μόνον τὸ παρὸν ἐπιβλέπων, ἀλλὰ καὶ τοῦ ἐπιφερομένου κινδύνου φροντίζων. ἐχόμενος γὰρ τοῦ περὶ τὴν ἀναγωγὴν ὁ ἐπὶ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος ἐκλυθῆναι, ὁ δὲ τὴν ἐνυπάρχουσαν τροφὴν ἐν τῷ σώματι κατεργασαμένην εἰς τόπους ἀλύτους μεταστησάμενος, καθ᾽ ὃν καιρὸν ὁ τῆς ἐκλύσεως κίνδυνος, ὅταν δὲ † οὕτως παραλλάξῃ ἐξ ἑτοίμου ταῦτ᾽ ἤδη χρώμενος, καὶ μὴ προσφέρειν ἀναγκαζόμενος, ἄκρως περιττὸς τῇ διανοίᾳ καὶ ἄξιος ἐπαίνου, καὶ δι᾽ ὅλου ἀκόλουθον αὐτὸς ἑαυτῷ. ὅτι μικρὰ ταῦτα, καὶ τὰ τυχόντα, καὶ οὔτε τῆς Ἐρασιστράτου περὶ τὴν τέχνην ἀκριβείας, οὔτ᾽ αὐτοῦ τοῦ βοηθήματος τῆς δυνάμεως ἄξια, παντὶ δῆλον. εἰ μὲν μήτε παρ᾽ Ἱπποκράτει, μήτε παρὰ Διοκλεῖ, μήτε παρ᾽ Εὐρυφῶντι, μηθ᾽ ὅλως παρ᾽ ἄλλῳ μηδενὶ τῶν Ἐρασιστράτου πρεσβυτέρων ἦν εὑρεῖν τὸ βοήθημα γεγραμμένον, ἴσως ἄν τις ὑπενόησεν, εἰ μήπω τῆς χρήσεως εὑρημένης, εἰ μὴ παρὰ τοῖς ἐνδόξοις εὐδοκιμούσης, εὐλόγως αὐτὸν παραλιπεῖν. ἐπεὶ δὲ εὕροιντο ἄλλοι, καὶ πολλή τις χρῆσις ἤδη τοῦ βοηθήματος ἦν, οὐκ ἐφ᾽ ἑνὸς μόνου, οὐδὲ τοῦ τυχόντος πάθους, ἀλλ᾽ ἐπὶ τῶν πλείστων τε καὶ ὀξυτάτων, οὕτως γὰρ ὁ Ἱπποκράτης γε αὐτὸς, ὁ τῶν καλῶν τῆς τέχνης ἁπάντων ἡμῖν ἡγεμὼν, οἵ τ᾽ ἄλλοι παλαιοὶ φαίνονται χρώμενοι. τί δή ποτε πάντων ὁ Ἐρασίστρατος ἠμέλησε τελέως τὸν ὑπὲρ αὐτῆς διεξελθεῖν λόγον; καὶ γὰρ ἀρεσκόμενον ἐχρῆν ἐπισημαίνεσθαι τοῖς πάθεσιν αὐτὸ προσαναγράψαντα, καθάπερ τἆλλα βοηθήματα, καὶ ἀρεσκομένου εἰπεῖν τὴν αἰτίαν, δι᾽ ἣν ἀρέσκεται. ὁ δὲ τοσοῦτον ἀποδεῖ τὸν λόγον ὑπέχειν περὶ τῆς τοῦ βοηθήματος δυνάμεως, ὥστ᾽ οὐδ᾽ ὅτι χρηστὸν ἢ μὴ χρηστὸν ἐμήνυσεν, οὐδ᾽ ὅλως ἐτόλμησεν ἀποφήνασθαι, ἣν ἔχει γνώμην, πλὴν ἅπαξ, ὡς εἶπον, ἐφ᾽ ἑνὸς πάθους, καίτοι κἀξ αὐτῶν ὧν σιωπᾷ καταφωρῶν αὐτοῦ τῆς γνώμης τὸ κεφάλαιον. οὐ γὰρ δὴ ἀρεσκόμενον γ᾽ ἂν αὐτῷ παρέλιπεν, οὐδὲ τὰ μὲν σμικρὰ τῶν τοῖς πάθεσιν συμφερόντων, γραφῆς ἠξίου δεῖσθαι, τὰ δ᾽ οὕτω μεγάλα, δύνασθαι τινὰ, καὶ χωρὶς τοῦ παρ᾽ ἐκείνου μαθεῖν, αὐτὸν ἐξευρεῖν. ἡ δ᾽ αἰτία δι᾽ ἣν οὐκ ἐχρῆτο φλεβοτομίᾳ τὸ μὲν ἀληθέστατον φάναι τάχ᾽ ἂν τῳ δόξειε μαντείας δεῖσθαι. τί γὰρ ἄν τις εἰδείη πῶς Ἐρασίστρατος ἐγίνωσκεν ὑπὲρ ὧν αὐτὸς οὐδὲν ἐμνημόνευσε διεξοδικῶς; ὅμως δ᾽ οὖν ἐτόλμησαν τινὲς ἀπομαντεύσασθαι τῆς γνώμης αὐτοῦ, καταφωροὶ δ᾽ εἰσὶν ἁμαρτάνοντες οὐχ ἥκιστα ἐξ ὧν πρὸς ἀλλήλους διαφέρονται. δοκεῖ γὰρ αὐτῶν οὐδενὶ τὰ αὐτὰ, καὶ τὸ πάντων δεινότατον, ὅτι μὴ δ᾽ αὐτοῖς τοῖς συμφοιτηταῖς μὲν τοῦ Ἐρασιστράτου, μαθηταῖς δὲ Χρυσίππου τοῦ Κνιδίου, οὕσπερ δὴ πρώτους τὸ δόγμα τοῦτ᾽ ἦν μὴ χρῆσθαι φλεβοτομίᾳ, οὐδὲ γὰρ ἐκείνοις ὁμολογεῖται περὶ τῆς Χρυσίππου γνώμης οὐδέν. ἀλλὰ τὰ μὲν ὑπό τε Ἀποιμάντου καὶ Στράτωνος εἰρημένα καταγέλαστα. καὶ γὰρ τὸ σχάσαι τὴν φλέβα δύσκολον εἶναι φασὶν, καὶ τὸ διαγνῶναι, καὶ τὸ διαιρῆσαι τὴν ἀρτηρίαν αὐτὴν, μέγα δ᾽ ἐν τούτῳ κακὸν ἀποβαίνει εἰ ἀντὶ φλεβὸς ἀρτηρίαν διαιρεῖσθαι συμβαίνει. καὶ ὅτι δείσας τις ἔθανεν, ὁ μὲν καὶ πρὸ τοῦ τμηθῆναι τὸ ἀγγεῖον, ὁ δὲ καὶ τμηθεὶς οὐκ ἀνεκομίσθη. καὶ ὅτι αἱμορραγήσε τις ἀνεπισχέτως. τὰ δ᾽ ὑφ᾽ ἑτέρων λεγόμενα, τῶν μὲν, ὅτι τοῦ μέτρου τῆς κενώσεως ἐστοχάσθαι χαλεπὸν, ὥστε ἀναγκαῖον ἢ ἐνδεῶς κενώσαντι, μηδὲν εἶναι πλέον, ἢ τὸ σύμμετρον ὑπερβαλόντι, μεγίστην ἀκολουθῆσαι βλάβην. τί γοῦν ἂν ἀποδέοι φασὶ σφαγῆς, ἄμετρος φλεβοτομία; τῶν δὲ ὅτι παρέμπτωσις τοῦ πνεύματος ἐκ τῶν ἀρτηριῶν εἰς τὰς φλέβας γένοιτ᾽ ἄν, ἀκολουθήσει γὰρ ἐξ ἀνάγκης ἐπὶ τὰς † συναστομώσεις τοῦ αἵματος κενωμένου, τὸ πνεῦμα. τῶν δ᾽ ὅτι τοῦ πάθους τῆς φλεγμονῆς ἐν ἀρτηρίαις συνισταμένου, περιττὸν ἐκκενοῦν τὰς φλέβας. τὰ δὲ τοιαῦτα, κἂν εἴ τινι ἔδοξεν εἶναι πιθανὰ, κατά γε τὴν ἀλήθειαν αὐτὴν οὔτε πιθανὸν οὐδὲν ἔχει, καὶ ψευδῆ φανερῶς ἐστί. πολλῷ γὰρ ἂν ἦσαν πιθανώτεροι ταῦτα λέγοντες, ἅπερ ἑτέροις τισὶν, ἐκ τῆς τῶν χυμῶν φύσεως ὁρμωμένοις, εἴρηται. καὶ τάχ᾽ ἂν ἴσως καὶ δέοιτό τις πρὸς ἐκείνους λόγου πλείονος, ἀλλ᾽ οὐ νῦν καιρός. εἰς μακρόν τε γὰρ οὕτω λόγου μῆκος ἐκπεσεῖν ἀνάγκη. καὶ ἄλλως οὐδὲν κατεπείγει τὰ μήθ᾽ ὑπ᾽ Ἐρασιστράτου, μήθ᾽ ὑπ᾽ ἄλλου τινὸς τῶν Χρυσίππου μαθητῶν εἰρημένα νῦν ἐπιχειρεῖν ἐξελέγχειν.

† τούτοις

† ἂν

ἀρεστὰ οὖν μοι δοκῶ διαλέξεσθαι τὸν λόγον, ἔτ' ἄλλα παραλιπὼν ἀπ' αὐτῶν ἀρξάμενος τῶν Ἐρασιστράτῳ δοκούντων. εἰρήσεται δ' ὡς ἔνι μάλιστα διὰ βραχυτάτων. ἀρέσκει δὲ αὐτῷ πνεύματος μὲν ἀγγεῖον εἶναι τὴν ἀρτηρίαν, αἵματος δὲ τὴν φλέβα. σχιζόμενα δ' ἀεὶ τὰ μείζω τῶν ἀγγείων εἰς ἐλάττονα μὲν τὸ μέγεθος, ἀριθμὸν δὲ πλείω, καὶ πάντῃ τοῦ σώματος ἐνεχθέντα, μηδένα γὰρ εἶναι τόπον, ἔνθα μὴ πέρας ἀγγείου κείμενον ὑπάρχει, εἰς οὕτω σμικρὰ πέρατα τελευτᾶν, ὥς τε τῇ μύσει τῶν ἐσχάτων στομάτων κρατούμενον ἐντὸς αὐτῶν ἴσχεσθαι τὸ αἷμα. καὶ διὰ τοῦτο καίτοι παρακειμένων ἀλλήλοις τοῦ στόματος τοῦ τε τῆς φλεβὸς καὶ τῆς ἀρτηρίας ἐν τοῖς ἰδίοις ὅροις μένειν τὸ αἷμα μηδαμόθι τοῖς τοῦ πνεύματος ἐπεμβαῖνον ἀγγείοις. μέχρι μὲν δὴ τοῦδε νόμῳ φύσεως διοικεῖσθαι τὸ ζῶον. ἐπειδὰν δέ τις αἰτία βίαιος ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας τὸ αἷμα μεταχθῆναι αὐτὸ, νοσεῖν ἀναγκαῖον ἤδη. αἰτίας δὲ καὶ ἄλλας τινὰς καὶ οὐδεμιᾶς ἐλάττω τὸ πλῆθος εἶναι τοῦ αἵματος, ὑφ' οὗ διατείνεσθαι μὲν τὸν χιτῶνα τῆς φλεβὸς, ἀναστομοῦσθαι δὲ τὰ πρότερον μεμυκότα πέρατα, μεταχεῖσθαι δὲ εἰς τὰς ἀρτηρίας τὸ αἷμα, κἀντεῦθεν ὑπὸ τοῦ παρὰ καρδίας φερομένου πνεύματος προσκόπτον καὶ ἐνιστάμενον, ἀλλοιοῦντι τὴν ἐκείνου κίνησιν, ἡνίκ' ἂν ἐγγὺς ᾖ καὶ κατ' εὐθὺ τῆς ἀρχῆς, καὶ τοῦτ' εἶναι τὸν πυρετόν. ὠθούμενόν τε ὑπ' αὐτοῦ πρόσω σφηνοῦσθαι κατὰ τὰ πέρατα τῶν ἀρτηριῶν, καὶ τοῦτ' εἶναι τὴν φλεγμονήν. οὕτω μὲν ἐπὶ πλήθει φλεγμονὴν ἐργάζεται τῷ λόγῳ· τῷ δὲ ἐπὶ τραύμασι ἡ φλεγμονὴν αἰτιᾶται μὲν κἀνταῦθα τὴν παρέμπτωσιν ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας τοῦ αἵματος, αὐτῆς δὲ τῆς παρεμπτώσεως αἰτίαν εἶναι φησὶ τὴν πρὸς τὸ κενούμενον ἀκολουθίαν. ὅταν γὰρ τῶν ἐν τῷ τετρωμένῳ μέρει διαιρεθεισῶν ἀρτηριῶν ἐκχυθῇ κατὰ τὴν τρῶσιν ἅπαν τὸ πνεῦμα, καὶ κίνδυνος ᾖ κενὸν γενέσθαι τόπον, ἐπειδὴ κατὰ τὰς συναναστομώσεις τὸ αἷμα, τοῦ κενουμένου πνεύματος τὴν βάσιν ἀναπληροῦντος. ἀνεῳγότος μὲν οὖν τοῦ πνεύματος ἐκχεῖσθαι. κλεισθέντος δὲ καὶ μύσαντος, ἔνδον ὠθούμενον ὑπὸ τοῦ παρὰ καρδίαν ἐπιπεμπομένου πνεύματος ἀθροίζεσθαι πάλιν ἅπαν ἐν τοῖς περὶ τὸ τραῦμα τόποις, καὶ τὴν φλεγμονὴν οὕτως ἐργάζεσθαι. ἄγε δή, συγχωρήσωμεν γὰρ αὐτὸν κατά γε τὸ παρὸν ἀληθεύειν ἅπαντα περί τε πυρετοὺς καὶ φλεγμονὰς, καίτοι γ' ὅτι μηδὲν αὐτῶν ἀληθές ἐστιν, ἐν ἑτέροις ἀπεδείξαμεν, ἐφεξῆς ἡμᾶς διδαξάτω τὰ ἰάματα. φησὶ γοῦν αὐτὸς ἔν τε ἄλλοις πολλοῖς κἂν τῷ τρίτῳ περὶ πυρετῶν κατὰ λέξιν οὕτω. περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν ἀρρωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις, ἀφαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων. καὶ γίνονται ὡς τὸ πολὺ † αὐτοὺς πυρετοὶ ποιοῦσι φλεγμονὰς διὰ πληθώραν. διδομένων οὖν ἐν τοῖς τοιούτοις καιροῖς προσφορῶν καὶ τῆς πέψεως καὶ ἀναδόσεως τὰς καθ' αὐτὰς ἐνεργείας ἀποδιδουσῶν πληρουμένων τῶν ἀγγείων τῆς τροφῆς, ἐπὶ πλεόν τε ἰσχυροτέρας συμβήσεται τὰς φλεγμονὰς γίνεσθαι. ταῦτα μὲν ὑπὲρ τῶν περὶ πλῆθος χωρὶς τραύματος γιγνομένων φλεγμονῶν. ὑπὲρ δὲ τῶν ἐπὶ τραύμασιν ἐν πρώτῳ πάλιν περὶ πυρετῶν, ὧδέ πως φησίν. ἀκόλουθοι δὲ καὶ θεραπεῖαι τούτοις εἰς τὸ ἀφλέγμαντα πάντα γίνεσθαι τὰ τραύματα. τῶν γὰρ φαρμάκων τὰ μὲν περιχριόμενα ἐπὶ τοὺς ὑγιεῖς τόπους ἀρσύφοντα καὶ μύοντα κωλύει τὴν συνίωσιν τοῦ ἄνωθεν κεχυμένου αἵματος ἐπὶ τοὺς διῃρημένους τόπους γίνεσθαι. ἐν δὲ τοῖς ἀπαθέσι τόποις πολλῶν ἀνεστομωμένων ἀρτηριῶν τε καὶ φλεβῶν εἰς τοὺς αὐτοὺς τόπους μετάληψις γίνεται, εἰς τὰς φλέβας τοῦ παρεμπεπτωκότος αἵματος εἰς τὰς ἀρτηρίας. εἶτα ἐφεξῆς πάλιν ἀκόλουθον τούτοις καὶ τὸ μηδὲν προσφέρειν τοῖς τετραυματισμένοις ὑπὸ τοὺς τῆς φλεγμονῆς καιρούς. κενούμεναι γὰρ αἱ φλέβες τῆς τροφῆς ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. τούτου δὲ συμβαίνοντος, ἧττον αἱ φλεγμοναὶ ἔσονται. οὐκοῦν ὅτι μὲν χρὴ κενῶσαι τὸ πλῆθος, καὶ ὅτι δέξασθαι πάλιν εἰς ἑαυτὰς αἱ φλέβες οὐκ ἂν δύναιντο τὸ αἷμα μεσταὶ τυγχάνουσαι, καὶ διατεταμέναι, συμφωνεῖται τοῦτό γε καὶ αὐτῷ τῷ Ἐρασιστράτῳ. τὸ δὲ ὅτῳ χρὴ τρόπῳ κενῶσαι αὐτὰς τὸ ἀμφισβητούμενόν ἐστιν. ἐγὼ μὲν οὖν ᾤμην ἐπειδὴ ἅπαξ τὸ κενούμενον ὡμολόγηται ῥᾷστόν τε ἤδη καὶ ἑτοιμότατον ἐστὶν τεμεῖν τὴν φλέβα. καὶ γὰρ ἂν τάχιστα οὕτω καὶ αὐτὰς μόνας τὰς φλεγμονὰς ἐκκενώσαιμεν, ὡς αἵ γε ἀσιτίαι πρὸς τῷ χρόνου δεῖσθαι μακροῦ, καὶ ὅλην τὴν ἕξιν κενοῦσιν ὁμοίως. τὸ δὲ οὐ χρή. τί γὰρ ἄν τις κενοίη, τὸ μὴ δεόμενον κενώσεως; ἢ τί τὰς σάρκας ἐκτήκοι πρὶν ἄρχειν τοῦ αἵματος; ἵνα τ' ἄλλα ὅσα ταῖς μακραῖς ἀσιτίαις ἐξ ἀνάγκης ἕπεται κακὰ παραλείπω. τήν τε δύναμιν κάμνουσαν, καὶ τοὺς χυμοὺς ἐπὶ τὸ χολῶδες καὶ πικρὸν τρεπομένους, καὶ καρδιωγμοὺς πολλοὺς, καὶ ἄσην, καὶ διαχώρημα ἰσχόμενον, καὶ πάνθ' ἁπλῶς τὰ περιττώματα δριμύτερα γινόμενα, ὧν οὐδὲν ὁ Ἐρασίστρατος ἰδὼν, ὥσπερ οἱ τυφλοὶ, λείας ὁδοὺς, καὶ πλατείας, καὶ εὐθείας ἐγγὺς οὔσης, πολλάκις στενὴν, καὶ τραχεῖαν, καὶ μακρὰν ἀλώμενοι περιέρχονται, καὶ αὐτὸς οὕτω παρακειμένην ὁδὸν σύντομον ἱκανῶς καὶ ἄλυπον παριδὼν, ἐπὶ μοχθηρὰν καὶ μακρὰν ἐλήλυθεν, τοῦτο μόνον θεασάμενος εἰ ἐφ' ὃ βούλεται ἄγει αὐτὸν ἡ ὁδὸς, οὐκέτι δὲ εἰ ταχέως καὶ ἀλύπως. ἄγει μὲν γὰρ ἐπὶ τὴν τοῦ πλήθους κένωσιν, καὶ ἡ ἀσιτία, σύμφημι τοῦτο, ἀλλ' ἐν χρόνῳ τε μακρῷ σὺν τῷ λυπῆσαι πολλὰ, καὶ ὅμως τηλικοῦτον βοήθημα παραλιπὼν ὁ σοφὸς Ἐρασίστρατος, ὃν ἀξιοῦσί τινες Ἱπποκράτει παραβάλλειν, οὐκ αἰδεῖται μηδὲν πιθανόν τι καὶ εὔλογον, ἀλλ' ἀμνημονεύσας ὥσπερ τινὸς τῶν φαυλοτάτων τε καὶ οὐδενὸς ἀξίων. ἀλλ' οὐχ Ἱπποκράτης, ὦ Ἐρασίστρατε, μηδ' ἔν τι χείρων ἰατρὸς σοῦ περὶ φλεβοτομίας οὕτως ἐπεγίνωσκεν. ἀλλ' ἃ σὺ θαυμάζεις λόγῳ, ταῦτ' ἔργῳ ποιῶν εὑρίσκεται. θαυμάζεις μὲν γὰρ τὴν φύσιν, ὡς τεχνικήν τε ἅμα καὶ προνοητικὴν τοῦ ζώου, μιμῇ δ' αὐτὴν οὐδαμοῦ· ἢ διὰ τί πολλάκις ἰδὼν αἵματος κενώσει τὴν φύσιν ἰασαμένην πολλὰ νοσήματα, τοῦτο οὐδ' ἐφ' ἑνὸς ἔπραξας οὐδὲ πώποτε; τί δὲ σιγᾷς τὰ τῆς φύσεως ἔργα ἣν ἐπαινεῖς; διὰ τί παρὰ μὲν Ἱπποκράτει πολλὰ τοιαῦτα εὑρίσκω γεγραμμένα, γυναικὶ αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων λύσις, ἀπὸ χολῆς μελαίνης εἰς ὅμοι) αἱ μορροΐδες. αἱ μορραγίαι λάβροι τὰ πολλὰ ῥύονται ἐκ ῥινῶν, παρὰ σοὶ δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ἄχρι λόγου μόνου ἐπαινουμένη ἡ φύσις, ἔργον δ' οὐδὲν οὐδαμοῦ φύσεως γεγραμμένον; ἤρκει μοι τὰ τῆς φύσεως μόνης ἔργα μαθεῖν. ἱκανὸς ἂν ἦν ἐκ τούτου ὁρμώμενος εὑρίσκειν τὸ δέον. ἆρα μοι συγχωρήσουσιν οἱ θαυμάζοντές σε τὸ πα-

ριστάμενον

† αἱ τοὺς πυρετοὺς ποιοῦσαι τῶν φλεγμονῶν, *ut paulo post citatur.*

ἐπιστάμενον εἰπεῖν, ἢ παντάπασιν ἀνόητος μοι δοκεῖς εἶναι, ἢ μικρὰ τοῖς τῆς φύσεως ἔργοις ὡμιληκέναι. τὸ γὰρ ἢ μηδ᾽ ὅλως γινώσκειν αὐτά, ἢ μὴ ζηλοῦν γινώσκοντα, θατέρῳ τοῖν δυοῖν ἔνοχον ἐστίν. ἢ γὰρ ἐν οἴκῳ τινὶ καθειργμένος ἔγραφες ταῦτα, μηδένα μηδεπώποτε θεασάμενος ἄρρωστον. ὅθεν εἰκότως ἀγνοεῖς τὰ τῆς φύσεως ἔργα, ἐθαύμαζες μὲν ἀεί τ᾽ ἐμιμήσω δεύτερον ἐσχάτως ἀνόητος. εἶτ᾽ εἰ τοίνυν γράφειν ἐπιχειρεῖς τὸν νόμον τοῦ γράφειν ὑπερβάς, ἐχρῆν σε πρῶτον γράψαι μοι τὰ τῆς φύσεως ἔργα, δεύτερον δ᾽ ἐξηγήσασθαι τίνα μὲν ὁλοκλήρως τε καὶ ἀπηρτισμένως τοῖς οἰκείοις λόγοις κινουμένη δρᾷ, τίνα δ᾽ ἐλλιπῶς ὑπὸ τῶν κατὰ τὰς νόσους αἰτιῶν κωλυομένη. ὁδὸς γὰρ αὕτη πρὸς εὕρεσιν ἰαμάτων, ἵνα ἐκμαθὼν τὰ καλῶς ὑπ᾽ αὐτῆς ἀποτελούμενα, τούτοις ἐπιχειρεῖν δύνωμαι, τὸ λεῖπον προστιθείς. ἢ μηδ᾽ ὅλως κινουμένης, εἰ γὰρ καὶ τοῦτό ποτε πάσχει τῇ ῥώμῃ τῶν νοσωδῶν αἰτιῶν νικηθεῖσα, τὸ πᾶν αὐτὸς ἐκπορίζωμαι. τούτων οὐδὲν ἐπιδείξας, ἴσως γάρ, ὅπερ φασίν, ὀλιγωρεῖς μὲν τοὺς ἀρρώστους θεᾶσθαι, μόνων δ᾽ οἴκοι τὸ δόξαν ἔγραφες. ἀλλ᾽ εἰ καὶ μὴ αὐτὸς ἐθεάσω, τὰ γοῦν ὑφ᾽ Ἱπποκράτους ἐνῆν ἀναγινώσκοντί σοι μανθάνειν, ὅσα μὲν ὁλοκλήρως, καὶ ἀνελλιπῶς, καί, ὡς αὐτὸς ἐκεῖνος εἴωθε λέγειν, ἀρτίως ἡ φύσις κινουμένη, κρίνονται. πῶς δ᾽ ἂν αὐτὴν κάλλιστα τις μιμήσαιτο, μὴ δ᾽ ἐγχειροῦσαν κρίσιν. καὶ πῶς ἐπιχειρούσῃ μὲν ἀλλ᾽ ἐνδεῶς κινουμένῃ βοηθέον. εἰ γὰρ ἐν τούτοις ἐγυμνάσω, τοιαῦτα ἂν ἤκουόν σου συμβουλεύοντος, οἷα καὶ Ἱπποκράτους ἀκούω, τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως μὴ κινεῖν, μηδὲ νεωτεροποιεῖν, μήτε φαρμακείῃσι, μήτε ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ᾽ ἐᾶν, τοῦτο μέν σοι φύσεως ὁλοκλήρως κινουμένης παράγγελμα. τὸ δὲ ἐφεξῆς τούτῳ κινουμένης μὲν ἐπὶ κρίσιν, ἀλλ᾽ ἐνδεῶς. διὰ τοῦτο αὐτῇ συνεργεῖν παρακελευόμενος ἐρεῖ, ἃ δεῖ ἄγειν, ταῦτα ἄγειν ὅπῃ ἂν μάλιστα ῥέπῃ, διὰ τῶν ξυμφερόντων χωρίων. βούλεται μὲν γὰρ ἡ φύσις τηνικαῦτα τὸ λυποῦν ἀπώσασθαι, μὴ δυναμένη δ᾽ ἐπιθεῖναι τῷ ἔργῳ τὸ τέλος ὑπ᾽ ἀρρωστίας, ἡμῶν βοηθῶν δεῖται. διὰ τοῦτο καὶ πλευριτικοὺς θεραπεύων κατὰ τὴν ῥοπὴν τῶν χυμῶν κενοῖ. τί γοῦν φησίν; ἀλλ᾽ εἰ μὲν ἡ ὀδύνη πρὸς κληῖδα, ἢ ἐν βραχίονι βάρος, ἢ περὶ μαζόν, ἢ ὑπὲρ τῶν φρενῶν, τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἔσω, καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαιρεῖν, ἐς ἂν ἐρυθρότερον πολλῷ ῥυῇ, ἢ ἀντὶ καθαροῦ τε καὶ ἐρυθροῦ πελιδνόν. ἀμφότερον γὰρ γίνεται. ἢν δ᾽ ὑπὸ φρένας ἦ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῖδα μὴ σημαίνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίην, ἢ μέλανι ἐλλεβόρῳ, ἢ πεπλίῳ. πάλιν δ᾽ ἔν τινι τῶν νεφριτικῶν παθημάτων συνδρομὴν προγράψας, καὶ πρὸς νεφρὸν ὀδύνην βαρείην, ἀρχὴ μηροῦ κατ᾽ ἰξὺν ἐπιφέρει, ἰγνυὼ τέμνειν, τουτέστι τὴν ἐν ἰγνύῃ τέμνειν φλέβα. ἐκεῖνο δέ πως εἴρηται; ἐκ τοῦ μαργέω οἰκέτιδος οὐδὲ αἷμα ἐγένετο, ὡς ἔτεκε θυγατέρα ἀπέστραπτο τὸ στόμα πρὸς ἰσχίον, καὶ σκέλος, ὀδύνη παρὰ σφυρόν, τμηθεῖσα ἐρράϊσε, καί τοι τρόμοι τὸ σῶμα πᾶν κατεῖχον. ἀλλ᾽ ἐπὶ τὴν πρόφασιν χρὴ ἐλθεῖν καὶ τῆς προφάσιος τὴν προφήν. Ἱπποκράτης μὲν οὖν σοι τὴν πρόφασιν τοῦ νοσήματος ἐξετάζειν κελεύει, καὶ τῆς προφάσεως τὴν γένεσιν. ὅπερ εἴποις, οὐκ ἂν οἶμαι γε πλήθους αἵματος ἐνοχλοῦντος ἄλλο τι πρὸς τῆς φλεβοτομίας εἰρήσεσθαι. ἐπὶ γοῦν τῆς προειρημένης γυναικός, καί τοι τρομώδους οὔσης, οὐκ ἐμέλλησε τέμνειν τὴν φλέβα, μηδενὸς ἂν ἄλλου τολμήσαντος αἵματος ἀφελεῖν ἐν τρόμοις, ὥσπερ οὐδὲ ἐν ὑδέροις, οὐδ᾽ ἄλλῳ ψυχρῷ πάθει οὐδενί. δέον γὰρ ἐν τοῖς τοιούτοις ψυγῆναι μὲν ἔτι καὶ μᾶλλον τὸ σῶμα τῇ τοῦ θερμοῦ χυμοῦ κενώσει, καὶ πρότερον ἤδη διὰ τὸ πάθει κατεψυγμένον σβεσθῆναί τε τὸ ἔμφυτον θερμόν. ἀλλ᾽ Ἱπποκράτης σκεψάμενος, ὥς αὐτός λέγει, τήν τε † πρὸ τοῦ πάθους τὸ πλῆθος ἦν τοῦ αἵματος. οὐ γὰρ ἐκαθάρθη τὸ γυναικεῖον τὴν λοχείαν καλουμένην κάθαρσιν. ἡ προφὴ τῆς προφάσεως, τουτέστιν ἡ γένεσις καὶ ἡ πρώτη αἰτία, τοῦ μὴ καθαρθῆναι καλῶς, ἡ διαστροφὴ τῆς μήτρας, ἀπέστραπτο γὰρ πρὸς τὸ ἰσχίον. ἐνδειξαμένης οὖν αὐτῷ τῆς μὲν ἐπισχέσεως, τὴν κένωσιν, τῆς δὲ ἐπὶ μήτραν ῥοπῆς, τὸν τόπον δι᾽ οὗ χρὴ κενῶσαι, τὴν παρὰ σφυρὸν ἔταμε φλέβα. τοιοῦτος ἐν ἅπασιν ὁ Ἱπποκράτης. ἀλλ᾽ ἵνα μὴ λυπῶ τοὺς Ἐρασιστρατείους ἐπὶ πλέον αὐτὸν ἐπαινῶν, καὶ γάρ μοι δοκοῦσιν αὐτοί τε οὗτοι καὶ πρὸ αὐτῶν ὁ Ἐρασίστρατος ἐριστικῶς ἔχειν πρὸς τὸν ἄνδρα, καταλείψωμεν ἤδη τὰ Ἱπποκράτους. ἐν ἑτέρῳ γάρ μοι καιρῷ πᾶσαν αὐτοῦ τὴν περὶ τὰς κενώσεις τέχνην ἔξεστι δηλῶσαι. μεταβῶμεν δ᾽ ἐπὶ τοὺς ἄλλους ἄνδρας † ἑκατέρας αἱρέσεως ἐμπειρικῆς τε καὶ λογικῆς. οὐδὲ γὰρ τούτων οὐδένα εὑρίσκω τῆς φλεβοτομίας ἀποστάντα. δογματικὸν μὲν γὰρ οἶδα καὶ Διοκλέα, καὶ Πλειστόνικον, καὶ Διεύχη, καὶ Μνησίθεον, Πραξαγόραν τε καὶ Φιλότιμον, καὶ Ἡρόφιλον, καὶ Ἀσκληπιάδην φλεβοτομοῦντας. καί τοι φιλόνεικος οὕτως ἦν Ἀσκληπιάδης, ὥστε ὀλίγου δεῖν ἅπαντα κινῆσαι τὰ πρόσθεν δόγματα, καὶ μήτ᾽ ἄλλου τινὸς τῶν πρὸ αὐτοῦ φείσασθαι, μήθ᾽ Ἱπποκράτει †, ὥστε καὶ θανάτου μελέτην, τὴν τῶν παλαιῶν ἰατρικὴν οὐκ ὤκνησεν εἰπεῖν. ἀλλ᾽ οὐδ᾽ οὗτος ἐπὶ τοσοῦτον ἀναίσχυντος, ὥστε τολμῆσαι παντάπασιν ἐξελάσαι φλεβοτομίαν τῶν ἰατρικῶν βοηθημάτων. ἀλλ᾽ οὐδέ τις οὔτε τῶν νεωτέρων, οὔτε τῶν παλαιῶν, οὐ Μαντίας, οὐκ Ἀθήναιος, οὐκ Ἀγαθῖνος, οὐκ Ἀρχιγένης, οὐχ ὁ τῶν ἐμπειρικῶν χορός. καὶ τούτων μὲν οὐδὲν τῷ λόγῳ προσεχόντων ἑπομένων, καὶ ἀεὶ τῇ πείρᾳ καταγνοὺς, ἀλλ᾽ οὐκ ἂν ἔχοις εἰπεῖν οὐδένα. τί ποτ᾽ οὖν οἱ διαφωνοῦντες ἐν ἅπασι σχεδὸν τοῖς ἄλλοις, ἐν τούτῳ συμπεφωνήκασιν; ἐμοὶ μὲν γὰρ οὐδὲν εἶναι δοκεῖ πιστότερον ἀνυπόπτου συμφωνίας. παραλείπωμεν δ᾽ εἰ βούλει τούτους, ἵνα μηδὲ τῷ πλήθει τῶν μαρτύρων δυσωπητὰ τὰ τῆς φύσεως, ἣν ἐπαινεῖς, ἔργα ποιῶμεν. οὐχ αὕτη γυναῖκας μὲν ἁπάσας ἐφ᾽ ἑκάστῳ μηνὶ κενοῖ τὸ περιττὸν ἀποχέουσα τοῦ αἵματος; ἔδει γάρ, οἶμαι, οἴκοι τὸ θῆλυ γένος, οὔτ᾽ ἐν ἰσχυροῖς πόνοις διαιτώμενον, οὔθ᾽ ὁμιλοῦν ἡλίῳ καθαρῷ, καὶ διὰ ἄμφω ταῦτα πλῆθος ὑποτρέφον ἴαμα φυσικὸν ἔχειν τοῦ πλήθους τὴν κένωσιν. ἓν μὲν τοῦτο τῆς φύσεως ἔργον. ἕτερον δὲ ἡ μετὰ τόκον κάθαρσις. καί τοι καὶ ἡ κύησις αὐτὴ κένωσίς ἐστιν. ἐκ τοῦ τῆς μήτρας αἵματος τὸ κυούμενον τρέφεται. καὶ ἡ μετὰ τὴν κύησιν δὲ τοῦ γάλακτος ἐν μαστοῖς γένεσις οὐ σμικρά, κένωσις οὐδ᾽ αὐτὴ τῷ πλήθει. μία γοῦν ἀμφοτέρων ἡ οὐσία καταμηνίου τε καὶ γάλακτος, καὶ κοιναί, καθάπερ ἄν τις εἴποι, πηγαὶ τῶν ὀχετῶν ἑκατέρων αἱ φλέβες εἰσί. διὰ τοῦθ᾽ ὅσαις διὰ ἡλικίαν ἤδη τὸ καταμήνιον μηκέτ᾽ ἔρχεται, ταύταις οὐδ᾽ ἐν μαστοῖς ἀθροίζεται γάλα. καὶ ὅσαι καθαίρεσθαι μὲν ὥρας ἔχουσι, ἀλλὰ θηλάζουσιν, οὐ καθαίρονται. καὶ ἣν θηλαζούσῃ γυναικὶ διὰ ὑστέρων ὁρμήσει τὸ αἷμα, σβέννυται τὸ γάλα. καὶ τῶν ζώων ὅσα μὴ

† πρόφασιν

† τας

† της

κυΐσκεται, τούτοις οὐδὲ γάλα ἐστίν. καὶ ὅσαις γάλα ἐστί, ταῦτα κυΐσκεσθαι φύσιν ἔχει. εἰ δὲ καὶ μάθοις ἡλίκων ἐκ ταύτης τῆς κενώσεως ἀπολαύει τὸ θῆλυ γένος ἀγαθῶν, καὶ ὅσα βλάπτεται μὴ κενούμενον, οὐκ οἶδα πῶς ὑπομενεῖς ἔτι μὴ παντὶ τρόπῳ σπεύδειν κενῶσαι πλεονάζον αἷμα. γυνὴ οὐ ποδαγριᾷ, εἰ μὴ τὰ καταμήνια αὐτῇ ἐκλείπῃ, φησὶν Ἱπποκράτης. καί τοι τί δέομαι τῶν Ἱπποκράτους φωνῶν πρὸς ἄνθρωπον ἐχθρὸν Ἱπποκράτει; νομίζω τοίνυν αὐτὴν λέγειν σοι τὴν ἀλήθειαν δι' ἐμοῦ κήρυκος, οὔτε ποδάγραις, οὔτε ἀρθρίτισιν, οὔτε πλευρίτισιν, οὔτε περιπνευμονίαις ἁλίσκεται γυνὴ καλῶς καθαιρομένη. ἀλλ' οὐδὲ ἐπίληπτος, οὐδὲ ἀπόπληκτος, οὐδὲ ἄπνους, οὐδὲ ἄφωνος οὐδενὶ ἐν καιρῷ ποτε γίνεται καθαιρομένη καλῶς. ἑάλω δέ ποτε φρενίτισιν, ἢ ληθάργοις, ἢ σπασμοῖς, ἢ τρόμοις, ἢ τετάνοις τῶν ἐμμηνίων ἰόντων; εἶδον δέ ποτε μελαγχολῶσαν, ἢ μαινομένην, ἢ πτύουσαν ἐκ θώρακος, ἢ ἐμοῦσαν ἐκ γαστρὸς αἷμα; ἢ κεφαλαίᾳ κάμνουσαν, ἢ συνάγχῃ πνιγομένην, ἢ τινι τῶν μεγάλων καὶ ἰσχυρῶν παθημάτων ὑπομένουσαν, εἰ καλῶς ἐκκρίνεται τὰ καταμήνια; ἰσχομένων δ' αὖ πάλιν ἕτοιμον ἐν παντὶ κακῷ γενέσθαι. καὶ αἱ κενώσεις ἰάματα. καταλιπὼν δὲ ἤδη τὰς γυναῖκας ἐπὶ τοὺς ἄνδρας ἐλθὲ καὶ μάθε, πόσοι μὲν αἱμορροΐδι τὸ περιττὸν εἰθισμένοι κενοῦσθαι, πάντων ἀπαθεῖς νοσημάτων διατελοῦσι, πόσοι δ' ἐπισχεθείσης τῆς κενώσεως ἐν χαλεπωτάτοις ἐγένοντο. πότερον οὐδὲ τούτων ἀποκενώσεις τοῦ αἵματος, οὐδ' ἂν συναγχικοὶ γενόμενοι τύχωσιν, οὐδ' ἂν περιπνευμονικοί. ἀλλ' ὑπὸ τοῦ μὴ ἀναθέσθαι τὰ κακῶς ἐγνωσμένα, περιόψει τοσούτους ἀπολλυμένους; σὺ μὲν ἴσως τοῦτο δράσεις, ἐγὼ δ' οὐ ταῦτα μόνον, ἀλλὰ καὶ σπασμὸν καὶ ὕδερον αἵματος κενώσει πολλάκις ἰασάμην. οὕτως γάρ ἥ τε μακρὰ πεῖρα διδάσκει με. ὅτι λόγος οὕτως ἐπὶ τὴν πρόφασιν κελεύει ἔρχεσθαι καὶ τῆς προφάσεως τὴν ῥοπήν. ὅτι δὲ καὶ ἡ πεῖρα, τὰ τῶν ἐμπειρικῶν ἀναγνοὺς εἴσῃ γράμματα. μὴ τοίνυν ἔτι φιλονείκει Ἱπποκράτῃ μόνον δοκεῖ κενοῦν αἷμα παραινοῦντα, κἂν εἰς τρόμον, κἂν εἰς ὕδερον, κἂν εἰς ἄλλο τι ψυχρὸν πάθος ἢ ἀνὴρ δι' ἐπίσχεσιν αἱμορροΐδος, ἢ γυνὴ δι' ἐμμηνίων ἐμπέσοι, ἀλλὰ καὶ τοῖς ἀπὸ τῆς ἐμπειρίας ἅπασιν ἰατροῖς, καὶ τῷ βίῳ τῶν ἀνθρώπων. ἀνατρέπειν γοῦν μοι δοκεῖς τὸν κοινὸν ἁπάντων λογισμόν. οὐκ ἂν

* φαίης κατὰ φύσιν εἶναι παντὶ τῷ λογίσασθαι κενοῦν αἵματος σοι διὰ πλῆθος αὔξει. τίς οὐκ οἶδεν ὅτι τἀναντία τῶν ἐναντίων ἰάματα; μὴ γὰρ Ἱπποκράτους ἡ γνώμη μόνου, κοινὴ πάντων ἀνθρώπων ἐστίν. ἀλλά μοι δοκεῖς ὑπὸ τῆς πρὸς Ἱπποκράτη φιλονεικίας, καὶ τῶν ἄλλων ἀνοητότερος εἶναι. ταῦτα γοῦν ὁσημέραι τῆς φύσεως ποδηγούσης αὐτὰ, καὶ τὰς ἐνδείας προσφοραῖς ἰᾶται, καὶ τὰς πλησμονὰς κενώσεσι, καὶ τὸ κρύος θάλψεσι, καὶ τὰς θάλψεις ἐμψύξεσι. τί γὰρ ἐστὶ τροφὴν προσενέγκασθαι ἄλλο γε ἢ τὸ πλῆθος ἐκποιεῖσθαι; τί δ' ἀποκρῖναι κόπρον, ἢ ἔντερον πεπληρωμένον ἐκκενῶσαι; τί δ' οὐρῆσαι ἢ κύστεως πλησμονὴν ἰάσασθαι; ταῦτα μὲν ζῷα καὶ κρύει πονούμενα φωλεύει ἑαυτοῖς, καί τινας ἀλεεινὰς εἰς τὴν γῆν καταδύσεις ἐκποιεῖται. καὶ τῷ θάλπει κάμνοντα θέρους ὥρᾳ νήχεται μὲν ἐν ὕδατι ψυχρῷ, διατρίβει δ' ἐν τόποις συσκίοις τε καὶ προσηνέμοις. ἔγωγε κύνα πολλάκις εἶδον ἐμετοῦν ἐπιτηδεύοντα, καὶ τὴν αἰγυπτίαν ὄρνιθα κλυστῆρα μιμησαμένην, ἀνθρώποις δὲ αὐτά τε ταῦτα ὡς ἂν λόγῳ χρωμένοις εὐμηχανώτερα ἅπαντα. κάλεσον οὖν ἰδιώτην ἰατρικῆς ἐπὶ ἄῤῥωστον εὐέκτην, νέον, πολύαιμον ὑπὸ συ-

ἴσ τ᾽ ἐξ νάγχης, ἢ περιπνευμονίας πνιγόμενον, † εἴπερ οὐ τὸν ἄνθρωπον εἴτι πρὸς τὸ πάθος ἐπινοεῖ, τίς οὕτως ἀνόητος ὡς μὴ κένωσιν αἵματος εἰπεῖν; ἀλλ' Ἐρασίστρατος ὑπὸ τῆς πρὸς Ἱπποκράτη φιλονεικίας, οὐδὲ τὰς κοινὰς ἁπάντων ἀνθρώπων ἐννοίας φαίνεται διασῴζων. ἀλλ' ἔτι καὶ τῶν γεράνων ἀνοητότερος εὑρίσκεται. μακρῷ τοιγαροῦν καὶ ταύτας, ὡς ἀεὶ τοὺς μέχρι περάτων γῆς πετομένους ἐστὶν ἰδεῖν, ὑποφευγούσας ἐν μέρει κρύος τε καὶ θάλπος, ἰωμένας τε διὰ παντὸς τοῖς ἐναντίοις τὰ ἐναντία. τοῦτο μὲν οὖν ὅπερ ἔφην οὔπω τῆς Ἱπποκράτους ἄξιον τέχνης, ὡς χρὴ κενοῦν αἵματος, οἷς διὰ πλῆθος αἵματος ὁ κίνδυνος. ὅτῳ δὲ χρὴ τρόπῳ τὴν κένωσιν ποιεῖσθαι, καὶ ἐν ὅτῳ καιρῷ, καὶ μέχρι τοσούτου μᾶλλον ἐβουλόμην ἄν μοι διαλέγεσθαι. τὸ γὰρ ἐπίστασθαι ἡνίκα μὲν χρὴ τέμνειν τὴν ἐν τῷ μετώπῳ φλέβα, ἡνίκα δὲ τὰς παρὰ τοὺς κανθοὺς τῶν ὀφθαλμῶν, ἢ τὰς ὑπὸ τῇ γλώττῃ, ἢ τὴν ὠμιαίαν ὀνομαζομένην, ἢ τὴν διὰ μασχάλων, ἢ τὰς κατ' ἰγνύας, ἢ παρὰ σφυρὸν, ὑπὲρ ὧν ἁπασῶν ἐδίδαξεν Ἱπποκράτης, τοῦτ' ἐγὼ νομίζω τὸν λογισμὸν ἰατρῶν εἶναι. τὸ δ' ὅτι χρὴ τὰ ἐναντία τοῖς ἐναντίοις ἰᾶσθαι, καὶ ὡς τῷ πλήθει ἡ κένωσις ἐναντίον, τοσούτῳ δέω θαυμάζειν, ὥστε καὶ τοῖς ἀλόγοις ζῴοις μετεῖναι φημὶ τῆς ἐννοίας. εἰ δὲ βούλει μικρὸν ἀνοίξας τὰ ὦτα, μᾶλλον δὲ τὴν ψυχὴν, ἀληθῆ λόγον καταδέξασθαι, τῆς πρὸς Ἱπποκράτη δυσμενείας ἐπιλαθόμενος, εἴποιμ' ἄν σοι τι τῆς ἐκείνου τέχνης ἄξιον. ἄχρι μὲν γὰρ τοῦδε, καὶ Διοκλῆς ἠπίστατο, καὶ Πλειστόνικος, Ἡρόφιλός τε καὶ Πραξαγόρας, καὶ Φιλότιμος ἄλλοι τε πολλοὶ τῶν ἰατρῶν. οὐκ αὐτοὶ μὲν ἐξεῦρον, ἑπόμενοι δ' Ἱπποκράτῃ ἡνίκα χρὴ τέμνειν ἑκάστην ὧν εἶπον φλέβα. ὅτι δ' ἀπὸ χολῆς μελαίνης εἰς ὅμοιον αἱμορροΐδι, τοῦτ' οὐκ ἔτι πάντες γιγνώσκουσι, καίτοι σαφῶς Ἱπποκράτους διδάξαντος, ἀλλ' ὅσοι γνησίως ὡμίλησαν αὐτοῦ τοῦ γράμματος οὗτοι μόνοι πῶς μὲν αἱμορροῒς γίγνεται μεμαθήκασι παρ' αὐτοῦ. πῶς δὲ καὶ δυσεντερία, πῶς δὲ καὶ κιρσός, ὅτι τε οὐ διὰ παντὸς ἕκαστον τούτων συνιστάμενον κωλυτέον. ἀλλ' ὅτι ὅτε συνεργητέον, ἢ τῆς φύσεως ἡσυχαζούσης αὐτῇ τὸ πᾶν διατρεπτέον ὅτε οὕτω συμφέρει, τοσοῦτον ἀποδέουσιν οἱ ταῦτα μαθόντες τὴν δυσεντερίαν καὶ αἱμορροΐδα πρὸ τοῦ καιροῦ σπεύδειν ἰᾶσθαι, ὥστε αὐτοὶ μηχανῶνται μὴ δ' ὅλως ὄντα ποιῆσαι. καὶ ἔγωγε πολλοὺς οἶδα καὶ μελαγχολήσαντας, καὶ ἄλλως ἐκμανέντας ἐπὶ ταύταις κενώσεσιν ἰατρῶν ἀμαθείᾳ κωλυθείσαις. οἱ δέ τινες αὐτῶν πλευρίτισι καὶ νεφρίτισιν ἑάλωσαν. ἄλλοι δὲ αἵματος ἤμεσαν ἐκ γαστρὸς, ἢ ἐκ θώρακος ἀνέβηξαν, ἢ παραπληγίαις, ἢ ὑδέροις ἀπώλοντο. ταῦτ' ἐγὼ χρῆναι γινώσκειν φημὶ τὸν ἰατρόν. αὕτη μεγάλη περὶ τὰς κενώσεις τέχνη. τὸ δ' ὅσον χρὴ κενοῦν αἵματος πλεονάζοντος, οὐδὲν μέγα. τί δήποτ' οὖν παρεῖδεν ὁ Ἐρασίστρατος αὐτὸ καθάπερ τι τῶν μεγάλων; ἢ τί ληροῦσιν οἱ πρὸς ἅπαν ἐρίζειν ἑτοιμότατοι, τῆς κενώσεως ἄγνωστον εἶναι φάσκοντες, ὥσπερ καὶ τῶν ἄλλων βοηθημάτων ταὐτὸ κατηγοροῦντες; ἢ τινὸς, ὦ πρὸς θεῶν, ἀκριβῶς οἷόν τε τὸ μέτρον λαβεῖν, ὡς μήθ' ὑπερβάλλειν τὸ ποσὸν, μήθ' ἐλλείπειν; ἆρά γε κλυστῆρος, ἢ τῶν καθαιρόντων τινὸς φαρμάκων, ἢ τῶν οὔρησιν κινούντων, ἢ τροφῆς, ἢ πόματος οὐδενὸς τῶν πάντων; ὥρα τοίνυν αὐτοῖς εἰς ἅπαντα τὴν ὑπο-

ψίαν

ψίαν ἐκτείνουσιν ἡσυχάζειν περὶ πάντων. τί ποτ' οὖν αὐτὸς ὁ Ἐρασίστρατος καθαίρουσι χρῆται φαρμάκοις, καὶ οἶνον δίδωσιν ὕδατι ψυχρῷ κεραννὺς, ἄλλοις τέ τισι τῶν χολερικῶν. ἐνταῦθα μέν γε φορτικὸν ἱκανῶς ἐπαινεῖν τὸν διδάσκαλον Χρύσιππον, ὡς ἐξευρόντα βοήθημα μηδενὶ τῶν ἔμπροσθεν ἐγνωσμένον μόνον διαρκὲς εἰς ἴασιν χολερικῶν ἤδη θανάτῳ πελαζόντων; οὐ γὰρ ἐν τῷ τυχόντι δίδωσιν αὐτῷ καιρῷ, ἀλλ' εἰς ὀξὺ σφόδρα κατήγαγε τὴν χρῆσιν τοῦ βοηθήματος. καὶ οὐ μέμφομαι τοῦτό γε, πάντα ἀκριβῶς ἐστοχάσατο τοῦ καιροῦ. †θαυμαζέτω δὲ ἐκεῖνο πῶς, ἐν οἷς μὲν αὐτὸς εἴρηκεν, εἰ Χρυσίππειόν τι διδάσκει τολμηρὸς ἱκανῶς ἐστὶ, καὶ οὐδὲν ἄρα τηνικαῦτ' αὐτὸν, οὐκ ὀξύτης καιροῦ κατέπληξεν, οὐ τοῦ μέτρου τὸ δύσληπτον, οὐ τοῦ πάθους τὸ κινδυνῶδες, ἀλλ' οὕτως οἴεται σαφῶς τε ἅμα καὶ ἀκριβῶς αὐτό τε τὸ μέτρον καὶ τὸν καιρὸν ἐκδιδάσκειν, ὥστ' οὐ μόνον ἰατροῖς, ἀλλ' ἤδη καὶ ἰδιώταις χρησίμους εἶναι τὰς ὑποθήκας νομίζειν. οἷς δ' ἂν ἵνα δέοι τῶν πρεσβυτέρων ἰατρῶν ἐπαινέσαι τῆς εὑρέσεως, ἐνταῦθα παντάπασιν ἀποδιδράσκει. φέρε δὴ καὶ τοῦτ' αὐτοῖς ἐπιδείξομεν, ὡς παντὸς οὑτινοσοῦν βοηθήματος ἐν φλεβοτομίᾳ τὸ μέτρον εὐληπτότερον. εἰ καὶ γὰρ χρόας μεταβολὴν ἔνεστι πολλάκις τετμηκόσι καὶ διχῶς τοῦτο ποιῆσαι, ποτὲ μὲν τοῦ ῥέοντος αἵματος, ποτὲ δὲ καὶ τοῦ κάμνοντος αὐτοῦ. καὶ λειποθυμίας ἐπὶ πολλῶν παθῶν ὅρος ἐστὶ κενώσεως. καὶ ὁ τόνος τῆς ῥύσεως τοῦ αἵματος ὀκλάζων. καὶ οἱ σφυγμοὶ τρεπόμενοι. καὶ μόνης ταύτης κενώσεως αὐτοκράτορα τὴν ἐξουσίαν ἔχει ὁ ἰατρὸς παύειν ὅτε βούλοιτο, τῶν δ' ἄλλων οὐδεμιᾶς. ἀλλ' εἴθ' ὑπήλατον φαρμακὸν δοίης, εἴτε ἐμετήριον, εἴτε οὔρων κινητικὸν, εἴτε θώρακος, εἴτε κεφαλῆς καθαρτικὸν πρώτη δόσις ἐπὶ σοὶ, τὰ δ' ἐφεξῆς ἡ τύχη βραβεύει, καὶ μέγας ὁ κίνδυνος ἐπὶ φαρμάκων καθαιρόντων δόσεσιν, ἢ μὴ κινηθῆναι τὴν κάθαρσιν, ἢ μὴ ῥᾳδίως ἐκκριθῆναι τὸ συρρέον εἰς τὴν κοιλίαν, ἢ μετὰ πόνων, καὶ δήξεων, καὶ στρόφων, καὶ καταψύξεως, καὶ ἀσφυξίας, καὶ λειποθυμίας ἐκκρίνεσθαι, ἢ ταραχθῆναι μὲν ὅλον τὸ σῶμα σφοδρῶς ὀλίγον δὲ κενωθῆναι, ἢ ὑπερκενωθῆναι. καὶ γὰρ αὖ καὶ τοῦτο γίνεται πολλάκις ἐν τῷδε κακῶν ἔσχατον. οὐ γὰρ ὥσπερ ἐπὶ τῆς φλεβὸς τῆς διῃρημένης ἐπιθεὶς τὸν δάκτυλον εὐθὺς ἔπαυσας, τὸ ῥέον εἰς τὴν γαστέρα παύειν. ἀλλ' ὅμως οὐδεὶς ἰατρῶν ἀφίσταται δόσεως φαρμάκων εὐλαβείᾳ τῶν ἐπιγιγνομένων συμπτωμάτων, ἀλλ' ὡς σφαλεὶς νῦν οὕτω μηκέτι χρῆσθαι προνοεῖται. τί λέγω καθαρτικὰ καὶ φαρμάκων ἰσχυρῶν μνημονεύων διατρίβω, σιτίου παντὸς ἡ διαμαρτία τοῦ μέτρου μέγιστα βλάπτει. θεάσασθαι δὲ ἐστὶν ἐναργῶς τῆς βλάβης τὸ μέγεθος ἐν τοῖς ὑπερινοῖς μὲν καὶ ἀσθενέσι, ταχείας δὲ ἀναθρέψεως δεομένοις. ἐν οἷς τὸ μὲν ἔλαττον ἐνδεῶς τρέφον μαραίνει τὴν δύναμιν, τὸ δ' ὑπερβάλλον ἄχθος ὂν τῇ φύσει μᾶλλον ἢ τροφὴ τελέως ἀπέπνιξέ τε κατέσβεσεν. ἆρ' οὖν ἀποστήσει καὶ τοῦ σιτίον διδόναι, διότι τὸ μέτρον δύσληπτον; οὕτω μέν γε καὶ τοῦ ἰατρεύειν ἀποστήσει παντάπασιν. ὡς οὐδὲν γὰρ εὕροις τῶν κατ' ἰατρικὴν ὃ μὴ συμμέτρου τινὶ τὴν χρείαν παρέχει. φλεβοτομίας δὲ καὶ μόνης, οὐδὲ τοῦτ' ἔχεις μέμψασθαι. ἄμφω τοῦ μέτρου αἱ διαμαρτίαι μεγάλα βλάπτουσιν. αἱ μὲν γοῦν ὑπερβολαὶ βλαβερώταται τίς δ' οὐ φησίν; ἀλλ' οὐκ ἀναγκαῖον ὑπερβάλλειν ἐν ᾧ τοὐλάττονα κίνδυνον. ἔστω γοῦν εἰ τύχη τριῶν κοτυλῶν ἡ σύμμετρος ἀφαίρεσις, εἰ μὲν δ΄. ἀφέλοις ἔβλαψε * μέγιστα. δύο δ' εἰ ἐκκενώσαις ὠφέλησεν μὲν ἱκανῶς, ἔβλαψε δ' οὐδέν. ἔνεστι μὲν γάρ σοι τὴν μίαν ἢ κλυστῆρσιν, ἢ ἀσιτίαις, ἢ τρίψεσιν, ἢ ἱδρῶσιν ἐκκενῶσαι. πρὸς τὸ μὴ δ' εἰ αὖθις αἵματος ἀφελεῖν ἐθέλοις κεκώλυσαι. ἀλλὰ τί πολλὰ λέγω φιλοτιμούμενος ἀντιπαρεξάγειν ἀνθρώποις ἀμαθέσιν, οἳ πρὸς τὸ μηδὲν ἐχόμενον λόγου φλυαρεῖν, οὐδὲ τὰ πρὸς αὐτῶν ἐπαινούμενα γινώσκουσι. θαυμάζουσι μὲν γὰρ τοὺς Ἐρασιστράτου λόγους καὶ τοὔνομα ἐπ' αὐτοῖς †ἐπ' ἐκείνου τίθενται, προσαγορεύοντες Ἐρασιστρατείους, οὕτω δὲ αὐτῶν ἀμαθεῖς εἰσὶν, ὥστε πάντα μᾶλλον, ἢ τὴν ἐκείνου γνώμην ἐξηγοῦνται. περὶ γοῦν φλεβοτομίας οὕτω μακρὰ καὶ ἀλλόκοτα ληροῦσιν, ὡς ἄν τινα μὴ τὴν ἀμάθειαν αὐτῶν μόνον, ἀλλ' ἤδη καὶ τὴν ἀναισχυντίαν θαυμάσαι. σαφῶς γὰρ αὐτοῦ λέγοντος Ἐρασιστράτου ἐν τῷ περὶ αἵματος ἀναγωγῆς, ἐν ᾧ καὶ μόνῳ φλεβοτομίας ἐμνημόνευσε, ὅτι Χρύσιππος ὑπὲρ τοῦ διαρκέσαι τὸν κάμνοντα ταῖς ἀσιτίαις ἀναγκαίως παραληφθησόμενον διὰ τὰς φλεγμονὰς, οὐκ ἀφῄρει τοῦ αἵματος. αὐτοὶ πάντα μᾶλλον ἢ ταῦτα λέγουσιν. εἶτ' οὖν ἐμὲ βούλει προσέχειν ἀνθρώποις Ἐρασιστράτου φλυαροῦσιν αὐτὰς ἔχων τὰς Ἐρασιστράτου φωνὰς, οὐδ' ἐν τὸν τρόπον ἡγοῦμαι προσήκειν. ἀκούσωμεν οὖν αὐτοῦ τῶν φωνῶν. πολύ φησι βέλτιον ὁ Χρύσιππος ἐποίει, οὐ μόνον τὸ παρὸν ἐπιβλέπων, ἀλλὰ καὶ τοῦ ἐπιφερομένου κινδύνου φροντίζων. ἐχόμενος γὰρ τοῦ περὶ τὴν ἀναγωγὴν ὁ περὶ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος ἐκλυθῆναι. σαφῶς γὰρ ἐνταῦθα τὸν κατ' ἔνδειαν κίνδυνον εὐλαβεῖσθαί φησιν αὐτὸν ὃν ἐξ ἀνάγκης ἀκολουθήσειν οἴεται πλείονι χρόνῳ, διὰ τὴν φλεγμονὴν λιμαγχονουμένου τοῦ ἀνθρώπου, καὶ οὐ δέομαι πάλιν ἐνταῦθα ληρούντων Ἐρασιστρατείων διὰ τί προσφέρειν τροφὰς τοῖς φλεγμαίνουσιν ἀνθρώποις εἶπεν, ἀλλ' αὐτὸν Ἐρασίστρατον ἐξηγούμενον ἑαυτὸν ἔχω, δι' ὧν ἔμπροσθεν ἐμνημόνευσα ῥήσεων. ἐκ μὲν τοῦ τρίτου περὶ πυρετῶν ὑπὲρ τῶν ἐπὶ πλήθει γινομένων φλεγμονῶν. ἐκ δὲ τοῦ πρώτου, περὶ τραύματος. ἐν ἀμφοτέροις γὰρ βιβλίοις οὐχ ἅπαξ, ἀλλὰ πολλάκις ὑπὸ τῶν ἀσιτιῶν κενουμένας τὰς φλέβας ἐπιτηδειοτέρας ἔσεσθαί φησι πρὸς τὸ πάλιν εἰς αὐτὰς δέξασθαι τὸ παρεγχυθὲν αἷμα. τί γάρ φησιν; ἀκόλουθον δὲ τούτοις καὶ τὸ μηδὲν προσφέρειν τοῖς τετραυματισμένοις, ὑπὸ τοὺς τῆς φλεγμονῆς καιρούς. κενούμεναι γὰρ αἱ φλέβες τῆς τροφῆς, ῥᾷον παραδέχονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. ὡς κενωτικὸν οὖν βοήθημα ἡ ἀσιτία φλεγμονὰς λύεται. οὐ γὰρ δι' ἄλλο τί φησὶ αὐτὴν ἐπὶ τῶν φλεγμαινόντων παραλαμβάνειν, ἢ ὅτι κενούμεναι αἱ φλέβες ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. εἶτα, ὦ πρὸς θεῶν, κενῶσαι τις τὰς φλέβας βουλόμενος ἐνὸν ἀλύπως καὶ ταχέως τοῦτο ποιῆσαι, μακρὰ κάμνει. οὐκ οἶδα πῶς ἄν τις μᾶλλον ἑαυτῷ περιπίπτων εὑρεθείη. οὐ φλεβοτομῶ φησὶν ἣν ὁ κάμνων ἐξαρκέσῃ τὰς διὰ τὰς φλεγμονὰς ἀσιτίας. τίνος δὲ χάριν τὰ φλεγμαίνοντα λιμαγχονεῖς; ἵνα κενώσω φησὶ τὰς φλέβας. τί οὖν οὐκ ἀπ' ἀρχῆς ἐκένους; ἐγὼ μὲν οὖν ἐλεῶ τῶν ἁμαρτημάτων τὸν ἄνδρα. πρὸς γὰρ οἷς ἐναντίοις ἐστὶν, οὐ τοῖς φαινο-

†θαυμάζω δὲ seu θαυμαζέσθω δέ. †τὰ π

μένοις μόνον ἐπὶ τῶν τέχνην ἔργοις, ἀλλὰ καὶ τοῖς ἑαυτοῦ λόγοις, ἔτι καὶ τοῦτο ἀγνοῶν εὑρίσκεται, τίνος ἕνεκεν ἀσιτίαι παραλαμβάνονται, καί τοι τὴν χρείαν αὐτῶν ἱκανῶς τε ἅμα καὶ σαφῶς Πραξαγόρας ἔφθανεν γεγραφέναι, * πρὸς τὸ μὴ δὲ Ἱπποκράτην παραλιπεῖν, μὴ δὲ Διοκλέα. οὐδὲ οὕτω χρηστός, ὥσθ' ὑπὲρ τοῦ κενῶσαι τὰς φλέβας οἴεται τὰς ἀσιτίας παραλαμβάνεσθαι, καὶ ταύτῃ μόνον βοηθεῖν. εἶτα πρὸς Διός, κενωτικοῦ δεόμενος βοηθήματος ἐπὶ τὸ πάντων ἀσθενέστατον ἀφῖξαι, παρελθὼν τὰ δραστικά, καὶ ταχέως ἄγειν ἐφ' ὃ βούλει δυνάμενα. ἀλλ' ἔστω συγκεχωρήσθω σοι καὶ τοῦτο τὰς ἐπὶ τραύμασι φλεγμονὰς οὕτω θεραπεύειν, ὡς τὰς ἐπὶ πλήθει, τί * ποιήσομεν αὐτὸ τὸ πλῆθος ἐν ταῖς φλεψὶν ἔτι μένον καὶ διατεῖνον αὐτάς, εἰς δὲ τὰς ἀρτηρίας οὕτω παρὸν ὅπως ἰατέον; ἐγὼ μὲν γὰρ ᾤμην ἐπὶ τῶν τοιούτων ἁπάντων ἑτοιμοτάτην εἶναι τὴν διὰ φλεβὸς κένωσιν. ἐπὶ θώρακα φερέσθω τὸ πλῆθος, κινδυνευέτω τι τῶν ἐν τούτῳ ῥαγῆναι ἀγγείων, οὐδ' οὕτως φλεβοτομήσομεν, ἀλλ' ἐρίοις δηλαδὴ διαδήσομεν τὰ κῶλα. καὶ τοῦθ' ἱκανὸν εἶναι δοκεῖ πρὸς θεῶν ἀντισπαστικὸν βοήθημα χρώμενος, οὐκ ἴσθι ὅτι πολὺ τούτου δραστικωτέρα ἀντισπάσεως φλεβοτομία. πολλῶν γοῦν ἀνεπισχέτως αἱμορραγούντων τεμόντες φλέβα τὴν αἱμορραγίαν ἐστήσαμεν. Ἐρασίστρατον δ' οἶμαι καὶ τοῦτ' ἀγνοεῖν. οὐδὲ γὰρ τὸ τυχόν ἐστιν εἰδέναι ποίας ἐπὶ ποίοις μέρεσιν αἱμορραγοῦσιν τμητέον φλέβας. ὅταν οὖν αὐτὴ τὰ μέγιστα δι' ὧν νῦν δεόμεθα, περιῆκε τὸ κενοῦν καὶ τὸ ἀντισπᾶν. τί μέλλεις ἔτι καὶ τρίβεις τὸν χρόνον, καὶ τὸν ἄνθρωπον ἐπιθείβεις ἐνὸν κωλῦσαι καὶ τὴν ῥῆξιν αὐτὴν τῶν ἀγγείων, καὶ τὴν ἐπὶ ταύτῃ φλεγμονήν, καὶ τὰς ὑπὲρ τοῦ τὴν φλεγμονὴν ἰάσασθαι παραλαμβανομένας λιμαγχονίας; εἰ γὰρ τὸ πλῆθος ἐργάζεται τὴν ῥῆξιν, ἐκκενώσας τὸ ἐργαζόμενον, κωλύσεις τὸ ἐσόμενον. εἰ δὲ τοῦτο, καὶ τὴν ἐπὶ τῇ ῥήξει φλεγμονήν. εἰ δὲ τοῦτο, οὐδὲ τῶν ἀσιτιῶν ἔτι χρεία. σὺ δέ μοι δοκεῖς ὥσπερ ἐπιθυμῶν ἀσιτίαν συμβουλεύειν αὐτὸς ἐργάζεσθαι πάθη χρήζοντα λιμαγχονίας, τί δ' ἐνὸν ἦν τὸ λυπῆσον κενώσαντα, μηδὲ ἔχειν πρᾶγμα; καί τοι μάτην πολλὰ κάμνω πρὸς ὑπομνῆσαι σε τὸν λόγον. εἰ γὰρ οὐκ αὐτὸς ἡμᾶς ἐδίδαξας, ἐν τῷ περὶ τῶν ὑγιεινῶν ἔνθα γένεσιν τοῦ κατὰ τὰς φλέβας πλήθους πρότερον ἐφεξῆς γράφεις ἰάματα, σκοπὸν μὲν αὐτῶν ἁπάντων κένωσιν θέμενος, ἄλλην δ' ἄλλῳ συμφέρειν φάσκων. πλὴν ἀλλά γε κενοῦντα τὴν πληθώραν, οὕτως γὰρ ἀξιοῖς καλεῖν τὴν ἐν ταῖς φλεψὶ τροφῆς πλῆθος, καὶ γυμνάσια, καὶ λουτρὰ πλείω, καὶ λεπτὴν εἶναι κελεύεις. οὐ ταὐτὸν δὲ πᾶσι συμφέρειν φῂς βοήθημα κενωτικόν, ὅτι μήτε πάντες εἰθισμένοι χρῆσθαι πᾶσιν, ἀλλ' οἱ μέν, λουτροῖς μᾶλλον, οἱ δὲ γυμνασίοις, οἱ δὲ τοῖς μετὰ δεῖπνον ἐμέτοις, καὶ ὅτι μὴ τοῖς αὐτοῖς ἅπαντες ἁλίσκονται νοσήμασι. ἀλλ' ὁ μέν τις ἐπιληψίαις, ὁ δ' αἵματος πτύσεσι, ὁ δὲ τοῖς καθ' ἧπαρ, ἢ σπλῆνα πάθεσιν. οὐκοῦν οὔτε τὸν ἐπίληπτον ἐπιχειρήσομεν βαλανείοις κενοῦν, ὡς σὺ φῂς, ὀρθῶς τοῦτο κελεύων. οὐδ' ᾧ τι φόβος ἀγγεῖον ἐν θώρακι ῥαγῆναι γυμνάσομεν. κίνδυνος γὰρ δηλαδὴ ταῖς τῶν γυμνασίων συντονίαις, εἰ καὶ μὴ πλῆθος ἦν, ἀλλ' ὡς δι' ἀσθένειαν κατὰ θώρακα ῥαγῆναι γυμναζομένῳ. ὅπως οὖν αὐτὸν ἰασόμεθα δίδαξον ἡμᾶς. ὅτι μὲν γὰρ κενωτέον ἐστὶν ὁμολογεῖς καὶ σύ. κενωτικὰ δ' ἔχομεν βοηθήματα γυμνάσια καὶ λουτρὰ πλείω καὶ λεπτὴν δίαιταν. ἀλλὰ γυμνασίοις μὲν οὐδ' αὐτὸς ἀξιοῖς χρῆσθαι. περὶ δὲ λουτρῶν, σὺ μὲν ὅλως οὐδὲν εἶπας, οὔτ' εἰ χρηστέον, οὔτ' εἰ μὴ χρηστέον ἐπὶ τῶν οὕτως ἐχόντων. ἐγὼ δ' ἐρῶ τὸ φαινόμενον αὐτὸ καὶ τῇ πείρᾳ κεκριμένον. εἰ δέ τι χρὴ καὶ περί σου μαντεύσασθαι, καί σοι τάχα ἂν δόξαν. σὺ γοῦν αὐτὸς ἐν τῷ περὶ αἵματος ἀναγωγῆς συγγράμματι, διαδέσμοις τε ἅμα καὶ ἀσιτίαις χρώμενος ὑπὸ τούτων μὲν ἀντισπᾶσαι τοῦ πλήθους, τοῦ δὲ κενῶσαι βαλανείοις οὐ χρῇ. λογίζομαι γάρ σε φθεγγόντα τὸ λουτρὸν ἐπὶ τῶν ἐρρωγυίας ἤδη φλεβός, οὐ δ' ἔφης εἰ ἐπίδοξος ἡ ῥῆξις ἐθελῆσαι ἂν χρήσασθαι. εἰ δὲ καὶ μὴ σὺ οὕτως ἐγίνωσκες, ἀλλ' ἐμοὶ τὸ φαινόμενον ἀρκεῖ. μεγίστη γὰρ αἱμορραγίαις ἁπάσαις ἡ ἐκ βαλανείου βλάβη, καὶ ἡ αἰτία πρόδηλος, εἴγε δὴ χεῖται μὲν τὸ αἷμα καὶ εἰς ἀτμοὺς λύεται, καὶ τὰ † πνεύματα τοῦ τε θερμαινομένου, ὥστε καὶ εἰς κίνησιν προτρέπεσθαι, καὶ εἰς ὄγκον αἴρεσθαι. μαλακὰ δὲ καὶ ἀσθενῆ ταῖς θερμολουσίαις ἀποτελεῖται τὰ σώματα. πῶς δὴ οὖν οὐκ ἂν ῥᾷστα πάθοι αὐτά γε μαλακώτερα γινόμενα, καὶ τοῦ ῥηγνῦντος αὐτὰ κίνησίν τε ἅμα καὶ ὄγκον προσλαβόντος; οὐκοῦν οὐδὲ ἐν βαλανείοις ἐπιχειρήσομεν κενοῦν οἷς φόβος δι' αἵματος πλῆθος ῥαγῆναι τὰς φλέβας. εἰς λοιπὸν τὸ τρίτον συγκλειόμεθα τῶν κενωτικῶν βοηθημάτων τὴν λεπτὴν δίαιταν. ἄγε δὴ ἐπεὶ δὴ ἐπεὶ δὴ ταύτην αὐτὸς σὺν τρισὶ τρόποις ἐργάζῃ λεπτὰ ἢ μικρὰ καὶ ἄτροφα σιτία προσφέρων, ἢ οὐδ' ὅλως προσφέρων, ἢ ἐμεῖν ἀπὸ δείπνου κελεύων. ἴδωμεν οὖν ὅπως λεπτῶς διαιτήσομεν. ἆρά γε μετὰ δεῖπνον ἐμεῖν κελεύσαντες, ἀλλ' εἰς τὴν ἐν τοῖς γυμνασίοις συντονίαν εὐλαβηθείημεν, εἴπου γέ τι καὶ περὶ τοὺς ἐμέτους ἀδεῶς χρησόμεθα. τοῦτο μὲν οὐδ' ἂν ἰδιώτην λάθοι. λοιπὸν οὖν ἢ ἀσιτίαν προστάξο- * μεν, ἢ μικρὰ καὶ ἄτροφα σιτία δώσομεν. ἀλλ' εἰ καὶ μὴ ἰσχυρῶς τὰ τοιαῦτα, τρέφει γοῦν. ἡμεῖς δ' οὐ προσθεῖναι νῦν ἀλλ' ἀφελεῖν βουλόμεθα. λοιπὸν ἄρα τὴν ἐπίπονον καὶ μοχθηρὰν ὄντως, ὥσπερ τινὰ ἱερὰν ἄγκυραν εἰς ἅπαντα πάθη διαρκῆ, παραληψόμεθα λιμοκτονίαν. εἶτα δηλαδὴ σκώψομεν Ἀπολλώνιον καὶ Δέξιππον ἐπὶ λιμαγχονίᾳ, καί σοι καὶ τοῦτ' αὐτὸς ἐδίδαξε, βούλομαι μᾶλλον ὑπομνῆσαι. καὶ γὰρ αὐτός μοι δοκεῖς αἰσθάνεσθαι περὶ τῆς ἀσιτίας, ὡς οὐ κενωτικοῦ βοηθήματος. ἀποδείξας δὲ πρότερον ὃ βούλομαι τηνικαῦτα δὴ καὶ τῶν παρὰ σοῦ μαρτυρίας μνημονεύσω. ἡ ἀσιτία οὐ δήπου τῶν ὄντων τι πραγμάτων ἐστίν, οὐ μᾶλλον ἢ τυφλότης, ἢ κωφότης, ἀλλὰ πάντα τὰ τοιαῦτα στερήσεις τῶν ὑπαρχόντων εἰσί. αὐτὸ μὲν γὰρ τὸ προσενέγκασθαι σιτία τῶν ὄντων ἐστὶν ὅθεν αὐτὴν καὶ τὸ ἔργον εὑρήσεις ὑπάρχειν θρέψιν τοῦ σώματος. τὸ μὴ προσενέγκασθαι οὐ ταὐτὸν τῶν ὑπαρχόντων ἐστίν, οὔτε ἔργον αὐτοῦ δεῖξαι δυνήσῃ, καθάπερ ἱδρώτων μὲν καὶ φλεβοτομίας, καὶ κλυστῆρος, κένωσιν, ἐδεσμάτων δὲ θρέψιν. μέση τοίνυν ἀμφοῖν ἐστὶν ἡ ἀσιτία τοῦ τε κενοῦν καὶ τοῦ τρέφειν. οὔτε γὰρ τρέφει οὔτε κενοῖ. ὅπως οὖν φησὶν ἀπέθανον πολλοὶ κατ' ἔνδειαν ἀπορίᾳ σιτίων. οὐ τῇ τῶν σιτίων ἀπορίᾳ φήσομεν, ἐπεὶ οὕτω γ' ἂν οὐδὲ τὰ φωλεύοντα ζῷα τροφῆς ἀποροῦντα διαρκεῖν ἐδύνατο. διαρκεῖ δέ γε, καὶ τοῦτ' αὐτὸς ὁ Ἐρασίστρατος λέγει καὶ τὴν αἰτίαν προστίθησιν. ἅπαν γάρ φησι τὸ περὶ τὴν ἐκτὸς ἐπιφάνειαν διαπνεῖσθαι πέφυκεν, ἀλλ' ἢ πλέον ἢ ἧττον ὡς ἂν καὶ μανότητος.

† πνεύματ- ται τὸ

νότητος ἔχει, τοῦ δ' ἧττόν τε καὶ μᾶλλον γίνεσθαι μανὴν τὴν ἐπιφάνειαν, ἄλλαι τέ τινες αἰτίαι καὶ οὐδὲ μιᾶς ἐλάττους αἱ κατὰ θερμασίαν καὶ ψύξιν, καὶ ἡσυχίαν, καὶ κίνησιν τροπαὶ τοῦ σώματος, θερμοῦ μὲν γὰρ ὄντος τοῦ περιέχοντος ἀέρος καὶ τοῦ ζώου γυμναζομένου πλεῖστον ἀπορρεῖν. ἐπὶ δέ γε τοῖς ἐναντίοις, κρύους τοῦ περιέχοντος καὶ ἀκινησίας τοῦ ζώου πυκνοῦσθαι μὲν τὴν ἐκτὸς ἐπιφάνειαν, ἀπορρεῖν δὲ ἢ μηδὲν, ἢ παντάπασιν ὀλίγον. καὶ διὰ τοῦτο μὴ δεῖσθαι τροφῆς τὰ φωλεύοντα. ἅτε γὰρ ψυχρῶν μὲν καὶ ἀργῶν καὶ παχέων τῶν καθ' ὅλον τὸ σῶμα διὰ τὴν ἡσυχίαν γιγνομένων, πυκνουμένης δὲ τῆς ἐκτὸς ἐπιφανείας ἐν τῷ χειμερινῷ κρύει, καθ' ἣν ὥραν φωλεύει τὰ ζῶα μηδὲν ἐκτὸς ἀπορρεῖν. οὐκοῦν οὐδὲ τοῦ πληρώσοντος τὸ κενούμενον δεῖσθαι. χρεία δ' ἦν αὐτῇ τροφῆς, καὶ διὰ τοῦτ' ἐπ' αὐτὴν ἔρχεται τὰ ζῶα τὴν ἐκ τῆς κενώσεως ἔνδειαν ἰώμενα. σαφὲς οὖν ὅτι τῆς μὲν ἐνδείας ἡ καθ' ὅλην τὴν ἐπιφάνειαν κένωσις αἰτία, καὶ χρείας σιτίων ὑπὲρ τοῦ τὸ κενούμενον ἀναπληρῶσαι. τῆς οὖν αἰτίας ἀπολλυμένης δι' ἣν ὅλως ἐδεῖτο τὰ ζῶα σιτίων, ἀνάγκη πᾶσα καὶ τὴν χρείαν συναπόλλυσθαι; καὶ διὰ τοῦτο οὐ δεῖται τὰ φωλεύοντα σιτίων, ὅτι μηδὲ προσθέσεως. σαφῶς οὖν ἐμάθομεν ὡς οὐχ ἡ ἀσιτία κενοῦν πέφυκεν, ἀλλ' ἡ τοῦ δέρματος μανότης. εἰ δὲ τοῦτο πυκνώσαις ἡσυχίᾳ καὶ κρύει, τί τῆς λιμαγχονίας ἔτ' ὄφελος; καὶ μὴν ἀναγκαῖον ἄμφω φυλάξασθαι καὶ τὰ γυμνάσια καὶ πᾶσαν ἀλέαν, ᾧ κίνδυνος αἷμα πτύσαι. τὰ μὲν γὰρ τῇ συντονίᾳ ῥηγνύναι πέφυκε τὰς φλέβας. αἱ θερμασίαι δὲ καθ' ὃν λόγον καὶ τὰ λουτρά. μὴ θερμαίνων μὲν ἄρα κενώσεις τὸ σῶμα, θερμαίνων δὲ ἢ γυμνασίοις ἢ λουτροῖς μέγιστα βλάψεις τὴν πρὸς τὸ ῥήγνυσθαι τῶν φλεβῶν αὐτῶν ἐπιτηδειότητα. τί δὴ λοιπὸν ἔτι συμβουλεύσομεν τοῖς ὧδε κάμνουσιν. αἱ μὲν γὰρ ἀσιτίαι χωρὶς τοῦ γυμνάζεσθαι τὸν ἄνθρωπον, ἢ ἄλλως ὁπωσοῦν θερμαίνεσθαι, κενοῦν οὐ δύνανται. φλεβοτομίαν δὲ ὡς ἐοίκαμεν ἐσχάτως φεύγομεν, ὥσπερ οἶμαι καὶ τὰς ἰσχυρὰς καθάρσεις. θαυμαστὴ γε ἡ εὐπορία τῶν κενωτικῶν βοηθημάτων εἰς ἀσιτίαν κατακλεισθέντων. εἰ δὲ μόνῃ χρησόμεθα πλεῖον οὐδὲν ἕξομεν, οὐ γὰρ κενοῖ μόνη, σὺν ᾗ κενοῦν πέφυκε μείζονα ταῦτα τὰς ἄλλας βλάβας τῆς ἐκ τοῦ κενοῦν ὠφελείας ἔχει.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΛΕΒΟΤΟΜΙΑΣ

ΠΡΟΣ ΕΡΑΣΙΣΤΡΑΤΕΙΟΥΣ ΤΟΥΣ ΕΝ ΡΩΜΗ.

Ὅτε τὸ πρῶτον ἧκον εἰς Ῥώμην, εὗρον τινὰς ἰατροὺς εἰς τοσοῦτον φυλαττομένους φλεβοτομίαν, ὥστε ἐνίοτε διὰ πλῆθος ἀνθρώπου πνιγομένου, μηδὲ τότε χρῆσθαι τῷ βοηθήματι, καί τινα γυναῖκα τῇ μὲν ἡλικίᾳ σχεδὸν ἐτῶν κά. ἐξ ἐπισχέσεως τῆς ἐμμήνου καθάρσεως ἐρυθρόν τε τὸ πρόσωπον ἔχουσαν καὶ βήττουσαν ἀτρέμα καὶ δυσπνοοῦσαν ἤδη πως σμικρὰ διαδοῦντας ἐρίοις δεσμοῖς τὰ κῶλα, καὶ ἀσιτεῖν κελεύοντας, οὔτε δὲ αὐτοὺς φλεβοτομοῦντας, ἡμᾶς τε κωλύοντας, ἐπεὶ ὡς συνήθεις ἦσαν τοῖς οἰκείοις τῆς γυναικὸς, καὶ πρεσβύτεροι μᾶλλον ἐπιστεύοντο. πείθειν δὲ αὐτοὺς ἔτι περὶ τῆς φλεβοτομίας οὐδὲ ἐπεχείρησα, προσανηρώτησα δ' εἰ μὴ κωλύοιεν ἐρεθίζειν ἐπὶ μήτραν τὸ αἷμα τοῖς τοῦτ' ἐργάζεσθαι δυναμένοις φαρμάκοις. ὡς δὲ συνεχώρησαν ἑτοίμως τὴν συνήθη τῇ καμνούσῃ μαιεύτριαν ἐξευρὼν ἐπὶ τὴν χρῆσιν αὐτῶν προὔτρεπον. ἡ δὲ κεχρῆσθαι καθ' ὃν ἐχρῆν καιρὸν ἔλεγεν, ἡνίκα ἐπίδοξος ἡ ἔμμηνος ἦν ἔσεσθαι κάθαρσις. ἐμέμνητό τε τῶν φαρμάκων, ἃ προσενήνοχε τῇ γυναικὶ δοκίμων ἁπάντων ὄντων, ὡς μὴ δόξαι τινὰ τῇ τούτων ἀσθενείᾳ τὴν βοήθειαν ἄπρακτον γενέσθαι. ταῦτα τε οὖν ἐγὼ πυθόμενος ἔτι τε πρὸς τούτοις ὅτι τέταρτος εἴη μὴν πεπληρωμένος τῆς ἐπισχέσεως τοῦ αἵματος, αὖθις ἐντυχὼν τοῖς ἰατροῖς ἐπεχείρουν πείθειν ἐπὶ τὴν φλεβοτομίαν ἀφικέσθαι. μὴ βουληθέντων δὲ, θαυμάζων εἰ διὰ μὲν τῆς μήτρας ἐκκενῶσαι τὸ περιττὸν αἷμα σπουδάζουσιν, ἀναστομωσάντων δηλαδὴ φλέβας ἐνταῦθα πολλὰς, ἄλλης δέ τινος φλεβὸς τμηθείσης, ἡγοῦνται βλαβερὰν ἔσεσθαι τὴν κένωσιν. τῶν δὲ εἰπόντων ὑπὸ μόνης τῆς ἀσιτίας κενωθῆναι δύνασθαι τὸ πλεονάζον αἷμα, χωρὶς τοῦ προσαχθῆναι βοήθημα τοιοῦτον, σιωπήσας ἀπηλλαττόμην, οὐδὲν χρηστὸν ἐλπίζων ἐπὶ τῇ γυναικὶ, διά τε τὴν βῆχα καὶ τὴν δύσπνοιαν. ἢ γὰρ αἷμά τι πτύσειν αὐτὴν ἐκ θώρακος, ἢ πνεύμονος, ἀγγείου ῥαγέντος, ἢ πάντως γε συναγχικὴν, ἢ πλευριτικὴν, ἢ περιπνευμονικὴν ἔσεσθαι προσεδόκουν. ἐβουλόμην τε μᾶλλον, ὡς ἐν κακῶν αἱρέσει, πλευριτικὴν γενέσθαι τὴν γυναῖκα, δεδιὼς τῆς μὲν ἐν συνάγχῃ τε καὶ περιπνευμονίᾳ τὴν ὀξύτητα τοῦ κινδύνου, τῆς δὲ, ἐν τῷ πνεύμονι ῥήξεως ἀγγείου, τὸ θανατῶδες, ὅπερ οὖν καὶ συνέβη γενέσθαι. βηξάσῃ γὰρ αὐτῇ συντονώτερον αἷμα συνανήχθη. καὶ ἤδη καὶ τῶν ἰδιωτῶν οὐκ ὀλίγοι τοῖς κωλύσασι φλεβοτομηθῆναι τὴν ἄνθρωπον ἐμέμφοντο. καὶ πάντως, εἰ καὶ μὴ πρόσθεν, ἀλλὰ νῦν γοῦν, ἤλπιζον αἰδεσθέντας αὐτοὺς συγχωρῆσαι τῷ βοηθήματι. τῶν δὲ μηδὲ τότε ἐπιτρεπόντων, ἀλλὰ τά τε τῶν κώλων δεσμὰ ἐπισφίγγειν σφοδρότερον ἀξιούντων, ἐρεθίζειν τε διὰ μήτρας, ἐπιμένειν τε ταῖς ἀσιτίαις, ἐγὼ μὲν ἐχωρίσθην, ὡς ἂν μηδὲν ἀνύσειν ἐλπίζων, διά τε τὴν ἡλικίαν τῶν ἀνδρῶν, καὶ τὴν δόξαν. ἡ γυνὴ δ' ἀπέθανεν οὐ μετὰ πολὺν χρόνον, ἀνιάτῳ δυσπνοίᾳ συσχεθεῖσα. καὶ μετὰ δὴ καὶ συναγχικῶν ὑπὸ τῶν αὐτῶν τούτων ἰατρῶν κωλυθέντων φλεβοτομῆσαι διὰ ταχέων ἀποθανόντων. καὶ πάλιν ἄλλον τινὰ, ἦρος ὥρᾳ, δι' ὅλου δὲ τοῦ χειμῶνος ἐμπεπλησμένον ἄνευ γυμνασίων, ἐρυθροὺς δὲ οὕτω τοὺς ὀφθαλμοὺς ἔχοντα, καὶ τὸ πρόσωπον ὅλον, ὡς εἰ καί τις μὲν ἐρείσας χαμαὶ τὴν κεφαλὴν, ὑψηλὰ δ' ἀνατείνας τὰ σκέλη, χρονίσει ἐν τούτῳ τῷ σχήματι, πεμπταῖος οὗτος δυσπνοήσας ἐπνίγη. τετάρτην ἐπὶ τούτων γυναῖκα τῆς ἐμμήνου καθάρσεως ἐπεσχημένης οὐκ ὀλίγου χρόνου κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ θάνατον ἐπωδήγουν οἱ τῆς φλεβοτομίας ἐχθροί. τὰς τρεῖς μὲν ἡμέρας ἐν πρώταις ἐν ἀσιτίᾳ φυλαξάντων, καὶ γὰρ καὶ ὁ πυρετὸς ἦν αὐτῇ συνεχής. τῇ τετάρτῃ δὲ δόντων αὐτῇ ὀλιγοστόν τι ῥοφήματος, εἶτα τῇ πέμπτῃ πάλιν ἀσιτεῖν κελευσάντων, ἐν ᾗ καὶ παροξυνθεῖσα σφοδρότερον ἀνεπήδησε παραφρονοῦσα, καὶ διὰ τῶν θυρῶν ἐκτὸς ἔθει κεκραγυῖα, καὶ μόγις αὐτὴν οἱ παρόντες ἠδύναντο κατέχειν. ἀλλὰ ταύτην γε ἡ φύσις ἔσωσεν, αἷμα ἐκ μυκτήρων ἐκχέασα

πάμπολυ. καὶ ἦν θαυμάσαι τε ἅμα καὶ διδαχθῆναι πηλίκην ἔχει δύναμιν εἰς τὴν τῶν τοιούτων παθημάτων ἴασιν αἵματος ἀφαίρεσις. αὐτίκα γοῦν ἐπὶ τῇ διὰ τῶν μυκτήρων αἱμοῤῥαγίᾳ πάντων ἀπήλλακτο τῶν συμπτωμάτων ἡ γυνή. ἔμπροσθεν μὲν οὖν ἐδεδίειν εἰς λόγους ἰέναι τοῖς ἰατροῖς, εἰκάζων ἃ μέλλουσιν ἐρεῖν εἰς τὸ μὴ χρῆσθαι τῇ φλεβοτομίᾳ. φανερῶς δὲ δόξασης ἅπασι σωθῆναι τῆς γυναικὸς ἐπὶ τῇ κενώσει τοῦ αἵματος, ἀνεμίμνησκε αὐτοὺς τῶν ἀποθανόντων, ὡς εἰ καί τις ἐκείνους ἐφλεβοτόμησεν, ἴσως ἂν ἐσώθησαν, ἔλεγόν τε τινὰς ἐπὶ τούτων λογισμούς, οἱ δὲ περιέπλεκον μὲν ἄνω καὶ κάτω τοὺς λόγους ἑλίττοντες, ἐπέραινον δ' οὐδέν, ἀλλὰ καὶ τελευτῶντες ἐπὶ τὸν Ἐρασίστρατον κατέφευγον ἐν μὲν τῷ περὶ αἵματος ἀναγωγῆς βιβλίῳ, φάσκοντες ἀποδεδεῖχθαι πρὸς αὐτοῦ κάλλιον εἶναι τοῦ φλεβοτομεῖν τὸ διαδεῖν τὰ κῶλα, κατά τε τὴν περὶ τῶν πυρετῶν πραγματείαν, μὴ δὲ ἐπιμνησθῆναι τὴν ἀρχὴν τῆς φλεβοτομίας αὐτόν, ὡς ἂν ὧν δὴ ἔδειξεν ἐν τῷ περὶ αἵματος ἀναγωγῆς μεμνημένον. καὶ γὰρ ἂν ἦν ἔφασαν γελοῖος εἰ παραιτησάμενος τῆς φλεβοτομίας ἐπὶ τοῦ μάλιστα δεῖσθαι δοκοῦντος πάθους ἔμελλεν ἔτι περὶ τῶν ἄλλων ἐρεῖν. τὸν αὐτὸν δὲ τοῦτον Ἐρασίστρατον οὐ μόνον ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ σεσιγηκέναι περὶ τῆς φλεβοτομίας ἔλεγον, ἀλλὰ κἂν ταῖς ἄλλαις ἁπάσαις. οὔτε γοῦν ἐν τῇ τῶν κατὰ τὴν κοιλίαν παθῶν, οὔτε ἐν τῇ τῶν παρέσεων, οὔτε ἐν τῇ περὶ ποδάγρας, ἀλλ' οὐδὲ ἐν τῇ τῶν ὑγιεινῶν κεχρῆσθαι φλεβοτομίας. καίτοι τὸ πλῆθος γε τοῦ αἵματος ἐν τοῖς ὑγιεινοῖς συγγράμμασι μάλιστα αὐτὸν αἰτιᾶσθαι τῶν νόσων. ἐμοῦ δ' ἀποθαυμάζοντος τε τὰ λεγόμενα, καὶ τοσοῦτον ἔτι προσανερωτήσαντος αὐτούς, εἰ μηδέ ποτε χρηστέον ἐστὶ φλεβοτομίᾳ, μηδ' ἂν περιπνευμονικός τις ᾖ, ἢ συναγχικῶς πνιγόμενος τύχῃ. μηδ' ἂν ἐξ ἐπισχέσεως ἐμμήνου καθάρσεως, ἢ αἱμοῤῥοΐδος ἐπὶ θώρακα ὠθεῖται τὸ πλεονάζον αἷμα. καὶ πρὸς τούτοις ἀπεκρίναντο προχειρισάμενοι τοὺς ἐν τοῖς τῶν διαιρέσεων βιβλίοις Ἐρασιστράτῳ γεγραμμένους ἀῤῥώστους, καὶ μάλιστα αὐτῶν τὸν Κρίτωνα, καὶ τὴν ἐκ τῆς Χίου παιδίσκην. τὸν μὲν γὰρ ἐξ ἀρχῆς συναγχικῶς ἐνοχλούμενον, ἅμα δὲ καὶ πληθωρικὸν ὄντα, καθάπερ αὐτὸς ὁ Ἐρασίστρατος ἔγραψεν. τὴν δέ, τῶν καταμηνίων ἐπεσχημένων καὶ τοῦ πλήθους ὁρμήσαντος ἐπὶ πνεύμονα μὴ φλεβοτομῆσαι τὸν ἄνδρα. λεγόντων δ' αὐτῶν ἔτι ταῦτα, Τεύθρας τις ἐμὸς πολίτης ἅμα καὶ συμφοιτητής, ἦν δὲ πάνυ τὸν τρόπον ἐλεύθερος, οὐ καύσεις ἔφη τούτους ποτέ, τοὺς μὴ δ' ἄχρι τοσούτου σωφρονοῦντας, ὡς μεμνῆσθαι τῶν διὰ Ἐρασίστρατον ἀποθανόντων. διὰ τί γὰρ ἄλλο ἔφη τοὺς προκεχειρισμένους ὑπ' αὐτῶν ἀῤῥώστους ἀποθανεῖν συνέβη, πλὴν ὅτι παρελείφθη τὸ τῆς φλεβοτομίας βοήθημα; διὰ τί δ' ἄλλο τοὺς πρὸ ὑπὸ τούτων κωλυθέντας κενωθῆναι; καὶ πάντας ἑξῆς αὐτοὺς ὀνόματι κατέλεξεν ἅμα ταῖς διαθέσεσιν ἃς ἔσχον, ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα. καὶ ταῦτα μειδιῶν ἀνελιττόμενος τὴν χεῖρα, καὶ βίαιον ἐπισπασάμενος ἀπῆγε τῶν ἰατρῶν. τῇ δ' ὑστεραίᾳ προκομίσας τὰ τῶν διαιρέσεων Ἐρασιστράτου βιβλία, τοῖς φιλοσόφοις ἅπασιν ἀνεγίνωσκε, ἅμα μὲν ἐπιδεικνὺς ὅτι διὰ Ἐρασίστρατον ἀπέθανον ἥ τε ἐκ τῆς Χίου παιδίσκη, καὶ Κρίτων, ἅμα προσκαλούμενος τοὺς πρεσβύτας ἰατροὺς εἰς διάλογον. ἐκεῖνοι μὲν οὖν οὐκ ἀφικνοῦντο, μικρότερον ἑαυτῶν εἶναι νομίζοντες ἁμιλλᾶσθαι νεανίσκῳ. συνέβη γάρ πως ἐν ἐκείνῳ τῷ χρόνῳ, καθ' ἑκάστην ἡμέραν εἰς τὰ προβαλλόμενα λέγειν ἐν πλήθει. προεβλήθη μὲν οὖν ὑπό τινος, εἰ δεόντως Ἐρασίστρατος οὐ κέχρηται φλεβοτομίᾳ. διῆλθον δ' ὡς ἔδοξε τοῖς τότε ἀκούσασιν ὠφελιμώτατον πρόβλημα. διὸ καὶ παρεκάλεσεν ὁ Τεύθρας ὑπαγορεῦσαι μεταλελεγμένα τῷ πρὸς αὐτοῦ πεμφθησομένῳ παιδί. καὶ γάρ τοι καὶ μέλλων εἰς τὴν Ἰωνίαν ἐπιδημῆσαι καὶ ἐξορμήσασθαι πάντως ἔφασκεν ἔχειν αὐτὰ βούλεσθαι. ἐγὼ μὲν οὖν ἐπείσθη τε τῷ ἑταίρῳ, καὶ τὸν λόγον ὑπηγόρευσα. συνέβη δ' ἐκπεσεῖν εἰς πολλοὺς τὸ βιβλίον, οὐ κατὰ τὴν γνώμην ὑπ' ἐκείνου διαδοθέν. ὁ γὰρ τοι λόγος οὐ συγγράμματι πρεπόντως, ἀλλ' ἀκουστηρίῳ συνέκειτο δεηθέντος τοῦ φίλου καθ' ὃν ἐῤῥέθη τρόπον, οὕτως αὐτὸν ὑπαγορευθῆναι. ἀλλὰ καὶ τοιοῦτος ὢν καὶ πολλὰ λείποντα ἔχων ὡς τὸ τέλεον, ὅμως ἔοικεν ἠνυκέναι μεῖζόν τι τῆς ἐλπίδος. ἐπὶ γὰρ τοὐναντίον ἀφιγμένοι πάντες εἰσὶν οἱ νῦν ὀνομάζοντες ἑαυτοὺς Ἐρασιστρατείους, ἐφεξῆς τε φλεβοτομοῦσιν ἅπαντας, οὐ μόνον οὓς ὀλίγον ἔμπροσθεν εἶπον, ἀλλὰ καὶ τοὺς ὁπωσοῦν πυρέττοντας. ὥστε κατὰ τὸν Στησίχορον ἔοικα δεήσεσθαι παλινῳδίας τινός, ἐν ᾗ παρακαλέσω τοὺς ἄνδρας. ἐπὶ μὲν τὴν κατὰ τοὺς λόγους διατριβῶν ἐρίζειν, εἰς ὅσον βούλονται, φείδεσθαι δὲ τῶν ἀῤῥώστων ἀφεμένους τὸ σφοδρὸν τοῦ τῆς ἐφ' ἑκάτερον ὁρμῆς. οὔτε γὰρ ἀπέχεσθαι χρὴ φλεβοτομίας διὰ παντός, οὐδ' ἡγεῖσθαι πάντας, ὅσους ἂν Ἐρασίστρατος ἀσιτεῖν κελεύῃ, δεῖσθαι φλεβοτομίας, ὥσπερ οἱ νῦν Ἐρασιστράτειοι φασίν. οὐ μὴν οὐδὲ ῥᾷστόν ἐστιν πάντας τοὺς χρῄζοντας τοῦ βοηθήματος διαγνῶναι, καθάπερ οὐδὲ τὸ μέτρον εὑρεῖν, ἢ τὴν τμηθησομένην φλέβα, καὶ τὸν καιρόν. τόν τε Ἐρασίστρατον αὐτὸν διὰ τοῦτο οἶμαι παραλιπεῖν ἐφ' ἑκάστου τῶν παθῶν, ὡς γε σαφῶς ἐν τῷ μάλιστα δεομένῳ φλεβοτομίας ἐκώλυσε χρῆσθαι. ἀλλά τοι φασὶν ἀσιτεῖν κελεύων ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς αὐτοῖς ἔγραψε κατὰ λέξιν ὧδε. κενούμεναι γὰρ φλέβες ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. τούτου δὲ συμβαίνοντος ἧττον αἱ φλεγμοναὶ ἔσονται. εἴπερ οὖν ὡς κενωτικὸν βοήθημα τὴν ἀσιτίαν συμβουλεύει, πολὺ δήπου φασὶ μᾶλλον ἐπὶ φλεβοτομίας ἀφίξεται. ὅτι μὲν οὖν ἐπὶ φλεβοτομίαν ἐχρῆν ἔρχεσθαι μᾶλλον αὐτόν, ἔνθα ταχέως κενῶσαι βούλεται, κάλλιστα λέγουσι, πλὴν ὅτι κἀνταῦθα παραλείπουσι τοὺς κωλύοντας ἐνίοτε σκοπούς, ὧν τοῦ λόγου προϊόντος ἐγὼ μνημονεύσω. ζητεῖται δὲ νῦν οὐχ ἁπλῶς τί βέλτιον ἐστιν, ἀλλ' εἰ φαίνεται χρώμενος Ἐρασίστρατος τῷ βοηθήματι. τοῦτο δ' οἱ μὲν ἔμπροσθεν ἡνίκ' ἧκον εἰς Ῥώμην τὸ πρῶτον ἅπαντες ἠρνοῦντο τῶν Ἐρασιστράτου μαθητῶν, †οὓς δοκιμωτάτους ὡς αὐτὸς οἶδα νῦν ὡς σμικρῷ τινὶ παραλλάττουσιν αὐτοῦ. ἵνα γὰρ ἐάσας τοὺς ἄλλους Στράτωνος μνημονεύσω, διὰ παντὸς μὲν Ἐρασιστράτῳ συγγενομένου, γράψαντος δ' ἐπὶ τῆς οἰκίας αὐτοῦ, καὶ διὰ τοῦτο λεγομένου δεδουλευκέναι τῷ ἀνδρί. τά τ' ἄλλα φησὶν ἐκεῖνος Ἐρασίστρατον ἐπαινεῖσθαι δίκαιον ἐστί, καὶ ὅτι χωρὶς φλεβοτομίας ἐθεράπευεν ἃ μετὰ τοῦ φλεβοτομεῖν οἱ πρόσθεν ἐπεχείρουν ἰᾶσθαι. καὶ μέν τοι καὶ αὐτὸς ὁ Στράτων φαίνεται διὰ τῶν ἰδίων συγγραμμάτων ἀεὶ τὰς θεραπείας χωρὶς φλεβοτομίας ποιούμενος. καὶ τί θαυμαστὸν Ἐρασίστρατον ἐπειδὴ τὰ πάντα Χρυσίππῳ τῷ κνιδίῳ προηρημένον ἀποστῆναι τοῦ φλεβοτομεῖν ὥσπερ κἀκεῖνος, οὕτω δὲ καὶ Ἀριστογένης, καὶ Μήδιος, οἵ τ' ἄλλοι πάντες οἱ ἀπὸ τοῦ Χρυσίππου φαίνονται ποιοῦντες. ὅσον μὲν οὖν

τοὶ δὲ δοκιμώτατοι οὓς

ἐπὶ τῷ

ἕνεκα τῆς τῶν καμνόντων σωτηρίας, πολὺ βέλτιόν ἐστι πειρᾶσθαι φλεβοτομίᾳ χρῆσθαι τὸν Ἐρασίστρατον. ὡς δ' ἕνεκα τοῖς νῦν Ἐρασιστρατείοις, ἄμεινον μὴ πειρᾶσθαι. μανίας γὰρ ἐσχάτης οἴεσθαι ἔργον διὰ τὸ τὸν Ἐρασίστρατον ἐφ' ὧν εἰρήκαμεν ὀλίγον ἔμπροσθεν παθῶν σεσιγηκέναι τὴν φλεβοτομίαν, ὅτι κενοῦσθαι τὰς φλέβας ἀξιοῖ, καὶ αὐτοὺς τίθεσθαι τῆς θεραπείας * τὸν σκοπόν, ὅγε τοι τούτῳ παραδοὺς ἐφ' ὧν ἂν εὕροι παθῶν Ἐρασίστρατον ἀσιτίαν συμβουλεύοντα, πρόδηλον γὰρ ὡς * τοῦθ' ἕπεται τοῖς ὁμότιμον εἰποῦσιν εἶναι βοήθημα τὴν φλεβοτομίαν ταῖς ἀσιτίαις, εἰ δ' οὐκ ἔστιν ὁμότιμον, ἀλλὰ δεῖται τινῶν διορισμῶν, οὓς ὁ μαθὼν ἐξευρήσει, πηνίκα μὲν ἄμεινόν ἐστι διὰ φλεβοτομίας μόνης τὴν κένωσιν ποιεῖσθαι, πηνίκα δ' ἤτοι διὰ ἀσιτίας μόνης, ἢ δι' ἀμφοτέρων, καταβάλλεται φανερῶς αὐτοῖς ὁ λόγος. ἔγραψε γὰρ ὁ Ἐρασίστρατος τοὺς διορισμοὺς ἐκείνους, εἴπερ, ὥς οὗτοί φασιν, ἔδοξε περὶ τῆς φλεβοτομίας ὡς ὁ λόγος αὐτοῦ ἑαυτὸν περιτρέπει καθ' ἑκάτερον. εἰ μὲν γὰρ ὁμότιμόν ἐστι διὰ τοῦτο παρέλιπεν ὁ Ἐρασίστρατος, ἔν τε τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ, καὶ ταῖς ἄλλαις, ὧν ὀλίγα ἔμπροσθεν ἐμνημόνευσα, γράψαι τι περὶ φλεβοτομίας. εἰ δ' οὐκ ἔστιν ὁμότιμον πάντη τὸ τῆς φλεβοτομίας βοήθημα τῷ τῆς ἀσιτίας, οὐκ ὀρθῶς αὐτοὶ λέγουσιν ἐξ ὧν ἕνεκα τῆς ἀσιτίας ἔγραψεν, εἰς τούτων ἡμᾶς χρῆναι τεκμαίρεσθαι περὶ τῆς φλεβοτομίας. καὶ μὴν κατὰ τοῦτο πάλιν ὁ λόγος αὐτοῦ ἑαυτὸν περιτρέπει τὴν ἀσιτίαν ἀποφαίνων ἄχρηστον. εἴπερ γὰρ ὅτι κενουμέναις ταῖς φλεψὶν ἐν ταῖς ἀσιτίαις ἕπεται τὸ μειοῦσθαι τὰ πάθη, διὰ τοῦτο αὐτὰς παραληψόμεθα, πολλῷ βέλτιόν ἐστιν ἅπαξ ἐκκενώσαντας τὸ περιττὸν ἀπέχεσθαι τῶν ἀσιτιῶν, ἀηδίαν τε πολλὴν παρεχουσῶν τοῖς κάμνουσι, καὶ ἀγρυπνίαν, καὶ ἄσην ἐπιφερουσῶν, ἔτι τε στομάχου κάκωσιν, καὶ χυμῶν διαφθοράν, καὶ γαστρός, ἐνίοτε καὶ οὔρων ἐπίσχεσιν. ὅτι δὲ ὄντως Ἐρασίστρατος οὐ κέχρηται τῇ φλεβοτομίᾳ, δῆλον ἐναργῶς ἐστιν ἐκ τῶν ἐν τοῖς διαιρέσεων βιβλίοις γεγραμμένων ἀρρώστων, ἐφ' ὧν διηγούμενος ἅπαντα τὰ πραχθέντα κατὰ τὴν θεραπείαν οὐδαμοῦ φαίνεται φλεβοτομίας μνημονεύων. ἅπαντας μὲν οὖν αὐτοὺς προχειρίζεσθαι μακρόν, ἀρκεῖ δ' ἀναμνῆσαι μόνων ἐκείνων, ὧν ὀλίγον ἔμπροσθεν ἔφην τοὺς πρεσβύτας ἰατροὺς μνημονεῦσαι. γέγραπται δ' αὐτῶν ὁ μὲν ἐν τῇ προτέρᾳ τῶν διαιρέσεων, ὁ δ' ἕτερος ἐν τῇ δευτέρᾳ. καί τοι καὶ νῦν ἤδη καιρὸς αὐτὰς τὰς λέξεις παραγράψαι, καθ' ἃς ὁ Ἐρασίστρατος ἅπαντα διηγεῖται τὰ γινόμενα τοῖς ἀρρώστοις. ἐν μὲν οὖν τῷ προτέρῳ τῶν βιβλίων οὕτως ἔγραψε. "τῇ ἐκ τῆς Χίου παιδίσκῃ τὰ μὲν γινόμενα τῶν καθάρσεων τοπρῶτον ἐπεσχέθη ἐπὶ πλείω χρόνον. ἔπειτα εἵπετο τὰ βηχία καὶ ἀναγωγὴ φλέγματος. χρόνου δὲ προϊόντος αἵματος ἀναγωγὴ ἐγένετο, κατὰ τὴν τῶν καθάρσεων περίοδον ἑαυτῇ ἀκολουθεῖ ἐνίοτε μὲν διὰ μηνῶν δ'. ὅτε δὲ διὰ δύο. εἰδέπως ταῖς ἡμέραις ἐν αἷς αἱ καθάρσεις ἐγίνοντο, καὶ ἡ ἀναγωγὴ συνέβαινεν, παρηκολούθει ἐφ' ἡμέρας τρεῖς ἢ τέσσαρας. ὥστε παντάπασιν ἐμφαίνον ὅτι ἀντὶ τῶν καθάρσεων ταύτην τὴν ἔκκρισιν λαμβάνει. ἐπηκολούθει δὲ καὶ πυρετὸς ἐν ταύταις ταῖς ἡμέραις ἔπειτα ἀπεκαθίσατο." ταῦτα προειπὼν ὁ Ἐρασίστρατος ἐφεξῆς γράφει περὶ τῶν ἰαμάτων αὐτῆς ὧδε. "ἐν δὲ τοῖς πρώτοις χρόνοις αὕτη ἐπεχείρησε θεραπεύεσθαι ποτήμασί τε καὶ πυριάσεσι, τῇ ὑστεραίᾳ δὲ καὶ προσθέτοις, καὶ τῇ ἄλλῃ διαίτῃ, πρὸς ταῦτα ἁρμοζούσῃ. ἦν γὰρ δή τις καὶ περὶ τὸ στόμα τῆς ὑστέρας οὐκ ἰσχυρὰ σκληρότης, οὐδαμῶς δὲ οὐδὲν ὑπακούσης τῆς θεραπείας, ἀλλὰ κατά τινα μίαν περίοδον εἰς τὴν ὀσφὺν βάρους ἀπαντήσαντος. ὑγιασίας δὲ οὐδὲ μιᾶς, οὔτε πυρετοὶ συνεχέστεροι ἦσαν, ἢ καὶ τῷ σώματι ὧν ἐνεδίδουν, καὶ βῆχες ἠκολούθουν σφοδραί. τῆς μὲν οὖν περὶ τὴν ὑστέραν θεραπείας ἀπέστημεν, ἐργώδους ὑπολαμβάνοντες εἶναι τῶν πυρετῶν μενόντων καθάρσεις ποιεῖσθαι. τῇ δὲ λοιπῇ θεραπείᾳ χρώμεθα, ὡς εἰθίσμεθα πρὸς τὰ τοιαῦτα τά τ' ἄλλα καὶ πρὸς τὴν θεραπείαν, περίοδον τῶν καθάρσεων προσλαμβανόντων, ὑπεστέλλομεν τὰ σιτία, καὶ ἡ μὲν τοῦ αἵματος ἀναγωγὴ οὐκ ἐγένετο, ἀλλ' ἢ ἅπαξ ἐπὶ βραχύ, ἀλλὰ μέν τοι οὐδὲν ἔφρασεν, ἀλλά πως καὶ ἔτρεχον ἤδη πυώδεις ἀναγωγαί." φλεβοτομίας λόγος ἐνταῦθα οὐδείς, καὶ προσῆκον γ' ἦν, ὡς ἅπαντες ἴσασιν οἱ τῶν ἔργων τῆς τέχνης ἔμπειροι, τὴν ἀρχὴν τῶν βοηθημάτων ἀπὸ φλεβοτομίας ποιεῖσθαι. ἴσως τις φήσει τούτων τῶν ἀπαντῶν ἑτοίμως λέγειν οὐκ ὀκνούντων, ὡς οὐ παρ' Ἐρασιστράτου τῆς θεραπείας προεσταμένου ταῦτ' ἐγένετο. διηγεῖται δ' αὐτὰ νῦν ἡμῖν ἕνεκα τοῦ μηδὲν τῶν πραχθέντων λαθεῖν. ἀλλ' ἐξελέγξει γε τούτους τὸ ἐπιφερόμενον ἔνθα φησί, τῆς μὲν οὖν περὶ τὴν ὑστέραν θεραπείας ἀπέστημεν, ἐργώδους ὑπολαμβάνοντες εἶναι τῶν πυρετῶν μενόντων τὰς καθάρσεις ποιεῖσθαι, τῇ δὲ λοιπῇ θεραπείᾳ χρώμεθα πρὸς τὰ τοιαῦτα, τά τε ἄλλα, καὶ πρὸς τὴν θεραπείαν περίοδον τῶν καθάρσεων προσλαμβανόντων, ὑπεστέλλομεν τὰ σιτία. ἐν τούτοις γὰρ ὁ Ἐρασίστρατος ἐνδείκνυται σαφῶς οὐχ ἑτέρων θεραπείαν διηγούμενος, ἀλλ' ἑαυτὸν συναριθμῶν τε καὶ συνεπιγράφων ἅπασι τοῖς πραχθεῖσι περὶ τὴν ἄνθρωπον. τὸ γὰρ ἀπέστημεν καὶ ὑπολαμβάνοντες, ἔτι τε τὸ χρώμεθα, καὶ τὸ προσλαμβάνοντες, ἔτι τε πρὸς τούτοις τὸ ὑπεστέλλομεν τὰ σιτία, προδήλως ἐνδείκνυται δυοῖν θάτερον, ἤτοι γ' αὐτὸν ἐξηγεῖσθαι τῆς θεραπείας τὸν Ἐρασίστρατον, ἢ τοῖς ὑφ' ἑτέρου γιγνομένοις ἀρέσκεσθαι. καὶ μὴν εἴπερ ἠρέσκετο τοῖς πραττομένοις ἐναργὲς ἂν εἴη τεκμήριον αὐτοῦ τῆς γνώμης, ἣν εἶχε περὶ φλεβοτομίας. τὸ γὰρ ὑποστέλλειν τὰ σιτία δυοῖν τούτοιν τὸ ἕτερον, ἤτοι ἀφαιρεῖν τελέως, ἢ μειοῦν. ὅπερ ἐπὶ τῆς νοσούσης ὁ Ἐρασίστρατος ἔφη πεπρᾶχθαι, καθ' ὃν καιρὸν τῆς καθάρσεως περίοδος ἦν, ὡς ὁμολογεῖ τοῖς ἄλλοις συγγράμμασιν ἅπασιν αὐτοῦ καὶ ταῖς φλεβοτομίαις μὲν οὐδαμόθεν χρώμενος, συμβουλεύων δ' ἀσιτεῖν. εἰ μή τι ἄρα κἀνταῦθα φήσουσι γε φλεβοτομεῖσθαι μὲν τὴν γυναῖκα παραλελεῖφθαι δ' ἐν τῇ διηγήσει τὸ βοήθημα νοούντων ἡμῶν αὐτὸ προσῆχθαι, κἂν μὴ ῥηθῇ. τί δή ποτ' οὖν καὶ περὶ τῆς ἀσιτίας ἐσίγησε νοεῖσθαί τε δυναμένων καὶ ταῦθ' ὁμοίως. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν ποτημάτων, καὶ τῶν πυριάσεων, καὶ τῶν προσθέτων. εἰ γὰρ μηδ' ὅλως ἐγέγραπτο πρὸς Ἐρασιστράτου, πάντως ἂν που συνήκαμεν ὑπὸ τῶν ἰατρῶν αὐτὰ πεπρᾶχθαι. ὡς τό γε συνιέντων πεπραγμένον, εἰ καὶ μὴ ἐγέγραπτο, κοινὸν ἁπάντων ἐστὶ τῶν βοηθημάτων. ἀλλ' Ἐρασίστρατός τε διηγεῖσθαι πάντα προὔθετο, σαφηνείας ἀκριβοῦς ἕνεκεν, ἵνα μή τις τὴν ἐξουσίαν ἔχῃ τὰ μὲν προστιθέναι τῶν βοηθημάτων, ὡς προσαχθέντα τῇ καμνούσῃ, τὰ δ' ἀφαιρεῖν, ὡς παραλειφθέντα, πρὸς τῷ καὶ μάχεσθαι τῇ τούτων δόξῃ, τὴν διήγησιν αὐτοῦ. εἰ γὰρ ὅλως ἐφλεβοτομήθη τὸ γύναιον, ἡ ἀσιτία μάτην παρελαμβάνετο. μᾶλλον δ', εἰ χρὴ τὸ ἀληθὲς εἰπεῖν, οὐ μάτην μόνον, ἀλλὰ καὶ πρὸς κακοῦ. δείξω γὰρ ὀλίγον ὕστερον τοῦτο, νῦν δ' ὅτι μάτην ἁρμόττει πρὸς τὸν ἐνεστῶτα λόγον. ἐπεὶ γὰρ ἐν

περὶ καιρῶν τῆς κατὰ περίοδον καθάρσεως ἐπὶ θώρακα φερομένου τοῦ περιττοῦ, κίνδυνος ἦν αἷμα τι πτύσαι τὴν γυναῖ-
κα, μειῶσαι τὸ πλῆθος ὁ Ἐρασίστρατος βουλόμενος ἐπὶ τὴν ἀσιτίαν ἀφίκετο, περιδήλως ματαίαν οὖσαν, εἴπερ ἡ
φλεβοτομία παρέλειπτο, καθ' ἣν ἐν ἀκαρεῖ χρόνῳ ῥᾷστον ἦν ἐκκενῶσαι τὸ περιττὸν τοῦ αἵματος. οἱ γοῦν θεραπεύον-
τες ἐν Ῥώμῃ τὰς γυναῖκας αὐτῇ τῇ τῶν συμβαινόντων ἐμπειρίᾳ μάλιστα ἐπείσθησαν ἐπὶ μὲν τὴν φλεβοτομίαν ἔρχον-
τες κατὰ τὸν καιρὸν ἐκεῖνον, ᾧ ἐπίδοξος ἡ φορὰ γενέσθαι τῶν καταμηνίων, μήτε δ' ἡσυχίαν προστάσσειν, μήτ' ἀσι-
τίαν, ἀλλὰ καὶ μελίκρατον διδόναι, καὶ τροφῆς ὑγραινούσης δαψιλῶς καὶ λουτροῖς χρῆσθαι συγχωρεῖν, ἐφ' οἷς εἰώ-
†εἰς ταυτὸν θεν εἶναι †σαυτὸν, ὅτε γε μετρίως ἀφαιρεθῶσι τοῦ αἵματος ἡ κάθαρσις ὑποφαίνεται, καὶ μάλισθ' ὅτε κατ' ἰγνὺν πα-
ρὰ σφυρὸν ἡ φλεβοτομία γένηται, ὡς εἴγε φλεβοτομήσας τις ἀσιτεῖν προστάξειεν, οὐ μόνον ἐπέσχητο τῶν ἐμπρο-
σθεν μηνῶν, ἀλλὰ καὶ ταῖς ἀμέμπτως κενουμέναις ἐπισχεθήσεσθαι νῦν καθάρσεις. ξηραίνεται γὰρ ἐν ταῖς ἀσιτίαις
καὶ παχύτερον ἑαυτοῦ γίνεται τὸ αἷμα, καὶ διὰ τοῦτο δύσρουν ἀποτελεῖται. λουομέναις δ' αὐταῖς καὶ μελίκρατον μὲν
προσλαμβανούσαις οὖν ὕστερον δὲ ἤδη σιτία, καὶ πινούσαις οἴνου μήτε παχέος αἱ καθάρσεις ἐπιγίνονται. διὰ τοῦτο
οὖν ἔφην οὐ μόνον ἐκ περιττοῦ παραλαμβάνεσθαι τὰς ἀσιτίας ἐπὶ ταῖς φλεβοτομίαις, ἀλλὰ καὶ πρὸς κακοῦ. τῇ δὲ ἐκ
τῆς Χίου παιδίσκῃ, καὶ ἐξ αὐτῶν τῶν ἐπιγινομένων εὔδηλον οὖν παραλελεῖφθαι τὴν φλεβοτομίαν, αἵματος τε γὰρ
ἔπτυσεν, οὐκ ἄν, εἴπερ ἐκενώθη, πτύσασα, καὶ μετὰ δυσπνοίας ἀπέθανε, οὐκ ἂν οὐδὲ τοῦτο παθοῦσα. μεγίστην δὲ βά-
σανον ἡ φλεβοτομία παρεῖχε κατὰ τοὺς ἡμετέρους καιροὺς ἐν Ῥώμῃ διὰ τὸ πλῆθος τῶν γυναικῶν ὕδωρ ψυχρότατον
ἀπὸ χιόνος πινουσῶν, ἤτοι μηδ' ὅλως, ἢ ἐλλιπῶς καθαίρεσθαι. ἀλλ' ὅμως ταύτας ἰατροὶ φλεβοτομοῦντες ὑγιαι-
νούσας διαφυλάττουσιν, ὡς μήθ' αἷμα πτύσαι, μήτε πλευρίτισιν, ἢ περιπνευμονίαις, ἢ συνάγχαις ἁλῶναι. οὐ-
†ἤκουσ' ἂν κουν οὐδὲ ἐκ τῆς Χίου παιδίσκην †ἤκουσαν ὑπὸ Ἐρασιστράτου φλεβοτομηθῆναι. ὅτε γε ἂν ἐν τῇ τῶν ἄλλων διηγήσει πα-
ρέλιπεν ὡς μικρόν τι βοήθημα τῆς φλεβοτομίας. οὔτ' ἂν ἐκεῖνος διὰ τὴν ἀσιτίαν. οὔτ' ἂν ὅλως ἀπέθανεν ὑπὸ τοῦ πλή-
» θους ἡ γυνὴ πνιγεῖσα. περὶ μὲν δὴ ταύτης ἀρκέσει πρός γε τὸ παρόν. ἐπὶ δὲ τὸν Κρίτωνα μεταβάντες ἤδη παρα-
» γράψωμεν αὐτῇ λέξει τὴν Ἐρασιστράτου διήγησιν, ὧν ἔπαθεν ὁ ἄνθρωπος, ἔχει δὲ οὕτως. Κρίτωνι ἡ μὲν ἀρχὴ τῆς ἀρ-
» ρωστίας ἐγένετο πληθώρα. συνέβη δὲ αὐτῷ ἐμπεσεῖν εἰς πλήθη συναγχικά. ἔστι δὲ τὸ γινόμενον φλεγμονὴ τῶν τε
» παρισθμίων καὶ τῆς ἐπιγλωττίδος. συμβαίνει οὖν τοὺς εἰς ταῦτα ἐμπίπτοντας πνίγεσθαι, καὶ ἐὰν μὴ θᾶττον βοηθῶνται,
» συντόμως ἀπόλλυσθαι. ἐν τούτοις οὖν ὄντος τοῦ Κρίτωνος τῇ μὲν πρώτῃ ἡμέρᾳ βοηθοῦμεν πυριῶντες σπόγγοις τὸν
» εἰθισμένον τρόπον, ὁπότε διαλείποιμεν τὰ καταπλάσματα ἐπιθέμενοι, ὥστε διὰ παντὸς ἐν θεραπείᾳ εἶναι. ἐ-
» δόθη δὲ αὐτῷ καὶ καταπότια τὰ διὰ τοῦ καστορίου πρὸς τὸ τὴν κοιλίαν ὑπάγειν, καὶ πρὸς τούτοις ὑπήκουσεν ἀστείως.
» οὐδένα λανθάνειν οἶμαι τὴν ἐπιμέλειαν τῆς διηγήσεως ἁπάντων τῶν πραχθέντων ἐπὶ τοῦ Κρίτωνος, καὶ γὰρ διὰ
» τῶν σπόγγων πυρίαν εἶπε, καὶ τὴν τῶν καταπλασμάτων χρῆσιν, ἔτι τε τὴν τῶν καταποτίων. ἆρ' οὖν ὅτι μὲν ἐπυριά-
σθη διὰ τῶν σπόγγων ἐδήλωσε καὶ τἆλλ' ἐξῆς ἐπιμελῶς διηγήσατο, περὶ δὲ τῆς φλεβοτομίας ἑκὼν ἐσιώπησεν,
ὅτι μικρότερον ἦν δηλαδὴ τοῦτο τὸ βοήθημα. μεμνῆσθαι δ' οὐ προσήκει μοι τῶν πάνυ μικρῶν ἐν τοιαύταις διηγή-
σεσιν. ἀλλά τοι κἀνταῦθα μετ' ὀλίγα πάλιν αὐτὸς ὁ Ἐρασίστρατος ἐρεῖ. ἐφαίνετο οὖν ἡμῖν μετάστασιν εἰληφέναι
τὰ πάθη ἐπί τε τὸν πνεύμονα καὶ τὸ ἧπαρ καταρρυῆσαι μὲν αὐτῷ τὴν συνάγχην. αὐξηθῆναι δὲ τοὺς πυρετούς, αὐτοῦ
τῇ καθ' ὑποχόνδριον ἐντάσει τὴν μετάστασιν ἐλογίζετο γεγενῆσθαι τῶν παθῶν. ἔνθα τε καὶ μάλιστα τὸν νοῦν προ-
σέχειν ἄξιον σκοπούμενον οἷόν τι βούλεται διὰ τῆς λέξεως ταύτης, ἐν ᾗ φησὶ μετάστασιν εἰληφέναι τὰ πάθη πότερον αὐ-
τῶν τῶν φλεγμαινόντων μορίων μεταβάντων ἢ τοῦ αἵματος ὃ τὴν φλεγμονὴν αὐτοῖς εἰργάζετο μεταρρυέντων. ἐμοὶ
μὲν γὰρ δοκεῖ τὸ πρότερον μὲν τῶν προειρημένων, μηδὲ νοηθῆναι δύνασθαι, τὸ δεύτερον δ' ἐξ αὐτῶν εἶναι τὸ ἀληθές.
* ἐγὼ μὲν γοῦν ἐνίοτε τὸ κατασκῆψαν εἰς τὸ μόριον πλῆθος ἰχώρ, εἶθ' αὐτὸ διώσασθαι τῆς ἐν ἐκείνῳ δυνάμεως ἐφ'
ἕτερον ἢ μεθίστασθαι. τοῦτο τοίνυν φαίνεται καὶ τῷ Κρίτωνι συμβάν, ἀλλ' ὅμως οὐδὲ τότε φλεβοτομίας ἐμνημόνευ-
σεν ὁ Ἐρασίστρατος. ἀλλὰ τί φησι, κατεπλάσσετο καὶ τὸν θώρακα ὅλως καὶ τὰ ὑποχόνδρια. ὥσπερ δὲ ἐκ τῶν κατὰ τὴν
ἐπιγλωττίδα καὶ τὰ παρίσθμια μορίων ἡ τοῦ πλεονάζοντος αἵματος ἐπὶ τὰ κάτω χωρία μετάστασις ἐγένετο, κατὰ
τὸν αὐτὸν τρόπον αὖθις ἐκ τῶν κάτω μερῶν ἐπὶ τὴν κεφαλὴν ἀνενεχθέντος αὐτοῦ. τοὺς μὲν πυρετοὺς καὶ συνέβη λω-
φῆσαι, σύμπτωμα δ' ἐπιγενέσθαι τὴν τῶν νεύρων ἀρχὴν ἐνδεικνύμενον πάσχειν. ἄκουσον δὲ καὶ ταύτης τῆς Ἐρασιστρά-
" του ῥήσεως. ὄντος δ' αὐτοῦ ἀπὸ μὲν γοῦν τῆς ἀρχῆς δεκαταίου. ἀπὸ δὲ τῆς ἐπιστάσεως ἑκταίου ὅτε πυρετὸς εὖ μάλα ἐπα-
ἐκ τοῦ στρώ. νῆκεν καὶ παραστροφή τις ἐγένετο τοῦ τ' ἰνίου. ὀψὲ δὲ τῆς ὥρας ἀναισθησία τις ἐγένετο, ὥστε καὶ τὸ οὖρον †ἐκ γαστρώ-
" ματος προΐεσθαι. καὶ μετ' οὐ πολὺ ἐπίστασις τοῦ πυρετοῦ. εἶτα ἐπιφέρων φησίν. ἐφαίνετο οὖν ἡμῖν πάλιν μετάστα-
" σιν εἰληφέναι τὰ πάθη ἐπὶ τὴν κεφαλήν, καὶ κατὰ μὲν αὐτὴν τὴν μετάστασιν ἐπανεῖκέναι τὸν πυρετόν. ὕστερον δὲ
" πάλιν ἐπιτετακέναι ἐμπαθῆ γενομένου τῶν περὶ τὴν κεφαλήν. εἴπωμεν ἤδη καὶ ἡμεῖς ἐπὶ τῇ δὲ τῇ ῥήσει πρὸς
τὸν ἄνδρα. κάλλιστα λέγεις ὦ Ἐρασίστρατε μετάστασιν ἐπὶ τὴν κεφαλὴν γεγονέναι τῶν παθῶν. ἄμεινον δ' ἦν εἰ
μὴ τῶν παθῶν εἴποις, ἀλλὰ παθῶν αἰτίου πλήθους. ὥσπερ οὐκ ἄν τις φαίη τὰ μέρη τοῦ σώματος αὐτὰ τὰ πάσχοντα
†μετάστασιν εἰληφέναι, †κατὰ τὸν αὐτὸν τρόπον οὐδὲ τὰ πάθη. βέλτιον γοῦν οἶμαι φάναι, παύσασθαι μὲν τὰ πρότερα πάθη, γενέ-
σθαι δ' αὖθις ἕτερα τῆς αἰτίας μεταστάσης, ἥτις ἦν ὡσαύτως ἐν ἀρχῇ τῆς ὅλης διηγήσεως, ἐφ' ἧς πληθώρα. ταύτην
†κιὼν οὖν εἴπερ ἐκένωσεν οὐκ ἂν οὐδ' ὁ †κύων κατὰ τὴν ἐπιγλωττίδα τούτων εἰς τὸ κάτω τὴν μετάστασιν ἔλαβεν. οὔτ' αὖθις
ἐκεῖνο ἐπὶ τὴν κεφαλὴν ἀνηνέχθη. ὥστε φαίνεται καὶ Κρίτων ὁμοίως τῇ Χίᾳ γυναικὶ διὰ τὸ παραλειφθῆναι τὴν
φλεβοτομίαν ἀποθανεῖν. ἀλλὰ τοῦτο μὲν δοκεῖ καὶ αὐτὸς ὁ Ἐρασίστρατος αἰσθέσθαι. τί γὰρ φησί; τοῦτο ἐδόκει αἰτία
τῆς ἀπωλείας γενέσθαι τὰ ἐπὶ τὸν πνεύμονα ἐπενεχθέντα, πλὴν ὅτι κακῶς οὐκ ἔφθασεν ἐκκενῶσαι ταῦτα, καί-
τοι γινώσκων εὐθὺς ἐξ ἀρχῆς ὡς πληθωρικὴ διάθεσις εἴη περὶ τὸν ἄνθρωπον. ἐὰν οὖν τις ἐθέλει κατασκευάζειν,
ὡς οὐκ εἰκὸς ἦν Ἐρασίστρατον ἰατρὸν ἄριστον ὄντα, καὶ μέντοι καὶ γνόντα Κρίτωνι μὲν ἐκ πληθώρας συμβῆναι τὰ πάθη,
τῇ δὲ ἐκ τῆς Χίου παιδίσκῃ διὰ τὴν τῶν ἐμμηνίων ἐπίσχεσιν ἑκόντα παραλιπεῖν ἀφαίρεσιν τοῦ αἵματος, ἀλλ' ἀφαιρεῖσθαι

μὲν αἵματος καὶ ταύτην καὶ ἐκείνην, παραλελεῖφθαι δὲ ἐν τῇ διηγήσει, τί κωλύει κἀμὲ λέγειν ὅτι περ ἂν ἄλλο βούλωμαι τῶν κενωτικῶν βοηθημάτων, προσηνέχθαι μὲν τοῖς κάμνουσι, παραλελεῖφθαι δὲ ἐν τῇ διηγήσει. καὶ τίς νοῦν ἔχων ἰατρὸς ἀνέξεται ταῦθ' ἡμῶν λεγόντων; ὅπως γε καὶ τὰ μέχρι θανάτου συμπτώματα ταῦτ' αὐτοῖς φαίνεται διὰ πλῆθος γινόμενα, καὶ αὐτὸς ὁ θάνατος οὐ διὰ ἄλλην τινὰ αἰτίαν ἀκολουθήσας, ἢ τὸ μὴ κενωθῆναι τὸ πλῆθος. τίς δ' ἀνέξεται λεγόντων ἀνθρώπων τὰ μὲν μικρὰ τῶν πραχθέντων ὑπὸ Ἐρασιστράτου γεγράφθαι, φλεβοτομίαν καὶ κάθαρσιν ὑπὸ ἐλλεβόρου τε καὶ σκαμμωνίας. εἰ γὰρ ἐκ τοῦ μόνον εἰπεῖν τὸ κοινὸν ὡς ἡ πληθώρα κενώσεως δεῖται δεδήλωται φλεβοτομία, διότι τῶν κενωτικῶν ἦν βοηθημάτων, τί κωλύει καὶ τῶν ἄλλων ἕκαστον εἰρῆσθαι τῶν κενωτικῶν. μὴ τοίνυν μόνην τὴν φλεβοτομίαν ὑπὸ Ἐρασιστράτου προσῆχθαι τοῖς κάμνουσι λεγέτωσαν; ἀλλὰ καὶ τἄλλα πάντα, κλυστῆρας, ἐμέτους, καθάρσεις, λουτρά, γυμνάσια, ῥίψεις, αἰωρήσεις, χρίσματα, θερμαίνοντα καταπλάσματα, πάνθ' ἑξῆς ὅσα ἐκεῖνος. εἰ δ' ἀρκεῖ μόνον ὅτι κενωτέος ὁ κάμνων ἐστὶν, οὐδὲ τούτων τὸ τέλος ὑπάρχει τῆς τῶν βοηθημάτων διδασκαλίας, ἀλλὰ πρότερον μὲν προσθεῖναι χρὴ τὸν τρόπον τῆς κενώσεως. εἶτα τὴν ὕλην εἰπεῖν δι' ἧς ἄριστα πραχθήσεται, καὶ ταύτῃ προσθεῖναι τὸν καιρὸν καὶ τὸ μέτρον, καὶ τρόπον τῆς χρήσεως, ὅτε κοινὸν εἰπὼν σκοπὸν τῶν βοηθημάτων, οὐδέπω κατὰ μέρος οὐδὲν εἰρηκέναι. εἰ γὰρ ἀρκεῖ τὸ κοινὸν εἰπεῖν, ἐκ περιττοῦ μνημονεύει καταπλασμάτων τε καὶ ἀσιτίας, καὶ πυρίας τῆς διὰ σπόγγων. εἰ τὸ μὲν κατάπλασμά τε καὶ τὴν ἀσιτίαν οὐκ ἂν ἡμεῖς εὕροιμεν ἄνευ τοῦ παρ' ἐκείνου μαθεῖν; ἡ φλεβοτομία δὲ ἐστὶ δήλη πᾶσι κἂν Ἐρασίστρατος μὴ λέγῃ. ἀλλὰ κἂν τοῦτό τις αὐτοῖς συγχωρήσῃ, καίτοι φανερῶς ὂν ἄτοπον, ἀλλὰ μεγάλα καὶ πολλὰ λείπεται σκέμματα τῷ μέλλοντι χρήσασθαι προσηκόντως τῷ βοηθήματι. πρῶτον μὲν εἰ μηδὲν διαφέρει τέμνειν ἡντινοῦν φλέβα, καθάπερ οἴονταί τινες, ἢ καθ' ἕκαστον τῶν πεπονθότων μορίων ἴδιαι φλέβες εἰσὶν αἳ ταχέως ἐκκενοῦσαι τὸ πλῆθος αὐτῶν. δεύτερον δ' ἐπὶ τούτῳ σκέμμα, πότερον ἅπαξ, ἢ πλεονάκις ἀφαιρεῖν προσήκει. καὶ τρίτον δ' ἐπ' αὐτοῖς, σκοποὺς ἐξευρεῖν, οἷς προσέχων τις ἀκριβῶς στοχάσαιτο τοῦ μέτρου τῆς κενώσεως. καὶ τέταρτον, ὁ καιρὸς ἐν ᾧ χρὴ μάλιστα ποιεῖσθαι τὰς φλεβοτομίας, εἰ μὴ δέον ἐστὶ ἐξαίρετον αὐτὸ περὶ σὺν ἀποδείξει διδάξεται. τῷ μὲν οὖν ὅλως ἀρνησάντι φλεβοτομίας οἴχεταί τε καὶ συναναιρεῖται τούτων ἁπάντων ἡ σκέψις, τῷ προσιεμένῳ δ' ἐξ ἀνάγκης ἕπεται. καὶ γάρ τοι κἀπὶ τῶν ἄλλων βοηθημάτων ἁπάντων ὁ αὐτός ἐστι λόγος, οἷον ἐλλεβόρου, σκαμμωνίας, οἴνου, λουτροῦ, σιτίων. εἰ μὲν γὰρ μηδ' ὅλως ἐστὶ χρηστέον ἐπὶ τῶν νοσούντων ὁτῳδήποτε τῶν εἰρημένων, οὔτε καιρὸς, οὔτε ποσότης, οὔτε τρόπος τῆς χρήσεως, οὔτ' ἄλλο οὐδὲν ἔτι καὶ ζητηθήσεται περὶ κατ' αὐτό. προσιεμένῳ δὲ τὴν χρῆσιν ἀναγκαῖον ἐστὶ περὶ τούτων πάντων διελθεῖν, οὐ μόνον ἐπὶ τῶν δραστικῶν βοηθημάτων, ἐν οἷς εἰ παροφθείη τι σμικρὸν, ἡ βλάβη μεγίστη δι' αὐτὸ γίνεται τοῖς νοσοῦσιν, ἀλλὰ κἀπὶ τῶν ἐλαττόνων. καὶ φαίνεται τοῦτο οὕτως γινόμενον ἑκάστης ἡμέρας ἐπὶ πάντων τῶν νοσούντων. οὐδεὶς γοῦν εἰπὼν ἰατρὸς ἀνθρώπου οὕτω γράφει τὸ χαρίζεται. μήτε τὸν καιρὸν ἔτι προσθεὶς, ἐν ᾧ κελεύει τραφῆναι τὸν κάμνοντα, μήτε τὸ σιτίον δείξας αὐτὸ, μήτε τὴν ποσότητα, μήτε τὴν σκευασίαν, ἢ τὴν τῆς χρήσεως τάξιν, ἀλλ' ἕκαστον τούτων ἀκριβῶς ἐκδιηγεῖται τοῖς παροῦσιν ὅπως πραχθῆναι, καὶ τοίνυν καὶ γράφουσιν ἐν τοῖς βιβλίοις ἅπασιν ἐφ' ὧν ἂν πράττουσι βοηθημάτων ἐξῆς ταῦτα σύμπαντα, καίτοι τινὲς γ' αὐτῶν εἰσὶν οὐ μακρολογώτεροι χρονίζουσι τῇ διηγήσει, οὐ μακρολογίαν, ἀλλ' ἐπιμέλειαν ἡγούμενοι τὴν τοιαύτην διδασκαλίαν. Ἱπποκράτης μὲν ἐν τοῖς πλείστοις τῶν ἑαυτοῦ συγγραμμάτων ἐσχάτως βραχυλόγος ὢν, ὅμως οὐκ ὀκνεῖ γράφειν ἐπὶ τῆς φλεβοτομίας, οὔτε τὸ μέρος τοῦ σώματος, ἐν ᾧ χρὴ τμηθῆναι τὸ ἀγγεῖον, οὔτε τὸ μέτρον τῆς κενώσεως, οὔτε τὸν καιρόν. Ἐρασίστρατος δὲ, ὃν οἱ νῦν Ἐρασιστράτειοι φασὶ χρῆσθαι φλεβοτομίᾳ, μακρολογώτερος ὢν, ὡς ὀλίγον ὕστερον δείξω, πρῶτον μὲν οὐδὲ αὐτὸ τὸ ὄνομα ὑπέμεινε προσγράψαι τῆς φλεβοτομίας ἅμα τοῖς ἄλλοις βοηθήμασι. εἶτα παρέλειπεν ἑξῆς πάντα τὰ κατειλεγμένα καιρὸν, καὶ τὸ μέτρον, καὶ τόπον ἀγγείου, καὶ τρόπον χρήσεως, ὁ μηδ' ὡς χρὴ τὰ καταπλάσματα ἐφ' ἑκάστου τῶν νοσούντων προσφέρειν, ἢ τὴν μᾶζαν φυρᾶν ὀκνῶν προσγράφειν, ὁ μὴ δὲ περὶ τῆς τῶν λαχάνων ἑψήσεως σιωπῶν. ἀκούωμεν γοῦν ὡς γράφει κατὰ τὴν περὶ τῆς κοιλίας πραγματείαν προσφέρειν. τὴν μὲν πρώτην προσφορὰν ἄλφιτα κριμνώδη πεφρυγμένα εὖ ἀποσεσεισμένα. ὅταν δὲ προσφέρεσθαι μέλλῃ ἐν τινι ψυκτῆρι ἐπιχέοντα ὕδωρ φυράσαντα διδόναι μηδ' εἰς ἅπαξ δὲ ἅπαν ὃ ἂν μέλλῃς διδόναι φυράσας, ἀλλὰ δὶς ἢ τρὶς, ὅπως μὴ ξηρὰ γενομένη ἡ μᾶζα δυσάλωτος μὴ πολὺ τὸ ὑγρὸν ἀναδέξηται. οὐδὲν γὰρ τοῦτον χρήσιμον. προσεσθίειν δὲ διδόναι τῶν κιχωρείων συχνὰ εἰς ὄξος μὴ δριμὺ ἐμβάπτοντας καὶ ἐπὶ τῶν σιτίων, ἀναλίσκειν ἐφθὰ κιχώρια. ἑψῆναι δεῖ δύο παρασκευάζοντας χυτρίδας. καὶ εἰς μὲν τὴν μίαν ἐμβάλλοντας ἕψειν. ὅταν δὲ ἤδη †τα τετηκότα εὖ μάλα ᾖ καὶ ἡ ἑτέρα χύτρα τοῦ ὕδατος ζέῃ μεταγγίζειν αὐτὰ εἰς τὴν ἑτέραν. ἐὰν δὲ δέσμια ὅπως εὐμετάθετα ᾖ. συνεψήσαντα δὲ καὶ ἀποχέοντα τὸ ὕδωρ ἀρτῦσαι ἁλὶ καὶ ἐλαίῳ καὶ διδόναι προσφέρεσθαι. ἆρ' ἐπινοεῖς ἔτι δύνασθαί τε ἐπιμελέστερον γράψαι, τὰ σμικρότατα τοῦ μὴ δ' ὅτι χρὴ δεσμίδια ποιεῖν τῶν κιχωρίων ὅπως εὐμετάθετα ᾖ σκοπήσαντος. εὔδηλον γὰρ ὅτι τὰ λελυμένα δυσμετάθετα γίγνονται, καὶ διὰ τοῦτο κηδόμενος οὐ μόνον ἡμῶν ἰατρῶν, ἀλλὰ καὶ τῶν ἑψόντων τὰ λάχανα μαγείρων ἐδίδαξεν αὐτοὺς ὡς χρὴ †οὖν δεῖν τὰ λάχανα. τοιοῦτος δ' ἐστὶ κἀπειδὰν ἤτοι καταπλάσματός τινος γράφῃ σκευασίαν, ἢ περιπατεῖν κελεύει τοὺς δὲ σταδίους, ἢ τρίβεσθαι ῥίψεις τοσαύτας, ἢ τι τοιοῦτον ἕτερον ἐφ' οἷς ἤδη τινὲς οὐ μόνον οὐκ ἐπαινοῦσι τῆς περιττῆς ἐπιμελείας, ἀλλὰ καὶ ψέγουσι, ὡς ὅρους καὶ μέτρα τιθέμενον ἐπὶ τῶν ἀόριστον ἐχόντων τὴν ποσότητα. τίς ἂν οὖν οὐ πεισθῇ τὸν οὕτως ἐπιμελῆ κεχρῆσθαι μὲν ὁμοίως τοῖς ἄλλοις φλεβοτομίαις μηδαμόθεν αὐτῆς μνημονεῦσαι, πλὴν ἅπαξ ἐν τῷ περὶ αἵματος ἀναγωγῆς; οὐδ' οὖν οὐδὲ τότε χρώμενον, ἀλλὰ τοὐναντίον ἅπαν ἐπαινοῦντα τὸν Χρύσιππον ἐπὶ τὸ μὴ χρῆσθαι φλεβοτομίᾳ, καὶ τὴν ἀπόδειξιν αὐτοῦ καθ' ἣν ἀποδεικνύναι νομίζει τὸ Χρυσίππου δόγμα περὶ τῆς φλεβοτομίας, τοῦ μᾶλλον τῶν αἷμα πτυσάντων *

οἷς μόριόν τι τοῦ σώματος μέλλει φλεγμαίνειν. ἀλλὰ περὶ μὲν τοῦδε καὶ αὖθις εἰρήσεται, νῦν δ' ὅπερ ἔλεγον

†κατεψηθέντα

†σωδεῖν

ἀναληπτέον, ὡς οὐκ ἂν Ἐρασίστρατος ἐπὶ πλεῖστον ἐκτείνων ἅπαντας τοὺς λόγους, καὶ μέντοι καὶ δὶς καὶ τρὶς ἐνίοτε διεξερχόμενος ἕνα λόγον ἐν διαφέρουσι βιβλίοις, ὀλιγώρησεν ἄν που, κἂν ἅπαξ ἢ ε. συλλαβὰς προσγράψαι προσθεὶς ἅμα τοῖς ἄλλοις βοηθήμασι τὸ τῆς φλεβοτομίας ὄνομα, περὶ δὲ καὶ τὴν ποσότητα πάντως ἂν αὐτῆς εἰπεῖν. ὡς ἐπ' ἄλλων ἐποίησε, καὶ τὸν καιρὸν ὡς εἴρηται πρόσθεν, ὅσα τε ἄλλα τοιαῦτα. τινὲς μέν γε τῶν ἰατρῶν ἐπὶ σημείοις ὁρίζουσι τὸ ποσὸν τῆς κενώσεως, οἷον εἰ μεταβάλλοι κατὰ τὴν χρόαν, ἢ τὸν τόνον, ἢ τὴν ῥύσιν τοῦ αἵματος, ἢ εἰ καταπίπτοιεν εἰς ἀτονίαν οἱ σφυγμοί, καί τινος ἱδρῶτος ἐπιφαίνοιντο ἐν αὐτῷ τῷ καιρῷ τῆς ἀφαιρέσεως. ταῦτα

† δ' οὖν καὶ ἱπποκράτης

† δ' οὐχ ἵνα πόνους φησίν, καὶ τοὺς σφοδροτέρους τῶν ἐμέτων, καὶ τὰς ἀλογωτέρας διαχωρήσεις ἄλλοις διείρηκεν ἄχρι λειποθυμίας ἄγειν τὴν κένωσιν, ὁπόταν τι φαίνηται κατὰ τὸν λόγον αὐτῇ γινομένῃ τῆς κενώσεως, οὐχ ὑπὸ χυμοῦ ῥυέντος εἰς τὸ τῆς γαστρὸς στόμα πολλάκις ἐναργῶς φαίνεσθαι διὰ χολήν, ἢ διὰ φλέγμα συρρυὲν ἐνταῦθα λειποθυμίαν γινομένην. ἔνιοι δὲ τῇ τε τοῦ παντὸς σώματος μεταβολῇ κατὰ χρόαν, καὶ τῇ κατὰ τοὺς σφυγμοὺς ἐτεκμαίροντο τὴν σύμμετρον ἀφαίρεσιν, καὶ διὰ τοῦτο εἰς ἅπαξ ἀπαγορεύουσιν, ἢ χρῆσθαι δαψιλεῖ τῇ κενώσει, βέλτιον εἶναι τοῖς ἐπιγινομένοις, τεκμηραμένους πρότερον οὕτως ἐπὶ τὴν τοῦ λυποῦντος ἔρχεσθαι κένωσιν. ἄλλοι δέ τινες ἐτόλμησαν ἤδη τι καὶ μέτρον ὁρίζειν οἷον ἤτοι δύο κοτύλας ἀττικὰς εἶναι τὴν σύμμετρον ἀφαίρεσιν, ἢ βραχὺ πλείω, ἢ ἔλασσον, ὡς ἐκ τοῦ συμμέτρου δυνηθέντων ἡμῶν εὑρίσκειν τὸ μᾶλλόν τε καὶ ἧττον ἁρμόττον ἑκάστῳ τῶν φλεβοτομουμένων καθ' ἡλικίας, καὶ φύσεις, καὶ ὥρας, καὶ χώρας. οὐκοῦν Ἐρασίστρατον ἀριθμόν μέν τινα τρίψεως ὁρίζειν, ἵνα κἂν σφάλλωμεν τῆς ἀκριβοῦς συμμετρίας, οὐδὲ μία μεγάλη βλάβη, μετὰ δὲ μηδὲν εἰπεῖν ὅλως περὶ φλεβοτομίας. ἐγὼ μὲν γὰρ εὖ οἶδα ὅτι καὶ περὶ τῶν φλεβῶν αὐτῶν, τῶν τμηθησομένων ἔγραψεν ἂν οὐκ ὀλίγα, καὶ μάλιστα ὅτι πολλάκις Ἱπποκράτης αὐτῶν ἐμνημόνευσεν. ἐνίοτε μὲν, κατὰ ἰγνύαν ἢ παρὰ σφυρόν, ἐνίοτε δὲ, τὴν ὀρθίαν ἐν τῷ μετώπῳ, καὶ αὖθις τὴν ὑπὸ τῇ γλώττῃ. περὶ μὲν γὰρ τῶν κατ' ἀγκῶνα τί δεῖ καὶ λέγειν ὡς οὐκ ἂν ἐσιώπησεν ὁ Ἐρασίστρατος; εἴτε χρὴ πάσας ἐπὶ πᾶσι τέμνεσθαι νοσήμασιν, εἴθ', ὡς Ἱπποκράτης ἐκέλευσεν, ἄλλην ἐπ' ἄλλων. τοῦ γὰρ οὕτως ἐπιμελῶς γράφοντος πάντα καὶ † τοὺς τὴν ἔργον οἰκεῖον ὁρίζειν μέν τι ἄμετρον ἐν τηλικούτῳ βοηθήματι, προσγράψαι

† τοῦτο

δὲ ἣν ἔχει γνώμην ὑπὲρ τῶν φλεβῶν, ὥσπερ οἱ ἄλλοι πεποιήκασιν ἰατροί. τινὲς μὲν οὐδὲν διαφέρειν φάσκοντες ὁποίαν ἄν τις ἐθέλοι τέμνειν φλέβα, κενοῦσθαι γὰρ δι' ἑκάστης αὐτῶν ὁμοτίμως τὸ πᾶν. τινὲς δὲ πάμπολλα ἡγούμενοι καὶ παρὰ τοῦτο γίνεσθαι διαφοράν. ἐνίας μὲν γὰρ αὐτῶν θᾶττον, ἐνίας δὲ ἐν χρόνῳ πλείονι τὸ πεπονθὸς μέρος ἐκκενοῦν. ὁ τοίνυν μήτε τούτων τι γράψας, μήτε τοῦ μέτρου τῆς φλεβοτομίας ὁρίσας τοὺς σκοπούς, εὔδηλον διὰ τοῦτο παραλελειπὼς ἅπαντας τοὺς δὲ τοὺς λόγους ὅτι μηδ' ὅλως ἐχρῆτο τῷ βοηθήματι. ὥσπερ γὰρ ὁ μηδέποτε χρώμενος ἐπ' ἀρρώστου καταπλάσματα, γράφειν οὐ δύναται τὰς διαφορὰς αὐτῶν, ἢ τὰς σκευασίας, ἢ τὸν καιρόν, ἢ τὸν τρόπον τῆς χρήσεως, ἀναγκαῖον δ' εἶναι τοῖς χρωμένοις, ὥσπερ Ἐρασίστρατος ἐχρῆτο, καὶ περὶ τούτων ἑκάστου διορίσαι, κατὰ τὸν αὐτὸν τρόπον ὅσοι μὲν μηδ' ὅλως χρῶνται φλεβοτομίας, καιρὸν καὶ τρόπον χρήσεως καὶ σκοποὺς τοῦ μέτρου γράφειν οὐ δύνανται. τοῖς χρωμένοις δ' ἀναγκαῖον ἐστὶ καὶ περὶ τούτων διορίζεσθαι, καὶ πολὺ μᾶλλον ὑπὲρ τῆς φλεβῶν διαφορᾶς. εἰ καὶ μηδὲν ἄλλο, τὸ γοῦν τοσοῦτον ὡς οὐδὲν διαφέρει τήνδε πρὸ τῆσδε τέμνειν, ὁμοίως ἁπασῶν ἐκκενοῦν δυναμένων τὰ φλεγμαίνοντα μόρια. τὸ δὲ μήτε τούτων τι γράψαι, καὶ τὴν χρείαν ὅλην ἀνελεῖν τοῦ βοηθήματος, ἐπὶ δὲ πάθους ὃ μάλιστα χρῄζειν αὐτοῦ πεπίστευται, πῶς οὐκ ἄν τις ἐναργὲς εἶναι φαίη γνώρισμα τοῦ μηδέποτε Ἐρασίστρατον κεχρῆσθαι τῷ βοηθήματι; τί γὰρ οὖν δύσκολον ἡνίκα ἔγραφεν ἐν τῇ τῶν πυρετῶν θεραπείᾳ κατὰ λέξιν ὧδε. περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν ἀρρωστιῶν, καὶ τὰς τῶν φλεγμονῶν γενέσεις ἀφαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων τε καὶ σιτίων, ἐνταῦθα προσγράψαι χρηστέον δὲ φλεβοτομίας. ὥσθ'

» ὅλην αὐτοῦ τὴν ῥῆσιν γενέσθαι τοιάνδε, περὶ μὲν τὰς ἀρχὰς τῶν ἀρρωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις ἀ-
» φαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων τε καὶ σιτίων, χρηστέον δὲ φλεβοτομίᾳ. γίνονται γὰρ ὡς τὸ πο-
» λὺ αἱ τοὺς πυρετοὺς ποιοῦσαι φλεγμοναὶ διὰ πληθώραν. διδομένων οὖν ἐν τοῖς τοιούτοις καιροῖς προσφορῶν καὶ
† ἀγγείων τῆς πέψεώς τε καὶ ἀναδόσεως τὰς κατ' αὐτὰς ἐνεργείας ἀποδιδουσῶν, πληρουμένων τε τῶν † ἐνεργειῶν τῆς τρο-
» φῆς, ἔτι γε πλείσας τε καὶ ἰσχυρὰς συμβήσεται τὰς φλεγμονὰς γίνεσθαι. βέλτιον οὖν μήτε διδόναι σιτία καὶ
» τέμνειν φλέβα.

τοιαύτη μὲν ἂν ἡ ῥῆσις ἐγένετο. βουληθέντος αὐτοῦ κἀπὶ ταῖς ἀσιτίαις οὕτω καὶ τῇ φλεβοτομίᾳ χρῆσθαι. μὴ προσγράψαντος δὲ πῶς ἄν τις πιστεύσειεν ἐπαινεῖν τὸν ἄνδρα τὴν χρῆσιν τοῦ βοηθήματος. ὅτε δὲ μηδ' ἐν ἄλλῃ τινὶ πραγματείᾳ θεραπευτικῇ φαίνεται τοῦτο ποιῶν, ἔτι καὶ μᾶλλον ἄν τις πιστεύσειεν ὑπὸ τῆς γνώμης αὐτοῦ. τίς γὰρ ἂν δύναιτο πεισθῆναι τὸν μακρολογώτατον Ἐρασίστρατον ὀκνῆσαι προσθεῖναι συλλαβὰς, ἤτοι δ'. ἢ ε. κἂν ἅπαξ που τῶν γεγραμμένων αὐτῷ πραγματειῶν; ἐγὼ μὲν οὖν εἰ καὶ μηδὲν ἐσώζετο Ἐρασιστράτου βιβλίον, ἀλλ' ἤδη πάντα ἀπωλώλει, καθάπερ τὰ Χρυσίππου κινδυνεύει παθεῖν, τοῖς μαθηταῖς ἂν αὐτοῦ μᾶλλον ἐπίστευσα περὶ τοῦ διδασκάλου λέγουσιν, ἢ τοῖς μήτ' Ἐρασίστρατον αὐτὸν ἰδοῦσί ποτε, μήτε μαθητὴν αὐτοῦ, μήτε τῶν ὡς ἐκείνου φοιτησάντων, ἢ τῶν τούτοις συγγενομένων. ἀλλὰ μετὰ τοσαύτας ἐτῶν γενεὰς ἀποφαινομένων, τολμηρῶς ὑπὲρ ὧν οὔτ' εἶδον, οὔτε ἰδόντος τινὸς ἤκουσαν, οὔτε ἀνέγνωσαν Ἐρασίστρατον γράψαντα οὐδ' ἄχρι τεττάρων, ἢ πέντε συλλαβῶν, ὡς ἔφην. τὸ μὲν γὰρ τεμεῖν φλέβα δ'. συλλαβῶν, φλεβοτομία δὲ αὐτὴ ε. τὸ δ' εἰς τὴν ῥῆσιν αὐτοῦ παραγραφὲν ὀλίγον ἔμπροσθεν ὑπ' ἐμοῦ, τό, χρηστέον δὲ φλεβοτομίᾳ διὰ θ'. λέγεται

† λωβῶ

συλλαβῶν. παυσάσθωσαν οὖν ἤδη † λαβούμενοι τοῖς γε μανθάνουσι τὴν τέχνην καὶ τοῖς νοσοῦσιν αὐτοῖς οἱ λέγοντες Ἐρασίστρατον κεχρῆσθαι μὲν τῇ φλεβοτομίᾳ, λόγον δ' οὐδένα πεποιῆσθαι περὶ αὐτῆς, ὡς παραδήλου πᾶσιν οὔσης μᾶλλον ἢ τῆς τῶν καταπλασμάτων τε καὶ λαχάνων ἑψήσεως. εἰ γὰρ διὰ τοῦτο φλεβοτομήσουσιν οἱ μανθάνοντες τὴν τέχνην διότι καθάπερ ἐν ταῖς ἀσιτίαις αἱ φλέβες κενούμεναι λύουσι τὰς φλεγμονάς, οὕτω καὶ αἱ φλεβοτομίαι, πάντας ἑξῆς φλεβοτομήσουσιν ὅσους Ἐρασίστρατος ἀσιτεῖν κελεύει. καὶ τοῦτο μὲν ἔτι σμικρόν. τόδε μήτε περὶ τοῦ μέτρου φλεβοτομίας, μήτε περὶ τῶν τμηθησομένων φλεβῶν ἀκούσαντές τι τοὺς νέους ἐπὶ

βοηθήμα-

βοηθήματος παραγίνεσθαι, μεγίστην οἶδε βλάβην τοῖς κάμνουσιν, ὥσπερ ἔφην εὐθὺς κατ' ἀρχάς. ἄμεινον οὖν αὐτοῖς μηδ' ὅλως ἐπιχειρεῖν φλεβοτομεῖν, ἢ χωρὶς τοῦ † διοειδοῦντος περὶ τῶν εἰρημένων ἐπὶ βοήθημα παραγίνεσθαι. † διοισμοῦ

πλείονες γὰρ οὕτως ἀπώλλυντο τῶν ἔμπροσθεν ἢ τῶν ἀπολλυμένων διὰ τοὺς μὴ φλεβοτομοῦντας. οἱ μέν γε τό τε πρότερον μηδ' ὅλως φλεβοτομοῦντες ἄλλοις ἐχρῶντο κοινωνικοῖς βοηθήμασιν ἐν μακροτέρῳ χρόνῳ ταὐτὸν τῇ φλεβοτομίᾳ δυναμένοις ἐργάζεσθαι, πλὴν εἴπου διὰ τὸ κύριον τοῦ πάσχοντος μέρος, ἢ τὴν τοῦ πλήθους ὑπερβολὴν ἔφθασεν ἀποθανεῖν ὁ κάμνων. οἱ δὲ νῦν οἰόμενοι δεῖσθαι πᾶσαν ἀρχὴν πυρετοῦ φλεβοτομίας οὐ σμικρὰ λυμαίνονται τοῖς νοσοῦσιν. οὕτως γοῦν πεπείκασιν ἑαυτοὺς περὶ τοῦ βοηθήματος, ὡς εἰ καὶ πρὸς Ἐρασιστράτου ἐγέγραπτο, καθ' ὃν ἐγὼ μικρὸν ἔμπροσθεν ἐδήλωσα τρόπον, ἐνθεὶς αὐτὰς τῇ ῥήσει τὰς θ΄. συλλαβάς, ὡς γενέσθαι τὴν λέξιν τοιαύτην, ἄνωθεν γὰρ αὐτῆς ἄμεινον μνημονεῦσαι. περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν ἀρρωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις, ἀφαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων τε καὶ σιτίων. χρηστέον δὲ φλεβοτομίᾳ. τοιαύτην γὰρ οἱ νῦν εἶναι βούλονται τὴν Ἐρασιστράτου γνώμην οὐκ ἐπ' ἀγαθῷ τῶν καμνόντων. ἑτέρων μὲν ὑπαρχόντων καιρῶν καὶ σκοπῶν ἀσιτίας, ἑτέρων δὲ φλεβοτομίας, οὓς ἐγὼ κατὰ τήνδε τὴν πραγματείαν ἐρῶ πάντας ἐν τῇ προσηκούσῃ τάξει. νυνὶ δὲ γὰρ ὥσπερ οἱ τοῖς πρεσβύταις ἔμπροσθεν πεπεισμένοι κενῆς ὑπήρξαντο παλινῳδίας, οὕτω κἀμοὶ παλινῳδητέον ἐστὶ, ἐπιγνωστέον τε καὶ τοὺς νῦν ἀλόγως φλεβοτομοῦντας ἐπὶ τὸ μηδ' ὅλως φλεβοτομεῖν. ὡς γὰρ ὁ Πλάτων ἔλεγεν ἧττον εἰκός ἐστι σφάλλεσθαι τοὺς μηδ' ὅλως ἐγχειροῦντας, οἷς οὐκ ἴσασιν τῶν πραττόντων ἃ μὴ γινώσκουσιν, ὅπερ οἱ νῦν ποιοῦσιν ἀναπεπεικότες ἑαυτούς, οὕτω γὰρ ῥᾷστον εὑρεῖν, πρῶτον μὲν, οὓς χρὴ φλεβοτομεῖν, εἶθ' ἕκαστον τῶν ἄλλων. τῶν ἐν ἅπασι νοσήμασι κατὰ τὴν ἀρχὴν ὡς ἀσιτίαν, οὕτω καὶ φλεβοτομίαν παραλαμβάνουσι. μᾶλλον δ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὑπαλλάχασι τὴν Ἐρασιστράτου γνώμην. φλεβοτομοῦσι γὰρ καὶ τρέφουσιν εὐθέως τοὺς φλεβοτομηθέντας, ἐκείνου τὸ φλεβοτομεῖν ἀπαγορεύοντος, τὸ δὲ μὴ τρέφειν συμβουλεύοντος. ἐπεὶ τοίνυν τὴν ἀλήθειαν οὗτοι τιμῶσιν, οὐκ Ἐρασίστρατον, ἐπιδεικτέον αὐτοῖς ἐστιν ὡς ὁ γεγραμμένος ὑπ' αὐτοῦ λόγος ἐν τῷ περὶ αἵματος ἀναγωγῆς, οὐκ ἔστιν ἴδιος ἐκείνου τοῦ πάθους, ἀλλὰ κοινὸς ἁπάσης φλεγμονῆς. ἔχει γοῦν ἡ ῥῆσις οὕτως. ἐχόμενος γὰρ τούτων περὶ τὴν ἀναγωγὴν ὁ περὶ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος ἐκλυθῆναι. οὕτως ὁ λόγος ἔχει πτύουσιν αἷμα. διὰ τοῦτο κωλύει φλεβοτομεῖσθαι τοὺς κάμνοντας. ἀλλ' ὅτι φλεγμονὴν ὑπείληφεν αὐτοῖς ἀκολουθήσειν, ἐν ᾗ φησὶ προσφέρειν μὲν οὐ ῥᾴδιον, ὅπερ ἐστὶ διδόναι σιτία, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος καταλυθῆναι τὴν δύναμιν. οὐδὲ ἐνταῦθ' ἴδιον αἵματος ἀναγωγῆς ἐστι, δι' ὃ φυλάξαιτ' ἄν τις τὴν φλεβοτομίαν, ἀλλὰ ἄμφω κοινὰ καὶ πρὸς τοὺς πυρετούς, τό, τε μὴ δοῦναι σιτία διὰ τὰς φλεγμονάς, τό, τε τῶν πραττόντων ἐπὶ φλεβοτομίας κίνδυνον καταλυθῆναι τὴν δύναμιν. εἰ δὲ προσέχοις τὸν νοῦν ἐπιμελέστερον ὁ, πρὸς Ἐρασιστράτου λόγος εἰρημένος ἀπαγορεύειν σοι δόξει τὴν φλεβοτομίαν ἐπὶ τῶν πυρεττόντων μᾶλλον ἢ τῶν αἷμα πτυόντων. ἐν ἀρχῇ μὲν γὰρ τῆς ἀναγωγῆς τοῦ αἵματος οὐδέ ποτε φλεγμαίνει τὸ ἐρρωγὸς ἀγγεῖον. αἱ δὲ ἀρχαὶ τῶν πυρετῶν ἐξ ἀνάγκης ἔχουσι κατὰ τὸν Ἐρασίστρατον ἀρχὴν φλεγμονῆς. εἴπερ οὖν, ὡς αὐτὸς ἐκεῖνος βούλεται, τοῖς ἐναργῶς φαινομένοις χρηστέον ἐστὶν εἰς τὴν τῶν ἀδήλων πίστιν, ὁρᾷ πολλὰ τῶν τραυμάτων κολληθῆναι φθάνοντα, πρὶν φλεβοτομηθῆναι. δυνατὸν οὖν ἐστι καὶ τὴν ἐρρωγυῖαν φλέβα μηδ' ὅλως φλεγμῆναι φθασάντων ἡμῶν, τἄλλα πρᾶξαι προσηκόντως, ἐκκενῶσαί τε τοῦ μέλλοντος ἐργάζεσθαι τὴν φλεγμονὴν αἵματος, ὁπόσον ἂν βουλώμεθα. εἴπερ οὖν ἐν ᾧ χρόνῳ φλεγμαίνει τὰ φλεγμαίνοντα φησὶν Ἐρασίστρατος ἀναγκαῖον εἶναι τὰς ἀσιτίας παραλαμβάνεσθαι, καὶ διὰ τοῦτο φοβεῖται προκαταλῦσαι τὴν δύναμιν τῇ φλεβοτομίᾳ, πολὺ μᾶλλον αὐτὴν ἐπὶ τῶν πυρεττόντων εὐλαβεῖσθαι προσήκει τῶν ἀναγόντων αἷμα. τούτων μὲν γὰρ ἐγχωρεῖ πρὸ τοῦ φλεγμῆναι συμφῦναι τὴν ἐρρωγυῖαν φλέβα, καὶ μᾶλλον ὅταν κενωθῶσι. τοῖς πυρέττουσι δ' ἀναγκαῖον ἐστι φλεγμαίνειν ἤδη τι μόριον. ὅτι δὲ ἐγχωρεῖ συμφῦναι τὸ ἀγγεῖον ἄνευ τοῦ φλεγμῆναι πάρεστι μέν τινι κἀπὶ τῶν ἄλλων ἁπάντων τραυμάτων πεισθῆναι. πολλάκις οἴδαμεν ἐπὶ τῶν μονομαχούντων ὅλον ἀναπτυχθέντα μηρόν, ἢ βραχίονα κολληθέντα πρὶν φλεγμῆναι, καὶ μᾶλλόν γε ὅτε ὡς Ἱπποκράτης ἔφη δαψιλὲς αἷμα παραχρῆμα συμβῇ ῥυῆναι. πολλάκις δὲ καὶ σύντρησιν εἰς τὰ κενὰ καλούμενα τοῦ θώρακος ἐντὸς τῆς τρίτης ἡμέρας ἐθεασάμεθα κολληθεῖσαν. ἀλλὰ καὶ πρώην τις ἐν παλαίστρᾳ πληγεὶς σφοδρῶς ἀνέβηξεν αἵματος αὐτίκα κοτύλας ὡς δύο, φλεβοτομηθεὶς δὲ παραχρῆμα καὶ τῶν ἄλλων ὡς ἐχρῆν γενομένων, οὔτε ἔβηξεν ἔτι τελέως καὶ ὑγιής ἐστι, κἀκ τούτων οἶμαί τινα συνορᾶν ὡς ἐπὶ τῶν ἤδη φλεγμαίνειν ἠργμένων ἀπέχεσθαι χρὴ μᾶλλον, εἴ τις Ἐρασιστράτῳ πείθοιτο φλεβοτομίας, εἴπερ ἐφ' ὧν οὐδέπω φλεγμαίνει. δῆλον δ' οὐδὲν ἧττον τοῦδε καὶ ὅτι τὰς φλεβοτομίας ὁ Ἐρασίστρατος, οὔτε σὺν ταῖς ἀσιτίαις, οὔτε πρὸ αὐτῶν παραλαμβάνει. ἀλλὰ γὰρ εἰς τοσοῦτον ἥκουσί τινες φιλονεικίας, ἢ ἀνοίας, ὥσθ' ὅταν ἀκούσωσι τῶν τοιούτων λόγων, λύειν μὲν αὐτοὺς οὐδ' ὅλως ἐγχωροῦσι. ὥσπερ δὲ μηδ' ἑνὸς εἰρημένου λόγου ἀρχὴν ἰδίαν ποιοῦνται τὴν λέξιν ἐκείνην μόνην προχειριζόμενοι καθ' ἣν ὁ Ἐρασίστρατος φησίν, ἀκόλουθον ἐστὶ μηδὲν προσφέρειν κατὰ τοὺς τῆς φλεγμονῆς καιρούς. κενούμεναι γὰρ αἱ φλέβες ῥᾷον παραδέξονται τὸ παρεμπῖπτον αἷμα εἰς τὴν ἀρτηρίαν. τούτου δὲ συμβαίνοντος, ἧττον φλεγμοναὶ ἔσονται. κᾆπειτ' ἐπ' αὐτῇ λέγουσιν αὐτὸ πρόδηλον εἶναι τὴν ἐκ τῆς φλεβοτομίας χρείαν. ὅπου γὰρ καὶ αὐτὴν τὴν ἀσιτίαν ὡς κενωτικὸν βοήθημα παραλαμβάνει, πολὺ δήπου μᾶλλόν φασιν ἐπὶ τὴν φλεβοτομίαν ἀφίξεται, πρὸς οὓς ἐάν τις εἴπῃ δι' ὧν λέγουσιν οὐ τομίαν τὸν Ἐρασίστρατον ἐπιδεικνύειν αὐτούς. ἀλλὰ τὸ τῆς εἰρημένης ἐπὶ τῆς ἀσιτίας ἀκόλουθον εἶναι δεῖ καὶ τῇ φλεβοτομίᾳ χρῆσθαι, καταγελῶντες, εἶτα σὺ μὲν φασὶ γινώσκεις τὸ ἀκόλουθον, Ἐρασίστρατος δ' οὐκ ἐγίνωσκεν. ἀγύμναστος ἦν δηλαδὴ τὸν λογισμόν, ὃν γεγύμνασαι σὺ μᾶλλον ἐκείνου, καὶ εἴπερ ἔζη συνεβουλεύσαμεν ἂν αὐτῷ παρά σε φοιτᾶν, ἵν' ἐθισθῇ γινώσκειν ἀκόλουθόν τε καὶ μαχόμενον. ἔπειτ' ἐντεῦθεν ἐκτραπόμενοι συνείρουσι τοὺς ἀσελγεῖς εἰς ὕβριν τῶν προσδιαλεγομένων, οὕτω πολλοὺς ἐφεξῆς ὡς μηκέτ' ἂν ἐπιτρέπειν φθέγξασθαι μηδενί, καὶ τοῦτ' αὐτοῖς ἐστι τὸ τέλος τῆς συνουσίας, ἀλλ' ἡμῖν γε νῦν

οὐχ ὡς αὖθις ἀμείψαι τὸν ὑπαρξάμενον λοιδορεῖσθαι ζητοῦμεν, ἀλλὰ πρῶτον μὲν εἰ Ἐρασίστρατος ἐχρήσατο φλεβοτομίᾳ, δεύτερον δὲ περὶ τῆς δυνάμεως τοῦ βοηθήματος. ἑκατέρου δ' αὐτῶν αἱ ἀποδείξεις εἰσὶν ἴδιαι. τοῦ μὲν μὴ χρῆσθαι φλεβοτομίᾳ τὸν ἄνδρα τά τε συγγράμματα αὐτοῦ καὶ τῶν μαθητῶν οἱ ἀξιοπιστότατοι, καὶ τοῦ Χρυσίππου διδασκαλεῖον ἅπαν. τῆς δὲ τοῦ βοηθήματος δυνάμεως οὐκέτι ταῦτα. προτάσεις δέ τινες ἀληθεῖς, ἅμα τοῖς οἰκείοις συμπτώμασι. εἰ δ' ἐάσας τις ταῦτα πάντα τὴν ἀκολουθίαν μόνην ἐπισκέψασθαι βούλοιτο, κινδυνεύσει τὰ σαφῶς ὑπ' Ἐρασιστράτου γεγραμμένα, μηδ' ὅλως οἴεσθαι γεγράφθαι. πρόχειρον γοῦν μοι τὸν νῦν ἐντεῦθεν ἀρξάμενον, ἐν ᾧ περὶ αἵματος ἀναγωγῆς αὐτὸς ἐπαινῶν Χρύσιππον, ὡς καλῶς ἀντὶ τῆς φλεβοτομίας τοῖς δεσμοῖς τῶν κώλων χρώμενον ἔγραψεν αὐτοῖς ὀνόμασι ταυτί. τὸ δὲ αὐτὸ τοῦτο βούλονται ποιεῖν καὶ φλεβοτομοῦντες τοὺς ἀνάγοντας αἷμα. ἀλλὰ πολὺ βέλτιον ὁ Χρύσιππος, οὐ μόνον τὸ παρὸν ἐπιβλέπων, ἀλλὰ καὶ τοῦ ἐπιφερομένου κινδύνου φροντίζων. ἐχόμενον περὶ τὴν ἀναγωγὴν ὁ περὶ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον, φλεβοτομηθέντα δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντα κίνδυνος ἐκλυθῆναι. οὐκέτι προσέθηκεν ἐνταῦθα τὴν αἰτίαν δι' ἣν ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς ἀσιτίαν ἀξιοῖ. λέλεκτο γὰρ δ' αὐτῷ περὶ τούτου. ἡ δὲ κατ' ἐκείνην τὴν ῥῆσιν ἐν ᾗ φησιν. ἀκόλουθον δὲ καὶ τὸ μηδὲν προσφέρειν τοῖς τε τραυματισμένοις ὑπὸ τοὺς τῆς φλεγμονῆς καιρούς. στερούμεναι γὰρ αἱ φλέβες τῆς τροφῆς ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. τούτου δὲ συμβαίνοντος ἧττον αἱ φλεγμοναὶ ἔσονται. ὥστε τὴν ἀσιτίαν ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς διὰ τοῦτο ἐπαινεῖ, διότι κενοῖ τὰς φλέβας. ἀλλὰ ἐὰν ἑνώσῃς τοὺς εἰρημένους δύο λόγους εἷς ἔσται τοιοῦτος. ὀρθῶς ὁ Χρύσιππος οὐκ ἐφλεβοτόμει τοὺς ἀνάγοντας αἷμα διὰ τὸ χρήζειν αὐτοὺς ὀλίγον ὕστερον κενωτικοῦ βοηθήματος τῆς ἀσιτίας. οὕτως δ' αὐτὸς πάλιν ὁ λόγος, καὶ διὰ συντομωτέρων λεχθῇ τοιοῦτός τις ἔσται. οὐκ οὖν χρὴ κενοῦν τοὺς ἀνάγοντας αἷμα διὰ τὸ μικρὸν ὕστερον ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς κενώσεως χρήζειν. ἔτι δὲ σαφέστερον οὕτως ἂν ῥηθείη. πρὸ τοῦ καιροῦ τῆς φλεγμονῆς οὐ δεῖ κενοῦσθαι τὰς φλέβας, ὅτι κενουμένων αὐτῶν αἱ φλεγμοναὶ παύονται, καὶ μὴν πρόδηλός γε ὁ λόγος οὗτος ἐναντιούμενος πρὸς ἑαυτόν. πλὴν οὖν εἴ τις αὐτῷ βοηθῶν ἰταμῶς δύο ταῦτα εἰσηγοῖτο τό τε βέλτιον εἶναι κενοῦν τὸ σῶμα κατὰ τὸν τῆς φλεγμονῆς καιρὸν οὐ πρόσθεν, ἀσιτίαν τε μᾶλλον, ἢ φλεβοτομίαν, ἀλλ' ἐᾶν. ταῦτα λέγοντα οὔτε ἀποδεδεῖχθαι τὸ προκείμενον φήσομεν οὔθ' ὁμολογούμενον ὑπάρχον ἑαυτῷ. διαφέρεται γοῦν τοὺς λόγους τὰ μέρη μὴ σώζοντα τὴν ἀκόλουθον*. ἐναργῶς γὰρ φαίνεται πᾶσιν ἀνθρώποις. ὅσοι γὰρ ἔχουσιν νοῦν τε καὶ σμικρὸν ὥστε σκοπεῖν ὡς θεμένω, τὸ παρεμπεπτωκὸς εἰς τὰς ἀρτηρίας αἷμα διὰ τοῦ κενῶσαι τὰς φλέβας εἰς τὴν οἰκείαν ἐπανάγειν χώραν, ὅτι τάχιστα τοῦτ' εἶναι πρακτέον. ἐναργὲς δὲ καὶ ὅτι βοηθήματι κενωτικῷ χρηστέον ἐλαχίστῳ τε χρόνῳ τὴν κένωσιν ἐμποιήσασθαι δυναμένῳ καὶ χωρὶς τοῦ κακῶσαι τὸ σῶμα. δέδεικται γὰρ ὀλίγον ἔμπροσθεν ὅσα βλάπτουσιν αἱ ἀσιτίαι πολλάκις τοὺς κάμνοντας. ἐξεῖναι γοῦν τινὶ λέγειν οὑτωσί, γελοιοτάτους ἐγὼ νομίζω τοὺς ὑπολαμβάνοντας Ἐρασίστρατον ἐπὶ τῶν ἀναγόντων αἷμα χρῆσθαι φλεβοτομίᾳ. ὅπου γὰρ ἀσιτίαν ὡς κενωτικὸν ἐπαινεῖ βοήθημα, πολὺ δήπου μᾶλλον αὐτὴν ἐπαινέσει τὴν φλεβοτομίαν. ὅπου δὲ κατὰ τὸν τῆς φλεγμονῆς καιρὸν ἡγεῖται δεῖν ἔτι κενοῦν, εὔδηλον ὅτι μᾶλλον ἀρχομένης αὐτῆς ἢ μελλούσης ἐπαινέσει τὴν κένωσιν. οὐ γὰρ οὕτω γ' ἦν ἀμαθὴς Ἐρασίστρατος, ὅτι θᾶττον πολὺ ἐκ τῶν ἀρτηριῶν εἰς τὰς φλέβας ἐπανάξει τὸ αἷμα κατὰ τὴν ἀρχὴν τῆς παρεμπτώσεως, οὔτε σφηνουμένου ἤδη σφοδρῶς, οὔτ' ἐξικμασμένου ὑπὸ τῆς πυρετώδους θερμότητος, διὰ τοῦτο παχὺ γεγενημένου. ὁ ταῦτα λέγων* ἆρ' οὐκ ἂν εἴη γελοῖον ἑαυτὸν ἀποφαίνων οὐκ ἐκείνους οἷς ἐγκαλεῖ. γεγραφότος γοῦν αὐτοῦ τοῦ Ἐρασιστράτου μὴ χρῆσθαι φλεβοτομίᾳ, διότι φυλάττειν ἄμεινον ἐστὶν ἐν τῷ τῆς φλεγμονῆς παραληφθήσεσθαι.

ἴσχειν ἀνίατον, ἢ πάντως γε δυσίατον, οἷα καὶ ταῖς αἱμορροΐσιν ἐπιγίνεται. λεγόντων δ' ἡμῶν ὡς οἱ τῶν κώλων δεσμοὶ τὸ πλῆθος εἰς ἑαυτοὺς ἀγαγεῖν εἰσιν ἱκανοὶ χωρὶς τῆς φλεβοτομίας, ἀδύνατον ἔφασκεν εἶναι γενέσθαι τοῦτο κατὰ τὰς πληθώρας, ἐφ' ὧν αὐτὸς ὁ Ἐρασίστρατος ἔφη παραπίμπρασθαι βραχίονάς τε καὶ χεῖρας, καὶ κνήμας, τοῦτο γὰρ εἶναι τὸ παραπίμπρασθαι γίνεσθαι διὰ πλῆθος τοῦ αἵματος τεινομένων τῶν ἀγγείων. πῶς οὖν ἔτι δυνατὸν εἰς αὐτὰς μεταστῆσαι τὸ κατὰ βάθος, ὁπότε φαίνεται καὶ τὸ χωρὶς ἐκείνου κινδυνεύειν ἤδη ῥαγῆναι; καὶ μὴν Ἐρασίστρατον γεγράφαμεν ἐπαινεῖν Χρύσιππον, οὐ μετὰ τοῦ διορίσασθαι τὸν λόγον, ὡς νῦν ποιήσω γράψας, ἀλλ' ἁπλῶς ἀποφηνάμενος. ἔχει γὰρ ἡ λέξις ὧδε. ἀποδέσεις δὲ ποιεῖσθαι ἐρίοις παρ' αὐτὰς τὰς μασχάλας καὶ τοὺς βουβῶνας. ἀποδέσεις ἔφη ποιεῖσθαι, μηδὲν ἔτι προσθεὶς τῷ λόγῳ πότερον ἐπὶ μὲν τῶν πληθωρικῶν οὐδὲν μὲν ὀνήσει τὸ βοήθημα, τοὺς δὲ ἄλλους ὠφελήσει, ἀλλ' ἁπλῶς ἀποφηνάμενος ἵν' ἐπὶ πάντων σκοπῶμεν. τί γὰρ ἔφη προσέθηκεν ἐπὶ πάντων ἀκούσωμεν οὑτωσί πως γράψας. ἀποδέσεις ποιεῖσθαι. ἐρειδίων ἐπὶ πάντων. ἀλλ' ἁπλῶς εἶπεν, ἀποδέσεις ποιεῖσθαι ἐρίοις παρά τε τὰς μασχάλας καὶ τοὺς βουβῶνας, ὡς ἡμῶν δυναμένων νοεῖν ἐπ' ἐκείνων εἰρῆσθαι τὸν λόγον, ἐφ' ὧν ἐστὶ δυνατὸν εἰς τὰ κῶλα μεταχθῆναι τοῦ αἵματος. ὡς ἐφ' ὧν ἀδύνατον, οὐδὲ ἐπιχειρητέον ἐστὶ τοῖς τῶν κώλων δεσμοῖς. τί δή ποτ' οὖν ἔφαμεν οὐκ αὐτὸ τοῦτο ἔγραψεν ὁ Ἐρασίστρατος ὡς σὺ νῦν εἶπες. ὡς ἐπὶ μὲν τῶν οὕτω πληθωρικῶν, ἐν οἷς παραπίμπρανται βραχίονές τε καὶ κνῆμαι καὶ πήχεις, αἵματος ἀφαιρεῖν προσήκει, τῶν δ' ἄλλων διαδεῖν τὰ κῶλα; ὅτι ἔφην ἀνθρώποις ἔγραψεν οὐ κοινοῖς δυναμένοις τὰ ἀκόλουθα γνῶναι καὶ πρᾶξαι ταῦτα, καὶ μὴ δὲ ἐπιχειρεῖν ὅλως ἀδυνάτοις. μὴ δεῖν κελεύσῃς οὖν ἡμᾶς ἔφαμεν ὅταν μέν ποτε πληθωρικὴ διάθεσις ᾖ κατὰ τὸ σῶμα, κἂν Ἐρασίστρατος μὴ γράψῃ, φλεβοτομίαν. ἐναργὲς γάρ ἐστι τοῦτο καὶ φαίνεσθαι σαφῶς ἅπασι, καὶ διὰ τοῦτο μηδ' ὑπ' Ἐρασιστράτου γεγράφθαι, τὰς ἄλλας διαθέσεις

ὅσαι

ἔσται χωρὶς πληθώρας εἶσιν Ἐρασίστρατος ἔγραψεν ἰᾶσθαι. τὸν δὲ πνεύσαντα πρὸς ταῦτα πρώτης μὲν ἐπακοῦσαι τῆς ἐκ τοῦ τρίτου περὶ πυρετῶν ἀξιῶ ῥήσεως. ἐφεξῆς δὲ καὶ τῆς ἐκ τοῦ προτέρου τῶν ὑγιεινῶν. ἔστι δὲ ἡμῖν ἐκ τοῦ τρίτου τῶν πυρετῶν ἥδε. περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν ἀρρωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις, ἀφαιρετέον ἂν εἴη πᾶσαν πρόσφοραν ῥοφημάτων τε καὶ σιτίων. γίγνονται γὰρ ὡς τὸ πολὺ αἱ τοὺς πυρετοὺς ποιοῦσαι τῶν φλεγμονῶν διὰ πληθώρας. διδομένων οὖν ἐν τοῖς τοιούτοις καιροῖς προσφορῶν καὶ πέψεως καὶ ἀναδόσεως, τὰς κατ' αὐτὰς ἐνεργείας ἀναδιδουσῶν πληρουμένων ἀγγείων τῆς τροφῆς, ἐπὶ πλέον τε καὶ ἰσχυροτέρας συμβήσεται τὰς φλεγμονὰς γίνεσθαι. ἐν τούτῳ τῷ λόγῳ σαφῶς ὁ Ἐρασίστρατος ἔγραψέ τε τὸ τῆς πληθώρας ὄνομα, καὶ θεραπείαν αὐτῆς διδάσκων, ἀσιτίας μὲν ἐμνημόνευσε, φλεβοτομίαν δὲ ἐσιώπησε. ὥστε καὶ τετράκις ἐψεύσω βέλτιστε πρὸς τὸν Ἐρασιστράτειον ἔφην, ἐπειδὴ φαίνεται καὶ θεραπείας πληθώρας ὁ Ἐρασίστρατος γράψας. οὕτω δὲ κἀν τῷ προτέρῳ τῶν ὑγιεινῶν, μετὰ τὸ προειπεῖν ὅπως ἄν τις γνωρίζοι πληθώρας ἐφεξῆς ἰάματα γράφων, πάντων μᾶλλον ἢ φλεβοτομίας ἐμνημόνευσεν. ἔχει δὲ ἡ ῥῆσις ὧδε· μεγίστην δὲ ἔχειν πίστιν εἰς ὑγείας φυλακήν, ὡς ἔμπροσθεν συμβαλλόμενον τὸ γνῶναί τε καὶ φυλάξασθαι δύνασθαι τὴν περὶ πληθώραν διάθεσιν. δι' ὧν μὴ δεῖ μάλιστα μὲν ἀρχομένης αὐτῆς διαλύειν. εἰ δὲ μὴ προσελθούσης πρὸ τοῦ ἀρχὴν ἀρρωστίαν ποιῆσαι. πλείους δὲ τρόποι τοῦ διαλύειν τὴν τοιαύτην διάθεσίν εἰσιν, καὶ οὐχ οἱ αὐτοὶ πᾶσιν ἁρμόζουσιν, περὶ ὧν ἂν ἐφεξῆς εἴη τοῦ λέγειν. τοῖς μὲν οὖν εἰθισμένοις διαπονεῖν τῶν σωμάτων κράτιστον ἂν εἴη, τοὺς συνήθεις πόνους μικρῷ πλείους ποιοῦντας διαλύειν πειρᾶσθαι τὴν τοιαύτην διάθεσιν, μετὰ δὲ τὰ γυμνάσια ἱδρῶτάς τε ἐν βαλανείῳ ἐκκρίνειν, ἢ διὰ πυριάσεως ἐξηράνθαι συνήθους καὶ λουτρῷ πλείονι χρῆσθαι, καὶ μετὰ ταῦτα πάντα ἐν ἡσυχίᾳ πλείονι γίνεσθαι πλείω χρόνον μηδὲν προσφερόμενον. οὗτος γὰρ καιρὸς μάλιστα συναιρεῖ τὴν πληθώραν ὁ ἀπὸ τῶν γυμνασίων καὶ τοῦ λουτροῦ, ἐὰν μηδενὸς προσενεγκάμενος τις ἡσυχάζῃ πλείονα χρόνον μετὰ ταῦτα. ἀρίστου μὲν ἀφαιρεῖσθαι. τὸ δὲ δεῖπνον ἔλασσον λαμβάνειν, καὶ ὀλίγους ἀτρόφους εἶναι τοὺς προσφερομένους. εἴη δ' ἂν τὰ τοιαῦτα, λαχάνων τε γένη ὠμῶν καὶ ἑφθῶν καὶ κολοκύνται, καὶ σίκυοι, πέπονές τε οἱ ἁπαλοί, καὶ σῦκα χλωρά, καὶ τῶν ὀσπρίων τινὰ μετὰ λαχάνων ἑψόμενα, ἄρτος τε μὴ πεπονημένος. ἅπαντα γὰρ τὰ τοιαῦτα, τὴν μὲν κοιλίαν εὐέκκριτον ποιοῦσι, τὰ δὲ ἀναδιδόμενα ἀπ' αὐτῶν, οὐδὲ πολλὰ οὐδὲ ἰσχυρά ἐστι. κρεῶν καὶ ἰχθύων, καὶ τῶν ἑψημάτων τῶν μετὰ γάλακτος χόνδρου τε καὶ ἀμύλου, καὶ πάντων τῶν τοιούτων, ἀφεκτέον ἐν τῷ εἰρημένῳ καιρῷ ἢ ὀλίγοις παντάπασι. χρῆσθαι δὲ τῇ ἀγωγῇ τῆς ἐπιμελείας ταύτης, ὡς ἂν ἀσφαλῶς καθαιρεθῇ ἡ γενομένη πληθώρα. οἷς δὲ μὴ σύνηθες τὸ μὴ διαπονεῖν τῷ σώματι οὐκ ἐπιτήδειον γυμνάσια πλείω ἐμβάλλειν. ταῦτα γὰρ ὁμοίως τοῖς πλείστοις ἀσφαλεῖς ποιεῖται τὰς κενώσεις. χρήσιμον δὲ πᾶσι κοινὸν ὅσοι τυγχάνουσιν εὐεμεῖς ὄντες, τοὺς ἀπὸ τοῦ δείπνου ἐμέτους ποιεῖσθαι, ἐὰν μὴ πρός τι ἄλλο ἀνάρμοστοι ὦσι, μὴ πολὺν χρόνον διαλείποντας ἀπὸ τῆς προσφορᾶς, ἵνα μετέωρά τε τὰ σιτία λαμβάνονται πρὸς τὸ ἐμεῖν, καὶ μὴ πολὺ πρὸ τοῦ ἐμεῖν τὰ ἀναδιδόμενα ἀπ' αὐτῶν. τῇ δὲ ὑστεραίᾳ ἀριστᾶντε, καὶ ἱδρῶτας καὶ λουτρὰ ποιεῖσθαι. κενωθέντος δὲ τοῦ σώματος καὶ τῆς πληθώρας ἀποκατάστασιν λαβούσης, συντόμως ἐπὶ τὰ εἰθισμένα ἐπαναγαγεῖν. ἔν τε οὖν τούτῳ τῷ λόγῳ πάντα σαφῶς ὁ Ἐρασίστρατος ἐδήλωσεν. ἄλλοις μὲν τοῖς βοηθήμασιν ἑαυτὸν χρώμενον ἐπὶ τῆς πληθωρικῆς διαθέσεως οὐ χρώμενον φλεβοτομίᾳ, καὶ πάλιν ἐν τοῖς κατωτέρω τοῦ συγγράμματος, ἔνθα φησίν. ἐννοεῖν δὲ χρὴ καὶ τὰ τοιαῦτα διότι οὐ πάντες ἄνθρωποι ἐπὶ ταῦτα φέρονται πάθη, ἀλλὰ γενομένου περὶ πλείους τοῦ αὐτοῦ συμπτώματος, λέγω δὲ πληθώρας οὐ πᾶσιν ἐπὶ τοὺς τόπους εἴθισται ἡ ὁρμὴ γίγνεσθαι, ἀλλὰ τοῖς μὲν ἐπὶ τὸ ἧπαρ, ἐνίοις δὲ ἐπὶ τὴν κοιλίαν, ἄλλοις δὲ εἰς ἐπιληπτικὰ πάθη, τοῖς δὲ ἐπὶ τὰ ἄρθρα. ἕκαστον οὖν δεῖ συνθεωροῦντα τὰ εἰθισμένα ἑαυτῷ συμβαίνειν τὴν ἁρμόζουσαν φυλακὴν γιγνομένοις πάθεσι ποιεῖσθαι. οὐ γὰρ ὡσαύτως φυλακτέον τῷ εἰθισμένῳ εἰς ἐπίληπτον φέρεσθαι, καὶ τῷ εἰς αἱμοπτυικά, ἀλλὰ τῷ μὲν εἰς πόνους ἀφειδῶς δοτέον, τῷ δὲ φυλακτέον τὰ ἐπιπονώτερα γυμνάσια. κίνδυνος γὰρ ἂν εἴη ἐν τῷ διαπονεῖν ἀρχὴν ῥήξεως γενέσθαι. ὁμοίως τῷ μὲν εἰς ἐπιληπτικὰ φερομένῳ, ἀφειδῶς αὐτὸν διδόναι εἰς ἀσιτίαν τε καὶ ὀλιγοσιτίαν. τὰ δὲ πλείω λουτρά, καὶ μεταβολὴν ἰσχυρὰν ποιοῦντα, φυλακτέον. τῷ δὲ ἐπὶ νεφριτικὰ πάθη φερομένῳ σιτία μὲν ἐλαφρὰ ποιεῖν, λουτροῖς δὲ ἀφειδῶς χρῆσθαι, τό τε πινόμενον οὐκ ἐπιτήδειον συστέλλειν, ἵνα μὴ δριμέων τῶν οὔρων γινομένων, ἀναδάκνονται οἱ τόποι δι' ὧν φέρεται ἡ ἔκκρισις, ἐργασίας τε καὶ τὸ διαπονεῖν πλείω τοῖς τοιούτοις. οἷς δὲ ἐπὶ σπλῆνα, ἢ τὸ ἧπαρ εἴθισται φέρεσθαι, κόπους τε καὶ ψυχρολουσίαν εὐλαβητέον, ἀσιτίαις τε, καὶ ὀλιγοποσίαις, καὶ λουτροῖς τὸ ἐπίπαν τὴν φυλακὴν ποιεῖσθαι. ἐν τούτοις πάλιν ὁ Ἐρασίστρατος ἐναργῶς ἐνεδείξατο τὴν αὐτοῦ γνώμην. ἄγε τοὺς ἐκ πληθώρας ἤτοι γε αἷμα πτύσειν μέλλοντας, ἢ τοῖς ἐπιληπτικοῖς ἁλώσεσθαι πάθεσι, οὔτε διὰ τῶν ἰσχυρῶς καθαιρόντων φαρμάκων ἐπεχείρησε κενοῦν. ἀλλ' οὐδὲ διὰ πλήθους τρίψεως ἀσθενεστέρου μὲν ἢ κατ' αὐτὰ βοηθήματος, ἰσχυροτέρου δὲ οὐ σμικρῷ μόνης τῆς ἀσιτίας. πλήθει γοῦν τρίψεως ἐνίους τῶν τοιούτων ἐκκενώσαμεν ὑπὸ μαλακίας ψυχῆς, οὔτε καθαῖρον φάρμακον ὑπομένοντας λαβεῖν, οὔτε ἐπιτρέποντας τέμνειν τὴν φλέβα. καὶ εἴπερ ἦν ἱκανὸν ἐπὶ πάντων τὸ βοήθημα τοῦτο, τάχα ἄν τις ἀντὶ φλεβοτομίας αὐτῷ χρῆσθαι διηνεκῶς ἐδύνατο. νῦν δὲ οὐκ ἔστιν ὅτε μικρότερον εὑρίσκεται τὸ κατὰ τὸ σῶμα πληθώρας, καὶ μάλιστα ἀηθῶν τρίβεσθαι κοπώδεσιν αὐτίκα διαθέσεσιν ἁλισκομένων, ἢν ἐπὶ πλέον τριφθῶσιν. ἔνιοι δὲ πυκνὸν καὶ σκληρὸν ἔχουσι τὸ δέρμα, κἂν πλείστη τρίψις προσαχθῇ κένωσις βραχυτάτη γίνεται. εἰ δέ τις ἰατρὸς ἐπιμελῶς ὁμιλήσειε τοῖς ἔργοις τῆς τέχνης αὐτῇ τῇ πείρᾳ διδαχθείς, οἶδεν ὅπως ἐπικαλεῖται παροξυσμὸν ἐπιληπτικόν, ἡ τοῦ στομάχου κένωσις. ἔγνων δὲ καὶ τοὺς ἐπὶ κακοπραγίᾳ μόνῃ στομάχου ταῖς ἐπιληψίαις ἁλισκομένους, ὧν ἔνιοι βλάπτονται μεγάλως ὑπὸ τῆς ἀσιτίας, ὥσπερ γε καὶ Διόδωρος ὁ γραμματικός. οὗτος γὰρ εἴ ποτε κατά τινα περίστασιν γραμμάτων ἐπὶ πλεῖον ἄσιτος διετέλεσεν, ἐπιληπτικὸς ἐσπᾶτο. καὶ τοίνυν ἐπεγνώκαμεν αὐτῷ βοήθημα τι περὶ τρίτην ὥραν ἢ τετάρτην ἄρτον προσλαμβάνειν ἐξ οἴνου κεκραμένου. καὶ τούτῳ χρώμενος, ἔτη ἤδη πολλὰ ὑγίαινε, μόνου φροντίζων ἑνὸς τοῦ πέττειν ὅτι κάλλιστα τὴν ἐπὶ τῷ δείπνῳ τροφήν. καὶ ποτὲ διά τινα χρείαν πολιτικὴν

ἀναγκασθεὶς ἐπὶ τῆς ἀγορᾶς, ἕως μεσημβρίας ἄσιτος διατρῖψαι, καταπεσὼν ἑάλω. οὗτος μὲν οὖν, ὡς ἔ-
φην, ἐπὶ τῷ στομάχῳ κακοπραγοῦντι ταῖς ἐπιληψίαις ἡλίσκετο. τοὺς δὲ ἄλλους εἰ καὶ μὴ μόνους ἀλλ᾽ ὅταν ἐπιτη-
δείως ἔχει, συμπαροξύνει τε κἀξ ἑλκει διὰ ταχέων ὁ στόμαχος βλαβεὶς εὔδηλον. ἔστι δ᾽ ὅτι τὸ στόμα τῆς γαστρὸς
ὀνομάζεται στόμαχος ὑπὸ τῶν ἰατρῶν. ἐν ταύταις ταῖς διαθέσεσι, καὶ πολλοῖς γε ἤδη πρὸ ἡμῶν ἐγνώσθη-
σαν αἱ τοιαῦται διαθέσεις ὑπὲρ ὧν ἑτέρωθι κάλλιον εἰπεῖν. ἐν δὲ τῷ παρόντι μέχρι τοσούτου λελέχθαι μετρίως
διηλεγχόντων ἡμῶν ὅτι πολλοὶ τῶν ἐπιλήπτων ὑπὸ τῶν μακροτέρων ἀσιτιῶν κακούμενοι τὸν στόμαχον ἐξ αὐτοῦ τό-
τε παροξύνονται. ὑποκείσθω τοίνυν, ὁ μὲν ἄνθρωπος εἶναι πληθωρικὸς οὕτως ὡς παραπεπρῆσθαι βραχίονάς τε
καὶ τὰ περὶ μηροὺς καὶ κνήμας, ἡ δ᾽ ὥρα τοῦ ἔτους ἔαρ εἰσβαλόν, οὐδὲ γὰρ οὐδὲ αὕτη σπάνιος ὑπόθεσις, ἀλλ᾽ ἡμεῖς
μὲν καὶ πάνυ πολλάκις ἐθεασάμεθα διακειμένους οὕτως ἀνθρώπους ἐν ἐκείνῳ τῷ καιρῷ. προσυποκείσθω δὲ
καὶ τρίψεων εἶναι καὶ γυμνασίων ἀήθης ὁ τοιοῦτος, ὑπό τε τῆς ἀσιτίας κακούμενος, εἶτα ζητῶμεν ὅπως αὐτὸν
κενώσωμεν. ἆρά γε λουτροῖς πλείοσιν ἢ γυμνασίοις, ἢ τοῖς ἀπὸ δείπνων ἐμέτοις ἢ ἀσιτίαις. ταῦτα γάρ ἐστιν
Ἐρασιστράτῳ πλήθους ἰάματα. γυμνάσια μὲν οὖν οὐδὲ αὐτὸς ἀξιοῖ χρῆσθαι τοὺς ἀήθεις. λουτρῶν δὲ εἴργει πάν-
τας ἁλῶναι πάθεσιν ἐπιληπτικοῖς. εἴρξει δ᾽ οἶμαι καὶ τῶν ἐμέτων αὐτοὺς ἐναργῶς πληρούντων κεφαλήν. ἡ δ᾽
ἀσιτία μόνη τῶν οὕτω πεπληρωμένων ὡς τάσεως σφόδρα αἰσθάνεσθαι κατὰ τὰ σκέλη καὶ τὰς χεῖρας οὐχ ἱκα-
νὴ κενοῦν αὐτάρκως μετὰ τοῦ καὶ βλάπτειν ἰσχυρῶς, εἰ τὸν στόμαχον ἔχοιεν εὐπαθῆ. πῶς οὖν αὐτὸν κενώσομεν;
ἆρά γε μόναις τρίψεσιν; ὧν οὐδ᾽ ὅλως ἐμνημόνευσεν Ἐρασίστρατος. ἀλλὰ τοῖς ἀήθεσιν οὐχ οἷόν τε τρῖψιν το-
σαύτην προσφέρειν ὡς αὐτάρκως κενῶσαι; ἢ διαδήσωμεν αὐτὸν ἐρίοις; ὅπερ οὐδὲ ὅλως εἶπεν ὁ Ἐρασίστρατος
ἐνταῦθα, καίτοι γε ἐν τῷ περὶ αἵματος ἀναγωγῆς εἶπεν. ὑποκείσθω δ᾽ ὡς εἴρηκεν ἐκ περιουσίας ἡ σκέψις γε-
νηται. ἀλλ᾽ εἴρηται καὶ πρόσθεν ὡς ἀνιαρόν τε ἀλλὰ καὶ ἀδύνατον εἶναι τὸ βοήθημα τοῦτο, τοὺς εἰς τοσοῦτο πληθώ-
ρας ἥκοντας ὡς εἰς τὰ κῶλα πεπρᾶσθαι νομίζειν. οὐδὲ ἐκεῖνο δυνατὸν εἰπεῖν, ὅπερ ἐν τῷ περὶ αἵματος ἀνα-
γωγῆς ὁ Ἐρασίστρατος ἔγραψεν. ὡς ἐχόμενός τε περὶ τὴν ἀναγωγὴν ὁ κατὰ τὴν φλεγμονὴν κίνδυνος ἐστίν. ἐν
ᾧ τῶν ἀσιτιῶν ἀναγκάζει. ὡς παραλαμβανομένων οὐ χρὴ τῇ φλεβοτομίᾳ προσκαταλελύσθαι τὴν δύναμιν. οὐ-
δὲ μία γὰρ ἀνάγκη φλεγμονὴν ἀκολουθῆσαι τῇ πληθώρᾳ φθασάντων αὐτὴν κενῶσαι. ἀλλά τοι καὶ τούτου τοῦ
πιθανοῦ μὲν οὐ μὴν ἀληθοῦς κατὰ τὴν τῶν ὑγιαινόντων πραγμάτων ἐκποδὼν ὄντος, ὅμως ὁ Ἐρασίστρατος οὐκ ἐτόλ
μησεν ἐκκενῶσαι διὰ φλεβοτομίας, τὸ μέλλον ἤτοι γ᾽ ἐπιληψίαν, ἢ αἵματος ἀναγωγὴν ἐργάζεσθαι πλῆθος.
οὕτως ἄρα προκείμενον ἐστὶν αὐτὸ διαφυλάττειν ἀεὶ τὸ τοῦ Χρυσίππου, καὶ μὴ φλεβοτομίᾳ χρῆσθαι, μή τέ τινι τῶν
ἰσχυρῶς καθαιρόντων φαρμάκων. ἐνίων γοῦν καὶ διὰ φλεβοτομίας, ἀλλὰ καὶ διὰ καθάρσεως γέ τινος ἐκκενῶσαι
τὸ πλῆθος. οὐ μὴν γε ὁ Ἐρασίστρατος ἔγραψεν ὑπὲρ αὐτῶν, ὥσπερ γε οὐδὲ ἐν τοῖς περὶ παραλύσεως, ἢ περὶ πο
δάγρας. αἰτιᾶται μὲν γὰρ κἀκεῖ τὴν πληθώραν, οὔτε δὲ φλεβοτομίας, οὐδέ τινι τῶν δραστηρίων χρῆται καθαρτι-
κῶν φαρμάκων. ἔτι δὲ ἐναργέστερον ἐδήλωσε τὴν ἑαυτοῦ γνώμην ἐν τῷ περὶ αἵματος ἀναγωγῆς, ἐν ἐκείνῳ τῷ
μέρει τοῦ γράμματος ἔνθα φασὶν ἐνίους τῶν ἀνθρώπων εἰς κίνδυνον ἥκειν αἵματος ἀναγωγῆς ἐπισχεθείσης
αὐτοῖς συνήθους ἐκκρίσεως. μεμνημένος γὰρ ἅμα ταῖς ἄλλαις ἐπισχέσεσι καὶ τῆς τῶν ἄλλων αἱμορροΐδων ἀ-
φαιρέσεως. οὐχ ἁπλῶς εἶπεν ὅτι κενοῦν χρὴ τοὺς τοιούτους, ἀλλὰ κατ᾽ εἶδος ἔγραψε τὰ κενωτικὰ βοηθήματα. κα-
θάπερ ἐν τοῖς ἄλλοις βιβλίοις, οὕτω κἀνταῦθα τὰ δοκοῦντα αὐτῷ πάντα χωρὶς τῆς φλεβοτομίας. ἔχει δὲ ἡ
» ῥῆσις ὧδε. τοῖς μὲν οὖν νῦν ἐνεστῶσιν οἷς ἔκκλυσις αἵματος πλείων εἴθισται γίγνεσθαι, ἐκκρίσεις ἁρμόττοιεν ἂν
» οὐρήσεων τε καὶ ἱδρώτων. ἁρμόζει δὲ καὶ συστολὴ τῶν προσφερομένων, καὶ περιπάτων πλῆθος ἐπιπέδων
» μὴ ταχέων. ἐν τούτοις πάλιν ἱδρῶσιν καὶ οὔροις καὶ ἀσιτίαις καὶ περιπάτοις ἐκκενοῦν τὸ πλῆθος, οὐ χρῆ-
ται φλεβοτομίας. καὶ μὴν εἰ μήτε πρὶν γενέσθαι τὴν φλεγμονήν, μήτε γενομένης ἢ ὑποπτευομένοις ἔσεσθαι
παραλαμβάνειν φλεβοτομίαν ὡσαύτως ἐδήλωσε δι᾽ ἑνὸς τούτου βιβλίου, περιττὸν ἦν κατ᾽ ἄλλην πραγμάτων
αὐτὸν μνημονεύειν φλεβοτομίας ἐν ᾗ φλεγμονὴν ἤτοι γεγενημένην ἤδη θεραπεύει, καθάπερ ἐν τῇ περὶ τῶν
πυρετῶν, ἢ μελλούσαν, ἢ ὑποπτευομένην, ἢ ἀρχομένην ὡς ἐν ταῖς ἄλλαις. ἀλλ᾽ οὐδὲν τούτων ὁρῶντες ἔνιοι τῶν
Ἐρασιστρατείων εἴπερ φασὶ ὡς κενωτικοῦ τε βοηθήματος χρῆται τῇ φλεβοτομίᾳ. καὶ γὰρ Ἐρασιστράτου σαφῶς
εἰρηκότος αὐτὸ τὸ ἐναντιώτατον. ἐπειδὴ γάρ φησι κατὰ τὸν φλεγμονῆς καιρὸν οὐκέτι ῥᾴδιον προσφέρειν σιτία
τούτῳ μὴ χρῆσθαι φλεβοτομίᾳ μελλούσης ἔσεσθαι φλεγμονῆς. ὁ τοίνυν λόγος οὗτος ἄντικρυς ἐνδείκνυται φυ-
λάττεσθαι φλεβοτομίαν, ἐφ᾽ ὧν μέλλομεν ἀσιτίαν συμβουλεύειν. οὐκ οὖν ἐνδέχεται καθ᾽ ἕνα καὶ τὸν αὐτὸν ἄρ-
ρωστον ἄμφω παραλαμβάνειν τὰ βοηθήματα, τὴν ἀσιτίαν καὶ τὴν φλεβοτομίαν. ὥς τε εὔδηλον εἴπερ εὕροι
Ἐρασίστρατος συμβουλεύοντος τὴν ἀσιτίαν μὴ χρῆσθαι τηνικαῦτα φλεβοτομίᾳ, διὰ τοῦτο γοῦν οὐδὲ ἐμνημόνευ-
σεν, ὡς ἔφην, ἔτι τοῦ βοηθήματος ἐν ταῖς ἄλλαις πραγματείαις. ἐν ἁπάσαις γὰρ αὐταῖς, ὡς δέδεικται, συμ-
†ἑτέρου βουλεύων ἀσιτίαν, ἀναιρεῖ δηλονότι τὴν φλεβοτομίαν. οὐκ ὀρθῶς μὲν πράττων, ὥσπερ καὶ καθ᾽ †ἑκατὸν ἐν
†γράμμα πρότερον, ὡς ἔφην, ἐδείχθη †πρᾶγμα, μικρότερον †ἁμαρτανόντων τῶν οἰομένων ἅπαντας ὅσοι χρήζουσι ἀσι-
†δ᾽ ἁμαρτάνων τίας, εὐθὺς τούτους δεῖσθαι φλεβοτομίας. ἐγὼ γὰρ ἐπιδείξω κατὰ τὸν ἑξῆς λόγον, οὐ μόνον ἅπαντας οὐ δεομένους
φλεβοτομίας, ἀλλ᾽ οὐδὲ τοὺς πληθωρικοὺς αὐτούς, ἐὰν μὴ πρότερον αὐτό τε τὸ πλῆθος ὁποῖόν τι τὴν φύσιν ἐστὶ
διορίσηται, καὶ μετὰ τοῦτο τὴν ἕξιν τοῦ κάμνοντος ἡλικίαν τε, καὶ ὥραν καὶ χώραν, καὶ κατάστασιν, ὅσα τε προηγεῖ-
ται, καὶ ὅσα πάρεστι τῷ κάμνοντι συμπτώματα. καθ᾽ ἕκαστον γὰρ τούτων ἐπιδείξω πολλοὺς μὴ φέροντας ἀβλα-
βῶς τὴν φλεβοτομίαν. ὥσπερ αὖθις πάλιν ἑτέρους ἐπιδείξω χωρὶς πληθώρας δεομένους φλεβοτομίας. ἐπειδὰν
δὲ ταῦτα διορίσωμαι τόν τε καιρὸν ἐρῶ τῆς φλεβοτομίας καὶ τὸ μέτρον. ἔτι τε πρὸ τούτων τὴν ἐν τοῖς τμηθησο-
μένοις φλεψὶ διαφοράν. εἰρήσεται δὲ καὶ περὶ τοῦ πλεονάκις ἢ ἅπαξ ἀφαιρεῖν. ἐπί τε τούτοις οὐδὲν ἧττον ὡς τινὲς
ἐν ἔαρι φλεβοτομεῖν, ἢ καθαίρειν ἔτι ὑγιαίνοντας προσήκει.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ
ΦΛΕΒΟΤΟΜΙΑΣ ΘΕΡΑΠΕΥΤΙΚΟΝ.

ΤΟΙΣ περὶ φλεβοτομίας σκοπουμένοις, ἓν μὲν καὶ πρῶτον ἐστὶ πρόβλημα, σκέψασθαι τὰς διαθέσεις τοῦ σώματος, ὅσαι δέονται κενώσεως. εἶθ' ἑξῆς δεύτερον, ὅσαι τῶν διὰ φλεβοτομίας, ὡς πολλαί εἰσι διαθέσεις, ἄλλαι μὲν τινὸς κενώσεως, οὐ μὴν φλεβοτομίας δεόμεναι. τρίτον ἐπὶ τούτοις σκέμμα διακρῖναι τοὺς δυναμένους ἀλύπως ἐνεγκεῖν τὴν κένωσιν. εὑρίσκεται γὰρ ἡ μὲν διάθεσις ἐνίοτε δεομένη φλεβοτομίας, ὁ κάμνων δ' οὐ φέρει αὐτήν, ἤτοι δι' ἡλικίαν, ἢ δι' ὥραν τοῦ ἔτους, ἢ διὰ τὴν τῆς χώρας φύσιν, ἢ διὰ κάκωσιν τοῦ στόματος τῆς γαστρός, ὃ καταχρώμενοι πολλάκις ὀνομάζουσι στόμαχον, ὥσπερ ἀμέλει καὶ νῦν ἐν ὅλῳ τῷ λόγῳ χρώμεθα τῇ προσηγορίᾳ βραχυλογίας ἕνεκεν. εἰσὶ δὲ οἳ καὶ διὰ τὴν ἕξιν ὅλου τοῦ σώματος, οὐ φέρουσι φλεβοτομίαν, εἰ καὶ μάλιστα αὐτῆς τυγχάνοιεν ὅσον ἐπὶ τῷ νοσήματι, δεόμενοι. ἣν δὴ καὶ ταῦτα διορίσεταί τις, ἡ περὶ τοῦ † μέρους σκέψις ἡμᾶς διαδέχεται. καθάπερ ἐπὶ παντὸς ἄλλου βοηθήματος. †καιροῦ εἶθ' ἑξῆς ἡ περὶ τῶν φλεβῶν ἃς χρὴ τέμνειν, ἐζήτηται γὰρ ἱκανῶς καὶ περὶ τούτων, ἆρά γε διαφέρει μηδέν, ἣν ἂν ἐθελήσῃ τις, τέμνειν φλέβα, ἅπασαι γὰρ ὡσαύτως ὠφελοῦσιν ἁπάσας τὰς διαθέσεις, ἢ καθάπερ Ἱπποκράτης καὶ οἱ δοκιμώτατοι τῶν ἰατρῶν ὑπειλήφασι πάμπολυ διαφέρειν τό, τήνδε πρὸ τῆσδε σχάσαι. διορισθέντος δὲ καὶ τούτου τοῦ σκέμματος, ἔσται ἑξῆς ὁ περὶ τῶν σκοπῶν λόγος, οἷς ἄν τις προσέχων τὸ νῦν, στοχάζοιτο τοῦ μέτρου τῆς κενώσεως. ἐπὶ δὲ τούτοις ἅπασιν, ἐπὶ τίνων μὲν ἅπαξ ἀφαιρεῖν ἄμεινον, ἐπὶ τίνων δὲ τὴν καλουμένην ἐπαφαίρεσιν ποιεῖσθαι προσήκει, καὶ τίνας μὲν ἄχρι λειποθυμίας κενοῦν, ἐπὶ τίνων δὲ φυλάττεσθαι ταύτην, ὡς μέγιστον κακόν. ταῦτα μὲν οὖν ἀναγκαῖον ἐστὶν ἐπισκέπτεσθαι τὸν μέλλοντα καλῶς χρῆσθαι τῷ βοηθήματι. καὶ λέλεκται περὶ πάντων αὐτῶν ἤδη κατὰ τὴν τῆς θεραπευτικῆς μεθόδου πραγματείαν. καθάπερ γε καὶ πρὸς Ἐρασίστρατον ἰδίᾳ περὶ τοῦ κακῶς αὐτὸν ἀποστῆναι τοῦ βοηθήματος. εἶτα αὖθις ἄλλο πρὸς ἐκείνους τῶν Ἐρασιστρατείων ὅσοι φασὶ κεχρῆσθαι τῷ βοηθήματι τὸν ἄνδρα. διὸ καὶ μισήσειεν ἄν τις, ἤτοι τὴν πανουργίαν τῶν μιαρῶν σοφιστῶν, ὅταν γιγνώσκοντες ὅτι ψεύδονται, ἐπιτεχνάζονται ἐπιθυμίᾳ καινοτομίας, ἢ τὴν δοξοσοφίαν, ὅταν ἀγνοοῦντες τὰ χρησιμώτατα, κατασκευάζουσι τῷ λόγῳ τἀναντία. τούτων γάρ τοι τὸ ἕτερον ὁ Κνίδιος Χρύσιππος ἔπαθεν ἐξελὼν παντάπασι φλεβοτομίαν τῶν βοηθημάτων τῶν ἰατρικῶν. ἠκολούθησαν δ' αὐτῷ καὶ οἱ μαθηταὶ Μήδιός τε καὶ Ἀριστογένης ἔνδοξοι καὶ αὐτοὶ παρ' Ἕλλησι γενόμενοι. τούτων δ' ἐπὶ μᾶλλον ὁ Ἐρασίστρατος εἰς δόξαν ἀρθεὶς λαμπροτάτην, ἐφύλαξε τὴν Χρυσίππου γνώμην. εἶθ' ἑξῆς οἱ τούτου μαθηταί, τό γε κατ' ἀρχὰς ἠκολούθησαν ἅπαντες τῷ τοῦ διδασκάλου δόγματι, χρόνῳ δ' ὕστερον ἀπέστησαν τινὲς αὐτοῦ, αἰδεσθέντες ἀναίσχυντον αἰδώ. τί γὰρ ἂν ἄλλο τις εἴπῃ πρὸς τοὺς ὑπομείναντας ἀποφήνασθαι προσίεσθαι τὸ τῆς φλεβοτομίας βοήθημα τὸν Ἐρασίστρατον, εἰ καὶ μηδαμόθι φαίνεται τῶν συγγραμμάτων ἐπὶ μηδενὸς πάθους αὐτὸ συμβουλεύων. ἀκόλουθον γὰρ οὖν ἦν φασὶ τῷ τὴν ἀσιτίαν ὡς κενωτικὸν βοήθημα παραλαμβάνοντι, καὶ τὴν φλεβοτομίαν πολὺ μᾶλλον ἐγκρίνειν. οἱ δὲ ταῦτα λέγοντες ἅπαντες ἀξιοῦσι φλεβοτομεῖν, ἐφ' ὧν Ἐρασίστρατος ἐκέλευσεν ἀσιτίᾳ χρῆσθαι. γεγραφότος οὖν αὐτοῦ κατὰ τὴν τῶν πυρετῶν πραγματείαν, ἐν ταῖς ἀρχαῖς τῶν νόσων ἀσιτίαν, ἀκόλουθον ἐστὶν ἅπαντας φλεβοτομεῖν, ὡς καὶ ὁ τούτων λόγος ἐν ἐκείνῳ τῷ καιρῷ. ἔστι μὲν δὴ καὶ τοῦτο μέγιστον κακὸν εἰ πεισθεῖεν οὕτω πράττειν οἱ τὴν τέχνην μανθάνοντες νέοι. πολὺ δὲ τούτων χεῖρον, εἰ μηδὲ τῶν ἄλλων ὧν διορίζεσθαι προσήκειν, ἐπισκέψονται. ταῦτ' οὖν ἠναγκάσθην αὐτὰ καθ' ἕτερον γράμμα διεξελθεῖν, ἐπιδεῖξαί τε τοῖς νέοις Ἐρασίστρατον οὔτε φλεβοτομίᾳ κεχρημένον, ἄμεινον γὰρ τοῦτο πεισθῆναι, τοῦ πάντας ἑξῆς φλεβοτομεῖν, ὅσους ἐκεῖνος ἀσιτεῖν ἐκέλευσε, μεγίστην τε τὴν ὠφέλειαν ἐκ τοῦ βοηθήματος γίγνεσθαι τοῖς κάμνουσιν, ἐάν τις αὐτῷ προσηκόντως ᾖ χρώμενος. οὐκ οὖν ἔτι γε δέει κατά γε τὴν ἐμὴν γνώμην ἄλλο τι μοι γραφῆναι περὶ φλεβοτομίας, ἐν μὲν τῇ θεραπευτικῇ πραγματείᾳ τῆς χρήσεως τοῦ βοηθήματος εἰρημένης, ὥσπερ γε κἂν τοῖς ὑγιεινοῖς. ἐν δὲ τοῖς δύο βιβλίοις, ὧν τὸ μὲν ἕτερον ἔγραφε πρὸς Ἐρασίστρατον αὐτόν, τὸ δὲ ἕτερον, πρὸς τοὺς ἐν Ῥώμῃ Ἐρασιστρατείους, ἐπιδεδειχότος μου τὰ κακῶς ὑπ' αὐτοῦ δοξασθέντα, παρακαλεσάντων δὲ πολλάκις πολλῶν μὲν φίλων ἰατρῶν, οἳ δοκοῦσι μοι τὴν θεραπευτικὴν πραγματείαν ὀκνεῖν ἀναγινώσκειν, ἠναγκάσθην ὕστερον ἐπὶ τὴν ἐνεστῶσαν ἀφικέσθαι διέξοδον, ὅπως μὴ δόξαιμι φθονεῖν αὐτοῖς, ἐφεξῆς δὲ ἅπαντα κατὰ τὴν προσήκουσαν τάξιν ὑπὲρ τοῦ βοηθήματος εἰπεῖν. καὶ τοίνυν ἤδη μοι καιρὸς ἄρξασθαι τοῦ λόγου.

Τὸ μὲν τῆς διαθέσεως ὄνομα καθότι καὶ δι' ἄλλων ἡμῖν εἴρηται παρὰ τὸ διακεῖσθαι γεγονός, ὁμοίως ἐκείνῳ κατὰ πολλῶν λέγεται πραγμάτων. ἀλλὰ νῦν γε τὰς εἰς τὸ παρὰ φύσιν ἐκτροπὰς ὁποῖαι τινὲς ἂν ὦσι, διαθέσεις ὀνομάζομεν ἐν ἅπαντι τῷ λόγῳ. ζητήσομεν δὲ πρότερον ὁπόσαι καὶ ὁποῖαι τούτων εἰσὶν αἱ κενώσεως δεόμεναι, δεύτερον δὲ τίνες ἐξ αὐτῶν αἱ φλεβοτομίας. ἐπεὶ δὲ τὰ ζητούμενα πάντα δύο τῆς εὑρέσεως ὄργανα κέκτηται, λόγον καὶ πεῖραν ἐν ἁπάσαις ταῖς τέχναις, οὐχ ἥκιστα τε καθ' ὅλον τὸν βίον, ἀναγκαῖον οἶμαι καὶ νῦν, ἤτοι διὰ τοῦ λόγου μόνου γίνεσθαι τῶν προκειμένων τὴν εὕρεσιν, ἢ διὰ πείρας μόνης, ἢ δι' ἀμφοτέρων. ἐπεὶ δὲ καὶ ὁ λόγος αὐτός, ὁ μὲν ἐκ τῶν κοινῶν ἐννοιῶν μόνων ἀρχόμενος εὑρίσκεται, καὶ ἀποδείκνυσιν, ὁ δὲ καὶ τοῖς ἐκ τούτων εὑρημένοις χρῆται πρὸς ἀπόδειξιν, ἑκατέρων τε τῶν λόγων ἐδείχθησαν ἡμῖν αἱ τέχναι πᾶσαι χρώμεναι, καὶ ἡμεῖς νῦν ὁπότερος ἂν αὐτῶν εὑρίσκηται χρήσιμος, ἐκεῖνον προχειριούμεθα. τῷ μὲν οὖν προτέρῳ τῶν λόγων, ἅπαντες ἄνθρωποι χρῶνται καθ' ὅλον τὸν βίον. τῷ δευτέρῳ δ' οὐχ ἅπαντες. ἴδιος γάρ ἐστι τῶν τεχνιτῶν. ὁ γάρ τοι γεωμέτρης τὸ μὲν πρῶτον θεώρημα τοῦ αὐτοῦ τε-

χυνης διὰ τοῦ προτέρου λόγου μόνου δείκνυσιν, εἶτα τῷ δευτέρῳ μόνῳ χρῆται, προσλαμβάνει δὲ εἰς τὴν ἀπόδειξιν αὐτοῦ καὶ τὸ ἐκ τοῦ πρώτου κατασκευασθέν. ὅσῳ δ' ἂν ἐπιπλέον ἀφίστηται τοῦ πρώτου θεωρήματος, ἐπὶ τοσοῦτον ἀφίσταται καὶ τοῦ προτέρου λόγου, καὶ τελευτῶν ἐλαχίστοις χρῆται, διὰ τῶν προδεδειγμένων προδεικνὺς ἕτερα, καὶ διὰ ἐκείνων αὖθις ἄλλα. καὶ εἶτ' αὖ αὖθις ἄλλα δι' ἐκείνων, ὥστε ἔρχεσθαί ποτε τὴν δεῖξιν αὐτῶν ἄχρι τῶν τοῖς ἰδιώταις ἀπίστων, ἡλίου, καὶ σελήνης, καὶ γῆς, οὐ μόνον τῶν μεγεθῶν, ἀλλὰ καὶ τῶν διαστημάτων τῆς γνώσεως, ἐξ ὧν εὑρεθέντων ὡρολογιά τε κατασκευάζουσι, καὶ κλεψύδρας οἱ τὴν ὁδὸν ταύτην βαδίσαντες, ἐκλείψεις τε προλέγουσιν ἡλίου καὶ σελήνης. οὕτως οὖν καὶ ἡμῖν ὁ τεχνικὸς λόγος προδεδειγμένος ἐν ἑτέραις πραγματείαις χρήσεται πολλοῖς, ἐνίοις μὲν ὡς δυνάμεις τινές εἰσι διοικοῦσαι τὰ ζῶα πλείους, ὧν τὰς μὲν φυσικάς, τὰς δὲ ψυχικὰς ὀνομάζομεν. αἱ δ' ἀρχαὶ τῆς γενέσεως ἅπασι τοῖς οὖσιν, ὕλην ἔχουσι, τὰ τέτταρα στοιχεῖα, κεράννυσθαί τε πεφυκότα δι' ὅλων ἀλλήλων καὶ δρᾶν εἰς ἄλληλα. διὰ γὰρ οὐδὲ Ἀσκληπιάδου μνημονεύσομεν ἔτι κατὰ τήνδε τὸν λόγον προδεδειχότος αὐτοῦ τὰ στοιχεῖα ψευδῆ, κατά γε τὸ τρισκαιδέκατον ὑπόμνημα τῶν περὶ τῆς ἀποδείξεως, καὶ κατὰ τὴν τῶν Ἀσκληπιάδου δογμάτων πραγματείαν, ἐν ᾗ τὸ πέμπτον τε καὶ ἕκτον ἔλεγχον ἔχει τῶν στοιχείων αὐτοῦ. δέδεικται δὲ κἀν τῷ περὶ τῶν Ἱπποκράτους στοιχείων ὑπομνήματι, περί τε τῶν δραστικῶν ποιοτήτων, ὧν ὀνόματα θερμότης, ψυχρότης, ξηρότης, ὑγρότης, ἥ τε τῶν χυμῶν διαφορά τε καὶ γένεσις. εἴρηται δὲ καὶ περὶ τῶν καθαιρόντων φαρμάκων ἕκαστον τῶν χυμῶν, ὀλίγα μέν τινα κἀν τῷ περὶ τῶν στοιχείων συγγράμματι, καὶ κατὰ μόνας δ' ἐν ἑτέρῳ βιβλίῳ, καὶ ἡ περὶ κράσεων δὲ πραγματεία τῇ περὶ τῶν στοιχείων ἑπομένη χρησίμη πρὸς τὸν ἐνεστῶτα λόγον. ἁπάντων δὲ μάλιστα τὸ περὶ πλήθους βιβλίον, ἐν ᾧ δέδεικται, τὸ μὲν ὡς πρὸς δύναμιν πλῆθος, τὸ δ' ὡς πρὸς τὴν εὐρυχωρίαν, ἐν ᾗ περιέχεται ὑπὸ τῶν ἰατρῶν τὸ πλῆθος γὰρ κατὰ τὸ ἔγχυμα. κάλλιστον οὖν ἐστι, τοῖς μέλλουσιν ἐξετάζειν ἐπιστημονικῶς τὰ κατὰ τήνδε τὴν πραγματείαν εἰρημένα, τὸ περὶ πλήθους ἀνεγνωκέναι βιβλίον. ὅσων δ' αὖ πάλιν ἐκεῖνο δεῖται προανεγνωσμένων αὐτὸ δηλώσει. θαυμαζέτω δὲ μηδεὶς εἰ τοσούτων δεόμεθα πρὸς τὸ καλῶς ἐπισκέψασθαι περὶ φλεβοτομίας. οὐ γὰρ εἰς τὴν τούτου μόνου τοῦ βοηθήματος εὕρεσιν, ἀλλὰ καὶ τὴν τῶν ἄλλων ἁπάντων, ἀναγκαία τῶν εἰρημένων ἐστὶν ἡ γνῶσις, ὡς εἴγε χωρὶς τῆς ἐκείνων ἐπιστήμης ἐνεχώρει θεραπεύειν ὀρθῶς, οὐκ ἂν ἐπ' αὐτοῖς ἐδιδάξαμεν αὐτά. ταυτὶ μὲν οὖν ἀναγκαῖα ἦν προειπεῖν. Αὐτοῦ δ' ἤδη καιρὸς ἄρξασθαι τοῦ λόγου σκοπουμένοις, ὁπόσαι διαθέσεις εἰσὶν αἱ δεόμεναι κενώσεως. ἐὰν μὲν οὖν ἐκ πείρας τις αὐτὰς ἠθροικὼς διέρχηται, μνήμης χρεία μόνης ἐστὶ πρὸς τὴν δήλωσιν. ἐὰν δ' ἐκ λογικῆς ὁδοῦ, τὸ κοινὸν καὶ καθόλου ἀναγκαῖον ἐστὶν εὑρεῖν, ἔπειτ' ἐκ τῆς ἐκείνου τομῆς εἰς εἴδη τε καὶ διαφοράς, ἄχρι τῶν ἐσχάτων εἰδῶν εὑρίσκειν τὸν ἀριθμὸν τῶν ἐνδεικνυμένων τὴν κένωσιν διαθέσεων, οὕτω γὰρ δείξομεν ἅπαντα συνιστάμενα τὰ διὰ λογικῆς ὁδοῦ τὴν εὕρεσιν ἔχοντα. τῆς οὖν ἰατρικῆς τέχνης ἔργον ἐχούσης ἁπάσας τῶν μορίων τοῦ σώματος τὰς κατὰ φύσιν ἐνεργείας ἀνασώζειν μὲν ὁπότε διαφθείροιντο, φυλάττειν δ' ὁπότε σώζοιντο, τούτων δ' ἑπομένων τῇ φυσικῇ κατασκευῇ, ταύτην ἀναγκαῖον ἐστὶ φυλάττειν τε προοῦσαν, ἀνακτᾶσθαι δὲ διαφθειρομένην. ἐπεὶ τοίνυν ἐδείχθησαν ὑπὸ τῶν ὁμοιομερῶν σωμάτων αἱ πρῶται τῶν ἐνεργειῶν ἐπιτελούμεναι, διὰ δὲ τῶν ὀργανικῶν, αἱ δεύτεραι, ἐπισκεπτέον ἔσω εἰ τὰ κατὰ τὸ σῶμα περιεχόμενα τῶν ὑγρῶν ἥν τινα τὴν ὠφέλειαν, ἢ τὴν βλάβην ἐργάζεται, τοῖς μορίοις αὐτοῦ. δεδειγμένου τοίνυν ἐν τῷ περὶ πλήθους βιβλίῳ διττῶς γίνεσθαί τε καὶ λέγεσθαι τὸ πολύ, κατὰ μὲν τὸ ἕτερον τῶν σημαινομένων ὡς πρὸς τὴν δύναμιν, κατὰ δὲ θάτερον ὡς πρὸς τὴν εὐρυχωρίαν τῶν περιεχόντων τοὺς χυμοὺς ἀγγείων, ὅ, περ ὀνομάζουσιν ἔνιοι κατὰ τὸ ἔγχυμα, κενώσεως δὲ ἐστὶν ἑκατέρῳ χρεία, κἂν ἐπὶ νοσοῦντος ἀνθρώπου, κἂν ἐπὶ ὑγιαίνοντος ἐπιγίγνηται. καθάπερ γε καὶ ὁ τὸ φορτίον βαστάζων, οὐκ εὐθὺς ἅμα τῷ βαρύνεσθαί τε καὶ κάμνειν ἤδη καταπέπτωκέ τε καὶ νενίκηται πρὸς αὐτοῦ, κατὰ τὸν αὐτὸν τρόπον, ὅταν ἡ δύναμις ὑπὸ πλήθους βαρύνηται, δυνατόν ἐστι μηδέπω νοσεῖν τὸν ἄνθρωπον, οἱ γοῦν ἔνιοι τῶν ἔτι τὰς συνήθεις πράξεις πραττόντων, λέγουσιν ὡς αἰσθάνονται βαρέων ἑαυτῶν καὶ νωθρῶν καὶ ὀκνηρῶν καὶ δυσκινήτων, αὐτὸ γὰρ ἐστὶ τὸ πλῆθος τὸ πρὸς τὴν δύναμιν, ὥσπερ καὶ ὅταν ἀπὸ γυμνασίων τετάσθαι δοκῶσιν, ὥσπερ Ἐρασίστρατος ἔφη, περιπίπρανται βραχίονές τε καὶ πήχεις, οὐ μικρὸν γνώρισμα ἐστὶ θατέρου πλήθους, ὃ κατὰ τὸ ἔγχυμα καλεῖσθαι πρός τινων εἶπον, ἐπειδὴ κατὰ τοὺς ἐγκεχυμένους τοῖς ἀγγείοις χυμοὺς, συνίσταται καὶ νοεῖται, λέλεκται δ' ἐν τοῖς ὑγιεινοῖς ἑλκώδους αἰσθήσεως ἐν ὅλῳ τῷ σώματι γιγνομένης, καὶ μάλιστα κατὰ τὰς κινήσεις, κακοχυμίας ἔγγονον εἶναι τὴν τοιαύτην διάθεσιν. ἀλλ' ὅμως καὶ γὰρ φαίνεται γιγνόμενον οὐκ ὀλίγοις τῶν πραττόντων ἔτι τὰς συνήθεις πράξεις. καὶ κατὰ μόρια δέ τινα τοῦ σώματος οὐχ ὅλον ἐνίοτε τὸν ὄγκον ἐπιφαίνεται τὰ σημεῖα τῶν ἐν ἐκείνοις τοῖς μορίοις ὁμοίων διαθέσεων. ὁποῖαι τοίνυν εἴρηνται καθ' ὅλον τὸ σῶμα, συνίστασθαι. κεφαλῆς γοῦν μόνης αἰσθανόμεθα, ποτὲ βαρυνομένης, ἢ ἑλκώδη τινὰ αἴσθησιν ἐχούσης, ἢ τῶν κροταφιτῶν μυῶν τεινομένων, ἤτοι γ' ἁπλῶς, ἢ μετὰ θερμασίας πλείονος. οὕτω δὲ καὶ καθ' ἧπάρ τε καὶ σπλῆνα, καὶ γαστέρα, καὶ πλευράς, καὶ διάφραγμα, βάρους αἰσθανόμεθα. πολλάκις ὡσαύτως δὲ καὶ κατὰ τὸ στόμα τῆς γαστρὸς ἤτοι βάρους, ἢ δήξεως, ἢ ναυτίας, ἢ ἀποστροφῆς σιτίων, ἢ ὀρέξεως παραλόγου, γίνεταί ποτ' αἴσθησις, πρὸς τούτοις καὶ ὀδύναι καθ' ὁτιοῦν ἐρείδουσαι μόριον, ἢ διὰ χυμῶν πλῆθος ἀθρόως ἐπεγχυθέν, ἢ διὰ πνεῦμα φυσῶδες, ἐνδείκνυται κένωσιν, ὥσπερ γε καὶ διὰ χυμὸν δριμὺν ἐσθίοντα τε καὶ διαβιβρώσκοντα τὸ μόριον. ἔνιαι δὲ κατὰ δυσκρασίαν γίνονται. καὶ τούτων αὐτῶν τινὲς μὲν ψιλὴν ἄνευ χυμῶν, ἔνιαι δὲ μετὰ χυμῶν. ἐφ' ἁπάντων μὲν οὖν τῶν εἰρημένων αἱ κενώσεις τῶν λυπούντων χυμῶν ἢ ἀτμῶν, ἀπαλλάττουσι τῶν παθημάτων τὸν ἄνθρωπον, οὐ μὴν φλεβοτομίας δεόμεθά γε πάντως, ἀλλ' ἀρκεῖ καὶ καθῆραι, καὶ τρῖψαι, καὶ λοῦσαι, καὶ χρῖσαι τινὶ διαφορητικῷ φαρμάκῳ. τινὲς οὖν εἰσὶν αἱ διὰ φλεβοτομίας ὠφελούμεναι διαθέσεις, ἐφεξῆς λεγέσθωσαν. Οὐ μόνον ἡ τροφὴ τοῖς τοῦ ζώου μέρεσιν ἐξ αἵματός ἐστιν, ἀλλὰ καὶ ἡ κατὰ φύσιν θερμασία τὴν διαμονὴν ἐξ αἵματος ἔχει, καθάπερ ἐκ τῶν ἐπιτηδείων καίεσθαι ξύλων τὸ κατὰ τῆς ἑστίας πῦρ, ὑφ' οὗ καὶ τοὺς οἴκους ὁρῶμεν ὅλους θερμαινομένους. ὥσπερ οὖν τὸ πῦρ γὰρ βλάπτεται ποτὲ μὲν

ἀθρόως

ἀθρόως ξύλων ἐπιβληθέντων αὐτῷ, ποτὲ δ᾽ εἰ καὶ μὴ πολλῶν, ἀλλ᾽ ὑγρῶν ἱκανῶς, ἐνίοτε δ᾽ οὐδ᾽ ὅλως ἐπιτεθειμένων, ἢ παντάπασιν ὀλίγων, οὕτω καὶ ἡ περὶ τὴν καρδίαν θερμότης, ποτὲ μὲν ἐλάττων ἑαυτῆς διά τε πλῆθος αἵματος, ἢ ἔνδειαν πολλήν, ἢ ποιότητα ψυχρὰν ἀποτελεῖται, ποτὲ δὲ πλείων, ἤτοι διὰ ποιότητα θερμὴν αἵματος, ἢ δι᾽ ἔνδειαν ὀλίγην. ὅ, τι δ᾽ ἂν ἡ καρδία πάθοι περὶ ψύξιν ἢ θερμότητα, τούτου καὶ τὰ ἄλλα μέρη τοῦ σώματος εὐθέως μεταλαμβάνει. γίγνεται δὲ καὶ καθ᾽ ἕν τι μέρος ἐνίοτε παρὰ φύσιν ἤτοι θερμότης ἢ ψυχρότης, ὡς δέδεικται πολλάκις ἐν ἑτέροις ὑπομνήμασι. καὶ γενέσεις δὲ τούτων ἐν διττῷ τρόπῳ, ποτὲ μὲν ἐπὶ χυμοῖς θερμοῖς, ἢ ψυχροῖς, ἐνίοτε δὲ καὶ περὶ δυσκρασίαν μόνην. ἀλλ᾽ αἱ μερικαὶ θερμότητες καὶ ψύξεις, ὅσαι μὲν ἐγγύς εἰσι τῷ πεπονθότι μορίῳ, συμμεταβάλλουσιν, εἰς ὅλον δ᾽ οὐκ ἐκτείνονται τὸ σῶμα πρὶν τὴν καρδίαν ἀλλοιῶσαι, περὶ δὲ τὸν αὐτὸν τρόπον, ἐπεδείχθη καὶ τὸ σῶμα τῆς καρδίας ἀλλοιούμενον, διττῶς, ἤτοι περὶ δυσκρασίαν, ἢ διὰ χυμοὺς θερμοὺς ἢ ψυχρούς, ἢ δι᾽ ἔνδειαν τινὸς αὐτῶν. οἱ χυμοὶ δὲ ἐδείχθησαν θερμοὶ καὶ ψυχροὶ γινόμενοι διά τε τὸ ποσὸν τῶν ἐσθιομένων τε καὶ πινομένων, καὶ δι᾽ ἡσυχίας τε καὶ κινήσεις σώματός τε καὶ ψυχῆς πλείους. ὥσπερ δὲ ἐν τῇ γαστρὶ πολλάκις αἱ πέψεις γίνονται μοχθηραί, φλεγματωδεστέρων, ἢ χολωδεστέρων ἀποτελουμένων τῶν ληφθέντων, ἤ τινα παρὰ φύσιν ἑτέραν διαφθορὰν ἰσχόντων ἢ ὠμῶν καὶ ἀμεταβλήτων ἄχρι πλείστου μενόντων καὶ πνευματουμένων. οὕτω καὶ περὶ τὴν τοῦ αἵματος γένεσιν ἀποτυγχανομένων, ἀνάλογον ταῖς ἐπὶ τῆς γαστρὸς ἀποτυχίαις τῆς πέψεως, ἔσονται κατ᾽ αὐτὰς τὰς ἀρτηρίας καὶ τὰς φλέβας περὶ τοὺς χυμοὺς διαθέσεις. ἐπεὶ δὲ πάντα τὰ θερμὰ καὶ ὑγρὰ φαίνεται τάχιστα σηπόμενα καὶ μάλιστα ὅταν ἐν θερμοῖς ἢ χωρίοις, ἀναγκαῖον ἔσται καὶ τὴν ἐκ τῆς κοιλίας ἀναδιδομένην τροφήν, ὅταν μὴ κρατῆται καὶ μεταβάλληται πρὸς τῆς φύσεως εἰς γένεσιν αἵματος χρηστοῦ, σηπεδόνας ἴσχειν ἄλλοτε ἀλλοίας. ἐπεὶ δὲ τοῖς ἐξ ὕλης θερμοῦ σηπομένοις συμβαίνει γίνεσθαι θερμοτέροις, διὰ τοῦτο θερμότερον ἔσται τὸ σηπόμενον αἷμα. τούτου δὲ θερμοτέρου γιγνομένου καὶ τὸ μόριον ἐν ᾧ σήπεται θερμότερον αἰσθητῶς ἔσται. ἐπειδ᾽ ὑπὸ τῶν αἰσθητῶς θερμῶν, τὰ πλησιάζοντα συνθερμαίνεται, συνθερμανθήσεται τοῖς οὕτω διακειμένοις μορίοις τὰ πέριξ ἅπαντα, δακνώδει καὶ δριμείᾳ δηλονότι θερμασίᾳ, τοιαύτη γὰρ ἡ ἐκ σηπεδόνος. ἐὰν οὖν ἀξιόλογόν τε τὸ μόριον ᾖ τὸ οὕτως θερμανθέν, ἐκτείνειν τε τὴν ἑαυτοῦ θερμασίαν ἐπὶ τὴν καρδίαν ἱκανόν, ἤτοι γε ὅτι πλησίον αὐτῆς ἐστιν, ἢ ὅτι κύριον, ἢ ὅτι θερμόν, συνεκπυρώσει κἀκείνην, ἅτε φύσει θερμοτάτην οὖσαν. εἰ δὲ ἅπαξ αὕτη πυρωθείη ῥαδίως ἤδη τὸ πᾶν αὐτῆς σῶμα συνεκθερμανθήσεται. καθάπερ τινὸς ἑστίας, φλόγα πολλὴν ἐχούσης, ὁ περιέχων αὐτὴν οἶκος. ὀνομάζουσι δὲ τὸ τοιοῦτον πάθημα τοῦ σώματος οἱ Ἕλληνες πυρετόν, ἐνίοτε δὲ πρὶν ἄρχεσθαι σήπεσθαι τὸ πλῆθος τοῦ αἵματος, ἐπί τι μόριον ἀθρόως ἀφικόμενον, ἤτοι τελέως ἐνέκρωσεν, ὥστε διαφθεῖραι τὴν ἐνέργειαν, ἢ βλάβην ἀξιόλογον ἐνεγκεῖν. αἱ γοῦν ἀποπληξίαι, περὶ τοῦτον γίνεται τὸν τρόπον, ἐπὶ τὴν ἀρχὴν τοῦ ζώου ῥυέντος ἀθρόως αἵματος πολλοῦ. ὡς ὅταν γ᾽ εἰς ἄλλο τι κατασκήψῃ μόριον, ὄγκον ἐν τούτῳ παρὰ φύσιν ἐργάζεται. ἐκ τούτου τοῦ γένους ἐστὶ καὶ ἡ φλεγμονή. ὅταν δὲ παχύτερον τε καὶ μελαγχολικώτερον ᾖ τὸ κατασκῆψαν αἷμα, σκιρρώδης ὁ ὄγκος γίνεται. καθάπερ γε καὶ χαῦνος ὅταν ᾖ φλεγματικώτερον τὸ ῥεῦμα, χολώδους δ᾽ ὄντος, ἐρυσίπελας ἀποτελεῖται. διωρισμένα δ᾽ ἀκριβῶς ἔχεις ἅπαντα ταῦτα, περὶ τὰς προειρημένας ἄρτι πραγματείας, ἀλλὰ νῦν γ᾽ ὡς ἔφην, ὑποθέσεις ὥσπερ τινὰ λόγου τὰ δεδειγμένα ποιούμενος, ἀκολούθως αὐτοῖς τὸν περὶ τῆς φλεβοτομίας ἐπιδείκνυμι λόγον. ὄντος οὖν πλήθους διττοῦ, κάλλιστον γὰρ ἐντεῦθεν ἄρξασθαι, καὶ τοῦ μὲν ὡς πρὸς τὴν δύναμιν, εἰς σηπεδόνα τε ῥαδίως ἀφικνουμένου, καὶ μέντοι καὶ κατασκήπτοντος ἐνίοτε εἰς μόριά τινα, κἀν τούτοις ἐργαζομένου τοὺς παρὰ φύσιν ὄγκους, ἑτέρου δὲ τοῦ περὶ τὸ καλούμενον ἔγχυμα, κατασκήπτοντος μὲν καὶ τούτου πολλάκις εἰς μόρια, καὶ γεννῶντος ὄγκους, ἀλλὰ καὶ τὰς ἀποπληξίας, καὶ τὰς ῥήξεις τῶν φλεβῶν ἐργαζομένου, πειρᾶσθαι χρὴ κενοῦν αὐτὸ διὰ ταχέων, πρὶν ἄρξασθαί τι μέγα κακὸν ἐργάσασθαι περὶ τὸν ἄνθρωπον. εἴρηται δ᾽ ἐπὶ πλέον ὅπως τε χρὴ διαγινώσκειν ἄμφω τὰ πάθη, καὶ ὅπως ἰᾶσθαι, κατὰ τὴν τῶν ὑγιεινῶν πραγματείαν, ὥσπερ γε κἀπειδὰν ἤτοι πυρετὸς ἢ αἵματος ἀναγωγὴ γένηται διὰ πλῆθος, ἤτοι τῶν ἀποπληκτικῶν ἀρρωστημάτων, ὅπως χρὴ καὶ τοῦτο θεραπεύειν, ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν εἴρηται, διὸ καὶ περιττὴν ἡγοῦμαι τήνδε τὴν συγγραφήν. εἰ μὲν γὰρ ὡσαύτως καὶ ἐν ἐκείναις ταῖς πραγματείαις ἔγραψα, κἀνταῦθα γράφοιμι, δὶς περὶ τῶν αὐτῶν ἀναγκασθήσομαι διέρχεσθαι. καὶ διὰ ταῦτα μακρὸν ἀποτείνειν τὸν λόγον. εἰ δὲ ἐπὶ τὸ συντομώτερον ἄγοιμι τὸν λόγον τόνδε, κινδυνεύσω παθεῖν δυοῖν θάτερον, ἢ ἀσαφῶς τι διὰ τὴν βραχυλογίαν εἰπεῖν, ἢ διορισμόν τινα τῶν χρησίμων παραλιπεῖν. ἀλλ᾽ ἐπεὶ μὴ κατὰ τὴν ἐμαυτοῦ προαίρεσιν ἥκω ἐπὶ τὸν λόγον τοῦτον, εἴ τι γίγνοιτο τῶν εἰρημένων τούτων ἐν αὐτῷ σφάλμα, τὴν αἰτίαν οἱ ἀξιώσαντες ἕξουσιν. ὥσπερ γε καὶ εἰ κατορθωθείη, καὶ φανείη χρήσιμος, ἀποστήσομαι τῶν ἐπαίνων ἐκείνοις, ἤδε οὖν αὖθις ἀρχὴ γιγνέσθω τῷ λόγῳ.

Τοῖς μὲν τὰ συνήθη πράττουσιν ἤτοι δὲ τῶν κυρίων τι μορίων ἢ σύμπαν τὸ σῶμα βαρυνομένοις ἢ τεινομένοις, ἀναγκαία μέν ἐστιν ἡ κένωσις. εἰ δὲ κατὰ τὴν ἡλικίαν μή τε παιδὸς εἶεν ἔτι, μήτε ἤδη γέροντος, ἐπισκέπτου περὶ φλεβοτομίας, ἀποβλέπων, μάλιστα μὲν εἰς τοὺς πρώτους σκοποὺς τούσδε, τήν τε ποσότητα τοῦ πλήθους, καὶ τὴν ποιότητα, καὶ τὴν τῆς δυνάμεως ῥώμην, ἢ ἀρρωστίαν, ἐφεξῆς δὲ τὴν φυσικὴν ἕξιν ὅλου τοῦ σώματος, ὥραν τε καὶ χώραν, καὶ τὸν προγεγενημένον βίον, εἰ πλῆθος ἐδεσμάτων καὶ πομάτων καὶ μάλιστα πολυτρόφων ὁ οὕτως ἔχων προσενήνεκτο. τὸ ἔθος τε καὶ παρὰ τὸ ἔθος, κινήσεις τέ τινας ἐκινήθη, ἐκκρίσεις τέ τινας ἔσχεν, ἢ ἐπεσχέθη παρὰ τὸ ἔθος, ἐπὶ δὲ τούτοις ἅπασι, πότερον ἰσχνότερος ἢ παχύτερος ἐγένετο. ἡ μὲν δὴ τοῦ πλήθους ἑκατέρου ποσότης, ἐκ τοῦ μεγέθους τῶν ἰδίων ὁρισθήσεται σημείων. εἰς ὅσον γὰρ ἑαυτῷ βαρύτερος ὁ ἄνθρωπος εἶναι δοκεῖ, πρόδηλον ὅτι καὶ τὸ πρὸς τὴν δύναμιν πλῆθος, εἰς τοσοῦτον ηὔξηται. κατὰ δὲ τὸν αὐτὸν λόγον εἰς ὅσον ἡ τονώδης αἴσθησις ηὔξεται κατὰ τοσοῦτον καὶ τὸ ἕτερον πλῆθος ὁ καλεῖσθαι πρός τινων ἔφην περὶ τὸ ἔγχυμα. τὴν ποιότητα δ᾽ ἐφ᾽ ἑκατέρου τοῦ πλήθους ἔκ τε τῶν χρωμάτων

διαγνώσῃ, μεμνημένος ὅτι τὸ χρῶμα, χυμῶν δηλοῖ, ἐπειδὰν μετρίως ἔχει θερμότητος λείπων σῶμα φύσει. τοῖς μὲν γὰρ ψυχροτέροις, ψυχροτέρα τοῦ παντὸς σώματος ἡ αἴσθησις ἕπεται, τοῖς δὲ θερμοτέροις, θερμοτέρα, καὶ τοῖς μὲν ἐπὶ τὰς φλέβας ἠθροισμένοις χυμοῖς, ὄγκος καὶ διάθεσις τῶν ἀγγείων. τοῖς δ' ἐν τῇ σαρκί, κατ' ἐκείνην ἡ αἴσθησις ἤτοι τοῦ βάρους, ἢ τῆς τάσεως, ὥσπερ γε καὶ θερμότητος. αἱ δὲ τῶν διοικουσῶν ἡμᾶς δυνάμεων, ἀῤῥωστίαι τε καὶ ῥῶμαι, ταῖς οἰκείαις ἐνεργείαις ἐδείχθησαν κρινόμεναι, προαιρετικαῖς μὲν, ἐπὶ τὰ νεῦρα, καὶ τὴν τούτων ἀρχὴν τὸν ἐγκέφαλον. ταῖς δὲ ἐπὶ τοὺς σφυγμοὺς, κατὰ τὰς ἀρτηρίας τε καὶ τὴν καρδίαν, τῇ δὲ κατ' εὐτροφίαν τε, καὶ ἀτροφίαν εὐχροιάν τε καὶ ἀχροιαν, ἡ τρίτη δύναμις ἡ θρεπτική, ἣν δὴ ἥπατος ὁρμᾶσθαι ἐδείκνυμεν, τὴν διάγνωσιν ἐλαμβάνομεν. ὅταν οὖν ἐπὶ τοῖς τοῦ πλήθους σημείοις αἱ δυνάμεις ἐῤῥωμέναι τυγχάνωσιν οὖσαι, φλεβοτομήσεις δηλονότι, ἐπὶ μὲν τὴν τονώδη διάθεσιν, οὐδὲν ἐπιδιοριζόμενος, ἔτι δὲ μᾶλλον οὐδὲ ἐπὶ τὴν φλεγμονώδη. τοῦ δὲ βαρύνοντος πλήθους ἐνοχλοῦντος, οὐ πάντως αἵματος ἀφαιρετέον. ἐνδέχεται γὰρ ὠμὸν ἠθροῖσθαι ἐπὶ τὸ σῶμα χυμὸν, ἐφ' οὗ προσέχειν ἀκριβῶς χρὴ, μέχρι πόσου μὲν ἡ δύναμις ἔῤῥωται, τεψύχθη μέχρι δὲ πόσου αὐτὸς ὁ χυμὸς † ἔφυ. προκαταλυθεῖσα γὰρ ὑπὸ τῶν τοιούτων διαθέσεων ἡ δύναμις ἐν ταῖς φλεβοτομίαις, εἴωθε καταπίπτειν εἰς ἔσχατον, ὡς μηκέτ' αὐτὴν ἀνακτήσασθαι δυνηθῆναι. τούτου δὲ γινομένου, κίνδυνος οὐ σμικρὸς ἕπεται, μάλισθ' ὅταν ἐπιπέσῃ πυρετὸς ἐν καταστάσει θερινῇ στομάχου μοχθηρῶς ἔχοντος, ἢ τοῦ σώματος ὅλου, μαλακοῦ τε φύσει καὶ ὑγροῦ τὴν κρᾶσιν ὄντος. διαφοροῦνται γὰρ οἱ τοιοῦτοι, συγκόπτονταί τε τάχιστα κἂν μὴ μέγας αὐτοῖς ἐπιπέσῃ πυρετός. εἰ δὲ μηδὲν εἴη τούτων, ἀλλ' ὁ χειμὼν ἢ τὸ χωρίον ὑπάρχει φύσει ψυχρὸν, ἥ τε φύσις τοῦ ἀνθρώπου ψυχροτέρα, καταψύχονταί τε δεινῶς ὅλον τὸ σῶμα φλεβοτομηθέντες, ἐμπίπτει τέ τινα τῶν διὰ κατάψυξιν ἰσχυρὰν ἑπομένων συμπτωμάτων. τοὺς οὕτω διακειμένους οὐ προσήκει διὰ φλεβοτομίας κενοῦν, ἀλλὰ τρίψεσί τε καὶ χρίσμασι μετρίως θερμαίνουσι, καὶ πόμασι τέμνουσι τὸ πάχος τῶν χυμῶν, καὶ θερμαίνουσι μετρίως. ὅσα γὰρ σφοδρῶς θερμαίνει, καταλύει τὴν δύναμιν ἀθροώτερον, ὡς μηκέτι ἐξαρκεῖν τῇ θεραπείᾳ. πολλάκις δὲ καὶ τὸν πυρετὸν συνηύξησεν, ὥστε κἀντεῦθεν βλάβην γίνεσθαι τῇ δυνάμει. διὸ δὲ τῶν τεμνόντων τὸ πάχος χυμῶν, ἐδεσμάτων τε, καὶ πομάτων ἡ ἐπὶ τὸ θερμαίνειν δύναμις ἔστω μετρία. ὅσοι δὲ αἷμα πτύσαντες, ἐθεραπεύθησαν μὲν τῷ παραυτίκα, τοιαύτην δὲ ἔχουσι κατασκευὴν, ἐν τοῖς ἐπὶ θώρακά τε καὶ πνεύμονα μορίοις, ὡς εἰ βραχὺ πλέον ἀθροισθῆ θέλοι τὸ αἷμα. πάλιν αὐτοῖς ἤτοι γ' ἀναστομωθῆναί τι τῶν ἀγγείων ἢ ῥαγῆναι, τούτους εἰ καὶ μηδὲν εἴη ἐπὶ τὸ σῶμα μηδέπω σύμπτωμα, φλεβοτομεῖν χρὴ κατὰ τὴν ἀρχὴν τοῦ ἦρος. ὡσαύτως δὲ καὶ τοὺς εἰς ἐπιληπτικὰ πάθη ῥαδίως ἐμπίπτοντας, ἢ ἀποπληκτικῶς. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ καί τισι τῶν ἄλλων νοσημάτων εὐάλωτον εἰδείημεν εἶναι τὸν ἄνθρωπον, οἷον ἤτοι περιπνευμονικοῖς, ἢ πλευριτικοῖς, ἢ συναγχικοῖς, ἄμεινον φθάνειν φλεβοτομοῦντας μὴ περιμένοντας φανῆναί τι σύμπτωμα πλήθους ἐναργές. ὡσαύτως δὲ καὶ οἷς αἱμοῤῥοΐδες ἐπέχονται, καὶ μάλιστα εἰ μελαγχολικώτεροι φαίνονται. καὶ ὅσοι δὲ καθ' ἕκαστον ἔτος ἐν θέρει νοσοῦσι νοσήματα πληθωρικὰ, καὶ τούτους χρὴ κενοῦν εἰσβάλλοντος ἦρος. ὡσαύτως καὶ ὅσοι κατ' αὐτὸ τὸ ἔαρ ἁλίσκονται τοῖς τοιούτοις. ἔνιοι ὀφθαλμοὺς ἔχοντες ἀσθενεῖς, ἢ τοῖς ὀνομαζομένοις σκοτωματικοῖς πάθεσιν εὐάλωτοι, καὶ αὐτοὶ ἐπὶ τὴν ἀρχὴν τοῦ ἦρος δέονται κενοῦσθαι, προδιασκεψαμένων ἡμῶν, ὁποῖον τι τὸ ἀθροιζόμενον αὐτοῖς εἴη. τινὲς μὲν γὰρ τὸν πικρόχολον ἀθροίζουσι χυμὸν πλέονα τῶν ἄλλων. τινὲς τὸν μελαγχολικὸν, ἢ φλεγματικὸν, ἔνιοι δὲ ὁμοτίμως ἅπαντας, ἐφ' ὧν αἷμα πλεονάζειν λέγεται. τούτοις οὖν ἅπαντας κενώσεις, ὥσπερ καὶ τοὺς ποδαγρικούς τε καὶ ἀρθριτικοὺς ἐν ἀρχῇ τοῦ ἦρος, ἀλλ' ἤτοι φαρμακεύων, ἢ φλεβοτομῶν. ἐγὼ γοῦν πολλοὺς ἐτῶν ἤδη τριῶν καὶ τεττάρων ἐνοχλουμένους ἐκ διαλειμμάτων ἀλγήμασι ποδῶν ἰασάμην, ἤτοι καθαίρων τὸν πλεονάζοντα χυμὸν ἐν ἀρχῇ τοῦ ἦρος, ἢ αἵματος ἀφαιρῶν. εὔδηλον δ' ὅτι καὶ μέτριοί τινες, οἱ τοιοῦτοι ἐπὶ τὴν ὅλην εἰσὶ δίαιταν, ὡς τούς γε ἀκολάστους οἰνόφλυγάς τε καὶ γαστριμάργους οὐδὲν ὀνήσεις μέγα, φαρμακεύων ἢ φλεβοτομῶν. ἀθροίζουσι γὰρ ἐν τάχει πλῆθος ὠμῶν χυμῶν, ἀκολάστως διαιτώμενοι. τούτους μὲν οὐδὲ ἐπιχειρεῖν χρὴ θεραπεύειν, ὅπη δ' εὐπειθεῖς εἰσὶν, ὀνήσεις αὐτοὺς μέγιστα κατὰ τὴν ἀρχὴν τοῦ ἦρος, προκενώσας μὲν πρῶτον, ἐφεξῆς δ' ἐπὶ γυμνάσια καὶ δίαιταν ὑγιεινὴν ἀναγαγών. ἃ δ' ἐπὶ τούτων εἴρηκα, ταῦτά σοι νόμιζε καὶ περὶ πάντων εἰρῆσθαι τῶν ἐπιτηδείων ἁλίσκεσθαι πάθεσιν, οἷς ἀρτίως εἶπον, οἷον ἐπιληπτικοῖς, ἢ ἀποπληκτικοῖς, ἢ σκοτωματικοῖς, ἢ αἱμοπτοϊκοῖς, ἢ μελαγχολικοῖς. οὐ μόνον δὲ πλήθους ὄντος, ἢ τοῦ πρὸς τὴν δύναμιν, ἢ τοῦ κατὰ τὸ καλούμενον ἔγχυμα, φλεβοτομία μεγάλως ὀνίνησιν, ἀλλὰ καὶ χωρὶς πλήθους ἀρχομένην φλεγμονὴν, ἤτοι διὰ πληγὴν, ἢ ὀδύνην, ἢ ἀτονίαν μορίων. ἥ τε γὰρ ὀδύνη πρὸς αὐτὴν ἐπισπᾶται τὸ αἷμα καὶ πολλάκις ἀτονία μορίων ἐργάζεται φλεγμονὴν ἄνευ τοῦ καθ' ὅλον τὸ σῶμα πλήθους. ἐδείχθη γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ὅταν ἀσθενὲς ᾖ φύσει μόριον, ἑτοίμως βαρυνόμενον, εἰ καὶ βραχὺ πλεῖον ἀθροισθείη ποτὲ ἐν αὐτῷ περίττωμα. καὶ μέν τοι καὶ ὅτι δύναμιν ἔχει πᾶν μόριον, ὥσπερ ἑλκτικὴν τῶν οἰκείων, οὕτω καὶ τῶν ἀλλοτρίων ἀποκριτικὴν, ὅτι τε διττὸν εἴη τὸ ἀλλότριον. ἕτερον μὲν τῷ ποσῷ, τῷ ποιῷ δ' ἄλλο. διὸ κἂν μὴ βαρύνοιτό τι μόριον ὑπὸ τῶν καθ' ἑαυτὸ χυμῶν, ἴσχει δέ τινα περιττώματα κατὰ τὴν ποιότητα παρὰ φύσιν, ἐπὶ τὴν ἀπόκρισιν αὐτῶν ὁρμᾷ διὰ τῶν ἐν αὐτῷ φλεβῶν, ὥσπερ δι' ὀχετῶν, ἀλλ' εἴθ' αἷμα μοχθηρὸν εἴη τὸ ὠθούμενον, εἴτ' ἄλλος χυμὸς, ἀνάγκη μὲν εἴς τι τῶν πλησίον ἀφικέσθαι μορίων αὐτόν. ἐν ἐκείνῳ δὲ δυοῖν θάτερον, ἢ πεφθέντα, ἢ καὶ διαφθαρέντα, μηκέτ' εἰς ἄλλο μεταῤῥυῆναι ῥᾷστον, ἢ μηδ' ἑτέρου τῶν εἰρημένων τυχόντα πάλιν ἐκ τοῦ δευτέρου μορίου μεταῤῥεῖν εἰς ἕτερον, εἶτ' αὖθις ἐκείνου πάλιν εἰς ἄλλο. καὶ τοῦτο μὴ παύεσθαι γιγνόμενον, ἄχρις ἂν εἴς τι κατασκήψῃ τοιοῦτον, ὃ μηκέτ' εἰς ἄλλο διώσασθαι δύναται τὸ πλεονάζον ἐν ἑαυτῷ. συμβαίνει δὲ τοῦτο τῶν μορίων ἐκείνοις ὅσα τὴν ἀποκριτικὴν δύναμιν ἀσθενεστέραν ἔχει τῶν πλησιαζόντων ἁπάντων. οὐκέτι γὰρ ἀπώσασθαι τὸ λυποῦν εἰς ἐκεῖνα δύναται τὰ μὴ παραδεχόμενα, διὰ τὴν ἐν αὐτοῖς ἰσχύν. ἐδείχθη γοῦν καὶ τοῦτο ἡμῖν δι' ἐκείνων τῶν ὑπομνημάτων ὡς οὐ μόνον ὠθεῖ τὸ περιττὸν ἕκαστον τῶν μορίων εἰς τὸ πλησιάζον, ἀλλὰ

καὶ ὅτι

καὶ ὅτι δέχεται μέν, πολλάκις δ' ἀντιπέμπει, καὶ αὐτόθεν μὴ παραδεχόμενον εἰς ἑαυτά, κἂν τούτῳ τὸ ἰσχυρότερον ἐκράτησε. διὸ καὶ τὰ πάντων ἀσθενέστερα μόρια πρῶτα τοῖς περιττωματικοῖς ἁλίσκεται νοσήμασιν. ἐκ τοιούτου δέ τινος τρόπου, καὶ τὰς καλουμένας ῥευματικὰς διαθέσεις ἰδεῖν γιγνομένας, ἀσθενοῦς μὲν ὅλου τοῦ σώματος ὄντος, ὅπερ ἕν τι τῶν τῆς καχεξίας εἰδῶν ἐστιν, εἰωθότων τῶν κυρίων αὐτοῦ μορίων βαρύνεσθαι κἂν ὀλίγον ἐν αὐτοῖς ᾖ τὸ αἷμα, διωθουμένων τε τοῦτο πρὸς τὰ περὶ τὸ δέρμα μέρη τὰ σαρκώδη, καὶ μᾶλλόν γε εἰς τοὺς ἀδένας ἐπιτηδείους ὄντας ὑποδέχεσθαι τὸ περιττόν, διά τε τὸ χαῦνον τῆς οὐσίας, καὶ ὅτι τῶν ἄλλων μορίων ἀσθενεστάτας ἔχουσι τὰς φυσικὰς δυνάμεις, ὥσπερ γε καὶ ἡ πιμελή. τεττάρων γὰρ αὐτῶν οὐσῶν, ὡς ἐδείχθη, πρώτης μὲν τῆς ἑλκτικῆς, δευτέρας δὲ καθεκτικῆς, καὶ τρίτης τῆς ἀποκριτικῆς, καὶ τετάρτης τῆς ἀλλοιωτικῆς, τὰς μὲν ἄλλας τρεῖς ἀσθενεστάτας ἔχουσιν οἱ ἀδένες καὶ αἱ σάρκες, τὴν ἀλλοιωτικὴν δὲ μόνην οὐ πολλῷ μείω τῶν ἄλλων μορίων. ἐφεξῆς δὲ τοῖς ἀδέσιν ὁ πνεύμων ἐστὶν ἑτοιμότατος δέξασθαι ῥεῦμα. καὶ γὰρ οὗτος ἀσθενεῖς τε τὰς τρεῖς ἔχει δυνάμεις, καὶ τὸ σῶμα χαῦνον. εἶθ' ἑξῆς ὁ σπλήν. ὁ δ' ἐγκέφαλος ὅμοιος μὲν τούτοις, ἢ καὶ μᾶλλον ἐπιτήδειος δέξασθαι ῥεῦμα. πλεονεκτεῖ δ' αὐτῶν ἐκ τῆς κατασκευῆς εἰς ἀπόκρισιν ἑτοίμης οὔσης, ὧν ὑπεδέξατο. κοιλίας μὲν γὰρ ἔχει μεγάλας καταντεῖσι πόροις ἐκκενουμένας. οἷς ἂν οὖν φύσει ῥωμαλεώτερος ᾖ τοῦ σαρκώδους γένους ὁ πνεύμων τε καὶ ὁ σπλήν, καὶ ὁ ἐγκέφαλος, ἐπὶ τούτων εἰς τοὺς ἀδένας, καὶ τὰς σάρκας ἀφικνεῖται τὰ ῥεύματα, τῆς τοῦ σώματος ἕξεως ὅλης ἀσθενούσης, ὡς ἐπὶ τῶν ῥευματικῶν ἐστι διαθέσεων. εἰκότως τοιγαροῦν ἡ θεραπεία τούτων οὐ κένωσιν ἔχει τὸν σκοπόν, ἀλλὰ τοῦ παντὸς σώματος τὴν ῥῶσιν. ἥτε μὴν ἀρχὴ τῆς θεραπείας ἀπὸ φλεβοτομίας αὐτοῖς γίνεται. μοχθηρῶν δὲ τῇ ποιότητι τῶν περιττωμάτων ὄντων, καὶ κάθαρσιν παραλαμβάνομεν ἐφ' ὧν μάλιστα σωμάτων οὐδετέρου πλῆθος ἀναμένειν χρὴ τὸ οἰκεῖον σύμπτωμα, βάρος μὲν τοῦ πρὸς τὴν δύναμιν, τάσιν δὲ τοῦ κατὰ τὸ ἔγχυμα. περὶ δὲ τὸν αὐτὸν λόγον, ἐπὶ τῶν πληγέντων τι μορίων ἀξιολόγως, ἤτε ἄλλως ὁπωσοῦν ἀρχομένην ἐχόντων φλεγμονήν, ἐπειδὰν μεγάλην αὐτὴν ἔσεσθαι προσδοκήσωμεν, ἀπὸ κενώσεως ἀρχόμεθα τῆς θεραπείας, ἢ καθαιροῦντες, ἢ φλεβοτομοῦντες, ὁποτέραν κρίνομεν ἀμείνω κένωσιν ἔσεσθαι. καλῶς οὖν ἐν τοῖς προκειμένοις τῶν περὶ διαίτης ὀξέων προήνηται φλεβοτομεῖν ἡμᾶς, ὅταν ᾖ μέγα τὸ νόσημα, καὶ ἀκμάζῃ ἡ νόσος, ἢ ὁ νοσῶν, καὶ ῥώμη παρῇ. καὶ κακῶς ὁ Μηνόδοτος ἐπὶ τῇ καλουμένῃ πληθωρικῇ συνδρομῇ μόνῃ τὰς φλεβοτομίας λέγει τετηρῆσθαι. τοὐναντίον γὰρ ἅπαν οἱ σκοποὶ τῆς φλεβοτομίας οὐ περιλαμβάνουσι, πρῶτον ἐν αὐτοῖς τὸ πλῆθος, ἀλλὰ τὴν ὑποψίαν τοῦ γενομένου πάθους, εἰ γὰρ ἔσεσθαι φαίνοιτο μέγα, φλεβοτομήσομεν πάντως, κἂν μηδὲν ᾖ τῶν τοῦ πλήθους γνωρισμάτων, ἐπισκοποῦντες ἡλικίαν τε, καὶ χώραν, καὶ δύναμιν ἃ μόνα φαίνεται κἂν τοῖς προκειμένοις τῶν περὶ διαίτης εἰρημένα. τὸν μὲν γὰρ ἀκμάζοντα διὰ τὰ παιδία, καὶ τοὺς γέροντας, εἰς διορισμὸν παρέλαβεν. οἱ πρῶτοι δ' εἰσὶ καὶ κυριώτατοι σκοποὶ τῆς φλεβοτομίας, μέγεθος νοσήματος, καὶ ῥώμη τοῦ κάμνοντος, καὶ ταύτην χρὴ πρώτην λέγειν εἶναι συνδρομήν, οὐ τὴν πληθωρικήν, ἐφ' ᾗ τετήρηται φλεβοτομία. περιέχεται γὰρ ἐν αὐτῇ κἀκείνη τὸ μέγεθος αὐξάνουσα τοῦ νοσήματος. οὐ μόνον γὰρ ὅταν ἤδη παρῇ τὸ μέγα νόσημα, φλεβοτομίας καιρός, ἀλλὰ κἀπειδὰν ἐπίδοξον ἔσεσθαι. φθάνειν γὰρ ἡ παίδευσις ἣν Ἱπποκράτης εἶπε διδάσκων ἡμᾶς, ὅσα παρόντων ἤδη τῶν νοσημάτων ὀρθῶς ἂν πράξαιμεν, ἄμεινον εἶναι ταῦτα κατὰ τὰς ἀρχὰς αὐτῶν, ἢ μελλόντων ἄρχεσθαι, φθάνειν ποιοῦντας. ὥστε τοὺς εἰρημένους σκοποὺς ἐπὶ τοὺς ὑγιαίνοντας ἔστι μεταφέρεσθαι. καὶ γὰρ καὶ τούτους φλεβοτομήσεις ἐπιδόξους γενομένους ἁλώσεσθαι μεγάλῳ νοσήματι, πρός τε τὴν ἡλικίαν ἀποβλέπων, καὶ τὴν ῥώμην. εἰ γὰρ ἐπιτήδειός τις ἐν νοσήματι γενέσθαι μεγάλῳ, κἂν μηδὲν μηδέ πω κατὰ τὸ σῶμα παρῇ σύμπτωμα, φλεβοτομεῖν ἀξιοῦμεν. ἀρκεῖ γὰρ τὴν ἡλικίαν ἐπισκέψασθαι μετὰ τῆς δυνάμεως, ὥστε τρία τὰ συνέχοντα τὴν διάγνωσιν εἶναι, μέγεθος νοσήματος, ἤτοι παρόν, ἢ προσδοκώμενον καὶ ἡλικίαν ἀκμάζοντος, καὶ ῥώμην δυνάμεως. ἴσως δὲ μόνον ἀμελέστερον ἑρμηνεύεσθαι δόξει τὸ τῆς ἡλικίας ἐν τοῖς προκειμένοις, ἐν τῷ περὶ διαίτης ὀξέων. οὐ γὰρ τὴν τῶν ἀκμαζόντων εἰρῆσθαι μόνον ὀρθῶς ἔχει, ἀλλὰ καὶ τὴν πρὸ αὐτῆς καὶ μετ' αὐτήν, ὡς δύο μόνας ἐξαιρεῖσθαι τοῦ διορισμοῦ, τήν τε τῶν παίδων καὶ τὴν τῶν γερόντων, ἀλλ' ἡ μὲν τῶν γερόντων ἐν τῷ τῆς δυνάμεως λόγῳ περιέχεσθαι δύναται. ῥώμη γὰρ οὐδ' ἐνὶ τῶν κατ' αὐτὴν τὴν ἡλικίαν ἐστίν. ἐνίοις δὲ τῶν ἰατρῶν, οὐδὲ τοῖς παισὶν ἔδοξεν ὑπάρχειν ῥώμην κακῶς ἐγνωκόσιν, ὡς ἐν ἑτέροις ἐπιδέδεικταί μοι. φλεβοτομήσομεν οὖν. εἰ μέγα τὸ νόσημα προσδοκοίημεν εἶναι, ἢ παρὸν ἤδη θεωροίημεν, ἢ ἀρχόμενον, ἐπισκεψάμενοι τὴν ῥώμην τῆς δυνάμεως, ἐξελόντες τοῦ λόγου μόνα τὰ παιδία, καὶ φήσομεν ἐλλιπέστερον εἰρῆσθαι, τὴν ἀπὸ τῆς ἡλικίας διάγνωσιν, ὑπὸ τοῦ γράψαντος τὰ προκείμενα, τῷ περὶ διαίτης ὀξέων, ἀρκοῦσι γὰρ οὗτοι μόνοι σκοποὶ πρὸς φλεβοτομίαν. οὐδὲ γὰρ ὁπότε πλῆθος ὠμῶν χυμῶν ἤθροισται τοιοῦτον, ὡς κελεύεσθαι φλεβοτομεῖν, ὁ λόγος ἐλέγχεται. ῥώμη γὰρ τούτοις δυνάμεως οὐ πάρεστι. καὶ αὐτό γε τοῦτ' ἔστι γνώρισμα, τοῦ μὴ δύνασθαι φλεβοτομίαν ἐνεγκεῖν αὐτούς, ὅταν ἅμα τῷ χρώματι τοῦ παντὸς σώματος ἐμπεπληκότι τοῦ δηλοῦντος αἷμα πλεονάζειν, ὁ σφυγμὸς ἀνώμαλος ᾖ περὶ σφοδρότητα καὶ μέγεθος ἐπικρατούντων περὶ τὴν ἀνωμαλίαν αὐτοῦ τῶν ἀμυδρῶν τε καὶ μικρῶν. ὡρισμένων οὖν τριῶν σκοπῶν φλεβοτομίας, μεγέθους νοσήματος, ἤτοι παρόντος, ἢ προσδοκωμένου, ἢ ἀρχομένου, ἡλικίας ἀκμάζοντος, ῥώμης δυνάμεως ἔξω τῆς τῶν παίδων ἡλικίας, ἐπὶ τὰ ἄλλα τὰ πρόσθεν εἰρημένα γνωρίσματα φλεβοτομίας, ἃ προσέθηκαν οὐκ ὀλίγοι τῶν ἰατρῶν ἀφιξόμεθα συνενδεικνύμενοι τὸ ποσὸν τῆς ἀφαιρέσεως οὐκ αὐτὴν τὴν φλεβοτομίαν, ὥστε ἐκ μὲν τοῦ νοσήματος, καὶ τῆς ἡλικίας, καὶ τῆς δυνάμεως, ὅτι φλεβοτομητέον γνωρίζεσθαι, τὸ ποσὸν δὲ τῆς κενώσεως, οὐκ ἐκ τούτων μόνων ἀλλὰ καὶ τῶν ἄλλων λαμβάνεσθαι. ταῦτα δέ ἐστιν ἥτε πληθωρικὴ καλουμένη συνδρομή, καὶ ἡ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσις, εἰς ὥραν καὶ χώραν τεμνομένη, καὶ τὰ κατὰ τὸν προηγούμενον βίον γεγονότα περί τε ποιότητα, καὶ ποσότητα τῶν ἐδηδεσμένων, ἐκκρίσεις τε καὶ κινήσεις ἤτοι γεγονυίας ἢ μή. περὶ μὲν οὖν τῆς ἐν τούτοις διαφορᾶς, ὀλίγον ὕστερον ὀψόμεθα, περὶ δὲ τῶν ἑκατέρου τοῦ πλήθους γνωρισμάτων ἐν τῷ παρόντι σκεψόμεθα, πότερον ἐπὶ φλεβοτομίαν ἀφιξόμεθα πάντως ὅταν φαίνηται ταῦτα περί τινα τῶν ἔτι τὰ συνήθη πρατ-

τόντων, ἢ οὐκ ἀναγκαῖον, ὅταν μηδεμία προσδοκία μεγάλου νοσήματος. ἣν τινὰ τοίνυν ἔχωμεν γνώμην καὶ περὶ τούτου ἴστε, πολλάκις αὐτοὶ παραγεγονότες μοι συμβουλεύοντι, ἤτοι ποδαγρικοῖς ἢ ἀρθριτικοῖς, ἢ ἐπιληπτικοῖς ἢ μελαγχολικοῖς, ἢ αἷμα πρόσθεν ἐπτυκόσιν, ἢ κατὰ θώρακα πρὸς τοιοῦτον πάθημα κατασκευὴν ἐπιτηδείαν ἔχουσιν, ἢ σκοτωματικοῖς, ἢ συνεχῶς ἁλισκομένοις συνάγχῃ ἢ περιπνευμονίᾳ, ἢ πλευρίτισιν, ἢ ἡπατίτισιν, ἢ ὀφθαλμίαις σφοδραῖς, ἢ καθόλου φάναι μεγάλῳ νοσήματι. φλεβοτομίαν γοῦν ἐπὶ τῶν τοιούτων ἁπάντων ἀναγκαῖον εἶναι φημὶ βοήθημα παράχρημα προσαγόμενον, ἐπὶ διωρισμένῃ τῇ δυνάμει τε καὶ ἡλικίᾳ. ταῦτα εἰ μὴ λεχθείη ποτὲ προσυπακούεσθαι χρή. τοῖς δὲ μηδέπω τοιοῦτον πεπονθόσιν ἔμπροσθεν ἁπάντων τε τῶν μορίων τοῦ σώματος ἄμεμπτον ἔχουσι κατασκευήν, ἴστε δήπου διττὴν ὁδὸν τῆς κενώσεως ὑποτιθέμενον με, διὰ φλεβοτομίας μὲν εἰ ἀκρατεῖς εἶεν τῇ διαίτῃ, χωρὶς δὲ ταύτης εἰ ἐγκρατεῖς. ἔνεστι γὰρ καὶ τρίψει πολλῇ, καὶ λουτροῖς, καὶ περιπάτοις, καὶ ταῖς ἄλλαις κινήσεσι, ἔτι χρίσμασι διαφορητικοῖς ταχέως ἐκκενῶσαι τὸ πλῆθος, εἰ μὴ ἄρα σοι δόξει ποτὲ πάχος αἵματος εἶναι πλεονεξίαν. τοιοῦτον δὲ ἐστι μάλιστα τὸ μελαγχολικὸν ὡς τὰ πολλά. σπανίως δέ που καὶ τὸ τῶν ὠμῶν καλουμένων χυμῶν. ἀλλ' ἐπὶ μὲν τῆς μελαγχολικῆς καλουμένης περιουσίας φλεβοτομεῖν ἄμεινον, ἢ πάντως γε φαρμάκῳ χρῆσθαι μελάνων καθαρτικῷ, τῶν δ' ὠμῶν χυμῶν ἐπικρατούντων, πρὶν μὲν ἄρξασθαι νοσεῖν, εὐλαβῶς ἀποκενώσεις, ἤδη δὲ πυρεττόντων, ὡς ἔμπροσθεν εἶπον, οὐδ' ὅλως. ἕξεις δὲ αὐτῶν γνώρισμα, τό, τε τῆς χροίας μολιβδῶδες, ἢ ὠχρόλευκον ἅπαντα τε μᾶλλον ἢ ἐρυθρόν, καὶ τὴν τῶν σφυγμῶν ἀνωμαλίαν. εἰ δὲ ἱκανῶς ηὐξημένον εἴη τὸ τοιοῦτον πλῆθος, καὶ τὸ βάρος τοῦ σώματος αὐτοῖς σύνεστι, καὶ πρὸς τὰς κινήσεις ὄκνος, καὶ γνώμης νωθρότης, καὶ αἰσθήσεως ἀμαυρότης. ἔμπαλιν δὲ τούτοις τοὺς ἐξ ἐπισχέσεως αἱμορροΐδων ἠθροικότας αἷμα φλεβοτομήσεις θαρρῶν κἂν μὴ πρότερον ὦσι πεπειραμένοι μεγάλου νοσήματος. ἐνδέχεται μὲν γὰρ αὐτοὺς ἐπιτηδείους μὲν εἶναι πρός τι τῶν τοιούτων, οὐδέπω δὲ πεπονθέναι διὰ τὴν ὑπὸ τῶν αἱμορροΐδων κένωσιν. ἐὰν δὲ καὶ φαίνονται τινὰ μόρια κατεσκευασμένοι μοχθηρῶς, καὶ μάλιστα τὰ κατὰ θώρακα, πάντως αὐτοὺς φλεβοτομήσεις ἐν τάχει. τὴν αὐτὴν δὲ γνώμην ἴστε με καὶ περὶ γυναικῶν ἔχοντα, τῶν ἐπεχομένων τὴν ἔμμηνον κάθαρσιν. οὐδὲ γὰρ οὐδ' ἐπὶ τούτων ἀναβάλλεσθαι χρὴ τὴν κένωσιν. οὐ μὴν ἀναγκαῖόν γε σχάσαι τὴν φλέβα. καὶ γὰρ αἱ τῶν σφυρῶν ἀμυ- τῶν τα χαράξεις ἱκαναὶ κενῶσαι τὸ περιττόν, ἔχουσαι τι καὶ † ἄλλον προτρεπτικὸν εἰς τὴν τῶν ἐμμήνων κίνησιν, ὥσπερ γε καὶ αἱ κατὰ τὰ σφυρὰ καὶ τὰς ἰγνύας φλεβοτομίαι. τὰς γὰρ ἐξ ἐπισχέσεως καταμηνίων ἀπὸ τῶν σκελῶν πάντως κενώσεις, εἴτε φλέβα χρὴ τέμνειν, εἴτ' ἀμυχάζειν. ἀντισπᾷ γοῦν ἔσωθεν ἡ ἐξ ἀγκῶνος φλεβοτομία τὰς τῶν γυναικῶν καθάρσεις, ἀθροίζουσι δὲ καὶ τούτων αὐτῶν ὅσαι μὲν λευκότεραι, λεπτότερον αἷμα, καὶ διὰ τοῦτο ταῖς ἀπὸ τῶν σφυρῶν ἀμυχαῖς ὀνίνανται μάλιστα. τὰς μελαντέρας δὲ φλέβας τέμνων, θεράπευε. παχύτερον γὰρ ἀθροίζουσιν αἷμα καὶ μελαγχολικώτερον, ἔτι δὲ μᾶλλον ἂν μεγάλας ἔχειν φαίνονται τὰς φλέβας. ὑπάρχει δὲ τοῦτο ἰσχνοτέραις τε καὶ μελαντέραις. εὐσάρκοις δὲ καὶ λευκαῖς, σμικρότης τῶν φλεβῶν, ἐφ' ὧν ἀμυχάζειν ἄμεινον τὰ σφυρὰ τοῦ τέμνειν τὴν φλέβα. καὶ γὰρ καὶ μικρὰς αὗται τὰς ἐν τοῖς σκέλεσι φλέβας ἔχουσιν, ὥστε οὐδὲ ῥεῖ τὸ σύμμετρον, εἰ καὶ καλῶς τμηθείη. οὐ χρὴ δὲ ὑμᾶς καταφρονεῖν φλεβοτομίας ὡς οὐκ ἀντισπαστικοῦ βοηθήματος, ἑωρακότας ἐμὲ πολλάκις ἐπὶ τῆς ἐκ ῥινῶν αἱμορραγίας, ὅταν ᾖ σφοδρά, χρώμενον τῷ βοηθήματι, καὶ παύοντα τὴν ῥύσιν αὐτίκα. προσήκει δ' ὡς ἐθεάσασθε, μὴ περιμένειν εἰς ἔσχατον ἀφικέσθαι καταπτώσεως τὴν δύναμιν, ἀλλ' ὅταν ἤδη δοκεῖ κενοῦσθαι μὲν τὸ σύμμετρον, ἡ δ' ὁρμὴ τῆς φορᾶς τοῦ αἵματος, ἰσχυρὰ διαμένει, τέμνειν ἐν ἀγκῶνι φλέβα, δεξιοῦ μὲν αἱμορραγοῦντος μυκτῆρος, τῇ δεξιᾷ χειρί, θατέρου δὲ κατὰ τὴν ἀριστεράν. ἅμα δὲ τούτῳ τῷ ἔργῳ, καὶ τοῖς κώλοις περιβάλλειν δεσμοὺς ἐκ ταινιῶν ἢ ἐρίων, καὶ σικύαν ὑποχονδρίῳ προσβάλλειν ὃ κατ' εὐθὺ τῷ ταῦτα γοῦν καὶ ἡμεῖς ποιοῦντες, ὡς ἴστε, διαπαντὸς ἐπέχομεν τὰς ἐκ ῥινῶν αἱμορραγίας, πειραθέντες ἔμπροσθεν, ὧν γεγράφασιν εἴς τε τὰς ῥῖνας ἐκτιθεμένων φαρμάκων, ἐπί τε τοῦ μετώπου καταχριομένων, πάντων ἀσθενῶν. ὥστε πρὸς τοῖς εἰρημένοις περὶ φλεβοτομίας ἔμπροσθεν, καὶ τοῦτο καταβάλλει τὸν μισοῦντος λόγον ἡγουμένου τὴν πληθωρικὴν ὀνομαζομένην συνδρομήν, ἀναμιμνήσκειν ἡμᾶς τοῦ βοηθήματος. ἡ γὰρ εἰρημένη νῦν διάθεσις ἐναντία σαφῶς ἐστι τῇ πληθωρικῇ. παραλαμβάνομεν δ' ἐπ' αὐτῆς τὴν φλεβοτομίαν, οὐχ ὡς κενωτικόν, ἀλλ' ὡς ἀντισπαστικὸν βοήθημα.

Οὐδὲν οὕτω τὴν ἰατρικὴν τέχνην ἐν ταῖς πράξεσιν ἀποφαίνει στοχαστικόν, ὡς τὸ ποσὸν ἑκάστου τῶν βοηθημάτων. εἰδότες γοῦν ἀκριβῶς πολλάκις, ὡς καιρὸς τοῦ δοῦναι τροφήν, ἢ ποτόν, ἤτοι θερμόν, ἢ ψυχρὸν ἐνέστηκεν, ὁπόσον χρὴ δοῦναι, βεβαίως οὐκ ἴσμεν. ὡσαύτως δὲ κἀπὶ τῶν καθαιρόντων φαρμάκων. ὅτι ἤτοι χολῆς ξανθῆς, ἢ μελαίνης, ἢ φλέγματος, ἢ τῶν ὀρρωδῶν περιττωμάτων ἐστὶ δοτέον τῷ κάμνοντι κενωτικὸν φάρμακον ἀκριβῶς ἴσμεν ἐνίοτε, πόσον δὲ δοῦναι προσήκει, οὐκ ἐπιστάμεθα. ἀλλὰ τοιαύτη μὲν ἡ δόσις ἐπανόρθωσιν οὐδεμίαν ἔχει. τὸ γὰρ ἅπαξ εἰς τὴν γαστέρα καταποθὲν φάρμακον, οὐ δύναται μὴ καταπεπόσθαι πᾶν, οὐδ' ἔστιν οἷόν τε μᾶλλον ἤδη καθαιρομένου τοῦ ἀνθρώπου, μέρος ἀφελεῖν τι τοῦ προσενηνεγμένου. ἐπὶ δὲ τῆς φλεβοτομίας, ἀγαθὸν τοῦτο μέγιστον ὑπάρχει, παύειν ὁπότε βούλοιο τὴν κένωσιν, εἶθ' αὖθις πάλιν ἐν ᾧ περ ἂν ἐθελήσεις καιρῷ, ῥεῖν ἐπιτρέπειν, ἄχρις ἂν ὀρθῶς ἔχειν σοι φαίνηται. διόπερ ἄμεινον ἐστίν, ἐὰν μηδὲν ἐπείγῃ, τὴν πρώτην ἀφαίρεσιν ἐλλιπέστερον ποιησαμένους, ἐπαφαιρεῖν αὖθις. εἰ δὲ βούλοιο καὶ τρίτον. ἐφ' ὧν οὖν ἐστι κενώσεως μὲν χρεία πολλῆς, οὐκ ἰσχυρὰ δ' ἡ δύναμις, ἐπὶ τούτων προσήκει ταμιεύεσθαι τὴν κένωσιν, ὥσπερ ἀμέλει κἀπὶ τῶν πλῆθος ἐχόντων ὠμοτέρων χυμῶν ἐθεάσασθέ με πράττοντα. κενώσας γὰρ ὀλίγον αἷμα, εὐθέως δίδωμι μελικράτου καλῶς ἡψημένου μετά τινος τῶν λεπτυντικῶν φαρμάκων, ἢ ὑσσώπου, ἢ ὀριγάνου, καὶ ποτὲ καλαμίνθης, ἢ γλήχωνος ἢ καὶ μετὰ τοῦ μελικράτου, ἢ ὀξυμέλιτος, ἢ ὀξυγλυκέος, εἶτ' αὖθις ἀποφαιρῶ ποτὲ μὲν ἐπὶ τῆς αὐτῆς ἡμέρας, ἐνίοτε δὲ κατὰ τὴν ὑστεραίαν, ἐν ᾗ πάλιν ὁμοίως διδοὺς τῶν εἰρημένων τι φαρμάκων, αὖθις ἐπαφαιρῶ. καὶ κατὰ τὴν τρίτην ἡμέραν δὶς ὡσαύτως. ἀλλ' ὅταν ᾖ ζέοντος αἵματος πλῆθος, ἀνάπτον ὀξύτατον πυρετόν, ἀθρόας ἐστὶ κενώσεως χρεία, καὶ τοῦτο χρὴ πειρᾶσθαι κενοῦν, ἄχρι λειποθυμίας, ἐπισκεψάμενον τὴν ῥῶσιν τῆς δυνάμεως. ὥστε ἐνίων οἶδα

κοτύλας ἐξ ἀφελεῖν εὐθέως ἤτοι κατὰ τὴν δευτέραν ἢ τὴν τρίτην ἢ τὴν τετάρτην ἡμέραν. ἐνίοτε καὶ κατὰ τὴν πρώτην αὐτήν, ὅταν μὲν πυρετὸς ἄρξηται περὶ τὰ πρῶτα τῆς νυκτός, ἢ τὰ μέσα, καλῶς δ' ᾖ πεπεμμένα τὰ κατὰ τὴν προτεραίαν ἐδηδεσμένα. τινῶν δὲ κατὰ τὴν προτεραίαν ἀνωμαλίαν ἱδρῶτα, ἢ ἄλγημα κεφαλῆς, ἢ ἄλλου τινὸς μέρους ἠπιασμένων καὶ διὰ τοῦτο ἐνδεῶς διαιτηθέντων, ἀρχομένων δὲ πυρέττειν, νυκτὸς ἤδη προηκούσης, οἶδα κατὰ τὴν πρώτην ἡμέραν τελευτῶσαν, ἀφελὼν αἵματος. ἐφ' ὧν γὰρ ἄν σοι φαίνηται ζέοντος αἵματος πλῆθος, ὅτι τάχιστα πειρῶ κενοῦν αὐτό, πρὶν ἐπί τι κατασκήψει μόριον κύριον, ὥστε καὶ διὰ τῆς νυκτὸς οὐκ ὀκνήσεις τέμνειν ἐνίοτε φλέβα. γελοῖον γὰρ ὅπερ οἱ πολλοὶ πράττουσιν ἀεὶ δευτέρας ὥρας ἡμέρας ἄχρι ε. ἢ ς. ἀφοροῦντες μόνον αἵματος, ἐν ἄλλῳ δ' οὐδενὶ χρόνῳ, οὓς εἰ μὴ καὶ κλυστῆρσι, καὶ τροφῆς προσφορᾷ καὶ τοῖς ἄλλοις βοηθήμασιν ἑώρων χρωμένους ἐν ἅπαντι καιρῷ τῆς νυκτός, ἐνῆν ἄν μοι χαλεπὸς ὁ πρὸς αὐτοὺς λόγος. ἐπεὶ δὲ πάντα πράττοντες οὐ τὸν ὡρισμένον ἀριθμὸν ὡρῶν ἕνα καὶ κοινὸν ἐπὶ πάντων τῶν νοσούντων, ἀλλ' ὡς ἂν ὑπαγορεύῃ τὸ πάθος, ἐπὶ μόνης τῆς φλεβοτομίας τὸν εἰρημένον ἀρτίως ἀεὶ περιμένουσι καιρόν, εὐφωρότατον ἔχουσι τὸ σφάλμα. τοὺς οὖν οὕτω διακειμένους ἀρρώστους, ὡς εἰρήκαμεν, προσήκει μέχρι λειποθυμίας ἄγειν. ἐνίους γοῦν αὐτῶν οἶδα καταψυχθέντας μὲν ἐξ ἀνάγκης ἐπὶ τῇ λειποθυμίᾳ. προσγινομένων δὲ νοτίδων ἐν ὅλῳ τῷ σώματι, καὶ τῆς γαστρὸς καταρραγείσης, ἐν τάχει παυσαμένους τῆς νόσου. προσέχειν μέντοι καλῶς ἔχει τῇ καθαιρέσει τῶν σφυγμῶν, ἐφαπτόμενον αὐτῶν ἔτι ῥέοντος τοῦ αἵματος, ὥσπερ κἀπὶ τῶν ἄλλων ἁπάντων εἴωθα πράττειν τῶν φλεβοτομουμένων, ὅπως μή ποτε λάθῃς αὐτὸν ἀντὶ λειποθυμίας θάνατον ἐργασάμενος, ὅπερ οἶδα τρισὶν ἰατροῖς γενόμενον. ἐφλεβοτόμησεν εἷς μὲν αὐτῶν γυναῖκα πυρέττουσαν. ἑκάτερος δὲ τῶν ἄλλων, ἄνδρα μέχρι λειποθυμίας τοσαύτης, ὡς μηκέτι ἀναληφθῆναι. καὶ διὰ τοῦτ' αὐτό, βέλτιόν ἐστι φυλάττεσθαι τὰς ἀθρόας κενώσεις, εἰ μή τις ἀνάγκη μεγάλη κελεύει. καὶ μέντοι καὶ ἡ ἀντίσπασις, οὐ μικρὸν οὖσα βοήθημα, καὶ διὰ φλεβοτομίας γιγνομένη, πολλάκις ὅσῳ περ εἰς ἀριθμὸν πλείονα τὰς κατὰ μέρος ἀφαιρέσεις αὐξήσεις, τοσούτῳ δραστικώτερον γίνεται. ταῦτα μὲν οὖν ἄμεινον προεγνῶσθαι. πάλιν δὲ ἐξ ἀρχῆς ἀνελθόντες ἐπὶ τὸ προκείμενον σκέμμα, διέλθωμεν ὅσα γιγνώσκομεν ἀναγκαιότατα βουλομένους ἀβλαβεῖς ἀεὶ τὰς φλεβοτομίας ἐργάζεσθαι. πρῶτον μὲν ἐπίστασθαι προσήκει τοὺς εἰρημένους σκοποὺς τοῦ βοηθήματος αὐξομένους μὲν ἐνδείκνυσθαι πλείονα κένωσιν, ἐκλυομένους δὲ καθαιρεῖν εἰς τοσοῦτον τὴν ποσότητα τῆς κενώσεως, εἰς ὅσον ἐμειώθησαν αὐτοί. μέγεθος οὖν νοσήματος ἅμα ῥώμῃ δυνάμεως οἱ πρῶτοι σκοποὶ φλεβοτομίας ἦσαν. ὁ μὲν ὡς ἐνδεικνύμενος αὐτὸς ἃ χρὴ πράττειν, ὁ δ' ὡς οὐ κωλύων ἐκεῖνον, ὅπερ ἀντενδείκνυσθαι καλοῦσιν ἔνιοι τῶν νεωτέρων ἰατρῶν, ἐνίοτε γὰρ ἡ μὲν διάθεσις ὑπαγορεύει τὴν φλεβοτομίαν, ἡ δ' ἀρρωστία τῆς δυνάμεως κωλύει. τούτων δ' ἀμφοτέρων τῶν σκοπῶν ὑπαρχόντων, δῆλον μὲν ὡς ἐλέχθη πρόσθεν, οὐδὲ πλῆθος ἐστὶ χυμῶν ὠμῶν τοσούτων τε καὶ τοιοῦτον, ὡς κωλῦσαι τὸ βοήθημα. συνεπισκέπτεσθαι δ' ἐφεξῆς ὁποία ἡ φυσικὴ κρᾶσίς ἐστι τἀνθρώπου. τοὺς μὲν γὰρ μεγάλας ἔχοντας τὰς φλέβας, ἰσχνούς τε μετρίως καὶ μὴ λευκούς, μηδ' ἁπαλοσάρκους, ἀφειδέστερον κενώσεις. τοὺς δ' ἐναντίους φειδομένως. αἷμά τε γὰρ ὀλίγον ἔχουσιν, εὐδιαφόρητόν τε τὴν σάρκα. κατὰ τοῦτον οὖν τὸν λόγον, οὐδὲ τοὺς παῖδας φλεβοτομήσεις μέχρι τεσσαρεσκαιδεκαέτους ἡλικίας, μετὰ δὲ ταύτην ἐὰν αἷμα πάμπολύ τε φαίνηται ποτὲ ἠθροισμένον, ἤθ' ὥρα τοῦ ἔτους ἐαρινή, καὶ τὸ χωρίον εὔκρατον φύσει, καὶ ἡ τοῦ παιδὸς φύσις εὔαιμος, ἀφαιρήσεις ἔτι μᾶλλον αἷμα, εἰ κίνδυνος ἐφεδρεύει, περιπνευμονίας, ἢ συνάγχης, ἢ πλευρίτιδος, ἢ τινὸς ἄλλου ὀξέως καὶ σφοδροῦ νοσήματος. ἀφαιρήσεις δὲ τὸ πλεῖστον, ἄχρι κοτύλης τὸ πρῶτον. ἐὰν δέ σοι μετὰ ταῦτα ἐπισκεπτομένῳ δόξει τὰ τῆς δυνάμεως ἰσχυρὰ διαμένειν, ἥμισυ προσθήσεις κατὰ τὴν ἐπαφαίρεσιν. ἔμαθες δὲ τῷ σφοδρῷ σφυγμῷ μετὰ ὁμαλότητος, ὡς ἀψευδεῖ σημείῳ πιστεύειν περὶ δυνάμεως ἰσχυρᾶς, ἐξ ἐπιμέτρου δὲ καὶ τῷ μεγάλῳ. καὶ τοίνυν καὶ τοὺς ἑβδομηκοντούτας φλεβοτομήσεις ὧν εἴρηκα σφυγμῶν παρόντων, ἐπειδὰν ἡ διάθεσις κελεύει. εἰσὶ γὰρ ἔτι καὶ κατὰ τὴν ἡλικίαν τήνδε πολύαιμοί τινες, ἅμα ῥώμῃ δυνάμεως, ὥσπερ ἕτεροι ξηροί, καὶ ὀλίγαιμοι καὶ ῥᾳδίως μελαινόμενοι πᾶν τὸ πληγὲν μέρος. οὐ προσέξεις οὖν τῷ ἀριθμῷ μόνον καθάπερ ἔνιοι προσέχουσιν, ἀλλὰ τῇ τοῦ σώματος ἕξει. καὶ γὰρ ἑξηκοντοῦταί τινες, οὐκέτι φέρουσι φλεβοτομίαν, ἑβδομηκοντοῦται δὲ φέρουσιν. ἀλλὰ ἔλαττον ἀφαιρήσεις δηλονότι τούτων, εἰ καὶ τὴν αὐτὴν ἔχειν φαίνονται διάθεσιν ἀκμαστικῷ σώματι. κάλλιστον μὲν πρὸ τοῦ διαιρεῖν τὴν φλέβα τὰ τοιαῦτα πάντα ἐπισκέπτεσθαι, καὶ μάλιστα περὶ αἱμορροΐδων ἐπισχομένων, καὶ γυναικείας καθάρσεως. ὁπότε γὰρ σχασθείσης τῆς φλεβὸς ῥεῖ τὸ αἷμα, τῇ μεταβολῇ μὲν αὐτοῦ, καὶ μάλιστα ὅταν ᾖ ἤδη φλεγμονή, καὶ τῷ τόνῳ δὲ τῆς ῥύσεως ὀκλάζοντι, μάλιστα δὲ τῇ μεταβολῇ τῶν σφυγμῶν ὡς ἀψευδεῖ γνωρίσματι προσέχειν δεῖ τὸν νοῦν, καὶ παύειν αὐτίκα μεταβάλλοντος, ἢ κατὰ μέγεθος, ἢ κατὰ ἀνωμαλίαν ἠντινοῦν. περὶ μὲν γοῦν τῆς εἰς ἀμυδρότητα μεταβολῆς, τί δεῖ καὶ λέγειν; ἔμαθες γὰρ ἐν τῇ ποιότητι ταύτῃ, βεβαίαν γίγνεσθαι διάκρισιν ἰσχυρᾶς τε καὶ ἀσθενοῦς δυνάμεως. ἐφ' ὧν δὲ ἐγγὺς τῆς διαιρουμένης φλεβός ἐστί τις φλεγμονὴ μεγάλη, κάλλιστον ἀναμένειν τὴν μεταβολὴν τοῦ αἵματος, ἔν τε τῇ χροιᾷ, καὶ τῇ συστάσει, καθάπερ καὶ ὁ Ἱπποκράτης ἐδήλωσεν ἐν τῷ περὶ διαίτης ὀξέων, ἐπὶ πλευρίτιδος ποιούμενος τὸν λόγον. ἕτερον γάρ ἐστι τὸ κατὰ φλεγμονὴν αἷμα τοῦ κατὰ φύσιν, ἐπιθερμαινόμενον ἐπὶ πλέον, εἰ μὲν ἦν ἔμπροσθεν ὠμότερον, ἐρυθρότερον καὶ ξανθότερον γίνεται. εἰ δὲ τοιοῦτον ἦν ἔμπροσθεν, ἐπὶ τὸ μέλαν ἐκτρέπεται κατοπτώμενον, διὰ τοῦτο ἔγραψεν ἐπὶ τῶν πλευριτικῶν ὁ Ἱπποκράτης ὧδε. ὁποίαν δὲ χρή, τέμνειν δὲ χρὴ τὴν ἐν ἀγκῶνι φλέβα, τὴν εἴσω, καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαίρεσιν, ἔς ἂν ἐρυθρότερον τε καὶ ξανθότερον πολὺ ῥυῇ. ἢ ἀντὶ καθαροῦ τε καὶ ἐρυθροῦ, πελιδνόν. ἀμφότερα γὰρ γίνεται, σημεῖον γὰρ τίθεται τοῦ μετειλῆφθαι τι τοῦ κατὰ τὴν φλεγμονὴν αἵματος εἰς τὴν τετμημένην φλέβα, τῷ φανῆναι μεταβολὴν ἐν αὐτῷ. οὐ μὴν ἐκ παντὸς τρόπου περιμένειν χρὴ ταύτην, ἀλλ' ἔσθ' ὅτε καὶ πρὸ τοῦ γενέσθαι, παύεσθαι προσήκει, διὰ διττὴν αἰτίαν, ἤτοι δυνάμεως ἀρρωστούσης, ἢ κακοήθους φλεγμονῆς, ἐνίοτε γοῦν οὐδὲν μεθιεῖσιν, ἀλλὰ ἔσφηνται σφοδρῶς. εἰ μέντοι ἡ δύναμις μὴ φαίνοιτο καταλυομένη διὰ τῆς κενώσεως, εἴδη δὲ τοῦ τῶν σφυ-

γομένην ἀπτόμενος, ὅταν φλεβοτομούμενος ἀκμάζων εἴη, παραμένειν προσήκει τὴν μεταβολήν, καὶ μᾶλλον εἰ τὸ περιέχον εὔκρατον εἴη. δύο γὰρ δεῖ ταῦτα δι' ἃ μάλιστα γίγνεται στοχαστικὸν τὸ ποσὸν τῆς κενώσεως ἐν τούτῳ τῷ βοηθήματι, τοῦ τε κάμνοντος ἡ φύσις ὁποία τίς ἐστιν, ἀδυνατούντων ἡμῶν ἀκριβῶς διαγνῶναι, τοῦ τε περιέχοντος ἡ κρᾶσις ὁποία τίς ἔσται μετὰ τὴν φλεβοτομίαν. ὁπόταν γὰρ ἡ μὲν πυρετώδης θερμασία διαφορῇ πολὺ τοῦ αἵματος, ἐνδεῶς δ' ὁ κάμνων ἢ διαιτώμενος, ἐξ ἀνάγκης ὑπολείπη ταχέως αὐτὸν ἡ ἐκ τοῦ αἵματος τροφή, κἀν τούτῳ καταλυθῇ ἡ δύναμις. ἐκδαπανᾶται δὲ διὰ μὲν τὴν κρᾶσιν τοῦ νοσοῦντος, ὑγρὰν τε, καὶ θερμὴν οὖσαν, οἵα περ ἐστὶ καὶ ἡ τῶν παίδων. διὰ δὲ τὸ περιέχον, ἐν χώρᾳ θερμῇ καὶ ὥρᾳ θερινῇ. διὰ τοῦτ' οὖν ἔλαττον ἀφαιρούμενον ἢ τὸ πλῆθος ὑπαγορεύει, ἐπὶ μὲν τὰς ἡλικίας, ἐπὶ τῶν παίδων, ἐπὶ δὲ τὰς ἕξεις τοῦ σώματος, ἐπὶ τῶν ἁπαλοσάρκων καὶ λευκῶν, οἷοί περ εἰσὶν οἱ κελτοί. ἐπὶ δὲ τὰς ὥρας, ὑπὸ τοῦ κυνός. παραπλησίως δὲ ἐπὶ τὰ χωρία, καὶ τὰς καταστάσεις. καθ' ἕτερον δὲ τρόπον, ὡς εἴρηται καὶ ἐμποδὼν ἐπὶ τῶν ἐναντίων, ὅ, περ ἐστὶν ἐπὶ τῶν ψυχρῶν ὡρῶν, τε καὶ χωρῶν, εὐλαβούμεθα κένωσιν δαψιλῆ, διὰ τὴν ἑπομένην κατάψυξιν, οὐκοῦν οἷόν τε διὰ γραφῆς ἐφ' ἑκάστῳ τῶν εἰρημένων ἐν ἀφορίσαι κενώσεως μέτρον. οἶδα γοῦν ἐπ' ἐνίων μὲν αὐτάρκως ἀφελεῖν, ϛʹ. λίτρας αἵματος, ὡς τόν τε πυρετὸν αὐτίκα σβεσθῆναι, καὶ μηδεμίαν ἀκολουθῆσαι κάκωσιν τῆς δυνάμεως. ἐπ' ἐνίων δὲ, μίαν καὶ ἡμίσειαν οὐκ ἄνευ τοῦ βραχύ τι παραβλάψαι τὴν δύναμιν, ἐφ' ὧν εἰ δύο τις ἐκένωσεν, ἔβλαψεν ἂν ἐσχάτως. διὰ τοῦτ' οὖν οἶδα καὶ μίαν ἀφῃρηκὼς λίτραν ἐνίοτε ὠφελίμως. καί ποτε καὶ ταύτης ἐλάττονα, ἀπὸ φλεβὸς κατ' ἀγκῶνα, καὶ ἰγνύαν, καὶ ἀστράγαλον, ὡς ἔκ τε τῶν παρὰ τοὺς μεγάλους κανθοὺς τῶν ὀφθαλμῶν, ἢ ὑπὸ τὴν γλῶτταν, οὐδὲ ῥεῖν εἴωθεν ἀξιόλογον ὥσπερ οὐδ' εἴ τις ἐν ποσίν, ἢ ἀκραῖς χερσὶ τέμνει φλέβα, καθάπερ καὶ οἱ σπλῆνα θεραπεύσεσθαι νομίζοντες ὑπὸ τῆς παρὰ τὸν δεύτερον τῶν μικρῶν δακτύλων φλεβὸς τμηθείσης, ὑπὲρ ἧς ἐπὶ πλέον, ἐφεξῆς εἰρήσεται.

Ὅσα οὖν καὶ περὶ τούτου τοῦ σκέμματος εἴρηται τοῖς ἰατροῖς, εἰ γράφοιμι, δεήσει μοι βιβλίου μεγάλου, καθ' ἑαυτὸ δὲ πληρουμένου. καθάπερ δὲ ἐπὶ τῶν ἄλλων, ἃ μέχρι δεῦρο τοῦ λόγου διώρισται, τὴν ἐμαυτοῦ γνώμην ὑμᾶς ἀνέμνησα, τεθεαμένους ἐπὶ τῶν ἔργων αὐτὴν μαρτυρουμένην, οὕτω καὶ νῦν πράξω. τὴν ἀρχὴν τοῦ λόγου ποιησάμενος ἐκ τῶν ἐναργῶς ὁσημέραι θεωρουμένων ἐπὶ τῶν καμνόντων, ἃ πρῶτος Ἱπποκράτης ἀκριβῶς παραφυλάξας ἔγραψεν. ἔστι δὲ αὐτῶν ἓν μὲν καὶ πρῶτον κεφάλαιον. ὅσα κατ' ἴξιν αἱμορραγεῖ, μεγίστην ὠφέλειαν ἐπιφέρειν τοῖς νοσοῦσιν τὸ δὲ κατ' ἴξιν, ὅτι κατ' εὐθὺ λέγει, πᾶσι ὁμολογεῖται, σαφῶς αὐτοῦ κεχρημένου πολλάκις ἐπὶ τοῦδε τοῦ σημαινομένου τῇ κατ' ἴξιν φωνῇ. τὰ δ' ἀνάπαλιν αἱμορραγοῦντα μηδὲν ὠφελεῖν ἢ καὶ βλάπτειν ἐνίοτε, τῷ καταλῦσαι τὴν δύναμιν ἄνευ τοῦ τὸ πάθος κουφίσαι, οὔτε γὰρ ἐπὶ σπληνὶ μεγάλῳ μυκτὴρ δεξιὸς αἱμορραγήσας, οὔτε ἀριστερὸς ἐφ' ἥπατι φέρει τινὰ ὠφέλειαν ἀλλὰ ἀντίσπασις μὲν ἐν τοῖς κατ' εὐθὺ ἀντισπωμένοις ἐναργῆ τὴν ὠφέλειαν ἐν τάχει δείκνυσι, ἐπὶ δὲ τοῖς ἀνάπαλιν, οὐκέτι. δεξιοῦ μὲν οὖν αἱμορραγοῦντος μυκτῆρος, ἡ ἐπὶ τὸ ὑποχόνδριον τὸ δεξιὸν ἐρειδομένη σικύα σαφῶς ἵστησιν ἐν τάχει τὴν αἱμορραγίαν, ὥσπερ καὶ ἡ ἐπὶ τὸν ἀριστερὸν αἱμορραγοῦντος ἀριστεροῦ. καὶ φλεβοτομήσας δὲ χάριν ἀντισπάσεως, ἐπὶ μὲν ταῖς κατ' εὐθεῖαν αἱμορραγίαις, ἐν τάχει θεάσῃ σαφῆ τὴν ὠφέλειαν. ἔμπαλιν δ' εἰ τέμνοις, οὐδὲν ὄφελος. οὕτω τοίνυν καὶ σπληνὸς πάσχοντος, ἡ τῆς ἐπὶ τὸν παρὰ μέσον δάκτυλον φλεβὸς διαίρεσις ὀνήσειεν ἐξ ἀριστερᾶς χειρός, ὡς εἰ καὶ τὴν ἐν ἀγκῶνι φλέβα τέμνῃς τὴν ἔνδον, ὠφελεῖ γὰρ ἱκανῶς σπλῆνα κακοπραγοῦντα κένωσις αἵματος ἐξ ἀριστερᾶς χειρός, ἄμεινον δὲ μὴ ἅπαξ ἐκκενοῦν τὸ σύμμετρον, ἀλλ' εἰς δύο μερίζοντας ἡμέρας. οὐ μὴν οἶδα κατά τι τοῖς ἰατροῖς ἠμέληται, τοῦ φλεβοτομεῖν τοὺς σπληνώδεις. ἐγὼ γὰρ ἀεὶ μεγάλην ὠφέλειαν ἔγνων γινομένην εἰ καὶ λίτραν τις ἐκκενώσειεν μίαν, ἀλλὰ τό γε ποσὸν τῆς κενώσεως ἐκ τῶν προειρημένων σκοπῶν χρὴ ποιεῖσθαι. καὶ μέν γε κἀπὶ τῶν πλευριτικῶν, ἡ κατ' εὐθὺ τοῦ πάσχοντος πλευροῦ φλεβοτομία, τὴν ὠφέλειαν ἐναργεστάτην ἐπεδείξατο πολλάκις, ἡ δὲ ἐκ τῆς ἀντικειμένης χειρός, ἢ πάντως ἀμυδράν, ἢ μετὰ χρόνον. ὀδύνας τε πολλάκις ὀφθαλμῶν ἰσχυροτάτας ἐντὸς ὥρας μιᾶς ἔπαυσεν, ἡ κατ' εὐθὺ φλεβοτομία, τῆς ὠμιαίας καλουμένης φλεβὸς τεμνομένης. πειρᾶσθαι δ' ἐπὶ πάντων παθῶν ἄμεινον ἦν ἐπὶ ταῖς φλεβοτομίαις μετρίαις γινομέναις τὴν καλουμένην ἐπαφαίρεσιν ποιεῖσθαι. ποτὲ μὲν ἐπὶ μιᾶς ἡμέρας, ὅταν οὕτω πράττειν ἐγχωρῇ, ποτὲ δὲ καὶ ἐπὶ τὴν ὑστεραίαν. πλὴν εἴποτε ὡς ἐμποδὼν εἴρηται, μέχρι λειποθυμίας ἄγειν τὴν κένωσιν ἐπιχειροῖμεν. ἐπὶ μὲν οὖν τῶν ὀφθαλμῶν, ἥτ' ὠμιαία καλουμένη φλέψ, ἥτ' ἐπ' αὐτῆς καταχιζομένη κατ' ἀγκῶνα τμηθεῖσα, φανερὰν ἐν τάχει τὴν ὠφέλειαν ἐπιφέρουσιν. ἐπὶ δὲ πλευρᾶς πεπονθυίας, ἢ πνεύμονος, ἢ διαφράγματος, ἢ σπληνός, ἢ ἥπατος τε καὶ γαστρός, ἢ διὰ μασχάλης ἐπὶ τὴν κατ' ἀγκῶνα διάρθρωσιν ἀφικνουμένη. τέμνειν δὲ † καὶ ταύτην, μάλιστα μὲν αὐτὴν τὴν ἔνδον. εἰ δὲ μή, τὴν ἀπ' αὐτῆς σχιζομένην εἰς τὴν καμπὴν τῆς διαρθρώσεως, ἴστε δή που μικρὸν ἔμπροσθεν ἀπὸ τῆς ὠμιαίας φλεβὸς σχίζεσθαι τὴν προειρημένην συνάπτουσαν αὐτῇ. τρεῖς γοῦν οὗτοι τρόποι τῆς κατ' ἀγκῶνα φλεβοτομίας εἰσίν, ὅτ' ἔνδον, καὶ ὁ ἐκτός, καὶ ὁ μέσος. ὁ μὲν οὖν ἔνδον ἐπὶ τῶν τὰ κάτω τοῦ τραχήλου πεπονθότων, ὠφελίμως. ὁ δὲ ἐκτός, ἐπὶ τῶν ὑπὲρ τούτων ἢ προσώπου ἢ κεφαλῆς. ὁ μέσος δὲ τόπος ἐνίοτε μὲν ἀμφοτέρας ἔχει τὰς σχιζομένας φλέβας, εἰς τὸ πρόσω τῆς χειρὸς ἐκτεινομένας, εἶτ' ἐνταῦθα συναπτομένας, ἐνίοτε δὲ διὰ ταχέων εἰς ταὐτὸ ἀλλήλαις ἰούσας ἐπὶ τὴν καμπὴν τῆς διαρθρώσεως, ἔστι δ' ὅτε σαφῆ μὲν τὴν ἑτέραν αὐτῶν, ἀσαφῆ δὲ τὴν ἑτέραν. ὅταν οὖν ἀσαφεστέρας οὔσης τῆς οἰκείας τῷ πάσχοντι μορίῳ φλεβὸς, ἐπὶ τὴν τῶν μέσων ἥκῃς, πειρῶ τὴν σχιζομένην τῆς οἰκείας τέμνειν μᾶλλον. ἔστι δ' ὅτε καὶ τὰς κατωτέρας τῆς κατ' ἀγκῶνα διαρθρώσεως ὅσαι ἐπὶ τῶν πήχεων εἰσί, διαιρεῖν οὐδὲν κωλύει, μὴ φαινομένων τῶν κατ' ἀγκῶνα, καὶ τούτων αὐτῶν τὰς κατ' εὐθὺ τοῖς πεπονθόσιν, οὕτω δ' ἐναργῆ διὰ ταχέων ἐνίοτε τὴν ὠφέλειαν αἱ κατ' εὐθὺ τῶν πασχόντων μορίων φλεβοτομίαι φέρουσιν, ὥστε καὶ τοὺς πάσχοντας αὐτούς, καὶ τοὺς οἰκείους αὐτῶν ἐκπλήττεσθαι πολλάκις. ἐγὼ γοῦν οἶδά ποτε παρακληθεὶς ὑπό τινος οἰκοῦντος ἐν προαστείῳ τῆς ῥωμαίων πόλεως ἀνδρὸς πλουσίου, θεάσασθαι τινὰ τῶν διοικούντων αὐτοῦ τὰ πράγματα, κινδυνεύοντα τυφλωθῆναι, οὕτω γὰρ ἐκεῖνος ἔλεγεν, ὀδυνώμενόν τε μεγάλως, καὶ τοῦ πάσχοντος σχεδὸν ἡμερῶν κ. ἦν δ' ὁ τῆς οἰκείας τοῦ πλουσίου προεστηκὼς ἰατρὸς Ἐρασιστράτειος, ἔργον πεποιημένος ἀπέχεσθαι φλεβοτομίας ἀεί. θεασάμενος οὖν ἐγὼ τὸν πάσχοντα, νεανίσκον, ὄντα πο-

λύαιμον

λύσαιμεν ἀνελκώτους μὲν ἔτι τοὺς ὀφθαλμοὺς ἔχοντα, φλεγμονὴν δὲ μεγίστην ἔχοντα, καὶ ῥεῦμα, καὶ δασύτητα ἐν ἀμφοτέροις τοῖς βλεφάροις, ἐν θατέρῳ δὲ καὶ τραχύτητας ἤδη τινάς, ὑφ᾽ ὧν ἐπισκοτούμενος ἔτι καὶ μᾶλλον ὠδύνατό τε, καὶ παρωξύνετο, ἥ τε φλεγμονὴ καὶ τὸ ῥεῦμα. ταῦτα θεασάμενος ἐγὼ καὶ γνοὺς ἅπασαν ἣν ἐποιεῖτο τῆς θεραπείας ἀγωγήν, ὁ ἰατρός, αὐτὸς μὲν οὐκ ἔφην δύνασθαι συνεχῶς εἰς τὸ προάστειον ἰέναι, κελεύειν δὲ τὸν ἄνθρωπον, ἄχρι τῶν τριῶν ἡμερῶν τοὐλάχιστον, οὐκ ἐκ μακρῶν διαλειμμάτων ὑπὸ ἐμοῦ θεωρεῖσθαι. δὸς οὖν αὐτόν, εἶπον, τὰς τρεῖς ταύτας ἡμέρας ἐμοί, καὶ μὴν ἔφη παρακαλῶ σε, καὶ χάριν εἴσομαι, καὶ ἤδη πρὸς τὴν σὴν οἰκίαν ἄπαγε τὸν ἄνθρωπον, ἧκέ τε περὶ ὥρας ε. καὶ ἀφῃρέθη τὴν πρώτην ἀφαίρεσιν εὐθέως αἵματος λίτρας γ. εἶτα ἄλλην μίαν ὥρας θ. ἐν αἷς ἀνακαλύψας μεγάλως, ὑπηλείφθη κατὰ τὴν ὑστεραίαν ἑνὶ τῶν ἁπαλῶν κολλυρίων μιχθέντος αὐτῷ τοῦ δι᾽ οἴνου, καθάπερ εἰώθαμεν ἐπὶ τῶν τοιούτων πράττειν, καθ᾽ ὑπερβολὴν τῆς μίλης τοῦ πυρῆνος ὑπὸ τὰ βλέφαρα τῆς ὑπαλήψεως γιγνομένης. ἐπράχθη δὲ τοῦτο, πρῶτον μὲν ἕωθεν, εἶτα τετάρτης ὥρας, εἶτα θ. ἐφ᾽ αἷς ὑπαλήψεσιν ἐλούσατο περὶ δυσμὰς ἡλίου. κἄπειτα κατὰ τὴν ὑστεραίαν ἐκστραφέντων τῶν βλεφάρων, ὑπηλείψατο δὶς ἐπιμιχθέντος τῷ ἁπαλῷ κολλυρίῳ πολὺ πλείονος τοῦ δι᾽ οἴνου, καὶ μετὰ ταῦτα, εἰς ἑσπέραν ἐλούσατο. κατὰ δὲ τὴν ἑξῆς ἡμέραν ἕωθεν ἀπαντήσας τῷ πλουσίῳ, κατά τι χωρίον ἔνθα τῶν ὀχημάτων ἀποβαίνειν εἰσὶν εἰθισμένοι, προσηγόρευσεν αὐτῷ, ἀνεῳγόσι τε καὶ ἀφλεγμάντοις καὶ ἀρευματίστοις τοῖς ὀφθαλμοῖς, ὁ πρὸ δύο ἡμερῶν οὐδὲ διανοῖξαι τὰ βλέφαρα δυνάμενος, ὑπὸ τοῦ ῥεύματός τε καὶ τῆς ὀδύνης. ἔδοξεν οὖν τὸ πρᾶγμα μαγείᾳ τινὶ γεγονέναι παραπλήσιον, ὥστε ἐκεῖνόν τε αὐτὸν ἀνακραγεῖν θαυμάζοντά τε τὸ τάχος τῆς θεραπείας, ἅπαντάς τε τοὺς μετ᾽ αὐτοῦ παραπλησίως βοᾶν. οὐχ ἡμῶν μέγα τι ποιησάντων ἀλλ᾽ ἐκ τῆς πρὸς τὸν οἰκεῖον ἰατρὸν αὐτοῦ παραβολῆς μέγιστα κακὰ ὁρῶντα διὰ τὸ τῆς φλεβοτομίας δέος. ἔχρῃζε μὲν γὰρ ὁ κάμνων ἀποσμηχθῆναι τὰς ἐκ τῶν βλεφάρων δασύτητάς τε καὶ τραχύτητας, ἀδύνατον δ᾽ ἦν τοῦτο γενέσθαι χωρὶς φαρμάκου δάκνοντος, οὐδὲν δ᾽ ἐδύνατο φέρειν τοιοῦτον, ἄνευ τοῦ προκενωθῆναι. λέλεκται γὰρ ἤδη, καὶ δέδεικται πολλάκις ἡμῖν ὡς ἅπαντα τὰ δριμέα φάρμακα προσφερόμενα μορίοις τισίν, ἐὰν μὴ κενὸν ᾖ τὸ σῶμα πᾶν, καὶ ἀκριβῶς ἀπέριττον, ἐπισπᾶται ῥεῦμα, καὶ φλεγμονὴν ἐργάζεται. τότε δ᾽ ὁ πλούσιος ἐπυνθάνετο, τίς ἡ οὖν μαγεία τῆς θεραπείας ἐγίνετο, καὶ πάντ᾽ ἀκούσας τὰ πραχθέντα, ἀπ᾽ ἐκείνου τὸν Ἐρασιστράτειον ἰατρὸν αἱμοφόβον ὠνόμαζεν. αὕτη μὲν οὖν ἡ διήγησις ἀμφοῖν ἔνδειξιν ἔχει, τοῦ τε χρῆναι φλεβοτομεῖν, τὰς τοιαύτας διαθέσεις, ὅπερ οὐκ ἦν ἡμῖν προκείμενον ἐν τῷ παρόντι λόγῳ, τοῦ τε φλεβοτομεῖν χρῆναι κατ᾽ εὐθὺ τῶν πασχόντων μορίων, καὶ τὰς ὠμιαίας ἐντέμνειν φλέβας, ἐπὶ τῶν ἀνωτέρων μερῶν τοῦ θώρακος πασχόντων. ὥσπερ δὲ τὰ προειρημένα πάντα μόρια, ταῖς κατ᾽ ἀγκῶνα φλεβοτομίαις, ὡς εἴρηται, γιγνομέναις ὠφελεῖται, κατὰ τὸν αὐτὸν τρόπον ὅσα κατωτέρω τούτων ἐστὶ ταῖς ἐπ᾽ ἰγνύων τε καὶ σφυρῶν. ἔστι δὲ τῶν προειρημένων κατωτέρω τὰ κατ᾽ ἰσχίον τε καὶ κύστιν καὶ μήτραν. νεφροὶ δὲ ἐπαμφοτερίζουσι, κάτω μὲν ὄντες ἤδη τῶν πρότερον εἰρημένων, ἄνω δὲ τῶν δεύτερον, διὸ καὶ ταῖς ἐπ᾽ ἀγκῶνος ἐνίοτε φλεβοτομίαις ὑπακούουσιν, ὅταν ἥτε φλεγμονὴ πρόσφατος εἴη, καὶ πλῆθος αἵματος. ἐφ᾽ ὧν δ᾽ ἡ διάθεσίς ἐστιν ἣν ἰδίως καλοῦσι νεφρῖτιν, τὴν κατ᾽ ἰγνύαν ἐπὶ τούτου χρὴ τέμνειν, ἢ πάντως γε τὰς κατὰ σφυρὰ φλέβας. αἱ δὲ τῆς μήτρας φλεγμοναὶ μᾶλλον ἔτι νεφρῶν, ὑπὸ τῶν ἐν τοῖς σκέλεσι φλεβῶν τεμνομένων ὠφελοῦνται. ταῖς γοῦν ἐπ᾽ ἀγκῶνος κενώσεσι, καὶ ἄλλο τι πρόσεστι μοχθηρόν. ἐπέχουσι γὰρ ἐμμήνους καθάρσεις, ἀντισπῶσαι τὸ αἷμα πρὸς τὰ τοῦ σώματος ὑψηλότερα. ταῖς δ᾽ ἀπὸ τῶν σκελῶν, οὐ μόνον ἀντισπάσαι, ἀλλὰ καὶ προτρέπειν ὑπάρχει τὰ καταμήνια. καὶ ὅταν γε τοῦτο πρᾶξαι βουληθῇς κατὰ τὸν καιρὸν τῆς εἰωθυίας τῇ γυναικὶ περιόδου, προλαβὼν ἡμέρας ὡσεὶ γ. ἢ δ. ἤτοι φλέβα τέμνων, ἢ ἀποχαράξας τὰ σφυρὰ τοῦ ἑτέρου τῶν σκελῶν, ἀποκένωσον ὀλίγον, εἶτα κατὰ τὴν ὑστεραίαν ὡσαύτως ἀπὸ θατέρου σκέλους, αὖθις ὁμοίως κένωσον ἅμα τῷ καὶ προνοεῖσθαι τῆς λεπτυνούσης διαίτης, ἐν αὐταῖς ταῖς ἡμέραις, ἐν αἷς οὕτως κενοῖς, καὶ πρὸ αὐτῶν ἄλλαις ἤδη τέσσαρσιν, ἢ πέντε. γέγραπται δέ μοι περὶ τῆς λεπτυνούσης διαίτης εἷς κατ᾽ ἰδίαν λόγος, ἀλλὰ γυναιξὶ καὶ ἄνευ τοιαύτης διαίτης ἱκανὰ προτρέψαι καταμήνια, καὶ καλαμίνθην καὶ γλήχωνα. διδόναι δὲ αὐταῖς ἀφεψῶν ἐν μελικράτῳ, καὶ ξηρὰ κόπτων, καὶ διαττῶν λεπτῷ κοσκίνῳ, καὶ τρίβων γε πάλιν χάριν τοῦ ποιῆσαι χνοώδη, ἐπίπαττε τῷ μελικράτῳ. καιρὸς δὲ τῆς πόσεως ἄριστός ἐστι μετὰ τὸ βαλανεῖον, περιβεβλημέναις ταῖς σινδόσι. ταῦτα μὲν οὖν ἐπιεικῆ φάρμακα, σφοδρότερα δὲ βράθυ, καὶ δίκταμνον. ἡ δὲ χρῆσις ὁμοία τοῖς προειρημένοις. δίδοται δ᾽ ἐν τούτῳ τῷ καιρῷ καὶ τὸ πικρὸν ἰδίως ὀνομαζόμενον φάρμακον, ὃ τὰς ϛ. ἔχει < τῆς ἀλόης μιγνυμένας ταῖς τῶν ἄλλων φαρμάκων ἐξ ἑκάστου. κάλλιστον δ᾽ ἐστὶν ὅταν λάβῃ κιννάμωμον. ταῦτα μὲν ἐν παρέργῳ λελέχθω, καίτοι γ᾽ οὐκ ὄντα πάρεργα, διότι τῇ τοῦ αἵματος ἐκ μήτρας φορᾷ συνεργεῖ, μετὰ τῆς ἀπὸ τῶν σκελῶν κενώσεως, ἤτοι τῶν σφυρῶν ἀμυττομένων, ἢ φλεβὸς τεμνομένης παρὰ τὸν ἀστράγαλον, ἢ κατ᾽ ἰγνύαν. οἶδα δὲ καὶ ἰσχιάδας ἐν ἡμέρᾳ μιᾷ θεραπευθείσας ὑπὸ τῆς διὰ τῶν σκελῶν κενώσεως, ὅσαι μὴ διὰ ψύξιν, ἀλλὰ πεπληρωμένων αἵματος τῶν κατ᾽ ἰσχίον ἀγγείων ἐγένοντο. διὸ καὶ συμφερώτερον τῆς ἀπὸ τῶν σφυρῶν φλεβοτομίας, ἡ ἀπὸ τῆς ἰγνύας ἐστὶ τοῖς οὕτω διακειμένοις. ἀποχάραξις δ᾽ αὐτοὺς οὐδὲν ὀνίνησι σαφές. συνελόντι γε μὴν εἰπεῖν, τὰς μὲν ἀρχομένας φλεγμονάς, ἀντισπαστικῶς χρὴ κενοῦν, τὰς δὲ κεχρονισμένας ἐξ αὐτῶν, εἰ οἷόν τε, τῶν πεπονθότων. εἰ δὲ μή, τῶν ἐγγυτάτω τούτων. ἐπὶ μὲν γὰρ τῶν ἀρχομένων, ἀποστρέψαι χρὴ τὸ ἐπιρρέον. ἐπὶ δὲ τῶν κεχρονισμένων αὐτὸ μόνον ἐκκενῶσαι τὸ ἐσφηνωμένον ἐν τῷ πεπονθότι μορίῳ. κενωθήσεται δ᾽ ἄριστα τοῦτο διὰ τῶν συνημμένων φλεβῶν τοῖς κατ᾽ αὐτά. τούτῳ τῷ λογισμῷ καὶ ἡ πεῖρα μαρτυρεῖ. καὶ διὰ ταῦθ᾽ ὅσα κατὰ φάρυγγα, καὶ ἀρτηρίαν φλεγμαίνει μεγάλως, ἐν ἀρχῇ μὲν ἡ κατ᾽ ἀγκῶνα, μετ᾽ ἐκείνην δέ, ἡ ἐπ᾽ αὐτῆς τῆς γλώττης βοηθεῖ μεγάλως, ἐντεμνομένων ἀμφοτέρων τῶν ἐπ᾽ αὐτῆς φλεβῶν. οὕτω δὲ καὶ τὰ κατὰ τοὺς ὀφθαλμούς, σκιρρώδη λείψανα τῶν φλεγμονῶν, ἡ παρὰ τὸν μέγαν κανθὸν φλὲψ ὀνίνησι διαιρουμένη, καθάπερ γε τὰ τῆς κεφαλῆς βάρη καὶ τὰς διὰ πλῆθος ὀδύνας κεχρονικυίας ἐν αὐτῇ, κουφίζειν εἴωθε σαφῶς ἡ ἐν τῷ μετώπῳ φλὲψ τμηθεῖσα, τὰς δ᾽ ἀρχομένας τε καὶ τὰς ἀκμαζούσας, ἡ ἐπ᾽ ἰνίου ἀντίσπασις διὰ συκίας, ἐνίοτε μὲν αὐτῆς μό-

νης, ἐνίοτε δὲ καὶ μετὰ ἀμυχῶν γιγνομένης. περικενοῦσθαι δὲ χρὴ τὸ σύμπαν σῶμα. κατὰ δὲ τὸν αὐτὸν λόγον ὄπισθεν τῆς κεφαλῆς ὀδύνας ἀρχομένας καὶ ἀκμαζούσας, ἡ ἐν μετώπῳ φλέψ, ὠφελεῖ διαιρουμένη. τὰς μὲν γὰρ ἀντισπάσεις ἅμα τῇ κενώσει ποιεῖσθαι χρὴ μᾶλλον ἐπὶ τῶν ἀρχομένων ῥευμάτων. τὰς δὲ ἀπ᾽ αὐτῶν τῶν πεπονθότων μορίων, ἢ τῶν πλησίον αὐτοῖς, ἐπὶ τῶν οἷον ἐνσκιρρουμένων φλεγμονῶν. ἐφ᾽ ὧν δὲ σωμάτων οὐδὲν πάσχει μόριον οὐδέπω, φθάνομεν δὲ κενοῦν ἦρος εἰσβάλλοντος, ἐπὶ τούτων † ἐπὶ μὲν εἰθισμένου τοῦ ἀνθρώπου νοσήμασιν ἁλίσκεσθαι πυρετώδεσιν ὥρᾳ θέρους, ἐκκενῶσαι τὴν χορηγίαν αὐτῶν ἐφιέμεθα, πᾶν μέρος εἰς ἀφαίρεσιν αἵματος ὁμότιμόν ἐστιν. ὥσπερ γε κἂν εἰ ἀρθριτικὸς εἴη πᾶσι τοῖς ἄρθροις πεπονθώς. οἷς δέ τι μέρος ἐξαιρέτως ἐνοχλεῖται μὴ προκενωθεῖσιν, οὐ χρὴ ποιεῖσθαι τὴν κένωσιν ὁμότιμον ἐξ ἁπάντων, ἀλλ᾽ ὡς ἐπὶ τῶν ἀρχομένων ἤδη πάσχειν. διὸ τοὺς μὲν ποδαγρικοὺς ἐπ᾽ ἀγκῶνος χρὴ κενοῦν, ἐπιληπτικοὺς δὲ καὶ σκοτωματικοὺς ἀπὸ τῶν σκελῶν μᾶλλον. εἰ δὲ δι᾽ αἱμορροΐδος ἐπίσχεσιν ἐπὶ φλεβοτομίαν ἥκοις, εἰ μὲν ἐπέχειν αὐτὴν βούλοιο, τὰς ἐν ταῖς χερσίν, εἰ δὲ προτρέψαι, τὰς ἐν τοῖς σκέλεσι χρὴ τέμνειν φλέβας. ἀλλ᾽ ἐπί γε τῶν ἐπεχομένων καταμηνίων, τὰς ἐν σκέλει διαπαντός. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν αἱμορροΐδων, ἔνιοι μὲν ἀπηλλάχθαι τῆς τοιαύτης κενώσεως ἐθέλουσιν, ἔνιοι δὲ ἔχειν ἀγαπῶσιν, οὕτω κἀπὶ τῆς ἐμμήνου καθάρσεως. ἡ μὲν γὰρ ἐκ τῶν αἱμορροΐδων κένωσις, ὕποπτός ἐστιν ἀμετρίαν τοσαύτην ἐλθεῖν, ὡς ἤτοι παραχρῆμα τὸν ἄνθρωπον ἀνελεῖν, ἢ ὑδερώδη γε πάντως, ἢ καχεκτικὸν ἀπεργάσασθαι. ταῖς δ᾽ ἐκ τῶν μητρῶν κενώσεσιν ὡς ἂν κατὰ φύσιν οὔσαις, οὐδὲν τοιοῦτον συμπίπτει. συμβαίνει μέντοι ἐνίοτε, καὶ τὰς μήτρας ἐξ ἀναβρώσεως αἱμορραγεῖν, ἐφ᾽ ὧν οὐκέτι ὁ αὐτὸς σκοπὸς τῆς θεραπείας ἐστίν. οὐ γὰρ φέρεσθαι τὸ αἷμα καθάπερ ἐκ τῶν καταμηνίων, ἀλλὰ παντάπασι στῆναι βουλόμεθα. κοινὸς οὖν ἐπὶ τούτων ἁπάντων ἦρος εἰσβάλλοντος ἐπὶ φλεβοτομίαν ἡκόντων, ὅδε ὁ λόγος ἐστίν, εἰ μὲν ἐξαιρέτως ἀσθενές τι μόριον ἔχοιεν, ἐφ᾽ ὃ τὸ ἀθροιζόμενον πλῆθος ῥέπει, ἀντισπαστικῶς κενοῦν. εἰ δὲ μηδὲν εἴη τοιοῦτον, ὅθεν ἂν ἑκάστῳ φίλον ᾖ, πλὴν τῶν δι᾽ αἱμορροΐδος ἐπίσχεσιν, ἢ καταμηνίων, ὡς ὀλίγον ἔμπροσθεν διώρισται, εἴρηται μὲν οὖν δυνάμει καὶ περὶ τούτου διὰ τῶν ἔμπροσθεν, ἄμεινον δὲ καὶ νῦν ἅπαντα διελθεῖν, ἀθροίζοντα μὲν εἰς ἕνα λόγον τοῦτον, ὅσα πρόσθεν εἴρηται, προσεπιδιορίζοντα δὲ τὰ μὴ διωρισμένα. καθόλου μὲν οὖν τοῦτο γνωστέον, ὡς οὐ χρὴ προσέχειν ἡμερῶν ἀριθμὸν πρῶτον ἐπὶ φλεβοτομίας, ὥσπερ τινὲς ἔγραψαν, καὶ ἔνιοι μὲν πάνυ γελοίως μετὰ τὸν τῆς τρίτης παροξυσμόν, ὁπόταν ὥς φασιν ἤδη τινὰ διάγνωσιν ἔχομεν ὁποία τίς ἐστι κατά τε τὴν ἰδέαν καὶ τὸ ἦθος, ὅλην τε τὴν ἑαυτῆς φύσιν ἡ νόσος. ἔνιοι δὲ τὸν μὲν ἐξοχώτατον ὅρον τῆς φλεβοτομίας ὥρισαν εἶναι τὴν τετάρτην ἡμέραν, ἐντὸς δὲ αὐτῆς συγχωροῦσι φλεβοτομεῖν ἐν τοῖς τῶν παροξυσμῶν διαλείμμασι, ὁπότε ἐθελήσαιεν. ἔνιοι δὲ ἀποδύουσι ἀφαιρεῖν, ἐφ᾽ ὧν ἂν ὁρίσωσιν αἵματος ἀφαιρέσεως εἶναι χρείαν. ἔτι μεταρρέοντος αὐτοῦ, καὶ μηδέπω κατεχομένου βεβαίως ἔν τινι μέρει δεξαμένῳ τὴν περιουσίαν, ἓν μόνον ἐπισκοποῦντες, εἰ μὴ διαφθορά τις εἴη γεγονυῖα τῆς ἐν τῇ γαστρὶ περιεχομένης τροφῆς, ἢ βραδυπεψία τις, ἢ καὶ σιτία περιεχόμενα κατ᾽ αὐτήν. ὅτι μὲν οὖν ἀποδύειν προσήκει ἐφ᾽ ὧν ἐστι χρεία κενώσεως εἰ μήπω προπεφθῆναι δέον τὰ σιτία, καὶ τοὺς κατὰ τὰς πρώτας φλέβας ἡμιπέπτους χυμούς, κάλλιστα λέγουσι καὶ πιστέον αὐτοῖς. ἀλλ᾽ ἐπεὶ πολλάκις ἡμέρας πέντε ἤδη ἢ ἓξ ἄγοντος τινὸς ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὴν θεραπείαν αὐτοῦ καλούμεθα, καλῶς ἂν ἔχοι φλεβοτομεῖν, εἰ καὶ παρελείφθη τοῦ βοηθήματος ὁ πρῶτος καιρός. ἐν ᾗ γὰρ ἂν ἡμέρᾳ τοὺς σκοποὺς τῆς φλεβοτομίας ἐπὶ τοῦ κάμνοντος εὑρίσκῃς, ἐν ἐκείνῃ πρακτέον τὸ βοήθημα, κἂν εἰκοστὴν ἡμέραν ἀπὸ τῆς ἀρχῆς ἔτυχεν εἶναι. τίνες δ᾽ ἦσαν οἱ σκοποί; μέγα τὸ νόσημα, ῥώμη τῆς δυνάμεως ὑπεξῃρημένης τῆς ἡλικίας παιδικῆς, καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἱκανῶς θερμοῦ. ἐπεὶ δὲ προκαταλύεται τοῦ χρόνου προϊόντος ἡ δύναμις ἐν τοῖς πλείστοις νοσήμασι, διὰ τοῦθ᾽ ὁ τῆς φλεβοτομίας καιρὸς ἀναιρεῖται † τὸ πλῆθος τῶν ἡμερῶν. οὐ πρώτως τοῦτ᾽ ἐργαζομένου ἀλλὰ διὰ μέσου, πρὶν καταλυθῆναι τὴν δύναμιν. ὥστ᾽ εἰ κατὰ τὴν δευτέραν ἡμέραν μετὰ τὴν ἀρχήν, φαίνεται καταλυομένη πως ἡ δύναμις, ἀφεξόμεθα τῆς φλεβοτομίας. ὅτι δ᾽ ἐν αὐτῇ πάλιν ἐκείνῃ τῇ ἡμέρᾳ, καθ᾽ ἣν φλεβοτομοῦμεν, ἐπιτηρῆσαι χρὴ τὴν παρακμὴν τοῦ πυρετοῦ, πρόδηλον εἶναι νομίζω. καί τι γ᾽ ἐνίοις ἐστὶν οὐδὲ τοῦτο πρόδηλον οἵ γε κελεύουσιν ἕωθεν μὲν φλεβοτομεῖν, ἢ τὸ μακρότατον, ἄχρι πέντε ἢ ἓξ ὡρῶν. ἀλλ᾽ εἰ τῶν ἔμπροσθεν εἰρημένων ἐν ὅλῳ τῷ γράμματι μνημονεύει τις, οὐδὲν τούτων σφαλήσεται φλεβοτομῶν, ἐν ἁπάσῃ μὲν ἡμέρας ὥρᾳ, πάσης δὲ νυκτός, σκοπὸν ἔχων ἐπὶ μὲν τῶν πυρεττόντων, τὴν παρακμὴν τοῦ κατὰ μέρος παροξυσμοῦ, ἐπὶ δὲ τῶν ἤτοι δι᾽ ὀφθαλμίαν ἢ δι᾽ ἄλλο τι τοιοῦτον δεομένων τοῦ βοηθήματος χωρὶς πυρετοῦ, οὐ τὴν παρακμήν, οὐκ ὄντος γε ὅλως τοῦ πυρετοῦ. τὸ μέγεθος δ᾽ αὐτῆς τῆς ὀδύνης ἢ φλεγμονῆς, ἢ ὅλης τῆς διαθέσεως, ἐν ᾗ τῆς φλεβοτομίας ἐστὶ χρεία. μηδενὸς δὲ τοιούτου κατεπείγοντος ἢ κωλύοντος, ἄμεινόν ἐστιν ἕωθεν φλεβοτομεῖν, οὐκ εὐθέως ἅμα τῷ τῶν ὕπνων ἐξαναστῆναι, προεγρηγορήσαντες δὲ χρόνον ὡς ὥρας μιᾶς. εἴρηται δὲ ὅτι καὶ λούειν τινὰς ἄμεινον, εἰ δὲ μή, καὶ προπεριπατήσαντας ἐνίους ἐφ᾽ ὧν δὲ ἦρος εἰσβάλλοντος ἐπὶ φλεβοτομίαν † ἔρχεσθαι. διὰ προσδοκίαν πυρετῶν οἶδα φλεβοτομήσας ἐνίους, καὶ μετὰ τὸ πρᾶξαι τινὰ τῶν συνήθων ἔργων, ἢ ἐν διδασκαλείοις, ἢ ἐργαστηρίοις, ἢ κατ᾽ ἀγοράν, ἢ ἐπὶ τῆς οἰκίας. ὅ γε μὴν τῆς ἐπαφαιρέσεως καιρός, ἐφ᾽ ὧν μὲν ἁπλῶς κενῶσαι, κἂν δύο ταῖς ἐφεξῆς ἡμέραις γένηται, βέλτιόν ἐστι. προσέχειν δ᾽ ἐν ἅπασι τοῖς τοιούτοις σε χρὴ τὴν δύναμιν τοῦ κάμνοντος, ἁπτόμενον τῶν αὐτοῦ ἀρτηριῶν. ἔνιοι γὰρ εὐπαθεῖς εἰσι τὴν δύναμιν, ὡς μὴ φέρειν ἀθρόαν κένωσιν, ἐφ᾽ ὧν ἀνακτησάμενος ἐν τῇ πρώτῃ τῶν ἡμερῶν τὸν κάμνοντα, ἐπαφαιρεῖν ἐν τῇ δευτέρᾳ προσήκει. ὅτι καὶ τὰς ἀρτηρίας, φλέβας ὀνομάζουσιν οἱ παλαιοί, καὶ ἡμῖν ἑτέρωθι δέδεικται, καὶ πρὸ ἡμῶν ἄλλοις ὡμολόγηται. διά τε οὖν αὐτὸ καὶ προσέτι τὴν οἰκειότητα τῶν διδασκαλιῶν, καὶ βραχύτητα τοῦ λόγου, κάλλιον ἔδοξέ μοι, μὴ γράφειν ἕτερον βιβλίον ὑπὲρ ἀρτηριοτομίας, ἀλλὰ τῷ τῆς φλεβοτομίας συνάψαι λόγῳ, καὶ τοῦτό γε αὐτό, κατὰ τόδε τὸ μέρος, ἐν ᾧ σκοπούμεθα, τίνας ἐπὶ τίσι μέρεσι πεπονθόσι προσήκει διαιρεῖσθαι φλέβας. ὡς γὰρ ἄλλας ἐπ᾽ ἄλλοις ἐδείξαμεν, οὕτω δὴ καὶ τὰς κατὰ τοὺς κροτάφους ἀρτηρίας, καὶ τὰς τῶν ὤτων ὄπισθεν ἔθος ἐστὶ τοῖς ἰατροῖς διαιρεῖν, τὰς μὲν ἐν τοῖς κροτάφοις, ἐπὶ τοῖς ἐν ὀφθαλμοῖς ῥεύμασιν

† ἐ

aliter τῷ πλήθει τῶν ἡμερῶν οὐ πρώτως τοῦτ᾽ ἐργαζομένων

παρ.- ἀκμὴν

† ἐρχόμεθα.

ῥεύμασιν, ὅσα θερμὰ καὶ πνευματώδη. τὰς δὲ ὄπισθεν τῶν ὤτων, ἐπὶ σκοτωματικοῖς μάλιστα, καὶ ὅσοι χρονίοις ἀλγήμασι κεφαλῆς θερμοῖς καὶ πνευματώδεσι κάμνουσιν. ἤδη δὲ καὶ διὰ ἄλλα πάθη περὶ τὴν κεφαλὴν συνιστάμενα χρόνια, κέχρηνταί τινες ἀρτηριοτομίᾳ τῶν ὤτων ὄπισθεν. οὐ μὴν ἐφ᾽ ἑτέρου γέ τινος μορίου πάσχοντος ἐχρήσαντο τῷ βοηθήματι καίτοι τῶν πολλῶν δεομένων αὐτοῦ μᾶλλον ἢ φλεβοτομίας. ἔνθα γὰρ ἐνοχλεῖ θερμὸν αἷμα καὶ πνευματῶδες ἐν ταῖς ἀρτηρίαις ἠθροισμένον, ἐνταῦθα χρεία τῶν κοινῶν τῷ πάσχοντι μορίῳ τεμνομένων ἀρτηριῶν. ἀλλὰ διὰ τὸ δυσεπίσχετον τῆς ἀρτηρίας, οὐ τολμῶσιν οἱ ἰατροὶ διαιρεῖν τὰς ἀρτηρίας, ὅπου γε καὶ φλεβοτομοῦντές τινες, ὅταν ἀρτηρίαν τρώσωσιν ἐν τῷ παραχρῆμα, δυσχερῶς ἵστωσι τὴν αἱμοῤῥαγίαν, καὶ ὅταν τὰ βέλτιστα πράξωσιν, εἰς οὐλὴν τῆς διαιρέσεως ἰούσης ἀνεύρυσμα γίνεται. καὶ μέντοι καὶ ἀποθανόντας τινὰς ἴσμεν ἐκ τῆς ὑποκειμένης ἀρτηρίας, τῇ κατ᾽ ἀγκῶνα φλεβὶ, τῇ ἔνδον. ἐνίους μὲν ἐν τῷ παραχρῆμα διὰ τὸν περιβληθέντα βρόχον, ἐθελησάντων τε τῶν ἰατρῶν ἐπέχειν, ὡς τὴν αἱμοῤῥαγίαν, εἰς γάγγραιναν ἐλθεῖν. ἐνίους δ᾽ ὕστερον ἐν τῇ τῶν ἀνευρυσμάτων χειρουργίᾳ διαφθαρέντας. ἀναγκαῖον γὰρ ἐν ταύτῃ βρόχῳ διαλαμβάνεσθαι τὸ ἀγγεῖον. τὰς μὲν οὖν ἀξιολόγους κατὰ τὸ μέγεθος ἀρτηρίας διὰ ταῦτα φεύγουσιν οἱ ἰατροὶ, τὰς δὲ μικρὰς ὡς οὐδὲν μέγα δυναμένας ὀνῆσαι. καίτοι, καὶ αὗται πολλάκις ἡμῖν ὤφθησαν οὐ μικρὰν ὠφέλειαν ἐπιφέρουσαι μετὰ καὶ τοῦ συνελθεῖν χωρὶς ἀνευρύσματος. καὶ μέντοι κἂν μείζων ἀρτηρία ᾖ, καὶ αὐτὴ χωρὶς ἀνευρύσματος συνελθεῖν διαιρεθεῖσα πᾶσα. καὶ πολλάκις γοῦν αὐτὸ τὸν ἐκ τῆς αἱμοῤῥαγίας κίνδυνον ἰάσατο. φαίνεται γὰρ σαφῶς ὅθ᾽ ὅλη δι᾽ ὅλης ἑαυτῆς ἐγκαρσίως διακοπῇ, τῶν μερῶν ἑκατέρων ἀνασπωμένων ἑκατέρωσε, τὸ μὲν ἄνω τοῦ μορίου, τὸ δὲ κάτω. γοῦν μέν γε καὶ ταῖς φλεψὶν ἀλλὰ μετρίως ὑπάρχει, ταῖς δ᾽ ἀρτηρίαις, ἀεὶ μᾶλλον τῶν φλεβῶν. ἐγὼ γοῦν ὅθεν ὁρμηθεὶς ἐπὶ τὸ διαιρεῖν ἀρτηρίας ἧκον, ἤδη σοι φράσω. προτραπεὶς ὑπό τινων ὀνειράτων δυοῖν ἐναργῶς μοι γενομένων, ἧκον ἐπὶ τὴν ἐν τῷ μεταξὺ λιχανοῦ τε καὶ μεγάλου δακτύλου τῆς δεξιᾶς χειρὸς ἀρτηρίαν, ἐπέτρεψά τε ῥεῖν, ἄχρις ἂν αὐτομάτως παύσηται τὸ αἷμα, κελεύσαντος οὕτω τοῦ ὀνείρατος. ἐῤῥύη μὲν οὖν οὐδ᾽ ὅλη λίτρα. παραχρῆμα δ᾽ ἐπαύσατο χρόνιον ἄλγημα κατ᾽ ἐκεῖνο μάλιστα τὸ μέρος ἐρεῖδον, ἔνθα συμβάλλει τῷ διαφράγματι τὸ ἧπαρ. ἐμοὶ μὲν οὖν γοῦν συνέβη νέῳ τὴν ἡλικίαν ὄντι. θεραπευτὴς δὲ τοῦ θεοῦ ἐν Περγάμῳ χρονίου πλευρᾶς ἀλγήματος ἀπηλλάγη δι᾽ ἀρτηριοτομίας ἐν ἄκρᾳ τῇ χειρὶ γενομένης, ἐξ ὀνείρατος ἐπὶ γοῦν ἐλθὼν καὶ αὐτός. ἑτέρῳ δὲ τραύματος ἐν τῷ σφυρῷ γενομένου διαιρεθείσης ἀρτηρίας, οὐκ ἐπαύσατο μὲν ἡ φορὰ τοῦ αἵματος ἄχρι κληθεὶς ἐγὼ διέτεμον ὅλην αὐτὴν, εἶτα τῷ διὰ τῆς ἀλόης, καὶ μάννης, καὶ τοῦ λευκοῦ τῶν ᾠῶν ἐχρησάμην φαρμάκῳ λαγῴαις ἀναλαμβανομένῳ θριξὶ, καὶ χωρὶς μὲν ἀνευρύσματος ἐθεραπεύθη τὸ τραῦμα περισαρκωθέντος τοῦ στόματος τῆς ἀρτηρίας. ὁ δὲ ἄνθρωπος ἐτῶν ἤδη τεσσάρων ἐκ διαλειμμάτων οὐ μικρῶν ὀδυνώμενος τὸ ἰσχίον, ἐξ ἐκείνου τελέως ὑγιὴς ἐγένετο. ταῦτα οὖν ἔπεισέ με πολλάκις ἐν ἄκροις τε τοῖς κώλοις. καὶ μέντοι καὶ κατὰ τὴν κεφαλὴν ἀρτηρίας διαιρεῖν, ἐπὶ πᾶσιν ἀλγήμασι, ὅσα διὰ θερμὴν οὐσίαν ἢ πνευματώδη τὴν γένεσιν ἔχειν ἔδοξεν, καὶ μάλιστα κατὰ τοὺς ὑμένας, ὧν τὸ ἄλγημα νυγματῶδές τ᾽ ἐστὶ, καὶ πλατυνόμενον ἀτρέμα. τῆς μὲν νυγματώδους αἰσθήσεως καθ᾽ ἕν τι μέρος, ὡς ἂν κέντρου τοῦ πεπονθότος τόπου γινομένης, τάσεως δ᾽ αἴσθησιν ἴσχοντος τοῦ περὶ τὸ κέντρον τοῦ μυὸς παντός.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΒΔΕΛΛΩΝ, ΑΝΤΙΣΠΑΣΕΩΣ, ΣΙΚΥΙΑΣ, ΚΑΙ ἐγχαράξεως καὶ κατασχασμοῦ.

Θηρῶντες τινὲς τὰς βδέλλας κατακλείουσι, καὶ ἐπὶ πολλοῖς αὐταῖς χρῶνται. αὗται γὰρ ἐκμελετήσασαι ῥᾳδίως ἅπτονται τῶν σαρκῶν. τὰς δὲ νέον εἰλημμένας φυλάττειν χρὴ ἡμέραν μίαν, αἷμα ὀλίγον εἰς διατροφὴν ἐμβάλλοντας. οὕτως γὰρ διαπιδήσεται τὸ ἰῶδες αὐτῶν. ἐπὶ δὲ τῆς χρείας, τὸ βδελλισόμενον μέρος προνιτρούσθω, καὶ καταχριέσθω, ἢ κνάσθω τοῖς ὄνυξι, ἑτοιμότερον γὰρ ἅψονται. δεῖ δὲ ἐμβαλεῖν αὐτὰς εἰς ὕδωρ χλιαρὸν, καὶ καθαρὸν ἀγγεῖον εὐρὺ, ἔπειτα σπόγγῳ περιλαβόντας αὐτὰς, καὶ τὸ γλοιῶδες ἀποκαθάραντας, διὰ τῶν χειρῶν προσέξομεν. μετὰ δὲ τὸ ἐμφῦναι, ἔλαιον χλιαρὸν ἐπιχέομεν τῷ μορίῳ, ὥστε μὴ ψυγῆναι. ἐπὶ δὲ χειρῶν ἢ ποδῶν, αὐτὸ τὸ μέρος ἐμβαλεῖν χρὴ εἰς ὕδατα, ἔνθα εἰσὶν αἱ βδέλλαι. εἰ δὲ ὀλίγον ἅψοιντο, ψαλίζειν χρὴ τὰς οὐρὰς αὐτῶν. ἐκχεομένου γὰρ τοῦ αἵματος, ἕλκουσαι οὐ παύονται, μέχρις ἂν ἡμεῖς ἅλας ἢ σποδὸν προσπάσωμεν αὐτῶν τοῖς στόμασι. μετὰ δὲ τὸ ἀποπεσεῖν, σικύᾳ χρὴ τὸ ἰῶδες ἐξέλκειν. εἰ δὲ μὴ, πυριατέον σπόγγοις. τὰ δὲ †σώματα, εἰ μὲν ὑπολακεύει, κύμινον ἢ ἄλευρον προσπαστέον, ἔπειτα ἐρίῳ ἔλαιον βραχὺ καταλεικτέον. εἰ δὲ αἱμοῤῥαγεῖ, ὀθόνια ἐπιβλητέον ἐξ ὄξους, ἢ κικίδα κεκαυμένην, ἢ σπόγγον λευκὰς ὑγροπίσσῃ καὶ καύσας, ἐπιθετέον. γινώσκειν δὲ χρὴ, ὡς αἱ βδέλλαι οὐ τὸ ἐν τῷ βάθει ἕλκουσιν αἷμα, ἀλλ᾽ αὐτὸ τὸ παρακείμενον τῇ σαρκὶ εἰσμύζουσιν. χρώμεθα δὲ αὐταῖς ἀντὶ σικυῶν, ἀποσπῶμεν δὲ αὐτὰς ὁπόταν εἰκάσωμεν τὸ ἥμισυ μέρος εἱλκύσθαι τοῦ αἵματος. ἐκκωλυόμεθα δὲ καὶ οὐκ ἐῶμεν ἀποῤῥεῖν ἕως ἂν αὐτάρκως ἀποκριθῇ, ἐπειδὴ τὸ μόριον ψύχεται, ὑπό τε τῆς βδελλῶν φύσει ψυχρῶν οὐσῶν, καὶ ὑπὸ τοῦ περιέχοντος.

†τμήματα vel forte σύματα aut τρήματα legendum.

Περὶ ἀντισπάσεως.

Τὰς σφοδροτάτας ἐπιῤῥοὰς τῶν χυμῶν, ἀντισπαστικοῖς βοηθήμασι κωλύομεν ἀθρόως κατασκήπτειν. ἀντισπαστικὰ δέ ἐστι βοηθήματα ἐπὶ τῆς εἰς θώρακα καὶ γαστέρα ῥοπῆς, εἰς χεῖρας. ἔμετοι δὲ ἐπὶ τῆς εἰς τὰ κάτω, καθάπερ καὶ ἡ διὰ τῶν δριμυτέρων κλυσμῶν τῆς ἐπὶ τοὺς ἐμέτους ἄμφω δὲ ταύτας τὰς ῥοπὰς, λέγω δὲ τὰς

διὰ τῶν ἄνω καὶ κάτω γαστρὸς, εἰς οὖρα καὶ ἱδρῶτας ἀντισπάσεις. καὶ μὴν τοι γε καὶ τὰ οὖρα, πρὸς ἱδρῶτάς τε καὶ διαχωρήσεις γαστρός. ἀντισπαστικὸν δὲ βοήθημα, καὶ ἡ παρὰ τοὺς τιτθοὺς προβαλλομένη σικύα. ταῖς δὲ καθ᾽ ὑποχόνδριον ἐρειδομέναις ἀντισπάσεις τὴν ἐπὶ τοὺς μυκτῆρας ὁρμὴν τοῦ αἵματος, ὥσπερ γε καὶ τὴν διὰ μήτρας ἄμετρον φοράν. ἀντισπᾷ δὲ καὶ τὰ δριμέα φάρμακα τοῖς κόλποις ἐπιτιθέμενα τὰς ἐπὶ κεφαλὴν καὶ σπλάγχνα ῥοπὰς τῶν χυμῶν. καὶ ἁπλῶς τὴν ἀντίσπασιν ποιητέον, ἐπὶ μὲν τοῖς ἄνω ῥέουσι χυμοῖς, εἰς τὰ κάτω. ἐπὶ δὲ τοῖς εἰς τὰ κάτω, τοὐναντίον. καὶ ἐπὶ μὲν ταῖς ἔσω ῥοπαῖς, ἔξω. καὶ πάλιν ἐπὶ ταῖς ἐκτὸς, εἴσω. κἂν πρὸς τὰ δεξιὰ ῥέπῃ, ἐπὶ τὰ ἀριστερά. καὶ εἰ πρὸς τὰ εὐώνυμα, πρὸς τὰ ἐναντία. οὕτω δὲ καὶ τὰς μὲν ὀπίσω ῥοπὰς, πρόσω. τὰς δ᾽ εἰς τὸ πρόσω, ὄπισθεν.

Περὶ σικύας.

Σικύαι προκενωθέντων χρήσιμοι. πληθωρικῶν γὰρ ὑπαρχόντων οὐ χρησόμεθα ταύταις. τῷ δ᾽ αὐτῷ λόγῳ καὶ ἐπὶ τῶν κατ᾽ ἐγκέφαλον καὶ μήνιγγας φλεγμονῶν οὐ χρησόμεθα σικύαις ἐν ἀρχῇ τῶν παθῶν, ὥσπερ οὐδ᾽ ἐπ᾽ ἄλλου μορίου φλεγμαίνοντος οὐδενός, ἀλλ᾽ ὅταν μηκέτι ἐπιρρέῃ μηδὲν ἔτι, καὶ προκενώσωμεν ὅλον τὸ σῶμα, χρεία τε γένηται ἢ κινῆσαί τε καὶ ἐκμοχλεῦσαι τὸ καταφλεγμαῖνον, ἢ πρὸς τοὐκτὸς ἐπισπάσασθαι. γινομένων δὲ ἔτι τῶν παθῶν, οὐκ αὐτοῖς τοῖς ἀρχομένοις κάμνειν μέλεσιν, ἀλλὰ τοῖς συνεχέσιν αὐτῶν ἐπιθετέον τὴν σικύαν ἀντισπάσεως ἕνεκεν. κατὰ τὴν ἀρχὴν δὲ τοῖς ἀποκρουστικοῖς χρηστέον. Σικύα δύναται τὴν ὕλην κενῶσαι, ὀδύνην λῦσαι, φλεγμονὴν μειῶσαι, ἐμπνευμάτωσιν διαφορῆσαι, ὀρέξεις ἀνακτήσασθαι, ἄτονον στόμαχον τονώδη ποιήσασθαι, λειποθυμίας ἀπαλλάξαι, τὰ ἐκ τῶν βάθεων μεταφέρειν ῥεύματα καὶ ξηρᾶναι, καὶ αἱμορραγίας ἐπισχεῖν, καὶ ἐμμήνων φθοροποιοὺς δυνάμεις ἑλκύσαι. καὶ ἔμμηνα κινῆσαι.

Περὶ ἐγχαράξεως καὶ καταχασμοῦ.

Εγχαράξομεν μέρη τοῦ σώματος, ἤτοι φλεγμαίνοντα, ἢ σκιρρούμενα, ἢ τεταμένα, ἢ ἐπωδύνως ἔχοντα, ἢ ῥευματισθέντα, ἤδη στάσιν εἰληφότος τοῦ ῥευματισμοῦ, ἢ δριμείας ὕλης περιεχομένης, ἢ ἰώδους δυνάμεως ἔξωθεν ἐμπεσούσης, ἢ βουλόμενοι μεταγαγεῖν ἐξ ἑτέρων μερῶν εἰς ἄλλο τὴν ὕλην. οἷον σκέλη καταχάζομεν, κεφαλῆς πεπονθείας, ἢ πλεοναζούσης ὕλης ἐν τῷ σώματι, μειῶσαι θέλοντες. καὶ μάλιστα ὅταν ὁ πλεονασμὸς γένηται δι᾽ ἐποχὴν ὕλης εἰωθυίας ἀποκρίνεσθαι συνήθως. οἷον αἱμορροΐδων ἐπισχεθεισῶν ἐγχαράσσομεν σκέλη προλουσάμενοι, ἢ ἐν θερμῷ πυρίαν, ἢ σπόγγῳ. τὸ μὲν γὰρ φλέβα διελεῖν πολλάκις τοῦ ἔτους οὐκ ἐπιτήδειον νομίζω. ἅμα γὰρ αἵματι πολλῷ συνεκκρίνεται τὸ ζωτικὸν πνεῦμα. τούτου δ᾽ ἀναλισκομένου πυκνότερον, ὅ, τε ὅλος ὄγκος καταψύχεται, καὶ πάντα τὰ ψυχικὰ ἔργα χεῖρον γίνεται. διὰ τοῦτο ἀπὸ τῶν ἀκυρωτέρων, οἷον σκελῶν τὴν ἀφαίρεσιν δεῖ ποιεῖσθαι. ὠφελεῖ δὲ ἡ ἐγχάραξις καὶ ὀφθαλμοὺς χρονίως ῥευματιζομένους, καὶ κεφαλῆς διαθέσεις, καὶ τὰ περὶ θώρακα καὶ μετάφρενα καὶ συνάγχας καὶ σφηνώσεις.

Τέλος.

ΓΑΛΗΝΟΥ ΤΩ ΕΠΙΛΗΠΤΩ ΠΑΙΔΙ ΥΠΟΘΗΚΗ.

Εγὼ μὲν ᾤμην ὦ Κεκιλλιανὲ μηδὲν δεήσεσθαί σε τῶν ἡμετέρων ὑποθηκῶν, εἰς τὴν τοῦ παιδὸς νόσον, ὁ γὰρ τεθεαμένος αὐτὸν ἤδη, καὶ μέλλων ἅμα σοι πλεύσεσθαι πάλιν εἰς Ἀθήνας, Διονύσιος, ἱκανός ἐστι καὶ πρᾶξαι πάντων τὰ δέοντα, καὶ χωριζόμενος, αὖθις ὑποθήκας διδόναι τῇ τοῦ νοσήματος ἕξει προσηκούσας. ἐγὼ δὲ μηδέπω ποτὲ τεθεαμένος τὸν παῖδα, τάχ᾽ ἂν πολὺ καὶ σφαλείην, οὔθ᾽ ὅπως ἐξ ἀρχῆς ἡ φύσις αὐτῷ πρὸ τοῦ νοσήματος, οὔθ᾽ ὅπως νῦν ὑπὸ τοῦ νοσήματος γινώσκων, ἀλλ᾽ ἢ μόνον αὐτὸ παρ᾽ ὑμῶν ἀκούων, ἐπιληπτικὸς αὐτῷ γίνεσθαι παροξυσμούς. ἐπεὶ δ᾽ ὀλιγωροῦντα με μᾶλλον ἢ ἀληθεύοντα νομίζειν ἀποδιδράσκειν τὴν γραφήν, ὃ μηδέποτε πρότερον ἔπραξα, τοῦτο νῦν ὑπομένω πρᾶξαί σοι χαριζόμενος. ὑποθήκας τινὰς γράψαι θεραπείας ἐπιλήπτου παιδός. ἐν αἷς ἀνάγκη, τι καὶ παρακοῦσαι τὸν ἰδιώτην, καὶ σφαλῆναι περὶ τὸ μέτρον, ἢ τὸν καιρὸν τῆς χρήσεως, ἀποδέδεικται γὰρ ἡμῖν ἐν ἑτέροις, ὡς οὐκ ἐνδέχεται χωρὶς τοῦ μέθοδόν τινα ἐκμαθεῖν θεραπευτικὴν ἰάσασθαί τι καλῶς, οὐδὲ τῶν σμικροτάτων νοσημάτων, μή τί γε τῶν οὕτω μεγάλων, ἡλίκον καὶ τὸ τῆς ἐπιληψίας ἐστί. καὶ ὅ γε Διονύσιος, ἔφθανεν ἤδη κεκοινῶσθαί τε ἐμοὶ καὶ συνδιεσκέφθαι περὶ τῆς ὅλης θεραπείας τοῦ παιδὸς, πρίν καί σε κελεῦσαι γράψαι τὰς ὑποθήκας τάσδε. ἀλλ᾽ ἐκείνῳ μὲν ῥᾳδίως τὴν ἐμαυτοῦ γνώμην ἐδήλωσα, συνιέναι τε τῶν λεγομένων δυναμένῳ καὶ παρακοῦσαι μηδενὸς, ὡς ἱκανῶς ἠσκημένῳ περὶ τὴν θεραπευτικὴν μέθοδον. σοὶ δὲ, οὐδ᾽ ὅπως διέλθω τὸν λόγον οἶδα. τὸ μὲν γὰρ ἀκριβὲς ἐν αὐτῷ, διορισμῶν τε δεῖται πολλῶν, καὶ ἀσαφέστερον ἢ κατὰ ἰδιώτην ἐστί, τὸ δ᾽ αὖ σύντομόν τε, καὶ σαφὲς, οὐκ ἀκριβὲς ὑπάρχει. ταῦτά τοι καὶ γράφειν ὤκνουν τὰς ὑποθήκας. καίτοι πάνυ χαρίζεσθαί σοι προῃρημένος. ὅμοιόν τι πείσεσθαι προσεδόκων, οἷον ἂν ἔπαθε καὶ Φειδίας, εἰ μετὰ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα πλάττειν ἠναγκάζετο, δάκτυλον μὲν ἰδίᾳ, ἰδίᾳ δὲ αὖ βραχίονα, καὶ πόδα, καὶ ῥῖνα καὶ οὖς, ἕκαστόν τε τῶν ἄλλων μορίων. ἐμοὶ γὰρ οἷον ἄγαλμά τι γεγράφθαι νομίζω τὴν θεραπευτικὴν μέθοδον, ἐν ὑπομνήμασι πλείοσιν, οὐχ ὅπως ἰδιώτας ὠφελεῖν δυναμένην, ἀλλ᾽ οὐδὲ τοὺς ἐπιτυχόντας τῶν ἰατρῶν. ἐπεὶ δὲ σὺ βιάζεις με περὶ μορίου ἑνὸς τῆς τέχνης ποιήσασθαι τὸν λόγον, ἄνευ τῆς ἄλλης ἁρμονίας, εἴκω τῇ βίᾳ καὶ πείθομαι.

πείθομαι, καὶ γράφω σοι μὲν αὐτάρκεις ὑποθήκας, ἱκανὸν γοῦν ἰδιώτῃ μὴ μέγα τι καὶ ἀνήκεστον ἐξαμαρτεῖν ἐν ταῖς τῶν ἰατρῶν, καὶ μάλιστα τῷ νομίμως μεμαθηκότι, τοιούτοις ὁμιλεῖν ὑπομνήμασιν. ἐκείνοις μὲν οὖν ἡ τῆς θεραπευτικῆς μεθόδου πραγματεία γέγραπται, σοὶ δὲ καὶ τοῖς ἄλλοις, ὅσοι τεχνῶν μὲν τινῶν εἰσὶ λογικῶν ἐπιστήμονες, ἰδιῶται δὲ τῆς ἰατρικῆς, γένοιτ' ἂν ἴσως οἶμαι καὶ παρὰ τοῦδε τοῦ γράμματος ὠφέλεια. πειράσομαι δὲ ὡς οἷόν τε σαφέστατα διελθεῖν, ᾧ χρώμενος ὁ παῖς τρόπῳ τῆς διαίτης, ὀνίναιτό τε ἄν, οὐ σμικρά, καὶ ἥκιστα βλάπτοιτο πρὸς τῶν ἐφ' ἡμέρᾳ συμπιπτόντων ἀδοκήτως αὐτῷ. φυλάττεσθαι μὲν οὖν καὶ ταῦτα προσήκει, καθ' ὅσον ἐγχωρεῖ. περιπίπτειν γε μὴν ἀναγκαῖον ἐνίοτε, καὶ κρύει καὶ θάλπει σφοδρῷ, καὶ ἀνέμοις ἰσχυροῖς, καὶ λουτροῖς μοχθηροῖς, καὶ τροφαῖς ἐκπληκτικαῖς, καὶ τροχοῖς περιδινουμένοις, καὶ ἀστραπαῖς, καὶ βρονταῖς, ἀγρυπνίαις τε καὶ ἀπεψίαις, καὶ λύπῃ καὶ θυμῷ καὶ κόπῳ καὶ ἄλλοις τοιούτοις, ὧν τὸ κεφάλαιόν ἐστι, σφοδρῶς κινῆσαι καὶ ταράξαι τὸ σῶμα, καὶ ἐπὶ πάθους ἀναμνῆσαι καὶ παροξυσμὸν γεννῆσαι. ταῦτα δὲ οὖν ἐκ πολλοῦ φυλάττεσθαι προσήκει, καὶ εἴποτε γεγενημένων αὐτῶν παρακολουθήσει παροξυσμός, ἀπέχεσθαι μὲν τελέως τηνικαῦτα, πάσης κινήσεως, ἐπὶ δὲ τῆς οἰκίας διατρίψαι, καὶ πάνυ λεπτῶς διαιτηθῆναι, μέχρι περ ἂν ἀπόθηται τὸ σῶμα τὸν ἐκ τοῦ παροξυσμοῦ κάματον. ἥτις δὲ ἡ λεπτὴ δίαιτα καὶ γνώσκειν μὲν οἶμαί σε, καὶ διὰ τῶν ἐφεξῆς ἀναγνοὺς, οὐδὲν ἧττον ἀκούσει τι περὶ αὐτῆς. ἄρξασθαι γὰρ οὖν ἤδη μοι τῶν ὑποθηκῶν καιρός.

Εἰσβάλλοντος τοῦ ἦρος, καὶ γάρ πως οὕτως συμβαίνει κινεῖσθαι τὰ τῆς ἐπανόδου, καθῆραι φημὶ χρῆναι τὸν παῖδα, μετρίᾳ καθάρσει. ταύτης δ' ἂν ἐπιστατήσει καὶ προστάῃ ἡμῶν ὁ Διονύσιος, εἰδὼς ἀκριβῶς ὅπως τε χρὴ παρασκευάσαι πρὸς τὴν κάθαρσιν τὸ σῶμα, καὶ ὅτῳ τινὶ χρῆσθαι φαρμάκῳ, καὶ ἐν πόσῳ καὶ ὁποίῳ καιρῷ, καὶ μὲν δὴ καὶ μεθ' ἡμῶν ὑπὲρ τούτων ἤδη διέσκεπται. ὥστε τὸ μὲν σῶμα παρὸν ἔχεις Ἀθήνησι τοῦ Διονυσίου, τὴν ψυχήν τε καὶ τὴν γνώμην ἅμ' ἐκείνῳ, καὶ τὴν ἐμήν. μετὰ δὲ τὴν κάθαρσιν, ὅταν ὅτε Διονύσιος οἴχηται, καὶ ὁ παῖς ὑπολείπηται κατὰ τὰς Ἀθήνας, ὧδε χρὴ διαιτᾶν αὐτόν, ἕωθεν μὲν ἐκ τῆς κοίτης ἀναστὰς, πρὶν τοῖς διδασκάλοις φοιτᾶν, περιπατείτω μετρία, μὴ σφόδρα, συντόνῳ βαδίσματι. τὸ δ' ἀπὸ τοῦδε, μέχρι τοῦ τῆς παλαίστρας καιροῦ, τοῖς μαθήμασι σχολαζέτω καθότι σύνηθες, ἐπειδὰν δὲ πρῶτον αὐτῶν ἀπαλλαγῇ, περιπατήσας αὖθις, οὕτως εἰς τὸν παιδοτρίβην ἀπίτω. χρὴ δὲ τοῦτον εἴπερ τινὰ καὶ ἄλλον τῶν προνοησομένων τοῦ παιδὸς, ἱκανῶς εἶναι φρόνιμον. ἔστι δὲ οὐ πάνυ τι ῥάδιον εὑρεθῆναι τοιοῦτον, ὡς ἂν ἐξ ἀνθρώπων τῆς ἐκλογῆς γινομένης ἀπαιδεύτων τοὐπίπαν, καὶ οὕτως ὀνωδῶν τε καὶ παχέων τὴν ψυχὴν ὥσπερ καὶ τὸ σῶμα. μὴ τοίνυν ὡς μικρὸν, τοῦτο παρέλθοι σε, μὴ δὲ ἐπιτρέψεις τὸν παῖδα τῷ προστυχόντι, γινώσκων ὡς τὸ μὲν κεφάλαιον τῆς θεραπείας, ἐν δυοῖν τούτοιν ἐστὶ, τῇ χρήσει τοῦ δοθέντος σοι πρὸς ἐμοῦ φαρμάκου, καὶ τοῖς γυμνασίοις. τὰ δ' ἄλλα πάντα παρασκευή τις ὑπάρχει πρὸς ταῦτα. τὸν μὲν δὴ παιδοτρίβην, συνεκλέξοιτο σοι Διονύσιος. ἔστωσαν δ' αὐτῷ σκοποὶ τῶν γυμνασίων, ἐν μὲν τῇ ποσότητι τό, τε πρὶν κάμνειν ἀναπαύειν τὸν παῖδα, καὶ τὸ, θερμῆναι σύμπαν τὸ σῶμα, καὶ κενῶσαι συμμέτρως. ἄμφω δ' εἰς ἕνα καιρὸν τὸν αὐτὸν συμβαίνει, ἡνίκα γοῦν αὐτάρκως ἐκκενοῦται τὸ περιττὸν, ἐκτεθέρμανται δὲ ἱκανῶς ἤδη τὸ σῶμα, τηνικαῦτα καταπαύων τις τὰ γυμνάσια, πρὶν ἄρχεσθαι πονεῖν ἀναπαύσεται, τὸ δ' ἐπέκεινα τοῦδε τοῦ καιροῦ γυμνάσιον, ἅπτεται μὲν ἤδη τῶν στερεῶν σωμάτων, καὶ συντήκει τὴν ἕξιν, ἀθροίζει δ' ἐντε τοῖς ἄρθροις μάλιστα, καὶ τοῖς μυσὶ τὰ συντήγματα. κἀντεῦθεν ὅ, τε κάματος ἕπεται τῆς δυνάμεως, εἶθ' ἑλκώδης αἴσθησις, ἐπειδὰν κινῆσαι τι μόριον ἐπιχειρήσωσι, καὶ τοῦτ' ἐστὶν ὁ κόπος. οὐ μόνον τοίνυν φρόνιμον, ἀλλὰ καὶ τρίβωνα μετρίου γυμνασίου εἶναι χρὴ τὸν παιδοτρίβην, ὡς μήτε θᾶττον τοῦ δέοντος καταπαύοι, δεδιὼς τὸν ἀκολουθήσοντα κάματον, μήτε θερμῆναι καὶ κενῶσαι τελέως ἅπαν τὸ περιττὸν, ὀρεγνύμενος τῷ κόπῳ περιβάλλοι τὸν παῖδα. τοῦ μὲν δὴ μετρίου τῶν γυμνασίων, οὗτοι σκοποί. τῆς ποιότητος δὲ, ῥῶσαι σύμπαντα τὰ μόρια, καὶ μάλιστα κεφαλὴν καὶ γαστέρα, καὶ ταύτης ἐξαιρέτως τὰ κατὰ τὸ στόμα τῆς γαστρός. ὅπως δ' ἄν τις καὶ τούτου τυγχάνοι, καὶ δὴ φράσω. πρῶτον μὲν ἐπειδὴ τὰ σφοδρὰ γυμνάσια πληροῖ τὴν κεφαλὴν, ἀπέχεσθαι τῶν τοιούτων κελεύω. δεύτερον, εἰ καὶ δεήσειέ ποτε χρήσασθαι, τῆς κεφαλῆς ὀρθίας ἀνεστηκυίας, κινείσθω τὰ κάτω, καὶ τούτων μάλιστα τὰ σκέλη, καὶ τρίτον ἐπὶ τούτοις ἀπὸ σμικρῶν καὶ βραδέων κινήσεων ἀρξάμενος ὁ παιδοτρίβης, ἐπὶ τὸ σφοδρότερόν τε καὶ θᾶττον, οὕτως ἀναγέτω. τὸ δ' ἀθρόως ἐπὶ τὸ σύντονον ἔρχεσθαι γυμνάσιον, οὐ τοῖς ἀσθενέσι μόνον, ἀλλὰ καὶ τοῖς ἰσχυροῖς σώμασιν, ἐσχάτως βλαβερόν. ἡγεῖσθαι δὲ χρὴ καὶ τὴν τρῖψιν εἶναι γυμνάσιον, καὶ μάλιστα τοῖς ἀσθενεστέροις σώμασι, καὶ πολλάκις γε καὶ μόνη καλῶς γιγνομένη, τῶν γε ἄλλων κινήσεων οὐδὲν ἔτι προσδεῖται. χρὴ δὲ τὰ μὲν πρῶτα διὰ σινδόνων ἀτρέμα ἄνωθεν κάτω τῶν χειρῶν φερομένων, ἐρυθραίνειν τὸ σῶμα, τὴν ἀρχὴν ἀπὸ βραχιόνων τε καὶ χειρῶν ποιουμένοις, εἶθ' οὕτως ἐπὶ τὰ στέρνα τε καὶ γαστέρα προϊόντας, ἑξῆς δὲ καὶ τὰ σκέλη τρίβειν ἱκανώτερον, ὡς ἐκ τῶν ἄνω τι μεταῤῥέοι τῇδε, κἄπειθ' οὕτως ἅπτεσθαι τῆς κεφαλῆς. τὸ δ' εὐθὺς ἐξ ἀρχῆς ἐπὶ ταύτην ἰέναι, σφαλερὸν, ἔτι γὰρ μεστοῦ τοῦ σώματος ὄντος, ἐπὶ τὸ πρῶτον θερμανθὲν ἕλκεται τὰ περιττώματα. χρὴ τοίνυν τῶν ἄλλων ὑστάτην μορίων τρίβεσθαι τὴν κεφαλὴν, ὡς εἴρηται νῦν χωρὶς τοῦ λίπους. ἐπειδὰν δὲ καὶ τὸ ἔλαιον προσαγάγῃς, οὐδὲν κωλύει σὺν καὶ τοῖς ἄλλοις. ὥστε τὸν μέν τινα τὴν κεφαλὴν, ἑτέρους δὲ δύο τὰ περὶ τὰ στέρνα τε καὶ τὴν γαστέρα, καὶ τοὺς ἄλλους δύο τὰ σκέλη τρίβειν. οὕτως δὲ καὶ μετὰ τὰ γυμνάσια καὶ μᾶλλον γε τηνικαῦτα τρίβειν ἅμα καὶ σύμπαντα τὰ μέλη. θᾶττόν τε γὰρ οὕτως ἀναπαύεται τὸ σῶμα, καὶ ἧττον περιψύχεται. χρὴ δὲ εἴπερ τινὸς ἄλλου, καὶ τούτου φροντίζειν. ἀλουτεῖν δὲ προσήκει τὰ πολλὰ καὶ ταῖς παλαίστραις μὴ εὐθὺς ἐξιέναι μετὰ τὸ γυμνάσιον, ἀλλ' ἐπειδὰν ἀκριβῶς καταστῇ τὸ πνεῦμα, καὶ παύσηται τελέως ἡ ἐκ τοῦ γυμνασίου ταραχή, τηνικαῦτα δή που καὶ τὴν κεφαλὴν ἐπιπλεῖστον τρίβειν σινδόνι, πολλάκις δὲ καὶ κτενὶ προσχρῆσθαι, μετὰ δὲ ταῦτα πρὸς τὸ ἄριστον ἰέναι. καί τι πρό γε αὐτοῦ, τῶν λαπαττόντων τὴν γαστέρα λαχάνων, ἢ καὶ ταρίχους, ἢ πτισάνης, ἢ ἐλαιῶν, ἅμα τῷ τρίτῳ μέρει τοῦ ἄρτου προσενεγκάμενον, εἰς τὸ δεῖπνον ἀποθέσθαι τὰ λοιπὰ δύο μέρη μετὰ τῶν ἰσχυροτέρων ὄψων. εἰρήσεται δὲ τὰ ἰσχυρότερα μικρὸν ὕστερον,

ἐπειδὰν πρότερον ἅπαντα διέλθω τὰ χωρὶς βλάβης λαμβανόμενα. λαχάνων οὔτε θριδακίνης οὔτε μαλάχης, οὔτε ἀτραφάξυος, οὔτε βλίτου, τὸ σύμπαν εἴργεσθαι κελεύω, λαμβάνειν δ᾽ οὐκ ἀεὶ μὲν ταυτό, ἄλλο τε δὲ ἀπ᾽ ἄλλου τὸ μέτριον, ἐκ ταύτου δὲ γένους ἐστὶ, καὶ τὸ τεῦτλον, καὶ κράμβη. χρὴ γοῦν καὶ τούτων ἀπογεύεσθαι τὰ σύμμετρα, πράσου δὲ καὶ σελίνου καὶ σμυρνίου προσάψασθαί ποτε συγχωρήσαιμ᾽ ἄν, καὶ τῶν ὀσπρίων ὅσα μὴ παντάπασιν ὠμοὶ καὶ δυσπεπτοί τὴν φύσιν εἰσίν. ἴσχουσι τε γοῦν τὰ περιττώματα σφῶν αὐτῶν καὶ τῶν ἄλλων σιτίων. τά τε οὖν μόρα καὶ τὰ πραικόκκια καλούμενα καὶ τὰ σῦκα, καὶ εἴ τινα τούτοις ἔοικεν, ἀλύπως δίεξεισι, καὶ ἡ καλουμένη κολοκύνθη τῶν μαλακωτάτων λαχάνων οὐδενὸς ἀπολείπεται, καὶ οἱ πέπονες οἱ σίκυοι. μοχθηροὶ γὰρ ὅσοι μὴ τοιοῦτοι, καὶ βοτρύων πεπείρων ἅψασθαί ποτε συγχωρῆσαι τῷ παιδί, μήλων δὲ καὶ ἀπίων, ἐλάχιστά τε καὶ σπανιάκις προσφέρεσθαι, καὶ ταῦτα μὴ μόνον ὑπὸ τοῦ δένδρου κατειργασμένα καλῶς, ἀλλὰ καὶ μετὰ τὴν ἀφαίρεσιν ὑπὸ τῆς οἰκείας. εὖ γὰρ εἰδέναι χρὴ περὶ τῶν εἰς ἀπόθεσιν ἐπιτηδείων ἀκροδρύων ὡς οὐδὲν ὅμοιον ἔχει τοῖς παλαιοῖς τὰ πρόσφατα, δύναται δὲ ἀποτίθεσθαι μῆλα τε καὶ ἄπια καὶ τὰ πλεῖστα τῶν ἀκροδρύων, καὶ τὰ δαμασκηνὰ προσαγορευόμενα, καὶ αἱ ἰσχάδες. τούτου τοῦ γένους εἰσὶ καὶ αἱ βάλανοι τῶν φοινίκων, ὧν οὐδ᾽ εἴργω τελέως, ἀλλ᾽ ἐν καιρῷ τε καὶ μέτρια προσφέρεσθαι συγχωρῶ. τὸ δὲ καθ᾽ ἑκάστην ἡμέραν, ἢ πολλά, φυλάττεσθαι συμβουλεύω, καθόλου δ᾽ εἰπεῖν ὅσα κακόχυμα τῶν ἐδεσμάτων εἰσίν, ἢ ἐπέχοντα τὴν κοιλίαν, ἢ φυσώδη καὶ δύσπεπτα, συνεχῶς, ἢ πλείω τοῦ καιροῦ προσφερόμενα, βλάπτειν εἴωθεν οὐ μόνον τὸ νόσημα μόνον, ἀλλὰ καὶ τἄλλα σύμπαντα. καὶ μέχρι γε τοῦ δ᾽ ἥκων ὁ περὶ τῆς διαίτης λόγος, ἑτέροις ἂν κοινὸς εἴη πολλοῖς ἀρρωστήμασιν. ὁ δὲ τοῦ πάθους ἴδιος καὶ ἐξαίρετος, ἐν τῷ φυλάττεσθαι μάλιστα τὰ φλεγματικὰ τῶν ἐδεσμάτων, ὅθεν, οὐδὲ τοῖς ἄλλοις μὲν ἀλύποις, γλίσχρον δέ τινα χυμόν, ἢ ψυχρόν, ἢ παχὺν ἔχουσιν, ἐγχρονίζειν προσήκει. τοιαῦτα δέ ἐστιν ἀτράφαξυς τε καὶ βλίτος καὶ μαλάχη, ὧν οὐκ εἰργόμενοι ἅπτεσθαι, διὰ παντὸς δ᾽ ἐν αὐτοῖς καταγίνεσθαι, κωλύω. τούτου δὲ τοῦ γένους εἰσί, καὶ αἱ κολοκύνθαι, καὶ πολὺ δὲ μᾶλλον αὐτῶν οἵ τε σίκυοι, καὶ τὰ μῆλα, καὶ ἄπια, καὶ πάντων ὅσα φλεγματικὸν καὶ παχύν, ἢ γλίσχρον ἔχει χυμὸν ἢ ἔδεσμα χεῖρον, οἵ τε μύκητες ὀνομαζόμενοι, τούτου μέν γε τελέως ἀπέχεσθαι συμβουλεύω, καθάπερ καὶ τῶν γογγυλίδων, ὅσα τε ἄλλα τὴν ῥίζαν ἐδώδιμον ἔχει. παχύχυμά τε γάρ ἐστι καὶ δυσκατέργαστα [illegible] πίπαν, ὅσα τἄλλα τοιαῦτα, πλὴν εἴ τινα τούτων ἔχει τι δριμὺ καὶ θερμὸν ἐν ἑαυτοῖς. οἷον οἵ τε δαῦκοι καὶ αἱ ῥαφανίδες. ἀλλὰ ῥαφανίδων μὲν ἐκ περιόδου τινὸς ἡμερῶν, οὐ κωλύω γεύεσθαι. δαύκων δὲ καὶ ἀπέχεσθαι πειρᾶσθαι. καὶ τούτων ἔτι μᾶλλον, γογγυλίδων. πλεονάζειν δὲ ἐν τῇ χρήσει τῶν ἐδεσμάτων, ὅσα δριμύ τι καὶ τμητικὸν ἔχει χωρὶς ἐπισήμου κακοχυμίας, ἢ τινὸς ὀδμῆς, ἅψασθαι τῆς κεφαλῆς δυναμένης. ἐκ τούτου δὲ τοῦ γένους ἐστί, καὶ ὅσα διὰ θερμότητα τὴν κεφαλὴν συμπληροῖ, καθάπερ οἶνός τε καὶ νᾶπυ, καὶ πετροσέλινον, καὶ δαῦκος καὶ κρόμμυον, καὶ σμύρνιον, ταῦτα μὲν καὶ πέρα τοῦ δέοντός ἐστι καυσώδη τε κακόχυμα, τὸ δὲ νᾶπυ, καί τοι γ᾽ ἐπιτηδειότατον ὑπάρχον ὅσον ἐπὶ τὸ τέμνειν τοὺς παχεῖς χυμούς, ὡς ἁπτόμενον τῆς κεφαλῆς, παραιτητέον. ὀξυμέλιτι δὲ χρηστέον θαρροῦντα, κἂν εἰ καθ᾽ ἑκάστην ἡμέραν βούλοιο. δύναται δὲ ἥτε κάππαρις διὰ αὐτοῦ λαμβάνεσθαι, καί τινα ταρίχη τῶν μικρῶν, ἐλαίου δηλονότι παραχεομένου βραχέος, εἰς ὅσον ἡ δύναται προσήκει τὸ ὄψον. ἀλλὰ γὰρ μέν, ὥσπερ τι φάρμακόν ἐστιν αὐτὸ τῆς διαθέσεως. καὶ μᾶλλον εἰ καὶ τὸ ὄξος ἐσκευασμένον εἴη διὰ τῶν σκιλλῶν, ὃ δὴ καλοῦσι συνήθως ἅπαντες ἤδη σκιλλιτικόν, ὅπερ ἐγὼ μὲν εἴπερ τι καὶ ἄλλο, καὶ τούτων θάτερον ἐφ᾽ ἑκάστῃ κελεύω λαμβάνειν ἡμέρᾳ, λέγω δὲ τὴν κάππαριν, ἢ τὸ τάριχος ὀξυμέλιτος ἔχον. εἰ δὲ καὶ πίνειν ἐθελήσειεν ὁ παῖς ὀξύμελι, ἔστω μὲν ἐσκευασμένον ἕτοιμον, οὐκ αὐτοσχέδιον ὑπὸ τοῦ καιροῦ συντιθέμενον, † ἐκ ζωμῶν ἀμφοτέρων. ὡς δὲ χρὴ σκευάζειν αὐτό, γεγράψεται μετ᾽ ὀλίγον. ὕδατι δὲ κεραννύσθω πλείονι. καὶ γὰρ καὶ ἥδιον οὕτω γένοιτ᾽ ἄν, καὶ χειμῶνος μὲν θερμὸν λαμβανέσθω, θέρους δέ, οὐδὲν ἂν κωλύσειε καὶ ψυχρῷ χρῆσθαι πολλάκις, εἰ θάλπος γε ὑπέρβαλλον εἴη καὶ δίψος σφοδρόν, καὶ ὁ λαμβάνων μὴ παντάπασιν ἀήθης πόσεως ψυχροῦ. τά τε γὰρ ἄλλα, καὶ ἀδιψώτατόν ἐστιν ὀξύμελι τὸ μὴ λίαν γλυκύ, καὶ μᾶλλον εἰ ὕδατι ψυχρῷ κεραννύοιτο. καί μοι πολλάκις ἤρκεσεν ἐπίληπτον παῖδα τελέως ἐξιᾶσθαι μετὰ τὴν πρώτην κάθαρσιν, οὐδὲν τῆς ἀρχαίας διαίτης μεταποιήσαντι, πλὴν τὰ περὶ τὴν δόσιν τοῦ ὀξυμέλιτος, καὶ τὴν χρῆσιν τοῦ φαρμάκου. ἀλλ᾽ ἐπεὶ μή τε γινώσκω τὴν φύσιν τοῦ παιδός σου, μήτ᾽ εἰς ὅσον ἰσχύος ἥκει τὸ πάθος οἶδα, μήτ᾽ αὐτὸς ἐφεστάναι μέλλω παρών, οὐκ ἔχω μαντεύεσθαι, τίνων ἐλαχίστων τὸν ἀριθμὸν δεῖται βοηθημάτων, ἀλλ᾽ ἄμεινον εἶναί μοι δοκεῖ περὶ πάντων ὑποτίθεσθαι. μετὰ τοίνυν τὰ γυμνάσια περὶ τὸ ἄριστον ὀξυμέλιτι τε χρηστέον ὡς εἴρηται, καὶ λαχάνοις τισὶν ἐλαίαις τε καὶ καρύοις καὶ σύκοις καὶ ἰσχάσιν, οὐχ ἅμα πᾶσιν ἐφ᾽ ἑκάστης ἡμέρας. ἓν γάρ που καὶ ἁπλοῦν ἔστω τὸ λαμβανόμενον, ἀλλ᾽ ὑπὲρ τοῦ ποικίλλεσθαι τὴν δίαιταν, ὑπὲρ τοῦ ἁπάντων δίειμι. περὶ δὲ τὸν καιρὸν τοῦτον ὡς ἔλεγον καὶ τῶν ἄλλων ἀκροδρύων ἁπτέον ἐπιθυμοῦντος τοῦ παιδός, ἐπεὶ ἄλλως γε κάλλιον ἀπέχεσθαι μὴ ὅτι νοσήματος ἰάσεως ἕνεκεν, ἀλλὰ καὶ πρὸς τὴν ὅλην ὑγείαν, ὡς καὶ ἡμᾶς ὁρᾷς ἀπεχομένους ἁπάντων σχεδὸν τῶν ὡραίων ἐδεσμάτων. ἀλλὰ γὰρ οὐ φιλοσόφοις γράφομεν ὑποθήκας διαίτης ὑγιεινῆς. ὡς ἔμοιγε τοῦτ᾽ ἂν ἦν συντομώτατον, οὐκ εἰς τὴν τοῦ πάθους ἴασιν μόνον, ἀλλὰ καὶ πρὸς τὸν σύμπαντα τοῦ παιδός σου βίον. ἐπιτρεπτέον οὖν αὐτῷ προσφέρεσθαι φανερῶς τε καὶ κατὰ καιρόν, ὅσα μὴ μεγάλας ἔχει τὰς βλάβας, ἵνα μὴ λαθραίως τε καὶ ἀκαίρως ἀπολαβὼν αὐτῶν βλάπτηται μειζόνως. καὶ γὰρ ἀθρόως καὶ πλείονως ἐμπίπλανται τῶν ἐπιθυμουμένων, οἱ φανερῶς ἐξειργόμενοι μὴ χρῆσθαι. ταῦτά τοι καὶ συγχωρῶ τοῖς παισὶν ἐγὼ πολλὰ τῶν οὐκ ἐπιτηδείων ἐδεσμάτων ὅσα γε μὴ μεγάλως βλάπτει φανερῶς τε καὶ κατὰ καιρὸν καὶ σὺν τῷ προσήκοντι μέτρῳ προσφέρεσθαι μᾶλλον, ἢ ὥστε διὰ τὴν σφοδρὰν ἐπιθυμίαν ἀκαίρως ἀναγκασθῆναι πλείω τε ἅμα καὶ λάθρως προσενέγκασθαι. τὰ μὲν δὴ περὶ τὴν τροφήν, οὕτω διατετάχθω. Μετὰ δὲ ταῦτα διαλιπόντα χρόνον ὀλίγον, ἀτρέμα περιπατῆσαι κελεύω πρὶν ἐπὶ τὰ μαθήματα παραγίνεσθαι. καὶ μὴν δὴ καὶ ἀπαλλαγέντα τῶν μαθημάτων, αὖθις ἀξιῶ περιπατῆσαι πρὸ τοῦ δείπνου. κἄπειθ᾽ οὕτως τοῦ μὲν ἄρτου τὰς ὑπολοίπους δύο μοίρας προσφέρεσθαι, τῶν δ᾽ ἄλλων

† τοῦ ἐξ ὠμῶν

ἑκάστου ὡς εἴρηται, κρέας μὲν ἁπάντων χεῖρον τῶν πτηνῶν, πλὴν ὅσα λιμναῖα. τῶν τετραπόδων δὲ μάλιστα μὲν ἁπάντων ἀπέχεσθαι. εἰ δ' ἄρα ποτὲ καὶ δεήσει χρήσασθαι, τοῦ μὲν ἡμέρου συὸς, τοῖς ἀκρέοις τε καὶ τῇ γαστρὶ, τοῦ δὲ ἀγρίου καὶ ταῖς σαρξὶ χρῆσθαι. γεύεσθαι δὲ καὶ τῶν ἐρίφων. ἔστι δ' ὅτε καὶ τῶν λαγωῶν, ἁπάντων ἠρτυμένων ἁπλῶς ἢ ὀπτημένων ἄνευ κνίσσης. τὸ δ' ἁπλῶς ἐστὶ δι' ὕδατος ἄνηθον ἔχοντος ἥδυσμα καὶ πράσον, ἔλαιόν τε καὶ ἅλας. ὡς δ' ἄνευ κνίσσης ὀπτηθείη κρέας καλῶς, τὸν παρ' ἡμῖν ἐθεάσω κλίβανον. ὅσα δὲ θαλάττια, τὰ μὲν ὄστρεια σύμπαντα μοχθηρὰ, τῶν δ' ἰχθύων οἱ πετραῖοι μὲν ἄριστοι πάντων, ἅπτεσθαι δὲ δεήσει καὶ τῶν πελαγίων. ἡ νάρκη δὲ μόνη χεῖρον τι τῶν μαλακίων ὑπάρχει ἰχθύς. ὀσπρίων δὲ, πτισάνη μὲν πρώτη. φακὴ δὲ καὶ χόνδρος, καὶ πίσος ἐφεξῆς τῇδε. τὰ δ' ἄλλα μοχθηρά. καθόλου δ' εἰπεῖν ὅσα γλίσχρα καὶ παχύχυμα, καὶ φυσώδη καὶ περιττωματικὰ, καὶ δύσπεπτα, καθότι καὶ πρόσθεν ἔλεγον φυλάττεσθαι πάντα. τὰ μὲν ὄστρεα, καὶ τὰ σελάχη, καὶ οἱ βολβοὶ, καὶ κοχλίαι, καὶ τυροὶ, καὶ μύκητες καὶ τὰ βόεια κρέα, καὶ τῶν ὠῶν τὰ κατεψηθέντα, δύσπεπτα μέν ἐστιν, ἀλλὰ καὶ παχεῖς ἐργάζεται τῶν ἐσθιόντων ταῦτα τοὺς χυμούς. ὁ χόνδρος δὲ καὶ τὰ χοίρεια κρέα, χρηστοῦ μὲν αἵματός ἐστι γεννητικὰ, ἀλλὰ γλίσχρου. τὰ δὲ λιμναῖα πάντα, περιττωματικὰ, φυσώδη τε τὰ ὄσπρια καὶ μάλιστα κύαμοί τε καὶ ἐρέβινθοι, καὶ ἡ πτισάνη δὲ μὴ ἀκριβῶς καθεψηθεῖσα, φυσώδης ἐστὶν, ὥστε καὶ ταύτην ἕψειν, ἢ μὴ χρῆσθαι. καὶ ἡ φακὴ δὲ καλῶς ἑψηθεῖσα, πᾶν ἀποτίθεται τὸ φυσῶδες. ἀλλ' οὐ χρὴ πλεονάζειν ἐν αὐτῇ, παχὺν ὑποτρεφούσῃ χυμόν. εἰς μὲν δὴ τὴν ἐφήμερον δίαιταν ἱκανὰ καὶ ταῦτ' ἐστὶ παραγγέλματα. τῷ δὲ διὰ τῆς σκίλλης φαρμάκῳ τῷ πρὸς ἡμῶν σοι δεδομένῳ, μετὰ τὴν κάθαρσιν, ἣν εἰσβάλλοντος τοῦ ἦρος ἠξίωσα γενέσθαι. χρήσεται καθ' ἑκάστην ἡμέραν ὁ υἱός σου, πρὶν εἰς τὴν παλαίστραν ἀπιέναι, καὶ εἰ μὴ μεγάλη τις εἴη πάνυ καὶ σκιρρώδης ἡ νόσος ἐν τεσσαράκοντα ταῖς πάσαις ἡμέραις ἐλπίζειν ὑπὸ τῷδε τῷ φαρμάκῳ τελέως αὐτὴν καταστήσασθαι, ὡς ἔγωγε μυρίους ἤδη παῖδας ἰασάμην οὕτως, μηδὲν δεηθεὶς ἐλλεβόρου. χρὴ δὲ μετὰ τὴν κάθαρσιν πρὸ τοῦ χρῆσθαι τῷ φαρμάκῳ, πιεῖν ἀψίνθιον καὶ ἅπαξ που καὶ δίς. Ὀξύμελι δὲ, τὸ μὲν ὀξύτατον, τέταρτον ἔχει μέρος τοῦ ὄξους ὡς πρὸς τὸ μέλι. παραλαμβάνει δὲ τὸ γλυκύτατον, ὄγδοον. τὰ δ' ἄλλα τὰ μεταξὺ μέτρα καθ' ὅσον ἂν ἑκατέρῳ τῶν ἄκρων προσκεχώρηκε, κατὰ τοσοῦτον ὀξύτητος ἢ γλυκύτητος μετέχει. χρὴ δὲ καὶ ἕψεσθαι πάντως αὐτὸ, καὶ γὰρ ἑνωθείη οὕτως ἂν ἀκριβῶς ἄμφω τὰ μιχθέντα. καὶ τὸ σφοδρὸν τῆς τοῦ ὄξους δυνάμεως καθαιρεθείη, καὶ τὸ φυσῶδες ἐν τῷ μέλιτι κολασθείη. καὶ γὰρ δὴ καὶ τὸν ἀφρὸν αὐτοῦ, πάντως ὁ ἕψων ἀφαιρήσει. κατὰ δὲ τὴν Ἑλλάδα καὶ τὰς πλείστας τῶν νήσων, οἶδα καὶ τὸ ἐκ τῶν κηρίων σκευαζομένων ὀξύμελι. καί σοι καὶ τούτῳ χρῆσθαι πάρεστιν ἀδεῶς, καὶ μάλιστα θέρους, Ἀθήνησί γε διατρίβοντος τοῦ παιδός. ὁπηνίκα δὲ χρὴ γλυκύτερον ἢ ὀξύτερον αὐτὸ διδόναι, καὶ ὑδαρέστερον, καὶ ἀκρατέστερον, οὐκ ἐμὸν ἔτι νῦν διελεῖν. ὥσπερ οὐδὲ ἄλλα πολλὰ τῶν κατὰ μέρος, ἀλλὰ τοῦ παρόντος τε καὶ θεωμένου τὸ θεραπευόμενον σῶμα, καὶ δυναμένου τεκμήρασθαι περὶ τῆς τῶν χυμῶν διαθέσεως. ἔνθα μὲν γὰρ τοῖς παχέσι καὶ γλίσχροις, ὀξυτέρῳ τε καὶ ἀκρατεστέρῳ χρηστέον, ἔνθα δὲ τοῖς μὴ τοιούτοις ὑδαρεστέρῳ καὶ γλυκυτέρῳ. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τἆλλα σύμπαντα τὰ εἰρημένα ταῖς ἐφημέροις τοῦ σώματος καταστάσεσι, συμμεταβάλλεσθαί τε καὶ ποικίλλεσθαι προσήκει. καθάπερ καὶ τοῖς ἄλλοις ἅπασι νοσήμασιν. ὅθεν οὐδ' εἰ μυρίας τις ὑποθήκας γράφοι μήπω κατὰ τὴν θεραπευτικὴν μέθοδον ἠσκημένῳ, κἀκεῖθεν τετεχνημένῳ τὴν ψυχὴν, ἱκανὸν ἂν ἐργάσαιτο θεραπευτικὴν τὸν τοιοῦτον, οὐχ ὅπως οὐ μεγίστων νοσημάτων, ἀλλ' οὐδὲ τῶν σμικροτάτων οὐδενός. ἔδειξα δ' ἐναργῶς αὐτὸ πολλάκις ἐγὼ, καὶ ἕλκη χρόνια, καὶ ὀφθαλμῶν διαθέσεις, διὰ τῶν αὐτῶν ἰασάμενος φαρμάκων, οἷς οἱ πρόσθεν ἰατροὶ χρώμενοι, μηδὲν ἤνυον. ὁ γάρ τοι καιρὸς τῆς χρήσεως ἑκάστου καθάπερ Ἱπποκράτης ἔλεγε, μέγα τὸ ποσὸν εἰς δύναμιν εὐστόχως συναρμοσθὲν, τὰ λοιπὰ τῆς ὠφελείας ἐστί. τὰ δὲ φάρμακα, μᾶλλον βοηθημάτων ὕλαι εἰσὶν, ἢ βοηθήματα, καθάπερ καὶ νῦν τοῖς ἀρίστοις ἰατροῖς ἅπασιν ὡμολόγηται. καί μοι τετελεύτηκεν ὁ λόγος, εἰς ταὐτὸν ὅθεν περ καὶ ἤρξατο. μὴ δὲ τοὐλάχιστον ὑποδέξασθαι δύνασθαι καλῶς τὸν ἰδιώτην μεταχειρίζεσθαι. ἀλλὰ χρῄζειν ἐπιστατοῦντος τοῦ τεχνίτου.

Ἐπειδὴ δὲ οἱ πολλοὶ φαύλως τὸν χυλὸν τῆς σκίλλης ἐκλαμβάνουσιν, ἀξιώσαντι σοι μαθεῖν, ὅπως ἐγὼ νῦν πράττω, προσθήσω τῷ λόγῳ τὴν σκευασίαν αὐτῆς. τῶν μελιτηρῶν ἀγγείων, οὕτως δὲ ὀνομάζουσιν οἱ Ἕλληνες ἐξ ὧν ἐκενώθη μέλι, παρασκευάσας, ἐμβάλλω σκίλλαν, εἰς λεπτὰ διαθρύψας ταῖς χερσὶν, εἶτα πωμάσας στεγανῷ πώματι, καὶ περιθεὶς ἔξωθεν ὅλῳ τῷ σώματι τοῦ ἀγγείου δέρμα, καὶ δήσας ἀκριβῶς, ἐν χωρίῳ κατατίθημι πρὸς μεσημβρίαν μὲν ἐστραμμένῳ, σκεπομένῳ δὲ ὑπὸ τῶν βορείων πνευμάτων, ὡς μηδὲ ὅλως ὑπ' αὐτῶν καταπνεῖσθαι. ποιῶ δὲ νῦν κατ' ἐκείνην τοῦ ἔτους τὴν ὥραν, ἐν ᾗ τὴν τοῦ κυνὸς ἐπιτολὴν ἅπαντες Ἕλληνες πεπιστεύκασιν. αὗται δέ εἰσιν ἡμέραι τεσσαράκοντα, πρὸ μὲν αὐτῆς τῆς ἐπιτολῆς, εἴκοσι, ἴσαι δὲ αὐταῖς τὸν ἀριθμὸν αἱ μετ' αὐτήν, ἀτρέμα δέ πως ἔν τισι αὐτῶν ὑπαλλάττων τὴν θέσιν τοῦ κεραμίου, θερμαίνεσθαι κατὰ πᾶν μέρος ὁμοίως αὐτὸ βουλόμενος, εἶτα μετὰ τὸν χρόνον τοῦτον λύσας, εὑρίσκω τὸ ἀγγεῖον ἑψημένῳ παραπλήσιον τὸ σῶμα τῆς σκίλλης ἔχον, ἐξερρυηκότα δή τινα καὶ χυλὸν αὐτῆς, ὃν ἀνελόμενος ἡδύνω μέλιτι καλλίστῳ, καὶ δίδωμι τούτου καθ' ἑκάστην ἡμέραν ἐν κοχλιάριον μεστὸν, τοῖς μὲν παιδίοις μικρὸν, τοῖς τελείοις δὲ, μέγα. καὶ μέν τοι καὶ τὸ σωματῶδες ὅλης τῆς σκίλλης κόψας ἀκριβῶς, καὶ λειώσας μετὰ μέλιτος, δίδωμι κἂν τούτου κοχλιάριον ἐν, ὡς προείρηται. δεύτερον τῇ δυνάμει νῦν γίνωσκε τοῦ πρόσθεν εἰρημένου. ὅσοι δὲ ἑψήσαντες ἐν ὕδατι τὴν σκίλλαν λειοῦσιν, ἐκλύουσι τὴν δύναμιν αὐτῆς. ὥσπερ ὅσοι δι' ὄξους. ἰσχυρὸν μὲν σφοδρῶς ἐργάζονται τὸ φάρμακον, οὐκ ἀβλαβὲς δὲ τῶν νεύρων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΤΗΝ ΛΕΞΙΝ ΣΟΦΙΣΜΑΤΩΝ.

Ἀριστοτέλης ὁ φιλόσοφος διδάσκων ἡμᾶς ἐν τῷ περὶ σοφιστικῶν ἐλέγχων συγγράμματι, περὶ ὅσους τρόπους γίνεται τὰ παρὰ τὴν λέξιν σοφίσματα, τρόπους μὲν ἓξ τὸν ἀριθμὸν εἶναί φησι, ἐκτίθεσθαι δὲ αὐτοὺς οὕτως. παρ' ὁμωνυμίαν, ἀμφιβολίαν, προσῳδίαν, σύνθεσιν, διαίρεσιν, σχῆμα λέξεως. καλεῖ δὲ παρ' ὁμωνυμίαν μὲν ὅταν διὰ τῶν ὀνομάτων ἐν τῷ λόγῳ † καθάπερ ἐν τῷ, κύνα τε θήρακα. πλείω γὰρ οὗτος ὁ λόγος σημαίνει, διὰ τοὔνομα τὸν κύνα. παρ' ἀμφιβολίαν δέ, ὅταν παρ' αὐτὸν τὸν λόγον ἐν αὐτῷ τὸ διττὸν ᾖ. καθάπερ ἔχει τὸ γνώοις καταλαβεῖν τὸν δ' ἐμέ, ἐνταῦθα τῶν μὲν ὀνομάτων οὐδὲν διττόν, αὐτὸς δὲ ὁ λόγος ἐφ' ἑαυτοῦ σημαίνει τὸ ἑλεῖν τε καὶ ἀναιρεθῆναι. παρὰ δὲ τὴν προσῳδίαν ὅταν διττὸν γίγνηται. καθάπερ ἐν τῷ, ὄρος ἔστηκε. τὸ γὰρ διπλοῦν παρὰ τὴν διττὴν προσῳδίαν τιθεμένην κατ' ἀρχὰς ἢ περιαιρουμένην, παρὰ δὲ τὴν σύνθεσιν καὶ διαίρεσιν, ὅταν αὐτὴ ποιῇ τοῦ σημαινομένου τὴν διαφοράν, † ὥσπερ ν̄ ἀνδρῶν διαιρουμένων ἀπὸ τῶν ν̄ ἀνδρῶν ρ̄ λείπεται δῖος ἀχιλλεύς, ἡ γὰρ διαφορὰ τῶν ἀνδρῶν, ἢ διαιρουμένων ἀπὸ τῶν ν̄ ἐστί. παρὰ δὲ τὸ σχῆμα τῆς λέξεως, ὁπόταν ἕτερον τῷ ὄντι σημαίνει, ἕτερον δὲ διὰ τὸ εἶδος καὶ τὸ σχῆμα. δοκεῖ δὲ οἷον τὸ ἀκούω. ἔστι μὲν τοῦ πάσχειν, δόξης ἂν τοῦ ποιεῖν διὰ τὴν προφοράν, ὅπερ ἐστὶ τὸ σχῆμα παραπλήσια κρατεῖσθαι τοῖς τοῦ ποιεῖν τὸ τρέχω καὶ νοῶ. ἑλκύσει γοῦν ἂν ὁ σοφιστικὸς πρὸς ἑκάτερον. πρὸς μὲν τὸ πάσχειν, ὅτι ἐστί. πρὸς δὲ τὸ ποιεῖν ὅτι φαίνεται. τούτους δ' ἐξαριθμημένους τοὺς τρόπους ἐφεξῆς δείκνυσιν, ὅτι μηδεὶς ἐστὶν ὃν παραλέλοιπε, μηδὲ οἷόν τέ ἐστι τῶν παρὰ τὴν λέξιν τι σοφισμάτων, ἔξω πεσεῖν τῶν εἰρημένων. ὁ δὲ λόγος δι' οὗ ταῦτα » δείκνυσιν ἐστὶν οὗτος. τούτου δὲ πίστις ἥτε διὰ τῆς ἐπαγωγῆς καὶ συλλογισμός, ἄν τε ληφθῇ τις ἕτερος. καὶ ὅτι το» σαυταχῶς ἂν τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις μὴ ταὐτὸν μέν τοι δηλώσαιμεν. τὸ μὲν οὖν τῆς ἐπαγωγῆς, γνώριμον, εἰ γὰρ καθ' ἕκαστον εἰπόντι καὶ λαβόντι τῶν παρὰ τὴν λέξιν σοφισμάτων, φαίνοιτο μήτ' ἐμπίπτειν ἔξω τῶν εἰρημένων τρόπων, δῆλον ἤδη ταύτῃ γε ὅτι μηδεὶς παραλέλειπται τρόπος, τὸ δ' ἐφεξῆς παντάπασιν ἀσαφές ἐστι τί ποτε βούλεται λέγειν ἐντός, καὶ συλλογισμόν, ἄν τε ληφθῇ τις ἕτερος * τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις οὐ ταὐτὰ δηλώσαιμεν, οὐδέ γε ὅπως ἂν ἕτερον τινὰ λάβοιμεν συλλογισμὸς εἴρηται. τὸ δὲ καὶ ὅτι τοσαυταχῶς ἂν τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις οὐ ταὐτὰ δηλώσαιμεν, συλλογισμοῦ συμπεράσματι μᾶλλον ἔοικεν, ἢ συλλογισμῷ. σύνηθες δὲ τὸ τοιοῦτον τάχος τῷ φιλοσόφῳ, καὶ καθάπερ ἀπὸ σημείων ἐκφέρειν τὰ πολλά, καὶ διὰ τὸ πρὸς τοὺς ἀκηκοότας ἤδη γράφεσθαι. τῶν οὖν ἐξηγησαμένων αὐτόν, οἱ μὲν οὐδ' ἐπεχείρησαν ταῦτ' ἀκριβῶσαι τὸν προσήκοντα τρόπον. οἱ δ' οὐκ ἔτυχον. ἡμεῖς δὲ πειραθῶμεν, οὐκ Ἀριστοτέλους ἕνεκεν, οὐδ' ὡς τῷ λόγῳ βοήθειάν τινα πορίζοντες, ἀλλ' ἡμῶν αὐτῶν. φιλοσόφου γὰρ οὐ μόνον τὰς προτάσεις λαβόντα συλλογίσασθαι, καθάπερ τοῖς πλείστοις, ἀλλὰ καὶ τοῦ συμπεράσματος κειμένου, τὰς προτάσεις κατασκευάσαι. ἐπεὶ δὲ δεῖξαι πρόκειται, τοσαυταχῶς γίνεσθαι τὰ παρὰ τὴν λέξιν σοφίσματα, ὁσαχῶς Ἀριστοτέλης ἔφη, τὰ παρὰ τὸ διττόν, δῆλον ὡς δύο δεικτέον ἡμῖν, ἓν μὲν ὅτι πάντα τὰ παρὰ τὴν λέξιν, παρὰ τὸ διττόν ἐστιν, ἕτερον δ' ὅτι παρὰ τὸ διττὸν τοσαῦτα. δῆλον δ' ἐκεῖνό γε πᾶσιν, ὅτι πάντα τὰ παρὰ τὴν λέξιν σοφίσματα, παρὰ κακίαν αὐτῆς ἀνάγκη συμβαίνειν. ταύτης γὰρ ὥσπερ ἀρχῆς ἐχόμενοι καὶ ἐξαπατῶσιν οἱ σοφισταὶ τοὺς ἀπειροτέρους ἐν τούτοις, καὶ μὴ συνορῶντας τὸ κίβδηλον. εἰ δὴ βουλοίμεθα καλῶς λαβεῖν παρὰ τὴν λέξιν, συμβαίνει σοφίσματα ληπτέον πόσαι ποτ' εἰσίν, ὃ ἂν συνοφθείη τῆς ἀρετῆς ληφθείσης εἴπερ ἐστὶ μία. εἴτε πλείους, ἁπασῶν. ἁμαρτία γὰρ τῆς ἀρετῆς ἔοικεν εἶναι, καὶ ταύτης ὀρθῶς ληφθείσης, εὐθὺς κἀκείνην γνωρίζεσθαι. ἐπεὶ δὲ καθάπερ ἑτέροις ἀποδέδεικται λόγοις τὸ εὖ τε καὶ ἡ ἀρετὴ ἐν ἐκείνῳ πρὸς ὃ πέφυκεν ἢ γέγονεν, ἀνθρώπου μὲν τὸ ζῆν, μαχαίρας δὲ τὸ τέμνειν, ληπτέον ἂν εἴη πρὸς τό τι πέφυκεν ἢ γέγονεν ἡ λέξις. φαίνεται δὲ πρὸς ἕν, τὸ σημαίνειν. δῆλον οὖν ὅτι καὶ εὖ καὶ κακῶς ἐν τούτῳ, δῆλον δὲ ὅτι καὶ μόνη τῆς ἀρετῆς αὕτη κατ' αὐτὴν τὴν λέξιν, αἱ δ' ἄλλαι κατὰ συμβεβηκὸς καὶ ἔξωθεν, καὶ οὐ τοῦ πράγματος, οἷον εὐαρμοστία καὶ εὐγραμματία. ταῦτα γὰρ εἰ καὶ φαίνεταί τισιν εὖ, ἀλλ' οὐ κατὰ τὸ πρᾶγμα. ἀλλ' ὥσπερ εἰ ξίφος ἐλεφαντόκωπον εἴη, ἢ ὀφθαλμὸς ὑπογεγραμμένος, καὶ γὰρ τούτοις ταῦτα ἔξωθεν, τὰ δὲ κατ' αὐτὰ ἐν τῷ τέμνειν τε καὶ ὁρᾶν ἤδη ταύτην ἀρετὴν ἑκάστου τυγχάνειν, εἶθ' ὡς λέγεται καθ' ἣν ἕδραν ἔχει πρὸς ὃ πέφυκεν, ἢ γέγονεν. δῆλον ὡς καὶ τὸν ἀριθμὸν τῆς ἀρετῆς ἐντεῦθεν αὐτίκα ὁπόσος ἐστίν, εἰ μὲν γὰρ πρὸς πολλάς, πλείους, εἰ δὲ πρὸς ἕν, μία. φαίνεταί γε μὴν ἡ λέξις πρὸς ἓν τὸ σημαίνειν, εἴπερ τὸ καλῶς πρὸς τοῦτο μὴ σημαίνειν, ἢ μὴ εὖ σημαίνειν καί τοι ἴσως δεήσει σκέψασθαι, εἰ θετέον εἶναι λέξιν ἔτι τὴν μὴ σημαίνουσαν. οὐδὲ γὰρ αὐλητὴς ὁ μὴ πεφυκὼς αὐλεῖν ὅλως. οὐκοῦν οὐδὲ κακὸς αὐλητής, οὐδὲ λέξεως ἄρα κακία τὸ μὴ σημαίνειν. τοῦτο δὲ εὐθὺς καὶ σημεῖον τῆς μόνην τὴν ὑφ' ἡμᾶς, τούτων δὲ λεγομένων ἀρετὴν εἶναι τῆς λέξεως κατ' αὐτήν, ἐν ᾧ γὰρ ἑκάστῳ τὸ εἶναι ἐν τούτῳ καὶ ἡ ἀρετή. ἡ δὲ λέξις, ἐν τῷ σημαίνειν, τούτου γέ τοι διαφθαρέντος, οὐδὲ λέξις, οὐκοῦν ἐν τούτῳ καὶ ἡ ἀρετή, διὸ καὶ μόνη συναποβάλλεται. αἱ δ' ἄλλαι διὰ τὸ μὴ κατ' αὐτὸ τὸ πρᾶγμα εἶναι οὐδὲν κωλύονται. καὶ περὶ τὴν μὴ σημαίνουσαν ὑπάρχειν, οἷον ἡ εὐαρμοστία καὶ ἡ εὐγραμματία κρείττω γοῦν διὰ ταῦτα καὶ τῶν βαρβαρικῶν διαλέκτων ἑτέραν ἑτέρας φαμέν, οἷον τὴν περσίδα τῆς αἰθιοπικῆς, καί τοι μὴ σημαινούσας ἡμῖν. τὸ δ' αἴτιον ὅτι φωνῆς μᾶλλόν ἐστιν ἢ λέξεως. ἀλλ' εἴπω καὶ δοκεῖ ταῦτα κἀκεῖνα τὸ μὴ σημαίνειν καὶ πλανᾶται τις διὰ τὴν ὁμοιότητα καὶ τοῦ καλεῖσθαι. ἀλλ' ἐκεῖνο δὲ δῆλον, ὡς οὐδ' ἐναντία ταῦτα κακίαν σόφισμα συμβαίνει, τίς γοῦν ἂν ὁμολογήσειεν, ἢ θείη τις πρὸς ἄσημον καὶ σαφῆ λέξιν. λείπεται δὴ διὰ τὸ εὖ σημαίνειν. τοῦτο δὲ ὅτι διττῶς. ἐν τούτῳ γὰρ ὑπάρχει μόνη τῇ λέξει, σημαίνειν μέν τι, μὴ εὖ δὲ σημαίνειν. τὸ γὰρ κύων ὄνομα σημαίνει μέν τι, οὔπω δὲ τὸ δέ τι, οὐδὲ ἀφορισμένον ὥσπερ ἦν.

τὸ ἐλλιπὲς

† πλείω σημαίνεται.

† ὥσπερ πεντήκοντα ἀνδρῶν, διαιρουμένων ἀπὸ τῶν ἑκατὸν λίπε δῖος ἀχιλλεύς.

τὸ εὔληπτον δὲ κἀκεῖνο λέγεται καλῶς ὑπὸ πλάτωνος, ὅτι πάντα ὅσα φθαρτὰ τῇ σφετέρᾳ κακίᾳ φθείρεται, δὲ καὶ τούτων τὴν λέξιν. ἄγει γὰρ πρότερόν τινα εἰς ἀσάφειαν, ἀλλ' οὐχὶ ἁπλῶς ὥσπερ τὰ μηδὲν σημαίνοντα. ἡ δ' ἀσάφεια καὶ πρόσθεν ἐλέγετο, διαφορά τις εἶναι παντελὴς τῆς λέξεως. ὥσπερ πᾶν καὶ διαφέρον μόνη κακία τὸ διττὸν χωρίς, εἰ μήτι οἴεται κἀκεῖνα κακίας. οἷον ἔνδειαν, ἢ μακρολογίαν ἢ περιττολογίαν. λανθάνειν δὲ περὶ νομίζω ἀπατώμενος, καὶ μὴ συνιεὶς τούτων οὐδὲν ἁπλῶς κακὸν τῆς λέξεως, εἰ μὴ τὴν ἀσάφειαν, εἰ τὸ διττὸν ἐργάζοιτο, εἰ δὲ μόνη κακία λέξεως αὕτη καὶ καλῶς τὰ πρόσθεν εἴρηται. πάντα δὲ τὰ παρὰ τὰ σοφίσματα παρὰ τὴν κακίαν αὐτὴν γίγνεται. πάντα τὰ παρὰ τὴν λέξιν ἔσται παρὰ τὸ διττόν. λεκτέον δὲ τὸ μετὰ τοῦτ' ἂν εἴη: διότι τὸ παρὰ τὸ διττὸν τοσαυταχῶς. ὅσαχῶς Ἀριστοτέλης φασὶ συνίσταται. εἰ δὲ καὶ περὶ μέλλει καλῶς εὑρεθήσεσθαι, ληπτέον πρότερον ὅτι ποτέ ἐστι λόγος τε καὶ ἐκ λόγων. λόγοι γὰρ καὶ αἱ προτάσεις, τούτων γενὴ ποσὶ διττὸν ζητοῦμεν. ἔσται δὴ λόγος ὡς πρὸς τὸ παρὸν ἀρκούντως εἰπεῖν σύνθεσις ὀνομάτων. καλῶ δὲ ὀνόματα κἂν καὶ τὰ ῥήματα, καὶ ὅλως τι σημαίνει διὰ τὸ γνωριμώτερα, ἀνάγκη τὸ διττὸν ἢ ἔν τινι τούτων εἶναι τῶν ὀνομάτων, ἢ ἐν αὐτῷ τῷ λόγῳ. τρίτον γὰρ οὐδὲν ἔχομεν ὅπως συσταίη, ὁπόταν ὥσπερ οὐδ' ἀντέχει παρ' ἕκαστα τῶν λίθων, ἢ τὸ συγκείμενον καὶ τούτῳ, ἢ ἐνεργείᾳ, ἢ δυνάμει, ἢ φαντασίᾳ. παρὰ ταῦτα γὰρ οὐδὲν ἕτερόν τις εὕροι ὑπάρχον, ἢ λεγόμενον, καθάπερ ἐν ἄλλαις ἀποδέδεικται. πάντα δὲ ταῦτα συλλαβόντες ἔχουσι οἱ εἰρημένοι τρόποι. ἐνεργείᾳ μὲν γὰρ τὸ διττὸν ἔχουσι παρά τε τὴν ὁμωνυμίαν, καὶ τὴν ἀμφιβολίαν, καὶ ὀνόματι μὲν ὁ παρὰ τὴν ὁμωνυμίαν, ἐν λόγῳ δὲ ὁ παρὰ τὴν ἀμφιβολίαν. ἐνεργείᾳ δὲ ὅτι τῷ ὄντι δύο σημαίνουσι. δυνάμει δ' ὁπότε τῇ προσῳδίᾳ γιγνόμενοι διττὸς καὶ παρὰ τὴν σύνθεσιν καὶ διαίρεσιν. οὗτοι γὰρ ὅτε σημαίνουσι πλείω, ἀλλὰ πάντως ἕν. διά τε τὸ ἑκάτερον ἐνδέχεσθαι διττοὶ λέγονται. διὸ καὶ δυνάμει φαμὲν αὐτούς, τοιοῦτον γὰρ τὸ δυνάμει, οἷον περὶ αὖ πάλιν, ὥσπερ καὶ πρόσθεν διῄρητο, ἢ ἐν ὀνόμασιν, ἢ ἐν λόγῳ. ἐν μὲν οὖν ὀνόμασιν ἡ προσῳδία ποιεῖ τὸ διττόν. αὕτη γὰρ ἐφ' ἑκάτερον ἕλκει τοὔνομα, ὥσπερ ἐν τῷ ὄρος ἕστηκεν ἡ δασεῖα κατ' ἀρχὰς τεθεῖσα, ἢ μή. ἐν δὲ λόγῳ, διότι συνέλθοις, καὶ αἵρεσις δὲ τὸ ποιεῖν, δύναται δὲ κἂν τοῖς συνθέτοις τῶν ὀνομάτων αὕτη διὰ τὸ προστεθεικέναι λόγῳ, καθάπερ ἐν τῷ νεάπολις, καὶ καλὸς κἀγαθός. μεταβάλλοι δ' ἀντὶ τῶν ἁπλῶν. ἀλλ' οὐκ εἰς ἕτερον ὄνομα. περὶ γὰρ ἡ προσῳδία μόνη ποιεῖ. ἀλλ' εἰς λόγον, ὥσπερ τὸ αὐλητρὶς δηλονότι καὶ τὸν λόγον συντεθέντα ποτ' ἂν εἰς ὄνομα, ὥσπερ τὸ προκείμενον. δόξει δ' οὐδὲν ἄτοπον ἴσως τὸ φάσκειν διὰ τὴν προσῳδίαν τε καὶ τὴν σύνθεσιν συμβαίνειν τὰ σοφίσματα, εἴπερ ταῦτα μὴ διὰ τὸ διττόν, καθάπερ ἐλέγετο ταῦτα πρόσθεν, εἰ δὲ προσῳδία τε καὶ τὰ ὁμογενῆ καὶ τῶν δυνάμει διττῶν ἐξαιρεῖ τὸ διττόν, ποιεῖ γὰρ ἤδη ταῦτα, θάτερον σημαίνει καὶ λέγεται ἀληθῶς συμβαίνειν οὐδὲν ἧττον τὰ σοφίσματα διὰ ταῦτα, τῷ γὰρ τὸν λόγον ἐπιδέχεσθαι διὰ τούτων τὸ διττὸν λαβόντες θάτερον κατ' ἀρχὰς οἱ σοφισταί, θάτερον συνάγουσι, μεταβάλλοντες μὲν διὰ τούτων τὸν λόγον, πάντως γε οὐκ ἂν ἄλλως τὸ σόφισμα συμβαίη, συλλογιζόμενοι δέ, ὡς ταὐτὸ λαμβάνοντες ὥσπερ ἐν τῷ λογικὸν ὄνομα καὶ ἴδιον ἀνθρώπου τὸ λογικόν, ἆρα ὃν ἴδιον ἀνθρώπου καὶ εἰ ὄρος ἐν ταῦθα εἱστήκει ὁ τὸ χωρίον. ὅρος δ' ἐνταῦθα οὐκ ἕστηκε, καὶ λείποιμεν ἂν οὐδένα τὸ κίβδηλον αὐτὰρ οὐκ ὀκνοῦσιν οἱ σοφισταὶ πανταχῇ σμικρὸν φροντίζειν τοῦ εὐλόγου. ἐπεὶ κἂν τοῖς ἐνεργείᾳ διττοῖς οὗτοι γε ταὐτὸν περὶ ἕτερον ποιοῦσι. λαβόντες γὰρ ἕτεροι συλλογίζονται. ἀλλ' ἐκεῖ μέν, ἀφανέστερον ὅτι κατ' ἐκεῖ σημαίνει ἂν ὁ λόγος ὁμολογηθείη. ἐνταῦθα δὲ πρόδηλος διὸ καὶ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις Ἀριστοτέλης ἔφη. οἱ μὲν γάρ εἰσιν οἱ τὸ εἶδος σοφισταὶ βιάζονται. ἐπεὶ δὲ ἔχομεν τὸ ἐνεργείᾳ τε καὶ δυνάμει, λείπεται φαντασίᾳ. περὶ δὲ ἐστι τὸ παρὰ τὸ σχῆμα τῆς λέξεως, καθάπερ ἐλέγετο ἔμπροσθεν φάναι. τί γὰρ ἀντὶ καὶ ὄνομα διττὸν οὐχ οὕτως ἔχον, καὶ ὁ λόγος ὁμοίως, καὶ οὐ τοσοῦτον καθ' ἕκαστον τῶν προειρημένων τὰ παραδείγματα λάβοι τις ἄν, ἐκ τε τῶν εὐδήμου κἀξ ἄλλων. ἐπεὶ δ' οὖν ἔχομεν πάντας κατειλεγμένους τοὺς τρόπους ἂν γένοιτό τι διττόν, ἔχομεν πάντα τὰ παρὰ τὴν λέξιν σοφίσματα. ταῦτα γὰρ ὄν, ἢ παρὰ τὸ διττόν. ἐχόμενον δὲ καὶ τὸ τὴν τοσαυταχῶς ἂν τοῖς ὀνόμασι καὶ λόγοις οὐ ταὐτὸν δηλώσαιμεν, ὅτι ἢ ἐνεργείᾳ, ἢ δυνάμει, ἢ φαντασίᾳ. δῆλον δ' ὅτι καὶ συλλογισμοῦ τρόπον. ὁποῖον τὶς ἂν προσέλοιτο δυνατὸν ποιεῖν, ἅπαξ γε τὴν διαίρεσιν ἔχοντα καὶ ἐξ εὐθείας καὶ εἰς τὸ δυνατὸν ἅπαντα τὴν διαίρεσιν ἔχοντα, καὶ ἐξ εὐθείας, καὶ εἰς τὸ δυνατὸν ἐπάγοντες. εἰ γοῦν τὸ δυνατὸν ἀλλ' ἔσται οὔτ' ἐν νοήματι οὔτ' ἐν λόγῳ. οὔτ' ἐνεργείᾳ οὔτε δυνάμει, οὔτε φαντασίᾳ. παρὰ ταῦτα δ' οὐδὲν ὁ λόγος ἐδείκνυσε, κατ' αὐτὸ μὲν ἀφωρίσθω τὸν τρόπον περὶ μ. ὅτι δ' οὐ κατ' αὐτοὶ τὴν διαίρεσιν εὑρήκαμεν, οὐ Ἀριστοτέλης χαριζόμεθα νῦν. ἀλλὰ καὶ ταῦτα ἅπαντα τὴν μέθοδον γέγραπται δῆλον, τὸ μὲν γὰρ ἢ ἐν ὀνόματι δεῖν, ἢ ἐν λόγῳ τὸ διττὸν εἶναι σαφῶς αὐτοὺς εἴρηκεν ἐν οἷς φησίν, ὅτι τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις τὸ ἐνεργείᾳ, ἢ δυνάμει, ἢ φαντασίᾳ γνώριμον ἐκ τῆς τάξεως, γέγραπται γοῦν ἀφωρισμένα καθ' ἕκαστον εἶδος ἢ τὰ ὁμογενῆ, καὶ πρῶτα μὲν τὰ ἐνεργείᾳ, δεύτερον δὲ τὰ δυνάμει, τρίτον δὲ τὰ φαντασίᾳ καθάπερ δίκαιον, ἢ διὰ δή ποτ' οὐ συγκέχυται ταῦτα. ἀλλ' ὡς γελοῖον ἴσως καὶ τὸ τῶν τοιούτων ἑτέρα πίστιν πειρᾶσθαι φέρειν, μὴ τὴν ἐκ τοῦ πράγματος, εἰ γὰρ οὕτως ἔχει καθάπερ ἡ τέχνη φασὶ δηλονότι καὶ γέγονε κατ' αὐτὴν ὥσπερ ἡ ἰατρική, τομήν τινα οὐκ ἂν τύχη οὐδὲ τὰ αὐτόματα ἐργάσαιτο. ταῦτα μὲν οὖν ὑπὲρ τούτων ἱκανὰ πρὸς τὸ παρὸν ἐστιν. εἴρηται τινὰ καὶ τοῖς στωϊκοῖς περὶ τὸν τοῦ μέρους δίκαιον ἐπελθόντας ἰδεῖν εἴ τις ἔξω πίπτει τρόπος τῶν εἰρημένων. εἴη γὰρ ἐπαγωγή τις αὕτη πίστις, καὶ δίκαιον ἄλλως μὴ δὲ μὴ δόξαν ἀνδρῶν εὐδοκίμων πάρεργον τίθεται, τὸν μὲν οὖν τῆς ἀμφιβολίας ὅρον, εἰ καὶ πρὸς πολλὰ τῶν ἡμετέρων μάχεσθαι δοκεῖ, τό γε νῦν θάτερον ἑτέρας γὰρ καὶ ὑπὲρ τούτων νοσεῖν σκοπεῖν πράγματα, τὰς δὲ διαφορὰς τῶν λεγομένων ἀμφιβολιῶν αὐτὰς ληπτέον. εἰσίν γε πρὸς τῶν χαριεστέρων λεγομένων τὸν ἀριθμὸν η. μίαν μὲν ἣν κοινὴν ὀνομάζουσι τοῦ τε εἰρημένου καὶ τοῦ διαιρετοῦ, οἷα ἐστιν ἡ αὐλητρὶς ὀνόματος καὶ τοῦ εἰρημένου. δευτέρου δέ, παρὰ τὴν ἐν τοῖς ἁπλῶς οἷον ἀνδρεῖος, ἢ γὰρ χιτών, ἢ ἄνθρωπος. τρίτην δὲ παρὰ τὴν ἐν τοῖς συνθέτοις ὁμωνυμίαν, οἷον ἄνθρωπός ἐστιν, ἀμφίβολος γὰρ ὁ λόγος, εἴπερ τὴν

οὐσίαν, εἴτε τὴν πτῶσιν εἶναι σημαίνει. τέταρτον δέ ἐστι, παρὰ τὴν ἔλλειψιν, ὅ ἐστιν ὡς σὺ καὶ ὡς ἐλλείπει τὸ διαμένον, οἷον δίωνός τε ἢ πατρός. πέμπτον γὰρ παρὰ τὸν πλεονασμὸν ὥσπερ ἡ τοιαύτη ἀπαγορεύουσιν αὐτῷ μὴ πλεῖν, τὸ γὰρ μὴ προσκείμενον ἀμφίδοξον ποιεῖ τὸ πᾶν, εἴ γε τὸ πλεῖν ἀπηγόρευσεν, εἴτε τὸ μὴ πλεῖν. ἕκτην φασὶν εἶναι τὴν μηδὲν σαφοῦσαν τι μετά τινος ἄσημον μόριον τέτακται, ὡς ἐν τῷ καὶ νῦν, καὶ μὴ περιέλασε τὸ γὰρ στοιχεῖον ἂν γένοιτο διαζευκτικόν. ἑβδόμη δέ ἐστιν, ἡ μὴ δηλοῦσα τι μετά τινος τέτακται σημαντικὸν μόριον, ὡς ἐν τῷ πεντήκοντ' ἀνδρῶν ρ̄ λείπεται, ὀγδόη μὴ δηλονότι ἐπί τι ἀναφέρεται, ὡς ἐν τῷ Δίων, Θέων, εὗρον, ἄδηλος γάρ ἐστι εἴτε ἐπὶ τὴν ἀμφοτέρων ὕπαρξιν ἀναφέρεται, εἴτε ἐπὶ τοιούτων, οἷον ὁ Δίων Θέων ἐστὶν, ἢ πάλιν. οἱ μὲν δὴ τρόποι πρὸς τῶν χαριεστέρων οὗτοι κατηρίθμηνται. δῆλον γε ὡς τις μὴ παρέργως τῶν ἔμπροσθεν ἤκουσεν, ὅτι πάντες πίπτουσιν εἰς τοὺς κατειλεγμένους ὑφ' ἡμᾶς τρόπους, τὸ δ' ἀμέθοδόν τε καὶ ἄτεχνον, πρόδηλον. οὔτε γὰρ ἐκ τῶν εἰρημένων ἀπόδειξιν τις λάβοι τοῦ μηδένα καθ' ἕνα τρόπον ἕτερον ἀμφίβολον ὄντι δύνασθαι συστῆναι, τότε καὶ τοῖς πεπλεγμένοις ὁμωνυμίαν φάσκειν συμβαίνει παντελῶς οὐδ' ἀκουόντων ἐστὶν ὀνομάτων. ἔστι δέ πως οὐκ εὔηθες ταῖς γενικαῖς διαφοραῖς δίχας καταριθμεῖσθαι, καθάπερ ἡμεῖς τῶν κατὰ τὴν διαίρεσιν ποιοῦσιν ἀσήμαντον μόριον σημαῖνον διαιρούμενοι. λάβοι γὰρ οὕτως γε πλείους τὰς ἰδικὰς διαφοράς, ἔτι δ' ἂν ὥσπερ τὸν τρόπον ἧς καὶ τῆς ὁμωνυμίας, ποιήσειεν πλείω τὰς αἰτίας ἀναλεγομένας διαφοράς, ὅτι αὐτῶν παρὰ τὸ ἀπὸ τύχης, αἱ δέ, παρὰ τὴν ἀναλογίαν, ἢ ὁμοιότητα, ἢ ἄλλον τινὰ τρόπον συνίσταται, καὶ μὴν καὶ τῆς ἐν λόγῳ ὁμωνυμίας ἐπ' αὐτῶν λεγομένης πλείους οἱ τρόποι μὲν τῇ παραθέσει τῶν ὁμοίων πτώσεων γίγνονται, ὡς ἐν τῷ εἰ μέλλει τὸν Σωκράτην νικῆσαι. οἱ δ' ἄλλοι τρόποι ταῦτα μὲν ἐλάττω, ἐκεῖνο δ' ἄξιον ἀπορίας πώποτε περὶ τὰς φαντασίας διττὰ πολὺ δὴ μᾶλλον ἔτι πῶς τὰ τῆς προσῳδίας, οἱ γὰρ τιθέμενοι διττοὺς τοὺς παρὰ τὴν θέσιν, πῶς οὐχὶ καὶ παρὰ τὴν προσῳδίαν, ὥσπερ ἐκείνη τῇ διαλείψει τοῦ ὅλου, καὶ τῇ μὲν σιωπῇ δύναται πρὸς τὸ διττὸν ἕλκεσθαι, οὕτω δὴ καὶ τὸ ὄνομα τῇ προσῳδίᾳ καθάπερ ἔξωθεν ὢν ὁ κενὸς χρόνος τοῦ λόγου, καὶ οὐ μόριον αὐτὸν διττὸν ποιεῖν αὐτὸν πέφυκεν, οὕτω δὲ καὶ ἡ προσῳδία, ἔτι δὲ καὶ οἱ σοφισταὶ καθάπερ ἐκείνῳ χρῶνται πρὸς τὰς ἔριδας, καὶ ὥσπερ. καὶ μὴν αὐτός ἄν τις ἐφ' ἑαυτοῦ σκοπούμενος ὥσπερ ἂν παρὰ τὴν σύνθεσιν ἢ διαίρεσιν ἀμφισβητοῦσιν, οὕτω δὲ καὶ παρὰ τὴν προσῳδίαν. δῆλον δὲ ἐπὶ τῶν γεγραμμένων λόγων θεὶς μὴ πρόσκειται διακρίνειν τὰ σημεῖα, δεῖται γὰρ ὥσπερ ἐκείνων εἰς τὴν διάκρισιν, οὕτω δὲ καὶ τῆς προσῳδίας, οὐκ ἀεί γε μὴ καὶ δι' αὐτὴν ἐγίγνετο διττὸς ὁ λόγος.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥ-
ΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

ΕΠΕΙΔΗ καὶ σύ με πολλάκις ὦ Ἱέρων φίλτατε, καὶ ἄλλοι τινὲς νῦν ἑταῖροι παρακαλοῦσι θεραπευτικὴν μέθοδον αὐτοῖς γράψαι, ἐγὼ δὲ μάλιστα μὲν καὶ ὑμῖν χαρίζεσθαι βουλόμενος, οὐχ ἥκιστα δὲ καὶ τοὺς μεθ' ἡμᾶς ἀνθρώπους ὠφελῆσαι καθ' ὅσον οἷός τε εἰμὶ προαιρούμενος, ὅμως ὤκνουν τε καὶ ἀνεβαλλόμην ἑκάστοτε διὰ πολλὰς αἰτίας, ἃς ἄμεινον εἶναί μοι δοκεῖ καὶ νῦν αὐτὰς διελθεῖν, πρὶν ἄρξασθαι τῆς πραγματείας. ἔχουσι γάρ τι χρήσιμον εἰς τὰ μέλλοντα ῥηθήσεσθαι. κεφάλαιον μὲν οὖν ἁπασῶν αὐτῶν ἐστι τὸ κινδυνεῦσαι μάτην γράψαι, μηδενὸς τῶν νῦν ἀνθρώπων, ὡς ἔπος εἰπεῖν, ἀλήθειαν σπουδάζοντος, ἀλλὰ χρήματά τε καὶ δυνάμεις πολιτικὰς καὶ ἀπλήστους ἡδονῶν ἀπολαύσεις ἐζηλωκότων, οὐ τοσοῦτον ὡς μαίνεσθαι νομίζειν εἴ τις ἄρα καὶ γένοιτο σοφίαν ἀσκῶν ἡντιναοῦν. αὐτὴν μὲν γὰρ τὴν πρώτην καὶ ὄντως σοφίαν ἐπιστήμην οὖσαν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, οὐδ' εἶναι νομίζουσι τὸ παράπαν. ἰατρικὴν δὲ καὶ γεωμετρίαν, καὶ ῥητορικὴν, ἀριθμητικήν τε καὶ μουσικὴν, ἁπάσας τε τὰς τοιαύτας τέχνας, εἶναι μὲν ὑπολαμβάνουσιν, οὐ μὴν ἐπί γε τὸ τέλος αὐτῶν ἰέναι δικαιοῦσιν. ἀλλ' ἐμοί γε καὶ τῶν πάνυ δοκούντων με φιλεῖν ἔνιοι, πολλάκις ἐπετίμησαν, ὡς πέρα τοῦ μετρίου τὴν ἀλήθειαν σπουδάζοντι. καὶ ὡς οὔθ' ἑαυτῷ μέλλοντι χρησίμῳ γενήσεσθαι παρ' ὅλον τὸν βίον, οὔτε ἐκείνοις, εἰ μὴ, σχολάσαιμι μέν τοι τῆς τοσαύτης περὶ τὴν ἀλήθειαν σπουδῆς, προσαγορεύοιμι δὲ περιερχόμενος ἕωθεν, εἰς ἑσπέραν τε συνδειπνοίμι τοῖς δυναμένοις. ἐκ τούτων γὰρ καὶ φιλεῖσθαι καὶ προσάγεσθαι, καὶ τοὺς τεχνίτας πιστεύεσθαι, οὐκ ἐκ τῆς οἰκείας παρασκευῆς. οὐδὲ γὰρ εἶναι τοὺς κρίνοντας ἐκείνην, ἁπάντων δι' ὅλης ἡμέρας ἀσχολουμένων, ἕωθεν μὲν ἐν προσαγορεύσεσι κοινῇ, μετὰ ταῦτα δ' ἤδη σχιζομένων, ἐπὶ μὲν τὴν ἀγορὰν καὶ τὰς δίκας, οὐ σμικροῦ τινος ἔθνους, ἐπὶ δ' αὖ τοὺς ὀρχηστάς τε καὶ τοὺς ἡνιόχους, ἑτέρου πλείονος. οὐκ ὀλίγου δέ τινος ἄλλου τοῖς κύβοις, ἢ τισὶν ἔρωσιν, ἢ λουτροῖς, ἢ μέθαις, ἢ κώμοις σχολάζοντος, ἢ τισὶν ἄλλαις ἡδοναῖς τοῦ σώματος, εἰς ἑσπέραν δὲ κοινῇ πάντων αὖθις συναθροιζομένων εἰς τὰ συμπόσια. κἄπειτ' ἐπειδὰν ἐμπλησθῶσιν οἴνου, οὐ λύρας ἐν κύκλῳ περιφερομένης, ἢ κιθάρας, ἤ τινος ἄλλου τῶν μουσικῶν ὀργάνων, ὧν ἅπτεσθαι πάλαι κατὰ τὰς τοιαύτας συνόδους καλὸν ἐνόμιζον, καὶ δεινῶς αἰσχρὸν τοὐναντίον ἦν. ἀλλ' οὐδὲ λόγων τινῶν ἀνακινουμένων, οἵους ἐν τοῖς συμποσίοις συνέγραψαν ἡμῖν οἱ παλαιοὶ γινομένους, ἀλλ' οὐδ' ἄλλου τῶν καλῶν οὐδενός, ἀλλὰ προπινόντων μὲν ἀλλήλοις, ἁμιλλωμένων δὲ περὶ μεγέθους ἐκπωμάτων. ἄριστος γὰρ ἐν τούτοις, οὐχ ὁ πλείστων ἁψάμενος ὀργάνων μουσικῶν ἢ λόγων φιλοσόφων, ἀλλ' ὁ παμπόλλας καὶ μεγίστας ἐκπιὼν κύλικας. ὥστ' ἔμοι γε καὶ περὶ τὴν ἕω δοκοῦσιν ἔτι μεθύειν οἱ πολλοὶ τῶν τοιούτων. καί τινες αὐτῶν ὄζουσιν οἴνου σαφῶς οὕτως, ὡς ἄρτι προσενηνεγμένοι. ὥστ' εἰκότως ἐπειδὰν νοσεῖν ὑπάρξωνται, μετακαλοῦνται

λεύονται τῶν ἰατρῶν οὐ τοὺς ἀρίστους, οὕς γε μηδὲ πώποτε κρῖναι προὐθυμήθησαν ὑγιαίνοντες, ἀλλὰ τοὺς συνηθεστάτους τε ἅμα καὶ κολακευτικωτάτους, οἳ καὶ ψυχρὸν δώσουσιν, ἢν αἰτηθῶσι, καὶ λούσουσιν, ἢν κελευσθῶσι, καὶ χιόνα καὶ οἶνον ὀρέξουσι, καὶ πᾶν ὑπηρετήσουσι τὸ προσταττόμενον, ὥσπερ ἀνδράποδα, ἔμπαλιν ἐκείνοις τῶν ἰατρῶν τοῖς παλαιοῖς ἀσκληπιάδαις, οἳ τῶν νοσούντων ἠξίουν ἄρχειν, ὡς στρατηγοὶ στρατιωτῶν, καὶ βασιλεῖς ὑπηκόων, οὐκ ἄρχεσθαι καὶ δεσπόζεσθαι καθάπερ Γέται, καὶ Τίβιοι, καὶ Φρύγες, καὶ Θρᾷκες ἀργυρώνητοι. οὐκοῦν οὐχ ὁ κρείττων τὴν τέχνην, ἀλλ' ὁ κολακεύειν δεινότερος, ἐντιμότερος αὐτοῖς ἐστι, καὶ τούτῳ ἅπαντα βάσιμα καὶ πόριμα, καὶ τῶν οἰκιῶν ἀνέῳγασιν αἱ θύραι τῷ τοιούτῳ, καὶ πλουτεῖται ταχέως οὗτος, καὶ πολὺ δύναται, καὶ μαθητὰς ἔχει τοὺς ἐκ κοιτῶνος πολλούς, ὅταν ἔξωροι γίνωνται. καὶ τοῦτο κατανοήσας ὁ Θεσσαλὸς ἐκεῖνος, οὐ τὰ ἄλλα μόνον ἐκολάκευε τοὺς ἐπὶ τῆς Ῥώμης πλουσίους, ἀλλὰ καὶ διὰ μηνῶν ἓξ ἐπαγγέλλεσθαι διδάξειν τὴν τέχνην, ἑτοίμως ἐλάμβανε μαθητὰς παμπόλλους. εἰ γὰρ οὔτε γεωμετρίας, οὔτε ἀστρονομίας, οὔτε διαλεκτικῆς, οὔτε μουσικῆς, οὔτε ἄλλου τινὸς μαθήματος τῶν καλῶν, οἱ μέλλοντες ἰατροὶ γενήσεσθαι δέονται, καθάπερ ὁ γενναιότατος ἐπηγγείλατο Θεσσαλός, ἀλλ' οὐδὲ μακρᾶς ἐμπειρίας χρήζουσι καὶ συνηθείας τῶν ἔργων τῆς τέχνης, ἕτοιμον ἤδη προσιέναι παντὶ γενησομένῳ ῥᾳδίως ἰατρῷ. διὰ τοῦτο καὶ σκυτοτόμοι, καὶ τέκτονες, καὶ βαφεῖς, καὶ χαλκεῖς ἐπιπηδῶσιν ἤδη τοῖς ἔργοις τῆς ἰατρικῆς, τὰς ἀρχαίας αὐτῶν ἀπολιπόντες τέχνας. οἱ μὲν γὰρ τὸν ῥῶπον διατιθέμενοι, καὶ περὶ πρωτείων ἐρίζουσι. καὶ διὰ τοῦτο κἀγὼ γράφειν ὤκνουν θεραπευτικὴν μέθοδον, ἣν εἰσηγήσαντο μὲν ἄνδρες παλαιοί, τελειῶσαι δ' ἐπεχείρησαν οἱ μετ' αὐτούς. καὶ πρόσθεν μὲν ἔρις ἦν οὐ σμικρὰ νικῆσαι τῷ πλήθει τῶν εὑρημάτων ἀλλήλους ὀριγνωμένων τῶν ἐν Κῷ καὶ Κνίδῳ. διττὸν γὰρ ἔτι τοῦτο τὸ γένος ἦν τῶν ἐπὶ τῆς Ἀσίας ἀσκληπιαδῶν, ἐπιλιπόντος τοῦ κατὰ Ῥόδον. ἤριζον δ' αὐτοῖς τὴν ἀγαθὴν ἔριν ἐκείνην, ἣν Ἡσίοδος ἐπῄνει, καὶ οἱ ἐκ τῆς Ἰταλίας ἰατροί, Φιλιστίων τε, καὶ Ἐμπεδοκλῆς, καὶ Παυσανίας, καὶ οἱ τούτων ἑταῖροι, καὶ τρεῖς οὗτοι χοροὶ θαυμαστοὶ πρὸς ἀλλήλους ἁμιλλωμένων ἐγένοντο ἰατρῶν. πλείστους μὲν οὖν καὶ ἀρίστους χορευτὰς ὁ Κῷος εὐτυχήσας εἶχεν. ἐγγὺς δ' ἔτι τούτῳ, καὶ ὁ ἀπὸ τῆς Κνίδου. λόγου δ' ἦν ἄξιος οὐ σμικροῦ, καὶ ὁ ἀπὸ τῆς Ἰταλίας. ἀλλ' οὐδεὶς τούτων οὔτε ἕωθεν ἐπὶ τὰς τῶν πλουσίων ἐφοίτα θύρας προσαγορεύσων αὐτούς, οὔτ' εἰς ἑσπέραν, δειπνησόμενος, ἀλλ' ὥσπερ Ἡσίοδος φησίν. Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων πλούσιον, ὃς σπεύδει μὲν ἀρόμεναι ἠδὲ φυτεύειν, οὕτω κἀκεῖνοι διὰ παντὸς ἤριζον ἀλλήλοις. οὐκ ἀροῦν ἢ φυτεύειν γῆν, σμικρότερα γὰρ ταῦτα τοῦ τῶν ἀσκληπιαδῶν γένους, καὶ ἀσκραίῳ πρέποντα ποιητῇ, ἀλλ' ἀσκεῖν καὶ αὔξειν ἀεὶ καὶ τελειοῦν πειρᾶσθαι τὴν Ἀπόλλωνός τε καὶ Ἀσκληπιάδου τέχνην. νυνὶ δ' ἀπόλωλε μὲν ἡ ἀγαθὴ ἔρις, ἢ σμικρὸν ἔτι καὶ ἀμυδρὸν αὐτῆς ἐν ἀνθρώποις ἐστίν. ἐπικρατεῖ δ' ἡ πονηρά, καὶ ὁ ἀποτρέψων οὐδ' ὁ ἰασόμενος, ὥσπερ Ἡσίοδος.

Μὴ δ' ἔσ' ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι. Αὕτη γὰρ ἡ ἔρις, ὡς ὁ θειότερος αὖ πάλιν Ἡσιόδου ποιητής, φησίν. Ἡ δ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα, Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.

CAP. II.

[Ὑπὸ ταύτης τῆς ἔριδος ἐκμανεὶς ὁ Θεσσαλὸς ἐκεῖνος, Ἱπποκράτει τε καὶ τοῖς ἄλλοις ἀσκληπιάδαις ἐπιτιμᾷ, καὶ κοινὸν τῆς οἰκουμένης θέατρον ἐν ταῖς ἑαυτοῦ βίβλοις πληρῶν, ἐπ' ἐκείνου κρίνεται, καὶ νικᾷ, καὶ στεφανοῦται κατὰ τῶν παλαιῶν ἁπάντων, ἀνακηρυττόμενος αὐτὸς ὑφ' ἑαυτοῦ. ταυτὶ μὲν οὖν ἔν τε τῷ περὶ τῶν κοινοτήτων ἐποίησε, κἀν τοῖς συγκριτικοῖς. ἐν ἅπασι δὲ τοῖς ἄλλοις, ὑβρίζων οὐ παύεται. καθάπερ οἶμαι καὶ δι' ὧν ἐπέστειλε Νέρωνι, κατ' ἀρχὰς μὲν εὐθέως γράφων αὐτοῖς ὀνόμασιν οὕτως. Παραδέδωκὼς νέαν αἵρεσιν, καὶ ὡς μόνην ἀληθῆ, διὰ τὸ τοὺς προγενεστέρους πάντας ἰατροὺς μηδὲν παραδοῦναι συμφέρον πρός τε ὑγείας συντήρησιν, καὶ νόσων ἀπαλλαγήν. ἐπιπροσθήκοντι δὲ διὰ γράμματι, προοιμίων φησίν, ὡς Ἱπποκράτης μὲν ἐπιβλαβῆ τὴν παράδοσιν πεποίηται. ἐτόλμησε δὲ καὶ τοῖς ἀφορισμοῖς ἀντιλέγειν, ἀσχημοσύνην ἀσχημονήσας μεγίστην, καὶ δείξας ὅτι μὴ δ' εἰσήχθη πρός τινος εἰς τὴν Ἱπποκράτειον θεωρίαν, μὴ δ' ἀνέγνω παρὰ διδασκάλου τὰ συγγράμματα αὐτοῦ, καὶ ὅμως ὁ τοιοῦτος, ἑαυτὸν οὐκ αἰδεῖται στεφανῶν. διό μοι δοκῶ κἀγώ, καί τοι γε οὐκ εἰθισμένος ἐξελέγχειν πικρῶς τοὺς σκαιούς, ἐρεῖν τι πρὸς αὐτὸν ὑπὲρ τῆς τῶν παλαιῶν ὕβρεως. τί περ ἆρα διαβάλλειν ὦ οὗτος τὰ χρυσᾶ διὰ τὸ παρὰ τοῖς πολλοῖς εὐδοκιμεῖν, ἐνὸν ὑπερβάλλεσθαι τοῖς ἀληθέσιν, εἰ φιλόπονός τε τὶς εἴης καὶ ἀληθείας ἐραστής; τί δὲ τῇ τῶν ἀκροατῶν ἀμαθίᾳ συμμάχῳ κέχρησαι κατὰ τῆς τῶν παλαιῶν βλασφημίας; μὴ τοὺς ὁμοτέχνους τῷ πατρί σου κριτὰς καθίσῃς ἰατρῶν τολμηρότατε Θεσσαλέ; νικήσεις γὰρ ἐπ' αὐτοῖς, καὶ καθ' Ἱπποκράτους λέγων, καὶ κατὰ Διοκλέους, καὶ κατὰ Πραξαγόρου, καὶ κατὰ πάντων τῶν ἄλλων παλαιῶν, ἀλλ' ἄνδρας παλαιούς, διαλεκτικούς, ἐπιστημονικούς, ἀληθὲς καὶ ψευδὲς διακρίνειν ἠσκηκότας, ἀκόλουθον καὶ μαχόμενον, ὡς χρὴ διορίζειν ἐπισταμένους, ἀποδεικτικὴν μέθοδον ἐκ παίδων μεμελετηκότας, τούτους εἰς τὸ συνέδριον εἰσάγαγε δικαστάς. ἐπὶ τούτων τόλμησον Ἱπποκράτει τι μέμψασθαι. τούτων κρινόντων, ἐπιχείρησόν τι τῇ μιαρᾷ καὶ βαρβάρῳ σου φωνῇ, πρὸς Ἱπποκράτην διελθεῖν. πρῶτον μὲν ὡς οὐ χρὴ φύσιν ἀνθρώπου πολυπραγμονεῖν. ἔπειτα δέ, ὡς εἰ καὶ τοῦτο συγχωρήσειέ τις, ἀλλ' ὅτι γε κακῶς αὐτὴν ἐζήτησεν ἐκεῖνος, καὶ ψευδῶς ἀπεφήνατο σύμπαντα. τίς οὖν ἔσται κριτής; εἰ βούλει Πλάτων. ἐπειδὴ τοῦτον γοῦν οὐκ ἐτόλμησας λοιδορεῖν. ἐγὼ μὲν γὰρ οὐδὲ τοὺς μαθητὰς αὐτοῦ φύγοιμ' ἄν, οὔτε τὸν Σπεύσιππον, οὔτε τὸν Ξενοκράτην. τὸν Ἀριστοτέλην δὲ κἂν παρακαλέσαι μοι σε κριτὴν ὑπομεῖναι, καὶ σὺν αὐτῷ Θεόφραστον, εὐξαίμην δ' ἂν σε καὶ Ζήνωνα, καὶ Χρύσιππον, ἅπαντάς τε τοὺς ἀπ' αὐτῶν ἑλέσθαι κριτάς. οὐδεὶς τούτων ὦ τολμηρότατε Θεσσαλέ, τῶν Ἱπποκράτους κατέγνω περὶ φύσεως ἀνθρώπου δογμάτων, ἃ τὴν ἀρχὴν, οὔτ' ἀνεγνωκέναι μοι δοκεῖς, οὔτ' εἴπερ ἀνέγνως, συνιέναι. καὶ εἰ συνῆκας δέ, κρῖναι γοῦν ἀδύνατον ἦν σοι, τραφέντι μὲν ἐν γυναικωνίτιδι παρὰ πατρὶ μοχθηρῶς ἔρια ξαίνοντι. μὴ γὰρ ἀγνοεῖσθαί μοι δόκει τὸ θαυμαστόν σου γένος, καὶ τὴν ἀοίδιμόν σου παιδείαν. μηδ' ὡς ἐν κωφῷ θεάτρῳ λοιδορεῖν Ἱπποκράτην τε καὶ τοὺς ἄλλους παλαιούς, ἀλλὰ τίς ὤν, καὶ πόθεν, ἐκ ποίου γένους, ἐκ ποίας ἀναστροφῆς, ἐκ ποίας παιδεύσεως, ἐπίδειξον πρότερον. εἶθ' οὕτως λέγε τοῦτ' αὐτό, πρῶτον μαθὼν ὦ θρασύτατε, ὅτι λέγειν οὐκ ἐφεῖται πᾶσι δημοσίᾳ, ἐν οὐδε-

μίᾳ τῶν εὐνομουμένων πόλεων, ἀλλ᾽ εἴ τις ἐπίσημός ἐστι, καὶ γένος ἔχει καὶ ἀνατροφὴν δεῖξαι, καὶ παιδείαν ἀξίαν τοῦ δημηγορεῖν, τούτῳ συγχωροῦσιν ἀγορεύειν οἱ νόμοι. σὺ δ᾽ οὐδὲν τούτων ἔχων ἐπιδεῖξαι, τολμᾷς ὦ γενναιότατε κατηγορεῖν Ἱπποκράτους, καὶ καθίζεις μὲν ἐν ταῖς ληρώδεσί σου βίβλοις δικαστὰς τοὺς Ἕλληνας, ἀποφαίνει δ᾽ αὐτὸς, οὐκ ἀναμείνας ἐκείνους, καὶ στεφανοῖς σεαυτὸν, ἐνίοτε μὲν ἐπὶ πάντων τῶν ἰατρῶν, ἐνίοτε δὲ ἐπὶ πάντων ἁπλῶς Ἑλλήνων. τοῦτο γάρ τοι τὸ θαυμαστόν ἐστι τόλμημα τοῦ σοφωτάτου Θεσσαλοῦ, νικῆσαι μὲν ἅπαντας ἰατροὺς, αὐτὸν ἀγωνιστὴν, αὐτὸν ἀγωνοθέτην, αὐτὸν κριτὴν γενόμενον, ἐφεξῆς δὲ καὶ τοὺς ἄλλους Ἕλληνας, εἰς ἀγῶνα προσκαλέσασθαι, ῥήτορας, γεωμέτρας, γραμματικοὺς, ἀστρονόμους, φιλοσόφους, εἶτ᾽ ἐν αὐτοῖς καταστάντα, καὶ τῇ τῶν ἐριουργῶν ἑρμηνείᾳ χρησάμενον, ἀξιοῦν ἁπάντων εἶναι πρῶτον. ἰατρικὴν μὲν γὰρ ἁπασῶν τῶν τεχνῶν πρωτεύειν, ἑαυτὸν δὲ τοὺς ἰατροὺς ἅπαντας νενικηκέναι. τοῦτο μόνον ἐκ τύχης ἀληθὲς συνελογίσατο Θεσσαλός. εἰ γοῦν ἰατρικὴ μὲν ἁπασῶν ἐστι τῶν τεχνῶν ἀρίστη, πρῶτος δ᾽ ἐν αὐτῇ Θεσσαλὸς, εἴη ἂν οὕτω γε πάντων ἀνθρώπων πρῶτος, καὶ Σωκράτους δηλονότι, καὶ Λυκούργου, καὶ τῶν ἄλλων, οὓς ὁ Πύθιος ἐπῄνεσεν, ἢ ὡς ἀγαθοὺς, ἢ ὡς σοφοὺς, ἢ ὡς Μουσῶν θεράποντας, ἢ ὡς Διὸς ὑπηρέτας, ἢ ὡς ἄλλο τι θεοφιλὲς ἔχοντας. ἄγε δὴ λοιπὸν ὕμνους ἀδόντων ἅπαντες Θεσσαλοῦ, καὶ γραφόντων ἐπινίκια μέλη, καὶ κοινὸν τῆς οἰκουμένης τὸ θέατρον γενέσθω, καὶ παρελθὼν ἀδέτω τις ὡς ὁ παρὰ τοῖς ἱστοῖς τραφεὶς, ἐνίκησε μὲν Δημοσθένην καὶ Λυσίαν, καὶ τοὺς ἄλλους ῥήτορας. ἐνίκησε δὲ Πλάτωνα καὶ Σωκράτην, καὶ τοὺς ἄλλους φιλοσόφους. ἐνίκησε δὲ καὶ Λυκοῦργον καὶ Σόλωνα, καὶ τοὺς ἄλλους νομοθέτας. ἐστεφάνωται δὲ κοινῇ ἐπὶ πάντων ἀνθρώπων, ῥητόρων, φιλοσόφων, νομοθετῶν. εἰ γὰρ δὴ γεωμετρῶν ἔτι καὶ γραμματικῶν καὶ μουσικῶν ὀνόμασι μνημονεύοιμι μετὰ τὰς τηλικαύτας νίκας, ὑβρίζειν δόξω τὸν ἄνθρωπον. ὅπου γὰρ Λυκοῦργος, καὶ Σόλων, καὶ Πλάτων, καὶ Σωκράτης, καὶ Πυθαγόρας ἐνικήθησαν, ἦπου ἄρα καλὸν ἔτι μνημονεύειν Ἱππάρχου καὶ Ἀρχιμήδους καὶ Ἀριστοξένου καὶ Ἀριστάρχου, καί τινων ἑτέρων τοιούτων, οὐδενὸς ἀξίων, ὡς ἂν εἴποι Θεσσαλός; ἀλλὰ τίς ἡμῖν οὕτω μεγαλόφωνος ποιητὴς, ὃς ᾄσεται ταῦτα; τίνος Ὁμήρου νῦν εὐπορήσομεν ἐν ἑξαμέτρῳ τόνῳ, τὴν Θεσσάλειον ὑμνήσοντος νίκην; ἢ τίνος μελοποιοῦ ἐπὶ Πίνδαρον ᾄσοντος ὑψηλῶς ἐν διθυράμβοις, ὡς πάλαι τὸν Διόνυσον, οὕτως νῦν τὸν Θεσσαλόν; ἢ τούτων μὲν οὐδενὸς χρῄζομεν. Ἀρχιλόχου δέ τινος ἢ Ἱππώνακτος ἰάμβους γραφόντων, ἤ τινος τῶν ἀπὸ τῆς τραγικῆς σκηνῆς, ὃς ἐρεῖ πρὸς αὐτόν. Μέν᾽ ὦ ταλαίπωρ᾽ ἀτρέμας σοῖς ἐν δεμνίοις. Ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ᾽ εἰδέναι. Ὄνειρον Ὀρέστου δίκην Θεσσαλέ. Ποῖον τοῦτο τὸ θέατρον, ἐν ᾧ νικᾷς Ἱπποκράτην; τίνες οἱ κριταὶ καθεδοῦνται; τίνες οἱ ἀγωνοθετοῦντες; ἆρα βούλει πρῶτον Πλάτωνος ἀναγνῶμεν τὴν ψῆφον; ἴσως γὰρ οὐκ ἀναίνῃ τοιοῦτον ἑλέσθαι κριτήν. ἀλλά τοι φησὶν οὗτος αὐτοῖς ὀνόμασι. Ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι, ἄνευ τῆς τοῦ ὅλου φύσεως; εἰ μὲν Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης. καλῶς γὰρ ὦ ἑταῖρε λέγεις. χρὴ μέντοι πρὸς τῷ Ἱπποκράτει τὸν λόγον ἐξετάζοντας, σκοπεῖν εἰ συμφωνεῖ. φημὶ τῷ τοίνυν περὶ φύσεως σκοπεῖν. τί ποτε λέγει Ἱπποκράτης τε καὶ ὁ ἀληθὴς λόγος; ἆρ᾽ οὐχ ὧδε δεῖ διανοεῖσθαι περὶ τῆς ὁτουοῦν φύσεως; πρῶτον μὲν εἰ ἁπλοῦν ἢ καὶ πολυειδές ἐστιν οὗ πέρι βουλευσόμεθα, αὐτοί τε εἶναι τεχνικοὶ, καὶ ἄλλους δυνατοὶ ποιεῖν. ἔπειτα δὲ ἂν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν δύναμιν αὐτοῦ, τίνα πρὸς τί πέφυκεν εἰς τὸ δρᾶν ἔχον, ἢ τίνα εἰς τὸ παθεῖν ὑπό του. ἐὰν δὲ πλείω εἴδη ἔχῃ, ταῦτα ἀριθμησάμενον ὅπερ ἐφ᾽ ἑνὸς τοῦτο ἰδεῖν ἐφ᾽ ἑκάστου, τὸ τί ποιεῖν αὐτὸ πέφυκεν, ἢ τὸ τί παθεῖν ὑπό του. ἤκουσας ὦ γενναιότατε Πλάτωνος ὁποίᾳ μεθόδῳ τὰ κατὰ τὴν ψυχὴν ἀξιοῦντος εὑρίσκειν, οἵᾳ περ Ἱπποκράτης τὰ περὶ τὸ σῶμα; πότερον ἔτι βούλει πολλὰς πολλαχόθι αὐτοῦ τῶν συγγραμμάτων ἐκλέξω σοι ῥήσεις, ἐν αἷς ζηλοῖ τὸν Ἱπποκράτην πάντων μάλιστα τῶν ἔμπροσθεν αὐτοῦ γεγονότων; ἢ τοῦτο μὲν ἐν ἑτέρᾳ πραγματείᾳ πεποιηκὼς, ἐν ᾗ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπισκέπτομαι, εἰς ἐκείνην ἀναπέμψω τὸν βουλόμενον. ἀποδέδεικται γοῦν ὡς ἐγὼ νομίζω πάνυ σαφῶς, ἡ περὶ πλεῖστά τε καὶ μέγιστα δόγματα συμφωνία τῶν ἀνδρῶν. μεταβὰς δὲ τὸν ἕτερον ἤδη σοι καλέσω χορὸν μάρτυρα, τὸν ἐκ τοῦ περιπάτου, τὰς Ἱπποκράτους ἀρχὰς τῆς φυσιολογίας τιθέμενον. ἀλλά τοι καὶ περὶ τούτου δέδεικταί μοι δι᾽ ἑτέρων ὑπομνημάτων, ὧν ἓν μέν ἐστι, τὸ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων, ἐφεξῆς δ᾽ ἕτερα τρία, τὰ περὶ κράσεων, εἶθ᾽ ἑξῆς ἕτερα δύο. τὸ μὲν, περὶ τῆς ἀνωμάλου δυσκρασίας, ἐκ τῆς περὶ κράσεων ἔτι πραγματείας ὑπάρχον, ἄλλο δὲ περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος, εἶτ᾽ ἐπὶ τούτοις, τὰ περὶ φυσικῶν δυνάμεων τρία. ταῦτ᾽ οὖν εἴπερ ἀναγνοίη τις, ἐπιγνώσεται σαφῶς ἐξηγητὴν ὄντα τῶν περὶ φύσεως λογισμῶν Ἱπποκράτους Ἀριστοτέλην. καὶ μὲν δὴ καὶ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ὁπόσαι τέ εἰσι καὶ ὁποῖαι, καὶ περὶ συμπτωμάτων ὡσαύτως, ἔτι τε καὶ τῶν καθ᾽ ἑκάτερον αἰτιῶν, Ἱπποκράτης μὲν πρῶτος ἁπάντων ὧν ἴσμεν, ὀρθῶς ὑπάρξασθαι φαίνεται. μετ᾽ αὐτὸν δ᾽ Ἀριστοτέλης ἐπὶ πλεῖστον ἐξηγήσατο. εἴσεται δὲ καὶ περὶ τούτων, ὁ βουληθεὶς ἀναγνῶναι τὰ καθ᾽ ἕκαστον αὐτῶν ὑπομνήματά μοι γεγραμμένα. ὥστ᾽ εἴπερ οἱ ἐκ τοῦ περιπάτου κριταὶ καθίσαιεν, Ἱπποκράτης μὲν οἶμαι νικήσει, Θεσσαλὸς δ᾽ ὡς ἀναίσχυντός τε καὶ ἰταμὸς ἐκβληθήσεται. εἰ δὲ τοὺς ἀπὸ τῆς στοᾶς φιλοσόφους εἰς τὸ συνέδριον εἰσαγαγόντες ἐπιτρέψαιμεν καὶ τούτοις τὴν ψῆφον, ἐξ ὧν αὐτοὶ τίθενται δογμάτων, ἐκ τούτων Ἱπποκράτην στεφανώσουσι. τὸ γὰρ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὸ ξηρὸν, καὶ τὸ ὑγρὸν, Ἱπποκράτης μὲν πρῶτος εἰσηγήσατο, μετ᾽ αὐτὸν δ᾽ Ἀριστοτέλης ἀπέδειξεν. ἕτοιμα δ᾽ ἤδη παραλαβόντες, οὐκ ἐφιλονείκησαν οἱ περὶ τὸν Χρύσιππον, ἀλλ᾽ ἐκ τούτων, τὰ σύμπαντα κεκρᾶσθαι λέγουσι, καὶ ταῦτ᾽ εἰς ἄλληλα πάσχειν καὶ δρᾶν, καὶ τεχνικὴν εἶναι τὴν φύσιν. ἅπαντά τε τἆλλα τὰ περὶ φύσεως Ἱπποκράτους δόγματα, προσίενται, πλὴν περὶ μικροῦ τινός ἐστιν αὐτοῖς ἡ διαφορὰ πρὸς Ἀριστοτέλην. λέγοντος γὰρ Ἱπποκράτους ὀρθῶς, ὡς σύμπνουν καὶ σύρρουν ἐστὶν ἅπαν τὸ σῶμα, καὶ πάντα συμπαθέα τὰ τῶν ζώων μόρια, προσίενται μὲν ἀμφότεροι τουτί. διαφέρονται δὲ ἐν τῷ τὰς μὲν ποιότητας μόνας, τὸν Ἀριστοτέλην δι᾽ ἀλλήλων ἰέναι καὶ κεράννυσθαι πάντη, τοὺς δ᾽ ἀπὸ τῆς στοᾶς, οὐ ταύτας μόνας, ἀλλὰ καὶ τὰς οὐσίας αὐτὰς ὑπολαμβάνειν. ὅτι δὲ τοῦτο διορίζεσθαι

ρίζεσθαι περὶ τῶν ἰατρῶν, καὶ ὡς ἀρκεῖ μόνον ὁμολογηθὲν εἰς τὰ τῆς ἰατρικῆς ἔργα τὰ πρὸς ἀμφοτέρων ἀποδεικνύμενα, καὶ ὡς αἱ ποιότητές τε καὶ αἱ δυνάμεις ἐν τοῖς κεραννυμένοις, ὅλαι δι᾽ ὅλων ἀναμίγνυνται, δέδεικταί μοι πρόσθεν ἤδη, καὶ νῦν ἔτι δεήσει, δειχθήσεται. ὥστε καὶ κατὰ Πλάτωνα, καὶ κατὰ τοὺς ἐκ τοῦ περιπάτου, καὶ κατὰ τοὺς ἐκ τῆς στοᾶς, ἡ Ἱπποκράτους νικᾷ φυσιολογία. καὶ πολὺ δὴ μᾶλλον ἐκ τῆς φυσιολογίας, ἅπαντες ἐπιδεικνύουσιν οἱ προειρημένοι φιλόσοφοι, μὴ δύνασθαί τινα καλῶς ἰάσασθαι τὰ νοσήματα, πρὶν ὅλου τοῦ σώματος ἐπισκέψασθαι τὴν φύσιν. ἆρ᾽ οὖν ἐνίκησεν ἂν ἐν τούτοις τοῖς φιλοσόφοις ὁ Θεσσαλὸς, ἀγωνιζόμενος ὑπὲρ τῶν πρωτείων, οἳ τῆς ἑαυτῶν ἁπάσης φυσιολογίας Ἱπποκράτην προυστήσαντο; τί δὲ, εἰ τοῖς γεωμέτραις, ἢ τοῖς ἀστρονόμοις, ἢ τοῖς μουσικοῖς, ἢ τοῖς ῥήτορσιν ἐπιτρέψειε τὴν κρίσιν; ἆρ᾽ οἰόμεθα καὶ τούτους Ἱπποκράτην παρελθόντας, ἕτερόν τινα στεφανώσειν; ἐγὼ μὲν οὔτ᾽ ἄλλον τινὰ πέπεισμαι τὰ πρωτεῖα λήψεσθαι, καὶ πάντων ἥκιστα τὸν ἰταμώτατον Θεσσαλόν. οὐδεὶς γὰρ οὕτως ἠτίμησεν οὐ γεωμετρίαν, οὐκ ἀστρονομίαν, οὐ μουσικὴν, οὐ ῥητορικὴν, ὡς ἐκεῖνος. ὥστε ταύτῃ γ᾽ ἐν ἐχθρῶν θεάτρῳ γένοιτ᾽ ἂν ὁ ἀγὼν αὐτῷ. ἀλλ᾽ ἴσως τούτους μὲν οὐκ ἂν εἰς τὸ θέατρον ἐκάθισεν, οὕς γε αὐτὸς φθάνων ἐχθροὺς ἐποιήσατο. μόνοις δὲ τοῖς ἐν διαλεκτικῇ γυμνασθεῖσι φιλοσόφοις, ὡς ἂν ἀληθῶν τε καὶ ψευδῶν λόγων τὸ κριτήριον ἠσκηκόσιν, ἐπιτρέψει τὴν κρίσιν. ἀλλ᾽ ἐὰν τοὺς περὶ Πλάτωνα, καὶ Ἀριστοτέλη, καὶ Χρύσιππον ὡς ἀγυμνάστους ἐν τῷδε παρέλθωμεν, οὐχ εὑρήσομεν ἑτέρους. εἰ τοίνυν οὔτε τοὺς ἀπὸ τῶν ἄλλων τεχνῶν ὑπομένει δικαστὰς ὁ Θεσσαλὸς, οὔθ᾽ οἱ διαλεκτικώτατοι τῶν φιλοσόφων οἴσουσιν αὐτῷ τὴν ψῆφον, ὑπὸ τίνων ἔτι κριθήσεται νικᾶν; τίνες πληρώσουσιν αὐτῷ τὸ θέατρον; τίνες ἀναγορεύσουσι; τίνες στεφανώσουσιν; αὐτὸς ἑαυτὸν δηλονότι. ὥσπερ γὰρ ἐν ταῖς ἑαυτοῦ βίβλοις, ταῖς θαυμασταῖς, ἐποίησεν αὐτὸς, ἑαυτὸν καὶ κρίνας, καὶ στεφανώσας, καὶ ἀναγορεύσας. ἀλλ᾽ ἴσως ὑπενόησε τοῦτ᾽ αὐτῷ τιμὴν γενήσεσθαι, καὶ μνήμης ἀφορμὴν, εἰ λοιδορησάμενος τοῖς ἀρίστοις ἀνδράσιν, ἀναγκάσειεν ἡμᾶς ἀντιλέγειν αὐτῷ. ἀλλ᾽ οὕτω γε καὶ Ζωΐλος ἔνδοξος τὴν Ὁμήρου μαστίζων εἰκόνα, καὶ Σαλμωνεὺς τὸν Δία μιμούμενος, καὶ ἄλλο πλῆθος οὐκ ὀλίγον ἐπιτρίπτων ἀνθρώπων, ἢ τοὺς βελτίονας οὐκ αἰδουμένων, ἢ καὶ τοῖς θεοῖς αὐτοῖς λοιδορουμένων. ἀλλ᾽ οὐκ ἀγαθὴν οὗτοί γε δόξαν ὑπελίποντο σφῶν αὐτῶν, οὐδὲ ζηλοῖ νοῦν ἔχων ἀνὴρ οὐδεὶς, οὔτε τὸν † Ὁμήρου μάστιγα Ζωΐλον, οὔτε τὸν παραπλῆγα Σαλμωνέα, καί τοι τοῖς μὲν φιλολοιδόροις ζηλωτὸς ὁ Ζωΐλος, τοῖς δ᾽ ἱεροσύλοις ὁ Σαλμωνεύς. ἀλλὰ τί τοῦτο; καὶ γὰρ οἱ βαλαντιοτόμοι τὰ τῶν βαλαντιοτόμων ζηλοῦσι, καὶ οἱ προδόται τὰ τῶν προδοτῶν. καὶ οὐδείς ἐστιν ἁπλῶς ἄνθρωπος, ὃς οὐκ ἂν σχοίη χορὸν οἰκεῖον, ἐν ᾧ στεφθήσεται. καὶ εἴπερ ἔγραψε Θεσσαλὸς, ὡς ἐν μαγείροις καὶ βαφεῦσι, καὶ ἐριουργοῖς, καὶ σκυτοτόμοις, καὶ ὑφάνταις τε καὶ κναφεῦσιν ἀγωνιζόμενος, ἀποίσεται τὴν νίκην καὶ καθ᾽ Ἱπποκράτους, καὶ οὐδεὶς ἂν ἡμῶν ἀντείπῃ. ἐπεὶ δὲ πάντας ἀνθρώπους καθίζει δικαστὰς, ἐκ τῶν πάντων δ᾽ ἐστὶ δήπου καὶ Πλάτων, καὶ Ἀριστοτέλης, καὶ Θεόφραστος, καὶ Χρύσιππος, οὐκ ἂν ἔτι πάσας μόνος ἀποστρέφοιτο τὰς ψήφους, ἀλλ᾽ ἴσως ἐνέσται δίκην ἐφέσιμον ἀγωνίσασθαί τινι. κἂν γὰρ Ἱπποκράτης καταφρονήσῃ, μικρότερον ἑαυτοῦ νομίσας ἀγωνίσασθαι πρὸς Θεσσαλὸν, ἀλλ᾽ ἴσως Ἐρασίστρατος οὐ καταφρονήσει, καὶ πολύ γε μᾶλλον Ἡρόφιλος, καὶ τούτων ἔτι μᾶλλον Ἀσκληπιάδης, ἄλλοι τε πολλοὶ τῶν νεωτέρων ἰατρῶν, ἔχοντές τι φύσει φιλόνεικον, οὐ καταφρονήσουσι τῆς ὕβρεως, ἣν εἰς ἅπαντας ἅμα τοὺς Ἕλληνας ὑβρίζει Θεσσαλὸς, ἀλλ᾽ εἰς τὸ μέτριόν τε προάξουσιν, ἐπιδείξουσί τε τοῖς Ἕλλησιν ἁπάσας αὐτοῦ τὰς βίβλους, ἀμαθίας ἐσχάτης μεστὰς, ὃς τοσαῦτά τε καὶ τηλικαῦτα γράψας βιβλία, καὶ τοσαύτας ληρήσας ἐπῶν χιλιάδας, ἀπόδειξιν οὐδεμίαν οὐδαμόθι τῶν ἑαυτοῦ συγγραμμάτων ἐπεχείρησεν εἰπεῖν, ἀλλ᾽ ὡς τύραννος κελεύει δύο μόνα εἶναι τὰ πάντα κατὰ δίαιταν νοσήματα, ῥοῶδές τε καὶ στεγνὸν, οὐκ εἰδὼς ὅτι διαφοράν τινα νοσημάτων εἴρηκεν, ἐγνωσμένην μὲν καὶ τοῖς ἔμπροσθεν ἰατροῖς, ὡς ἐπιδείξομεν, ἀλλ᾽ οὐδεὶς ἦν οὕτως ἀπαίδευτος, ὡς τὰς διαφορὰς τῶν νοσημάτων αὐτὰ νομίζειν εἶναι τὰ νοσήματα, καὶ τῆς θεραπείας τὴν ἔνδειξιν ἀπ᾽ ἐκείνων λαμβάνειν, ὑπερβὰς τὴν οὐσίαν. ἀλλὰ ὥσπερ τὸ σφάλμα τοῦ Θεσσαλοῦ, σμικρὸν μὲν, ὦ Ζεῦ καὶ θεοὶ, σμικρότατον, ὃ καὶ παιδάριον ἐν ἐλευθέροις μαθήμασι τετραμμένον, εὐθέως γνωρίσειεν. ὅμως δ᾽ οὖν ὥσπερ τὸ σφάλμα τὸ σμικρὸν, εἰς τοσοῦτον ἐπῆρεν αὐθαδείας αὐτὸν, ὥστε νομίζειν εὑρηκέναι τι μέγα καὶ σεμνόν. ὁμοίως ὡς εἰ καί τις εἰπὼν, πᾶν ζῶον ἢ λογικὸν ὑπάρχειν ἢ ἄλογον, ἄλλο τι νομίζει καὶ μὴ διαφορὰς εἰρηκέναι ζώων. ὡσαύτως οὖν τούτῳ, κἀκείνου ῥηθέντος, ἅπαν ζῶον ἢ θνητόν ἐστιν, ἢ ἀθάνατον. ἡ γὰρ ἐν ἑκάστῃ τῶν διαφορῶν ἀντίθεσις, ὅλη κατὰ πάντων λέγεται τῶν εἰδῶν. ἅπαν οὖν ζῶον, ἢ ἄγριόν ἐστιν, ἢ ἥμερον. ἅπαν οὖν ζῶον, ἢ ὑπόπουν ἐστὶν, ἢ ἄπουν. ἅπαν οὖν ζῶον, ἢ κερασφόρον ἐστὶν, ἢ ἄκερον. καὶ οὐδ᾽ ἔν γε τὴν μίαν ἑτέραν ἑτέρας ἑτέραν ἀντίθεσιν, ἐν ταῖς διαφοραῖς ἐστιν εὑρεῖν, οὐδὲ μᾶλλον ὑπάρχουσαν ἅπασι τοῖς κατὰ μέρος. ἀλλ᾽ οὐ χρὴ περὶ ζώων ἐρωτηθέντας ὁπόσα τὰ πάντα ἐστὶν, ἀποκρίνασθαι μίαν ἀντίθεσιν διαφορῶν. οὕτω μὲν γὰρ ἔσται δύο τὰ πάντα, καὶ οὐδὲν μᾶλλον ἢ λογικὸν καὶ ἄλογον, ἢ θνητὸν καὶ ἀθάνατον, ἢ ἄγριον καὶ ἥμερον, ἢ τῶν ἄλλων τις ἀντιθέσεων. εἰ δὲ τὰς διαφορὰς ἐάσας τις, ὡς οὖν ἐστι δίκαιον ἵππον ἀπεκρίνατο, καὶ βοῦν, καὶ κύνα, καὶ ἄνθρωπον, ἀετόν τε καὶ μέλιτταν, καὶ μύρμηκα, καὶ λέοντα, καὶ πρόβατον, ἅπαντά τε τἆλλα κατ᾽ εἶδος ἐπέλθοι ζῶα, δῆλον ὡς οὗτος ὀρθῶς ἀποκεκριμένος ἐστὶ τῷ πυνθανομένῳ ὁπόσα τὰ πάντ᾽ ἐστὶ ζῶα. κἂν εἰ πολλὰ μὲν διέλθοι τῷ λόγῳ ζῶα, πάντα δ᾽ ἐξαριθμήσασθαι μὴ δυνατὸν εἶναι λέγοι, καὶ οὕτως ἂν εἴη δεόντως ἀποκεκριμένος. ὁμοίας οὖν οὔσης τῆς ζητήσεως περὶ τοῦ τῶν νοσημάτων ἀριθμοῦ, παρὰ πᾶσι τοῖς παλαιοῖς ἰατροῖς, καὶ τῶν μὲν εἰπόντων ἑπτὰ τὰ πάνθ᾽ ὑπάρχειν αὐτὰ, τῶν δ᾽ ἐλάττω τούτων ἢ πλείω, πάντων δ᾽ οὖν εἰς τὰ κατὰ τὴν οὐσίαν εἴδη βλεπόντων, οὐκ εἰς τὰ κατὰ τὴν διαφοράν. οὐδεὶς γὰρ ἦν οὕτως ἀπαίδευτος οὐδ᾽ ἀμαθὴς λογικῆς θεωρίας, ὡς διαφορὰν εἰδῶν εἰπεῖν ἀντ᾽ οὐσίας. ὁ δ᾽ ἐκ τῆς γυναικωνίτιδος ἐκπηδήσας Θεσσαλὸς, ἐπιτιμᾷ τηλικούτοις ἀνδράσιν, οὐ γένος ἔχων εἰπεῖν, οὐκ ἀνατροφὴν, οὐ παιδείαν, οἵαν ἐκείνων ἕκαστος, ὁ μὲν, Ἀριστοτέλους, ὁ δὲ, Πλάτωνος, ὁ δὲ, Θεοφράστου γνώριμος ὁμιλητὴς, ἢ τινὸς ἄλλου τῶν ἐν τῇ λογικῇ θεωρίᾳ γεγυμνασμένων ἀνδρῶν. ὡς οὖν εἴ τις ἐρωτηθεὶς ὁπόσα τῆς φωνῆς τὰ

† ὁμηρομάστιγα

πάντ' ἐστὶ στοιχεῖα, δύο φύσεις ὑπάρχειν. ἤτοι γὰρ φωνῆεν εἶναι φύσει πάντως, ἢ σύμφωνον, ὅ, τι περ ἂν ᾖ στοιχεῖον φωνῆς, ἀληθὲς μὲν εἴρηκεν, οὐ μὴν πρός γε τὴν ἐρώτησιν ἀπεκρίνατο. κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, ὅστις ἂν ὁπόσα τὰ πάντ' ἐστὶ νοσήματα διελέσθαι βουληθεὶς, ὑπερβῇ μὲν εἶδος τι λέγειν νοσήματος, οἷον ἤτοι φλεγμονὴν, ἢ σκίῤῥον, ἢ οἴδημα, διαφορὰς δ' εἴπῃ μόνας, εἴτ' οὖν στεγνὸν καὶ ῥοῶδες, εἴτ' ἀραιὸν καὶ πυκνὸν, εἴτε σκληρὸν καὶ μαλακὸν εἴτε συντεταμένον καὶ κεχαλασμένον, ἀληθὲς μὲν εἴρηκεν, οὐ μὴν πρός γε τὴν ἐρώτησιν ἀπεκρίνατο. πρῶτον μὲν γὰρ οὐδὲ πᾶσα διαφορὰ προστιθεμένη τῷ γένει, συντελεῖ τι πρὸς τὴν τοῦ εἴδους γένεσιν, ἀλλ' ἥτις ἂν ἐκ τῆς τοῦ γένους οἰκείας ᾖ διαιρέσεως. αὗται γάρ εἰσιν εἰδοποιοὶ μόναι τῶν διαφορῶν. αἱ δ' ἄλλαι πᾶσαι, περιτταί. ζώου μὲν γὰρ οἰκεῖαι διαφοραὶ, τὸ θνητὸν καὶ ἀθάνατον, ἄλογόν τε καὶ λογικὸν, ἥμερόν τε καὶ ἄγριον, ὅσα τ' ἄλλα τοιαῦτα. μαλακὸν δὲ καὶ σκληρὸν, καὶ βαρὺ καὶ κοῦφον, καὶ ἀραιὸν καὶ πυκνὸν, καὶ μέγα, καὶ μικρὸν, οὐ ζώου, ἀλλ' οὐσίας εἰσὶ διαφοραί. καὶ τοίνυν εἰ μὲν προστεθείη τῷ ζώῳ τὸ μαλακὸν, καὶ τὸ σκληρὸν, ἢ τὸ πυκνὸν, ἢ τὸ ἀραιὸν, ἢ τὸ μικρὸν, ἢ τὸ μέγα πλέον οὐδὲν εἰς εἴδους γένεσιν συντελέσει. εἰ δ' ἤτοι λογικὸν καὶ ἀθάνατον, ἢ λογικὸν καὶ θνητὸν, εἴη ἂν τὸ μὲν, εἴδει θεὸς, τὸ δὲ, ἄνθρωπος. οὕτω δὲ κἂν εἰ προσθείης τῷ λογικῷ ζώῳ διττὰς οἰκείας διαφορὰς τὸ πεζὸν καὶ τὸ δίπουν, εἶδος ἐργάσῃ τι, καὶ οὕτως τὸν ἄνθρωπον. ὅθεν ἀδύνατόν ἐστιν οὐδενὸς τῶν ὄντων εἰδοποιοὺς εὑρεῖν διαφορὰς, ἄνευ τοῦ τὸν ὁρισμὸν, ἢ τὸν λόγον τῆς οὐσίας ἀκριβῶς αὐτοῦ περιγράψασθαι. δεύτερον δ' ἐπὶ τούτῳ σφάλμα τοῖς ἀγυμνάστοις περὶ λόγον, ἐπειδὰν ἐξευρήσουσι μίαν τινὰ διαφορᾶς ἀντίθεσιν, εὐθύς τι τοῦ προβεβλημένου γένους ὑπολαμβάνειν εὑρηκέναι, ὥσπερ ὀλίγον ἔμπροσθεν ὑπὲρ τῶν τῆς φωνῆς στοιχείων ἐλέγετο. φωνῆεν γάρ τις εἰπὼν καὶ σύμφωνον, οὔπω τὰ πάντα στοιχεῖα τῆς ἀνθρώπου φωνῆς εἴρηκεν, ἀλλὰ δύο τὰς πρώτας γενικὰς διαφοράς. εἰ δὲ τὰ μὲν φωνήεντα τέμνων αὖθις εἰς μακρὰ, καὶ βραχέα, καὶ δίχρονα, τὰ σύμφωνα δ' εἰς ἡμίφωνά τε καὶ ἄφωνα, καὶ αὖθις, τὰ μὲν μακρὰ, διχῆ, καθάπερ οὖν καὶ τὰ βραχέα. τὰ δ' αὖ δίχρονα, τριχῆ. καὶ δὴ καὶ τὰ ἄφωνα, πρῶτον μὲν εἰς δασέα, καὶ ψιλὰ, καὶ μέσα. καὶ τούτων ἕκαστον αὖθις τριχῆ, τὰ δ' ἡμίφωνα πάλιν, εἰ καὶ ταῦτα κατὰ τὴν οἰκείαν τέμνοις τομὴν, ἵνα μὴ μακρολογῶ περιττῶς, οὕτως ἂν ἐξεύροις τὰ τέτταρα καὶ εἴκοσι στοιχεῖα τῆς φωνῆς, οἷς χρώμεθα. τὸ μὲν γὰρ εἰπεῖν αὐτὸ τοῦτο μόνον, ὡς ἔστι τῶν στοιχείων τῆς φωνῆς, τὰ μὲν, φωνήεντα, τὰ δὲ, σύμφωνα, τεχνικὸν οὔπω ποιεῖ τὸν ἀκροατὴν, οὐδ' ἀκριβῶς ἐπιστήμονα, συμπάντων τῶν στοιχείων. ἀλλ' ἐὰν διελόμενος εἰς βραχέα, καὶ μακρὰ, καὶ δίχρονα, βραχέα μὲν εἶναι φῇ, δύο, τό, τε ε, καὶ τὸ ο. μακρὰ δ' ὁμοίως, δύο, τό, τε η, καὶ τὸ ω. δίχρονα δὲ τρία, τό, τε ἄλφα, καὶ τὸ ι, καὶ τὸ υ, τεχνικὸν οὕτω ποιήσει τὸν ἀκούσαντα περὶ τῶν φωνηέντων ἁπάντων. ὡσαύτως δὲ καὶ περὶ τῶν συμφώνων κατὰ τὸν αὐτὸν τρόπον. οὕτως οὖν καὶ ὅστις ἐπιχειρεῖ λέγειν ὑπὲρ τοῦ τῶν νοσημάτων ἀριθμοῦ πόσα τὰ σύμπαντ' ἐστὶν, οὐ χρὴ τοῦτον ἐν τῇ πρώτῃ καταμεῖναι διαφορᾷ, τέμνοντα δ' αὐτὴν ἐπεξιέναι, μέχρι περ ἂν ἐπί τι τῶν ἐσχάτων εἰδῶν ἀφίκηται, τῶν μηκέτι τμηθῆναι δυναμένων εἰς ἕτερον εἶδος. ὅτι δ' οὐ τοῦ τυχόντος ἐστὶ τοῦτο ποιεῖν, ἀλλ' ἀνθρώπου γεγυμνασμένου μεγάλως ἐν τῇ διαιρετικῇ μεθόδῳ, μαθεῖν ἔνεστι τῷ βουλομένῳ, πρῶτον μὲν ἅπαντα ἀναγνόντι κατὰ τὴν ἀρχὴν τοῦ φιλήβου πλάτωνι γεγραμμένα περὶ τῆς τοιαύτης μεθόδου, μετὰ ταῦτα δὲ τόν τε σοφιστὴν ἀναλεξαμένῳ, καὶ τὸν πολιτικόν. ἔτι δὲ μᾶλλον αὐτῷ χαλεπώτερον φανεῖται τὸ γράμμα τὸ πρῶτον περὶ μορίων ζώων ἀριστοτέλους ἀναγνόντι. πειρᾶται μὲν γὰρ ἐν ἐκείνῳ, τὰς διαφορὰς ἁπάσας ἐξαριθμήσασθαι τῶν ζώων. ἀπορίας τε παμπόλλας κινήσας, μόγις ὑπόπτως τε καὶ δειλῶς ἀποφαίνεσθαί τι τολμᾷ. εἶτ' ἀριστοτέλους τε καὶ πλάτωνος οὕτω μέγα καὶ χαλεπὸν εἶναι νομιζόντων εἰς τὰς οἰκείας διαφορὰς ἀκριβῶς τὰ γένη τέμνειν. καὶ μετ' αὐτοὺς, θεοφράστου τε καὶ τῶν ἄλλων φιλοσόφων ἐξεργάζεσθαι πειρωμένων τὸν τρόπον, ὡς οὔπω κατωρθωμένον οὐδὲ παρ' ἐκείνοις, ὁ τολμηρότατος θεσσαλὸς ἁπλῶς ἀποφηνάμενος, ἀξιοῖ πιστεύεσθαι δύο τὰ πάντ' εἶναι κατὰ δίαιταν νοσήματα. τὰ γοῦν ἁπλᾶ καὶ πρῶτα καὶ οἷον στοιχεῖα. τρίτον γὰρ ἐξ αὐτῶν ἄλλο γεννᾶται τῷ λόγῳ σύνθετον, ἐπιπεπλεγμένον ἐξ ἀμφοῖν. ἀλλ' εἴπερ μεθόδῳ τινὶ ταῦτ' ἐξεῦρες, ὥσπερ οὖν ἀλαζονεύῃ, τί οὐχὶ καὶ ἡμῖν ἔφρασας αὐτήν; ἀλλὰ πᾶν τοὐναντίον, ἢ κατὰ τοὔνομα τὸ σεμνὸν ᾧ προσαγορεύεις σαυτὸν ἀμεθοδώτατά τε καὶ προπετέστατα, τὴν ἀπόφασιν ἐποιήσω. μὴ δ' ὅτι μὴ δὲ τῆς ἀρχῆς αὐτῆς ἐφαψάμενος, ἀφ' ἧς ἀναγκαῖόν ἐστιν ἄρξασθαι τὸν μέλλοντα καλῶς οὑτινοσοῦν πράγματος ἐξευρήσειν εἴδη τε καὶ διαφορὰς οἰκείας. περὶ παντὸς γὰρ ὦ παῖ μία ἀρχὴ ἀρίστη, εἰδέναι περὶ ὅτου ἡ ζήτησις ἢ πάντα ἁμαρτάνειν ἀνάγκη, πλάτων πού φησιν. οὐκ εἰς τὸ διαιρεῖν μόνον ὁτιοῦν ἀξιῶν ἡμᾶς ἀπ' αὐτῆς ἄρχεσθαι τοῦ ζητουμένου τῆς οὐσίας, ἀλλ' εἰς ἅπαν ἀεὶ χρῆσθαι σκέμμα τῷ τοιούτῳ τρόπῳ τῆς ἀρχῆς. ἐχρῆν μὲν οὖν κἀνταῦθα τί ποτ' ἐστὶ νόσημα καὶ τί σύμπτωμα καὶ τί πάθος ἀκριβῶς εἰπόντα, καὶ διορισάμενον ὅπῃ ταυτόν ἐστιν ἕκαστον τῶν εἰρημένων, καὶ ὅπῃ μὴ ταυτὸν, οὕτως ἤδη πειρᾶσθαι τέμνειν εἰς τὰς οἰκείας διαφορὰς αὐτὰ, καθ' ἣν ἐδίδαξαν ἡμᾶς οἱ φιλόσοφοι μέθοδον, ἢ εἴπερ ἑτέραν τινὰ βελτίω τῆς παρ' ἐκείνων γεγραμμένης ἐξεῦρεν, αὐτὸ τοῦτο πρότερον ἀγωνίσασθαι, καὶ δεῖξαι, καὶ διδάξαι τοὺς ἕλληνας, ὡς ὁ παρὰ τοῖς ἱστοῖς τραφεὶς ὑπερεβάλετο μὲν ἀριστοτέλη καὶ πλάτωνα μεθόδοις λογικαῖς. κατεπάτησε δὲ θεόφραστόν τε καὶ τοὺς στωϊκοὺς ἐν διαλεκτικῇ. φανερῶς δ' ἐξήλεγξε τοὺς ἑταίρους αὐτῶν ἅπαντας, οὐδὲ τίνα ποτ' ἐστὶ τὰ πρῶτα νοσήματα γινώσκοντας τὸν ἡρόφιλον ἐκεῖνον τὸν διαλεκτικὸν, καὶ τὸν συμφοιτητὴν αὐτοῦ φιλότιμον, καὶ τὸν διδάσκαλον αὐτοῦ πραξαγόραν τὸν ἀπ' ἀσκληπιοῦ, καὶ σὺν τούτοις τε καὶ πρὸ τούτων, ἐρασίστρατον, διοκλέα, μνησίθεον, διεύχη, φιλιστίωνα, πλειστόνικον, αὐτὸν ἱπποκράτην. τὸ δ' ἁπλῶς ἀποφήνασθαι, δύο εἶναι τὰ πάντα πάθη κατὰ δίαιταν, οὐ μέθοδον, οὐκ ἀπόδειξιν, οὐ πιθανὴν πίστιν, οὐ παραμυθίαν, οὐδ' ὅλως οὐδὲν ἄλλο προσθέντα, πλὴν εἰς τοὺς παλαιοὺς βλασφημήσαντα, προστάττοντός ἐστιν ἔργον, οὐ διδάσκοντος. ἕως σιωπᾷς; ἐκ ποίας εὗρες αὐτὰ μεθόδου λογικῆς; ἀλλά τοι κἂν κριτήριόν γέ τι τῶν λόγων τῆς ἀληθείας ἐχρῆν σε παρασχέσθαι. τοῦ μὲν γὰρ εὑρεῖν τὸ ζητούμενον, αἱ λογικαὶ μέθοδοι τὴν δύναμιν

ἔχουσι

ἔχουσι τοῦ δὲ πιστώσασθαι τὰ καλῶς εὑρημένα, δύο ἐστὶν ἅπασιν ἀνθρώποις κριτήρια, λόγος, καὶ πεῖρα. πρὸς γοῦν τὸν ἐρωτήσαντα διατί τῷ δεῖνι τινι τῷ πυρέττοντι συνεχώρησας ὕδατος πιεῖν ψυχροῦ, δύο εἰσὶν ἀποκρίσεις. ἡ μὲν ἑτέρα, γένεσίν τε καὶ φύσιν ἐκδιδάσκουσα πυρετοῦ, καὶ περὶ τοῦ τῶν νόσων καιροῦ διεξιοῦσα, καὶ κατὰ τὸν αὐτὸν τρόπον ὕδατος ψυχροῦ φύσιν ἐξηγουμένη. κἄπειδὰν ταῦτα διεξέλθῃ πειρωμένη διδάσκειν, ὡς τῷ τοιῷδε νοσήματι, κατὰ τὸν τοιόνδε καιρόν, εὔλογόν ἐστιν ἴαμα γενέσθαι τὸ ὕδωρ τὸ ψυχρόν. ἡ δ' ἑτέρα τῶν ἀποκρίσεων, οὐδενὸς τούτων τῆς φύσεως ἐφαψαμένη, καταφεύγει πρὸς τὴν πεῖραν, ἐν τοιῷδε νοσήματι καὶ καιρῷ, τὸ ψυχρὸν ὕδωρ ἑωρᾶσθαι φάσκουσα πολλάκις ὠφελεῖν. ἐχρῆν οὖν οἶμαι καὶ τὸν Θεσσαλὸν ἤτοι πεῖραν ἢ λόγον ἐφ' οἷς ἀποφαίνεται, κριτήριον ἐπάγειν, οὐχ ὡς τύραννον ἡμῖν ἐπιτάττειν, ἀξιοῦντα πιστεύεσθαι χωρὶς ἀποδείξεως. καὶ τίνα φασὶν ἀκούειν ἀπόδειξιν ἀξιοῖς; οὕτω γὰρ ἀντερωτῶσιν ἡμᾶς οἱ ἀπ' αὐτοῦ. καὶ δικαίως γε τοῦτο ποιοῦσιν, οὐδ' εἰς ἔννοιάν ποτε παρελθόντες ἀποδείξεως. ὡς ἂν οὔτε γεωμετρίας, οὔτ' ἀριθμητικῆς, οὔτε διαλεκτικῆς, οὔτε ἀναλυτικῆς, οὐθ' ὅλως λογικῆς τινος ἁψάμενοι θεωρίας. ἀποκριτέον οὖν αὐτοῖς ὡς ὀψὲ πάνυ μανθάνειν ἐφίεσθαι, τί ποτ' ἐστὶν ἀπόδειξις. καὶ ὡς οὐκ ἐνδέχεται χρόνῳ βραχεῖ λεπτῆς γνώμης δεομένης, παρακολουθῆσαι θεωρίᾳ, μήτ' ἠσκημένους ἀκούειν ἀκριβῶν λόγων, ἐν διαστροφῇ τε πολυχρονίῳ γεγονότας. ἐκείνους μὲν οὖν ἀποπέμψωμεν, ὡς μὴ δὲ συνιέναι δυναμένους ἀληθῶν μαθημάτων, μήτι γε δὴ μαθεῖν ἢ κρῖναι καλῶς. ἡμεῖς μετὰ τῶν ἠσκημένων τε ἅμα καὶ παρακολουθεῖν ἀποδείξει καὶ φύσει συνετῶν, οὐ γὰρ δὴ ὄνους Θεσσαλείους ἐπαγγελλόμεθα διδάσκειν, ἐπὶ τὸ προκείμενον ἐξ ἀρχῆς ἴωμεν. εὐθὺς ἅμα τῇ διδασκαλίᾳ τῆς θεραπευτικῆς μεθόδου, καὶ ὧν ἐσφάλησαν οἱ πλεῖστοι τῶν ἰατρῶν ἐπιχειρησάντων ἐξευρεῖν αὐτὴν ἐξηγούμενοι τὰς αἰτίας. εἰς γάρ τοι τὴν βεβαιοτέραν πίστιν τῶν ἀληθῶν, οὐδὲ τοῦτο σμικρὸν φαίνεται συντελεῖν. πρῶτον μὲν οὖν εὐλαβηθῶμεν ἀμφοῖν ἅμα μεμνῆσθαι μεθόδου τε λογικῆς, καὶ πείρας ἀλόγου. πρόκειται γὰρ οὐ περὶ πάσης εὑρέσεως ἰαμάτων εἰπεῖν νῦν, ἀλλὰ μόνης τῆς κατὰ μέθοδον, ὥσπερ καὶ περί γε τῆς ἐμπειρικῆς, ἡμῖν τε δι' ἑτέρου γράμματος εἴρηται, καὶ αὐτοῖς ἐμπειρικοῖς καλουμένοις ἰατροῖς ἐπὶ πλεῖστον ἐξείργασται. καὶ οὕτως ἂν εὐξαίμην καὶ τοὺς λογικοὺς ἅπαντας ἰατροὺς ἔχεσθαι τοῦ προκειμένου. καὶ μὴ συγχεῖν, μὴ δὲ ταράττειν, μὴ δὲ συνάγειν εἰς ταὐτὸ ἀναλογισμόν τε καὶ πεῖραν, ἀλλ' ἑκάτερον ἰδίᾳ μεταχειρίζεσθαι, καὶ σκοπεῖσθαι τίνα δύναμιν ἔχει, καὶ πόσον εἰς τὸ τέλος τῆς τέχνης συνεργεῖ. τὸ τοίνυν μεθόδῳ τι ζητεῖν ἐξευρεῖν, ἀντίκειται μὲν τῷ κατὰ τύχην τε καὶ αὐτομάτως. ἔστι δὲ τὸ τοιοῦτον μετά τινος ὁδοῦ καὶ τάξεως. ὡς εἶναί τι πρῶτον ἐν τῇ ζητήσει, καὶ δεύτερον, καὶ τρίτον, καὶ τέταρτον, καὶ οὕτως ἐφεξῆς τἄλλα σύμπαντα, μέχρι περ ἂν ἀφίκηταί τις ἐπ' αὐτὸ τὸ προκείμενον ἐξ ἀρχῆς. οἱ μὲν οὖν ἀπὸ τῆς ἐμπειρίας καλῶς ποιοῦντες, ὁμολογοῦσιν ὡς οὔτε τῆς εὑρέσεως, οὔτε τῆς διδασκαλίας ἀναγκαία τάξις ἐστὶ παρ' αὐτοῖς. ἄτεχνον γάρ τι καὶ ἄλογον ἡ πεῖρα, καὶ τύχης ἀγαθῆς δεόμενον, εἰς τὴν τῶν ζητουμένων εὕρεσιν. ὅσοι δὲ λόγον ἡγεμόνα τῆς εὑρέσεως ἐποιήσαντο καὶ τάξιν, ὁδόν τε μίαν τὴν ἐπὶ τὸ τέλος ἄγουσαν ὑπέθεντο, τούτοις ἀναγκαῖον μὲν ἦν ἀπὸ πρώτου τινὸς ἀρξαμένοις ὁμολογουμένου πᾶσιν ἀνθρώποις, οὕτως ἤδη μετιέναι πρὸς τὰ λοιπά. ποιοῦσι γε μὴν οὐχ οὕτως, ἀλλὰ καὶ τὰς ἀρχὰς οἱ πλεῖστοι διαφωνουμένας λαμβάνουσιν, οὐκ ἀποδείξαντες δέ, ἐπὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν τρόπον μετέρχονται. νομοθετοῦντες μᾶλλον, ἢ ἀποδεικνύντες. ἅπαντα δ' αὐτοῖς τὰ τοιαῦτα συμβαίνει, διὰ τὸ μηδὲν ὑπὲρ ἀποδείξεως ἐπεσκέφθαι πρότερον, ἀλλ' ἅμα τε τοῖς ζητουμένοις ἐφίστασθαι, καὶ τολμᾶν χρῆσθαι πρὸς τὴν πίστιν αὐτῶν ἀποδείξεσιν, ὅμοιόν τι ποιοῦσιν ἀνθρώπῳ μετρεῖν ἐπιχειροῦντι σφαῖραν, ἢ κύβον, ἢ κῶνον, ἢ κύλινδρον, ἤ τι τοιοῦτον ἕτερον, οὔτε γεωμετρίας, οὔτε λογιστικῆς ἐπιστήμονι θεωρίας, ἀλλὰ μὴ δὲ πῆχυν ἢ παλαιστήν, ἢ πόδα παρεσκευασμένῳ. κἄπειτα ἀγανακτοῦντι πρὸς τοὺς ἀπόδειξιν ζητοῦντας, ἢ καὶ σιωπᾶν ἀξιοῦντας. ὡς γὰρ κἀκεῖ γελοῖος ὁ φάσκων ὀρθογωνίου, τῆς μὲν ἑτέρας τῶν περὶ τὴν ὀρθὴν γωνίαν πεντέποδος, εἰ οὕτως ἔτυχεν, ὑπαρχούσης, τῆς δ' ἑτέρας, δωδεκάποδος, οὐ τριάκοντα ποδῶν γίγνεσθαι τὸ ἐμβαδόν, ἀλλὰ τετταράκοντα, καὶ τούτων μὴ δὲ μίαν ἀπόδειξιν ἔχων εἰπεῖν. οὕτω κἀνταῦθα γελοῖος ὁ ἀποφαινόμενος μὲν ὁπιοῦν, ἀποδεῖξαι δ' οὐ δυνάμενος. ὡς οὖν ἐπὶ τῆς κατὰ τὸ τρίγωνον ἀποδείξεως, οὐ γὰρ ἀφεκτέον ἡμῖν ἐστι τοῦ παραδείγματος, ἀπεληλακόσιν ἤδη τοῦ λόγου τοὺς ἀπαιδεύτους μεθοδικούς, αὐτὸ μὲν τὸ προκείμενον, ἐκ δυοῖν τούτων ἐπεραίνετο προτάσεων. μιᾶς μὲν τῆς τὸ περιεχόμενον χωρίον, ὑπό τε τῆς πεντάποδος καὶ δωδεκάποδος, ἑξηκοντάπουν γίγνεσθαι. δευτέρας δέ, τῆς ἥμισυ τρίγωνον ἐκείνου τοῦ χωρίου λεγούσης, καὶ δεικνυούσης ὑπάρχειν. ἑκατέρα δὲ πάλιν τούτων ἑτέρων τινῶν εἰς ἀπόδειξιν ἐδεῖτο προτάσεων. εἶτ' ἐκεῖναι πάλιν ἑτέρων, ἄχρι περ ἂν ἐπὶ τὰς πρώτας ἀνέλθωμεν. αἱ δέ, οὐκ ἐξ ἄλλων, οὐδὲ δι' ἀποδείξεως, ἀλλ' ἐξ ἑαυτῶν ἔχουσι τὴν πίστιν. οὕτως οἶμαι κἀπὶ τῶν τὴν ἰατρικὴν τέχνην ἀποδεικνυμένων ἁπάντων εἰς πρώτας τινὰς ἀναποδείκτους προτάσεις, καὶ ἐξ ἑαυτῶν πιστὰς ἀνάγεσθαι χρῆναι πάντας. καὶ εἴπερ οὕτως ἅπαντες ἐπεχείρησαν εἰπεῖν τι περὶ τῆς θεραπευτικῆς μεθόδου, πάντως ἄν που καὶ συνεφώνησαν ἀλλήλοις, ὥσπερ οἱ ἀριθμητικοί τε καὶ γεωμέτραι καὶ οἱ λογιστικοί. μαθεῖν γοῦν ἐστι παρ' ἐκείνων εὐθὺς κατ' ἀρχάς, ὁποῖον μέν τι δηλοῦται πρὸς ἑκάστου τῶν ὀνομάτων, οἷς μέλλουσι χρῆσθαι. τίνας δὲ προτάσεις ἀναποδείκτους παραλήψονται πρὸς τὸν λόγον, ἅσπερ δὴ καὶ ἀξιώματα καλοῦσιν, οἷον ὅτι γραμμὴν μὲν ὀνομάζω μῆκος ἀπλατές. ἐπιφάνειαν δὲ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον. καὶ τρίγωνον μέν, τὸ δεῖ τι. τετράγωνον δέ, τὸ δεῖ τι. καὶ τῶν ἄλλων ὁμοίως ἕκαστον. εἶθ' ὅτι καὶ τοῖς τοιούτοις ἀξιώμασι χρήσοιτο προσλαβών, ὡς τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα. καὶ ἐὰν ἴσοις ἴσα προστεθῇ, τὰ ὅλα ἴσα ἔσται. μετὰ ταῦτ' ἤδη πειρᾶται δεικνύναι τὰ θεωρήματα, μηδὲν τούτων ἔξωθεν ὧν ἐξ ἀρχῆς ὑπέθετο προλαμβάνων. οἱ πολλοὶ δὲ τῶν ἰατρῶν ὡς οἶσθα καὶ αὐτὸς Ἱέρων κράτιστε, πόθεν ἤρξαντο τῆς εὑρέσεως ἣν εὑρηκέναι φασὶν ἐρωτώμενοι, τοσοῦτον ἀποδέουσι τοῦ λέγειν ἀναποδείκτους τε καὶ ἅπασιν ὁμολογουμένας ἀρχάς, ὥστ' οὐδ' ἀποκρίνεσθαι σύμφωνον ἑαυτοῖς οὐδὲν

ἐξευρίσκουσιν. ἀλλ' Εὐρίπου δίκην, ἄνω τε καὶ κάτω μεταβάλλονται, τἀναντία τιθέμενος ἕκαστος ἑαυτῷ, τοῦ λόγου προϊόντος, ὧν ἐξ ἀρχῆς ὑπέθετο. φαινομένας γοῦν εἰπὼν εἶναι τὰς κοινότητας ὁ σοφώτατος Θεσσαλός, ὀλίγον ὕστερον οὐ μόνον οὐδένα τῶν ἔμπροσθεν ἰατρῶν ἰδεῖν αὐτάς φησιν, ἀλλ' οὐδὲ τὸν πρῶτον γεννήσαντα Θεμίσωνα. τούτῳ γὰρ οὖν δὴ μόνῳ παραχωρεῖ, καθάπερ πατρὶ τέκνα γνήσια τὰς τερατώδεις ἐκείνας κοινότητας. εἶθ' οἱ μετ' αὐτὸν ἅπαντες ἀλλήλοις τε καὶ τῷ Θεσσαλῷ διηνέχθησαν. οὔτε τὰς αὐτὰς εἰσηγούμενοι κοινότητας, οὔθ' ὅλως ἀλλήλοις ὁμολογοῦντες, οὐδὲ καθ' ἕν, ὥσπερ σοι καὶ τοῦτο πολλάκις ἀπέδειξα, παρόντων αὐτῶν τῶν μεθοδικῶν. ἴσως δ' ἄν ποτε καὶ γράψαιμι περὶ πολλὴν σχολὴν, ὑπὲρ τῆς διαφωνίας αὐτῶν. ἀλλὰ νῦν γε τοσοῦτον εἰς τὰ προκείμενα προσήκει λαβεῖν, ὡς ἐχρῆν ἀρχηγοὺς αἱρέσεως καθισταμένους αὐτοὺς ἐξηγήσασθαι πρότερον, ἐφ' ὅτου πράγματος ἕκαστον τῶν ὀνομάτων ἐπιφέρουσιν. ὥσπερ οὖν καὶ οἱ ἐμπειρικοὶ ποιοῦσι, φαίνεσθαι μὲν λέγοντες τὰ ταῖς αἰσθήσεσιν ὑποπίπτοντα, γινώσκεσθαι δὲ τὰ μνημονευόμενα. φαίνεσθαι δ' ἅμα καὶ γινώσκεσθαι τὰ καὶ πρότερόν ποτε ταῖς αἰσθήσεσιν ὑποπεσόντα, καὶ νῦν ὁμοίως ὑποπίπτοντα. πότερον οὖν οὕτω καὶ αὐτοὶ φαίνεσθαι λέγουσι τὰς κοινότητας, ὡς αἰσθήσει γνωριζομένας, ἢ καὶ τὰ διὰ λόγου λαμβανόμενα φαινόμενα καλοῦσιν; οἱ μὲν γὰρ ἀπὸ τῆς ἐμπειρίας οὐ πάνυ τι συγχωροῦσιν οὐδὲν τῶν τῷ λόγῳ μόνῳ δοκούντων ἐγνῶσθαι, φαινόμενον ὀνομάζειν. οἱ δ' αὖ παλαιοὶ φιλόσοφοι διττὸν γένος εἶναι φασὶ τῶν φαινομένων. ἓν μὲν, ὅπερ καὶ τοῖς ἐμπειρικοῖς ὁμολογεῖται, τῶν αἰσθήσει τινὶ διαγινωσκομένων, οἷον λευκοῦ καὶ μέλανος, καὶ σκληροῦ καὶ μαλακοῦ, καὶ θερμοῦ καὶ ψυχροῦ, καὶ τῶν ὁμοίων. ἕτερον δὲ τῶν ὑποπιπτόντων νοήσει, κατὰ πρώτην ἐπιβολὴν ἀναπόδεικτον, ὡς τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ὑπάρχειν ἴσα. καὶ ἐὰν ἴσοις ἴσα προστεθῇ, καὶ τὰ ὅλα ἴσα γίγνεσθαι. καὶ ἐὰν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, καὶ τὰ λοιπὰ ἴσα εἶναι. τοῦ τοιούτου γένους εἶναι φασί, καὶ τὸ μηδὲν ἀναιτίως γίγνεσθαι, καὶ πάντ' ἐξ ὄντος τινός. ἐκ δὲ τοῦ μηδόλως ὄντος, οὐδέν. οὕτω δὲ καὶ τὸ φθείρεσθαι μηδὲν, εἰς τὸ τέως οὐκ ὄν. καὶ τὸ, περὶ παντὸς ἀναγκαῖον ἢ καταφάσκειν ἢ ἀποφάσκειν, ἕτερά τε τοιαῦτα πολλά, περὶ ὧν ἐν ταῖς λογικαῖς πραγματείαις ἐπισκέπτονται. καὶ ἡμῖν δὲ εἰς ὅσον οἷόν τε σαφέστατα διὰ τῶν ὑπὲρ ἀποδείξεως ὑπομνημάτων εἴρηται, περὶ τούτων ἐν ταῖς τοιαύταις ἀρχαῖς, ἃς δὴ καὶ λογικὰς ὀνομάζομεν, ἀμφισβητοῦσιν ἔνιοι τῶν φιλοσόφων ἐρίζοντες. ἀλλ' ἐκεῖνοι μὲν ἄχρι γοῦν τούτου σωφρονοῦσιν, ὡς ἀπιστεῖν ἀποδείξει πάσῃ. γινώσκοντες οἶμαι, κἂν μὴ λέγωσιν, ὡς αὐτὸ γοῦν τοῦτο βεβαίως ἐπίστανται τὸ μηδὲν ἀποδειχθῆναι δύνασθαι τῶν λογικῶν ἀρχῶν ἀπιστουμένων. ὅσοι δ' ἄχρι τούτου σκαιοὶ καὶ ἀνόητοι τυγχάνουσιν ὄντες, ὡς μὴ δὲ αὐτῷ τούτῳ παρακολουθεῖν, ἀποδεικνύναι μὲν πειρῶνται. τίνες δέ εἰσι καὶ ποῖαι τῶν ἀποδείξεων ἀρχαί, μήτε γινώσκειν, μήτε ζητεῖν ἐθέλουσι, μήτ' ἄλλου διδάσκοντος ἀκούειν ὑπομένουσιν, ἀλλ' ἁπλῶς ἀποφαίνεσθαι καὶ φθέγγεσθαι ῥήματα, μηδ' ὅ,τι σημαίνει σαφῶς εἰπεῖν δυνάμενοι. εὐλόγως οὖν ἑκατοντὰ βίβλοι πραγματειῶν γράφονται τοῖς ἀπ' αὐτῶν, ἅμα μὲν ζητοῦσι καθ' ὅτου πράγματος ἕκαστον τῶν ὀνομάτων ὁ Θεσσαλὸς ἐπιφέρει, ἅμα δ' οὐχ εὑρίσκουσιν οὐδὲν τοιοῦτον ᾧ συμφωνήσει πάντα τὰ κατὰ μέρος ὑπ' αὐτοῦ λεγόμενα. τίνες γὰρ οὖν αἱ φαινόμεναι κοινότητές εἰσιν, ἢ πῶς φαινόμεναι, λέγειν οὐκ ἔχουσιν, οὐδ' ἂν πολλαπλασίους ἄλλας γράφουσι βίβλους. ἤτοι γὰρ αἰσθήσει πάντως ὑποπίπτειν χρὴ τὸ φαινόμενον, ἢ νοήσει, κατὰ μίαν ἐπιβολὴν ἀθρόως ἑκάτερα χωρὶς ἀποδείξεως. εἰ δ' ἐκπέπτωκεν ἐκ τοῦ κατὰ μίαν προσβολὴν εἰς γνῶσιν ἥκειν, εὐθὺς μὲν τοῦτο καὶ διαπεφώνηται πάντως, καὶ ἀποδείξεως δεῖται, καὶ τέχνην οὐδεμίαν ἀπὸ τοιούτου πράγματος ἄρχεσθαι προσήκει. ταῦτ' οὖν εἰ μὲν ἐγυμνάσαντο κατὰ τὰς λογικὰς μεθόδους, αὐτοί τ' ἂν ᾔδεσαν, ἡμᾶς τε οὐκ ἂν μάτην κατέτριβον τὸν χρόνον. ἐπεὶ δ' ἀγύμναστοι καὶ ἀμαθεῖς ὄντες ἐξ ἀπονοίας ἐτόλμησαν ἀποδείξει χρήσασθαι, πρὶν ὅ,τί ποτ' ἐστὶν ἀπόδειξις μαθεῖν, ἀναγκαῖον ἤδη τοὺς τοιούτους ἅπαντας σφάλλεσθαι καὶ ληρεῖν μακρά. καὶ μὴ δὲ τοῖς ὀρθῶς ἀποδεικνύουσιν ἀκολουθεῖν, ἀλλ' ἀναλίσκειν μάτην τὸν χρόνον. μὴ τοίνυν αὐτοῖς, μὴ δ' ὡς ζώοις λογικοῖς ἔτι διαλεγώμεθα, μὴ δ' ἀντιλέγωμεν μακρά, πρὶν ἂν ἐθελήσωσι μαθεῖν, οἷόν τι πρᾶγμα ἐστὶν ἀπόδειξις, ὅπως τε δεῖ τὸν μέλλοντα καλῶς αὐτῇ χρήσασθαι, γεγυμνάσθαι. καί σοι τὸν ἑξῆς λόγον, ἤδη ἅπαντα ποιήσομαι χρώμενος ταῖς μεθόδοις, ἃς ἐν τοῖς περὶ τῆς ἀποδείξεως ὑπομνήμασι κατεστησάμην. ὅτι τε γὰρ ἀρχαὶ πάσης ἀποδείξεώς εἰσι τὰ πρὸς αἴσθησίν τε καὶ νόησιν ἐναργῶς φαινόμενα, καὶ ὡς ἐπὶ πάντων τῶν ζητουμένων εἰς λόγον χρὴ μεταλαμβάνεσθαι τοὔνομα, δι' ἐκείνων ἀποδέδεικται. νυνὶ δ' ὅπως μὲν ἢ εὑρίσκειν, ἢ ἀποδεικνύναι προσήκει, λέγειν οὐ πρόκειται. τοῖς δ' ἤδη μεμαθηκόσι τε καὶ ἠσκηκόσιν, ἅμα μὲν ἀποδοῦναι τινὰ καρπὸν τῶν πόνων εὐκαιρότατον, ἐξευρόντας οὐ σμικρὸν πρᾶγμα τὸ νῦν ἡμῖν προκείμενον, ἅμα δ' εἴ τινες ἐπιθυμητικοὶ τῆς μεγίστης τέχνης εἰσίν, ἢ περὶ τὴν ψυχὴν τοῦ ἀνθρώπου καταγίνεται, προγυμνάσαι καὶ τούτους εὐλόγους ἐν τοῖς σμικροτέροις. τούτου γὰρ χρὴ μάλιστα κατὰ πάσας τὰς μεθόδους, ἀντέχεσθαι τοῦ γυμνάζεσθαι κατ' αὐτὰς ἐπὶ πολλῶν πολλάκις προβλημάτων μικροτέρων, πρὶν ἐπιχειρεῖν τοῖς μείζοσιν. ἤδ' οὖν ἡμῖν ἀρχὴ τῆς ἀληθοῦς ἔστω διδασκαλίας, ἣν ἂν εὐθὺς ἀπ' ἀρχῆς ἐποιησάμεθα, ζητοῦντές τε τὴν τέχνην αὐτοὶ καὶ ποδηγοῦντες ἑτέρους μηδέ ποτε διεστραμμένους, οὕτως, ὥστ' ἐπεὶ πρόκειται θεραπείας εὑρεῖν ἁπάντων τῶν νοσημάτων, ἀναγκαῖον ἐπίστασθαι πρότερον ὁπόσα τὰ σύμπαντά ἐστιν. ἀλλ' ἐπεὶ μήτε διαφοράς, μήτε εἴδη δυνατὸν ἐξευρεῖν γένους μηδενός, ἄνευ τοῦ βεβαίως αὐτὸ τὸ τεμνόμενον ἐπίστασθαι, χρὴ δή που, καὶ νῦν, ὅ,τι ποτ' ἐστὶ νόσημα τῷ λόγῳ διελθεῖν, ἵν' οὕτως ἐπιχειρήσωμεν ὀρθῶς αὐτοῦ τῇ διαιρέσει. πῶς οὖν ἐξευρήσομεν αὐτὸ ὀρθῶς μεθόδῳ; πῶς δ' ἄλλως, ἢ ὡς ἐν τοῖς περὶ ἀποδείξεως ἐλέγετο; τῆς ἐννοίας πρότερον ὁμολογηθείσης, ἧς χωρὶς οὐχ οἷόν τε ἐστὶν εὑρεθῆναι τὴν οὐσίαν τοῦ προκειμένου πράγματος. αὐτὴν δὲ τὴν ἔννοιαν ὁμολογουμένην ἅπασιν, ἐλέγομεν χρῆναι λαμβάνειν, ἢ οὐδ' ἂν ἀρχὴν δεόντως ὀνομάζεσθαι. τίς οὖν ὑπὸ πάντων ἐστὶν ἀνθρώπων ὁμολογουμένη περὶ τοῦ νοσεῖν ἔννοια; καὶ κατὰ τίνος μάλιστα φέρουσιν ὑποκειμένου πράγματος, τουτὶ τὸ ῥῆμα τὸ νοσεῖν; ἆρ' οὐκ ἐπειδὰν μὲν ἀνεμπόδιστοι ταῖς ἐνεργείαις ἁπάντων

ὦσι

ἐῶσι τῶν τοῦ σώματος μορίων ὑγιαίνειν τε σφᾶς αὐτοὺς τηνικαῦτα φασί, καὶ οὐδὲν οἴονται δεῖσθαι τῶν ἰατρῶν. ἐπειδὰν δὲ τῶν κατὰ φύσιν ἔργων τοῦ σώματος ὁτιοῦν αἰσθάνονταί σφισιν, ἢ κακῶς, ἢ μηδόλως ἔτι γινόμενον, ἡγοῦνταί γε νοσεῖν ἐν ἐκείνῳ τῷ μέρει τοῦ σώματος, οὗ τὴν ἐνέργειαν ὁρῶσι βεβλαμμένην, ἰατρῷ τε συμβούλῳ χρῶνται περὶ τῆς ἰάσεως. ἐγὼ μὲν οὕτως ὁρῶ πάντας ἀνθρώπους, τῷ τε τῆς ὑγείας καὶ τῷ τῆς νόσου χρωμένους ὀνόματι, καὶ τὴν ἔννοιαν ἣν εἶπον ἅπαντας διασῴζοντας, ἐπί τε τούτων αὐτῶν, καὶ ἔτι πρὸς τούτοις οὐδὲν ἧττον, ἐπὶ τῶν παρακειμένων αὐτοῖς ὀνομάτων τε καὶ ῥημάτων ἁπάντων. καὶ γὰρ ὑγιαίνειν ἐκεῖνον ὑπειλήφασιν, ᾧ μηδεμία βέβλαπται μηδενὸς ἐνέργεια μορίου, καὶ νοσεῖν, ᾧ βέβλαπται. καὶ ὑγιαίνων οὗτος ὀνομάζεται παρ᾽ αὐτοῖς, ᾧ πάντα τοῦ σώματος τὰ μόρια κατὰ φύσιν ἐνεργεῖ, καὶ νοσῶν, ᾧ βέβλαπταί τι. καὶ οὐδεὶς ὅλως ἑλλήνων οὔτ᾽ ὠνόμασεν ἄλλως, οὔτ᾽ ἐπ᾽ ἄλλο τι πρᾶγμα φέρει τῶν εἰρημένων ὀνομάτων ἕκαστον, ὡς ἐπὶ πλεῖστον ἐδείξαμεν ἐν τῇ τῶν ἰατρικῶν ὀνομάτων ἐξηγήσει. καὶ αὐτοῦ γε τούτου μέμνησό μοι διὰ παντὸς τοῦ λόγου μάλιστα. διότι τὰς μὲν τῶν ὀνομάτων ἐξηγήσεις, ἐκ τῆς τῶν ἑλλήνων συνηθείας ποιησόμεθα. καθότι κἀν τοῖς περὶ τῆς ἀποδείξεως ὑπομνήμασιν ἐλέγετο. τὰς δὲ τῆς οὐσίας αὐτῆς τοῦ πράγματος εὑρέσεις τε καὶ ζητήσεις, καὶ ἀποδείξεις, οὐκέτ᾽ ἐκ τῶν τοῖς πολλοῖς δοκούντων, ἀλλ᾽ ἐκ τῶν ἐπιστημονικῶν λημμάτων, ὑπὲρ ὧν τοῦ τρόπου τῆς εὑρέσεως ἐν ἐκείνοις εἴρηται. λαβόντες οὖν ἀρχὴν ὁμολογουμένην ἅπασιν ὡς ἐν τῇ θεραπευτικῇ μεθόδῳ τοῦτ᾽ εἴη τὸ προκείμενον, ὑγείαν ἐκπορίζεσθαι τοῖς νενοσηκόσι σώμασι, τουτέστι τὰς κατὰ φύσιν ἐνεργείας τῶν μορίων, εἴπερ βεβλαμμέναι τύχοιεν ἐπανορθοῦσθαι, τὸ μετὰ τοῦτ᾽ ἤδη ζητήσομεν, ὁπόσα τὰ σύμπαντά ἐστι κατὰ τὸν τόπον ἀλλήλοις παρακείμενα πράγματα, μή που τύχωμεν τινὰ τοῦ λόγου προϊόντος, ἢ νοσήματα νομίσαντες ὅταν ᾖ παραπλήσια τούτοις, ἢ ὑγείαν, ὅταν καὶ τῇ ταύτης φύσει πλησιάζῃ. προκεχειρίσθω δέ τινα μόρια σαφηνείας ἕνεκεν, ἐφ᾽ ὧν ὁ λόγος ἡμῖν περανθήσεται. πρῶτον μὲν ἁπάντων ὀφθαλμός. ὁμολογεῖται γὰρ οὖν ἐπὶ τούτου πᾶσιν ἀνθρώποις, οὐκ ἰατροῖς μόνον, ἀλλὰ καὶ τοῖς τυχοῦσιν, ὡς ἐστὶν ἔργον αὐτῷ τὸ βλέπειν. εἴτε δ᾽ ἔργον εἴποιμι κατὰ τὸν λόγον, εἴτ᾽ ἐνέργειαν, οὐδὲν ἔν γε τῷ νῦν διαφέρει. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδ᾽ εἰ τὸ βλέπειν εἴποι τις ἔργον εἶναι τῶν ὀφθαλμῶν, οὐδ᾽ εἰ τὴν βλέψιν, οὐδ᾽ εἰ τὴν ὄψιν ἢ τὴν ὅρασιν, ἢ ὅπως ἂν ἄλλως ὀνομάσῃ, διαφέρει. καὶ γὰρ εἰ σολοικίζων ὀνομάζοι πρός γε τὴν αὐτὴν τοῦ πράγματος ἐπιστήμην, οὐδὲν τοῦτο βλάπτει. μόνον εἰ καθ᾽ ὅτου πράγματος φέρει τοὔνομα, διηγοῖτο σαφῶς, ἐν τούτῳ γάρ ἐστι τὸ κῦρος τῆς διδασκαλίας. ὀνομαζέσθω τοίνυν ὀφθαλμὸς μὲν, τὸ μόριον τοῦ σώματος. οὐδὲν οὐδ᾽ ἐνταῦθα διαφέρον, εἴτε μέρος, εἴτε μόριον εἴποι τις. ὅ,τι γὰρ ἂν ᾖ τοῦ παντὸς συμπληρωτικόν, ἐκεῖνο μόριόν τε καὶ μέρος ὀνομάζεται τοῦ ὅλου δηλονότι σώματος, οὗ συμπληρωτικὸν ὑπάρχει. ἐν γὰρ τῷ πρός τι, τὸ μέρος. ὅλου γὰρ καὶ παντός ἐστι τὸ μέρος, ὥσπερ οἶμαι καὶ τὸ πᾶν καὶ τὸ ὅλον, πρὸς τὴν τῶν οἰκείων μερῶν τε καὶ μορίων ἀναφορὰν ὀνομάζεται. καὶ ἔστιν ὥσπερ τὸ δεξιὸν πρὸς τὸ ἀριστερὸν, καὶ τὸ ἀριστερὸν πρὸς τὸ δεξιὸν, οὕτω καὶ τὸ πᾶν πρὸς τὸ μέρος, καὶ τὸ μέρος πρὸς τὸ πᾶν. εἴ τις οὖν ταύτην φυλάττων τὴν ἔννοιαν, αἱρεῖται μέρος λέγειν, οὐ μόριον, ἢ εἴ τις ἔμπαλιν οὐ μόριον ἀλλὰ μέρος ἐμοὶ μὲν οὐδὲν εἰς τὴν εὕρεσιν τῶν πραγμάτων ἐμποδίζει, δείκνυσι δ᾽ αὑτὸν ὀψιμαθῆ τῆς τῶν ἑλλήνων φωνῆς. ὥσπερ γε καὶ εἴ τις ὅλον καὶ τὸ πᾶν διορίζει, καὶ οὗτος ἀγνοεῖ τὴν τῶν ἑλλήνων διάλεκτον. εἴρηται δ᾽ ὡς οἶσθα περὶ τῆς τῶν ὀνομάτων χρήσεως ἐπὶ πλέον ἑτέρωθι. καὶ νῦν ὅσον ἀναγκαῖον, εἰς τὸ προκείμενον δίειμι. τοῦτ᾽ ἐνδεικνύμενος μόνον, ὡς οὐ χρὴ περιέλκεσθαι τοῖς ὀνόμασιν, οὐδὲ τοὺς ἐν τούτοις διαφερομένους, ἤδη κἀν τοῖς πράγμασιν αὐτοῖς ἡγεῖσθαι διαφέρεσθαι. καὶ τούτου δ᾽ αὐτοῦ πάντας, ὡς ἔπος εἰπεῖν, ὁρᾷς ἀγυμνάστους, οὐ τοὺς ἰατροὺς μόνον τοὺς νῦν ὄντας, ἀλλὰ καὶ τῶν φιλοσόφων τοὺς πλείστους. ὀλίγοι γὰρ αὐτῶν ἴσασι διακρίνειν τὰς ἐν τοῖς ὀνόμασι διαφωνίας τῶν ἐν τοῖς πράγμασιν. ἀλλ᾽ ἐδείχθη καὶ ἡ τούτου μέθοδος ἐν τῇ λογικῇ θεωρίᾳ. καὶ νῦν ἥκει καιρὸς αὐτῆς εἴπερ ποτὲ καὶ ἄλλοτε. τίς δ᾽ ἦν ἡ μέθοδος; ἡ ἀπὸ τῶν πραγμάτων ἄρξασθαι διαφορᾶς, οὐκ ἀπὸ τῶν ὀνομάτων. καὶ δεῖξαι λόγου χάριν ἀλλήλοις παρακείμενα τέτταρα πράγματα. κἄπειθ᾽ ἑξῆς ἀποδείξει βεβαιώσασθαι τὸ, μήτε πλείω τούτων εἶναι, μήτ᾽ ἐλάττω τὰ κατὰ τὸ προκείμενον σκέμμα περιεχόμενα. μετὰ τοῦτο δ᾽ ἤδη καὶ καθ᾽ ἕκαστον τῶν πραγμάτων ἴδιον ὄνομα θέμενον, οὕτω περαίνειν ἅπαντα τὸν ἑξῆς λόγον, οὐκέτ᾽ οὐδαμόσε μετατιθέντα καὶ μεταφέροντα τῶν ὀνομάτων οὐδὲν, ἀλλ᾽ ἀκριβῶς διαφυλάττοντα, καθ᾽ οὗπερ ἂν αὐτὸς ἐξ ἀρχῆς ἐπιτίθηται πράγματος. καὶ γὰρ σαφὴς οὕτως ἡ διδασκαλία γίνεται καὶ τῶν παρὰ τὰς ὁμωνυμίας σοφισμάτων ἐκτὸς, καὶ ῥᾳδίως ἐξελέγχεται τὰ μάτην προκείμενα, καὶ διὰ ταχέων εὑρίσκεται τὰ λείποντα, καὶ τά τε διαφωνούμενα, καὶ τὰ συμφωνούμενα, μάλιστα ἐν ταῖς τοιαύταις ἑρμηνείαις ἀκριβῶς γνωρίζεται. λεγέσθω δὴ πάλιν ἡμῖν ἀναλαβοῦσιν, ὄψις μὲν, ὀφθαλμῶν ἐνέργεια, διάλεξις δὲ γλώττης, βάδισις δὲ σκελῶν, ἡ δ᾽ ἐνέργεια πάλιν αὕτη, κίνησις δραστική. τούτων δ᾽ αὐτῶν, ἡ μὲν κίνησις, ἐξάλλαξις τοῦ προϋπάρχοντος. ἡ δραστικὴ δὲ ἡ ἐξ ἑαυτοῦ, ὥσπερ γε καὶ παθητικὴ κίνησις, ἡ ἀπό τινος τῶν ἔξωθεν. οἷον ἡ μὲν πτῆσις, ἐνέργεια τοῦ ζώου τοῦ πτηνοῦ, καὶ ἡ βάδισις, τοῦ βαδιστικοῦ. τὸ δ᾽ ὑφ᾽ ἑτέρου φερόμενον ὡς ἀμείβειν τόπους, οὐκ ἐνεργεῖν, ἀλλὰ πάσχειν ἐστίν, ἐνήργησε μὲν γὰρ ὁ βαδίσας ἐκ πειραιέως ἐπὶ σούνιον. ἐκινήθη γὰρ δραστικῶς, τουτέστιν ἐξ ἑαυτοῦ τε καὶ κατὰ τὴν οἰκείαν φύσιν. ἔπαθε δὲ ὁ πλεύσας ἐπὶ τὸ σούνιον ἐκ τοῦ πειραιέως. ἠνέχθη γὰρ ὑπὸ τῆς νεώς. ἐπεὶ δ᾽ ἐξάλλαξιν εἶπον εἶναι τοῦ προϋπάρχοντος τὴν κίνησιν, ἐξαλλάττεται δὲ διχῶς τὸ προϋπάρχον, ἢ κατὰ ποιότητα, ἢ κατὰ τόπον. ἡ μὲν οὖν κατὰ τόπον ἐξαλλαγὴ, αὐτοῦ φορὰ ὀνομάζεται. ἡ δὲ κατὰ ποιότητα μεταβολὴ, ἀλλοίωσις. ὥστε τὴν φορὰν μὲν, ἐξάλλαξιν, ἢ ὑπάλλαξιν, ἢ ἀλλαγὴν, ἢ μεταβολὴν τοῦ προϋπάρχοντος τόπου. ἐξεπίτηδες γὰρ ἐχρησάμην πολλοῖς ὀνόμασιν, αὐτὸ τοῦτ᾽ ἐνδείκνυσθαι βουλόμενος, ὡς ἔνεστι παμπόλλους ὁρισμοὺς ποιεῖν ἑνὸς πράγματος, ἐν ταῖς φωναῖς μόνον, οὐκ ἐν τοῖς νοήμασι διαφέροντας, ἀλλοίωσιν δὲ ἢ μεταβολὴν κατὰ τὸ ποιὸν, ἢ ἀλλαγὴν τῆς προϋπαρχούσης ποιότητος. ἢ ὑπαλλαγὴν

περὶ τὸ ποιόν, ἢ ὑπαλλάξειν ποιότητος, ἢ ὅπως ἂν ἄλλως ἐλπίσῃς μάλιστα συνήσειν τοῦ λεγομένου τοὺς ἀκούοντας. τὸ γοῦν πολυειδὲς τῆς ἑρμηνείας, εἰς τοῦτο ἔσω σοι χρήσιμον. ἡ μὲν οὖν ὄψις, αὖθις γὰρ ἐπὶ τὸν ὀφθαλμὸν ἰτέον, ἐνέργεια τοῦ μέρους ἐστίν. ὁ δ᾽ ὀφθαλμὸς αὐτός, τὸ τοῦ ζώου μόριον. οὐδὲν γοῦν ὡς εἴρηται διαφέρει μόριον εἰπεῖν, ἢ μέρος. ὄργανον δὲ ὀνομάζω μέρος ζώου, τελείας ἐνεργείας ἀπεργαστικόν, οἷον ὀφθαλμὸν ὄψεως, καὶ γλῶτταν διαλέκτου, καὶ σκέλη βαδίσεως. οὕτω δὲ καὶ ἀρτηρία, καὶ φλέψ, καὶ νεῦρον, ὄργανά τε καὶ μόρια ζώων ἐστί. κατὰ ταύτην γοῦν τῶν ὀνομάτων τὴν χρῆσιν, οὐ πρὸς ἡμῶν μόνον, ἀλλὰ καὶ πρὸς τῶν παλαιῶν ἑλλήνων ὁρισθεῖσαν, ὁ μὲν οὖν ὀφθαλμός, ὀνομασθήσεται καὶ μόριον ζώου, καὶ μέρος, καὶ ὄργανον. ὁ δὲ κερατοειδὴς χιτών, μόριον μὲν καὶ μέρος, ὄργανον δ᾽ οὔ. κατὰ ταῦτα δὲ καὶ ὁ ῥαγοειδής, καὶ ὁ ἀραχνοειδής, καὶ ὁ ἀμφιβληστροειδής. ἕκαστος γὰρ τούτων, πρώτου μὲν καὶ μάλιστα, μόριόν ἐστιν ὀφθαλμοῦ. διότι δ᾽ οὗτος προσώπου, διὰ τοῦτο κἀκεῖνοι, κατὰ δεύτερον ἤδη λόγον. οὕτω δὲ καὶ τοῦ σώματος ὅλου. διότι καὶ τὸ πρόσωπον ὅλου τοῦ σώματός ἐστι μόριον. ὁμοιομερὲς δέ ἐστι μόριον, ὡς καὶ τοὔνομα αὐτὸ σαφῶς ἐνδείκνυται, τὸ διαιρούμενον εἰς ὅμοια πάντη μόρια, καθάπερ ἐν ὀφθαλμῷ, τό, θ᾽ ὑαλοειδές, καὶ τὸ κρυσταλλοειδές, καὶ τῶν χιτώνων ἡ ἴδιος οὐσία. δείκνυται δὲ καὶ ταῦτα ἐπὶ πλέον ἐν τοῖς τῶν ἀνατομικῶν ἐγχειρήσεων ὑπομνήμασιν. ἐνταῦθα δὲ ἀρκεῖ μόνον εἰπεῖν, ὧν εἰς τὰ παρόντα δεόμεθα μνημονεῦσαι. δεόμεθα καθ᾽ ἕκαστον μόριον ἐπιδεῖξαι πλείω πράγματα, διαφέροντα μὲν ἀλλήλων, οὐχ ὁρώμενα δὲ ἐνίοις τῶν ἰατρῶν. ἔφαμεν δὲ τοῦτο χρήσιμον ὑπάρχειν εἴς τε τὸ χρῆσθαι τοῖς ὀνόμασιν ὀρθῶς. οὗ περ ἕνεκα καὶ νῦν αὐτῷ μετεχειρισάμεθα. καὶ μέντοι καὶ πρὸς αὐτὴν τὴν προκειμένην μέθοδον ἀναγκαιότατον ἐπιδειχθήσεται. τὸ μὲν γὰρ ὄργανον ὀφθαλμός, ἐνέργεια δ᾽ ἡ ὄψις. ἐν δ᾽ αὐτοῦ τῶν μορίων ὁμοιομερές τε καὶ πρῶτον ὄργανον ὄψεως, τὸ κρυσταλλοειδὲς ὑγρόν, ὡς ἐν τοῖς περὶ αὐτῶν λόγοις ἀποδέδεικται. τοῦτο γάρ ἐστι τὸ δεόμενον ἀλλοιωθῆναι πρός τινος τῶν ἔξωθεν χρωμάτων, ἵν᾽ ἴδῃ τὸ ζῶον. ἀλλοιοῦσθαι δ᾽ οὐ ἠδύνατο, μὴ καθαρὸν ἀκριβῶς καὶ διαφανὲς γινόμενον. οὕτω δ᾽ ἂν καὶ καθαρὸν καὶ διαφανές, οὐκ ἠδύνατο χωρὶς τῆς νῦν ὑπαρχούσης αὐτῆς κράσεως. ἐδείχθη γὰρ ἕκαστον τῶν ὄντων τοιοῦτον ὂν οἷόν περ ἐστί, διὰ τὴν τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ κρᾶσιν, ὥστ᾽ εἴπερ τούτων ἐξαλλαχθείη μεγάλως, ἢ οὐκ ὄψεται τὸ ζῶον, ἢ κακῶς ὄψεται. ἀλλὰ τοῦτο μὲν οὔπω γινώσκομεν, ἄρτι ἀρχόμενοι ζητεῖν τὴν τέχνην. οὐδὲ χρὴ τῶν ἔπειτά τι μελλόντων ζητεῖσθαι προλαμβάνειν ὡς ἐπισταμένους. οὐδ᾽ ἐγὼ τούτου χάριν ἐμνημόνευσα τῶν ὑπὲρ τοῦ κρυσταλλοειδοῦς μοι δεδειγμένων ἐν ἑτέροις, ἀλλ᾽ ἕνεκα τῆς τῶν νῦν μελλόντων ῥηθήσεσθαι σαφηνείας. ὁρῶντος γὰρ ὀφθαλμὸν ἀκριβῶς ἐνεργοῦντα, καὶ αὖθις μὴ βλέποντα, καὶ τὸ μέν, ὑγείαν αὐτοῦ, τὸ δέ, νόσον, ἢ πάθος, ἢ ὅ, τι βούλει καλοῦντος, οὐδὲν γὰρ τοῦτο διαφέρει πρός γε τὰ παρόντα, ζητοῦμεν ἑξῆς, τίς ποτ᾽ ἐστὶν ἡ τῆς βλάβης αἰτία. πόθεν φήσεις ἐπὶ τοῦτ᾽ ἐλθόντος; ἐξ ἀναποδείκτου μὲν ἀξιώματος, ὁμολογουμένου δὲ πᾶσιν, ὅτι πρὸς τὴν νόησιν ἐναργὲς ὑπάρχει. τί δὲ τοῦτ᾽ ἐστί; τό, μηδὲν χωρὶς αἰτίας γίνεσθαι. τούτου γὰρ μὴ συγχωρηθέντος, οὐδὲ ζητεῖν δυνάμεθα τὴν αἰτίαν τοῦ βεβλάφθαι τὴν ὄψιν, ἢ ἀπολωλέναι παντελῶς. ἀλλ᾽ ἐπὶ τῶν πρὸς νόησιν ἐναργῶν ἐστιν, ὑποθέμενοί τινα τῆς βλάβης ὑπάρχειν αἰτίαν, ἐπὶ τὸ ζητεῖν αὐτὴν ἀφικνούμεθα. ταύτην οὖν τὴν αἰτίαν, εἴτε διάθεσίν τινα σώματος, εἴτε πως διακείμενον σῶμα προσαγορεύειν ἐθέλοις, οὐδὲν μὲν εἴς γε τὰ παρόντα διαφέρει. πάντως δ᾽ οὖν ἤτοι τὸ νόσημα αὐτὸ φήσεις ὑπάρχειν αὐτήν, ἢ εἴπερ τὸ νόσημά ἐστιν ἡ βλάβη τῆς ἐνεργείας, ἡ βλάπτουσα διάθεσις αὐτήν, αἰτία τοῦ νοσήματος ὑπάρξει. καὶ γίνεται κἀνταῦθα πάλιν ὑπὲρ ὀνόματος ἡ ἀμφισβήτησις. ἤτοι τὴν ἐν τοῖς ὀφθαλμοῖς διάθεσιν, ὑφ᾽ ἧς ἡ ὄψις βλάπτεται νόσον ἡμῶν ὀνομαζόντων, ἢ αὐτὴν τὴν βλάβην τῆς ἐνεργείας. ἀλλ᾽ εἴτε τὴν βεβλαμμένην ἐνέργειαν ἐθέλοι τις ὀνομάζειν νόσον, ἀνάγκη δή που τοῦτο πολὺ πρότερον ὑγείαν ὑποθέσθαι τὴν κατὰ φύσιν ἔχουσαν ἐνέργειαν, εἴτε τὴν διάθεσιν ὑφ᾽ ἧς ἡ ἐνέργεια βλάπτεται. καὶ τοῦτο πολὺ πρότερον ἐπὶ τῆς κατὰ φύσιν εἴτουν διαθέσεως, εἴτε καὶ κατασκευῆς ἐθέλει καλεῖν, ἐπιφέρειν τὸ τῆς ὑγείας ὄνομα. τὸ δ᾽ ἐν ταῖς ἐνεργείαις ὑποθέμενον εἶναι τὴν ὑγείαν, ἐν ταῖς διαθέσεσιν ὑπολαμβάνειν συνίστασθαι τὴν νόσον, ἢ ἔμπαλιν. ἐν μὲν τῇ κατασκευῇ τῶν μορίων τὴν ὑγείαν, ἐν δὲ τῇ βλάβῃ τῶν ἐνεργειῶν τὴν νόσον, ἄξιον τῶν τε ἄλλων μεθοδικῶν ἐστι, καὶ δὴ καὶ τοῦ τῆς ἐμπληξίας αὐτῶν ἀρχηγοῦ θεσσαλοῦ. πάντες γοῦν σχεδὸν οἱ ἀπὸ τῆς ἀμεθόδου τε καὶ μανιώδους ταύτης αἱρέσεως, τὴν μὲν ὑγείαν, εὐστάθειαν τῶν κατὰ φύσιν ἐνεργειῶν εἶναι φασὶ καὶ ἰσχύν. τὴν δὲ νόσον, οὐκέτι βλάβην ἐνεργείας καὶ ἀσθένειαν, ἀλλ᾽ οἱ μέν, διάθεσίν τινα σώματος, οἱ δὲ σῶμα πῶς διακείμενον, ἧς τίς ἂν εὑρεθείη μείζων ἐμπληξία. τοῦτο μέν γε καὶ ὁ τυχὼν ἐξεύροι τὸ μὴ δεῖν ἐν ἑτέρῳ μὲν γένει, τὴν ὑγείαν, ἐν ἑτέρῳ δὲ τὴν νόσον, ἀλλ᾽ ἐν ταὐτῷ πάντως ἄμφω τίθεσθαι. τὰ γὰρ ἐναντία, κατὰ πλεῖστον ἐστὶν ἀλλήλων διεστηκότα ἐν τῷ αὐτῷ γένει, καθάπερ λευκὸν καὶ μέλαν, ἐν γὰρ ἀμφοῖν γένος τὸ χρῶμα. καὶ τοίνυν εἴπερ ἐναντία ἐστὶν ὑγεία καὶ νόσος ἐν ᾧ περ ἂν ᾖ τῷ γένει τῶν κατὰ φύσιν ἡ ὑγεία, τούτου τοῦ γένους ἐν τῷ παρὰ φύσιν ἡ νόσος ὑπάρξει. ὥστε εἰ μὲν ἐνέργεια κατὰ φύσιν ἡ ὑγεία, πάντως δή που παρὰ φύσιν ἐνέργειά τις ἡ νόσος ἐστίν. εἰ δ᾽ ἤτοι διάθεσίς τις, ἢ κατασκευὴ κατὰ φύσιν ἡ ὑγεία ἐστί, καὶ ἡ νόσος ἐξ ἀνάγκης ἔσται διάθεσίς τις ἢ κατασκευὴ παρὰ φύσιν. ὁ μὲν οὖν θεσσαλός, οὐδ᾽ ἐπεχείρησεν ὅλως ἀφορίσασθαι νόσον, ἀλλὰ χρὴ μαντεύεσθαι κατά τινος ἐπιφέρει τοὔνομα πράγματος. ὅτι μὲν γὰρ οὐδὲν διαφέρειν ἡγεῖται νόσημα πάθους, ἐπιδεῖξαι μέν σοι δι᾽ αὐτῶν τῶν συγγραμμάτων αὐτοῦ, παράλληλα τιθέντος ἄμφω, καὶ μεταλαμβάνοντος ἑκάτερον εἰς θάτερον. ὡς οὐδὲν διαφέρον, ἢ οὕτως ἢ ἐκείνως εἰπεῖν. οἱ δ᾽ ἀπ᾽ αὐτοῦ πάντες ἄνω καὶ κάτω στρέφονται, λογιζόμενοί τε, καὶ παρακαλυπτόμενοι, καὶ πάντα ποιοῦντες ὡς ἤτοι παντάπασιν ἀσαφῶς εἰπεῖν, ἢ μὴ δ᾽ ὅλως ὥσπερ αὐτὸς ὁ θεσσαλός, καὶ πρὸ τούτου θεμίσων, ὁ τὴν ῥίζαν αὐτοῖς τῆς ἐμπληξίας ταύτης ὑποθέμενος. εἰ δή σοι τὰ πρόκλου καὶ ῥηγίνου καὶ ἀντιπάτρου λέγοιμι, καὶ πρὸς τούτοις εὐδήμου καὶ μνασαίου καὶ φίλωνος καὶ διονυσίου, λάθοιμ᾽ ἂν ἐμαυτὸν ἐκπεσὼν τῆς προκειμένης νῦν πραγματείας, ἐπιστημονικῆς τε οὔσης καὶ τὸ χρήσιμον αὐτὸ πειρωμένης ἐκδιδάσκειν. ἀλλὰ τῆς μὲν ἐκείνων διαφωνίας, ἴσως ἄν ποτε καὶ ὕστερον εἴη μνημονεῦσαι.

μνημονεῦσαι. καὶ σὺν αὐτοῖς γε τοῖς νῦν εἰρημένοις, τὸν πάντα σοφώτερον ἐπιταράξαντός τε καὶ συγχέαντος αὐτῶν τὰ πράγματα Μνημάχου, καὶ τὸν ληρώδους Ὀλυμπικοῦ, καὶ μετ' αὐτὸν, Ἀπολλωνίδου. καὶ Σωρανοῦ. καὶ τοῦ νῦν ἔτι ζῶντος Ἰουλιανοῦ. τούτῳ μέν γε καὶ ἡμεῖς ἐνετύχομεν, ἵνα καὶ παρὰ ζῶντος ἀνθρώπου φωνῆς ἐκμάθωμεν λήρους μακρούς. εἶχε δ' οὖν οὐδ' οὗτος λέγειν ὅ, τι ποτ' ἐστὶ πάθος καὶ νόσημα. καὶ τεκμήριόν γε τούτου μέγιστον. ἐτῶν γοῦν ἤδη πλειόνων ἢ εἴκοσι γεγονότων ἐξ οὗ περ ἡμεῖς ἐπὶ τῆς Ἀλεξανδρείας αὐτῷ τούτῳ συνεγινόμεθα, γεγραφὼς εἰσαγωγὰς ἄλλας ἐπ' ἄλλαις, ἀεὶ γὰρ αὐτὰς μετατίθησί τε καὶ μεταρρυθμίζει, τῷ μηδέποτ' ἀρκεῖσθαι ταῖς γραφείσαις, κατ' οὐδεμίαν αὐτῶν ἐτόλμησεν εἰπεῖν, ὅ, τί ποτ' ἐστὶ νόσος. καίτοι γε μηδὲν πρὸς ἔπος, ἐν αὐταῖς διεξέρχεται, μέχρι τοῦ καὶ τὰ τοιαῦτα ζητεῖν εἰ ζωγραφία χρήσιμος ἰατροῖς ἐστιν. ἀλλ' ὅμως τοσαῦτά τε καὶ τοιαῦτα γράφων, καὶ δῆλος ὢν ὥσπερ καὶ Μνήμαχος, ὅτι σαφῶς ἔγνωκε τῆς μεθοδικῆς αἱρέσεως τὴν ἀτοπίαν, οὐδέπω καὶ τήμερον ἔγραψεν ἐν ταῖς εἰσαγωγαῖς, ὅτι ποτὲ νόσον ἢ πάθος ὀνομάζει. ἐμοὶ δ' οὖν ἐρωμένῳ ποτ' αὐτὸν, οὕτω μακρῶς τε ἅμα καὶ ἀσαφῶς διῆλθεν, ὡς ὧν μὲν ἔλεγε, συνιέναι μηδενὸς, ἀναγκασθῆναι δέ γε τό γε τοσοῦτον εἰπεῖν πρὸς αὐτὸν, ὡς διαφέρεσθαί μοι δοκοίη πρὸς Ὀλυμπικὸν, καίτοι πάππον αὐτῆς τῆς διδασκαλίας ὄντα. μαθητὴς γάρ ἐστιν οὗτος ὁ Ἰουλιανὸς Ἀπολλωνίου τοῦ Κυπρίου. ἐκεῖνος δ' ἦν Ὀλυμπικοῦ φοιτητής. ὁ τοίνυν Ὀλυμπικὸς, ὡς ἔφην ὁρίσασθαι τολμήσας ὑγείαν τε καὶ πάθος, τὴν μὲν ὑγείαν, διάθεσιν ἔφησεν εἶναι, κατὰ ἐκτότητα νόσου, τὸ δ' αὖ πάθος, ῥοπὴν τῆς κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐπίμονον. ἔστι μὲν δὴ καὶ τούτων ἑκάτερον, ἀλογίας παμπόλλης ἀνάπλεων. ἣν καὶ τότε διῆλθον τῷ Ἰουλιανῷ, καὶ νῦν ἐπὶ κεφαλαίων ἐρῶ. τὸ γοῦν συγχέον ἔφην ἐστὶν ἐκεῖνο, τὸ μὴ μόνον ἁπλῶς οὕτως εἰπεῖν τὸν Ὀλυμπικὸν, ὑγείαν εἶναι διάθεσιν κατὰ ἐκτότητα νόσου, ἀλλὰ προσθεῖναι τῷ λόγῳ ἣν διάθεσιν ὁριζόμεθα εὐστάθειαν τῶν κατὰ φύσιν ἐνεργημάτων καὶ ἰσχύν. οὐ γὰρ ἔχω συμβαλεῖν, εἴτε ἐν τῇ τῶν ἐνεργειῶν εὐσταθείᾳ μόνῃ τὴν ὑγείαν, εἴτε ἐν τῇ τοῦ σώματος διαθέσει, εἴτ' ἐν ἀμφοῖν ὑποτίθεται. τάχα δ' ὥσπερ εἴωθε χρῆσθαι τοῖς τῶν Ἑλλήνων ὀνόμασιν ἀλλοκότως τε καὶ τεταραγμένως, ἅμα τοῖς ἄλλοις ἅπασι μεθοδικοῖς, οὕτω καὶ νῦν, οὐκ ἐπὶ τὸ σῶμα τὴν διάθεσιν, ἀλλ' ἐπὶ τὰς ἐνεργείας ἀναφέρει, ὥστε ἡμᾶς ἀκοῦσαι τοῦ λόγου κατὰ τοῦτον τὸν τρόπον, ὑγεία ἐστὶ διάθεσις ἐνεργειῶν κατὰ ἐκτότητα νόσου. δίκαιον δ' ἦν οἶμαι προσθεῖναι τῷ λόγῳ δυοῖν θάτερον αὐτόν. ἢ ἐνεργειῶν, ἢ σώματος, ἵν' ἤτοι γένηται τοιοῦτος ὁ λόγος, ὑγεία ἐστὶ διάθεσις ἐνεργειῶν κατὰ ἐκτότητα νόσου, ἢ νὴ Δία τοιοῦτος, ὑγεία ἐστὶ διάθεσις σώματος κατὰ ἐκτότητα νόσου. καὶ μήν γε καὶ εἰ ἄμφω συνθεῖναι προῄρητο, καὶ οὕτως ἐνεχώρει, σαφῶς τε ἅμα καὶ διὰ βραχέων εἰπεῖν, ὑγεία ἐστὶ διάθεσις ἐνεργειῶν τε καὶ σώματος κατὰ ἐκτότητα νόσου. τί δ' ὅταν ἐπιφέρων εἴπῃ, ἣν διάθεσιν ὁριζόμεθα εὐστάθειαν τῶν κατὰ φύσιν ἐνεργημάτων καὶ ἰσχὺν, πότερον, μέρος ὑποληπτέον εἶναι τοῦτο τοῦ προειρημένου καὶ χρὴ συνάπτειν ἡμᾶς ὅλον τὸν λόγον ὡδί πως; ὑγεία ἐστὶ διάθεσις σώματος κατὰ ἐκτότητα νόσου, καὶ εὐστάθεια τῶν κατὰ φύσιν ἐνεργημάτων καὶ ἰσχὺς, ἢ τέλειός ἐστιν ὁ λόγος οὗτος αὐτὸς καθ' ἑαυτὸν ὅ, τι ποτ' ἐστὶν ὑγεία διδάσκων, ὥσπερ γε καὶ ἤρεσεν ἐνίοις τῶν μεθοδικῶν εὐστάθειαν ἀφωρισμένοις εἶναι τῶν κατὰ φύσιν ἐνεργειῶν τὴν ὑγείαν. ἀλλ' εἴπερ οὗτος τέλειος ὁ προειρημένος, οὐκ οἶδ' ὅ, τι διδάσκει διάθεσιν εἶναι λέγων τὴν ὑγείαν. ἐκεῖνο μὲν γὰρ οὗ ἔφη, τὸ κατὰ ἐκτότητα νόσου, τοιοῦτόν ἐστιν, οἷον καὶ παιδία γελάσαι. εἰ γὰρ δὴ συγχωρήσομεν οὕτως ὁρίζεσθαι, δηλονότι καὶ ἡ νόσος ἔσται διάθεσις σώματος, κατὰ ἐκτότητα ὑγείας. ἵνα ἕκαστος τῶν ὅρων ἡμῖν, οὐ τοῦ τί ποτ' ἐστὶ τὸ ὑποκείμενον, ἀλλὰ τοῦ τί ποτ' οὐκ ἔστι, γίνηται διδάσκαλος. ἐάσθω δ' ἔφην εἰ βούλει καὶ ταῦτα. καὶ γὰρ πάρεργά πως ἐστίν. ἀλλ' ἐκεῖνό γε παρελθεῖν τε καὶ παριδεῖν οὐκ ἐγχωρεῖ, τὸ κατὰ μὲν τὴν τῆς ὑγείας διδασκαλίαν, ἅπαντα προσέρχεσθαι ταῖς ἐνεργείαις ἤτοι μόναις, ἢ μετὰ τοῦ συγχέαι καὶ περιπλέξαι, καὶ ἀναμῖξαί πως ἀσαφῶς τὸ τῆς διαθέσεως ὄνομα, καθάπερ ὁ Ὀλυμπικός. ἐν δὲ τῷ τοῦ πάθους οὐκέτι μεμνῆσθαι τῶν ἐνεργειῶν. ἀπέχρησε γὰρ εἰπεῖν αὐτῷ, πάθος ἐστὶ τροπὴ τοῦ σώματος ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐπίμονος. ἐχρῆν δ' ἔφην ἐν ταῖς ἐνεργείαις ἢ ἐν ταῖς διαθέσεσιν, ἄμφω τάττειν αὐτόν. ὁ δέ μοι πρὸς ταῦτ' ἀπεκρίνατο, καὶ ἤδη μέν σοι πολλάκις εἶπον ἱερῶν κράτιστε, καὶ νῦν τ' ἀναμνῆσαι προσήκει, τὸ μηδὲν εἶναι θαυμαστὸν, ἐν μὲν τῇ τῶν ἐνεργειῶν εὐσταθείᾳ, σὺν ἰσχύϊ τετάχθαι τὴν ὑγείαν, ἐν δὲ τῇ παρὰ φύσιν τοῦ σώματος διαθέσει, τὴν νόσον, οὐ γάρ ἐστιν ἐναντία καθάπερ σὺ νομίζεις ἔφησεν. ἔστι γάρ τι μέσον αὐτῶν, ὃ μήθ' ὑγεία, μήτε νόσος ἐστίν. ἀκούσας οὖν ἐγὼ τὸν λόγον τοῦτον, ἐχωρίσθην ἐκπεπληγμένος τε καὶ λυπούμενος ἅμα, χρὴ γοῦν ὁμολογεῖν τὸ συμβὰν, ἔμπροσθεν μὲν γοῦν, οὐδενὶ τῶν ἐν τοιαύτῃ δόξῃ τελέως ἐντετυχήκειν ἐμπλήκτῳ, τότε δ' ἐντυχὼν πρῶτον, εἰκότως ἐξεπλάγην. οὐχ ὅτι μόνος ἐκεῖνος οὕτως ἦν ἀναίσθητος, ἀλλ' ὅτι πολλῷ σκαιοτέρους ἑαυτοῦ τοσούτους εἶχε μαθητάς. οἱ κατὰ τὴν αὐτὴν ἀρχὴν τῆς διδασκαλίας ὁρῶντες οὕτως ἐσφαλμένους τοὺς μεθοδικοὺς, οὐκ ἀφίστανται τῆς αἱρέσεως. ἢ εἴπερ οὐδ' ὅλως ὁρῶσι, τελέως εἰσὶν ἀπόπληκτοι. τί γὰρ δὴ καὶ πρὸς ἔπος, οὐκ εἶναι τὴν νόσον ἐναντίον ὑγείᾳ, διότι μέσον αὐτῶν ἐστί τι. δῆλον γοῦν ὡς οὐδὲ τὸ λευκὸν ἐναντίον ἔσται τῷ μέλανι, διότι μέσον αὐτῶν ἐστὶ τὸ ξανθόν τε καὶ τὸ φαιὸν, ἐρυθρόν τε καὶ ὠχρὸν, ἕκαστόν τε τῶν ἄλλων χρωμάτων, οὐδὲ τὸ θερμὸν, τῷ ψυχρῷ. καὶ γὰρ καὶ τούτων ἐστὶ μέσα, χλιαρόν τε καὶ εὔκρατον. οἱ μὲν δὴ σοφώτατοι μεθοδικοὶ κατὰ τὴν ἀρχὴν εὐθέως πεπτωκότες, οὐ σμικρὸν, οὐδὲ τὸ τυχὸν πτῶμα, τί ἂν ἔτι τῶν ἐφεξῆς ἀληθῶν καταμάθοιεν; οὐδὲ ἓν δή που. διαχθήσεται γὰρ ἅπαντα τὰ κατὰ τὴν ἰατρικὴν τέχνην ἐκ τούτων ἠρτημένα, καὶ δεόντως. εἴπερ ἐν ταῖς μεθόδῳ τινὶ συνισταμέναις τέχναις, ἀρχὴ τῆς συστάσεως ἡ τοῦ τέλους ἐστὶν ἔννοια, πεπλημμέληται μὲν οὖν καὶ ἄλλοις πολλοῖς εἰς τὴν τοῦ τέλους ἔννοιαν οὐκ ὀλίγα. τῶν μὲν, τὸ ὑγιάζειν ὡς τὸ πολὺ τέλος εἶναι λεγόντων τῆς ἰατρικῆς, τῶν δὲ, τὰ σύμφορα πράττειν ὡς πρὸς τὴν ὑγείαν, τῶν δ' ἐκκόπτειν τὰς νοσώδεις αἰτίας, τῶν δὲ τὰ παρ' ἑαυτῶν ἅπαντα ποιεῖσθαι, τῶν δ' ὡς ἂν ἑκάστῳ πρασσῃ ἢ δέησῃ, καὶ περὶ τούτων ἰδίᾳ διορίσασθαι. ἀλλ' οὐδεὶς οὕτως ἔμπληκτος, ὡς ἐν ἄλλῳ μὲν γένει τὴν ὑγείαν, ἐν ἄλλῳ δὲ ὑποθέσθαι τὴν νόσον, ἀλλ' ἤτοι ταῖς κατὰ φύσιν ἐνεργείαις προσέχων, ἢ ταῖς κα-

κατασκευαῖς τῶν μορίων, ἃς ἔνιοι διαθέσεις ὀνομάζουσιν. εἴτε δ' ἐν ταῖς κατὰ φύσιν ἐνεργείαις ἐστὶ τὸ ὑγιαίνειν, ἐν ταῖς παρὰ φύσιν ἔσται τὸ νοσεῖν. εἴτε ἐν ταῖς κατασκευαῖς ταῖς κατὰ φύσιν, ἐν ταῖς παρὰ φύσιν ἔσται κατασκευαῖς ἡ νόσος. εἴτ' ἐν ταῖς διαθέσεσιν, ἐν ταύταις ἔσται καὶ τὸ νοσεῖν. οὐδὲ γὰρ οὐδὲ βαθείας τινὸς εἰς ταῦτα θεωρίας ἐστὶ χρεία. μόνον δ' ἀπόχρη τὸ μὴ διεστράφθαι. τίς γὰρ οὐκ οἶδεν, ὡς εἰ τὸ βλέπειν ὑγιαίνειν ἐστὶν, ὅτι τὸ νοσεῖν ἔσται τὸ ἀμβλυώττειν, ἢ ὅλως τὸ μὴ βλέπειν. τίς δ' οὐ συνίησιν ὡς εἰ τὸ ἀκούειν ὑγιαίνειν ἐστὶν, ὅτι νοσεῖν ἔσται τό, τε μόγις ἀκούειν, καὶ τὸ μηδ' ὅλως ἀκούειν. οὕτω δὲ καὶ εἰ τὸ πέττειν ὑγιαίνειν ἐστὶ, τὸ ἀπεπτεῖν τε καὶ δυσπεπτεῖν, ἔσται νοσεῖν. καὶ εἰ τὸ κινεῖσθαι καθ' ὁρμὴν ἐστὶν ὑγεία, νόσος ἂν εἴη δήπου, σπασμὸς, καὶ παλμὸς, καὶ παράλυσις, καὶ τρόμος, καὶ συλλήβδην εἰπεῖν, ἅπαν ὅ, τί περ ἂν ἤτοι τελέως ἀναιρεῖ τὴν καθ' ὁρμὴν κίνησιν, ἢ ἐμποδίζει γέ πως αὐτήν. ὡσαύτως δὲ, εἰ τὸ κατὰ φύσιν αἰσθάνεσθαι τῆς ὑγείας ἐστὶν, ἡ ἀναισθησία, καὶ δυσαισθησία, καὶ νάρκη, καὶ ὀδύνη, νόσοι γενήσονται. καὶ εἰ τὸ τεταγμένως ἀναπνεῖν ὑγεία, ἄπνοια καὶ δύσπνοια νόσος. ἀλλ' εἴπερ ταῦτα νόσοι, πρόδηλον ὡς αἱ διαθέσεις τῶν μορίων ὑφ' ὧν ἀποτελοῦνται, νόσων εἰσὶν αἰτίαι. καὶ οὐ χρὴ λέγειν οὔτε φλεγμονὴν, οὔτε σκίῤῥον, οὔτ' ἐρυσίπελας, οὔτε ἀπόστασιν, οὐθ' ἕλκος, οὔτε οἴδημα, νοσήματα. καὶ εἴπερ ταῦτα νοσήματα, πρόδηλον ὡς οὐδὲν ἐκείνων νόσημα. δύο γάρ ἐστι γένη πραγμάτων οὐδὲν ὁμοίων ἀλλήλοις, ἀλλὰ πάντῃ τε διαλλαττόντων, καὶ ὅλῃ τῇ φύσει διαφερόντων. ὀνομάζουσι δὲ τὸ μὲν ἕτερον τῶν γενῶν, σῶμα. τὸ δ' ἕτερον, ἐνέργειαν. ὀφθαλμὸς μὲν οὖν καὶ γλῶττα, καὶ οὖς, καὶ σκέλος, ἕκαστόν τε τῶν τοιούτων, σῶμα πῶς ἔχον ἐστίν. ὄψις δὲ, καὶ ἀκοὴ, καὶ διάλεξις, καὶ βάδισις, ἐνέργειαι τῶν εἰρημένων σωμάτων. εἴπερ οὖν ἐν τῷ πῶς ἔχειν τὰ σώματα τὸ νοσεῖν ἐστὶν, ἐν τῷ πῶς ἔχειν τὰς ἐνεργείας, τὸ νοσεῖν οὐκ ἔσται. εἰ δέ γ' ἐν τούτῳ τὸ νοσεῖν εἴη, πρόδηλον αὖ πάλιν, ὡς οὐκ ἔστιν ἐν τῇ τῶν σωμάτων διαθέσει. τὸ μέντοι τὴν μὲν διάθεσιν αἰτίαν εἶναι, τὴν δὲ ἐνέργειαν τὸ γιγνόμενον ὑπὸ τῆς τοῦ σώματος διαθέσεως, ὁμολογεῖσθαι χρὴ καὶ φυλάττεσθαι παντὸς μᾶλλον. ὥστε καὶ ὅστις ἀγνοεῖ τοῦτο, περί τι τῶν ἀναγκαίων ἔσφαλται πραγμάτων. ὁ δ' ἤτοι τὴν βλάβην τῆς ἐνεργείας, ἢ τὴν διάθεσιν τοῦ σώματος ὀνομάζων νόσημα, κἂν εἰ μὴ δεόντως ὀνομάζοι, δύναται γοῦν ὀρθὴν ἔχειν τὴν δόξαν ὑπὲρ αὐτῶν τῶν πραγμάτων. ἔστι δ' οὐκ ἐκ τῶν ὀνομάτων τὸ καλῶς ἰᾶσθαι τὰς νόσους, ἀλλ' ἐκ τῆς τῶν πραγμάτων ὀρθῆς ὑπολήψεως. εὐθὺς δὲ καὶ τοῦτ' αὐτὸ, πολλοὺς τῶν ἰατρῶν ἐστὶν εὑρεῖν ἀγνοοῦντας, καὶ νομίζοντας ἐν πράγμασι τι διαφέρεσθαι, τοὺς τὰς διαθέσεις τῶν σωμάτων ἡγουμένους εἶναι νοσήματα, πρὸς τοὺς ἐν ταῖς βλάβαις τῶν ἐνεργειῶν ὑπολαμβάνοντας αὐτὰ συνίστασθαι. καὶ τούτων πάντων τῶν ἁμαρτημάτων, ὅπερ εἴρηταί τε πολλάκις ἤδη, καὶ αὖθις εἰρήσεται, ἓν αἴτιον ὑπάρχει, τὸ μὴ γεγυμνάσθαι κατὰ τὴν λογικὴν μέθοδον τοὺς ἐπιχειροῦντας ὁτιοῦν ἀποδεικνύειν λογικῶς, ἀλλ' ἅμα μὲν ἀποχωρεῖν τῆς ἐμπειρίας, ὡς γεγυμνασμένους τὸν λογισμόν, ἅμα δ' ἀγυμνάστους ὄντας ἐν αὐτῷ, σφάλλεσθαι μέγιστα. μυριάκις γοῦν ὑπὲρ ὀνομάτων αὐτοὺς εὑρίσκω διαφερομένους, ὡς ὑπὲρ πραγμάτων. αὖθις δ' ἂν εἰ τύχοι πρᾶγμά τι μέγιστον ἀγνοοῦντας, ὄνομα νομίζουσιν ἀγνοεῖν. ὥσπερ γε κἀπὶ τοῦ προκειμένου νῦν ἡμῖν οὐκ ἴσασι διακρίνειν, ὡς ἡ μὲν κατασκευὴ τῶν σωμάτων, αἰτίας ἔχει λόγον. ἡ δ' ἐνέργεια, τὸ πρὸς ἐκείνης ἐστὶν ἀποτελούμενον. οὐδ' ὡς τὸ θεραπευόμενον, ἡ τοῦ σώματός ἐστι διάθεσις. ἕπεται γὰρ ἐξ ἀνάγκης ταύτῃ κατὰ φύσιν μὲν ἐχούσῃ, κατὰ φύσιν ἐνεργεῖν, ἐξισταμένῃ δὲ τοῦ κατὰ φύσιν, εὐθὺς καὶ τὴν ἐνέργειαν εἰς τὸ παρὰ φύσιν ἐκτρέπειν. ἐν τούτῳ δὲ τὸ πᾶν ἐστι. καὶ τοῦτο ἀρχὴ καὶ οἷον στοιχεῖόν τι πρῶτον ἁπάσης τῆς θεραπευτικῆς ὑπάρχει μεθόδου. τὸ δὲ εἴτ' αὐτὸ τοῦτο χρὴ προσαγορεύειν νόσον, εἴτε τὴν βλάβην τῆς ἐνεργείας, ὑπὲρ ὀνόματός ἐστιν ἀμφισβητούντων. εἰρήσεται μὲν οὖν τί μοι καὶ περὶ τῆς τῶν ὀνομάτων χρήσεως, ὥσπερ εἴρηται καὶ πρόσθεν ἤδη δι' ἑτέρων. ἀλλὰ νῦν οὔπω διαστέλλομαι περὶ αὐτῶν, ἵν' ἔργῳ τοῦτ' αὐτὸ μᾶλλον βεβαιώσωμαι, καὶ δείξω τίς ἀρχὴ καὶ ῥίζα τῆς θεραπευτικῆς ἐστι μεθόδου, περὶ ἣν εὐθὺς ἄλλοι τε πολλοὶ τῶν λογικούς τε καὶ δογματικοὺς ἑαυτοὺς ὀνομασάντων, καὶ οἱ βέλτιστοι σφάλλονται μεθοδικοί. τοῦτο μὲν οὖν καὶ ἤδη πως φαίνεται τοῖς συνετοῖς, ὡς οὐδὲν ἄλλο ἐστὶ τὸ θεραπευόμενον ὑπὸ τῶν ἰατρῶν, πλὴν ἡ τῶν σωμάτων διάθεσις, ὡς ἐν τοῖς μετὰ ταῦτα λόγοις δειχθήσεται. τὸ δὲ τὴν ἄγνοιαν ἐπανορθώσασθαι τῶν μὴ γινωσκόντων ὅσα τὰ σύμπαντα ἐστὶ πράγματα κατὰ τὸν ἐνεστῶτα λόγον ἀλλήλοις παρακείμενα, νῦν ἡμῖν προὔκειτο. φαίνεται γὰρ ἓν μέντοι γένος εἶναι τῶν σωμάτων αὐτῶν, ἕτερον δὲ τὸ τῶν ἐνεργειῶν. καὶ τὸ μὲν τῶν σωμάτων, ἡγεῖσθαί τε καὶ ποιεῖν τὰς ἐνεργείας. ἕπεσθαι δ' ἐκείνας, κατὰ φύσιν μὲν ἔχουσι τοῖς σώμασιν, ἀμέμπτως τε καὶ κατὰ φύσιν αὐτὰς διακειμένας. παρὰ φύσιν δ' ἐχόντων, ἢ μὴ γιγνομένας παντάπασιν, ἢ παραποδιζομένας γε πάντως. τρίτον δ' ἐπὶ τούτοις ἐστὶ γένος, τὸ τῶν ἐργαζομένων τὰς διαθέσεις αἰτίων. ὃν γὰρ ἡ διάθεσις ἔχει πρὸς τὴν ἐνέργειαν λόγον, τοῦτον ἕτερόν τι χρὴ πάντως ἔχειν πρὸς τὴν διάθεσιν, ἑνὶ μόνῳ διαλλάττον, τῷ, τὴν μὲν διάθεσιν, ἅμα ταῖς ἐνεργείαις ὑπάρχειν, καὶ μὴ δύνασθαί ποτε, μήτε τὴν κατορθουμένην ἐνέργειαν εἶναι χωρὶς τῆς τῶν σωμάτων κατὰ φύσιν διαθέσεως, μήτε τὴν βεβλαμμένην, ἄνευ τοῦ καὶ τὰ σώματα βεβλάφθαι. τὰ δ' αἴτια τῆς διαθέσεως ταύτης τῆς ἐμποδιζούσης τὴν ἐνέργειαν, δύναται μὲν καὶ μηκέτ' εἶναι, δύναται δὲ καὶ νῦν ἔτι παραμένειν. ἕτερα δ' οὖν πάντως ἐστὶ τῶν διαθέσεων αὐτῶν, καὶ τοῦτο τρίτον εὕρηται γένος ἕτερον, ἐνεργείας τε καὶ τῆς ἐργαζομένης αὐτὴν διαθέσεως. ἐπ' αὐτῷ δ' ἄλλο τέταρτον γένος διαθέσεως, ὅσα τοῖς σώμασιν ὑπάρχει, κατὰ φύσιν τε καὶ παρὰ φύσιν ἔχουσι, μηδὲν μήτ' ὠφελοῦντα, μήτε βλάπτοντα τὰς ἐνεργείας. οἷον, εἰ τύχοι τὸ χρῶμα τοῦ σώματος πάντως ἢ μέλαν ἐκ λευκοῦ γιγνόμενον, ἐν ἡλίῳ διατριψάντων ἐπὶ πλέον, ἢ λευκὸν ἐκ μέλανος, ἐν σκιᾷ διαιτηθέντων, ἢ ἐρυθρὸν λουσαμένων ἢ ὠχρὸν, φοβηθέντων. οὔτε γὰρ ἐνέργεια τοῦτ' ἐστὶν, οὔτε διάθεσις σώματος ἐνεργείας αἰτία. καὶ πολὺ δὴ μᾶλλον, οὐδ' ἡ τὰς παρὰ φύσιν ἐργαζομένη διαθέσεις αἰτία. σύμπτωμα δ' ἐστὶ συμβαῖνον ἐξ ἀνάγκης ἐπὶ ταῖς διαφόροις τῶν σωμάτων ἀλλοιώσεσιν, εἴτ' οὖν κατὰ φύσιν, εἴτε καὶ παρὰ φύσιν ἔχοιεν. ἐπειδὴ τοίνυν ἤδη τέτταρα γένη διώρισται, κἂν τῷ ταῦτα γινώσκειν ἢ μὴ, τὸ καλῶς ἄρχεσθαι τῆς

θεραπευτικῆς

θεραπευτικῆς μεθόδου δείξομεν ὑπάρχον, ἐξέστω λοιπὸν τῷ βουλομένῳ κατ' αὐτῶν ἃς ἂν ἐθέλῃ τίθεσθαι προσηγορίας. οἷον, εἰ βούλοιτο τὴν μὲν παρὰ φύσιν τῶν σωμάτων διάθεσιν, ὅταν ἐνέργειάν τινα βλάπτῃ, νόσημα προσαγορευέτω, αὐτὴν δὲ τὴν βλάβην τῆς ἐνεργείας, ἐξαίρετόν τι σύμπτωμα νοσήματος. ὅσα δ' ἄλλως συμβέβηκεν, ὥσπερ τὰ χρώματα, καὶ ταῦτ' εἰ βούλοιτο καλείτω συμπτώματα, διοριζέτω μέντοι τῆς βλάβης τῶν ἐνεργειῶν αὐτά. καὶ εἴπερ ἐκεῖνα ἐξαίρετα συμπτώματα νοσημάτων ὀνομάζει, ταῦτ' οἰκεῖά τε καὶ ἴδια καλείτω. καί τινα πρὸς τούτοις εἰ βούλοιτο, μήτ' οἰκεῖα, μήτ' ἴδια, συμπίπτοντα δὲ, κατά τινα τύχην. τέταρτον δ' ἤδη τοῖσδε γένος τιθέσθω, τὸ τῶν νοσωδῶν αἰτίων. καὶ τούτων τὰ μὲν ἐν αὐτῷ τοῦ ζώου τῷ σώματι συνιστάμενα, προηγούμενα καλείτω, τὰ δ' ἔξωθεν προσπίπτοντα, προκατάρχοντα. θέμενος δ' οὕτως ἢ ἄλλως ὅπως ἂν ἐθέλῃ σαφῶς καὶ χρησίμως τοῖς ἀκούουσι, μηκέτι μετατιθέσθω, μηδ' ἐξαλλαττέτω τὴν χρῆσιν, ἀλλ' ἀεὶ φυλαττέτω παρ' ὅλον τὸν λόγον, ἵνα καὶ μανθάνωμεν ἃ λέγει ῥᾳδίως, καὶ τὰς ἀντιλογίας, καὶ τοὺς ἐλέγχους, πρός τι σαφὲς καὶ διωρισμένον ποιώμεθα. πῶς καὶ τίνα τρόπον, ἐνδείξασθαι γὰρ ἔτι τοῦτ' αὐτὸ χρή, διὰ τοὺς ἀναισθήτους μεθοδικούς. ἔστω τινὰ λέγειν, ὡς ἡ μὲν φλεγμονή, διάθεσίς ἐστι παρὰ φύσιν, τὸ δ' ἔργον τοῦ φλεγμαίνοντος μέρους τὸ βεβλαμμένον, οἰκεῖον ἐξαίρετον τοῦ πάθους σύμπτωμα, ποδῶν μὲν βάδισις, ὀφθαλμῶν δὲ ὄψις, ὤτων δ' ἀκοή. τὸ δ' ἔρευθος εἰ τύχοι ἢ καὶ τάσις, ἤτ' ἀντιτυπία καὶ ὁ παρὰ φύσιν ὄγκος ὁ ταῖς φλεγμοναῖς ἑπόμενος, ἕτερόν τι γένος, εἴτε συμπτωμάτων, εἴτε συμβεβηκότων, εἴθ' ὅπως ἂν ἄλλως ἐθέλῃ τις ὀνομάζειν. ἀλλ' οὖν ὅτι γε μήτ' αὐτὸ γένος ἐστὶ τῇ βλάβῃ τῶν ἐνεργειῶν, ἴστω τε καὶ διοριζέσθω σαφῶς. ἡ πληθώρα δ' εἰ τύχοι τῆς φλεγμονῆς αἰτία προηγουμένη, καὶ ταύτης προκατάρχουσα τὸ πλῆθος τῶν ἐδεσμάτων. ὡς οὖν ἐγὼ καὶ παραδείγματα πεποίημαι σαφῆ τοῦ λόγου, καὶ τέτταρα γένη διώρισμαι, καὶ τὰς αἰτίας αὐτῶν εἴρηκα, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον ἐχρῆν ποιῆσαι τὸν Θεσσαλόν, ἤδη τοσούτοις τε καὶ τηλικούτοις ἀνδράσι, καθ' ὧν ἑαυτὸν ἀνεκήρυττε, μέλλοντα νεωτέραν αἵρεσιν συνίστασθαι. νυνὶ δ' οὔτε αὐτὸς οὐδὲν εἶπε σαφές, οὔτε τις τῶν ἀπ' αὐτοῦ. τολμήσας γοῦν ὁ Ὀλυμπικὸς ἀφορίσασθαι τί ποτ' ἐστὶ πάθος, οὐ πάθους, ἀλλὰ συμπτωμάτων εἴρηκεν ἔννοιαν. ὅλως μὲν οὖν, οὐδ' ὅ, τί ποτ' ἐστὶ τὸ πάθος, οὐδ' ὅπῃ τοῦ νοσήματος διαφέρει γινώσκουσιν, ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἑξῆς διοριῶ. πάντα γὰρ ἅμα λέγειν οὐκ ἐγχωρεῖ. συγχωρηθέντος δ' αὐτοῖς τοῦ ταὐτὸν εἶναι νόσημά τε καὶ πάθος, ἴδωμεν ὅ, τι ποτέ φασι. πάθος ἐστὶ ῥοπὴ τοῦ σώματος, ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐπίμονος. εἶτα μικρὸν προελθών, φησί. Ἰστέον δ' ὅτι διαφέρει πάθος συμπτώματος. πάθος μὲν γάρ ἐστιν ὡς ὀλίγον ἔμπροσθεν ἔφην, διάθεσις παρὰ φύσιν τοῦ σώματος ἐπίμονος. σύμπτωμα δὲ, ὃ παρὰ πάθει συμβαίνει, ἰδικήν ὥσπερ τινὰ καὶ μερικωτέραν ἐν τοῖς παρὰ φύσιν ἔχον τύπωσιν. αὕτη μὲν ἡ θαυμαστὴ ῥῆσις Ὀλυμπικοῦ τοῦ σοφοῦ, τολμήσαντος ἀφορίσασθαι πάθος τε καὶ σύμπτωμα. τοσούτων δ' ἐστὶν ἁμαρτημάτων μεστή, ὥστέ μοι παρίσταται τὸ τοῦ μωροῦ, τοῦ πρὸς κόσκινον εἰπόντος οὐχ εὑρίσκειν ὅ, τι θύσειεν ἢ μὴ θύσειεν αὐτοῦ. τί γὰρ δὴ καὶ πρῶτον ἐξ αὐτοῦ εἴποι τις, ἢ τί παραλίποι; πάντα μὲν γὰρ ἐξελέγχειν ὅσα κακῶς ἀποφαίνονται, μακρὸν ἂν εἴη. ἡ ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν τροπὴ πᾶσα νόσος ἐστὶν, εἰ μόνον αὐτῇ προσείη τὸ ἐπίμονον. ἀλλὰ τὴν ἀχροιαν ὑμεῖς αὐτοὶ καὶ τὴν ἀτροφίαν, ἐν τοῖς συμπτώμασιν, οὐκ ἐν τοῖς πάθεσιν ἀριθμεῖτε. τί δ' ἡ κακοχυμία; τί δὲ ἡ ἔνδεια; τί δὲ ἡ καχεξία; τί δὲ τὸ πλῆθος; οὐ παρὰ φύσιν; εἰ τοίνυν αὐτοῖς προσείη τὸ ἐπίμονον, ἐν τοῖς νοσήμασιν ἀριθμηθήσεται. καὶ μὴν οὐδ' αὐτοὶ βούλεσθε, καὶ καλῶς γε τοῦτο ποιεῖτε. προσεῖναι γὰρ χρὴ τὸ παρὰ φύσιν εἶναι τὴν διάθεσιν, ἐνέργειάν τινα πρὸς αὐτῆς βλάπτεσθαι, μέχρι δ' ἂν ἀβλαβεῖς αἱ πᾶσαι φυλάττονται, κἂν μυριάκις ἐξαλλάττηται, καὶ τρέπηται, καὶ μεταβάλληται τὸ σῶμα, νόσος οὔπω τῶν διαθέσεων ἐκείνων ἐστὶν οὐδεμία. τό γέ τοι τῆς θεραπείας δεόμενον, οὐδὲν ἄλλο ἐστί, πλὴν τῆς βλαπτούσης τὴν ἐνέργειαν διαθέσεως. οὗ μὲν γὰρ δεόμεθα πρώτου καὶ μάλιστα πάντων, ἡ κατὰ φύσιν ἐστὶν ἐνέργεια· δι' ἐκείνην δὲ, καὶ τῆς κατὰ φύσιν εἴτε διαθέσεως εἴτε κατασκευῆς ὀνομάζειν ἐθέλοις. ὁρᾶν γὰρ δεόμεθα, καὶ ἀκούειν, καὶ διαλέγεσθαι, καὶ βαδίζειν, οὐκ ὀφθαλμῶν, οὐδ' ὤτων, οὐδὲ γλώττης, οὐδὲ σκελῶν, εἰ γοῦν ἦν ὁρᾶν δι' ἑτέρου μορίου, τίς ἂν ἦν ὀφθαλμῶν ἡ χρεία; καὶ εἴπερ ἦν ἀκούειν δι' ἄλλου τινὸς ὀργάνου, τί τῶν ὠτίων ἐδεήθημεν ἄν; οὕτω δὲ καὶ τῆς γλώττης, καὶ τῶν σκελῶν. οὐκ ἂν δήπουθεν οὐδὲν ὄφελος ἦν ἡμῖν, εἰ διαλέγεσθαι καὶ βαδίζειν οἷόν τ' ἦν ἄνευ τούτων. τὸ μὲν οὖν ὁρᾶν, δι' ἑαυτὸ χρῄζομεν. ὀφθαλμῶν δὲ οὐ δι' ἑαυτούς, ἀλλὰ διὰ τοῦτο. καὶ γλώττης δὲ καὶ ὤτων καὶ σκελῶν, οὐχ ἵνα ἔχωμεν ὄργανα καὶ πολλὰ μόρια χρῄζομεν, ἀλλὰ διαλέξεως ἕνεκα, καὶ ἀκοῆς, καὶ βαδίσεως. ὅταν γοῦν νεκρωθῇ τι μόριον ἀποτμηθῆναι δυνάμενον, οἷον, δάκτυλος, ἢ πούς, ἢ ἄκρα χείρ, οὐκ ἀνεχόμεθα βαστάζειν ἀργὸν αὐτό, καὶ περιφέρειν οἷον ἄχθος ἀλλότριον, ἐναργῶς δηλοῦντες ἐν τούτῳ, ὅτι μὴ τῶν μορίων αὐτῶν, ἀλλὰ τῶν ἐνεργειῶν χρῄζομεν. ὥσπερ οὖν ὅλον τὸ μόριον τῆς ἐνεργείας ἕνεκα ἔχειν δεόμεθα, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον καὶ τῆς κατὰ φύσιν αὐτοῦ κατασκευῆς, διὰ τὴν ἐνέργειαν ὀρεγόμεθα. ὡς γὰρ καὶ πρόσθεν ἐλέγετο, λόγον αἰτίας ἡ κατασκευὴ πρὸς τὴν ἐνέργειαν ἔχει. τὰ δὲ ἐξ ἀνάγκης ἑπόμενα ταῖς κατασκευαῖς ἀφ' ὧν ἐνεργοῦμεν, ὑγιαινόντων μὲν ἡμῶν, συμβεβηκότα, νοσούντων δὲ, συμπτώματα καλεῖται. καὶ τέτταρα ταῦτ' ἐστὶ γένη πάντων τῶν περὶ τὸ σῶμα κατὰ φύσιν τε καὶ παρὰ φύσιν ἐχόντων ἡμῶν, ἐνέργειαι, κατασκευαί, τὰ προηγούμενα τούτων, τὰ ἑπόμενα, τιθέσθω λοιπὸν ὁ βουλόμενος ὀνόματα καθ' ἕκαστον αὐτῶν ἴδια. κἂν εἰ δίωνα, κἂν εἰ θέωνα βούλοιτο καλεῖν ὁποιονοῦν ἐξ αὐτῶν, οὔ μοι διαφέρει, μόνον ἴστω τοῦτο καὶ φυλαττέτω διαπαντός, ὡς τέτταρα τὰ πάντ' ἐστὶν ἀλλήλοις παρακείμενα πράγματα. ἐπεὶ δὲ κατὰ τοῦτο τοῦ λόγου γέγονα, δοκῶ μοι δικαίαν ἀξίωσιν ἐνεγκεῖν, ἵν' ὡς ἡμεῖς ἐκείνοις συγχωροῦμεν ἅττα ἂν γ' ἐθέλωσιν ὀνόματα τίθεσθαι, κατὰ τὸν αὐτὸν τρόπον κἀκείνους ἡμῖν συγχωρεῖν ἑλληνικοῖς τε χρῆσθαι καὶ παλαιοῖς. ἢ δεινὸν ἂν εἴη σολοικίζειν μὲν ἐκείνοις ἐξεῖναι καθάπερ τυράννοις, ἑλληνίζειν δ' ἡμῖν οὐκ ἐξεῖναι. καλείτωσαν εἰ βούλοιντο τὴν ὑγείαν, εὐστάθειαν αὐτῶν ἐνεργειῶν, καίτοι δέδεικται πρὸς ἡμῶν, ὡς ἡ διάθεσίς τε καὶ ἡ κατασκευὴ τῶν μορίων ἀφ' ἧς κατὰ φύσιν ἐνεργοῦμεν, ὑγεία πρὸς ἁπάντων ἑλλήνων ὀνομάζεται. καὶ τοῦτο θέμενοι τὴν ὑγείαν, ὅμως τὴν νόσον οὐκ

ἐνεργείας βλάβην, ἀλλὰ παρὰ φύσιν ἡγείσθωσαν εἶναι διάθεσιν. ὡς οὖν ἡμεῖς ἐκείνους μήθ' ἑλληνιστί, μήτε διαλεκτικῶς ὀνομάζοντας οὐ κωλύομεν, οὕτω κἀκεῖνοι συγχωρησάτωσαν ἡμῖν ἑλληνιστί τε ἅμα καὶ διαλεκτικῶς, οὐχ ἅπασαν τὴν παρὰ φύσιν διάθεσιν, ἀλλ' εἴ τις ἂν ἐνέργειαν βλάπτῃ, νόσημα προσαγορεύειν, ἥτις δ' ἂν παρὰ φύσιν μὲν ᾖ, μὴ μέντοι βλάπτῃ γ' ἐνέργειαν, οὐ νόσον, ἀλλὰ σύμπτωμα νοσήματος. αὖθις δ' ὥσπερ ἐκεῖνοι τὸ ἐπίμονον προστεθείκασιν, οὐ δηλοῦντες ἄχρι πόσων ὡρῶν ἡ παρὰ φύσιν αὕτη διάθεσις παραμείνασα νόσος ἐστίν, οὕτως ἡμῖν συγχωρησάτωσαν ἀφαιρεῖν τὸ ἐπίμονον. εἴτε γὰρ τρισὶν ὥραις, εἴτε τέτρασιν, εἴτε καὶ ἡμισείᾳ μόνον ὥρας, ὅλῳ τις τῷ σώματι καταληφθείη σφοδρῶς, ὡς μήτ' αἰσθάνεσθαι, μήτε κινεῖσθαι, τοῦτον ἡμεῖς ἀπόπληκτον ὀνομάζομεν. ὥσπερ εἰ καὶ σπασθείη σύμπαντι τῷ σώματι, καὶ τοῦτον ἐπίληπτον, οὐθ' ὡρῶν ἀριθμόν, οὐθ' ἡμερῶν ἔτι προσλογιζόμενοι. μόνης γὰρ ἐστὶ τῆς τοῦ πράγματος φύσεως, οὐκ ἐστὶ τῆς τοῦ χρόνου ποσότητος ὑπάρχει δηλωτικὰ τὰ τοιαῦτα τῶν ὀνομάτων, ὥσπερ οἶμαι καὶ λευκὸν καὶ μέλαν, καὶ θερμὸν καὶ ψυχρόν. ἢ θαυμαστὸν ἂν εἴη τὸ ὕδωρ τὸ θερμὸν οὐκ εἶναι θερμόν, ἂν μὴ δι' ὅλης ἡμέρας ὑπάρχοι τοιοῦτον, ἢ τὸν ἐξ ὥρας πυρέξαντα μὴ πεπυρεχέναι. χρῆναι γὰρ καὶ τοῦτον εἴπερ ἐπύρεξεν, ἐπίμονον ἔχειν τὸ πάθος. καίτοι, τίς ὁ χρόνος οὗτός ἐστιν ὁ κρίνων τὸ ἐπίμονον καὶ τὸ μὴ τοιοῦτον, οὐδεὶς αὐτῶν ὥρισεν, ἆρά γε ἡμερῶν τις ἀριθμός, ἢ μηνῶν, ἢ ὡρῶν, ἢ διὰ τί λέγουσιν ἐπίμονον, ἐνὸν εἰπεῖν πολυχρόνιον, ἢ τοῦτο μὲν καὶ μεταθέντες ἔνιοι ἐξ αὐτῶν, δύσλυτον ὀνομάζουσιν. ἀλλὰ τοῦτό γε τὸ δύσλυτον, οὐ νοσήματος ἁπλῶς, ἀλλὰ χρονίου νοσήματός ἐστιν ἴδιον. ὥσπερ γε οἶμαι καὶ τὸ ῥᾳδίως λυόμενον, ὀξέος. τὸ δ' οἴεσθαι διαφέρειν, ἢ δύσλυτον, ἢ ἐπίμονον, ἢ χρόνιον εἰπεῖν, ἆρ' οὐκ ἐσχάτης ἀμαθίας ἐστίν; ἔτι δὲ θαυμαστότερον, ὅταν οὗτοι μὲν ὥσπερ ἐξ ὕπνου βαθέος ἐγερθέντες ἐπιχειρῶσι διορίζεσθαι, πάθος συμπτώματος. ὁ δὲ τῆς ἐμπληξίας αὐτῶν ἡγεμών, ἐν τῷ δευτέρῳ περὶ μεθόδου γράφει. τὰ γὰρ αὐτὰ προηγησάμενα μέν, πάθη λέγεται. ἐπιγινόμενα δέ, συμπτώματα. καίτοι τοῦτό γε πολυθαυμαστότερον ὧν ἐκεῖνοι λέγουσι, τὴν τοῦ ἥπατος φλεγμονήν, εἰ μὲν εὐθὺς εἰσβάλοι κατὰ τὴν πρώτην ἡμέραν, πάθος εἶναι συγχωρεῖ, εἰ δ' ἐφ' ἑτέρῳ τινὶ γένοιτο, κατὰ τὴν δευτέραν ἢ τρίτην, εἰς τὰ συμπτώματα μεταθεῖναι. καίτοι τί λέγω δευτέραν ἡμέραν; ἀρκεῖ γὰρ εἰπεῖν ὥραν δευτέραν ἀπὸ τῆς εἰσβολῆς τοῦ νοσήματος. οὐ γὰρ δήπου κατὰ μὲν τὴν δευτέραν ἡμέραν, ἡ τοῦ ἥπατος φλεγμονὴ σύμπτωμα γενήσεται, κατὰ δὲ τὴν δευτέραν ὥραν ἀπὸ τῆς ἀρχῆς, ἄλλο τι καὶ οὐ σύμπτωμα. τὸ γὰρ ἐπιγίγνεσθαι τινὶ προηγουμένῳ, πάντως που καὶ τοῦθ' ἕξει. ἀλλὰ τὸ οὕτω φασὶ ταχέως ἐπιγινόμενον, οὐδὲν διαφέρει τοῦ συνεισβάλλοντος. πάλιν οὖν αὐτὸν ἐχρῆν εἰρηκέναι σαφῶς, ὁπόσαις ὥραις ὁρίζεται, καὶ διακρίνει τοῦ συνεισβάλλοντος τὸ ἐπιγιγνόμενον. ὁ Θεσσαλὸς μὲν δὴ τοιοῦτος. οἱ δὲ περὶ τὸν Ὀλυμπικόν, ὡς ἂν εἰς ἄκρον ἥκοντες σοφίας, οὐχ οὕτω διορίζουσι πάθος συμπτώματος, ἀλλὰ τὸ μὲν πάθος, ὡς προείρηται. τὸ σύμπτωμα δέ, τὸ τῷ πάθει συμβαῖνον ὑπάρχειν φασί, θαυμαστῶς πάνυ καὶ σαφῶς ἐξηγησάμενοι τὴν αἰτίαν αὐτοῦ. τί γὰρ δὴ καὶ ὂν τὸ σύμπτωμα, ὃ τῷ πάθει συμβέβηκεν, ἐχρῆν οἶμαι προσθεῖναί τε καὶ διορίσασθαι. ἆρά γε διάθεσίς τις ἐστὶ σώματος, ἢ βλάβη τινὸς ἐνεργείας, ἢ συναμφότερον; ἐκεῖνοι μὲν οὖν οὐ λέγουσιν, ἡμᾶς δὲ δηλονότι μαντεύεσθαι χρή. τὸ δὲ καὶ προσθεῖναι τῷ λόγῳ τοῦτ' αὐτόν, ἰδικὴν ὥσπερ καὶ μερικωτέραν ἔχον ἐν τοῖς παρὰ φύσιν ἐντύπωσιν, ὑπερβολὴν οὐκ ἀπολέλοιπε σαφηνείας, ἅμα τῷ καὶ τοῖς ὀνόμασιν ἑλληνιστὶ καὶ παγκάλως ἑρμηνεύεσθαι, εἰδικώτερόν τινα τύπον ἐν τοῖς παρὰ φύσιν ἔχει τὸ σύμπτωμα. τί ποτ' οὖν ἐστι τὸ γενικώτερον ἔχον τὸν τύπον; οὐ γὰρ εἴρηκας εἰ χωρὶς ἐστὶ πρὸς ἐκεῖνο παραβολῆς ἐγχωρεῖ τὸ εἰδικώτερον ἐξευρεῖν. εἰ δ' ὅλως πρὸς οὐδὲν παραβάλλοντες εἰδικώτερον ὀνομάζουσιν, ἀκριβῶς τε πάνυ καὶ σαφῶς ἑρμηνεύουσι. καίτοι διὰ συντόμων τε ἅμα καὶ σαφῶν οἷόν τ' ἦν εἰπεῖν, ὡς τὰ παρὰ φύσιν ἅπαντα τὰ κατὰ τὸ σῶμα τῶν ζώων, ἤτοι νοσήματ' ἐστίν, ἢ αἴτια, ἢ συμπτώματα. κοινοῦ δ' αὐτοῖς ὄντος τοῦ παρὰ φύσιν, ἡ νόσος μὲν ἐνέργειαν βλάπτει, τὸ δ' αἴτιον ταύτης προηγεῖται, τὸ σύμπτωμα δ' ἕπεται ταύτῃ, διττὸν ὂν τὴν φύσιν, ἐνεργείας μὲν βλάβη τὸ ἕτερον, διάθεσις δέ τις ἀκολουθοῦσα τῷ νοσήματι τὸ λοιπόν. ἀλλὰ γὰρ ὥσπερ ἔφην εἰ πάντα τις ἐπέρχοιτο τὰ σφάλματ' αὐτῶν, οὐκ ἂν ἐπιθείη τέλος τῷ λόγῳ. καὶ γινώσκεις τοῦτ' ἀκριβῶς καὶ σὺ φίλτατε Ἱέρων, ὅτι μήτε τὸ χιλιοστὸν αὐτῶν μέρος ἐξελέγχειν ἐπεχείρησα. τοσοῦτον οὖν ἔτι προσθείς, ἐνταυθοῖ που καταπαύσω τὸ πρῶτον γράμμα, διότι κατὰ τὴν ἀρχὴν τῆς μεθόδου, σφάλλονται πολλοὶ τῶν ἰατρῶν, οἱ μέν, ἀπὸ Θεσσαλοῦ καὶ Θεμίσωνος, οἵπερ δὴ καὶ μεθοδικοὺς ἑαυτοὺς ὀνομάζουσιν, ἔσχατά τε καὶ μέγιστα σφάλματα, σὺν αὐτοῖς δ' οὐκ ὀλίγοι τῶν ἀναλογιστικῶν τε καὶ δογματικῶν, καὶ λογικῶν ὀνομαζομένων. εἰ μὴ γὰρ ἐξεύροι τις ἁπάσας τὰς διαθέσεις ὑφ' ὧν ἐνέργεια βλάπτεται, τὸ πλῆθος αὐτῶν τῶν νοσημάτων ὁπόσον τ' ἐστὶ καὶ ὁποῖον, ἀδύνατον ἀκριβῶς ὁρισθῆναι. τοῦτο δ' οὐδ' ἐπιχειρήσαντες ἔνιοι ποιῆσαι, τυράννων δίκην ἀποφαίνονται τὰ δόξαντα σφίσι χωρὶς ἀποδείξεως. ἔνιοι δ' οὐ μόνον οὐκ ἀπέδειξαν, ἀλλ' οὐδὲ παρὰ τῶν ἀποδεικνύντων μανθάνουσι. καὶ τό γε πλεῖστον γένος, ὡς οἶσθα, τῶν νῦν ἐπιπολαζόντων ἰατρῶν, ἐστὶ τοιοῦτον. καὶ θαυμαστὸν ἴσως οὐδέν. ὅπου γε καὶ τῶν φιλοσόφων οἱ πολλοὶ χωρὶς ἀποδείξεως ἀξιοῦσι πιστεύεσθαι, τί χρὴ θαυμάζειν τινὰ τῶν ἰατρῶν; οὐδὲ γὰρ σχολή γε αὐτοῖς ἐστιν ἀλήθειαν ζητεῖν. ἕωθεν μὲν ἐν ἀσπασμοῖς διατρίβουσιν, οὓς αὐτοὶ καλοῦσιν ἀσπασμούς, εἰς ἑσπέραν δ' ἐμπιπλαμένοις τε καὶ μεθυσκομένοις. ἀλλὰ κατὰ τὸν παλαιὸν αὐλητὴν ὦ Ἱέρων, ἁμιλλῴμην ἂν καὶ ταῖς μούσαις. αἰσχρὸν γὰρ αὐλητὰς μὲν οὕτως εὑρεθῆναι φιλοκάλους, οὐ μέγα τι πρᾶγμα κατορθοῦντας, μέθοδον δὲ θεραπευτικήν, ἐκ παλαιοῦ μὲν ζητουμένην, ἀκριβῶς δ' οὔπω γεγραμμένην ἐξευρεῖν τε καὶ τελειῶσαι δυναμένους ἡμᾶς, ὀκνεῖν καὶ μέλλειν, καὶ ἀναβάλλεσθαι, διὰ τὴν ἐπιπολάζουσαν ἐν τῷ νῦν χρόνῳ ῥᾳθυμίαν. ὥστ' ἔμπαλιν ἤδη μοι δοκῶ διακεῖσθαι νῦν, ἢ πρόσθεν. οὐδὲ γὰρ ὑμῖν χάριν οἰκείαν δίδωμι, προτρεψαμένοις με τὴν θεραπευτικὴν μέθοδον ἅπασαν ἐφεξῆς διελθεῖν. ὁ μὲν δὴ πρῶτος μοι λόγος, ἐνταυθοῖ τελευτάτω. τοῦ δ' ἑξῆς πάντως, ὁ δεύτερος ἀρχέσθω τοῦτον τὸν τρόπον.

ΓΑΛΗΝΟΥ

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ

ΜΕΘΟΔΟΥ, ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΤΩΝ συμβαινόντων τοῖς σώμασιν ἐν τῷ παρὰ φύσιν ἔχειν ἱέρων κράτιστε, τέτταρες ἐδείχθησαν αἱ πᾶσαι διαφοραί. μία μὲν, αὐτῆς τῆς βεβλαμμένης ἐνεργείας, ἑτέρα δὲ, τῆς ἐργαζομένης αὐτὴν διαθέσεως, ἄλλη τε τρίτη, τῶν ταύτης αἰτίων, καὶ τετάρτη, τῶν ἐξ ἀνάγκης ἑπομένων αὐτῇ συμπτωμάτων. ὅτι μὲν οὖν ἤτοι πάντα ταῦτ᾽ εἶναι χρὴ τὴν νόσον, ἢ τινὰ τούτων, ἢ πάντως γ᾽ ἓν ἐξ αὐτῶν, ἕτοιμον συλλογίσασθαι. μηδενὸς γὰρ παρὰ τὰ προειρημένα τοῖς νοσοῦσιν ὑπάρχοντος, οὐδὲ ἔξω τούτων ἔσται τὸ νόσημα. λείπεται τοίνυν ἢ τὸ πάντων ἄθροισμα λέγειν τὴν νόσον εἶναι, ἢ τινὰ τούτων, ἢ ἕν γέ τι πάντως. ἀλλὰ τὸ μὲν ἐξ ἁπάντων ἄθροισμα πῶς τὸ μὴ δ᾽ εἰρῆσθαι πρός τινος, οὐδ᾽ ἐγχωρεῖ λεχθῆναι. τί γὰρ ἔσται νόσου αἴτιον, ἢ τί σύμπτωμα νοσήματος, εἰ τὸ πάντων ἄθροισμα νόσημα νομισθήσεται; οὐδὲ ἓν δήπουθεν. ἀναγκαῖον οὖν ἀπολιπεῖν δύο ἄλλα γένη παρὰ τὰς νόσους. ἕτερον μὲν τῶν ἐργαζομένων αὐτὰς αἰτίων, ἕτερον δὲ τῶν ἑπομένων μὲν ἐξ ἀνάγκης, λυπούντων δ᾽ οὐδὲν τὸν ἄνθρωπον. ἀλλ᾽ εἰ ταῦτ᾽ ἀφέλοιμεν, ἐν δυοῖν ἐστι τούτοιν ἡ νόσος, ἢ ταῖς βεβλαμμέναις ἐνεργείαις, ἢ ταῖς ἐργαζομέναις αὐτὰς διαθέσεσι. καὶ δὴ καὶ διηνέχθησαν εὐθὺς ἐκ παλαιοῦ καὶ περὶ τοῦδε, καὶ νῦν ἔτι διαφέρονται πάντες, οὐκ ἰατροὶ μόνον, ἀλλὰ καὶ φιλόσοφοι, τῶν ἐνεργειῶν μὲν τὰς βλάβας ἕτεροι, τῶν δ᾽ ἐργαζομένων αὐτὰς διαθέσεων ἕτεροι προσαγορεύσαντες νοσήματα, τὸ μὲν οὖν διαφέρεσθαι τοὺς ἄνδρας ἐν οὕτως ἀσαφέσι πράγμασιν, οὐδὲν θαυμαστόν. τὸ δὲ μὴ διαγιγνώσκειν ὡς ὑπὲρ ὀνόματος ἐρίζουσιν, ἐπιτιμήσεως ἄξιον. εἴπερ γὰρ ὡμολόγηται πρὸς ἁπάντων ἡ θεραπεία τῆς ἐμποδιζούσης τὴν ἐνέργειαν εἶναι διαθέσεως, οὐδὲν ἔτι χρήσιμον εἰς τὰ τῆς τέχνης ἔργα τὸ διελέσθαι, πότερα, τὴν διάθεσιν, ἢ τὴν βεβλαμμένην ἐνέργειαν ὀνομαστέον ἐστὶ νόσημα. ἑκατέρως γὰρ ὀνομαζόντων, ὁ κάμνων ὑγιαίνων ἀποδειχθήσεται, μόνον εἰ τὰ δέοντά τις ἰάματα προσφέροι ταῖς διαθέσεσιν. αὗται γάρ εἰσιν ἃς ἀλλοιοῦν χρὴ, καὶ μεταβάλλειν, καὶ τελέως ἐκκόπτειν, οὐχ αἱ βλάβαι τῶν ἐνεργειῶν. οὐδεὶς γοῦν ἰᾶται τὸ χωλεύειν βαδίζοντα, καὶ γὰρ γελοῖον, ἀλλὰ τὴν ἐργαζομένην αὐτὸ διάθεσιν, οἷον τὴν φλεγμονὴν, εἰ διὰ ταύτην χωλεύει. καὶ ταύτην καταντλεῖ, καὶ καταπλάττει, καὶ χαλᾷ, καὶ διαφορεῖ, καὶ παντὶ τρόπῳ λύειν ἐπιχειρεῖ. τὸ γὰρ ὀρθῶς βαδίζειν ἕπεται ταύτῃ λυθείσῃ, καὶ οὐδὲν ἔτι δεόμεθα τὴν χωλείαν ἐπανορθοῦσθαι τῆς φλεγμονῆς οἰχομένης. οὐδὲ γὰρ ὑπομένει τι τῆς βεβλαμμένης ἐνεργείας, ἐὰν ἐκκόψῃ τις ἀκριβῶς τὴν ἐργαζομένην αὐτὴν διάθεσιν. ἕως δ᾽ ἂν ὑπολείπηταί τι τῆς διαθέσεως, ἀνάγκη καὶ τὴν ἐνέργειαν ἀνάλογον ἐκείνῃ βεβλάφθαι. ταύτην οὖν τὴν διάθεσιν, εἴτε νόσημα καλεῖν, εἴτε πάθος, εἴτ᾽ αἰτίαν νοσήματος, εἴτε πάθους ἐθέλοι τις, οὐδὲν εἰς τὴν θεραπείαν, οὔτ᾽ ὄφελος, οὔτε βλάβος ἐντεῦθεν. ἀλλ᾽ οὐδ᾽ εἰ Θέωνά τις ἢ Δίωνα προσαγορεύσας αὐτὴν, ἔπειτ᾽ ὀρθῶς ἰῷτο, βλάψειεν ἂν οὐδ᾽ οὗτος οὐδὲν τὸν νοσοῦντα. κἂν εἰ τελέως δ᾽ ἐάσειεν ἀνώνυμον ἀπολιπὼν αὐτὴν, ἃ χρὴ προσφέροι τῷ κάμνοντι βοηθήματα, πρὸς τῷ μὴ βλάπτειν μηδὲν, οὗτος ἔτι κάλλιστα θεραπεύσει. διδάσκειν μέντοι βουλόμενος ἕτερον ἃ γινώσκει, δεήσεταί τε πάντως ὀνομάτων ἐπὶ τοῖς πράγμασιν, ὅρον τε τῆς χρήσεως αὐτῶν ἕξει τὴν σαφήνειαν. ὁ γὰρ ὡς ἂν ὁ μανθάνων ἐκμάθοι, σαφέστατα μάλιστα προσδοκῶν ὀνομάζειν, ἄριστος διδάσκαλος. ἐπεὶ τοίνυν καὶ ἡμεῖς ἐν τούτῳ νῦν καθεστήκαμεν, ἀνάγκη μέν που θέσθαι τοῖς πράγμασιν ὀνόματα. τὸ δ᾽ εἰ καὶ σαφῶς, ἡμῖν σκοπεῖσθαι πάρεστιν. ἡ μὲν δὴ τὴν ἐνέργειαν ἐμποδίζουσα διάθεσις, ὀνομαζέσθω νόσος. ἔτι δ᾽ ἕπεται τῇδε, σύμπτωμα. τὸ δ᾽ ἐργαζόμενον αὐτὴν, αἴτιον. οὕτω δὲ τούτων διωρισμένων, ἐπιβλέπειν ἀκριβῶς χρὴ τὴν ἀνωμαλίαν τῶν ὀνομάτων, ἃ περὶ τῶν νοσημάτων ἐπήνεγκαν οἱ πρῶτοι θέμενοι. πολλαχόθι μὲν γὰρ ἀπὸ τοῦ βεβλαμμένου μορίου τὰ ὀνόματα, πλευρῖτις, καὶ περιπνευμονία, καὶ ἰσχίας, καὶ ποδάγρα, καὶ νεφρῖτις, καὶ ἀρθρῖτις, ὀφθαλμία τε καὶ κεφαλαλγία, καὶ δυσεντερία. πολλαχόθι δ᾽ ἀπὸ τοῦ συμπτώματος, εἰλεὸς, καὶ τεινεσμὸς, καὶ σπασμὸς, καὶ παλμὸς, καὶ τρόμος, καὶ παράλυσις, ἀπεψία τε, καὶ δύσπνοια, καὶ ἄπνοια, καὶ ἀγρυπνία, καὶ παραφροσύνη, καὶ κῶμα. πολλαχόθι δ᾽ ἀπ᾽ ἀμφοῖν ἅμα, κεφαλαλγία, καὶ ὠταλγία, καὶ καρδιαλγία, καὶ ὀδονταλγία, καὶ ὑστεραλγία. πολλαχόθι δ᾽ ἀπὸ τῆς δοξαζομένης αἰτίας, ὡς ἡ μελαγχολία μὲν ὑπὸ πάντων, αἱ χολέραι δὲ ὑπὸ τῶν κνιδίων ἰατρῶν. ἴσως δὲ καὶ ὁ λευκοφλεγματίας ὕδερος ἐντεῦθεν. ἐνίοτε δὲ ἀπὸ τῆς πρός τι τῶν ἐκτὸς ὁμοιότητος, ἐλέφας, καὶ καρκῖνος, καὶ πολύπους, καὶ σταφυλὴ, καὶ λεύκη, καὶ μυρμηκία, καὶ ἀθέρωμα, καὶ στεάτωμα, καὶ σταφύλωμα, καὶ μελικηρὶς, καὶ ἄνθραξ, ἀλωπεκία τε, καὶ ὀφίασις, καὶ σύκωσις, καὶ σατυριασμὸς, καὶ πριαπισμός, τῶν νοσημάτων δ᾽ αὐτῶν ὀνόματα, μήτε τόπου ἐφαπτόμενα πεπονθότος, μήτε τῆς ποιούσης αἰτίας ὀλίγα, φλεγμονὴ, καὶ γάγγραινα, καὶ σκίρρος, ἐρυσίπελάς τε, καὶ ἀπόστημα, καὶ οἴδημα, καὶ ἐμπύημα, καὶ ἕλκος, ἐξάρθρημά τε, καὶ κάταγμα, καὶ σπάσμα, καὶ ῥῆγμα, καὶ κολόβωμα, καὶ δοθιὴν, καὶ ἴονθος, καὶ φ μα. καί τοι καὶ τούτων αὐτῶν ἔνια, τὰ μὲν, καὶ τὸν τόπον τοῦ σώματος, ἤτοι τὸ πεπονθὸς μέρος, ἐμφαίνειν ἔοικεν, ἔνια δὲ ἀπὸ τοῦ πλεονεκτοῦντος ὀνομάζεται συμπτώματος. εἰσὶ δ᾽ ἄρα τι καὶ χωρὶς παρεμφάσεως ὀνομάζεται, τάς γ᾽ ἐν αὐτῷ διαφορὰς καὶ τοσοῦτο πολυειδεῖς ἐσχηκεν, οἷον ἕλκος. εἰ καὶ μὴ συνεχείας ἦν ἡ λύσις, ἐν σαρκώδει μορίῳ καὶ ταύτῃ παραδηλοῦν ἐδόκει τὸν πεπονθότα τόπον. ἀλλ᾽ ἄγε περὶ μέρος αὐτοῦ διαφοραὶ, ποικίλαι τοῖς ὀνόμασι. χειρώνιον, καὶ τηλέφιον, καὶ καρκῖνος, ἕρπης τε, καὶ φαγέδαινα, καὶ πάνθ᾽ ὅσα τοιαῦτα. τὰ μὲν, ἀπὸ τῶν πρώτως ἰασαμένων, ὡς τὸ χειρώνιον. ἔνια δ᾽ ἀπὸ τῶν πεπονθότων, ὡς τὸ τηλέφιον. ἀπὸ δὲ τῆς πρὸς τὸ ζῶον ὁμοιότητος, ὁ καρκῖνος. ἡ φαγέδαινα δ᾽ ἀπὸ τοῦ συμπτώματος. ὥσπερ γε καὶ οἱ ἕρπητες. ἀλλ᾽ ἡ μὲν φαγέδαινα, πάντως ἐστὶν ἕλκος ἐσθιόμενον, ἢ ἀναβιβρώσκον, ἢ ὅπως ἂν ἐθέλοι τις ὀνομάζειν. ὁ δ᾽ ἕρπης, οὐθ᾽ ἕλκος ἀεί. καὶ ὁπότε μεθ᾽ ἑλκώσεως, οὐ κατέχων τὴν ἀρχαίαν ἕδραν, ἐπινέμεται τὰ πλησίον,

ἀλλ' ὥσπερ τοὔνομα δηλοῖ, δίκην ἕρποντος θηρίου, καταλείπει μὲν τὰ πρότερα, μετέρχεται δ' ἐφ' ἕτερα. κοῖλον δ' ἕλκος, καὶ ῥυπαρὸν, καὶ καθαρὸν, ὁμαλές τε καὶ ὑπερσαρκοῦν, οἰκειοτέρας μὲν ἔχει τὰς προσηγορίας, οὐ μὴν ὡσαύτως γε πάσας, ἀλλὰ τὸ μὲν ὁμαλὲς, ἀπὸ τῆς οἰκείας διαφορᾶς. ὡσαύτως δὲ καὶ τὸ κοῖλον ἢ ὑπερσαρκοῦν. ἔμπαλιν δὲ καὶ καθαρὸν καὶ ῥυπαρὸν, οὐ κατὰ τὰς οἰκείας διαφορὰς, ἀλλ' ἀπὸ τῶν ἔξωθεν ὀνομάζεται συμπτωμάτων. οὕτως οὖν ἀνωμάλου τῶν ὀνομάτων τῆς θέσεως τοῖς ἀρχαίοις γεγενημένης. καὶ πολὺ μᾶλλον, ὅταν ἐπινυκτίδα καὶ ἀκροχορδόνα καὶ νυκτάλωπα προσαγορεύωσι, τὸ μὲν ὅτι νύκτωρ ἐγγίνεται, τὸ δ' ὅτι κατ' ἄκρας ὀχεῖται τῆς ἐπιφανείας τοῦ δέρματος, τὸ δ' ὅτι τῆς νυκτὸς ἀποφαίνει μὴ βλέποντας, ἕτερά τε πολλὰ τοιαῦτα ποιῶσιν. εἰ γὰρ ἐπεξίοιμι πάντα, κινδυνεύσω σπουδάζειν δοκεῖν, ὃ φεύγειν ἐκέλευσα. πειρᾶσθαι οὖν χρὴ παντὶ τρόπῳ τὸν τῆς ἀληθείας αὐτῆς ὀρεγόμενον, ἀποχωρεῖν μὲν τοῦ προσδοξαζομένου τοῖς ὀνόμασιν, ἐπὶ δὲ τὴν οὐσίαν τῶν πραγμάτων αὐτὴν ἰέναι, καὶ ταύτην ἐπισκέπτεσθαι καὶ ζητεῖν, ὁπόσα τὰ σύμπαντ' ἐστὶ νοσήματά τε καὶ συμπτώματα, καὶ προσέτι τὰ προηγούμενα τούτων αἴτια. τοῦτ' οὖν ἡμεῖς ἐποιήσαμεν ἐν ἑτέροις ὑπομνήμασιν, ὧν ἐστὶ περὶ μὲν τοῦ πλήθους τῶν νοσημάτων, ἐν ἐπιγέγραπται δὲ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς. ἕτερον δὲ, περὶ τῆς τῶν συμπτωμάτων ἐστὶ διαφορᾶς. οὕτω δὲ καὶ τὰς αἰτίας αὐτῶν ἐπειράθημεν ἐξευρεῖν, ἑκατέρας ἰδίᾳ, τάς τε τῶν νοσημάτων, καὶ τὰς τῶν συμπτωμάτων ἁπάντων, ὡς μηδὲν ἔτι λείπειν, ἀλλ' ἑτοίμην εἶναι τὴν παρασκευὴν ἅπασιν εἰς τὴν νῦν ἡμῖν προκειμένην πραγματείαν. ὅθεν οὐδ' ἀναγινώσκειν ἔτι τὰ μετὰ ταῦτα ῥηθησόμενα συμβουλεύω, πρὶν ἐν ἐκείνοις γυμνάσασθαι. παρακούσας γάρ τις οὕτω πολλῶν θεωρημάτων, οὔτ' αὐτὸς ὠφεληθήσεται, καὶ μάτην ἐγκαλέσει τοῖς ὀρθῶς λεγομένοις. ἐν ἐκείνοις μὲν οὖν ἅπαν κατὰ μέρος ἐπεξέρχομαι, τά τε νοσήματα, καὶ τὰ συμπτώματα, καὶ τὰς αἰτίας. ἐνταυθοῖ δὲ, δύο ἔτι προσθεὶς ταῦτα ἀναγκαῖα γινώσκεσθαι τοῖς ἀσκήσασι τὴν θεραπευτικὴν μέθοδον, ἐπὶ τὸ χρῆσθαι τοῖς εὑρισκομένοις τηνικαῦτα μεταβήσομαι. τίνα δὲ τὰ δύο ταῦτ' ἐστὶν ἃ μέλλω λέγειν; ἓν μὲν, ὅπῃ διαφέρει νόσημα, πάθους. ἕτερον δὲ, ὅτι χωρὶς τοῦ γνῶναι τὰ στοιχεῖα τοῦ σώματος ἐξ ὧν πρώτων γέγονεν, ἀμήχανον ἐξευρεῖν τὰ νοσήματα. ταῦτ' οὖν ἐγὼ μὲν πειράσομαι διελθεῖν ἐπιμελέστατα. σὺ δ' ἀναλεξόμενος αὐτὰ, παρακαλῶ μὴ πρότερον ἐπ' αὐτὴν μετιέναι τὴν θεραπευτικὴν μέθοδον, πρὶν ὁπόσα τὰ πάντα ἐστὶ νοσήματα καὶ αὐτὸς ζητῆσαι κατὰ μόνας, καὶ τοῖς ὑφ' ἡμῶν γεγραμμένοις ἐπιμελῶς ἐντυχεῖν. ὡς οὖν ταῦτα ποιησάντων, ἄρξομαι τοῦ λόγου. Τρεῖς ἐδείχθησαν οὖσαι διαθέσεις ἐν τῷ σώματι παρὰ φύσιν. αἰτίων τε, καὶ νοσημάτων, καὶ συμπτωμάτων. αἰτίων μὲν, οἷον τοῦ πλήθους, ἢ τῆς διαφθορᾶς. νοσημάτων δὲ οἷον τῆς φλεγμονῆς, ἢ τοῦ ἕλκους. συμπτωμάτων δὲ, οἷον τῆς ἀχροίας, ἢ τῆς ἰσχνότητος. ἔξωθεν δὲ τούτων ἐστὶ, τὰ ἀμέτρως ἐκκρινόμενα τοῦ σώματος, ἢ παρὰ φύσιν ἐπεχόμενα, καὶ τῶν ἐνεργειῶν αἱ βλάβαι, κοινῇ μὲν ἅπαντα προσαγορευόμενα συμπτώματα, γένος δ' οὐχ ἓν ἔχοντα. διάθεσις μὲν γάρ τις ἐστὶ σώματος ἡ ἀχροία. τὸ δὲ ἐκκρινόμενον ἢ ἐπεχόμενον, ἕπεται μὲν, διάθεσις δ' οὐκ ἔστιν. οὕτω δὲ καὶ ἡ ἐνέργεια βεβλαμμένη τε καὶ ἀβλαβὴς οὖσα, διάθεσις μὲν οὐκ ἔστιν. ἕπεται δὲ ἐξ ἀνάγκης τῇ τοῦ μορίου διαθέσει. τὸ μὲν οὖν οἴδημα καὶ ἡ φλεγμονὴ, τῶν ἁπλῶς ὄντων ἐστί. κατὰ ταὐτὰ δὲ καὶ τὸ πλῆθος, εἰ τύχοι, τοῦ αἵματος, ἢ τοῦ σώματος ἡ ὠχρότης. ἡ δ' ἐνέργεια, τῶν μὲν ἁπλῶς ὄντων, οὐκ ἔστιν, ἢ οὐχ ὁμοίως γε τούτοις ὄντων. οὐδένα γὰρ αὐτῆς χρόνον ὑπομένει τὰ μόρια, καθάπερ οὐδὲ τὰ τῆς λέξεως, οὐδ' ὅλως κινήσεως οὐδεμιᾶς, ἀλλ' ἕκαστον τούτων, ἐν τῷ γίνεσθαι τὸ εἶναι λαμβάνει. διττοῦ δ' ὄντος γένους κινήσεως, τοῦ μὲν, κατὰ τόπον, τοῦ δὲ, κατὰ ποιότητα, φορὰ μὲν, τὸ πρότερον, ἀλλοίωσις δὲ, τὸ δεύτερον ὀνομάζεται. πᾶσα μὲν οὖν ἐνέργεια κίνησίς ἐστι δραστική, πᾶσα δ' ἀλλοίωσις, κίνησις παθητικὴ τοῦ ἀλλοιουμένου. πάσχει γάρ τι τὸ ἀλλοιούμενον. αἱ τοίνυν διαθέσεις, ἐπειδὰν ἀλλοιῶνται, κινοῦνται, παυσάμεναι δὲ τοῦ κινεῖσθαι, ἠλλοίωνται μὲν, ἀλλοιοῦνται δ' οὐκ ἔτι. πᾶν γὰρ τὸ ὁπωσοῦν ἔχον, ἔν τινι πάντως ἐστὶ διαθέσει. τὸ δ' ἐν δυσλύτῳ διαθέσει, καθ' ἕξιν ἤδη διάκειται. ἀλλοιοῦται μὲν ὁ μελαινόμενος, ἠλλοίωται δὲ ὁ μελανθεὶς, ὥστ' εἶναι τὴν ἀλλοίωσιν, γένεσιν ποιότητος, ἢ διαθέσεως, ἢ ὅπως ἂν ἐθέλοις ὀνομάζειν. οὐ μάχεται δὲ τὸ λέγειν ἀπαλλαγὴν εἶναι τοῦ προϋπάρχοντος τὴν ἀλλοίωσιν, τῷ λέγειν γένεσιν αὐτὴν εἶναι ποιότητος. ἅμα γὰρ ἄμφω συμπίπτει. καὶ ἡ πρόσθεν ὑπάρχουσα τῷ σώματι μεταβολὴ καὶ νῦν ἄλλη γίγνεται. τοῦ γοῦν ἐν ἡλίῳ διατρίψαντος, ἀλλοιοῦται μὲν ἡ λευκότης, γεννᾶται δὲ ἡ μελανότης. καὶ τοῦ παρὰ πυρὶ θαλπομένου, μεταβάλλει μὲν ἡ ψυχρότης, γίγνεται δὲ ἡ θερμότης. ὅταν δὲ τοῦ δέ τινος, ὃ οὐκ ἔστιν οὐσία, γένεσιν εἶναι λέγωμεν, οὐ ταυτὸν δηλοῦμεν ἐν τῇ λέξει τῇδε, κἄπειτα δὰν ἁπλῶς ὀνομάσωμεν γένεσιν. ἡ μὲν γὰρ ἁπλῶς ὀνομαζομένη γένεσις, ὁδός ἐστιν εἰς οὐσίαν, ἡ δὲ τοῦ δέ τινος γένεσις, εἰς τὴν, ὡς ἂν εἴποι τις, ὕπαρξιν ἐκείνου. ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ λελέχθω. ὃ δὲ ἐν τῷ λόγῳ μάλιστα προύκειτο, σχεδὸν ἤδη διώρισται. τὸ τὰ μὲν ἐν γενέσει τε καὶ μεταβολῇ, καὶ ἀλλοιώσει, καὶ ἁπλῶς εἰπεῖν, ἐν κινήσει τοῦ εἶναι μεταλαμβάνειν, τῶν δ' ὑπομενόντων τὴν οὐσίαν. ὑγεία μὲν οὖν καὶ νόσος, ὅσαι τε συμπτωμάτων ἢ αἰτίων εἰσὶ διαθέσεις, ἢ ἕξεις, ὑπομενόντων εἰσίν. αἱ δ' ἐνέργειαι πᾶσαι, καὶ αἱ καθ' ὁτιοῦν ἀλλοιώσεις, ἐν τῷ γίνεσθαι τὸ εἶναι κέκτηνται. καὶ τὸ καθ' ὁτιοῦν κινούμενον σῶμα, κατ' ἐκεῖνο πάσχει. καὶ ἡ κίνησις αὐτοῦ, πάθος ἐστίν. οἱ μὲν οὖν παλαιοὶ, καὶ τὰς ἐν τῷ κατὰ φύσιν ἔχειν ἁπάσας κινήσεις, ὅσαι γε μὴ δραστικαὶ, πάθη προσαγορεύουσιν. ὥσπερ οὖν ἐνεργείας τὰς δραστικὰς, οὕτω καὶ αὐτὰς τῶν αἰσθήσεων τὰς ἀλλοιώσεις ὁ Πλάτων ὀνομάζει πάθη. τοῖς νεωτέροις δὲ οὐκ οἶδ' ὅπως δόξαν, ἐπὶ τῆς παρὰ φύσιν μόνης, κινήσεως κεῖται τοὔνομα. ἰδίως μὲν οὖν τὸ πάθος ἐπὶ πάσης τῆς ἔξωθεν κινήσεως ἐλέγετο παρὰ τῶν παλαιῶν. ἤδη δὲ καταχρώμενοι καὶ τὰς ἐκ πάθους μὲν γεγενημένας τῶν διαθέσεων, οὐκέτι δ' ἐν κινήσει πάθη προσαγορεύουσιν. οὐ μὴν χρονιώτερόν γε, οὐδὲ δυσλυτώτερον ἡ διάθεσις τῆς ἕξεως. ὥσπερ οὐδὲ ἡ ἀῤῥωστία. ἀλλ' αἱ τοιαῦται νομοθεσίαι τῶν ὀνομάτων, ὑπὸ τῶν νεωτέρων ἐπεισήχθησαν. εἴρηται δὲ ἐπὶ πλέον ὑπὲρ τῶν ἰατρικῶν ὀνομάτων ἑτέρωθι. καὶ νῦν οὐ ταῦτα πρόκειται σκοπεῖν, ἀλλ' ὅπως ἡμεῖς χρησόμεθα, διελέσθαι μόνον ἀναγκαῖον ἔδοξε, σαφηνείας ἕνεκα. τὴν γὰρ ἐναντίαν ὑγείᾳ διάθεσιν, ὑφ' ἧς

ἐνέργειαν

ἐνέργειαν λέγομεν βλάπτεσθαι, νόσημα μόνον προσαγορεύομεν, εἴτε πολυχρόνιον, εἴτε ὀλιγοχρόνιον, εἴτ᾽ ἐν ἀκαρεῖ χρόνῳ γίγνοιτο. τὰς δ᾽ ἄλλας ἁπάσας τὰς προηγουμένας τούτων, ἐν αἰτίας λόγῳ, διαθέσεις παρὰ φύσιν, αὐτὸ τοῦτο μόνον, αἰτίας, οὐ πάθη. τὰ δ᾽ ἑπόμενα ταύταις, ὅσα μὲν ἐνεργειῶν εἰσὶ βλάβαι συμπτώματά τε καὶ πάθη. περὶ ταῦτα δὲ καὶ τὰς ἀμέτρους ἐκκρίσεις, ἢ ἐπισχέσεις. ὅσαι δὲ διαθέσεις, ὥσπερ καὶ ἡ ἀχροια, πρὸς ᾧ τοῦ πάθους τε καὶ τοῦ συμπτώματος ὀνόματι, διαθέσεις ὀνομάζομεν, ὥσπερ οὖν καὶ εἰσί. κοινὸν μὲν δὴ τούτων ἁπάντων, τὸ παρὰ φύσιν, καὶ τῶν αἰτίων, καὶ τῶν νοσημάτων, καὶ τῶν συμπτωμάτων. ἴδιον δὲ, τῶν μὲν νοσημάτων, τὸ βλάπτειν ἐνέργειαν. τῶν δὲ συμπτωμάτων τὸ τούτοις ἕπεσθαι, τῶν δὲ αἰτίων, τὸ προηγεῖσθαι. οὔτ᾽ οὖν ὅστις κίνησιν εἶπε παρὰ φύσιν εἶναι τὴν νόσον οἶδεν ὃ λέγει, καθάπερ ἐν τῷ πρὸ τούτου λόγῳ διήλθομεν ἐνίους τῶν μεθοδικῶν οὕτως ἀφορίσασθαι προσθέντας ἐκ περιττοῦ τὸ ἐπίμονον, οὐδ᾽ ὅστις τροπὴν ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν. οὐδὲν γὰρ μᾶλλον αἰτίας, ἢ νοσήματος, ἢ συμπτώματος ὁ λόγος. ἅπαντα γὰρ ταῦτα, διαθέσεις εἰσὶ παρὰ φύσιν. ἀλλ᾽ εἰ μὲν ὀλιγοχρόνια, δῆλον ὡς ὀξέα. εἰ δὲ δύσλυτα, χρόνια. διοίσει δ᾽ οὐδὲν, ἢ νόσον, ἢ νόσημα λέγειν, ὥσπερ οὐδὲ πάθος, ἢ πάθημα. καὶ μὲν δὴ καὶ ὅτι τὸ πάθος ὄνομα, καὶ κατὰ τοῦ νοσήματος ἐπιφέρουσιν οἱ παλαιοί, καθάπερ καὶ τὴν ἀρρωστίαν καὶ τὴν ἀσθένειαν, ἐπιδέδεικται καὶ τοῦτ᾽ ἐν τοῖς περὶ τῶν ἰατρικῶν ὀνομάτων, καὶ ὡς οὐδὲν διαφέρει λέγειν ἀρρωστίαν ἢ ἀρρώστημα. καὶ μέν γε καὶ ὡς τοὺς νοσοῦντας αὐτοὺς, οὐ νοσοῦντας μόνον, ἀλλὰ καὶ ἀρρωστοῦντας, καὶ ἀσθενοῦντας, καὶ κάμνοντας ὀνομάζουσιν, ἐπιδέδεικται δὲ καὶ τοῦτο δι᾽ ἐκείνων τῶν ὑπομνημάτων. λοιπὸν δ᾽ ἂν εἴη νῦν, οὗπερ ἕνεκα ταῦτ᾽ εἴρηται, πάντα προσθέντας, ἐπί τι τῶν ἑξῆς ἤδη μετιέναι. τί δὲ τοῦτ᾽ ἐστίν; οὐκ ἄλλο τοῦ πολλάκις ἤδη καὶ πρόσθεν εἰρημένου, τοῦ πρῶτόν τε καὶ μάλιστα τοῦτο σπουδάζειν τοὺς ἰατροὺς, καὶ τοῦτο σχεδὸν αὐτῶν ἔργον ὑπάρχειν ἴδιον, ἐκκόπτειν τὰς νόσους. εὐθὺς γοῦν ἅμα τούτῳ καὶ ἡ βλάβη τῆς ἐνεργείας οἴχεται, καὶ τ᾽ ἄλλα συμπτώματα πάντα συναναιρεῖται. χρήζουσι μὲν γοῦν πάντες οἱ ἄνθρωποι πρώτης καὶ μάλιστα τῆς κατὰ φύσιν ἐνεργείας, δι᾽ ἐκείνην δὲ, καὶ τῆς ὑγείας. καὶ ἀποθέσθαι γε βούλονται τὴν βλάβην τῆς ἐνεργείας, καὶ διὰ τοῦτο, καὶ τὴν νόσον. οὐ μὴν τῇ γε βλάβῃ τῆς ἐνεργείας, ἀλλὰ τῇ νόσῳ προσφέρουσι τὰ βοηθήματα, τουτέστι τῇ παρὰ φύσιν διαθέσει, τῇ βλαπτούσῃ τὴν ἐνέργειαν. ὅστις οὖν οὐκ οἶδεν αὐτῶν τῶν κατὰ φύσιν ὑπαρχόντων τοῖς μορίοις, τά τ᾽ ἄλλως συμβεβηκότα, καὶ τὰ τῆς ἐνεργείας αἴτια διορίσαι, πῶς τοῦτον εἰκὸς ἐξευρεῖν τὴν διάθεσιν, ὑφ᾽ ἧς πρώτως ἡ ἐνέργεια βλάπτεται; τὰ μὲν γοῦν ἄλλως συμβεβηκότα τοῖς σώμασι, κἂν μυριάκις ἀλλοιωθείη, βλάπτειν τὴν ἐνέργειαν οὐ δύνανται, ἕως ἂν ὑφ᾽ ὧν ἐγίγνετο κατὰ φύσιν ἔχῃ πάντα. τούτων δ᾽ εἴπερ τι κἂν ἓν ἀλλοιωθῇ βλαβῆναι τὴν ἐνέργειαν εὐθὺς ἀναγκαῖον εἰς τοσοῦτον, εἰς ὅσον περ καὶ ὠφελεῖται κατὰ φύσιν ἔχοντος. ἐμοὶ μὲν οὖν εἴρηται τὸ πᾶν, καὶ δέδεικται σαφῶς ἤδη τοῖς γε δυναμένοις ἕπεσθαι λόγοις ἀληθέσιν, ὡς οὐκ ἐγχωρεῖ ὁπόσα τὰ πάντ᾽ ἐστὶ νοσήματα, μεθόδῳ περιλαβεῖν, εἰ μή τις εἰδείη ὁπόσα τὰ πάντ᾽ ἐστὶν ὑπάρχοντα κατὰ φύσιν ἔχοντι τῷ σώματι, τῆς ἐνεργείας αἴτια. μανθάνειν δ᾽ οὔπω δυνατόν ἐστι τῶν εἰρημένων οὐδὲν, ὅσοι σκαιότεροί τε εἰσὶ, καὶ ἀργοὶ τὴν διάνοιαν, ἢ τοῖς τῆς μεθοδικῆς αἱρέσεως λήροις ἐντετράφησαν. αὖθις οὖν κἀκείνοις, ὃ καθόλου νῦν εἴρηται, τοῖς συνετοῖς, ἐπέλθωμεν κατὰ μέρος. ἓν τι καὶ δεύτερον οἷον παραδείγματα τῷ λόγῳ προχειρισάμενοι. διὰ τί γὰρ ἡ γλῶττα τῶν χυμῶν αἰσθάνεται, τῶν δ᾽ ἄλλων μορίων οὐδέν; ἆρά γε διὰ τὴν χροιὰν, ἢ διὰ τὴν θέσιν, ἢ διὰ τὸ μέγεθος, ἢ διὰ τὸ σχῆμα; παθούσης γὰρ αὐτῆς οἶμαι, καὶ μηκέτ᾽ αἰσθανομένης τῶν χυμῶν, ἤτοι τὴν χροιὰν ἐπανάξομεν εἰς τὸ κατὰ φύσιν, εἰ κατὰ ταύτην εἶχε τὴν ἐνέργειαν, ἢ τῶν ἄλλων ἕκαστον τῶν εἰρημένων, εἰ κατ᾽ ἐκεῖνο. κἂν εἰ κατ᾽ ἄλλο δέ τι παρὰ ταῦτα, δῆλον ὡς κατ᾽ ἐκεῖνο μόνον, εἴπερ ἂν αὐτὴν ἐπανάγοιμεν εἰς τὸ κατὰ φύσιν, οὐδὲν τῶν ἄλλων ἔτι δεησόμεθα. φέρε γὰρ, ὅτι πυκνὴ τοῖς πόροις ἐστὶν εἰς τοσόνδε, διὰ ταῦτ᾽ αὐτὴν αἰσθάνεσθαι τῶν χυμῶν. ἆρ᾽ οὐ τὴν ἐκείνων συμμετρίαν μὲν ὁπόθ᾽ ὑγιαίνουσι φυλάξομεν, τὴν ἀμετρίαν δ᾽ αὖθις ὁπότε νοσοῦσιν ἐπανορθωσόμεθα; φέρε δ᾽ εἰ οὕτως ἔτυχε, διότι συμμέτρως ἔχει θερμότητος, αἰσθητικὴν εἶναι τὴν γλῶτταν τῶν χυμῶν, ἆρ᾽ οὐκ κἀνταῦθα πρόδηλον ὡς τῶν ἄλλων ἁπάντων ἀμελήσαντες, ἐκεῖνο φυλάξομεν αὐτῆς μόνον, ἀφ᾽ οὗ τὴν ἐνέργειαν ἐκέκτητο; φέρε δ᾽ εἰ ξηρότητός τε καὶ ὑγρότητος ὡδέ πως ἐχούσῃ, διὰ τοῦτ᾽ αἰσθάνοιτο, τίς οὐκ ἂν ἁπάντων τῶν ἄλλων ἀμελῶν, εἰς τοῦτ᾽ ἀποβλέποι μόνον αὐτῆς, ὅπως μήθ᾽ ὑγροτέρα τοῦ δέοντος ἔσται, μήτε ξηροτέρα; τίς δ᾽ οὐκ ἂν, εἴπερ τοῦτ᾽ ἐστὶν ἀληθὲς, ἐξ ἑτοίμου συλλογίσαιτο, δύο εἶναι τὰ πάντα τῆς γλώσσης νοσήματα. τὸ μὲν ὑγρὸν τὸ δὲ, ξηρόν. ὥσπερ αὖ καὶ εἰ θερμότητι καὶ ψυχρότητι συμμέτρῳ τὴν αἴσθησιν ἔχοι, τίς οὐκ ἂν κἀνταῦθα δύο εἶναι τὰ νοσήματα αὐτῆς ἐννοήσειεν, ἀμετρίαν θερμότητός τε καὶ ψύξεως; ὥσπερ εἰ καὶ τῇ τῶν πόρων συμμετρίᾳ τὴν αἴσθησιν ἐκέκτητο, πρόχειρον ἦν δήπου κἀνταῦθα λογίσασθαι πάντως ὑπὸ τῆς ἀμετρίας αὐτὴν βλαβήσεσθαι. διττὴν δὲ ταύτην ἔσεσθαι. πύκνωσίν τε καὶ μάνωσιν τῶν πόρων. ἆρ᾽ οὖν ἔτι λέγω πολλὰ τοὺς ἀναισθήτους ἐπάγων; εἰ καὶ μὴ δ᾽ ἄλλο, τοῦτο γοῦν ἐννοῆσαι τὸ μὴ δύνασθαί τι μήθ᾽ εὑρεῖν, μήτ᾽ ἀποδεῖξαι τὸ πλῆθος τῶν νοσημάτων, ἄνευ τοῦ γνῶναι, τίνα μὲν τῶν ὑπαρχόντων τοῖς μορίοις αἴτια τῆς ἐνεργείας ἐστὶ, τίνα δ᾽ ἄλλως τούτοις συμβέβηκεν. ἢ καὶ δεύτερόν τι καὶ τρίτον ἔτι παράδειγμα προχειρίσωμαι; πολλάκις γὰρ ὑπὸ τοῦ πλήθους αὐτῶν τιτρώσκονται τῶν ἀνοήτων αἱ ψυχαί. φέρε τοίνυν αὖθις ὡδέ πως αὐτοὺς ἐρωτήσωμεν. ἆρ᾽ αἰσθάνεται τὸ σῶμα, θερμῶν καὶ ψυχρῶν, καὶ σκληρῶν καὶ μαλακῶν, καὶ λείων καὶ τραχέων, καὶ ἁπλῶς ἁπάντων τῶν ἁπτῶν, ὅτι λευκὴν τὴν χροιάν ἐστιν, ἢ ὅτι μέλαιν, ἢ ὅτι πυῤῥὸν, ἢ ἁπλῶς εἰπεῖν ὅτι τοιάνδε τὴν χροιάν; ἢ κατ᾽ οὐδὲν μὲν τούτων, δι᾽ ἄλλο δέ τι; πρόδηλον γοῦν οἶμαι παντὶ, τὸ, φυλάττειν αὐτῷ χρῆναι μόνον ἐκεῖνο μέλλοντί γε αἰσθήσεσθαι καλῶς, ἐξ οὗπερ ἐκέκτητο μόνου, τὸ καλῶς αἰσθάνεσθαι. εἰ μὲν γοῦν ἐκ τοῦ λευκὸν εἶναι τοῦτ᾽ ἐκέκτητο, περὶ παντὸς ἐχρῆν ποιεῖσθαι, καὶ φυλάττειν τοῦτο, καὶ φεύγειν τὸ μέλαν. εἰ δ᾽ ἔμπαλιν ἐκ τοῦ μέλαν ὑπάρχειν ἦν αἰσθητικὸν, ἀποδιδράσκειν ἐχρῆν οἶμαι καὶ δεδιέναι τὰς ἄλλας ἁπάσας χρόας. οὕτω δὲ καὶ εἰ διότι ξανθὸν ἢ πυῤῥόν ἐστι διὰ τοῦτ᾽ αἰσθάνοιτο, φευκτέον ἐστὶν οἶμαι τὰς ἄλλας χρόας, ὡς ἂν δυσαισθησίας ἀπεργαστικάς. καὶ μὲν δὴ καὶ εἰ τῷ σκληρὸν εἶναι τὴν αἴσθησιν εἶχε, τῷ μαλακὸν γίνεσθαι βλαβήσεται. καὶ εἰ τῷ

πυκνὴν εἶναι, τὸ μανὸν ἀπεργάσασθαι, καὶ εἰ συμμετρίᾳ πόρων ᾐσθάνετο, πρὸς τῆς ἀμετρίας δήπου βλαβήσεται. καὶ καθόλου, τῆς τοῦ αὐτοῦ μόνου ὑπάρχειν χρὴ πρὸς τὴν αἴσθησιν ἀφ᾽ οὗ τὴν αἴσθησιν εἶχε, καὶ τοῦτο ἐπανορθοῦσθαι μόνον, ἐπειδὰν ἐξίστηται τῆς φύσεως, ὑφ᾽ οὗ τὴν αἴσθησιν βλάπτεται. ἆρ᾽ οὖν δεήσει τρίτου παραδείγματος, ἢ καὶ ταῦθ᾽ ἱκανά; τοῖς μὲν συνετοῖς οἶμαι, καὶ ταῦτ᾽ ἐστὶ περιττά, τὸ καθόλου συνιέναι δυναμένοις ἄνευ τῶν παραδειγμάτων. ἀμαθέσι δὲ καὶ σκαιοῖς καὶ φιλονείκοις, ἴσως οὐδ᾽ εἰ τρίτον προστεθείη παράδειγμα, πλέον οὐδέν. ἀλλ᾽ ὅμως ἐπειδή περ εἴρηται δύο, καὶ κατατρίβουσιν ἀεὶ μάτην ἡμῶν τὸν χρόνον, εἴη ἂν καὶ νῦν οὐκ ἀπεικὸς, ἐν αὐτοῖς ἔτι προσθεῖναι παράδειγμα. καὶ δὴ καὶ προβεβλήσθω μὲν ὅπως ἀπεπτοῦσαν ἐπανορθωσόμεθα γαστέρα. τὸν δὲ λόγον οὐ πρὸς τοὺς μεθοδικοὺς ἔτι μόνους ἀλλ᾽ ἤδη καὶ πρὸς ἐκείνους ποιησόμεθα τῶν λογικῶν, οἳ νομίζουσι μεθόδῳ τινὶ δύνασθαι καὶ λόγῳ τὴν τέχνην συστήσασθαι, χωρὶς τοῦ γνῶναι τὴν πρώτην αἰτίαν τῆς ἐνεργείας, ἣν δὴ καὶ προσεχῆ καλεῖν εἰώθασιν. ἔστω δή τινα λέγειν, ἀπὸ γὰρ τῶν πρόχειρον ἐχόντων τὴν ἀτοπίαν ἄρξασθαι βέλτιον, ἵν᾽ ἐπαγάγωμεν αὐτοὺς εἰ οἷόν τε κατὰ βραχὺ πρὸς τὸ καὶ τῶν ἀμυδροτέρων αἰσθάνεσθαι, λέγειν οὖν ὑποκείσθω τινά, διότι πολλαῖς ἐφεξῆς ἡμέραις ὁ δεῖνα τις ἄνθρωπος ὁ νῦν ἀπεπτῶν, ἐπὶ γάλακτος μόνου διαιτηθεὶς, ἠλλοίωσε τὸ τῆς γαστρὸς χρῶμα, καὶ λευκὴν ἐποίησεν ἀντ᾽ ἐρυθρᾶς, διὰ τοῦτ᾽ αὐτῷ βεβλάφθαι τὴν ἐνέργειαν, οἶμαί σε γελᾶν ἤδη, καὶ δικαίως γελᾶν. ἀλλ᾽ εἴπερ εἰδείης ὡς ἴσον ἐστὶ καὶ τοῦτο περὶ χρωμάτων εἰπεῖν ὁτιοῦν ἄνευ τοῦ προσθεῖναι τὴν ἀπόδειξιν, καί σοι περὶ τῆς τῶν πόρων, εἰ οὕτως ἔτυχε, συμμετρίας, ἢ ἄλλης ἡστινοσοῦν διαθέσεως, οὐκ οἶμαί σε γελάσειν εὐλόγως. ἢ γὰρ κἀπὶ σαυτῷ τὸν γέλωτα κινήσον, ἢ μηδ᾽ ἐφ᾽ ἑτέρῳ. ἔστω γὰρ ἰταμὸν εἶναι, τὸν τὸ χρῶμα τῆς γαστρὸς αἰτιώμενον, τοῦ μὴ πέττειν καλῶς, καὶ φάσκειν ὡς ἐπειδὴ κατὰ φύσιν ἔχουσα τὴν χρόαν ἐνεργὴς ἐστί, νῦν δ᾽ ἀπειργάσθαι λευκὴ ἀκριβῶς, διὰ τοῦτ᾽ ἀπεπτήσειν ἐξ ἀνάγκης αὐτήν, ἡδέως ἂν ἀκούσαιμί σου τὴν πρὸς τοῦτον ἀντιλογίαν. ἐγὼ μὲν γὰρ οὐδ᾽ ἐπινοῆσαι δύναμαι τρόπον ἕτερον αὐτῆς, ἄνευ τοῦ κελεῦσαι τῷ ταῦτ᾽ εἰπόντι δεῖξαι πρότερον, εἰ διὰ τὴν χρόαν ὅλως ἐνεργεῖ κατὰ φύσιν ἡ γαστήρ, σὺ δὲ εἴπερ ἔχεις, ἡδέως ἂν ἀκούσαιμί σου. ἀλλ᾽ οὔτε ἔχεις, οὔτ᾽ ἕξεις εἰπεῖν ἕτερόν τινα τρόπον ἀντιλογίας, πρὸς τὸν τὴν χροιὰν αἰτιώμενον τῆς ἀπεψίας, ἀλλ᾽ ἢ τὴν πρόκλησιν τοῦ δεῖξαι πῶς ἐκ τοῦ κατὰ φύσιν χρώματος ἡ γαστὴρ ἔχει τὸ πέττειν. εἶτ᾽ ἐκεῖνος μὲν οὐ πιστευθήσεται τὴν χρόαν αἰτιώμενος τῆς ἀπεψίας, πρὶν δεῖξαι κατὰ τοῦτ᾽ ἐνεργοῦσαν αὐτήν, σὺ δ᾽ ἤτοι τὴν ἀμετρίαν λέγων τῶν πόρων, ἢ ὁτιοῦν ἄλλο πιστευθήσῃ πρὸ τοῦ δεῖξαι πῶς ἐνεργεῖ κατὰ τὴν ἐν ἐκείνῳ τῷ γένει συμμετρίαν; ἀλλ᾽ οὐδὲ τοῦτο λέγω φησίν, οὐδ᾽ ἄλλο τι τὸ προσεχὲς τῆς πέψεως αἴτιον, ἀλλ᾽ ὅλως ἀγνοεῖν ὁμολογῶ. καὶ μὴν εἰ τῷ μὲν τὴν χρόαν αἰτιωμένῳ τῆς ἐνεργείας ἀναγκαῖόν ἐστι καὶ τῆς βλάβης αἰτιᾶσθαι, τῷ δὲ τὴν συμμετρίαν τῶν πόρων, καὶ τούτῳ τὴν ἀμετρίαν τῶν αὐτῶν τούτων πόρων, καὶ τῷ τὴν εὐκρασίαν τῶν τεττάρων ποιοτήτων, θερμότητος, καὶ ψυχρότητος, καὶ ὑγρότητος, καὶ ξηρότητος, καὶ τούτῳ τὴν δυσκρασίαν τῶν αὐτῶν, ἀναγκαῖον ἔσται καί σοι τὸ κατὰ φύσιν ὑποθεμένῳ πρότερον, οὕτως ἐξευρεῖν τὸ παρὰ φύσιν. εἰ δὲ μὴ γινώσκεις τὸ κατὰ φύσιν, οὐδὲ τὸ παρὰ φύσιν οἶσθα. καὶ γὰρ δὴ καὶ ὑμῶν αὐτῶν ἀκούω λεγόντων πρὸς τοὺς ἐμπειρικοὺς ἰατρούς, ὡς οὐκ ἐνδέχεται γνῶναι τὸ παρὰ φύσιν, εἰ μὴ πρότερον εἰδείη τις τὸ κατὰ φύσιν. ἀλλὰ γιγνώσκω φησὶ τὸ κατὰ φύσιν. ἆρά γε σύμπαν, ἢ μέρος αὐτοῦ τι; καὶ τοῦτο τὸ μέρος ὃ γινώσκεις, ἆρά γε τὸ τῆς ἐνεργείας ἐστὶν αἴτιον, ἢ ἄλλως ὑπάρχει τῇ γαστρί; τί γὰρ δὴ καὶ γινώσκεις αὐτῆς θέσιν δηλαδή, καὶ μέγεθος, καὶ πλοκήν, καὶ διάπλασιν. ἀλλ᾽ οὐδὲν τούτων ἐστὶ τῆς ἐνεργείας αἴτιον. ἀλλ᾽ οὐδὲ ἀγνοεῖταί τι τούτων τοῖς ἐμπειρικοῖς. ὁμολογοῦσί τε γὰρ χρῆσθαι τῇ κατὰ περίπτωσιν ἀνατομῇ, καὶ ταῦτ᾽ ἐξ ἐκείνης μανθάνειν. οὐ μὴν ἐνεργείας τε καὶ χρείας μορίων. ἀλλ᾽ οἶδα φησὶ καὶ τὴν ἐνέργειαν. ἔστι γὰρ περιστολὴ καὶ τρίψις. ἀλλ᾽ εἰ μὴ τὴν αἰτίαν εἰδείης αὐτῆς, οὐκ εἴσῃ τὴν νόσον. εἰ γὰρ ἡ εὐκρασία τῶν τεττάρων ποιοτήτων αἰτία τῆς ἐνεργείας ἐστίν, ἡ δυσκρασία πάντως τῆς βλάβης αἰτία ἔσται. σὺ δ᾽ οἴει φλεγμονὴν καὶ σκίρρον, οἴδημά τε καὶ ἀπόστημα, καὶ τἆλλα ὅσα τοῖς ὀφθαλμοῖς ἰδεῖν ἐστι, μόνα τῆς γαστρὸς εἶναι παθήματα. καίτοι γ᾽ οὐδὲ ταῦτα τοῖς ἐμπειρικοῖς, ὁμοίως ὀφθαλμοῖς μόνοις καὶ χερσὶ καὶ ταῖς ἄλλαις αἰσθήσεσι καταμανθάνεις, ἀλλ᾽ ἐπὶ τὴν οὐσίαν αὐτῶν ἀνέρχεσθαι πειρᾷ, καὶ ταύτην ἐξευρίσκειν ἀκριβῶς, οὐκ ἀρκούμενος τοῖς φαινομένοις αἰσθήσει συμπτώμασιν, ἃ τοῖς ἐμπειρικοῖς ὁρίζει τε καὶ περιγράφει τὴν συνδρομήν. οὕτω γὰρ ἀξιοῦσιν ὀνομάζειν αὐτοὶ τὸ τῶν συμπτωμάτων ἄθροισμα τῶν ὑπαρχόντων τῷ πεπονθότι τόπῳ, καὶ τὴν ἔνδειξίν γε τῆς θεραπείας, οὐκ ἐκ τῶν φαινομένων λαμβάνεις συμπτωμάτων. οὐδὲ γὰρ εἰ παρὰ φύσιν ὄγκος, οὐδ᾽ εἰ ἀντίτυπος, οὐδ᾽ εἰ ὀδυνηρός, οὐδ᾽ εἰ ἐρυθρός, ἀλλ᾽ εἰ σφήνωσις ἐν τοῖς πέρασι τῶν ἀρτηριῶν ἤδη παρεμπτώσει σκοπεῖς, καὶ τὴν θεραπείαν, ὡς αὐτὸς ἔφης, πρὸς τοῦτ᾽ ἀναφέρων ἐξευρίσκεις. ἢ γὰρ οὐχ οὕτως ὁ Ἐρασιστράτου τρόπος τῆς διδασκαλίας ἐν τοῖς περὶ πυρετῶν. ὥσπερ αὖ Διοκλέους μὲν ἕτερος, Πραξαγόρου δ᾽ ἄλλος, Ἀσκληπιάδου δ᾽ ἄλλος. ὥστ᾽ οὐκ ἀπὸ τῶν περὶ τὸ φλεγμαῖνον μέρος φαινομένων συμπτωμάτων, ἡ ἔνδειξις αὐτοῖς γίγνεται τῶν βοηθημάτων, ἀλλ᾽ ἀπὸ τῆς οὐσίας αὐτῆς. οὐ γὰρ εἰ παρὰ φύσιν ὄγκος, οὐδ᾽ εἰ ἀντίτυπος, οὐδ᾽ εἰ πόνος σφυγμώδης, ἀλλ᾽ εἰ παρέμπτωσίς τε καὶ σφήνωσις ἐν τοῖς ἐσχάτοις τῶν ἀρτηριῶν, ἢ ἔμφραξις ἐν τοῖς πέρασι τῶν φλεβῶν, ἢ σῆψίς τις τῶν χυμῶν, ἢ λόγῳ θεωρητῶν ὄγκων ἔνστασις, ἐν λόγῳ θεωρητοῖς ἀραιώμασιν ἐπισκοποῦνται. ὥστε ἕκαστος τούτων ἀπὸ τῆς διαθέσεως τοῦ φλεγμαίνοντος μέρους, οὐκ ἀπὸ τῶν ἑπομένων αὐτῇ συμπτωμάτων, ἔνδειξιν τῶν βοηθημάτων λαμβάνει. κατὰ τὸν αὐτὸν οἶμαι τρόπον καὶ ὅστις αἰτιᾶται τὸ θερμὸν καὶ ψυχρὸν, καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρόν. ἀλλ᾽ οὗτος μὲν εἰ καὶ χωρὶς φλεγμονῆς, ἢ ἕλκους, ἢ ἀποστήματος, ἢ τινὸς ἑτέρου τοιούτου, μόνῳ τῷ ψυχρὰ γεγονέναι μὴ πέττοι καλῶς ἡ γαστήρ, εὐπορεῖ τῶν βοηθημάτων. οἱ δὲ τὰς φλεγμονὰς καὶ τοὺς σκίρρους, καὶ τἆλλα ὅσα τοῖς ὀφθαλμοῖς ἐστι θεάσασθαι μόνα νομίζοντες εἶναι νοσήματα, γελοίως πάνυ τὰς χωρὶς τούτων ἀπεψίας, ἀτονίᾳ τῆς κοιλίας γίγνεσθαι φασίν. ὥσπερ διάθεσίν τινα λέγοντες τὴν ἀτονίαν, ἰδίαν ἐξαίρετον. ἀλλ᾽ οὐχ ὥσπερ καὶ τοῖς ἐκπυϊσκομένοις τε καὶ σκιρρουμένοις, καὶ φλεγμαίνουσι, καὶ ἄλλως ὁπωσοῦν πεπονθόσιν ὑπάρχειν. πάντα γὰρ ταῦτα τὰ πάθη, κἂν ἐν γαστρί, κἂν ἐν ἥπατι, κἂν ἐν θώρακι, κἂν ἐν ὁτῳδὴ ποτε γένηται, παραχρῆμα τὸ μέρος ἀτονώ-

τερον

τερον ἐργάζεται περὶ τὴν ἰδίαν ἐνέργειαν. ἀλλ' οὐ τοῦτ' ἄρ' ἦν αὔταρκες αὐτοῖς εἰς τὴν τῶν βοηθημάτων ἔνδειξιν, ἢ μάτην ζητοῦσι τὰς διαθέσεις, ἀλλ' ἐπ' αὐτὴν ἀνέρχονται τὴν οὐσίαν τοῦ νοσήματος, ὡς οὐκ ἐνὸν ἄλλως εὐπορῆσαι τῆς προσηκούσης ἰάσεως. οὐκοῦν ἔτι τὸν ἔλεγχον ἐξ ἡμῶν ἀναμένουσιν, ἀλλ' αὐτοὶ σφᾶς αὐτοὺς ἐξελέγχουσιν, οἱ τὴν ἀτονίαν εἶναι λέγοντες τὸ πάθος, ἐν οἷς οὐδὲν ὧν ἐκεῖνοι παθῶν ὡρίσαντο πεπονθυίας τῆς γαστρὸς ἀπεπτεῖ τὸ ζῶον. οὔτε γὰρ ἰδίᾳ, ἀλλὰ κοινὸν ἁπάντων λέγουσι, καὶ τὴν θεραπείαν οὐδὲ κατ' αὐτοὺς ἐκείνους δυνάμεθα ἐνδείξασθαι εὐλόγως. ὄνομα γάρ ἐστι ψιλὸν, τὸ ῥώννυσθαι τὴν ἀτονίαν. καὶ οἷον σκοπὸς μᾶλλον, οὐ θεραπεία. τί γὰρ χρὴ ποιοῦντας ῥώμην ἐντιθέναι τοῖς ἀρρωστοῦσι περὶ τὴν ἐνέργειαν, οὐ λέγουσιν. ἐν τούτῳ δ' ἦν ἡ θεραπεία. καὶ χωρὶς τοῦ τὴν διάθεσιν εὑρεθῆναι τῆς γαστρὸς, εὐπορῆσαι βοηθημάτων ἀδύνατον. εἰ μὲν γὰρ ἔψυκται, θερμαντέον, εἰ δ' ὕγρανται, ξηραντέον. ὡσαύτως δὲ καὶ εἰ μὲν ἀμέτρως τεθέρμανται ψυκτέον, εἰ δ' ἐξήρανται, ὑγραντέον. οὗτοι μὲν ἁπλοῖ τρόποι τῆς ἰάσεως τέτταρες. ἕτεροι δὲ τέτταρες σύνθετοι. εἰ μὲν ψυχροτέρα καὶ ξηροτέρα τὴν κρᾶσιν ἡ γαστὴρ ἐγένετο, θερμαντέον τ' ἐστὶ καὶ ὑγραντέον αὐτήν. εἰ δὲ ὑγροτέρα καὶ θερμοτέρα, ξηραντέον τε ἐστὶ καὶ ψυκτέον. οὕτω δὲ καὶ εἰ μὲν θερμοτέρα τε καὶ ξηροτέρα, ψυκτέον τε καὶ ὑγραντέον. εἰ δ' ὑγροτέρα τε καὶ ψυχροτέρα, ξηραντέον τε καὶ θερμαντέον. ὥστε καὶ αἱ διαθέσεις ὀκτὼ τῆς γαστρὸς αὐτῆς, ὡς ἐκεῖνοι λέγουσιν, ἀτονίας αἰτίαι. καὶ οἱ τρόποι τῆς ἰάσεως ὀκτώ. καὶ οὐκ ἐγχωρεῖ λέγειν οὐδενὶ τῶν δογματιζόντων ὁμοίως τοῖς ἐμπειρικοῖς, ὡς οὐδὲν δέοιντο γιγνώσκειν, εἴθ' ὑπάρχουσιν, εἴτε μή. τελέως γὰρ ἀνατρέψουσι τὴν λογικὴν αἵρεσιν, ὁμολογήσαντες εὐπορεῖν μὲν τῆς θεραπείας, ἀγνοεῖν δὲ τὴν διάθεσιν. ἐκ πείρας γὰρ δήπου πάντες εὐπορήσουσι τῆς ἰάσεως, εἴπερ μὴ ἐκ τῆς τοῦ πράγματος αὐτοῦ φύσεως ἔνδειξιν ἔλαβον. οἱ μὲν οὖν ἐμπειρικοὶ καὶ τῷ μὴ δύνασθαι νομίζειν εὑρεθῆναι τι τῶν ἀδήλων, καὶ τῷ μὴ δεῖσθαι, κἂν εὑρεθῇ, τετηρῆσθαι γὰρ αὐτοῖς τὰς θεραπείας ἐπὶ ταῖς φαινομέναις συνδρομαῖς, εὐλόγως οὔτε γιγνώσκειν φασὶν, εἰ ὀκτὼ διαθέσεις εἰσὶ καθ' ἃς ἡ γαστὴρ ἀτονεῖ, καὶ χωρὶς τῆς τοιαύτης περιεργείας εὐπορεῖν τῶν ἰαμάτων. οἱ δὲ καὶ τὸν λόγον ὁμολογοῦντες ἔχειν, ᾧ καὶ περὶ τῶν ἀδήλων διασκέπτονται, καὶ τὴν εὕρεσιν αὐτῶν ἔνδειξιν ἰαμάτων παρέχεσθαι φάσκοντες, οὐκ οἶδ' ὅπως οὐκ αἰδοῦνται λέγοντες, ἢ μὴ γινώσκειν εἰ ὑπάρχουσιν αἱ ὀκτὼ διαθέσεις, ἢ μὴ δεῖσθαι πρὸς τὰς ἰάσεις αὐτῶν. οὐ γὰρ τοῦτ' ἀπόχρη μόνον εἰπεῖν ὡς οὐκ ἴσασιν, ἀλλ' ἐξελέγξαι προσήκει τοὺς εἰδέναι φάσκοντας, ὡς οὐκ ἀληθεύουσιν. ἄχρι δ' ἂν μήτ' αὐτοὶ τοῦτο ποιῶσιν, ἕτεροί τε πολλὰς ἀποδείξεις λέγωσι τοῦ πᾶν σῶμα διὰ τὴν ἐκ τῶν τεττάρων ποιὰν κρᾶσιν ἐνεργεῖν, εὐλογώτερον ἐκείνοις πιστεύειν, εἰ μή τι ἄρα προφάσεις ψιλὰς λέγοντες, ἀξιώσουσι πιστότεροι τῶν τὰς ἀποδείξεις λεγόντων εἶναι. καὶ μὴν ἐκεῖνοι μὲν, εἰ καὶ μηδὲν ἄλλο, πείθειν γοῦν καὶ διδάσκειν τοὺς ἀκροατὰς οὐ βιάζεσθαι, καὶ προστάττειν ἐπιχειροῦσιν. οὗτοι δ' αὖ, τοὐναντίον ὡς τύραννοι κελεύουσι μὴ ζητεῖν τῆς ἐνεργείας τὴν αἰτίαν. ἀλλ' ἡμεῖς μὲν καὶ Διονύσιον, καὶ Φάλαριν, καὶ τοὺς ἄλλους τυράννους, διὰ τοῦτο μισοῦμεν, ὅτι κελεύουσι καὶ προστάττουσιν οὐ πείθουσι καὶ διδάσκουσιν, ὡς Σόλων, καὶ Δράκων, καὶ Λυκοῦργος. ἀλλ' ἐγώ φησιν ἐν τοῖς ὅροις μένω τῆς τέχνης. ὑμεῖς δὲ ἀποχωρεῖτε, καὶ πρὸς τὰς ἄλλας ἀρχὰς ἡμᾶς ἀνάγειν ἐπιχειρεῖτε τῆς φυσικῆς θεωρίας. εἶτα οὐκ ἀποδείξεις ὦ γενναιότατε καὶ αὐτὸ τοῦτο, τίνες εἰσὶν οἱ ὅροι τῆς ἰατρικῆς θεωρίας, καὶ τίνα χρὴ γινώσκειν τὸν μέλλοντα λόγῳ ποιήσασθαι τὴν εὕρεσιν τῶν βοηθημάτων, ἀλλὰ μορμολυξάμενος οἴει καταπλήξειν ἡμᾶς; ἀκούω καὶ σοῦ λέγοντος ὡς οὐ χρὴ σκοπεῖσθαι τῆς ἐνεργείας τὴν αἰτίαν. ἀκούω δὲ καὶ τῶν ἐμπειρικῶν, ὡς οὐδὲ τὰς ἐνεργείας αὐτὰς ἐπισκέπτεσθαι προσῆκεν. ἀκούω δὲ καὶ τοῦ λέγοντος ὡς οὐ μόνον ἐπισκεπτέον εἶναι δεῖν αὐτὰς, ἀλλὰ καὶ τὰς αἰτίας ὑφ' ὧν γίγνονται ζητητέον. ἆρ' οὖν κελεύεις με γενέσθαι τῶν ἀδίκων κριτῶν; οἳ μὴ περιμείναντες ἁπάντων ἀκοῦσαι τῶν ἀμφισβητούντων ἀλλήλοις, ἑνὶ φέροντες ἔδοσαν τὴν ψῆφον; ἢ πρῶτον μὲν ἀκοῦσαι τοὺς λόγους ὑμῶν ἑκάστου καταμόνας, εἶτ' ἀλλήλοις παραβαλεῖν καὶ διασκέψασθαι, τίς ἑαυτῷ τε καὶ τοῖς φαινομένοις ὁμολογεῖ, καὶ τίς οὔτε τοῖς φαινομένοις, οὔθ' ἑαυτῷ. καὶ μὴν εἰ τοῦτο ποιήσαιμι, τῶν μὲν ἐμπειρικῶν ἀκούσαιμι κἂν παραμυθεῖσθαι γοῦν πειρωμένων ἃ λέγουσιν, εἰ καὶ μὴ βεβαίως ἀποδεικνύουσιν, ὑμῶν δ' οὐδὲ τοῦτο. τίς γὰρ ἢ παραμυθίαν ὑμῶν, ἢ ἀπόδειξιν εἰπεῖν ἐπεχείρησεν. ἡδέως ἂν ἀκούσαιμι δι' ἣν οὐ χρὴ ζητεῖν τῆς ἐνεργείας τὴν αἰτίαν. ἡ μὲν γὰρ ἔμπροσθεν ὑπ' ἐμοῦ ῥηθεῖσα μέθοδος, ἀπέδειξεν ὡς δεῖ ζητεῖν. ὑμεῖς δ' οὔτ' ἀπόδειξιν οὐδεμίαν, οὔτε λόγον οὐδένα πιθανὸν ἐπεχειρήσατε εἰπεῖν, ἀλλ' ἀνατείναντες τὰς ὀφρῦς ἐπιτιμᾶτε μόνον ἡμῖν σεμνῶς, ἀποχωρεῖν τῆς ἄκρας φυσιολογίας κελεύοντες, καὶ μὴ ζητεῖν οὕτω φύσιν ἀνθρώπου καταμαθεῖν, ὡς οἱ φιλόσοφοι καταμανθάνουσιν, ἄχρι τῶν πρώτων στοιχείων ἀνιόντες τῷ λόγῳ. καὶ τοῦτο ὑμῶν ἀπόχρη μόνον εἰπεῖν, ὡς ἀρτηρίαν, καὶ φλέβα, καὶ νεῦρον, ἀρχὰς προσεχεῖς, καὶ οἷον στοιχεῖα χρὴ τίθεσθαι τῆς περὶ τὸν ἄνθρωπον φυσιολογίας. καίτοι γ' ἐπῄνεσεν ἐν τούτῳ τὴν Ἡρόφιλον εἰπόντα κατὰ λέξιν οὕτως. ἔστω ταῦτα εἶναι πρῶτα, εἰ καὶ μὴ ἔστι πρῶτα. τὸν δ' εἰς ἀπόδειξιν προκαλούμενον ἐξελέγχοντά τε τὰς ὑποθέσεις τῶν ταῦτα δοξαζόντων ἑαυταῖς μαχομένας, ἀποθεῖσθε καὶ φεύγετε, καὶ τὴν ἀρχὴν οὐδὲ παρέχετε τὰ ὦτα, καὶ καταφρονεῖν προσποιεῖσθε, καὶ μισόλογοι γίγνεσθε νῦν, οἱ τὸν λόγον καὶ τὴν ἀπόδειξιν ἐπανατεινόμενοι τοῖς ἐμπειρικοῖς. ὅτι γε ἑαυτοῖς οἱ λόγοι διαφέρονται, ἁπάντων τῶν ἐξ ἡμίσεος δογματιζόντων, εὐφωρότατόν ἐστι τοῦτο τῷ κἂν βραχὺ γεγυμνασμένῳ κατὰ τὰς ἀποδεικτικὰς μεθόδους. ἐπειδὰν μὲν γὰρ φλεγμαίνῃ γαστὴρ, καὶ διὰ τοῦτο πέττειν ἀρρωστῇ, τίς ἡ τῆς φλεγμονῆς ἐστιν αἰτία ζητεῖν δικαιοῦσι, κἀντεῦθεν εὐποροῦσι τῶν ἰαμάτων, ἀποχωροῦντες τῆς ἐμπειρικῆς εὑρέσεως. ἐπειδὰν δὲ χωρὶς φλεγμονῆς ἢ τοιούτου τινὸς ἄλλου παθήματος ὑπὸ δυσκρασίας μόνης ἀρρωστῇ πέττειν, ἐνταῦθα πάλιν ἐκ τῆς ἐμπειρίας αὐτοῖς ἡ τῶν βοηθημάτων εὐπορία. καὶ μὴν ἀλλήλοις μὲν ταῦτα μάχεται. τὰ δὲ τῶν ἐμπειρικῶν ὁμολογεῖ, καὶ ἀποδείκνυσί τε καὶ περαίνει τὸ σφέτερον, ἐξ ὧν αὐτοὶ ὑμεῖς συγχωρεῖτε λημμάτων. εἰ γὰρ ὅλως δυνατόν ἐστιν ἐπὶ φαινομένοις συμπτώμασι τετηρῆσθαι θεραπείαν ἀγνοουμένης τῆς διαθέσεως, οὐκ ἐπὶ μὲν τῆσδε δυνατόν, ἐφ' ἑτέρας δ' ἀδύνατον, ἀλλ' ἐπὶ πασῶν ὁμοίως ἔσται δυνατόν. τοιγαροῦν οὐδ' ἐνταῦθα λόγον οὐδένα λέγειν ἕξετε τοῦ μὴ τὴν ἐμπειρίαν αὐτάρκη γίγνεσθαι πρὸς τὴν τῶν βοηθημάτων εὐπορίαν, ἐφ' οἷς τὴν διάθεσιν

εὑρεῖν ἀδυνατεῖτε. πάντα οὖν ὡς τύραννοι προστάττετε, χρῆσθαι δ' ἀποδείξεσιν οὔτ' αὐτοὶ βούλεσθε. βέλτιον γὰρ ἴσως εἰπεῖν οὕτω, τὴν μὴ δύνασθαι, καὶ τοῖς βουλομένοις τε ἅμα καὶ δυναμένοις οὐχ ἕπεσθε. τί ποτ' οὖν ἄλλ' εἰσὶν ὑμῶν οἱ λόγοι, πλὴν ἔρις, καὶ φιλονεικία, καὶ πρόκλησις εἰς λοιδορίας καὶ μάχας, οἵας καὶ τῶν ὑμετέρων διδασκάλων τις ἐποιεῖτο διὰ παντός. ἢ καταγελῶν εἴ τις ἐφθέγξατο θερμὸν καὶ ψυχρόν, ὡς βαλανεῦσι μᾶλλον, οὐκ ἰατροῖς προσηκόντων ὀνομάτων, ἢ σφοδρῶς ἐπιτιμῶν ὡς ἀποχωροῦντι πόρρω τῆς ἰατρικῆς, ἢ τὴν Ἐρασιστράτου προχειριζόμενος ἀξιοπιστίαν. ἀλλὰ ταύτην μὲν, πρῶτον ἀκούσας ἤχθην, δεύτερον δὲ καὶ τρίτον ἀκούων ἐμίσησα, βωμολοχίαν μᾶλλον οὐκ ἰατρικῇ πρέπειν ἡγησάμενος. εἰ γὰρ ἅπαξ ἡ τῶν κελευσάντων μὴ προσωτέρω χωρεῖν ἀξιοπιστία μάρτυς ἱκανὴ πρὸς ἀπόδειξιν εἶναι νομισθήσεται, λῆρος ἤδη μακρὸς ἔσται πάντα, καὶ πέρας οὐδὲν ἐν τοῖς διαλόγοις. ἀλλ' ἢ τοῦθ' ὅπερ νῦν ὁρᾶτε γιγνόμενον ἔχθρα καὶ μάχη καὶ λοιδορία. τοῖς γὰρ ἀποχωρήσασι μὲν τῶν λογικῶν ἀποδείξεων, ὅτι δ' Ἡρόφιλος οὕτως ἐκέλευσεν, ἢ Ἐρασίστρατος, ἀξιοῦσι πιστεύειν, ἀνάγκη πᾶσαν λοιδορίαν καὶ μάχην ἀκολουθῆσαι, τὰ θαυμαστὰ τῶν νῦν διαλόγων ἆθλα. φέρε γὰρ ἑτέρου μέν τινος λέγοντος, ὡς τῷ δεῖνι τοῦ μὴ πέψαι καλῶς, ἡ γαστὴρ δύσκρατος ἐπὶ τὸ ξηρότερόν τε καὶ ψυχρότερον ἐγένετο, καὶ διὰ τοῦτ' αὐτὴν ὑγραντέον τ' ἐστὶ καὶ θερμαντέον. ἑτέρου δέ τινος ἐκ τροπῆς τῆς κατὰ φύσιν ἐπὶ τὸ ψυχρότερόν τε καὶ ὑγρότερον ἀπεργασθείσης, θερμὰ καὶ ξηρὰ τὰ διαιτήματα προσφέρεσθαι συμβουλεύοντος, καὶ ἄλλος τις τρίτος παρελθὼν, ὡς μὲν οὐκ ὀρθῶς εἴρηται τῶν εἰρημένων οὐδὲν, μὴ δ' ἐπιχειρήσειεν ἀντειπεῖν. μόνον δ' ἐπιτιμῶν ὡς περιττὰ ζητοῦσι, καὶ μάρτυρα τὸν Ἐρασίστρατον ἢ τὸν Ἡρόφιλον ἐπάγοιτο, πῶς οὐχ ὅπερ ἔφην ἀρχὴ διαφορᾶς ἐντεῦθεν ἔσται, καὶ λοιδορίας τῆς πρὸς ἀλλήλους; ἀνάγκη γὰρ δή που κἀκείνους, Ἀθήναιον, καὶ Μνησίθεον, καὶ Διοκλέα, καὶ Πλειστόνικον, Ἱπποκράτην τε καὶ Φιλιστίωνα, καὶ μυρίους ἑτέρους τοιούτους ἐπικαλεῖσθαι μάρτυρας. εἰ γὰρ δὴ κατὰ μάρτυρας χρὴ διαιρεῖσθαι τὸν λόγον, οὐ σμικρῷ τινι κρατήσουσιν, ὅτι τε γὰρ τῆς νοσώδους δυσκρασίας εἴδη πολλὰ, καὶ ὅτι καθ' ἕκαστον ἡ θεραπεία διάφορος, οὐχ Ἱπποκράτην μόνον ἢ ἄλλους παμπόλλους ἰατροὺς, ἀλλὰ καὶ Πλάτωνα, καὶ Ἀριστοτέλην, καὶ Θεόφραστον, καὶ Ζήνωνα, καὶ Χρύσιππον, ἅπαντάς τε τοὺς ἐλλογίμους φιλοσόφους παρεχόμενοι μάρτυρας. ὅτι τε χωρὶς τοῦ τὴν φύσιν εὑρεθῆναι τοῦ σώματος ἀκριβῶς, οὐχ οἷόν τ' ἐστὶν οὔτε περὶ νοσημάτων διαφορᾶς ἐξευρεῖν οὐδὲν, οὔτε ἰαμάτων εὐπορῆσαι προσηκόντως, ἅπαντας πάλιν τοὺς νῦν εἰρημένους μοι φιλοσόφους τε καὶ ἰατροὺς, οὐ προστάττοντας μὰ Δί' ὡς οὗτοι δίκην τυράννων, ἀλλ' ἀποδεικνύντας παρέξονται. πρὸς ταῦτ' οὖν οἱ τὸ θερμὸν καὶ ψυχρὸν βαλανέων οὐκ ἰατρῶν ὀνόματα φάσκοντες εἶναι, βωμολοχεύονται δηλονότι, καὶ γελωτοποιήσουσιν, ἢ μωροὺς, ἢ φρύγας, ἢ σχολαστικοὺς διηγούμενοι. συνίσασι γὰρ ἑαυτοῖς οὐ μόνον ἀποδεικτικὴν ἐπισταμένοις οὐδὲν, ἀλλ' οὐδ' ὅτι τί ποτ' ἐστὶν ἀπόδειξις ἐπαΐουσιν. ἐκ τούτων οὖν τῶν σκωμμάτων, ἀνάγκη γενήσεσθαι διαφορᾶς ἀρχήν. ἵνα γὰρ τοῦ πρώτου πάντων, ὧν οἱ χωρὶς ἀποδείξεως φλυαροῦντες οὐκ ὀκνοῦσι λέγειν ἐπιμνησθῶ, σκέψαι πῶς ἀναγκαῖον ἐστὶν ἀκολουθῆσαι μάχην αὐτῷ. πρὸς γὰρ τὰς ἀναποδείκτους φάσεις αὐτῶν, καὶ τοὺς ἀξιοπίστους μάρτυρας, ὅταν ἕτεροί τινες ἐνδοξοτέρους τε καὶ πολὺ πλείονας ἀντιπροτείνωνται μάρτυρας, ἀναγκαῖον ἢ συγχωρεῖν καὶ ἡττᾶσθαι κατ' ἄμφω νενικημένους ἔν τε τῷ μὴ συνακολουθῆσαι πρὸς τὴν ἀπόδειξιν, κἂν τῷ κεκρατῆσθαι πρὸς τοῦ πλήθους τῶν μαρτύρων, ἢ ἀναισχυντήσαντες Ἐρασίστρατον ἁπάντων ἐκείνων τῶν μαρτύρων ἀποφαίνεσθαι πιστότερον. ἀνάγκη γὰρ ἐνταῦθα τὸν μὲν εἰπεῖν ὡς οὐκ ἦν πιστότερος, οὔτε τῶν περὶ τὸν Ἱπποκράτην καὶ Μνησίθεον ἰατρῶν, οὔτε τῶν περὶ τὸν Ἀριστοτέλη τε καὶ Πλάτωνα φιλοσόφων, τὸν δ' ὡς ἀντειπεῖν, εἶτ' ἄνω καὶ κάτω τῆς τοιαύτης ἀντιλογίας φερομένης, οὕτως ἀπαίδευτά τε καὶ φιλόνεικα πραχθῆναι τὸν ἕτερον αὐτῶν εἰπεῖν, ὡς οὐκ ἔστιν οὕτω σοι καλῶς, ἣν Ἐρασίστρατον ἀτιμάζεις. ταυτὶ γὰρ ὁρᾷς ἑκάστης ἡμέρας ὦ Ἱέρων γιγνόμενα κατὰ τοὺς τῶν ἰατρῶν διαλόγους. τοιαύτης δ' ἅπαξ ἀνοιχθείσης ὁδοῦ, πάντ' ἐπιρρεῖ τὰ τῶν γυναικῶν ἤδη ῥήματα, καὶ κακῶς εἰπόντες ἀλλήλους, οὐ διδάξαντές τι χρηστὸν, ἢ μαθόντες, ἀπαλλάττονται. καὶ τῆς τοιαύτης ἀσχημοσύνης οὐκ ἔστιν εἰπεῖν, ὡς οὐχ οἱ τὰς ἀποδείξεις ἀποδιδράσκοντες ἄρχουσιν. ἀποδιδράσκουσι δ' ὡς οἶσθα, πολυειδῶς. οἱ μὲν σεμνῶς ἐπιτιμήσαντες μόνον, οἱ δὲ κομψευσάμενοί τι βωμολοχικὸν, οἱ δ' εἰς γέλωτα καὶ χλεύην ἐξάγοντες τὸν διάλογον. εἰ δέ τις καὶ τολμήσειε παραμεῖναί τε τῷ λόγῳ, καὶ τῶν ἀποδείξεων ἐπακοῦσαι, μάλιστα μὲν οὐδ' ἕπεται τῇ ἀρχῇ, οὐ γὰρ ἐνδέχεται τὸν ἀγύμναστον ἀποδεικτικῆς μεθόδου, τοῖς χρωμένοις αὐτῇ παρακολουθεῖν, εἰ δ' ἄρα καὶ μέχρι τινὸς παρακολουθήσειεν, ἀλλὰ τῷ γε πάντως ἐπαμύνειν ἐθέλειν οἷς ἐντέτραφε δόγμασιν ἐπιχειρῶν ἀντιλέγειν, εἶτ' ἐξελεγχόμενος, ἀπέραντα καὶ ἀσυλλόγιστα καὶ περιττὰ καὶ ληρώδη φλυαρῶν, ἀγανακτεῖ, καὶ καταρᾶται τοῖς διαλεκτικοῖς, ὡς κακῶν αἰτίοις. ὅτι δηλαδὴ τὴν κόρυζαν ἀπομύττουσιν αὐτῶν, καὶ θεραπεύειν πειρῶνται, προσφέροντες, οὐ μέλι καὶ πλακοῦντας, ἀλλὰ σκόροδά τε καὶ κρόμμυα. τὰ καὶ τοὺς κορυζῶντας ἀλεκτρυόνας ἰώμενα. παραγέγονας γὰρ δὴ μυριάκις αὐτοῖς ὡς ὑπὸ σκορόδων ὄντως καὶ κρομμύων τῶν ἐλέγχων ἀναγκαζομένοις δακρύειν. οἶσθα δὲ δήπουθεν ὡς καὶ πολλοὶ πολλάκις ἡμῖν ἐξομολογήσαντο κατὰ μόνας, αἰσθάνεσθαι μὲν ἤδη τῆς κατὰ τὴν σφετέραν αἵρεσιν ἀτόπων, οὐ δύνασθαι δ' ἔν γε τῷ φανερῷ μετατίθεσθαι, διὰ τὸ μήτ' ἄλλα γινώσκειν ἀφ' ὧν τιμηθήσονται, καὶ τοῖς πολλοῖς τῶν ἀνθρώπων ἐφθακέναι ἀπὸ τούτων γιγνώσκεσθαί τε καὶ τιμᾶσθαι. διὰ ταῦτα τοίνυν κἀγὼ πολλάκις ἀνεβαλλόμην ὑπομνήματα γράψαι μεθόδου θεραπευτικῆς, ὡς ἂν ἀκριβῶς εἰδὼς ὀλίγους οὓς τῶν νῦν ἀνθρώπων, ὑπ' αὐτῶν ὠφεληθησομένους. εἰ μὴ γὰρ μεγάλη τις γένοιτο καὶ δαιμονία μεταβολὴ τῶν ἀνθρωπείων πραγμάτων, οἴχεται πάντα τὰ καλὰ, καὶ συγκέχυται, καὶ διέφθαρται μηδενὸς ἀλήθειαν σπουδάζοντος, ἀλλὰ τὸ δόξαι μόνον. οἶσθα γὰρ δή που καὶ σὺ σαφῶς, ὡς οὐδὲ πρὸς ἕν τι τοῖς πᾶσιν ἀνθρώποις ἐντετύχομεν εἶναι μᾶλλον, ἢ φαίνεσθαι σοφοῖς ὀρεγομένοις. καὶ μὴν εἰ μή τις ὀρεχθείη σοφίας αὐτῆς δι' ἑαυτὴν, οὐδὲ καιρὸν ἕξει τοῦ γυμνάσασθαι κατὰ τὰς λογικὰς μεθόδους, ἀλλὰ περὶ πλοῦτον, καὶ δόξαν, καὶ δύναμιν πολιτικὴν ἐσπουδακὼς, περὶ τὴν ἐν ἐκείνοις ἀσχολίαν ἅπαντα κατατρίψει τὸν βίον. ἐάσαντες οὖν αὐτοὺς, πάλιν ἐπὶ τὸ προκείμενον ἴωμεν, ἔστι δὲ τὸ προκείμενον ἐξ ἀρχῆς, ὡς εἰ μή τις ἅπαντα τὸν ἀριθμὸν τῶν νοσημάτων

εὑρίσκοι μεθόδῳ, πταίσει μέγιστον πταῖσμα κατὰ τὴν ἀρχὴν εὐθὺς αὐτῆς τῆς θεραπευτικῆς μεθόδου. πρόδηλον γὰρ ὡς τοσούτους χρὴ τρόπους εἶναι τῆς ἰάσεως, ὅσαι περ καὶ αἱ τῶν νοσημάτων ἰδέαι. τὸ τοίνυν μήτ' ἄπειρα ποιῆσαι τὰ νοσήματα ταῖς κατὰ μέρος ἰδιότησι προσέχοντας, μήθ' εὐθὺς ἐν τοῖς πρώτοις καταμεῖναι γένεσιν, οὐ τοῦ τυχόντος ἐστὶν, ἀλλ' ἀνδρὸς, ὡς καὶ πρόσθεν ἐδείκνυτο, πάνυ γεγυμνασμένου κατὰ τὰς διαιρετικὰς μεθόδους. ἀρχὴ δὲ τῆς διαιρέσεως αὐτῶν ὥσπερ καὶ τότ' ἐλέγετο, τὸν λόγον τῆς οὐσίας τοῦ διαιρουμένου πράγματος ἀφορίσασθαι. καὶ τοίνυν ἐδείκνυτο παντὸς μὲν ἕν τι τῶν παρὰ φύσιν ὑπαρχόντων νόσημα. τεττάρων δ' ὄντων τῶν παρὰ φύσιν, ἤτοι τῆς βεβλαμμένης ἐνεργείας, ἢ τῆς ἐργαζομένης αὐτὴν διαθέσεως, ἢ τῆς ταύτην ποιούσης αἰτίας, ἢ τῶν ἑπομένων αὐτῇ συμπτωμάτων, εἴτε τὴν βλάβην τῆς ἐνεργείας, εἴτε καὶ τὴν ἐργαζομένην αὐτὴν διάθεσιν ἐθέλοι τις ὀνομάζειν νόσον, οὐδὲν εἰς τὴν θεραπευτικὴν μέθοδον παραλλάττειν ἐδείκνυμεν, εἰ τοῦθ' ἓν μόνον γιγνώσκοι, τὸ, τὴν πρώτην θεραπείαν, ἣν δή που καὶ προσεχῆ καλοῦσιν ἔνιοι, τῆς τὴν ἐνέργειαν ἐμποδιζούσης εἶναι διαθέσεως. ἀποδεδεῖχθαι δ' ἡμῖν ἐλέγομεν, ὡς ταύτην εὐλογώτερον εἴη προσαγορεύειν νόσημα, μὴ μέν τοι κωλύειν ἡμᾶς, εἴ τις ἐθέλοι τὴν μὲν τῆς ἐνεργείας βλάβην ὀνομάζειν νόσημα, τὴν δ' ἐργαζομένην αὐτὴν διάθεσιν, αἰτίαν τοῦ νοσήματος. ὑποθέμενοι δὲ καλεῖσθαι νόσημα, διάθεσιν παρὰ φύσιν ἐνέργειαν βλάπτουσαν, ἐζητήσαμεν ἐφεξῆς ὁπόσα τὰ σύμπαντ' ἐστὶ νοσήματα. πρόδηλον δ' ἦν ἐν τούτῳ, τὸ, δεῖν εὑρεῖν πρῶτον εἴ τις ὁδῷ καὶ τάξει μέλλει προϊέναι, καὶ μὴ καθάπερ οἱ πολλοὶ τῶν ἰατρῶν, ὡς τύραννοι προστάττειν, ἥτις ποτὲ διάθεσίς ἐστιν, ἡ τῆς ἐνεργείας αἰτία δραστική. ταύτην οὖν ἡμεῖς μὲν δυσκρασίαν ἐλέγομεν εἶναι θερμοῦ καὶ ψυχροῦ, ὑγροῦ καὶ ξηροῦ. καὶ διὰ τοῦθ' ἡ πρώτη νόσος ἡ ἐν τοῖς ὁμοιομερέσι, τῇ δυσκρασίᾳ τούτων ἐδείκνυτο γίγνεσθαι. ἕτερος δέ τις ἐν ὄγκοις καὶ πόροις θήσεται τὴν τούτων συμμετρίαν, καὶ διὰ τοῦτ' ἀμετρίᾳ τῶν πόρων αὐτῶν νοσήσει τὰ ζῶα. τὸ δὲ μήτ' αὐτὸν ἀφικνεῖσθαι τολμῆσαι τῆς ἐνεργείας τὴν αἰτίαν, ἐν ὁτῳδήποτε γένει τῶν ὄντων ἐστὶ, μήτε τοῖς λέγουσιν ἀντειπόντα, νομίζειν ἔτι λόγῳ καὶ μεθόδῳ προϊέναι, δεινῶς ἐλέγομεν εἶναι μοχθηρόν. ἅμα μὲν, ἄφυκτον ἐργαζόμενον τὴν ἐκ τῶν ἐμπειρικῶν κατηγορίαν, ἅμα δὲ αὐτῷ μαχόμενον. ἐξ ἡμίσεος γὰρ δὴ οἱ τοιοῦτοι εἶναι λογικοὺς. ὅπως μὲν δὴ γίγνεται φλεγμονὴ, καὶ σκίρρος, καὶ οἴδημα, καὶ πάνθ' ὅσα τοιαῦτα πολυπραγμονοῦνται, ὅτι δὲ καὶ χωρὶς τούτων ἁπάντων κατὰ δυσκρασίαν μόνην ἐνέργεια βλάπτεται μὴ γινώσκοντας, ἀλλ' ἐμπειρικῶς τὰ τοιαῦτα θεραπεύοντας. ὅστις οὖν βούλεται γνῶναι πόσον ἁμαρτάνουσιν οἱ τοιοῦτοι, καὶ πόσον τι πλῆθος ὑπερβαίνουσι νοσημάτων, καὶ ὡς πολὺ πλέον ἀγνοοῦσιν ἢ γιγνώσκουσι, τὸ περὶ διαφορᾶς νοσημάτων ἀναλεξάσθω γράμμα. μαθήσεται γὰρ ὡς ὀρθῇ μὲν ὁδῷ πρῶτος ἁπάντων Ἱπποκράτης ἐχρήσατο. δέον δ' αὐτὴν τελειῶσαι τοὺς μετ' αὐτὸν, οὐχ ὅπως οὐδεὶς ἐτελείωσεν, ἀλλὰ καὶ τὰ καλῶς εὑρημένα διέφθειραν οἱ πλεῖστοι. πλησίον δὲ τοῦ τελειῶσαι τε καὶ συμπληρῶσαι τὴν ὑφ' Ἱπποκράτους παραδοθεῖσαν ὁδὸν, οἱ περὶ τὸν Ἀριστοτέλην τε καὶ Θεόφραστον ἀφίκοντο. καὶ εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἐτελείωσαν δυνάμει, διορισάμενοι τὸ μὴ ταυτὸν εἶναι γένος τῶν νοσημάτων, ἔν τε τοῖς ὁμοιομερέσι σώμασιν, ἔν τε τοῖς ὀργανικοῖς ὀνομαζομένοις. ὑπὸ μὲν γὰρ τῶν ὁμοιομερῶν, τὰς ἐνεργείας γίγνεσθαι, καὶ διὰ τοῦτ' εἶναι καθ' ἕκαστον τῶν ὀργάνων ἕν ἴδιον ὁμοιομερές. ὅσα δ' ἄλλα μετὰ τούτου συμπληροῖ τὸ πᾶν ὄργανον, ἕνεκα χρείας τινὸς ἐκείνου τοῦ πρώτου τῆς ἐνεργείας αἰτίου γεγονέναι. καὶ τούτων μέν τοι πάλιν αὐτῶν ἑκάστου κατὰ μόνας ὑπάρχειν ἐνέργειαν, οἷον ἐπὶ τῶν ὀφθαλμῶν, ἄμεινον γὰρ ἴσως ὡς ἐν ἑτέροις ἐπὶ πλέον ἐδείξαμεν, ἐνταυθοῖ διὰ βραχέων ὑπομνήσεις ποιήσασθαι, τὸ μὲν τῆς ὄψεως ὄργανόν ἐστι, τὸ κρυσταλλοειδὲς ὑγρὸν, ἕκαστον δὲ τῶν ἄλλων μορίων, ἐκείνου χάριν ἐγένετο. καὶ πάντων εἰρήκαμεν αὐτῶν τὰς χρείας ἐν τῷ δεκάτῳ τῆς περὶ χρείας μορίων πραγματείας. ἀλλ' εἰ καὶ ὅτι μάλιστα τοῦ κρυσταλλοειδοῦς ἕνεκεν ἐγένετο σύμπαντα, κατὰ μέρος γοῦν ἕκαστον αὐτῶν ἐνεργείας τινὸς μετέχει. κοιναὶ μὲν ὅλου τοῦ ζώου, φλὲψ, καὶ ἀρτηρία, καὶ νεῦρον. οἱ δ' ὑμένες ἅπαντες οἱ κατὰ τὸν ὀφθαλμὸν, ὡς ἂν τρεφόμενοι δηλονότι, καὶ τῶν φυσικῶν ἐξ ἀνάγκης μετέχουσι δυνάμεων, ὥστε καὶ τῶν κατ' αὐτὰς ἐνεργειῶν. ὅταν μὲν οὖν τὸ κρυσταλλοειδὲς ὑπὸ δυσκρασίας νοσήσῃ, βλάπτεται μὲν ἡ τῶν ὀφθαλμῶν ἐνέργεια πάντως, ἀλλ' οὐκ ἔστιν ὡς ὀργάνων αὐτῶν τὸ νόσημα. τὸ δ' ὑπόχυμα καλούμενον, οὐδενὸς μὲν ὁμοιομεροῦς ἐστι πάθος, ὅλων δὲ τῶν ὀφθαλμῶν ὡς ὀργάνων. οὕτω δὲ κἂν εἰ γλίσχρων τινῶν ἢ παχέων χυμῶν ἔμφραξις ἐν τοῖς πέρασι τῶν κατὰ τὰ σιμὰ τοῦ ἥπατος εἴη φλεβῶν, ἐμποδισθήσεται μὲν ἡ ἀνάδοσις, ὅλου δ' ἔσται τοῦ ἥπατος ὡς ὀργάνου τὸ πάθος. οὐδενὸς τῶν ὁμοιομερῶν αὐτοῦ μορίων νοσήσαντος. εἰ δὲ δυσκρασία καταλάβοι τὰς φλέβας, αὐτῶν μὲν ἐκείνων ἔσται τὸ νόσημα πρῶτον, κατὰ συμβεβηκὸς δὲ, καὶ τοῦ ἥπατος. Ἐρασίστρατος μὲν οὖν, ἔσφαλται περὶ τὴν οὐσίαν αὐτῆς τῆς φλεγμονῆς. οὔτε γὰρ ἐν τοῖς πέρασι τῶν ἀρτηριῶν γίγνεται σφήνωσις ἐξ ἀνάγκης ἐν τοῖς φλεγμαίνουσι μορίοις, οὔτε πνεῦμα μόνον ἐν τῷ κατὰ φύσιν αἱ ἀρτηρίαι περιέχουσιν, ὡς ἐν τοῖς περὶ τούτων λογισμοῖς ἀπεδείξαμεν. εἰ δ' οὖν ἐστί τι τοιοῦτον πάθος, οἷον ἐκεῖνος οἴεται φλεγμονὴ, καὶ σκίρρος τοιοῦτον, οἷον ἐκεῖνος νομίζει, καὶ τῶν ἄλλων ἕκαστον, ὡς αὐτὸς μὲν ἀσαφῶς ἐπὶ πολλῶν, οἱ δ' ἀπ' αὐτοῦ πειρῶνται διέρχεσθαι σαφέστερον, ὀλίγου δεῖν ἀπαθῆ καταλείπει τὰ στερεὰ, μόνον ἑλκωθῆναι δυνάμενα, καὶ διατμηθῆναι καὶ θλιβῆναι, καί τι τοιοῦτον ἕτερον ὑπομεῖναι πάθημα. νοσεῖν δ' αὐτὰ δι' ὅλων ἑαυτῶν οὐδαμόθι φησὶ νόσους τοιαύτας, οἵας ἡμεῖς ἀπεδείξαμεν εἶναι τὰς ὀκτὼ δυσκρασίας. καὶ μὴν ὁρᾶταί γε σύμπαντα τὰ σώματα μέχρι καὶ τῶν δυσπαθεστάτων, οἷον χαλκοῦ καὶ λίθου καὶ σιδήρου, θερμαινόμενά τε καὶ ψυχόμενα, καὶ ξηραινόμενα, καὶ ὑγραινόμενα, καὶ θαυμαστὸν εἰ ἀρτηρία μόνη, καὶ φλὲψ, καὶ νεῦρον οὐδὲν τοιοῦτον πείσεται. καὶ τούτου θαυμαστότερον, εἰ πείσεται μὲν, ἐνεργήσει δὲ ἀμέμπτως, οἷον ἐπὶ τῆς καρδίας εἰ τύχοι, δύναμις μέν τις ἐστὶ καὶ κατ' αὐτὸν τὸν Ἐρασίστρατον, ᾗ διαστέλλεται καὶ συστέλλεται. καὶ βλάπτεσθαι δὲ δή που ταύτην χρὴ, τῆς καρδίας ἐξαιρεθείσης ζῶντος τοῦ ζώου, καθάπερ πολλάκις ὁρῶμεν ἐν ταῖς ἱερουργίαις γιγνόμενον. εἰ γὰρ μηδὲν βλάπτεται, κινηθήσεται διαπαντὸς, οὐχ ἐπέχοντος τινὸς, ὡς νῦν φαίνεται. δῆλον οὖν ὅτι βλάπτεται, καὶ διὰ τοῦτο παύεται κινουμένη. τίς οὖν ἡ βλάβη, καλῶς ἔχει

ἐπισκέψασθαι. δυνάμενός γε δηλονότι τὴν βλάβην ἀναδέξασθαι τῆς καρδίας, καὶ πρὶν ἐξαιρεθῆναι τοῦ ζώου. τίς οὖν ἄλλη, πλὴν δυσκρασίας ἐστίν; οὔτε γὰρ τὸ σχῆμα φαίνεται μεταλλαττόμενον αὐτῆς, οὔτε κοιλότης τις, οὔτε σύνδεσμος, οὔτε στόμιον, ἀλλ' οὐδ' ἄλλο μόριον οὐδὲν ἀπολλύμενον, ἀλλὰ μόνον ἡ φυσικὴ κρᾶσις ἐξαλλαττομένη. ταῦτ' οὖν ἅπαντα τῶν ὁμοιομερῶν, ὡς εἴρηται, νοσήματα τυγχάνοντα τελέως αὐτῷ παραλέλειπται. τὸ γὰρ διὰ τοῦ αἵματος ἐν τοῖς πέρασι τῶν ἀρτηριῶν σφηνωθέντος, ἐνέργειάν τινα βλαβῆναι τῶν ἀρτηριῶν, ὡς ὀργάνων ἐστὶ τὸ πάθος. ὡς δ' ὁμοιομερῶν σωμάτων, ὀκτὼ μὲν αἱ κατὰ ψιλὰς τὰς ποιότητας δυσκρασίαι, μετὰ ῥευμάτων δ' ὀκτώ. χρὴ τοίνυν ὅστις τὰς τούτων ἀποδείξεις ἐπίστασθαι βούλεται παραλαβεῖν, ἀπὸ τοῦ περὶ τῶν στοιχείων ἄρξασθαι λόγου. κἄπειτα ἑξῆς ἕκαστον ἀναλέξασθαι τῶν ἄλλων, ὡς εἴρηται καὶ πρόσθεν. ἔστι δ' ἐφεξῆς μὲν ἐκείνῳ τὰ περὶ κράσεων ὑπομνήματα. καὶ τούτων ἐφεξῆς, τὸ περὶ τῆς ἀνωμάλου δυσκρασίας. εἶτα τὰ περὶ τῶν φυσικῶν δυνάμεων. ὅσα τ' ἄλλα περὶ τῶν ψυχικῶν εἴρηται παθῶν, ἐφεξῆς ἑκάστης ἴδια. τούτοις δ' ἕπεται τὰ περὶ χρείας μορίων, οἷς τὰ περὶ τῶν νοσημάτων τε καὶ συμπτωμάτων διαφορᾶς. οἱ πολλοὶ δὲ τῶν ἰατρῶν, οὔτε τῇ πείρᾳ μόνῃ προσέχοντες τὸν νοῦν, ἐνὸν αὐτοῖς ἀγαθοὺς ἰατροὺς γίγνεσθαι, καὶ κατὰ τὴν τῶν ἐμπειρικῶν ἀγωγὴν ὀρεγόμενοί τε τοῦ τέλους, κἄπειτα χωρὶς ἀποδείξεως ἀποφάσεσι πιστεύοντες, ἢ μοχθηραῖς ἀποδείξεσι παραλογισθέντες, οὐ μόνον οὐδὲν ἐξευρίσκουσι χρηστόν, ἀλλὰ καὶ τὰ διὰ τῆς ἐμπειρίας ἐγνωσμένα διαφθείρουσιν. οὐ γὰρ δή που σμικρὰν ἔχει δύναμιν ὁ λόγος ὡς πρὸς τὸ κοσμῆσαι τὴν ἐμπειρίαν ἢ διαφθεῖραι, ἀλλ' ὅσον ὁ χρηστὸς ἐπικοσμῶν προστίθησιν, τοσοῦτον ἢ καὶ πλέον ὁ μοχθηρὸς ἀφαιρεῖ. καὶ ταῦτ' ἀκούεις ἐμοῦ λέγοντος ἑκάστοτε τοῖς πολλοῖς τῶν ἰατρῶν, ὅσοι πρὶν γυμνάσασθαι κατὰ τὰς λογικὰς μεθόδους, ἢ ἀποδεικνύναι τι πειρώμενοι, παραλογίζονται σφᾶς αὐτούς, ἢ διαιρεῖν ὁτιοῦν εἰς εἴδη τε καὶ διαφοράς. εἶτα κἀνταῦθα κακῶν μαγείρων δίκην, οὐ κατ' ἄρθρα τέμνουσιν, ἀλλὰ συντρίβουσί τε καὶ θλῶσι καὶ διασπῶσιν, ὥσπερ κἀπὶ τοῦ νῦν ἡμῖν προκειμένου. συμβουλεύω δὴ πᾶσιν ὡς οἶδα τοῖς τοιούτοις τῇ πείρᾳ προσέχειν τὸν νοῦν. οὐ σμικρὸς γὰρ ὁ κίνδυνος ἅπαντι τῷ μειζόνων ἢ καθ' ἑαυτὸν ὀρεγομένῳ πραγμάτων, μήτ' ἐκείνων ἐφικέσθαι, καὶ τῶν ἐνδεχομένων γνωσθῆναι παντάπασιν ἀτυχῆσαι. τοῖς οὖν καὶ πεφυκόσιν εἶναι ἄριστα, καὶ τοῖς μανθάνειν ἄγουσι σχολήν, αὖθις ἡμεῖς διαλεγώμεθα, τοσοῦτον ἀναμνήσαντες αὐτούς, ὧν εὐθὺς κατ' ἀρχὰς εἴπομεν, ὡς οὐ προσήκει συγχεῖν ἅμα καὶ φύρειν ἀμφότερα, τά τ' ἐκ τῆς πείρας εὑρισκόμενα, καὶ τὰ διὰ μόνου τοῦ λόγου, ἀλλ' ὑπὲρ ἑκατέρων ἰδίᾳ διαλεχθέντας, αὖθις ἄμφω συναγαγεῖν. εἰρηκότες οὖν ἡμεῖς ὑπὲρ τῆς ἐμπειρικῆς εὑρέσεως ἑτέρωθι, περὶ τῆς λογικῆς ἐν τοῖσδε τοῖς ὑπομνήμασι προὐθέμεθα διελθεῖν. καί μοι δοκῶ σαφῶς ἤδη δεδειχέναι τοῖς γε τὰ περὶ τῆς τῶν νοσημάτων τε καὶ συμπτωμάτων διαφορᾶς ἀνεγνωκόσι, πρὸς οὓς ὁ μετὰ ταῦτα πᾶς ἔσται μοι λόγος, ὡς εὐθὺς ἐν ἀρχῇ μέγιστον πτῶμα πεπτώκασιν οἱ περὶ τὸν Θεσσαλόν. ἦν μὲν γὰρ οὐ σμικρὸν οὐδὲ τὸ Ἀσκληπιάδου πτῶμα, διὰ τὸ κατ' ἀρχὰς σφάλλεσθαι τὸν ἄνδρα περὶ τὰ τοῦ σώματος στοιχεῖα, πολὺ δ' ἔτι μεῖζον αὐτοῦ καὶ ἀνιατώτερον ἐποίησαν, οἱ περὶ τὸν Θεσσαλόν. εἰς δύο μὲν ἅπαντα τὰ κατὰ δίαιταν νοσήματα διαθέσεις ἀναγαγόντες, ὁμοίως ἐκείνῳ, πολλοὺς δὲ τῶν θεραπευτικῶν σκοπῶν ἀφελόντες, οἷς ἐκεῖνος ἐχρήσατο. χείριστον δὲ καὶ ἀνιατώτερον ἁμαρτάνοντες, ὅτι μήτε τὰς τῶν ἐνεργειῶν βλάβας, ἀλλὰ μηδὲ τὰς αἰτίας αὐτῶν τῶν διαθέσεων, ὑπολαμβάνουσιν εἶναι νοσήματα, μόναις δὲ ταῖς κενώσεσιν ἐπεχομέναις τε καὶ πλεοναζούσαις, ἀξιοῦσι προσέχειν τὸν νοῦν. οὐδ' οὖν οὐδὲ τί ποτ' ἐστὶ τὸ πέρα τοῦ δέοντος, ἢ κενοῦσθαι τὰ ἐκ τοῦ σώματος, ἢ ἐπέχεσθαι διδάξαντες ἡμᾶς σαφῶς. ἢ γὰρ ὡς πρὸς τὴν δύναμιν, ἢ ὡς πρὸς τὴν αἰτίαν, ἢ ὡς πρὸς τὴν διάθεσιν, ἢ ὡς πρὸς κατὰ τὴν ὑγείαν ἑκάστῳ τετηρημένον. ἀναφέρεσθαι χρὴ τὴν τήρησιν, ὅθεν οἶμαι καὶ πόλεμος οὐ σμικρὸς τοῖς ἀπ' αὐτῶν ἐγένετο, κατά τε ἄλλα πάντα διενεχθεῖσι, καὶ περὶ τῆς τῶν παθῶν ἐννοίας τε καὶ ὑπάρξεως. ἀλλ' εἰ νῦν κινήσαιμι τὴν περὶ τῆς διαφωνίας αὐτῶν διέξοδον, ἀπάξω τοῦ χρησίμου τὸν λόγον, ὡς οὖν ἀνεγνωκόσιν ἤδη τὰ περὶ τῆς τῶν νοσημάτων τε καὶ συμπτωμάτων διαφορᾶς ὑπομνήματα, καὶ πρὸς τούτοις ἔτι τὰ τῶν αἰτίων αὐτῶν, ἔτι τε πρὸς τούτοις ἐκεῖνα σύμπαντα διεληλυθόσιν, ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα, τὸν ἑξῆς ἅπαντα ποιήσομαι λόγον, ἀρξάμενος ἐνθάδε. Ἐπειδὴ τὰς ἐνεργείας ἁπάσας ἐδείξαμεν ὑπὸ τῶν ὁμοιομερῶν γιγνομένας σωμάτων, τὰ δ' ἄλλα πάντα τὰ καθ' ἕκαστον ὄργανον μόρια χρείαν τινὰ τούτοις προσέχοντα, διττὸν δή που γένος ἔσται νοσημάτων. ἕτερον μὲν ἐν τοῖς ὁμοιομερέσι σώμασιν, ἕτερον δὲ ἐν τοῖς ὅλοις ὀργάνοις. ἐν μὲν τοῖς ὁμοιομερέσι, αἱ δυσκρασίαι. τῶν δ' ὅλων ὀργάνων, ἓν μὲν τὸ παρὰ τὴν διάπλασιν, ἓν δὲ τὸ παρὰ τὸν ἀριθμὸν τῶν μορίων, ἄλλο δὲ, τὸ παρὰ τὸ ποσὸν ἑκάστου, καὶ τέταρτον τὸ παρὰ τὴν θέσιν. κοινὸν δὲ τῶν ὁμοιομερῶν καὶ τῶν ὀργανικῶν μορίων νόσημά ἐστιν, ἡ τῆς συνεχείας λύσις. ἓξ οὖν ἐστι τὰ πάντα τῶν νοσημάτων γένη. ἓν μὲν ἴδιον τῶν ὁμοιομερῶν, ἡ δυσκρασία. τέτταρα δὲ ἑκάστου τῶν ὀργάνων ὡς εἴρηται νῦν ἤδη. καὶ πρὸς τούτοις, ἔστι κοινὸν ὀργανικῶν τε καὶ ὁμοιομερῶν ἡ τῆς συνεχείας λύσις. αἱ δὲ καθ' ἕκαστον αὐτῶν διαφοραί, μέχρι τῶν ἐσχάτων εἰδῶν, ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς εἴρηνται. τούτων οὕτως ἐχόντων, ἤδη λεκτέον ὑπὲρ τῶν θεραπευτικῶν ἐνδείξεων, αὐτὸ τοῦτο πρότερον ἐξηγησαμένους τὸ τῆς ἐνδείξεως ὄνομα. τὴν γὰρ οἷον ἔμφασιν τῆς ἀκολουθίας, ἔνδειξιν λέγομεν. εὑρίσκεται μὲν γὰρ κἀκ τῆς πείρας τὸ ἀκόλουθον, ἀλλ' οὐχ ὡς ἐμφαινόμενον τῷ ἡγουμένῳ. καὶ διὰ τοῦτο τῶν ἐμπειρικῶν οὐδεὶς ἐμφαίνεσθαί φησι τῷδέ τινι, τὸ δέ τι. καί τοι γε ἀκολουθεῖν λέγουσι τόδε, τῷδε. καὶ προηγεῖσθαι τόδε, τοῦδε. καὶ συνυπάρχειν τόδε, τῷδε. καὶ ὅλως ἅπασαν τὴν τέχνην, τήρησίν τε καὶ μνήμην φασὶν εἶναι, τοῦ τί, σὺν τίνι. καὶ τί, πρὸ τίνος. καὶ τί, μετὰ τίνος πολλάκις ἑώραται. τὸν τοίνυν ἐξ αὐτῆς τῆς τοῦ πράγματος φύσεως ὁρμώμενον ἐξευρίσκειν τὸ ἀκόλουθον ἄνευ τῆς πείρας, ἐνδείξεις καὶ εὕρεσιν ἐστὶ πεποιῆσθαι. διωρισμένου δὲ καὶ τοῦδε πάλιν, ἀναμνήσαντες ὅπερ ἤδη καὶ πρόσθεν εἴπομεν, ὡς ἡ θεραπευτικὴ πᾶσα μέθοδος, ἄνευ τῆς ἐμπειρίας προέρχεται. καὶ ὡς οὐκ ὀρθῶς ποιοῦσιν οἱ συνάγοντες εἰς ταὐτὸν καὶ συγχέοντες ἀμφοτέρας τὰς διδασκαλίας ἐμπειρικήν τε καὶ λογικήν, ἐχώμεθα τῶν ἑξῆς. εἴη δ' ἂν πρῶτον ἁπάντων τῶν ἐφεξῆς, ὅπερ καὶ πρῶτον ἁπάντων ἕπεται τοῖς ὑποκειμένοις. ἕπεται δὲ πρῶτον καὶ μάλιστα, τὸ δ'

ἐνδείξεως

ἐνδείξεως ἅπασαν γίγνεσθαι τὴν θεραπευτικὴν μέθοδον. ὅθεν γὰρ ἀποκεχώρηκε τῆς ἐμπειρίας, ἔνδειξις ὀνομάζεται σύμπαν. ὥστε καὶ ὅστις ἀκριβῶς βούλεται συστήσασθαι τὴν θεραπευτικὴν μέθοδον, ἄρξασθαι μὲν αὐτὸν ἀπὸ τῶν πρώτων ἐνδείξεων χρή, μεταβῆναι δὲ ἐντεῦθεν ἐπὶ τὰς ἐφεξῆς, εἶτ' αὖθις ἐπὶ τὰς ἐκείνων ἐχομένας, καὶ τοῦτο ποιοῦντα, μὴ παύσασθαι πρὶν ἐφικέσθαι τοῦ τέλους αὐτῶν. τέλος δ' ἐστὶ τῆς νῦν ἡμῖν προκειμένης πραγματείας, ἐξευρεῖν ἑκάστου τῶν νοσημάτων ἰάματα. τίς οὖν ἀρχὴ τῆς ἐπὶ τοῦτο φερούσης ὁδοῦ; τοῦ νοσήματος ἡ γνῶσις, ὁποῖόν τι τὴν φύσιν ἐστίν, ὡς ἀπεδείχθη καὶ πρόσθεν. εἰ γὰρ δὴ τὸ θεραπευόμενον αὐτὸ τοῦτ' ἐστίν, εὔλογον δήπου καὶ τῶν ἐνδείξεων ἐντεῦθεν ἄρξασθαι. τίς οὖν ἡ γενικὴ καὶ κοινὴ πάντων τῶν νοσημάτων ἔνδειξις, εὑρεῖν χρὴ πρῶτον, εἶτα ἐντεῦθεν ἐπὶ τὰς κατ' εἴδη προελθεῖν. ἀνάγκη γὰρ δὴ τὰς νόσους ἁπάσας, ἑνός καὶ ταυτοῦ μετεχούσας νόσους ὀνομάζεσθαι. καθάπερ οἶμαι καὶ ἄνθρωπον, καὶ βοῦν, καὶ κύνα, καὶ τῶν ἄλλων ἕκαστον. ἓν γάρ τι καὶ ταυτὸν ἐν ἅπασι τοῖς ἀνθρώποις ἐστί. διὸ καὶ τῆς αὐτῆς προσηγορίας ἅπαντες ἐτύχομεν ἄνθρωποι καλεῖσθαι. παραπλησίως δέ, κἂν τοῖς κυσὶν ἅπασιν ἕν τι καὶ ταυτόν ἐστιν, ἐφ' ὃ δὴ καὶ τὴν διάνοιαν ἐπερειδόμεθα νοῆσαι βουληθέντες τὸν κύνα. καὶ μὲν δὴ καὶ τοῖς ἵπποις, ὁμοίως ἕν τι καὶ ταυτὸν ἅπασιν ἐστίν, ᾗ πάντες ἵπποι καλοῦνται. μάθοις δ' ἂν ἐναργέστερον ἐπὶ τῶν ὁμωνύμων αὐτό. τοῖς γὰρ τετράποσι ζώοις ἅπασι τοῖς ὑλακτικοῖς, ἓν ταυτὸν ὑπάρχει, τό, τετράποσί τε εἶναι σύμπασι καὶ ὑλακτικοῖς. τοῖς δ' ἐναλίοις θηρίοις τοῖς ἁρπακτικοῖς, ἃ δὴ καὶ αὐτὰ κύνας ὀνομάζομεν, ἓν αὖ κἀκείνοις ὑπάρχει ταυτόν, οὐχ ὑπάρχον τοῖς ἐπιγείοις. ὥστε μηδενὸς ἐκεῖνα τούτοις κοινωνεῖν ἄλλου κατὰ τὴν τῶν κυνῶν φύσιν, πλὴν ὀνόματος. ἀνθρώπῳ μέντοι πρὸς ἄνθρωπον, οἷον Σωκράτει πρὸς Ἀλκιβιάδην, οὐκ ὀνόματος μόνον, ἀλλὰ καὶ τῶν ὑπαρχόντων ἐστὶν ἡ κοινωνία. καὶ γὰρ καὶ ζῶα, καὶ δίποδα, καὶ πεζά, καὶ λογικά, καὶ θνητά, καὶ ὅλως οὐδὲν ἂν εὕροις ὑπάρχον οὐδενὶ τῶν κατὰ μέρος ἀνθρώπων ᾗ ἄνθρωπος, ὃ μὴ καὶ τοῖς ἄλλοις ἀνθρώποις ὑπάρχει. τοῖς μέντοι χερσαίοις κυσὶ πρὸς τοὺς ἄλλους θαλαττίους ὑπάρχει πολλὰ διαφέροντα, καὶ κατὰ τὴν τοῦ σώματος ἰδέαν, καὶ κατὰ τὸ τῆς ψυχῆς ἦθος. ἥμερον γὰρ τοῦτο καὶ φιλάνθρωπον, ἐπίβουλον δ' ἐκεῖνο καὶ ἄγριον. καὶ χερσαῖον μὲν τοῦτο, θαλάττιον δ' ἐκεῖνο. καὶ τὸ μὲν τετράπουν, τὸ δὲ οὔ. καὶ τὸ μὲν ὑλακτικόν, τὸ δέ, οὐχ ὑλακτικόν. οὐ μὴν τῶν ἐπιγείων κυνῶν, ὁ μὲν ὑλακτικός ἐστιν, ὁ δὲ οὐχ ὑλακτικός. καὶ τετράπους μέν, ὅδ' ἔτι, ἕτερος δὲ μὴ τοιοῦτος. ἀλλὰ πᾶσι μὲν αὐτοῖς, ἓν εἶδος ἐστίν, ᾗ κύνες ὀνομάζονται καὶ οὐ μόνον ταῖς οὐσίαις ἔοικεν ὑπάρχειν τὸ τοιοῦτον, ἀλλὰ καὶ τοῖς συμβεβηκόσιν αὐτοῖς. ἢ ὡς διαθέσεσιν, ἢ ὡς ἐνεργήμασιν, ἢ ὡς παθήμασιν. οἷον ἄνθρωπος περιπατῶν, ἀνθρώπου περιπατοῦντος οὐδὲν διαφέρει κατ' αὐτὸ τὸ περιπατεῖν. καὶ καιόμενος δὴ καιομένου, καὶ τεμνόμενος τεμνομένου, καὶ λευκὸς λευκοῦ. καὶ μέλας μέλανος. ἐν μέντοι τῷ μᾶλλόν τε καὶ ἧττον, ἕκαστον τούτων οὐ σμικρὰν ἔχει διαφοράν. οἷον, λευκὸς μᾶλλον ἢ ἧττον. ἀλλ' ᾗ λευκός, ἕν τι καὶ ταυτὸν ἑτέρῳ λευκῷ κέκτηται. καθάπερ καὶ ᾗ ἄνθρωπος, ἕν τι ταυτὸν ἀνθρώπῳ τῷ τυχόντι. καὶ καθ' ἕκαστον δὴ τῶν σημαινομένων ἐν ἅπασιν ὑπάρχει ταυτόν. οὕτω δὴ καὶ τὸ νοσεῖν, καὶ τὸ ὑγιαίνειν. τὸ μὲν τοῖς νοσοῦσιν ἅπασιν ὑπάρχει, τὸ δὲ τοῖς ὑγιαίνουσιν, ἓν καὶ ταυτὸν ἑκάτερον. καὶ ὥσπερ ἐκ τῆς ἄνθρωπος φωνῆς ἕν, οὕτω κἀκ τῆς ὑγείας ἓν σημαίνεται. δηλοῖ δὲ καὶ ἡ καθ' ἑκάστην ἡμέραν ἡμῖν γινομένη πρὸς ἀλλήλους διάλεκτος. ὡς ἐν οἷς οὐκ ἔστιν ὁμωνυμία, τὸ σημαινόμενον ἓν ὑπάρχει. λέγοντος γάρ τινος ὑπὸ ἀνθρώπου πληγῆναι λίθῳ τὴν κεφαλήν, οὐδενὶ τῶν ἀκουόντων ἀσαφὴς ὁ λόγος, οὐδ' ἀμφίβολος. ὥσπερ εἰ καταβρωθῆναί τις, εἰ οὕτως ἔτυχε κορίσκον, ὑπὸ κυνὸς διηγεῖτο. τίνος γὰρ κυνός, ὁ ἀκούσας ἐρήσεται. διότι οἶμαι δύο ἐστὶν εἴδη κυνῶν, τὸ μὲν ἐπίγειον, τὸ δὲ ἐνάλιον. οὐ μὴν ὑπό τινός γε λίθου, καὶ τίνα τὴν κεφαλὴν ἐρωτήσει. καὶ γὰρ λίθου παντὸς ἓν εἶδος ᾗ λίθος ἐστί. καὶ κεφαλῆς ἁπάσης, ᾗ κεφαλή. κυνὸς δ' οὐχ ἕν, ᾗ κύων. ὥσπερ οὐδὲ γλώττης, ᾗ γλῶττα. καὶ γὰρ καὶ αὐλοῦ, καὶ ὑποδήματος, καὶ ζώου μόριον ἡ γλῶττα. καὶ εἴ τινος ἀκούσαις οἰκέτου προστάσσοντος ὠνήσασθαι γλῶτταν, ἄδηλόν ἐστιν ἥν τινα λέγει γλῶτταν. οὐ μὴν εἰ γαστέρα τις ἢ κύστιν ἢ ἧπαρ ὠνήσασθαι κελεύοι. καθ' ἕκαστον οὖν τῶν σημαινομένων, ἕν τι πρᾶγμα ἐστὶν ὑποκείμενον. οὐ μὴν καθ' ἑκάστην γε τῶν φωνῶν ἕν. ἐνίοτε μέντοι σημαίνεται μόνον πρὸς τῆς φωνῆς, ὑπόκειται δὲ οὐδέν. ἀλλὰ περὶ μὲν τῶν οὕτω λεγομένων, οὐ πρόκειται νῦν διελθεῖν. ἐν οἷς δὲ οὐ σημαίνεταί τι μόνον ἐκ τῆς φωνῆς, ἀλλὰ καὶ πρᾶγμά τι ἐστὶν ὑποκείμενον, ὅσαπερ ἂν ᾖ τὰ σημαινόμενα, τοσαῦται καὶ αἱ τῶν πραγμάτων ὑπάρχουσιν ἰδέαι. τῆς μὲν φωνῆς ἓν σημαινούσης, ἓν ἐξ ἀνάγκης ἐστὶ καὶ τὸ τοῦ πράγματος εἶδος. ἀριθμῷ μέντοι πολλὰ ταῦτα ἐγχωρεῖ γενέσθαι, καθάπερ τὸ α. καὶ διὰ τοῦτο ἑπτὰ μὲν τὰ φωνήεντα φαμὲν ὑπάρχειν, στοιχεῖα δὲ τέτταρα καὶ εἴκοσι τὰ σύμπαντα, κατὰ τὴν ἡμετέραν δηλονότι διάλεκτον, ἐπὶ τὸ κοινὸν ἁπάντων εἶδος ἀποβλέποντες ἓν ὑπάρχον, οὐκ ἐπὶ τὰ κατὰ μέρος ἐπεὶ τά γε ἐν χάρταις, καὶ ξύλοις, καὶ διφθέραις, καὶ λίθοις γεγραμμένα, πάμπολύ τι πλῆθος ὄντα, καὶ μηδ' ἀριθμηθῆναι δυνάμενα, καὶ σχεδὸν εἰς ἄπειρον ἐκτεινόμενα. δύναται γοῦν ἄχρι τοῦ παντὸς αἰῶνος α. καὶ β. καὶ γ. γράφεσθαι μυρία. κατὰ ταῦτα δὲ καὶ τῶν ἄλλων ἕκαστον γραμμάτων ἀλλὰ τά γε σύμπαντα τέτταρα καὶ εἴκοσι τὸν ἀριθμὸν εἶναι φαμέν, οὐ τὰ κατὰ μέρος προχειριζόμενοι, τὰ δ' εἴδη μόνον, καθ' ἅπερ οἶμαι καὶ τὰ ὀνόματα φέρομεν. ἄλφα γὰρ οὐ τουτὶ μέν τι λέγεται τὸ γεγραμμένον ἐν χάρτῃ, τουτὶ δ' οὐ λέγεται τὸ γεγραμμένον ἐν ξύλῳ, ἀλλὰ καὶ τοῦτο κἀκεῖνο, κἂν εἰ κατὰ τῆς γῆς γράψαις, κἂν εἰ κατὰ λίθου, κἂν εἰ καταξύσαις, κἂν εἰ διὰ χρωμάτων. καὶ οὐδὲ πολλὰ τοὺς παῖδας τις διδάσκει, α καὶ β καὶ γ. καὶ τῶν ἄλλων ἕκαστον, ἀλλ' ἓν μὲν ἕκαστον, ὁμοῦ δὲ σύμπαντα τέσσαρα καὶ εἴκοσιν. οὕτως δὲ κἂν ἵππον ἕνα δείξῃς, ἢ κάμηλον παιδί, θεασάμενος αὖθις ἕτερον ἵππον, ἢ κάμηλον ἑτέραν, οὐκ ἐρωτᾷ τί ποτ' ἐστὶ τὸ ζῶον, ἀλλὰ τὸ μὲν ἵππον ὀνομάζει, τὸ δὲ κάμηλον. καὶ ταυτόν γε εἶναι ἐκεῖνο φησὶ τοῦτο τὸ πρόσθεν ὁραθὲν τῷ νῦν ὁρωμένῳ. καίτοι τὸ μέν, εἰ οὕτως ἔτυχεν, ἀπέθανεν, ἕτερον δ' ἐστὶ τὸ νῦν ὁρώμενον. οἶνον δὴ λέγουσιν οἱ ἄνθρωποι τὸν αὐτὸν χθὲς καὶ τήμερον πεπωκέναι, τῷ εἴδει δηλονότι τὸν αὐτόν. ἐνίοτε δέ φασι τρεῖς οἴνους πεπωκέναι τήμερον, ἢ νὴ Δία ἕνα πανταχοῦ πρὸς τὸ εἶδος ἀποβλέποντες, ἐπικεῖσθαί τε μίαν, εἰ τύχοι, σφραγῖδα πεντεκαίδεκα θύραις, ἐν ἅπασι τούτοις, ἐπὶ τὸ εἶδος ἀναφέροντες τὸν λόγον. οὕτω δὲ ἐναργές ἐστι καὶ φύσει πᾶσιν ὑπάρχει, καὶ ἀνθρώποις, καὶ βοσκήμασιν.

ἕτερον μέν τι ὡς ὑποκείμενον κατ' οὐσίαν, ἕτερον δ' ὡς εἶδος ἓν ἐπινοεῖν. ὥστε καὶ τοῖς ὄνοις, οἵπερ ἁπάντων τῶν θρεμμάτων ἀνοητότατοί γε δοκοῦσιν ὑπάρχειν, ἄλλο μὲν τὸ κατ' εἶδος ἕν, ἄλλο δὲ τὸ κατ' ἀριθμὸν, εἰς διάγνωσιν ἥκει. θεασάμενος γοῦν κάμηλον ὁ ὄνος, ἐξίσταταί τε καὶ φοβεῖται καὶ δέδιεν, εἰ μηδέποτε τύχοι θεασάμενος. εἰ μὲν δὲ συνεθισθείη τῇ θεά[illegible], κᾂν ἄλλην αὐτῷ καὶ ἄλλην ἐπιδείξῃς κάμηλον, οὐκέτι δέδιεν ὑπὸ συνηθείας, ἀλλ' ὡς ἓν εἶδος ὁρᾷ κἀκείνην ᾗ συνειθίσθη, καὶ ταύτην ᾗ πρώτως ἐντυγχάνει. οὕτω δὲ καὶ τοὺς ἀνθρώπους οὐ δέδιεν ὑπὸ συνηθείας, ἀλλ' ὡς ἓν εἶδος ὁρᾷ καὶ τούτους. εἰ μέντοι θεάσαιτο τὸν ὀνηλάτην οὐχ ὡς ἄνθρωπον μόνον, ἀλλὰ καὶ ὡς τὸν δέ τινα γνωρίζει, καὶ σείει γε τὰ ὦτα πολλάκις, καὶ τὴν κέρκον κινεῖ, καὶ ὀγκᾶται, καὶ σκιρτᾷ θεασάμενος, ἐμφαίνων ὅτι γνωρίζει τὸν οἰκεῖον. τοῦτον μὲν δὴ καὶ ὡς ἄνθρωπον καὶ ὡς συνήθη γνωρίζει. τὸν δὲ νῦν αὐτῷ πρῶτον ὀφθέντα, καθ' ὅσον μὲν ἄνθρωπον ὡσαύτως, ὡς συνήθη δ' οὐχ ὡσαύτως. ὥστ' οὐ μόνον ἡμεῖς, ἀλλ' ἤδη καὶ οἱ ὄνοι, τὸ μὲν, ὡς ἀριθμῷ ταὐτὸν ὁρῶσί τε καὶ διαγινώσκουσι καὶ μέμνηνται, τὸ δὲ ὡς εἴδει. καὶ τὸν Δίωνα τὸν ὀνηλάτην, ἔστω γὰρ, εἰ τύχοι, οὕτως λεγόμενος. ἄλλως μὲν ὡς ἄνθρωπον, ἄλλως δὲ ὡς Δίωνα γνωρίζουσιν οἱ συνήθεις ὄνοι. τὸ μέντοι κοινὸν εἶδος αὐτοῦ καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους, ὡς ἀνθρώπου λαμβανόντων. τὸ δὲ ἴδιον ἐξαίρετον, ὡς Δίωνος μόνου. καὶ τοσοῦτον κρίνω δέον τοὺς παλαιοὺς φιλοσόφους ἐπαινεῖν, ὡς μέγα τι καὶ σοφὸν ἐξευρόντας. ὅτι τὸ ταὐτὸν, καὶ τὸ ἕτερον, καὶ τὸ ἓν καὶ τὸ οὐχ ἕν, οὐ μόνον κατ' ἀριθμὸν, ἀλλὰ καὶ κατ' εἶδος χρὴ νοεῖν, ὥστε καὶ τοῖς ὄνοις φημὶ τοῦθ' ὑπάρχειν φύσει. πρόσκειται μὲν οὖν ὑπὸ τῶν παλαιῶν φιλοσόφων, ὡς οὐ μόνον ἀριθμῷ καὶ εἴδει λέγεταί τι ταὐτὸν, ἀλλὰ καὶ τῷ γένει. οὐ μὴν ἤδη γέ πω τοῦδε χρῄζω πρὸς τὰ παρόντα. μόνον γὰρ ἀρκεῖ μοι τὸ δεῖξαι τῶν ὄνων ὑπάρχοντας ἀναισθητοτέρους, ὅσοι μὴ συγχωροῦσιν ἕτερον μέν τι τῷ εἴδει τὸ ἓν, ἕτερον δ' ἀριθμῷ λέγεσθαι. καὶ μᾶλλον ἔτι, τοὺς ἕνα μὲν, τὸν φρενιτικὸν εἶναι λέγοντας, καὶ ἕνα τὸν ἐμπειρικόν. ἕνα δὲ τὸν ἄνθρωπον εἶναι μὴ συγχωροῦντας, ἢ μὴ γινώσκοντας, ὡς εἴδει μὲν ἓν ὁ ἄνθρωπος, ἀριθμῷ δ' οὐχ ἕν. ὁ Σωκράτης μὲν ἓν καὶ τὸ εἶδος καὶ τὸν ἀριθμόν. ὁ φρενιτικὸς δὲ, τὸ μὲν εἶδος, εἷς, οὐχ εἷς δέ ἐστι τὸ πλῆθος. οὐ γὰρ ἐνδέχεται Δίωνα, καὶ Σωκράτην, καὶ Θέωνα, καὶ Κορίσκον, ἅμα πάντας, εἰ τύχοι, φρενιτίζοντας, ἕνα τῷ πλήθει τοὺς τέσσαρας ὑπάρχειν. ἀλλὰ τὸ μὲν εἶδος, ἕνα, τὸ πλῆθος δ' οὐχ ἕνα. παραλογώτερον δέ τι τῶν ἐμπειρικῶν ἰατρῶν ἐστιν, ὅτι καὶ τὸν ἐμπειρικὸν ἕνα λέγουσιν, εἶτ' ἐρωτηθέντες πῶς ἕνα φασὶ τὸν ζῶντα τῷ τεθνεῶτι, καὶ τὸν ἐπὶ τῆς Ἑλλάδος, τῷ κατ' Αἴγυπτον, ἀποκρίνονται πρὸς τοῦτο θαυμαστὴν ἀπόκρισιν. ᾗ γάρ φασιν ἐμπειρικός ἐστι, ταύτῃ καὶ εἷς. τοῦτο γὰρ δὴ τῆς ἐσχάτης ἀναισθησίας ἐστὶν, εἰ προστιθέντες τὸ ᾗ καὶ τὸ ταύτῃ, μηδ' ὧν αὐτοὶ φθέγγονται, συνιᾶσιν. εἰ γὰρ δὴ ταύτῃ γε Σεραπίων καὶ Μηνόδοτος εἷς ἐστὸν ᾗ ἐμπειρικοὶ, κατ' ἄλλα δήπουθεν οὐχ εἷς ἔσονται. ὥστ' εἴγε παντελῶς εἷς ἦν, ἐκ περιττοῦ καὶ μάτην ἂν οἶμαι προσέκειτο τὸ ᾗ καὶ τὸ ταύτῃ, παρὸν ἁπλῶς εἰπεῖν, ὡς εἷς ἐστι Σεραπίων καὶ Μηνόδοτος. οὕτως οὖν ὡς ὑπὲρ αὐτοῦ μόνου Μηνοδότου τὸν λόγον ποιούμενος, οὐκ ἂν προσθήκης δεηθείης, ἀλλ' ἁπλῶς ἂν εἴποις, εἷς ἐστι Μηνόδοτος. εἰ τοίνυν Μηνόδοτος μὲν εἷς ἁπλῶς, Μηνόδοτος δὲ καὶ Σεραπίων, οὐχ ἁπλῶς εἷς, ἀλλ' ᾗ ἐμπειρικοὶ, πάντως δήπουθεν αὐτοῖς ἐστιν ἕτερ' ἄττα καθ' ἃ δύο εἰσὶ, καὶ οὐκ εἷς ἀμφότεροι. καὶ γίνεται τοῦτ' ἐκεῖνο τὸ πρὸς τῶν παλαιῶν φιλοσόφων εἰρημένον. ἕτερον μὲν ἀριθμῷ, καὶ ταὐτὸν, καὶ ἕν. ἕτερον δὲ τῷ εἴδει. καὶ μηδὲν εἶναι θαυμαστὸν, εἰ Μηνόδοτος Σεραπίωνι κατά τι μὲν ὁ αὐτός ἐστι καὶ εἷς, κατά τι δὲ οὐχ ὁ αὐτὸς, οὐδ' εἷς. ᾗ μὲν γὰρ ἐμπειρικὸς, ὁ αὐτός. ᾗ δ' ὁ μὲν, σιμὸς, ὁ δὲ γρυπὸς, ἢ μέλας, ἢ λευκὸς, ἢ μέγας, ἢ μικρὸς, οὐχ ὁ αὐτός. ἆρ' οὖν οὕτως ἐστὶν ἑκάτερος αὐτῶν ἄνθρωπος, ὡσεὶ ᾗ γρυπὸς, ἢ σιμὸς, ἢ οὕτως ὡς ἐμπειρικός; ἢ κᾂν παῖς τοῦτό γε νοήσειεν, ὡς ᾗ μὲν ἄνθρωπος, εἷς ἐστιν. ᾗ δ' ὁ μὲν, σιμὸς. ὁ δὲ γρυπὸς, οὐχ εἷς. ἆρ' οὖν οὐκ ἐσχάτης ἀναισθησίας, ἢ φιλονεικίας, ἢ οὐκ οἶδ' ὅ,τι ποτὲ καὶ προσειπεῖν ἄξιον, ἕνα μὲν ὁμολογεῖν εἶναι τὸν φρενιτικὸν ᾗ φρενιτικὸς, ὡσαύτως δὲ καὶ τὸν ληθαργικόν τε καὶ πλευριτικόν. οὐδ' ἕνα δὲ τὸν ἄνθρωπον ᾗ ἄνθρωπος. καὶ τὸν μὲν ἐμπειρικὸν ἕνα λέγειν, ᾗ ἐμπειρικός. οὐχ ἕνα δὲ τὸν ἵππον, ᾗ ἵππος, ἐνὸν ἀκοῦσαι λέγοντος Ἀριστοτέλους τε καὶ Θεοφράστου, δύνασθαί τι τῷ μὲν εἴδει, ταὐτὸν ὑπάρχειν ἕτερον ἑτέρῳ. τῷ δ' ἀριθμῷ, μὴ ταὐτόν. ἔτι δὲ τούτων ἔμπροσθεν, αὐτοῦ τοῦ κἀκείνοις ὑφηγησαμένου τὴν τοιαύτην διαστολὴν τῶν σημαινομένων ἐπακοῦσαι λέγοντος, ὡς οὐδὲν θαυμαστόν ἐστιν ἓν εἶναι τὰ πολλὰ, καὶ τὰ πολλὰ ἕν. οὕτω γὰρ σαφῶς ἅπαντα τοῦτον τὸν λόγον ὁ Πλάτων διῆλθεν ἐν ἀρχῇ τοῦ Φιλήβου, ὥστ' ἐγὼ μὲν καὶ τοῖς ἀναισθήτοις αὐτὸν εἶναι νομίζω σαφῆ. γνωρίζουσι γοῦν οἱ ὄνοι, καὶ ἄνθρωπον, καὶ κάμηλον, καὶ βοῦν. καὶ τὸν δέ τινα τὸν ἄνθρωπον. καὶ τὴν δέ τινα τὴν κάμηλον. καὶ τὸν δέ τινα τὸν βοῦν. οὕτω δὲ καὶ ὁδὸν, οὐ μόνον ἁπλῶς ὡς ὁδὸν, ἀλλὰ καὶ ὡς τήνδε τινα γνωρίζουσιν. ἐπίστησον γοῦν ὄνον ἐπ' ἀρχὴν ὁδοῦ μὴ γνωρίμου, καὶ θέασαι πῶς αὐτὴν βαδίζει τε καὶ διέρχεται πᾶσαν οὐκ ἐκτρεπόμενος ἑκατέρωσε, πλὴν εἰ μὴ τύχοι προσχιζομένης, δῆλον ποιῶν ὡς αὐτὸ τὸ εἶδος ὅ,τι ποτ' ἐστὶν ὁδοῦ μέμνηται, καὶ γιγνώσκει σαφῶς. βαδίζει γοῦν τὴν τετριμμένην. καθ' ὅσον δὲ ἀγνοεῖ, σφάλλεται. οὐ γὰρ δὴ τήν γε ἄτομον καὶ μίαν τῷ ἀριθμῷ μεμνημένος, ἀπ' ἐκείνης, ἣν οὐκ οἶδε, βαδίζειν δύναται. δῆλον δ' ὅτι τὴν ὁδὸν ταύτην ἣν νῦν βαδίζει πρῶτον, ᾗ μὲν ὁδὸς, ὡς εἴδει γινώσκων, βαδίζει. καθ' ὅσον δὲ ἀριθμῷ μία, κατὰ τοσοῦτον ἀγνοεῖ, τῷ τε μηδαμῶς πρὸς τὰς ἀτρίπτους ἐκτρέπεσθαι, καὶ τῷ καθ' ὃ σχίζεται, μὴ γινώσκειν ὁποίαν ἰτέον, ὅπερ ἠπίστατο ἂν ἀκριβῶς, εἰ δεύτερον αὐτὴν ἢ τρίτον ἔτυχε νῦν βαδίζων. ἐπειδὴ γὰρ ἕτερον μὲν οἶδεν, ἕτερον δ' ἀγνοεῖ, καθ' ὅσον τὸ μὲν κοινὸν εἶδος ὁδοῦ γινώσκει, τὸ δ' ἴδιον ταύτης ἢ τινὸς, ἀγνοεῖ. καθ' ὅσον μὲν οἶδεν, οὐ σφάλλεται, βαδίζει γοῦν τὴν τετριμμένην, καθ' ὅσον δ' ἀγνοεῖ, σφάλλεται πολλάκις ἐν ταῖς τριόδοις, οὐκ εἰδὼς ὁποίαν ἕληται. διττὰς οὖν ἔχουσι γνώσεις καὶ οἱ ὄνοι. τῶν μὲν κοινῶν εἰδῶν ἑτέρας, τῶν δ' ἰδίων ἄλλας. λοιπὸν εἴτε ἓν εἶδος ἐκεῖνο ἐθέλοις καλέσαι τὸ κοινὸν, εἴτε γένος, εἴτε κοινότητα, φυλάττων αὐτοῦ τὴν ἔννοιαν, ἣν ἐγὼ νῦν ἐξηγοῦμαι, περὶ μὲν ὀνομάτων ἀμφισβητήσεις, οὐ μὴν μεταθεῖναί γε δυνήσῃ τὸ πρᾶγμα. καίτοι πρὸς μὲν τὴν τῶν ὀνομάτων θέσιν ἴσως ἕτερος ἀμφισβητήσει παραπλησίως σοι, τῆς περὶ τὰ πράγματα θεωρίας ἀγύμναστος. οὐ μὴν ἡμεῖς γε ἀμφισβητήσομεν, ἀλλ' ἐκείνου μόνου ἀξιώσομέν σε μεμνῆσθαι τοῦ παρὰ Πλάτωνος λεγομένου. ἓν γὰρ δὴ τὰ πολλὰ εἶναι, καὶ τὸ ἓν πολλὰ θαυμαστῶς λεχθὲν, καὶ ῥᾳδίως ἀμφισβητῆσαι τῷ τούτων ὁποτερονοῦν τιθεμένῳ. εἰ γὰρ δὴ τοῦτο διασώζοις, οὐκέτ'

ἕξεις

ἕξεις ἐρίζειν, ὥσπερ νῦν ἐρίζεις. τὰ μὲν, ὑπὸ τῆς ἀμαθίας, τὰ δ' ὑπὸ τῆς φιλονεικίας ἀγόμενος. ἀλλ' εἴτε τις ἕνα λέγοι τὸν φρενιτικὸν, ἕνα συγχωρήσεις ὑπάρχειν. εἴτε πολλοὺς, καὶ οὕτω συγχωρήσεις. ὡσαύτως δὲ καὶ τὸν ἐμπειρικόν τε, καὶ δογματικὸν, καὶ τὸν μεθοδικόν. οὕτω δὲ τὸν ἰατρὸν ἕνα τε καὶ πολλοὺς φήσεις. ἕνα μὲν, ᾗ ἰατρόν. οὐχ ἕνα δὲ τῷ κατὰ μέρος πλήθει. οὐ γὰρ δὴ ἐπὶ μὲν τοῦ ἐμπειρικοῦ, τὸ ᾗ προσθήσεις, ἀφαιρήσεις δὲ ἐπὶ τοῦ ἰατροῦ. οὐδὲ ἐπὶ μὲν τοῦ ἰατροῦ προσθήσεις, ἀφαιρήσεις δὲ ἐπ' ἀνθρώπου. οὐδὲ τὸν φρενιτικὸν μὲν ἕνα φήσεις ᾗ φρενιτικὸς, τὸν νοσοῦντα δ' οὐχ ἕνα. καὶ γὰρ καὶ οὗτος ᾗ νοσῶν, εἷς ἐστιν. ἐπιλάθου τοίνυν ἤδη ποτὲ τῶν λήρων ἐκείνων, οὓς ἐν ἄλλοις βιβλίοις ἐρίζων λέγεις, ἀξιῶν δειχθῆναί σοι τὸν ἄνθρωπον αὐτὸν καθ' ἑαυτὸν μόνον ἄνευ τῶν κατὰ μέρος. ὥσπερ αὐτὸς δεῖξαι δυνάμενος τὸν ἐμπειρικὸν ἄνευ Μηνοδότου καὶ Σεραπίωνος, καὶ τῶν ἄλλων τῶν κατὰ μέρος. ἢ νὴ Δία τὸν φρενιτικὸν ἄνευ τῶν κατὰ μέρος φρενιτικῶν. ἐν τίνι τοίνυν τὸ σφάλμα, καὶ πόθεν ἡ ἐκτροπὴ τοῦ καὶ τῶν ὄνων αὐτοὺς γίγνεσθαι μωροτέρους; ἐξ ὧν περ καὶ ἄλλα μυρία σφάλλονται. μεταβῆναι γοῦν ἐπὶ τὰς οὐσίας τῶν πραγμάτων ἀπὸ τῶν ἐννοιῶν ἐπιχειροῦντες, εἶθ' ὡς ἀγύμναστοι τῆς λογικῆς θεωρίας σφάλλονται, συνανατρέποντες τῇ περὶ τούτων ἀγνοίᾳ καὶ τὰς ἐννοίας. ἐκδέχεται γὰρ αὐτοὺς ἐνταῦθα τὸ περὶ γενῶν καὶ εἰδῶν ζήτημα, σφῆλαι δυνάμενον, οὐ μόνον ἀγυμνάστους ἀνθρώπους ἐν ταῖς λογικαῖς μεθόδοις, ἀλλὰ καὶ τῶν γεγυμνασμένων τινὰς, ἐὰν μὴ προσέχωσιν ἀκριβῶς τὸν νοῦν. ἀλλ' οὐ χρὴ διότι περὶ τῆς οὐσίας ἀγνοοῦσι τῶν πραγμάτων, ἀφίστασθαι τῶν ἐναργῶν ἐννοιῶν. οὐδ' ἡγεῖσθαι σοφὸν ἐξευρηκέναι τι τοὺς μὲν ἐμπειρικοὺς ἐὰν ἓν εἴπωσιν ἄνευ τοῦ προσθεῖναι κατὰ ποῖον σημαινόμενον, ἕν ἐστι. τοὺς δὲ μεθοδικοὺς ἐὰν ἀντὶ γένους, ἢ εἴδους, ἢ κοινοῦ, κοινότητα λέγωσιν. ἐμοὶ μὲν γὰρ ἄμεινον ἐδόκει σαφῶς τῆς ἐννοίας ἤδη διωρισμένης, ὡς ᾗ μὲν φρενιτικοὶ, ταύτῃ πάντες εἷς. ᾗ δ' ὁ μὲν, νέος, ὁ δὲ γέρων, ἢ ἰσχνὸς, ἢ παχὺς, ἢ ἀνὴρ, ἢ γυνὴ, ταύτῃ πολλοὶ, χρήσασθαι λοιπὸν ἑρμηνείᾳ παλαιᾷ, καὶ συγκινδυνεῦσαι κατὰ τὴν λέξιν Ἀριστοτέλει, καὶ Θεοφράστῳ, καὶ Πλάτωνι. πάντα τὰ τοιαῦτα τῷ μὲν εἴδει λέγουσιν ἓν ὑπάρχειν, τῷ πλήθει δ' οὐχ ἕν. οὐ φρενιτικὸν μόνον, ἢ ληθαργικὸν, ἢ ἐμπειρικὸν, ἀλλὰ καὶ δογματικὸν, καὶ μεθοδικὸν, καὶ ἄνθρωπον, καὶ ἵππον, καὶ ἄνδρα, καὶ γυναῖκα, καὶ τῶν ἄλλων ἕκαστον. εἰ δ' ἐπὶ τὰ κατὰ μέρος ἔλθοις, οἷον τήνδε τὴν γυναῖκα τὴν δειχθῆναι δυναμένην, ταύτην οὐκ ἐγχωρεῖ τῷ μὲν εἴδει λέγειν ἓν, τῷ πλήθει δὲ, πολλά, κατ' ἄμφω γὰρ ἕν ἐστιν ἡ δειχθῆναι δυναμένη γυνὴ καὶ τῷ εἴδει, καὶ τῷ πλήθει, ὅπερ δὴ καὶ τῷ ἀριθμῷ καλοῦμεν. οἱ δέ γε οὐκ οὕτως ποιοῦσιν, ἀλλ' οἱ μὲν, κοινότητας ὀνομάζουσιν. ὥσπερ οὐ μᾶλλον ἀγνοηθῆναι δυναμένας εἰδῶν καὶ γενῶν. οἱ δ' ᾗ μὲν τὸ δέ τι λέγουσιν, ὑπάρχειν ἕν. ᾗ δ' οὐχ ἕν, οὐκέτι λέγουσιν ἓν ὑπάρχειν. ἐχρῆν γοῦν δή που καὶ τούτους ὥσπερ δή ποτε, ὅ, τε Μηνόδοτος καὶ Σεραπίων, καὶ Θευδᾶς καὶ Γλαυκίας, Ἀπολλώνιός τε καὶ Καλλικλῆς, καὶ Διόδωρος καὶ Ἡρακλείδης, καὶ Λύκος, εἷς ἅπαντες ὑπάρχουσιν ᾗ ἐμπειρικοί, οὕτω πάλιν ᾗ οὐχ εἷς ἅπαντες, ἀλλὰ πάμπολλοί τινές εἰσιν ἐξηγήσασθαι, ἐν αὐτῷ γὰρ τῷ ταῦτ' ἐξηγεῖσθαι, πάντως ἄν που κατέγνωσαν, ὡς ἓν καὶ πολλὰ καὶ ταυτὸν εἶναί τε καὶ λέγεσθαι δυνατόν ἐστι. Μηνόδοτος οὖν καὶ Σεραπίων, ᾗ μὲν ἐμπειρικοί, εἷς. καὶ νὴ Δία γε ᾗ ἰατροὶ καὶ ᾗ ἄνθρωποι. τί δὲ ᾗ ζῶα, καλὸν ἐρέσθαι τοὺς ἐμπειρικοὺς, ἆρά γε κατὰ ταῦτα Μηνόδοτος καὶ Σεραπίων εἷς ἐστί; εἰ μὲν γοῦν μὴ φαῖεν, οὐδ' ἡμεῖς συγχωρήσομεν ᾗ ἐμπειρικοὶ, ταύτῃ γίγνεσθαι τοὺς δύο ἀνθρώπους ἕνα. συγχωρούντων δὲ, καὶ ταύτῃ τοὺς δύο γίνεσθαί ἕνα, καθ' ὅσον ἄμφω ζῶα, εὐθὺς μὲν ὑπομνήσομεν, ὡς ὀρθῶς ἄρα πρὸς τῶν παλαιῶν φιλοσόφων ἐλέγετο, τὸ μὲν ἀριθμῷ, τὸ δὲ εἴδει, τὸ δὲ γένει, ταυτόν τε καὶ ἓν ὑπάρχειν. ἑξῆς δὲ πάλιν ἐρησόμεθα. φρενιτικὸς Μηνόδοτος, φρενιτικὸς Σεραπίων, πότερον ὁ αὐτός ἐστιν, ἢ ἕτερος; ἀποκρινομένων δὲ ταύτῃ φρενιτικὸν εἶναι, καὶ ἕνα καὶ τὸν αὐτὸν ἀμφοτέρους ᾗ φρενιτικοί, πάλιν ἐρησόμεθα. τί δὲ καθὸ νοσοῦντες οὐ καὶ ταύτῃ εἷς ἄμφω ἐστίν; εἰ μὲν οὖν μὴ φαῖεν, οὐδ' ἡμεῖς συγχωρήσομεν ᾗ φρενιτικοί. συγχωρησάντων δὲ, ἐρησόμεθά τι δηλονότι πρᾶγμα, μίαν ἰδέαν ἔχον, ἐφ' οὗ τοῦτο τὸ ὄνομα φέρουσιν ἅπαντες ἄνθρωποι νόσον. οὐ γοῦν δὴ φρενῖτις μέν τι γενήσεται πρᾶγμα μίαν ἰδέαν ἔχον, καὶ ταύτῃ ποιοῦν ἅπαντας ἕνα τοὺς δεξαμένους αὐτὸ, νόσος δ' οὐχ ὡσαύτως ἕνα ποιήσει πάντας, οἷς ἂν ἐγγένηται. ἀλλ' οὐκ ἔστι φησὶν οὐδὲν οὕτως ἀφωρισμένον εἶδος ἢ ζῴου, ἢ νοσήματος, ὡς ἀνθρώπου καὶ φρενίτιδος. τί φὴς ὦ οὗτος; ἆρά γε οὐδὲν αἱ φωναὶ δοκοῦσί σοι σημαίνειν, ἥτε ζῶον καὶ ἡ νόσος, ἀλλ' ὁμοίως ἐκφωνεῖσθαι τῷ βλίτυρι καὶ σκινδαψός. ἢ σημαίνουσι μὲν, οὐδὲν δ' ὑπόκειται πρᾶγμα ταῖς φωναῖς, ὡς ἐν τῷ σκύλλα καὶ κένταυρος; ἢ καὶ σημαίνουσι, καὶ τὸ σημαινόμενον ἓν ὑπάρχει; εἰ μὲν γὰρ οὐδέν ἐστι πρᾶγμα τὸ δηλούμενον ὑπὸ τῆς ζῶον ἢ τῆς νόσημα φωνῆς, οὐκ ὀρθῶς λέγεις τὸν ἄνθρωπον εἶναι ζῶον, ἢ τὴν φρενῖτιν νόσον. εἰ δ' ἔστι καὶ λέγεις ἀληθῶς, τουτὶ μὲν τὸ προσερχόμενον ζῶον εἶναι, ἢ τὴν φρενῖτιν νόσον, τοῦτον δ' εἰ τύχῃ τὸν κατακείμενον ἄνθρωπον νοσεῖν, ἔστι τι πάντως τῶν ὑπαρχόντων αὐτοῖς ἐφ' οὗ φέρεις ἕκαστον τῶν ὀνομάτων. ἀλλ' οὐ γεγύμνασαι νοεῖν αὐτά, καίτοι γε ἐκ τῶν πρώτων εἰσαγωγῶν ὄντα τῆς λογικῆς θεωρίας. τί οὖν τοῦτο πρὸς τὸ ἀληθές, οὐ δή που γὰρ ἐξ ὧν ἂν σὺ μὴ συνιῇς, ἐκ τούτων χρὴ κρίνεσθαι τὴν ἀλήθειαν, ἀλλ' ἐξ ὧν ἂν καὶ συνετός τις ὢν φύσει καὶ μαθὼν, καὶ ἀσκήσας, καὶ μὴ φιλονεικῶν, καὶ τιμῶν τὸ ἀληθές, ὧν οὐδὲν ὑπάρχει σοι. καίτοι μὰ τοὺς θεοὺς, οὐκ οἶδ' εἴ τι προσδεῖταί τινος φύσει συνετοῦ τά γε τοιαῦτα. τίς γὰρ οὐκ οἶδεν ὡς οὐ ταυτὸν σημαίνει Σωκράτης καὶ σιμός, ἀλλὰ τὸ μὲν Σωκράτης, ὅλης τῆς ὑποκειμένης οὐσίας ἐστὶν ὄνομα, τῶν δ' ἄλλων ὀνομάτων οὐδὲν, κατὰ τῆς τοῦ σώματος οὐσίας ἁπάσης λέγεται. οὔτε γὰρ ὁ σιμὸς, οὔθ' ὁ προγάστωρ, οὔθ' ὁ φαλακρός. ἀλλὰ τὸ μὲν, τοῦ σχήματος τῆς ῥινός ἐστιν ὄνομα. τὸ δὲ τῆς ἐνδείας τῶν ἐν τῇ κεφαλῇ τριχῶν. τὸ δὲ τοῦ μεγέθους τῆς γαστρός. καὶ ταῦτα μέν ἐστι τὰ κατὰ τὰ μόρια. λευκὸν δ' εἰ φήσαιμεν ἢ μέλανα Σωκράτην, κατὰ πάντων οἶμαι τῶν μορίων τοῦ σώματος ἐπιφέρομεν τὰς προσηγορίας, οὐ μὴν τὴν οὐσίαν γε ἅπασαν, ἀλλ' ἕν τι τῶν συμβεβηκότων αὐτῇ δηλοῦμεν τὸ χρῶμα. καὶ μέν τοι κἂν εἰ παχὺν ἢ λεπτὸν εἴπομεν, ἢ σκληρὸν, ἢ μαλακὸν, ἢ δασὺν ἢ ψιλόν, ἤ τι τῶν ἄλλων ἕκαστον), ἃ τῷ Σωκράτει συμβέβηκεν, οὐ κατὰ πάσης, οὐδ' οὕτω δηλονότι τῆς οὐσίας ἐπιφέρομεν τὴν προσηγορίαν, ἀλλ' ἕν τι τῶν συμβεβηκότων αὐτῇ δηλοῦμεν. οὕτω δὲ καὶ τὸ καθῆσθαι καὶ τὸ περιπατεῖν, καὶ τὸ κινεῖσθαι, καὶ τὸ κοιμᾶσθαι, καὶ τὸ ἐγρηγορέναι, καὶ τῶν ἄλλων ἕκαστον τῶν τοιούτων ὀνομάτων, οὐ κατ' οὐδενὸς

δήπου τῶν ὄντων ἐπιφέρομεν, ἀλλ' ἅ τι τῶν ὑπαρχόντων Σωκράτει δηλοῦμεν. ἃ κατὰ τὸν ἔμπροσθεν λόγον, ἢ ἐνεργείας ἐλέγομεν ὑπάρχειν, ἢ παθήματα τούτων, ἢ τινὰς διαθέσεις. ἄμεινον οὖν σε καὶ νῦν ἔτι τούτῳ τῷ τρόπῳ χρησάμενον γυμνάσασθαι, καθ' ὅτι καὶ τοῖς ἔμπροσθεν ἐδείκνυμεν, οὐκ ἀπὸ τῶν ὀνομάτων, ἀλλὰ ἀπὸ τῶν πραγμάτων ἀρξάμενον. ἄρξαι δ' ἀπὸ σαυτοῦ πρῶτον, καὶ σκέψαι, πότερον ἁπλοῦν τι πρᾶγμα ὑπάρχεις, ἢ σύνθετον. ἆρ' οὖν γε πούς ὑπάρχεις, ἢ ῥίς, ἢ ὀφθαλμός, ἢ κεφαλή; δῆλον γὰρ ὅτι τούτων οὐδέν, οὔτε χωρὶς τούτων, ἀλλὰ κἀκ τούτων τε κἀκ τῶν ἄλλων ἁπάντων μορίων, ἑκάστου οἰκείαν ἔχοντος θέσιν, ὅλως ὑπάρχεις συγκείμενος. ὑποκείσθω δή σοι τοὔνομα Θεμίσων. ἀλλ' ὅταν γε φῶ Θεμίσωνα χωλὸν εἶναι, τὸ μὲν χωλὸν, ἐπὶ τῆς τῶν ποδῶν φέρω διαθέσεως, τὸ δὲ Θεμίσων, τοῦ παντὸς ἦν ὄνομα. καὶ μὲν δὴ καὶ σιμὸς καὶ τυφλὸς ἀπὸ μέρους ὁ Θεμίσων ὀνομάζεται. πυρρὸς δὲ καὶ παχὺς, οὐκ ἀπὸ μέρους, ἀλλ' ἀπὸ διαθέσεων ἐνυπαρχουσῶν τῷ παντὶ, παραπλησίως τῷ περιπατῶν, καὶ καθήμενος, καὶ διαλεγόμενος, καὶ ζῶν. ἆρ' οὖν ταῦτα μὲν γνωρίζεις ὡς οὐκ ἔστι δηλωτικὰ τῆς ὅλης οὐσίας τῆς σῆς; ἀλλὰ τὰ μὲν, ἀπὸ μορίου τινὸς ὠνόμασται, τὰ δ' ἀπὸ διαθέσεως μιᾶς. ὅταν δὲ ἀγαθὸν εἴπῃ τίς σε καὶ δίκαιον, οὐκέτι γνωρίζεις ὡς καὶ ταῦτα διαθέσεών ἐστιν ὀνόματα τῶν ἐπιγιγνομένων τῇ σῇ ψυχῇ. καὶ μὴν εἴ γε γνωρίσαις, ὡς ἀνάλογον ἔχει ταῦτα, τῷ λευκὸς καὶ τῷ μέλας. ὡς γὰρ ἐκεῖνα τῶν τοῦ σώματος, οὕτω ταῦτα τῶν τῆς ψυχῆς ἐστι διαθέσεων ὀνόματα. γνωριεῖς οἶμαι καὶ ὡς ὁ τεχνίτης, καὶ ὡς ὁ ἄτεχνος ἀπὸ τῶν τῆς ψυχῆς διαθέσεων ὀνομάζονται. καὶ τεχνίτην δ' εἰ νοήσαις ὅθεν ὀνομάζεται, νοήσαις οἶμαι καὶ τὸν ἰατρὸν ὅθεν ὠνόμασται. τοῦτον δ' εἰ νοήσαις ὅθεν ὀνομάζεται, οὐκ ἂν ἔτι σοι δεήσει πολλῆς πραγματείας, ἐξευρεῖν ἐφ' ὅτου ποτὲ τὸ ἐμπειρικὸς ὄνομα τέτακται. τοῦτο δ' αὐτὸ τί ποτέ ἐστιν ὃ κελεύω σε ποιεῖν; οὐδὲν σεμνὸν οὐδὲ μέγα. τὸ γὰρ διαιρεῖν τὰς κατηγορίας, ἀρχὴ τῆς λογικῆς ἐστι θεωρίας. ἧς ὅτι παντελῶς ἀμαθῶς ἔχετε, δηλοῦται δι' ὧν εἰκῇ φλυαρεῖτε. καὶ νῦν οὖν σωφρονήσαντες αὖθις ἄρξασθε τὰ τῷ σώματι συμβεβηκότα κατονομάζειν. οἷον, ὅτι λευκός ἐστιν ὅδε καὶ μέλας. ἢ νὴ Δία θερμὸς ἱκανῶς, ὡς μὴ φέρειν ἀλύπως τὴν θέρμην. εἶτα τὴν οὕτω πολλὴν θερμασίαν ὡς κάμνειν τὸ σῶμα δι' αὐτὴν, καὶ καλῶς ἐνεργεῖν μὴ δύνασθαι, τῷ προσαγορεύοντι πυρετὸν ἐπιβλέψατε. πάντες γοῦν ἄνθρωποι, τὸν οὕτω θερμὸν, πυρέττειν φασί. καὶ οὐδὲν μέγα ποιήσετε μεταλλάττοντες τὸ ὄνομα, πλὴν κατατρίψετε ὑμῶν τὸν χρόνον. ἀλλ' ἐκεῖνο μᾶλλον ὦ οὗτος εἰ βούλει ποίησον. ὅταν εἴπῃς Θεμίσων πυρέττει, καὶ Δίων πυρέττει, καὶ πολλοὺς ἐφεξῆς οὕτως ὀνομάσῃς πυρέττοντας, ἐπίσκεψαι προσέχων τὸν νοῦν. ἆρα ἐν ἅπασιν αὐτοῖς ἓν καὶ ταυτόν ἐστι τὸ πυρέττειν, ἢ ἕτερον. εὑρήσεις γὰρ ἓν μὲν καὶ ταυτὸν τῷ εἴδει, τῷ πλήθει δὲ, ὅπερ καὶ ἀριθμῷ καλοῦμεν, οὐχ ἕν. ἄλλως γὰρ οὔτ' ἀποκρίνασθαί σοι δυνατὸν, οὔτε νοῆσαι, εἷς οὖν ὁ πυρέττων ἢ πυρέττει νὴ Δία. καὶ γὰρ ὁ παραφρονῶν εἷς, ἢ παραφρονεῖ. τί δ' ὁ πυρέττων τε ἅμα καὶ παραφρονῶν, ἆρ' οὐχὶ καὶ οὗτος εἷς ἢ πυρέττει τε ἅμα καὶ παραφρονεῖ; πρόδηλον καὶ τοῦτ' οἶμαι παντί. κείσθω τοίνυν κατ' ἀμφοῖν τούτοιν ἓν ὄνομα, τὸ πυρέττειν λέγω καὶ παραφρονεῖν, καὶ καλείσθω φρενιτικὸς ὁ τοιοῦτος. εἰ δ' οὐ νοεῖς ὅπως κατ' ἀμφοῖν ἓν ὄνομα τίθεται, τάχα ἂν ἀναμνήσαιμί σε τῶν ὑπ' αὐτοῦ σου λεγομένων ὀνομάτων. ἵππον γὰρ δήπου καλεῖς τί, τὸ ζῶον δηλονότι τὸ χρεμετιστικόν; ἆρ' οὖν ἡγῇ σὺ διαφέρειν ἢ ἵππον εἰπεῖν, ἢ ζῶον χρεμετιστικόν; ἐγὼ μὲν γὰρ οὐχ ἡγοῦμαι. καὶ μὴν εἰ τοῦθ' οὕτως ἔχει κατ' ἀμφοῖν ἐκείνων τῶν ὀνομάτων ἵνα συντομώτερον εἴπῃς, ἵππον ἐπέθου. οὕτω δὲ κἂν ἔτι πεζὸν καὶ δίπουν ζῶον ἀντὶ τοῦ διὰ τριῶν ὀνομάτων ἐνδείξασθαι, δι' ἑνὸς ἐθελήσῃς δηλῶσαι, καλέσεις ἄνθρωπον. καὶ τό γε διαλύειν ἕκαστον τῶν ὀνομάτων εἰς λόγον οὕτω γίνεται. καὶ μὴν καὶ τὸ συντιθέναι τὸν λόγον εἰς ἓν ὄνομα, κατὰ τὸν εἰρημένον ἀποτελεῖται τρόπον. ὅταν τῶν θ' ἁπλῶν ἑκάστου τὴν ἔννοιαν ἔχῃς κατὰ τοὔνομα, καὶ δυνατὸς ᾖς ἐκ δυοῖν ἁπλοῖν ἔννοιαν αὖθις ἑτέραν ἐργάσασθαι σύνθετον, εἶτ' ἐπ' αὐτῇ ὄνομα θέσθαι. κἄπειτα πάλιν αὖθις ἐκείνῃ τῇ συνθέτῳ προσθεὶς ἕτερον ἁπλοῦν, ἐκ τριῶν ἁπλῶν ἔννοιαν αὖθις ἀπεργασάμενον μίαν, ἐπενεγκεῖν τι καὶ κατὰ ταύτης ὄνο α, πῶς καὶ τίνα τρόπον; οὐ γὰρ ἀποκνήσω γυμνάζων σε σωθῆναι βουλομένους ἐκ τῆς πολυχρονίου ταύτης ἀπαιδευσίας, ἐπὶ πλέον ἐπεκτεῖναι τὸν λόγον. ἡ μὲν θερμότης, ἁπλοῦ πράγματος ὄνομα. καὶ μὲν δὴ καὶ ἡ βλάβη τῆς ἐνεργείας, ἁπλοῦν τι πρᾶγμα. τοσαύτη δὲ θερμότης ὡς ἤδη βλάπτειν ἐνέργειαν, οὐκέθ' ὁμοίως ἁπλοῦν. εἰ τοίνυν καὶ περὶ σύμπαν γίνοιτο τὸ σῶμα, πολὺ δὴ μᾶλλον οὐκέθ' ἁπλοῦν. ἵν' οὖν μὴ πολλὰ λέγωσιν οἱ ἄνθρωποι, συντομίαν ἀσκοῦντες φύσει, τὴν τοιαύτην θερμότητα πυρετὸν ὀνομάζουσιν. ἑτοιμότερον γάρ ἐστιν εἰπεῖν πυρέττειν Δίωνα, τοῦ τοσαύτην θερμότητα ἔχειν ἐν ἅπαντι τῷ σώματι, ὡς βεβλάφθαι πολλὰς ἐνεργείας. ὅταν μὲν οὖν αὐτὴν τὴν διάθεσιν δηλῶσαι βουληθῶσι πυρετὸν ὀνομάζουσιν, ὅταν δὲ τὸν ἔχοντα τὴν διάθεσιν, ἀπ' ἐκείνης παρονομάζουσι καὶ καλοῦσι πυρέττοντα, καθάπερ ἀπὸ τῆς λευκότητος, τὸν λευκὸν, καὶ ἀπὸ τῆς μελανότητος, τὸν μέλανα. συνθέτου δὴ πράγματός ἐστιν ὄνομα πυρετὸς, καὶ πολὺ μᾶλλον ὁ πυρέττων. ἁπλοῦν δέ γε παραφροσύνη. ἀλλ' εἰ προστεθείη τὸ ἁπλοῦν τοῦτο τῷ συνθέτῳ, φρενιτικὸς μὲν ὁ ἄνθρωπος, ἡ διάθεσις δ' αὐτοῦ, φρενῖτις ὀνομάζεται. καθάπερ οἶμαι καὶ ὁ ἄνθρωπος αὐτὸς ἵνα μὴ λέγηται ζῶον λογικὸν θνητὸν, ἕνεκα συντομίας ἄνθρωπος ὠνομάσθη, λόγου τινὰ δύναμιν ἐχούσης τῆς ἄνθρωπος προσηγορίας. καὶ τοῦτ' ἐστὶν ὃ καλοῦσιν οἱ παλαιοὶ φιλόσοφοι τὸν λόγον εἰπεῖν τοῦ ὀνόματος. οὐ μὴν εἰς ἄπειρόν γε προσάγουσιν, ἀλλ' ἄχρι τῶν ἁπλῶν ἀνέρχονται. τὸν γὰρ ἄνθρωπον ἐπειδὰν διαλύσῃς εἰς ζῶον, καὶ λογικὸν καὶ θνητὸν, καὶ αὖθις λύσεις τὸ ζῶον εἰς οὐσίαν αἰσθητικήν. οὐ μὴν τήν γ' οὐσίαν ἔτι λῦσαι δυνήσῃ, καθάπερ οὐδὲ τὴν αἴσθησιν. ἁπλοῦν γὰρ ἤδη καὶ πρῶτόν ἐστιν ἑκάτερον τούτων. ἢ καὶ θαυμάζειν ἐπέρχεταί μοι τὸν φρενιτικὸν μέν τινα καὶ ἄνθρωπον εἶναι συγχωρούντων, νόσημα δὲ καὶ ζῶον, οὐ συγχωρούντων. ὅμοιον γάρ ἐστι τοῦτο, τῷ τὰ μὲν σύνθετα συγχωρεῖν, ἀμφισβητεῖν δὲ περὶ τῶν ἁπλῶν. ὥσπερ οὐ προτέρων τῇ φύσει τῶν ἁπλῶν ὑπαρχόντων, οὐκ εἶδον φησὶν αὐτὸ καθ' ἑαυτὸ τὸ ζῶον. ἀλλ' οὐδὲ ἄνθρωπον ὦ μωρὲ, καί τοι λέγεις εἶναι σαυτὸν ἄνθρωπον. ἢ τοῦτο μὲν ὁμολογήσεις. εἰ δὲ καὶ ζῶον ὑπάρχεις, οὐχ ὁμολογήσεις. οὐκ ἐθεασάμην φησὶ καθ' ἑαυτὴν οὐδαμόθι νόσον. οὐδὲ γὰρ φρενῖτιν ἐθεάσω ποτὲ μόνην, ἀλλ' ἐπὶ Θέωνος, ἢ ἐπὶ Δίωνος, ἢ ἐπ' ἄλλου τινὸς ἀνθρώπου. ὥστε τοῦτό γε τελέως ἠλίθιον, εἰ διότι μηδαμόθι τεθέασαι νόσημα, μόνον αὐτὸ καθ' ἑαυτὸ

ἑαυτὸ

ἑαυτό, διὰ τοῦτο νομίζεις μὴ δ' εἶναι νόσημα. οὕτω γὰρ οὐδὲ πυρετόν, οὐδὲ φρενῖτιν, οὐδ' ἄλλο τῶν τοιούτων οὐδὲν εἶναι συγχωρήσεις. ὡς οὐδὲ τούτων γε τεθέασαί τι μόνον αὐτὸ καθ' ἑαυτό. βέλτιον δ' ἦν οὐχ οὕτως, ἀλλ' ὥσπερ εἴρηται πρόσθεν, ἀπὸ τῶν πραγμάτων αὐτῶν ἄρξασθαι καὶ θεάσασθαι τῇ διανοίᾳ, πόσα τὰ σύμπαντα ἐστὶν ἁπλᾶ· κἄπειθ' ἑκάστῳ θέμενον ἴδιον ὄνομα, συμπλέκειν ἐξ αὐτῶν ἤδη τὰ σύνθετα. ἐγγιγνέσθω δὴ τῷ ὑποκειμένῳ σώματι τοῦθ' ἓν πρῶτον, τὸ αἰσθάνεσθαι. πότερον οὐ καλέσεις ζῶον, ᾧ τοῦθ' ὑπάρχει; καὶ μὴν ὑπὲρ ὀνόματος οὕτως ἀμφισβητήσεις. ἀλλ' οὐδὲ εἶναι φήσεις αἰσθανόμενον σῶμα; καὶ μὴν οὕτω γε τῶν πραγμάτων αὐτῶν καταψεύσῃ, ἀλλὰ καὶ σῶμα συγχωρῶν αἰσθανόμενον εἶναί τι, καὶ περὶ τοῦ τοιούτου σώματος, τοὔνομα τοῦτο τὸ ζῶον λέγεσθαι, τολμήσεις φάναι μηδὲν εἶναι τὸ ζῶον; οὐκοῦν οὐδὲ τὸ λευκὸν οὐδέν ἐστιν, οὐδὲ τὸ βαδίζον, οὐδὲ τὸ τρέχον; ἀπὸ γὰρ τῶν συμβεβηκότων ἑαυτῷ τὸ σῶμα προσαγορεύεται, λευκόν, βαδίζον, καὶ τρέχον. αὐτὰ δὲ τὰ συμβεβηκότα, τὸ μέν, λευκότης ὀνομάζεται, τὸ δὲ βάδισις, τὸ δὲ δρόμος. κατὰ δὲ τὸν αὐτὸν τρόπον, αἴσθησις μέν, ἕν τι τῶν ὑπαρχόντων τοῖς σώμασιν. αἰσθανόμενον δέ, αὐτὸ τὸ σῶμα. τοῦτ' οὖν καὶ ζῶον ὀνομάζεται. τίς οὖν θεασάμενος αἰσθανόμενον σῶμα, προσθεὶς τὸ ζῶον ὄνομα, ζητήσει τι κατ' αὐτοῦ λέγειν ἕτερον; ἆρ' οὖν νοεῖται μόνον τὸ σῶμα καθάπερ κένταυρος, ἢ καὶ τυγχάνει τι τῆς προσηγορίας ταύτης ὑποκείμενον πρᾶγμα; δῆλον ὡς καὶ τυγχάνει. τί δέ, νοεῖται μόνον ἡ αἴσθησις, ἢ καί τι τῶν τοῖς σώμασιν ὑπαρχόντων ἐστίν; ἐμοὶ μὲν δοκεῖ καὶ τοῦτ' εἶναι πρόδηλον, ὡς ἕν τι τῶν ἐν τοῖς σώμασιν ὑπαρχόντων ἐστὶ καὶ ἡ αἴσθησις. καὶ μήν, εἰ μήτε τὸ σῶμα νοεῖται μόνον, ἀλλὰ καὶ ἔστι, μήθ' ἡ αἴσθησις, ἔστι γὰρ καὶ ἥδε, πῶς ἄμφω συντεθέντα, τὸ σύνθετον οὐκ ὂν ποιήσει; γελοῖον γὰρ ἤδη τοῦτό γε σῶμα μὲν εἶναί τι, καὶ αἴσθησιν· αἰσθανόμενον δέ, οὐδὲν εἶναι σῶμα. καὶ τούτου γελοιότερον, αἰσθανόμενον μὲν εἶναι σῶμα, ζῶον δ' εἶναι μηδέν, ὥσπερ ἄλλο τι καὶ οὐ τοῦθ' ὑπάρχον ζῶον. ἢ διαφέρον τι τῷ λόγῳ δηλοῦν ἐπιχειρεῖν ὁτῳοῦν ἢ ὀνόματι. τῆς δ' αὐτῆς ἀτοπίας ἔχεται, καὶ τὸ μὴ συγχωρεῖν εἶναί τι νόσον. εἰ γὰρ οὐδ' ἔν ἐστι διάθεσις, οὐδὲ νόσος ἔσται τι. δοθείσης δ' εἶναι διαθέσεως, ἔσται τι καὶ νόσος. ἥτις γὰρ ἂν ἐνέργειαν βλάπτει διάθεσις, ἐκείνη νόσος ἐστίν. ἀλλ' οὐκ ἔχεις μοι δεῖξαι φασὶ νόσον αὐτὴν καθ' ἑαυτήν. οὐδὲ γὰρ φρενῖτιν ὦ οὗτος, οὐδὲ πυρετόν. ἀλλ' ὅμως καὶ ταῦτα συγχωρεῖς ὑπάρχειν, καὶ ἄλλα πολλά. τὴν γὰρ μικρολογίαν τῶν ὀνομάτων, ἣν ἐκομψεύσαντό τινες τῶν φιλοσόφων ἀνατρέπουσαν ἅπασαν τὴν ἐν τῷ βίῳ συνήθειαν, ὡς μὴ δι' ἐκείνους αὐτῇ χρῆσθαι δύνασθαι περὶ τὰ σφῶν αὐτῶν συγγράμματα, παραιτοῦμαι λέγειν τὰ νῦν, ἑτέρωθι διειλεγμένος ὑπὲρ αὐτῶν ἤδη πλέον. εἰρηκὼς οὖν οὐδὲν ἧττον ὅσα χρὴ κἀν τοῖς περὶ τῶν στοιχείων λογισμοῖς, λέγω δὲ μικρολογίαν, ἐν ᾗ διαιροῦνται περὶ γένη, τό, τε ὂν καὶ τὸ ὑπάρχον, καὶ τὸ ὑφεστός. ἀδιαφόρως γὰρ ἡμῖν κἀνταῦθα καὶ περὶ τὸν ἑξῆς λόγον εἰρήσεται ταῦτα. πάντας δ' ἐν πᾶσιν ἐξελέγχειν, ἀδύνατον. ἀλλὰ γὰρ περὶ τοῦ μὴ μόνον ἔννοιαν εἶναι νοσήματος ἰδίαν, ἀλλὰ καὶ πρᾶγμά τι τῆς προσηγορίας ταύτης τυγχάνον ὑποκεῖσθαι, κατά γε τὸ παρὸν ἀρκεῖ λελέχθαι ταῦτα. σαφέστερον δ' ἔτι τοῦτ' αὐτὸ νοηθήσεται, τοῦ λόγου προϊόντος, ἐπειδὰν ὁ περὶ πρώτων ἐνδείξεων περαίνεται λόγος. ὅσα δὲ περὶ νοσήματος εἴρηται νῦν, ἡγοῦμαι καὶ περὶ συμπτώματος εἰρῆσθαι, καὶ πάθους, ὑγείας τε καὶ ἀρτιότητος, ἰσχύος τε καὶ δυνάμεως, ἁπάντων τε τῶν ἄλλων, ὧν ὀνόματά τε καὶ νοήσεις εἰσί, κατά τινων ὑποκειμένων λεγόμενα, πάντα γὰρ ταῦτα τοῖς σώμασιν ὑπάρχει. τὰ μέν, ὡς διαθέσεις, τὰ δ' ὡς ἐνέργειαι, τὰ δ' ὡς πάθη. καὶ τὰ μέν, ὡς κατὰ φύσιν ὄντα, τὰ δ' ὡς παρὰ φύσιν. ἔνδειξίς τε καθ' ἕκαστον αὐτῶν ἰδία γίνεται, παρεωραμένη τοῖς πλείστοις τῶν ἰατρῶν.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΕΙΠΕΡ οὖν ὦ Ἱέρων ἡ ἔνδειξις ἐκ τῆς τοῦ πράγματος φύσεως ὁρμωμένη τὸ δέον ἐξευρίσκει, τὴν ἀρχὴν τῆς τῶν ἰαμάτων εὑρέσεως, ἐκ τῆς τῶν νοσημάτων αὐτῶν ἀνάγκη γίγνεσθαι. καὶ γὰρ καὶ ἄτοπον ἕτερον μὲν εἶναι τὸ ἐνδεικνύμενον τὴν θεραπείαν, ἕτερον δὲ τὸ θεραπευόμενον. ἕκαστον γὰρ ὑπὲρ ἑαυτοῦ τι δύναται δηλῶσαι μᾶλλον, ἢ ὑπὲρ ἄλλου. τοῦτο μὲν δὴ κἀν τοῖς ἐφεξῆς ἔσται σαφέστερον. ἐπεὶ δὲ πάντες ὁμολογοῦσιν ἐκ τῶν διαθέσεων τὰς πρώτας ἐνδείξεις λαμβάνειν, οὐ χρὴ μηκύνειν ἔτι περιττῶς τὸν λόγον, ἀποδεικνῦντας ὡς ἐντεῦθεν ἄρχεσθαι προσήκει. μᾶλλον δ' ὅτι μήτε τὸ ξύμπαν τοῦτ' ἐστί, μήθ' ὅλως μέγα τι μέρος, ὡς οἱ μεθοδικοὶ νομίζουσιν, ἀλλὰ σμικρότατόν τε καὶ ἀρχὴν μόνον ἐπιδεῖξαι πειραθῶμεν, αὐτοὶ δή φασιν ἐκεῖνοι, τὸν μὲν ἐν τῇ κύστει λίθον, ὅτι τῷ γένει παρὰ φύσιν, ἐνδείκνυσθαι τὴν ἆρσιν. οὕτω δὲ καὶ τὰς ἀκροχορδόνας, καὶ τὰς μυρμηκίας, ἀθερώματά τε καὶ στεατώματα, καὶ μελικηρίδας, ὅσα τ' ἄλλα τοιαῦτα. τὸ δ' εἰς τὸν ὄσχεον ἐμπεπτωκὸς ἔντερον, ὅτι τῷ τόπῳ παρὰ φύσιν, ἅπαντά τε τὰ ἐξηρθρηκότα, τὴν εἰς τὴν οἰκείαν χώραν ἐπάνοδον ἐνδείκνυσθαι. καὶ μὴν οὐδὲν τούτων οὐδέπω τεχνικόν, ἀλλ' ὅπερ οἶμαι καὶ τοῖς ἰδιώταις ἅπασιν ὑπάρχει γινώσκειν. ἐμβληθῆναι γοῦν ἑαυτῶν κελεύουσι τὸ κῶλον, ὅταν ἐξηρθρηκότος αἰσθάνωνται, καὶ ἀφαιρεθῆναι τὴν ἀκροχορδόνα, καὶ τὸ ἕλκος εἰς οὐλὴν ἀχθῆναι, καὶ τὸ ῥεῦμα τῆς κοιλίας ἐπισχεθῆναι. τὸ δὲ δι' ὧν χρὴ ταῦτα ποιεῖν, οὐκ ἴσασι. καὶ τοῦτ' ἐστὶν ὃ χρὴ προσιθέναι τὸν ἰατρόν. ὥστε ἡ ἀπὸ τῶν νοσημάτων ἔνδειξις, ἀρχὴ μὲν ἐστὶ καὶ οἱονεὶ ὁρμητήριόν τι τῆς θεραπευτικῆς μεθόδου, τῆς τέχνης δ' οὔπω τῆς ἰατρικῆς μόριον οὐδέν, ἢ οὐκ ἀξιόλογόν γε μόριον οὐδὲ ἴδιον, ἀλλ' ὅπερ καὶ τοῖς ἰδιώταις ὑπάρχει. ὁ τοίνυν ἐξευρεῖν δυνάμενος, ὑφ' ὧν [illegible] ἔσται τὸ δηλούμενον ἐκ τῆς πρώτης ἐνδείξεως, οὗτός ἐστιν ὁ τῶν νοσημάτων θεραπευτής. καὶ εἰ μὲν διὰ τῆς ἐμπειρίας εὕροι, τηρητικός τέ τις καὶ ἐμπειρικὸς ὀνομασθήσεται, εἰ δὲ διὰ λόγου τινὸς ἢ μεθόδου, λογικός τε, καὶ μεθοδικός, καὶ δογματικός. οὐκοῦν ὁ μὲν ἰδιώτης, ἄνωθεν γὰρ ταυτὶ ῥητέον, ἥκει παρὰ τὸν ἰατρόν, ἐμβαλεῖν κελεύων

τὸ κοῖλον, ἢ διαπλάσαι τὸ συντετριμμένον ὀστοῦν, ἢ ἐξελεῖν τὴν μελικηρίδα. τὸ δ᾽ ὅπως χρὴ τούτων ἕκαστον ποιῆσαι, τῆς ἰατρικῆς ἐστι τέχνης εὕρημα. οἱ μὲν οὖν ἐμπειρικοὶ, διὰ ἐμπειρίας εὑρίσκεσθαι πάντα φασίν. ἡμεῖς δὲ τὰ μὲν, ἐμπειρίᾳ, τὰ δὲ, λόγῳ. μήτε γὰρ ἐκείνην ἱκανὴν εἶναι πάντα, μήτε μόνον εὑρίσκειν τὸν λόγον. οὐ μὴν ἀξιοῦμέν γε, συγκεχυμένην ποιεῖσθαι τὴν διδασκαλίαν, ἀλλ᾽ ἰδίᾳ μὲν τὴν ἐμπειρικὴν, ἰδίᾳ δὲ τὴν λογικὴν, ἵν᾽ ὅσην ἑκατέρα δύναμιν ἔχῃ σαφῶς εὑρεθῇ. καὶ νῦν ἡμῖν πρόκειται περὶ τῆς λογικῆς εὑρέσεως εἰπεῖν. ἆρ᾽ οὖν ἔχομέν τινα μέθοδον, ἢ χρώμενοι τῶν εἰρημένων ἕκαστον εὑρήσομεν; ἀνελεῖν λέγω τὸ περιττὸν τῷ γένει, καὶ μεταθεῖναι τὸ τὴν οἰκείαν χώραν ὑπαλλαχὸς, ἑνῶσαί τε τὸ τῆς συνεχείας λελυμένον, ἢ τὴν ἐμπειρικὴν ὑπὸ αὐτὰ παρακαλέσομεν; ἐγὼ μὲν καὶ πάνυ πέπεισμαι μέθοδον ὑπάρχειν τινὰ τῆς τῶν ζητουμένων εὑρέσεως, ἧς ἀρχὴν εἶναι τὸν ἐκ τῶν νοσημάτων ἑκάστου προσπίπτοντα σκοπόν. ἡ γὰρ τῆς συνεχείας λύσις, τὴν ἕνωσιν ἐπιζητεῖ. ἐπὶ μὲν ὀστοῦ κάταγμα λεγομένη, ἐπὶ δὲ τὸ σαρκῶδες μέρος, ἕλκος. ὥσπερ γε καὶ τὸ τραῦμα καὶ τὸ ῥῆγμα, καὶ τὸ σπάσμα. τὸ μὲν ἐν σαρκώδει μορίῳ διὰ τὸ τρωθῆναι γεγονὸς, τὸ δὲ ῥῆγμα καὶ τὸ σπάσμα, χωρὶς τοῦ τρωθῆναι, σαρκώδους μὲν ἐν τῷ ῥήγματι μορίου τῆς συνεχείας λυθέντος, νευρώδους δὲ ἐν τῷ σπάσματι. τούτων ἁπάντων, ὁ μὲν σκοπὸς ἕνωσις. εἴτε δ᾽ οἷόν τε τυχεῖν αὐτοῦ καθάπαξ, εἴτ᾽ οὐκ ἐγχωρεῖ πολλαχόθι, τοῦτ᾽ αὐτὸ πρῶτον ἤδη τεχνίτου γινώσκειν. ἰδιώτης γὰρ οὐδεὶς οἶδεν, οὐδ᾽ ὅτι τῶν φρενῶν τὸ νευρῶδες, οὐδ᾽ ὅτι τὰ λεπτὰ τῶν ἐντέρων, οὐκ ἐγχωρεῖ δέξασθαι τὸν σκοπὸν, οὐ μὴν οὐδὲ περὶ πόσθης, οὐδὲ περὶ τοῦ λεπτοῦ τῶν γνάθων οἶδεν. ἀλλ᾽ οὐδ᾽ εἰ τερηδὼν ὀστοῦ δύναται θεραπευθῆναι, καθάπερ ἐν σαρκὶ διάβρωσις. οὐδ᾽ εἰ τὸ κάταγμα συμφῦναι, καθάπερ τὸ τραῦμα. ἐπὶ ταυτὰ δὲ οὐδ᾽ εἰ πωρωθῆναι δύναται γιγνώσκει. ὡσαύτως δὲ καὶ περὶ τῶν ἐν τῇ κεφαλῇ καταγμάτων, ὁ ἰδιώτης οὐδὲν οἶδεν, εἴτε χρὴ τὴν πώρωσιν ἀναμένειν, εἴτ᾽ ἄλλως ἰᾶσθαι. πολὺ δὲ μᾶλλον, οὐδὲ εἰ καρδίας τρωθείσης, ἢ πνεύμονος, ἢ γαστρὸς, ἢ ἥπατος, ἐλπίζειν χρὴ τὴν ἴασιν. οὐδ᾽ ὅλως οὐδὲν οὐκέτι περαιτέρω τοῦ πρώτου σκοποῦ γιγνώσκει τῶν ἰδιωτῶν οὐδείς. τοῦτ᾽ οὖν αὐτὸ πρῶτον ἤδη τῆς τέχνης ἔργον, ἤτοι τυχεῖν ἐλπίζειν τοῦ τέλους, ἢ ἀπογινώσκειν τοῦ τυχεῖν. διττὴ δ᾽ ἡ γνῶσις αὐτοῦ, καὶ τρίτην οὐκ ἐγχωρεῖ γενέσθαι. διὰ μὲν τῆς ἐμπειρίας ἡ ἑτέρα, μακροῦ δηλονότι χρόνου δεομένη. διὰ δὲ τῆς αὐτοῦ τοῦ πράγματος φύσεως, ἡ ἑτέρα. καὶ γὰρ τὴν οὐσίαν ἑκάστου τῶν μορίων ἐπισκέψεται, καὶ τὴν ἐνέργειαν, καὶ τὴν χρείαν, καὶ τὴν θέσιν, ἐξ ὧν ὁρμώμενος, τότ᾽ ἀδύνατον ἰαθῆναι προγνώσεται, καὶ τοῦ δυνατοῦ δέξασθαι τὴν ἴασιν, ὑπὲρ τῆς τῶν βοηθημάτων εὑρέσεως ἐπισκέψεται.

Πρόδηλον δ᾽ ὡς ἀπὸ τῶν ἁπλουστάτων ἄρξεται. τί δ᾽ ἁπλούστερον ἕλκους ἐπιπολῆς ἐν σαρκώδει μορίῳ; τοῦτ᾽ οὖν εἰ μὲν ἁπλῶς ἕλκος εἴη, σκοπὸς αὐτοῦ τῆς ἰάσεως, ἕνωσις. εἰ δὲ σὺν κοιλότητι, διττὸς μὲν ὁ σκοπὸς ὅτι καὶ ἡ διάθεσις διττή. συνεχείας μὲν λύσις τὸ ἕλκος. ἀπώλεια δὲ οὐσίας τινὸς οἰκείας τῷ ζώῳ ἡ κοιλότης. εὑρίσκεται δὲ κἀνταῦθα πολλάκις ὁ ἕτερος τῶν σκοπῶν, ἀδύνατος. οἷον εἰ μὴ μόνον ἡ σὰρξ, ἀλλὰ καὶ τὸ ὑποκείμενον ὀστοῦν ἀπολωλὸς εἴη. πληρωθῆναι γὰρ ἀκριβῶς ἡ τοιαύτη κοιλότης οὐ δύναται, ἀλλ᾽ ἐπουλωθῆναι μὲν ὅπερ ἐστὶν ἕλκους ἴασις, ἀνίατος δὲ ἡ κοιλότης καταλειφθήσεται. τοῦτ᾽ οὖν αὖθις αὐτὸ πάντως μὲν ἤτοι διὰ τῆς ἐμπειρίας, ἢ διὰ τοῦ λόγου χρὴ γνῶναι. ὁ Θεσσαλὸς δὲ οὔτε τούτοις χρῆται, καὶ τρίτον οὐδὲν προστίθησιν. ἔτ᾽ οὐκ αἰδεῖται ληρῶν, ἀλλ᾽ ἐῶ τοῦτο. τὸ κοῖλον δ᾽ ἕλκος ἐν σαρκώδει μορίῳ χωρὶς τοῦ πεπονθέναι τι τῶν ὑποκειμένων ὅπως ἰασώμεθα. λεγέτω παρελθὼν ὁ Θεσσάλειος ἰατρός. ἐμβαλόντες φησὶ τὸ σαρκωτικὸν φάρμακον, εὖ γε τῆς εὐχερείας, ἴσως δ᾽ ἀναισθησίας εἰπεῖν ἦν ἄμεινον, εἰ σαρκωτικὸν εἰπὼν, ἀπηλλάχθαι δοκεῖ τοῦ ζητουμένου. εἰ γὰρ ἤδη τὸ σαρκωτικὸν ἐπιστάμεθα, τί ζητοῦμεν ἔτι; λέγε μοι τὸ σαρκωτικὸν ὅ, τί ποτ᾽ ἐστὶν, ᾧ μέλλεις χρῆσθαι. λιβανωτὸν οἶμαι φήσεις, ἶριν, ἢ ἀριστολοχίαν, ἢ ὀρόβινον ἄλευρον, ἢ πάνακα. τῶν γὰρ ξηρῶν φαρμάκων πρῶτον μνημονεύσω. ταῦτ᾽ οὖν εἰπέ μοι πόθεν εὗρες; ἐκ τῆς πείρας φησί. τί δὴ οὖν ἔτι προστίθης σύ; τὸ μὲν γὰρ ὅτι χρὴ πληροῦν τὸ κοῖλον, οἶδε δήπου καὶ ὁ ἰδιώτης. τὸ δ᾽ ἐξ ὧν καὶ δι᾽ ὧν φαρμάκων, ἐδίδαξεν ἡ πεῖρα. Θεσσαλὸς δ᾽ οὔθ᾽ ὡς ἐμπειρικὸς οἶδε τὸ φάρμακον, οὔθ᾽ ὡς λογικὸς, ὡς ἐμπειρικὸς μὲν, ὅτι μὴ βούλεται. ὡς λογικὸς δὲ, ὅτι μὴ δύναται. ἐπεὶ ὅτι γε ὡς ἐμπειρικὸς οἶδεν, ἀκριβῶς ἐγὼ τοῦτο γινώσκω. δυοῖν γὰρ ὄντοιν ἁπάσης εὑρέσεως ὀργάνων, ἐμπειρίας καὶ λόγου, ὁ τὸ μὲν εὑρημένον ἐπιστάμενος, εἰπεῖν δ᾽ οὐκ ἔχων αὐτοῦ τὸν λόγον, εὔδηλός ἐστιν ἐκ τῆς ἐμπειρίας εὑρηκώς. ἵνα τοίνυν εἰδῇ πόσον ἁμαρτάνει μικρὸν ἡσυχάσας, ἀκροατὴς ἡμῖν γενέσθω. βούλομαι γὰρ ἤδη διαλεχθῆναι, τῷ μόνην τὴν ἐμπειρίαν πρεσβεύοντι. δίκαιον γὰρ οἶμαι κἀκεῖνον εἰπεῖν, ὅπως εὗρε τουτὶ τὸ σαρκωτικὸν φάρμακον τὸ ξηρὸν, ὃ δὴ κεφαλικὸν ὀνομάζουσι. σύγκειται δὲ ἐξ ἴρεως καὶ ἀριστολοχίας. ὀρόβου τε καὶ λιβανωτοῦ καὶ μάννης. ἔστι καὶ ἕτερόν τι, ᾧ πρὸς τοῖς εἰρημένοις, καὶ φλοιὸς πάνακος ἐπεμβάλλεται. καὶ μὲν δὴ καὶ ἕτερόν ἐστιν, ᾧ καὶ καδμεία πεπλυμένη προσεπεμβάλλεται. Λεγέτω τοίνυν ὑπὲρ τούτων, ὅπως εὑρέθη. καὶ τί μοι φησὶ ζητεῖν ὑπὲρ τῆς εὑρέσεως αὐτῶν, ἀλλ᾽ οὐ τοῖς εὑρημένοις ὀρθῶς χρῆσθαι; ταυτὶ μὲν οὖν εὐθὺς κατ᾽ ἀρχὰς ἀποφαίνονται, ἐπὶ σύμβασιν δὲ, καλοῦσι γὰρ οὕτως αὐτοὶ, καὶ τῷ ῥήματι τούτῳ, ποτὲ μὲν ἐξ ὀνειράτων ἐνδέχεσθαι τὰ τοιαῦτα εὑρῆσθαι φασίν, ἔστι δ᾽ ὅτε ἐπὶ δή τινα τύχην ἐκχυθῆναι τὸ ἕτερον, εἰς τὸ ἕτερον. εἶτα τινὰ τῷ μικτῷ τολμῆσαι χρήσασθαι, τῆς τόλμης δ᾽ οὐ λέγειν τὴν ἐλπίδα. ταυτὶ μὲν οὖν πρόδηλος λῆρος. ὁ δὲ τρίτος αὐτοῖς τρόπος τῆς εὑρέσεως ἐστὶν, ὄντως ἐπιλογιστικός. ἑκάστου γὰρ ἐκείνων ἁπλῶν, ἰδίᾳ τις πεπειραμένος ὡς σαρκωτικῶν, κἄπειθ᾽ εὑρίσκων ἐνίοτε μὴ σαρκοῦντα, προσεπελογίσατο μὴ πάσῃ φύσει πάντ᾽ ἁρμόττειν. εἰ γὰρ ὃν οὐκ ἐσάρκωσεν ἡ ἀριστολοχία, τοῦτον ὁ λιβανωτὸς ἐσάρκωσεν, ᾧ δ᾽ ὁ λιβανωτὸς οὐχ ἥρμοττε, τούτῳ τῆς ἴρεως προσαχθείσης, ἀπήντησε τὸ δέον, εὔλογον οἶμαι μὴ πάντας ὑπὸ πάντων ὁμοίως διατίθεσθαι. τούτου δ᾽ ἅπαξ εἰς ἐπιλογισμὸν ἐλθόντος, ἄμεινον ἔδοξεν ὡς οἷόν τε πλεῖστα τῶν ὁμοειδῶν εἰς ταὐτὸ ἀναμῖξαι, ἵν᾽ ἑκάστη φύσις σώματος εὐπορῇ τοῦ προσήκοντος. * καὶ μὴν ὦ ἑταῖρε ἐν τῇ συμπλοκῇ τῶν εἰδῶν, οὐ φυλάττονται τῶν οἰκείων οὐσιῶν αἱ ἐνέργειαι, ὡς ἐπὶ ἑνὸς ἑκάστου εἴδους τῷ ὠφελεῖν εἰς νόσον ἥν περ χρὴ θεραπεύειν, εὐπορεῖ τοῦ προσήκοντος. εἰ μὲν γὰρ ἤτοι τὴν φύσιν ἠδυνάμεθα τοῦ σώματος ἐξευρεῖν, ἢ τοῦ προσφερομένου φαρμάκου τὴν δύναμιν, οὐδὲν ἂν ἴσως ἐδέησεν αὐτοῖς τῆς τοιαύτης ποικιλίας, ἐν ἑκά-

ἐν ἑκάστοτε φάρμακον ἐφ' ἑνὶ σώματι τὸ συμφέρον εὑρίσκειν δυναμένοις. ἐπεὶ δ' ἀγνοοῦσιν ἑκάτερον, κακῶς ἀναμιγνύουσιν ἅπαντα, πολλαῖς φύσεσιν ἁρμόττον ἐπιτεχνᾶσθαι βουλόμενοι φάρμακον. τοῦτον τὸν τρόπον τῆς συνθέσεως τῶν φαρμάκων, ἐγὼ πείθομαι τοῖς πρώτοις τῶν ἰατρῶν ἐπινενοῆσθαι, καὶ ὡς ἀρχαῖον εὕρημα προσίεμαι. τοσοῦτόν γε μὴν ἀπέχειν ἡγοῦμαι τῆς ὄντως μεθόδου θεραπευτικῆς, ὅσον εὐλογώτερός ἐστι τῶν ἐγχεομένων εἰς ἄλληλα κοσκίνων. εἰ γὰρ μὴ λογίζεται πρῶτον μὲν ὡς μόνης ἐστὶ τῆς ἐξ ὁμοειδῶν φαρμάκων συνθέσεως, οὐ μὴν τῆς γε ἐξ ἐναντίων εἴρηκε τὴν μέθοδον. ἔπειθ' ὡς ἐν τῷ πλήθει τῆς μίξεως, ἓν μὲν εἰ τύχοι τὸ τῷ πάσχοντι προσῆκόν ἐστι φάρμακον, ἐγχωρεῖ δὲ καὶ μηδέν, ἑπτὰ δ' ἢ ὀκτὼ τῶν οὐκ οἰκείων. ὥστε πλείοσιν ἀριθμοῖς βλάψαι τὸ τοιοῦτον ἢ ὠφελῆσαι. ταῦτ' εἰ μὴ λογίζεται, πλέον αὐτὸν ἀγνοεῖν ἢ γιγνώσκειν τοῦ πράγματος εἴποιμ' ἄν. ἔλαιον γοῦν ἐγχεόμενον ἕλκει κοίλῳ, πάντων ἐναντιώτατον φάρμακον. εἰ γὰρ ἐθελήσεις οὕτω θεραπεύειν, αὐτῇ γνώσῃ τῇ πείρᾳ ῥυπαρὸν καὶ βρυῶδες ἀποτελούμενον τὸ ἕλκος. εἰ δὲ καὶ ἡ ὥρα τοῦ ἔτους θερμὴ τύχοι, καὶ ὁ ἄνθρωπος εἴη κακοχυμότερος, ἢ φύσει ῥευματικώτερος, ἢ καὶ περὶ τὴν δίαιταν τι πλημμελοίη, κίνδυνος καὶ σαπῆναι τὸ μόριον, ἐν ᾧ τὸ ἕλκος ἐγγένηται. κίνδυνος δὲ κἂν εἰ κηρῷ μόνῳ χρῷτο, κἂν εἰ τήκων ἐλαίῳ. ταυτὶ μὲν οὖν διασήψει τὸ ἕλκος. εἰ δὲ ἰὸν λειώσας ἐμπλάττοις, οὐ διασήψει μὲν οὕτω γε οὐδαμῶς, ὀδύνην δ' ἐργάσεται καὶ δῆξιν οὐ σμικρὰν, ἀνάβρωσίν τε καὶ φλεγμονήν. εἰ δὲ ἐπὶ πλέον χρήσαιο, καὶ σπασμόν. ἐπεὶ τοίνυν οὔτε τὸ ἔλαιον, οὔτε ὁ ἰὸς, οὔτε ὁ κηρὸς, ἕλκος κοῖλον σαρκῶσαι δύνανται, δῆλον ὡς οὐδὲ μίξει ποτ' αὐτὰ τῶν ἀπὸ τῆς ἐμπειρίας οὐδείς, ἀλλ' ἐγὼ μίξω γε τῷ δέοντι μέτρῳ καὶ ταῦτα, καὶ ἄλλα μυρία φάρμακα, τῶν βλαπτόντων ἰδίως ἕλκος κοῖλον. εἰ γὰρ μὴ ταῖς αὐταῖς δυνάμεσι βλάπτοιεν ἀλλ' ὑπεναντίαις, ἄμεμπτα δήπουθεν ἔσται ὡς πρὸς ἕλκους κοίλου πλήρωσιν. ἀλλ' ὅπως ἐκ δυοῖν ἀμέτροιν κράσεοιν ἓν ἀποτελεῖται σύμμετρον, ἐν τοῖς περὶ φαρμάκων συνθέσεως ἐμάθομεν λογισμοῖς. οὔκουν ἔτι χαλεπὸν ἐξ ἐλαίου καὶ κηροῦ καὶ ἰοῦ, συνθεῖναι φάρμακον σαρκωτικόν. εἰ γοῦν εἰδείης ὡς ξηραίνεσθαι μετρίως δεῖται τὸ τοιοῦτον ἕλκος, οὐ ξηραίνει δ' οὔτε ὁ κηρὸς, οὔτε τὸ ἔλαιον, εἰδείης ἂν ὡς οὔτε ἑκάτερον, οὔτ' ἄμφω πληρώσουσιν ἕλκος κοῖλον. οὐ μὴν οὐδ' ὁ ἰὸς μόνος, ἀμέτρως γὰρ ξηραίνει. μίξας οὖν ἅπαντα συμμέτρως, ξηρὸν ἐργάσασθαι δυνήσῃ φάρμακον. ὁπόσον δ' ἑκάστου χρὴ τὸ μέτρον εἶναι, δέδεικται μὲν ἤδη μοι κἂν τοῖς περὶ φαρμάκων συνθέσεως ὑπομνήμασιν, δειχθήσεται δὲ καὶ νῦν, εἰ δεηθείη τοῦ λόγου προϊόντος. ἀποπέμψαι γάρ με χρὴ πρῶτον ἀπὸ τῶν ἐφεξῆς λόγων τὸν ἀμέθοδον ἐκεῖνον Θεσσαλὸν, ἐνδειξάμενον αὐτῷ πόσον ἁμαρτάνει τοῦ δέοντος. φρονίμῳ γοῦν ἀνθρώπῳ καὶ τὰ νῦν εἰρημένα, σαφῶς ἐνδείκνυται τὴν θεραπευτικὴν μέθοδον ὁποίαν τινὰ εἶναι χρή. ἀλλὰ γοῦν οὐ πρὸς τοὺς τοιούτους ὁ λόγος. ὥστε ἀναγκαῖον ἔτι διαλεχθῆναι πρὸς αὐτοὺς ἐνθένδε ποθὲν ἀρξάμενον. Ἅπασα κοιλότης παρὰ φύσιν, ἐνδείκνυται τὴν πλήρωσιν, ὥστε καὶ ἡ ἐν τῷ σαρκώδει μορίῳ. αὕτη δὲ ἡ πλήρωσις, σκοπὸς τῆς τῶν ἰαμάτων εὑρέσεως γίγνεται. ἵνα δ' εὑρεθῇ τὰ πληρώσαντα, καὶ λόγου δεόμεθα συχνοῦ, καὶ πολλῶν τῶν κατὰ μέρος ἐνδείξεων, καὶ μεθόδου λογικῆς ἀκριβοῦς. ἐθεασάμην γοῦν πολλάκις ἕλκη δυσίατα μὴ δυναμένους θεραπεῦσαι μήτε τοὺς τὴν ἐμπειρίαν πρεσβεύοντας ἰατροὺς, τούτους δὴ τοὺς πολυφαρμάκους, ἀλλὰ μὴν δὲ τοὺς τὸν ἀναλογισμὸν ἐπαγγελλομένους ἅπαντας. οἱ γὰρ Θεσσάλειοι, μεθοδικοὶ μὲν τοὔνομα, ταῖς δ' ἀληθείαις ἀμέθοδοι. καθάπερ τινὲς ὄνοι λύρας οὐδ' ἐπαΐειν ἱκανοὶ τῆς τοιαύτης θεωρίας εἰσί, μή τοι γε δὴ λογισμῷ τὸ δέον ἐξευρίσκειν. ἐθεασάμην δὲ πολλάκις ἐπὶ τῶν τοιούτων ἑλκῶν, τοὺς μὲν ἀπὸ τῆς ἐμπειρίας, ἄλλοτ' ἐπ' ἄλλο μεταβαίνοντας φάρμακον. οὐ μὰ Δία λογισμοῦ τινος ἐξηγουμένου τῆς μεταβάσεως, ἀλλ' ἐπειδὴ πολλῶν μὲν ἐπειράθησαν πληρούντων ἕλκη κοῖλα, τὴν δ' ὡς αὐτοὶ καλοῦσιν ἰδιοσυγκρασίαν, ἐφ' ἧς ἕκαστον αὐτῶν εὐδοκίμησεν. οὔτε διαγινώσκειν, οὔτε μεμνῆσθαι δύνανται, διὰ τοῦτο καὶ νῦν οὐκ ἐπιστάμενοι μὲν ἐφ' ὅ,τι χρὴ μεταβαίνειν, ἐλπίζοντες δ' ἐν πολλῇ τῇ κατὰ μέρος διεξόδῳ πάντως εὑρεθήσεσθαί ποτε τὸ προσῆκον, ἄλλοτ' ἐπ' ἄλλο μεταπηδῶσι, τύχῃ μᾶλλον ἢ λογισμῷ τὴν τοῦ συμφέροντος εὕρεσιν ἐπιτρέποντες. ὅμοιοι δ' αὐτοῖς εἰσι κἂν μὴ θέλωσιν, ὅσοι τῶν δογματιζόντων ἐπὶ τὰς φυσικὰς ἀρχὰς τῶν σωμάτων οὐκ ἐδυνήθησαν ἀναβῆναι τῷ λόγῳ. καὶ γὰρ αὐτοὶ καθ' ὅτι πρόσθεν ἐδείξαμεν ἐξ ἡμισείας εἰσὶν ἐμπειρικοί, οἱ οὐκ ἠδυνήθησαν διαλαβεῖν περὶ τῶν πρώτων στοιχείων. περὶ δὲ τῶν ἀμεθόδων τούτων Θεσσαλείων, τί ἄν τις καὶ λέγοι; μόνοι τοίνυν οἱ ὄντως μεθόδῳ θεραπεύοντες, ἐξευρίσκουσί τε τὸ δέον, ἢ φάρμακον, ἢ διαίτημα, καθ' ἕκαστον τῶν τοιούτων ἑλκῶν. ἐπιδεικνύουσί τε, τὰ σαφέστατα διὰ τῶν ἔργων αὐτῶν ὁ πηλίκον ἀγαθόν ἐστι, καὶ ὅσον φῶς παρέχει πρὸς τὰς ἰάσεις, ἡ περὶ φύσεως πραγματεία. καὶ γὰρ δὴ καὶ ὡς τοῖς συνεχῶς ἀφ' ἑτέρου φαρμάκου μεταβαίνουσιν ἐφ' ἕτερον ἐνίοτε παρορᾶται καὶ καταφρονεῖται τὸ χρήσιμον, ἐπεδειξάμεθα πολλάκις ἑνὶ φαρμάκῳ τὰ τοιαῦτα τῶν ἑλκῶν θεραπεύσας, ὧν ἔφθανον ἐκεῖνοι κεχρῆσθαι. κατεφρονήθη δ' εἰκότως ἡ δύναμις τοῦ τοιούτου φαρμάκου, διά τε τὴν ἀκαιρίαν τῆς χρήσεως, οὐ μόνον οὐδὲν ὠφελῆσαι δόξαντος, ἀλλὰ καὶ προσβλάψαι. καὶ διὰ τὸ μηδὲν ἐνίοτε σαφὲς ἐργάζεσθαι τὴν πρώτην χρῆσιν. ἐθεασάμην δὲ καὶ ὀφθαλμῶν ὀδύνας σφοδροτάτας ἰασαμένους ἡμᾶς, ἢ λουτροῖς, ἢ οἴνου πόσεσιν, ἢ πυρίαις, ἢ φλεβοτομίαις, ἢ καθάρσεσιν. ἐφ' ὧν οὐδὲν ἄλλ' ἔχουσιν οἱ πολλοὶ τῶν ἰατρῶν, ἢ ταυτὶ τὰ διὰ ὀπίου, καὶ μανδραγόρου, καὶ ὑοσκυάμου συντιθέμενα φάρμακα, μεγίστην λώβην ὀφθαλμῶν. οὐδὲ γὰρ οὐδ' ἄλλῳ τινὶ τὴν ἐν τῷ παραχρῆμα δόκησιν τῆς ἀνωδυνίας, ἀλλ' ἢ τῷ νεκροῦν τὴν αἴσθησιν ἐργάζονται. καὶ πολλοὺς οἶδα μετὰ τὰς τοιαύτας χρήσεις τῶν φαρμάκων, ἐπειδὰν ἀμετρότερον προσαχθῇ, μηκέτ' ἐπανελθόντας εἰς τὸ κατὰ φύσιν. ἀλλ' ἀρξαμένους μὲν ἐντεῦθεν, ἀμυδρῶς καὶ μόγις ὁρᾶν, ἐν τῷ χρόνῳ δ' ὑποχύσεσιν, ἢ μυδριάσεσιν, ἢ φθίσεσιν, ἢ ῥυτιδώσεσιν ἁλόντας. οἶδα δὲ δήπου συνδιατρίψαντας ἡμῖν εὐθὺς ἐκ μειρακίου, μὴ δὲ παρ' ἑνὶ τῶν διδασκάλων θεασαμένους ἡμᾶς ἔργον τοιοῦτον, ἀλλ' ἐξευρόντας αὐτοὺς τῷ λογισμῷ. καὶ ὅτι γε πολλῷ χρόνῳ τὸν ἀφορισμὸν ἀνεσκεψάμην ἐκεῖνον. ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη λύει. καὶ ὡς ἐκ τῆς ἄλλης ἀκριβείας τοῦ Ἱπποκράτους, ἤλπιζον μηδ' ἐνταῦθα μήτε ψεῦδός τι, μήτ' ἀδύνατον λέγεσθαι. καὶ ὡς τοῦτ' ἦν με τὸ προτρέψαν ἐπὶ τὴν ζήτησιν, ἕως οὗ καὶ ταύτην τὴν Ἱπποκράτους ὁδὸν ἐξεῦρον διορίσασθαι, πότε καὶ πῶς ἐφ'

ἑκάστου τῶν εἰρημένων χρηστέον. ὃ καὶ δῆλον ἐποίησα πολλοῖς τῶν θεασαμένων τὰ τοιαῦτα, πηλίκη μέν ἐστιν ἡ τῆς θεραπευτικῆς μεθόδου δύναμις, ἡλίκον δὲ κακὸν εἰργάσαντο μὴ φυλάξαντες τὴν παλαιὰν ἰατρικήν, οἱ τὰς νεωτέρας αἱρέσεις συστησάμενοι. ταῦτά τοι καὶ ὑμεῖς, καίτοι γε ἄκοντά με κατ' ἀρχὰς ἠναγκάσατε, λιπαροῦντες διεξελθεῖν ἅπασαν τήνδε τὴν πραγματείαν, ἣν εὔχομαι μὲν τοῖς θεοῖς, ὀνησίν τινα καὶ τοῖς ἄλλοις ἀνθρώποις γενέσθαι, βραχυτάτην δ' ἔχω τὴν ἐλπίδα, διὰ τὴν κατέχουσαν νῦν ὀλιγωρίαν μὲν τῶν καλῶν, ἐπίδοσιν δὲ, εἰς τιμὴν πλούτου, καὶ δόξης, καὶ πολιτικῶν δυνάμεων. ἐφ' ἃ τοῖς ἐκτραπεῖσιν, οὐκ ἐνδέχεται τἀληθὲς ἐν οὐδενὶ τῶν ὄντων ἐξευρεῖν. ἀλλὰ ταῦτα μὲν, ὅπῃ τῷ θεῷ φίλον, οὕτω τελευτήσει. τὴν δ' οὖν θεραπευτικὴν μέθοδον ἀσκηθεῖσαν μὲν τοῖς παλαιοῖς ἰατροῖς, ὀλιγορουμένην δὲ νῦν, ἀνακτησώμεθα καθ' ὅσον οἷοί τ' ἐσμὲν, αὖθις ἀναλαβόντες τὸν λόγον ἐπὶ τοῦ προκειμένου παθήματος ἕλκους κοίλου. Περὶ μὲν δὴ τῆς πρώτης εὑρέσεως τῶν σαρκωσόντων τὸ τοιοῦτον ἕλκος φαρμάκων, ἀρκείτω τὰ μικρῷ πρόσθεν εἰρημένα, καὶ συγχωρείσθω δ' εἰ βούλει τοῖς ἐμπειρικοῖς ἃ λέγουσιν ἅπαντα. περὶ δὲ τῆς τῶν εὑρημένων χρήσεως, ἐπὶ μὲν τῶν ἔργων αὐτῶν ἐπέδειξά σοι πολλάκις. οὐδὲν δ' ἧττον καὶ νῦν ἐπιδεῖξαι τῷ λόγῳ πειράσομαι, πῶς ἐν οἷς ἂν μηδὲν δράσῃ τὸ συνῆθες ἑκάστῳ φάρμακον, ἐπ' ἄλλο μεταβαίνειν εὐμηχάνως τε καὶ τεχνικῶς ἀποροῦσιν οἱ ἐμπειρικοί. καὶ τοῦτ' εὐλόγως γίνεται. τοῦ γὰρ πρώτου φαρμάκου τῆς ἀποτυχίας τὴν αἰτίαν ἀγνοοῦντες, οὐδὲ φυλάξασθαι δήπουθεν αὐτὴν ἐπὶ τοῦ δευτέρου δύνανται. ἀγνοουμένης γὰρ ἔτι τῆς αἰτίας δι' ἣν ἐνήργει τὸ φάρμακον, οὐδὲ δι' ἣν ἀποτυγχάνει γνῶναι δυνήσονται. ταύτης δ' ἀγνοουμένης, οὐδ' ἐφ' ἕτερον ἔτι μεταβαίνειν εὐλόγως ἐγχωρεῖ, φυλάξασθαι γὰρ οὐδ' ἐπ' ἐκείνου δυνήσονται τὴν αὐτὴν αἰτίαν. εἴπωμεν οὖν ἡμεῖς ἤδη, τὴν Ἱπποκράτειόν τε ἅμα καὶ ἀληθῆ μέθοδον ἑλκῶν κοίλων ἰάσεως. ἄρχεσθαι δὲ δήπουθεν αὐτὴν ἐκ τῆς οὐσίας χρὴ τοῦ πράγματος. ἐπεὶ τοίνυν ἐν τοῖς κοίλοις ἕλκεσι πρόκειται γεννῆσαι τὴν ἀπολωλυῖαν σάρκα, δεῖ γινώσκειν τι περὶ σαρκὸς γενέσεως. ὡς ὕλη μὲν αὐτῆς αἷμα χρηστὸν, ὁ δ' οἷον δημιουργός τε καὶ τεχνίτης ἡ φύσις. ἀλλ' οὐχ ἁπλῶς εἰπεῖν χρὴ φύσιν, ἀλλὰ προσθεῖναι τὴν τίνων, καὶ ποῦ. δῆλον δὲ ὅτι τῶν ὑποκειμένων σωμάτων, οἷς σάρξ ἐπιτρέφεσθαι μέλλει, τούτων ἡ φύσις ἔσται δημιουργὸς τῆς γεννηθησομένης σαρκός. ἀλλ' ἡ φύσις ἑκάστου τῶν σωμάτων, ἐδείχθη κατά τινα θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ κρᾶσιν ἀποτελεῖσθαι. δῆλον οὖν ὡς ἡ τούτων εὐκρασία, κατὰ τὸ ὑποκείμενον μόριον ᾧ μέλλομεν ἐπιθρέψειν τὴν λείπουσαν σάρκα, τὸν λόγον ἕξει τοῦ δημιουργοῦ.

Πρῶτον μὲν οὖν ἡμῖν σκεπτέον ἐπὶ παντὸς ἕλκους κοίλου, δύο ταῦτα. τό θ' ὑποκείμενον εἰ εὐκράτως ἔχει, τουτέστιν εἰ κατὰ φύσιν. ἐδείχθη γὰρ ἡ ἐν τοῖς ὁμοιομερέσι σώμασιν ὑγεία, τῶν τεττάρων οὖσα ποιοτήτων εὐκρασία, καὶ πρὸς ἔτι τὸ αἷμα τὸ ἐπιρρέον, εἰ χρηστόν τε καὶ σύμμετρον. εἰ μὲν δὴ καὶ τούτων τι μοχθηρῶς ἔχοι, πολλαὶ διαθέσεις γίγνονται παρὰ φύσιν. ἡμῖν δ' ὑπόκειται μία κοιλότης ἐν σαρκώδει μορίῳ. ὑποκείσθω τοίνυν ὑγιαῖνόν τε τὸ χωρίον, ἥτ' ἐπιρροὴ τοῦ αἵματος ἄμεμπτος ἐν ποσότητι καὶ ποιότητι, καὶ τούτων οὕτως ἐχόντων, οὐδὲν ἂν ἔτι κωλύῃ τὴν πρώτην γένεσιν τῆς σαρκὸς ἄμεμπτον γενέσθαι, μηδενὸς δεηθεῖσαν ἔξωθεν φαρμάκου. τῶν γὰρ αἰτίων ἀμφοτέρων ὑφ' ὧν γίγνεται παρόντων, καὶ μηδενὸς τῶν ἔξωθεν ἐμποδὼν ὄντος, οὐκ ἐνδέχεται κωλυθῆναι τὴν τῆς σαρκὸς γένεσιν.

Ἀλλ' ἐν αὐτῷ δὴ τῷ γεννᾶσθαι τὴν πρώτην σάρκα, περίττωμα διττὸν ἀνάγκη γίγνεσθαι, καθότι καὶ τοῦτ' ἐν τοῖς περὶ φύσεως εἴρηται λογισμοῖς. ὡς ἁπάσῃ τῇ κατὰ ποιότητα μετακοσμήσει τῆς τροφῆς, ἕτερον μὲν παχύτερον, ἕτερον δὲ λεπτότερον ἕπεται περίττωμα. τούτων τῶν περιττωμάτων, καὶ καθ' ὅλον τὸ σῶμα γιγνομένων, ἀεὶ τὸ μὲν λεπτότερον, ἡ ἄδηλός ἐστι διαπνοή. γίγνεται δὲ καὶ δήλη πολλάκις, ὅταν ἤτοι τὸ ἔμφυτον ἀρρωστήσῃ θερμὸν, ἢ τροφῇ χρήσηται πλείονι τοῦ δέοντος, ἤ τις ἐπαχθῇ τῷ ζώῳ κίνησις σφοδροτέρα. τὸ δ' ἕτερον, ὁ ἐπιτρεφόμενός ἐστι τοῖς σώμασιν ἡμῶν ῥύπος. καὶ δὴ κἀν τοῖς ἕλκεσιν, ἰχὼρ μὲν καλεῖται τὸ λεπτὸν περίττωμα, ῥύπος δ' ἕλκους, τὸ παχύ. καὶ διὰ μὲν τὸ λεπτὸν περίττωμα, ὑγρὸν τὸ ἕλκος γίγνεται, διὰ δὲ τὸ παχὺ, ῥυπαρόν. καὶ δεῖται διὰ τοῦτο διττῶν φαρμάκων· ὡς μὲν ὑγρὸν, τῶν ξηραινόντων· ὡς δὲ ῥυπαρὸν, τῶν καθαιρόντων αὐτό.

Κατ' οὐδένα τοίνυν χρόνον τῆς φύσεως ἀργούσης, οὐδεὶς ἔσται καιρὸς ἐν ᾧ μὴ ταῦτ' ἄμφω κατὰ τὸ κοῖλον ἕλκος ἀθροισθήσεται. ὥστε οὐδὲ χρόνος οὐδεὶς ἔσται καθ' ὃν οὐ δεήσεται τῶν φαρμάκων ἀμφοτέρων, τοῦ τε ξηραίνοντος, καὶ τοῦ καθαίροντος. ὁποῖον μὲν οὖν εἶναι χρὴ τῷ γένει τὸ φάρμακον, εὕρηται. ἀλλ' οὐκ ἀρκεῖ τοῦτο, χρὴ γάρ τι τῶν κατ' εἶδος ἐξευρεῖν, ᾧ προσαχθήσεται. πόθεν οὖν ἐκεῖνο καὶ τίνος εὑρεθήσεται μεθόδου, ἢ τῆς ἐν τοῖς περὶ φαρμάκων ἁπλῶν δυνάμεως εἰρημένης; ἐδείκνυμεν γὰρ ἐν ἐκείνῃ τὰ μὲν ξηραίνοντα, τὰ δ' ὑγραίνοντα, τὰ δὲ ψύχοντα, τὰ δὲ θερμαίνοντα τῶν φαρμάκων. ἔνια δὲ κατὰ συζυγίαν, ἢ θερμαίνοντα καὶ ξηραίνοντα, ἢ ψύχοντα καὶ ὑγραίνοντα, ἢ θερμαίνοντα καὶ ὑγραίνοντα, ἢ ψύχοντα καὶ ξηραίνοντα. εἶναί τε καθ' ἕκαστον αὐτῶν, ἄπειρον μέντοι τῷ πλήθει τὸ μᾶλλόν τε καὶ ἧττον. εἰς δὲ τὴν χρείαν τὴν ἰατρικὴν, ὅροις εὐσήμοις περιγραφόμενον, πρώτης τινὸς ἐν αὐτοῖς γινομένης τάξεως, καὶ δευτέρας, καὶ τρίτης, καὶ τετάρτης. ἐκ ποίας οὖν τάξεως ἔσται τὸ σαρκωτικὸν φάρμακον, ὃ δὴ μετρίως ἔφαμεν χρῆναι ξηραίνειν τε καὶ ῥύπτειν; ἐκ τῆς πρώτης δηλονότι. μᾶλλον γὰρ ἐπιταθὲν, ὡς μὴ μόνον ἐκδαπανᾶν τὸ περιττὸν τῆς ἀπορρεούσης ὑγρότητος, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐπιρρέοντος αἵματος ἅπτεσθαι, κωλύσει τὴν σάρκωσιν, ἀναλίσκον αὐτῆς τὴν ὕλην. ἐδείχθη δὲ τοιαῦτα. λιβανωτός τε καὶ κρίθινον ἄλευρον, καὶ κυάμινον, ὀρόβινόν τε καὶ ἶρις, ἀριστολοχία τε καὶ καδμία καὶ πάναξ καὶ πομφόλυξ. ἅπαντα δὲ ταῦτα ἀλλήλων ἐδείκνυτο διαφέροντα τῷ τε μᾶλλον καὶ ἧττον. καὶ τῷ μὲν, ἁπλᾶς ἔχειν τὰς ἐπικρατούσας δυνάμεις, τὰ δὲ συνθέτους. ἀριστολοχία μὲν γὰρ καὶ πάναξ μᾶλλον ξηραίνει τῶν ἄλλων, καὶ θερμότερα τὴν φύσιν ἐστί. τὸ δὲ κρίθινον καὶ τὸ κυάμινον ἄλευρον, ἧττον πολὺ ἐκείνων ξηραίνει, καὶ ἥκιστα θερμότητος μετέχει. λιβανωτὸς δὲ θερμὸς μέν ἐστι μετρίως, ἧττον δὲ τούτων ξηραίνει, ὥστε τινὰς φύσεις σωμάτων, οὐδὲ ξηραίνει τὴν ἀρχήν. ὀρόβινον δὲ καὶ ἶρις, ἐν τῷ μεταξὺ τούτων τε καὶ ἀριστολοχίας καὶ πάνακός ἐστιν. ὅπερ δ' ὁ λόγος ἐκίνησε χρησίμως, αὖθις ἀναλάβωμεν. ὁ γάρ τοι λιβανωτὸς, ὑγρὰν μὲν φύσιν σώματος σαρκῶσαι δύναται, ξηρὰν δ' οὐ δύναται. χρὴ γὰρ

ἐπισα-

ἐπίστασθαι περὶ τῶν πρώτων ἐνδείξεων, ὡς δύο ἐστὸν αὐτῶν αἱ διαφοραί, τοῦ μὲν κατὰ φύσιν, τὴν φυλακὴν ἐνδεικνυμένου, καὶ διὰ τῶν ὁμοίων ἑαυτοῦ δεομένου. τοῦ δὲ παρὰ φύσιν, τὴν ἀναίρεσιν τὴν ἑαυτοῦ, καὶ διὰ τῶν τῶν ἐναντίων. φθείρεται γὰρ πᾶν, εἰς ἐναντία τε καὶ δι' ἐναντίων. Τὸ μὲν οὖν ἕλκος ὅσῳ περ ἂν ὑγρότερον ᾖ, τοσούτῳ δεῖται φαρμάκου ξηραίνοντος μᾶλλον. ἡ φύσις δ' αὐτοῦ τοῦ σώματος ὅσῳ περ ἂν ὑγροτέρα τύχῃ, τοσούτῳ δεῖται φαρμάκου ξηραίνοντος ἧττον. ὥστε τῶν ἴσην ὑγρότητα ἐχόντων ἑλκῶν, τὸ μὲν ἐν ξηροτέρᾳ τῇ τοῦ κάμνοντος κράσει, μᾶλλον ξηραίνεσθαι δεῖται. τὸ δ' ἐν ὑγροτέρᾳ, τοσούτῳ καταδεέστερον, ὅσῳ περ ἂν καὶ ἡ φύσις τῆς φύσεως ἀπολείπεται. τὴν γὰρ ὑποτρεφομένην σάρκα, παραπλησίαν εἶναι χρὴ τῇ προϋπαρχούσῃ. ξηροτέρας οὖν οὔσης τῆς ἀρχαίας, ξηροτέραν χρὴ γενέσθαι καὶ τὴν νέαν, ὥστε δὴ πλεῖον αὐτὴν δεῖ ξηραίνεσθαι. καὶ ὅσῳ περ ἂν ᾖ δὴ πλέον ξηρά, δὴ τοσούτῳ καὶ τὸ προσαγόμενον φάρμακον εἶναι ξηραντικώτερον. δὴ δέ γε τῆς ὑγροτέρας φύσεως εἰς τοσοῦτον αὖ πάλιν ἧττον ξηραινόντων χρεία ἐστὶ φαρμάκων, εἰς ὅσον καὶ ἡ σὰρξ ἧττόν ἐστι ξηρά. τοιαύτην οὖν ἔχει κρᾶσιν λιβανωτός, ὡς πρὸς ἀνθρωπίνην φύσιν σώματος. πρὸς μὲν γὰρ τὰς εὐκράτους καὶ μέσας ὁμολογεῖ. τῶν δ' ὑγροτέρων ἀτρέμα ξηραντικώτερος ὑπάρχει. ὥσπερ οὖν καὶ τῶν ἄκρως ξηρῶν, ὑγρότερος ἀτρέμα. δεόντως οὖν δὴ μὲν ἐνίων ἑλκῶν τε καὶ φύσεων, ὁ λιβανωτὸς ἐκπυΐσκει μέν, οὐ μὴν καὶ σαρκοῖ. ἐπὶ δέ τινας ἤδη καὶ σαρκοῖ. παραφυλάξας οὖν, εὑρήσεις ὁμολογοῦν τῷ λόγῳ τὸ φαινόμενον. ἐν μὲν γὰρ ταῖς ὑγροτέραις φύσεσι, σαρκωτικός ἐστιν. ἐν δὲ ταῖς ξηροτέραις, οὐκέτι. καὶ ἐπὶ μὲν τὰ μετρίως ὑγρὰ τῶν ἑλκῶν, οἷός τε σαρκοῦν ἐστι. ἐπὶ δὲ τὰ λίαν ὑγρά, παντάπασιν ἀδύνατος. ὁρᾷς οὖν ἤδη σαφῶς ὅσων δεῖ θεωρημάτων ἀνδρὶ μέλλοντι κατὰ μέθοδον ὀρθὴν ἕλκος ἰᾶσθαι; ἐπειδὴ γὰρ εὑρέθη πάντως ὑγρότης ὑπάρχουσα τῷ πάθει, τὸ ξηραῖνον ἐνεδείξατο φάρμακον. ἀλλ' ἐπεὶ τὰ μὲν αὐτῶν μᾶλλον ξηραίνει, τὰ δ' ἧττον, ἔκ τε τῆς τῶν ἑλκῶν διαφορᾶς τὸ χρήσιμον ἐλήφθη, κἀκ τῆς τοῦ κάμνοντος φύσεως. ὥστ' οὐ μόνον ἀνάγκη περὶ φύσεως σώματος ἐπεσκέφθαι τῷ μέλλοντι κατὰ τρόπον ἰατρεύσειν ἕλκος, ἀλλὰ καὶ τὴν περὶ φαρμάκων θεωρίαν ἀκριβῶς ἐκμεμαθηκέναι. καὶ κράσεως σώματος ὑγρᾶς καὶ ξηρᾶς ἐπίστασθαι γνωρίσματα. θέασαι τοίνυν ὅση τῶν μεθοδικῶν ἐστιν ἡ περὶ τὰς ἀποφάσεις τόλμα, τοῦ ἐν μόνον ἀρκεῖν αὐτοῖς ἡγουμένοις, εἰς ἕλκους ἴασιν κοίλου, τὸ γινώσκειν ὅτι πληρωτέον τέ ἐστιν αὐτὸ καὶ σαρκωτέον. οὐ γὰρ δὴ ἐν τούτῳ γε τὸ θεραπεύειν ἐστίν, ἀλλ' ἐν τῷ τὸ σαρκῶσον ἐξευρεῖν. ἀλλ' εὕρηται φησὶ τὸ σαρκῶσον τῇ πείρᾳ. λέγε τοίνυν καὶ τὸ θεραπεῦον ἐκ τῆς πείρας εὑρῆσθαι. καὶ μὴ μάτην φρυάττου, μὴ δ' ἀνατείνου τὴν μέθοδον. καί τοι καὶ παρ' αὐτοῖς τοῖς ἐμπειρικοῖς ἡ χωρὶς διορισμοῦ πεῖρα, κατέγνωσται. γράφουσι γοῦν ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν. ἔμπλαστρος πρὸς ἁπαλόχρωτας καὶ παῖδας καὶ γυναῖκας. ἴσασί τε τὸν λιβανωτὸν δὴ τῶν ξηρῶν φύσεων ἕλκη κοῖλα μηδὲν ἔχοντα σύμπτωμ' ἕτερον, ἀνατρέφοντα, καὶ πληροῦντα. πότερον δ' ὑγρὰ τὰ τοιαῦτα σώματ' ἐστί, καὶ διὰ τοῦτο δεῖται μετρίως ξηραινόντων φαρμάκων, ἢ ἄλλη τις αἰτία τοῦ συμβαίνοντος ἐστίν, οὐκ ἐπίστανται. καὶ γοῦν αὖ καὶ πρὸς τὰ γεροντικὰ σώματα γεγραμμένον εὑρήσεις ἕτερον φάρμακον. ἄλλο δέ τι πρὸς τὰ δυσεπούλωτα, καὶ ὀχθώδη τῶν ἑλκῶν. καὶ πολλοὺς ἄλλους διορισμοὺς ἐν ἅπασι τοῖς θεραπευτικοῖς ὑπομνήμασι γράφουσιν, ἐξ ὧν ὡς οἷόν τε πρὸς τὴν ἰδιότητα τῆς θεραπευομένης φύσεως, ἐξευρίσκουσι τὸ συνοῖσον φάρμακον. ἅπαντες γὰρ οἱ διορισμοὶ κατὰ τὰς τέχνας ἀπὸ τοῦ κοινοῦ πειρῶνται τὸ ἴδιον χωρίζειν. καὶ ὅσῳ περ ἂν τις πλείω διορίσηται, πλησιαίτερον ἀφικνεῖται τοῦ ἰδίου, τοῦτο δ' αὐτὸ ἀκριβῶς ἴδιον, οὔτε γραφῆναι δυνατόν ἐστιν, οὔτε λεχθῆναι. διὸ καὶ τῶν ἐμπειρικῶν, τοῖς μάλιστα τῶν ἔργων τῆς τέχνης φροντίσασι, σχεδὸν ἅπασι τοῖς δογματικοῖς ὡμολόγηται, τὸ μηδεμίαν οἷόν τ' εἶναι γραφῆναι θεραπείαν ἀκριβῶς, ἀλλὰ τὸ λεῖπον εἰς τὸν στοχασμὸν τῆς τοῦ κάμνοντος φύσεως, οἱ μὲν ἐκ τῆς ἑκάστου τῶν θεραπευόντων οἰκείας τριβῆς, οἱ δ' ἐκ τοῦ λογικῶς τεχνᾶσθαι, φασὶ χρῆναι προστιθέναι. οὐδεὶς δ' αὐτῶν οὕτως ἦν εὐχερής, ὡς ἅπαντος ἕλκους κοίλου φάρμακον ἓν ἔχειν ἐπαγγέλλεσθαι σαρκωτικόν. οὐ γοῦν εὑρήσεις ἐν οὐδενὶ βιβλίῳ τοιοῦτον φάρμακον, οἷον παντὸς ἕλκους ἰᾶσθαι κοίλου. ἀλλὰ παρὰ τὸ πλῆθος τῆς ὑγρότητός τε καὶ τοῦ ῥύπου, καὶ αὐτὴν τοῦ κάμνοντος τὴν κρᾶσιν, ὑπαλλάττεσθαι χρὴ τὸ φάρμακον. ἐάσαντες οὖν ἐνταῦθα τὴν ἀναισχυντίαν τῶν μεθοδικῶν, ἴδωμεν ὅ, τί ποτε λέγουσιν οἱ ἀπὸ τῆς ἐμπειρίας, ἐκ τῆς ἰδίας ἑκάστου τριβῆς καὶ γυμνασίας εἰσφέρεσθαί τι χρῆναι πρὸς τὴν τῶν οἰκείων τῷ κάμνοντι φαρμάκων εὕρεσιν ἀξιοῦντες. ὡς γοῦν καὶ πολλάκις εἰρήκαμεν, οὐδὲν μὲν τῶν κατὰ τὴν ἰατρικὴν πραγμάτων καὶ φαρμάκων ἄρρητον ὑπάρχει κατ' εἶδος, ἀλλ' ὃ μήτε ῥηθῆναι, μήτε γραφῆναι, μήθ' ὅλως διδαχθῆναι δύναται, τὸ ποσόν ἐστιν ἐν ἑκάστῳ. καὶ δὴ κἀπὶ τῶν ἑλκῶν, ἡ μὲν ὑγρότης καὶ ὁ ῥύπος, οὐκ ἄρρητα, τὸ ποσὸν δ' ἄρρητον ἐν ἑκατέρῳ. καί τοι κἀνταῦθα προσέρχεσθαί πως βουλόμεθα τῇ δηλώσει πλησίον, ὀλίγον καὶ πολὺν λέγοντες ῥύπον, καὶ λεπτόν, καὶ παχύν, καὶ παντελῶς ὀλίγον, καὶ λίαν πολύν, καὶ μέτριον καὶ σύμμετρον, καί πως ἄλλως οὕτως ὀνομάζοντες πολυειδῶς. ἵν' ὡς οἷόν τε πλησίον ἀφικώμεθα τῆς δηλώσεως τοῦ ποσοῦ. προσέχε οὖν ἤδη μοι τὸν νοῦν ἀκριβῶς, ἵν' εἰδῇς ὅσον πλεονεκτεῖ, τὸ μεθόδῳ ποιεῖν ὁτιοῦν, τοῦ δι' ἐμπειρίας μόνης. ἔστω γοῦν ἐγνῶσθαι τόδε τι τὸ φάρμακον ἕλκους κοίλου σαρκωτικόν, ἐπὶ τῶν ὡς ἂν μὲν ἡμεῖς εἴποιμεν ὑγροτέρων τὴν κρᾶσιν, ὡς δ' ὁ τηρητικός τε καὶ ἐμπειρικός, ἁπαλοχρώτων τε καὶ παίδων καὶ γυναικῶν, εἶτα νῦν τῷ τοιούτῳ προσαγόμενον, ὀνῆσαι μηδέν. ἡμεῖς μὲν οὖν ζητήσωμεν κατὰ τί μηδὲν ὠφέλησεν, εἰς δύο τούτους ἀναγαγόντες σκοπούς. ἢ γὰρ ἐνδεέστερον, ἢ ἀμετρότερον ἐξήρανε. καὶ σημεῖά γε τούτων, τόν τε ῥύπον ἔχομεν, καὶ τὸν ἰχῶρα. εἰ μὲν γὰρ πλείων ὁ ῥύπος, ὑγρότερόν τε ὅλον εἴη τὸ ἕλκος, ἐνδεέστερον ἐξήρανεν. εἰ δὲ καθαρόν τε καὶ ἄνικμον εὑρεθείη, περαιτέρω τοῦ προσήκοντος. εὐθὺς δὲ καὶ τὸ ποσὸν τοῦ συμμέτρου μᾶλλον ἢ ἧττον, ἐκ τοῦ ποσοῦ τῶν γνωρισμάτων εἰσόμεθα. καὶ οὕτω δυνησόμεθα τὸ ἐφεξῆς φάρμακον, ἢ ξηρότερον, ἢ οὐ τοιοῦτον προσενεγκεῖν. ὁ δ' ἐμπειρικὸς ὅτι μὲν οὐκ ἐσάρκωσε τὸ δεῖνα τὸ προσαχθὲν φάρμακον, ὁρᾷ. μὴ γινώσκων μέντοι, πότερα τῷ μᾶλλον ἢ τῷ ἧττον ξηραίνειν, μεταβαίνειν ἐφ' ἕτερον ἀδυνατεῖ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον ἐξ ἡμισείας, ὥσπερ καὶ πρόσθεν ἐδείξαμεν, ὄντες δογματικοί, κακῶς ἰατρεύουσιν ἕλκος. μόνα γοῦν δὴ χειροῦσι λογικῶς θεραπεύειν,

ὅσα τῶν ὀργανικῶν ἐστὶ μορίων ἴδια νοσήματα. τὸ δ' ἕλκος, ὥσπερ καὶ πρόσθεν εἴρηται, κοινὸν ἐστὶν ὁμοιομερῶν τε καὶ ὀργανικῶν, ὥστε καὶ τοῦτο κατὰ τοσοῦτον ἐμπειρικῶς θεραπεύουσι, καθ' ὅσον ἐν τοῖς ὁμοιομερέσι πέφυκε γίνεσθαι. καὶ μὲν δὴ κἂν τῷ τὰς ἀπολωλυίας τελέως οὐσίας, ἢ κεκολοβωμένας ἐπιχειρεῖν θεραπεύειν, κἀνταῦθα ἀναγκαῖον αὐτοῖς ἐστὶν ἐκπίπτειν πολλαχῆ τοῦ λογικοῦ. εἰ γὰρ αὐτὸ τὸ ἀπολωλὸς οὐσία τίς ἐστιν ὁμοιομερὴς, ἀναγκαῖον ἐστὶ τὸν προνοούμενον αὐτοῦ τῆς γενέσεως ὑπὲρ ἁπάσης τῆς φύσεως ἐπίστασθαι. περὶ μὲν δὴ τούτων καὶ αὖθις εἰρήσεται. τὸ δὲ μὴ τυχὸν εἶναι πρᾶγμα καλῶς ἕλκους προνοήσασθαι, καὶ ὡς ἡ πρώτη πασῶν ἔνδειξις, ἡ καὶ τοῖς ἰδιώταις γινωσκομένη πολλοστόν ἐστι μόριον τῆς θεραπείας, ἐναργῶς ἀποδεδεῖχθαι νομίζω. καὶ γὰρ ὅτι δραστικαὶ ποιότητές εἰσι θερμότης τε καὶ ψυχρότης, καὶ ὑγρότης καὶ ξηρότης, ἀναγκαῖον ἀποδεδεῖχθαι, καὶ τούτοις ἐφεξῆς ἅπαντα τὰ περὶ κράσεων ἐγνῶσθαι κατά τε τὸ ἡμέτερον σύγγραμμα, καὶ τἄλλα πάντα, τὰ τούτῳ πλησιάζοντα. νῦν μὲν οὖν ὁ λόγος ἐφ' ἕλκους εἴρηται κοίλου, μόνην αὐτὴν τὴν κοιλότητα θεραπευόντων ἡμῶν. ἡ γὰρ ὡς ἕλκους θεραπεία κατὰ τὸ πρὸν, οὔπω λέλεκται. συνίστασθαι δὲ καὶ ἥδε κατὰ τὴν αὐτὴν μέθοδον. ἀπό τε γὰρ τῆς τοῦ θεραπευομένου κράσεως λαμβάνεται, καὶ προσέτι τῆς τῶν φαρμάκων δυνάμεως. ἤρτηται δ' ἄμφω ταῦτα, τοῦ περὶ τῶν στοιχείων λόγου. μὴ συγχωρηθέντος γοῦν ἐν τῇ μεθόδῳ γενέσεως καὶ φθορᾶς εἶναι τὰς τέτταρας ποιότητας, οὔτ' ἄρξασθαι τῆς μεθόδου δυνατὸν, οὔτε προελθεῖν, οὔτε τελειῶσαι. τὸ δ' ἐκείνας ἐπιδεῖξαι δρώσας τε καὶ πασχούσας εἰς ἀλλήλας, τῆς περὶ τῶν στοιχείων ἐστὶ θεωρίας. ὅπερ οὖν ἐν τοῖς ἔμπροσθεν ἐπεδείξαμεν, ὑπὸ τοῦ νῦν ἐνεστῶτος λόγου μαρτυρεῖται, τὸ μηδὲν δύνασθαι πραγματεύσασθαι περὶ μηδενὸς τῶν ὁμοιομερῶν τὸν ἰατρὸν, ἄνευ τῆς φυσικῆς ὀνομαζομένης θεωρίας. ἀλλ' ἐκεῖ μὲν ἐπὶ τῶν ὁμοιομερῶν ἀπεδείχθη μόνον. ἐνταῦθα δ' ἤδη πως ὁ λόγος ἐμφανίζει, μὴ δὲ ἐπὶ τῶν ὀργανικῶν ὁλόκληρον ἐξευρεῖν δύνασθαι τὴν θεραπείαν μηδένα, χωρὶς τοῦ κἀκείνης προσάψασθαι. δειχθήσεται δ' ἐναργέστερον ἔτι ταυτὸ τοῦτο, παρ' ὅλην τὴν πραγματείαν. Ἐπὶ δὲ τὴν τοῦ ἕλκους θεραπείαν μόνου μετέρχεσθαι καιρός. εἴη δ' ἂν μόνον, ἐπειδὰν μήτε διάθεσις αὐτῷ συμπαρῇ μηδεμία, μήτε σύμπτωμα. μὴ τοίνυν ἔστω μήτε ῥευματικὸν τὸ ἑλκούμενον μόριον, μήτε κακόχυμον, μήθ' ὅλως δύσκρατον. ἀλλὰ μηδ' ἡ κοιλότης αὐτῷ συνέστω, μηδ' ἡ τοῦ δέρματος ἀπώλεια μηδεμία. καὶ γὰρ αὖ καὶ τοῦτο παρορῶσιν οἱ πολλοὶ τῶν ἰατρῶν, οὐ συνιέντες ὡς ἐπειδὰν ἕλκος κοῖλον πληρωθὲν ὁμαλὲς μὲν ὑπάρχῃ, πλατὺ δὲ, διττὴ καὶ νῦν ἐστιν ἐν τῷ μορίῳ διάθεσις. ἑτέρα μὲν οὐσίας δέρματος ἀπώλεια, δευτέρα δὲ, συνεχείας λύσις. ἐπειδὰν μὲν οὖν αὐτὸ τοῦτο μόνον ἡ συνεχείας λύσις, ἤτοι τῆς ἐπιδερμίδος, ἢ καὶ τοῦ δέρματος ἅπαντος, ἢ καὶ τῆς ὑποκειμένης ἅμ' αὐτῷ σαρκὸς, ἕλκος ἐστὶν οὕτω τὸ πάθημα, καὶ δεῖται κολλήσεως μόνης. εἰ γοῦν συναχθείη πρὸς ἄλληλα τὰ χείλη τοῦ δέρματος, οὐδὲν ἐστὶ μεταξὺ τοῦ δέρματος ἑτερογενὲς, ὥσπερ ἐπὶ τοῦ πεπληρωμένου τε καὶ ὁμαλοῦ ἕλκους. ἐπ' ἐκείνου γὰρ, οὐχ ἅπτεται τὰ πέρατα τοῦ ἕλκους ἀλλήλων, ἀλλ' ἐκ τῆς εἱλκωμένης ἁπάσης χώρας ἀπόλωλε τὸ δέρμα, καὶ χρὴ γεννῆσαι δήπουθεν αὐτό. κατὰ μέντοι τὸ διῃρημένον ὑπό τινος ὀξέος, κολλήσεως δεῖ μόνης, οὐ μὴν καὶ γενέσεως δέρματος. ὅταν οὖν ἕλκους ἁπλοῦ προκείμενον ᾖ θεραπείαν εὑρεῖν, ὑποτίθεσθαι χρὴ τῷ λόγῳ διαίρεσιν σαρκώδους μέλους, χωρὶς ἀπωλείας μορίου. τὸ δέ γε πλατὺ, τὸ ἐπουλώσεως δεόμενον ἕλκος, ἀπολώλεκε τελέως τὴν καλουμένην ἐπιδερμίδα, ταύτην οὖν γεννῆσαι χρὴ, καὶ πρὸς ἑαυτὴν ἑνῶσαι. καὶ δύο ἐνταῦθα πρόκεινται σκοποὶ, καθάπερ ἐπὶ τοῦ κοίλου. διότι καὶ ἡ διάθεσις ἐπ' ἀμφοῖν ἐστὶ διττή. τίνι τοίνυν, φήσει τις αὐτῶν ἴσως, ὁμαλὲς ἕλκος τοῦ κοίλου διενήνοχεν; εἰ καὶ διάθεσις ἐπ' ἀμφοῖν ἐστὶ διττὴ, καὶ διττὸς ὁ σκοπὸς τῆς θεραπείας. πλήθει τῶν ἀπολωλότων ὦ βέλτιστε μορίων. ἐπὶ μὲν γοῦν τοῦ κοίλου, καὶ ἡ ἐπιδερμὶς μὲν ἀπόλωλε, καὶ ἡ τοῦ δέρματος δὲ φύσις ἡ λοιπὴ πᾶσα, καὶ τῆς ὑποκειμένης σαρκὸς, οὐκ ὀλίγον ἐνίοτε μέρος. ἐπὶ δὲ τοῦ πεπληρωμένου, σὰρξ μὲν, οὐκέτι λείπει, τὸ δ' ἔξωθεν σκέπασμα, λείπει. τίς μὲν οὖν ἡ τῶν τοιούτων ἑλκῶν ἐστὶν ἴασις, ἐφεξῆς ἐροῦμεν. ἐν δὲ τῷ παρόντι, τοῦ μόνον ἕλκους ὄντος, ἑτέραν δὲ μηδεμίαν ἔχοντος διάθεσιν, ὁποίαν τινὰ χρὴ τὴν θεραπείαν ποιεῖσθαι, λέγωμεν. ἐπεὶ τοίνυν διαίρεσις μόνον ἐστὶν, ἅμα χρὴ τὰ πέρατα γενέσθαι τῶν διῃρημένων. ἢ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μεῖναι συνελθόντα. διττὴ δ' ἡ τῶν συνελθόντων μονή. τὰ μὲν γὰρ δι' ἑαυτῶν, τὰ δὲ δι' ἄλλων μένει. δι' ἑαυτῶν μὲν, ὅσα συμφύεται. δι' ἄλλων δὲ, τά τε συνδούμενα, καὶ τὰ κολλώμενα. τὰ μὲν δὴ συμφυόμενα, πάντως χρὴ μαλακὰ τὴν φύσιν εἶναι. τοιοῦτον δὲ ἥ τε σὰρξ ἐστὶν αὐτὴ, καὶ ὅσα σαρκώδη μόρια κατὰ τὴν σύστασιν. ὅσα δ' ἐστὶ σκληρὰ καὶ ξηρὰ, συμφῦναι μὲν οὐ δύναται, κόλλης δέ τινος ἢ δεσμοῦ δεῖται πρὸς τὸ μεῖναι συναχθέντα. τῶν μὲν δὴ τοιούτων σωμάτων ἡ ἴασις, ἐν τοῖς ἑξῆς εἰρήσεται. περὶ δὲ τῶν ἑνωθῆναι δυναμένων, ὁ λόγος περαινέσθω. ζητούντων ἡμῶν κἀνταῦθα, τὸ τῆς συμφύσεως αἴτιον. ἔστι δ' ὥσπερ ἐπὶ τῶν κοίλων ἑλκῶν ἡ φύσις αἰτία τῆς σαρκώσεως, οὕτω κἀπὶ τῶν ἁπλῶν ἑλκῶν, τῆς συμφύσεως. ὅθεν ἐὰν συναγάγῃς εἰς ταυτὸν ἀκριβῶς τὰ διεστηκότα, χωρὶς τῆς ἄλλης ἁπάσης τῆς ἔξωθεν ἐπιτεχνήσεως, συμφύεται. καί σοι γέγονεν αὖθις ἕτερος σκοπὸς ὁ τῆς συναγωγῆς, ἵν' ἐντεῦθεν ὁρμώμενος ζητήσῃς ἐξ ὧν τοῦτο ποιήσεις. ἢ γὰρ δεσμὸν ἐν κύκλῳ περιλαβὼν ἐκ δυοῖν ἀρχῶν, ἢ ῥάψας, ἢ ἀγκτῆρας ἐπιθεὶς, ἤ τινα τούτων, ἢ πάντα συνάξεις εἰς ταυτὸ τὰ διῃρημένα. χρὴ δὲ μήτε μαλακὸν εἶναι πάνυ καὶ οἷον βρυῶδες τὸ περιβαλλόμενον, ἵν' ἀσφαλῶς συνέχῃ, μήθ' οὕτω σκληρὸν, ὡς θλίβειν. ἀλλὰ μὴ δὲ τὴν ἐπιβολὴν, ἢ οὕτω χαλαρὰν, ὡς μηδὲν ἀνύειν, ἢ οὕτω σφοδρὰν, ὡς θλίβουσαν, ὀδύνην ἐργάζεσθαι. ταῦτ' εἰ ποιήσαις, καὶ εἴη τὸ ἕλκος μόνον ἄνευ κακοχυμίας, ἢ ῥεύματος, ἢ δυσκρασίας, ἢ φλεγμονῆς, ἢ τινὸς ἄλλης κακώσεως, ἑνωθήσεται πάντως. εἰ δ' ἤτοι διὰ τὸ μέγεθος, ἀδύνατον εἴη μέχρι τοῦ βάθους ἀκριβῶς ἀλλήλοις παρατεθεῖναι τὰ κεχωρισμένα σώματα, μήτε τῶν ῥαμμάτων, μήτε τῶν ἀγκτήρων, μήτε τῆς ἐπιδέσεως ἀφικνεῖσθαι δυναμένης αὐτῶν. ἢ φθάνει τις ἰχὼρ αὐτόθι συνειλεγμένος, ἢ καὶ τις ὀδύνη συνοῦσα, κολληθῆναι τὸ τοιοῦτον ἕλκος ἀδύνατον ἐπὶ μόνῃ τῇ συναγωγῇ. τότε γὰρ ὀδυνώμενον ἐρεθίζει τι πλέον ἐπιῤῥεῖν. εἰ δὲ καὶ τὸ ἴσον ἐπιῤῥεῖ τῷ κατὰ φύσιν, ἀλλ' ἥ γε δύναμις ἀῤῥωστοῦσα, τῶν δυνωμένων τε ἅμα καὶ τετρωμένων μορίων, οὐκ οἴσει τὸ ἴσον. ἀλλ' ὡς ὑπὸ πλείονος, βαρυνθήσεται. κἂν τούτῳ πάντως μὲν ἰχῶρες περιττοί. θαυμαστὸν δ' εἰ μὴ καὶ φλεγμονὴ γενήσεται.

νήσεται.

νήσεται. καὶ μὲν δὴ καὶ εἰ χωρὶς ὀδύνης ὁ ἰχὼρ ἐν τῷ μεταξὺ τῶν συναχθέντων χειλῶν τοῦ ἕλκους εἴη παρακείμενος, ἢ καί τις χώρα γίγνοιτο μεταξὺ κενὴ μὲν ἰχῶρος, ἀέρος δὲ πλήρης, οὐκ ἐνδέχεται κολληθῆναι τὸ τοιοῦτον ἕλκος ἐκ μόνης τῆς συναγωγῆς. ὅ, τε γὰρ ἰχὼρ ἤδη διακόπτει τὴν ἕνωσιν, αἵ τε μεταξὺ τῶν ἑνωθησομένων χῶραι κεναὶ, κωλύουσιν ἅψασθαι τὰς ἐπιφανείας ἀλλήλων. ὥστ᾽ ἐκεῖνά γε τὰ μέρη τοῦ ἕλκους, ἡ φύσις δεῖται προσσαρκῶσαι πρότερον, ἵνα συμφύσῃ. μικρὰ δὲ δήπουθεν ἐστὶν οὕτως, εἰ καλῶς συναχθῇ τὸ ἕλκος, ὡς μιᾶς ἡμέρας ἢ τὸ πλεῖστόν γε δεῖσθαι δυοῖν.

Ἐν οὖν τούτῳ τῷ χρόνῳ, φαρμάκου χρεία ξηραίνοντος τὸ μόριον, ἵν᾽ εἴτε τις ἤδη παρακείμενος ἰχὼρ εἴη, τοῦτον ἐκδαπανήσῃ, καὶ τὸν μέλλοντα συρρεῖν εἰς τὰς κενὰς χώρας, κωλύσει. νῦν οὖν πάλιν ἀναμνήσθητί μου τοῦ σαρκωτικοῦ φαρμάκου τοῦ μετρίως ξηραίνοντος, ἵν᾽ εἰδῶμεν εἴτε ξηραντικώτερον αὐτοῦ χρὴ τὸ κολλητικὸν ὑπάρχειν, εἴτε μή. τὸ μὲν δὴ σαρκωτικὸν εἰ σύμπαν ἐξεδαπάνα τὸ ἐπιρρέον αἷμα, τὴν ὕλην ἂν οὕτως ἀφῃρεῖτο τῆς σαρκώσεως. τὸ δέ γε κολλητικὸν, ἢ οὐδ᾽ ὅλως δεῖται γενέσεως σαρκὸς, ἢ σμικρᾶς παντάπασιν. ὥστε μᾶλλον αὐτὸ χρὴ ξηραίνειν τοῦ σαρκωτικοῦ. ταύτῃ τε οὖν ἀλλήλων διοίσει μακράν τινα διαφορὰν, ἑτέραν τε μεγάλην, ᾗ τὸ μὲν σαρκωτικὸν, εὐθὺς χρὴ καὶ ῥυπτικὸν ὑπάρχειν, ἵνα μὴ μόνον ξηραίνῃ τὸ περιττὸν τῆς ὑγρότητος, ἀλλὰ καὶ τὸν ῥύπον ἀφαιρῇ. τὸ δὲ κολλητικὸν, οὐ ῥύπτειν, οὐδὲ ἀποσμᾶν, ἀλλὰ τοὐναντίον ἅπαν εἰς ταυτὸν συνάγειν ἅπασαν τὴν οὐσίαν. ὅπερ οἶμαι πέφυκε δρᾶν ὅσα τῶν φαρμάκων αὐστηρά τε καὶ στύφοντα καλεῖται. ταῦτα γὰρ εἰς ταυτὸ συνάγειν καὶ πιλεῖν, οὐκ ἀπορρύπτειν, οὐδὲ καθαίρειν πέφυκεν. ὥστε μάλιστα πάντων φυλαξώμεθα τὸ στύφον φάρμακον, ἵνα σαρκῶσαι πρόκειται, δυσαπολύτως ἐμπλάττον τοῖς ἕλκεσι τὸν ῥύπον. οἶνος οὖν ἄριστον φάρμακον ἑλκῶν ἁπάντων ἢ ἕλκη. εἰ δὲ καὶ μὴ προσθείημεν τῷ λόγῳ, ἢ ἕλκη, ταυτὸν οἶμαι νοήσεις. ὑπὲρ γὰρ τοῦ μὴ παρακοῦσαί τινα, πρόσκειται χάριν ἀναμνήσεως, οὐχ ὡς ἀναγκαῖόν τι διοριζόμενον. ὡς εἴγε μοι μεμνημένος εἴης τῶν ἐν τῷ πρὸ τούτου βιβλίῳ λόγων ἁπάντων, τῶν περὶ τῶν καθ᾽ ἕκαστον ὄνομα σημαινομένων τε καὶ ὑποκειμένων πραγμάτων, οὐδὲν ἔτι σοι δεήσομαι τὰ τοιαῦτα διορίζεσθαι. μόνον δὲ ἀρκέσει μοι καθ᾽ ἕκαστον αὐτῶν διελέσθαι, τὰς ἁπλᾶς διαθέσεις τῶν συνθέτων, ὑπὲρ ὧν ἤδη μέν πού τι καὶ πρόσθεν εἴρηται. ῥηθῆναι δ᾽ ἀναγκαῖον ἔσται καὶ νῦν, οὐ τοσοῦτον αὐτοῦ τοῦ πράγματος ἕνεκεν, ἀλλ᾽ ὅτι νομίζουσιν οἱ πολλοὶ τῶν ἰατρῶν, ὑπὸ τῆς λέξεως ἐξαπατώμενοι, διαφορὰς ἑλκῶν εἶναι τὸ κοῖλον καὶ ὁμαλὲς, ἔναιμόν τε καὶ παλαιὸν, ῥυπαρόν τε καὶ καθαρὸν, ἀφλέγμαντόν τε καὶ φλεγμαῖνον. ἀναγκαῖον οὖν ἔσται διελέσθαι, τίνες μὲν αἱ οἰκεῖαι διαφοραὶ τῶν ἑλκῶν εἰσι, τίνες δ᾽ ἐπιπλοκαὶ διαθέσεων ἑτέρων. ἀλλὰ ταῦτα μὲν ὀλίγον ὕστερον. ἡ δὲ συνήθης διδασκαλία τοῖς παλαιοῖς, ἥνπερ δὴ καὶ νῦν ηὐξάμην ἀσκηθῆναι, κατὰ φύσιν ὑπάρχειν μάλιστα τῶν ἁπλῶν ἑκάστης διαθέσεως ἴδιον ἴαμα λεγόντων αὐτῶν, καὶ μάλιστα πάντων Ἱπποκράτους. ἡ γάρ τοι μέθοδος ἡ θεραπευτικὴ, κατὰ τοῦτον ἂν μάλιστα προΐοι τὸν τρόπον, ὑπὲρ ἑκάστου τῶν ἁπλῶν, ἴδια διελθόντων ἡμῶν. ἔπειτ᾽ αὖθις ἐπὶ τοῖς συνθέτοις ἅπασιν ἑτέραν μίαν ἐπιδειξάντων μέθοδον. ὥσπερ γὰρ εἰ δύο ἦν ὄντως κατὰ δίαιταν νοσήματα, τό, τε στεγνὸν καὶ τὸ ῥοῶδες, ἰδίαν ἑκατέρου θεραπείαν εἰπόντας, οὕτως ἐχρῆν ἐπιπεπλεγμένου μνημονεύειν, ὡς οἱ περὶ τὸν Θεσσαλὸν ἀξιοῦσι, τὸν αὐτὸν οἶμαι τρόπον, ἐπειδὰν τῶν μὲν ἑλκῶν ἢ ἕλκη, πάντων ἓν εἶδος ὑπάρχει, τῶν φλεγμονῶν δ᾽ ἢ φλεγμοναὶ, καὶ τούτων ἕτερον εἶδος ἓν, ἴδια μὲν χρὴ τῶν ἑλκῶν, ἴδια δὲ τῶν φλεγμονῶν εἰπόντας θεραπείας, οὕτως ἤδη συνάπτειν εἰς ταυτὸν ἀμφοτέρας. τοῦτ᾽ οὖν εἰ ποιησαίμεθα, ἕλκη μὲν ἅπαντα ξηραίνεσθαί τε ἅμα καὶ στύφεσθαι δεόμενα κατὰ τὴν εἰρημένην μέθοδον εὑρήσομεν. οὐ μὴν καὶ ῥύπτεσθαί γε. κοιλότητα δ᾽ ἐν σαρκὶ, ξηραίνεσθαι μὲν καὶ ῥύπτεσθαι, στύφεσθαι δ᾽ οὐκέτι. καὶ δὴ καὶ κατὰ τὸν αὐτὸν τρόπον, ὃν ἔμπροσθεν εἴπομεν, ἐπὶ τῶν κοίλων ἑλκῶν, ἀνάλογον καὶ νῦν ἐπισκεψόμεθα τοῦ σώματος τὴν φύσιν, εἰ μαλακὴ καὶ βρυώδης, ἢ σκληρὰ καὶ ξηρὰ καὶ σύντονος. ἡ μὲν γὰρ προτέρα, καθ᾽ ὅσον ὑγροτέρα, κατὰ τοσοῦτον καὶ τῶν φαρμάκων ἧττον ξηραινόντων δεήσεται. ἡ δευτέρα δὲ, καθ᾽ ὅσον ξηροτέρα, κατὰ τοσοῦτον αὖ καὶ ἤδε καὶ σφοδρότερον ξηραινόντων δεήσεται καὶ μᾶλλον στυφόντων. ὁ γοῦν ἐμπειρικὸς, οἶμαι κἀνταῦθα, παίδων μὲν καὶ γυναικῶν, καὶ ἁπαλοσάρκων μνημονεύσει. νεανίσκους καὶ γεωργοὺς, καὶ θαλαττουργοὺς, ἀντιτάττων αὐτοῖς. οὐ μὴν ὅτι γε διὰ μὲν τὴν ὑγρότητα τῆς κράσεως, ἐπὶ παίδων καὶ γυναικῶν ἑωρᾶται τὰ τοιαῦτα τῶν φαρμάκων εὐδοκιμοῦντα. διὰ δὲ τὴν ξηρότητα πάλιν ἕτερα θερισταῖς καὶ ναύταις ἁρμόττοντα συνεῖναι δυνάμενος, οὔτε τῆς καθ᾽ ἕκαστον σῶμα θεραπείας ἀκριβῶς στοχάσεται, καὶ τῆς ἀποτυχίας οὐχ εὑρήσει τὴν αἰτίαν. ὥστε οὐδὲ τῆς ἐπὶ τὸ βέλτιον εὐπορήσει μεταβολῆς, ὁπόταν ἀποτυγχάνῃ τὰ διὰ τῆς ἐμπειρίας αὐτῷ προεγνωσμένα. ταῦτα μὲν δὴ καθόλου περὶ τῶν φαρμάκων εἴρηταί μοι τῶν κολλητικῶν. ἑξῆς δ᾽ ἄλλη τις μέθοδος εἰς τὴν σκευασίαν τε καὶ τὴν σύνθεσιν αὐτῶν διαφέρουσα προσέρχεται. τοῖς μὲν γοῦν κοίλοις ἕλκεσιν, ὃ βουλόμεθα προσφέρομεν εὐθὺς, εἴτ᾽ οὖν ξηρὸν, εἴθ᾽ ὑγρὸν φάρμακον. ἐγχωρεῖ γοῦν ἐπιπάττειν, ἢ ἐμπλάττειν αὐτὰ παντὶ μορίῳ τοῦ ἕλκους. ἐπὶ δὲ τῶν ἄχρι βάθους ἱκανοῦ γεγενημένων τραυμάτων, ἐπειδὰν ἅπαξ συναγάγωμεν τὰ χείλη, ψαῦσαι τῶν ἐν τῷ βάθει διῃρημένων οὐκ ἐγχωρεῖ. χρὴ τοίνυν οὐχ ἁπλῶς εἰ ξηραντικὸν ἐστὶ καὶ αὐστηρὸν μετρίως τὸ φάρμακον, ἀλλ᾽ εἰ καὶ μέχρι τοῦ βάθους ἐξικνεῖσθαι δυνατὸν ἐπισκοπεῖσθαι. ψιμμύθιον γοῦν καὶ λιθάργυρος, στύφει καὶ ξηραίνει μετρίως. ἀλλ᾽ ἐὰν ἐπιπάσῃς αὐτὰ δίκην τέφρας ἐν κύκλῳ τοῦ τετρωμένου, πλέον οὐδὲν ἀνύσεις. οὐ γοῦν διϊκνεῖται τῶν οὕτω ξηρῶν φαρμάκων εἰς τὸ βάθος ἡ δύναμις. ὑγρότητος οὖν αὐτοῖς δεήσει τινὸς, ἵν᾽ ὁποῖόν τι τῶν ἐμπλαστικῶν φαρμάκων, ἢ καὶ τῶν ὑγροτέρων τι γένηται. ταῦτα μὲν οὖν τῆς περὶ συνθέσεως φαρμάκων πραγματείας ἐστὶν ἴδιον. οὐκ αὐτῆς τῆς θεραπευτικῆς μεθόδου. καὶ εἰ δόξαιμεν αὐτοῦ δεῖσθαί τι πρὸς τὰ παρόντα, κἂν ἐπὶ προήκοντι τῷ λόγῳ μνημονεύσαιμεν.

Ἐπὶ δὲ τὸ τῆς οὐλῆς δεόμενον ἕλκος ἐπάνειμι, περὶ οὗ μικρὸν ἔμπροσθεν ἔλεγον, ὡς ὁ πρῶτος μὲν ἂν εἴη καὶ τούτου σκοπὸς ἐκ τοῦ γένους τοῦ κοίλου. γεννῆσαι γὰρ χρή τι τῶν ἀπολωλότων οὐχ ἁπλῶς ἑνῶσαι τὰ διεστηκότα. τρόπον δ᾽ ἕτερον ἐπὶ τούτου γεννᾶσθαι τὸ λεῖπον, ἢ ὃν ἐπὶ τοῦ κοίλου. ἐν ἐκείνῳ μὲν γὰρ τὸ αἷμα, τούτῳ δ᾽ ἡ σὰρξ ὕλη. πληροῦται μὲν οὖν τὸ κοῖλον ὑπὸ τῆς γε-

νωμένης σαρκὸς τὴν γένεσιν ἐκ τοῦ αἵματος ἐχούσης. εἰς οὐλὴν δὲ ἀφικνεῖται τὸ ἤδη πεπληρωμένον ὑπὸ τοῦ γεννωμένου δέρματος, ἐκ τῆς ὑποβεβλημένης σαρκὸς τὴν γένεσιν ἔχοντος. ἀλλὰ σὰρξ μὲν ἡ αὐτὴ τῷ εἴδει τῇ διεφθαρμένῃ δύναται γεννηθῆναι κατὰ τὸ κοῖλον ἕλκος. δέρμα δ' οὐκ ἐνδέχεται γεννηθῆναι τοιοῦτον ἀκριβῶς, οἷον ἦν τὸ διεφθαρμένον. ἀλλ' ὅμοιον μέν τι δέρματι, καὶ τὴν χρείαν αὐτοῦ δυνάμενον ἀναπληροῦν, οὐ μὴν ἀκριβὲς δέρμα. διατί μὲν οὖν οὐχ οἷόν τ' ἐστὶν ἡμῖν γεννῆσαι δέρμα τὸ ἅπαξ ἀπολλύμενον, ὥσπερ σάρκα καὶ πιμελὴν γεννῶμεν, ἐκ τῶν φυσικῶν ἐστι προβλημάτων. ὅπως δ' ἄν τις μιμήσαιτο κατὰ φύσιν καὶ χρείαν δέρματος, ἐκ τῆς νῦν ἐνεστώσης πραγματείας, ἧς τὴν μέθοδον ἤδη λέγομεν. ἐπειδὴ πρόκειται σκεπάσαι τὴν σάρκα συμφύτῳ τινὶ σκεπάσματι, τοῦτο γάρ ἐστι τὸ εἰς οὐλὴν ἀγαγεῖν τὸ ἕλκος, ἤτοι δέρμα γεννητέον ἡμῖν ἐστιν, ἢ τῆς σαρκὸς τὸ ἐπιπολῆς δέρματι παραπλήσιον ἐργαστέον. ἀλλ' οὐκ ἐγχωρεῖ γεννῆσαι δέρμα, τὸ λοιπὸν ἄρα πειρατέον ἐργάζεσθαι. τίς οὖν ὁ τρόπος τῆς ἐργασίας; ἡ ἀλλοίωσις δηλονότι. σαρκὸς γάρ τι μόριον οὐκέτι σάρκα μένειν, ἀλλ' οἷον δέρμα γενέσθαι βουλόμεθα. πῶς οὖν ἀλλοιωθήσεται; κατά τινα τῶν ἀλλοιουσῶν δηλονότι ποιοτήτων. ἥκει γὰρ αὖθις ἐνταῦθα, κἂν μὴ θέλωμεν, ὁ περὶ τῶν στοιχείων λόγος, οὗ χωρὶς οὐδὲ ἐπουλωτικόν ἐστιν εὑρεῖν φάρμακον, οὐ μόνον σαρκωτικὸν ἢ κολλητικόν. ἐπεὶ τοίνυν τὸ δέρμα τῆς σαρκὸς ξηρότερόν ἐστι καὶ πυκνότερον, εἰ ξηραίνοιμεν καὶ στύφοιμεν τὴν σάρκα, δέρματι παραπλησίαν ἐργασόμεθα. τὸ μὲν δὴ κεφάλαιον ἔχεις ἤδη τῶν ἐπουλωτικῶν φαρμάκων, ἀλλ' οὐκ ἀρκεῖ τοῦτο. καὶ γὰρ τὰ κολλητικά, ξηραίνοντά τε ἦν, καὶ στύφοντα. ὅπῃ ποτ' οὖν διοίσει ταῦτ' ἐκείνων, εἰς αὐτὴν ἀποβλέπων τὴν οὐσίαν τῶν πραγμάτων, ἐξευρήσεις. ἐπειδὴ γὰρ ἐν μὲν ταῖς κολλήσεσι τῶν ἡλκωμένων ξηραίνεσθαι χρὴ τὸ ἐπιρρέον, ὡς ἀπείρατον μένειν τὸ πεπονθὸς μέρος, ἐν δὲ ταῖς ἐπουλώσεσιν, οὐ μόνον τὸ ἐπιρρέον, ἀλλὰ καὶ τὸ περιεχόμενον ἐν ταῖς σαρξὶν ὑγρὸν ἐκδαπανᾶσθαι προσήκει, πολὺ δήπου ξηρότερον εἶναι χρὴ τὸ συνουλωτικὸν φάρμακον τοῦ κολλητικοῦ. τῷ μὲν γὰρ κολλῶντι, σκοπὸς εἷς οὗτος μόνος ἐκδαπανῆσαι τὸ περιττὸν τοῦ κατὰ φύσιν. τῷ δέ, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ κατὰ φύσιν ἅψασθαι. κηκὶς οὖν ὀμφακῖτις ἐνταῦθα, καὶ τὰ τῆς ῥοιᾶς λέμματα, καὶ τῆς αἰγυπτίας ἀκάνθης ὁ καρπός, μετρίως ξηραίνοντα φάρμακα. χαλκῖτις δέ, καὶ χαλκὸς κεκαυμένος, καὶ λεπὶς χαλκοῦ, καὶ μίσυ, καὶ στυπτηρία σχιστή, πολὺ τούτων σφοδρότερα. μίσυ μὲν καὶ χαλκῖτις, μάλιστα, μετριώτερον δ' ἡ λεπὶς τοῦ χαλκοῦ. καὶ τούτου μετριώτερον, ὁ κεκαυμένος χαλκός. εἰ δὲ καὶ πλύναις αὐτόν, ἀδηκτότερον ἕξεις φάρμακον. ἔστι δὲ καὶ τοῦτο ἤδη τῆς περὶ φαρμάκων συνθέσεως πραγματείας, ἑπομένης τῇ θεραπευτικῇ μεθόδῳ. τὸ μὲν γὰρ τὰς δυνάμεις τῶν φαρμάκων γνῶναι, προηγεῖται τῆς θεραπευτικῆς μεθόδου. καὶ λέλεκται περὶ αὐτῶν ἑτέρωθι. τὸ δὲ συνθεῖναι τὰ φάρμακα, μετὰ τὴν θεραπευτικήν ἐστι μέθοδον. ὅταν γὰρ αὕτη μὲν διδάξῃ τὰ καθόλου, λέγω δὲ τὸ ξηραίνειν, ἢ ὑγραίνειν, ἢ ψύχειν, ἢ θερμαίνειν, καὶ ἤτοι μετρίως τοῦτο δρᾶν, ἢ σφοδρῶς, ἢ ἀμυδρῶς, εἰδῶμεν δὲ καὶ τὴν τῶν ἁπλῶν φαρμάκων ἑκάστου δύναμιν ἰδίᾳ καθ' ἑαυτὴν ἐπεσκεμμένοι, τηνικαῦτα πῶς ἄν τις ταῦτα μίξειεν ἐπιτηδείως τῇ χρείᾳ προσήκει σκέψασθαι. γίνεται γοῦν οὕτως, διττή τις ἡ περὶ τῶν φαρμάκων μέθοδος. ἑτέρα μὲν ἡ τῆς δυνάμεως αὐτῶν. ἑτέρα δὲ ἡ τῆς συνθέσεώς τε καὶ σκευασίας. ἀλλὰ γὰρ ἐπὶ τὸ λεῖπον ἔτι τῆς περὶ τῶν ἑλκῶν ἀπιέναι χρὴ μεθόδου.

Λείπει δ' ὡς οἶμαι τὸ περὶ τῶν ὑπεραυξανομένων σαρκῶν εἰπεῖν, ὃ δὴ καὶ ὑπερσάρκωσιν ὀνομάζουσιν οἱ πλεῖστοι τῶν ἰατρῶν. ἔστι δὲ καὶ τοῦτο νόσημα τοῦ γένους τοῦ παρὰ τὸ ποσὸν ἢ τὸ πηλίκον τῶν μορίων. ἐξέστω γὰρ ὡς ἂν ἐθέλοις ὀνομάζειν. ἐκ ταὐτοῦ δὲ γένους καὶ ἡ κοιλότης ἦν, ὑπὲρ ἧς προειρήκαμεν. ὡς οὖν ὃ καλοῦσιν ἕλκος κοῖλον οὐχ ἕν ἐστι πάθος, ἀλλὰ κοιλότης τε ἅμα καὶ ἕλκος, οὕτως ἕλκος ὑπερσαρκοῦν, οὐχ ἕν ἐστι πάθος, ἀλλ' ὑπερσάρκωσίς τε ἅμα καὶ ἕλκος. ἐνδείκνυται δέ, τὸ τῷ μεγέθει παρὰ φύσιν τὴν πρώτην ἔνδειξιν, ἣν δὴ καὶ σκοπὸν τῆς τῶν ἰαμάτων εὑρέσεως ἐλέγομεν εἶναι, τοῦ πλεονάζοντος τὴν ἀφαίρεσιν. ὑπὸ φαρμάκων δ' αὕτη γίνεται μόνων, οὐκέθ' ὑπὸ φύσεως ἀνάπαλιν, ἢ ὡς ἐπὶ σαρκώσεως καὶ κολλήσεως εἶχεν. ἐκεῖνα μὲν γὰρ τῆς φύσεως αὐτῆς ἐστιν ἔργα, τῶν φαρμάκων, τὰ διακωλύοντα, τὰς ἐνεργείας αὐτῆς ἐκκοπτόντων. ἡ δὲ τῶν ὑπεραυξηθεισῶν σαρκῶν καθαίρεσις, οὐδὲν μὲν τῆς φύσεως ἐστὶν ἔργον. ὑπὸ δὲ τῶν ἰσχυρῶς ξηραινόντων γίνεται φαρμάκων. παράκειται δὲ ταῦτα τὰ φάρμακα, τοῖς τε ῥύπτουσιν ἰσχυρῶς, καὶ τοῖς ἐπουλοῦσιν. ὡς πολλοὺς διαμαρτάνοντας ἐνίοτε, τὸ καθαιρετικὸν φάρμακον, ἢ ὡς ῥύπου καθαρτικόν, ἢ ὡς εἰς οὐλὴν ἄγον παραλαμβάνειν. οἷον αὐτίκα τὸ μίσυ καὶ ἡ χαλκῖτις εἰ ὑγρᾷ φύσει προσάγοιτο, τῶν καθαιρόντων μᾶλλον ἢ τῶν ἐπουλούντων ἐστίν. ὅθεν εἴποτε τοιούτοις ἀναγκασθείημεν χρῆσθαι πρὸς ἐπούλωσιν, ἑτέρων δηλονότι μὴ παρόντων, ὡς ἐλαχίστοις αὐτοῖς χρησόμεθα, μόνον τῷ πυρῆνι τῆς μήλης καθιέντες εἰς ἄκρον λελειωμένα τὰ φάρμακα. κἄπειθ' οὕτως οἷον χνοῦν τινὰ τοῖς τῆς ἐπουλώσεως δεομένοις ἐπιβάλλομεν μορίοις. εἰ δὲ καὶ καθαιρεῖν βουλοίμεθα τὰ ὑπερέχοντα, δαψιλέστερον ἐπιθήσομεν. ἰὸς δὲ τούτων ἐστὶ καθαιρετικώτερος, ὡς ὅλως ἐκπεπτωκέναι τοῦ γένους τῶν ἐπουλούντων. εἰ δὲ καὶ καύσειας αὐτά, δριμύτερα μὲν ἧττον, ἐπουλωτικώτερα δὲ ποιήσεις. εἰ δὲ καὶ πλύναις, ἠπιώτερα. μέμνησαι δὲ δήπου καὶ σὺ τὸν ἄνευ λογισμοῦ θεραπεύοντά ποτε τὸ ῥυπαρὸν ἕλκος τῷ συνήθει φαρμάκῳ τῷ χλωρῷ. μιγνύντα μὲν αὐτῷ τὸ μέλι, πολλαῖς δὲ ἐφεξῆς ἡμέραις εὑρίσκοντα ῥυπαρὸν ὁμοίως. εἶτ' ἀπορούμενόν τε, καὶ ὅπῃ μεταβῇ μὴ γινώσκοντα. συνέβαινε γὰρ οὐ καθαίρεσθαι μόνον τὸν ῥύπον, ἀλλὰ καὶ συγκαθαιρεῖσθαί τι καὶ συντήκεσθαι τῆς ὑποκειμένης σαρκός, ἰσχυροτέρου τοῦ φαρμάκου τῆς τοῦ κάμνοντος ὑπάρχοντος φύσεως. εἶτ' ὁ μὲν ἰατρὸς ἀεὶ πλέον ἀνεμίγνυε τῷ φαρμάκῳ τοῦ μέλιτος. ἵνα δὴ σφοδρότερον καθαίρῃ, ὡς ἐλλιπῶς τοῦ πρότερον τοῦτο δράσαντος. ἐγίγνετο δὲ πᾶν τοὐναντίον. εἰς ὅσον γὰρ ἐπετείνετο τῇ δριμύτητι τὸ προσφερόμενον, εἰς τοσοῦτον συνετήκετο μὲν ἡ ὑποκειμένη σάρξ, ὁ δὲ τῆς συντήξεως ῥύπος εὑρισκόμενος ἐπὶ τοῦ ἕλκους, ἐξηπάτα τὸν ἰατρόν, ὡς οὐδὲν ἀνύοντος τοῦ φαρμάκου. τοῦτο μὲν δὴ καὶ περὶ τὴν διάγνωσιν, οὐ μόνον περὶ τὴν θεραπευτικὴν μέθοδον ἡ ἄγνοια. καὶ γὰρ εἰ ὅτι μάλιστα ῥυπαρὸν ὁμοίως φαίνεται τὸ ἕλκος ἐπ' ἀμφοτέρων τῶν φαρμάκων, ἀλλά τοι κοιλότερον μὲν ἐπὶ τῶν ἰσχυρῶν τε καὶ συντηκόντων γίγνεται. καὶ προσέτι τοῖς χείλεσιν ὀχθῶδες, ἐρυθρόν τε καὶ ὑποφλεγμαῖνον ἐστίν. ὅτι δὲ καὶ δάκνεται σαφῶς ὁ ἄνθρωπος ὑπὸ τοῦ τοιούτου φαρμάκου.

μάκου. τὸ δ' ἧττον ἢ προσήκει ξηραῖνον, οὔτε δῆξιν, οὔτε τῶν ἄλλων οὐδὲν, ὧν εἶπον, ἐργάζεται. δῆλον δ' οἶμαι κἀπὶ τούτων ἐστὶν, ὡς ὁ μὲν ἐμπειρικὸς εἰ καὶ ὅτι μάλιστα διωρισμένῃ χρήσαιτο τῇ πείρᾳ, τό γε μεταβαίνειν ἐπὶ τὸ προσῆκον, οὐκ ἀμηχάνως οὐκ ἔχει. μόνῳ δ' ὑπάρχει τοῦτο, τῷ κατὰ μέθοδον ἰατρεύοντι τὴν ὄντως δηλονότι μέθοδον, ἣν ἐγὼ νῦν διέρχομαι. τὴν γοῦν τῶν ἀμεθόδων Θετταλείων μέθοδον, ὄνομα μόνον οἶδα δή που κενὸν, ἔρημον ἔργου παντός. οἵ γε τοσαύτης τε καὶ τηλικαύτης οὔσης μεθόδου περὶ τὴν τῶν ἑλκῶν ἴασιν, οὔτε τοῖς τῶν ἐμπειρικῶν ἐχρήσαντο διορισμοῖς εἰς τὴν τῶν φαρμάκων εὕρεσιν, οὔτ' ἀπὸ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων ἔλαβον τὴν ἔνδειξιν, ὡς οἱ δογματικοί. μόνον δ' εἰπόντων, ὃ καὶ τοῖς ἰδιώταις γνωρίζεται, τὸ, δεῖσθαι τὸ μὲν κοῖλον ἕλκος πληρώσεως, τὸ δὲ πλῆρες ἐπουλώσεως, τὸ δ' ὑπερσαρκοῦν καθαιρέσεως, καὶ τὸ μὲν ῥυπαρὸν καθάρσεως, τὸ δὲ καθαρὸν ἐπουλώσεως, τὸ δὲ ἔναιμον καὶ κολλήσεως, ἑλκῶν θεραπείας οἴονταί τινα μέθοδον εἰρηκέναι. τοσοῦτον ἀπολείπουσι γιγνώσκειν, ὡς ταῖς μὲν ὑγροτέραις φύσεσι, τῶν ἧττον ξηραινόντων φαρμάκων ἐστὶ χρεία, ταῖς δὲ ξηροτέραις, τῶν μᾶλλον. ὃ τοίνυν παρ' ὅλον τὸν λόγον ἐφάνη σαφῶς, αὖθις ἀναληπτέον. ἵν' ἡμεῖς τε μάλιστα προσέχωμεν αὐτῷ τὸν νοῦν, οἵ τ' ἄλλοι πάντες οἱ τὴν παλαιὰν μέθοδον διαφθείροντες, ἐναργέστερον γνῶσιν ὅσον ἁμαρτάνουσιν. ἄρξομαι δ' ἀπὸ τῶν σαρκώσεως δεομένων ἑλκῶν, ἐπεί τοι τοῦτο παράδειγμα προκεχειρισάμενος, ἐπειδὴ καὶ φθάνω τὸν λόγον ὑπὲρ αὐτοῦ πεποιημένος, εἶθ' ἑξῆς περὶ πάσης ὁμοῦ τῆς ἰάσεως, ἐν τῷ καθόλου ποιήσομαι τὸν λόγον. ἐφάνη τοίνυν οὐ τῷ λόγῳ μόνον, ἀλλὰ καὶ τῇ πείρᾳ σκοπουμένοις, οὐ τῶν αὐτῶν ἅπασα φύσις δεομένη φαρμάκων, ἀλλ' αἱ μὲν ἀσθενέστεραι καὶ μαλακώτεραι, τῶν μαλακωτέρων, αἱ δ' ἰσχυρότεραι καὶ ξηρότεραι, τῶν ἰσχυροτέρων. οὕτω δὲ κἀπὶ τῶν εἰς οὐλὴν ἀγομένων ἑλκῶν ἔχει, καὶ προσέτι τῶν κολλήσεως δεομένων. ἁπλῶς γὰρ οὐδὲν τῶν ἰσχυρῶν φαρμάκων αἱ μαλακαὶ φέρουσι φύσεις. ἐν δὲ τῇ διεξόδῳ ταύτῃ τοῦ λόγου, κατάφωρον γίγνεται σαφῶς, ὅτι τε τὴν φύσιν ἐπισκεπτέον ἐστὶ τοῦ κάμνοντος. ὅτι τε καθ' ἕκαστον ἄνθρωπον, ἰδία τίς ἐστι θεραπεία. καὶ τρίτον ἐπὶ τούτοις, ὡς ἐπειδὴ τὸ τῆς ἑκάστου φύσεως ἴδιον ἄρρητόν ἐστι, καὶ πρὸς τὴν ἀκριβεστάτην ἐπιστήμην ἄληπτον, οὗτος ἂν ἄριστος ἰατρὸς εἴη τῶν κατὰ μέρος ἁπάντων νοσημάτων, ὁ μέθοδόν τινα πορισάμενος, ἐξ ἧς διαγνωστικὸς μὲν τῶν φύσεων ἔσοιτο, στοχαστικὸς δὲ τῶν ἑκάστης ἰδίων ἰαμάτων. τὸ δ' οἴεσθαι κοινήν τινα ἁπάντων ἀνθρώπων εἶναι θεραπείαν, ἐσχάτως ἠλίθιόν ἐστιν. ὅπερ οἱ ἀναισθητότατοι νομίζουσι μεθοδικοί. καὶ διὰ ταῦθ' ἑστάναι τὰ τῆς ἰατρικῆς ἔφασαν ἅπαντα θεωρήματα, τουτέστιν ἐπιστημονικὰ καὶ βέβαια ταῖς γνώσεσιν ὑπάρχειν. εἶναί τε τὴν γνῶσιν αὐτῶν, τέχνην τινὰ κοινοτήτων, οὐκ ἰδιοτήτων, ὥσπερεὶ τὸν κοινὸν καὶ γενικὸν ἄνθρωπον θεραπευόντων, οὐ τοῦτον κατὰ μέρος. ὡς οὖν ἐν τοῖς ἄλλοις ἅπασιν εὐθέως κατὰ τὰς ἀρχὰς ἐσφάλησαν, οὕτω κἀν τῷδε. θεραπεύεται μὲν γὰρ, οὐχ ὁ κοινὸς καὶ γενικὸς ἄνθρωπος, ἀλλ' ἡμῶν ἕκαστος, ἄλλος ἄλλην ἔχων δηλονότι κρᾶσίν τε καὶ φύσιν. οἱ δ' οἴονται μίαν θεραπείαν ἁπάντων ἀνθρώπων εἶναι. ἐγὼ δ' εἰ καὶ τὴν ἑκάστου φύσιν ἀκριβῶς ἠπιστάμην ἐξευρίσκειν, οἷον ἐπινοῶ τὸν Ἀσκληπιὸν, αὐτὸς ἂν ἦν τοιοῦτος. ἐπεὶ δ' ἀδύνατον τοῦτο, τὸ γοῦν ἐγγυτάτω προσιέναι καθόσον ἀνθρώπῳ δυνατὸν, αὐτός τε ἀσκεῖν ἔγνωκα, τοῖς ἄλλοις παρακελεύομαι. πειρῶνται μὲν οὖν εἰς ὅσον οἷόν τε καὶ οἱ ἀπὸ τῆς ἐμπειρίας, ἀποχωρεῖν μὲν τῶν κοινῶν. προσέρχεσθαι δὲ τοῖς ἰδίοις. ἀλλ' ὅσον καὶ τούτοις ἐνδεῖ πρὸς τὸ τέλειον, εἴρηται πρόσθεν. οὐ γοῦν ἐπὶ παίδων, ἢ γυναικῶν, ἢ γερόντων, ἢ μαλακὴν ἐχόντων καὶ λευκὴν τὴν σάρκα, καὶ ὅσα τοιαῦτα, ὡς ἐκεῖνοι ποιοῦσι, προσδιοριστέον ἐστὶν, ἀλλ' ὅπως ὑγρότητος, ἢ ξηρότητος ἔχει τὸ σῶμα. τοὺς μὲν οὖν ἐμπειρικοὺς ἰατροὺς, ἄλλων τε πολλῶν ἕνεκεν ἀποδέχεσθαι χρὴ, καὶ μάλισθ' ὅταν προσέρχεσθαι πειρῶνται καθόσον ἐγχωρεῖ τῇ τοῦ κάμνοντος ἰδιότητι. μετὰ γὰρ τοὺς ἄλλους διορισμοὺς ἅπαντας οὓς διορίζονται, καὶ τὸν ἀπὸ τῶν ἐθῶν ἐπάγουσιν, ὡς κἀντεῦθεν εὐπορήσαντες, οἰκειοτέρων τῷ κάμνοντι βοηθημάτων. εἰρήσεται δ' ἡμῖν ἐν τοῖς ἑξῆς ἐπὶ πλέον ὑπὲρ τῶν ἐθῶν, ἀποδεικνύουσιν ὑπὲρ τοῦ γνῶναι τὴν ἰδιότητα τῆς τοῦ κάμνοντος φύσεως, ἐξευρῆσθαι τοῖς παλαιοῖς καὶ τὸν ἀπὸ τοῦ ἔθους διορισμόν. τοῦτον οὖν ἐπὶ τοῖς ἄλλοις οἱ ἐμπειρικοὶ παραλαμβάνουσι, καὶ πρὸς τούτῳ, καὶ αὐτὸν τὸν ἰατρὸν, εἰ πολλάκις εἴη παραγεγονὼς τῷ νοσοῦντι, βέλτιον ἂν ἰᾶσθαι φασὶ τοῦ μὴ παραγεγονότος. εἶθ' ὅταν ταῦτα πάντα προσθῶσιν, οὔπω βεβαίαν οὐδ' ἐπιστημονικὴν ἔχειν φασὶ τῆς ἰδίας τοῦ κάμνοντος ἰάσεως τὴν γνῶσιν. ὁ δ' ἀναισχυντότατος Θετταλὸς ἓν μόνον εἰδὼς, ὅτι τὸ κοῖλον ἕλκος πληρωτέον, ἑστῶτά τε καὶ βέβαια φησὶ τὰ τῆς ἰατρικῆς εἶναι θεωρήματα. καίτοι τοῦτό γε πάντες, ὡς εἴρηται καὶ πρόσθεν, ἄνθρωποι γινώσκουσιν, οὐ νῦν μόνον, ἀφ' οὗ Θετταλὸς ὁ δεύτερος Ἀσκληπιὸς εἰς ἀνθρώπους ἧκεν, ἀλλὰ καὶ οἱ πρὸ Δευκαλίωνος οἶμαι, καὶ Φορωνέως, εἴπερ γε κἀκεῖνοι λογικοί τε ἦσαν. ἀλλὰ πρὸς τῷ γινώσκειν ὡς σαρκωτέον ἐστὶ τὸ κοῖλον ἕλκος, ἔτι κἀκεῖνο συνίεσαν, ὡς ὁ γινώσκων τὰ φάρμακα τὰ σαρκοῦντα τοιοῦτον ἕλκος, ἐκεῖνος ἰατρός ἐστιν. εἰ μὲν οὖν ἐξ ἐμπειρίας εὕρηται ταῦτα, δῆλον ὡς ἐμπειρικῶς ἡμῖν ἰατρευτέον ἐστίν. εἰ δὲ ἐκ λόγου, λογικῶς. οὐ γὰρ δὴ ἄλλο μὲν εὕρηκεν, ἄλλῳ δέ τινι νῦν ἐπιδεξίως χρήσεται. ἀλλὰ περὶ μὲν τούτου, πρὸς τοὺς ἐμπειρικούς ἐστιν ἡ ἀμφισβήτησίς τις ἡμῖν. ὅπερ δὲ λέγων ἀπέλιπον, ἡ ὄντως ἰατρικὴ, τῆς τοῦ κάμνοντος ἐστόχασται φύσεως. ὀνομάζουσι δὲ οἶμαι τοῦτο πολλοὶ τῶν ἰατρῶν, ἰδιοσυγκρασίαν, καὶ πάντες ἀκατάληπτον ὁμολογοῦσιν ὑπάρχειν. καὶ διὰ τοῦτο καὶ αὐτὴν τὴν ὄντως ἰατρικὴν, Ἀσκληπιῷ καὶ Ἀπόλλωνι παραχωροῦσιν. ἤρτηται δὲ ὁ λόγος οὗτος σύμπας, ἀπὸ διττῶν ἀρχῶν. ἀπὸ μὲν τῶν ἐναργῶς φαινομένων, τοῖς ἐμπειρικοῖς τε καὶ τηρητικοῖς. ἀπὸ δὲ τῶν στοιχείων, τοῖς λογικοῖς. ὅτι τε γοῦν ἄλλον ἄλλο φάρμακον ὠφελεῖ, σχεδὸν ἤδη καὶ οἱ παῖδες ἐπίστανται. συμφωνεῖ τε τούτῳ καὶ ὁ ἀπὸ τῶν στοιχείων λογισμός. εἰ γὰρ ὑπόθοιο πεντεκαίδεκα διαφορὰς εἶναι κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν ταῖς κράσεσι τῶν ἀνθρώπων ἐπὶ μόνης τῆς ὑγρᾶς φύσεως, ἀνάγκη δήπουθεν καὶ τῶν φαρμάκων, οἷς μέλλεις χρῆσθαι, πεντεκαίδεκα διαφορὰς ἐπίστασθαι. καὶ τὰς μὲν μᾶλλον. τὰς δὲ ἧττον ξηραινούσας. ἵν' ἑκάστῃ φύσει τὸ προσῆκον ἐξευρίσκεις. εἰ δὲ καὶ τῆς ξηροτέρας φύσεως ἄλλας πεντεκαίδεκα διαφορὰς ὑποθέμενος, ὡσαύτως κἀπ' ἐκείνης ἄλλων πεντεκαίδεκα δέοιο φαρμάκων, ἔσται σοι τὰ πάντα τριάκοντα φάρμακα, πρὸς τριάκοντα φύσεις ἡρμοσμένα. καὶ τούτοις προσηκόντως χρῆσθαι δυνήσεται μόνος, ὁ περὶ κράσεως σωμάτων ἀκριβῶς ἐπεσκεμμένος. ἆρ' οὖν εἰ μὲν ὅλον τὸ σῶμα εἴη ξηρότερον τὴν κρᾶσιν, ὑπὸ τῶν ξηραντικωτέρων ὠφεληθήσεται φαρμάκων.

εἰ δὲ μόριον αὐτό τι τῶν ἄλλων φύσει ξηρότερον ὑπάρχει, τῶν ἧττον ξηραινόντων δεήσεται. ἢ πρόδηλον κἀνταῦθα, τὸ μὲν ξηρότερον τῇ κράσει μόριον, τῶν ξηραντικωτέρων, τὸ δ' ὑγρότερον, τῶν ἧττον ξηραινόντων προσδεῖσθαι. καὶ τοῦτ' οὖν ὅλον παραλέλειπται τοῖς ἀμεθόδοις Θεσσαλείοις, ἓν ἐπὶ παντὸς μορίου φάρμακον ἡγουμένοις ἁρμόττειν. οἱ δ' ἀπὸ τῆς ἐμπειρίας ὅσον πλεονεκτοῦσι κἂν τοῦτο τῶν Θεσσαλείων μεθοδικῶν, τοσοῦτον ἀπολείπονται τῶν ὄντως μεθοδικῶν τε καὶ λογικῶν. ἔχουσι γὰρ δὴ κἀκεῖνοι πρὸς τῆς πείρας διδαχθέντες, ἄλλο μὲν τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν, ἄλλο δὲ τῶν ἐν ὠσίν, ἢ ἄρθροις, ἢ σαρξίν, ἢ δέρματι μόνῳ φάρμακον. ἀλλ' ὅτι γε κἀνταῦθα μεταβαίνειν ἐφ' ἕτερον ἀδυνατήσουσιν, ἐκ τῶν ἔμπροσθεν εἰρημένων εὔδηλον. ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως διώρισται, πάλιν ἐπὶ τὴν ἀρχὴν ἀνέλθωμεν τοῦ λόγου, μιγνύντες ἁπάσας τὰς συμπιπτούσας ἕλκει διαθέσεις, ἀπὸ πρώτης ἀρξάμενοι τῆς δυσκρασίας. εἰ γὰρ ἤτοι πρόσθεν εἴη κατά τινα δυστυχίαν, ἢ καὶ παρ' αὐτὸν τῆς ἑλκώσεως τὸν χρόνον ἡ ἡλκωμένη σάρξ, γένοιτο θερμοτέρα τοῦ δέοντος, ἢ ψυχροτέρα, δεήσει τὸ φάρμακον οὐ μόνον ξηραίνειν μετρίως, ἀλλὰ καὶ θερμαίνειν ἢ ψύχειν εἰς τοσοῦτον, εἰς ὅσον ἡ ὑποκειμένη σάρξ ἐξέστη τοῦ κατὰ φύσιν. οὐ γὰρ ἐγχωρεῖ σάρκωσιν, ἢ πλήρωσιν, ἢ κόλλησιν, ἢ ἐπούλωσιν ἕλκους ὀρθῶς ποτε γενέσθαι τῆς ὑποκειμένης σαρκὸς ἐχούσης κακῶς. οὐδὲ εἰκῇ πρόσθεν ἐλέγομεν ἔργα φύσεως εἶναι σύμπαντα ταῦτα. κάθαρσιν μέν τοι τῶν ῥυπαρῶν καὶ καθαίρεσιν τῶν ὑπεραυξηθέντων ἐγχωρεῖ γενέσθαι καὶ χωρὶς τοῦ κατὰ φύσιν ἔχειν τὴν σάρκα. μόνων γὰρ τῶν φαρμάκων ἐστὶν ἔργα. διὸ καὶ μείζων ἡ πρόνοια γιγνέσθω σοι τῆς εὐκρασίας τῶν ἡλκωμένων μορίων, ὁπότε σαρκοῦν, ἢ κολλᾶν, ἢ ἐπουλοῦν ἐθέλεις αὐτά. σώζεσθαι γὰρ δεῖ τὰς κινήσεις τῆς φύσεως αἷς ἕπεται τῶν εἰρημένων ἕκαστον. οὐ σωθήσονται δ' ἄλλως εἰ μὴ πάντῃ κατὰ φύσιν ἔχοι τὸ μόριον. ὥσπερ οὖν εἰ φλεγμονή τις ἅμα τῷ ἕλκει τύχοι, πρὶν ταύτην λῦσαι σαρκοῦν, ἢ κολλᾶν, ἢ ἐπουλοῦν, οὐκ ἂν οὐδεὶς ἐπιχειρήσειεν αὐτό, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον εἰ καὶ χωρὶς φλεγμονῆς εἴη μόνη δυσκρασία τῶν εἰρημένων, οὐδὲν ἐλπίζομεν γενέσθαι πρὶν ἐκείνην ἰάσασθαι. πάλιν οὖν ἐντεῦθεν ἔνδειξίς τις εἰς τὴν τῶν ἔμπροσθεν εἰρημένων φαρμάκων εὕρεσιν γίνεται. ξηραίνοντα μὲν γάρ ἐστιν ἅπαντα, διαφέρει δ' ἀλλήλων ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. οὐ μὴν ὅπως γε τοῦ θερμαίνειν ἢ ψύχειν ἔχει εἴρηταί που πρόσθεν, ἀλλ' ἡ μέθοδος πῶς ἀναγκάζει καὶ τοῦτ' ἐρευνᾶσθαι. οὐ γὰρ ἁπλῶς εἰ ξηραῖνον, ἀλλ' εἰ μὴ καὶ σφόδρα θερμαῖνον ἢ ψῦχον ἐπισκέπτεσθαι χρή. φεύξῃ τοιγαροῦν ὑοσκύαμον, καὶ μανδραγόραν, καὶ κώνειον, ὡς πέρα τοῦ μετρίου ψύχοντα. καίτοι ξηραίνει γε εἰς τοσοῦτον, εἰς ὅσον ἕλκος ξηραίνεσθαι ὀφείλει. καὶ ῥητίνη, καὶ πίττα, καὶ ἄσφαλτος, εἰ καὶ ξηραίνει συμμέτρως, ἀλλὰ πέρα γε τοῦ προσήκοντός ἐστι θερμά. καὶ διὰ τοῦτο οὐκ ἄν τις αὐτοῖς χρήσαιτο μόνοις, ἀλλ' οὐδὲ τοῖς ἀτρέμα ψύχουσιν ἐπιμίξας, ἓν ἐξ ἁπάντων εὔκρατον ἀπεργάσασθαι φάρμακον. εἰ δὴ ταῦθ' οὕτως ἔχει, καθάπερ οὖν ἔχει, προσεπιβλέπειν δεήσει καὶ τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν. οἷον γὰρ φάρμακόν τι καὶ οὗτος ἔξωθεν προσπίπτων τοῖς σώμασιν ἐπειδὰν ἀμέτρως ἔχει θερμότητος ἢ ψύξεως, ἐμποδὼν ἵσταται τῇ θεραπείᾳ. χρὴ τοίνυν ἀντιπεπονθέναι τὰ φάρμακα ταῖς ἀμετρίαις αὐτοῦ. καὶ διὰ τοῦτο καὶ Ἱπποκράτης ψυχροτέροις μὲν τῇ δυνάμει χρῆται κατὰ τὰς θερμὰς ὥρας, θερμοτέροις δὲ κατὰ τὰς ψυχράς. οἶδα δὲ δή που κἀνταῦθα τῶν ἀναισθήτων τινὰ μεθοδικῶν ὁμολογήσαντα μὲν ἐπιβλέπειν ὅπως ἔχει θερμότητος ἢ ψύξεως ὁ περιέχων ἀὴρ τὸν κάμνοντα, μὴ μέν τοι τὰς ὥρας τοῦ ἔτους ἐπισκέπτεσθαι συγχωροῦντα, ὥσπερ τῶν ὀνομάτων τῶν κατὰ τὰς ὥρας βλαπτόντων ἢ ὠφελούντων, ἀλλ' οὐ τῆς κράσεως αὐτῶν, ἢ οὐ διὰ ταύτην ἀποβλεπόντων εἰς αὐτὰς τῶν παλαιῶν ἰατρῶν. ἀλλὰ γὰρ ὅτι μὲν ἀναγκαῖόν ἐστι τῷ μέλλοντι μεθόδῳ τινὶ θεραπεύσειν ἕλκος ἐπί τε τὰ στοιχεῖα πρῶτα καὶ μάλιστα παραγίνεσθαι, καὶ τὰς ὥρας τοῦ ἔτους καὶ τὰς κράσεις τῶν σωμάτων ὅλων τε καὶ κατὰ τὰ μόρια ἐπιβλέπειν, ἱκανῶς οἶμαι δεδεῖχθαι. πάλιν δ' ἀναμνηστέον κἀνταῦθα τὸ καὶ πρόσθεν εἰρημένον ἐπὶ τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν ἐνδείξεως. ὡς γὰρ ἐπ' ἐκείνων ἡ μὲν ὑγροτέρα φύσις ὑγροτέρων ἐδεῖτο τῶν φαρμάκων, ἡ δὲ ξηροτέρα, ξηροτέρων, οὕτως καὶ νῦν ἡ μὲν θερμοτέρα, θερμοτέρων, ἡ δὲ ψυχροτέρα, ψυχροτέρων δεήσεται. ἔμπαλιν δὲ τῆς ἐνδείξεως γιγνομένης ἀπὸ τῶν παρὰ φύσιν τε καὶ κατὰ φύσιν. τὰ μὲν γὰρ κατὰ φύσιν, ὁμοίων ἑαυτοῖς ἐστὶν ἐνδεικτικά, τὰ δὲ παρὰ φύσιν, ἐναντίων. εἴγε τὰ μὲν φυλάττεσθαι, τὰ δέ, διαφθείρεσθαι χρή. τὸ μὲν οὖν καὶ τὰς κράσεις τῶν σωμάτων, καὶ τὰς ὥρας τοῦ ἔτους, καὶ τὰς φύσεις τῶν μορίων ἐπιβλέπειν χρῆναι τὸν μέλλοντα καλῶς ἕλκος ἰάσασθαι, δεδεῖχθαί μοι νομίζω σαφῶς. καὶ ὁ μὲν πρῶτος σκοπὸς τῆς ἰάσεως, ἐκ τῆς διαθέσεως λαμβάνεται μόνης. ἐξευρεῖν δὲ οὐκ ἐντεῦθεν ἐγχωρεῖ τὰ βοηθήματα, πρὶν ἐπί τε τὰ στοιχεῖα τῶν σωμάτων ἀναβῆναι, καὶ τοῦ κάμνοντος ἐπισκέψασθαι τὴν κρᾶσιν, ὅλου τε τοῦ σώματος, καὶ τοῦ πεπονθότος μέρους, εὐθὺς αὐτῷ καὶ τὴν τοῦ περιέχοντος κρᾶσιν συνεπισκεπτομένους. ἥτις ἐκτείνεται κἀπὶ τὰς ἐπιδήμους καταστάσεις, καὶ προσέτι τὰς χώρας. ὅτι δὲ πολλάκις ἐναντίαι ἐνδείξεις γίγνονται κατὰ μίαν θεραπείαν, ὅπως τε χρὴ μεταχειρίζεσθαι τὰς τοιαύτας, εἰρήσεται μὲν ἐπὶ πλέον ἐν τοῖς ἐφεξῆς. εἴη δ' ἂν οὐκ ἀπὸ τρόπου καὶ νῦν ἐπὶ βραχὺ διελθεῖν ὑπὲρ αὐτῶν. οὐδὲν γὰρ οἶμαι θαυμαστὸν ὑγροτέραν μὲν ὑπάρχειν τὴν κρᾶσιν τοῦ κάμνοντος αὐτὸ δὲ τὸ πεπονθὸς μόριον ξηρότερον. ἢ τοῦτο μὲν ὑγρότερον, ἅπασαν δὲ τὴν κρᾶσιν, ξηροτέραν. ὡσαύτως δὲ καὶ κατὰ θερμότητα καὶ ψύξιν ὑπεναντίως ἔχειν τῇ κράσει τὸ μόριον πρὸς τὸ ὅλον. ὥσπερ οὖν εἰ τὸ πᾶν σῶμα τῆς μέσης ὑπῆρχε κράσεως, ἣν ἀρίστην ἐδείκνυμεν, οὐδὲν ἂν ἕνεκά γε τῆς τοῦ κάμνοντος φύσεως ἐνεωτερίζομεν ἐν τοῖς φαρμάκοις, οὕτως ἐπειδὰν ἤτοι ξηρότερον, ἢ ὑγρότερον, ἢ ψυχρότερον, ἢ θερμότερον ᾖ τοῦ δέοντος, ἐπιτείνειν εἰς τοσοῦτον χρὴ τὰς δυνάμεις τῶν φαρμάκων, εἰς ὅσον καὶ τὸ σῶμα φυσικῆς ἐπείληπται δυσκρασίας. οὐ γὰρ δὴ ἐπιλελήσμεθά γε τίς μὲν ἡ φυσικὴ δυσκρασία, τίς δ' ἡ παρὰ φύσιν. εἴρηται γὰρ ὑπὲρ αὐτῶν ἐν ἄλλοις, καὶ μάλιστ' ἐν τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας γράμματι. φέρε τοίνυν ὅλην τὴν κρᾶσιν τοῦ κάμνοντος σώματος ὑγροτέραν εἶναι, καὶ διὰ τοῦτο δεῖσθαι τῶν ἧττον ξηραινόντων φαρμάκων. αὐτὸ δὲ τὸ πεπονθὸς μόριον, τῶν φύσει ξηροτέρων ὑπάρχειν οἷάπερ ἐλέγομεν εἶναι τὰ ἧττον σαρκώδη. τοιαῦτα δ' ἐστί, τά τε κατὰ τοὺς δακτύλους, καὶ τὰ ἄρθρα, καὶ τὰ ὦτα, καὶ τὴν ῥῖνα, καὶ τοὺς ὀφθαλμούς, καὶ τοὺς ὀδόντας, ἁπλῶς δ' εἰπεῖν, ἵνα χόνδροι πολλοί, καὶ ὑμένες, καὶ σύνδεσμοι, καὶ ὀστᾶ, καὶ νεῦρα, πιμελὴ δὲ καὶ σάρξ, ἢ οὐδ' ὅλως,

ἢ ἐλα-

ἡ ἐλαχίστη. διάφορος δ' ἐν τούτοις ἡ ἔνδειξις ἀπό τε τοῦ πεπονθότος μέρους ἐστί, καὶ τῆς φύσεως τοῦ κάμνοντος. ὥστε εἰ μὲν ὅσῳ τοῦ κάμνοντος ἡ κρᾶσις ὑγροτέρα πέφυκε τοῦ συμμέτρου, τοσούτῳ καὶ τὸ μόριον εἴη ξηρότερον τοῦ συμμέτρου, μήτε προσθεῖναί τι, μήτ' ἀφαιρεῖν τοῦ φαρμάκου. τοιοῦτον δὲ προσφέρειν, οἷον ἂν ἐπὶ τοῦ συμμέτρου τῇ κράσει σώματος, ἐν συμμέτρῳ τῇ κράσει μορίῳ γεγονότος ἕλκους παρελάβομεν. εἰ δὲ πλέον εἴη τὸ μόριον τοῦ μετρίου ξηρότερον, ἢ ὅσῳ τοῦ σώματος ἡ κρᾶσις ὑγροτέρα, τοσοῦτον ἐπιτείνεσθαι χρὴ ξηρότητι τὸ φάρμακον, ὅσον ὑπερβάλλει τὸ μόριον τῆς ὅλης κράσεως. οἷον εἰ τέσσαρσι μὲν ἀριθμοῖς εἴη τὸ ἡλκωμένον μέρος ξηρότερον τοῦ συμμέτρου, τρισὶ δ' ἀριθμοῖς ἡ φύσις τοῦ νοσοῦντος ὑγροτέρα τῆς εὐκράτου, πρόδηλον ὡς ἑνὶ τοῦ συμμέτρου μορίου τὸ νῦν ἡλκωμένον ἔσται ξηροτέρου δεόμενον φαρμάκου. ὅτι δὲ ἅπαντα ταῦτα στοχασμῷ λαμβάνεται, καὶ ὅτι κάλλιστα δυνατός ἐστι στοχάζεσθαι ὁ γεγυμνασμένος ἐν τοῖς περὶ τούτων λογισμοῖς, ἄντικρυς δῆλον. ἐπὶ μὲν δὴ τῶν τοιούτων ἁπάντων, ἐναντίαι πολλάκις ἐνδείξεις καθ' ἕνα γίνονται χρόνον. οὐδὲν γὰρ ἔτι δέομαι λέγειν, ὑπὲρ τῶν κατὰ θερμόν τε καὶ ψυχρὸν ἐνδείξεων ἀνάλογον τοῖς εἰρημένοις νοεῖσθαι δυναμένων. ἐφ' ἑτέρων δὲ, καὶ τοῖς χρόνοις ἐφ' οἷς αἱ ἐνδείξεις τέμνονται, καὶ χρὴ τὴν μὲν ἡσυχάσαι κατά γε τὴν ἀρχὴν τῆς θεραπείας, ἐνεργῆσαι δὲ ἑτέραν. οἷον ὅταν ἕλκος ᾖ κοῖλόν τε ἅμα καὶ ἱκανῶς ῥυπαρόν. αἱ μὲν γὰρ διαθέσεις αἱ παρὰ φύσιν, ἐν τούτῳ τρεῖς εἰσιν. ἕλκος, καὶ κοιλότης, καὶ ῥύπος. ἡ δὲ τῆς ἰάσεως τάξις, ἀπὸ τῆς ἀναιρέσεως τοῦ ῥύπου τὴν ἀρχὴν ἔχει. τῷ μήτε κολληθῆναί τι, μήτε σαρκωθῆναι δύνασθαι, πρὶν καθαρὸν γενέσθαι. δευτέραν δὲ χώραν ἡ τῆς κοιλότητος ἴασις ἔχει. εἰ γὰρ ἤτοι κολλήσαιμεν, ἢ ἐπουλώσαιμεν, ἢ καθόλου φάναι θεραπεύσαιμεν τὸ ἕλκος, οὐκέτι ἐγχωρεῖ πληρῶσαι τὴν κοιλότητα. φέρε τοίνυν μὴ μόνον ταῦτ' εἶναι τὰ τρία περὶ τὸ μέρος, ἀλλὰ καὶ φλεγμονὴν, ἢ ἐρυσίπελας, ἢ γάγγραιναν, ἤ τινα δυσκρασίαν ἁπλῆν, ἢ σύνθετον, ἆρ' οὐκ ἐνταῦθα πρόδηλον, ὡς εἰ μή τις πρότερον ἐκείνην ἰάσαιτο, πληρῶσαι σαρκὶ τὸ κοῖλον ἕλκος οὐκ ἐγχωρεῖ; λέλεκται γὰρ καὶ πρόσθεν ὡς ἡ τῆς σαρκὸς γένεσις ἐκ τῆς ὑποκειμένης ἀρχεται τῆς ὑγιοῦς. ἐκ φλεγμαινούσης δὲ καὶ δυσκράτου καὶ ἁπλῶς εἰπεῖν νοσούσης, οὐκ ἐγχωρεῖ γεννηθῆναι νέαν σάρκα. σκοπὸς οὖν ἐν ἁπάσαις ταῖς τοιαύταις ἐπιπλοκαῖς, ἔστω σοι τριττός. εἷς μὲν ὡς ὁ ἐξ αἰτίων τοῦ μέλλοντος ἔσεσθαι λαμβανόμενος. ὁ δὲ ἕτερος, ὡς ὁ τῶν ὧν οὐκ ἄνευ λόγον ἔχων. ὁ δὲ τρίτος, ὡς ὁ τῶν ἐπειγόντων τε καὶ κατεπειγόντων ὀνομαζόμενος. ἡ μὲν γὰρ εὐκρασία τῆς ὑποκειμένης σαρκὸς, αἰτίας λόγον ἔχει, συμφύουσά τε τὸ ἡλκωμένον αὐτῇ, καὶ ἀναπληροῦσα τὸ κοῖλον. ἡ δὲ καθαρότης τοῦ ἕλκους, τῶν ὧν οὐκ ἄνευ λόγου. καὶ ταύτην ὁ ῥύπος διακόπτων, κωλύει τὴν θεραπείαν. ἔχει δὲ καὶ αὐτὸ τὸ ἕλκος, ὡς πρὸς τὴν κοιλότητα τῶν ὧν οὐκ ἄνευ λόγου. εἰ γὰρ εἰς οὐλὴν ἀχθείη τὸ ἕλκος, οὐκέθ' οἷόν τε σαρκῶσαι τὴν κοιλότητα. πρὸς ταῦτ' οὖν ἀποβλέπων, ἐξευρήσεις τὴν τάξιν τῆς ἰάσεως. οἷον ἡ φλεγμονὴ, καὶ κοιλότης, καὶ ἕλκος, καὶ ῥύπος, ἅμα κατὰ ταυτὸν ὑπάρχει μόριον. ὅτι χρὴ πρῶτον μὲν τὴν φλεγμονὴν. δεύτερον δὲ τὸν ῥύπον. τρίτον δὲ ἰᾶσθαι τὴν κοιλότητα. καὶ τέταρτον, τὸ ἕλκος. ἐν μὲν δὴ τοῖς εἰρημένοις, ἥ τε τάξις, καὶ ἡ τῶν σκοπῶν εὕρεσις ἐντεῦθεν. ὁ δὲ τοῦ κατεπείγοντος σκοπὸς, ἐν τούτοις μὲν οὐκ ἔστιν, ἐν ἄλλοις δ' ἐστίν. ἀφ' ἧς γὰρ κινδυνεύει πρώτης καὶ μάλιστα διαθέσεως ὁ ἄνθρωπος, ἐκείνην πρῶτον ἰατέον. ἐνίοτε δὲ οὐ πρώτην μόνον, ἀλλὰ καὶ μόνην αὐτήν. οἷον εἰ νυγείσης κεφαλῆς μυὸς, ἀκολουθήσειε σπασμός, εἶτα πρὸς μηδενὸς τῶν οἰκείων ἰαμάτων καθίσταιτο. διατεμὼν γὰρ ὅλον τὸν μῦν ἐγκάρσιον, ἰάσῃ μὲν τὸν σπασμὸν, ἀλλὰ στερήσεις τινὰ τῶν τοῦ μορίου κινήσεων. οὕτω δὲ καὶ φλεβὸς ἢ ἀρτηρίας αἱμορραγούσης ἀμέτρως, ὁ διατεμὼν ὅλον ἐγκάρσιον τὸ ἀγγεῖον, οὐκέτι μὲν ἰᾶσθαι δύναται τὸ ἕλκος αὐτοῦ. τὸν δ' ἐκ τῆς αἱμορραγίας κίνδυνον ἐπέσχεν. ἀλλὰ καὶ νεῦρον νυγὲν, ἀναγκαζόμεθα πολλάκις ἐγκάρσιον διακόπτειν, ὅταν ἤτοι σπασμοὺς, ἢ παραφροσύνας, ἢ ἀμφότερα μεγάλα καὶ δυσίατα βλέπωμεν ἑπόμενα τῇ τρώσει. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐξάρθρημα μεθ' ἕλκους ἐπειδὰν γένηται, κατά τι τῶν μειζόνων ἄρθρων, τὸ μὲν ἕλκος ἰώμεθα, τὸ δὲ ἐξάρθρημα, καταλείπομεν ἀνίατον. ὅτι καὶ τούτων ἐμβληθέντων ἰᾶσθαι, σπασμοὶ τοὐπίπαν ἕπονται. τρίτος οὖν οὗτος σκοπός ἐστιν ὁ πρὸς τὸ κατεπεῖγον γιγνόμενος, ἕτερος ἐκείνων τῶν δύο, τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων. οὐ γὰρ ταυτόν ἐστιν, ἢ ὡς αἴτιόν τι σκοπεῖν, ἢ ὡς τὸν ὧν οὐκ ἄνευ λόγον ἔχον, ἢ ὡς κατεπεῖγον, ἀλλὰ καὶ ὡς τὸ κατεπεῖγον ἐνίοτε τοιοῦτόν ἐστιν, ὡς ἀνίατον ἀναγκάζειν ἑτέραν ἀπολιπέσθαι διάθεσιν εἴρηται. καὶ ὡς ἡ διάθεσις αὕτη πολλάκις ὑφ' ἡμῶν αὐτῶν γίνεται. ὥσπερ μὲν ἐπὶ τῶν νενυγμένων νεύρων, ἢ τεμνόντων, ἢ αἱμορραγούντων ἀγγείων. ὥσπερ δὲ ἐπὶ τῶν κατὰ τὰς κεφαλὰς τετρωμένων μυῶν, ἐπὶ μὲν γὰρ ἐξαρθρήματος ἅμα καὶ ἕλκους, οὐκ αὐτὸ ποιοῦμεν, ἀλλὰ μόνον οὐκ ἰώμεθα τὸ γενόμενον. εἰρήσεται δὲ κἀν τοῖς ἑξῆς ἔτι περὶ τούτων ἐπιμελέστερον. ἐν γὰρ τῷ παρόντι, συγκεφαλαιώσασθαι βούλομαι τὸν ἐνεστῶτα λόγον, ἐπὶ τὰς οἰκείας διαφορὰς τῶν ἑλκῶν ἐπανελθών. ἵν' εἴ τις κἀντεῦθεν ἔνδειξις ἰαμάτων ἐστὶ, μὴ δὲ ταύτην παραλίπωμεν. τὸ μὲν οὖν φλεγμαῖνον ἕλκος καὶ τὸ σηπόμενον, ἀναβιβρωσκόμενόν τε καὶ γαγγραινούμενον, ἐρυσιπελατῶδές τε καὶ καρκινῶδες, ἀνώδυνόν τε καὶ ὀδυνῶδες, τάτ' ἄλλα τοιαῦτα λέγουσιν ὡς διαφορὰς ἑλκῶν. εἰ μὲν ἄλλως τις διέρχοιτο θεραπείαν ἐμπειρικὴν ἀναγράφων, οὐκ ἀμφισβητητέον αὐτῷ διαφορὰς ἑλκῶν ὀνομάζοντι. μυριάκις γὰρ εἴρηται τὸ μὴ δεῖν ὑπὲρ τῶν ὀνομάτων ἐρίζειν. εἰ δ' ὡς ἐντεῦθεν μέλλον ἐρεῖν τι τεχνικὸν ὑπὲρ ἐνδείξεων, ἐπιδεικτέον αὐτῷ τὰς μὲν εἰρημένας ἁπάσας διαθέσεις ὑπάρχειν συνθέτους. ἄλλας δ' εἶναι διαφορὰς ἕλκους ἁπλοῦ καὶ μόνου, χωρὶς ἑτέρας τινὸς ἐπιπεπλεγμένης αὐτῷ διαθέσεως. εἰ γὰρ ἁπλῶς διαιρέσεως γενομένης ὑπό τινος ὀξέος τὸ σχῆμα τὸ τρώσαντος ἐναπομαχθείη τῷ διῃρημένῳ, γένοιτ' ἂν οὕτως ἑλκῶν διαφοραὶ πολλαὶ, λοξῶν, εὐθειῶν, ἑλικοειδῶν, ἀγκιστροειδῶν, ἄλλως ὁπωσοῦν ἐχόντων. αὗται μὲν οὖν αἱ διαφοραὶ πᾶσαι παρὰ τὸ σχῆμα. παρὰ δ' αὖ τὸ μέγεθος, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον, ἕτεραι μυρίαι. καὶ γὰρ μικρὸν, καὶ μέγα, καὶ μεῖζον, καὶ μικρότερον ἕλκος ἕλκους λέγεταί τι καὶ γίνεται. καὶ μὲν δὴ καὶ βραχὺ καὶ μακρὸν, ἐπιπολῆς τε καὶ βαθὺ, καὶ καθ' ἕκαστον αὐτῶν, τὸ μᾶλλόν τε καὶ ἧττον, ἐν τῇ κατὰ τὸ μέγεθος, ἢ τὸ πηλίκον, ἢ τὸ ποσὸν, ἢ ὅπως ἂν ἐθέλοι τις ὀνομάζειν, διαφορά. καὶ εἴπερ ταῦτα οὕτως ἔχει, πάντως δήπου καὶ ὁμαλὲς καὶ ἀνώμαλον ἕλκος ἐν τῷ βάθει τῆς διαιρέσεως ἔσται. κατὰ μῆκος γὰρ, εἰ οὕτως ἔτυχεν, ἀνεσχισμένου τοῦ μυὸς, τὸ μὲν ἄνω μέρος τῆς διαιρέσεως, ἐνδέ-

χεται βαθύ, τὸ κάτω δέ, ἐπιπόλαιον ὑπάρχειν, ἢ ἔμπαλιν, ἐπιπολῆς μὲν τὸ ἄνω, βαθὺ δ' εἶναι τὸ κάτω. καὶ μὲν δὴ καὶ τὸ διεσπάσθαι κατά τι τοὐπίπαν, καὶ διατετμῆσθαι, καὶ τοῦ τρώσαντος ὑποδύντος ὑπὸ τὸ δέρμα λοξόν, μέρος μέν τι τοῦ ἕλκους φαίνεσθαι, μέρος δ' ἕτερον ὑπὸ τῷ δέρματι κατακεκρύφθαι. καὶ τὸ ψιλὸν ἢ ἐκ τῶν ἄνωθεν εἶναι μερῶν, ἢ ἐκ τῶν κάτωθεν, ἢ ἐκ τῶν πλαγίων, ἅπαντα καὶ ταῦθ' ἑλκῶν εἰσι διαφοραί. παρὰ δ' αὐτὸν χρόνον, ἕτεραι διαφοραὶ τῶν ἑλκῶν. ἔναιμον καὶ πρόσφατον, ὀλιγοχρόνιόν τε καὶ πολυχρόνιον. ἐν ἅπασι δ' αὐτοῖς τὸ μᾶλλόν τε καὶ ἧττον, πάμπολυ. κατὰ μὲν αὐτὴν τοῦ ἕλκους τὴν φύσιν, αὗται διαφοραί, κυριώταται μέν, αἱ κατὰ τὴν οὐσίαν τοῦ πράγματος, εἴτε παρὰ τὸ σχῆμα, καὶ ἡ παρὰ τὸ ποσὸν τῆς διαιρέσεως. ἤτοι κατὰ τὸ μῆκος, ἢ βάθος, ἢ κατ' ἀμφοτέρας τὰς διαστάσεις, ὁμαλότητά τε καὶ ἀνωμαλίαν τὴν ἐν τούτοις. ἔξωθεν δὲ προσιοῦσαι τῶν ὧν οὐκ ἄνευ λόγον ἔχουσαι παρά τε τὸν χρόνον ἐν ᾧ τὸ ἕλκος. οὕτω γὰρ τὸ μέν, πρόσφατον καλεῖται, τὸ δέ, παλαιόν. καὶ παρὰ τὸ φαίνεσθαί τε καὶ μὴ φαίνεσθαι πᾶν ἢ μέρος. ἤδη δὲ καὶ παρὰ τὸν τῆς γενέσεως τρόπον, ἐν τῷ τμηθῆναι πᾶν, ἢ διασπασθῆναι πᾶν. ἤ τι μὲν τετμῆσθαι μέρος αὐτοῦ, διεσπάσθαι δ' ἕτερον. εἰ δὲ καὶ τὰς παρὰ τὸν τόπον ἐν ᾧ γέγονε τὸ ἕλκος ἐκλογίζοιο διαφοράς, οἷον εἰ πέρας μυός, εἰ ἀρχὴ μυός, εἰ τὸ μέσον τοῦ μυός, εἰ δέρμα ἐστὶ τὸ ἡλκωμένον, εἰ ἧπαρ, ἢ γαστήρ, εἴησαν ἂν δή που καὶ αὗται διαφοραὶ τῶν ἑλκῶν. ταῦτα μὲν οὖν οὕτως ἔχει, οὐκ ἀπὸ τῆς οἰκείας αὐτῶν φύσεως, ἀλλ' ἀπὸ τῶν χωρίων ἐν οἷς συνίστανται τὴν γένεσιν ἔχουσαι. ὅταν δ' εἴποι τις ἤτοι φλεγμαῖνον ἕλκος, ἢ ὑπερσαρκοῦν, ἢ κοῖλον, οἴεται παραπλησίας εἰρηκέναι διαφορὰς ἑλκῶν, ἃς νῦν ἤδη πέπαυμαι λέγων, οὗτος ἐξ ἀνάγκης ἐν τῇ θεραπευτικῇ μεθόδῳ σφαλήσεται. τὸ γοῦν φλεγμαῖνον ἕλκος οὑτωσὶ λεγόμενον, ὅμοιον μὲν ἔχει τὸ τῆς ἑρμηνείας σχῆμα τῷ μικρὸν ἕλκος, οὐ μὴν τό γε δηλούμενον ὅμοιον ὑπάρχει. τὸ μὲν γὰρ ἐπιπολῆς ἢ βαθὺ κατηγορήσαντες τοῦ ἕλκους, οἰκείαν αὐτοῦ διαφορὰν ἐμηνύσαμεν. τὸ φλεγμαῖνον δ' οὐδόλως ἐστὶν ἕλκους διαφορά. δύναται γὰρ φλεγμῆναι μόριον καὶ χωρὶς ἕλκους. ὅθεν οἶμαι καὶ τὴν λέξιν, ἐνταυθοῖ μὲν ὑπαλλάξαι δυνατόν. εἰ γὰρ εἴποις ἕλκος τῷ δέ τινι γεγονέναι μετὰ φλεγμονῆς, οἰκειότερόν γε τῷ πράγματι καὶ σαφέστερον ἑρμηνεύσεις. οὐ μὴν εἰ φαίης μετὰ μεγέθους μὲν τῷ δέ, μετὰ σμικρότητος δέ, ἄλλῳ γεγονέναι. καὶ γὰρ οἰκειότερόν τε τῷ πράγματι καὶ σαφέστερον ἑρμηνεύσεις, εἰ τῷ δὲ μέν τινι φαίης ἕλκος μέγα γεγονέναι, τῷ δ' αὖ μικρόν. ὅθεν εἰ οἷόν τ' ἦν καὶ τὴν λέξιν ὑπαλλάττειν ὡς καὶ τῷ λεγομένῳ πράγματι πρεπωδεστέραν ἐργάζεσθαι, καὶ τοῖς ἀκούουσι σαφεστέραν, οὐ χρὴ κατοκνεῖν οὕτω ποιεῖν. ἀρχὴ γὰρ τοῦ μὴ σφάλλεσθαι περὶ τὰ πράγματα, τὸ καὶ τῇ λέξει χρῆσθαι διωρισμένῃ. τίς οὖν ἐν τοῖς τοιούτοις ἡ μέθοδος; εἰπεῖν γὰρ χρὴ παράγγελμά τι, καὶ οἷον σκοπὸν ᾧ προσέχοντες τὸν νοῦν, ἀεὶ δυνησόμεθα διορίζεσθαι ταχέως, εἴτε διαφορὰν εἴρηκέ τις ἡστινοσοῦν διαθέσεως, εἴτ' ἐπιπλοκὴν ἑτέρας. ἔστω δή σοι διορισμὸς ὅδε. τὸ δυνάμενον ἰδίᾳ ποτὲ καὶ καθ' ἑαυτὸ συστῆναι, τοῦτ' οὐκ ἄν ποτε γένοιτο τῶν ἄλλων οὐδενὸς διαφορά. μέγεθος μὲν οὖν καὶ σμικρότης, ὁμαλότης τε καὶ ἀνωμαλία, καὶ χρόνος, καὶ σχῆμα, τῶν ἑτέροις συμβεβηκότων ἐστίν. ἕλκος δέ, καὶ φλεγμονή, καὶ γάγγραινα, καὶ σηπεδών, ἕκαστον ἰδίᾳ τε καὶ καθ' αὑτὸ δύναται συστῆναι, διαθέσεις γάρ τινές εἰσι τοῦ σώματος ἡμῶν παρὰ φύσιν, οὐ τὰ ταῖς διαθέσεσιν ἐξ ἀνάγκης συμβεβηκότα. πᾶσι γὰρ τοῖς εἰρημένοις ἐξ ἀνάγκης συμβέβηκεν, ἤτοι μικροῖς ἢ μεγάλοις ὑπάρχειν, ἢ ὁμαλέσιν ἢ ἀνωμάλοις, ἢ προσφάτοις, ἢ παλαιοῖς, ἢ φαίνεσθαι προχείρως, ἢ κεκρύφθαι καὶ μὴ βλέπεσθαι. τὸ φλεγμαίνειν δ' οὐκ ἔστι τῶν συμβεβηκότων ἕλκει, καθάπερ οὐδὲ τὸ σήπεσθαι καὶ γαγγραινοῦσθαι. πάντα γὰρ ταῦτ' ἐστὶν ἐκ τοῦ τῶν νοσημάτων γένους, εἴγε παρὰ φύσιν εἰσὶ διαθέσεις, καὶ βλάπτουσιν ἐνέργειαν. ἑτέρῳ δ' αὖ πάλιν τρόπῳ ἕλκος ὀδυνώμενον, ἢ ἕλκος ῥυπαρὸν λέγεται μὲν ὥς τις ἕλκους διαφορά. σύνθετον δέ τι δηλοῦται κἀνταῦθα, πλὴν ἕτερον τρόπον, ἢ ὡς φλεγμαῖνον ἕλκος ἐλέγετο καὶ σηπόμενον. ἐκεῖ μὲν γοῦν διάθεσις ἡ φλεγμονὴ καὶ ἡ σηπεδών. ἐνταυθοῖ δὲ ὅ, τε πόνος, καὶ ὁ ῥύπος ἐκ τοῦ τῶν συμπτωμάτων γένους. οὕτω δὲ κἀπειδὰν εἴποι τις ἕλκος, ἢ κακόχυμον, ἢ ῥευματικόν, ἢ ἀναβιβρωσκόμενον, αἰτίαν συνεμφαίνει τῇ διαθέσει. καὶ δῆλον ἐκ τῶν τοιούτων ὡς οἷα στοιχεῖά τινα τῆς θεραπευτικῆς ἐστι μεθόδου τὰ πρῶτά τε καὶ ἁπλᾶ, καὶ ἀσύνθετα νοσήματα. καὶ διὰ τοῦτ' ἐν τῷ περὶ τῆς διαφορᾶς τῶν νοσημάτων ὑπομνήματι, πάντ' ἐξηριθμησάμεθα ταῦτα. διοίσει δ' οὐδὲν ἢ πρῶτα λέγειν, ἢ ἁπλᾶ. καὶ γὰρ εἰ πρῶτον, ἁπλοῦν, καὶ εἰ ἁπλοῦν, πρῶτον. ὥστε καὶ στοιχειώδη. ἔνδειξις δὲ ἰάσεως, ἀπὸ τῶν διαφορῶν οὐχ ἁπασῶν γίνεται. τὸ γὰρ πρόσφατον ἢ παλαιὸν ἕλκος, οὐδὲν ἐνδείκνυται, καί τοι δοκεῖ τισίν, ἀλλὰ παραλογίζονται σφᾶς αὐτούς, ὡς κἀν τοῖς κατὰ δίαιταν, ἑτέραν μὲν ἀρχῆς, ἑτέραν δ' ἐπιδόσεως, ἄλλην δ' ἀκμῆς τε καὶ παρακμῆς ἔνδειξιν εἶναι λέγοντες. ὑπὲρ ὧν ἐπὶ πλέον ἐν τοῖς ἑξῆς ἐρεῖν μέλλοντες, οὐ δεόμεθα νῦν μηκύνειν τὸν λόγον. ἀλλ' ὅσον εἰς τὰ παρόντα μόνον αὔταρκες ἐροῦμεν. τὸ ἕλκος τὸ πρόσφατον ἐπειδὴ τοὐπίπαν ἄνευ τε διαθέσεως ἑτέρας ἐστί, καὶ σύμπτωμα μηδὲν μηδέπω ἔχει συνόν, ἑτέραν οἷόν τε ποιεῖσθαι τὴν ἔνδειξιν τοῦ παλαιοῦ. τὸ δ' οὐχ οὕτως ἔχει. τὸ γοῦν αὐτὸ ψιλὸν μόνον ἕλκος. ἔστι δὲ τοιοῦτον, ᾧ μήτε κοιλότης τις σύνεστι, μήτ' ὀδύνη, μήτε ῥύπος, ἁπασῶν τε τῶν ἄλλων ἀπήλλακται διαθέσεων. αὐτῆς δὲ μόνης δεῖται τῆς ἰδίας ἰάσεως, ἧς ὁ σκοπός, ἕνωσις, ἢ κόλλησις, ἢ σύμφυσις, ἢ συνέχεια. μυριάκις γοῦν εἴρηται τό, καλεῖν ὡς ἂν ἐθέλῃ τις, ἔνθα μηδὲν βλάπτεται τὸ πρᾶγμα. εἴτ' οὖν πρόσφατον εἴη τὸ τοιοῦτον ἕλκος, εἴτε παλαιόν, ἀεὶ τῆς αὐτῆς δεῖται θεραπείας, οὐδὲν τῆς ἀπὸ τοῦ χρόνου διαφορᾶς ἴδιον ἐνδεικνυμένης. εἰ μέν τοι κοιλότητα βαθεῖαν ἔχει κατακεκρυμμένην ὑπὸ τῷ δέρματι, σκέπτεσθαι χρὴ πότερον ἐκ τῶν ἄνωθεν μερῶν εἴη, ὡς ὑπορρεῖν ἐξ αὐτῆς τοὺς ἰχῶρας κατάντεις, ἢ κάτωθεν, ὡς αὐτόθι συνίστασθαι. τῶν μὲν οὖν ὑπορρύσεις ἐχόντων, ἡ αὐτὴ θεραπεία τοῖς ἄλλοις. τῶν δ' οὐχ ἐχόντων ἡμᾶς χρὴ μηχανᾶσθαί τινας ἐκροάς. διττὴ δ' ἡ μηχανή. ποτὲ μὲν ἀνατέμνοντί σοι τὴν κοιλότητα σύμπασαν. ἐνίοτε δὲ ἀντιδιαιροῦντι μόνον ἐν τῷ πυθμένι. τὸ δ' ὅτε χρὴ τούτων ἑκάτερον δρᾶν, ἥ τε τῶν χωρίων ἐνδείξεται φύσις, καὶ τὸ τοῦ ἕλκους μέγεθος. εἰ μὲν γὰρ καὶ τὰ χωρία σφαλερὰν ἔχει τὴν διαίρεσιν, καὶ τὸ ἕλκος εἴη μέγα, βέλτιον ἀντιδιαιρεῖν, εἰ δὲ τἀναντία, τὸ ἀνατέμνειν ἄμεινον. ἡ δ' ἐπίδεσις, ἀρχέσθω μὲν ἐκ τῶν ἄνωθεν. τελευτάτω δὲ κάτω, ἵνα περ ἡ ἐκροή. ὅτι δὲ καὶ ἡ παρὰ τὰ πεπονθότα μόρια σύμπαντα διαφορὰ τῶν ἑλκῶν ἐπικαιροτάτη πρὸς ἔνδειξιν τῆς ἰάσεως, ἔμπροσθεν εἴρηται. ἀλλ'

ἐκεῖνα

ἐκείνη μὲν ὡς ὁμοιομερῶν, ἧς δὲ νῦν ἐμνημονεύσαμεν, ὡς ὀργανικῶν ἐστὶν ἔνδειξις. εἰρήσεται μὲν δὴ καὶ περὶ τῆς, ἢ ὡς ὁμοιομερῶν, ἢ ὡς ὀργανικῶν σωμάτων ἐνδείξεως, ἐπὶ πλέον ἐν τοῖς ἑξῆς. ἐν δὲ τῷ παρόντι, πάλιν ἐπὶ τὰς οἰκείας διαφορὰς τῶν ἑλκῶν ἰτέον. εἴτ' ἐγκάρσιον ἢ εὐθύ. καὶ μέχρι βάθους, ἢ ἐπιπολῆς. καὶ μικρὸν ἢ μέγα διοριζομένοις. τὰ μὲν γὰρ ἐγκάρσια, διὰ τὸ τὰ χείλη μᾶλλον αὐτῶν διεστηκέναι τε καὶ ἀφεστηκέναι, τῆς συναγωγῆς ἀκριβεστέρας δεῖται. ὥστε καὶ ῥαφαῖς, καὶ ἀγκτῆρσιν ἐπὶ τούτων χρηστέον. ὅσα δὲ κατὰ τὸ μῆκος τῶν μυῶν ἐγένετο, ταῦτ' ἐκ δυοῖν ἀρχῶν ἐπιδέων, οὔτε ῥαφῶν, οὔτε ἀγκτήρων δεήσῃ. εἰ δ' ἄλλως ἐπιδεῖν ἐθελήσαις, ἢ ἀγκτῆρσιν, ἢ ῥαφαῖς, ἀρκέσουσιν ἢ ἐλάχισται παντελῶς αἱ ῥαφαί. καὶ τὰ μὲν μεγάλα τῶν ἑλκῶν, ἐπὶ μᾶλλον ξηραίνουσι θεραπεύσεις φαρμάκοις, ἔτι τῶν ἔμπροσθεν εἰρημένων μέμνησαι. τὰ δὲ σμικρὰ καὶ τὸ μετρίως ξηραῖνον αὐτάρκως ἰάσεται. τὰ δ' εἰς βάθος διήκοντα, πάντως μὲν ἤδη καὶ μεγάλα, δεῖται δὲ τῆς ἐκ δυοῖν ἀρχῶν ἐπιδέσεως, καὶ τοῦ μὴ προπετῶς κολληθῆναι τὰ χείλη. τὰ δ' εἰς βάθος τε καὶ μῆκος ἐπὶ πολὺ προήκοντα, διχῆ τ' ἂν εἴη μεγάλα, καὶ διττὴν ἔχει τὴν ἔνδειξιν. ὡς καὶ τῶν πάνυ ξηραινόντων δεῖσθαι φαρμάκων. καὶ μὴ συνάγεσθαι προπετῶς τὰ χείλη. καὶ ἐκ δυοῖν ἀρχῶν ἐπιδεῖσθαι, καὶ ῥάπτεσθαι διὰ βάθους. οὕτω δὲ κἂν εἰ πολλὰς ἐπιπεπλεγμένας ἴδοις διαφοράς, ἑκάστην ἰδίαν ἔνδειξιν ἐχούσας, εἰ μὲν μὴ μάχοιντο, πάσαις χρῆσθαι κράτιστον. εἰ δέ πῃ καὶ διαφέροιντο, πῶς χρὴ διορίζεσθαι περὶ τῶν τοιούτων, εἴρηται μέν που κἂν τοῖς ἔμπροσθεν, εἰρήσεται δὲ κἂν τοῖς ἐφεξῆς ἐπὶ πλέον. ἤδη γάρ μοι καιρὸς εἶναι δοκεῖ καταπαύειν ἐνταυθοῖ τὸ τρίτον τῶνδε τῶν ὑπομνημάτων. ἐν δὲ τῷ μετ' αὐτὸ τετάρτῳ, περὶ τῶν ἅμα τοῖς ἕλκεσιν ὡς τὸ πολὺ γινομένων διαθέσεων, ὁ λόγος ἡμῖν ἔσται. συναναγράψομεν δ' αὐταῖς καὶ τὰς τῶν προηγουμένων αἰτιῶν θεραπείας.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΕΝ τι γένος ἐστὶ νόσου καὶ ἡ τῆς συνεχείας λύσις ἐν ἅπασι μὲν τοῦ ζώου τοῖς μέρεσι γινομένη, προσαγορευομένη δ' οὐχ ὡσαύτως ἐν ἅπασιν. ἕλκος μὲν γάρ, ἐν σαρκώδει μορίῳ, κάταγμα δ' ἐν ὀστῷ, σπάσμα δ' ἐν νεύρῳ καλεῖται. τούτου δὲ τοῦ γένους ἐστὶ καὶ τὸ ἀπόσπασμα, καὶ τὸ ῥῆγμα, καὶ τὸ θλάσμα. τὸ μὲν ἐν συνδέσμῳ γινόμενον, τὰ δ' ἐν ἀγγείοις τε καὶ μυσίν, ἐκ βιαίας πληγῆς, ἢ καταπτώσεως, ἢ τινὸς ἑτέρας ἰσχυρᾶς κινήσεως. ἡ δ' ἐκχύμωσις, ὡς τὰ πολλὰ μὲν ἅμα τῷ θλασθῆναί τε καὶ ῥαγῆναι γίνεται. συμπίπτει δέ ποτε καὶ κατὰ ἀναστόμωσιν ἀγγείων. καὶ τὴν καλουμένην ὑπό τινων διαπήδησιν, ἕτερόν τι γένος συνεχείας λύσεως ὑπάρχουσαν τηνικαῦτα. καὶ μὴν καὶ κατὰ ἀνάβρωσιν ἐνίοτε διαφθείρεται τὸ συνεχὲς ἐν τοῖς τοῦ ζώου μέρεσιν. ἀλλ' ἤδη μικτὴ διάθεσις τοῦτο. συνεφάπτεται γὰρ ἑτέρου γένους νοσήματος, ὑπὸ τὸ ποσὸν τῶν μορίων πεπτωκότος, ὥσπερ ἐπὶ τῶν κοίλων ἑλκῶν ἔμπροσθεν ἐδείκνυμεν. ἔστι γὰρ οὖν καὶ αὐτῶν τούτων ἡ γένεσις διττή, ποτὲ μὲν ἐκ περιαιρέσεως ἀποτελουμένη, ποτὲ δὲ ἐξ ἀναβρώσεως. ἀλλ' ἡ μὲν περιαίρεσις ὅπως γίνεται, πρόδηλον. ἡ δ' ἀνάβρωσις, εἰ μὲν ἔνδοθεν ἐξ αὐτοῦ τοῦ ζώου τὴν γένεσιν ἔχει, χυμῶν ἐστὶ μοχθηρῶν ἔγγονος. εἰ δ' ἔξωθεν, ἐπὶ φαρμάκοις ἢ πυρὶ συνίσταται. καὶ δὴ καὶ προσέχειν χρὴ τὸν νοῦν, ὥσπερ καὶ πρόσθεν ἐλέγετο, καὶ διορίζεσθαι τὰς ἁπλᾶς διαθέσεις τῶν ἐπιπεπλεγμένων. ἁπλῆν μὲν γὰρ ἐφ' ἁπλῷ νοσήματι καὶ τὴν θεραπείαν, οὐχ ἁπλῆν δὲ ἐπὶ συνθέτῳ ποιεῖσθαι προσῆκον. ἥτις μὲν οὖν ἐστὶ μέθοδος ἐπὶ ταῖς τῶν συνθέτων ἰάσεσιν, ἔμπροσθεν εἴρηται. χρὴ δ' οὐ τὸ καθόλου μόνον αὐτῆς ἐκμαθεῖν, ἀλλὰ κἂν τοῖς κατὰ μέρος γεγυμνάσθαι. καὶ γὰρ οὖν κἂν τούτοις ἑτέρων ἐστὶ χρεία μεθόδων πολλῶν, ὡς ἂν εἴποι τις μερικῶν. ἐφ' ἑκάστου γὰρ εἴδους νοσήματος, ἴδιον εἶδός ἐστι μεθόδου. πάλιν οὖν ὅσον ὑπόλοιπόν ἐστι τῆς τῶν ἑλκῶν ἰάσεως, ἐν τῷδε τῷ γράμματι λεγέσθω, τὴν ἀρχὴν ἡμῖν ἐνθένδε ποιησαμένοις. ἕλκος ἅπαν, ἤτοι μόνον ἐστὶν αὐτὸ καθ' ἑαυτό, μήτε συνεισβαλούσης αὐτῷ διαθέσεως ἑτέρας, μήτε προηγησαμένης, μήτε ἀκολουθησάσης, ἢ μετά τινος ἑτέρας ἤτοι μιᾶς, ἢ καὶ πλειόνων συνίσταται. καὶ τούτων τῶν διαθέσεων ἔνιαι μὲν οὐ μόνον εὐθὺς ἐξ ἀρχῆς ἐποίησαν τὸ ἕλκος, ἀλλὰ καὶ νῦν ἔτι καὶ μεῖζον ἐργάζονται. τινὲς δὲ τῶν ὧν οὐκ ἄνευ λόγου ἔχουσιν ὡς πρὸς τὴν ἴασιν. ἀλλὰ περὶ μὲν τούτων, εἴρηται πρόσθεν, ὑπὲρ δὲ τῶν μεῖζον ἐργαζομένων τὸ ἕλκος, ἐν τῷδε λεχθήσεται. δῆλος μὲν οὖν ὁ ἐπ' αὐτῶν σκοπός, ἢ ἐκκόψαι τελέως ἐκ τοῦ σώματος τὰς τοιαύτας διαθέσεις, ἢ νικῆσαι τὴν ἀπ' αὐτῶν βλάβην. ἀλλὰ τοῦτο μὲν ἐπειδὰν σμικρὰ παντελῶς ἡ διάθεσις ὑπάρχῃ, δυνατὸν ἐργάσασθαι. μεγάλης δ' οὔσης, τὸ ἕλκος εἰς οὐλὴν ἀγαγεῖν οὐκ ἐνδέχεται, πρὶν ἐκείνην ἰάσασθαι. τίνες οὖν αἱ τοιαῦται διαθέσεις, καὶ πόσαι, σκεπτέον ἡμῖν ἀκριβῶς ἐνθένδε ποθὲν ἀρξαμένοις, ὅθεν κἀν τοῖς ἔμπροσθεν ἠρξάμεθα. πᾶν ἕλκος, εἴτε μετὰ κοιλότητος, εἴτε καὶ μόνον ὑπάρχει, τῆς θ' ὑποκειμένης σαρκὸς δεῖται κατὰ φύσιν ἐχούσης, καὶ μηδενὸς μεταξὺ παρεμπίπτοντος εἰς τὰ κολληθησόμενα χείλη, καθάπερ πολλάκις γίνεται τρίχα, καὶ ψάμμον, καὶ ῥύπον, ἔλαιόν τε, καί τι τοιοῦτον ἕτερον ἐμποδίσαι τὴν κόλλησιν, ἀλλὰ ταῦτα μὲν οἷον συμπτώματά τινα τῶν ἑλκῶν ἐστί, κωλῦσαι μὲν ὁπότε παρείη τὴν ἴασιν δυνάμενα, ποιῆσαι δ' εἰ μὴ παρείη, δυνάμενα. τῆς δ' ὑποκειμένης σαρκὸς ἡ διάθεσις, αἰτίας λόγον ἔχει πρὸς τὸ γινόμενον. ἐξ αὐτῆς γὰρ καὶ διὰ αὐτήν, ἥτε κόλλησις τῶν διεστώτων, καὶ ἡ σάρκωσις τῶν κοίλων γίνεται. χρὴ τοίνυν ταύτην ἀκριβῶς κατὰ φύσιν ἔχειν, ἵν' ἑκάτερον ἐκείνων ἀμέμπτως ἐπιτελῆται. τὸ καλῶς δ' ἔχειν αὐτήν, κατὰ τὴν οἰκείαν ὑπάρχει κρᾶσιν, ὥσπερ καὶ τοῖς ἄλλοις ἅπασιν. εὔκρατον μὲν οὖν ἀκριβῶς εἶναι προσήκει τὴν ὑποκειμένην σάρκα, πρὸς κόλλησίν τε καὶ σάρκωσιν ἑλκῶν. ἆρ' οὖν ἀρκεῖ τοῦτο μόνον, ἢ καὶ τὸ ἐπιρρέον αἷμα, χρηστὸν καὶ σύμμετρον εἶναι χρή; ἐμοὶ μὲν καὶ τοῦτο παντὸς μᾶλλον ἀληθὲς εἶναι δοκεῖ. τό, τε γὰρ διεφθαρμένον αἷμα, τοσοῦτον ἀποδεῖ πρὸς κόλλησιν ἢ γένεσιν σαρκὸς ἐπιτήδειον ὑπάρχειν, ὥστ' αὐτὸ πολλάκις ἀναβιβρώσκειν καὶ ἑλκοῦν τὸ σῶμα. τό, τε πολὺ πλῆθος ἐν τοῖς

ἡλκωμένοις περιττὸν ἐργαζόμενον, ἐμποδὼν ἵσταται ταῖς ἰάσεσιν, ὥς που καὶ πρόσθεν ἐδείκνυτο. καὶ τρεῖς οὗτοι τρόποι τῶν δυσιάτων ἑλκῶν ἐοίκασιν ὑπάρχειν. ὅ, τε ἐκ τῆς δυσκρασίας τῆς ὑποκειμένης σαρκός, καὶ ὁ ἐκ τῆς μοχθηρίας τοῦ ἐπιρρέοντος αἵματος, καὶ τρίτος ὁ ἐκ τῆς ποσότητος. ἢ οὐχ οὕτω δὲ χρὴ τὴν διαίρεσιν, ἀλλ᾽ ὡδὶ ποιήσασθαι μᾶλλον. Ὡς τῶν δυσιάτων ἑλκῶν, τὰ μὲν διὰ τὴν δυσκρασίαν τῆς ἡλκωμένης σαρκός. τὰ δὲ, διὰ τὸν ἐπιρρέοντα χυμὸν γίνεται τοιαῦτα. καὶ ὡς τῆς μὲν δυσκρασίας, δύο ἔστωσαν διαφοραί. ποτὲ μὲν ταῖς ποιότησι μόναις, οὐ κατὰ φύσιν ἐχούσης τῆς ὑποκειμένης σαρκός. ἐνίοτε δὲ, καὶ μετ᾽ ὄγκου τινὸς ἐπικτήτου. τῆς δ᾽ ἐπιρροῆς, ἕτεραι δύο. τό, τε ποσὸν, καὶ τὸ ποιὸν τῶν ἐπιρρεόντων χυμῶν. ἐνίοτε δὲ καὶ μίγνυσθαι συμβέβηκέ τινας τῶν εἰρημένων διαθέσεων. ἢ καὶ πάσας ἅμα, χρὴ δ᾽ οὐ πασῶν δήπουθεν ἅμα λέγεσθαι τὴν μέθοδον τῆς ἰάσεως, ἀλλ᾽ ἑκάστης ἰδίᾳ. τῆς μὲν οὖν σαρκὸς αὐτῆς ἰάσῃ τὴν δυσκρασίαν, εἰ μὲν αὐχμώδης καὶ ξηρὰ φαίνοιτο, τέγγων εὐκράτῳ πολλάκις ὕδατι. καθ᾽ ἑκάστην δὲ χρῆσιν, ὁ σκοπὸς ἔστω σοι τῆς καταντλήσεως, ὅταν πρῶτον εἰς ἔρευθός τε καὶ ὄγκον αἴρηται τὸ μόριον, ἀφίστασθαι τηνικαῦτα. διαφορήσεις γὰρ ὃ εἵλκυσας καταιονῶν ἐπὶ πλέον. ὥστ᾽ οὐδὲν ἔσται σοι πλέον. ἀλλὰ καὶ τῶν φαρμάκων ἡ δύναμις, ὑγροτέρα τις ἔστω τῆς ἔμπροσθεν ἐπὶ τῆς ὑγιοῦς σαρκὸς εἰρημένης. εἰ δ᾽ ὑγροτέρα τοῦ κατὰ φύσιν ἡ σὰρξ φαίνοιτο, τὰ ἐναντία ποιητέον. ἐπιτείνοντα μὲν τῶν φαρμάκων τὴν δύναμιν ἐπὶ τὸ ξηρότερον, ὕδατι δὲ μηδόλως χρώμενον. ἀλλ᾽ εἰ καὶ ἀποπλῦναι δέοι τὸ ἕλκος, οἶνος, ἢ ὀξύκρατον, ἢ ἀφέψημα ποας αὐστηρᾶς παρασκευαζέσθω. κατὰ ταῦτα δὲ τὴν μὲν θερμοτέραν τοῦ δέοντος σάρκα, ψυκτέον, τὴν δὲ ψυχροτέραν, θερμαντέον. ἔσται δὲ ἑκατέρα δήλη, καὶ χροιᾷ, καὶ ἁφῇ, καὶ τῇ τοῦ κάμνοντος αἰσθήσει. ποτὲ μὲν γὰρ πυρώσεως ὁμολογοῦσιν αἰσθάνεσθαι. ποτὲ δ᾽ ἐπιδήλου τινὸς ψύξεως κατὰ τὸ μόριον. καὶ χαίρουσιν ἢ τοῖς ψυχροῖς φαρμάκοις, ἢ τοῖς θερμοῖς. καὶ τοῖς μὲν ἔρευθμα λεπτὸν ἐπανθεῖ. τοῖς δὲ, ἐπὶ τὸ λευκότερον ἡ χροιά. ταυτὶ μὲν οὖν, οὐ τῆς παρούσης ἐστὶ πραγματείας διορίζειν. οὐ γὰρ διαγνωστικὴν μέθοδον, ἀλλὰ θεραπευτικὴν ἐνεστησάμεθα. τῇ δ᾽ ἀκολουθίᾳ πως τοῦ λόγου συνεξεδράμομεν, αὖθις οὖν ἐπανέλθωμεν ἐφ᾽ ἅπερ ἐξ ἀρχῆς προὐθέμεθα.

Τῶν σὺν ὄγκῳ τινὶ παρὰ φύσιν ἡλκωμένων μορίων, ἰᾶσθαι χρὴ πρότερον τὸν ὄγκον. ἥτις δὲ τῶν παρὰ φύσιν ἐστὶν ὄγκων ἁπάντων ἴασις, ἐν τοῖς ἑξῆς εἰρήσεται. νυνὶ δ᾽ ὅσον ἐξ αὐτῶν συνῆπται τῇ τῶν ἑλκῶν θεραπείᾳ ῥητέον. ἐπειδὰν τὰ χείλη μόνα τῶν ἑλκῶν ἐπὶ πλέον ἀχροίας, ἢ σκληρότητος ἥκοι, περιτέμνειν αὐτὰ χρὴ μέχρι τῆς ὑγιοῦς σαρκός. ἐπειδὰν δὲ καὶ μέχρι πλείονος ἡ διάθεσις ἐκτείνηται, σκέψις ἐνταῦθα γίνεται. πότερα περικοπτέον ἅπαν τὸ παρὰ φύσιν ἐστὶν, ἢ θεραπευτέον ἐν χρόνῳ. καὶ δῆλον ὡς καὶ τῇ τοῦ κάμνοντος εἰς τοῦτο προσχρῆσθαι δεῖ προθυμίᾳ. τινὲς μὲν γὰρ ἐν χρόνῳ πλείονι θεραπεύεσθαι βούλονται χωρὶς τομῆς. ἔνιοι δὲ πᾶν ὁτιοῦν ὑπομένειν εἰσὶν ἕτοιμοι τοῦ θᾶττον ὑγιᾶναι χάριν. οὕτω δὲ κἀπὶ τῶν ἐπιρρεόντων τοῖς ἡλκωμένοις μέρεσι μοχθηρῶν χυμῶν. ἡ μὲν ὡς ἡλκωμένων ἴασις, ἐν τῷδε λελέξεται. ἡ δ᾽ ὡς κακοχυμίας, ἢ πλήθους, ἐν τοῖς ἰδίοις ἐκείνων λογισμοῖς. ὅταν οὖν ὀλίγῳ τε πλείων, καὶ μὴ πολλῷ φαυλότερος ἢ τοῦ κατὰ φύσιν ὁ ἐπιρρέων τοῖς ἡλκωμένοις χυμὸς, ἀποτρέπειν αὐτὸν καὶ ἀναστέλλειν προσήκει, στύφοντά τε καὶ ψύχοντα τὰ πρὸ τῶν ἡλκωμένων χωρία. χρὴ δὲ καὶ τὴν ἐπίδεσιν ἄρχεσθαι μὲν ἀπὸ τοῦ πεπονθότος, ἐπινέμεσθαι δὲ ἐπὶ τὸ ὑγιὲς, ὡς ἐν τοῖς κατάγμασιν ἐκέλευσεν ὁ Ἱπποκράτης. ἀλλὰ καὶ τὰ τοῖς ἕλκεσιν αὐτοῖς προσαγόμενα φάρμακα, ξηραντικώτερα τῶν τοῖς ἁπλοῖς ἕλκεσι προσαγομένων ὑπαρχέτω. μὴ δυναμένης δὲ ὑπὸ φαρμάκων κρατηθῆναι τῆς ἐπιρροῆς, τὴν αἰτίαν αὐτῆς ἐπισκεψάμενον, ἐκείνην ἐκκόπτειν πρότερον. εἰ μὲν οὖν δι᾽ ἀτονίαν τινὰ τοῦ δεχομένου τὸ ῥεῦμα μορίου τοῦτο συμβαίνει, ταύτην ἰατέον. εἴη δ᾽ ἂν ἔτι τοῦτο, τῶν ἡλκωμένων μορίων οἰκεία τις ἴασις. εἰ δὲ διὰ πλῆθος ἢ κακοχυμίαν, ἤτοι παντὸς τοῦ σώματος, ἢ τινὸς τῶν ὑπερκειμένων μορίων, ἐκεῖνα πρότερον ἐπανορθωτέον. ἡ μὲν οὖν ἀτονία τοῦ μέρους, δι᾽ ἣν ἐπ᾽ αὐτὸ πλείους τοῦ δέοντος ἀφικνοῦνται χυμοί, πάντως μὲν ἐπὶ δυσκρασίᾳ γίνεται, οὐ μὴν ἁπάσῃ γε ἕπεται ἀτονία δυσκρασίᾳ. καὶ διὰ τοῦτο πολλάκις μὲν αὐτὸ τοῦτο μόνον ἡ ἡλκωμένη σὰρξ δύσκρατός ἐστιν, οὐ μὴν καὶ ἄτονος. ἐνίοτε δ᾽ ἄμφω, δύσκρατός τε ἅμα καὶ ἄρρωστος. αἱ γὰρ ἐπὶ πλέον ἐκτροπαὶ τῆς δυσκρασίας, ἀτονίας εἰσὶν αἰτίαι τοῖς πεπονθόσιν. ἰατέον δὲ ταύτας, ὡς καὶ πρόσθεν εἴρηται, τὰς μὲν θερμὰς, ψύχοντα. τὰς δὲ ξηρὰς, ὑγραίνοντα. καὶ τὰς μὲν ψυχρὰς, θερμαίνοντα. τὰς δὲ ὑγρὰς, ξηραίνοντα. καὶ δὴ καὶ κατὰ συζυγίαν. εἰ ψυχρότερός τε ἅμα καὶ ὑγρότερος ὁ τόπος εἴη, θερμαίνοντά τε καὶ ξηραίνοντα. κἀπὶ τῶν ἄλλων ὡσαύτως, ἀεὶ ταῖς κρατούσαις ποιότησι, τὰς ἐναντίας προσάγοντα. λογισμὸς δὲ τούτου, τοιόσδε· τὸ κατορθωμένον ἅπαν, οὐκ ἐν ζώοις μόνον ἢ φυτοῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι σύμμετρόν τι ἐστὶ καὶ μέσον ἁπάντων τῶν διημαρτημένων. ὅτου γὰρ ἂν μήτ᾽ ἀφελεῖν ἐστὶ μήτε προσθεῖναι μηδὲν ἢ μόριον ἢ ποιότητα, πάντη τοῦτ᾽ ἀμέμπτως ἔχει. τὸ δ᾽ ἀφαιρέσεως τινὸς, ἢ προσθήκης χρῆζον, ἐκπέπτωκε μὲν ἤδη τῆς ἀρίστης κατασκευῆς, ἐπανελθεῖν δ᾽ αὐτὴν ἑτέρως ἀμήχανον αὐτῷ, χωρὶς τοῦ, τὸ μὲν περιττὸν ἀφελεῖν, τὸ δὲ ἐλλεῖπον, προσθεῖναι. περὶ μὲν δὴ τῶν μορίοις τισὶν ἐλλιπόντων ἢ πλεοναζόντων, ἕτερος λόγος. ἐν οἷς δὲ ἐπικρατεῖ τις ποιότης, εὐθὺς μὲν ἐνταῦθα νενικῆσθαι τὴν ἐναντίαν ἀναγκαῖον. εὐθὺς δὲ καὶ τὴν ἐπανόρθωσιν ἐκ τῆς τέως κεκρατημένης, αὖθις ἀντεπεισαγομένης ἀνάγκη γίνεσθαι. ψύχων γὰρ τὸ τεθερμασμένον, ἅμα μὲν ἀντεισάξεις τὸ λεῖπον. ἅμα δὲ καὶ καθαιρεῖς τὸ πλεονάζον. ὥστε ἀνάγκη πᾶσαν τῶν κατὰ δυσκρασίαν τινὰ τοῦ κατὰ φύσιν ἐξεστηκότων τὴν ἴασιν γίνεσθαι διὰ τῶν ἐναντίων τῇ δυνάμει. οὕτω μὲν ἡ δι᾽ ἀτονίαν ὑπὸ ῥεύματος ἐνοχλουμένη σὰρξ, ἢ τι μόριον ἕτερον σαρκῶδες, ἐπειδὰν τὴν τῆς δυσκρασίας πρότερον ἰαθῇ διάθεσιν, ἐφεξῆς δηλονότι καὶ τὴν τῆς ἑλκώσεως ἰαθήσεται. οὐκ ἄλλως μὲν νῦν θεραπευθεῖσα τὴν δυσκρασίαν, ἄλλως δ᾽ εἰ χωρὶς ἕλκους ἐπεπόνθει. ὃ καὶ δῆλον, ὡς οὐχ ἕλκους ἐστὶν, ἀλλὰ δυσκρασίας ἴδιος ἡ τοιαύτη πᾶσα θεραπεία. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ δι᾽ ἕτερόν τι μόριον, ἢ καὶ τὸ σύμπαν σῶμα πληθωρικὸν ἢ κακόχυμον ὑπάρχει ἐπιρρέον τι τοῖς ἡλκωμένοις μέρεσι μοχθηρὸν, ἰᾶσθαι χρὴ πρότερον ἢ τὸ τοῦ ῥεύματος αἴτιον, ἢ καὶ τὸ σύμπαν σῶμα. κατὰ τοῦτ᾽ οὖν καὶ κιρσοὺς πολλάκις ὑποκειμένους, τῶν ἡλκωμένων μορίων ἰασάμεθα πρότερον, ἵν᾽ ἐφεξῆς ἰασώμεθα τὸ ἕλκος, καὶ τῶν σπληνωδῶν τὸν σπλῆνα, καὶ τῶν ἄλλο τι μόριον ἐπίσημον πεπονθότων, ἐκεῖνο πρότερον ἐκθεραπεύσαντες, οὕτως

περὶ τὴν τῶν ἑλκῶν ἴασιν ἀφικόμεθα. ἀλλ' οὐδὲ μία τῶν ἰάσεων τούτων αὐτοῦ τοῦ ἕλκους ἐστὶν, ἀλλά τινος ἑτέρας διαθέσεως, ἤτοι γεννώσης, ἢ αὐξανούσης τὸ ἕλκος. καὶ γὰρ αὖ καὶ τοῦτο καιρὸς διορίσασθαι ἤδη, τὸ μηδὲν τῶν προκαταρξάντων τῆς διαθέσεως αἰτίων, ἐνδείκνυσθαι τὴν θεραπείαν. ἀλλὰ τὴν μὲν ταύτης ἔνδειξιν, ἀπ' αὐτῆς ἄρχεσθαι τῆς διαθέσεως. ἐξευρίσκεσθαι δὲ τὰς κατὰ μέρος ἐνεργείας, ἀπό τε τοῦ πρώτου σκοποῦ, καὶ τῆς τοῦ πεπονθότος μορίου φύσεως, καὶ τῆς τοῦ περιέχοντος κράσεως, ὅσα τε ἄλλα τούτοις ἐστὶν ὁμογενῆ. συντελόντι γὰρ εἰπεῖν, ἀπ' οὐδενὸς τῶν μηκέτι ὄντων, ἔνδειξιν τοῦ συμφέροντος ἔνεστι λαβεῖν. ἀλλ' ἐπεὶ πολλάκις εἰς διάγνωσιν τῆς διαθέσεως, ἀδήλου παντάπασιν ὑπαρχούσης, καὶ τῷ λόγῳ, καὶ ταῖς αἰσθήσεσιν, ἀναγκαζόμεθα πυνθάνεσθαι περὶ τοῦ προκατάρξαντος αἰτίου, δόκησις τοῖς πολλοῖς γίνεται κἀκεῖνο συνενδείκνυσθαι τὴν ἴασιν. τὸ δ' οὐχ οὕτως ἔχει. μαθήσῃ δ' ἐναργῶς ἐφ' ὧν ἐγχωρεῖ ἀκριβῶς γνῶναι τὴν διάθεσιν. εἴτε γὰρ ἐκχύμωσις, εἴθ' ἕλκος, εἴτ' ἐρυσίπελας, εἴτε σηπεδὼν, εἴτε φλεγμονὴ κατά τι μέρος ὑπάρχει, περιττὸν ζητεῖν τὸ ποιῆσαν, εἰ μὴ νῦν ἔτι ποιεῖ. οὕτως γοῦν ἅμα τε τὸ γεγονὸς θεραπεύσομεν ἤδη, ἅμα τε τὸ ποιοῦν ἔτι ποιεῖν διακωλύσομεν. εἰ δ' ἐποίησε μὲν ἀπηλλάγη δὲ, τὸ μὲν γεγονὸς ἰασόμεθα. τὸ δ' οὐκέτι ὂν, οὐδ' ἂν ἐκκόπτειν προαιρώμεθα, δυνησόμεθα. τῶν μὲν γὰρ ὄντων, αἱ θεραπεῖαι, τῶν δὲ ἔσεσθαι μελλόντων, αἱ προφυλακαί. τὰ δὲ μήτ' ὄντα, μήτε βλάψαι προσδοκώμενα, καὶ τοῦ θεραπευτικοῦ, καὶ τοῦ προφυλακτικοῦ μέρους τῆς τέχνης ἐκπέπτωκεν. ὥστε οὔτε ἔνδειξις ἀπ' αὐτῶν ἐστιν εἰς θεραπείαν, οὔτε προφυλακή τις. ἀλλ' ἡ μόνον, ὡς εἴρηται, πρὸς τὰς ἐκπιπτούσας τὴν ἡμετέραν ἐπίγνωσιν διαθέσεις, ἡ γνῶσις τοῦ προκατάρξαντος αἰτίου χρησίμη. τοῖς δ' ἀπὸ τῆς ἐμπειρίας ἰατροῖς ὡς μέρος τῆς ὅλης συνδρομῆς, ἐφ' ᾗ τετηρήκασι τὴν θεραπείαν, καὶ τὸ προκατάρξαν αἴτιον ἐνίοτε προλαμβάνεται. καθάπερ ἐπί τε τῶν λυττώντων κυνῶν, καὶ τῶν ἰοβόλων ἁπάντων θηρίων. ἤδη δὲ καὶ τῶν δογματικῶν ἐκεῖνοι ὅσοι χωρὶς ἐνδείξεως λογικῆς ἀπὸ τῆς ἐμπειρίας μόνης ὁμολογοῦσι θεραπεύειν τὰ τοιαῦτα. καὶ γὰρ καὶ τούτοις, ὡς ἐν μέρος τῆς ὅλης συνδρομῆς τὸ προκατάρξαν αἴτιον ζητεῖται. τοῖς δ' ἐκ μὲν τῆς ἔμπροσθεν πείρας ἐγνωκόσι τῶν ἰοβόλων θηρίων τὰς δυνάμεις, ἔνδειξιν δὲ θεραπείας ἀπ' αὐτῶν λαμβάνουσιν, οὐκ εἰς ἔνδειξιν ἰάσεως τὸ προκατάρξαν αἴτιον γνωσθὲν, ἀλλ' εἰς τὴν τῆς παρούσης διαθέσεως ἐπίγνωσιν συντελεῖ. φέρε γὰρ ἐπίστασθαι μὲν τὸν ἰὸν τοῦ σκορπίου ψυχρὸν εἶναι τῇ δυνάμει, καὶ λαμβάνειν ὡς ἀπὸ ψυχροῦ τὴν τῆς ἰάσεως ἔνδειξιν, ἔχειν δὲ μηδὲν μή πω σημεῖον ὅτι τοιαύτη τις ἐν τῷδε τῷ σώματι διάθεσις ὑπάρχει, δῆλον γὰρ ὡς εἰ πυθοίμην ὅτι σκορπίος ὁ πλήξας, ἐκθερμαίνειν πειράσομαι τό, τε σύμπαν σῶμα, καὶ τὸ νενυγμένον ὑπ' αὐτοῦ μόριον, οὐκ ἀναμείνας ἔτι τὴν πεῖραν, ἀλλ' ἀπ' αὐτῆς τοῦ πράγματος τῆς φύσεως λαβὼν τὴν ἔνδειξιν. ἐδείχθη γὰρ ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν, ἐν οἷς ἠξίωσα γεγυμνάσθαι πρότερον, ὅτῳ μέλλει τι καὶ τῶν νῦν λεγομένων ὄφελος ἔσεσθαι, μηδεμίαν ἄνευ πείρας εὑρίσκεσθαι δύναμιν. ἦν γοῦν ἂν δή που μακάριον, εἴ τις ἐκ τοῦ θεάσασθαι λιθάργυρον, ἢ καστόριον, ἢ κανθαρίδας, εὐθέως ἐγίνωσκεν αὐτῶν τὰς δυνάμεις. ἀλλ' ὥσπερ ἐν ἅπασιν αἱ διαμαρτίαι, τοῖς ὑπερβάλλουσι τοῦ μέτρου, καὶ τοῖς ἐλλείπουσιν, οὕτω κἀνταῦθα γίνονται. καὶ δὶς διὰ πασῶν οὐχ ἅπαξ, ὡς ἔοικεν, ἀντάδουσιν ἀλλήλοις. οἵ τε μηδέ πω καὶ τήμερον ὁμολογοῦντες ἐπίστασθαι γε τὰς δυνάμεις τῶν φαρμάκων ἐπὶ τοσαύτῃ πείρᾳ. οἵ τε καὶ πρὸ τῆς μιᾶς πείρας ἀξιοῦντες ἐπίστασθαι. καὶ γοῦν καὶ τοῦτο προπετὲς, εἰ χρὴ προπετὲς εἰπεῖν, τὸ ἀδύνατον. καὶ θάτερον ἢ τελέως ἀναισθήτων ἐστὶν, ἢ φανερῶς ἐριζόντων. ἀλλὰ γὰρ ὡς ἔφην, οὐ χρὴ νῦν περὶ τούτων ἀκούειν ποθεῖν, εἰρημένων ἐπὶ πλέον ἔν τε τῷ τρίτῳ τῶν περὶ κράσεων, κἀν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν, ἀλλ' εἰς διάγνωσιν τῶν διαθέσεων, ἔνια τῶν προκαταρξάντων αἰτίων συντελεῖ. ἔνθα δ' οὐδὲν λανθάνειν τῆς παρούσης διαθέσεως, οἴχεται καὶ τοῦ προκατάρξαντος ἡ χρεία. εἴρηται μὲν οὖν μοι κἀν τοῖς ἔμπροσθεν ὡς οὐ δεῖ συνάπτειν εἰς ταυτὸν ἀμφοτέρας τὰς διδασκαλίας, ἀλλ' ἰδίᾳ μὲν τὴν ἐμπειρικὴν, ἰδίᾳ δὲ ποιεῖσθαι τὴν λογικήν. ἀναμιμνήσθω δὲ κἀν νῦν, ὡς ἐπειδὴ πρόκειται μόνην τὴν λογικὴν ἐν τοῖσδε τοῖς ὑπομνήμασι διελθεῖν, εἰ δὲ καὶ μὴ προσκέοιτό που περί τινος τῶν λεγομένων, ὡς οὐχ ἁπλῶς ἐστιν ἀληθὲς, ἀλλὰ μόνοις τοῖς κατὰ μέθοδον ἰατρεύουσιν, ἀκόλουθον αὐτῶν λογίζεσθαί τινα καὶ τοῦτο. καὶ προστιθέναι παρ' ἑαυτοῦ. νυνὶ μὲν γὰρ ἡμεῖς προσεθήκαμεν, ὡς οὐδὲν τῶν προκαταρξάντων αἰτίων εἰς ἔνδειξιν θεραπείας ἐστὶ χρήσιμον, ἀλλὰ εἰς διάγνωσιν ἐνίοτε διαθέσεως, ὁμολογοῦντες ὡς τοῖς ἐμπειρικοῖς ἰωμένοις ὁπωσοῦν, ἕν τι τῶν τῆς ὅλης συνδρομῆς μορίων ἐστὶ καὶ τὸ προκατάρχον αἴτιον. εἴτ' οὖν λογικῶς τἄλλα θεραπεύοιεν, εἴτε δι' ἐμπειρίας ἅπαντα. κατὰ δὲ τὸν ἐφεξῆς λόγον, οὐκ ἀναγκαῖον ἂν εἴη προσγράφειν τοῦτο. πάλιν οὖν τὸ προκείμενον ἐπανέλθωμεν, ἀρχὴν ὁμολογουμένην λαβόντες, ἣ κἀν τοῖς ἔμπροσθεν ἤδη κεχρήμεθα φάσκοντες, τὴν τῆς θεραπείας δεομένην διάθεσιν, αὐτὴν εἶναι τὴν τὸν πρῶτον σκοπὸν ἐνδεικνυμένην. ἐκ δὲ τούτου, τἄλλα πάντα λαμβάνεσθαι. τούτῳ δ' ὅτι, τῷ σκοπῷ κοινωνίαν οὐδεμίαν ἔχει τῶν προκαταρχόντων αἰτίων οὐδὲν, ἐξ αὐτῶν μάλιστα τῶν ἑλκῶν ὅθεν περ ὁ λόγος ὡρμήθη, μαθήσῃ. γεγνήσθω γοῦν ἕλκος ἐξ ἀποστήματος. ἀλλ' εἰ τοῦτο, δῆλον ὡς ἐκ μοχθηρῶν χυμῶν. οὕτω γὰρ εἴωθεν ἡ φύσις ἐν νόσοις ἐκκαθαίρουσα τὸ σῶμα, τὸ περιττὸν ἅπαν ὠθεῖν ἐπὶ τὸ δέρμα. τούτῳ μὲν ἑλκωθῆναι συμβαίνει, τὸ δ' ὅλῳ σώματι ἐκκεκαθάρθαι. τίς οὖν ἡ τῶν τοιούτων ἑλκῶν ἴασις, οἵα περ καὶ ἡ τῶν ἄλλων ἁπάντων, οἷς οὐκ ἐπιπλέκεται διάθεσις οὐδεμία κακοήθης. ἀλλ' εἴπερ τοῦθ' οὕτως ἔχει, δῆλον ὡς οὐδεμία παρὰ τῆς ποιησάσης τὸ ἕλκος αἰτίας ἔνδειξις εἰς τὴν θεραπείαν ἐγένετο. καὶ μὴν εἴπερ ἔμενεν ἡ κακοχυμία πάντως ἄν που καὶ παρ' αὐτῆς τὴν ἔνδειξιν ἐλάβομεν· ἀλλὰ καὶ ἄλλως ἄτοπον ἦν δεῖσθαι θεραπείας τὸ μηκέτ' ὄν. ἢ ἐνδείκνυσθαι θεραπείαν τὸ μὴ δεόμενον αὐτῆς. ὥστε παντοίως ἄτοπον ἐκ τοῦ προκατάρξαντος αἰτίου ἔνδειξιν λέγειν γίνεσθαι θεραπείας. ἐπεὶ τοίνυν οὐ τοῦτο, δῆλον ὡς τὸ παρὸν αἴτιον ἔνδειξιν ποιήσεται. τίς οὖν ἡ ἔνδειξις; ἀκριβολογουμένῳ μὲν ἡ προφυλακτικὴ προσαγορευομένη. καταχρωμένῳ δ' ἡ θεραπευτική. καὶ γὰρ καὶ αὐτῶν τῶν ἑλκῶν τῆς ἰάσεως, εἴθ' ἁπλῶς ἕλκη μόνον, εἴτε καὶ μετὰ κοιλότητος ὑπάρχοι, κατὰ τὸν ἀκριβῆ λόγον ἡ ἴασις ἐκ τοῦ φεύγειν τε καὶ προφυλάττεσθαι τὰ λυπήσοντα τὴν φύσιν ἀποτελεῖται. καὶ ὅλως ἐφ' ὧν

τὸ γινόμενον αὐτῆς τῆς φύσεως ἔργον ἐστίν. ὡς κόλλησις ἕλκους καὶ σάρκωσις, ἐκ τοῦ προφυλακτικοῦ γένους ἐστὶν ἡ τῶν τοιούτων ἐπιμέλεια. ἀλλ' ὅμως ἴασις λέγεται πρὸς ἁπάντων ἀνθρώπων. καὶ τοῦτο διώρισται τοῦ προφυλακτικοῦ μέρους τῆς τέχνης, τῷ διάθεσιν μὲν ὑπάρχουσαν ἤδη τινὰ νοσερὰν ἐκκόπτεσθαι, κατὰ τὸ ἕτερον εἶδος τῆς προφυλακτικῆς. κωλύεσθαι δὲ γίνεσθαι τὴν μηδέπω γεγενημένην κατὰ τὸ ἕτερον. ὥστε κἀνταῦθα περὶ ὀνομάτων ἐρίζοντες, ἀγνοοῦσιν οἱ νεώτεροι τῶν ἰατρῶν. ἐχρῆν δ' αὐτοὺς εἰ περὶ πραγμάτων ἐσπούδαζον, ἐξευρεῖν ὡς δύο εἰσὶν αἱ πρῶται διαφοραὶ τῶν ἐνεργειῶν τοῖς ἰατροῖς. ἢ γὰρ τὰς οὔσας ἤδη διαθέσεις ἐξ ὧν πράττουσι θεραπεύουσιν, ἢ τὰς οὐκ οὔσας γενέσθαι κωλύουσι. τὸ μὲν δὴ τὰς οὔσας ἐκκόπτειν, εἴτε τὰ διακόπτοντα τὰς ἐνεργείας τῆς φύσεως ἐκποδὼν ποιουμένους, εἴτε καὶ αὐτούς τι διὰ τῶν φαρμάκων ἐργαζομένους, ἅπαντες ἄνθρωποι θεραπεύειν ὀνομάζουσι. τὸ δὲ κωλύειν γενέσθαι, προφυλάττεσθαι. καὶ δὴ καὶ τὰ μετὰ κακοχυμίας ἡλκωμένα θεραπεύουσιν, οἱ λόγῳ τε καὶ μεθόδῳ τῇ τέχνῃ προσιόντες, ἅμα μὲν ἐκείνην ἐκκαθαίροντες, ἅμα δὲ τὰ διακόπτοντα τὰς κινήσεις τῆς φύσεως ἀναιροῦντες. ἄμφω δ' ἐστὶν ἀκριβολογουμένῳ ταῦτα προφυλακτικά. κωλύει γὰρ ὡς κἂν τῷ πρὸ τούτου δέδεικται λόγῳ πάντα τὰ τοιαῦτα, ῥύπον ἐπιτρέφεσθαι τοῖς ἕλκεσιν. ἢ ὑγρότητα πολλήν, ἢ μοχθηράν. οὔκουν ἐν ὀνόμασι μικρολογεῖσθαι καλόν, ἀλλ' ἄμεινον εἰπεῖν τινα μέθοδον ἰάσεως ἑλκῶν, οἵαν ἡμεῖς ἔν τε τῷ πρὸ τούτου λόγῳ κἂν τῷδε διέξιμεν. ἐγὼ μὲν γοῦν καὶ θαυμάζω τὴν ἀναισθησίαν τοῦ Θεσσαλοῦ, γράφοντος ὧδέ πως ὑπὲρ τῆς τῶν κακοήθων ἑλκῶν ἰάσεως.

Εἰσὶ δὲ σφόδρα ἀναγκαῖαι καὶ αἱ κοινότητες αἱ τῶν χρονίων ἑλκῶν καὶ μὴ ὑγιαζομένων, ἢ κατουλουμένων, καὶ πάλιν ἀναλυομένων. πρὸς τῷ ἐπὶ μὲν τῶν μὴ συμφυομένων σκέπτεσθαι τί ἐστι τὸ ἐμποδίζον, καὶ τοῦτ' αἴρειν. τὸ δ' ἐπουλούμενον, καὶ ἀναξαινόμενον, ἀναγκάζειν κρατεῖν τῆς οὐλῆς, μετασυγκρίνοντας τὸ πάσχον μέρος. ἢ καὶ κοινῶς ὅλον τὸ σῶμα, καὶ δυσπαθὲς αὐτὸ ποιεῖν, διὰ τῶν αὐτὸ δρώντων βοηθημάτων. ταυτὶ μὲν οὖν ὁ Θεσσαλὸς ἐν τῷ περὶ χειρουργίας βιβλίῳ κατ' ἀρχὰς εὐθὺς προειπών, ἐν τοῖς ἐφεξῆς ἐπὶ πλεῖον ὧδέ πως ὑπὲρ αὐτῶν τούτων γράφει. τὰ δὲ χρόνια τῶν ἑλκῶν καὶ μὴ ὑγιαζόμενα, ἢ κατουλούμενα καὶ ἀναξαινόμενα, ἐμφαίνει. τὰ μὲν εἰς οὐλὴν μὴ συνερχόμενα, ἐκκόπτειν τὰ κωλύοντα τὴν σύμφυσιν γίνεσθαι, καὶ νεοτεροποιεῖν τοὺς πεπονθότας τόπους, καὶ παραπλήσια ποιήσαντας τοῖς νεοτρώτοις, πάλιν ἐναίμως ἰᾶσθαι. κἂν μὴ κρατηθῇ, παρηγορεῖν τὴν φλεγμονήν, καὶ τὴν λοιπὴν προσάγειν ἐπιμέλειαν. τὰ δ' εἰς οὐλὴν ἐρχόμενα καὶ ἀναλυόμενα, κατὰ μὲν τοὺς παροξυσμούς, καὶ τὰς ἑλκώσεις, ὁμοίως θεραπεύειν τοῖς προσφάτως φλεγμαίνουσι, καταπλάσμασι τοῖς παρηγοροῦσιν, ἕως ἂν παύσηται ἡ ἀγανάκτησις. ἐνδούσης δέ, συνεργεῖν εἰς ἐπούλωσιν. μετὰ δὲ ταῦτα, φοινίσσειν τὰ κύκλῳ μέρη πλατὺν περιλαμβάνοντας τόπον, τῷ διὰ τοῦ νάπυος μαλάγματι. ἢ τινὶ ἑτέρῳ μεταβάλλειν δυναμένῳ, καὶ τὴν εὐπάθειαν ἀναιρεῖν. μὴ ληγόντων δέ, καὶ κοινῶς ὅλου τοῦ σώματος ἐπιμέλειαν ποιεῖσθαι. μετασυγκρίνοντας αὐτὸ διὰ γυμνασίων ποικίλων, καὶ αἰώρας, καὶ ἀναφωνήσεως, περιόντων ἐμπείρων. καὶ διαίτης κατὰ πρόσθεσιν αὐξανομένης τε καὶ μειουμένης, ἀρχῆς ἐντιθεμένης διὰ τοῦ ἀπὸ ῥαφανίδων ἐμέτου. χρῆσθαι δὲ καὶ τῇ τοῦ λευκοῦ ἐλλεβόρου δόσει. καὶ τοῖς ἄλλοις ἅπασιν οἷς χρώμεθα ἐπὶ τῶν ὑπαγομένων διαίτῃ χρονίων καὶ δυσαποτρίπτων παθῶν.

Αὕτη μὲν ἡ τοῦ Θεσσαλοῦ ῥῆσις. ἄξιον δὲ θαυμάσαι τἀνθρώπου τὴν ἀναισθησίαν, ἢ τὴν τόλμαν. εἰ μὲν αὐτὸς ἑαυτὸν ἀνέπεισεν ὡς ὀρθῶς λέγει, τὴν ἀναισθησίαν. εἰ δ' ἐπιστάμενος ὡς οὐδὲν λέγει παρακρούεσθαι τοὺς ἀναγινώσκοντας ἅπαντας ἤλπικε, τὴν τόλμαν.

Ἐκ τῶν χρονίων ἑλκῶν, ὦ γενναιότατε, τίς ἔνδειξις γίνεται θεραπείας; ἐγὼ μὲν γὰρ οὔτ' ἐκ τούτων, οὔτ' ἐκ τῶν προσφάτων, οὔθ' ὅλως ἐκ χρόνου κατ' οὐδὲν τῶν νοσημάτων ἐξεῦρον οὐδὲ πώποτε τὴν θεραπείαν, ἀλλ' ἐξ αὐτῆς τῆς διαθέσεως, ἣν ἰᾶσθαί μοι πρόκειται. καθόλου γὰρ ἐὰν εἰς τὸν χρόνον ἀποβλέπῃ τις, ὡς ἔνδειξιν παρ' αὐτοῦ λαμβάνειν, ἑτέραν μὲν πάντως ἡ δευτέρα τῶν ἡμερῶν, ἑτέραν δ' ἡ τρίτη παρέξει τὴν ἔνδειξιν. οὕτως δὲ καὶ ἡ τετάρτη τῆς πέμπτης ἑτέραν. καὶ τούτων ἁπασῶν, ἡ ἕκτη. καὶ τῶν ἄλλων ἑκάστη τῶν μετὰ ταύτας. ὥστ' οὐκέτι τὰς διαθέσεις ἃς θεραπεύομεν, ἐπισκεψόμεθα. καὶ παρ' αὐτῶν ἔνδειξιν ληψόμεθα. καί τοι γε τούτου ἀλογώτερον, οὐδ' ἐπινοῆσαι δυνατόν ἐστι. πῶς οὖν ἀναγκαῖαι αἱ κοινότητες αἱ τῶν χρονίων ἑλκῶν εἰσιν, οὐδέν γε ἐνδείκνυσθαι δυναμένου τοῦ χρόνου καθ' ἑαυτόν; οὐ δήπου γοῦν ἐπειδὰν ὑπὸ κακοχυμίας ἕλκος ἀναβιβρώσκηται, διάφορον ἔνδειξιν ἀπ' αὐτοῦ ληψόμεθα μετὰ τέτταρας μῆνας, ἧς εὐθὺς ἐξ ἀρχῆς ἐλάβομεν. ἐγὼ μὲν οὐδ' ἂν ἐάσαιμι χρονίσαι τὸ τοιοῦτον ἕλκος, ἀλλ' εὐθέως ἀπὸ τῆς ἀρχῆς ἐκκόψαιμι τὴν αἰτίαν αὐτοῦ. καὶ γὰρ καὶ γνωρίζειν δυνατόν ἐστι τὴν διάθεσιν ἀπὸ τῆς ἀρχῆς ὡς τὰ πολλά. καὶ τὴν ἔνδειξιν ἀπὸ τῆς διαθέσεως λαμβάνειν, ἀναγκαῖον. ὁ χρόνος δέ τι πλέον ἡμᾶς διδάξει τοῦ τῶν ἡμερῶν ἀριθμοῦ, μὰ τοὺς θεοὺς οὐκ ἔχω συμβαλεῖν, πλὴν εἰ τοῦτο λέγειν ἠβουλήθη ὁ Θεσσαλός, ὡς εἰς διάγνωσιν τῶν τοιούτων ἑλκῶν, ἀναγκαῖον ἀναμεῖναι τὸν χρόνον. ἀλλ' οὕτω γε, πρῶτον μὲν ἂν ἰδιώτης εἴη παντάπασιν, εἰ μηδέποτε πρὸ τοῦ χρονίσαι τὸ ἕλκος ὁμολογεῖ διαγνῶναι δύνασθαι τὴν διάθεσιν. ἔπειτα δὲ σαφῶς ἂν ἔτι καὶ τοῦθ' ὁμολογήσειεν ὡς ἐξ ἄλλου μὲν ἡ τῆς ἰάσεως ἔνδειξις, ἐξ ἄλλων δὲ ἡ διάγνωσις γίνεται τῆς διαθέσεως. ἔστω γάρ τι συμβάλλεσθαι τὸν χρόνον εἰς τὴν διάγνωσιν. ἀλλ' ἥ γε ἔνδειξις τῆς ἰάσεως, οὐκ ἐκ τοῦ χρόνου. τί γὰρ ἂν εἴη πρὸς ἔπος, εἴ τι χρονίζει τῶν ἑλκῶν, ἐκκόπτειν τὰ κωλύοντα τὴν σύμφυσιν γίνεσθαι, καὶ νεωτεροποιεῖν τοὺς πεπονθότας τόπους; εἰ γὰρ διὰ ῥεῦμα κακόηθες, ὦ γενναιότατε, τὰ χείλη τοῦ ἕλκους ἐν διαθέσει τινὶ γέγονε, τί πλέον ἕξομεν; ἂν περικόψωμεν αὐτὰ πρὶν ἰάσασθαι τὸ ῥεῦμα, μεῖζον ἐργασόμεθα δηλονότι τὸ ἕλκος. ὥσπερ καὶ ποιοῦσιν ἔνιοι τῶν ὁμοίως ἐκείνῳ θεραπευόντων ἕλκη. τῆς γὰρ αἰτίας μενούσης, τῆς καὶ πρότερον αὐτὰ σκληρὰ καὶ τυλώδη ποιησάσης, οὐδὲν ἔσται πλέον ἐκ τοῦ περιτέμνειν ἄλλο γε, ἢ μέγεθος ἕλκους. πάλιν γοῦν ἐκεῖνα τὰ περιτμηθέντα, τοῖς πρότερον ὁμοίως ἔσται τυλώδη καὶ σκληρά. καί τοι γ' οὐδ' αὐτὸ τοῦτο προσέθηκεν ὁ σοφώτατος Θεσσαλός, ὡς ἐκκοπτέον ἐστὶ τὰ τυλώδη, καὶ σκληρά, καὶ κακόχροα τῶν ἡλκωμένων μορίων, ἀλλ' ἁπλῶς ἐκκόπτειν κελεύει τὰ κωλύοντα τὴν σύμφυσιν καὶ νεωτεροποιεῖν. εἰ μὲν οὖν ἐκκόπτειν τὰ κωλύοντα τὴν σύμφυσιν αἴτια συνεβούλευε, παλαιὸς τ' ἂν ἦν ὁ τοιοῦτος λόγος. ἐγώ τε, οὐδὲν ἂν ἐμεμφόμην αὐτῷ. παρῄνηται γὰρ ὑπὸ πάντων σχεδὸν τῶν παλαιῶν

ἰατρῶν

ἰατρῶν, οἵ γε λόγῳ τινὶ καὶ μεθόδῳ περὶ θεραπείας ἑλκῶν ἔγραψαν, ὡς ἐκκοπτέον ἐστὶ τὰς ἐργαζομένας αἰτίας αὐτά, καθάπερ οἶμαι καὶ τῶν ἄλλων ἁπάντων νοσημάτων. οὐ γὰρ δὴ ἐπὶ μὲν τῶν ἑλκῶν ἔτι μενούσης τῆς ποιούσης αὐτὰ αἰτίας, κάλλιον ἐκείνην πρότερον ἐκκόπτειν, ἐπὶ δὲ τῶν ἄλλων νοσημάτων, οὐ κάλλιον, ἀλλ᾽ ἐπὶ πάντων ἁπλῶς ὧν τὸ ποιοῦν ἔτι πάρεστιν, ἀπ᾽ ἐκείνου τῆς θεραπείας ἀρκτέον. εἰ δὲ τὰ κωλύοντα τὴν σύμφυσιν, οὐκ ἐπὶ τῶν αἰτίων ἁπάντων ὅσα ποιεῖν πέφυκε δρᾶν, ἀλλ᾽ ἐπὶ τῶν χειλῶν εἴρηκε μόνον, ὡς ἐξ ὧν ἐπιφέρει δῆλος ἐστὶν, πλέον ἀγνοεῖν ἔοικεν, ἢ γινώσκειν εἰς ἑλκῶν ἴασιν. εἴη μὲν γὰρ ἄν ποτε καὶ τοῦτο μόνον αἴτιον τοῦ μὴ θεραπεύεσθαι τὸ ἕλκος. εἴη δ᾽ ἂν οὐδὲν ἧττον, ὡς εἴρηται, καὶ ἡ χωρὶς ὄγκου παρὰ φύσιν ἐν τοῖς ἡλκωμένοις μέρεσι δυσκρασία, καὶ ἡ μετ᾽ ὄγκου μέν τινος, ἀλλ᾽ οὐ πάντως τοῦ γε περιτομῆς δεομένου. καὶ πρὸς τούτοις ἔτι σκίρρος ὑποβεβλημένος, ἢ ἁπλῶς μέγας, ἤ τις ἐν ἥπατι κακοπραγία. καὶ χωρὶς τούτων ἁπάντων ἀτονία τοῦ μέρους αὐτοῦ τοῦ πεπονθότος, ἐπίτασις οὖσα δυσκρασίας καὶ ἥδε. καὶ μὲν δὴ καὶ ἡ καθ᾽ ὅλον τὸ σῶμα κακοχυμία, μέγιστον τῶν αἰτίων, ὅσα λυμαίνεσθαι τοῖς ἕλκεσι πέφυκεν. ἐνοχλεῖ δ᾽ οὐδὲν ἧττον αὐτοῖς καὶ ἡ καλουμένη πληθώρα. τούτων ἕκαστον εἰ κελεύοι ἐκκόπτειν Θεσσαλός, ἐπαινῶ τὸν ἄνθρωπον, ὡς ἑπόμενον τοῖς παλαιοῖς. εἰ δὲ τὰ χείλη μόνον, ἓν ἐκ πολλῶν ἐγνώκει, ὃ μὴ δὲ τοῦτ᾽ αὐτὸ πολλοὺς λανθάνει. εἰ γὰρ σκληρὰ καὶ τετυλωμένα, καὶ πελιδνά, καὶ μέλανα, καί τινα ἄλλην ἐπίσημον ἄγνοιαν ἔχοντα. θεασάμενός τις αἰπόλος, ἕλκους χείλη, πάντως τολμήσει περικόπτειν αὐτά. καὶ γάρ τοι καὶ προχειρότατόν ἐστι τὸ περικόψαι. μεῖζον δέ γε καὶ τεχνικώτερον, ἰᾶσθαι φαρμάκοις. Θεσσαλὸς δέ, οὔτε τῶν ὑπὸ φαρμάκων δυναμένων μαλαχθῆναι χειλῶν εἰς γνῶσιν ἧκέ ποτε, καί γε καὶ λέγουσιν αὐτὸν ἀγνοῆσαι τελέως τοῦ τοιούτου μέρους τῆς τέχνης, ὥσπερ οὖν ἐμφαίνει καὶ αὐτός, οὐδ᾽ ὅλως ἐμπειρίαν ἢ λογικὴν ἐπιστήμην ἔοικεν ἔχειν οὐδενὸς φαρμάκου. καθότι καὶ τοῦτο διὰ τοῦ περὶ φαρμάκων ἐνδείκνυται βιβλίου. ἀλλὰ περὶ μὲν τῶν ἐν ἐκείνοις οὐκ ὀρθῶς εἰρημένων, ἐπὶ προσήκοντι τῷ λόγῳ διαλέξομαι. περὶ δὲ τῆς τῶν χρονίων ἑλκῶν ἰάσεως, ἣν ἐν τῇ προγεγραμμένῃ ῥήσει Θεσσαλὸς ἐποιήσατο, πρόκειταί μοι τό γε νῦν ἐπελθεῖν. ἄμεινον μὲν ἦν δήπου μὴ χρόνια καλεῖν, ἀλλὰ κακοήθη ταῦτα. καὶ τὴν φύσιν αὐτῶν ἐκδιηγήσασθαι. καὶ τὰς αἰτίας τῆς γενέσεως εἰπεῖν, καὶ τὴν θεραπείαν ἑκάστου. τὴν μὲν ὡς ἐφ᾽ ἕλκει κοινὴν ἁπάντων αὐτῶν, οἵαν ἐν τῷ τρίτῳ γράμματι διῆλθον. ἰδίαν δ᾽ ἐφ᾽ ἑκάστου, πρὸς τὸ τῆς ἐργαζομένης αἰτίας εἶδος, ὡς ἐν τούτῳ τῷ λόγῳ διωρισάμην. ὁ δ᾽ οὐδὲν τούτων ποιήσας, καὶ νεωτεροποιεῖν τοὺς ἡλκωμένους τόπους ἀξιοῖ, καὶ παραπλήσια τοῖς νεοτρώτοις ἀπεργασαμένους ἐναίμως ἰᾶσθαι. τοῦτο μέν γε ναὶ μὰ τὸν Ἀσκληπιὸν ἐναργῶς ἄν τις γνωρίσειε τοῖς ἔργοις τῆς τέχνης ἐγγεγυμνασμένος, ὡς ὑπ᾽ ἀνθρώπου γέγραπται ταῦτα μηδέ ποτε περινοήσαντος ἕλκους. ἐναίμως ἰᾶσθαι δύναταί τις, ἕλκος χρόνιον ὅμοιον τοῖς νεοτρώτοις ἐργασάμενος, ἀγκτῆρσι συναγαγών, ἢ ῥάψας αὐτοῦ τὰ χείλη. ἢ τούτων μὲν οὐδενί, ἐναίμῳ δέ τινι φαρμάκῳ καὶ μόνῃ τῇ αὐτοῦ θαρρήσας ἐπιδέσει. τίς οὐκ οἶδεν ὡς πᾶν ἕλκος κακόηθες εὐθὺς καὶ κοῖλον ἐστὶν, ὡς ἂν ἐξ ἀναβρώσεως γενόμενον. ἆρ᾽ οὖν, ὦ σοφώτατε Θεσσαλέ, πρὶν σαρκωθῆναι τὸ κοῖλον ἕλκος εἰς σύμφυσιν ἀχθῆναι δύναται; ἢ οὐ τοῦτ᾽ ἐστὶ τὸ ἐναίμως ἰᾶσθαι; μάτην κρίνω αὐτὸς σὺ τῶν κοίλων ἑλκῶν τὸν σκοπόν, οὐ κόλλησιν, ἀλλὰ πλήρωσιν ἔγραψας. εἰ δὲ καὶ μὴ δι᾽ ἑαυτὸ κοῖλον ἦν ἅπαν ἕλκος κακόηθες, ἀλλά τοι γ᾽ ἐν τῷ νεοτεροποιεῖν αὐτοῦ τὰ χείλη περικόπτοντας ὡς σὺ κελεύεις, ἐξ ἀνάγκης οἶμαι καὶ κοῖλον γίνεται, καὶ πλείστην ἴσχει τῶν χειλῶν τὴν διάστασιν. ὥστ᾽ οὐκ οἶδα πῶς ἔτι κολλήσεις αὐτό, καὶ συμφύσεις ἐναίμως. εἰ γὰρ προσάγειν ἐπιχειρήσεις βιαίως τὰ διεστῶτα πάμπολυ χείλη, φλεγμανεῖ μὲν ἐξ ἀνάγκης, οὐ συμφύσεται δέ, τοῦτο καὶ μόνον συνεῖναί μοι δοκεῖ Θεσσαλὸς ἐπιφέρει γοῦν, κἂν μὴ κρατηθῇ, προηγορεῖν τῇ φλεγμονῇ. ἄμεινον δὲ ἦν γράψαι, καὶ μὴ κρατηθείσης προηγορεῖν τὴν φλεγμονήν. ἐξ ἀνάγκης γὰρ οὐ κρατηθήσεται. ἀλλ᾽ εἰ καὶ τοῦτο συγχωρηθείη τῷ Θεσσαλῷ, καὶ παρέλθοιμεν αὐτό, καὶ μὴ λίαν ἀκριβῶς ἐξετάζοιμεν, ὅτι γε τελέως ἀποκεχώρηκε τῆς κοινότητος ἧς αὐτὸς ὑπέθετο, πρόδηλον παντί. εἰ γὰρ τὸ ἐμποδίζον ἐξαιρήσομεν, οὐδὲν ἔτι περὶ τῆς τῶν χρονίων ἑλκῶν ὡς χρονίων κοινότητος λαμβανόμεθα. ἀλλ᾽ ἔσω καὶ τοῦτο θέσθαι μεθεὶς τὰ ἐφεξῆς. γράφει γοῦν ὧδε. τὰ δ᾽ εἰς οὐλὴν ἐρχόμενα καὶ ἀναλυόμενα, κατὰ μὲν τὰς προχύσεις καὶ τὰς ἑλκώσεις, ὁμοίως θεραπεύειν τοῖς προσφάτως φλεγμαίνουσι. μετὰ δὲ ταῦτα φησί. φοινίσσειν τὰ κύκλῳ μέρη τῷ διὰ τοῦ νάπυος μαλάγματι. τί φῂς ἄνθρωπε, κἂν δριμύ, κἂν θερμὸν ῥεῦμα τὸ φερόμενον ᾖ, φοινίσσειν χρὴ νάπυϊ τὸ μόριον; ὅπερ ἐν πολλῷ χρόνῳ πάσχειν ὑπὸ τοῦ ῥεύματος ἔμελλεν, ὑπὸ τοῦ Θεσσαλείου ταχέως πάθοι φαρμάκου, πᾶν ἑλκῶδές τε καὶ ἀναβρωθέν; τὰς γὰρ διὰ ψύξιν, ἢ ὑγρότητα πολλὴν, ἄνευ θερμασίας ἐπιφανοῦς ἀτονίας τῶν μερῶν, φοινιγμοῖς ἐθεράπευον οἱ παλαιοί. σὺ δ᾽ ἑξῆς ἐπὶ πάντων γράφεις, πρῶτον μὲν αὐτὸ τοῦτο μὴ διορισάμενος, εἴτε δι᾽ ἀτονίαν τοῦ μέρους, εἴτε διὰ κακοήθειαν τοῦ ῥεύματος, οὐ θεραπεύεται τὸ ἕλκος. ἔπειτα δ᾽ ὑπαλλάττων τὴν τάξιν. ὅταν γὰρ κατακαύσῃς τῷ νάπυϊ τὸ μέρος, ἀνύσεις μηδέν, ἐπὶ τὴν τοῦ παντὸς σώματος ἔρχῃ θεραπείαν. ἔμπαλιν δ᾽ οἶμαι καὶ τῷ λόγῳ καὶ τῇ πείρᾳ περὶ τούτων ἔγνωσται, τὸ σύμπαν σῶμα πρότερον ἀπέριττον ἐργασαμένους, τολμᾶν ἐπιφέρειν τι τῷ μορίῳ θερμαῖνον καὶ δριμὺ φάρμακον. ἕλκειν γὰρ ἐφ᾽ ἑαυτὰ πέφυκεν ἐξ ὅλου τοῦ σώματος ἅπαντα τὰ τοιαῦτα, δίκην σικύας. ἐὰν μὴ φθάσῃς κενώσας αὐτό, χορηγίαν ῥεύματος ἐγκαταλείψεις τῷ δριμεῖ φαρμάκῳ. τοῦτο καὶ τοῖς ἐμπειρικοῖς ἰατροῖς ὁμολογεῖται, καὶ τοῖς δογματικοῖς. τοῦτο καὶ τοῖς ἀρίστοις ἔδοξε τῶν φιλοσόφων. ἐπειδὴ γὰρ κἀκείνων μέμνηται Θεσσαλός, οὐ χεῖρον αὐτοὺς ἐπικαλέσασθαι μάρτυρας. ὡς ὀφθαλμὸν οὐκ ἐγχωρεῖ καλῶς ἰάσασθαι πρὸ τῆς ὅλης κεφαλῆς. οὐδὲ ταύτην ἄνευ τοῦ παντὸς σώματος. οὕτως Ἀριστοτέλης καὶ Πλάτων ἐγίνωσκον ὑπὲρ νοσημάτων ἰάσεως. οὕτω δὲ καὶ Ἱπποκράτης, καὶ Διοκλῆς, καὶ Πραξαγόρας, καὶ Φιλότιμος, καὶ πάντες οἱ παλαιοί. Θεσσαλὸς δὲ μόνος ἔμπαλιν ἐπὶ τὸ διὰ τοῦ νάπυος ἥκει φάρμακον πρῶτον. εἶθ᾽ ὕστερον ἐπιμελεῖται τοῦ παντὸς σώματος. οὔκουν οὐδ᾽ ἐνταῦθα φρονίμως οὐδὲν ὑποτιθέμενος. ἐνὸν γὰρ ἅπαξ ἐκκενώσαντα τὸ σῶμα καθαίροντι φαρμάκῳ, μετὰ τοῦτο χρηστῶς ἀνατρέφειν, ἀναφωνήσεσί τε, μέμνηται καὶ γυμνασίων. αἰωρήσεσί τε καὶ διαίτης ἐκ περιόδου μεταβαλλομένης.

καί τινος ἀπὸ ῥαφανίδων ἐμέτου. κἄπειτα τὸν κολοφῶνα τούτοις ἐπάγει, τὸν ἐλλέβορον αὐτόν, ὁ χθὲς περιεργείας ἐπαγγειλάμενος ἅπαντα θεραπεύειν. ἐγὼ δ᾽ οὐδ᾽ ἐπινοῆσαι δύναμαι, πῶς ἄν τις χεῖρον ἢ μακρότερον, ἢ περιεργότερον ἕλκος ἰάσαιτο. φέρε γὰρ ἵν᾽ ὥσπερ ἔργῳ πολλάκις ἑωράκαμεν, οὕτω καὶ τῷ λόγῳ πλάσωμεν ἄνθρωπον ἰάσεως ἕλκους κακοήθους δεόμενον. ἔστω τις ὑγιαίνων μὲν τἄλλα, κνησάμενος δ᾽ ἐξαίφνης ὁτιοῦν μόριον, εἰ βούλει πῆχυν, ἐγειράτω παραχρῆμα φλυκταίναν. εἶτ᾽ αὖθις καὶ αὖθις κνησμώδους γιγνέσθω ταὐτὸ τοῦτο μόριον. ἐκραγείσης δὲ τῆς φλυκταίνης, ἕλκος κακόχουν ἀνωμάλως ἀναβιβρωσκόμενον γεννάσθω. καὶ ταῦτ᾽ ἐν τρισὶν ἢ τέτταρσιν ἡμέραις ἀπὸ τῆς ἀρχῆς συμπιπτέτω. λεγέτω δή τις ἐνταῦθά μοι τῶν Θεσσαλείων ἰατρῶν, ὅντινα χρὴ τρόπον ἰᾶσθαι τὸ τοιοῦτον ἕλκος. ἐγὼ μὲν γάρ φημι, κακόηθές τε πάντως ὑπάρχειν αὐτό. καὶ διὰ τοῦτο συνεπισκέψομαι παραχρῆμα τὴν τοῦ παντὸς σώματος διάθεσιν, ὁποία τίς ἐστιν. εὑρήσω γὰρ ἔκ τε τῶν περὶ τὸ ἕλκος συμπτωμάτων, κἀκ τῶν περὶ σύμπαν τὸ σῶμα φαινομένων σημείων, ὁποῖος μάλιστα τὴν ἰδέαν ἐστὶν ὁ πλεονάζων χυμός. καὶ τοῦτον ἐκκενώσω φαρμάκῳ παραχρῆμα. καὶ οὐκ ἀναμενῶ τὸν πῆχυν ὅλον τοῦ ἀνθρώπου, διάθεσιν τινὰ κακοήθη καὶ δυσίατον ἔχειν. οἱ δ᾽ ἀπὸ τοῦ Θεσσαλοῦ, τὰς ἐκείνου δηλονότι φυλάττοντες ὑποθήκας, περιμένουσι χρόνιον γενέσθαι τὸ ἕλκος, ἵν᾽ εἰς τὴν θαυμαστὴν ἐμπέσῃ κοινότητα τῶν χρονίων ἑλκῶν ὥσπερ οὐκ ὂν ἄμεινον μακρῷ, κακοήθων ἑλκῶν, ἀλλὰ μὴ χρονίων, ἐνδεικτικὴν θεραπείας ὑποθέσθαι κοινότητα. εἶτα δυοῖν θάτερον, ἢ ἐκκόψουσι καὶ νεωτεροποιήσουσιν ἢ συνάξουσιν ὡς εἰς κόλλησιν, ἢ πρῶτον μέν, τῷ διὰ τοῦ νάπυος χρήσονται φαρμάκῳ. τούτου δ᾽ ἀνύσαντος μηδέν, ἐπὶ τὰς ἀναφωνήσεις τε καὶ τὰς αἰωρήσεις καὶ τὰ ἄλλα γυμνάσια, καὶ τὰς τῆς διαίτης κατὰ περιόδους μεταβολὰς ἀφίξονται. κἄπειτα καὶ τοῖς ἀπὸ ῥαφανίδων ἐμέτοις χρήσονται. καὶ μὴ δὲ τούτων ἰασαμένων τὸ ἕλκος, ἐλλέβορον δώσουσιν. ἂν δὲ μηδ᾽ οὗτος ἀνύσῃ μηδέν, ἀποπέμψουσιν εἰς Λιβύην τὸν ἄνθρωπον. ἔτι γὰρ τοῦτ᾽ ἔλειπε προσγεγράφθαι τὸν Θεσσαλὸν ἐπὶ τῇ θαυμαστῇ τῶν ἑλκῶν τῶν κακοήθων ἰάσει. κατατρίβει γοῦν ἐν ἀναφωνήσεσιν αἰώραις τε καὶ τοῖς τοιούτοις, ὥσπερ καχεξίαν, ἀλλ᾽ οὐ κακοχυμίαν θεραπεύων. καὶ τί θαυμαστόν, εἰ μή τε γνωρίζειν ὁμολογοῦσιν ἄρτι συνιστάμενον ἕλκος κακόηθες, ἀναμένουσί τε χρόνιον αὐτὸ γενέσθαι, καὶ πολλάκις μὲν ἐπουλωθῆναι, πολλάκις δ᾽ ἀναλυθῆναι, πρὸ τοῦ γνῶναι τί ποιητέον ἐστίν, ὅπου καὶ τοὺς ὁπωσοῦν πυρέξαντας ὑπερβάλλειν ἀξιοῦσι τὴν διὰ τρίτης ἡμέρας ἤτοι γενησόμενον, ἢ μὴ γενησόμενον παροξυσμόν. οὕτως ἀκριβῶς ἄρα τὴν περὶ κρίσεων ἐκμεμαθήκασι θεωρίαν. ἢ τῆς μελλούσης ἀκμῆς τοῦ νοσήματος ὑπάρχουσι προγνωστικοί. τί δὴ συμβαίνει πολλάκις; ὑπὲρ τῆς κλίνης κατασήπεσθαι τοὺς ἀνθρώπους ὑπ᾽ αὐτῶν, ἀπηλλάχθαι δυναμένους εὐθὺς ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν. οὐχ ἅπαξ γὰρ ἡμεῖς, ἢ δίς, ἢ τρίς, ἀλλὰ μυριάκις αὐτοί τε πολλοὺς τῶν πυρεξάντων ἐλουσάμεθα, ἅμα τῷ παύσασθαι τὸν πρῶτον παροξυσμόν. τούς τε διδασκάλους ἡμῶν ἐθεασάμεθα ταὐτὸ τοῦτο ποιοῦντας. ἀδεῶς τε τοῦ λοιποῦ διαιτᾶσθαι συνεχωρήσαμεν, ὡς οὐκ ἂν ἔτι πυρέξοντας, οὓς ὁ σοφώτατος Θεσσαλός, ὁ τὴν πρώτην διάτριτον ἐξευρών, ἐταρίχευσεν ἂν ὅλαις, οἶμαι, τρισὶ λιμοκτονίαις ἡμέραις. εἶθ᾽ οὕτως ἔθρεψεν ἂν οἶμαι δηλαδὴ μετρίως τεταρταίους. εἶτα κατ᾽ ὀλίγον ἀνακομίζων, μόλις ἑκταίους ἢ ἑβδομαίους ἀπέπλησεν ἂν ἐπὶ τὰ συνήθη τοὺς ἅπαξ πυρέξαντας. οὕτως ἀεὶ κατασήπουσι τοὺς ἀνθρώπους ἐν τοῖς πάθεσι, κἂν ἀπαλλαγῆναι ῥᾳδίως αὐτῶν ᾖ δυνατόν. ὀλιγίσταις οὖν ἡμέραις, οἷόν τε θεραπευθῆναι κακόηθες ἕλκος ἀρχόμενον, ὁ Θεσσαλὸς εἰς ἐνιαυτὸν ἢ καὶ πλείονα χρόνον ἐκπίπτειν ἐᾷ. τὸ γὰρ ἀναμένειν πολλάκις μὲν αὐτὸ συνουλωθῆναι, πολλάκις δ᾽ ἀναλυθῆναι, ἵν᾽ εἰδῇ εἰ κακόηθες, κἄπειτα τῆς θεραπείας ἀρξάμενον, οὐδ᾽ οὖν οὐδὲ τότε καθαίρειν εὐθύς, ἀλλὰ τῷ διὰ τοῦ νάπυος μὲν πρῶτον, εἶθ᾽ αἰώραις, ἀναφωνήσεσί τε καὶ διαίταις χρῆσθαι, κἄπειτα ῥαφανίσιν, εἶθ᾽ οὕτως ἐλλεβόρῳ, τί ἄλλο, ἢ ἐνιαυτὸν ἀναμένοντός ἐστιν; εἶτ᾽ ὦ πρὸς θεῶν, ἐξ ἡμερῶν ἢ τὸ πλεῖστον ἑπτά, δυνάμενοι τὸν ἄνθρωπόν τε θεραπεύεσθαι, μῆνας ἀναμένουσι πολλούς. ἵνα δηλαδὴ πρῶτον μὲν γνῶμεν εἰ χρόνιόν ἐστιν, ἔπειτα δ᾽ ἀρξώμεθα τῆς θεραπείας. καὶ τίς ἦν ἀνάγκη χρονίων ἑλκῶν ἰδίαν ὑποθέσθαι κοινότητα, μηδὲν εἰς τὰς ἰάσεις ἡμᾶς ὠφελοῦσαν; ἐνὸν μὴ χρονίων, ἀλλὰ κακοήθων, οὐ κοινότητα μὰ Δία, οὐδὲ τούτων ἐνδεικτικήν, ἀλλὰ θεραπείαν γράψαι. συμβέβηκε μὲν γὰρ τισὶν ἕλκεσί τε καὶ νόσοις κακοήθεσιν ὑπάρχειν, οὐ μὴν ἀπὸ τούτου γε ἡ τῆς θεραπείας ἔνδειξις. ἀλλ᾽ ἡ μὲν διάθεσις αὐτὴ τὸν πρῶτον τῆς ἰάσεως ὑπαγορεύει σκοπόν, ἐξ ἐκείνου δ᾽ εὑρίσκεται τὰ ποιητέα, καθ᾽ ὃν ἐγὼ διελήλυθα τρόπον. ὥστε τοῦτ᾽ ἐστὶ τὸ μεθόδῳ θεραπεύειν, ὃ ποιοῦμεν ἡμεῖς ἑπόμενοι τοῖς παλαιοῖς. εἴγε χρὴ τὴν μέθοδον ὁδόν τινα εἶναι καθόλου μίαν ἁπάντων κοινὴν τῶν κατὰ μέρος. ὁ δέ γε κἀν τούτῳ σφάλλεται, καὶ τὸ πάντως ὑπάρχον τοῖς ὁπωσοῦν μεθόδῳ ποιοῦσι, τοῦτο τὴν μέθοδον αὐτὴν εἶναι νομίζει. γνῶσιν μὲν γὰρ ἔχειν ἀναγκαῖόν ἐστι τὸν μεθόδῳ πᾶν ὁτιοῦν ἐργαζόμενον, ὁμοιότητός τε καὶ ἀνομοιότητος, οὐ μὴν αὐτό γε τοῦτ᾽ ἐστὶν ἡ μέθοδος, ὁμοίου τε καὶ ἀνομοίου γνῶσις. οὐδὲ τοῦτο λέγει Πλάτων ἢ Ἀριστοτέλης ὧν τολμᾷ καταψεύδεσθαι Θεσσαλός. ἀλλὰ γὰρ οὐ τοῦ παρόντος καιροῦ ταῦτ᾽ ἐξελέγχειν. αὖθις οὖν ἐπὶ τὴν θεραπευτικὴν μέθοδον ἐπάνειμι, καὶ δείξειν ἐπαγγέλλομαι τήν τε ἀρχὴν αὐτῆς μίαν ἐν ἁπάσαις ταῖς ἰάσεσι, τήν τε ἀπὸ τῆς ἀρχῆς ὁδὸν ἕως τοῦ τέλους, ὁμοίαν ἐν ἅπασι τοῖς κατὰ μέρος. ὥστ᾽ εἰ καὶ καθ᾽ ἕκαστον πάθος, ἰδία τις φαίνοιτο μέθοδος ἰάσεως, ἀλλὰ τό γε κοινὸν ἐφ᾽ ἁπάσαις γένος, ἓν ὑπάρχει. ἄρχεσθαι μὲν γὰρ ἀεὶ χρὴ τῆς ἐνδείξεως, ἀπὸ τῆς διαθέσεως ἣν θεραπεύειν ἐπιχειροῦμεν. ἐπισκέπτεσθαι δὲ καὶ διορίζεσθαι, πότερον ἤδη πέπαυται τὸ ποιῆσαν αἴτιον τὴν διάθεσιν, ἢ καὶ νῦν ἔτι συνεπαύξει τε καὶ ποιεῖ. κἄπειτα πεπαυμένου μὲν ἐπὶ τὴν ἐν τῷ τρίτῳ τῶνδε τῶν ὑπομνημάτων εἰρημένην μέθοδον ἰτέον. ἔτι δὲ ποιοῦντος, ἐπὶ τὴν ἐν τῷδε. τῇ γὰρ αὐτῇ μεθόδῳ τῇδε, καὶ φλεγμονῆς, καὶ πυρετοῦ, καὶ πάντων ἁπλῶς τῶν νοσημάτων τὰς ἰάσεις, ἐξευρήσομεν εἰ μὲν μηκέτι γίγνοιτο μηδέν, μὴ προσχρώμενοι τοῖς προηγησαμένοις αἰτίοις, ἀλλ᾽ ἐξ αὐτῆς μόνης τῆς διαθέσεως ὁρμώμενοι. εἰ δέ τι καὶ νῦν γίγνοιτο, καὶ διττὸν σκοπὸν τῆς θεραπείας ὑποτιθέμενοι, καὶ τἄλλ᾽ ἑξῆς ὡς εἴρηται ποιοῦντες. ἀλλὰ γὰρ καὶ τῆς ἀναισθησίας τῶν ἑπομένων τῷ Θεσσαλῷ θαυμάζειν ἄξιον. οὐκ ἐπειδὰν

ἐν τοῖς

ἐν τοῖς τοιούτοις ἁμαρτάνωσιν, ἀλλ' ὅτι δυσπαθείας τε καὶ μετασυγκρίσεις, ἀτονίας τε καὶ ῥώσεις, καὶ πολλὰ τοιαῦθ' ἕτερα λέγοντος ὀνόματα, σημαινόμενα πρὸς αὐτοῦ οὐδέπω καὶ νῦν ἐρωτηθέντος, ἀποκρίνασθαι δύνανται. τί γάρ ἐστι τὸ μετασυγκρίνειν τὴν ἕξιν ἐπὶ τῶν χρονιζόντων ἁπάντων, οὐθ' ὡσαύτως ἀλλήλοις, οὔτε σαφῶς, οὔτε συνεχῶς ἀποκρίνονται. εἰ μὲν οὖν ἢ παλαιὸν ἢ παρά τινι τῶν Ἑλλήνων ἦν γεγραμμένον τοὔνομα, τάχ' ἂν ἴσως ἐξ ὧν ἐκεῖνοι γράφουσιν ἐνοήσαμεν ἐφ' ὅτου πράγματος ἐπιφέρουσιν αὐτό. νυνὶ δὲ, τῆς γὰρ τούτων ἐμπληξίας ἐστὶν οἰκεῖον, ἀπὸ τῆς Ἀσκληπιάδου γεγονημένων ὑποθέσεως ὥσπερ καὶ τἆλλα αὐτῶν δόγματα, δίκαιοι δήπουθεν εἰσί, τοὺς ἰδίους ὀνείρους ἐξηγεῖσθαι. ὅθεν συγκρίνεσθαι τὰ σώματα καὶ διακρίνεσθαι τοῖς ὄγκους καὶ πόρους ὑποθεμένοις, ἢ ἄτομα καὶ κενὸν, ἢ ὅλως ἀπαθῆ καὶ ἀναλλοίωτα τὰ πρῶτα στοιχεῖα, μόνοις ἐγχωρεῖ λέγειν, ὥσπερ οὖν καὶ λέγουσι καὶ συνεχῶς αὐτοὶ χρῶνται τοῖς ὀνόμασι. καὶ δῆτα καὶ ὁ Θεσσαλὸς ἐν τῷ κανόνι ταύτας κατασκευάζων τὰς ἀρχὰς, νεωτεροποιεῖ μέν τι κἀκεῖ παρὰ τὰ Θεμίσωνί τε καὶ Ἀσκληπιάδει δοκοῦντα. διδάσκει δ' οὖν ὅμως τὴν ἑαυτοῦ γνώμην οὐκ ἀσαφῶς. οὐ γὰρ ἁπλῶς ὡς Ἀσκληπιάδης ἐν συμμετρίᾳ μέν τινι πόρων, τὸ ὑγιαίνειν ἡμᾶς ὑποθέμενος, ἐν ἀμετρίᾳ δὲ, τὸ νοσεῖν, ἐπάνοδον εἶναι τὴν θεραπείαν εἰς τὴν ἀρχαίαν συμμετρίαν τῶν πόρων ὑπέλαβεν, οὕτω καὶ ὁ Θεσσαλὸς, ἀλλὰ τὸν τρόπον τῆς ποροποιίας ὅλον ὑπαλλάττεσθαι νομίζει. κἂν ταύτης τῆς ὑπολήψεως ἥκει τὸ μετασυγκρίσεως ὄνομα, ταυτὸν δηλοῦν δυνάμει, τῷ τῆς μεταποροποιήσεως. οὐκ ἐχρῆν δ' αὐτὸν ἐν οἷς ἀποχωρεῖν τῶν ἀδήλων κελεύει, καὶ μόναις προσέχειν τὸν νοῦν ταῖς ἐναργῶς φαινομέναις κοινότησιν, ἐν τούτοις ἔτι δογματικοῖς χρῆσθαι τοῖς ὀνόμασιν. ἀλλὰ μὴ δογματικῶς ἄκουε λέγοντος αὐτοῦ φασιν, ἀλλ' ἀφελῶς. εἰώθασι γὰρ οὕτως ἀντιλαμβάνεσθαί τινος τῶν ἀπ' αὐτοῦ. πάλιν ἐφ' ἕτερον ἡμᾶς ἄγοντος ὄνομα τὴν ἀφέλειαν, ἣν οὐδ' αὐτὴν, ἔγωγ' οὖν ἔχω νοῆσαι τί δηλοῖ. εἰ μὴ γὰρ ὡς αὐτοὶ καὶ τοῦτ' ἐξηγοῦνται, πάλιν εἰς ἕτερον ὄνομα μεταλαμβάνοντος ληρωδέστερον τὸ βιωτικῶς, εἶτ' αὖθις καὶ τοῦτ' ἐξηγούμενοι, φασὶ δηλοῦσθαι πρὸς αὐτοῦ τὸ τοῖς πολλοῖς τῶν ἀνθρώπων ὡσαύτως. ἴσον ἂν εἴη δήπου τὸ ἀφελῶς, τῷ μὴ διηκριβωμένως μηδ' ἀκριβῶς, ἀλλ' ἀτέχνως τε καὶ χωρὶς ἐπιστήμης ἁπάσης. φθέγγονται μὲν γὰρ οἱ προπετέστεροι τῶν ἀνθρώπων ὀνόματα τεχνικὰ μετά τινων ὑπονοιῶν, οὐδὲν ἐχούσων ὅρισμα. τοῖς δ' ἐρωτήσασιν ὅ, τί ποτε δηλοῦσιν, οὐκ ἔχουσιν ἀποκρίνασθαι σαφῶς. εἰ δὲ τοῦθ' ὁμολογοῦσι καὶ οἱ Θεσσάλειοι πεπονθέναι, φθέγγεσθαι μέν τινα, μὴ γινώσκειν δ' ἀκριβῶς ἃ λέγουσιν, αὐτὸ δήπου προσίενται τὸ πρὸς ἡμῶν αὐτοῖς ὀνειδιζόμενον. ἡ γοῦν μετασύγκρισις, εἰ μὲν ἐπὶ τοῦ τὴν ποροποιίαν ἐναλλάττεσθαι λέγοιτο, νοῦν μὲν ἕξει τινὰ, καὶ δηλώσει τι πρᾶγμα. ληρώδης δ' ἔσται πολυειδῶς. οὔτε γὰρ ἐξ ὄγκων καὶ πόρων τὰ σώματα ἡμῶν συνέστηκεν, οὔτ' εἰ καὶ τοῦτ' ἀληθὲς ἦν, ἔχει τις δεῖξαι, πῶς ἐξαλλάττει τὸ νᾶπυ τὴν ποροποιίαν. οὔτ' εἰ καὶ τοῦτ' ἔχει τις δεῖξαι, κατὰ τὴν ἀκολουθίαν ἦν τῆς αἱρέσεως αὐτῶν, ἀρκεῖσθαι φασκόντων ταῖς φαινομέναις κοινότησι. μὴ τοίνυν μηδὲ χρήσθωσαν τῷ ὀνόματι. μηδὲ πράγματα ἡμῖν παρεχέτωσαν. ἔνεστι γὰρ δήπου καὶ χωρὶς τοῦ χρήσασθαι τῷ τῆς μετασυγκρίσεως ὀνόματι, τὴν θεραπείαν εἰπεῖν τῶν χρονιζόντων ἑλκῶν ἑτέροις ὀνόμασιν, ὥσπερ καὶ οἱ ἐμπειρικοὶ ποιοῦσιν. ὅτι δὲ καὶ ἡ τῆς ἀτονίας προσηγορία κατὰ τὸν αὐτὸν τρόπον φλυαρεῖται, δέδεικται πρόσθεν ἐν τῷ δευτέρῳ λόγῳ. εἰ μὲν γὰρ ὡς ἐμπειρικοὶ προφέρονται τοὔνομα, πλέον οὐδὲν δηλοῦσι τοῦ μὴ σώζεσθαι τὴν ἐνέργειαν. εἰ δέ τινας ὑποτίθενται δυνάμεις τὸ ζῶον διοικεῖν, οἵας ἡμεῖς τε λέγομεν, ἅπαντές τε σχεδὸν οἱ παλαιοὶ, πρὸς τῷ τοῖς Ἀσκληπιάδου δόγμασιν ἐναντία τίθεσθαι, καὶ τῶν ἀδήλων τε καὶ διαπεφωνημένων ἐφάπτονται. καί τοι φεύγειν ταῦτα παρακελευόμενοι. τί λέγεις ἄνθρωπε; τὸ μετασυγκρίνειν, ἀποσαφήνισον ἡμῖν. εἰ μὲν γὰρ τοὺς πόρους ὑπαλλάττειν, καὶ ψεύδῃ, καὶ τῶν ἀδήλων ἐφάπτῃ. εἰ δ' αὐτὸ τοῦτο τὸ ῥώννυσθαί τε καὶ ὑγιάζεσθαι τὸ μόριον τοῦ σώματος, ἢ τὸν ἄνθρωπον ὅλον, οὐδὲν ἂν πλέον ἐνταῦθα τῶν ἐμπειρικῶν ἀποφαίνῃ, πλὴν ὀνόματος. γιγνώσκουσι γὰρ δήπου κἀκεῖνοι τῶν δέ τινων προσαγομένων τῶν βοηθημάτων ὑγιάζεσθαι τὸν ἄνθρωπον. ἀλλὰ τί ποιούντων αὐτῶν, οὐκ ἴσασιν. οὔτε γὰρ εἰ τοὺς πόρους ὑπαλλάττουσιν αἱ δυνάμεις τῶν βοηθημάτων, οὔτ' εἰ συμμετρίαν αὐτοῖς ἐκπορίζουσιν, οὔτ' εἰ σύμπαν ἀλλοιοῦσι κατὰ ποιότητα τὸ θεραπευόμενον μόριον, ἔχει τις εἰπεῖν τῶν ἐμπειρικῶν. ἐκεῖνοι μὲν οὖν σωφρονοῦσιν ἓν μόνον ἐπίστασθαι λέγοντες, ὡς τῷ τοιῷδε νοσήματι, κατὰ τόνδε τὸν καιρὸν, προσφερομένου τοῦ διὰ νάπυος φαρμάκου, πολλάκις ἐτήρησαν ὠφέλειαν ἀκολουθοῦσαν. οὐ μὴν μεθόδους γε φθέγγονται, καὶ τὰς ὀφρῦς ἀνατείνουσι καὶ σεμνύνονται τῇ τοιαύτῃ γνώσει, καὶ τοῖς παλαιοῖς λοιδοροῦνται, καὶ τὸν Ἱπποκράτην τὸ μηδὲν ὑπειλήφασιν, ἀλλ' αὐτὸν τοὐναντίον ἐπαινοῦσί τε, καὶ σχεδὸν ἅπαντα φασὶν ἀληθεύειν αὐτόν. ὁ δὴ καὶ τούτου καὶ τῶν ἄλλων ἰατρῶν ἁπάντων καταφρονήσας Θεσσαλὸς, ἕλκους κακοήθους ἐμπειρικὴν ἀναγράφων διδασκαλίαν, οὐκ αἰσθάνεται. καί τοι γ' εἰ καὶ τοῦτο δεόντως ἐποίησεν, ἦν ἄν τι πλέον ἐξειργασμένος. ἀλλὰ γὰρ οὐδὲ τοῦτο ποιεῖν ἔοικεν, ὑπαλλάττων τὴν τάξιν τῶν βοηθημάτων. καὶ πρότερον χρώμενος τῷ τοῦ πεπονθότος μέρους, πρὶν ἂν τὸ σύμπαν σῶμα παρασκευάσαι. τοῦτο γὰρ ὑπερβολὴν ἀμαθείας ἔχει. μόνον γοῦν σχεδόν τι τοῖς ἰατροῖς ἅπασιν ὡμολόγηται, καί τοι γε τῶν πλείστων διαπεφωνημένων, τὸ πᾶν σῶμα κενὸν καὶ ἀπέριττον ἐργάζεσθαι, πρὶν ὁτιοῦν μόριον ἰσχυροῖς ὑποβάλλειν βοηθήμασιν. εἴτε γὰρ τῇ πείρᾳ κρίνειν ἐθέλει τις ἂν, εἴτε καὶ τῷ λογισμῷ, τρίτον γὰρ οὐδὲν ἕτερον κριτήριον, οὔτε κατ' ἄλλην τέχνην, οὔτε καθ' ὅλον τὸν βίον ἔχομεν, εὑρήσει μέγιστον κακὸν ὑπάρχον, ὅταν τοῦ παντὸς σώματος ἐπικουρίας δεομένου, πρὶν ἐκείνου προνοήσασθαι, τῷ πεπονθότι μορίῳ προσφέρει τις ὁτιοῦν δριμὺ καὶ θερμὸν φάρμακον. ἕλκει γὰρ ἐφ' ἑαυτὸ δίκην σικύας ἐξ ὅλου τοῦ σώματος τὰ περιττώματα. καὶ στηρίζει δυσλύτως κατὰ τὸ πεπονθὸς μέρος. ἄξιον οὖν ἔρεσθαι τοὺς Θεσσαλείους πόθεν ἐπῆλθε τοιαῦτα φλυαρεῖν ὑπὲρ ἑλκῶν κακοηθῶν ἰάσεως. οὔτε γὰρ ἐμπειρικὸς οὐδεὶς τῶν πρόσθεν, οὔτε λογικὸς ἀνὴρ οὕτως ἔγραψεν. ἀλλὰ μὴν οὐδ' αὐτὸς ὁ Θεσσαλὸς, οὐδὲ τῶν ἀπ' αὐτοῦ τις τολμήσειεν εἰπεῖν, ἢ τῇ πείρᾳ συμφωνεῖν, ἢ τῷ λογισμῷ τὴν τοιαύτην τάξιν τῶν βοηθημάτων. οὐ μὴν οὐδὲ δεῖξαι δύνανται πῶς ὁ χρόνος οὐχ ἡ διάθεσις ἐνδείκνυται. καὶ τὸ τούτου μεῖζον ἐστὶ πῶς αὐτὸς ὁ Θεσσαλὸς ἀξιῶν σκέπτεσθαι τί τὸ ἐμποδίζον ἐστὶ τὴν συνούλωσιν τῶν ἑλκῶν, καὶ τοῦτ' ἐκκόπτειν, οὐχὶ τελέως ἐστὶν ἀναίσθητος;

ἅμα μὲν οὐκ εἰδὼς, ὡς τοῦτ' ἀρκεῖ μόνον. ἡ χρονιότης δὲ τῶν ἑλκῶν οὐδέν ἐστι πρὸς ἔπος. ἅμα δὲ ὡς οὐκ ἐφ' ἑλκῶν μόνον, ἀλλὰ κἀπὶ τῶν ἄλλων ἁπάντων νοσημάτων τοῦτο ποιητέον ἐστὶν, ὡς οἱ παλαιοὶ παραινοῦσιν. ἀλλὰ πρὸς ταῦτα μὲν ἡμῖν οὐδὲν ἀποκρίνονται. παρακούσας δὲ ἑκάστοτε λέγοντος ὡς δῆθεν ἀκριβῶς μεμαθηκότος, ἢ τὴν Ἱπποκράτους, ἢ τὴν ἄλλου τινὸς τῶν παλαιῶν γνώμην, ὀρθῶς φασὶ τὸν Θεσσαλὸν ἀποφήνασθαι χρονίων ἑλκῶν εἶναί τινα κοινότητα μίαν. οὕτω γοῦν καὶ Ἱπποκράτην γινώσκειν ἐν τῷ περὶ ἑλκῶν ὧδέ πως γράψαντα. Καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ξυμφέρει αἷμα ποιέειν ἀποῤῥέειν πυκινά. ὅπως ἂν δοκέῃ καιρὸς εἶναι. τάχα οὖν ἄμεινον ἂν εἴη καί τοι μὴ προῃρημένον με περὶ τῆς Ἱπποκράτους γνώμης ἐνταυθοῖ διέρχεσθαι, δηλῶσαί τι κἂν διὰ κεφαλαίων ὑπὲρ αὐτῆς. εἴη δ' ἂν οὐδὲν ἧττον καὶ τῆς τῶν παλαιῶν διανοίας ἐξήγησις ὅδε ὁ λόγος. Ἐκεῖνοι γὰρ οἱ ἄνδρες, ἅτε μήπω δουλευόντων αἱρέσει δογμάτων, ἀλλὰ καθαρᾷ καὶ ἁπλῇ τῇ διανοίᾳ σπουδαζόντων ἐξευρίσκειν τι χρηστὸν εἰς τὰς ἰάσεις, ἔμελλον δήπου τὰ μὲν, ἐκ τῆς πείρας εὑρήσειν, τὰ δὲ, ἐκ τοῦ λόγου. καὶ γράψειν γε τὰ εὑρημένα πολλαχόθι μὲν χωρὶς τοῦ προσθεῖναι τὸν τρόπον τῆς εὑρέσεως. ἐνίοτε δὲ καὶ σὺν τούτῳ, καὶ τοῦτό γε ποιήσειν αὐτὸ τῆς ὠφελείας ἕνεκα τῶν ἀναγινωσκόντων. εἰ μὲν γὰρ εἰς τὴν ἐπιδέξιον χρῆσιν τῶν εὑρημένων ἤλπιζόν τι συντελέσειν τοῖς ἔπειτα, τὸν τρόπον τῆς εὑρέσεως γνωσθέντα, τηνικαῦτα μὲν ἀκριβῶς ἔγραφον. εἰ δὲ μὴ, περιττὸν ὄντι λέγειν ἡγοῦντο, καὶ περίεργον, ὅτι γὰρ εἴπερ τι καὶ ἄλλο καὶ ἡ βραχυλογία τοῖς παλαιοῖς ἐτετίμητο, πάντες ἤδη σχεδὸν γινώσκουσι, κἂν ἐγὼ μὴ λέγω. καὶ διά γε ταύτην τὴν αἰτίαν, οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ ἄλλοι παλαιοὶ τὸ μέσον ὑπερβαίνοντες, ἐνίοτε τῷ πρώτῳ τὸ τρίτον συνάπτουσιν. εἰ γὰρ σημεῖον μὲν εἴη τὸ πρῶτον τοῦ δευτέρου, τούτῳ δ' ἐξ ἀνάγκης ἕποιτο τὸ τρίτον, οὕτως ἐπιφέρουσι τῷ πρώτῳ τὸ τρίτον, ὑπερβαίνοντες τὸ δεύτερον. ἔδειξα δὲ πολλάκις τοιαῦτα, τούς τ' ἄλλους παλαιοὺς, καὶ μάλιστα πάντων τὸν Ἱπποκράτην γράψαντα, καὶ χρὴ τὸν βουλόμενον ἐθάδα γενέσθαι παλαιᾶς ἑρμηνείας, ἐν ἐκείνοις γυμνάσασθαι. νυνὶ δ' αὐτὸ τὸ προβεβλημένον ἐξηγήσομαι μόνον. ὅσα γοῦν τῶν ἑλκῶν, ἁπάντων ὀρθῶς καὶ δεόντως γιγνομένων, ὅμως οὐ θεραπεύεται, καλεῖται μὲν ὑπὸ τῶν ἰατρῶν, κακοήθη. χρονίζει δὲ πάντως ὅταν τὴν ὡς ἑλκῶν μόνην αὐτοῖς τις ἐπάγῃ θεραπείαν. ἥτις δ' ἐστὶ τῶν ἑλκῶν, ὡς ἑλκῶν, ἴασις, ἐν τῷ πρὸ τούτου λόγῳ διώρισται. ταῦτα γοῦν τὰ ἕλκη, καὶ κακοήθη καὶ πεπαλαιωμένα καὶ χρονίζοντα καλοῦσιν, ἀδιαφόρως χρώμενοι τοῖς ὀνόμασιν ἐπ' αὐτῶν. καὶ δὴ καὶ πρὸς τὸ διαγνῶναι τὴν διάθεσιν ὅτι κακοήθης, ἅμα τοῖς ἄλλοις γνωρίσμασι, καὶ τὸ χρονίζειν αὐτὰ πάντων τῶν δεόντων γιγνομένων, ἔχει τινὰ μοῖραν. οὐ μὴν τοῦτό γε αὐτὸ χρονίζειν ἢ χρόνια καλεῖσθαί τε καὶ εἶναι τὴν προσήκουσαν ἐνδείκνυται θεραπείαν. ἀλλ' ἐκ μὲν τούτου, τὸ μοχθηρῶς διακεῖσθαι τὸ ἡλκωμένον μόριον ἔνεστι συλλογίσασθαι. τούτου δ' εὑρεθέντος, οὐκ ἀπορῆσαι τῆς θεραπείας. πῶς καὶ τίνα τρόπον; εἰ μὲν μόνα τὰ περιέχοντα μόρια τὴν ἕλκωσιν οὕτως εἴη διακείμενα, ταῦτ' ἐξιασάμενον. εἰ δὲ σύμπαν τὸ σῶμα κακοχυμίας τινὸς εὑρίσκοιτο μεστὸν, ἐκείνην ἐκκενώσαντα. σημεῖον μὲν οὖν τῆς κακοχυμίας τὸ χρονίζειν τὰ ἕλκη. τοῦ συμφέροντος δ' ἡ εὕρεσις, οὐκ ἐκ τοῦ χρονίζειν, ἀλλ' ἐκ τῆς κακοχυμίας. ὥστ' εἶναι τρία ταῦτ' ἐφεξῆς ἀλλήλων. τὸ σημεῖον. τὴν διάθεσιν. τὴν θεραπείαν. σημεῖον μὲν, τὸ χρονίζειν. διάθεσιν δὲ, τὴν κακοχυμίαν. θεραπείαν δὲ, τὴν ταύτης κένωσιν. καὶ ἴδοις σχεδὸν πολλάκις τοὺς παλαιοὺς ὑπερβαίνοντας τὸ μέσον, ἐπὶ τὸ τρίτον εὐθέως ἀπὸ τοῦ πρώτου παραγίνεσθαι, ὥσπερ καὶ Ἱπποκράτης ἐποίησεν εἰπών. Καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκῶν ξυμφέρει αἷμα ποιέειν ἀποῤῥέειν πυκινά. ὅπως ἂν δοκέῃ καιρὸς εἶναι. οὐ τῆς παλαιότητος δήπουθεν ἐνδεξαμένης τὴν θεραπείαν. ἀλλὰ τῆς μοχθηρίας τοῦ αἵματος. ἐπιφέρων γοῦν αὐτὸς ἐρεῖ. Κωλύει γὰρ μάλιστα μὲν τὰ τοιαῦτα ἕλκεα ὑγιαίνεσθαι, ἔπειτα δὲ καὶ τἄλλα σύμπαντα αἵματος σηπεδών. καὶ ὅτι ἐξ αἵματος μεταστάσιος γεγένηται. καὶ δὴ καὶ μετ' ὀλίγον αὖθις ὑπὲρ τῶν μὴ συνιόντων εἰς οὐλὴν ἑλκῶν διεξιὼν, οὐδ' ὧν φησι τὰ περιέχοντα τοῦ ἕλκεος μελανθῇ αἵματος σηπεδόνι, ἢ καὶ κιρσοῦ παρέχοντος τὴν ἐπιῤῥοήν, οὐδὲ ταῦτα ἐθέλει συνιέναι, ἢν μὴ τὰ περιέχοντα τοῦ ἕλκεος ὑγιέα ποιήσῃς. εἶτα καὶ περὶ τῆς κιρσῶν τῆς ἰάσεως γράφει. καὶ πρὸς τούτοις ἔτι καθάρσεως μέμνηται τοῦ σύμπαντος σώματος ἐπί τε ἄλλοις τισὶ τρώμασι, καὶ οἷς σφακελίσαι κίνδυνος. ἕρπησί τε καὶ πᾶσι τοῖς ἐσθιομένοισιν. οὕτω δ' ὀνομάζειν εἴωθε τὰ ἀναβιβρωσκόμενα. καὶ μὲν δὴ κἂν τοῖς ἐφεξῆς πάλιν ὧδέ πως φησίν, ἐπὶ παντὶ ἕλκει ἐρυσιπέλατος ἐπιγενομένου, κάθαρσιν ποιέεσθαι παντὸς τοῦ σώματος. καὶ ὅλως ἐθελήσαις ἐπιμελῶς διελθεῖν τὸ περὶ τῶν ἑλκῶν βιβλίον, εὑρήσεις αὐτὸν ἀεὶ μὲν ἀπὸ τῶν διαθέσεων τὴν ἔνδειξιν λαμβάνοντα. προσχρώμενον δέ ποτε τῷ χρόνῳ πρὸς τὴν τῆς διαθέσεως διάγνωσιν. ὅτι δ' οὕτω ταῦτ' ἔχοι, μάθοις ἂν ἐκ πρώτης μὲν ἀρχῆς τοῦ συγγράμματος ἐχούσης ὧδε. Ἕλκεα ξύμπαντα, οὐ χρὴ τέγγειν πλὴν οἴνῳ. ὅτι πολλάκις ἑτέρα διάθεσις ἐπιπλακεῖσα τῷ ἕλκει, κωλύει τὴν ὡς ἕλκους προσφέρεσθαι θεραπείαν. Καὶ τὴν αἰτίαν διδάσκων φησί. τὸ γὰρ ξηρὸν, τοῦ ὑγιέος ἐγγυτέρω ἐστί. τὸ δ' ὑγρὸν, τοῦ μὴ ὑγιέος. εἶθ' ἑξῆς. τὸ γοῦν ἕλκος, ὑγρόν ἐστι. τὸ δὲ ὑγιὲς, ξηρόν ἐστι. καὶ διὰ σχεδὸν καθ' ὅλον τὸ σύγγραμμα τῆς θεραπείας τῶν ἑλκῶν ἁπάσης, σκοπὸν ποιησάμενος τὸ ξηραίνειν, οὕτως ἤδη τὰ κατὰ μέρος ἐξευρίσκει. σὺν τῷ, καὶ πολλάκις ἀναμιμνήσκειν ἡμᾶς τοῦ σκοποῦ. ἔν τε γὰρ τῷ γράψαι, τῶν δὲ ἑλκέων, ὅτι μὲν ἂν ὀξεῖ βέλει, ἢ διατμηθῇ, ἢ διακοπῇ, ἐνδέχεται καὶ ἔναιμον φάρμακον τὸ κωλῦον διαπυεῖν καὶ ἀναξηραῖνον. γίνεται γὰρ ἀποῤῥέοντος τοῦ αἵματος, ξηρότερον. καὶ πάλιν. ὁκοῖα δ' ἂν καθαρθέντα καλῶς καὶ ὡς τὸ δέον, ἀεὶ ἐπὶ τὸ ξηρότερον θεραπεύεται, πλὴν εἰ θλασθῇ. καὶ πάλιν. ὅτι δ' ἂν μὴ δύνηται προσθεῖναι ἡ σὰρξ ὑγρὴ ἐοῦσα αἰτίη ἐστὶν, ἐν τοῖς τοιούτοις ἅπασιν ἀναμιμνήσκει τοῦ πρώτου σκοποῦ τῶν ἑλκῶν τῆς ἰάσεως. ἕλκους γὰρ ἡ ἕλκος ἐστὶν ἴαμα, τὸ ξηραίνεσθαι μετρίως. εἴρηται δ' ἡ ἀπόδειξις, ἐν τῷ πρὸ τούτου βιβλίῳ. τοῦ μέν τοι μεθ' ἑτέρας διαθέσεως ἧς πρώτης χρὴ ποιεῖσθαι τὴν ἐπιμέλειαν, οὐκ ἔθ' ὡς ἕλκους ἐστὶν ἡ θεραπεία μόνου, ἀλλὰ πρώτης μὲν ἐκείνης τῆς διαθέσεως. ἐφεξῆς δὲ τοῦ ἕλκους. εἴτε γὰρ φλεγμονή τις, εἴτε μελανότης, εἴτ' ἐκχύμωσις, εἴτ' ἐρυσίπελας, εἴτ' οἴδημα, περὶ τὴν ἑλκωμένην συσταίη σάρκα, πρώτης ἐκείνης χρὴ ποιεῖσθαι τὴν θεραπείαν. ἀλλ' ὅτι γε τὸ ἕλκος ἐν τούτῳ τῷ χρόνῳ μὴ ὅτι θεραπεύεται προσηκόντως, ἀλλὰ καὶ πολὺ μεῖζον ἑαυτοῦ γίνεται, παντί που δῆλον. εἴτε γοῦν θλασθείη τὰ πέριξ χωρία τοῦ ἕλκους, εἴτε φλεγμονή τις,

ἔπειτ' ἄλλο ἕτερον ἐν αὐτοῖς συστάν, τὴν οἰκείαν ἐκείνης τῆς διαθέσεως ἴασιν ἐξευρήσομεν, εὖ εἰδότες, ὡς οὐχ οἷόν τ' ἐστὶν ἰαθῆναι τὸ ἕλκος πρὶν ὑγιᾶναι τὸ χωρίον ἐν ᾧ συνέστη. διὰ τοῦτ' οὖν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἀναμιμνήσκων ἡμᾶς ὧν εὐθὺς ἐν ἀρχῇ τοῦ συγγράμματος ἀπεφήνατο, τά τ' ἄλλα τὰ μικρῷ πρόσθεν εἰρημένα προσέγραψε, καὶ μέντοι καὶ τάδε. Τῶν δ' ἑλκέων ὅτι μὲν ἂν ὀξεῖ βέλει ἢ διατμηθῇ, ἢ διακοπῇ, ἐνδέχεται καὶ ἔναιμον φάρμακον τὸ κωλῦον διαπύειν, καὶ ἀναξηραῖνον. ἔστις δ' ὑπὸ τοῦ βέλους ἐθλάσθη τε καὶ διεκόπη σάρξ, ταύτην ἰατρεύειν, ὅπως διάπυος ὡς τάχιστα γένηται. ἧττόν τε γὰρ φλεγμαίνει, καὶ ἀνάγκη τὰς σάρκας τὰς θλασθείσας καὶ κοπείσας, πύον γενομένας,† ἐκτακῆναι, ἔπειτα βλαστάνειν νέας σάρκας. δηλοῖ γὰρ ἐν τούτῳ τῷ λόγῳ σαφῶς, ὡς μόνας ἐκείνας τῶν ἐν τοῖς ἡλκωμένοις μέρεσι γινομένων διαθέσεων οὐ χρὴ ξηραίνειν, ἐφ' ὧν ὅτι τάχιστα γεννῆσαι βουλόμεθα πύον, εὐθύς, συνεμφαίνων ὅτι μετὰ σήψεως τινὸς γεννᾶται τὸ πύον. ἅπαντα δὲ τὰ σηπόμενα, θερμῷ καὶ ὑγρῷ τοῦτο πάσχει. καὶ τοίνυν καὶ τὰ διὰ τῆς ὠμηλύσεως καταπλάσματα, θερμαίνοντά τε καὶ ὑγραίνοντα προσφέρομεν ἐπὶ πασῶν τῶν ἐκπυῆσαι δεομένων διαθέσεων. ὠμήλυσις γὰρ δι' ὑδραλέου, καὶ ἄρτος δι' ὑδραλέου, καὶ καταιόνησις δι' ὕδατος θερμοῦ πολλοῦ, καὶ ἡ τετραφάρμακος δύναμις, ἅπαντά τε τὰ θερμαίνοντα καὶ ὑγραίνοντα, διαπυΐσκει τάχιστα. διὰ τοῦτο καὶ τοῖς φλεγμαίνουσι μορίοις, ἐπειδὰν ἤδη σφύζῃ σφοδρότερον, ὡς ἀπελπισθῆναι τὴν χωρὶς διαπυήσεως ἴασιν, ἐπ' αὐτῶν ἅπαντες οἱ παλαιοὶ τὰ τοιαῦτα προσφέρουσι φάρμακα. πρότερον δ' οὔ. καὶ τοῦτο καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐναργῶς ἡμᾶς διδάσκει κατά τε τὴν προγεγραμμένην ῥῆσιν ἐν ᾗ κελεύει τὰ μὲν χωρὶς τοῦ τεθλᾶσθαι τετρωμένα μόρια, ξηραίνειν ὡς μάλιστα. τὰ δ' ἅμα θλάσει τινὶ γεγενημένα διαπυΐσκειν ὡς τάχιστα. καὶ μέντοι κἀπειδὰν εἴπῃ, τὰ δὲ ἕλκεα ὅσα μὴ καλῶς καθαρθέντα ἐς τὸ δέον, ἀεὶ πρότερον ἄρχεται βλαστάνειν, ταῦτα ὑπερσαρκέει μάλιστα. ὁκοῖα δ' ἂν καθαρθέντα καλῶς καὶ ἐς τὸ δέον ἀεί, ὑπὸ τὸ ξηρότερον θεραπεύηται, πλὴν εἰ θλᾶσθαι, ταῦτα οὐχ ὑπερσαρκέει ὡς ἐπὶ τὸ πολύ. καὶ γὰρ καὶ ἐνταῦθα τὸ πλὴν εἰ θλασθῇ προσκείμενον, ἀναμιμνήσκει τοῦ κατὰ τὴν προγεγραμμένην λέξιν εἰρημένου, τοῦ χρῆναι πάντα ξηραίνεσθαι, πλὴν τῶν θλασθέντων. οὐδὲ γὰρ ὁπότε τὰ φλεγμαίνοντα καταπλάσσεται θερμαίνοντι καὶ ὑγραίνοντι καταπλάσματι, κατὰ πρῶτον λόγον γίνεται τοῦτο. τοῦτ' ἔστιν οὐχ ὡς ἴαμα τῆς διαθέσεως, ἀλλ' ὡς παρηγορία τοῦ συμπτώματος. ἐπεί τοι τὰ τῶν φλεγμονῶν αὐτῶν ἰάματα, τῆς ξηροτέρας ἐστὶ δυνάμεως. ἄκουσον γοῦν λέγοντος τοῦ Ἱπποκράτους καταπλάσματα οἰδημάτων καὶ φλεγμασίης τῆς ἐν τοῖς περιέχουσιν, εἰ ἑφθὴ φλόμος, καὶ τῆς τριφύλλου τὰ φύλλα ὠμά. καὶ τοῦ ἐπιπέτρου τὰ φύλλα ἑφθά. καὶ τὸ πόλιον. ἅπαντα γοῦν ταῦτα ξηραίνειν πέφυκε. καθότι κἀν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν ἐλέγετο. καὶ ἡ σύντομος θεραπεία τῶν φλεγμαινόντων μορίων, διὰ τῶν τοιούτων ἐπιτελεῖται φαρμάκων. ἃ ἤτοι τελέως ἐξιᾶται τὴν διάθεσιν, ἢ εἰ καὶ καταλείποι τι βραχὺ διαπυΐσκον, ἑτέρου χρήζει φαρμάκου δριμέος, ἐκκενοῦν δυναμένου τὸ πύον. ἢ εἴπερ λεπτὸν εἴη τὸ περιέχον δέρμα, καὶ θᾶττον ἀπαλλάξαι τὸν κάμνοντα βουλόμεθα, τομῆς ἐστι χρεία. ἡ δὲ διὰ τῆς ὠμηλύσεως ἀγωγὴ τῶν φλεγμαινόντων, ἐκ τοῦ παρηγορητικοῦ τρόπου τῆς τέχνης ἐστίν, οὐ τοῦ θεραπευτικοῦ τε καὶ ἀγωνιστικοῦ. ἀλλὰ περὶ μὲν τῆς τῶν τοιούτων διαφορᾶς, ἐν τοῖς ἑξῆς ἐπὶ πλέον ἐροῦμεν. ὅτι δὲ τὰ ἕλκη πάντα ξηραίνειν ὁ Ἱπποκράτης κελεύει, καὶ ὅτι τὸν σκοπὸν τοῦτον εἶναι τῆς ἰάσεως ἀπεφήνατο, τῆς διαθέσεως ἐνδειξαμένης, οὐ τοῦ χρόνου, σαφῶς ἤδη μοι δεδεῖχθαι νομίζω. εἰ δέ τις ἐπὶ μᾶλλον πεισθῆναι βούλεται, τῷ περὶ τῶν ἑλκῶν βιβλίῳ τἀνδρὸς ἐπὶ πλέον ὁμιλησάτω πάντῃ. γνώσεται γὰρ ἐναργῶς αὐτό τε τοῦτο, τὸ μίαν εἶναι πάντων ἑλκῶν ἴασιν καθόλου τὴν ὑφ' ἡμῶν ἐν τῷδε πρὸ τούτου λόγῳ δεδειγμένην, ἔτι τε πρὸς τούτῳ κἀκεῖνο μαθήσεται, τὸ μηδεμίαν ὑποδέχεσθαι ἔνδειξιν ἀπὸ τοῦ χρόνου, μήτ' ἐπὶ τῶν ἑλκῶν, μήτ' ἐπὶ τῶν φλεγμονῶν, μήθ' ἁπλῶς ἐπ' ἄλλης ἡστινοσοῦν διαθέσεως.

Ἐπεὶ δὲ κατὰ τοῦτο τοῦ λόγου γεγόναμεν, ἐπιδεῖξαι δίκαιον ὡς οὐ μόνον ὧν ἄρτι διεληλύθαμεν εὑρετὴς ὁ Ἱπποκράτης ἐστίν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, ὅσα χρὴ γινώσκειν τὸν μέλλοντα καλῶς ἕλκος ἰάσασθαι. φαίνεται γὰρ οὐ μόνον τὴν ἄνευ τινὸς ἑτέρας διαθέσεως ἑλκῶν ἐξευρὼν τὴν ἴασιν, ὡς ἐν τῷ ξηραίνειν ἐστίν, ἀλλὰ καὶ τῶν διαθέσεων ἁπασῶν, ἑκάστης ἰδίᾳ κατ' εἶδος. ἤτοι γοῦν οὐκέτ' ἐπιρρεῖ τῷ δεδεγμένῳ τὴν ἕλκωσιν μορίῳ μοχθηρὸς χυμός, ἢ ἐπιρρεῖ. μηκέτι μὲν οὖν ἐπιρρέοντος, αὐτὸ μόνον ἰᾶσθαι χρὴ τὸ πεπονθός. εἰ μὲν ἤτοι πελιδνόν, ἢ μέλαν, ἢ ἐρυθρὸν εἴη, σχάζοντάς τε, καὶ τοῦ αἵματος ἀφαιροῦντας. εἶθ' οὕτως πράγματα μετιόντας, ὡς αὐτὸς ἔλεγε, σπόγγον ξηρότερον μᾶλλον ἢ ὑγρότερον. οὐ γὰρ ἀγνοήσειν οἶμαί τινα, τὸ ἢ μόριον ἀντὶ φάσεως ἔχον ἐνταῦθα δύναμιν. ὡς εἰ καὶ οὕτως εἶπε ξηρότερον οὐχ ὑγρότερον. ἔπειτα δὲ τοῖς ξηραίνουσι φαρμάκοις χρωμένους. εἶτ' εἰ πάλιν δεήσειεν, αὖθις αἵματος ἀφαιροῦντας. εἶτ' αὖθις τὰ τοιαῦτα ποιοῦντας ἄχρις ἂν ἐξυγιασθῇ τελέως. εἰ δὲ τὰ χείλη σκληρὰ καὶ τυλώδη φαίνοιντο, περιτέμνοντας αὐτά. καὶ γὰρ δὴ καὶ περὶ τούτων φησί. τῶν δ' ἑλκέων τὰ κυκλοτερῆ, ἢν ὑπόκοιλα ᾖ, ἐν κύκλῳ περιτέμνειν χρὴ τὰ ἀφεστῶτα, ἢ πάντα, ἢ τὰ ἡμίσεα τοῦ κύκλου κατὰ μῆκος τοῦ ἀνθρώπου. γέγραφε δὲ καὶ περὶ τῶν ἅμα τοῖς ἕλκεσιν ὄγκων ἁπάντων ὡς χρὴ θεραπεύειν ἕκαστον. ὡσαύτως δὲ καὶ περὶ τῶν κιρσῶν. ὅταν καὶ διὰ τούτους ἕλκη δυσίατα γίγνηται, δῆλον ὡς ἐπιρρέοντός τινος ἐξ αὐτῶν τοῖς ἡλκωμένοις μορίοις. οὕτως δὲ κἀπειδὰν ἐξ ὅλου τοῦ σώματος ἡ ἐπιρροὴ γίγνηται, καθαίρειν κελεύει τὸ πᾶν, ἐν οὐδενὶ τούτων ἀπὸ τοῦ χρόνου τὴν ἔνδειξιν λαμβάνων. ἐπεί τοι καὶ γελοῖον, ἀπὸ μιᾶς κοινότητος ἐνδείξεις οὕτω πολλὰς καὶ διαφερούσας καὶ πολλάκις ἐναντίας γίγνεσθαι. εἰ γὰρ καὶ συγχωρήσαιμεν ἔνδειξίν τινα περὶ τοῦ χρόνου λαμβάνεσθαι, τίς ποτ' ἐστὶν αὕτη δίκαιον εἰπεῖν αὐτὴν ἐνὶ κεφαλαίῳ περιλαβόντα, καθάπερ ἐπὶ τῶν ἄλλων ἁπάντων ποιοῦμεν, οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ Θεσσαλός. ἐν γοῦν ἐνδείκνυται καθόλου τὸ στεγνὸν πάθος αὐτῷ, τὸ χαλᾶν. ὥσπερ γε καὶ τὸ ῥοῶδες ἐν ἕτερον, τὸ στέλλειν. ἀλλὰ καὶ κατ' αὐτὰ τὰ ἕλκη, τὸ μὲν ῥυπαρόν, καθαίρεσθαι δεῖται. τὸ δὲ κοῖλον, πληροῦσθαι. καὶ τὸ μὲν ὁμαλές, ἐπουλοῦσθαι. τὸ δὲ ὑπερσαρκοῦν, καθαιρεῖσθαι, καὶ κατ' αὐτὸν ἐκεῖνον. λεξάτω τοίνυν ἡμῖν, οὕτω κἀπὶ τοῦ κεχρονισμένου τι τοιοῦτον ἕτερον ἕν, ὡς ἐπ' ἐκείνων ἑκάστου. ἀλλ' οὐκ ἔχει καὶ

† ἐκτακῆναι

γὰρ καὶ περιτέμνειν αὐτά φησι χρῆναι. καίτοι τίς ἂν ἔνδειξις αὕτη νῦν ἔχουσα περὶ τοῦ χρόνου γίγνοιτο; καὶ τὸ διὰ τοῦ νάπυος χρῆσθαι φαρμάκῳ, καθ' οὗ τὸ κοινὸν ὄνομα φθέγγεται, τὴν μετασύγκρισιν. ἔτι τε πρὸς τούτοις, τοὺς ἀπὸ ῥαφανίδων ἐμέτους. καὶ τελευτῶν ἐπειδὰν μηκέθ' εὑρίσκῃ μηδὲν ἐλλέβορον. ἀλλὰ ταῦτα μὲν, ὡς ἔφην, κἀν τοῖς ἑξῆς ἐπὶ πλέον εἰρήσεται, δεικνύντων ἡμῶν, ὡς οὐδὲν ἐπ' οὐδενὸς νοσήματος ὁ χρόνος ἐνδείκνυται. σημεῖον μέν τοι πολλάκις γίγνεται τῆς διαθέσεως. ἐπάνειμι δὲ πάλιν ἐπὶ τὸν Ἱπποκράτην. θαυμάζω γὰρ τῆς ἀκριβείας τὸν ἄνδρα κἀν τοῖς ἄλλοις ἅπασιν. οὐχ ἥκιστα δὲ κἀν τῷ μὴ παραλιπεῖν εἰς ἔνδειξιν διαφέροντα σκοπὸν, οὐκ ἐφ' ἑνὸς μόνου ἢ δυοῖν, ἀλλ' ἐπὶ πάντων ἁπλῶς τῶν νοσημάτων. ἔστι δ' οὗτος ὁ ἀπὸ τῆς ἰσχύος τῆς διαθέσεως λαμβανόμενος. ὃν οὐ μόνον οἱ μεθοδικοὶ παρεῖδον, οὐδὲν γὰρ τοῦτό γε θαυμαστὸν, ἀλλὰ καὶ τῶν λογικῶν οἱ πλεῖστοι. καὶ καθ' ἕτερον τρόπον, ἅπαντες οἱ ἐμπειρικοί. ἐπειδὰν γὰρ ἐπὶ τῇ πληθωρικῇ καλουμένῃ συνδρομῇ κένωσιν ἑαυτοῖς τετηρῆσθαι λέγουσιν, ἄντικρυς ὁμολογοῦσιν, ὡς εἰς οὐδὲν ἄλλο τῶν περὶ τὸν κάμνοντα γιγνομένων ἀποβλέποντες, ἐπὶ τὸ κενοῦν παραγίγνονται. καὶ οὐ τοῦτό φημι διότι καὶ αἱ καθάρσεις, κενώσεις εἰσὶν, οὐδ' αὗται πρὸς τῆς πληθωρικῆς διδασκόμεναι συνδρομῆς, ἀλλ' ὅτι καὶ τὴν φλεβοτομίαν αὐτὴν ἐνίοτε, καίτοι μὴ παρούσης τῆς πληθωρικῆς συνδρομῆς, δίκαιόν ἐστι παραλαμβάνειν. εἰ γοῦν ἰσχυρὸν εἴη τὸ νόσημα καὶ ῥώμη δυνάμεως, οὐκ ἔστιν ὅστις οὐκ ἂν φλεβοτομήσειε, τῶν ὡμιληκότων τοῖς ἔργοις τῆς τέχνης. αὐτοὺς γοῦν ὁρῶμεν τοὺς ἐμπειρικοὺς ἐπειδὰν ἐκ καταπτώσεώς τις ἢ ἄλλης πληγῆς θλασθῇ μέρη τινὰ τοῦ σώματος ἰσχυρῶς, ἐπὶ τὴν φλεβοτομίαν ἐρχομένους. καίτοι μικρὸν ἔμπροσθεν ὑγιαίνων ἐκεῖνος μηδεμίαν ἔχων πληθωρικὴν συνδρομήν. ᾧ δῆλον ὡς οὐχ οὗτός ἐστιν ὁ σκοπὸς τῆς φλεβοτομίας, ἀλλ' ἥ τε τοῦ νοσήματος ἰσχὺς, καὶ ἡ ῥώμη τῆς δυνάμεως, ἀφωρισμένων τοῦ λόγου τῶν παιδίων. καὶ γὰρ αὖ καὶ καθ' ἕτερον τρόπον εἴ τις ὑγιαίνων ἔτι καὶ μηδὲν μηδέπω βεβλαμμένος ἐν τῇ πληθωρικῇ γένοιτο συνδρομῇ, τοῦτον οὐκ ἀνάγκη φλεβοτομεῖν. ἀλλ' ἀρκεῖ τῷ μὲν ἀσιτία, τῷ δὲ, ὀλιγοσιτία, τῷ δ' ὑπαγωγὴ γαστρὸς ἢ κάθαρσις, ἢ πλείω λουτρά. τῷ δέ τινι, καὶ γυμνάσιον ἤρκεσε μόνον, ἢ τρῖψις πολλή. φλεβοτομία δ' οὐκ ἐξ ἀνάγκης, οὐδ' ὑπ' αὐτῶν τῶν ἐμπειρικῶν τοῖς οὕτως ἔχουσι προσάγεται. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδὲ ἡ κάθαρσις ἐπὶ μόνῳ πλήθει χυμῶν μοχθηρῶν δεόντως παραλαμβάνεται. ἀλλ' ὥσπερ ἡ φλεβοτομία διά τε πλῆθος αἵματος καὶ ἰσχυρὰν νόσον, οὕτω καὶ ἡ κάθαρσις, διά τε πλῆθος ἑτέρου τινὸς χυμοῦ καὶ ἰσχὺν νοσήματος. περὶ μὲν τῆς φλεβοτομίας, ἐν ἑτέρῳ τέ μοι διείρηται λόγῳ, κἀν τοῖς ἑξῆς εἰρήσεται. περὶ δὲ τῆς καθάρσεως, ἐν τῷδε τῷ λόγῳ δίειμι. χρῄζουσι γὰρ αὐτῆς οἱ κάμνοντες οὐχ ὡς τὸ λυποῦν περίττωμα καθαιρούσης μόνον, ἀλλὰ καὶ ὡς ἀντισπώσης τε καὶ κενούσης. καὶ διὰ τοῦθ' Ἱπποκράτης ἔν τε τοῖς ἄλλοις ἅπασι συγγράμμασι, κἀν τῷ περὶ τῶν ἑλκῶν ἐπισκοπεῖται, καὶ τὴν ἰσχὺν τοῦ νοσήματος εἰς ἔνδειξιν καθάρσεως. ὑποκάθαρσις γάρ φησι τῆς κάτω κοιλίης ξυμφέρει τοῖς πλείστοισι τῶν ἑλκέων. καὶ ἐν τρώμασιν, ἐν κεφαλῇ ἐοῦσι, καὶ ἐν κοιλίῃ, καὶ ἐν ἄρθροισι, καὶ ὅσα σφακελίσαι κίνδυνος, καὶ ὅσα ῥάπτεται, καὶ τοῖς ἐσθιομένοισι, καὶ ἕρπησι, καὶ τοῖσιν ἄλλοισι τοῖσι τεταλαιπωρημένοισι τὰ ἕλκεα, καὶ ὁκοῖα δ' ἂν μέλλῃ τις ἐπιδεῖν, ὑποκαθαίρειν τὴν κάτω κοιλίην. ἐν τούτῳ τῷ λόγῳ σαφῶς ἡμᾶς ἐδίδαξεν, ὅτι τοῖς ἕλκεσιν ἅπασι καὶ τοῖς τρώμασιν ὅταν ἰσχυρὰ γένηται κάθαρσις, συμφέρει. τριχῶς γὰρ οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν ἄλλων παθῶν ἁπάντων ἰσχυρῶν γιγνομένων. ἢ διὰ τὸ κύριον τοῦ πεπονθότος μέρους, ἢ διὰ τὸ μέγεθος τῆς διαθέσεως, ἢ διὰ τὴν κακοήθειαν ἑκάστου τούτων, ἴδια φαίνεται μεμνημένος ὁ Ἱπποκράτης. ἐπὶ μὲν τῶν ἐν τῇ κεφαλῇ καὶ κοιλίᾳ τρωμάτων τὸ κύριον ἐμφαίνων τοῦ τετρωμένου μορίου. κοιλίαν δ' ὅτι μὴ τὴν κάτω μόνην ἀκούειν νῦν χρὴ, ἀλλὰ καὶ τὴν ἄνω, πρόδηλον οἶμαι παντί. διαιρουμένου γὰρ τοῦ μεταξὺ τραχήλου καὶ σκελῶν κύτους, εἰς δύο μεγίστας κοιλότητας, ἡ πρώτη μὲν ὑπὸ τοῦ θώρακος, ἡ δευτέρα δ' ὑπὸ τοῦ περιτοναίου περιέχεται. καὶ δὴ καὶ τῶν τρωμάτων ὅτι ἂν εἴη εἴσω τοῦ θώρακος, ἢ εἴσω τοῦ περιτοναίου διαρκῆ, κίνδυνον οὐ σμικρὸν ἐπιφέρει. καὶ μάλισθ' ὅταν συντρώσῃ τι τῶν ἔνδον. ἀλλὰ καὶ ὅτι ταχέως κακοήθη γίνεται πάντα τὰ ἐν τοῖς ἄρθροις τρώματα, καὶ τοῦτο σχεδὸν ἅπαντες ἴσασιν. ἐκ μὲν τῆς πείρας μόνης μεμαθηκότες, οἱ ταύτῃ μόνῃ προσέχοντες τὸν νοῦν. ἐκ δὲ τῆς φύσεως αὐτῶν τῶν τετρωμένων ὀργάνων, οἷς ἐσπουδάσθη φύσεως σώματος ἐπιστήμην ἔχειν. ὅπου γὰρ τένοντες, καὶ νεῦρα, καὶ ἄσαρκα καὶ ὀστώδη χωρία, κίνδυνος ἐνταῦθα καὶ ὀδυνηθῆναι, καὶ ἀγρυπνῆσαι, καὶ σπασθῆναι, καὶ παραφρονῆσαι. ταῦτά τε οὖν τὰ τρώματα, καὶ πρὸς τούτοις ὅσα ῥάπτεται, τουτέστιν ὅσα οὕτως ἐστὶ μεγάλα ὡς ῥαφῆς χρῄζειν, ἢ εἰ μὴ ταύτης, ἀλλ' ἐπιδέσεώς γοῦν, ὑποκαθαίρεσθαι δεῖται. λέλεκται δ' ἐν τῷ πρόσθεν λόγῳ, διότι χρὴ τὰ μεγάλα τῶν ἑλκῶν ἢ ῥαφαῖς, ἢ ἐπιδέσεσι συνάγεσθαι. καὶ μὲν δὴ καὶ ὅσα σφακελίσαι κίνδυνος, ἐν μεγέθει δηλονότι φλεγμονῆς ἐστι. καὶ τοίνυν καὶ τὰ ἐσθιόμενα, τουτέστι τὰ ἀναβιβρωσκόμενα, κακοήθη τε ἅμα καὶ κακοχυμίας ἐστὶν ἔκγονα. καὶ οἱ ἕρπητες δ' ἐπὶ χολώδει περιττώματι συνίστανται. καὶ τὰ ἄλλα σύμπαντα τὰ ταλαιπωρούμενα, κατά τινα τοιαύτην γίνεται πρόφασιν. ὥστ' εὐλόγως ἐπὶ πάντων τούτων ὑποκαθαίρειν συμβουλεύει. καὶ μὲν δὴ καὶ προελθὼν ἔτι τάδε φησίν. Ἐπὶ παντὶ ἕλκει, ἐρυσιπέλατος ἐπιγενομένου, κάθαρσιν ποιεῖσθαι τοῦ σώματος ἐφ' ὁπότερα ξυμφέρει τῷ ἕλκει. εἴτε ἄνω, εἴτε κάτω. τούτου δ' αὐτοῦ πάλιν ἡμᾶς τὸν διορισμὸν ἐν τῷ περὶ χυμῶν ἐδίδαξεν, ἀντισπᾶν μὲν κελεύων εἰς τἀναντία, παροχετεύειν δ' εἰς τὰ πλάγια. καὶ μὲν δὴ καὶ ὡς ἐπειδὰν μάλιστα ῥέπῃ, τό τε ἀντισπαστέον. εἴρηται καὶ περὶ τούτου κατ' ἐκεῖνο τὸ βιβλίον. ὥστε καὶ νῦν εἰ μὲν ἔτι φέροιτο σφοδρῶς τὸ ῥεῦμα, διὰ τῶν ἐναντίων ἀντισπῶμεν. ἄνω μὲν γενομένου τοῦ ἕλκους κάτω καθαίροντες. εἰ δ' ἐν τοῖς κάτω μέρεσι συσταίη, τὴν ἄνω κοιλίαν κινοῦντες. ἤδη δὲ καὶ πεπαυμένου καὶ κατὰ τὸ μόριον ἐστηριγμένου, παροχετεύειν ἄμεινον. ἐγγυτέρω γὰρ ἡ μετάληψις, καὶ ἡ ὁρμὴ, καὶ ἡ ὁλκὴ τῷ καθαίροντι φαρμάκῳ ῥᾷον ἐκ τοῦ πλησίον. ὅτι δ' ὁ λόγος οὗτος ἤδη καὶ ἄλλου τινὸς ἅπτεται τῶν τῆς τέχνης μερῶν τοῦ περὶ τὴν τῶν χυμῶν ἴασιν, οὐκ οἶμαι τινὰ λανθάνειν, ὅθεν κἀν τοῖς ἑξῆς αὐτὸν ἀναγκαῖον ἔσται πάλιν ἐπαναλαβεῖν, καὶ τελειῶσαι σύμπαντα. νυνὶ δ' ὅτι τὴν ἰσχὺν τοῦ νοσήματος, ἣν εἰ καὶ μέγεθός τις ὀνομάζειν ἐθέλει, σκοπὸν ἐστὶ ποιητέον ἡμῖν ἀφαιρέσεως αἵματος, ἢ καθάρσεως, καὶ ὡς Ἱπποκρά-

της ἁπάντων πρῶτος ὧν ἴσμεν ἐξεῦρε τοῦτον τὸν σκοπὸν ἐπιδεῖξαι βούλομαι. περὶ μὲν οὖν τῶν ἄλλων νοσημάτων, ἐν τοῖς ἑξῆς λόγοις ἐπιδείξω, περὶ δὲ τῶν ἑλκῶν, ἐν τῷδε. τὰ μὲν οὖν τῶν καθάρσεων ἤδη μοι λέλεκται. τριχῶς γὰρ ἑκάστου νοσήματος ἰσχυροῦ γιγνομένου, διὰ τὸ κύριον τοῦ πεπονθότος μορίου, διὰ τὸ μέγεθος τῆς διαθέσεως, καὶ τρίτην τὴν κακοήθειαν αὐτοῦ, ἁπάντων τούτων ἐμνημόνευσεν Ἱπποκράτης ἐν τῷ τῆς καθάρσεως λόγῳ. τί δὴ οὖν ἴσως φησί τις οὐχὶ καὶ φλεβοτομεῖν ἐνίοτε συμβουλεύει διὰ τὰς αὐτὰς προφάσεις, ἐμοὶ γοῦν δοκεῖ καὶ τοῦτο κελεύειν. ἀλλὰ διὰ ταχέων τε καὶ μετ' ἀποδείξεως ὡς αὐτῷ τε τούτῳ, καὶ τοῖς ἄλλοις παλαιοῖς ἦν ἔθος. ἔστι δὲ πρὸς τὸν μὲν ἀγνοοῦς τὰν δὲ τὴν ῥῆσιν αὐτοῦ. Ἕλκει νεοτρώτῳ παντί, πλὴν ἐν κοιλίῃ συμφέρει ἐκ τοῦ τρώματος αἷμα ῥυῆναι αὐτίκα πλέον, ἢ ἔλασσον, φλεγμαίνει γὰρ ἧσσον αὐτό τε τὸ ἕλκος, καὶ τὰ περιέχοντα. μετὰ δὲ ταύτην ἐν τῷ περὶ ἑλκῶν γεγραμμένην ἀναμνησθεὶς ὧν ἐν τοῖς ἄλλοις ἅπασι συγγράμμασι πολλάκις ὑπέθετο, μιμητὴν ἀξιῶν εἶναι τὸν ἰατρὸν, οὐ τῆς φύσεως μόνον, ἀλλὰ κἀκείνων ὅσα αὐτόματα ὠφελεῖ, σαφῶς ἂν ἤδη τὴν γνώμην εἰδείης τοῦ παλαιοῦ περὶ τῆς τοῦ αἵματος ἀφαιρέσεως ἐπὶ τῶν ἰσχυρῶν τραυμάτων. εἰ γὰρ δὴ συμφέρει μὲν αἷμα ῥυῆναι τοῖς τοιούτοις, οὐκ ἐρρύη δὲ, τὸ λεῖπον αὐτὸν χρὴ προσθεῖναι. δηλοῖ δὲ τοῦτο κἀξ αὐτῶν, ὧν ἐπιφέρει. συνάπτων γοῦν τῇ προειρημένῃ ῥήσει τήνδε φησί. Καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ξυμφέρει αἷμα ποιέειν ἀπορρέειν πυκινὰ, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι. καὶ ἀπ' αὐτῶν τῶν ἑλκέων, καὶ ἀπὸ τῶν περιεχόντων τὸ ἕλκος. ἐπειδὴ γὰρ προείρηκε, ἕλκει νεοτρώτῳ παντὶ ξυμφέρει αἷμα ῥυῆναι, γιγνώσκων ὡς εἰ μὴ καὶ τῶν κεχρονισμένων μνημονεύσειεν, οἰήσεταί τις ἐπὶ τῶν προσφάτων μόνων οὕτως αὐτὸν ἀποφήνασθαι, διὰ τοῦτο δεόντως προσέθηκε τὸ, καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ἀφαιρεῖν τοῦ αἵματος. ἀλλ' εἴπερ ἐκεῖνο καθόλου παρ' αὐτοῦ μεμαθήκαμεν, ὡς ἀρχομένων μὲν τῶν ῥευμάτων ἀντισπᾶν προσήκει, ἐστηριγμένων δὲ ἐν τῷ πεπονθότι μορίῳ, τὴν κένωσιν, ἢ ἀπ' αὐτοῦ ποιεῖσθαι τοῦ πεπονθότος, ἢ ὅτι μάλιστα πλησιέστατα, πρόχειρον ἡμῖν καὶ νῦν συλλογίσασθαι περὶ τῆς τοῦ αἵματος ἀφαιρέσεως. ὡς ἐν ἀρχῇ μὲν πόρρωθεν, ἐξ ὑστέρου δ' ἀπ' αὐτῶν τῶν ἡλκωμένων προσήκει ποιεῖσθαι. καὶ μὲν δὴ καὶ τούτοις αὐτοῖς οἷς εἴρηκα προσθεὶς, ὡς τὸν πλεονάζοντα χυμὸν ἐκκρίνων ὁ Ἱπποκράτης συμβουλεύει, ποτὲ μὲν ἐπὶ τὴν τοῦ αἵματος ἀφαίρεσιν ἄξεις, ὅταν οὗτος κρατῇ, ποτὲ δ' ἤτοι ξανθῆς ἢ μελαίνης χολῆς ἢ φλέγματος ἀγωγὸν δώσεις φάρμακον. ἐκείνου μεμνημένος ἐν ἅπασι τούτοις, ὡς οὐκ ἔστιν ἕλκους ᾗ ἕλκος οὐδεμία τῶν τοιούτων ἰάσεων, ἀλλ' ἤτοι κακοχυμίας συμπιπτούσης, ἢ πλήθους, ἢ φλεγμονῆς, ἢ ἕρπητος, ἢ τινος ἑτέρου τοιούτου. καὶ μὲν δὴ καὶ ὡς ἐνίοτε τῶν συμβεβηκότων τι τοῖς ἕλκεσιν ἔνδειξιν ἰδίαν ποιεῖται, καθάπερ καὶ τὸ μέγεθος. εἴρηται δὲ καὶ περὶ αὐτῶν ἐν τῷ πρὸ τούτου γράμματι, τὰς διαφορὰς τῶν ἑλκῶν ἁπάσας ὁπόσαι τέ εἰσι καὶ ὁποῖαι. καὶ τίς ἐφ' ἑκάστης αὐτῶν ἔνδειξις, ἐξηγησαμένου μου. τὸ δ' ἀπὸ τῆς ἰσχύος τοῦ νοσήματος ἔνδειξιν γίγνεσθαι κενώσεως, ἐν ἐκείνῳ μὲν οὐκ εἶπον τῷ λόγῳ, διότι τε μακροτέρας ἀποδείξεως ἐδεῖτο. καὶ τὴν τοῦ ὅλου σώματος ἐπιμέλειαν, οὐ συνῆπτον ἐν αὐτῷ τοῖς ἕλκεσιν. ἐνταῦθα δὲ διεξῆλθον, ὅσον εἰς τὰ παρόντα χρήσιμον. ὁ γάρ τοι σύμπας λόγος ὑπὲρ τῆς τοιαύτης ἐνδείξεως, ἣν ἀπὸ τῆς ἰσχύος φαμὲν τοῦ νοσήματος λαμβάνεσθαι, καὶ μετὰ ταῦθ' ἡμᾶς ἀναμένει ῥηθῆναι, καθάπερ καὶ ἡ ἀπὸ τῆς ἡλικίας. καὶ προσέτι καὶ ἡ ἀπὸ τῆς τῶν χυμῶν ἰάσεως. οὕτω δὲ καὶ ἡ ἀπὸ τῶν πεπονθότων μορίων ἔνδειξις εἰς τὴν θεραπείαν γιγνομένη, τελεώτερον ἐν τοῖς ἑξῆς ὑπομνήμασιν ἀποδειχθήσεται. νυνὶ μὲν γὰρ ὅσον ἀπὸ τῆς φύσεως αὐτῶν, τουτέστι τῆς κράσεώς τε καὶ οὐσίας, οἷόν τ' ἐστὶν εἰς τὰς ἰάσεις λαμβάνεσθαι, λέλεκται μόνον. ἡ δ' ἀπὸ τῆς θέσεώς τε καὶ διαπλάσεως, ἔτι τε χρείας, εὐαισθησίας τε καὶ δυσαισθησίας ἔνδειξις οὐκ εἴρηται. λεγέσθω δὲ καὶ περὶ τούτων ὅσον εἰς τὴν τῶν ἑλκῶν ἴασιν διαφέρει. τὸ μὲν οὖν αἰσθητικὸν μόριον, ἀνωδύνως ὅτι μάλιστα χρὴ πειρᾶσθαι θεραπεύειν. εἴρηται δ' ἐν τοῖς περὶ φαρμάκων ἡ τῶν ἀνωδύνων ὕλη. τὸ δὲ δυσαισθητότερον ἐγχωρεῖ καὶ διὰ τῶν σφοδροτέρων εἰ ἡ διάθεσις οὕτω κελεύει. καὶ μὲν δὴ καὶ τοῦ μὲν κυρίου μορίου τὸν τόνον χρὴ φυλάττειν, ὡς ἐπὶ πλέον ἐν τοῖς περὶ φλεγμονῆς λογισμοῖς ἀποδείξομεν. εἰ δέ τι μὴ τοιοῦτον, ἐγχωρεῖ τοῦτο καὶ τὴν χαλαστικὴν ἀγωγὴν τῆς θεραπείας ἀλύπως δέχεσθαι. ταυτὶ μὲν οὖν ἐν τοῖς ἐφεξῆς ἐπὶ πλέον ἐροῦμεν.

Ἐν δὲ τῷ παρόντι λόγῳ, τὴν ἀπὸ τῆς θέσεώς τε καὶ διαπλάσεως τῶν μορίων ἔνδειξιν ἔτι προσθέντες, οὕτω καταπαύσομεν καὶ τουτὶ τὸ τέταρτον βιβλίον. ἐντεῦθεν γοῦν ἐπενοήθη τὸν μὲν κατὰ τὴν κοιλίαν ἡλκωμένον, πίνειν τὰ φάρμακα. τὸν δὲ κατὰ τὸν στόμαχον, οὐχ ἅπαξ οὐδ' ἀθρόως ὅλα προσφέρειν, ἀλλὰ κατὰ βραχύ τε καὶ συνεχῶς. ἐν γὰρ τῷ παρέρχεσθαι καὶ ψαύειν, ἡ ὠφέλεια τούτοις ἐστίν. οὐκ ἐν τῷ περιέχεσθαι καὶ πλησιάζειν ἐπὶ πλείονα χρόνον, ὥσπερ τῇ γαστρί. καὶ μὲν δὴ καὶ ὡς χρὴ παχύτερα προσφέρειν ταῦτα καὶ γλίσχρα, παρὰ τῆς θέσεώς τε καὶ διαπλάσεως ἡ ἔνδειξις. ἐπεὶ γὰρ δίοδός τις ὁ στόμαχός ἐστι τῶν ἐσθιομένων τε καὶ πινομένων, διὰ τοῦτο πάντων τῶν ἔχεσθαί τε καὶ περιπήγνυσθαι, καὶ προσκολλᾶσθαι δυναμένων, ἐστὶ χρεία φαρμάκων, οὐ τῶν ἀποκλύζεσθαι καὶ διαρρεῖν ἑτοίμως πεφυκότων. περιπήγνυται μὲν οὖν ἐστὶ παχέα, κολλᾶται δὲ τὰ γλίσχρα. τὰ δ' ἐν τοῖς παχέσιν ἐντέροις ἕλκη, τῶν διὰ τῆς ἕδρας ἐνιεμένων χρῄζει μᾶλλον φαρμάκων. ἐγγυτέρω γὰρ ταύτης ἐστί. τὰ δ' ἐν τοῖς λεπτοῖς, ἀμφοτέρων. πορρωτέρω γὰρ ἤδη ταῦτ' ἐστὶ καὶ μέσα τῇ θέσει τῶν ἄνωθέν τε λαμβανομένων, καὶ κάτωθεν ἐνιεμένων φαρμάκων. κοινὴ δ' ἐπὶ πάντων τῶν ἐντὸς μορίων ἔνδειξις, αἱρεῖσθαι μὲν τὰ συνηθέστατα τοῦ ζώου τῇ φύσει καὶ σιτία, καὶ φάρμακα. φεύγειν δὲ καὶ ἀποτρέπεσθαι τἀναντία. καί τοι γ' ἐπὶ τῶν ἐκτὸς ἑλκῶν, ἄλυπος καὶ ἡ τῶν τοιούτων χρῆσις, ἰοῦ καὶ χαλκοῦ κεκαυμένου, καὶ λεπίδος χαλκοῦ, καὶ καδμίας, καὶ πομφόλυγος, καὶ λιθαργύρου, καὶ ψιμμυθίου, ταῦτ' οὖν καὶ τὰ τοιαῦτα, μὴ προσφέρειν τοῖς ἐντός. εἴρηται δὲ περὶ τῆς φύσεως αὐτῶν ἔν τε τῷ τρίτῳ περὶ κράσεων, κἀν τοῖς περὶ φαρμάκων. αἱρεῖσθαι δὲ καὶ τὰς τροφὰς, εἰ μὲν εἰς οὐλὴν ἀγαγεῖν ἢ κολλῆσαι βουλοίμεθα τὸ ἕλκος, αὐστηράς τε καὶ γλίσχρας καὶ ἀδήκτους. εἰ δ' ἀνακαθῆραι, ῥυπτούσας μετρίως. εἰς μὲν δὴ τοῦτο πάντων ἄριστον μέλι ἄπεφθον. τὰ δ' αὐστηρὰ πόματα καὶ αἱ διὰ τούτων ῥοφαὶ, πρόδηλοι παντί. καλῶ δ' αὐστηρὸν, ὅπερ καὶ στύφον ὀνομάζεται. τὸ στρυφνὸν δὲ, ἐπιτεταμένον ἐστὶν αὐστηρόν. ὅσα δὲ φάρμακα λαμβάνεται τοῖς ἐντὸς ἄλυπα, γέγραπται μὲν ἐν τοῖς περὶ φαρμάκων. εἰρήσεται δὲ καὶ νῦν ὁ τύπος αὐτῶν. ὑποκυστὶς δὴ καὶ βαλαύστιον, καὶ κύτινος ῥοιῶν, καὶ κηκὶς, καὶ ῥοῦς λέμματα, καὶ στα-

μιος ἀστήρ, καὶ λημνία σφραγίς, καὶ χυλὸς ῥοῦ, καὶ ῥόδων, ἀκακία τε, καὶ τἆλλα ὅσα τοιαῦτα, τοῖς ἐντὸς ἕλκεσιν ἁρμόττοντα, βλάβην δ' οὐδὲ μίαν ἐργάζεται περὶ τὰ σπλάγχνα. διδόναι δ' αὐτὰ διά τινος τῶν στυφόντων ἀφεψήματος, ἢ μήλων κυδωνίων, ἢ σχίνου, ἢ βάτων ἀκρεμόνων, ἢ ἀμπέλων, ἢ μύρτων, ἢ καὶ διὰ οἴνου τινὸς τῶν αὐστηρῶν. εὔδηλος δὲ ἡ τοῦ οἴνου χρῆσις, ὡς πεφυλάχθαι χρὴ τὸν καιρὸν τῶν φλεγμονῶν. ἄλλως δ' οὐδὲν κωλύει διδόναι. εὔδηλον δὲ ὡς καὶ ἀναλαμβάνειν χρὴ τὰ τοιαῦτα φάρμακα, παρασκευάζοντα διά τε τῶν εἰρημένων ὑγρῶν, καὶ προσέτι τραγακάνθης τε καὶ κόμεως ἐπιμιγνῦντα. καὶ μάλιστα τοῖς ἐν στομάχῳ προσάξειν μέλλοντα. καὶ μὲν δὴ καὶ ἀνακογχυλίζεσθαι μὲν τοῖς περὶ τὴν φάρυγγα, καὶ τὰ παρίσθμια προσφέροντα, κελεύειν χρή. κατέχειν δ' ὕπτιον, ἐπὶ πλεῖστον ἐν τῷ στόματι, χαλαροὺς ἐργασάμενον ἅπαντας τοὺς τῇδε μῦς, ἐπὶ τῶν περὶ τὴν ἀρτηρίαν ἑλκῶν. παραρρεῖ γὰρ οὕτως ἀτρέμα καὶ κατὰ βραχὺ σαφῶς καὶ αἰσθητῶς εἰς αὐτὴν τὴν ἀρτηρίαν τοῦ φαρμάκου. καὶ γὰρ καὶ τῷ κατὰ φύσιν ἔχειν, εὖ εἰδέναι χρή. παρηθούμενον οὐκ ὀλίγον ἐνταῦθα τοῦ πόματος. ἀλλ' ὥσπερ ὑγιαινόντων, οὕτω καὶ νοσούντων φυλάττεσθαι χρὴ τὸ πλέον, ὡς βηχῶν κινητικόν. ἄχρι μὲν γὰρ ἂν ἐν κύκλῳ παρὰ τὸν χιτῶνα τῆς ἀρτηρίας, ὥσπερ εἰ παρὰ τοῖχον ὕδωρ φέρηται τὸ ὑγρόν, οὐκ ἐργάζεται βῆχα. τὸ δ' εἰς τὰς ὁδοὺς μέσας τοῦ πνεύματος ἐμπίπτον, εὐθὺς βηχώδεις ἀποτελεῖ. ταῦτά γε οὖν ἀπὸ τῆς θέσεως καὶ διαπλάσεως τῶν μορίων εἴληπται πάντα. καὶ πρὸς τούτοις ἔτι, τὸ συμμιγνύναι μέλιτος ἅπασι τοῖς πρὸς τὰς ἑλκώσεις φαρμάκοις, ἐπὶ τὸν κατὰ τὸν θώρακα καὶ τὸν πνεύμονα. μόνα γοῦν εἴπερ ἐπὶ τούτων αὐστηρὰ προσφέροις φάρμακα, χρονίζει κατὰ τὴν γαστέρα. τῆς οὖν ἀναδόσεως αὐτῶν, ὄργανον ὑπάρχει τὸ μέλι. καὶ ἔστιν οἷον ὄχημά τι ταχείας φορᾶς. ἅμα τῷ μηδὲ βλάπτειν ἕλκη. κατὰ δὲ τὸν αὐτὸν λόγον, αὐτό τε τὸ μέλι, καὶ τῶν οὔρησιν κινούντων τινὰ μίγνυσθαι χρὴ τοῖς τῶν ἑλκῶν φαρμάκοις, ἐπειδὰν τὰ κατὰ τὴν κύστιν καὶ τοὺς νεφροὺς ᾖ πεπονθότα. τὸ δὲ καὶ τὰς διαγνώσεις τῶν ἡλκωμένων μορίων, ἀπό τε τῆς οὐσίας αὐτῶν καὶ τῆς ἐνεργείας καὶ χρείας γίγνεσθαι, καὶ τῆς θέσεώς τε καὶ διαπλάσεως, εὔδηλον οἶμαι κἂν ἐγὼ μὴ λέγω. δείκνυται δ' αὐτάρκως, κἂν ταῖς περὶ τῶν πεπονθότων τόπων διαγνώσεσιν. ἀλλ' οὐ πρόκειται νῦν περὶ ἐκείνων λέγειν. αὖθις οὖν ἐπὶ τὴν θεραπευτικὴν μέθοδον ἐπάνειμι. φημὶ δὴ καὶ ταῦτα καὶ ἄλλα πολλὰ τὴν τῶν μορίων ἐνδείκνυσθαι θέσιν τε καὶ διάπλασιν. ἐπιδῆσαι γὰρ τὸ ἡλκωμένον μόριον οὐκ ἐγχωρεῖ καλῶς, ἄνευ τοῦ λαβεῖν τὴν ἔνδειξιν, ἢ ἐκ τῆς διαπλάσεως, ἢ ἐκ τῆς θέσεως, ἢ ἐκ συναμφοτέρων. ἐνιέναι τε τὸν αὐλίσκον τοῦ κλυστῆρος εἰς τὴν ἕδραν ἐπιτηδείως οὐχ οἷόν τε χωρὶς τῆς τοιαύτης ἐνδείξεως. καὶ μὴν καὶ διὰ τοῦ καυλοῦ, φάρμακον ἐνιέναι πολλάκις εἰς τὴν κύστιν ἀναγκαῖόν ἐστι. περὶ μὲν γὰρ τοῦ καθετῆρος οὐδὲν δέομαι λέγειν, ὡς οὐχ οἷόν τε ἐστὶ καλῶς χρήσασθαι αὐτῷ χωρὶς τοῦ καὶ θέσιν ἀκριβῶς ἐπίστασθαι καὶ διάπλασιν ὅλης τῆς κύστεως. ἐν μὲν δὴ τοῖς τοιούτοις ἅπασι, πρόδηλον ὡς οὐκ ὀλίγον εἰς τὴν ὅλην θεραπείαν ὁ πεπονθὼς τόπος συνενδείκνυται. ἐπὶ δὲ τῶν καλουμένων ῥηγμάτων, πλεῖον αἱ ἐνδείξεις φαίνονται συντρέχειν εἰς ταὐτό. καὶ γοῦν καὶ ἡ ἀπὸ τῆς θέσεως ὀρθῶς ἂν ἐξετάζοιτο. διότι γοῦν ἐν βάθει τοῦ σώματός ἐστι καὶ κατακέκρυπται, διὰ τοῦτο καὶ τῆς θεραπείας ἐξηλλαγμένης παρὰ τὰ φαινόμενα δεήσεται. διότι δὲ σὺν ἐκχυμώσει μὲν πάντως, ἐνίοτε δὲ καὶ σὺν περιθλάσει τῆς ἐρρωγυίας σαρκὸς ἀποτελεῖται, διὰ τοῦτο πλείους ἰάσεις ἐνδείξεται. ἀεὶ γὰρ τῷ πλήθει τῶν διαθέσεων, οἱ πρῶτοι σκοποὶ τῶν ἰάσεων ἰσάριθμοι. λεχθήσεται μὲν οὖν ἐπὶ πλέον ἐν τοῖς περὶ τῆς φλεγμονῆς λογισμοῖς, ὡς ἰσχυροτέρων δεῖται φαρμάκων ἅπαντα τὰ διὰ βάθος πεπονηκότα σώματα, τῶν ἐπιπολῆς ἀρρωστούντων. δῆλον δ' οἶμαι καὶ νῦν ἤδη τό γε τοσοῦτον, ὡς ἐκλύεσθαι τὴν δύναμιν ἀναγκαῖόν ἐστι τῶν ἐπιτιθεμένων ἔξωθεν φαρμάκων, ὅταν ἐν τῷ βάθει κατακεκρυμμένον ᾖ τὸ δεόμενον τῆς ἀπ' αὐτῶν ὠφελείας. ἐπιτείνειν οὖν αὐτὴν εἰς τοσοῦτον προσήκει, εἰς ὅσον ἐκλύεσθαι μέλλει κατὰ τὴν εἰς τὸ βάθος ὁδόν. αἱ δ' ἐκχυμώσεις ἅπασαι, τὸν σκοπὸν τῆς ἰάσεως κένωσιν ἔχουσιν. ὥστε θερμαινόντων αὐταῖς καὶ μετρίως ξηραινόντων ἐστὶ χρεία φαρμάκων. ὅσα γὰρ ἰσχυρῶς ξηραίνει, διαφορεῖ μὲν εὐθὺς κατ' ἀρχὰς ἐπιδηλότερον τῶν ἀσθενεστέρων. ἀπολείπει δέ τι λείψανον τῆς διαθέσεως, σκιρρῶδές τε καὶ δυσίατον. εἰρήσεται μὲν οὖν κἂν τοῖς ἑξῆς περὶ τούτων ἀκριβέστερον. ἀλλὰ καὶ νῦν ὅσον εἰς τὰ παρόντα χρήσιμον, αὐτάρκως λέλεκται. τά τε γὰρ ὑγραίνοντα καὶ θερμαίνοντα φάρμακα, καὶ ταῦτα δὴ τὰ συνήθως ἅπασιν ὀνομαζόμενα χαλαστικά, καὶ τούτων ὅσα βραχὺ μὲν πρὸς τὸ ξηρότερον ἀποκεχώρηκεν, οὔπω δὲ σαφῶς οὐδ' ἐναργῶς ἐστι στυπτικά, τῶν ἐκχυμωμάτων ἁπάντων ἐστὶν ἰάματα. χρὴ δὲ δηλονότι καὶ ταῦτα τοῖς τῷ ἐν βάθει τοῦ σώματος ῥήγμασι, συνεπιτείνεσθαί τε τῇ δυνάμει, καὶ δριμύτερα προσφέρεσθαι καὶ τμητικώτερα, καὶ τὸ σύμπαν εἰπεῖν, ἐνεργέστερα τοσοῦτον, εἰς ὅσον τοῦ δέρματος ἀποκεχώρηκε πρὸς τὸ βάθος ἡ ἐκχύμωσις. ἐκ τῶν τοιούτων εἴη ἂν καὶ ἡ τῆς σικύας χρῆσις ὠφέλιμος. ὄργανον δὲ καὶ αὕτη τοῖς ἰατροῖς ἐξεύρηται βιαίας ὁλκῆς. ἐπειδὰν μέντοι διαφορηθῇ τὸ σύμπαν ἐκχύμωμα, ξηραίνειν ἤδη σφοδρότερον ἐγχωρεῖ τὸ ῥῆγμα, καὶ συνάγειν ἐπιδέσει. καὶ τὸ σύμπαν εἰπεῖν, ἅπαντα πράττειν ὑπὲρ τοῦ συμφῦναι τὸ ἕλκος, εἰ μὲν οὖν ἐν τάχει διαφορηθείη τὸ ἐκχύμωμα, προσίεται ῥᾳδίως τὴν σύμφυσιν ἡ ἐρρωγυῖα σάρξ. εἰ δ' ἐν χρόνῳ πλείονι διαφορεῖτο, ῥύπος ἀξιόλογος ὑποτρεφόμενος ἐν τῷ μεταξὺ τῶν χειλῶν ἵσταται τοῦ ἕλκους. ὥστ' οὐκέτ' οἷόν τε συμφῦναι τῷ ῥήγματι. καὶ διὰ τοῦτο πᾶν ὁτιοῦν αἴτιον ὑπομιμνήσκει ταῦτα. καὶ γὰρ ῥιγώσαντες καὶ ἀπεπτήσαντες καὶ πυρέξαντες καὶ σφοδρότερον ἐνεργήσαντες τοῖς τοιούτοις μορίοις, εὐθέως ἀλγοῦσιν. οὐ γὰρ συνέφυ τὰ χείλη τοῦ ῥήγματος, ἀλλὰ παράκειται μόνον. ὥστε μικρὰ πρόφασις ἀφίστησί τε ῥᾳδίως ἀπ' ἀλλήλων αὐτά. καὶ τὴν μεταξὺ χώραν ἐμπίπλησιν ὑγρότητος περιττῆς. καὶ τί γὰρ ἄλλο, ἢ ἐκχύμωμα γίνεται συνεχῶς αὖθις ὅμοιον τῷ κατ' ἀρχάς, ἡνίκα τὸ πρῶτον ἡ σὰρξ ἐρράγη, πλὴν ὅτι νῦν μὲν ἰχῶρος τινὸς μᾶλλον λεπτοῦ. κατ' ἀρχὰς δ' αἵματος ἦν τὸ ἐκχύμωμα. διὰ τοῦτο καὶ ῥᾷον νῦν, ἢ κατ' ἀρχὰς διαφορεῖται. ταῦτα μὲν οὖν εἰρήσθω μοι πρός γε τὸν περὶ τῶν ἑλκῶν λόγον ἀρκοῦντα, καὶ ἤδη τέλος ἐπιτίθημι καὶ τῷδε τετάρτῳ γράμματι.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΤΗΝ τῶν ἑλκῶν ἴασιν ὡς ἄν τις ἄριστα ποιοῖτο, διὰ τῶν ἔμπροσθεν τοῖνδε δυοῖν ὑπομνημάτων διερχόμενος, καὶ τοὺς ἄλλους μὲν ἅπαντας ἰατροὺς ὅσοι χωρὶς τοῦ ζητεῖται τὰ στοιχεῖα τῶν ἁπλῶν ἐν ἡμῖν μορίων ἅπτονται τῆς τέχνης, οὐ δυναμένους οὐδὲν ἰάσασθαι μεθόδῳ, πάντων δὲ μάλιστα τοὺς τὴν Θεσσαλοῦ πρεσβεύοντας αἵρεσιν, ἐπέδειξα. οἱ μὲν γὰρ ἄλλοι τά γ' ἐν τοῖς διαφέρουσι μέρεσιν ἕλκη, διαφόρως θεραπεύειν ἀξιοῦσιν ὑπὸ τῆς πείρας δεδιδαγμένοι. τοῖς δ' ἀπὸ τοῦ Θεσσαλοῦ διὰ τὸ περιττὸν τῆς σοφίας, ἅπαν ἕλκος ὁμοίας δοκεῖ δεῖσθαι θεραπείας, ἐν ὅτῳ περ ἂν ᾖ μέρει τοῦ ζώου γεγονός. εἰ μὲν γὰρ εἴη κοῖλον, ἀναπληρώσεως αὐτό φασι χρῄζειν. εἰ δ' ὁμαλές, ἐπουλώσεως. εἰ δ' ὑπερσαρκοῦν, καθαιρέσεως. εἰ δ' ἔναιμόν τε καὶ πρόσφατον, κολλήσεως. ὥσπερ τῷ ταῦτα γινώσκειν, ἀκόλουθον ἐξ ἀνάγκης τὸ θεραπεύειν ὀρθῶς. ἀλλ' οὐχὶ κοινὸν μὲν τοῦτο καὶ πρὸς τοὺς ἰδιώτας ὑπάρχον. οὐδεὶς οὖν ἀγνοεῖ τῶν ῥηθέντων οὐδέν. οὐ μὴν οὐδ' ὡς χρὴ σαρκῶσαι τὸ κοῖλον, οὐδ' ὡς ἐπουλῶσαι τὸ πεπληρωμένον, ἢ καταστεῖλαι τὸ ὑπεραυξανόμενον, ἢ συμφῦσαι τὸ καθαρόν τε καὶ μὴ κοῖλον ἐπίστανται. μόνων γὰρ οἶμαι τῶν ἰατρῶν, τὰ τοιαῦτα τῶν ἔργων ἐστίν, ἤτοι γ' ἐκ λόγου τινός, ἢ ἐξ ἐμπειρίας, ἢ ἐκ συναμφοτέρου τὴν εὕρεσιν ἔχοντα. πάλιν οὖν ἀναλαβόντες ἐν κεφαλαίοις ὑπὲρ αὐτῶν διεξέλθωμεν, ἕνεκα τοῦ συνάψαι τὴν ἀρχὴν τῶν μελλόντων λεχθήσεσθαι τῇ τελευτῇ τῶν φθανόντων εἰρῆσθαι. πᾶν ἕλκος ἐδείχθη ξηραινόντων χρῄζειν φαρμάκων. ἀλλὰ τὸ μὲν κοῖλον ἧττόν τε τῶν ἄλλων, καὶ πρὸς τῷ μετρίως ξηραίνειν, τὸ ῥύπτειν ἐχόντων. τὸ δὲ τῆς ἑνώσεως τῶν χειλῶν δεόμενον, οἷα τὰ καλούμενα πρὸς τῶν ἰατρῶν ἐστὶν ἔναιμα, τῶν τε μᾶλλον ἔτι ξηραινόντων, καὶ χωρὶς τοῦ ῥύπτειν ἀτρέμα στυφόντων. ἔτι δὲ μᾶλλον, ὅσα τῶν ἑλκῶν εἰς οὐλὴν ἀχθῆναι δεῖται, ξηραινόντων τε χρῄζει φαρμάκων καὶ στυφόντων οὐκ ἀγεννῶς. εἰ δὲ ἡ σὰρξ αὐτῶν ὑπὲρ τὸ κατὰ φύσιν ἀρθείη, δριμέων τε καὶ καθαιρετικῶν, ἅπερ ἐξ ἀνάγκης ἐστὶ θερμὰ καὶ ξηρά. συμπτώματος δέ τινος ἑτέρου προσγινομένου τοῖς ἕλκεσιν, ἀπὸ τῆς ἐκείνου φύσεως, ὁ σκοπὸς τῆς ἰάσεως ἐλαμβάνετο. κἀν τούτῳ πάλιν, ἡ τῶν φαρμάκων δύναμις. εἰ μὲν γὰρ ῥύπος ἐπιτραφείη, τῶν ἀφαιρούντων αὐτὸν εἶναι τὴν χρείαν. ἅπερ ἅπανθ' ὑπάρχει ῥυπτικά. πολὺ δή τι πλέον, ἢ κατὰ τὰ σαρκοῦντα. πλέονος δ' ὑγρότητος ἐν αὐτοῖς φανείσης, ἔτι μᾶλλον ξηραίνειν χρῆναι τὸ φάρμακον, οὐκ ἐξιστάμενον τῆς οἰκείας ἰδέας. ἀλλ' εἰ μὲν κολλητικὸν εἴη, ξηραῖνόν τε καὶ στῦφον, εἰ δὲ σαρκωτικόν, ξηραῖνόν τε καὶ ῥύπτον. ἐφ' ἑκάστου τε τῶν ἄλλων ὥσπερ εἴρηται. δυσκράτου δὲ τῆς ὑποκειμένης γεγονυίας σαρκός, ἐκείνης προτέρας ἰᾶσθαι τὴν δυσκρασίαν, τὴν μὲν ξηροτέραν τοῦ κατὰ φύσιν ὑγραίνοντας. τὴν δ' ὑγροτέραν, ξηραίνοντας. καὶ τὴν μὲν θερμοτέραν, ψύχοντας. τὴν δὲ ψυχροτέραν, θερμαίνοντας. καὶ εἰ κατὰ συζυγίαν δέ τινα δύσκρατος ὑπάρχει, καὶ τὴν τοῦ φαρμάκου δύναμιν ἐξ ὑπεναντίου κατ' ἀμφοτέρας αἱρεῖσθαι τὰς συζυγίας. κοινὸν γὰρ εἶναι τοῦτό γε τῶν παρὰ φύσιν ἁπάντων ὡς μηδὲν δύνασθαι πρὸς τὸ κατὰ φύσιν ἐπανελθεῖν, ἄνευ τῶν ἐναντίων ἑαυτῷ τῇ δυνάμει. προσεπισκοπεῖσθαι δ' ἐν τῷδε καὶ τὰς αἰτίας τῆς δυσκρασίας εἴτε κοιναὶ τοῦ σώματος ἅπαντος ὑπάρχοιεν, εἴτε μορίων τινῶν ἐξαίρετοι, κατὰ συμπάθειαν ἀδικοῦσαι τὸ ἡλκωμένον. ἐξιᾶσθαι δὲ προτέραν μὲν τὴν τῆς γινομένης δυσκρασίας αἰτίαν, ἐφεξῆς δὲ καὶ τῆς ἤδη γεγενημένης. εἶναι γὰρ δεῖ καὶ τοῦτον τὸν σκοπὸν ἁπάντων κοινόν, τῶν ὑπ' αἰτίου τινὸς ἔτι γιγνομένων. ἐδείξαμεν δὲ καὶ τὰς ἀπὸ τῆς διαφορᾶς τῶν ἑλκῶν διαφόρους ἐνδείξεις. καὶ τὰς ἀπὸ τῆς τῶν πεπονθότων σωμάτων κράσεως, ἑτέρως ἐχούσας ταῖς προειρημέναις. ἐκεῖναι μὲν γὰρ ἀπὸ τῶν παρὰ φύσιν ὑπάρχουσαι, τῶν ἐναντίων ἅπασι χρῄζουσιν. αὗται δ' ἐκ τῶν κατὰ φύσιν ὁρμώμεναι, τῶν ὁμοίων. τὸ μὲν γὰρ ξηρότερον μόριον, ξηραίνεσθαι δεῖ μᾶλλον. τὸ δὲ ἧττον τοιοῦτον, ἧττον ξηραίνεσθαι χρή. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἔτι τοῦ θερμαίνεσθαί τε καὶ ψύχεσθαι. λαμβάνεσθαι δέ τινα κἀκ τοῦ κύριον ἢ μὴ τοιοῦτον εἶναι τὸ μόριον, εὐαίσθητόν τε καὶ δυσαίσθητον, διάφορον ἰάσεως ἔνδειξιν. ὅσον οὖν ὑπόλοιπον ἔτι τῆς τούτου τοῦ γένους θεραπείας ἐστίν, ἤδη λέγομεν. ὀνομάζεται μὲν τὸ γένος τοῦτο πρὸς ἡμῶν ἕνεκα σαφοῦς διδασκαλίας, ἑνώσεως λύσις. οὐδὲν διαφέρον εἰ καὶ συνεχείας εἴποιμεν. ἐγγίνεται δ' οὐ μόνον τοῖς ὁμοιομερέσι τε καὶ ἁπλοῖς ὀνομαζομένοις μορίοις, ἀλλὰ καὶ τοῖς συνθέτοις τε καὶ ὀργανικοῖς. αἱ δὲ τῶν βοηθημάτων ἐνδείξεις, ἕτεραι μὲν ἀπὸ τῶν ὁμοιομερῶν εἰσιν, ἕτεραι δὲ ἀπὸ τῶν ὀργανικῶν. ἀμφοτέρας μὲν οὖν οἱ τὴν Ἱπποκράτους μέθοδον ἀσπαζόμενοι, γινώσκουσι. διότι καὶ τὴν ἑκατέρων τῶν μορίων φύσιν ἐπίστανται. τὴν δ' ἑτέραν ἐξ αὐτῶν μόνην τὴν ἀπὸ τῶν ὀργανικῶν, οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον. ὥστε κἀν τοῖς ἐφεξῆς λόγοις, ὅσα μὲν ἀπὸ τοῦ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ σώματος ἢ πάθους εἰς τὴν ἔνδειξιν λαμβάνεται, τούτων οὐδενὸς ἕξουσι μέθοδον οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον. ὅσα δὲ ἀπὸ τῆς διαπλάσεως, ἢ θέσεως, ἢ κυριότητος, ἢ εὐαισθησίας, ἢ τῶν ἐναντίων, οὐκ ἀγνοήσουσι. φανείη δ' ἂν σοι σαφέστερον ὃ λέγω, τῶν σωμάτων αὐτῶν προχειρισθέντων. ἐπεὶ τοίνυν ἔμπροσθεν ὑπὲρ τῶν ἐν σαρκώδεσι μέρεσι γινομένων ἑλκῶν, ὁ πλεῖστός μοι λόγος ἐπεράνθη, νῦν δ' ἤδη καιρὸς ὑπὲρ τῶν ἐν ἀρτηρίᾳ καὶ φλεβὶ καὶ νεύρῳ διελθεῖν. οὐδὲ περὶ τούτων ἁπλῶς, ἀλλὰ καὶ καθ' ἕκαστον σπλάγχνον. ἢ συλλήβδην εἰπεῖν, ὀργανικὸν τοῦ ζώου μόριον. εἰ δέ τις ἀρτηρίαν ἢ φλέβα τρωθείη μεγάλην, αἱμορραγία τε λάβρος ἐπιπίπτει τοπαραυτίκα, καὶ κολληθῆναι τῷ τοιούτῳ τραύματι χαλεπὸν μὲν κἂν τῇ φλεβί, κατὰ δὲ τὴν ἀρτηρίαν, οὐ χαλεπὸν μόνον, ἀλλὰ ἴσως καὶ ἀδύνατον. ὥς τινες ἀπεφήναντο τῶν ἰατρῶν. λεκτέον οὖν ὑπὲρ ἑκατέρων ἐν μέρει. πρότερον μὲν τῶν αἱμορραγιῶν. δεύτερον δὲ τῶν συμφύσεων. ἐπεὶ δὲ καὶ κατὰ ἀναστόμωσίν τε καὶ τὴν καλουμένην διαπήδησιν αἱμορραγίαι γίνονται, διὰ τὴν κοινωνίαν τῶν ἰαμάτων οὐδὲν χεῖρον ἐν τῷδε μνημονεύειν αὐτῶν, εἰ καὶ δοκοῦσιν ἐξ ἑτέρου γένους εἶναι νοσημάτων. ἐκχεῖται τοίνυν αἷμα φλεβὸς καὶ ἀρτηρίας, ἤτοι κατὰ τὸ πέρας ἀναστομωμένων τῶν ἀγγείων, ἢ

τοῦ χιτῶνος αὐτῶν διαιρεθέντος, ἢ ὡς ἄν τις εἴποι διϊδρουμένου. ὁ μὲν οὖν χιτὼν διαιρεῖται τιτρωσκόμενός τε καὶ θλώμενος, καὶ ῥηγνύμενος, καὶ διαβιβρωσκόμενος. ἀναστόμωσις δὲ γίνεται, διά τε ἀτονίαν ἀγγείου καὶ πλῆθος αἵματος ἀθρόως ῥυέντος ἐπὶ τὸ στόμιον αὐτοῦ, καί τινα ποιότητα προσπίπτουσαν ἔξωθεν αὐτῷ δριμεῖαν. ἡ δὲ διαπήδησις ἀραιωθέντος μὲν τοῦ χιτῶνος, λεπτυνθέντος δὲ τοῦ αἵματος ἀποτελεῖται. γένοιτο δ' ἄν ποτε καὶ δι' ἀναστόμωσιν ἀγγείων μικρῶν. λεκτέον οὖν ὑπὲρ ἑκάστης διαθέσεως ἐν μέρει. καὶ πρώτης γε τῆς διαιρέσεως, ἣν ἐξ ἀναβρώσεως, καὶ τρώσεως, καὶ θλάσεως, καὶ ῥήξεως ἔφαμεν γίγνεσθαι. τὰ μὲν δὴ τιτρώσκοντα τῶν αἰτίων, ὀξέα τέ ἐστι, καὶ τομά. τὰ δὲ θλῶντα, βαρέα τε, καὶ σκληρά. τὰ δὲ ῥηγνῦντα, διὰ μέσης μὲν ἅπαντα τῆς τάσεως ῥήγνυσιν. ἔστι δὲ πλείω σφοδρότης ἐνεργείας καὶ πλῆθος χυμῶν. οὐ τὸ πρὸς τὴν δύναμιν, ἀλλ' ὅταν ὑπὸ τῶν περιεχόντων μὴ στέγηται· καὶ κατάπτωσις ἐξ ὑψηλοῦ, καί τι τῶν βαρέων καὶ σκληρῶν ἐμπεσόν. τὸ γὰρ τοιοῦτον, ἐπειδὰν μὲν ἤτοι κενοῖς, ἢ ὀλιγοστὴν οὐσίαν περιέχουσιν ἀγγείοις ἐμπέσοι, θλάσιν ἐργάζεται, μετά γε καὶ τὸ ἀντιστηρίζον ἔχειν σκληρόν. ἐπειδὰν δὲ πλήρεσιν ᾖ, φθάνει ῥηγνύειν πρὶν θλᾶσθαι, παραπλησίου τοῦ συμβαίνοντος ὄντος, ὥσπερ εἰ καὶ πληρώσας ἀσκὸν ἢ κύστιν, ἐπιρρίψαις λίθον. ἢ εἰ ἐπὶ τοῦ λίθου σφοδρῶς ἐπιρρίψαις τὸν ἀσκόν. ἔοικε δὲ μάλιστα τοῦτο γινόμενον ἐν ταῖς καταπτώσεσιν. ὃν γὰρ ἔχει λόγον ὡς πρὸς τὸν λίθον ὁ ἀσκός, τοῦτον ὡς πρὸς τοὔδαφος ὁ ἄνθρωπος. ὅσοι δὲ μέγιστον ἢ ὀξύτατον βοήσαντες, ἔρρηξαν ἀγγεῖον ἐν πνεύμονι, διὰ συντονίαν ἐνεργείας ἔπαθον οὕτως. ὡσαύτως δ' αὐτοῖς καὶ ὅσοι βαρὺν ὄγκον σώματος ἢ τοῖς ὤμοις ἀναθέσθαι προὐθυμήθησαν. ἢ ἄλλως πως ἐξᾶραι διὰ ταῖν χεροῖν. ἔτι δὲ μᾶλλον ὅσοι διὰ δρόμον ὠκὺν, ἢ πηδήσαντες μέγιστα, ἢ πως ἄλλως ἰσχυρῶς τείναντές τι μόριον. ἔστι γὰρ καὶ τοῦτο παραπλήσιον ὡς εἰ καὶ σχοινίον, ἢ ἱμάντα διατείνας ἐπὶ πλεῖστον. ὅτι δὲ καὶ διὰ τὸ μὴ στέγειν τὸ περιεχόμενον ἐν αὐτοῖς αἷμα, καὶ μάλιστα ὅταν ᾖ πνευματικὸν οὐκ ὀλίγα ῥήγνυται, δηλοῦσιν οἵ τε πίθοι πρὸς τοῦ γλεύκους ἀναρρηγνύμενοι, καὶ ἄλλα πολλὰ τῶν ἰσχυροτάτων σωμάτων. εἰ μὲν οὖν ἐκ τρώσεως ἢ βοῆς ἢ καταπτώσεως ἢ θλάσεως ἡ ῥῆξις ἐγένετο, πέπαυται τὸ αἴτιον. εἰ δ' ὑπὸ πλήθους, ἐγχωρεῖ καὶ νῦν ἔτι τὸ ἀγγεῖον ἐπὶ πλέον ἀναρρήγνυσθαι μενούσης ἔτι τῆς ποιούσης αἰτίας. ἐπὶ μὲν οὖν τῆσδε τῆς διαθέσεως, ἐκκενωτέον ὅτι τάχιστα τὸ πλῆθος. εἶθ' οὕτως ἐπισχετέον τὸ αἷμα. κἄπειτα τὸ ἕλκος θεραπευτέον. ἐφ' ὧν δὲ οὐκ ἔστι τὸ αἴτιον, ἐπισχεῖν μὲν χρὴ πρῶτον τὸ αἷμα, τὸ δ' ἕλκος ἑξῆς ἰᾶσθαι. στεγνώσαντας μὲν τὸ ἐρρωγός, ἐκτρέψαντας δὲ καὶ ἀποστρέψαντας ἑτέρωσε τὸ δι' αὐτοῦ φερόμενον, ὡς εἴγε καὶ τοῦτ' ἐπιρρέοι, καθάπερ ἐξ ἀρχῆς ὥρμησε, καὶ τὸ στόμιον ἴσον ἑαυτῷ διαμένοι, θᾶττον ἂν ἀπόλοιτο τὸ οὕτως αἱμορραγοῦν ζῶον, ἢ τὸ αἷμα παύσαιτο κενούμενον. ἀλλὰ καὶ τό γ' ἕλκος ἤτοι τῶν διεστώτων χειλῶν εἰς ταυτὸν ἀφικομένων, ἢ τοῦ στομίου φραχθέντος, στεγνωθήσεται. συναχθήσεται μὲν οὖν εἰς ταυτὸν ἀλλήλοις τὰ χείλη, διά τε τῶν ἡμετέρων χειρῶν ὅταν οὕτως πρόχειρον ᾖ τὸ τραῦμα, καὶ δι' ἐπιδέσεως. ὁπότε τῶν ψυχόντων καὶ στυφόντων φαρμάκων. οὐ γὰρ δὴ ῥάπτειν γε δυνάμεθα τὸ τῆς ἀρτηρίας ἢ φλεβὸς τραῦμα. καθάπερ ἂν εἴποιεν οἱ μηδὲ μίαν ἐκ τῶν τετρωμένων μερῶν οὐσίας τε καὶ φύσεως ἔνδειξιν γίνεσθαι φάσκοντες. ἐμφραγήσεται δὲ τὸ στόμιον ὑπό τε θρόμβου, καὶ τῶν ἔξωθεν ἐπιβαλλομένων αὐτῷ. δύναται δὲ ἐπιβάλλεσθαι τά τε περικείμενα σαρκώδη, καὶ τὸ δέρμα κατ' ἐνίας τρώσεις. ὅσα θ' ἡμεῖς ἐπιτεχνώμεθα. ταῦτα δ' ἐστὶν οἵ τε καλούμενοι μοτοί, καὶ τῶν φαρμάκων ὅσα τῇ ἐμπλάσει γλίσχρα καὶ παχέα ταῖς οὐσίαις ὄντα. καὶ ὅσα τὴν καλουμένην ἐσχάραν ἐργάζεται. καὶ γὰρ καὶ ταύτην οἷον φράγμα τι τοῖς τοιούτοις ἕλκεσιν ἐξεῦρον οἱ πρόσθεν. ἐργάζονται δ' αὐτὴν διά τε πυρὸς αὐτοῦ καὶ φαρμάκων, ὁμοίαν πυρὶ τὴν δύναμιν ἐχόντων. ἐκ τούτων μὲν δὴ στεγνοῦται τὸ στόμιον, ἀποτρέπεται δὲ καὶ ἀποστρέφεται τὸ αἷμα πρὸς ἕτερα μόρια, παροχετεύσει τε καὶ ἀντισπάσει. καὶ γὰρ καὶ ταῦθ' Ἱπποκράτους εὑρήματα κοινὰ πάσης ἀμέτρου κενώσεως. παροχετεύεται μὲν οὖν εἰς τοὺς πλησίον τόπους. ἀντισπᾶται δὲ ἐπὶ τοὺς ἀντικειμένους. οἷον τῷ δι' ὑπερῴας κενουμένῳ, διὰ ῥινῶν μὲν ἡ παροχέτευσις, κάτω δ' ἡ ἀντίσπασις. ὥσπερ γε τῷ δι' ἕδρας, διὰ μήτρας μὲν ἡ παροχέτευσις, ἄνω δὲ ἡ ἀντίσπασις. οὕτως γοῦν καὶ ἡ φύσις αὐτὴ δρᾶν πέφυκε. γυναικὶ μὲν φησὶν αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων, λύσις. διὰ τοῦτ' ἄρα καὶ καταμηνίων ἀθρόων ἐκκενουμένων, ἢ ὁπωσοῦν ἄλλως αἱμορραγούσης μήτρας, ἀντίσπασις ἄνω, σικύαν μεγίστην ὑπὸ τοὺς τιτθοὺς προσβαλών, ἔστι γὰρ καὶ τοῦτο Ἱπποκράτους εὕρημα, διὰ τοῦτο δὲ καὶ τὰς ἐκ ῥινῶν αἱμορραγίας ἐπέχουσιν, αἱ ἐπὶ τῶν ὑποχονδρίων ἐπιβαλλόμεναι μέγισται σικύαι. χρὴ δ' ὅταν ἐκ δεξιοῦ ῥέῃ μυκτῆρος, ἐφ' ἥπατος ἐρείδειν. ὅταν δ' ἐξ ἀριστεροῦ, ἐπὶ σπληνός. ὅταν δ' ἐξ ἀμφοτέρων, ἀμφοτέροις τοῖς σπλάγχνοις ἐπιφέρειν τὰς σικύας. εἰ δὲ μηδέπω καταλελυμένος ὁ κάμνων εἴη, καὶ φλέβα τέμνειν ἐξ ἀγκῶνος τῆς κατ' εὐθύ. κενώσαντα δ' ὀλίγον, εἶτα διαλιπόντα μίαν ὥραν, αὖθις ἐκκενοῦν. εἶτ' αὖθις καὶ αὖθις ὡς πρὸς τὴν δύναμιν τοῦ κάμνοντος. οὕτω δὲ καὶ τἄλλα ῥεύματα σύμπαντα, κοινὸς γὰρ ὁ λόγος, ἀντισπάσεις τε καὶ παροχετεύσεις. τὰ μὲν διὰ γαστρὸς, ἤτοι δι' οὔρων ἢ μήτρας. τὰ δὲ δι' οὔρων, ἤτοι διὰ μήτρας ἢ δι' ἕδρας. ὡσαύτως δὲ καὶ τὰ διὰ μήτρας, ἤτοι δι' οὔρων ἢ διὰ γαστρός. ἐπὶ δὲ τῶν κατ' ὀφθαλμοὺς, καὶ ὦτα, καὶ ὑπερῴαν, διὰ ῥινῶν ἡ παροχέτευσις. ἡ δ' ἀντίσπασις, ἄνω μὲν ἐπὶ τοῖς κάτω πᾶσι. κάτω δ' ἐπὶ τοῖς ἄνω. καὶ μὲν δὴ κἀκ τῶν δεξιῶν ἐπὶ θἄτερα. κἀξ ἐκείνων, ἐπὶ ταῦτα. κἀκ τῶν εἴσω, πρὸς τὰ ἔξω. κἀκ τούτων αὖ πάλιν, πρὸς ἐκεῖνα. τρίψεις οὖν τῶν ἀντικειμένων μερῶν, καὶ μάλιστα διὰ φαρμάκων θερμαινόντων, ἔτι τε δεσμὰ σφοδρότερα, τῶν ἀντισπαστικῶν ἐστι βοηθημάτων. ὥσπερ γε καὶ οἱ ἀντικείμενοι τῶν φυσικῶν πόρων ἀναστομωθέντες. εἴρηται δ' ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν, ἡ τῶν τοῦτο δυναμένων ἐργάζεσθαι φαρμάκων ὕλη. περὶ μὲν οὖν ἁπάντων ῥευμάτων εἰπεῖν, ἀναγκαῖον ἔσται κἂν τοῖς ἑξῆς ὑπομνήμασι. νυνὶ δὲ ἐπὶ τὰς αἱμορραγίας ἰτέον. ἐκ γάρ τοι τοῦ γένους τῆς στεγνώσεώς ἐστί πως, καὶ ὁ βρόχος ὁ περιτιθέμενος αὐτοῖς τοῖς αἱμορραγοῦσιν ἀγγείοις. οἵ θ' ἡμέτεροι δάκτυλοι συνάγοντές τε καὶ σφίγγοντες αὐτά. τούτου δ' ἐστὶ τοῦ γένους καὶ ἡ ἐπίδεσις. καίτοι γ' οὐκ ἐπὶ κύκλον τὸ ἀγγεῖον περιλαμβάνουσα, καθάπερ ὁ βρόχος, ἀλλὰ τῷ συνάγειν τέ πως ἐκ μέρους τὰ διεστῶτα χείλη τοῦ τετρωμένου μορίου, καὶ προστέλλειν τὰ ἐπικείμενα, τῶν στεγνωτικῶν ἐστι βοηθημάτων. ἔξωθεν δὲ τῶν εἰρημένων ἁπάντων, αἱμορραγίας βοήθημά ἐστι, τὸ ἐπιτήδειον σχῆμα τοῦ τετρω-μένου

μένου μορίου. ἐπιτήδειον δὲ γίνεται δυοῖν τούτοιν ἐχόμενον σκοποῖν, ἀνωδυνίας τε καὶ ἀναῤῥοπίας. εἰ δ' ἤτοι κατάῤῥοπον ἢ ὀδυνῶδες γίγνοιτο, καὶ τὰς οὐκ οὔσας αἱμοῤῥαγίας ἐργάσεται, μή τοι γε δὴ τὰς οὔσας οὐ παύσει. ταῦτ' οὖν ἐπιστάμενός τις, ἢν ἐπιστῇ ποθ' αἱμοῤῥαγοῦντι μορίῳ διὰ τρῶσιν, ἐπὶ τούτων γὰρ ὁ λόγος μοι γιγνέσθω πρότερον. αὐτίκα μὲν ἐπιβαλλέτω τὸν δάκτυλον ἐπὶ τὸ στόμιον τοῦ κατὰ τὸ ἀγγεῖον ἕλκους, ἐρείδων πράως καὶ πιέζων ἀνωδύνως, ἅμα τε γὰρ ἐφέξει τὸ αἷμα, καὶ θρόμβον ἐπιπήξει τῇ τρώσει. καὶ μέν τοι κἂν εἰ διὰ συχνοῦ βάθους εἴη τὸ αἱμοῤῥαγοῦν ἀγγεῖον, ἀκριβέστερον ἂν καταμάθοις τήν τε θέσιν αὐτοῦ καὶ τὸ μέγεθος. καὶ πότερα φλὲψ, ἢ ἀρτηρία ἐστί. μετὰ δὲ ταῦτα διαπείρας ἀγκίστρῳ, ἀνατεινέτω τε καὶ περιστρεφέτω μετρίως. μὴ ἐπισχεθέντος δ' ἐν τῷδε τοῦ αἵματος, εἰ μὲν φλὲψ εἴη πειράσθω χωρὶς βρόχου στέλλειν τὸ αἷμα, τῶν ἰσχαίμων τινὶ φαρμάκων. ἄριστα δ' αὐτῶν ἐστι τὰ ἐμπλαστικὰ, συντιθέμενα διά τε τῆς φρυκτῆς ῥητίνης καὶ ἀλεύρου πυρίνου χνοῦ, καὶ γύψου, καὶ ὅσα τοιαῦτα. εἰ δὲ ἀρτηρία ἐστὶ, δυοῖν θάτερον, ἢ βρόχον περιθεὶς, ἢ ὅλον διακόψας τὸ ἀγγεῖον, ἐφέξεις τὸ αἷμα. βρόχον δ' ἀναγκαζόμεθά ποτε καὶ ταῖς μεγάλαις περιτιθέναι φλεψὶν, ὥσπερ γε καὶ διατέμνειν ποτ' αὐτὰς ὅλας ἐγκαρσίας δηλονότι. καταστaίη δ' ἄν τις εἰς ἀνάγκην τοῦ δὲ, κατὰ τὰς ἐκ πολλοῦ βάθους ὀρθίας ἀναφερομένας. καὶ μάλιστα διὰ στενοχωρίας τινὸς, ἢ μερῶν κυρίων. ἀνασπᾶται γὰρ οὕτως ἑκάτερον τὸ μέρος ἑκατέρωθεν. καὶ κρύπτεται καὶ σκέπεται πρὸς τῶν ἐπικειμένων σωμάτων ἡ τρῶσις. ἀσφαλέστερον δ' ἄμφω ποιεῖν. βρόχον μὲν τῇ ῥίζῃ περιτιθέναι τοῦ ἀγγείου. τέμνειν δὲ τοὐντεῦθεν. ῥίζαν δ' ἀγγείου καλῶ, τὸ πρότερον αὐτοῦ μέρος, ἤτοι τῷ ἥπατι συναπτόμενον, ἢ τῇ καρδίᾳ. τοῦτο δ' ἐν τραχήλῳ μέν ἐστι, τὸ κάτωθεν. ἐν χερσὶ δὲ καὶ σκέλεσι, τὸ ἄνωθεν. ἐν ἑκάστῳ τε τῶν ἄλλων μορίων, ὡς ἐξ ἀνατομῆς ἔνεστι μαθεῖν. ἣν οὐδ' αὐτὴν οἱ ἀμέθοδοι προσίενται Θεσσάλειοι. ταῦτα δὲ πράξαντα, σαρκοῦν ὅτι τάχιστα τὸ τραῦμα, πρὶν ἀποῤῥυῆναι τοῦ ἀγγείου τὸν βρόχον. εἰ μὴ γὰρ φθάσειεν ἡ ἐπιτραφεῖσα σὰρξ στεγνῶσαι τὸ πέριξ χωρίον τῆς ἀποτετμημένης ἀρτηρίας, ἀλλ' εὑρεθείη που χώρα κενὴ, τὸ καλούμενον ἀνεύρυσμα γίνεται. διὰ τοῦτο καὶ τοῖς ἐμπλάττουσιν ἰσχαίμοις, χρῆσθαι κελεύω μᾶλλον τῶν ἐσχαρούντων. ὅτι θᾶττόν τε καὶ ἀκινδυνότερον ἐπ' αὐτοῖς σαρκοῦται τὸ τραῦμα. κίνδυνος γοῦν ἐπὶ τῶν ἄλλων ἀποπιπτούσης τῆς ἐσχάρας, αὖθις αἱμοῤῥαγῆσαι τὸ ἀγγεῖον. ἄριστον οὖν ἁπάντων ὧν οἶδα φαρμάκων, ᾧ καὶ πρὸς τὰς ἐκ μηνίγγων αἱμοῤῥαγίας ἀσφαλέστερον χρῆσθαι, τὸ λεχθησόμενόν ἐστι. λιβανωτοῦ μέρος ἓν, ἀλόης ἡμίσει μεμίχθω μέρει. κἄπειτα τῆς χρείας ἐπιστάσης, ᾠοῦ τῷ λευκῷ φυράσθω τοσούτῳ τὸ πλῆθος ὡς μελιτώδη σύστασιν ἔχειν. εἶτ' ἀναλαμβανέσθω τοῦτο λαγωαῖς θριξὶ ταῖς μαλακωτάταις. κἄπειτα τῷ ἀγγείῳ καὶ τῷ ἕλκει παντὶ πλεῖστον ἐπιτιθέσθω. καταδείσθω δ' ἔξωθεν ἐξ ὀθόνης ἐν ὑποδεσμίδι. τὰς μὲν πρώτας ἐπιβολὰς τέτταρας ἢ πέντε, κατ' αὐτοῦ αἱμοῤῥαγοῦντος ἀγγείου ποιουμένων ἡμῶν. ἐντεῦθεν δὲ ἐπὶ τὴν ῥίζαν αὐτοῦ νεμομένων, ἐφ' ὧν ἐγχωρεῖ μερῶν ἐπὶ τὴν ῥίζαν νέμεσθαι. σχεδὸν δ' ἐπὶ πάντων ἐγχωρεῖ, πλὴν μηνίγγων. εἶτα λύσαντα διὰ τρίτης, εἰ μὲν ἀσφαλῶς ἔτι προσέχοιτο τῷ ἕλκει τὸ φάρμακον, αὖθις ἕτερον ἐν κύκλῳ περιχέοντα, καὶ ὥσπερ ἐπιτέγγοντα τὸν ἐκ τῶν τριχῶν μοτὸν, ἐπιδεῖν ὡς ἐξ ἀρχῆς ἐπέδησας. εἰ δ' αὐτομάτως ὁ πρότερος ἀποπίπτοι μοτὸς, ἀτρέμα πιέζοντα τῷ δακτύλῳ τὴν ῥίζαν τοῦ ἀγγείου πρὸς τὸ μηδὲν ἐπιῤῥυῆναι, τοῦτον μὲν ἀφελεῖν ἠρέμα, προσθεῖναι δ' ἕτερον. οὕτω σε θεραπεύειν δεῖ μέχρι περ ἂν σαρκωθῇ τὸ ἀγγεῖον, ἀνάῤῥοπον ἀπ' ἀρχῆς ἄχρι τέλους φυλάττοντα τὸ μόριον. ἔστω δὲ μὴ δὲ τοῦτ' ἄμετρον τὸ σχῆμα. κίνδυνος γὰρ ὀδύνην γενέσθαι, καὶ αὖθις αἱμοῤῥαγῆσαι τὸ ἀγγεῖον. οὐδὲν γὰρ ὀδύνης μᾶλλον αἱμοῤῥαγίας τε κινεῖ καὶ φλεγμονὰς αὐξάνει. τούτῳ τῷ φαρμάκῳ πολυειδέστατα χρῶμαι. ποτὲ μὲν ὡς εἴρηται, μιγνύων ἀλόης τὸ διπλάσιον τοῦ λιβανωτοῦ. ποτὲ δ' ἐξ ἴσης ἀμφοτέροις χρώμενος. ἢ βραχεῖ πλείονι τῷ λιβανωτῷ τῆς ἀλόης. ἢ πλείονι μὲν ἀλλ' οὔπω τῷ διπλασίῳ. καὶ μάννην δ' ἀντὶ λιβανωτοῦ, ποτ' ἔβαλλον. ἔστι δὲ στυπτικώτερον μὲν φάρμακον ἡ μάννη τοῦ λιβανωτοῦ. ὁ λιβανωτὸς δ' ἐμπλαστικώτερος τῆς μάννης. εὔδηλον δ' ὅτι τοῖς μὲν σκληροῖς σώμασι, τὴν ἀλόην χρὴ προσφέρεσθαι πλείονα. τοῖς δὲ μαλακοῖς, τὸν λιβανωτόν. ἔσται δὲ τὸ μὲν ἕτερον αὐτῶν, στυπτικώτερον. τὸ δ' ἕτερον, ἐμπλαστικώτερον. διὸ καὶ τὸν γλισχρότερον, καὶ ὡς ἂν εἴποι τις ῥητινωδέστερον αἱρεῖσθαι χρὴ λιβανωτὸν, ὅταν ἐμπλαστικώτερον ἐργάσασθαι τὸ φάρμακον ἐθέλῃς. ἔστι δ' οὗτος ἁπαλώτερος ἅμα, καὶ λευκότερος. καὶ μασσώμενος οὐ θρύπτεται δίκην ἀλόης καὶ μάννης, ἀλλὰ συνεχὴς ἑαυτῷ μένει, καθάπερ ἡ μαστίχη. ταυτὶ μὲν οὖν ἤδη τῆς περὶ συνθέσεως φαρμάκων πραγματείας ἐστὶν, ἧς ἀδύνατον μηδαμῶς ἅπτεσθαι κατὰ τὸν ἐνεστῶτα λόγον. ἢ γὰρ οὐδόλως ἐχρῆν ἡμᾶς μεμνῆσθαι τῶν ἐν μέρει παραδειγμάτων, ἀλλ' αὐταῖς μόναις ἀρκεῖσθαι ταῖς καθόλου μεθόδοις, ἢ καὶ τῶν ἐν μέρει προσαπτομένους, ἅπτεσθαί ποτε καὶ τῆς σκευασίας αὐτῶν. ἀλλ' ὡς καὶ πρόσθεν εἴρηται, παράδειγμα τοῦ γένους τῶν φαρμάκων τῶν κατὰ τὴν μέθοδον εὑρισκομένων, ἓν ἢ δύο ἐνταυθοῖ γράφοντας, ἀρκεῖσθαι προσήκει. τούτου μὲν οὖν ἀεὶ χρὴ μεμνῆσθαι. πάλιν δ' ἐπανέλθωμεν ἐφ' ὅπερ λέγοντες ἀπελείπομεν. ἐμνήσθην γὰρ ἐπὶ πλέον τοῦ προειρημένου φαρμάκου, διότι πάντων αὐτὸ τῶν ἄλλων ἄμεινον εἶναι πέπεισμαι. καὶ θαυμάζοιμ' ἂν εἴ τις εὑρεῖν δύναιτο βέλτιον. καὶ διὰ τοῦτ' αὐτῷ χρῶμαι, κατά τε τῶν μηνίγγων ἀεὶ καὶ τῶν ἐν τῷ τραχήλῳ τρώσεων, ἄχρι καὶ τῶν σφαγιτίδων αὐτῶν. καὶ γοῦν καὶ τούτων ἐπέχει τὸ αἷμα χωρὶς βρόχου. χρὴ δὲ μὴ σπεύδειν ἐν τῷ ἔργῳ, καθάπερ ἔνιοι τῶν ἐμπλήκτων χειρουργῶν, ἀλλὰ τῇ μὲν ἑτέρᾳ χειρὶ, τὸ κάτω μέρος τοῦ ἀγγείου προστέλλειν, ἢ περιλαβόντα κατέχειν. τῇ δ' ἑτέρᾳ τὸ φάρμακον ἐπιθέντα, τῇ τρώσει προστέλλειν ἀτρέμα, ἄχρι περ ἂν προσπαγῇ. κἄπειθ' οὕτως ἐπιδεῖν ἄνωθεν κάτω, μὴ καθάπερ ἐν τοῖς κώλοις κάτωθεν ἄνω. πρὸς γὰρ τὰς ῥίζας τῶν ἀγγείων ἀφικνεῖσθαι χρὴ τὴν ἐπίδεσιν, ἀναστέλλουσαν τὸ ἐπιῤῥέον. ἔστι δὲ καὶ ἄλλα πλείω φάρμακα τῶν ἐμπλαττόντων ἀλύπως. ἀλλ' οὐδὲν οὕτως σαρκοῖ. χρεία δ' ἐστὶ μάλιστα κατὰ τὰ τοιαῦτα συμπτώματα τοῦ περισαρκοῦσθαι τὸ ἀγγεῖον, ἀποπίπτοντος τοῦ προτέρου φαρμάκου. τὰ δέ γε τὰς ἐσχάρας ἐπιπηγνῦντα, γυμνότερον ἐργάζεται τὸ μέρος, ἢ κατὰ φύσιν εἶχεν ἀποπιπτούσης αὐτῆς. ἔστι γοῦν ἡ γένεσις ταῖς ἐσχάραις ἐκ τῶν ὑποκειμένων καὶ περικειμένων σωμάτων. ὡς ἂν εἴποι τις ἡμικαύτων γιγνομένων. οἷον ὁποῖόν τι χρῆμα, τουτουσὶ τοὺς σβεννυμένους ἄνθρακας εἰς τὸν χειμῶνα παρασκευάζονται, τοιοῦτο ὑπόλειμμα τῆς διαπύρου σαρκὸς ἡ ἐσχάρα γίνεται. ὥστ' ἀπόλλυται τοῦ μορίου τό-

σώζον τῆς κατὰ φύσιν σαρκός, ὅσον ἐσχαρούμενον ἐκαύθη. τότε οὖν ἅπαν λείπει τῷ μορίῳ τῆς ἐσχάρας ἐκπιπτούσης, καὶ διὰ τοῦτο γυμνὸν καὶ ἄσαρκον φαίνεται. καὶ πολλοῖς αἱμορραγία δυσεπίσχετος ἐπηκολούθησεν, ἐπὶ ταῖς τῶν ἐσχαρῶν ἀποπτώσεσιν. ὥστε κἀν τούτοις, ὅς γ' ἂν ἐθέλῃ μεθόδῳ πάντα πράττειν, ἐνσκεπτέσθω τε περὶ πολλοὺς τοὺς τρόπους ἅπαντας οἷς ἐφέξει τὸ αἷμα, τόν τ' ἀκινδυνότερον αἱρεῖσθαι πειράσθω χρώμενος καὶ τοῖς ἄλλοις ἅπασιν, ὅταν ἀνάγκη βιάζηται. μεγίστην δ' ἀνάγκην οἶδα τοῦ χρῆσθαι φαρμάκοις ἐσχαρωτικοῖς ἢ καυτηρίοις διαπύροις, ὅταν ἐξ ἀναβρώσεως σηπεδονώδους ἡ αἱμορραγία γίγνηται. καὶ μέντοι κἀπειδὰν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἅπαν ἐκκόψωμεν τὸ σηπόμενον, ἀσφαλέστερον ἤτοι καίειν αὐτοῦ τὴν οἷον ῥίζαν, ἢ φαρμάκοις ἐσχαρωτικοῖς χρῆσθαι. καὶ κατὰ τοῦτο ἐπ' αἰδοίων καὶ ἕδρας εἰς τὴν τοιαύτην ἀνάγκην ἀφικνούμεθα πολλάκις. ὅτι ῥᾳδίως σήπεται τὰ μόρια διά τε τὴν σύμφυτον ὑγρότητα, καὶ ὅτι περιττωμάτων εἰσὶν ὀχετοί. σκοπὸς δ' ἔστω σοι τῶν ἐσχαρούντων φαρμάκων, οὐχ ἁπλῶς ἡ θερμότης, ἀλλ' ἄμεινον ὅταν ἅμα τῷ στύφειν ὑπάρχῃ, καθάπερ ἐν χαλκίτιδι, καὶ μίσυϊ, καὶ χαλκάνθῳ καυθεῖσί τε καὶ ἀκαύστοις εἰς χρείαν ἀγομένοις. τὰ δὲ διὰ τῆς ἀσβέστου τιτάνου, σφοδρότερα μὲν τούτων. ἀλλ' οὐ μέτεστι τῇ τιτάνῳ στυπτικῆς δυνάμεως. ἀποπίπτουσι τοιγαροῦν θᾶττον αἱ τοιαῦται τῶν ἐσχαρῶν. ἔχονται δὲ τῶν σωμάτων ἐπὶ πλέον, αἱ ἐκ τῶν στυφόντων. ἄμεινον δὲ τοῦτο μακρῷ. φθάνει γὰρ ὑποσαρκοῦσθαι τὰ κατὰ τὴν βάσιν αὐτῶν, καὶ γίνεσθαι καθάπερ τι πῶμα τοῖς ἀγγείοις. ὅθεν οὐδ' ἡμᾶς αὐτοὺς χρὴ σπεύδειν ὥσπερ ἔνιοι τὰς ἐσχάρας ἐκβάλλειν, ἔνθα κίνδυνος αἱμορραγίας, ἀλλ' ἐπ' ἐκείνων μόνων τῶν διαθέσεων, ἐφ' ὧν διὰ σηπεδόνα τὸ καυτήριον ἠναγκάσθημεν ἐπιφέρειν ἀνθρώπου σώματι. καλεῖται δ' οὐκ οἶδ' ὅπως ἅπασιν ἤδη τοῖς ἰατροῖς ἡ τοιαύτη διάθεσις, νομὴ διότι νέμεσθαι συμβέβηκεν αὐτὴν ἀπὸ τῶν πεπονθότων μορίων ἐπὶ τὰ κατὰ φύσιν ἔχοντα. καὶ τούτων ἀεί τι προσεπιλαμβάνειν ὡς ἀπὸ τοῦ συμβεβηκότος, οὐκ ἀπὸ τῆς οὐσίας τοῦ δηλουμένου πράγματος, ἔθεντο τὴν προσηγορίαν. ἡ δ' εὐπορία τῆς ὕλης ἁπάντων τῶν τοιαύτην ἐχόντων δύναμιν φαρμάκων, ἐν ταῖς οἰκείαις εἴρηται πραγματείαις. οἰκείας δὲ δηλονότι λέγω, τήν τε περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, καὶ τὴν περὶ συνθέσεως αὐτῶν. ἀναλαβόντες οὖν αὖθις τὰ κεφάλαια τῆς μεθόδου καθ' ἣν ἰᾶσθαι χρὴ τὰς προχείρους αἱμορραγίας, ἑξῆς ἐπὶ τὰς διὰ βάθους γιγνομένας ἀφικώμεθα τῷ λόγῳ. τὸ τοίνυν ἐκχεόμενον αἷμα τῶν ἀγγείων, ἢ τῷ μηκέτι ἐπιρρεῖν αὐτὸ παύσαιτ' ἄν, ἢ τῷ στεγνωθῆναι τὴν διαίρεσιν, ἢ ἅμα ἀμφοτέρων γινομένων, ὅπερ οἶμαι βέλτιστον ἐστίν. ἐπιρρεῖν μὲν οὖν κωλύεται διά τε λειποθυμίαν καὶ ἀντίσπασιν, καὶ παροχέτευσιν, καὶ ψύξιν ὅλου τε τοῦ σώματος. καὶ πολὺ δὴ μᾶλλον αὐτοῦ τοῦ τετρωμένου μορίου. κατὰ τοῦτον γοῦν τὸν λόγον καὶ τὸ ψυχρὸν ὕδωρ ποθὲν, ἐπέσχεν αἱμορραγίας πολλάκις. ἔξωθέν τε καταντλούμενον αὐτό τε τὸ ὕδωρ ψυχρόν. ὀξύκρατόν τε καὶ οἶνος στρυφνός. ὅσα τἆλλα στύφειν ἢ ἁπλῶς ψύχειν πέφυκε. στεγνοῦται δὲ ἡ διαίρεσις, ἢ μύσαντος, ἢ φραχθέντος τοῦ διῃρημένου. μύει μὲν οὖν στυφόμενόν τε καὶ ψυχόμενον, ἐπιδέσει τε συναγόμενον, καὶ βρόχῳ διαλαμβανόμενον. ἐμφράττεται δὲ ἢ ἔνδοθεν, ἢ ἔξωθεν. ἔνδοθεν μὲν ὑπὸ θρόμβου. ἔξωθεν δὲ, ὑπό τε τούτου καὶ μοτῶν, καὶ σπόγγων, ἐσχάρας τε καὶ τῶν ἐμπλαστικῶν φαρμάκων. ἔτι τε τῶν περικειμένων σωμάτων προσταλέντων. ὅπως δ' ἐργάσῃ τῶν εἰρημένων ἕκαστον, εἴρηται. τὰ δ' ἐκ τοῦ βάθους αἱμορραγοῦντα, βρόχοις μὲν οὐκ ἄν τις, οὐδ' ἐπιδέσει, θεραπεύσειεν. ὥσπερ οὐδὲ καυστηρίοις. οὐδ' ἁπλῶς εἰπεῖν ὅσα διὰ τοῦ ψαύειν αὐτοῦ τοῦ διῃρημένου σώματος ἢ μέρους ἐπιτεχνώμεθα. δι' ἀντισπάσεως δὲ καὶ παροχετεύσεως, ἐδεσμάτων τε καὶ πομάτων, ἐμπλαττόντων τε καὶ ψυχόντων, καὶ στυφόντων φαρμάκων. ἄφθονον δὲ καὶ τὴν τῶν τοιούτων ὕλην ἐν ταῖς οἰκείαις ἔχεις πραγματείαις. ἡ δ' ἀπὸ τῶν μορίων ἔνδειξις τοῖς κοινοῖς τῆς θεραπείας σκοποῖς τοῖς εἰρημένοις, ἐξ ἐπιμέτρου καθ' ἕκαστον πάθημα πρόσεισιν. ὀργάνοις γοῦν ἐνίοτε χρώμεθα διὰ τὴν ἰδιότητα τοῦ μέρους, ἄλλοις μὲν ἐπὶ μήτρας, ἄλλοις δὲ ἐπὶ κύστεως, ἄλλοις δὲ ἐπὶ τῶν παχέων ἁπάντων ἐντέρων. εἰς ταῦτα μὲν γὰρ διὰ κλυστῆρος. εἰς μήτραν δὲ, διὰ μητρεγχυτῶν, τῶν ἐπιτηδείων τι φαρμάκων ἐνιέμεν. ὥσπερ γε καὶ εἰς κύστιν, διὰ τῶν εὐθυτρήτων καθετήρων. σπανιώτεραι μὲν οὖν αἱ ἐκ τούτων αἱμορραγίαι. γίγνονται δ' οὖν ποτε κἂν εἰ μὴ τῷ λάβρῳ κινδυνώδεις, ἀλλὰ τῷ γε χρονίζειν οὐκ ἀκίνδυνοι. τεττάρων γοῦν ἡμερῶν οἶδά ποτε διὰ μήτρας φερόμενον αἷμα, πρὸς οὐδὲν τῶν βοηθημάτων εἶξαν ἄχρι τῆς τετάρτης, χυλῷ χρησαμένων ἡμῶν ἀρνογλώσσου, παντάπασιν ἐπαύσατο. κάλλιστον μὲν οὖν τοῦτο τὸ φάρμακόν ἐστι καὶ πρὸς τὰς ἐξ ἀναβρώσεως αἱμορραγίας. εἴωθα δ' αὐτῷ μιγνύειν τι τηνικαῦτα καὶ τῶν ἰσχυροτέρων φαρμάκων ἄλλο τε ἄλλο, πρὸς ὅλην ἀποβλέπων τὴν διάθεσιν, ὅπερ ἀεὶ χρὴ πράττειν, οὐ μικρὸν ἔχοντας εἰς ἅπαντα παράγγελμα. κατὰ γοῦν αὐτὰ ταῦτα τὰ ἐκ μήτρας, ἢ ἐκ κύστεως, ἢ ἐντέρων αἱμορραγοῦντα, σκέπτεσθαι μὲν χρὴ καὶ τὸ τῆς αἱμορραγίας ποσόν. ἵν' ἤδη τὸν μὲν πρῶτον ἔχωμεν ἐν τῇ θεραπείᾳ σκοπὸν τοῦτον, ἢ τὸν δεύτερον. οὐ μὴν οὐδὲ τῆς ὅλης διαθέσεως ἀσκέπτως ἔχειν. εἰ μὲν γὰρ ἔρρωγεν ἀγγεῖόν τι τῶν μεγάλων, ἢ ἰσχυρῶς ἀνεστόμωται, τῶν αὐστηρῶν φαρμάκων ἐστὶ χρεία. ὡς βαλαυστίου, καὶ ὑποκυστίδος, καὶ ῥοῦ, καὶ ὀμφακίου, καὶ ἀκακίας, καὶ κηκῖδος ὀμφακίτιδος, καὶ τῶν τῆς ῥοιᾶς λεμμάτων. εἰ δ' ἤτοι μικρόν ἐστι τὸ ἐρρωγὸς ἀγγεῖον, ἢ ἀνεστόμωται μετρίως, ὡς ὀλίγον εἶναι τὸ φερόμενον αἷμα, καὶ ἀλόη, καὶ μάννα, καὶ ὁ τῆς πίτυος φλοιός, ἥ τε σφραγὶς ἡ λημνία, καὶ ὁ τῆς αἰγυπτίας ἀκάνθης καρπός, ἔτι τε κρόκος, καὶ λίθος ὁ αἱματίτης ὀνομαζόμενος. ὅσα τ' ἄλλα τοιαῦτα, δι' οἴνου μεγάλως αὐστηροῦ χρηστὰ φάρμακα. μὴ παρόντος δὲ μήτ' οἴνου τοιούτου, μήτ' ἀρνογλώσσου, μήτε στρύχνου, καὶ γὰρ καὶ ταῦτα ἐπιτήδεια, ἀφεψεῖν ἐν ὕδατι βλαστοὺς βάτου καὶ κυνοσβάτου, καὶ μυρσίνης, καὶ σχοίνου, καὶ κισσοῦ, καὶ ἁπλῶς εἰπεῖν ἁπάντων τῶν στυφόντων, εἴτε ῥίζα τις, εἴτε καρπός, εἴτε φλοιός, εἴτε βλάστημα τύχῃ. διὰ τοῦτο καὶ τῶν στυφόντων μήλων καὶ μάλιστα τῶν κυδωνίων. ἔτι τε μύρτων καὶ μεσπίλων ἐπιτήδειόν ἐστιν εἰς τὰ προειρημένα τὸ ἀφέψημα. εἰ δ' ἐξ ἀναβρώσεως τις αἱμορραγία γίγνοιτο, τὰ πολλὰ μὲν οὐδὲ λάβρος αὐτοῖς ἐστιν, ἀλλ' ὀλίγη καὶ κατὰ βραχύ. καὶ διὰ τοῦτο τῷ Πασίωνος, ἢ Ἄνδρωνος, ἢ Πολυείδου τροχίσκῳ χρηστέον, ἢ ὡς εἴρηται τῷ ἡμετέρῳ. τὴν αὐτὴν μὲν κατὰ γένος ἔχοντι δύναμιν, ἰσχυροτέρῳ δὲ ὑπάρχοντι. παύει γὰρ ταῦτα, τὴν ἀνάβρωσιν ἅμα τῷ δηλονότι καὶ τοῦ παντὸς σώματος προνοεῖσθαι, ὡς ἔμπροσθεν εἴρηται. λάβρου δὲ ἐμπεσούσης αἱμορραγίας, τοῖς αὐστηροτάτοις χρηστέον φαρμάκοις, ἄχρι περ ἂν ἐπισχῶμεν αὐτῆς τὸ σφοδρόν.

φόρου. εἶθ' οὕτως ἂν ἐκείνοις μιγνῦναι τοὺς τροχίσκους. εἶθ' ἑξῆς ἐπ' αὐτοὺς μόνους μετέρχεσθαι μετά τινος τῶν εἰρημένων χυλῶν ἢ ἀφεψημάτων. ὅσα δὲ ἔξωθεν ἐπιτίθεται τοῖς αἱμοῤῥαγοῦσι, στύφοντά τε καὶ χωρὶς στύψεως ψύχοντα, ταῦτ' οὐχ ἁπλῶς ἐπαινῶ, καθάπερ οἱ πολλοὶ τῶν ἰατρῶν. ἀλλά μοι δοκεῖ τοὐναντίον ἐνίοτε ὧν οὐ δεόμεθα διαπράττεσθαι, συνελαύνειν εἴσω τὸ αἷμα καὶ πληροῦν τὰς ἐν τῷ βάθει φλέβας. οἶδα γοῦν τινας ἐκ πνεύμονος ἀναβήττοντας αἷμα προφανῶς βλαβέντας ἐπὶ ταῖς τοῦ θώρακος καταψύξεσιν. οὕτω δ' ἐνίους καὶ τῶν ἐμούντων αἷμα τῆς γαστρὸς ἔξωθεν ψυγείσης. ὡσαύτως δὲ καὶ τῶν ἐκ ῥινὸς αἱμοῤῥαγούντων ἔνιοι φανερῶς ἐβλάβησαν, ἐπὶ ταῖς τῆς κεφαλῆς ψύξεσιν. οὔκουν ἁπλῶς, οὐδ' ἀδιορίστως, οὐδ' ἐν παντὶ καιρῷ συμβουλεύω ψύχειν τὰ κύκλῳ τῶν αἱμοῤῥαγούντων, ἀλλ' ἀντιτρέψαντας εἰς ἕτερον πρότερον, οἷον ἐπὶ τῆς ῥινός, ἤτοι φλεβοτομίᾳ χρησάμενον, ὡς εἴπομεν, ἢ τρίψει καὶ δεσμοῖς τῶν κώλων, ἢ σικύαις ἐπὶ τῶν ὑποχονδρίων. οὐ δεῖ οὖν οὐδ' οὕτω χρῆσθαι τοῖς ψύχουσιν εὐθέως ἐπὶ μετώπῳ καὶ κεφαλῇ, ἀλλὰ σικύας πρότερον ἀντισπαστικῶς ἐρείδοντα κατ' ἰνίον. διττὴ γὰρ ἡ ἀντίσπασις ἐπὶ ταῖς ἐκ μυκτήρων αἱμοῤῥαγίαις. ἤτοι ἐπὶ τὰ κάτω μόρια τοῦ σώματος ὅλου, καὶ ἡ ἐπὶ τὰ τῆς κεφαλῆς ὀπίσω. διότι καὶ αὐτὸ τὸ μόριον ἡ ῥίς, ἄνω τ' ἐστὶ καὶ πρόσω. ἀντίκειται δὲ τὸ μὲν ἄνω, τῷ κάτω. τὸ δὲ ὀπίσω, τῷ πρόσω. ἀλλὰ περὶ μὲν αἱμοῤῥαγίας, ἱκανὰ καὶ ταῦτα. δῆλον γὰρ ὅτι καὶ ἡ διαπήδησις ὑπὸ τῶν ψυχόντων καὶ στυφόντων θεραπευθήσεται. καὶ εἰ διὰ λεπτότητα γίγνοιτό ποτε τοῦ αἵματος, ὑπὸ τῆς παχυνούσης διαίτης. ὁποία δ' ἐστὶν αὕτη, λεχθήσεται μέν που κἀν τοῖς ἑξῆς. εἴρηται δὲ δυνάμει κἀν τῷ περὶ λεπτυνούσης διαίτης. ἐπὶ δὲ τὴν θεραπείαν ἴωμεν ἤδη τῶν εἰρημένων διαθέσεων.

Τὸ μὲν οὖν τῆς φλεβὸς ἕλκος ἐπειδὰν πρόχειρον ᾖ, παραπλησίας δεῖται θεραπείας τοῖς ἐν σαρκὶ γιγνομένοις. ὑπὲρ ὧν ἐν δυοῖν ὑπομνήμασι τοῖς πρὸ τοῦδε διείλεχθα. εἴτε γὰρ ἐκ τρώσεως ὑπ' ὀξέος τυγχάνει γεγονός, ἐγχωρεῖ συμφύειν αὐτὸ τοῖς ἐναίμοις καλουμένοις φαρμάκοις. εἴτε κατ' ἀνάβρωσιν, ὅσα περὶ τῶν κακοηθῶν ἑλκῶν εἴρηται, ταῦτα τῷ λόγῳ διορισάμενον, ἑξῆς ἔργῳ πράττειν αὐτὰ πειρᾶσθαι. καὶ μέντοι καὶ ὁπότε βρόχῳ διαληφθείσης, ἢ ἰσχαίμοις φαρμάκοις, ἢ καυτηρίοις χρησαμένων, ὁ σκοπὸς τῆς θεραπείας ἐστὶ περισαρκῶσαι τὰ χείλη τοῦ ἕλκους, τοῖς αὐτοῖς χρησόμεθα πάντως φαρμάκοις. οἷς ἡ μέθοδος ἡμᾶς ἐδίδαξεν ἐπὶ τῶν κοίλων ἑλκῶν. ἐπ' ἀρτηρίας μέντοι τρωθείσης, ἐῤῥέθη καὶ πρόσθεν ὡς ἐνίοις τῶν ἰατρῶν ἀδύνατος ἡ σύμφυσις εἶναι δοκεῖ. καὶ λέγουσι τοῦτο τινὲς μὲν ἀρκεῖσθαι φάσκοντες μόνῃ τῇ πείρᾳ, τινὲς δὲ καὶ λόγῳ χρώμενοι τοιῷδε, σκληρὸν καὶ χονδρώδη φασὶν εἶναι τὸν ἕτερον τῶν χιτώνων τῆς ἀρτηρίας. οὐδὲν δὲ τῶν τοιούτων συμφῦναι δύνασθαι, μόνων γὰρ τῶν μαλακῶν σωμάτων ἰδίαν ὑπάρχειν τὴν σύμφυσιν, ὡς ἐπί τε τῶν ἐκτὸς ἔνεστι θεάσασθαι, μήτε λίθου πρὸς λίθον ἑνωθέντος ποτέ, μήτε ὀστράκου πρὸς ὄστρακον. ἐπί τε τῶν ἐν ἡμῖν, μήτε χόνδρου χόνδρῳ συμφύντος, οὔτ' ὀστοῦ πρὸς ὀστοῦν ἑνωθέντος. οὐδὲ γὰρ τὰ κατάγματα διὰ συμφύσεως, ἀλλὰ διὰ πώρου τὴν κόλλησιν ἔχειν. ἀρξώμεθα οὖν καὶ ἡμεῖς ἀπὸ προτέρας τῆς ἡμετέρας πείρας, εἰς τὸ κοινὸν κατατιθέντες ὅσα τυγχάνομεν ἑωρακότες. ἐθεασάμεθα γὰρ ἐπὶ μὲν γυναικῶν καὶ παιδίων, ἀρτηρίας κολληθείσας τε καὶ περισαρκωθείσας ἐν μετώπῳ, καὶ σφυρῷ, καὶ καρπῷ.

Νεανίσκῳ δὲ ἀγροίκῳ ποτὲ καὶ τοιοῦτόν τι συνέπεσε, φλέβα τμηθῆναι βουληθέντι κατὰ τὴν ἐαρινὴν ὥραν, ἐν ᾗ ἔθει δὲ μάλιστα τοῦτό ἐστι τοῖς παρ' ἡμῖν ἀνθρώποις, δήσαντος τὸν βραχίονα τοῦ μέλλοντος αὐτὸν φλεβοτομεῖν ἰατροῦ, συνέβη κυρτωθῆναι τὴν ἀρτηρίαν, ὥστε καὶ διελεῖν αὐτὴν ὁ ἰατρὸς ἀντὶ φλεβός. βραχεῖα μὲν οὖν ἡ διαίρεσις ἐγένετο. ξανθὸν δέ, καὶ λεπτόν, καὶ θερμὸν εὐθέως ἐξηκοντίζετο τὸ αἷμα σφυγμωδῶς. ὁ μὲν οὖν ἰατρός, ἦν δὲ πάνυ νέος καὶ ἄπειρος τῆς τέχνης τῶν ἔργων, ᾤετο διῃρηκέναι τὴν φλέβα. θεασάμενος δ' ἐγὼ τὸ γεγονὸς σὺν ἄλλῳ τινὶ τῶν παρόντων ἰατρῶν πρεσβύτῃ, τῶν ἐναίμων τι φαρμάκων τῶν ἐμπλαστῶν παρασκευάσας, ἐπιμελῶς τε πάνυ συναγαγὼν τὴν διαίρεσιν, ἐπέθηκά τε τὸ φάρμακον αὐτίκα. καὶ σπόγγον μαλακώτατον ἔξωθεν ἐπέδησα. θαυμάζοντος δὲ τοῦ τέμνοντος τὴν ἀρτηρίαν, τὸ ἄλογον τῆς ἀηθοῦς ἡμῖν περὶ τὰ τοιαῦτα προνοίας, ἐδηλώσαμεν αὐτῷ τὸ γεγονός, ἐξελθόντες τῆς καταγωγῆς τοῦ τμηθέντος. ἐκελεύσαμέν τε μήτε λῦσαι χωρὶς ἡμῶν, μήτε θᾶττον πρᾶξαι τοῦτο τῆς τετάρτης ἡμέρας, ἀλλ' ὡς εἶχεν ἡ ἐπίδεσις, φυλάξαι, ἐπιτέγγοντα μόνον τὴν σπογγιάν. ἐπεὶ δὲ λύσαντες ἐν τῇ τετάρτῃ κεκολλημένην ἀκριβῶς εὕρομεν τὴν διαίρεσιν, ἐπιθεῖναι τὸ αὐτὸ φάρμακον αὖθις ἐκελεύσαμεν, ἐπιδήσαντά τε ὁμοίως ἡμερῶν πλειόνων μὴ λύειν. οὕτω μὲν ἐθεραπεύθη τὴν διαίρεσιν τῆς ἀρτηρίας ὁ ἄνθρωπος ἐκεῖνος μόνος, ὃν εἴδομεν ἐν ἀγκῶνι τμηθέντα ἀρτηρίαν. ἅπασι δὲ τοῖς ἄλλοις ἀνεύρυσμα, τοῖς μὲν μεῖζον ἐπεγένετο, τοῖς δ' ἧττον. ὅπως μὲν οὖν χρὴ θεραπεύειν ἀνευρύσματα, προϊόντος τοῦ λόγου κατὰ τὸν οἰκεῖον εἰρήσεται καιρόν, ὅταν καὶ τῶν ἄλλων ἁπάντων ὄγκων τῶν παρὰ φύσιν, ἡ θεραπεία γράφηται. νυνὶ δὲ ἐπὶ τὸ συνεχὲς ἴωμεν τοῦ λόγου. ἡ γάρ τοι φύσις ἡ τῆς ἀρτηρίας, ὄντως ἐνδείκνυται τὸ δυσσύμφυτον, οὐ τὸ παντάπασιν ἀσύμφυτον τοῦ σκληροῦ τῶν ἐν αὐτῇ χιτώνων. οὐ γὰρ οὕτως ἐστὶ ξηρὸς καὶ σκληρός, ὡς ὀστοῦν, ἢ χόνδρος, ἀλλὰ πολὺ μαλακώτερος τούτων καὶ σαρκωδέστερος. οὔκουν εὐλόγως ἄν τις ἀπογινώσκοι συμφῦναι τὴν διαίρεσιν, ὅταν αὐτή τε γένηται μικρά, καὶ τὸ σῶμα τοῦ ἀνθρώπου μαλακὸν ὑπάρχῃ φύσει. ἔοικε δὲ καὶ ἡ πεῖρα τῷ λόγῳ μαρτυρεῖν. ἐπί τε γὰρ παίδων καὶ γυναικῶν ἐθεασάμην συμφύσασαν αὐτὴν διὰ τὴν ὑγρότητα καὶ μαλακότητα τῶν σωμάτων. ἐφ' ἑνός τε νεανίσκου βραχεῖαν ἔχοντος διαίρεσιν, ὡς εἴρηται. δυσιατοτέρα μὲν οὖν ἐστιν ἡ ἀρτηρία τῆς φλεβός. οὐ μὴν ἐξήλλακταί γε πολλῷ τῶν φαρμάκων ἡ χρῆσις ἐφ' ἑκατέρου τῶν ἀγγείων, ἀλλ' ἔστιν ἡ αὐτὴ κατ' εἶδος ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφέρουσα. τοσούτῳ γὰρ δεῖται ξηραντικωτέρων φαρμάκων ἡ ἀρτηρία τῆς φλεβός, ὅσῳπερ καὶ φύσει ξηροτέρα τὴν κρᾶσιν ἐστίν. εἰ δὲ περισαρκοῦσθαι δέοι, τῶν αὐτῶν ἀμφότεραι χρῄζουσι. σαρκὸς γάρ ἐστι γένεσις ἐν τῇ περισαρκώσει κατὰ τὸν αὐτὸν τρόπον γιγνομένης, ὡς κἀν τοῖς κοίλοις ἕλκεσιν ἐδείχθη γιγνομένη.

Αἱ δὲ κατὰ τὴν μήτραν, ἢ κύστιν, ἢ ἔντερα, φλέβες καὶ ἀρτηρίαι, τῶν αὐτῶν δεόμεναι κατὰ γένος φαρμάκων ὅταν ἑλκωθῶσιν, ὀργάνων χρῄζουσι τῶν εἴσω παραπεμψόντων αὐτά. μητρεγχύτων δηλονότι, καὶ καθετῆρος εὐθυτρήτου, καὶ κλυστῆρος. εἰς δὲ τὰ κατὰ τὸ ἀπευθυσμένον ἕλκη, καὶ διὰ κύστεως ἐγχωρεῖ ἐγχεῖν φάρμακον τηκτὸν χλιαρόν, αὐλίσκον ἐχούσης κατὰ

τὸ πέρας αὐτοῦ δεύτερον ἐξελεγχθήσεται. τοιγαροῦν ἅμα τῇ τῶν ὀργάνων ἰδέᾳ, καὶ ἡ τῶν φαρμάκων σύστασις. οὐ γὰρ οἷόν τε παχέα φάρμακα τοῖς τοιούτοις ἐγχεῖν, ἀλλ' ὑγροτέρων δηλονότι δεῖται. καὶ διὰ τοῦτο συμμέτρως θερμῶν ὡς τὰ πολλά. διὰ τοῦτο δὲ καὶ τῶν τηκτῶν καλουμένων φαρμάκων, ἐπιτηδειότερα τὰ ξηρά. μίγνυται γὰρ ἑτοίμως, εἴτ' ἀρνογλώσσου τις, εἴθ' ἑτέρου τοιούτου βούλοιτο χυλῷ. τὰ δὲ τοιαῦτα φάρμακα, κρόκος τέ ἐστι, καὶ πομφόλυξ, καὶ ἀλόη. καὶ τὰ κεφαλικὰ καλούμενα. ἐπὶ δὲ τὸν πρῶτον καιρὸν τῆς σαρκώσεως, τὸν συνάπτοντα τῇ ἐπισχέσει τοῦ αἵματος, καὶ ἡ λημνία σφραγὶς ἀγαθὸν φάρμακον. Τὰ δ' ἐν τῷ πνεύμονι συνιστάμενα τῶν ἑλκῶν, χαλεπωτέραν ἔχει τὴν ἴασιν. ἐνίοις δ' οὐ χαλεπὴ μόνον, ἀλλὰ καὶ ἀδύνατος εἶναι δοκεῖ, τῷ τε λόγῳ τεκμαιρομένοις, καὶ τῇ πείρᾳ. τῷ λόγῳ μὲν ἐπειδὴ διὰ τὴν ἀναπνοὴν ἀεικίνητόν ἐστι σπλάγχνον ὁ πνεύμων, ἡσυχίας δὲ δεῖ τοῖς μέλλουσιν ἰαθήσεσθαι. τῇ πείρᾳ δ' ὅτι μηδὲ πώποτε μηδένα τῶν οὕτω παθόντων ἐθεάσαντο θεραπευθέντα. τὸ μὲν δὴ τῆς πείρας, ἐντεῦθεν γὰρ ἄρξασθαι δίκαιον, ἀμφισβήτησιν ἴσως ἕξει κατὰ τὴν διάγνωσιν. ἡμεῖς γοῦν ἐθεασάμεθα, τὸν μέν τινα, τῷ βοῆσαι μέγα. τὸν δὲ, τῷ καταπεσεῖν ἀφ' ὑψηλοῦ. τὸν δ' ἐν παλαίστρᾳ πληγέντα, παραχρῆμά τε βήξαντα σφοδρότατα, καὶ σὺν τῇ βηχὶ, τοὺς μὲν μίαν ἢ δύο κοτύλας, ἐνίους δὲ, καὶ πλείους πτύσαντας. αὐτῶν δὲ τῶν ταῦτα παθόντων, ἔνιοι μὲν ἀνώδυνοι παντάπασιν ἦσαν, ἔνιοι δ' ὠδυνῶντο κατὰ θώρακα. καὶ τοίνυν καὶ τὸ αἷμα, τοῖς μὲν ὀδυνηθεῖσιν, οὔτ' ἀθρόον ἦν, οὔτε πολὺ, καὶ ἧττον ἐρυθρὸν, καὶ ἧττον θερμὸν, ὡς ἂν πόρρωθεν ἧκον. τοῖς δ' ἀνωδύνοις οὖσιν, ἀθρόον τε καὶ πλεῖστον, ἐρυθρόν τε καὶ θερμὸν ἀνεβήττετο, σαφῶς ἐνδεικνύμενον ὅτι μὴ πόρρωθεν ἥκει. ἔχει μὲν οὖν ἀπορίαν καὶ ἄλλην οὐ σμικρὰν, ἡ ἐκ τοῦ θώρακος εἰς τὰς τραχείας ἀρτηρίας μετάληψις τοῦ αἵματος, ἐζητημένην τοῖς ἰατροῖς, ὅσοι ἀδύνατον εἶναι νομίζουσι τὴν διὰ τοῦ περιέχοντος ὑμένος τὸν πνεύμονα, φορὰν αὐτοῦ. καὶ τάχ' ἂν εἰ μὴ πολλοῖς τῶν οὕτω παθόντων, ὅ, τε παραχρῆμα πόνος, ἥ τ' ἐξ ὑστέρου τισὶν αὐτῶν ἐπιγινομένη φλεγμονὴ, σὺν ἀποστάσει σαφεῖ, τὴν ἔνδειξιν ἔφερε τοῦ κατὰ τὸν θώρακα πάθους, ἀπεφήναντο μηδέ ποτ' ἐκ θώρακος αἷμα διὰ τῆς φάρυγγος ἀναβήττεσθαι. νυνὶ δ' ὑπὸ τούτων δυσωπούμενοι, συγχωροῦσι μὲν ἀπὸ τοῦ θώρακος φέρεσθαι, ζητοῦντες δ' ἑτέραν ὁδὸν τῆς διὰ τοῦ περιέχοντος ὑμένος τὸν πνεύμονα, πολλὰ καὶ ἄτοπα λέγειν ἀναγκάζονται. καίτοι τό γε πῦον ἐπὶ τῶν ἐμπύων ἐν τῇ μεταξὺ χώρᾳ θώρακός τε καὶ πνεύμονος ὁμολογοῦντες περιέχεσθαι, βλέπουσιν οἶμαι σαφῶς ἀναβηττόμενον ἐκ πνεύμονος. ἡμεῖς δὲ κἀπὶ τῶν ἀπόστημα τοιοῦτον ἐν θώρακι ἐχόντων, ὡς σφακελίσαι τι καὶ τῶν ὀστῶν, ἐπεδείξαμεν αὐτοῖς ἐναργῶς, τὸ ἐνιέμενον τῷ θώρακι μελίκρατον, ἀναβηττόμενον ἐκ πνεύμονος. ἴσμεν γὰρ δή που τὰς τοιαύτας διαθέσεις, ἐν θώρακι συνισταμένας, οὐκ ὀλιγάκις ἐν Ῥώμῃ μάλιστα, τρόπῳ ῥευματικῷ, ὡς ἀναγκασθῆναι τὸ πεπονθὸς ἐκκόπτειν ὀστοῦν. ἐπὶ τῶν πλείστων δ' εὐθὺς ἅμα τῇ διεφθαρμένῃ πλευρᾷ, καὶ ὁ ὑπεζωκὼς αὐτῇ ὑμὴν ἔνδοθεν εὑρίσκεται διασεσηπώς. εἰώθαμεν οὖν ἐν τῇ θεραπείᾳ μελίκρατον ἐγχέοντες διὰ τοῦ ἕλκους, ἐνίοτε μὲν ἐγκελεύεσθαι βήττειν αὐτοῖς ἐπικεκλιμένοις τῷ πεπονθότι μέρει, πολλάκις δὲ κατασείειν ἠρέμα. καί ποτε πυουλκῷ κομίζεσθαι τὸ ὑπολειπόμενον ἔνδον τοῦ μελικράτου. ἐπειδὰν δὲ διὰ τοῦτο ποιήσαντες ἐκκεκλύσθαι τό, τε πῦον ἅπαν, καὶ τοὺς ἰχῶρας τοῦ ἕλκους ἐλπίζωμεν, ἐντίθεμεν οὕτως τὰ φάρμακα. ἐπὶ τὰς τοιαύτας οὖν διαθέσεις, εἴ τις ἐάσειεν ἐν τῇ μεταξὺ πνεύμονος καὶ θώρακος χώρᾳ τὸ ὑγρὸν, αὐτίκα ἀναβηττόμενον θεάσεται. θαυμάσαι δ' ἔστιν ἐπὶ τῇ τοῦ πνεύμονος ὁδῷ τῶν ἀπορούντων, πῶς οὐ μᾶλλον ἀποροῦσιν ἐπὶ τοῦ περιεχομένου πάχους αἵματος ἐν ταῖς τῶν καταγμάτων πωρώσεσιν. αὐτό τε γὰρ τὸ περιεχόμενον, οὐ μικρὸν παχύτερόν ἐστι τοῦ κατὰ φύσιν. ἥ τε τοῦ δέρματος οὐσία παμπόλλῳ δή τινι παχυτέρα, τοῦ περὶ τῷ πνεύμονι χιτῶνος. ὅπερ οὖν ἐλέγομεν ὅταν ἐκ καταπτώσεως, ἢ μεγάλης ἅμα καὶ ὀξείας φωνῆς, ἀγγείου ῥαγέντος ἐν πνεύμονι, χωρὶς ὀδύνης ἀθρόον καὶ θερμὸν, εὐανθές τε καὶ πολὺ μετὰ βηχὸς ἀναφέρηται τὸ αἷμα, πεπεῖσθαι μὲν χρὴ τὸ ῥαῦμα, κατὰ τὸ σπλάγχνον ὑπάρχειν. ἐπιχειρεῖν δὲ τῇ θεραπείᾳ καθάπερ ἡμεῖς πολλάκις ἐπιχειρήσαντες, ὀλιγάκις ἀπετύχομεν. Αὐτῷ μὲν οὖν τῷ κάμνοντι προστάξαι χρὴ, μήτ' ἀναπνεῖν μέγα καὶ σιωπᾶν ἀεί. τέμνειν δ' αὐτίκα φλέβα κατ' ἀγκῶνα τὴν ἔνδον. ἐπαφαιρεῖν δὲ δίς που καὶ τρίς, ἀντισπάσεως ἕνεκα. τρίβειν τε καὶ διαλαμβάνειν ὅλα τὰ κῶλα δεσμοῖς, ὥσπερ εἰώθαμεν. ἐπειδὰν δὲ ταῦτα πραχθῇ πρῶτον μὲν ὀξύκρατον ὑδαρές τε καὶ χλιαρὸν διδόναι πίνειν. ὅπως εἴ τις εἴη θρόμβος ἐν τῷ σπλάγχνῳ διαλυθεὶς, ἐκβηχθείη. καὶ τοῦτ' οὐδὲν κωλύει καὶ δὶς καὶ τρὶς ἐν ὥραις τρισὶν ἐργάσασθαι. μετὰ δὲ ταῦτα, διδόναι τι τῶν ἐμπλαττόντων τε ἅμα καὶ στυφόντων φαρμάκων. ἤτοι δι' ὑδαροῦς ὀξυκράτου τὴν πρώτην, ἢ δι' ἀφεψήματος μήλων ἢ μύρτων, ἢ τινὸς ἄλλου τῶν στυπτικῶν. εἰς ἑσπέραν τε πάλιν ὁμοίως διδόναι τὸ φάρμακον, εἴργοντας ἁπάσης τροφῆς, ἐὰν ἰσχυρὸς ᾖ. εἰ δὲ μὴ, ῥοφήματος αὐτάρκους διδόναι. κάλλιστον δὲ καὶ κατὰ τὴν ὑστεραίαν ἐπαφελεῖν αὖθις ὀλίγον αἵματος ἀπὸ τῆς τετμημένης φλεβὸς, ἐὰν ἰσχυρὸς ᾖ. καὶ τροφαῖς καὶ φαρμάκοις ὡσαύτως χρῆσθαι, μέχρι τῆς τετάρτης ἡμέρας, ἐπιβρέχοντας ἐν κύκλῳ τὸν θώρακα. θέρους μὲν μηλίνῳ, ἢ ῥοδίνῳ. χειμῶνος δὲ, μύρῳ ναρδίνῳ. εἰ δὲ καὶ τῶν ἐμπλαστῶν τινὶ χρήσασθαι βούλοιο φαρμάκων, κάλλιστον ἂν ἔχοις τὸ ἡμέτερον, ᾧ καὶ πρὸς τὰ ἄλλα ῥαύματα θαῤῥῶν χρῶ. σύγκειται δὲ ἐξ ἀσφάλτου καὶ ὄξους. ὅσα τ' ἄλλα μίγνυται τοῖσδε, κατὰ τὰς καλουμένας ὑπὸ τῶν ἰατρῶν ἐναίμους βαρβάρους. εἰ δὲ γυναῖκα θεραπεύοις, ἢ παῖδα, ἢ ὅλως μαλακόσαρκόν τινα, τὸ διὰ τῆς χαλκίτεως ἱκανὸν φάρμακον. οὗ κατὰ τὸ πρῶτον ἐν τοῖς περὶ φαρμάκων συνθέσεως ἐδήλωσα τὴν δύναμιν. οὕτως ἡμεῖς ἐθεραπεύσαμεν οὐκ ὀλίγους ἐπιφανέντες αὐτίκα τῷ πεπονθότι. τὸ γάρ τοι μέγιστον αὐτὸ τοῦτ' ἐστὶν, ᾧ πάνυ προσέχειν σε χρὴ τὸν νοῦν, εἰ παραχρῆμα τῆς ῥήξεως τῶν ἀγγείων γεγενημένης ὑπάρξαις τῆς θεραπείας, ὥστ' ἔναιμον ὂν, κολληθῆναι τὸ τραῦμα πρὶν ἄρξασθαι φλεγμαίνειν. Εἰ δέ γε φλεγμήνειεν, ὀλίγη μὲν ἔτι τοῦ κολληθῆναι τὸ τοιοῦτον ἡ ἐλπὶς, εἰς χρόνον δ' ἐκπίπτει πλείονα. καὶ τὸ χαλεπὸν ἢ ἀδύνατον τὸ ἐν τῷ τοιῷδε τῆς ἰάσεως ἐστί. ἐκπλύνειν γὰρ δηλονότι χρὴ τό, τε πῦον, καὶ τοὺς ἰχῶρας τοῦ ἕλκους, λυομένης τῆς φλεγμονῆς. ἐκ μὲν δὴ τῆς κατὰ μήτραν καὶ κύστιν, ἐκκρίνεται μὲν καὶ αὐτόματα τῷ κάταντι τῆς φορᾶς. ἐκκλύζεσθαι δὲ δύναται καὶ πρὸς ἡμῶν. ἐπὶ πνεύμονος δὲ γίνεσθαι ἑκάτερον, ἀδύνατον. ἀπολείπεται οὖν ἔτι μόνη τοῖς ἐνταυθοῖ πᾶσιν ἕλκεσιν ἡ μετὰ τοῦ βήττειν κάθαρσις. ἀλλ' εἴπερ ὀρθῶς τὴν τῶν ἄλλων ἡσυχίαν αὐτοῖς συνεβουλεύομεν ἀναπνεῖν τε καὶ καταβραχὺ, καὶ μὴ δ' ὅλως

φθέγγεσθαι

φθέγγεσθαι προσεστάλμεν ὑπὲρ τοῦ κολληθῆναι τὸ τραῦμα, τίς ἂν εἴη τοῖς βήττουσι τῆς ἰάσεως ἡ ἐλπίς. οὔκουν ὅτι διὰ τὴν ἀναπνοὴν, ἀκίνητόν ἐστι τὸ σπλάγχνον ὡς οἱ πρὸ ἡμῶν φασὶν ἰατροὶ ἄπορος ἡ ἴασις, ἀλλὰ διὰ τὴν τῶν ἰχώρων τε καὶ τοῦ πύου κένωσιν. καὶ διὰ τοῦτο παραχρῆμα μὲν εἰς σύμφυσιν ἀφικνεῖται καθ' ὃν εἴρηται τρόπον ἰαθέντα. φλεγμῆναι δὲ φθάσαντα, χαλεπὴν καὶ ἄπορον ἴσχει τὴν ἐπανόρθωσιν. ὅ,τι γὰρ ἰχὼρ καὶ τὸ πῦον, οὐκ ἀκριβῶς ἐκκενοῦται τῶν κατὰ τὸν πνεύμονα χωρίων. αἵ τε βῆχες ἱκανῶς σπαράττουσι τὰ πεπονθότα. τὰ δ' ἐκ θώρακος βραχὺ τῶν κατὰ τὸ σπλάγχνον τούτου πλεονεκτεῖ. τά τε γοῦν ἀγγεῖα πολὺ σμικρότερα, καὶ ἡ ἐκροὴ τῶν ἰχώρων εἰς τὴν εἴσω γίνεται χώραν. ὅλως τε σαρκωδέστερός ἐστι τοῦ πνεύμονος. οὐδὲ γὰρ οὐδ' ἡ τῶν τραχειῶν ἀρτηριῶν οὐσία κατ' ἄλλο τι τῶν ζῴου μόριον ἐστὶν, ἱκανῶς ἀσάρκων καὶ ξηρῶν ὑπαρχουσῶν. ὧν καὶ αὐτῶν δή που ῥήξεις ἐν ταῖς τοιαύταις πληρώσεσι γίγνονται. ὡς εἴγε τῶν ἄλλων μέν τι ῥαγείη, μόνοις δ' ἀπαθεῖς αἱ τραχεῖαι, κατὰ τὰς συναναστομώσεις μόνας ἡ μετάληψις γίνεται. ὥστε οὔτε θερμὸν, οὔτ' ἐρυθρὸν, οὔτε πολὺ τοῖς τοιούτοις ἀναφέρεται τὸ αἷμα. καὶ δοκεῖ μὲν εἶναι μετριώτερα τὰ τοιαῦτα παθήματα, τήν γε πρώτην ὡς ἂν μὴ καταπλήττοντα τῷ πλήθει τῆς κενώσεως. ἔστι δὲ χείρω δι' αὐτὸ τοῦτο. κωλύεται γὰρ ἡ σύμφυσις ὑπὸ τοῦ περιθρομβουμένου τοῖς ἐρρωγόσιν ἀγγείοις αἵματος, οὐκ ἔχοντος εὐπετῆ τὴν εἰς τὰς τραχείας διέξοδον. ὡσαύτως δὲ καὶ τὰ τοῦ διαφράγματος τραύματα τά γε μὴ διασχόντα πρὸς τοὐκτός. ἐν μὲν τοῖς σαρκώδεσι μέρεσι πολλάκις ἐκολλήθη, μηδὲν ὑπὸ τῆς κινήσεως αὐτοῦ παρεμποδισθέντα. τὰ δ' ἐν τοῖς νευρώδεσιν, ἀνίατα. χαλεπὴ δὲ καὶ ἡ ἐν τοῖς σαρκώδεσιν ἴασις, εἰ φλεγμῆναι φθάσειεν. οὐκ αὐτῷ τῷ διαφράγματι μόνῳ, ἀλλὰ καὶ τοῖς ἔνδον τοῦ περιτοναίου πᾶσιν. εἰς ταῦτα γὰρ ἀπορρέουσιν οἱ ἰχῶρες. ἀλλὰ χρὴ ξηραίνειν παντὶ τρόπῳ πειρᾶσθαι, διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων. καὶ τῶν πινομένων δι' ὕδατος, ἢ οἴνου λεπτοῦ. ἔστι δ' αὐτῶν ἐπιτηδειότατα, τά τε διὰ σπερμάτων λεγόμενα, καὶ τὸ σύνηθες ἡμῖν, ᾧ καὶ πρὸς τὰς τοῦ θώρακος συρρήξεις ἀεὶ χρώμεθα, τὸ διὰ τῆς κασίας. ἀλλὰ καὶ ταῦτα καί τινες ἐπιβροχαὶ τοῖς τοιούτοις τραύμασιν ἐπιτήδειοι, τῆς περὶ φαρμάκων εἰσὶ πραγματείας. ἐνταυθοῖ δὲ τὰς μεθόδους λέγομεν μόνας ἐνδεικνυμένας τῶν φαρμάκων τὸ γένος. ὥστ' εἴποτε λέγεταί τινα τῶν κατὰ μέρος, ὡς παραδείγματα, σαφηνείας ἕνεκα, γεγράφθαι χρὴ νομίζειν αὐτά. αὖθις οὖν ἐπὶ τὰς μεθόδους ἀνέλθωμεν, ἐπιδεικνύντες ὅπως ἡ κοινὴ πάντων ἑλκῶν ἴασις ἐξαλλάττεται κατ' εἶδος ἐν ἑκάστῳ τῶν ζῴου μορίων. μαθησόμεθα γὰρ ἐκ τοῦδε. μάλιστα μὲν ὃ δι' ὅλης πρόκειται τῆς πραγματείας, ἀναμαρτήτους εἶναι κατὰ τὰς ἰάσεις, ἐν παρέργῳ δὲ καὶ τὴν τῶν ἑαυτοὺς ὀνομαζόντων μεθοδικοὺς τόλμαν. εἰ γοῦν ἐμοί χρή τι πιστεῦσαι, μηδὲν, μήτε πρὸς χάριν εἰωθότι, μήτε πρὸς ἀπέχθειαν λέγειν, ἁπάντων τῶν ἰατρῶν ὄντες ἀμεθοδώτατοι, καταγνώκασιν ὥς γε δὴ γράφουσιν, οὐ μόνον τῶν ἄλλων παλαιῶν, ἀλλὰ καὶ τοῦ πασῶν τῶν μεθόδων ἡμῖν ἡγεμόνος Ἱπποκράτους. ὁ μὲν οὖν ἐμπειρικὸς ἰατρὸς, ἐκ πείρας φησὶν ἐγνῶσθαι πάνθ' ἅπερ ἡμεῖς δι' ἐνδείξεως εὑρίσκεσθαι δείκνυμεν. τρίτου δὲ οὐδενὸς ὄντος οὐδεμιᾶς εὑρέσεως ὀργάνου, παρά τε τὴν ἔνδειξιν καὶ τὴν πεῖραν, οὐδετέρῳ χρώμενοι, μεθοδικοὶ καλεῖσθαι δικαιοῦσιν. ἀκολουθησάτωσαν οὖν ἡμῖν. καὶ νῦν γοῦν εἰς τὴν τῶν καθ' ἕκαστον μέρος ἑλκῶν θεραπείαν, ἐπιδειξάτωσάν τε μίαν ἁπάντων ἴασιν. ἀκούσωμεν αὐτῶν ὅπως θεραπεύουσιν ἕλκος, ἢ τίνας ἐνδείξεις ἀπ' αὐτοῦ λαμβάνουσιν. ἆρ' ἄλλας τινὰς, ἢ τὸ μὲν ὁμαλὲς, ἐπουλῶσαι κελεύουσι. τὸ δὲ κοῖλον, σαρκῶσαι. τὸ δ' ἔναιμον, συμφῦσαι. πῶς οὖν εὗρον τά τε ἐπουλωτικὰ, καὶ τὰ κολλητικὰ, καὶ τὰ σαρκωτικὰ, καὶ τὰ συμφυτικὰ, μὴ κάμνε φασίν. εὕρηται γὰρ, ἀλλ' οὐκ οἶδ' εἰ καλῶς, ἢ εἰ πάντα. δύναται γοῦν ἤτοι γε εὑρῆσθαι μέν τινα τῶν φαυλοτέρων, οὐχ εὑρεῖσθαι δὲ τὰ βελτίω. ἢ καὶ τὰ δοκοῦντα εὑρῆσθαι, καὶ αὐτὰ εἶναι μοχθηρά. καὶ διὰ τοῦτο τὰ μὲν μηδόλως θεραπεύεσθαι τῶν ἑλκῶν. τὰ δὲ ἐν χρόνῳ πλείονι, καὶ σὺν ἀλγηδόσι καὶ λιμαγχίαις οὐκ ἀναγκαίαις. οὐδὲ γὰρ οὐδὲ τολμᾷ τις νεωτέραν πεῖραν, πρὶν ἢ ἑαυτὸν πεῖσαι τῆς ἔμπροσθεν ἀγωγῆς ὀρθῶς κατεγνωκέναι. οἷον, αὐτίκα περὶ τῶν ἐν πνεύμονι συνισταμένων ἑλκῶν, ἃ μὴ δὲ διαγνῶναι τὴν ἀρχὴν οἴονται ἐστὶν ἄνευ τῆς ἀνατομῆς τε καὶ τῆς τῶν ἐνεργειῶν γνώσεως, ἅπερ ἀμφότερα φεύγουσιν. ἀλλὰ συγκεχωρήσθω κατά γε τὸ παρὸν ἐγνῶσθαι τοῖς περὶ τὸν Θεσσαλὸν ἕλκος ἐν πνεύμονι γεγονός. πότερον οὖν ὥσπερ τοῦτο συνεχωρήσαμεν αὐτοῖς, οὕτω καὶ ὅτι ῥυπαρὸν, καὶ καθαρὸν, ἢ ὅτι κοῖλον, ἢ ὁμαλὲς, ἢ ἰχώρων, ἢ πύου μεστὸν, ἐπίστασθαι συγχωρήσωμεν. ἤτοι γ' ἐξ ἐπινοίας ἐνθέου, ἢ ὄναρ ἰδοῦσιν. ἢ κἂν τοῦτο γοῦν ἐρωτήσωμεν αὐτοὺς τὰς διαγνώσεις, ἢ χωρὶς τοῦ διαγνῶναι, συγχωρήσωμεν ὅ,τι βούλοιντο φάρμακον. ἐγὼ μὲν γὰρ ἡγοῦμαι καθῆραι μὲν χρῆναι τὸ ῥυπαρὸν πρότερον τοῦ ῥύπου. σαρκῶσαι δὲ τὸ καθαρὸν ἅμα καὶ κοῖλον. ἀποκαθῆραι δὲ τοὺς ἰχῶρας τε καὶ τὸ πῦον, ᾧ περικέχυται ταῦτα. κἄπειθ' οὕτως ἐπουλοῦν. οἱ δὲ, οὐκ οἶδ' ὅπως ἰῶνται καὶ τὰ τοιαῦτα τῶν ἑλκῶν. τὴν ἀρχὴν γοῦν οὐδ' ἔγραψέ τι Θεσσαλὸς ὑπὲρ αὐτῶν, ἵν' ἤτοι τὴν ἄγνοιαν, ἢ τὴν συμφωνίαν αὐτοῦ πρὸς ἑαυτὸν ἐπιδείξῃ. ἤτοι γὰρ ἄλογα καὶ ψευδῆ περὶ αὐτῶν ἐροῦσιν, ἢ εἴπερ ἀληθῆ τίς φησι, τὴν ἔνδειξιν αὐτῶν ἀναγκαῖον ἐκ τῆς οὐσίας γενέσθαι τοῦ μορίου. καὶ προσέτι θέσεώς τε καὶ διαπλάσεως. ὑποκείσθω γὰρ αὐτοὺς ἐπίστασθαι διαγινώσκειν ἕλκος ἐν πνεύμονι ῥυπαρὸν καὶ καθαρὸν, ἀφλέγμαντόν τε καὶ φλεγμαῖνον, ὁμαλές τε καὶ κοῖλον. ἔτι δὲ καὶ τοῦτ' αὐτοῖς συγχωρήσθω γιγνώσκειν. οὐ μὴν οὐδ' αὐτοῦ, καί τοι γε μικροτάτου γε ὄντος, ἔχουσιν εἰπεῖν ἰδίαν εὕρεσιν, ὅτι τὸ τοιοῦτον ἕλκος ὑπὸ τοῦ χλωροῦ φαρμάκου γίγνεται καθαρὸν, εἰ βούλει τοῦ Μαχαιρίωνος, ἢ τῆς Ἴσιδος, οὐδὲν γὰρ διαφέρει. τί ποτε οὖν ποιήσουσιν ἐπὶ τοῦ κατὰ τὸ σπλάγχνον ἕλκους, ἀποκρινέσθωσαν ἡμῖν. ἆρά γε καταπιεῖν δώσουσι τοῦ χλωροῦ φαρμάκου; γελοῖον μὲν ὅλως τὸ πρᾶγμα. λεγέτωσαν οὖν ἡμῖν πόθεν ἴσασιν ἐνεχθησόμενον εἰς τὸν πνεύμονα τὸ τοιοῦτον φάρμακον. εἰδ' ἄρα καὶ τοῦτ' ἴσασιν, ἀλλ' ὅτι γε φυλάξει τὴν αὐτὴν δύναμιν, ἣν ἐπὶ τῶν ἑλκῶν τῶν ἐκτὸς εἶχεν, οὐχ οἷόν τε γιγνώσκειν αὐτοῖς. ἀλλὰ δὴ καὶ γινωσκέτωσαν ὅτι τε φυλάξει τὴν αὐτὴν δύναμιν, ἣν ἐπὶ τῶν ἐκτὸς ἑλκῶν εἶχε, καὶ ὅτι καθαίρει τὸν ῥύπον. οὐ μὴν ὅτι γε βῆχα κινήσει δυνατὸν αὐτοῖς ἐπίστασθαι. χωρὶς δὲ τοῦ διὰ βηχὸς ἐκκαθαρθῆναι τὸν ῥύπον, οὐδὲ τοῦ ῥύπτοντος ἐστὶ χρεία φαρμάκου. συγχωρείσθω δὲ οὖν καὶ τοῦτ' αὐτοῖς. ἀλλὰ τό γε διάφορον, ἐφ' ἕλκους πεποιῆσθαι θεραπείαν, ἐν μηρῷ καὶ πνεύμονι γεγονότος, οὐ δύνανται φυγεῖν. εἴγε τὸ μὲν, ὕδατι περιπλύνουσι. τὸ δὲ, ταῖς βηξὶν ἐκκαθαίρουσιν. ὑποκείσθω δὲ πάλιν ἐν τῷ πνεύμονι περικεχύσθαι τῷ ἕλκει παχὺ πῦον. ἆρά γε καὶ νῦν τὸ χλωρὸν δώσουσι φάρμακον,

ἢ μέλιτος ἐκλείχειν κελεύσουσιν; ἀλλὰ καὶ τοῦτ' αὐτὸ πόθεν εὑρήκασι, λεγέτωσαν. οὐ γὰρ δὴ τοῦτό γε φήσουσιν ὅτι λεπτυντικήν τινα καὶ τμητικὴν ἔχει δύναμιν, αὐτοί γε ἑκόντες ἀποστάντες τοῦ ζητεῖν τὰς τοιαύτας δυνάμεις. οὐ μὴν οὐδ' ὅτι τοῖς ἐμπειρικοῖς εὕρηται τὸ μέλι κατὰ τοιάνδε συνδρομὴν ἐπιτήδειον, γινώσκειν αὐτοῖς ὁμοίως ἐκείνοις χρῆναι. πρῶτον μὲν ὅτι τῆς ἐμπειρίας καταφρονοῦσιν. ἔπειτα δὲ, ὅτι κατὰ τὰς ἰδίας τὰς συνδρομὰς ὁ ἐμπειρικὸς, ἥτις μέν ἐστιν ἡ ἐν τῷ πνεύμονι διάθεσις ἀγνοεῖν φησὶ, τετηρῆσθαι δ' ἐκ πείρας ἑαυτῷ τὰ συμφέροντα. Θεσσαλῷ δὲ οὐκ ἀρκεῖ θεραπεύειν ὃ μὴ δι' ὅλως οἶδεν, ἀλλ' ἀπὸ τῆς τῶν παθῶν ἐνδείξεως ὁρμᾶται. εἰ δὲ δὴ καὶ πάντ' αὐτῷ συγχωρήσωμεν, ὥσπερ καὶ πρόσθεν, ὁμοίως ἡμῖν ἐπίστασθαι, τό γ' ἐπὶ τοῖς διαφέρουσι μέρεσιν ἐξαλλάττεσθαι τὴν θεραπείαν κατ' εἶδος, οὐκ ἄν ποτε ἐκφύγοι. οὐ γὰρ δήπου ταυτόν ἐστιν, ἢ μελίκρατον εἰς μήτραν ἐγχέαι διὰ ἕλκος ἔνδον, ἢ μέλιτος ἐσθίειν, ἢ καταπλύνειν σπόγγῳ τὸ ἕλκος. ἀλλὰ ταῦτα μὲν ἔτι μικρὰ, μέγιστα δὲ ἐκεῖνα. χρόνιον ἀφλέγμαντον ἕλκος ἐν πολλοῖς ὑποκείσθω μέρεσιν, ὀφθαλμῷ, καὶ ἀκοῇ, καὶ μυκτῆρι, καὶ στόματι, καὶ μηρῷ, καὶ γαστρὶ, καὶ μήτρᾳ, καὶ ἕδρᾳ, καὶ αἰδοίῳ. προσυποκείσθω δὲ εἰ βούλει τὸ ἕλκος, ἢ ὁμαλὲς ἀκριβῶς, ἢ ὀλίγου δεῖν ὑπάρχειν ὁμαλές. ἀποκρινάσθωσαν ἡμῖν οἱ ἀπὸ Θεσσαλοῦ, τοῦ μηδὲν ὅλως περὶ τῶν τοιούτων διορισαμένου, πῶς ἐπουλώσομεν αὐτὸ τῷ διὰ τῆς καδμείας νὴ Δία. τοῦτο γὰρ ἐπουλώσει καλῶς τὸ κατὰ τὸν μηρὸν ἕλκος. ἆρ' οὖν καὶ κατὰ τὸν ἀκουστικὸν πόρον; ἄπιστον μὲν ἴσως, ἀλλ' ἴσασιν οἱ θεοὶ, χρόνιον ἕλκος εὗρόν ποτε τῶν σοφωτάτων τινὰ Θεσσαλείων, οὕτω θεραπεύοντα. θᾶττον δ' ἂν ἐσάπη τὸ οὖς τ' ἀνθρώπῳ, καὶ σκώληκας ἔσχεν, ἢ τῷ διὰ τῆς καδμείας ἐπουλώθη φαρμάκῳ. συγχωρήσαντος δ' ὅμως αὐτῷ πλείοσι χρήσασθαι ἡμέραις, ἐπειδὴ καθ' ἑκάστην δυσωδέστερόν τι τὸ οὖς ἐγίνετο καὶ ἰχώρων μεστὸν, ἀπιστότερον ἔτι τοῦ πρόσθεν ἐθεασάμεθα τολμηθέν. οἰηθεὶς γὰρ φλεγμαίνειν ἐν τῷ βάθει τὸν πόρον, ἐπὶ τὴν τετραφάρμακον ἧκεν, ὃ πολὺ δὲ μᾶλλον ἔμελλε σήψειν τὸ μόριον. οὐδὲ γὰρ ξηραίνειν ὅλως ἕλκει δυνατόν ἐστιν, ἀλλὰ πέττειν τὰ φλεγμαίνοντα. ἅτε δ' ἐναντιωτάτῳ τῆς διαθέσεως αὐτοῦ χρησαμένου φαρμάκῳ, μετὰ μίαν ἡμέραν ἐπολυπλασιάσθη μὲν αὐτίκα τὸ τῶν ἰχώρων πλῆθος, ἀφόρητος δ' ἦν ἡ δυσωδία. οὐκοῦν ἔτι συνεχώρουν οἱ οἰκεῖοι, τοῦ ὠτὸς ἅπτεσθαι τῷ Θεσσαλείῳ. ὁ δ' ὑπ' ἀναισχυντίας τε ἅμα καὶ ἀναισθησίας, ἠξίου μὴ μόνον ἐντιθέναι τι τῆς τετραφαρμάκου δυνάμεως, ἀλλὰ καὶ καταπλάττειν ἔξωθεν αὐτῷ χαλαστικῷ καταπλάσματι. τῶν δ' οἰκείων ἀπελαυνόντων τε καὶ δεδιότων ἐν μεγάλῳ κακῷ τὸν πάσχοντα γενέσθαι, παρεκαλέσαμεν ἡμεῖς, ἔτι μίαν ἡμέραν ἐπιτρέψαι τῷ Θεσσαλείῳ τὴν θεραπείαν αὐτοῦ. ἔμελλον δὲ δήπου κατὰ τὴν ὑστεραίαν ὅ, τε ἰχὼρ ἔσεσθαι πολλαπλάσιος, ἥ τε ὀσμὴ δυσωδεστάτη. καθ' ἣν ἐπειράθην εἰ οἷόν τ' εἴη μεταπεῖσαι τὸν Θεσσάλειον ὄνον, ὅπως μὴ πάντας ἐπιτρίβῃ τοὺς πάσχοντας, ἀλλὰ τινὰς ἤδη ποτὲ κἂν ὀλίγους δυνηθείη σῶσαι, τῆς ἀμεθοδωτάτης αἱρέσεως ἀποστάς. ἠρξάμην μὲν οὖν λόγου τοιοῦδε πρὸς αὐτόν. ἆρα οὐχὶ φλεγμονή σοι δοκεῖ κατὰ βάθος εἶναι τοῦ πόρου, καὶ διὰ τοῦτο χαλαστικοῖς χρῆσθαι βοηθήμασιν; ὁ δὲ, καὶ πάνυ διετείνετο, καὶ οὕτως ἔχειν ἔφασκε, καὶ ἀδύνατον ἄλλως. ἆρ' οὖν ἔφην ἐθεάσω σύ ποτε φλεγμαῖνον ἕλκος, ὄξει δριμυτάτῳ μετὰ γλαυκίου θεραπευθέν; οὐ μὲν οὖν εἶπεν. ἀλλ' εἰ τὸ ἀνδρώνειόν τις κυκλίσκον ὄξει διεὶς χρῷτο, τάχα δ' ἂν ἔφη καὶ παθείη. ἐὰν οὖν εἴπω ἄλλο τι φάρμακον οὐκ ὀλίγῳ τοῦ ἀνδρωνείου σφοδρότερον, ὄξει τις δριμυτάτῳ διεὶς χρήσεται, καὶ ταῦτ' εἰς οὖς ἐγγὺς οὕτω μόριον ἐγκεφάλου καὶ μηνίγγων, ἆρ' οὐκ ὄντως παθήσεται κατὰ τὸν σὸν λόγον, εἴπερ γε φλεγμονή τις ὑπόκειται; ταῦτ' ἐδόκει κἀκείνῳ καὶ τοῖς ἄλλοις τοῖς συμπαροῦσιν ἀληθῶς εἰρῆσθαι. ὅσον μὲν οὖν ἔφην ἐπὶ τῷ δεῖσθαι τὴν διάθεσιν τῶν μορίων ἐκτεθηλυσμένων ὑπὸ τῆς σῆς ἀγωγῆς, ἐσχάτως ξηραινόντων φαρμάκων, ἐχρησάμην ἂν ἤδη τοιούτῳ. νυνὶ δ' ἐπειδὴ κακὸν ἔθος εἴθισας τὰ μόρια πλείοσιν ἡμέραις, ἐπὶ τοὐναντίον αὐτὰ μετάγειν ἀθρόως οὐκ ἐγχωρεῖ. σοὶ μὲν γὰρ καὶ Θεσσαλῷ καταφρονεῖν ἔθους ἔξεστιν ὥσπερ καὶ φύσεως ἡμερῶν. ἡμῖν δ' οὐκ ἔξεστιν. ἀλλὰ τῇ μὲν πρώτῃ τῶν ἡμερῶν, ὄξει χρήσομαι μετὰ γλαυκίου. τῇ δὲ δευτέρᾳ, τῷ ἀνδρωνείῳ. τῇ τρίτῃ δ' ἐπί τι σφοδρότερον ἔτι καὶ αὐτοῦ τοῦ ἀνδρωνείου παραγενήσομαι φάρμακον, ᾧ χρησάμενος ἡμέραις τρισὶν, ἢ καὶ τέτταρσιν, ἐάν μοι φαίνηται δεῖσθαι σφοδροτέρου φαρμάκου τὸ ἕλκος, οὐκ ὀκνήσω κἀκείνῳ χρήσασθαι. ἔξωθεν δ' ἔφην, ἐπιθήσω τῇ κεφαλῇ κατὰ τὸ τοῦ πεπονθότος ὠτὸς χωρίον, οὐ μὰ Δί' ὡς σὺ κατάπλασμα χαλαστικὸν, ἀλλά τι τῶν ξηραντικωτάτων φαρμάκων ὁποῖόν ἐστι τὸ διὰ τῶν ἰτεῶν ἢ καὶ αὐτοῦ τοῦ ἀνδρωνείου, καταχρίσω μετ' ὄξους. ἢ τῶν τούτου τινὶ ξηραντικωτέρων. ἐπεὶ γὰρ ξηρὸν ἐσχάτως ἐστὶ τὸ θεραπευόμενον μόριον, ἀναγκαῖον αὐτὸ ξηραίνεσθαι ἐσχάτως. ἐνδείκνυται γὰρ ὥσπερ τὸ πάθος τοὐναντίον ἑαυτῷ πρὸς τὴν θεραπείαν, οὕτω τὸ μόριον ὅτι περ ἂν ὁμοιότατον ἑαυτῷ τυγχάνῃ. καὶ τοίνυν ὥσπερ εἶπον, οὕτω καὶ ἔπραξα. καὶ ὁ ἄνθρωπος ὑγιάσθη, μὴ δεηθεὶς ἰσχυροτέρων ἄλλων φαρμάκων. ἐπ' ἐνίων μέντοι δεηθέντων, οἷς ἐξ ἐνιαυτοῦ καὶ δυοῖν ἐτῶν ἦν ἕλκη ἐν τῷ ὠτὶ, προσηνέγκαμεν φάρμακον ἁπάντων τῶν εἰρημένων ἰσχυρότερον. ἔστι δὲ καὶ ἡ καλουμένη σκωρία τοῦ σιδήρου, κοπτομένη τε καὶ διακοσκινομένη λεπτοτάτῳ κοσκίνῳ, κἄπειτα λειουμένη μέχρι τοῦ χνοώδης γενέσθαι. μετὰ δὲ ταῦτα, σὺν ὄξει δριμυτάτῳ καθεψομένη μέχρι τοῦ σύστασιν σχεῖν μελιτώδη τε καὶ γλοιώδη, δῆλον δ' ὅτι πολλαπλάσιον εἶναι χρὴ τὸ ὄξος ἐν τῇ μίξει. ἀλλ' ὅπερ εἶπον ἤδη πολλάκις, ἡ μὲν εὐπορία τῆς ὕλης τῶν φαρμάκων, ἐξ ἑτέρων ὑπομνημάτων ἔσται σοι. τὰ δὲ τῆς μεθόδου, περαινέσθω. τὸ γάρ τοι τῆς ἀκοῆς χωρίον, ἐπειδὴ ξηρότατόν ἐστι, διὰ τοῦτο τῶν ἄκρως ξηραινόντων δεῖται φαρμάκων. ὧν οὐδὲν οὐδενὶ τῶν ἄλλων μορίων ἁρμόττει προσφέρειν. ἀλλ' ὀφθαλμῶν μὲν εἱλκωμένων, τὸ διὰ τοῦ λιβανωτοῦ κολλύριον, εἰ οὕτως ἔτυχε. μυκτῆρσι δὲ, πολὺ μὲν ξηραντικώτερον ἢ κατ' ὀφθαλμοὺς. ἧττον δὲ ἢ κατ' οὖς. ὥστε καὶ οἱ κυκλίσκοι πάντες οἱ προειρημένοι, χρηστοί. καὶ τὸ τοῦ Μούσα φάρμακον. ὅσα τ' ἄλλα τοιαῦτα. τῶν δ' ἐν τοῖς στόμασιν ἑλκῶν, ὅσα μὲν ἱκανῶς πλαδαρὰ, τῶν ξηραινόντων ἰσχυρῶς δεῖται φαρμάκων. οἷον τοῦ διφρυγοῦς αὐτοῦ τε καθ' αὑτὸ καὶ μετὰ μέλιτος. οἴνου τε καὶ οἰνομέλιτος. ὡσαύτως δὲ καὶ τῆς ἴρεως καλουμένης. ἔτι τε τῆς ἀνθηρᾶς, ἤτοι ξηρᾶς, ἢ μετὰ μέλιτος, ἢ οἰνομέλιτος, ἢ οἴνου. ἀγαθὸν δ' εἰς τὰ τοιαῦτα καὶ τὸ τοῦ Μούσα φάρμακον. ὅ, τε τοῦ ῥοῦ χυλὸς. ὀμφάκιόν τε, καὶ ὅσα περ ἐστὶν ἄλλα γενναίως ξηραίνοντα. τί γὰρ δεῖ τὰς ὕλας ἐπεξέρχεσθαι. τὰ δ' ἁπλούστερα τῶν ἐν τοῖς στόμασιν ἑλκῶν,

ἱκανῶς

μανὰ θεραπεύειν χρή, καὶ τὰ μετρίως ξηραίνοντα φάρμακα. καθάπερ ταυτὶ τὰ διὰ τὸ συνεχὲς τῆς χρείας ὀνομασθέντα στοματικά. τό, τε διὰ μόρων, καὶ βάτου καρποῦ, καὶ καρύων χλωρῶν λέμματος χυλοῦ, καὶ τούτων ἔτι μᾶλλον τὸ διὰ γλαυκίου τε καὶ τῶν τῆς κυπαρίττου σφαιρίων. ὅσα δ' ἱκανῶς ὑγρὰ τῶν ἐν τοῖς στόμασιν ἑλκῶν, πλησίον ὀστῶν. ἔστι δὲ καὶ κίνδυνος διὰ ταῦτα καὶ αὐτὸ τὸ ὀστοῦν σφακελίσαι. σφοδροτάτων ταῦτα δεῖται φαρμάκων, διὰ τῶν ὀστῶν οὐσίαν ξηρὰν οὖσαν. ὥστ' ἐγὼ λεαίνων ἀεὶ τοὺς προειρημένους κυκλίσκους, ἐπιτίθημι τὸ φάρμακον ξηρόν. ἀρκεῖ δ' ὀλίγον ἔμπροσθεν καὶ τῶν κατὰ κύστιν καὶ μήτραν ἔντερά τε καὶ πνεύμονα τὰ γένη τῶν φαρμάκων, οἷς ἐφ' ἑκάστου χρηστέον ἐστί. ἀπὸ μὲν τῆς οὐσίας τῶν θεραπευομένων μορίων, τοῦ φαρμάκου λαμβανομένου μετὰ τοῦ προεπισκέψασθαι τὴν διάθεσιν. Τοῦ τρόπου δὲ τῆς χρήσεως αὐτῶν, ἀπό τε τῆς διαπλάσεως ἅμα καὶ τῆς θέσεως. ἐντεῦθεν γὰρ ἐπενοήθησαν, ὠτεγχύται τε, καὶ μητρεγχύται, καὶ καθετῆρες, καὶ κλυστῆρες. ἐντεῦθεν δὲ καὶ ὅτι τὰ μὲν κατὰ γαστέρα, καὶ θώρακα, καὶ πνεύμονα συνιστάμενα τῶν ἑλκῶν, διὰ τῶν ἐσθιομένων καὶ πινομένων θεραπεύεσθαι χρή. τὰ δὲ κατ' ἔντερα, ὅσα μὲν ἐγγὺς τῇ γαστρί, διὰ τῶν ἐσθιομένων καὶ πινομένων. ὅσα δ' ἤδη κατωτέρω, διὰ τῶν ἐνιεμένων. οὔτε γὰρ τοῖς πλησίον τῆς γαστρὸς ἐπαναβῆναι δύναται τὸ διὰ τῆς ἕδρας ἐνιέμενον, οὔτ' εἰς τὰ κάτω τοῦ διαστήματος ληφθέντος, ἡ δύναμις ἀκραιφνὴς ἀφικνεῖσθαι. διὰ ταῦτα καὶ ὅσα κατὰ θώρακα καὶ πνεύμονα συνίσταται τῶν ἑλκῶν, ἅμα τε δυσιατότερα τῶν κατὰ τὴν γαστέρα, πόρρω γὰρ αὐτῶν ἡ θέσις, ὡς ἐκλύεσθαι τῶν φαρμάκων τὴν δύναμιν. ἅμα τε δι' αὐτὸ τοῦτο πολὺ σφοδροτέρων χρήζει τῶν καταπινομένων φαρμάκων, ἢ εἰ αὐτοῖς τοῖς ἕλκεσιν ἄντικρυς προσεφέρετο. καὶ διὰ τοῦτο ἐξεύρηται τοῖς ἰατροῖς, ἡνίκα ἐκκαθαίρειν δέονται πῦον ἐκ θώρακος ἢ πνεύμονος, ἰσχυρότατά τε καὶ τμητικώτατα φάρμακα, καὶ τοιαῦτα τὴν δύναμιν ὡς παροξῦναι τὸ ἕλκος εἴπερ ἦν ἐν τῇ γαστρί. καὶ μέν γε τὸ διὰ τῶν βηχῶν ἐκκαθαίρειν αὐτά, ἐκ τῆς διαπλάσεως ἐλήφθη τῶν μορίων, οὐδεμίαν ἐχόντων ἐκροὴν τοιαύτην οἵαν μήτρα, καὶ κύστις, καὶ ἕδρα, καὶ ὦτα, καὶ μυκτῆρες, καὶ στόμα. διὰ τοῦτο καὶ ἡ γαστὴρ κατ' ἄμφω τὰ μέρη καθαίρεσθαι δύναται. ἄνω μὲν διὰ τῶν ἐμέτων, κάτω δ' ὡς ἡ φύσις. ἀπὸ γάρ τοι τῶν μορίων ὡς ὀργανικῶν, αἱ τοιαῦται τῶν ἐνδείξεων, ὥσπερ αἱ κατὰ τὸ ξηραίνειν ἐνδείξεις, ἀπὸ τῆς οὐσίας αὐτῶν ὡς ὁμοιομερῶν. ἀπὸ δέ γε τῶν παθῶν, αἱ τοιαῦται πάλιν, οἷον ἀπὸ τῶν ἑλκῶν, ἐπειδὴ περὶ τούτων ὁ λόγος ἦν, ὅτι τε ξηραντέον, ὡς ἔμπροσθεν ἐδείκνυτο, καὶ ὅτι τῶν κατὰ τὴν γαστέρα τὸ πῦον ἀποπλῦναι βουλομένοις οὐκ ἀκίνδυνον ἐμεῖν. ὥσπερ εἰ καὶ ἄλλως ἀκρείπτοις ἐμπεπλασμένον αὐτῇ φλέγμα, δι' ὀξυμέλιτός τε καὶ ῥαφανίδων, ἀλλὰ βέλτιον ὑπάγειν κάτω. κίνδυνος γὰρ ἐμοῦντι καὶ σπαράξαι τὸ ἡλκωμένον. καί τινα χυμὸν οὐ χρηστὸν ἐκ τῶν πλησίον ἐπισπάσασθαι. διὰ ταῦτα δὲ ὡς ἔφην, καὶ τὰ κατὰ πνεύμονα τῶν ἑλκῶν δυσιατώτατα. χωρὶς μὲν γὰρ τοῦ βήττειν, οὐκ ἂν ἐκκαθαρθείη, βηττόντων δ' ἐπιρρήγνυται. δι' ἀλλήλων οὖν αὐτοῖς κυκλεῖται τὸ κακόν. ἐπιφλεγμαίνοντα γὰρ αὖθις τὰ σπαραχθέντα, δεύτερον αὖθις δεῖται πεφθῆναί τε τὴν φλεγμονήν, ἀποκαθαρθῆναί τε τὸ πῦον. ὥστ' ἐκ πάντων αὐτοῖς παρασκευάζεσθαι τὸ δυσίατον. οὔτε τῶν οἰκείων ἕλκεσι φαρμάκων ψαῦσαι δυναμένων τοῦ ἕλκους ὡς ἐν γαστρί, καὶ φθανόντων ἐκλύεσθαι μεταξύ. καὶ ὅτι κινεῖται κατὰ τὰς ἀναπνοάς, καὶ σπαράττεται κατὰ τὰς βῆχας. ὥσθ' ὅταν ἀγγεῖον ἐν πνεύμονι ῥαγῇ, γιγνώσκειν χρὴ σαφῶς εἰ μὴ παραχρῆμα πρὶν φλεγμῆναι κολληθείη, μετὰ ταῦτά γε ἀνίατον ἐσόμενον. ὅσα μέντοι τῶν ἑλκῶν ἐν ταῖς τραχείαις ἀρτηρίαις γίγνεται κατὰ τὸν ἔνδον αὐτῶν χιτῶνα, καὶ μάλισθ' ὅσα τοῦ λάρυγγος πλησίον, ἢ καὶ κατ' αὐτόν ἐστι, ταῦτα θεραπεύεται. καὶ ἡμεῖς οὐκ ὀλίγους ἰασάμεθα τῶν οὕτω καμνόντων. εὕρομεν δὲ μάλιστα τὴν θεραπείαν αὐτῶν ἐνθένδε. κατὰ τὸν μέγαν τοῦτον λοιμόν, ὃν εἴη ποτὲ παύσασθαι, πρῶτον εἰσβάλλοντα, τό τε νεανίσκος τις ἐνναταῖος ἐξήνθησεν ἕλκεσιν ὅλον τὸ σῶμα, καθάπερ καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες οἱ σωθέντες. ἐν τούτῳ δὲ καὶ ὑπέβηττε βραχέα. τῇ δ' ὑστεραίᾳ λουσάμενος, αὐτίκα μὲν ἔβηξε σφοδρότερον. ἀνηνέχθη δ' αὐτῷ μετὰ τῆς βηχός, ἣν ὀνομάζουσιν ἐφελκίδα. καὶ ἡ αἴσθησις ἦν τἀνθρώπῳ σαφής, κατὰ τὴν τραχεῖαν ἀρτηρίαν τὴν ἐν τῷ τραχήλῳ πλησίον τῆς σφαγῆς, ἡλκωμένου τοῦ μέρους. καὶ μέντοι καὶ διανοίξαντες αὐτοῦ τὸ στόμα, κατεσκεψάμεθα τὸν φάρυγγα, μή πού κατ' αὐτὴν εἴη τὸ ἕλκος. οὔτ' οὖν οὕτως ἐπισκοπουμένοις, ἐφαίνετο πεπονθέναι. καὶ πάντως ἂν ἐδόκει τῇ διόδῳ τῶν ἐσθιομένων τε καὶ πινομένων, αἴσθησις ἔσεσθαι τῷ κάμνοντι σαφής, εἴπερ ἕλκος ἦν αὐτόθι. καὶ μέντοι καὶ δι' ὄξους, καί τινα διὰ νάπυος ἐδώκαμεν αὐτῷ προσενέγκασθαι βεβαιοτέρας ἕνεκα διαγνώσεως. οὔτ' οὖν τούτων ἔδακνεν αὐτόν τι, καὶ ἡ αἴσθησις ἦν ἐν τῷ τραχήλῳ σαφής. ἠρέθιζέ τό τε κατ' ἐκεῖνο τὸ χωρίον ὡς ἐξορμᾶν εἰς βῆχας. συνεβουλεύομεν οὖν αὐτῷ ἀντέχειν καθόσον οἷός τ' ἐστί, καὶ μὴ βήττειν. ἔπραττε δὴ τοῦτο. βραχύ τε γὰρ ἦν τὸ ἐρεθίζον. ἡμεῖς τε τρόπῳ παντὶ συνεπράττομεν εἰς οὐλὴν ἀχθῆναι τὸ ἕλκος. ἔξωθεν μὲν ἐπιθέντες τι τῶν ξηραινόντων φαρμάκων, ὕπτιον δὲ κατακλίναντες. εἶτα διδόντες ὑγρὸν φάρμακον τῶν πρὸς ἕλκη τοιαῦτα ποιούντων, καὶ τοῦτ' ἐν τῷ στόματι κατέχειν ἀξιοῦντες, ἐπιτρέποντα βραχύ τι παραρρεῖν εἰς τὴν τραχεῖαν ἀρτηρίαν. καὶ τοίνυν οὕτω πραττόντων, αἰσθάνεσθαι σαφῶς ἔφασκε τῆς ἀπὸ τοῦ φαρμάκου στύψεως περὶ τὸ ἕλκος. εἴτε κατὰ διάδοσιν γιγνομένης, εἴτε καὶ αὐτοῦ τοῦ φαρμάκου περὶ τὸ ἕλκος δροσοειδῶς παραρρέοντος εἰς τὴν ἀρτηρίαν, καὶ παρηθουμένου. ἦν δὲ οὐδ' αὐτὸς ὁ κάμνων ἄπειρος τῆς ἰατρικῆς, ἀλλά τις τῶν ἐκ τριβῆς τε καὶ γυμνασίας ἐμπειρικῶς ἰατρευόντων. αἰσθάνεσθαί τε οὖν ἔλεγε παραρρέοντος εἰς τὴν ἀρτηρίαν τοῦ φαρμάκου. καί ποτε καὶ βῆχα κινοῦντος. ἀντεῖχε μέντοι πολλὰ μὴ βήττων. καὶ τοίνυν αὐτὸς προθυμηθείς, ἐν Ῥώμῃ μὲν ἔνθα περ ἐλοίμωξεν, ἄλλας τρεῖς ἡμέρας ἐπέμεινε μετὰ τὴν ἐνάτην. μετὰ ταῦτα δ' ἐνθεὶς ἑαυτὸν πλοίῳ, κατέπλευσε μὲν πρῶτον ἐπὶ τὴν θάλατταν διὰ τοῦ ποταμοῦ. τετάρτῃ δ' ὕστερον ἡμέρᾳ πλέων, ἐν ταῖς Ταβίαις γίγνεται. καὶ κέχρηται τῷ γάλακτι θαυμαστήν τινα δύναμιν ὄντως ἔχοντι καὶ οὐ μάτην ἐπῃνημένῳ.

Καί μοι δοκεῖ καιρὸς ἤδη εἰπεῖν τι περὶ γάλακτος χρήσεως, οὐ τοῦ κατὰ τὰς Ταβίας μόνον, ἀλλὰ καὶ τοῦ ἄλλου παντός. οὐδὲ γὰρ τοὺς ἐν Ἰταλίᾳ μόνῃ χρὴ θεραπεύειν, ἀλλ' ὅσον οἷόν τε τοὺς πανταχόθεν. τῷ μὲν οὖν ἐν ταῖς Ταβίαις γάλακτι, πολλὰ συνετέλεσεν εἰς ἀρετήν. αὐτό τε τὸ χωρίον ὑψηλὸν ὑπάρχον αὐτάρκως. ὅ, τε

περιέξ ἀὴρ ξηρός, ἥτε νομὴ τοῖς ζώοις χρηστή. ταύτην μέν γε καὶ ἀλλαχόθεν τεχνήσασθαι δυνατὸν, ἐν λόφῳ μετρίως ὑψηλῷ, φυτεύσαντας καὶ βοτάνας καὶ θάμνους, ὁποῖοι γάλα χρηστόν τε ἅμα καὶ στῦφον ἐργάζονται. λεχθήσεται δ' αὐτῶν ὀλίγον ὕστερον παραδείγματα. τὸν μέντοι περιέξ ἀέρα κατασκευάσαι μὲν ὅμοιον ἀδύνατον. ἐκλέξασθαι δὲ τῶν ὄντων τὸν ὁμοιότατον, οὐκ ἀδύνατον. ὁμοιότατος δ' ἂν εἴη ὁ ταῦτ' ἔχων, ἅπερ ἐκείνῳ πάρεστιν. ὕψος μὲν τοῦ λόφου μέτριον. ὁδὸς δ' ἐπ' αὐτὸν ἀπὸ τῆς θαλάττης εἰς τριάκοντα στάδια, καί τι πλέον οὐ πολλῷ. τὸ δὲ χωρίον αὐτὸ τὸ ἐπὶ τῇ θαλάττῃ, αἱ Ταβίαι κατὰ τὸν πυθμένα τοῦ κόλπου, μάλιστα ἐστὶ τοῦ μεταξὺ Σουρρέντου τε καὶ Νεαπόλεως. ἐν τῇ πλευρᾷ μᾶλλον τῇ κατὰ Σούρρεντον. αὐτὴ δ' ἡ πλευρὰ πᾶσα λόφος ἐστὶν εὐμεγέθης, μακρὸς, εἰς τὸ Τυρρηνὸν ἐκτεινόμενος πέλαγος. ἐγκέκλιται δ' ἠρέμα πρὸς τὴν δύσιν ὁ λόφος οὗτος. οὐκ ἀκριβῶς δ' ἐπὶ τὴν μεσημβρίαν ἐκτέταται, οὗτος μὲν ὁ λόφος ἄκλειστον τοῖς ἀνατολικοῖς ἀνέμοις φυλάττει τὸν κόλπον, εὔρῳ καὶ ἀπηλιώτῃ, καὶ βορρᾷ. συνάπτει δ' αὐτῷ κατὰ τὸν μυχὸν τοῦ κόλπου, λόφος ἕτερος οὐ μικρός. ὃν ἔν τε τοῖς συγγράμμασιν οἱ παλαιοὶ Ῥωμαῖοι καὶ τῶν νῦν οἱ ἀκριβέστεροι Βεσούβιον ὀνομάζουσι. τὸ δ' ἔνδοξόν τε καὶ νέον ὄνομα τοῦ λόφου, Βέσβιον ἅπασιν ἀνθρώποις γνώριμον, διὰ τὸ κάτωθεν ἀναφερόμενον ἐκ τῆς γῆς ἐν αὐτῷ πῦρ. ὅ μοι δοκεῖ καὶ αὐτὸ μεγάλα συντελεῖν εἰς ξηρότητα τῷ περιέξ ἀέρι. καὶ χωρὶς δὲ τοῦ πυρὸς, οὔτε λίμνη τις ἐγγὺς, οὔθ' ἕλος, οὔτε ποταμὸς ἀξιόλογος οὐδαμόθι τοῦ κόλπου. τῶν δ' ἀρκτικῶν πνευμάτων ἁπάντων ἄχρι δύσεως θερινῆς, ὁ Βεσούβιος λόφος πρόβλημά ἐστι. καὶ πολλὴ τέφρα μέχρι τῆς θαλάσσης ἀπ' αὐτοῦ καθήκει λείψανόν τι τῆς ἐν αὐτῷ κεκαυμένης τε καὶ νῦν ἔτι καιομένης ὕλης. ταῦτα πάντα ξηρὸν ἐργάζεται τὸν ἀέρα. δύναιτ' ἂν οὖν τις ἑτέρωθι τῆς οἰκουμένης ἐκλέξασθαι λόφον οὕτω ξηρὸν, οὐ πόρρω θαλάττης. οὔτε μέγαν ὡς ἐγκεῖσθαι ταῖς τῶν ἀνέμων εἰσβολαῖς, οὔτε πάνυ ταπεινὸν ὡς τὰς ἐκ τῶν ὑποκειμένων πεδίων ἀναθυμιάσεις ἑτοίμως δέχεσθαι. πεφυλάχθω δ' αὐτοῦ ἐστράφθαι πρὸς ἄρκτον. οὕτω γὰρ ἂν ἀπεστραμμένος εἴη τοῦ ἡλίου. εἰ δὲ κἀν τοῖς εὐκράτοις τῆς ὅλης οἰκουμένης ὁ λόφος ὑπάρχει καθάπερ ὁ κατὰ τὰς Ταβίας ἐστὶν, ἄμεινον μακρῷ. ἐν τοιούτῳ λόφῳ πόαι μὲν ἔστωσαν, ἄγρωστις, καὶ λωτὸς, καὶ πολύγωνον, καὶ μελισσόφυλλον. θάμνοι δὲ, σχῖνος, καὶ κόμαρος, καὶ βάτος, καὶ κισσὸς, καὶ κύτισος, ὅσοι τ' ἄλλοι τούτοις ἐοίκασιν. οὕτω μέν γε τὰ τοῦ λόφου παρασκευάσθω. τὰ δὲ ζῶα, βόες μὲν εἰσὶν ἐν τῷ κατὰ Ταβίας. καὶ ἔστι τούτου τῶν ζώων παχὺ τὸ γάλα, καθάπερ τὸ τῶν ὄνων λεπτόν. ἐγὼ δ' ἂν καὶ βοῦς καὶ ὄνους καὶ αἶγας ἀφείην ἐπὶ τὰς νομὰς, ὥστ' ἔχειν χρῆσθαι γάλακτι παντί. παχεῖ μὲν ἐκ τῶν βοῶν, λεπτῷ δ' ἐκ τῶν ὄνων, μέσῳ δ' ἀμφοῖν ἐκ τῶν αἰγῶν. οἱ παλαιοὶ δὲ καὶ γυναῖκα θηλάζουσαν ἐφίστων τοῖς τῇ φθόῃ κάμνουσι. κἀγὼ ἀποδέχομαι τὴν γνώμην αὐτῶν. ὅτι τε τὸ οἰκεῖον ᾑροῦντο, καὶ ὅτι πρὶν ψυγῆναι τῷ περιέξ ἀέρι. καί γε τοῦτ' ἔστω μέγιστον παράγγελμα γάλακτος χρήσεως ἐπὶ πάντων οἷς γάλακτος χρεία, αὐτίκα πίνειν ἀμελχθὲν τῷ ζώῳ παρεστῶτα. προσεπεμβάλλειν δὲ καὶ μέλιτος, ὅτῳ τυροῦσθαι πέφυκεν ἐν τῇ γαστρί. εἰ δ' ὑπελθεῖν αὐτό ποτε θᾶττον βουληθείης, καὶ ἁλῶν. ἐκεῖνος μέν γε οὖν ὁ νεανίας ἐκ τῆς λοιμώδους νόσου κατὰ τὴν ἀρτηρίαν ἕλκος ἔχων, ὑγιὴς ἐγένετο, καὶ ἄλλοι μετ' αὐτοῦ ὁμοίως. Ἑτέρῳ δὲ μειρακίῳ περὶ ἔτος ὀκτωκαιδέκατον, ἐκ καταρροῦ πλείοσιν ἡμέραις γενομένου, τὰ μὲν πρῶτα μετὰ βηχὸς αἷμα θερμὸν εὐανθὲς οὐ πολὺ, μετὰ δὲ ταῦτα, ἀνεπτύσθη τι καὶ τοῦ χιτῶνος αὐτοῦ μέρος. ὃς ὑπαλείφων ἔνδοθεν τὴν ἀρτηρίαν εἰς τὴν φάρυγγά τε καὶ τὸ στόμα, διὰ τοῦ λάρυγγος ἀνεφέρετο. ἐδόκει δέ μοι τῷ τε πάχει τεκμαιρομένῳ, καὶ τῇ τοῦ κάμνοντος αἰσθήσει τοῦ λάρυγγος ὑπάρχειν τὸ ἔνδοθεν σῶμα. καὶ μέν γε καὶ ἐβλάβη τοὐντεῦθεν εἰς τὴν φωνὴν ὁ ἄνθρωπος. ἀλλὰ καὶ οὕτως ἐν χρόνῳ μὲν πλείονι διεσώθη καὶ αὐτός. οἱ δ' ἐκ τοῦ λοιμοῦ ῥᾳδίως ὑγιάζεσθαί μοι δοκοῦσι τῷ προεξηράνθαι τε καὶ προεκκεκαθάρθαι σύμπαν τὸ σῶμα. καὶ γὰρ ἔμετος τισὶν αὐτῶν ἐγένετο, καὶ ἡ γαστὴρ ἅπασιν ἐταράχθη. καὶ οὕτως ἤδη κεκενωμένοις τοῖς σώζεσθαι μέλλουσιν, ἐξανθήματα μέλανα διὰ παντὸς τοῦ σώματος ἀθρόως ἐπεφαίνετο. τοῖς πλείστοις μὲν ἑλκώδη, πᾶσι δὲ ξηρά. καὶ ἦν εὔδηλον ἰδόντι τοῦ σεσηπότος ἐν τοῖς πυρετοῖς αἵματος εἶναι τοῦτο λείψανον. οἷον τέφραν τινὰ, τῆς φύσεως ὠθούσης ἐπὶ τὸ δέρμα, καθάπερ ἄλλα πολλὰ τῶν περιττῶν. οὐ μὴν ἐδεήθη γε πρὸς τὰ τοιαῦτα τῶν ἐξανθημάτων φαρμάκου. καθίσατο γὰρ αὐτόματα τρόπῳ τῷδε. τινῶν μὲν οἷς γε καὶ ἡλκώθη, τὸ ἐπιπολῆς ἀπέπιπτεν, ὅπερ ὀνομάζουσιν ἐφελκίδα. κἀντεῦθεν ἤδη τὸ λοιπὸν ἐγγὺς ἦν ὑγείας. καὶ μετὰ μίαν ἢ δύο ἡμέρας ἐπουλοῦτο. τινῶν δὲ οἷς οὐχ ἡλκώθη, τὸ μὲν ἐξάνθημα τραχύ τε καὶ ψωρῶδες ἦν. ἀπέπιπτε δὲ οἷόν τι λέμμα. κἀκ τούτου πάντες ὑγιεῖς ἐγίγνοντο. θαυμαστὸν οὖν οὐδὲν εἰ καὶ κατὰ τὸν πνεύμονα τοιούτων ἐξανθημάτων γεγενημένων, ἐσώζοντο διὰ τὴν ξηρότητα τῶν ἑλκῶν. ὧν γὰρ ἂν ἐπὶ τῶν ἄλλων ἑλκῶν ἁπάντων ὁ πρόσθεν λόγος ἐδείκνυε σκοπὸν εἶναι τῆς θεραπείας, τοῦθ' ὑπῆρχεν ἤδη τοῖς ἐκ τοῦ λοιμοῦ γεγενημένοις. ἅπαντα γὰρ ἦν ξηρὰ καὶ τραχέα. τὰ μὲν πλεῖστα, ψωρά. τινὰ δ' αὐτῶν, καὶ λέπραις παραπλήσια. μαρτυρούσης οὖν τῷ λόγῳ τῆς πείρας, καὶ τοῖς ἕλκεσιν ἕνα τοῦτον ἔχουσι σκοπὸν τῆς ἰάσεως τὸ ξηρανθῆναι. δύναιτ' ἄν τις σώζειν παμπόλλους τῶν αἷμα πτυσάντων ἐκ πνεύμονος, ὥσπερ καὶ ἡμεῖς ἐσώσαμεν. ὅπως μὲν οὖν χρὴ θεραπεύειν, οἷς ἀγγεῖον ἀξιόλογον ἐρράγη κατενεχθεῖσιν, ἢ μέγα βοήσασιν, ἢ βάρος ἀραμένοις ὑπὲρ τὴν δύναμιν, ἢ τινὸς ἐμπεσόντος τῷ θώρακι, σκληροῦ καὶ μεγάλου ἔξωθεν σώματος, εἴρηται πρόσθεν. ὡς δ' ἄν τις κάλλιστα καὶ τοὺς ἐπὶ καταρροῦ πτύσαντας αἷμα μεταχειρίζοιτο, νῦν εἰρήσεται, σαφηνείας ἕνεκα προχειρισαμένων ἡμῶν, ἣν ἐποιησάμεθα θεραπείαν ἐν Ῥώμῃ γυναικὸς τῶν ἐν τέλει. αὐτὴ γὰρ ἀκηκοῦα λόγων τοιούτων οἵους νῦν διεληλύθαμεν ὑπὲρ τῶν ἐκ πνεύμονος αἷμα πτυσάντων, εἶτ' ἐκ καταρροῦ τινὸς, ἢ βηχὸς ἰσχυρᾶς, ὀλίγον τι πτύσασα διὰ νυκτὸς, ἔπεμψεν αὐτίκα πρός με παρέχειν ἑαυτὴν φάσκουσα πᾶν ὅτι ἂν ἐθέλοιμι πράττειν. ἠκηκόει δὲ κατὰ τοὺς ἔμπροσθεν χρόνους, ὡς εἰ μή τις αὐτίκα βοηθήσειε δραστικῶς πρὶν ἢ φλεγμῆναι τὸ ἕλκος, οὐδὲν ἀνύσει. καὶ ὡς τοῦτ' ἂν εἴη μάλιστα τὸ αἴτιον τοῦ διαφθείρεσθαι τοὺς ἀναβήξαντας τὸ αἷμα. φλέβα μὲν οὖν τεμεῖν αὐτῆς οὐκ ἠξίωσα, τεττάρων ἡμερῶν ἤδη διὰ τὸν κατάρρουν ὀλίγου δεῖν ἀσίτου γεγενημένης. κλύσματι δὲ δριμεῖ κελεύσας χρήσασθαι, καὶ τρίψασθαί τε τὰ σκέλη καὶ τὰς χεῖρας ἐπὶ πλεῖστον ἅμα φαρμάκῳ θερμαίνοντι, καὶ διαδήσας, εἶτα ξυρήσας τὴν κεφαλὴν ἐπέθηκα τὸ διὰ τῆς κόπρου τῶν ἀγρίων περιστερῶν φάρμακον. ὡρῶν δὲ μεταξὺ τριῶν γενομένων,

ὑπὸ τὸ

ἐπὶ τὸ βαλανεῖον ἤγαγον. καὶ λούσας ἄνευ τοῦ ψαῦσαι λίπους τῆς κεφαλῆς, εἶτα σκεπάσας αὐτὴν συμμέτρῳ πίλῳ, περὶ τὴν ἑσπερινὴν ὥραν ἔθρεψα ῥοφήματι μόνῳ, τῷ αὐστηρῶν ὀπωρῶν ἐπιδιδούς. ἐπεὶ δ' ὕπνου μελλούσῃ, τὸ διὰ τῶν ἐχιδνῶν ἔδωκα φάρμακον, ὡς πρὸ τεττάρων μηνῶν ἐσκευασμένον. ἔτι γὰρ ἔχει τὴν τοῦ μήκωνος ὀπὸν ἰσχυρὸν τὸ τοιοῦτον. ἐν δὲ τοῖς κεχρονικόσιν, ἐξίτηλος γίνεται. διὰ τοῦτο οὖν ὑπνῶδές τέ ἐστι, καὶ ξηραίνει τὰ ῥεύματα σὺν τῷ καὶ παχύνειν ἀτρέμα. παυσαμένου δὲ τελέως τοῦ καταῤῥοῦ, δῆλος μὲν οὖν ὁ πνεύμων ἦν, ἔκ τε τοῦ τῆς ἀναπνοῆς εἴδους, καὶ τοῦ ψόφου τῆς γινομένης ἅπαξ που βηχός, ἐκκαθάρσεως δεόμενος. οὐ μὴν συνέπραξά γε εἰς τοῦτο κατὰ τὴν δευτέραν ἡμέραν. ἀλλ' ἐφ' ἡσυχίας τε καὶ σιγῆς ἁπάσης τὴν γυναῖκα φυλάξας, καὶ τρίψας τὰ κῶλα καὶ διαδήσας, ἐκέλευσα καὶ τἆλλα πάντα μέρη τρίψασθαι, πλὴν τῆς κεφαλῆς. ἔτι γὰρ ἦν ἐπ' αὐτῆς τὸ φάρμακον θερμόν. αὖθις δὲ εἰς τὴν ἑσπέραν ἔδωκα τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου μέγεθος, ὅσον γε ὁ παρ' ἡμῖν κύαμος. ἦν δὲ πολὺ τούτου μεῖζον, ὃ κατὰ τὴν προτέραν εἰλήφει. ὡς δὲ καὶ ταύτῃ τῇ νυκτὶ καλῶς ἐκοιμήθη, τῇ τρίτῃ τῶν ἡμερῶν, ἕωθεν δοὺς μέλιτος ἑψημένου συχνόν, ἐφ' ἡσυχίας ἐφύλαξα. προηκούσης δὲ τῆς ἡμέρας, ἅπαν ὁμοίως τρίψας τὸ σῶμα, τροφὴν ἐκέλευσα λαβεῖν πτισάνης χυλὸν σὺν ἄρτῳ βραχεῖ. κἄπειτα τῇ τετάρτῃ τῶν ἡμερῶν ἕωθεν μὲν τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου, ἀκμαίου κατὰ τὴν ἡλικίαν ἅμα σὺν χρηστῷ μέλιτι προσέδωκα. τῇ κεφαλῇ δὲ τοῦ αὐτοῦ φαρμάκου πάλιν ἐπιθείς, ὃ θερμαίνει τε καὶ ξηραίνει σφοδρῶς. εἶτα λούσας καὶ θρέψας μετρίως, ἐκκαθαίρειν ἤδη σφοδρότερον ἐπεχείρησα τὸν πνεύμονα τῇ πέμπτῃ τῶν ἡμερῶν. εἶτ' αὖθις καὶ αὖθις ἐχρησάμην ἐκ διαλειμμάτων. κατὰ μὲν τῆς κεφαλῆς τῇ συνήθει κηρωτῇ, τῇ διὰ τῆς θαψίας. τὴν δ' ὅλην τοῦ σώματος ἐπιμέλειαν ἀναθρεπτικὴν ἐποιησάμην ἐν αἰωρήσεσι, καὶ τρίψεσι, καὶ περιπάτοις, καὶ ἀλουσίαις, καὶ διαίτῃ μετρίᾳ τε ἅμα καὶ εὐχύμῳ. αὕτη καλῶς ἔσχεν ἡ γυνὴ μὴ δεηθεῖσα τοῦ γάλακτος. ἄλλον δέ τινα νεανίσκον οὐκ ἐκ καταῤῥοῦ τῆς βηχὸς ὁρμηθείσης, ἀλλ' ἐπὶ ψύξει τῶν ἀναπνευστικῶν, αἷμα καὶ αὐτὸν πτύσαντα πλῆθος ὅσον ἥμισυ κοτύλης, παραχρῆμα μὲν ἐφλεβοτόμησα. καὶ δὶς τῆς αὐτῆς ἡμέρας ἐπαφεῖλον. εἶτα δὶς κατὰ τὴν ὑστεραίαν. τρίψει δὲ τῶν κώλων καὶ δεσμῷ ἐν τῇ πρώτῃ χρησάμενος, εἰς ἑσπέραν ἔδωκα τὸ διὰ τῶν σπερμάτων ἡμέτερον φάρμακον. ἐν δὲ τῇ δευτέρᾳ μετὰ τὴν ἐπαφαίρεσιν, ἐπέθηκα παντὶ τῷ θώρακι τὴν διὰ τῆς θαψίας κηρωτήν. εἶτ' ἄρας αὐτὴν εἰς ἑσπέραν ὅπως μὴ θερμήνειε περαιτέρω τοῦ δέοντος, ἐν τῇ τρίτῃ πάλιν ἐπιθεὶς ὥραις που τρισίν, ἔλουσα τὸν ἄνθρωπον, ἔθρεψά τε ταῖς τρισὶν ἡμέραις παραπλησίως. ῥοφήματα μὲν ἐν ταῖς πρώταις δύο, τῇ τρίτῃ δὲ χυλὸν μὲν πτισάνης προδούς, ἰχθὺν δέ τινα τῶν πετραίων δοὺς ἁπλῶς ἡρτυμένον, ἔδωκα δὲ καὶ τὸ διὰ τῶν σπερμάτων φάρμακον ἔν τε τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ τῶν ἡμερῶν, ὁμοίως εἰς ἑσπέραν. ὑπνοποιόν τε γάρ ἐστι, καὶ ἀνώδυνον, καὶ ξηραντικόν. ἤδη δὲ καὶ τῶν ἀναπνευστικῶν ἐν εὐκρασίᾳ τῇ κατὰ φύσιν ὄντων, καὶ τοῦ παντὸς σώματος κεκενωμένου, καὶ μηδὲ μιᾶς ὑποψίας φλεγμονῆς ὑπολειπομένης κατὰ τὸ ἐῤῥωγὸς ἀγγεῖον, ἀνακαθαίρειν ἠρξάμην. εἶτα πίνοντα τὸ διὰ τῶν ἐχιδνῶν φάρμακον ἀκμαῖον κατὰ τὴν ἡλικίαν, ἐπὶ τὰς Ταβίας ἐξέπεμψα. πάντας οὕτως ἐγὼ τοὺς κατὰ τὴν πρώτην ἡμέραν ἑαυτοὺς ἡμῖν ἐγχειρίσαντας ἰασάμην. οὐ μὴν τούς γε μετὰ δύο ἢ τρεῖς ἅπαντας, ἀλλ' ἔνιοί τινες αὐτῶν ἀνίατον ἔσχον τὸ ἕλκος. ὅσοι δ' ἔφθασαν οὕτω φλεγμήναντες ὡς πυρέξαι, τούτων οὐδεὶς ἐθεραπεύθη τελέως. ἀλλ' ὅσοι μετὰ ταῦτα διὰ πάντων ὀρθῶς τῶν βοηθημάτων διεξῆλθον ὡς ξηρανθῆναι τὸ ἕλκος, ἐκέρδησαν οὗτοι τοσοῦτον, ὡς μήτ' ἐπινέμεσθαι, μήτε μεῖζον γίγνεσθαι. ξηρανθὲν δὲ καὶ τυλωθέν, ἐπιτρέψαι χρόνῳ πλέονι ζῆσαι τὸν ἄνθρωπον. μόνοι δὲ ἀνιάτως διακεῖσθαί μοι δοκοῦσι τῶν ἕλκος ἐν πνεύμονι ἐχόντων, οἱ διὰ κακοχυμίαν τινὰ ἀναβρωθέντες, ὧν ἔνιοι καὶ τοῦ σιάλου φασίν, ὥσπερ ἅλμης αἰσθάνεσθαι. χρόνου μὲν γὰρ οἶμαι πάντως δεῖν μακροῦ, πρὸς τὴν τῆς κακοχυμίας ἐπανόρθωσιν. ἀνάγκη δ' ἐν τῷ χρόνῳ δυοῖν θάτερον. ἢ ξηραινόμενον τὸ ἕλκος τυλωθῆναι καὶ διὰ τοῦτο ἀνίατον γενέσθαι παντάπασιν, ἢ μὴ ξηραινόμενον, αὐτό τε πρῶτον ἀποδειχθῆναι σηπεδονώδους, ἐπινέμεσθαί τε τὰ πέριξ, καὶ οὕτως ἐν χρόνῳ διασῆψαι τὸν πνεύμονα. πολλοὶ δὲ τῶν ἐσχηκότων τοιαύτην κακοχυμίαν ἤδη βήττοντες ἐξ αὐτῆς, οὐ μὴν τοι γ' ἐπτυκότες οὐδέπω τὸ αἷμα, τῆς παρ' ἡμῶν τυχόντες προνοίας εἰς τέλος ὑγιάσθησαν.

Χρὴ δὲ ἐν ἀρχῇ μὲν οὐδενὸς οὕτως, ὡς τοῦ μήτε βήττειν αὐτοὺς φροντίσαι, μήτ' ἐκ τῆς κεφαλῆς καταῤῥεῖν τι εἰς τὸν πνεύμονα. καὶ γίνεται τοῦτο τρισὶ βοηθήμασι. καθάρσει μὲν πρώτῳ. δευτέρῳ δὲ τῷ διὰ τῶν σπερμάτων φαρμάκῳ. τρίτῳ δὲ τῇ προνοίᾳ τῆς κεφαλῆς. δεῖ δὲ τὸ μὲν καθαῖρον εἶναι μικτόν, ἐκ διαφερουσῶν δυνάμεων οἷά πέρ ἐστι τὰ ἡμέτερα καταπότια, δι' ἀλόης, καὶ σκαμμωνίας, καὶ κολοκυνθίδος, καὶ ἀγαρικοῦ, καὶ βδελλίου, καὶ κόμμεως ἀῤῥαβικοῦ συγκείμενα, πρὸς τὸ πλέονας ἰδέας ἐκκαθαίρειν τῶν περιττωμάτων. ἱκανὸν δὲ ὠφελῆσαι καὶ τὸ χωρὶς κόμμεως. ὕστερον δ' ἂν δέοιτο, καὶ τοῖς τὰ μέλανα καθαίρουσι χρήσαιο. τὴν δὲ τῆς κεφαλῆς πρόνοιαν ἐπιτρέψαι τῇ διὰ θαψίας κηρωτῇ, ταῦτα μὲν ἐν ἀρχῇ ποιητέον ἐστίν. ἐφεξῆς δὲ ἀνατρέφειν χρηστοῖς εὐχύμοις ἐδέσμασι, καὶ τρίψεσι, καὶ περιπάτοις, καὶ λουτροῖς. εἰρήσεται δὲ ἡ περὶ τὰ τοιαῦτα μέθοδος ἐν τῷ προσήκοντι χωρίῳ τῆς συγγραφῆς, ὁποῖοι οὗτοι μάλιστα δέονται τοῦ γάλακτος. ἀμελήσαντες δὲ πάντων, ἀνιατώτατοι γίνονται. περὶ δὲ φλεβοτομίας αὐτῶν, ὧδε χρὴ γινώσκειν. ὅσοι μὲν ἂν δόξωσιν ὀλίγον ἔχειν αἷμα καθ' ὃν εἴρηκα τρόπον, εἰς εὐχυμίαν τινὰ προσαγαγὼν αὐτούς, φλεβοτομῆσαί τε δυνήσῃ καὶ πάλιν ἀναθρέψαι. καὶ πάλιν καθᾶραι. καὶ αὖθις ἀναθρέψαι. καὶ αὖθις εἰ δέοιτο φλεβοτομῆσαι. καὶ μάλιστα ὅτοις ἐστὶν οἷον ἰλύς τις μοχθηρὰ καὶ παχεῖα τὸ σύμπαν αἷμα. τοὺς δ' ἰσχυρούς τε καὶ πολυαίμους, εὐθὺς ἐξ ἀρχῆς φλεβοτομεῖν. οὐδὲν ἂν εἶπον ὅτε νῦν, ὅτε πρόσθεν, ὧν ἂν ἢ αὐτὸς ἐξεῦρον, ἢ κατὰ τὴν Ἱπποκράτους ὁδὸν ἐχρησάμην, ἀβασάνιστόν ἐστιν οὐδ' ἄκριτον, ἀλλ' ὑπὸ τῆς πείρας ἅπαντα κέκριται. τὸν μὲν τῆς ἀποτυχίας κίνδυνον ὑμῶν ὑπομεινάντων, τὸν καρπὸν δὲ τῆς χρήσεως ἑξόντων ἁπάντων οἷς ἂν μέλλει τῶν ἔργων τῆς τέχνης. ἄλλοι μὲν γάρ εἰσιν οἱ ἀληθεῖς, ἄλλοι δὲ οἱ τῶν σοφιστῶν λόγοι. καὶ τί δεῖ λέγειν περὶ τῶν σοφιστῶν, ὅπου καὶ τῶν ἀξιολόγων ἰατρῶν ἔνιοι ὅλα γράψαντες βιβλία περὶ αἵματος ἀναγωγῆς, ἄλλα μέν τινα πολλὰ καὶ μικρὰ καλῶς διεξῆλθον, οὐδενὸς δὲ τῶν μεγίστων ἐμνημόνευσαν. οὐκ ἐννοοῦντες ὡς μὲν διὰ τὰ πολλὰ καὶ σμικρά, τὰ καλῶς παρ' αὐτῶν πεπληρωμένα, μακρὸς ὁ θάνατος αὐτοῖς τοῖς κάμνουσι γίνεται. διὰ δὲ τρία ταῦτα σώζονται

πάντες οἱ σωθῆναι δυνάμενοι. διὰ φλεβοτομίαν, καὶ κάθαρσιν, καὶ τὰ ῥωννῦντα τὴν κεφαλὴν φάρμακα. εἰρήσεται δὲ τελεώτερον ἐν τοῖς ἑξῆς περὶ φλεβοτομίας ὅταν ὑπὲρ τῆς τῶν χυμῶν θεραπείας διερχώμεθα. μὴ τοίνυν ὥσπερ ἔνιοι τῶν ἰατρῶν ἀπὸ τῶν μικρῶν ἄρχεσθαι βοηθημάτων. μηδ' ὅπερ ἐκεῖνοι λέγουσιν ἐννοεῖν ὡς ἀποπειρατέον ἐστὶ τούτων πρότερον, εἶτ' εἴπερ ἀνύει μηδὲν ἐπιτίθεσθαι τοῖς μείζοσιν. ἐπὶ μὲν γὰρ τῶν ἀκινδύνων παθῶν, ἀληθὴς ἡ τοιαύτη δόξα, κινδυνεύοντος δὲ πάντως τοῦ κάμνοντος ἐὰν εἰς ἀρχὴν καταστῇ φθόης, ἀλογώτατόν ἐστιν ἀπὸ τῶν μικροτέρων ἄρχεσθαι. τά τε γὰρ ἄλλα πάντα καλῶς ὑφ' Ἱπποκράτους εἴρηται. καὶ σὺν αὐτοῖς, ὁ ἀφορισμὸς ὅδε. εἰς δὲ τὰ ἔσχατα νοσήματα, αἱ ἔσχαται θεραπεῖαι εἰς ἀκριβείην κράτισαι.

* Τί ποτ' οὖν Ἐρασιστράτῳ δόξαν ἀργῶς τε καὶ ῥᾳθύμως ἐν ἀρχῇ τῶν τοιούτων παθῶν γιγνόμενος, ἐπιμελὴς αὖθις ἐστιν, ὅτε οὐδὲν ὄφελος. φλεβοτομίᾳ γὰρ οὐδ' ὅλως ἐπ' οὐδενὸς ἐφ' αἵματος ἀναγωγῇ χρῆται, λογισμῷ φαυλοτάτῳ πιστεύσας. ἐκάθηρέ τε οὐδένα, καθάπερ οὐδὲ τὴν κεφαλὴν ἐξήρανεν. ἅπερ εἴ τις ἐθέλοι τῶν κινδυνευόντων ἁλῶναι φθόῃ, κἂν τἆλλα πάντα διέλθοι καλῶς, οὐδὲν οἶμαι πλέον ἀνύσει. φλεβοτομίαν γὰρ παραιτεῖται, δεσμοῖς μόνοις χρώμενος ἐπὶ τῶν κώλων ὑπὲρ ἀντισπάσεως. ἵν' ὡς αὐτός φησιν εἰς τὸν τῆς φλεγμονῆς καιρὸν ἔχωμεν αὐταρκὲς αἷμα, καὶ μὴ διὰ τὴν ἔνδειαν αὐτοῦ τρέφειν ἀναγκαζώμεθα τὸν ἄρρωστον. ἀλλ' ὦ γενναιότατε, φαίη τις ἂν οἶμαι πρὸς αὐτὸν, ἐὰν φθάσῃ φλεγμήνας πνεύμων ἐπ' ἀγγείου ῥήξει, μηκέτι ἔλπιζε τοῦτον ἰαθήσεσθαι δι' οὓς ὀλίγον ἔμπροσθεν εἶπον λογισμούς. ὥστ' οὐδὲν ἔτι σοῦ χρήζει, προδοθεὶς ἐν ἀρχῇ. παραπλήσιον γάρ τι ποιεῖς κυβερνήτῃ δι' ἀμέλειαν περιτρέψαντι τὸ πλοῖον. εἶτ' ἐγχειρίζοντι σανίδας τῶν πλωτήρων τινὶ καὶ συμβουλεύοντι διὰ ταύτης πορίζεσθαι τὴν σωτηρίαν. ἀλλ' ἴσως Ἐρασίστρατος ἡγεῖτο τῶν ἐξ ἀνάγκης ἑπομένων τραύμασιν εἶναι τὴν φλεγμονὴν, ἀγνοεῖ δ' εἴπερ οὕτω γιγνώσκει μεγάλα. πάρεστι γοῦν θεάσασθαι τῷ βουλομένῳ μυρίους τῶν ὁσημέραι μονομαχούντων, ἄνευ φλεγμονῆς τραύματα μέγιστα κολληθέντας. ὥστε τῇ δευτέρᾳ ἢ τῇ τετάρτῃ τῶν ἡμερῶν ἐν ἀσφαλείᾳ ἁπάσῃ καθεστηκέναι. παμπόλλους δὲ καὶ ἡμεῖς ἐθεραπεύσαμεν ἀγγεῖον ἐν πνεύμονι ῥήξαντας ἐκ καταπτώσεως, ἢ ἐκπληγῆς, ἢ βοῆς, πρὶν φλεγμῆναι τὸ ῥαγέν. εἰ δὲ καὶ τοῦτον φύσει φλεγμῆναι τὸν πνεύμονα, τοῖς ἑαυτοῦ μάχεται δόγμασιν. ἅμα μὲν φλεγμαίνειν λέγων κύριον σπλάγχνον ἐγγυτάτω κείμενον καρδίας, ἅμα δ' ἀπύρετον φαίνεσθαι τὸν ἄνθρωπον. ἔτι τε λυθείσης τῆς φλεγμονῆς, μηδὲν ἀναπτυσθῆναι. ἀντακουσάτω τοιγαροῦν παρ' ἡμῶν ὡς οὔτε κολληθῆναι τὸ ἕλκος οἷόν τ' ἐστιν, ἐὰν ὁ πνεύμων φλεγμαίνῃ. καὶ πάντως πυρέξει, φλεγμήναντος. ἀναπτύσεται ἑξῆς σὺν βηχὶ πυώδη πτύσματα λυομένης τῆς φλεγμονῆς. ἐὰν τοίνυν μήτε πυρέξῃ, μήτε βήξῃ, μήτε ἀναπτύσῃ τι τῶν ἐφ' ἕλκει καὶ φλεγμονῇ ἰχώρων, τίνα νοῦν ἔχει φλεγμῆναι φάναι τοῦτον τὸν πνεύμονα. τοῦτό τε οὖν τὸ βοήθημα μέγιστον ὑπάρχον, οὐκ ὀρθῶς παρ' αὐτοῦ κατέγνωσται. τούτῳ τ' ἐφεξῆς ἡ κάθαρσις ἀμνημονεύεται, καὶ φάρμακον ἀγωνιστικὸν οὐδὲν εἴρηται τῷ ἀνδρὶ κατ' οὐδὲν γένος τῶν προειρημένων. ἀλλ' ἐάν τε κεφαλὴ πέμπει τὸ ῥεῦμα, φυλαχθήσεται πέμπουσα. ἐάν τε διὰ δυσκρασίαν αὐτῶν τῶν ἀναπνευστικῶν γίνηται ἡ βήξ, καὶ αὐτὴ φυλαχθήσεται. παραπλήσιος γοῦν ἐστιν ὁ Ἐρασίστρατος ἀγαλματοποιῷ. τὰ μὲν ἄλλα πάντα κοσμήσαντι, τυφλὸν δ' ἐργασαμένῳ τὸ ἄγαλμα. τί γὰρ ὄφελος τοῦ λοιποῦ κάλλους, ὀφθαλμῶν μὴ παρόντων. εἶτα τῶν τηλικούτων ἀνδρῶν μέγιστα σφαλλομένων, ὁ θαυμασιώτατος Θεσσαλὸς οὐδ' ἐννοήσας τὴν τέχνην, ἀξιώσει μεθοδικὸς ὀνομάζεσθαι. καὶ νῦν ὁρῶμεν σχεδὸν ἅπαντας τοὺς ἀπ' αὐτοῦ φλεβοτομοῦντας, ἄλλους τε πολλοὺς τῶν καμνόντων. οἷς οὐχ ὅπως ὠφέλιμον, ἀλλὰ καὶ βλαβερὸν ἐχρῆν ὑπολῆφθαι τὸ βοήθημα. φυλαττόντων γε αὐτῶν τὰς οἰκείας ὑποθέσεις. οὐχ ἥκιστα δὲ καὶ τοὺς αἷμα πτύσαντας. εἴτε σὺν ἐμέτοις εἴτε σὺν βηξὶν ὅταν ὦσιν ἰσχυροὶ τὴν δύναμιν. εἶτα πῶς ἀλλήλοις ὁμολογεῖ ταῦτα, τὸ φλεβοτομεῖν τινὰ τῶν αἷμα πτυσάντων, αὐτοὺς ἐν τοῖς ἰδίοις συγγράμμασι γράφοντας τοῖς στεγνοῖς πάθεσιν ἐπιτήδειον εἶναι τὸ βοήθημα. μὴ τοίνυν ἔτι μηδὲ μεθοδικοὺς ἑαυτοὺς ὀνομαζέτωσαν, ἀλλ' ἐμπειρικοὺς οἱ προδόντες τὸν λόγον ὃν ἐνόμιζον ὑπάρχειν ὑγιῆ, τῇ πείρᾳ χρῶνται πρὸς τὴν τῶν βοηθημάτων εὕρεσιν. ἀφ' ὧν ἐν τούτοις μὲν ἐναργῶς ἐξελέγχονται μηδὲν, μήτε μεθόδῳ, μήθ' ὅλως λόγῳ τινὶ πράττοντες. ἐν οἷς δὲ τὰ μέρη φασὶν ὑπάρχειν ἀργὰ πρὸς τὴν τῆς θεραπείας εὕρεσιν, οὐ πολὺ μᾶλλον. καὶ μὴν εἴ τις ἀναμνησθείη τῶν εἰρημένων ἡμῖν ἐπὶ ὤτων, καὶ μυκτήρων, καὶ ὀφθαλμῶν, καὶ στόματος, καὶ θώρακος, καὶ πνεύμονος. ἔτι τε μήτρας, καὶ κύστεως, καὶ τῶν περὶ τὴν γαστέρα, τοῦ παντὸς ἁμαρτάνοντες φανοῦνται. τοιοῦτος γοῦν καὶ ὁ τῷ μακεδονικῷ φαρμάκῳ χρώμενος ἐπ' αἰδοίου φλεγμαίνοντος ἅμα τῷ χαλαστικῷ καταπλάσματι, τῷ συνήθει τούτῳ τῷ δι' ἄρτου καὶ ὑδρελαίου σκευαζομένῳ. καί τις ἄλλος αὐτῷ παραπλήσιος, ἐφ' ἕδρας ἡλκωμένης τοῖς αὐτοῖς χρώμενος. ἀλλ' ἐν τοῖς περὶ τῶν φλεγμονῶν λόγοις, ὑπὲρ τῶν τοιούτων ἐροῦμεν. ἕλκη δὲ χωρὶς φλεγμονῆς ἐν αἰδοίῳ καὶ ἕδρᾳ, καταπλάσματος μὲν οὐδενὸς δεῖται, φαρμάκου δ' ἐπουλοῦντος. οὐ μὰ Δία τοιούτου τὴν φύσιν, οἷον εἰς οὐλὴν ἄγει τὰ περὶ τὰς σάρκας ἕλκη, ἀλλ' εἰς τοσοῦτον ξηροτέρου τὴν δύναμιν, εἰς ὅσον ἐστὶ καὶ τὰ μόρια ξηρότερα σαρκός. καὶ τό γε θαυμασιώτερον αὐτῶν τῶν ἐν αἰδοίῳ συνισταμένων ἑλκῶν, ἐπεὶ μᾶλλον δεῖται ξηραίνεσθαι, τά τε τοῦ καυλοῦ σύμπαντος, ὅσα τε ἐκτὸς αὐτοῦ περὶ τὸ πέρας ἐστὶν, ὃ προσαγορεύουσι βάλανον. ἧττον δὲ τούτων χρῄζει ξηραινόντων φαρμάκων, ὅσα τῆς ποσθῆς ἐστιν ἕλκη. κἀκ τούτων ἔθ' ἧττον ὅσα κατὰ τοῦ λοιποῦ δέρματος ὃ περὶ σύμπαν ἐστὶ τὸ αἰδοῖον. ὑγρὸν οὖν ποθ' ἕλκος ἐπὶ τῆς βαλάνου τῶν ἀμεθόδων ἰατρῶν τις, καὶ τούτων δὴ τῶν Θεσσαλείων, μὴ δυνάμενος ἰάσασθαι τούτοις τοῖς ἐπουλωτικοῖς ὀνομαζομένοις φαρμάκοις, εἰς συμβουλὴν ἡμᾶς παρεκάλεσεν. ἀκούσας οὖν ὅτι πολὺ ξηροτέρου δεῖται φαρμάκου τὸ μόριον τοῦτο, παρ' ὅσον ἐστὶ καὶ φύσει ξηρότερον, ἠπίστει μὲν τὸ πρῶτον. ὡς δ' ὑπ' ἀνάγκης εἰς τὸ χρήσασθαί τινι τῶν ἡμετέρων ἀφίκετο, τρισὶ μὲν ἡμέραις ὑγιάσθη τὸ ἕλκος. εὔδηλος δὲ ἦν ὁ ἰατρὸς οὐ τοσοῦτον χαίρων ἐπὶ τῷ θεραπεῦσαι τὸν ἄνθρωπον, ὅσον ἀνιώμενος ἐπὶ τῷ πονηρᾷ συντετράφθαι δογμάτων αἱρέσει. τὸ γάρ τοι διὰ χάρτου κεκαυμένου, τοῦτο δὴ τὸ σύνηθες ἡμῖν, ἰᾶται τὰ τοιαῦτα τῶν ἑλκῶν. ὥσπερ γε καὶ ἄνηθον κεκαυμένον ὁμοίως ἐπιπαττόμενον. καὶ κολοκύνθη δὲ ξηρὰ κεκαυμένη κατὰ τὸν αὐτὸν τρόπον. ἄλλα τε πολλὰ τῶν ὄντως ἰσχυρῶς ξηραινόντων φαρμάκων. ὅσα δ' ἀνίκμα τῶν τοιούτων

ἑλκῶν

ἑλκῶν ἐστὶ καὶ πρόσφατα, τούτοις καὶ ἡ ἀλόη μόνη φάρμακον ἀγαθόν. ἐπιπάττεται δὲ χνοώδης ξηρά. αὕτη δὲ καὶ τὰ περὶ τὴν ἕδραν ἕλκη τὰ ξηρὰ θεραπεύει καλῶς. ὁμοιοτάτην δ' αὐτῇ δύναμιν ἔχει καὶ καδμία διὰ οἴνου πεπλυμένη ξηρά. καὶ ταύτης ἐγγύς ἐστιν ἡ καλουμένη λιθάργυρος. εἶθ' ἑξῆς ἡ μολύβδαινα. πάντων δ' αὐτῶν ἀνωδυνώτατόν τε καὶ οὐδενὸς ἧττον δραστήριον ὁ πομφόλυξ ἐστίν. εἰ δ' ὑγρότερα τύχοι, πίτυός τε φλοιὸς αὐτὸς καθ' ἑαυτόν, ὅ, τε λίθος ὁ αἱματίτης ὀνομαζόμενος. εἰ δὲ καὶ βάθος αὐτοῖς συνείη τι, μετὰ τὸ ξηρᾶναι τῶν εἰρημένων τινὶ μάννης αὐτοῖς, τοσοῦτον μικτέον, ὅσον αὐταρκὲς εἰς γένεσιν σαρκός. τούτων τε οὖν οὐδὲν οὐδὲ ὄναρ ἴσασιν, οἱ ἀπὸ τῆς ἀμεθοδωτάτης αἱρέσεως ἅπαν ἕλκος ἡγούμενοι τῆς αὐτῆς δεῖσθαι θεραπείας, ἐν ᾧπερ ἂν ᾖ τοῦ ζώου μορίῳ. καὶ πρὸς τούτοις ἔτι μηδ' ὅπως χρὴ ῥάπτειν αὐτῶν ἔνια. καθάπερ, εἰ τύχοι, τὰ κατ' ἐπιγάστριον. ὑπὲρ ὧν ἐν τῷ μετὰ ταῦτα λόγῳ λεχθήσεται σὺν τοῖς ὑπολοίποις ἅπασι.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΟΙδ' ὅτι μηκύνειν δόξω τισὶν ἓν γένος ἐπὶ νοσήματος ἐξηγούμενος, ὅπως χρὴ θεραπεύεσθαι μεθόδῳ. προσήκει δ' αὐτοὺς οὐκ ἐμοὶ τοῦ μήκους ἐγκαλεῖν, ἀλλὰ τοῖς ἃ μηδ' ὅλως ἔγνωσαν ὑφ' Ἱπποκράτους ὀρθῶς εἰρημένα, διαβάλλειν ἐπιχειρήσασιν. οὓς οὐδ' ἕλκος ἰᾶσθαι καλῶς ἐπισταμένους ἔδειξα, μή τοι γε δὴ τῶν ἄλλων τι τῶν μειζόνων. αὐτὸ μὲν οὖν τὸ γένος τοῦ πάθους, οὗ τῶν εἰδῶν ἕν ἐστι τὸ ἕλκος, εἴτε συνεχείας λύσιν, εἴθ' ἑνώσεως ὀνομάζοι τις, οὐ διοίσει. δέδεικται δ' ὅτι καθ' ἕκαστον μέλος τοῦ σώματος, ἡ μέθοδος τῆς θεραπείας αὐτοῦ, τὰς μὲν ἐξ αὐτοῦ τοῦ πάθους ἐνδείξεις, φυλάττει κοινάς, ὑπαλλάττει δὲ κατὰ τὸ μέρος, ἄλλοτε ἄλλας. ἐν μὲν γὰρ τοῖς σαρκώδεσι μορίοις ἐπιγιγνόμενον, ὀνομάζεται μὲν ἕλκος, ἔχει δὲ τὸν μὲν κοινὸν σκοπόν, ἁπάντων τῶν παρὰ φύσιν, ἀναίρεσιν ἑαυτοῦ, τὸν δ' ὡς διαθέσεως, τὸν διὰ τῶν ἐναντίων. τὸν δ' ὡς διαιρέσεως, ἕνωσιν. ἡ γάρ τοι τοῦ νοσήματος τοῦδε γένεσις, ἐν τῇ διαιρέσει τῆς ἑνώσεως ἐστί. καὶ διὰ τοῦτο, κατὰ μὲν τὸ ὀστοῦν, ὀνομάζεται κάταγμα. κατὰ δὲ τὰς νευρώδεις ἶνας, σπάσμα. κατὰ δὲ τοὺς μῦς, ἕλκος τε καὶ ῥῆγμα. προσέρχεται δ' αὐτοῦ ἡ διαφορά. νεύρῳ μέντοι καὶ ἀρτηρίᾳ καὶ φλεβὶ ταὐτὸν τοῦτο τὸ πάθος ἐγγινόμενον, οὐδὲν ἴδιον ὄνομα κέκτηται. συγχεῖται δ' ἐνίοτε μὲν τῇ τοῦ ἕλκους, ἔστι δ' ὅτε τῇ τοῦ τραύματος ἢ ῥήξεως προσηγορίᾳ. ἀλλ' ὅτι βραχύ τι χρὴ φροντίζειν ὀνομάτων, ὅτῳ περ σπουδὴ τῶν πραγμάτων αὐτῶν ἐξευρίσκειν τὴν ἐπιστήμην, εἴρηταί μοι πολλάκις. ἐπὶ ταύτην οὖν σπεύδωμεν ἀμελήσαντες τῶν ὀνομάτων. οὐδὲ γὰρ ἐκ τῆς τούτων ἀκριβοῦς θέσεως, ἀλλ' ἐκ τῶν προσηκόντων ἰαμάτων, οἱ κάμνοντες ὀνίνανται. πάλιν οὖν ἀναμνηστέον, ὡς ὁ τολμηρότατος Θεσσαλὸς οὐδὲ μίαν εἰπὼν μέθοδον ἑλκῶν ἰάσεως, οἴεται πάσας εἰρηκέναι. τὸ γάρ, εἰ οὕτως ἔτυχε, τὸ μὲν κοῖλον ἕλκος δεῖσθαι σαρκώσεως, τὸ δ' ἁπλοῦν κολλήσεως, οὐδὲ τοὺς ἰδιώτας λανθάνει, πῶς δ' ἄν τις εὕροι μεθόδῳ φάρμακα δι' ὧν ἤτοι σαρκωθήσεται τὸ κοῖλον, ἢ κολληθήσεται τὸ ἁπλοῦν ἕλκος, οὐκέτι οὐδεὶς ἰδιώτης ἐπίσταται. καὶ τοῦτ' ἐστὶν ὃ πρόκειται σκοπεῖσθαι τοῖς ἰατροῖς. κᾀν τούτῳ βελτίων ἐστὶν ἕτερος ἑτέρου. καὶ γὰρ εὑρήσει φάρμακα, καὶ τοῖς εὑρημένοις ὀρθῶς χρήσεται, καθάπερ ἐδείκνυμεν ἐν τοῖς ἔμπροσθεν, ὁ γεγυμνασμένος ἐν τῇ θεραπευτικῇ μεθόδῳ. ἵνα γὰρ ἤδη τινὸς ἐχώμεθα τῶν ἀκολούθων τοῖς ἔμπροσθεν, ὑποκείσθω τις ἥκων πρὸς ἡμᾶς νενυγμένος αὐτὸ μόνον τὸ δέρμα βελόνῃ, τοῦτον τὸν ἄνθρωπον, εἰ μὲν εὐελκὴς εἴη, κᾂν χωρὶς φαρμάκου γυμνὸν ἔχοντα τὸ μέλος, ἐπὶ τὰς συνήθεις ἀπολύσεις πράξεις, οὐδὲν πείσεται φαῦλον. εἰ δὲ δυσελκὴς εἴη, πρῶτα μὲν ὀδυνήσεται, μετὰ ταῦτα δ' ἤδη καὶ σφύξει, καὶ φλεγμαίνει τὸ μέρος. ὁ μὲν οὖν ἐμπειρικός, ἐξ ἀνακρίσεως εἴσεται τὴν φύσιν τοῦ ἀνθρώπου. ἡμεῖς δὲ κᾂν ταύτης μὲν ἅπασί γε χρώμενοι τοῖς ἐκ τῆς πείρας εὑρισκομένοις, οὐδὲν δὲ ἧττον καὶ ἐξ ὧν ἔχομεν γνωρισμάτων εὐχύμου καὶ κακοχύμου φύσεως. εὐαισθήτου τε καὶ δυσαισθήτου. πληθωρικῆς τε καὶ συμμέτρως ἐχούσης χυμῶν. εὖ εἰδότες ὡς ὁ μὲν πληθωρικός, ἢ κακόχυμος, ἢ εὐαίσθητος, ἤ τινα τούτων, ἢ πάντα ἔχων, φλεγμαίνει. ὅτῳ δ' ὑπάρχει τἀναντία, δεινὸν οὐδὲν πείσεται. καὶ ταῦτα προγνῶντες, οὐ μὰ Δία τὸ κολλητικὸν ἐπιθήσομεν φάρμακον, ὁποῖα τὰ πλεῖστα τῶν καλουμένων ἐναίμων ἐστίν, ἃ προσφάτοις ἐπιτίθενται τραύμασιν, ἀλλὰ μαλακόν τε καὶ παρηγορικὸν καὶ ἀνώδυνον. ἔνθα μὲν γὰρ ἡ διαίρεσις ἡ μεγάλη, σπουδὴν χρὴ ποιεῖσθαι ξηραντικωτέροις φαρμάκοις, εἰς συμφυσίν τε καὶ ἕνωσιν ἄγειν τὰ χείλη τοῦ ἕλκους. ἔνθα δ' ἐκ βελόνης ἢ γραφίου διαίρεσις, ἑνὸς μόνου χρή, φροντίζειν τοῦ μὴ φλεγμῆναι. κᾂν τοῦτο δὲ δῆλον ὡς ὁ γεγραμμένος ὑπὸ Θεσσαλοῦ σκοπὸς τῶν ἐναίμων ἑλκῶν, οὐδὲν ἡμᾶς οὐδέπω διδάσκει πλέον, οὗ καὶ τοῖς ἰδιώταις μέτεστιν. οὐ γὰρ ὃ χρὴ ποιεῖσθαι γιγνώσκειν μέγα, φύσει γε ὑπάρχον ἅπασιν ἀνθρώποις, δι' ὧν δ' ἄν τις αὐτὸ ποιήσειεν ἐπίστασθαι, τῶν τεχνικῶν ἐστι. καὶ γὰρ εἰ ναῦν τις μέλλει πήξεσθαι καλῶς, ἴσμεν δή που καὶ ἡμεῖς ἅπαντες οὐκ ὄντες ναυπηγοί, ποῦ μὲν χρὴ τάξαι τὰ πηδάλια, ποῦ δὲ τὴν πρύμναν, καὶ τὴν πρῶραν, ἕκαστόν τε τῶν ἄλλων. ἀλλ' οὐδὲν ἡμῖν πλέον πρόσεστιν, ἀγνοοῦσι πῶς αὐτὰ δημιουργήσομεν. οὕτω δὲ καὶ οἰκίαν κατασκευαζόμενός τις, οὐκ ἀγνοεῖ δήπουθεν, οὔθ' ὡς πρῶτα χρὴ θέσθαι τὰ θεμέλια τῶν τοίχων, οὔθ' ὡς ἐπ' αὐτοῖς καὶ ἀκλινεῖς ἐγεῖραι τοὺς τοίχους, οὔθ' ὡς κατὰ τούτων πήξασθαι τὴν ὀροφήν, οὔθ' ὡς θύρας τε καὶ θυρίδας, ἕκαστόν τε τῶν ἄλλων μερῶν τῆς οἰκίας, ἐν οἰκείῳ τάξαι χωρίῳ. ἀλλ' οὐδ' ἐν τούτῳ πλέον οὐδὲν εἰς οἰκίας κατασκευὴν ἄχρι περ ἂν ἀμαθὴς ὑπάρχων οἰκοδομικῆς, ἀγνοεῖ δημιουργεῖν αὐτά. μόνῳ τοίνυν τῶν ἁπάντων ἀνθρώπων σοφωτάτῳ ἀρκεῖ Θεσσαλῷ πρὸς ἐπιστήμην τεχνικήν, ὃ χρὴ ποιῆσαι γινώσκειν. ἀλλ' ἡμεῖς καὶ διὰ τῶν ἔμπροσθεν ἐδείξαμεν, ὡς ἀρχὴ μέν τίς ἐστι τοῦτο τῶν κατὰ τὰς τέχνας πράξεων, οὔπω μὴν ἴδιον οὐδὲν αὐτῶν μόριον. ἀλλ' ἔτι κοινὸν ἰδιώταις ἅπασιν. αἱ γὰρ ἐνδείξεις αἱ πρῶται κατὰ πᾶσαν τέχνην, φύσει πᾶσιν ἀνθρώποις ὑπάρχουσιν.

ὥστε εἴπερ εἰσὶν ἱκαναὶ τεχνίτας αὐτοὺς ποιεῖν, οὐδὲν κωλύει καὶ ναυπηγεῖν ἡμᾶς, καὶ τεκταίνεσθαι, καὶ δύνασθαι πάντας ὑποδήματά τε κατασκευάζειν, καὶ ἱμάτια, καὶ οἰκίας, ἀρχιτεκτονεῖν τε καὶ κιθαρίζειν, καὶ ῥητορεύειν. ἀλλ᾽ οὐχ οὕτως ἔχει τὸ ἀληθές. οὐδ᾽ ὁ γινώσκων ὅτι τῷ τρωθέντι μορίῳ τὴν κατὰ φύσιν ἕνωσιν ἐκποριστέον ἰατρός ἐστιν, ἀλλ᾽ ὁ δι᾽ ὧν ἐκποριασθήσεται. καί τοι γε οὐδὲ τοῦτο γ᾽ αὐτὸ μόνον ἱκανόν, ἐὰν ἀγνοῇ τις ὅπως χρηστέον αὐτοῖς ἐστίν, ἀλλ᾽ ὁ τὴν ὁδὸν ἅπασαν ἐπιστάμενος τῆς θεραπείας ἄχρι τοῦ τυχεῖν τοῦ σκοποῦ, μόνος οὗτός ἐστιν ὁ γινώσκων ἰᾶσθαι. συμβαίνει τοιγαροῦν γε τοῖς ἀμεθόδοις Θεσσαλείοις ἐξ ὧν μείζω τολμῶσιν ἢ δύνανται, μὴ δὲ τῶν δυνατῶν ἐφικνεῖσθαι. γραφείῳ γοῦν τινὸς ἔναγχος εἰς τὴν χεῖρα πληγέντος, ὡς διαιρεθῆναι μὲν ὅλον τὸ δέρμα, νυχθῆναι δέ τι τῶν ὑποκειμένων αὐτῷ νεύρων, ἐν ἀρχῇ μὲν ἐπέθηκεν ἔμπλαστόν τι φάρμακον ὁ σοφώτατος Θεσσάλειος, ᾧ πολλάκις ἐπὶ μεγίστων τραυμάτων εὐδοκίμει χρώμενος. ὅπερ γάρ οἶμαι τῆς αὐτῆς δεῖσθαι θεραπείας ἅπαν τραῦμα. φλεγμονῆς δὲ ἐπιγινομένης, ἐπὶ τὸ δι᾽ ἀλεύρου πυρίνου κατάπλασμα μεταβάς, ἐν τούτῳ τε σήπων τὸν ἄνθρωπον, ἀπέκτεινεν ἐντὸς τῆς ἑβδόμης ἡμέρας. οὐδ᾽ ἀριθμήσασθαι δυνατὸν ὅσοι παθόντες ἀπέθανον, εἰς τὰς παιωνείας χεῖρας ἐμπεσόντες αὐτῶν. ἵνα δηλαδὴ σώζηται τὸ Θεσσάλειον θέσπισμα, πᾶν ἕλκος ἔναιμον ὁμοίως θεραπευθῆναι, μηδὲν τῶν πεπονθότων μορίων συνενδεικνυμένων. ἀλλ᾽ οὐχ ἥγε ὄντως μέθοδος εἰς τοσοῦτον ἀμέθοδός ἐστιν εἰς ὅσον ἡ Θεσσάλειος. εὑρίσκειν δὲ δύναται καὶ νῦν ἔτι μετὰ τοσούτους τε καὶ τηλικούτους ἰατρούς, οὐ μόνον φάρμακα βελτίω τῶν ἔμπροσθεν, ἀλλὰ καὶ τὸν σύμπαντα τῆς θεραπείας τρόπον. οὐδεὶς γοῦν χρώμενος εὐθὺς ἐξ ἀρχῆς οἷς ἡμεῖς εὕρομεν φαρμάκοις, ἐπὶ νεύρων τρώσεσιν ἐπάθη. Κατενόησα γὰρ ὡς ἐπειδὰν νυγῇ νεῦρον, ἀναγκαῖον αὐτῷ διὰ περιττὸν τῆς αἰσθήσεως, ὀδυνᾶσθαί τε μᾶλλον ἢ τἄλλα, καὶ φλεγμαίνειν ἐξ ἀνάγκης, εἰ μή τις ἐξεύροι ἄκος τῶν ὀδυνῶν, ἐπίσχοι τε τὴν γένεσιν τῆς φλεγμονῆς. εὔλογον οὖν ἐφαίνετό μοι τὴν μὲν τοῦ δέρματος τρῶσιν, ἀκόλλητον φυλάττειν, ὅπως ἐκρέοιεν δι᾽ αὐτῆς οἱ ἐκ τῆς τοῦ νεύρου τρώσεως ἰχῶρες, ἀπέριττον δ᾽ ἐργάζεσθαι τὸ σύμπαν σῶμα. καὶ τοῦ μὴ δὲ μίαν ὀδύνην ἐπιγίνεσθαι τῷ τετρωμένῳ μορίῳ, μεγάλην ποιεῖσθαι φροντίδα. καὶ τοίνυν ἐξεῦρον οὐκ ὀλίγα φάρμακα κατὰ τοῦ τραύματος ἐπιτιθέμενα, πρὸς ἄμφω θαυμαστῶς παρεσκευασμένα. τό, τε τὴν ὀδύνην ἰᾶσθαι, καὶ τὴν ἐκροὴν ἀναστομοῦν τοῖς ἰχῶρσιν. ἀσφαλέστερον δ᾽ ἂν εἴη καὶ προσανατέμνειν τὸ δέρμα. τὸ δ᾽ ὅλον σῶμα διὰ φλεβοτομίας ἐκκενοῦν, ἐρρωμένης τῆς δυνάμεως. εἰ δ᾽ εἴη κακόχυμον, ἐκκαθαίρειν αὐτίκα. τὸ δὲ τὰς ἄλλας φλεγμονὰς ἱκανῶς παραμυθούμενον, ὕδωρ θερμόν, πολεμιώτατον ἡγεῖσθαι νεύρου τρώσει. γεγενημένης τε τῆς οὐσίας αὐτοῦ, κατὰ ψύξιν τε καὶ πῆξιν ἐξ ὑγροτέρας ὕλης. ἅπασαι γὰρ αἱ τοιαῦται συστάσεις, ὑπὸ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων ἅμα, διαλύονταί τε καὶ σήπονται. τοῦ μὲν οὖν ὕδατος τοῦ θερμοῦ, παντάπασιν ἀπέχου τοὺς οὕτω τρωθέντας. ἐλαίῳ δὲ καταιονᾶν, ἄμεινον εἶναι κρίνας θερμῷ. διότι καὶ τοῦτο ἀποδέδεικταί μοι ψυχρὸν μὲν προσφερόμενον, ἐμπλάττειν. θερμὸν δέ, διαφορεῖν. ἔφυγον μὲν οὖν καὶ τοῦτο τό, τε ὠμοτριβὲς ὀνομαζόμενον, καὶ ὅλως τὸ στῦφον. εἱλόμην δὲ τὸ λεπτομερέστατον, οἷόν περ ἐστὶ τὸ σαβῖνον. ἄμεινον δὲ εἴη εἰ καὶ δυοῖν ἢ τριῶν ἐτῶν εἴη. διαφορητικώτερον γὰρ τοῦτο τοῦ προσφάτου. τὸ δ᾽ ἔτι παλαιότερον, ἀεὶ μὲν καὶ μᾶλλον ἑαυτοῦ γίνεται διαφορητικώτερον, ἀνώδυνον δὲ ἧττον. ἐν δὲ τοῖς φαρμάκοις ἐθέμην σκοπόν, ὧν ἡ δύναμις λεπτομερής τε ἐστί, καὶ θερμὴ συμμέτρως, καὶ ξηραίνειν ἀλύπως ἱκανή. μόνη γὰρ αὕτη δύναιτ᾽ ἂν ἐκ βάθους ἕλκειν ἰχῶρας ἄνευ τοῦ συντείνειν καὶ δάκνειν τὸ μόριον. Ἐχρησάμην δὲ πρῶτον μὲν τῇ τερμινθίνῃ ῥητίνῃ, καθ᾽ ἑαυτήν τε καὶ βραχὺ προσμίξας εὐφορβίου. καθ᾽ ἑαυτὴν μὲν ἐπί τε παίδων καὶ γυναικῶν, καὶ ὅλως τῶν ἁπαλοσάρκων. σὺν εὐφορβίῳ δέ, ἐπὶ τῶν σκληροσάρκων. οὕτω καὶ πρόπολιν καθ᾽ ἑαυτήν τε καὶ σὺν εὐφορβίῳ μαλάττων αὐτήν. εἴπερ δ᾽ εἴη σκληροτέρα, σύν τινι τῶν λεπτομερῶν ἐλαίων. καὶ σαγαπηνῷ δὲ ἐχρησάμην κατὰ τὰ σκληρὰ σώματα μετ᾽ ἐλαίου τε καὶ τῇ τερεβινθίνῃ μιγνύς. καὶ ὀποπάνακί τε κατὰ τὸν αὐτὸν τρόπον, ὡς καὶ τῷ σαγαπηνῷ. δοκεῖ δέ μοι καὶ ὁ κυρηναῖος ὀπὸς ὀνήσειν, εἴ τις δι᾽ αὐτοῦ σκευάσοι φάρμακον ἔμπλαστον ὁποῖον ἡμεῖς τὸ δι᾽ εὐφορβίου συνεθήκαμεν, ἀλλ᾽ οὐδέπω τοῦθ᾽ ἡμῖν ἐκρίθη τῇ πείρᾳ καθάπερ τὰ ἄλλα σύμπαντα. χρὴ γὰρ ἡγεῖσθαι μὲν τὴν ἐκ τῆς ἀληθινῆς μεθόδου τῶν ἰαμάτων εὕρεσιν, ἐπιμαρτυρεῖν δ᾽ αὐτῇ καὶ τὴν πεῖραν εἰς ἀκριβεστέραν πίστιν. ἀπὸ γοῦν τῆς τοιαύτης μεθόδου, καὶ τὸ θεῖον τὸ ἄπυρον, ὅταν γε μή, λιθῶδες ἀλλ᾽ ἱκανῶς ὑπάρχῃ λεπτομερές, ἠλπίσαμεν ὀνήσειν τοὺς τὰ νεῦρα τρωθέντας εἰς τοσοῦτον ἐλαίῳ λεπτομερεῖ μιγνύντες, ὡς ἐργάσασθαι γλοιῶδες τὸ μικτὸν ἐξ ἀμφοῖν. ἐπὶ δὲ τῶν ἰσχυροτέρων τε καὶ σκληροτέρων σωμάτων, εἰ καὶ μελιτῶδες ἐργάσαιο τῇ συστάσει, καὶ οὕτως ὀνήσεις. ἐκρίθη γοῦν καὶ τοῦτο τῇ πείρᾳ. καὶ τὴν πεπλυμένην δὲ τίτανον ἐπενοήσαμεν, ὁμοίως μιγνύντες ἐλαίῳ, προσφέρειν αὐτοῖς. καὶ μᾶλλόν γε ὀνίνησιν ἐπειδὰν θαλάττῃ πλυθῇ. κάλλιστη δὲ ἡ πλύσις, ὥρα θέρους ἐν τοῖς ὑπὸ κύνα καύμασιν. εἰ δὲ καὶ δὶς αὐτὴν ἢ τρὶς ἐκπλύναις, ἄμεινον ἐργάσῃ τὸ φάρμακον. ὅπως δὲ χρὴ σκευάζειν τὰ τοιαῦτα, διὰ τῶν περὶ φαρμάκων συνθέσεως ὑπομνημάτων εἴρηται. νυνὶ δὲ ἀρκέσει μοι λεχθῆναι τοσοῦτον, ὡς καὶ ταῦτα καὶ τἄλλα πλείω φάρμακα πρὸς νεύρων τρώσεις ἐξεῦρον, οὔτε τῶν διδασκάλων τινὰ θεασάμενος χρώμενον, οὔτε ἀναγνοὺς που γεγραμμένα κατά τι θεραπευτικὸν σύγγραμμα τῶν πρεσβυτέρων. ἢ τούτων δή τι τῶν ἐπιγεγραμμένων αὐτοῖς δυνάμεων ἐξ ἰδίας σοφίας, ἀλλ᾽ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως ἐνδεικτικῶς ὁρμηθείς. ὅπερ ἐστὶν ἴδιον ἰατροῦ μεθόδῳ χρωμένου. Θεσσαλὸς δὲ ὁ θαυμασιώτατος οὐδὲν φάρμακον εὑρών, ἐγνῶσθαί φησι τὴν ὕλην αὐτῶν ἐκ πολλοῦ. καὶ μὴν οὐκ ἐγνῶσθαί τι παμπόλλων φαρμάκων ὧν ἡμεῖς εὑρήκαμεν, οὐ μόνον Θεσσαλῷ καὶ τοῖς πρὸ αὐτοῦ πᾶσιν ἰατροῖς, ἀλλ᾽ οὐδὲ τοῖς μετ᾽ αὐτὸν ἄχρι δεῦρο. ὑπαχθεὶς γοῦν ἐγὼ πρός τινα ποτὲ τῶν σηπομένων ὑπὸ Θεσσαλείων ἰατρῶν ἀμεθόδων, καὶ θεασάμενος αὐτὸν μέλλοντα καταπλάττεσθαι τῷ δι᾽ ἀλεύρου πυρίνου καταπλάσματι, μηδὲν ἐν τῷ παραχρῆμα φάρμακον ἔχων, ἢ τετρακονίαν στακτήν, ἑωρακὼς ἐκ γειτόνων τοῦ κάμνοντος, πηλοποιόν, ἑψήσας δὲ δι᾽ αὐτῆς ἄλευρον κρίθινον, οὐχ ὡς ἐκεῖνοι δι᾽ ὑδρελαίου τὸ πύρινον ἕψουσιν, ἐπέθηκα. καὶ αὖθις ὀρόβινον ἄλευρον ὁμοίως ἑψήσας, ἐπὶ

φλεγμα-

φλεγμαίνοντός τε καὶ σηπομένου τοῦ νεύρου, διὰ τὰς κακὰς αὐτῶν θεραπείας ἐπιθείς, ἔπαυσα ταύτης τῆς σκεδόνος τὸν ἄνθρωπον. ἀλλὰ περὶ μὲν τῶν φλεγμαινόντων καὶ σηπομένων, ἕτερος μὲν λόγος ἐκδέχεται μακρὸς, ἐν ἰδίῳ καιρῷ τῆς πραγματείας. τῆς δὲ τοῦ νεύρου τρώσεως, ἀρκεῖ τὰ εἰρημένα φάρμακα. καὶ πάμπολλοί γε τῶν εὑρημένων ἡμῖν ἐνί χρῶνται μάλιστα τῷ διὰ εὐφορβίου καὶ κηροῦ καὶ φρυκτῆς ῥητίνης ἐμπλαστῷ φαρμάκῳ. εἶτα οὐκ οἶδ' ὅπως ἔνιοι μὲν ἔμιξαν αὐτῷ σινώπιδος, ἔνιοι δ' ὤχρας, ὑπὲρ τοῦ χρωσθὲν ἐκ τίνων σύγκειται λανθάνειν. ἵνα μὴ δοκῇ εἶναι τὸ ἐμὸν, φθονοῦντες. οὐ μὴν ὑπ' ἐμοῦ γε ἐξ ἀρχῆς οὕτως συνετέθη. τινὲς δ' ἂν ἴσως αὐτῷ μίξειαν ἁλὸς ἄνθος, ἤ τι τοιοῦτον ἕτερον, ὃ καὶ τὴν χροιὰν ὑπαλλάξει, καὶ τὴν δύναμιν οὐ βλάψει. δύναιτο δ' ἄν τις ὑπ' ἀγνοίας μῖξαι τι καὶ τοιοῦτον, ὅπερ βλάψει τὴν δύναμιν.

Ἀλλ' ἡμεῖς γε συνεθήκαμεν αὐτὸ διὰ κηροῦ, καὶ ῥητίνης τερμινθίνης, καὶ πίττης, καὶ εὐφορβίου. τοῦ μὲν κηροῦ, βάλλοντες μέρος ἕν. τῆς τερμινθίνης δὲ καὶ τῆς πίττης ἑκατέρας, ἥμισυ. ὥστε τὸ ἐξ ἀμφοῖν ἴσον εἶναι τῷ κηρῷ. δύναιτο δ' ἄν ποτε καὶ πλέον γίγνεσθαι τὸ ἐξ ἀμφοῖν τοῦ κηροῦ. δύναιτο δ' ἂν καὶ τὸ ἕτερον αὐτῶν μόνον, μίγνυσθαι τῷ κηρῷ. καὶ μέντοι καὶ μὴ παρούσης τερμινθίνης, ἥ τε ἐκ τῶν κεραμίων ὑγρὰ, καὶ ἡ φρυκτὴ καλῶς ἂν μιχθεῖεν. οὐδὲν δὲ ἧττον αὐτῶν καὶ ἐλατίνη μιγνύοιτ' ἄν. ἡ δὲ στροβιλίνη, μόνον τῶν σκληρῶν σωμάτων ἐστὶ φάρμακον. ἐπὶ δὲ τῶν μαλακωτέρων, οὐ χρὴ μιγνύειν. εἰ μὲν οὖν ὑγρὰ ῥητίνη μιγνύοιτο, κόψας καὶ διασείσας τὸ εὐφόρβιον, ἀναμίγνυε τοῖς ἄλλοις τακεῖσιν. ἔστω δὲ ὁ σταθμὸς αὐτοῦ τὸ δωδέκατον μέρος τοῦ κηροῦ, καί ποτε καὶ πλέον, εἰ βούλοιο ποιεῖν ἰσχυρότερον. εἰ δὲ ξηρὰ, καθάπερ ἡ φρυκτὴ, δεήσει βραχέος ἐλαίου τὸ εὐφόρβιον. ὥστ' ἐγώ γε τηνικαῦτα, λεῖον αὐτὸ σὺν ἐλαίῳ καὶ γλοιῶδες ἐργαζόμενος ἐψηγμένοις τοῖς ἄλλοις μετὰ τὸ τακῆναι, ξύσας μιγνύω, πολλάκις δὲ καὶ ὕδατος ἐμμίξας σκευαζομένῳ τῷ φαρμάκῳ, τοσοῦτον ὅσον ἐν αὐτῷ τῷ τήκεσθαι τὰ μιγνύμενα, δαπανηθῆναί τε δύνασθαι, καὶ ἀφανισθῆναι τελέως. ἀλλὰ τὰ μὲν τοιαῦτα σύμπαντα, τῆς περὶ φαρμάκων πραγματείας ἐστὶν οἰκειότερα. νυνὶ δ' ἀρκεῖ καθάπερ ἔμπροσθεν ἐποιήσαμεν, ὁποῖον εἶναι χρὴ τὸ γένος τῶν φαρμάκων δηλώσαντες, ὀλίγα προσθεῖναι τῶν κατὰ μέρος, ἕνεκα παραδείγματος. ἄφθονον γὰρ ἁπάντων τὴν ὕλην, ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων ἔχεις πραγματείᾳ. σκευάζειν δ' ὡς ἐν τῇ περὶ συνθέσεως αὐτῶν εἴρηται. νῦν οὖν ἀρκεῖ τοσοῦτον εἰπόντι μόνον, ἐπ' ἄλλα μεταβαίνειν.

Ἡ τοῦ τετρωμένου νεύρου θεραπεία, φαρμάκων δεῖται. θερμασίαν μὲν ἐγειρόντων χλιαρὰν, ξηραινόντων δ' ἱκανῶς. καὶ τῇ φύσει δὲ τῆς οὐσίας ἑλκτικῶν τε ἅμα καὶ λεπτομερῶν. οὐ μόνον δὲ εἰς εὕρεσιν φαρμάκων τε καὶ διαιτημάτων ἡ θεραπευτικὴ μέθοδος ἐπιτήδειόν ἐστιν, ἀλλὰ καὶ εἰς τὴν τῶν εὑρημένων χρῆσιν. ὥσπερ γὰρ ἐν τοῖς ἔμπροσθεν ἐδείκνυμεν, οὐδὲ τῷ τυχόντι φαρμάκῳ τῶν πρὸς ἕλκη, καλῶς δύνασθαι χρήσασθαι τὸν ἄνευ μεθόδου μεταχειριζόμενον αὐτὰ, τὸν αὐτὸν τρόπον ἔνεστι καὶ νῦν ἐπιδεικνύναι. γνωρίζειν γὰρ εἰς ὅσον ἔτι γε ἐξήρανεν, ἢ ἐθέρμηνεν, ἢ παρηγόρησεν, ἢ ἠρέθισε τὴν διάθεσιν ἡ τοῦ φαρμάκου προσφορὰ, μόνος ὁ κατὰ μέθοδον ἰατρεύων, ἱκανός ἐστιν. οὗτος δ' αὐτὸς οἶδε μόνος, ἤτοι ἐπιτεῖναι τὴν ἐξ ἀρχῆς χρῆσιν, ἢ ἐκλῦσαι. τὸ γοῦν διὰ εὐφορβίου φάρμακον ἐπιθείς τις παραχρῆμα νευροτρώτῳ, πολλάκις δὲ ἄρα πρόσθεν εὐδοκιμοῦντος αὐτοῦ πεπείρατο, τριταῖον ἐπεδείκνυέ μοι τὸ τετρωμένον μόριον, ὀδυνώμενόν τε ἅμα καὶ φλεγμαῖνον, ἀπορῶν ὅπως οὐδὲν ὤνησε τὸ φάρμακον. ἠρόμην οὖν τὸν τετρωμένον, εἰ θερμασίας τινὸς οἷον ἐξ ἡλίου πραέος ᾔσθετο, τῇ πρώτῃ τῶν ἡμερῶν ἐπιβληθέντος αὐτοῦ. ὁ δὲ ἀπεκρίνατο μηδενὸς ᾐσθῆσθαι τοιούτου. πάλιν οὖν ἠρόμην τὸν ἰατρὸν ἐκ πόσου τε χρόνου τὸ φάρμακον ἐσκευασμένον ἔχει, καὶ τίνας αὐτῷ θεραπεύσειεν. ὁ δὲ τὸν μὲν χρόνον, ἐνιαυτοῦ πλείονα. τοὺς δὲ θεραπευθέντας, ἔλεγε δύο μὲν παῖδας, ἓν δὲ μειράκιον εἶναι. πυθομένου δέ μου καὶ περὶ τῆς τοῦ μειρακίου ἕξεως τῆς κατὰ τὸ σῶμα, λευκὸν ἔφρασεν αὐτὸ καὶ μαλακὸν εἶναι. τούτων ἀκούσας ἐγὼ, καὶ συνεὶς ἐλλείπειν ὡς πρὸς τὴν τοῦ παρόντος νεανίσκου κρᾶσιν τὸ εὐφόρβιον, αἰτήσας τε τὸ ἐμπλαστὸν φάρμακον, καὶ τὸ εὐφόρβιον ἀνελόμενος, ὅσον ἤλπιζον αὐτάρκως αὐτῶν ἀλλήλοις μιχθήσεσθαι, μαλάττειν μὲν ταῖν χεροῖν ἐκέλευσα τὸ φάρμακον. ἀκριβῶς δὲ λειῶσαι τὸ εὐφόρβιον, ὡς δὲ ταῦτα ἐγένετο, μιγνύειν αὐτὰ πρὸς ἄλληλα κελεύσας, εἶτ' αὐτὸς ἐλαίῳ Σαβίνῳ ἠρέμα παλαιῷ θερμήνας συμμέτρως, κατήντλησα τὸ τετρωμένον μόριον. ἀνακείρας τε βραχὺ μεμυκυῖαν αὐτοῦ τὴν ὀπὴν τῆς νύξεως, ἐπέθηκα τὸ φάρμακον, ἀσιτῆσαι προστάξας τὸν ἄνθρωπον. εἰς ἑσπέραν τε πάλιν ἐκέλευσα τὸν ἰατρὸν ἐπιλῦσαί τε καὶ χρήσασθαι κατὰ τὸν αὐτὸν τρόπον ἐλαίῳ, καθ' ὃν ἐμὲ χρώμενον ἐθεάσατο. τούτων οὖν γενομένων, ἀνώδυνόν τε ἅμα καὶ ἀφλέγμαντον ἐφάνη κατὰ τὴν ὑστεραίαν τὸ πεπονθὸς μόριον. ἔγνωσάν τε πάντες οἱ παραγενόμενοι τῷ ἔργῳ τῷδε, τὸ πολλάκις ἡμῖν λεγόμενον ἀληθέστατον ὑπάρχειν, ὡς οὐδέν τι μέγα δύναιτο τὰ φάρμακα, χωρὶς τῶν χρωμένων ἐπιτηδείως αὐτοῖς. τοῦτο δ' αὐτὸ τὸ χρῆσθαι δεξιῶς, εὔδηλον δή που μεθόδῳ γιγνόμενον, οἵαν ἡμεῖς ἤδη πολλάκις ἐν τοῖς πρὸ τοῦδε διήλθομεν ὑπομνήμασιν, ἐπὶ τὸ θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρὸν ἁπάσης χρήσεως φαρμάκων ὡς ἐπὶ κανόνας ἀναφερομένης. ἣν οὐ μόνον οἱ ἀμέθοδοι Θεσσάλειοι μεταχειρίζεσθαι καλῶς ἀδυνατοῦσιν, ἀλλὰ καὶ οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ τοὺς ἄλλους ἰατροὺς, ὅσοι τὰ στοιχεῖα τοῦ σώματος ἢ οὐδ' ὅλως ἐζήτησαν, ἢ ἄλλα ἄττα τῶν εἰρημένων ἔθεντο. περὶ μὲν δὴ τούτων, ἅλις. εἰ δὲ μὴ νυγείη τὸ νεῦρον, ἀλλὰ τρωθείη σαφῶς τῇ τομῇ, σκέπτεσθαι τὴν ῥῶσιν ὁποία τις ἐγένετο. πότερον, ἐγκαρσία τις, ἢ κατὰ τὸ τοῦ νεύρου μῆκος. ὁπόσον τέ τι τοῦ περικειμένου διῄρηται δέρματος. ὑποκείσθω δὴ πρότερον ἀνεπτύχθαι πολὺ τοῦ δέρματος, ὡς γυμνὸν φαίνεσθαι τὸ νεῦρον, ὄρθιον οὐκ ἐγκάρσιον διῃρημένον. οὐ χρὴ τούτῳ τῷ νεύρῳ τῶν εἰρημένων φαρμάκων οὐδὲν προσφέρειν, ὅσα διὰ εὐφορβίου καὶ τῶν οὕτω δριμέων ἐμπλαστὰ γίνεται. γεγυμνωμένον γὰρ, οὐκ οἴσει τὴν δύναμιν αὐτῶν, ὥσπερ, ὅτε διὰ μέσου τοῦ δέρματος, ἔφερεν. ἄριστον οὖν τηνικαῦτα τὴν πεπλυμένην τίτανον ἐλαίῳ πλείονι διαλύσαντα χρῆσθαι. ἀγαθὸν δὲ καὶ τὸ διὰ τοῦ πομφόλυγος φάρμακον, ἐν πλείονι ῥοδίνῳ τακέν. ἄμεινον δὲ εἰ καὶ τὸ ῥόδινον εἴη καὶ τοὔλαιον ἄναλον. σκοπὸς γάρ σοι γιγνέσθω τῆς θεραπείας ἁπάσης τοῦ νεύρου γεγυμνωμένου, τὸ ξηραίνειν ἀδηκτότατα. πάνυ δὲ ὀλίγιστα φάρμακα τὸ τοιοῦτο

πέφυκε δρᾶν. ἔστω τοίνυν ἡ τίτανος τηλικαῦτα πολλάκις ὕδατι χρηστῷ πεπλυμένη ὥρᾳ θέρους. πεπλύσθω δὲ ὡς εἴρηται καὶ ὁ πομφόλυξ. ὥσπερ οὖν καὶ πέπλυται ἐπὶ τὸ σύνθετον φάρμακον, ᾧ συνήθως χρώμεθα, πολλά καὶ ἄλλα πεπλυμένα δεχόμενον. ὅσα γὰρ ἐκ μετάλλων ἐστί, πεπλῦσθαι χρὴ πάντα μέλλοντά γε ξηραίνειν ἀδήκτως. ἀγαθὸν δὲ καὶ τὸ διὰ μέλιτος ἔμπλαστον φάρμακον, ὅταν ἐκ καλλίστου μέλιτος ᾖ. λύειν δὲ καὶ τοῦτο χρὴ ῥοδίνῳ, τά τε ἄλλα καλλίστῳ καὶ τῶν ἁλῶν ἥκιστα μετέχοντι. καὶ τὸν κηρὸν δὲ χρὴ πεπλῦσθαι τὸν εἰς τὰ τοιαῦτα φάρμακα βαλλόμενον. εἰ δὲ καὶ τερμινθίνης τι ῥητίνης μιγνύοιτο, πεπλῦσθαι χρὴ καὶ ταύτην. ἔτι δὲ μᾶλλον εἰ ἄλλης τινὸς οὖν. ἐξ ἁπάντων γὰρ ὧν ἂν πλύνης φαρμάκων, οἱ δριμεῖς καὶ δακνώδεις ἰχῶρες ἐκκλύζονταί τε καὶ ἀπορρύπτονται. εἰ δ᾽ ἰσχυρὸς ὁ τετρωμένος εἴη καὶ σὺν τούτῳ καὶ ἀπείρατος τὸ σῶμα, δυνατὸν ἐπ᾽ αὐτοῦ χρῆσθαι καὶ τῶν ἰσχυροτέρων φαρμάκων ἐνίοις. ὥσπερ ἐγώ ποτε τοιαύτης τρώσεως γενομένης ἐν καρπῷ ἐπὶ νεανίσκου φιλοσοφοῦντος, εὐέκτου τε τἆλλα καὶ κατωπτηκότος ἐν ἡλίῳ θερινῷ τὸ σῶμα, τὸν πολυειδῆ τροχίσκον ἀνεὶς σιραίῳ, κἄπειτα χλιάνας ἐφ᾽ ὕδατος θερμοῦ, βάψας ἐν αὐτῷ μοτοὺς, ἐπέθηκα. καὶ γὰρ καὶ τοῦτο χρὴ μάλιστα φροντίζειν ἀεί, τοῦ μηδὲν τῶν ψαυόντων τῆς τρώσεως ψυχρὸν εἶναι. ἐπειδὴ τὸ πεπονθὸς μόριον αἰσθητικώτατόν ἐστι, καὶ τῇ κυριωτάτῃ τῶν ἀρχῶν συνεχές. ἔτι τε τῇ κράσει ψυχρότερον. ἐξ ὧν ἁπάντων ἑτοίμως μὲν ὑπὸ τοῦ ψυχροῦ βλάπτεται, διαδίδωσι δὲ ἐπὶ τὸν ἐγκέφαλον τὸ πάθος. εἰ δὲ καὶ τῶν εἰς μῦς καθηκόντων εἴη, καὶ σπασμὸς ἐπικαλεῖται ῥᾳδίως. ἐδείχθησαν γὰρ οἱ μύες ὄργανα τῆς κατὰ προαίρεσιν κινήσεως. οὕτω δὲ καὶ ἐπὶ τῶν τενόντων προσδοκᾷ γενήσεσθαι διὰ τὰς αὐτὰς αἰτίας. ἀλλὰ τό γε προειρημένον φάρμακον ἐπιθεὶς, τῷ νεανίσκῳ κατά τε τοῦ τραύματος αὐτοῦ, καὶ μέντοι καὶ τῶν ὑποκειμένων μερῶν, οὐκ ὀλίγον ἐπιλαμβάνων αὐτῷ τὰ περὶ μασχάλας καὶ τράχηλον καὶ κεφαλήν, ἐλαίῳ θερμῷ διέβρεχον ἅπαντα συνεχῶς. ἀφεῖλον δὲ καὶ τοῦ αἵματος αὐτοῦ σχάσας τὴν φλέβα κατὰ τὴν πρώτην ἡμέραν εὐθέως. ἐν οὖν τῇ τετάρτῃ τῶν ἡμερῶν, οὕτως ὁ νεανίσκος εἶχε καλῶς, ὥστε ῥυσσόν καὶ βραχὺ καὶ προσεσταλμένον φαίνεσθαι τὸ ἕλκος. οὐ μὴν ἀλλὰ καὶ προμηθέστερον ἐδόκει μηδὲν νεωτεροποιεῖν ἄχρι τῆς ἑβδόμης, μεθ᾽ ἣν τελέως ἦν ὑγιής. ἐλαίῳ δ᾽ αἰωνᾶν οὐ χρὴ τὸ τοιοῦτον ἕλκος. καὶ μάλιστα ὅταν ὡς νῦν εἴρηται θεραπεύηται. τῇ γὰρ τοῦ τροχίσκου δυνάμει, τὸ ἔλαιον ἐναντίον ἐστὶ καὶ ῥυπαίνει τὸ ἕλκος. οὐ γὰρ δή που ταὐτόν ἐστιν, ἢ γυμνῷ τῷ νεύρῳ προσφέρειν τοὔλαιον, ἢ διὰ προβεβλημένου τοῦ δέρματος. ἀποπλύνειν οὖν αὐτοῦ τοὺς ἰχῶρας, ἔριον μαλακὸν ὑπαλείπτρῳ περιελίττοντας. ἀποβρέχειν δ᾽ εἰ βούλοιο τὸ ἔριον, ὅπως μὴ ξηρῷ ψαύσῃς τὸ ἕλκος, ἀρκέσει τὸ σίραιον, ὅπερ καὶ ἕψημα καλοῦσι παρ᾽ ἡμῖν ἐπὶ τῆς Ἀσίας συνήθως. ἐν τούτῳ βάψας τὸ ἔριον, εἶτ᾽ ἀποθλίψας, οὕτως ἀπομάττειν τὸ ἕλκος. ἔστω δὲ καὶ αὐτὸ τοῦτο χλιαρὸν ἐν ταῖς πρώταις μάλιστα ἡμέραις. εἰ δὲ πάντα κατὰ γνώμην περαίνοιτο, καὶ οἴνῳ γλυκεῖ βρέχειν ἀκίνδυνον, ἄδηκτος δὲ ὁ γλυκὺς οἶνος ἔστω παντάπασιν. οἷος ὁ θηραῖός τε καὶ σκυβελίτης ἐστί. καὶ μετ᾽ αὐτοὺς, ὁ καρύϊνος ὀνομαζόμενος. ὅσοι δὲ γλυκεῖς τε ἅμα καὶ κιρροὶ τῶν οἴνων εἰσὶν ὥσπερ ὁ φαλερῖνος, ἀνεπιτήδειοι. δριμεῖς γὰρ ἅπαντες οἱ τοιοῦτοι, καὶ πέρα τοῦ μετρίου θερμοί, ἤδη δὲ εἰς οὐλὴν ἰόντων τῶν ἑλκῶν, ὅσοι λευκοὶ τῶν οἴνων εἰσὶν ἀκριβῶς, καὶ λεπτοί, καὶ ὀλιγοφόροι, καὶ ἄνοσμοι, βελτίους τῶν γλυκέων εἰσίν. ὕδατος δὲ χρῆσιν ἀεὶ φεῦγε τρωθέντος νεύρου καθάπερ γε καὶ καταπλάσματος χαλαστικοῦ. τῇ δὲ εἰρημένῃ τοῦ τροχίσκου χρήσει πλησίον ἥκει, τὸ διὰ τῆς χαλκίτεως φάρμακον, ᾧ συνήθως χρώμεθα. τετῆχθαι δὲ καὶ τοῦτο χρή, θέρους μὲν ῥοδίνῳ, χειμῶνος δὲ σαβίνῳ. γέγραπται δ᾽ ἐν τῷ πρώτῳ περὶ φαρμάκων συνθέσεως. ὁ δὲ πολυειδὴς τροχίσκος, ἢ κυκλίσκος, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, γιγνώσκεται σχεδὸν ἅπασι. καὶ εἰ μὴ παρείη, τὸν Ἀνδρῶνος, ἢ τὸν Πασίωνος ἀντ᾽ αὐτοῦ παραλαμβάνειν. ἢ τὸν ἡμέτερον ἰσχυρότερον ἁπάντων αὐτῶν ὑπάρχοντα. προείρηται δὲ, ὅτι τοῖς μὲν ἰσχυροῖς σώμασι, τὰ ἰσχυρὰ φάρμακα. τοῖς δὲ ἀσθενέσι, τὰ μαλακὰ προσφέρειν χρή. ταῦθ᾽ εὑρίσκει μὲν ἡ ἀληθὴς μέθοδος. ἐπισφραγίζεται δὲ ἡ πεῖρα. Θεσσαλὸς δὲ ἅμα τοῖς ἑαυτοῦ σοφισταῖς ἐφ᾽ ὑψηλοῦ θρόνου καθήμενος, ἐν κριομύξοις ἀνδράσιν, ὥς ὁ Κορνίδας φησίν, εὐδοκιμήσει κατασκευάζων τῷ λόγῳ παντὸς ἕλκους προσφάτου τὴν αὐτὴν εἶναι θεραπείαν, οὐδεμίαν ἔνδειξιν ἐκ τῆς τοῦ μορίου φύσεως λαμβάνουσαν. εἰς δέ τις τῶν ὑπὸ τῆς σοφίας αὐτοῦ κεκομισμένων, θαυμαστὴν ἐξευρίσκει θεραπείαν τῶν νευροτρώτων. αὐτίκα γὰρ ὅλα διακόπτειν ἐξαίφνης αὐτά. μὴ δὲ προσφπῶντι τῷ τρωθέντι, καί τοι κἀνταῦθα προειδὼς τὴν αἵρεσιν. ἐχρῆν γὰρ ἢ καὶ τοὺς μῦς τρωθέντας, καὶ τὰς ἀρτηρίας, καὶ τὰς φλέβας, καὶ πᾶν ὁτιοῦν ἄλλο διακόπτειν ὅλον, ἢ μηδὲ τὸ νεῦρον. ἢ οὕτως ἄν, ὃ φεύγουσι, πράττοντες ἁλίσκονται, διάφορον ἐκ τῶν διαφερόντων μορίων ἔνδειξιν θεραπείας λαμβάνοντες. Τούτων μὲν οὖν ἀπαλλαγῶμεν ἤδη. τῆς δ᾽ ἐγκαρσίας τρώσεως τῶν νεύρων, μνησθῶμεν. ἐφ᾽ οἷς καὶ ὁ κίνδυνος τοῦ σπασθῆναι μείζων τῆς μὲν φλεγμονῆς ἐκ τῶν τετρωμένων ἰνῶν εἰς τὰς ἀτμήτους διαδιδομένης, τοῦ σπασμοῦ δὲ, διὰ τὰς ἀτμήτους γιγνομένου. τὰ μὲν δὴ τῆς θεραπείας τοῦ ἕλκους, καὶ τούτοις τὰ αὐτά. κενοῦν δ᾽ αἵματος ἀφειδέστερον αὐτῶν, καὶ λεπτότερον ἢ κατ᾽ ἐκείνους διαιτᾶν. ἐν ἡσυχίᾳ τε καὶ στρωμνῇ μαλακῇ συνέχειν τὸν ἄνθρωπον, ἐλαίῳ θερμῷ δαψιλῶς χρώμενον ἐπὶ μασχαλῶν, καὶ τραχήλου, καὶ τενόντων, καὶ συνδέσμων, καὶ κεφαλῆς. εἰ δὲ τῶν ἐν σκέλει νεύρων εἴη τὸ τμηθέν, ὥσπερ ἐπὶ χειρὸς μασχάλας, οὕτως ἐνθάδε βουβῶνας ἐλαίῳ πολλῷ τέγγειν. ἐπαναβαίνειν δὲ δι᾽ ὅλης τῆς ῥάχεως, ἐπὶ τράχηλόν τε καὶ κεφαλήν. ἡ δὲ θλάσις ἡ τῶν νεύρων, ὅταν μὲν ἅμα τῷ δέρματι θλασθέντι τε καὶ ἑλκωθέντι γίγνηται, φαρμάκων δεῖται. τῶν μὲν τοῦ ξηραίνειν σκοπὸν ἐχόντων κοινόν, συνάγειν δέ πως καὶ σφίγγειν δυναμένων τὰ διὰ τὴν θλάσιν ἀλλήλων ἀφεστῶτα μόρια. τὰ δὲ χωρὶς τοῦ θλασθῆναι τὸ δέρμα συνεχές ἔσατα, καταντλεῖν ἐλαίῳ θερμῷ διαφορητικῷ. τὴν δ᾽ ὅλην τοῦ σώματος ἐπιμέλειαν ὁμοίαν ποιεῖσθαι. ἅπαξ οὖν εἶδον τοῦτο γιγνόμενον, ἰασάμην τε ταχέως αὐτὸ, διὰ τῆς καταντλήσεως. ἅμα μέν τοι τῷ δέρματι, πολλάκις ἐθεασάμην νεῦρα θλασθέντα, καὶ διὰ τὸ συνεχὲς τοῦ συμπτώματος, οἱ ἀθληταὶ τῇ πείρᾳ διδαχθέντες, ἔχουσι κατάπλασμα τὸ δι᾽ ὀξυμέλιτος, καὶ τοῦ τῶν κυάμων ἀλεύρου. καὶ ἔστιν ὄντως ἀγαθὸν φάρμακον. εἰ δ᾽ ὀδύνη τις συνείη τῇ θλάσει, πίττης ὑγρᾶς μιγνύειν, ἕψοντάς τε καλῶς ἐπιτιθέναι θερμόν. ὅταν δὲ ξηραντικώτερον

ξηραντικώτερον

ξηραντικώτερον ἐθέλοις γίγνεσθαι, μιγνύειν ὀρόβων ἀλεύρου. καὶ εἰ μᾶλλον βούλοιο ξηραίνειν, ἴρεως ἢ πάνακος ῥίζης, ἢ μυρίκης. ἡ δὲ τοῦ παντὸς σώματος ἐπιμέλεια, καὶ τούτοις κοινή. διακοπέντος δὲ ὅλου τοῦ νεύρου, κίνδυνος μὲν οὐκέτι οὐδείς. ἀνάπηρον δ' ἔσται τὸ μόριον. ἡ δὲ ἴασις, κοινὴ τοῖς ἄλλοις ἕλκεσιν, ἥν μόνην ἴσασιν οἱ Θεσσάλειοι. περὶ μὲν δὴ τῶν νεύρων, ἱκανὰ καὶ ταῦτα. τὰς δὲ ἐπιγινομένας αὐτοῖς φλεγμονὰς ὅπως χρὴ θεραπεύειν, ἐν τῷ τῶν φλεγμονῶν λόγῳ διαιρησόμεθα. ὁμοιοτάτην δὲ τοῖς τένουσιν ἔχοντες ἰδέαν οἱ σύνδεσμοι, θεραπείας ἰσχυροτάτους ἀνέχονται. διά τε τὸ μὴ περαίνειν ἐπὶ τὸν ἐγκέφαλον, ἀναίσθητοί τε εἶναι. τὰ μὲν γὰρ νεῦρα σύμπαντα, τὰ μὲν ἄντικρυς ἐξ αὐτοῦ πέφυκε τοῦ ἐγκεφάλου, τὰ δὲ διὰ τοῦ νωτιαίου. καὶ μέν γε καὶ οἱ τένοντες, ἐπειδὴ σύνθετον αὐτῶν ἐπεδείκνυμεν εἶναι τὴν οὐσίαν ἐκ νεύρου καὶ συνδέσμου. καθ' ὅσον μὲν νεύρου μετέχουσι, κατὰ τοσοῦτον ἐξ ἐγκεφάλου πεφύκασιν, οὐ μὴν ἧττόν γε τῶν νεύρων αὐτῶν ἐπιφέρουσι τοὺς σπασμούς. οἱ σύνδεσμοι δέ, ἐξ ὀστοῦ πεφυκότες, ὅσοι μὲν στρογγύλοι, νεύροις ἐοίκασι. πολὺ δή τι τῇ σκληρότητι διαφέροντες. ἀλλὰ τῷ λευκοί τε εἶναι καὶ ἄναιμοι, καὶ ἀκοίλιοι, διαλύεσθαί τε εἰς ἶνας, ἡ ὁμοιότης αὐτῶν ἐστι πρός τε τὰ νεῦρα καὶ τοὺς τένοντας. ἔνθα μὲν οὖν στρογγύλοι σύνδεσμοι καὶ τένοντές εἰσι, τοῖς ἀπείροις ἀνατομῆς ὡς νεῦρα φαντάζονται. καὶ μάλισθ' ὅταν ἀγνοῶσιν ὅτι καὶ σκληρότεροι πολὺ τῶν νεύρων εἰσίν. ἔνθα δὲ πλατεῖς, ἐνταῦθ' ὅτι μὲν νεύρων διαφέρουσιν ἐπίστανται, καί τοι γε οὐδὲ τοῦτο πάντες. οὐ μὴν γιγνώσκουσί γε διακρίνειν αὐτοὺς ἀπ' ἀλλήλων. ἀλλὰ σύ γε τὴν φύσιν ἑκάστου τῶν τριῶν μορίων ἐπιστάμενος, ἔτι τε διάπλασιν καὶ θέσιν, ἣν ἔχουσιν ἐν ἅπαντι τῷ σώματι καθ' ἕκαστον μέλος, ἐπειδὰν ποτὲ τύχῃ καθ' ἐκεῖνο τραῦμα γενόμενον, ἑτοίμως γνωριεῖς εἴτε νεῦρον ἐστὶ τὸ τετρωμένον, εἴτε σύνδεσμος, εἴτε τένων.

Περὶ μὲν δὴ τῆς τῶν νεύρων καὶ τενόντων θεραπείας, προείρηται. σύνδεσμος δὲ τρωθείς, ὁ μὲν ἐξ ὀστοῦ διήκων εἰς ὀστοῦν, ἀκινδυνότατός ἐστι καὶ πάντῃ ξηραίνων αὐτὸν ὁποίοις βούλοιο φαρμάκοις, οὐδὲν βλάψεις τὸν ἄνθρωπον. ὁ δ' εἰς μῦν ἐμφυόμενος ὅσον ἀκινδυνότερός ἐστι τένοντος καὶ νεύρου, τοσοῦτον τῶν ἄλλων συνδέσμων σφαλερώτερος, ἢν μὴ χρηστῶς θεραπεύηται. τούτων οὐδὲν οἷοί τέ εἰσι διαπράξασθαι μεθόδῳ τῶν ἰατρῶν, ὅσοι μήτε τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν εἰς τὰς τῶν ἑλκῶν ἰάσεις χρήσιμον εἶναι συγχωροῦσιν, οὔθ' ὅσοι τοῦτο μὲν ὁμολογοῦσιν, ἀγνοοῦσι δὲ τὴν ἑκάστου φύσιν, ἥτις ὡς ἐδείκνυμεν ἐκ τῆς τῶν στοιχείων γίνεται κράσεως. ἀλλ' οὗτοι μὲν εἰ καὶ μηδὲν ἄλλο, τά γ' ἐκ τῆς ὀργανικῆς κατασκευῆς τῶν μορίων ἐνδεικτικῶς λαμβανόμενα γιγνώσκουσι.

Οἱ δ' ἀπὸ τοῦ Θεσσαλοῦ, καὶ ταῦτ' ἀγνοοῦσιν. οἷον αὐτίκα διαιρεθέντος ἐπιγαστρίου μέχρι τοσούτου βάθους ὡς προπεσεῖν ἔντερον, ὅπως τε χρὴ κατατεῖλαι τοῦτο. καὶ ἢν ἐπὶ πλέον προπέσῃ, πότερον, ἀποκόπτειν, ἢ οὐκ ἀποκόπτειν αὐτὸ χρή. καὶ πότερον, βρόχῳ διαλαμβάνειν, ἢ μή. καὶ εἰ ῥάπτειν ἢ μὴ ῥάπτειν τὸ τραῦμα. καὶ ῥάπτοντας ὅτῳ χρὴ τρόπῳ ῥάπτειν, οὐδὲν τούτων ἐπίστανται. οὐδὲ γὰρ ἡμεῖς ἂν ἔγνωμεν, εἰ μὴ διὰ ἀνατομῆς ἐμάθομεν ἁπάντων τῶν τῇδε μορίων τὴν φύσιν, ἣν καὶ διελθεῖν ἀναγκαῖον ἐστίν, οὐ σαφηνείας μόνης ἕνεκα τῶν λεχθησομένων, ἀλλὰ καὶ πίστεως. δέρμα μὲν ἔξωθεν ἁπάντων περιβέβληται τελευτῶν εἰς ὑμένα. μεθ' ὃ κατὰ μὲν τὴν μέσην χώραν, ἀπονευρώσεις μυῶν τέτανται διπλαῖ δίκην ὑμένων. ἃς οὐδ' ὅτι δύο εἰσὶν οἱ πολλοὶ τῶν ἀνατομικῶν ἐπίστανται. καὶ γὰρ καὶ συμπεφύκασιν ἀλλήλαις, ὡς ἔργον εἶναι χωρίσαι, καὶ λεπτότητος εἰς ἄκρον ἥκουσιν. ἐφεξῆς δὲ ταῖσδε, δύο μύες ὄρθιοι σαρκώδεις ἀπὸ τοῦ στήθους ἐπὶ τὰ καλούμενα τῆς ἥβης ὀστᾶ καθήκουσι. ταῦτα μὲν δὴ σύμπαντα τὰ εἰρημένα, συμφυῆ τ' ἐστί, καὶ οἱ τὰς καλουμένας γαστρορραφίας ὅπως χρὴ ποιεῖσθαι γράψαντες, ἐπιγάστριον ὀνομάζουσι τὸ συγκείμενον ἐξ αὐτῶν. ὅσον δ' ἐφεξῆς τῷδε, καλεῖται μὲν ὑπ' αὐτῶν περιτόναιον, οἰομένων ἓν ἁπλοῦν ἀσύνθετον εἶναι σῶμα. τὸ δὲ, οὐχ οὕτως ἔχει. σύγκειται γὰρ ἐκ δυοῖν σωμάτων ἀναίμων μὲν ἀμφοῖν καὶ νευρωδῶν. ἀλλὰ τὸ μὲν ἕτερον αὐτῶν, ἀπονεύρωσίς ἐστι μυῶν ἐγκαρσίων. τὸ δ' ἕτερον, ὑμὴν ἀκριβῶς λεπτὸς οἷον περ τὸ ἀράχνιον. ὥσπερ δὴ τὸ περιτόναιον ὄντως ἐστί, τοιοῦτον μὲν ἐν τοῖς μέσοις ἑαυτοῦ, τὸ ἐπιγάστριον. ὅσον δὲ ἀποκεχώρηκεν ἑκατέρωσε πρὸς τὸ πλάγιον ὡς ἐπὶ τέσσαρας δακτύλους, τοῦτο ἐφεξῆς τῷ δέρματι, τοὺς λοξοὺς ἔχει μῦς. προτέρους μὲν τοὺς ἀπὸ τοῦ θώρακος καταφερομένους, δευτέρους δὲ τοὺς ἀπὸ τῶν λαγόνων ἀναφερομένους. εἶτα ἐπὶ τούτοις τὸν ἐγκάρσιον. ἐφ' ὧν τὸ περιτόναιον. ἀκινδυνότερόν τε οὖν ἐστι τοῦτο τὸ χωρίον, τοῦ μέσου, μηδεμίαν ἔχον ἀπονεύρωσιν. αἵ τε γαστρορραφίαι κατὰ τὸ μέσον εἰσὶ δυσμεταχειριστοι. καὶ γὰρ καὶ περιπίπτει τὰ ἔντερα ταύτῃ μάλιστα, καὶ δύσκρατά τ' ἐστὶν ἐν τούτῳ τῷ τόπῳ. τὸ γὰρ σφίγγον αὐτὰ καὶ περιστέλλον, οἱ ὄρθιοι μύες ἦσαν, οἱ σαρκώδεις, οὓς ἐκ τοῦ θώρακος ἐπὶ τὰ τῆς ἥβης ὀστᾶ καθήκειν ἔφαμεν. ὅταν οὖν τις τούτων τρωθῇ διὰ διττὴν αἰτίαν, ἀναγκαῖον ἐστὶ † περιπίπτειν ἔντερον. ἐκ μὲν τῶν πλαγίων μερῶν, † περιπίπτειν ἔντερον
ὑπὸ τῶν ταύτῃ μυῶν σφιγγόμενον, ἐκ δὲ τῶν μέσων, ὅτε τὸν μῦν ἐρρωμένον ἔχον, ἐπιτήδειόν τε χώραν εἰς πρόπτωσιν. εἰ δὲ καὶ μεῖζον εἴη τὸ τραῦμα, πλείω τε περιπίπτειν ἀναγκαῖον ἐστὶν ἔντερα, καὶ χαλεπώτερον κατατέλλεσθαι. καθ' ἕτερον δ' αὖ τρόπον, αἱ βραχεῖαι τρώσεις δυσμεταχείριστοι. ἢν γὰρ μὴ παραχρῆμα τις εἰς τὴν ἑαυτοῦ χώραν ἐμβάλλῃ τὸ προπεπτωκός, εἰς ὄγκον αἴρεται πνευματούμενον. ὥστ' οὐκ ἔτι οἷόν τε διὰ ὀπῆς στενῆς ἐμβάλλειν αὐτό. βέλτιον οὖν ἐν ταῖς τοιαύταις τρώσεσι τὸ σύμμετρον τραῦμα. ταυτὶ μὲν δὴ προεπίστασθαι χρή. ὡς δ' ἄν τις ἄριστα μεταχειρίζοιτο τὰς τοιαύτας τρώσεις, ἐφεξῆς σκεπτέον. ὅτι μὲν γὰρ οὐκ ἀρκεῖ τὸ Θεσσάλειον παράγγελμα τὸ κολλᾶν τοῖς ἐναίμοις φαρμάκοις αὐτάς, οὕτως ἡγοῦμαι πρόδηλον ὑπάρχειν, ὡς οὐδὲν ἕνα λαβεῖν τῶν ἐχόντων νοῦν. ἐπεὶ τοίνυν προηγεῖσθαι μὲν χρὴ τὸ εἰς τὴν οἰκείαν χώραν ἀποτίθεσθαι τὰ προπεπτωκότα ἔντερα, δεύτερον δὲ ἐπὶ τῷδε ῥάψαι τὸ ἕλκος, εἶθ' ἑξῆς τρίτον ἐπιθεῖναι τὸ φάρμακον, εἶτ' ἐπ' αὐτῷ τέταρτον ὅπως μὴ συμπάθῃ τι τῶν κυριωτέρων προνοῆσθαι, περὶ τοῦ πρώτου ῥηθέντος ἤδη σκοποῦμεν. οὐσῶν δὲ ὡς εἴρηται τριῶν ἐν τοῖς τραύμασι κατὰ μέγεθος διαφορῶν, ἀφ' ἑκάστης αὐτῶν πειρᾶσθαι χρὴ λαβεῖν οἰκείαν ἔνδειξιν. ἔστω δὴ πρότερον μικρὸν οὕτως ὡς τὸ προπεσὸν ἔντερον ἐμφυσηθέν, μηκέτι οἷόν τε εἶναι κατατεῖλαι, ἆρ' οὐκ ἀναγκαῖον ἐνταῦθα δυοῖν θάτερον, ἤτοι τὴν φῦσαν ἐκκενοῦν, ἢ τὸ τραῦμα μεῖζον ἐργάζεσθαι; βέλτιον οἶμαι τὸ πρότερον, ἐάν περ οἷόν τε ᾖ τυχεῖν αὐτοῦ. πῶς δ' ἄν τις τύχοι μᾶλλον; εἰ τὴν αἰτίαν ὑφ' ἧς ἐκφυσᾶται τὸ ἔντερον ἐκποδὼν

ποιησάμεθα. τίς οὖν ἐστιν αὕτη; ἡ ἐκ τοῦ περιέχοντος ἀέρος ψύξις. ὥστε καὶ ἡ ἴασις ἐν τῷ θερμῆναι. σπόγγον οὖν χρὴ μαλακὸν ὕδατι θερμῷ βρέξαντας, εἶτ' ἐκπιέσαντας, ἐκθερμῆναι τούτῳ τὸ ἔντερον. εὐτρεπιζέσθω δ' ἐν τῷ τέως, οἶνος αὐστηρὸς θερμός, καὶ γὰρ θερμαίνει μᾶλλον ὕδατος, καὶ ῥώμην ἐντίθησι τῷ ἐντέρῳ. εἰ δὲ καὶ τούτων χρησαμένων ἔτι διαμένει τὸ ἔντερον ἐμπεφυσημένον, ἐπιτέμνειν τοῦ περιτοναίου τοσοῦτον, ὅσον δεῖται τὸ προπεπτωκός. ἐπιτήδεια δ' ἐστὶν εἰς τὴν τοιαύτην τομὴν τὰ καλούμενα συριγγοτόμα. τὰ δ' ἀμφήκη τῶν μαχαιρίων, ἢ κατὰ τὸ πέρας ὀξέα, παντὶ τρόπῳ φευκτέα. σχῆμα δ' ἐπιτήδειον τῷ κάμνοντι, πρὸς μὲν τοῖς κάτω μέρεσι τῆς τρώσεως γεγενημένης, τὸ ἀνάῤῥοπον. πρὸς δὲ τοῖς ἄνω, τὸ κατάῤῥοπον. εἷς δ' ἐπ' ἀμφοῖν σκοπός, ὡς μὴ βαρύνοιτό τι πρὸς τῶν ἄλλων ἐντέρων, τὸ προπεπτωκός. ὥστε καὶ τοῦ σκοποῦ τοῦδε, κατὰ μὲν τὰ δεξιὰ μέρη, τοῦ τραύματος γεγονότος, ἐπὶ θάτερον ῥέπειν. εἰ δ' ἐκ τῶν ἀριστερῶν ᾖ, πρὸς τὴν δεξιὰν ἐπικλίνεσθαι πλευράν, ὑψηλότερον ἀεὶ ποιοῦντας τὸ τετρωμένον μόριον. τοῦτο μέν τοι καὶ τοῖς μεγάλοις καὶ τοῖς μέσοις ἕλκεσι συνοίσει. κοινὸς γὰρ ἁπάντων ὁ σκοπός. αἱ δ' ἀποθέσεις τῶν ἐντέρων, εἰς τὴν οἰκείαν χώραν ὅταν ἐπὶ τοῖς μεγάλοις γίγνονται τραύμασιν, ὑπηρέτου δέονται δεξιοῦ. χρὴ γὰρ αὐτὸν ὅλον ἔξωθεν καταλαβόντα τὸ τραῦμα ταῖς ἑαυτοῦ χερσίν, εἴσω προστέλλειν τε καὶ σφίγγειν, ὀλίγον ἑκάστοτε τῷ ῥάπτοντι παραγυμνοῦντα. καὶ μέντοι καὶ τὸ ῥαφὲν αὐτὸ μετρίως προστέλλειν, ἄχρι περ ἂν ὅλον ἀκριβῶς ῥαφῇ. τίς δ' ἂν εἴη τρόπος ἐπιτήδειος εἰς τὰ τοιαῦτα τῆς καλουμένης γαστροραφίας, ἐφεξῆς λέγωμεν. Ἐπειδὴ συμφῦσαι χρὴ τῷ περιτοναίῳ τὸ ἐπιγάστριον, ἀρκτέον μὲν ἀπὸ τοῦ δέρματος ἔξωθεν εἴσω διαπείροντα τὴν βελόνην. ἐπειδὰν δὲ τὸ δέρμα καὶ τὸν μῦν τὸν ὄρθιον ὅλον διεξέλθοι, τὸ παρακείμενον ὑπερβαίνοντα περιτόναιον, ὠθεῖν αὐτὴν ἔσωθεν ἔξω, διὰ τοῦ λοιποῦ περιτοναίου. κἄπειτ' ἐντεῦθεν ἔσωθεν ἔξω, διαπείρειν τὸ ἕτερον ἐπιγάστριον. διεξελθούσης δὲ τελέως αὐτῆς, ἔξωθεν εἴσω τὸ ἐπιγάστριον αὖθις διαιροῦντας. εἶτα τὸ παρακείμενον αὐτῷ περιτόναιον ὑπερβαίνοντας, ἐπί τε τὸ ἀντικείμενον ἐλθόντας ἔσωθεν ἔξω αὖθις διακεντεῖν. ἅμα δ' αὐτῷ καὶ τὸ πλησίον ἐπιγάστριον ἅπαν. εἶτ' αὖθις ἀπὸ τούτου πάλιν ἀρξαμένους συῤῥάπτειν αὐτῷ τῷ ἀντικειμένῳ περιτοναίῳ. κἄπειτα διεκβάλλειν διὰ τοῦ πλησίον δέρματος. ἐκεῖθεν δ' αὖ πάλιν εἴσω διείρειν, συῤῥάπτοντας αὐτὸ τῷ ἀντικειμένῳ περιτοναίῳ. διεκβάλλοντάς τε διὰ τοῦ πλησίον δέρματος. εἶτ' αὖθις καὶ αὖθις ἐργάζεσθαι ταῦτα μέχρι περ ἂν ὅλον ὁμοίως ῥάψωμεν τὸ τραῦμα. διάστημα δὲ τῶν ῥαφῶν, ὅσον μὲν ἐπὶ τῷ σφίγγεσθαι τὰ ὑποκείμενα, βραχύτατον εἶναι χρεών. ὅσον δ' ἐπὶ τῷ τὸ μεταξὺ τῶν ῥαφῶν δέρμα διαμένειν, ἀσύῤῥηκτον οὐ χρηστὸν τὸ βραχύ. φεύγων οὖν ἑκατέρου τὴν ὑπερβολήν, ἀμφοῖν αἱρεῖσθαι τὸ μέτριον. ἤδη δὲ καὶ τοῦτο, κοινόν πως ἁπάντων ἑλκῶν. ὥσπερ γε καὶ αὐτοῦ τοῦ ῥάμματος ἡ σύστασις. τὸ μὲν γὰρ σκληρότερον, χρὴ ῥήσειν τὸ δέρμα. τὸ δὲ μαλακώτερον, αὐτὸ φθάνει ῥηγνύμενον. οὕτω δὲ καὶ τὸ μὲν ἐγγυτάτω τῶν ἄκρων χειλῶν διαπείρειν τὴν βελόνην, τὸ λοιπὸν τοῦ δέρματος ὀλιγοστὸν ὄν, ἀναγκάζεται καὶ βιάζεται ῥήγνυσθαι. τὸ δὲ ἐπὶ πλεῖστον ἀποχωρεῖν τοῦδε, πολὺ τοῦ δέρματος ἀκόλλητον ἀπολείπει. ταυτὶ μὲν οὖν εἰ καὶ πάντων ἑλκῶν ἐστι κοινά, μάλιστα αὐτὰ φυλακτέον ἐν ταῖς γαστροραφίαις. αὐτὰς δὲ τὰς γαστροραφίας ἤτοι γε ὡς προείρηται ποιητέον, ἐστοχασμένους τοῦ συμφῦσαι τῷ περιτοναίῳ τὸ ἐπιγάστριον, ἐπειδὴ μόγις αὐτῷ συμφύσεται νευρώδει ὑπάρχοντι. ἢ ὡς ἔνιοι, συνάγοντας ἀλλήλοις τὰ κατὰ φύσιν οἰκεῖα, περιτοναίῳ μὲν περιτόναιον. ἐπιγάστριον δ' ἐπιγαστρίῳ. ἔσται δὲ τοῦτο κατὰ τόνδε τὸν τρόπον. ἀπὸ τοῦ πλησίον ἡμῶν ἐπιγαστρίου, διεκβάλλειν χρὴ τὴν βελόνην ἔξωθεν εἴσω δι' αὐτοῦ μόνου. κἄπειθ' ὑπερβάντας ἄμφω τὰ χείλη τοῦ περιτοναίου, πάλιν ἀντεπιστρέψαι τὴν βελόνην ἔξωθεν εἴσω, δι' ἀμφοτέρων τῶν χειλῶν τοῦ περιτοναίου. κἄπειτ' αὖθις ἀντεπιστρέφοντας ἔσωθεν ἔξω διεκβάλλειν, κατὰ τὸ ἀντικείμενον ἐπιγάστριον. οὗτος ὁ τρόπος τοῦ κοινοῦ καὶ προχείρου, καθ' ὃν διὰ τῶν τεττάρων χειλῶν, ἐπιβολῇ μιᾷ διεκβάλλουσι τὴν βελόνην, διαφέρει τῷ κατακρύπτειν ὅλον ἀκριβῶς ἔνδον τοῦ ἐπιγαστρίου, τὸ περιτόναιον. ἑξῆς δὲ περὶ τῶν φαρμάκων εἴπωμεν. εἴη δ' ἂν δήπου καὶ ταῦτα τῆς αὐτῆς ὕλης τοῖς ἐναίμοις ὀνομαζομένοις. ἃ κἀν τοῖς ἄλλοις μέρεσι συμφύειν τὰ τραύματα διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων ἀπεδείξαμεν. ἡ δ' ἔξωθεν ἐπίδεσις ἔτι δὴ καὶ μᾶλλον ἐπὶ τούτων ἀναγκαία. τὸ δὲ δὴ τέταρτον ἔτι τῆς θεραπείας μέρος, οὐ σμικρῷ τινι τῶν ἄλλων ἀποκεχώρικεν. ἐλαίῳ γὰρ χρὴ θερμῷ συμμέτρως, ἔριον ἁπαλὸν δεύοντας, ὅλον ἐν κύκλῳ περιλαμβάνειν, τὸ μεταξὺ βουβώνων τε καὶ μασχαλῶν. ἄμεινον δὲ καὶ διὰ κλυστῆρος ἐνιέναι τοῖς ἐντέροις, ἕτερον τοιοῦτον. εἰ δέ τι καὶ αὐτῶν τῶν ἐντέρων τρωθείη, τὰ μὲν ἔξωθεν, ὡς εἴρηται, πάντα πράττειν ὡσαύτως. τὸ δὲ ἐνιέμενον, οἶνος αὐστηρὸς μέλας χλιαρὸς ἔστω. καὶ μᾶλλον εἰ διατρωθείη σύμπαν εἰς τὸν εἴσω πόρον. εὐίατα μὲν οὖν τὰ παχέα τῶν ἐντέρων. δυσιατώτερα δὲ τὰ λεπτά. παντάπασι δὲ ἀνίατος ἡ νῆστις. διά τε τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν ἀγγείων, καὶ τὸ λεπτὸν καὶ νευρῶδες τοῦ χιτῶνος. ἀλλὰ καὶ τὴν χολὴν ἀκραιφνῆ πᾶσαν ἐκδέχεται τὸ ἔντερον τοῦτο. καὶ πάντων ἐστὶν ἐγγυτάτω τοῦ ἥπατος. γαστρὸς δὲ τὰ μὲν κάτω τὰ σαρκώδη, θεραπεύειν τολμᾶν. ἐγχωρεῖ γὰρ καὶ τυχεῖν, οὐ μόνον ὅτι παχύτερα ταῦτ' ἐστίν, ἀλλὰ καὶ τοῖς ἰωμένοις φαρμάκοις εὐπετὴς ἡ ἕδρα κατὰ τήνδε τὴν χώραν αὐτῆς. τὰ δ' ἐν τῷ στόματι καὶ τῷ στομάχῳ, τῇ προσόδῳ μόνῃ ψαύει τῶν πεπονθότων. τοῖς ἐν τῷ στόματι καὶ τὸ περιττὸν τῆς αἰσθήσεως, ἐναντιοῦται πρὸς τὰς ἰάσεις. ὅπως δ' ἐπιχειρεῖ γαστέρα τετρωμένην, ὁ Ἱπποκράτης ἰᾶσθαι σὺν καὶ τοῖς ἄλλοις ὀλεθρίοις τραύμασι παρ' ἐκείνου μανθάνειν ἄμεινον. ἐγὼ γὰρ οὐχ ὑπὲρ τοῦ μηδὲν ἐν τοῖς Ἱπποκράτους συγγράμμασιν ὁμιλεῖν ἐπὶ τήνδε τὴν πραγματείαν ἧκον, ἀλλ' ὅτι μοι δοκεῖ πρῶτος μὲν ἐκεῖνος ὁδῷ χρήσασθαι προσηκούσῃ, μὴ μέντοι γε ἅπαντα συμπληρῶσαι. καὶ γὰρ ἀδιόριστά τινα τῶν ὑπ' αὐτοῦ γεγραμμένων ἐστὶν εὑρεῖν, καὶ ἐλλιπῆ καὶ ἀσαφῆ. διὰ τοῦτο γοῦν ἐγὼ προὐθυμήθην ἅπαντά τε σαφῶς διελθεῖν, ἐξεργάσασθαί τε τὰ χωρὶς διορισμῶν εἰρημένα, καὶ προσθεῖναι τὰ λείποντα. προγυμνασάμενος γάρ τις ἐν τοῖς ἡμετέροις, ἐπὶ τὴν τῶν Ἱπποκράτους συγγραμμάτων ἀνάγνωσιν ἴτω. καὶ τό, τε τὸ περὶ τῶν ἑλκῶν βιβλίον ἀναγνώτω τοῦ ἀνδρός. τό, τε περὶ τῶν ὀλεθρίων τραυμάτων. ἕξει δὲ εἰς αὐτὰ μεγίστας ἀφορμὰς ἐκ τῶν δὲ τῶν ὑπομνημάτων. ἔτι τε γνώσεται βεβαίως, ὅτι μήτε τις τῶν ἀπὸ τῆς ὀνόματι μὲν σεμνῷ κεκοσμηκὼς

ἑαυτὴν

ἑαυτὴν αἱρέσεως τῆς μεθοδικῆς, ἔργῳ δὲ ἀμεθοδωτάτης, ὀρθῶς ἔλεγχος ἰᾶσθαι δυνατός ἐστι, μήτε τῶν ἄλλων λογικῶν, ὅσοι χωρὶς τοῦ γνῶναι τὰ τῶν ὁμοιομερῶν στοιχεῖα μεταχειρίζεσθαι τὴν τέχνην δικαιοῦσιν. ἀπορήσουσι γὰρ καὶ οὗτοι λογικῆς θεραπείας, ἐπὶ τῶν ἁπλῶν τοῦ ζώου μορίων, ἀπὸ τῶν ὀργανικῶν μόνων ἐνδείξεις λαμβάνοντες. ὀλίγον οὖν ἔτι πρὸς τοὺς μεθοδικοὺς εἰπόντες ὑπὲρ τῶν κατὰ τὴν γαστέρα τραυμάτων, ἐφ' ἕτερόν τι μεταβησόμεθα.

Τρωθέντος τοῦ περιτοναίου, προπίπτει πολλάκις ἐπίπλους. οὔτ' εἰ κύριον ὑπάρχει μόριον, οὔτ' εἰ μὴ κύριον, οὔτ' ἐξ ὧν τινων σύγκειται γινωσκόμενον αὐτοῖς, οὔθ' ἥν τινα ἔχων ἐνέργειαν, ἢ χρείαν. ἐὰν οὖν πελιδνὸν καὶ μέλαν γένηται τὸ προπεσὸν αὐτοῦ μέρος, ὅ, τί ποτε πράξουσιν ἐπ' αὐτοῦ, καλὸν ἀκοῦσαι. πότερον ἀποτέμνουσιν, ἢ καταθήσουσιν ἔσω τοῦ περιτοναίου; πάντως μὲν γὰρ ἤτοι γ' ἐκ πείρας ἡ γνῶσις, ἢ ἐξ αὐτῆς τοῦ μορίου τῆς φύσεως ἡ ἔνδειξις αὐτοῖς ἐστί. καί τοι φεύγουσί γ' ἑκατέρας. τὴν μὲν ἐκ τῆς πείρας γνῶσιν, ἀνατεινόμενοι τὸ σεμνὸν διὰ τοῦτο τῆς αἱρέσεως αὐτῶν ὄνομα, τὴν μέθοδον. τὴν δ' ἐκ τῆς φύσεως τοῦ μορίου, διότι μήτε τὴν οὐσίαν αὐτῶν γινώσκουσι, μήτε τὴν ἐνέργειαν ἢ τὴν χρείαν, ἀποστάντες ὡς ἀχρήστου τῆς ἀνατομῆς. ὥστε οὐκ ἴσασιν, εἴτε τῶν ἀναγκαίων ἐστὶν εἰς τὸ ζῆν, εἴτε τῶν οὐκ ἀναγκαίων μὲν, οὐ μὴν ἀκύρων γε παντάπασιν. ἀλλ' οὐδ' εἰ συμπάσχειν αὐτῷ τι μέλλει μέλος κύριον, ἢ μὴ συμπάσχειν. οὐδ' εἰ τῶν ἀγγείων κατ' αὐτὸ δύναταί τι δι' αἱμοῤῥαγίας ἀποκτεῖναι τὸν ἄνθρωπον. οὐδ' εἰ μετὰ τὴν ἀποτομὴν τοῦ μελανθέντος, εἰ βρόχῳ διαληφθείη τὸ ὑγιὲς ὑπὲρ τοῦ μηδὲ μίαν αἱμοῤῥαγίαν γενέσθαι, τοῦτ' αὐτὸ κίνδυνον οἴσει τινά. καὶ γάρ τοι νευρώδης φαίνεται κατά γε τὴν πρόχειρον φαντασίαν. ὥστε εἰ μή τις ἀκριβῶς εἰδείη τὴν φύσιν αὐτοῦ, μή ποτ' ἂν θαῤῥήσῃ βρόχῳ χρήσασθαι, φόβῳ σπασμοῦ. τούτων οὐδὲν οἱ θαυμασιώτατοι γιγνώσκοντες μεθοδικοὶ, τί ποτε πράξονται ἐπίπλου μελανθέντος, οὐκ ἔχουσι φάναι. ἀλλ' οὐχ ἡμεῖς γε παραπλησίως ἐκείνοις ἄπρακτοι καθεδούμεθα. γινώσκοντες γὰρ τὴν μὲν χρείαν αὐτοῦ, μικρόν τι τῷ ζώῳ συντελοῦσαν, τὴν δὲ οὐσίαν, ἐξ ὑμένος τε λεπτοῦ καὶ ἀρτηριῶν, καὶ φλεβῶν συγκειμένην, ἰδόντες γὰρ καὶ τούτων τὰς ἀρχὰς ἀπὸ μεγίστων οὔσας ἀρτηριῶν καὶ φλεβῶν, αἱμοῤῥαγίαν μὲν εὐλαβηθησόμεθα, συμπάθειαν γὰρ νεύρων οὐ φοβηθησόμεθα. καὶ διὰ τοῦτο βρόχῳ τε διαληψόμεθα τὸ πρὸ τοῦ μελανθέντος. ἀποτεμοῦμέν τε τὸ μετὰ τὸν βρόχον, ἐν τῷ κάτω πέρατι τῆς προειρημένης γαστρορραφίας, ἐκκρεμεῖς τοῦ βρόχου τὰς ἀρχὰς ποιούμενοι, πρὸς τὸ κομίσασθαι ῥᾳδίως αὐτὰς, ὅταν ἀποπυθῶσιν ἐκπυήσαντος τοῦ τραύματος. περὶ μὲν οὖν τῶν ἄλλων μορίων τοῦ σώματος, αὐτάρκως εἴρηται. περὶ δὲ τῶν ὀστῶν, ὑπόλοιπον ἂν εἴη λέγειν.

Ἐγγίνεται γὰρ δὴ καὶ τούτοις τὸ προκείμενον ἐν τῷ λόγῳ νόσημα, τὸ καλούμενον ὑφ' ἡμῶν ἑνώσεώς τε καὶ συνεχείας λύσις. ὄνομα δὲ ἴδιον αὐτῷ κεῖται κατὰ ταῦτα τὰ μόρια, κάταγμα, σχεδὸν πᾶσιν ἀνθρώποις, ὅσοι γε τὴν ἑλλάδα γλῶσσαν ἐπίστανται συνήθες. ἄπαγμα δὲ τῶν ἰατρῶν ἴδιον ὄνομά ἐστι, τοῖς πολλοῖς ἀνθρώποις ἄηθες. εἰώθασι γὰρ οὕτω προσαγορεύειν, ὅταν ἀποκαυλισθῇ τι πέρας ὀστοῦ καθ' ὃ διαρθροῦται μάλιστα. καὶ μὲν δὴ καὶ τῶν καταγμάτων, ὅσα τελέως διέστησε τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ, καυληδὸν γεγονέναι φασίν. εὔδηλον δὲ ὡς ἐγκάρσιος ἡ τοιαύτη διαίρεσις, ὥσπερ ἑτέρα, κατὰ τὸ μῆκος μᾶλλον ἐστὶν, οὐ διακόπτουσα παντάπασιν ἀπ' ἀλλήλων τὰ μόρια τῶν οὕτω παθόντων, ἀλλ' οἷον σχίζουσα κατ' εὐθυωρίαν, ἣν ὀνομάζειν αὐτοῖς ἔθος ἐστὶ σχιδακηδόν. ἔνιοι δὲ τῶν νεωτέρων ἰατρῶν ἄχρι τοσούτου φιλοτιμοῦνται πάσας τῶν καταγμάτων τὰς διαφορὰς ἰδίοις ὀνόμασιν ἑρμηνεύειν, ὥστε καὶ ῥαφανηδόν τι γίνεσθαι φασὶν, οὐκ ἀρκούμενοι τῷ λόγῳ δηλῶσαι τὸ πολυειδῶς συντετριμμένον ὀστοῦν. οὐ μὴν Ἱπποκράτης γε τοιοῦτος. ἀλλ' ὡς ἔνι μάλιστα τοῖς συνηθεστάτοις ὀνόμασι χρώμενος, ἑρμηνεύειν οὐκ ὀκνεῖ λόγῳ καὶ ταύτας τῶν καταγμάτων τὰς διαφοράς. καὶ τούτων οὐδὲν ἧττον, ὅσα κατὰ τὰ τῆς κεφαλῆς ὀστᾶ γίγνονται. καὶ εἴπερ οὕτως αὐτῷ περὶ πάντων τῶν παθῶν ὁ λόγος ἐξείργαστο, σύντομος ἂν ἡμῖν ἡ προκειμένη πραγματεία γεγένοιτο. νυνὶ δ' ἐπειδὴ τῶν πλείστων ὑποδείξας τὴν ὁδὸν οἵαν δεῖ ποιεῖσθαι, τὰ κατὰ μέρος ἀνεξέργαστα παρέλιπεν, ἀναγκαῖον ἡμῖν ἐν ἐκείνοις χρονίζειν. οὐ μὴν οὐδὲ ταῦθ' ὑπερβῆναι δίκαιον, ἀλλ' ὅσα μὲν εἴρηται τελέως Ἱπποκράτει, διὰ κεφαλαίων ὑπομνῆσαι, προσθεῖναι δ' ἐνίοις ἀπόδειξιν ἄνευ πίστεως ὑπ' αὐτοῦ ῥηθεῖσι. καί τι καὶ διορίσασθαι τῶν ἀδιορίστων. καὶ τάξαι τῶν ἀτάκτων. καὶ σαφέστερον ἑρμηνεῦσαι τὶ τῶν ἀσαφεστέρων ὑπ' ἐκείνου γραφέντων. ἀλλ' εἰ μὲν τὰς ῥήσεις αὐτοῦ ἐφ' ἑκάστου παραγράφοιμι, μῆκος ὑπομνημάτων ἐξηγητικῶν, ὁ λόγος ἕξει. καί τις ἴσως ἡμῖν ἐγκαλέσει μακρολογίαν εὐλόγως, τῶν οὐκ εὐλόγως ἤδη μεμψαμένων, ἐπὶ τῷ τρίτῳ, καὶ τετάρτῳ γράμματι. κατ' ἐκεῖνα μὲν γὰρ ἀναγκαῖον ἐγένετό μοι, πολλὰς ἐκ τοῦ περὶ τῶν ἑλκῶν βιβλίου ῥήσεις Ἱπποκράτους παραθεμένῳ δεικνύναι τοῖς ἄλλοις ἰατροῖς ἅπασιν, ὁποῖόν τι τὸ κατὰ μέθοδον ἑλκῶν ἐστὶν ἴασιν γράφειν. ἐν δὲ τῷ περὶ τῶν καταγμάτων, τίς οὕτως ἔμπληκτος, ὃς οὐκ ἐπαινεῖ τὴν διδασκαλίαν, ὡς σαφῆ τε ἅμα καὶ τελεώτατα πᾶσαν ἐξειργασμένην. εἰ δὲ καὶ φαίη τις εἷς ἢ δύο, μὴ θαυμάζειν τὸ γράμμα, πρὸς τοὺς τοιούτους μάλιστα μὲν ἐν καιρῷ τὸ τοῦ ποιητοῦ λεχθείη. τοὺς δὲ δ' ἔα φθινύθειν ἕνα καὶ δύο. τίς οὖν ἐστὶν ἡ τῆς καταγμάτων ἰάσεως ἀληθής τε καὶ ὄντως μέθοδος, ἐξ αὐτῶν τῶν πραγμάτων τῆς φύσεως ἐνδεικτικῶς λαμβανομένη, λέγειν ἂν εἴη καιρὸς, ἀρχὴν τῶν λόγων τήνδε θεμένους. ἐπειδὴ λέλυται τῆς συνεχείας τὰ τοῦ κατεαγότος ὀστοῦ μόρια. σκοπὸς μὲν τῆς θεραπείας αὐτοῖς, ὁ γοῦν πρῶτος, ἡ ἕνωσις. εἰ δ' οὗτος ἀδύνατος φαίνοιτο, διὰ τὴν τῶν πεπονθότων μορίων ξηρότητα. δεύτερος ἄλλος ὁ τῆς δι' ἑτέρου κολλήσεως ἀπόκειται σκοπός. ὃς εἰ μὴ δ' αὐτὸς εὑρίσκοιτο δυνατὸς, ἀνίατον ἐροῦμεν εἶναι τὸ πάθος. ὅτι μὲν οὖν ἀδύνατόν ἐστι συμφῦναι τὸ οὕτως σκληρὸν ὀστοῦν οἷον ἐπὶ νεανίσκων ἐστὶ καὶ μειρακίων, καὶ ἀνδρῶν, καὶ πολὺ δὴ μᾶλλον ἐπὶ γερόντων, εὔδηλον δή που παντί. μόνον δ' ἐγχωρεῖ μαλακὸν ἱκανῶς ὀστοῦν, οἷον ἐπὶ τῶν παιδίων ἐστὶ, δέξασθαι σύμφυσιν. ὅτι δὲ καὶ δι' ἑτέρας οὐσίας οἷον διὰ κόλλης, ἐγχωρεῖ κολληθῆναί τε καὶ δεθῆναι πρὸς ἄλληλα τὰ διεστῶτα μόρια τοῦ κατεαγότος, ἐνθένδε μάλιστα ἄν τις ἐλπίσειεν. ἕκαστον τῶν τοῦ ζώου μορίων, τὴν ἰδίαν τροφὴν ὁμοίαν ἔχειν ἑαυτῷ δέδεικται. εἴπερ οὖν ἀληθὲς τοῦτο, καὶ ἡ τῶν ὀστῶν οἰκεία τροφὴ, παχυτάτη καὶ γεωδεστάτη τῶν ἄλλων ἁπασῶν ἔσται τῶν καθ' ὅλον τὸ ζῶον. οὐκοῦν ἀδύνατον ἐξ αὐτῆς ταύτης τῆς οἰκείας τροφῆς περιττεύοντι,

τοῖς τοῦ κατάγματος ἐπιπηγνύμενον χείλεσι, δι' ἑαυτοῦ μέσου κἀκεῖνα κολλῆσαι. καὶ δὴ καὶ φαίνεται γιγνόμενον οὕτως. καὶ μαρτυρεῖ τῇ λογικῇ τοῦ πράγματος ἐλπίδι, καὶ ἡ πεῖρα. σκεπτέον οὖν ἐφεξῆς, ὅτῳ μάλιστ' ἄν τις τρόπῳ τουτὶ τὸ σῶμα τὸ τοῖς κατάγμασιν ἐπιτρεφόμενον, ὅσον τε καὶ οἷον χρή, γεννήσειεν. ὅτι μὲν γὰρ οὔθ' ὁπόσον ἔτυχεν, οὔθ' ὁποῖον, ἀλλὰ συμμετρίας τινὸς εἰς ἄμφω δεόμενον, ἄντικρυς δῆλον. ἥτις δ' ἡ συμμετρία, κατά τε τὸ ποιὸν αὐτὸ καὶ κατὰ τὸ ποσὸν ἔτυχεν, εὑρόντας, ἐφεξῆς χρὴ ζητῆσαι τὸν τρόπον ᾧ μάλιστ' ἄν τις ἑκατέρου τυγχάνῃ. ζητῆσαι δ' οὐδὲν ἧττον ἀναγκαῖον ἐστὶ, καὶ τὸν καιρὸν ἐν ᾧ ταῦτ' ἐργάζεσθαι χρή. πότερον, εὐθέως ἅμα τῷ γενέσθαι τὸ κάταγμα καθάπερ ἐπὶ τῶν τραυμάτων αὐτίκα τὴν σύμφυσιν ἐποιοῦμεν, ἢ μοχθηρὸς μὲν ὁ τοιοῦτος καιρός, ἕτερον δέ τινα βελτίω χρὴ ζητεῖν. εὕροιμεν δ' ἂν καὶ αὐτὸ τοῦτο πρὸς τῆς τοῦ πράγματος φύσεως, ὥσπερ καὶ τἆλλα πάντα, διδασκόμενοι. τίς οὖν ἡ τοῦ πράγματος φύσις; ὀστοῦν κατεαγὸς ἅμα τινὶ τῶν εἰρημένων ὀλίγον ἔμπροσθεν διαφορῶν. ἴδωμεν οὖν ἔτι παρ' ἑκάστης τῶν διαφορῶν εἰς τὴν θεραπείαν αὐτοῦ λαβεῖν ἔστιν ἀπὸ τῆς καυληδὸν ὀνομαζομένης ἀρξάμενοι. παραλλάττει δ' ἐπὶ ταύτης ἀλλήλων τὰ μέρη τοῦ κατεαγότος ὡς μὴ κεῖσθαι κατ' εὐθύ. δῆλον οὖν ὅτι κατ' εὐθὺ χρὴ πρότερον αὐτὰ ποιήσαντα, τῶν ἐφεξῆς τι πράττειν. ἕξει δὲ δήπου τὴν τοιαύτην θέσιν, ἐὰν ἐπὶ τἀναντία παράγηται τὰ διεστῶτα, παραδείγματι χρωμένοις τῷ ὑγιεῖ. παρ' ἐκείνου γὰρ ἀκριβὴς ἡ ἔνδειξις ἐστὶ τῆς μεταθέσεως αὐτῶν. ἐγχωρεῖ γέ τοι καὶ πρόσω τοῦ κώλου καὶ ὀπίσω καὶ τῇ δὲ καὶ τῇ δὲ γενέσθαι τὴν μετάστασιν. ὅσα μὲν οὖν ὀπίσω μᾶλλον μετέστη, ταῦτ' ὠθεῖν χρὴ πρόσω μετὰ τοῦ τὸ ἕτερον μέρος τοῦ κατεαγότος, ἀντωθεῖν μετρίως εἰς τοὐναντίον. ὅσα δὲ πρόσω, ταῦτ' εἰς τοὐπίσω μὲν αὐτά, τὸ δὲ ὑπόλοιπον μέρος ἄγειν ἠρέμα πρόσω. κατὰ ταῦτα δὲ καὶ τῶν εἰς τὸ δεξιὸν μέρος διεστώτων, ἡ ἴασις εἰς τὸ ἀριστερὸν ἀγομένων. ὥσπερ καὶ τῶν ἐπὶ τὸ ἀριστερὸν εἰς τὸ δεξιόν, ἀεὶ τοῦ ἑτέρου μέρους ἀντωθουμένου μετρίως. ἀλλ' ἐν τῷ διὰ τὴν ἐναντίαν ὁδὸν ἄγειν ἑκάτερον, οὐ σμικρὸς κίνδυνός ἐστι θραυσθῆναί τινας ἐξοχὰς αὐτῶν. οὐ γὰρ δὴ λεῖόν γε τὸ πέρας ἑκατέρου τοῦ μέρους ἐστίν, ὡς ἐπὶ τῶν ἀποπριομένων γίνεται. καὶ μὴν εἴπερ αὗται θραυσθεῖεν, οὐκ ἂν ἀκριβῶς ἔτι συναρμοσθεῖεν πρὸς ἄλληλα τοῦ κατεαγότος ὀστοῦ τὰ πέρατα, διὰ διττὴν αἰτίαν. αὐτά τε γὰρ οἶμαι τὰ θραύσματα, μεταξὺ τῶν συναγομένων μερῶν ἱστάμενα, διακωλύσει ψαύειν ἀλλήλων τὰ συναρμοττόμενα. καὶ εἴπερ ἄρα δυνηθείη τι πρὸς τοὐκτὸς τῶν ὀστῶν ἐκπεσεῖν, οὐδ' οὕτως ἀκριβὴς ἡ ἁρμονία γενήσεται τῶν διαπλαττομένων, ὡς τὴν ἀρχαίαν ἕνωσιν μιμήσασθαι. μόνως γὰρ ἂν ἐκείνη γένοιτο, τῶν ἐξοχῶν ἁρμοσθεισῶν ἐν ταῖς κοιλότησιν. εἰ δ' ἅπαξ ἀπόλλοιντο θραυσθεῖσαι, κενὴν χώραν ἀναγκαῖον ἀπολειφθῆναι μεταξὺ τῶν ἁρμοζομένων ἀλλήλοις ὀστῶν. εἰς ἣν ἰχῶρας ἀθροιζομένους, εἶτ' ἐν τῷ χρόνῳ σηπομένους, ὅλον ἅμ' ἑαυτοῖς τὸ κῶλον ἀνάγκη διαφθεῖραι. διὰ ταῦτα μὲν οὖν χρὴ τὴν παραγωγὴν τῶν ὀστῶν ποιεῖσθαι διεστώτων. αὐτὸ δὲ δὴ τοῦτο πάλιν οὐχ οἷόν τε καλῶς ἐργάσασθαι, χωρὶς ἀντιτάσεως. χρὴ τοίνυν ἤτοι διὰ τῶν χειρῶν, εἰ μικρὸν εἴη τὸ κῶλον, ἢ διὰ βρόχων περιβαλλομένων, ἢ καὶ σὺν αὐτοῖς ὀργάνων οἵων Ἱπποκράτης ἡμᾶς ἐδίδαξε τὴν ἀντίτασιν ποιεῖσθαι τῶν ὀστῶν. ἐπειδὰν δ' ἱκανῶς διαταθῇ καὶ μηκέτι κίνδυνος, ἀλλήλοις ἐνερείδειν τῷ παράγεσθαι, κατ' εὐθὺ θέμενον ἀνεῖναι τοὺς βρόχους, ἐπιτρέψαντα τοῖς μυσί, συνάγειν εἰς ταὐτὸ τὰ διεστῶτα. συνεφάπτεσθαι δὲ ἐν τούτῳ ταῖς χερσί. καὶ αὐτὸν ἔτι που παραλλάττει μικρὸν ἐπανορθούμενόν τε καὶ διαπλάττοντα. μετὰ δὲ ταῦτα, δεύτερος ἂν εἴη σκοπὸς ἀτρεμεῖν ἀκριβῶς τὸ κῶλον, ὡς μηδὲν κινεῖσθαι τῶν διαπλασθέντων. ἀναγκαῖον γὰρ ἐν τῷ δὲ παραλλάττειν αὖθις. εἰ μὲν οὖν ἐπιτρέψαις αὐτῷ τῷ κάμνοντι προνοεῖσθαι τῆς ἡσυχίας αὐτοῦ, περὶ μὲν τὸν τῆς ἐγρηγόρσεως χρόνον, ἴσως ἂν τοῦτο πράξειεν. ὑπνώττων δ' ἐξ ἀνάγκης, κινήσει τὸ κῶλον. ὅπως οὖν ἀεὶ φυλάττοιτο τῶν διαπλασθέντων ἡ θέσις, οὐ μόνον ὑπνώττοντος, ἀλλὰ καὶ πρὸς ἀφόδους ἀνισταμένου τοῦ ἀνθρώπου, κἂν ταῖς μεθυποστρώσεσιν, ἀσφαλεῖ δεσμῷ περιλαβεῖν χρὴ τὸ κάταγμα, σφίγγειν ἀκριβῶς δυναμένῳ πρὸς ἄλληλα τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ. ἀλλ' ἐπεὶ τῶν δεσμῶν ὁ μὲν χαλαρὸς, ἐπιτρέπει κινεῖσθαι τοῖς ὀστοῖς, ὁ δ' ἰσχυρὸς σφιγγόμενος, ὀδύνην ἀπεργάζεται, πειρατέον ἀπολαύοντα τῆς ἀφ' ἑκατέρου χρείας, φυλάττεσθαι τὴν βλάβην. γένοιτο δ' ἂν τοῦτο φευγόντων τὰς ἀμετρίας. μήτε οὖν εἰς τοσοῦτον σφίγγειν ὡς ἤδη καὶ θλίβειν, μήθ' οὕτως ἐκλύειν τὴν σφίγξιν, ὡς χαλαρὸν ἐργάζεσθαι. εἰ μὲν οὖν ἰσοπαχὲς εἴη ἕκαστον τῶν μορίων, ὁ πλατύτατος ἂν ἐπίδεσμος ἄριστος ὑπῆρχεν, ὅλον ὁμαλῶς τε καὶ συνεχῶς ἐκ παντὸς μέρους περιλαμβάνων τὸ κατεαγός. ἐπεὶ δ' οὐχ οὕτως ἔχει, τῷ μὲν θώρακι περιβάλλειν ἐγχωρεῖν τὸν πλατύτατον. οὔτε δ' ἐπὶ τῶν κώλων, οὔτ' ἐπὶ κλειδός, ἀλλ' ἐπὶ τῶν τοιούτων, ὁ στενὸς ἀμείνων. ὡς ἂν μήτε ῥυτιδούμενος ἅπαντί τε μορίῳ ψαύων τοῦ δέρματος ᾧ περιελήλικται. ἀλλ' οὗτός γε οὐκ ἀσφαλὴ, ὀλίγαις λαβαῖς συνέχων τὸ κατεαγός. ὅσον οὖν εἰς ἀσφάλειαν αὐτοῦ διὰ τὴν στενότητα λείπει, τοῦτ' ἐκ πλήθους τῶν περιβολῶν καὶ τῆς ἐπὶ τὸ ὑγιὲς νομῆς, προσθεῖναι. ἀλλ' ἐπεὶ τῶν ἐπιδέσμων, ὅσοι πιλοῦσί τε καὶ σφίγγουσιν ἀλύπως τὴν σάρκα, φύσιν ἔχουσιν ἐκθλίβειν μὲν ἐξ ἐκείνων τῶν μορίων οἷς πρώτοις ἐπιβάλλονται τοὺς χυμούς, ἐναποτίθεσθαι δὲ καὶ στηρίζειν εἰς ἅπερ ἐτελεύτησαν, εὔλογον οἶμαι βάλλεσθαι μὲν τὴν ἀρχὴν τῶν ἐπιδέσμων ἐπ' αὐτὸ τὸ κάταγμα. νέμεσθαι δὲ ἐντεῦθεν ἐπὶ τὸ λοιπὸν κῶλον. ὁ γὰρ ἔμπαλιν ἐπιδῶν ἀπὸ τῶν ὑγιεινῶν ἐπὶ τὸ πεπονθὸς ἐκθλίβοι τὸ αἷμα. καὶ μὴν εἴπερ ἀπὸ μὲν τοῦ πεπονθότος ἄρχεσθαι προσήκει, τελευτᾶν δὲ ἐπὶ τὸ ὑγιές, οὐ μόνον ἀβλαβὴς ἡ ἐπίδεσις εἰς ἅπερ εἴπομεν ἡ τοιαύτη γένοιτ' ἄν, ἀλλὰ καὶ χρηστόν τι προσεκπορίζουσα. φλεγμονὴν γὰρ οὐδεμίαν ἐάσει συστῆναι περὶ τὸ κάταγμα. χρὴ δὲ οἶμαι καὶ τούτων φροντίζειν ἐν τοῖς μάλιστα. κίνδυνος γὰρ ἐπί τε ταῖς ἀντιτάσεσιν, ἃς διαπλάττοντες τὸ κῶλον ἐποιούμεθα, καὶ πρὸ τούτων ὅτι τὰ πλεῖστα τῶν ἐργαζομένων αἴτιον τὸ κάταγμα τὴν περιβεβλημένην τοῖς ὀστοῖς σάρκα, πρότερον ἀδικεῖ πιλοῦντα καὶ θλῶντα, ὡς μεγάλας ἀκολουθῆσαι φλεγμονάς. οὐ θαυμάσαιμι δ' ἂν οὐδ' εἰ καὶ τοῖς ὀστοῖς αὐτοῖς τοῖς κατεαγόσιν, ἀνάλογόν τι φλεγμονῇ συμπίπτει. καὶ γὰρ καὶ φαίνεται τά γε μὴ καλῶς ἰαθέντα, σαφῶς ὑψηλότερα τῶν κατὰ φύσιν, ὅταν ἅμα τραύματι τὸ κάταγμα γενόμενον, ὑπὸ τὴν τῆς ὄψεως ἥκῃ διάγνωσιν. οὐ μὴν οὐδὲ ὁ σφάκελος ἐξ ἄλλης προφάσεως ὁρμᾶται.

φθορὰ

Deligandi ratio in fracturis

φθορὰ καὶ αὐτὸς ὑπάρχων ὅλης τῆς οὐσίας αὐτῶν. οὔκουν ἀμελεῖν χρὴ τοῦ τὸ περιττὸν ὑγρὸν ἐκθλίβεσθαι πάντων τῶν περὶ τὸ κάταγμα μορίων. ἄρχεσθαί τε οὖν ἀπὸ τοῦ πεπονθότος, καὶ δὶς ἢ τρὶς ἐν κύκλῳ περιβαλόντα, νέμεσθαι τοὐντεῦθεν ἐπὶ τὸ ὑγιές. τὸ γὰρ οὕτως ἐπιδοῦν, ἀπείργει τε τὴν ἐκ τῶν ὑγιῶν εἰς τὸ πεπονθὸς ἐπιῤῥοὴν τοῦ αἵματος, ἐκθλίβει τε τὸ φθάσαν ἠθροῖσθαι κατ' αὐτό. διττῶν δὲ ὄντων χωρίων τῶν δυναμένων ἐνδέξασθαί τι παρὰ τῶν πεπονθότων, καὶ πέψαι, τὰ μὲν ὑποκείμενα, διά τε τὸ πλῆθος καὶ τὸ μέγεθος ἱκανώτερα πρὸς ἄμφω. τὰ δὲ ἄκρα, διὰ τὰ ἐναντία, βραχὺ μέν τι καὶ δέξασθαι καὶ πέψαι δύναται. πολὺ δὲ οὔτε χορηγῆσαί ποτε τοῖς πεπονθόσιν, οὔτε παρ' ἐκείνων λαβεῖν. ὥστε διὰ ταῦτα δύο ἐπιδέσμα τὰ πρῶτα ποιησάμενος ὁ Ἱπποκράτης, τῷ μὲν ἑτέρῳ προτέρῳ τό, τε περιεχόμενον ἐν τοῖς πεπονθόσιν ἐκθλίβει πρὸς τὰ ὑποκείμενα, τό, τε ἐξ ἐκείνων ἐπιῤῥέον ἀνείργει. τῷ δὲ ὑπολοίπῳ, κατὰ μὲν τὰς πρώτας ἐπιβολὰς ἃς κατ' αὐτοῦ τε τοῦ κατάγματος, ἔτι τε τῆς ἐπὶ τὰ κάτω νομῆς τῶν ὀθονίων ποιεῖται, τὸ μὲν ἐκθλίβει πρὸς αὐτά, τὸ δέ, ἀνείργει. κατὰ δὲ τὰς ἑξῆς ἁπάσας ἡνίκα ἐκ τῶν κατωτάτω μερῶν ἄνω παλινδρομεῖν ἀξιοῖ τὸν ἐπίδεσμον, ὡς εἰς ταὐτὸ τῷ προτέρῳ τελευτῆσαι τοῖς ὑπερκειμένοις ἐκθλίβων, τὰς δὲ αὐτῶν ἐπιῤῥοὰς κωλύει. φρουρεῖ οὖν ἅμα καὶ στηρίζει τὸ κατεαγός. ἀφλέγμαντόν τε φυλάττει τὰ πρῶτα δύο τῶν ὀθονίων. οὐ μὴν ἱκανά γε μόνα τὰ εἰρημένα, πρὸς ἀμφοτέρας τὰς χρείας. ὅθεν εἰς μὲν τὴν φρουρὰν, ἐπικουρίαν αὐτοῖς ὁ Ἱπποκράτης ἐξεῦρε τὴν τῶν σπληνῶν ἐπιβολὴν, ἅμα καὶ τοῖς ἔξωθεν ὀθονίοις, ἃ τούτους αὐτοὺς στηρίζει. πρὸς δὲ τὸ μὴ φλεγμῆναι, φαρμάκῳ τινὶ κελεύει χρῆσθαι τῶν ἀφλεγμάντων, οἷάπερ ἐστὶν ἡ ὑγρὰ κηρωτή. ταῦτα τε οὖν ἅπαντα τοῖς εἰρημένοις λογισμοῖς εὑρέθη. καὶ πρὸς τούτοις ἔτι τὸ τῆς ἀναθέσεως σχῆμα, διττῷ καὶ τοῦτ' ἐνδείξεως ὑποπίπτον τρόπῳ. προτέρῳ μὲν ἐκ τῶν κοινῶν ἐννοιῶν ἠρτημένῳ ψιλῷ. ἑτέρῳ δὲ ἐκ τῆς τῶν θεραπευομένων ὀργάνων κατασκευῆς. ὁ μὲν οὖν πρότερος, ἀνωδυνώτατον αἱρεῖσθαι συμβουλεύει σχῆμα, πρός τε τὸ μὴ φλεγμαίνειν τὰ μόρια, καὶ διαμένειν ἀτρέμα ἐπ' αὐτῷ μόνου δύνασθαι τὸν κάμνοντα χρόνῳ παμπόλλῳ. ὁ δὲ δεύτερος τρόπος ὁ ἐκ τῆς τῶν θεραπευομένων φύσεως ὁρμώμενος. ἀρτηρίας καὶ φλέβας, καὶ νεῦρα, καὶ μῦς, ὡς εὐθύτατα κεῖσθαι κελεύει. καὶ δὴ καὶ ὁμολογοῦσιν ἀλλήλοις οἱ τρόποι. τό, τε γὰρ εὐθύτατον ἑκάστου μορίου σχῆμα, μάλιστά ἐστιν ἀνώδυνον. ὅτι δ' ἂν ἑτέρου μᾶλλον ἀνώδυνον ᾖ, κατὰ φύσιν μάλιστα ἐστὶ τῷ κώλῳ. χειρὶ μὲν τὸ καλούμενον ἐγγώνιον, σκέλει δὲ, τὸ μικροῦ δεῖν ἐκτεταμένον. εἰς ἀνωδυνίαν δὲ οὐ μόνον τὸ κατὰ φύσιν ἑκάστου σχῆμα τῶν ὀργάνων, ἀλλά τι καὶ τὸ ἔθος ἔοικε συντελεῖν. αὕτη μὲν οὖν σοι καὶ ἡ τοῦ σχήματος εὕρεσις, ἐν ᾧ χρὴ διαφυλάττειν τὸ κῶλον. ἡ δ' αὐτὴ, κατὰ τὴν ἀντίτασίν τε καὶ διάπλασιν. ἄμεινον γὰρ ἐν εὐθυτάτῳ καὶ ἀνωδυνωτάτῳ διατείνειν καὶ διαπλάττειν τὸ κῶλον. πολὺ δὲ δὴ μᾶλλον ἐν τῷ αὐτῷ σχήματι τὴν ἐπίδεσίν τε, καὶ τὴν ἡσυχίαν τοῦ μορίου ποιεῖσθαι προσήκει. τὸ γὰρ ἐν ἄλλῳ μὲν ἐπιδεῖν, ὑπαλλάττειν δὲ εἰς ἕτερον, οὐκ ὀδύνην μόνον, ἀλλὰ καὶ διαστροφὴν ἐργάζεται τοῖς ὀστοῖς. εἰ γάρ τι μεμνήμεθα τῶν ἐν τοῖς περὶ μυῶν κινήσεως ὑπομνήμασιν εἰρημένων, ἀναγκαῖόν ἐστιν, ὑπαλλαττόντων τὸ σχῆμα, τινὰς μὲν τῶν μυῶν ἐντείνεσθαί τε καὶ οἷον σφαιροῦσθαι συναγομένους. ἐνίους δ' ἐκλύεσθαί τε καὶ χαλᾶσθαι. ἔνθα μὲν οὖν ἐντείνονται, θλίβεσθαί τε πρὸς τῶν ἐπιδέσμων αὐτοὺς ἀναγκαῖον ἐστὶν, ὀδυνᾶσθαί τε διὰ τὴν θλίψιν. ἔνθα δὲ ἡ τάσις ἐκλύεται χαλαρὰν μὲν ἐν ἐκείνῳ τῷ μέρει τὴν ἐπίδεσιν, ἀστήρικτον δὲ γίνεσθαι τὸ κάταγμα. διὰ ταῦτ' οὖν ἅπαντα διατείνειν τε καὶ διαπλάττειν, ἐπιδεῖν τε καὶ ἀποτίθεσθαι καθ' ἓν σχῆμα τὸ ἀνωδυνώτατον, ἕλοιτ' ἄν τις. εἰς μὲν δὴ τὴν πρώτην ἐνέργειαν ἣν ἐνεργοῦμεν ἐν τοῖς κατεαγόσιν, οὐδὲν ἔτι λείπει παράγγελμα. λύειν δὲ κελεύει διὰ τρίτης ὁ Ἱπποκράτης, ὅπως μήτ' ἄση τις γίγνοιτο, μήτε κνῆσις ἀήθως σκεπασθέντι τῷ μορίῳ, μήτ' ἐπὶ πλέον αἱ διαπνοαὶ κωλύοιντο τοῦ φθάσαντος ἐστηρίχθαι κατὰ τὸ κάταγμα. δι' ἃς οὐ μόνον ἀσώδως κνήσεσθαι συμβαίνει τισὶν, ἀλλὰ καὶ διαβρωθέντος ὑπὸ τῆς τῶν ἰχώρων δριμύτητος ἐνίοτε τοῦ δέρματος, ἕλκωσιν γενέσθαι. καταντλεῖν οὖν ὕδατος εὐκράτου τοσοῦτον, ὅσον ἱκανόν ἐστι διαφορῆσαι τοὺς τοιούτους ἰχῶρας. ἣν δὲ δὴ καὶ αὖθις ὁμοίως πράξῃς, ἑβδόμη μὲν ἂν εἴη μετὰ τὴν πρώτην ἀρχὴν, ἡμέρα. φαίνοιτο δ' ἂν ἤδη μηδενός γε ἐμποδὼν γενομένου, πάντ' ἀφλέγμαντα, καὶ αὐτοῦ γε τοῦ κατὰ φύσιν, ἐνίοτε μᾶλλον ἰσχνά. τότε οὖν ἐγχωρεῖ νάρθηκάς τε περιτιθέναι, καὶ λύειν διὰ πλείονος. ἔμπροσθεν μὲν γὰρ οὔθ' ὁ τῆς φλεγμονῆς ἐπεκράτει σκοπὸς, οὐκ ἦν ἀσφαλὲς θλίβειν τοῖς νάρθηξι. νυνὶ δὲ ἐπειδὴ πέπαυται μὲν αὕτη, στηρίζεσθαι δὲ χρὴ τὸ κάταγμα, καλῶς ἄν τις αὐτοῖς χρῷτο. καὶ μὲν δὴ καὶ διὰ πλείονος ἐγχωρεῖ λύειν ὡς ἂν μηκέτι χρῃζόντων τῶν μερῶν ἀποκρίνειν ἰχῶρας, ἀλλὰ καὶ ἡ πώρωσις ἄμεινον ἂν οὕτως γίγνοιτο. χρὴ γὰρ, ὡς ἔμπροσθεν εἴρηται, παγῆναί τι τῆς οἰκείας τροφῆς τῶν ὀστῶν, ἵνα γένηται πῶρος. οὔκουν χρὴ τοῦτ' ἀποκλύζειν τῶν χειλῶν τοῦ κατάγματος, ἢ διαφορεῖν ἐκτὸς, ὅπερ αἱ συνεχεῖς λύσεις ἐργάζονται. οὐ μὴν οὐδ' οὕτω πολὺ διαλείπειν, ὡς μὴ δὲ γνῶναι πῶς προχωρεῖ τὸ κάταγμα. πολλάκις γοῦν ἐθεασάμην ἀκριβῶς ξηρανθέντων τῶν ὀστῶν, δυσχερῶς γιγνομένην τὴν πώρωσιν. ἐπαντλεῖν οὖν χρὴ τοῖς δὲ μέτριον τῷ πλήθει διὰ τρίτης ἢ τετάρτης ἡμέρας, ὕδωρ θερμὸν, ὅρον ἔχοντα τοῦ παύσασθαι τῆς καταιονήσεως, τὴν εἰς ὄγκον ἐρυθρὸν ἔπαρσιν τῶν σαρκῶν. ἐπὶ μὲν δὴ τούτων, πρὶν ἄρχεσθαι καθίστασθαι, παύσασθαι χρὴ, καθάπερ ἐφ' ὧν διαφορῆσαί τι βουλόμεθα, μὴ παύεσθαι πρὸ τοῦ συμπεσεῖν τὸν ἐκ τῆς αἰονήσεως ὄγκον. ἐφ' ὧν δ' ὑγρότης ἐστὶ πλείων, καὶ διὰ ταύτην οὐ πωροῦνται τὰ κατεαγότα, ξηραίνειν αὐτὴν, ὡς ἔμπροσθεν εἴρηται, πειρᾶσθαι δι' ἐπιδέσεως προσηκούσης καὶ καταντλήσεως, ἤτοι γ' ἐλαχίστης παντάπασιν, ἢ πλείστης. ἡ μὲν γὰρ ἐλαχίστη, πρὶν ἐπιῤῥυῆναι παυομένη, τά τε πρόχειρα τῶν ὑγρῶν διαφορεῖ, τά τε ἐν τῷ βάθει διαχεῖ μετρίως. συμφέρει δὲ οὕτω κεχύσθαι τοῖς ὑπὸ τῆς ἐπιδέσεως ἐκθλίβεσθαι μέλλουσιν. ἡ δὲ πλείστη, διαφορεῖ πλέον ἢ ἕλκει. εὔδηλον δὲ δήπου καὶ ὡς ἐπὶ μὲν τῆς ἐκθλιβούσης ἐπιδέσεως, ἧττον χρὴ πιέζειν τὰ τελευταῖα τῶν ὀθονίων. ἐπὶ δὲ τῆς ἀναστρεφούσης, οὐχ ἧττον ταῦτα. καὶ συμπάσας τὰς περιβολὰς χαλαρωτέρας ποιεῖσθαι. ἐπεὶ δὲ οὐ μόνον ἐν ᾧ χρὴ καιρῷ συμπράττειν ταῖς πωρώσεσιν, ἀλλὰ καὶ ὅπως ἐξεύρηται, λείποιτ' ἂν ἔτι περὶ τῆς συμπάσης διαίτης εἰπεῖν. ὅτι μὲν οὖν ἐν ἀρχῇ λεπτοτάτως χρὴ διαιτᾶν, ἐν τῇ τῶν φλεγμονῶν οἰκείᾳ θεραπείᾳ λεχθήσεται. λεχθήσεται δὲ καὶ ὡς φλέβα χρὴ τέμνειν ἐνίοτε, καὶ διὰ γαστρὸς ἐκκενοῦν τὰ περιττά. κατὰ δὲ τὸν τῆς πωρώσεως

καιρὸν, ἀναθρέψειν χρὴ τὸ σῶμα σιτίοις εὐχύμοις καὶ τροφίμοις. ἐξ ὧν εἴωθε γεννᾶσθαι χυμὸς, οὐ μόνον χρηστὸς, ἀλλὰ καὶ γλίσχρος, ἐξ οἴνου χρὴ μάλιστα γίγνεσθαι τὸν πῶρον. ἐκ μὲν γὰρ τοῦ ὀῤῥώδους καὶ λεπτῆς ὑγρότητος, οὐδ' ἂν γεννηθείη τὴν ἀρχήν. ἐκ δὲ τῆς παχείας μὲν ἀλλὰ ψαθυρᾶς καὶ ἀλιποῦς, γεννηθείη μὲν ἂν οὐ βραδέως, ἀλλ' ἐν τῷ χρόνῳ ξηραινόμενος, κραυρότερος, καὶ διὰ τοῦτο εὔθραυστος γίνεται. μέγεθος δὲ ἔστω τηλικοῦτος, ὡς ἀσφαλῆ τε ἅμα δεσμὸν εἶναι τοῖς ὀστοῖς, καὶ μὴ θλίβειν τοὺς μῦς. ὁ μὲν γὰρ μικρότερος ἢ χρὴ, σφαλερὸς τοῖς ὀστοῖς, ὁ δὲ μείζων τοῦ προσήκοντος, ὀδυνηρὸς τοῖς μυσί. προσέχειν οὖν ἀκριβῶς αὐτῷ τὸν νοῦν, ἤτοι προτρέπειν ἐνδεῶς γιγνόμενον, ἢ κωλύειν ἀμέτρως αὐξανόμενον. ἐξ ὧν δ' ἐργάσῃ ταῦτα, τό, τε ποσὸν τῆς αἰωνήσεως ἐστὶ, καὶ τὸ ποιὸν, καὶ τὸ ποσὸν τῶν ἐδεσμάτων. εἴτε ἔξωθεν ἐπιτιθέμεναι κατ' αὐτοῦ δυνάμεις φαρμάκων. περὶ μὲν οὖν αἰωνήσεως καὶ διαίτης, προείρηται. τῶν δὲ φαρμάκων ὅσα μὲν ἐμπλαστικὰ ταῖς οὐσίαις ἐστὶ μετρίως θερμαίνοντα, προτρέπει τε καὶ συναύξει τοὺς πώρους. ὅσα δὲ διαφορητικὰ, καὶ τοὺς ὄντας ἤδη μεγάλους, καθαιρεῖ. μήτε δὲ ἀναθρέψειν ἐθέλων, μήτε καθαιρεῖν τὸν πῶρον, ἀλλ' ὡς αὐτὸς ὡρμήθη δέχεσθαι, φαρμάκων κέχρησο τῶν ἐναίμων ὀνομαζομένων. ἃ δὴ μετρίως ξηραίνοντα, καὶ τὴν πῆξιν ἐργάζεται μετρίαν τοῦ πώρου. περὶ μὲν δὴ τῶν ἐγκαρσίων καταγμάτων, ἱκανὰ ταῦτα. περὶ δὲ τῶν παραμήκων, τὰ μὲν ἄλλα σύμπαντα τὰ αὐτά. πιέζειν δὲ χρὴ μᾶλλον ταῦτα κατ' αὐτὸ τὸ κάταγμα, καὶ προστέλλειν εἴσω τὸ ἀφεστηκός. ὅσα δὲ ἐθραύσθη πολυειδῶς, καὶ μάλιστα σὺν ἕλκεσιν, ὅπερ ὡς τὰ πολλὰ φιλεῖ γίγνεσθαι, σπλῆνα σκεπηνηδὸν ὡς Ἱπποκράτης ἐκέλευσε περιβάλλειν, οἴνῳ τέγγοντας αὐστηρῷ τε καὶ μέλανι. καὶ μάλιστ' ἐν θέρει. σήπεται γὰρ εἴτε ἐλαίῳ τις, εἴτε κηρωτῇ χρῷτο, δεόμενά γε ξηραίνεσθαι μειζόνως ἢ τἄλλα. διότι καὶ μεῖζον τὸ πάθημα. κοινὰ τοίνυν καὶ τὰ φάρμακα πάντα τῶν ξηραινόντων ἔστω, καθάπερ ἐκεῖνος ἐκέλευσεν, ἅμα καὶ τὸ μέτρον ἐπ' αὐτοῖς ὁρίσας. ἐκ γὰρ τῶν ἐναίμων ὀνομαζομένων εἶναι κελεύει τὰ τοιαῦτα τῶν φαρμάκων. εἰ δὲ καὶ κατ' ἀρχὰς τις εὐθέως αὐτοῖς χρῷτο, τοιοῦτον εἶναι συνεβούλευε τὸ ἔναιμον, ὃ συντροφόν ἐστιν ἐπιτέγξει. τὰ μὲν οὖν ἄλλα σύμπαντα, ταῖς ἐκείνου ποιητέον ὑποθήκαις, οὐκ ἐν τοῖς εἰρημένοις μόνον, ἀλλὰ κἂν γυμνωθὲν τὸ ὀστοῦν, ἐκτρήσεως δέοιτο, κἂν παραχίδας τινὰς, ἤτοι γ' αὐτὸν ἀφαιρεῖν, ἢ τῇ φύσει ἐξωθούσης συμπράττειν προσήκει. περὶ δὲ τῶν ὑποτιθεμένων σωλήνων τοῖς σκέλεσιν, ὅσα μὲν Ἱπποκράτης ἠπόρησεν, εἴτε χρηστὸν, εἴτε μὴ χρηστὸν, ἅπαντές τε γινώσκουσιν. ἐπαινεῖν τε χρὴ τοὺς λογισμούς. ὁ δὲ τοῖς νεωτέροις εὕρηται γλωσσοκόμιον, ᾧ χρώμεθα μάλιστα κατὰ τὴν τῆς πωρώσεως καιρὸν, ἐπαινῶ μὲν, εἴπερ τι καὶ ἄλλο τῶν τοιούτων μηχανημάτων. οὐ μὴν ἔοικέ γε Ἱπποκράτης γινώσκειν αὐτό. καί τοι γε οὐκ ἀμελὴς ὑπάρχων εἰς τὴν τῶν χρησίμων ὀργάνων εὕρεσιν, ἀλλὰ τό γε τοῖς σκέλεσιν ὑποτιθέμενον ὄργανον, ὀρθῶς αὐτοῖς ἐξεύρηται. δι' ἑνὸς ἄξονος ἐπὶ τελευτῇ τοῦ μηχανήματος ἐν τοῖς κάτω μέρεσι τεταγμένου, τὴν ἀντίτασιν ἐργαζομένων ὅλῳ τῷ κώλῳ, ἐν τάσεσι διτταῖς. ὀνομάζεται δὲ αὐτῶν, ἡ μὲν κατ' εὐθὺ τείνουσα τὸ κῶλον, εὐθύπορος. ἡ δ' ἄνω μὲν πρότερον, εὐθὺς δὲ κάτω, μεταληπτική. γίνονται δὲ ἀμφότεραι, διὰ περιθέσεως βρόχων. ἄριστος δ' εἰ τοῦτο βρόχος, ὁ ἐκ δυοῖν διαρτέων. οὗτος οὖν ἐν μὲν τοῖς κάτω τοῦ κατάγματος μέρεσι τοῦ κώλου περιτιθεὶς, τὴν εὐθύπορον ἐργάζεται τάσιν, τῶν σκελῶν αὐτοῦ περιτεθέντων τῷ ἄξονι. ἐν δὲ τοῖς ἄνω μέρεσι τοῦ κατάγματος, ὁ αὐτὸς οὗτος βρόχος εἰ περιβληθείη, τὴν μεταληπτικὴν ἀποτελεῖ τάσιν, ἀπαχθέντων αὐτοῦ τῶν σκελῶν. ἄνω μὲν πρότερον, εἶτ' αὖθις κάτω. περιβληθῆναι γοῦν χρὴ καὶ ταῦτα τῷ ἄξονι. τὴν περιαγωγὴν δὲ καὶ τὴν οἷον καμπὴν τῶν σκελῶν τοῦ βρόχου τὴν ἐκ τῶν ἄνω μερῶν εἰς τὸ κάτω, διὰ τροχιλίων γίγνεσθαι χρὴ, κατὰ τὰς πλευρὰς τοῦ γλωττοκομίου τεταγμένων. ἔξεστι δὲ καὶ σωλῆνα καλεῖν τὸ τοιοῦτον μηχάνημα. καὶ μετὰ προσθήκης, σωλῆνα μηχανικὸν, ἢ γλωττοκόμιον μηχανικόν. ἀλλὰ περὶ μὲν ὀργάνων, ἐπὶ πλέον ἐροῦμεν ἐν ταῖς τῶν ἐξαρθρημάτων ἰάσεσιν. ὡσαύτως δὲ καὶ περὶ τῆς ἐπιδέσμων ποικιλίας, ἐν ἐκείνοις λελέξεται. νυνὶ δὲ ἐπειδὴ περὶ τοῦ μηχανικοῦ σωλῆνος ἐμνημόνευσα, πολλὴν χρείαν παρεχομένου τῷ σκέλει, καὶ κατὰ τὴν ἄλλην μὲν ἀπόθεσιν, ἔτι δὲ μᾶλλον ἐπειδὰν ἀλλάττῃ τὴν κοίτην ὁ κάμνων, ἢ ἀποτρίβηταί τι τῶν κατὰ γαστέρα, καλῶς ἂν ἔχοι πρὸς τῷ μηδὲν ἔτι ἐνδεῖν εἰς τὸν ὑπὲρ τούτων λόγον, ἐπαινέσαι πολὺ μᾶλλον ἐκεῖνο τὸ γλωττοκόμιον. οὗ καὶ τὴν ἑτέραν τῶν πλευρῶν, καὶ τὸ σανίδιον ἐφ' ὃ τὸν πόδα στηρίζουσι, κινούμενα κατασκευάζουσιν. ὥστε ἁρμόζειν ἅπαντι μεγέθει κώλου. περὶ μὲν δὴ τῶν ἄλλων καταγμάτων, ἀρκεῖ καὶ ταῦτα μετὰ τῶν ὑφ' Ἱπποκράτους εἰρημένων γιγνώσκεσθαι. περὶ δὲ τῶν ἐν τῇ κεφαλῇ, γέγραπται μέν πού καὶ περὶ τούτων Ἱπποκράτει βιβλίον ὅλον, ἅπαντα διδάσκων ὅσα χρὴ πράττειν ἐπ' αὐτῶν. καὶ ἡμεῖς δὲ ὅταν τήνδε τὴν πραγματείαν, ἐπιτελέσωμεν ἐπιθησόμεθα ταῖς ἐξηγήσεσι τῶν συγγραμμάτων αὐτοῦ. κατὰ δὲ τὸ παρὸν, ἐπειδὴ τά τε προσδεόμενα τοῖς ὑπ' ἐκείνου λεχθεῖσιν ἐν τοῖς δὲ τοῖς ὑπομνήμασι προστίθεμεν, ὅσα τε ἀδιορίστως εἶπε διορίζομεθα, πρῶτον μὲν ἀναγκαῖον ἐστὶ μνημονεῦσαι τῶν κοίλων ἐκκοπέων, οὓς καὶ κυκλίσκους ὀνομάζουσιν. εἶθ' ἑξῆς τῶν φακωτῶν. καὶ μετ' αὐτοὺς, τῶν στενῶν ξυστήρων. εἶτα περὶ τῆς τῶν φαρμάκων χρήσεως εἰπεῖν τι. τῶν τοίνυν καταγμάτων τοῦ κρανίου, τινὰ μὲν ἄχρι τῆς διπλόης ἐξήκει. τινὰ δὲ ἄχρι τῆς ἔνδον ἐπιφανείας τῶν ὀστῶν. καὶ τινὰ μὲν ἁπλαῖ ῥωγμαί. τινὰ δὲ, θλάσεις. τινὰ δὲ, ἕδραι τῶν πληξάντων εἰσίν. αἱ μὲν οὖν ἁπλαῖ ῥωγμαὶ μέχρι τῆς διπλόης διαχθεῖσαι, τῶν νῦν εἰρημένων ξυστήρων χρῄζουσι τῶν στενῶν. εἶναι δ' αὐτοὺς χρὴ πολλοὺς μὲν τὸ πλῆθος, ἀνίσους δὲ τὸ μέγεθος, ὡς μηδέ ποτε ἀπορεῖν τοῦ χρησιμωτάτου τῷ ἔργῳ. κἄπειτα γυμνωθέντος κατὰ τὰ εἰθισμένα τοῦ πεπονθότος ὀστοῦ, χρῆσθαι πρώτῳ μὲν τῷ πλατυτέρῳ. δευτέρῳ δὲ, τῷ μετ' αὐτὸν στενοτέρῳ. κἄπειθ' οὕτως ἑξῆς τοῖς ἄλλοις ἄχρι τοῦ στενοτάτου. τούτῳ δὲ χρηστέον, ἐπ' αὐτῆς τῆς διπλόης. εἶθ' ἰᾶσθαι χρὴ ξηροῖς φαρμάκοις, αὐτίκα τε καὶ μέχρι τέλους. ἃ δὴ καὶ δι' αὐτὸ τοῦτο προσαγορεύεται κεφαλικά. σύγκειται δὲ διά τε τῆς ἰλλυρίδος ἴρεως, καὶ τοῦ τῶν ὀρόβων ἀλεύρου, καὶ μάννης. ἀριστολοχίας τε, καὶ πάνακος ῥίζης φλοιοῦ, καὶ ἁπλῶς εἰπεῖν, ἁπάντων ὅσα ῥύπτειν πέφυκεν ἄνευ τοῦ δάκνειν. αὕτη γὰρ ἡ γενομένη σὰρξ, ἔργον τῆς φύσεώς ἐστιν. ὥστε οὐδὲν εἰς τοῦτο τῆς ἰατρικῆς ὁ κάμνων δεῖται. τὸ δὲ τὴν γενομένην συμφύεσθαί τε καὶ περιφύεσθαι πᾶσι τοῖς τῶν ὀστῶν μέρεσιν, ἐκ τοῦ μήτε ῥύπον ἐπ' αὐτοῖς εἶναι, μήτ' ἐλαιώδη τινὰ λιπαρότητα, γίγνοιτ' ἂν μάλιστα. τοῦτ' οὖν ἐστιν, ὃ παρὰ τῶν ἰατρῶν οἱ κάμνοντες ἔχουσιν εἰς τὴν σάρκωσιν, ὡς ξηρὸν μὲν

ἅπαν

ἅπαν εἶναι τὸ χωρίον, ἕκαστον δὲ μέρος τῶν πεπονθότων ὀστῶν, ἀκριβῶς καθαρόν. ταῦτα μὲν οὖν κοινὰ πάντων τῶν καταγμάτων, ὅταν ἄρχηται σαρκοῦσθαι. τῶν δ' ἄχρι μήνιγγος διηκόντων, εἰ μὲν εἴη μόνη ῥωγμὴ, τοῖς εἰρημένοις ξυστῆρσι χρηστέον, εἰ δὲ μετὰ θλάσεως τινὸς, ἐκκόπτειν χρὴ τὸ τεθλασμένον. ἤτοι διὰ τρυπάνων ἐν κύκλῳ πρότερον καταπρῶντα, κἄπειθ' οὕτω χρώμενον τοῖς ἐκκοπεῦσιν, ἢ διὰ τῶν κυκλίσκων εὐθὺς ἐξ ἀρχῆς. ἡ μὲν οὖν διὰ τρυπάνων ἐνέργεια, σφαλερὰ, διὰ τὸ πολλάκις ἅψασθαί τινας, ἀθροώτερον αὐτοῦ βαπτισθέντος, τῆς μήνιγγος τῆς σκληρᾶς, τῆς ὑποτεταμένης τοῖς ὀστοῖς. ἡ καὶ διὰ τῶν κυκλίσκων, οὐδ' αὐτὴ παντάπασιν ἄμεμπτος. σείει γοῦν ἐπὶ πλεῖστον, τὴν κεφαλὴν, ἡσυχάζειν δεομένην. ἀρκεῖ δέ μοι κἀνταῦθα μεγάλων μὲν οὐσῶν τῶν ῥωγμῶν, καὶ τῶν ὀστῶν τῶν κατεαγότων ἰσχυρῶς κεκινημένων, τοῖς κυκλίσκοις χρῆσθαι. βραχείαις γὰρ ἐπιβολαῖς, χώραν παρέξει τοῖς φακωτοῖς ἐκκοπεῦσιν. ἰσχυρῶν δὲ κατὰ τὰ πλεῖστα τῶν ὀστῶν ὑπαρχόντων, κατατιτρῶναι τοῖς τρυπάνοις αὐτά. τινὲς δὲ ὑπὲρ τοῦ μηδέ ποτε ἁμαρτεῖν, ἀβάπτιστα τρύπανα κατεσκευάσαντο. καλοῦσι δὲ οὕτως αὐτὰ, διὰ τὸ μὴ βαπτίζεσθαι. περίκειται γὰρ ἐν κύκλῳ περιφερής τις ἴτυς, προὔχουσα μικρὸν ὑπὲρ ἄνω τοῦ κατὰ τὸ τρύπανον ὀξέος πέρατος. εἶναι δὲ δή που χρὴ πολλὰ καὶ ταῦτα πρὸς ἅπαν πάχος κρανίου παρεσκευασμένα. τοῖς μὲν γὰρ παχυτέροις, τὸ μακρότερον ἁρμόσει τρύπανον. ὀνομάζω δὲ οὕτως ᾧ μεῖζόν ἐστι, τὸ μεταξὺ τοῦτο ἄκρου πέρατος, καὶ τῆς κυκλοτεροῦς ἴτυος. τοῖς δὲ λεπτομερέσι, τὸ μικρότερον. ἔστι καὶ δή που καὶ τούτῳ τὸ μεταξὺ τοῦ πέρατός τε καὶ τῆς ἴτυος ἔλαττον. ἔνιοι δὲ τούτων, εἴτε δειλοτέρους χρὴ λέγειν, εἴτ' ἀσφαλεστέρους, τοῖς καλουμένοις χοινικίσιν ἐχρήσαντο. σὺ δὲ εἰ μήτε ἀφύλακτος εἶναι μέλλοις τῶν ὄντως σφαλερῶν, μήτε πέρα τοῦ προσήκοντος φοβερὸς, ἄριστόν σοι τοῖς κυκλίσκοις χρῆσθαι. κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν, τοῖς πλατυτέροις. ἐξῆς δ' αὐτῶν, τοῖς στενοτέροις ἄχρι περ ἂν ἐπὶ τὴν παχεῖαν μήνιγγα κατέλθῃς. οὐ μὴν οὐδ' ἐν κύκλῳ πᾶν ὅσον ἐκκοπῆναι χρὴ τοῖς κυκλίσκοις γυμνωτέον, ἀλλὰ κατ' ἐκεῖνο μάλιστα τὸ μέρος, ἔνθα τὸ κάταγμα βιαιότερον αὐτοῦ γέγονε. πρὸς μὲν γὰρ αὖ τοῖς ἄλλοις, καὶ ἡ μῆνιγξ ἀφίσταται τάχιστα τῶν ἰσχυρῶς παθόντων ὀστῶν. ὥστε οὐδεὶς ἔσται κίνδυνος ἅψασθαι τῆς ἀφεστώσης ἤδη. ἣν δ' ἅπαξ ἔν τι γυμνώσῃς μέρος, ὑπολαβὼν ἐκκοπέα, τὸ μὲν φακοειδὲς, ἐπὶ τῷ πέρατι πρόσχον ἀμβλὺ καὶ λεῖον ἔχοντα. τὸ δὲ ὀξὺ, κατὰ τὸ μῆκος ὄρθιον, ὅταν στηρίξῃς κατὰ τῆς μήνιγγος τὸ πλατὺ τοῦ φακοειδοῦς, ἐπικρούων τῇ μικρᾷ σφύρᾳ, διαιρεῖν οὕτω τὸ κρανίον. συμβαίνει γὰρ ἐπὶ ταῖς τοιαύταις ἐνεργείαις, πάντα ὅσων χρῄζομεν. ἡ μέν γε μῆνιγξ, οὐδ' ἂν νυστάζων τις ἐνεργῇ, τρωθῆναι δύναται, τῷ πλατεῖ μέρει μόνῳ τοῦ φακοειδοῦς ὁμιλοῦσα. καὶ ἢν προσέχηται δή που τῷ κρανίῳ, καὶ ταύτης τὴν προσάρτησιν ἀλύπως ἀποσπᾷ τὸ περιφερὲς πέρας τοῦ φακοειδοῦς. ἕπεται δὲ ἐξόπισθεν αὐτῷ προηγοῦντι, διακόπτων τὸ κρανίον ὁ ἐκκοπεὺς αὐτός. ὥστε οὔτε ἀκινδυνότερον, οὔτε θᾶττον ἐνεργοῦντα, τρόπον ἕτερον ἀναιρέσεως εὑρεῖν ἐγχωρεῖ. μάλιστα δ' αὐτοῦ ἐπαινέσεις, ἐν τοῖς σφοδροτάτοις κατάγμασιν. ἃ δὴ τινὲς τῶν νεωτέρων ἰατρῶν, ἐγγεισώματά τε καὶ καμαρώσεις ὀνομάζουσι. τὰ μὲν ἐγγεισώματα, τῷ μέσῳ σφῶν αὐτῶν ἐρείδοντα κατὰ τῆς μήνιγγος. τὰ δὲ καμαρώματα, τούτῳ μὲν ὑψηλὸν ἔχοντα. καθ' ἃ δὲ πρῶτον ἀπὸ τῶν ὑγιῶν τὸ πεπονθὸς ἤρξατο χωρίζεσθαι ταῖς τοῦ κατάγματος ῥωγμαῖς εἴσω μᾶλλον ἀπεληλυθότα, καὶ κατὰ τῆς μήνιγγος ἐστηριγμένα. τάχιστα γὰρ ἐπὶ τῶν τοιούτων ἐκκόπτεται, τὸ πεπονθὸς ἅπαν. ἑτοιμότερον ὑποδυομένου τοῦ φακωτοῦ πέρατος, ἐν τοῖς ἐπὶ πλεῖστον ἐξεστηκόσι τοῦ κατὰ φύσιν. ἀλλὰ καὶ διὰ τῆς ὀσφῆρας ἀνατείνοντος ἢ ἀνακλάσαντος ἔνια τῶν ἰσχυρῶς συντετριμμένων ὀστῶν, κατ' ἐκεῖνο μάλιστα τὸ μέρος ὑποδύναι τὸν φακωτὸν παρασκευάσομεν. ἕπεται δὲ τούτου γενομένου, πάντα ἑξῆς ὧν δεόμεθα, σὺν ἀσφαλείᾳ τε ἅμα καὶ τάχει. καὶ σχεδὸν ὡς ἄν τις εἴποι, κατὰ μὲν τἄλλα σύμπαντα, καλῶς εἴρηται, τοῦτο δὴ τὸ πολυθρύλλητον. ἀρχὴ δὲ τὸ ἥμισυ παντός. ἐνταυθοῖ δ' οὐχ ἥμισυ τοῦ παντὸς, ἀλλ' ἤτοι πᾶν ἢ ὀλίγου δεῖν ἅπαν ἔχοις ἂν ἐνθεὶς τὸ φακωτόν. αὕτη μὲν οὖν ἀρίστη χειρουργία τῶν ἐν τῷ κρανίῳ καταγμάτων. ὁπόσον δὲ ἐκκόπτειν χρὴ τοῦ πεπονθότος, ἐφεξῆς σοι δίειμι. τὸ μὲν ἰσχυρῶς συντριβὲν, ὅλον ἐξαιρεῖν. εἰ δ' ἀπ' αὐτοῦ τινὲς ἐπὶ πλέον ἐκτείνονται ῥωγμαὶ καθάπερ ἐνίοτε φαίνεται συμβαῖνον, οὐ χρὴ ταύταις ἕπεσθαι μέχρι πέρατος, εὖ εἰδότας ὡς οὐδὲν βλάβος ἀκολουθήσει διὰ ταύτας, τῶν ἄλλων ἁπάντων ὀρθῶς πραχθέντων. ἡμεῖς γοῦν οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πάνυ πολλάκις τοῦτο ποιήσαντες, ἐτύχομεν τοῦ τέλους. ἡ δ' ἔνδειξις ἡμῖν κἀνταῦθα εἰκότως τῶν ποιητέων ἐκ τῆς φύσεως τῶν πεπονθότων μορίων εὐπορήθη. ἣν γὰρ ἐπὶ τῶν ἄλλων καταγμάτων ἐπίδεσιν ὡς ἀφλεγμαντοτάτην ἐξεῦρεν ὁ λόγος, ἐπὶ κεφαλῆς οὐχ οἷόν τ' ἐστὶ ποιήσασθαι. ὥστε οὔτε ἀποστρέψαι τὸ ἐπίρρεον, οὔτε τὸ περιεχόμενον ἐν τοῖς πεπονθόσιν ἐκθλίψαι δυνατόν. ὧν χωρὶς, οὐδὲ τῶν ἄλλων ὀστῶν οὐδὲν, ὑγιὲς φυλαχθῆναι δύναται. ὑποκείσθω γοῦν βραχείων ἄχρι τοῦ μυελοῦ ῥωγμὴν ἐσχηκώς. εἶτα μηδεὶς αὐτὸν ἐπιδείτω νόμῳ καταγματικῷ, πᾶσα δή που θ' ἀνάγκη τοὺς ἰχῶρας οὐκ ἔξω μόνον ὑπό τε τὸ δέρμα καὶ τοὺς μῦς ἀθροιζομένους, ἀλλὰ καὶ τῷ μυελῷ περιεχομένους, ἐκεῖνόν τε πρῶτον καὶ μάλιστα σῆψαι, καὶ σὺν αὐτῷ τὸ σύμπαν ὀστοῦν, ὅπου γε καὶ νῦν ἁπάντων προσηκόντως γινομένων, ἔστιν ὅτε τοιαῦτα συμπίπτει. πῶς οὖν οὐχὶ καὶ μᾶλλον ἂν ἐπὶ κεφαλῆς ταῦτα συμβαίνῃ. μήτε καταγματικὴν ἐπίδεσιν ἐγχωρούσης δέξασθαι, τῶν τε ἰχώρων ἐπὶ τὸ κάταντες φερομένων ὡς ἀθροίζεσθαι πάντας ἐπὶ τῆς μήνιγγος. ἐπὶ μὲν οὖν τῶν ἄλλων καταγμάτων ἡ ἐπίδεσις ὅταν ὀρθῶς γένηται, τοσοῦτο δεῖ, περιττὴν ὑγρότητα συγχωρεῖν ἐπιτρέφεσθαι κατὰ τὸ πεπονθὸς ὀστοῦν, ὥστε καὶ τοῦ κατὰ τὴν φύσιν ἰσχνότερον ἀποφαίνειν τὸ χωρίον. ἐπὶ δὲ τῆς κεφαλῆς, ὁ μὲν διὰ τῆς ἐπιδέσεως τρόπος, οὐχ οἷός τ' ἐστὶ ξηραίνειν οὕτω τό, τε κατεαγὸς ὀστοῦν αὐτὸ καὶ τὰ πέριξ, ὡς μήτε φλεγμῆναι, μήτ' ὅλως ἐργάσασθαί τινα ἰχῶρα. φάρμακόν τε οὐδὲν οὐδ' ἐπὶ τῶν ἄλλων μερῶν ἄνευ τῆς ἐπιδέσεως, ἱκανὸν εἰς ὅσον εἴρηται, ξηρὸν καὶ ἀπέριττον ἐργάσασθαι τὸ κατεαγός. ἀναγκαῖον οὖν ἡμῖν γίγνεται γυμνῶσαί τι τοῦ κατάγματος, ἵν' ἔχωμεν ἀπομάττειν καὶ ἀποπλύνειν ἀπὸ τῆς μήνιγγος τοὺς ἰχῶρας, ἐπειδὰν ὅ, τε τῆς φλεγμονῆς παύσηται καιρὸς, ἀκριβῶς τε ἢ ξηρὰ πάντα, σαρκῶσαι καὶ συνουλῶσαι τὸ χωρίον. οὐκ ἔστιν ὁ λόγος οὗτος ψιλός. οἷον οἱ μηδὲν ἐπ' αὐτῶν τῶν ἔργων εἰδότες σοφισταὶ ζητοῦσι, διὰ τί τὰ τῆς κεφαλῆς οὐ πωροῦται κατάγματα; πωροῦται μὲν γὰρ ὦ βέλτιστοι. καὶ ὑμεῖς οὕτως ἐστὲ ληρώδεις, ὥστε τῶν οὐκ ὄντων λέγειν

αἰτίας. οἶδα γοῦν ποτε τὸ μὲν τοῦ βρέγματος ὀστοῦν συντριβέν· τὸ δ' ἐφεξῆς αὐτῷ τὸ τοῦ κροτάφου καλούμενον, ἐν ᾧ τὰς λεπιδοειδεῖς ἐπιβολὰς εἶναι συμβέβηκεν, ἄχρι πλείστου μεγίστην ἔχον ῥωγμήν. ἧς ἡμεῖς ὅλως μὴ προσαψάμενοι, μόνον δ' ἐκκόψαντες τὸ τοῦ βρέγματος, ἰάσαμεν τὸν ἄνθρωπον, ὡς καὶ νῦν ἔτι ζῆν ἐτῶν πολλῶν. εἰ δὲ καὶ τοῦ βρέγματος ἰάσαμεν, οὕτως ἐσάπη θᾶττον ἡ κατὰ τοῦθ' ὑποκειμένη μῆνιγξ, ἢ ἐπωρώθη τὸ κάταγμα, ὡς εἴγε μηδεὶς ἐκ τῶν πεπονθότων ἰχὼρ ἐντὸς ἔρρει, περιττὸν ἦν ἐκκόπτειν ὀστοῦν. ἐκεῖνοι μὲν οὖν ὡς συνήθως αὐτοῖς ἐστι, φλυαρείτωσαν. ἐγὼ δ' ἐφ' ἑτέρου κατάγματος ὁμοίως γεγονότος, ἐννενόηκα τὸ μὲν ὑψηλὸν ὀστοῦν ἐᾶσαι, τὸ δ' ἐν τοῖς πλαγίοις, ἐκκόψαι πρὸς ἀπόρρυσιν τῶν ἰχώρων. εἶτ' ἐννοήσας τό, τε πάχος αὐτοῦ καὶ τὴν σκληρότητα, βέλτιον ᾠήθην εἶναι τὸ μετέωρον ὀστοῦν ἐξελεῖν μᾶλλον, ἢ τῆς ἀπορρύσεως φροντίζων, σεῖσαι σφοδρῶς τὸν ἐγκέφαλον. ἐννενόηκα δὲ καὶ ὡς εἰς τὰ πλάγια γεννηθείσης ὀπῆς μεγάλης τοῖς ὀστοῖς, ἐξίσχειν ταύτῃ συμβήσεται τὸν ἐγκέφαλον. ἔστι δὲ δή που πολλαχόθι κατὰ τὰ πλάγια, καὶ νεύρων τις ἔκφυσις ἐπίκαιρος. ἐν δὲ τοῖς ὑψηλοῖς τῆς κεφαλῆς, οὐδὲ σμικρότατον οὐδαμόθι νεῦρον ἐκφύεται. διὰ ταῦτα μὲν δὴ ἀπέστην ἐκκόπτειν τὸ πλάγιον ὀστοῦν τῆς κεφαλῆς. ἐπωρώθη δὲ ἀεὶ θεραπευόντων ὡς χρή. καὶ σχεδὸν ἔτι τοῦθ' ὑμῖν ὑπολείπεται διασκέψασθαι, τίς ἡ τῶν φαρμάκων τε καὶ ὅλης τῆς μετὰ τὴν ἀνάτρησιν ἐπιμελείας ἀγωγὴ βελτίστη πασῶν ἐστιν. ἆρά γε ἡ πραοτάτη καὶ παρηγορικωτάτη, καθάπερ νῦν ὑπὸ τῶν πλείστων γίνεται, ἢ ἡ ταύτης ἐναντιωτάτη διὰ τῶν ἰσχυρότατα ξηραινόντων φαρμάκων, οἷον καὶ Μέγης ὁ σιδώνιος ἐπαινεῖ. καί τις ἡμέτερος πολίτης ἐχρῆτο διὰ παντὸς ὡς καὶ τὴν ἶσιν ἐπονομαζομένην εὐθέως ἐπιθεῖναι γυμνωθείσῃ τῇ μήνιγγι ἔμπλαστρον. καὶ κατὰ ταύτης ἔξωθεν ὀξύμελι. πρεσβύτης δὲ ἦν οὗτος ἱκανῶς τρίβων τὰ τοιαῦτα τῆς τέχνης. οὐ μὴν οὔτε ἄλλον τινὰ χρώμενον εἶδον, οὔτε αὐτὸς ἐτόλμησα χρήσασθαι. τοσοῦτο μόνον ἔχω μαρτυρεῖν τῷ Εὐδήμῳ, τοῦτο γὰρ ὁ πρεσβύτης ἐκαλεῖτο, ὡς ἐσώζοντο μᾶλλον οἱ ὑπ' ἐκείνου θεραπευόμενοι, τῶν παρηγορικῶς ἀγομένων. ἐπεχείρησα δ' ἄν ποτε καὶ αὐτὸς δι' ἐμαυτοῦ πειραθῆναι τῆς τοιαύτης ἀγωγῆς, εἰ διὰ παντὸς ἐν Ἀσίᾳ κατέμεινα. διατρίψας δ' ἐν Ῥώμῃ, τὰ πλεῖστα τῷ τῆς πόλεως ἔθει συνηκολούθησα, παραχωρήσας τοῖς χειρουργοῖς καλουμένοις, τὰ πλεῖστα τῶν τοιούτων ἔργων. τὴν μέντοι φύσιν τοῦ πράγματος ἐπισκοπούμενος, ἐννοῶ τοιοῦτόν τινα διορισμόν, ὑπὸ μακρᾶς πείρας ἡμετέρας μαρτυρούμενον, ὁ καλούμενος ἀκουστικὸς πόρος, οὐ μόνον ἄχρι τῆς σκληρᾶς ἐξικνεῖται μήνιγγος, ἀλλὰ καὶ αὐτοῦ τοῦ νεύρου ψαύει τοῦ καθήκοντος ἐξ ἐγκεφάλου εἰς αὐτόν. κείμενος δ' οὕτως ἐγγύς, ὅμως ἰσχυροτάτων ἀνέχεται φαρμάκων, ὡς καὶ πρόσθεν εἴρηται. θαυμαστὸν οὖν οὐδέν, εἰ καὶ μετὰ τὰς ἀνατρήσεις ἡ μῆνιγξ ἡ παχεῖα, πρὶν ἀξιολόγως φλεγμῆναι, τοῖς ἰσχυροτάτοις χαίροι φαρμάκοις, ὡς ἂν φύσει ξηρὰ τὴν οὐσίαν ὑπάρχουσα.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ

ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

ΤΗΝ θεραπευτικὴν μέθοδον ὦ Εὐγενιανὲ φίλτατε, πάλαι μὲν ὑπηρξάμην γράφειν, Ἱέρωνι χαριζόμενος. ἐπεὶ δὲ ἐξαίφνης ἐκεῖνος ἀποδημίαν μακρὰν ἀναγκασθεὶς στείλασθαι, μετ' οὐ πολὺν χρόνον ἠγγέλθη τεθνεώς, ἐγκατέλιπον κἀγὼ τὴν γραφήν. οἶσθα γὰρ ὡς οὔτε ταύτην, οὔτ' ἄλλην τινὰ πραγματείαν ἔγραψα, τῆς παρὰ τοῖς πολλοῖς ἐφιέμενος δόξης, ἀλλ' ἤτοι φίλοις χαριζόμενος, ἢ γυμνάζων ἐμαυτόν, εἴς τε τὰ παρόντα χρησιμώτατον γυμνάσιον, εἴς τε τὸ τῆς λήθης γῆρας, ὡς ὁ Πλάτων φησίν, ὑπομνήματα θησαυριζόμενος. ὁ γάρ τοι τῶν πολλῶν ἀνθρώπων ἔπαινος, εἰς μὲν χρείας τινὰς ἐπιτήδειον ὄργανον ἐνίοτε γίγνεται τοῖς ζῶσιν, ἀποθανόντας δέ, οὐδὲν ὀνίνησιν, ὥσπερ οὐδὲ τῶν ζώντων ἐνίους. ὅσοι γὰρ ἥσυχον εἵλοντο βίον, ὠφελημένοι μὲν ἐκ τῆς φιλοσοφίας, αὐτάρκη δ' ἔχοντες τὰ πρὸς τὴν τοῦ σώματος θεραπείαν, τούτοις ἐμπόδιον οὐ σμικρόν ἐστιν ἡ παρὰ τοῖς πολλοῖς δόξα, περαιτέρω τοῦ προσήκοντος ἀπάγουσα τῶν καλλίστων αὐτούς. ὥσπερ ἀμέλει καὶ ἡμᾶς οἶσθα πολλάκις ἀνιωμένους ἐπὶ τοῖς ἐνοχλοῦσιν οὕτω συνεχῶς ἐνίοτε χρόνον ἐφεξῆς πολύν, ὡς μὴδ' ἅψασθαι δυνηθῆναι βιβλίου. ἐγὼ δὲ οὐκ οἶδ' ὅπως εὐθὺς ἐκ μειρακίου θαυμαστῶς ἢ ἐνθέως, ἢ μανικῶς, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, καταφρονήσας μὲν τῶν πολλῶν ἀνθρώπων δόξης, ἐπεθύμησα δὲ ἀληθείας καὶ ἐπιστήμης, οὐδὲν εἶναι νομίσας οὔτε κάλλιον ἀνθρώποις, οὔτε θειότερον κτῆμα. διὰ ταῦτ' οὖν οὐδ' ἐπέγραψα ποτὲ τὸ ἐμὸν ὄνομα, τῶν ὑπ' ἐμοῦ γεγραμμένων βιβλίων οὐδενί. παρεκάλουν δ' ὡς οἶσθα καὶ ὑμᾶς μήτ' ἐπαινεῖν με παρὰ τοῖς ἀνθρώποις ἀμετρότερον ὥσπερ εἰώθατε, μήτ' ἐπιγράφειν τὰ συγγράμματα. κατὰ ταῦτ' οὖν ἅπαντα καὶ ἡ θεραπευτικὴ μέθοδος ἐγκατελείφθη μοι. τὰ μὲν κεφάλαια τῶν εὑρημένων, διὰ βραχέων ὑπομνημάτων ἐμαυτῷ γράψαντός μου, διεξοδικὴν δ' οὐδεμίαν ἔτι προσθέντος διδασκαλίαν. νυνὶ δ' ἐπειδὴ καὶ σύ, καὶ ἄλλοι πολλοὶ τῶν ἑταίρων, ἅπερ ἐθεάσασθέ με πολλάκις ἐπὶ τῶν νοσούντων ἔργῳ διαπραττόμενον, ἐν ὑπομνήμασιν ἔχειν ἀξιοῦτε, προσθήσω τὸ λεῖπον ἔτι τῇδε τῇ πραγματείᾳ. ἐν μὲν οὖν τῷ τρίτῳ καὶ τετάρτῳ καὶ πέμπτῳ καὶ ἕκτῳ τῶνδε τῶν ὑπομνημάτων, τὸ κοινὸν νόσημα τῶν ὁμοιομερῶν τε καὶ ὀργανικῶν μορίων, ὅπως χρὴ θεραπεύειν ἐγεγράφειν. ἀρξάμενος μὲν οὖν ἀπ' αὐτοῦ διότι τε σαφέστερόν ἐστι τῶν ἄλλων, ἐναργῆ τε τὸν ἔλεγχον ἔχει τῶν ἔμπροσθεν ἁπάντων σχεδὸν ἰατρῶν, ὅσοι μεθόδῳ μὲν ἐπαγγέλλονται μεταχειρίζεσθαι τὴν τέχνην, ἀμέθοδοι δέ εἰσιν ἐν ταῖς θεραπείαις, πλὴν γὰρ Ἱπποκράτους τοῦ πάντων ἡμῖν τῶν καλῶν παρασχόντος τὰ σπέρματα, τῶν ἄλλων οὐδεὶς οὐδ' ἐπεχείρησε τὸ γένος τούτου τοῦ νοσήματος ἰᾶσθαι μεθόδῳ. δεῖται δὲ καὶ τὰ Ἱπποκράτους αὐτοῦ, γεωργῶν ἀγαθῶν, οἳ σπεροῦσι τε αὐτά, καὶ αὐξήσουσι, καὶ τελειώσουσι προσηκόντως. καὶ ὅτι πρὸ ἡμῶν οὐδεὶς τοῦθ' ἔπραξεν, ἀλλ' οἱ πλεῖστοί γε καὶ προσδιέφθειραν αὐτοῦ τὰ σπέρματα, νομίζω σαφῶς ἐπιδεδεῖχθαι τοῖς προσεσχηκόσι τὸν νοῦν. τοῦτο μὲν οὖν τὸ γένος τοῦ νοσήματος, εἴτε συνεχείας λύσιν, εἴθ' ἑνώσεως, εἴθ' ὁπωσοῦν ἄλλως ὀνομάζειν τις ἐθέλοι, καλεῖν ἐπετρέψαμεν ὡς ἑκάστῳ φίλον. οὐ γὰρ ὑπὲρ ὀνομάτων σπουδάζομεν, οὔτε κατὰ ταύτην τὴν πραγματείαν, οὔτε καθ' ἑτέραν τινὰ τῶν ἰατρι-

κῶν

κῶν, ἀλλ' ὅπως ἂν μάλιστα τοῦ τῆς τέχνης τοῦ τέλους τυγχάνωμεν. ἐπὶ δὲ τὸ πρῶτον ἁπάντων ἐπανερχόμεθα νῦν τῷ λόγῳ νόσημα, τὸ τοῖς ὁμοιομερέσιν ἐγγινόμενον, ὧν πρώτων εἰσὶν αἱ κατὰ τὸ ζῶον ἐνέργειαι. δέδεικται γὰρ ἐν ἄλλαις πραγματείαις, ὅπως ἕκαστον τῶν ὀργανικῶν μορίων ἐνεργεῖν τι λέγομεν. οἷον ὀφθαλμὸν ὁρᾶν, ἢ βαδίζειν σκέλος. ἐστὶ γὰρ οὔτε ὅλου τοῦ σκέλους, ἀλλὰ τοῦ μυώδους ἐν αὐτῷ γένους τὸ κῦρος τῆς ἐνεργείας. οὔτε ὀφθαλμοῦ τὸ βλέπειν, ἀλλὰ τοῦ κρυσταλλοειδοῦς. ἐπί τε τῶν ἄλλων ἁπάντων ὀργάνων ἀνάλογον. ἐδείχθη δ' ἐν τῷ δευτέρῳ τῆσδε τῆς πραγματείας, καὶ ὡς ἀναγκαιότατόν ἐστι τὸ γένος τοῦ νοσήματος τούτου. καὶ ὡς οὐδεὶς αὐτὸ λογικῶς ἰάσαιτο τῶν ἀγνοησάντων τὰ πρῶτα στοιχεῖα. καὶ ὡς οὐδὲν ὧν φθέγγονται συνιᾶσιν ἔνιοι, τῶν λογικοὺς ἑαυτοὺς ὀνομαζόντων. ὅταν ἀτονίαν εἶναι φάσκωσιν, ἢ κοιλίας, ἢ ἐντέρων, ἢ ἥπατος, ἢ ὀφθαλμῶν, ἢ ὁτουδήποτοῦν μέρους. εἰ μὲν γὰρ τὴν περὶ τὸ σύμφυτον ἔργον ἀσθένειαν οὕτως ὀνομάζουσιν, οὐδὲν ἰδιώτου πλέον ἴσασιν. ἀκοῦσαι γοῦν ἐστι κἀκείνων ἀτονεῖν ἑαυτῶν τὴν γαστέρα φασκόντων. μὴ πέττειν γοῦν αὐτὴν, μήτε τὰ σμικρότατα καὶ κουφότατα τῶν προσφερομένων. εἰ δὲ διάθεσίν τινα λέγουσιν ἐν τῇ γαστρὶ τὴν ἀτονίαν, ἑρμηνευσάτωσαν ἡμῖν ἥν τινα ποτὲ ταύτην εἶναι φασίν, ὡς ἐπὶ φλεγμονῆς ἐποίησαν. τῷ μὲν γὰρ ἐμπειρικῷ, τὰ συμπτώματα μόνον ἀρκεῖ τῶν πεπονθότων μορίων ἑρμηνεῦσαι, παρὰ φύσιν ὄγκον εἰπόντι καὶ ἀντιτυπίαν. ὀδύνην τε σφυγματώδη καὶ τάσιν, ἔρευθός τε καὶ ὅσα τοιαῦτα. καὶ τίθενταί γε πολλάκις ἓν ὄνομα κατὰ τοῦ σύμπαντος ἀθροίσματος ἕνεκα διδασκαλίας συντόμου. καθάπερ ἐπὶ τοῦ προειρημένου φλεγμονήν. οἱ δογματικοὶ δ' οὐχ οὕτως, ἀλλ' αὐτὴν τὴν οὐσίαν ἐπισκέπτονται τοῦ νοσήματος, ἣ τὸ προειρημένον ἄθροισμα τῶν συμπτωμάτων ἐξ ἀνάγκης ἕπεται. δοκεῖ γοῦν Ἐρασιστράτῳ τὸ παρεμπεσὸν εἰς τὰς ἀρτηρίας αἷμα, πρὸς τοῦ πνεύματος ὠθούμενον, ἐν τοῖς πέρασιν αὐτῶν σφηνωθῆναι, καὶ τοῦτ' εἶναι τὴν φλεγμονήν. ἀλλ' οὐκ οἶμαι δίκαιος ἢ Ἐρασίστρατος αὐτὸς, ἢ τῶν ἀπ' αὐτοῦ τις, ὁμοίως ἐξηγήσασθαι καὶ τὴν ἐν ταῖς ἀτονίαις ἑκάστου μορίου διάθεσιν. ὥσπερ γὰρ ἐπὶ τῆς φλεγμονῆς εἰς ὅ, τι μεταπέπτωκεν ἡ φυσικὴ κατασκευὴ τοῦ μέρους ἐδήλωσεν, οὕτως ὁ λόγος ἐπιζητεῖ ῥηθῆναι καὶ τὴν εἰς ἀτονίαν ἑκάστου μορίου μετάπτωσιν. οὐ γὰρ δὴ κατὰ φύσιν γε διακείμενον, ἀτονεῖ περὶ τὴν οἰκείαν ἐνέργειαν, ἀλλά τι πάντως αὐτῷ παρὰ φύσιν αἴτιον ἐγγινόμενον, ἐξέλυσέ τε, καὶ κατέβαλε, καὶ νεκρῷ παραπλήσιον ἀπέφηνεν. ὃ οὔτε Ἐρασίστρατος, οὔθ' Ἡρόφιλος, οὔτ' ἄλλος οὐδεὶς ἰατρὸς εἶπε τῶν μὴ τολμησάντων ἀποφήνασθαί τι περὶ τῆς τῶν πρώτων σωμάτων φύσεως. ἀλλ' οὐ χρὴ μηκύνειν ἐπὶ πλέον, αὐτάρκως προαποδεδειχότας ἔμπροσθεν, ὡς χρησιμώτατόν τε τοῦτ' ἐστι τὸ γένος τοῦ νοσήματος ἐζητεῖσθαι τοῖς ἰατροῖς, καὶ ἀναγκαῖον τὸ περὶ στοιχείων πρότερον ἐπεσκέφθαι, τοὺς μέλλοντας καλῶς αὐτὸ ἐγχειρίζεσθαι. ὥσθ' ἡμῖν ὁ μέλλων νῦν λεχθήσεσθαι λόγος, ἐπὶ τοῖς προαποδεδειγμένοις περανθήσεται στοιχείοις. ὑπὲρ ὧν ἓν ὡς οἶσθα βιβλίον ἐποιησάμεθα τὸ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐπιγεγραμμένον. ἔστι μὲν οὖν καὶ Διοκλεῖ καὶ Μνησιθέῳ καὶ Διεύχει καὶ Ἀθηναίῳ, καὶ σχεδὸν πᾶσι τοῖς εὐδοκιμωτάτοις ἰατροῖς, ὥσπερ οὖν καὶ τῶν φιλοσόφων τοῖς ἀρίστοις, ἡ αὐτὴ δόξα περὶ φύσεως σώματος, ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, νομίζουσι κεκρᾶσθαι. τά τε ἄλλα σύμπαντα σώματα, καὶ τὰ τῶν ζώων οὐχ ἥκιστα. τῷ δὲ περὶ τούτων ἁπάντων ἀποφηναμένῳ τε καὶ ἀποδείξαντι πρώτῳ, δίκαιον οἶμαι μαρτυρεῖν ἐστι τὴν εὕρεσιν. καὶ διὰ τοῦθ' ἡμεῖς ὀνομάζομεν αὐτὰ καθ' Ἱπποκράτην στοιχεῖα. κἂν ὅτι μάλιστα Χρύσιππος ἢ Ἀριστοτέλης ἤ τις ἄλλος ἰατρὸς ἢ φιλόσοφος, ὡσαύτως ὑπὲρ αὐτῶν δοξάζῃ. καὶ τοίνυν ἐπειδὴ τῶν τοῦ ζώου μορίων ἕκαστον ἰδίαν ἐνέργειαν ἐνεργεῖ, τῶν ἄλλων ἐνεργειῶν εἰς τοσοῦτον διαφέρουσαν, εἰς ὅσον καὶ αὐτὸ διαφέρει τῶν ἐνεργούντων αὐτὰς, διαφέρει δὲ τῷ θερμότερον ἢ ψυχρότερον ἢ ὑγρότερον ἢ ξηρότερον ὑπάρχειν, ἢ κατὰ συζυγίαν τι τούτων πεπονθέναι, τὴν κρᾶσιν αὐτῶν φυλακτέον ἐστὶ, τῷ τὴν ἐνέργειαν φυλάττοντι. φυλαχθήσεται δὲ, ψυχόντων μὲν εἰ πρὸς τὸ θερμότερον ἐκτρέποιτο. θερμαινόντων δὲ, εἰ πρὸς τὸ ψυχρότερον. ὑγραινόντων δὲ, εἰ πρὸς τὸ ξηρότερον. οὕτω δὲ καὶ ξηραινόντων μὲν εἰ ὑγραίνοιτο. ξηραινόντων δ' ἅμα καὶ θερμαινόντων, εἰ ὑγραίνοιτό τε ἅμα καὶ ψύχοιτο. ξηραινόντων δὲ καὶ ψυχόντων, εἰ πρὸς τὸ ὑγρότερόν τε καὶ θερμότερον ἐκτρέποιτο. καὶ κατὰ τὰς λοιπὰς δύο συζυγίας ἀνάλογον. ἀεὶ γοῦν χρὴ τῷ πλεονάζοντι, τὸ ἐναντίον ἀντεισάγειν εἰς τοσοῦτον, ἄχρις ἂν εἰς τὸ σύμμετρόν τε κατὰ φύσιν ἀγάγῃς τὸ μόριον. ἡ μὲν δὴ καθόλου τοῦ γένους ἅπαντος νοσήματος ἐν ὁμοιομερέσι συνισταμένου μέθοδος ἰάσεως, ἤδη μοι λέλεκται. ὀκτὼ γὰρ ὄντων αὐτῶν, ὡς ἐν τῷ περὶ τῆς τῶν νοσημάτων ἀποδέδεικται διαφορᾶς, ὀκτὼ καὶ οἱ τῆς ἰάσεως ἔσονται τρόποι, κοινὸν ἔχοντες σκοπὸν τὴν ἀλλοίωσιν τοῦ πεπονθότος ὁμοιομεροῦς σώματος. ἐπειδὴ καὶ τὸ νόσημα αὐτὸ κατὰ δυσκρασίαν καὶ ἀλλοίωσιν, ἐγένετο τῆς κατὰ φύσιν ἑκάστου κράσεως. ἡ δὲ τῶν κατὰ μέρος ἴασις, ἐν δυοῖν τούτοιν περιεχομένη γίνεται, τῇ τε τῆς ὕλης εὐπορίᾳ, καὶ τῇ ταύτης ἐπιδεξίῳ χρήσει. τὴν μὲν δὴ τῶν φαρμάκων εὐπορίαν, ἔκ τε τῆς περὶ τῆς ἁπλῶν φαρμάκων δυνάμεως, ἔτι τε τῆς περὶ συνθέσεως αὐτῶν πραγματείας ἔξεστί σοι λαμβάνειν μεθόδῳ. τὴν δὲ ὁδὸν τῶν διαιτημάτων, ἐντεῦθεν. ἀλλὰ καὶ ὅπως χρὴ διαγινώσκειν ἑκάστου μορίου δυσκρασίαν, ἐκ τριῶν πραγματειῶν ἀναμιμνήσκου. πρώτης μὲν τῆς περὶ κράσεων. δευτέρας δὲ, τῆς περὶ τῶν πεπονθότων μορίων. καὶ τρίτης, ἣν ἐπιγράφομεν ἰατρικὴν τέχνην. οὔκουν ἔτι δεῖ πολλῶν εἰς τὰ νῦν ἐνεστῶτα τοῖς φύσει τε συνετοῖς καὶ γεγυμνασμένοις τὸν λογισμὸν ἐν τοῖς πρώτοις. ὅτῳ δὲ οὐδέτερον ὑπάρχει τούτων, ἔτ' ἐνδεῖ τῷ λόγῳ πάμπολυ. εἰ δὲ καὶ μοχθηρᾷ λόγων αἱρέσει συνανετράφη, διττὴ γ' οὕτω χρεία τοῦ χρόνου. ἑτέρου μὲν ἵνα ἀποτρίψηται τὰς μοχθηρὰς δόξας. ἑτέρου δ' ἵν' ἀσκηθῇ κατὰ τὰς βελτίους. σὺ μὲν οὖν εὖ οἶδ' ὅτι καὶ αὐτὸς ἱκανὸς ὑπάρχεις ἐκ τῶν καθόλου τοῦ γένους εἰρημένων, εὑρίσκειν τὰ κατὰ μέρος. ἀλλὰ καὶ ἡμᾶς ἐθεάσω πολλὰ τῶν τοιούτων νοσημάτων ἰωμένους. ὥστ' ἐξ ἀμφοτέρων ἔχεις τὸ μὴ δεῖσθαι τῶν κατὰ μέρος. ἀλλ' ἐπεί φησιν ὁ Πλάτων, οὐ γάρ ἐστι τὰ γραφέντα μὴ ἐκπεσεῖν, ἵν' εἴποτε καὶ εἰς ἄλλου ἀφίκοιτο τὸ βιβλίον ἀγύμναστον τῷ λογισμῷ, ῥᾷον αὐτὸν διδάξει, προσθεῖναι χρή τινα τῶν κατὰ μέρος. ἐξ ὧν εὐθέως ἔνεστι καὶ αὐτὸ τοῦτο πεισθῆναι σαφῶς, ὃ μικρὸν ἔμπροσθεν εἴρηται, ὡς δυνατόν ἐστι σαυτῷ τὰ κατὰ μέρος ἐξευρίσκειν. ἐγὼ γοῦν ἐμαυτῷ πάντα ἐξεῦρον αὐτὰ, τῷ λόγῳ ποδηγούμενος. ὅσον μὲν γὰρ ἐπὶ τοῖς διδασκάλοις, ἐχρῆν δή που κἀμὲ, τοῖς ἀτόνοις τὴν γαστέρα συμβουλεύειν, ἐδέσματα μὲν τὰ στύφοντα καὶ ὑπόπικρα. καὶ

οἶνον ὡσαύτως τὸν αὐστηρόν. ἀψίνθιόν τε καὶ τὸ διὰ μήλων κυδωνίων χυλοῦ. καὶ ὅσα τοιαῦτα καταπίνεται φάρμακα. τῶν δ' ἔξωθεν ἐπιτιθεμένων, πρώτην μὲν τὴν δι' ἀψινθίου καὶ ὠμοτριβοῦς ἐλαίου κατάντλησιν. εἶτ' ἐπίδεσιν ἐρίου πλήματος, ἐξ αὐτῶν τε τούτων καὶ προσέτι μύρου μηλίνου καὶ μαστιχίνου καὶ ναρδίνου. καὶ μετὰ ταῦτα κηρωτὴν διὰ τῶν αὐτῶν ἐσκευασμένην. εἶτ' ἄλλα φάρμακα κηρωτῶν ἰσχυρότερα, τὰ πρὸς τῶν ἰατρῶν ἐπιθέματα καλούμενα, διά τε τῶν εἰρημένων μύρων συγκείμενα, καὶ φαρμάκων τῶν παραπλησίων, ἐν οἷς ἐστιν ἤδη καὶ ἀρωμάτων πλῆθος οὐκ ὀλίγον, στάχυς νάρδου, καὶ ἄμωμον, καὶ ὁ ἀρωματικὸς κάλαμος, ἶρίς τε, καὶ λάδανον. καὶ τὸ τοῦ μαλαβάθρου φύλλον, καὶ στύραξ, καὶ βδέλλιον. ὀποβάλσαμόν τε, καὶ βάλσαμον, καὶ ξυλοβάλσαμον. ὅ, τε λοιπὸς τῶν ἀρωμάτων κατάλογος. εἰ δὲ μηδὲ ταῦτα μηδὲν ἐνεργοίη, τὸ κοινὸν ἁπάντων τῶν ἀτονούντων ἐπὶ τέλει βοήθημα ποιοῦμεν. καλοῦσι δ' αὐτὸ, φοινιγμόν. ἤτοι διὰ θαψίας γιγνόμενον, ἢ διὰ νάπυος, ἤ τινος τῶν τοιούτων. εἶτ' ἀποπέμψαι πρὸς ὑδάτων χρῆσιν αὐτοφυῶν. οὐδὲν γὰρ τούτων οἶδε πλέον ὁ ἐμπειρικός, ὡς καὶ τὰ συγγράμματα αὐτῶν δηλοῦσι. Κόϊντος μέν γε τοῖς ἀπεπτεῖν ἢ ἀνορεκτεῖν φάσκουσι, πρῶτον μὲν γυμνάσασθαι συνεβούλευε, καὶ ἐσθίειν, ὡς εὐπεπτότατά τε καὶ μὴ πολλά. μηδὲν δὲ ὠφελουμένων, ἠναγκάζετο καὶ αὐτὸς, εἰς τὰ τῶν ἐμπειρικῶν μετιέναι. τίς γὰρ οὐκ οἶδεν ὡς τὸ θερμὸν καὶ τὸ ψυχρὸν, καὶ ξηρὸν καὶ ὑγρὸν, εἰώθει σκώπτειν βαλανείων ὀνόματα προσαγορεύων. ὧν χωρὶς, ἀδύνατόν ἐστι θεραπεῦσαι μεθόδῳ τὰς ἀτονίας τῶν μορίων. ὥστ' ὅσον μὲν ἐπὶ τούτοις, τὴν αὐτὴν ὁδὸν ἐβάδιζον ἂν κἀγὼ κατὰ τὴν τῶν τοιούτων διαθέσεων ἴασιν. ἀλλ' ὁ λόγος ἐδίδαξέ με τὰς ὀκτὼ διαφορὰς τῆς θεραπείας ἀτονούσης γαστρός. ἐθεάσω γοῦν καὶ σύ τινας μὲν, ἡμέρᾳ μιᾷ, μᾶλλον δ' ὥρᾳ, ψυχροῦ πόσει θεραπευθέντας. ὧν ἐνίοις μὲν οὐ μόνον τὸ πρόσφατον ἔδωκα πηγαῖον, ἀλλὰ καὶ τὸ διὰ χιόνος ἐψυγμένον. ὡς ἐν Ῥώμῃ σκευάζειν ἔθος ἔχουσι, προθερμαίνοντες τὴν κατασκευὴν ἣν αὐτοὶ προσαγορεύουσι δικόκταν. ἐδέσματά τε τὰ οὕτως ἐψυγμένα πολλάκις ἐθεάσω συγχωροῦντά με λαμβάνειν αὐτοῖς. ἐν οἷς ἐστι καὶ ἡ μέλκα, τῶν ἐν Ῥώμῃ καὶ τοῦτο ἐν εὐδοκιμούντων ἐδεσμάτων, ὥσπερ καὶ τὸ ἀφρόγαλα. τοῖς δ' αὐτοῖς τούτοις, καὶ τὰς ψυχρὰς κατὰ δύναμιν ὀπώρας, ὁμοίως ἀκριβῶς ψύχων ἐδίδου. καὶ πτισάνην καλῶς ὡσαύτως ἐψυγμένην. ἕτερά τε τοιαῦτα μυρία. σκοπὸν ἕνα ποιούμενος ἐπ' αὐτῶν, τὴν ψύξιν. ἐκώλυον δ' ἀψινθίου καὶ τῶν στυφόντων ἅψασθαι. καθάπερ γε καὶ ἄλλους, ὁμοίως μὲν ἀπῆγον τῶν ψυχόντων. ἐθέρμαινον δὲ παντοίως οἶνον παλαιὸν τῶν ἱκανῶς θερμῶν τῇ δυνάμει διδοὺς, οἷοι μάλιστά εἰσι Φαλερῖνός τε καὶ Συρεντῖνος. καὶ τροφὰς θερμαινούσας μετὰ πεπέρεως συχνοῦ. τινῶν δ' ὡς οἶσθα τὸν σκοπὸν τῆς θεραπείας ἐποιησάμην ἐν τῷ ξηραίνειν. καὶ ἦν αὐτοῖς ἐδέσματά τε τὰ φύσει ξηρὰ, καλῶς ἐσκευασμένα. καὶ τὸ σύμπαν ὀλιγοστὸν ποτόν. ἥ τε τῶν στυφόντων ἁπάντων χρῆσις, ἣν μόνην γινώσκουσιν οἱ χωρὶς λόγου θεραπεύοντες αὐτούς. ἄλλον δ' οὐ πρὸ πολλοῦ ξηρότατον ἤδη γεγενημένον, ὡς ὁμοιότατον εἶναι τὴν ἰδέαν τοῖς μαρασμώδεσιν, ἰασάμην, εἰς τὰ ἐναντία πάντα μεταγαγὼν, ἢ ὡς οἱ θαυμασιώτατοι ἰατροὶ συνεβούλευον. οὐδὲ γὰρ οὐδ' ἐξ ἄλλου τινὸς εἰς τοῦτο ἧκε κινδύνου. βραχεῖαν τότε κατ' ἀρχὰς ἔχων δυσκρασίαν ἐπὶ ξηρότητι, δεομένην ὑγράνσεως. ἀλλ' οἱ παραλαβόντες αὐτὸν, ἀψίνθιόν τε ποτίζοντες, καὶ πικροὺς ἀσπαράγους καὶ βολβοὺς ἐσθίειν διδόντες, ἔτι τε μῆλα κυδώνια, καὶ κεστιανὰ, καὶ ῥοιάς. ὕστερόν τε, ὡς οὐδενὸς τούτων ἡ γαστὴρ ἐκράτει, καὶ ῥοῦ χυλὸν ἀναγκάζοντες πίνειν, ὅσα τε ὀλίγον ἔμπροσθεν εἶπον ἐπιτιθέντες ἔξωθεν. ὀλίγου δεῖν ἀπέφηναν τὸ ἀλίβαντα, τοῦτον ἡμεῖς ἰασάμεθα, παντοίως ὑγραίνοντες. αὐτοὶ τὴν ὕλην ἐξευρίσκοντες, ἐκ τῆς γεγραμμένης ἡμῖν μεθόδου κατὰ τὴν περὶ τῶν φαρμάκων πραγματείαν. ὡς γὰρ κἂν τῷ περὶ τῆς ἀποδεικτικῆς αἱρέσεως εἴρηται γράμματι, περιαντληθεὶς ὑπὸ τοῦ πλήθους τῆς τῶν ἰατρῶν διαφωνίας, εἶτ' ἐπὶ τὸ κρίνειν αὐτὴν τραπόμενος, ἔγνων χρῆναι πρότερον ἐν ἀποδεικτικαῖς μεθόδοις γυμνάσασθαι. καὶ τοῦτο πράξας, ἔτεσιν ἐφεξῆς πολλοῖς, ὑπέβαλλον οὕτως ἕκαστον τῶν δογμάτων αὐτῇ. καὶ ὡς ἡ τῶν εὑρεθέντων ἔνδειξις ἐποδήγει με, τὰς θεραπείας ἐποιούμην. ἀλλὰ γὰρ οὐ πάντες γε τοιοῦτοι. χρὴ τοίνυν γράφειν αὐτοῖς γυμνάσια τῆς ἐν τοῖς κατὰ μέρος εὐπορίας τῶν ὑλῶν, ἐπὶ τοῖς ὀκτὼ σκοποῖς τῆς θεραπείας, ἀρξαμένους αὖθις ἀπὸ τῆς κοιλίας, ἐπειδὴ πρώτης ταύτης ἔτυχον ἄρτι μνησθείς. εὐιατώτατοι μὲν οὖν εἰσιν αἱ κατὰ θερμότητα καὶ ψύξιν ἀλλοιώσεις. ὅτι ταῖς δραστικωτάταις ἐπανορθοῦνται ποιότησι. δυσιατότεραι δὲ, αἱ καθ' ὑγρότητα καὶ ξηρότητα. ταῖς γὰρ ἀσθενέσι, καὶ ὡς ἂν εἴποι τις, ὑλικωτέραις ποιότησιν, ἡ ἴασις αὐτῶν ἐπιτελεῖται. καὶ μάλισθ' ὅταν ὑγραίνειν δέῃ. τὰ μὲν δὴ τοῦ χρόνου τῆς ἐπανορθώσεως, ἴσά πως ἐστὶ θερμότητί τε καὶ ψυχρότητι. τὸ δὲ τῆς ἀσφαλείας, οὐκ ἴσον. εἰ μὴ γὰρ ἰσχυρὰ πάντα εἴη τὰ πέριξ μόρια τοῦ θεραπευομένου, κίνδυνος αὐτοῖς ὑπὸ τῶν ψυχόντων, οὐ σμικρὰν πληγῆναι πληγήν. ἐπὶ δὲ τῶν ὑπολοίπων δυοῖν ποιοτήτων, ἡ μὲν ἀσφάλεια, παραπλήσιος. ὁ δὲ χρόνος τῆς θεραπείας, πολλαπλάσιος ἐπὶ ταῖς ξηραῖς δυσκρασίαις. οἷον γάρ τι τὸ γῆρας ἐστὶν ἐπὶ τῶν ὑγιαινόντων, τοιοῦτον ἡ ξηρὰ δυσκρασία τοῖς νοσοῦσιν. ὥστε καὶ ἀνίατον ὑπάρχειν ὅταν ἀκριβῶς συμπληρωθῇ. τὸ δ' ἀκριβὲς τῆς συμπληρώσεώς ἐστιν, ἐν τῷ τὰ τῆς στερρᾶς οὐσίας τῶν ὁμοιομερῶν σωμάτων γεγονέναι ξηρότερα. ἑτέρα γάρ ἐστιν ἡ ξηρότης τῶν ἐκ τῆς ὑγροπαγοῦς οὐσίας συνεστώτων, ὁποῖον ἐστὶ πιμελὴ καὶ σὰρξ ἐκτακέντων. καὶ τρίτη γε πρὸς ταύταις, τῆς οἰκείας ὑγρότητος ἐξ ἧς τρέφεται τὰ μόρια τελέως ἀπολλυμένης. περιέχεται δ' αὐτὴ κατὰ πάντα τοῦ ζῴου τὰ μόρια δροσοειδῶς ἐν αὐτοῖς παρεσπαρμένη. καὶ λέλεκται πολλάκις ἤδη περὶ αὐτῆς ἑτέρωθι. ταύτην οὖν ἐνθεῖναι τοῖς μορίοις οὐχ οἷόν τε χωρὶς τροφῆς. καὶ διὰ τοῦτο χαλεπωτάτη τῶν τοιούτων ἐστὶ διαθέσεων ἡ ἴασις. ἄλλη δὲ ξηρότης ἐστὶν ἡ κατὰ τὰς μικρὰς ἀρτηρίας καὶ φλέβας τὰς ἰδίας ἑκάστου τῶν μορίων συνισταμένη. γίγνεται δὲ αὕτη δηλονότι κατὰ τὴν τοῦ αἵματος ἔνδειαν. ἁπάσας ταύτας τὰς ξηρότητας ἐσχάτως βλάπτουσιν, αἱ τῶν αὐστηρῶν ἐδεσμάτων καὶ πομάτων καὶ φαρμάκων προσφοραί. ἐκδαπανῶσι γὰρ εἰ καί τι λείποιτο τῆς ἐν αὐτοῖς ὑγρότητος ἐμφύτου. τὸ μὲν ἐκπίνουσαι. τὸ δὲ, ἐκθλίβουσαι διὰ τῶν πόρων, εἰς τὴν ἐντὸς εὐρύτητα τῆς κοιλίας. τὸ δ' ἐπὶ τὰ συνεχῆ μόρια διωθούμεναι, θεραπεύειν οὖν αὐτὰς προσήκει, τὸ μὲν συνιζηκὸς τῶν πόρων, ἀναπεταννύντα. τὰ δ' εἰς τὰ παρακείμενα

μόρια

μάλιστα διωσθῇ, ἐπισπώμενον. ὑγραινούσῃ τε τροφῇ πληροῦντα τῆς οἰκείας ὑγρότητος ἕκαστον τῶν ὁμοιομερῶν. ὥσπερ καὶ ἡμεῖς τὸν ἐξηρασμένον ὑπὸ τῶν ἰατρῶν ἐθεραπεύσαμεν ἄνθρωπον. ἐν μὲν γὰρ τῇ κατὰ τὸ θερμὸν καὶ ψυχρὸν ἀντιθέσει, μηδεμίαν ἐπικρατοῦσαν ἐναργῶς ἔχοντα δυσκρασίαν, μήτε καθ' ὅλον τὸ σῶμα, μήτε κατὰ τὴν γαστέρα, ξηρὸν δὲ καὶ λεπτὸν ἱκανῶς γεγενημένον, ἐκ τοῦ μὴ πέττειν καλῶς ἀτονούσης τῆς κοιλίας ἐπὶ τῇ κατὰ ξηρότητα δυσκρασίᾳ. τούτου γὰρ ὁ μὲν σκοπὸς τῆς θεραπείας ἦν, ὑγρᾶναι τήν τε γαστέρα, καὶ σύμπαν τὸ σῶμα. τίσι δ' ἐνεργείαις ἐχρησάμεθα ταῖς κατὰ μέρος, ἐπὶ τίσι τε μάλιστα ὕλαις ὑπὲρ τοῦ τυχεῖν τοῦ σκοποῦ, διελθεῖν ἄμεινον. οἴκημα μὲν αὐτῷ παρεσκευασάμην ἐγγυτάτω τοῦ βαλανείου, τοιαῦτα δ' ἐστὶν ὡς οἶσθα πολλὰ κατὰ τὰς τῶν πλουσίων οἰκίας, ἐξ αὐτοῦ δ' εὐθέως ἕωθεν, εἰς τὸ βαλανεῖον εἰσφερόμενον ἐπὶ σινδόνων, ὅπως μὴ καταξηραίνοιτό τε δι' ἑαυτοῦ κινούμενος, ἐκλύοιτό τε πρὸ τοῦ δέοντος καιροῦ. τούτων γὰρ, τὸ μὲν εἰς αὐτὴν τὴν διάθεσιν συντελεῖ, τὸ δὲ, συντέμνει τὴν ἐν τῷ βαλανείῳ διατριβήν. ἐπὶ πλεῖστον γὰρ χρὴ τὸν ἄνθρωπον ἐνδιατρίβειν τῷ ὕδατι. καὶ διὰ τοῦτο καὶ αἱ κολυμβῆθραι βελτίους εἰσὶ τῶν μικρῶν πυέλων. καὶ μάλιστα ὅσαι πλησίον ὑπάρχουσι τῆς ἔξωθεν θύρας, ὡς μὴ δὲ διὰ μακροῦ τὴν ἐκ τοῦ ὕδατος αὐτῷ πρὸς τοὐκτὸς εἶναι φοράν. οὐ γὰρ δὴ τοῦ ἀέρος ἐπὶ τῶν οὕτως ἐχόντων χρῄζομεν. ἔστω δ' ἀκριβῶς εὔκρατον τὸ ὕδωρ. τὸ μὲν γὰρ ψυχρότερον, λεληθυῖαν ψύξιν ἐναπεργάζεται τοῖς ἀσθενοῦσι σώμασι. τὸ δὲ θερμότερον, συνάγει καὶ σφίγγει τοὺς πόρους καὶ πυκνοῖ. ἡμεῖς δ' ἀνεῖναι καὶ χαλάσαι καὶ ἀνευρῦναι δεόμεθα συνιζηκότας αὐτούς. ὅπερ ἡ τῶν εὐκράτων ὑδάτων ἐργάζεται ποιότης. ἡδίστη γὰρ οὖσα, προκαλεῖται τὴν φύσιν ἐξαπλοῦσθαι καὶ ἀποτείνεσθαι πανταχόσε πρὸς τὸ τερπνὸν ἀνάπαλιν τοῖς ἀηδέσιν. ἀποχωρεῖ γὰρ ἀπὸ τούτων καὶ φεύγει πρὸς τὸ βάθος. οὐδὲν οὖν θαυμαστὸν ἐπὶ μὲν τῇ τῶν ἀνιόντων ὁμιλίᾳ, πιλεῖσθαι καὶ σφίγγεσθαι καὶ σκληρύνεσθαι τὰ σώματα, καὶ τοὺς πόρους αὐτῶν συνάγεσθαι καὶ πυκνοῦσθαι. τοῖς δ' ἐναντίοις τοῖς ἥδουσιν, ἕπεσθαι τὰ ἐναντία. χεῖσθαι μὲν γὰρ καὶ μαλάττεσθαι τὰ σώματα, τοὺς πόρους δ' εὐρύνεσθαι. μετὰ δὲ τὸ τοιοῦτον λουτρὸν, εὐθέως ἐδίδομεν ὄνειον γάλα, τὴν ὄνον εἰς τὸν οἶκον εἰσάγοντες ἐν ᾧ κατέκειτο. ἐπεπείσμεθα γὰρ ὡς μάλιστα μὲν εἰ αὐτὸν τὸν ἄνθρωπον οἷόν τε ἦν θηλάζειν τὴν ὄνον, οὕτως ἂν ἐθεραπεύθη τάχιστα. τούτου δ' ἔχοντος ἀηδίαν, ἐλάχιστον χρόνον ὁμιλεῖν αὐτὸ τῷ περιέχοντι ἀέρι, τάχιστα μεταβάλλεσθαι πεφυκὸς, ὁμοίως τῷ σπέρματι. καὶ γὰρ καὶ τοῦτο, χρόνον οὐδένα χρὴ διαμένειν ἔξω τῶν οἰκείων ὀργάνων εἰ μέλλει τὴν ἑαυτοῦ φυλάξαι δύναμιν. ἀλλ' ἢ ἐν τοῖς τοῦ ἄρρενος εἶναι μορίοις, ἢ τοῖς τῆς θηλείας συνῆφθαι. καὶ δὴ καὶ τὸ γάλα κάλλιστον μὲν εἰ ἐξ αὐτῶν τῶν θηλῶν ἐπισπῷτό τις, ὥσπερ Εὐρυφῶν καὶ Ἡρόδοτος ἀξιοῦσιν. οἳ τοσοῦτον ἄρα τεθαρρήκεσαν αὐτῷ πρὸς ἀνάθρεψιν σωμάτων, ὥστε καὶ τοὺς ὑπὸ φθόης συντετηκότας, ἐκέλευον ἐντιθεμένους τοῦ τιτθοῦ τῆς γυναικὸς τὴν θηλὴν βδάλλειν τὸ γάλα. τοῦτο δὲ οὐχ ὑπομενόντων ποιεῖν τῶν πλείστων, ἄμεινόν ἐστιν ὅτι τάχιστα θερμὸν μεταφέρειν ἐκ τῶν τιτθῶν εἰς τὴν κοιλίαν τοῦ κάμνοντος αὐτό. τὸ μὲν οὖν ἀνθρώπειον ὡς ἂν ὁμόφυλον, ἄριστον. ἐπεὶ δ' οὐχ ὑπομένουσιν οἱ πολλοὶ γάλα γυναικὸς προσφέρεσθαι δίκην παιδίων, ὡς ὄνοις αὐτοῖς δοτέον ὄνειον γάλα. τοῦτο γάρ ἐστι πάντων τῶν ἄλλων ἄριστον εἰς τὴν ἐνεστῶσαν διάθεσιν. λεπτότατον γὰρ ὑπάρχει, ἥκιστά τε τυροῦται, καὶ τάχιστα διαδίδοται πανταχόσε. δεῖται δ' ἀμφοῖν τούτοιν ὁ πεπονθὼς τὴν γαστέρα. τοῦ μὲν μὴ τυροῦσθαι, διὰ τὴν κοινὴν χρείαν. ἅπαντας γὰρ βλάπτει τοῦτο. τοῦ διαδίδοσθαι δὲ, διά τε τὸ δεῖσθαι ταχείας θρέψεως, καὶ ὅτι μεμύκασιν αὐτῷ αἱ διέξοδοι. τοῦτό τε οὖν δοτέον αὐτὸ καθ' αὑτὸ, καὶ μέλι χλιαρὸν ὀλίγον ἐπιμιγνύειν αὐτῷ. μεγίστη δ' ἔστω φροντὶς ἀμφοῖν τῆς ἀρετῆς, ἐν ταῖς τοιαύταις διαθέσεσι. τὸ μὲν οὖν μέλι τὸ ξανθὸν τὴν χροιὰν, καὶ ἡδὺ τὴν ὀσμὴν, καὶ καθαρὸν οὕτως, ὡς ὅλον διαυγεῖσθαι καὶ γευομένοις ἐπ' ὀλίγον δριμὺ καὶ ἥδιστον. εἰς τοσοῦτο τε συνεστὸς, ὡς ἐπαρθὲν τῷ δακτύλῳ, καταρρεῖν χαμάζε, συνεχὲς ἑαυτῷ διαμένον, ἀπάντων ἄριστον. εἰ δ' ἀπορρηγνύοιτο κατά τι καὶ μὴ μένοι συνεχὲς ἐπὶ τὴν γῆν καταπῖπτόμενον, ἤτοι παχύτερόν ἐστιν, ἢ λεπτότερον, ἢ ἀνομοιομερές. ὀνομάζω δὲ ἀνομοιομερὲς, ὥσπερ οὖν καὶ αὐτὸ τοὔνομα ἐνδείκνυται, τὸ συγκείμενον ἐξ ἀνομοιομερῶν. εὑρήσεις οὖν αὐτὸ διαθεώμενος ἤτοι παχύτητας ἢ ὑγρότητας ἐμφερομένας ἔχον, οὐχ ὁμοίας ἀλλήλαις τε καὶ τῷ παντί. κηρωδέστερον οὖν μέλι, τό, τε παχὺ, καὶ ᾧ τοιαῦται τινὲς ἐμφέρονται παχύτητες. περιττωματικώτερον δὲ καὶ ἀκατεργαστότερον καὶ δυσπεπτότερον, τό, θ' ὑγρὸν ὅλον, ᾧ τε πολλαὶ κατὰ τὰ μόρια κατεσπαρμέναι φαίνονται σταγόνες ὑγρότητος. ᾧ δ' ἐμφέρεταί τις ἢ κηροῦ ποιότης, ἢ πρόπολεως, ἤτις ἄλλη τοιαύτη γευομένοις, οὐ μόνον οὐκ ἄριστον, ἀλλ' ἤδη καὶ φαῦλον. ὅλως γὰρ οὐδεμίαν ἐξέχουσαν ἑτέρου οὐδενὸς πράγματος ἐν αὐτῷ χρὴ περιέχεσθαι ποιότητα. διόπερ οὐδὲ τὸ τῶν θύμων ὄζον ἐναργῶς ἐπαινῶ. ἀκατεργαστότερον γάρ ἐστι τοῦτο, καὶ οὐκ ἀκριβῶς περ μέλι. καίτοι τινὰς οἶδα τὸ τοιοῦτον ἐπαινοῦντας. ὥστε καὶ τῶν πιπρασκόντων ἔνιοι κόπτοντες τὸν θύμον ἐπιβάλλουσιν, ὅπως αὐτοῦ ὄζοι, καὶ δόξειεν εἶναι κάλλιστον. ἀλλ' ἐγὼ τὸ μὲν οὕτως ἀναιδῶς ὄζον, οὐκ ἐπαινῶ. καὶ πολὺ δὴ μᾶλλον, εἰ ἐπεμβληθείη τι θύμου. τὸ δ' ἀμυδράν τινα ποιότητα κατ' ὀσμὴν ἢ γεῦσιν φέρον, οὐ μέμφομαι. Κατὰ ταῦτα δὲ, καὶ τὸ γάλα μηδεμίαν ἔξωθεν ἐπιδεικνύσθω ποιότητα κατ' ὀσμὴν ἢ γεῦσιν. ἀλλ' ἔστω γλυκὺ μὲν ὡς ἔνι μάλιστα, καὶ συνεχὲς ἑαυτῷ καὶ λαμπρὸν, ὡς γάλακτι πρέπει. πρὸ πάντων δ' ὁμοιομερὲς, εἰς ὅσον ἐγχωρεῖ γάλακτι γενέσθαι τοιούτῳ. τελείαν γὰρ οὐκ ἐπιδέχεται τὴν ἀρετὴν ταύτην, ὥσπερ τὸ μέλι τὸ ἄριστον. ὅπως δ' εἴη τοιοῦτον, καὶ τροφὰς τῷ ζώῳ παρασκευαστέον ἐπιτηδείους, καὶ γυμνάσια γυμναστέον σύμμετρα, καὶ εἴ τινα θηλάζει πῶλον, ἀφαιρετέον. ὅτι δὲ καὶ ἡλικίᾳ τὸ ἀκμαιότατον εἶναι προσήκει, παντί που δῆλον. ἐπιμελητέον δὲ καὶ ὅπως εὐπεπτότατον ἔσται, καταφρονοῦντας τῶν γελασόντων, εἰ καὶ τὰς ὄνους διαιτήσειν μέλλομεν. εἰ γὰρ οἱ περὶ βαίνετον καὶ πράσινον ἐσπουδακότες, ὀσφραίνονται τὰς κόπρους τῶν ἵππων, ἕνεκα τοῦ γνῶναι πῶς κατεργάζονται τὰς τροφάς. ὡς ἐκ τούτου τὴν ὅλην αὐτῶν εὐεξίαν κατανοήσαντες, καὶ ἡμᾶς δή που χρὴ πολὺ δὴ μᾶλλον εἰς ἀνθρώπου σωτηρίαν ἅπαντα προορᾶσθαι τὰ τοιαῦτα. καὶ πόας τε παρέχειν τῷ ζώῳ, μὴ λίαν ὑγράς. καὶ χόρτου καὶ κριθῆς τὸ σύμμετρον. οὐκ ἀμελεῖν δὲ οὐδὲ ψύχειν καὶ ἀναβιβάζειν καὶ ἀποξύειν καὶ καθαίρειν τὸ τῆς ὄνου σῶμα. εἰ μὲν οὖν ἀποπατήσειεν ὑγρότερα καὶ δυσωδέστερα, καὶ φύσης μεστὰ φαίνοιτο, πρόδηλον δή που θεῶν ὡς οὐκ ἔπεψε καλῶς, ὥστε ἤτοι τῶν τροφῶν ἀφελεῖν,

ἢ προσθεῖναι τοῖς γυμνασίοις, ἢ ὑπαλλάξαι χρὴ τὰς ποιότητας, ἢ τὴν περὶ τὰς τρίψεις τε καὶ ψύξεις ἐπιμέλειαν οὐ τὴν αὐτὴν ποιεῖσθαι. σκληρότερα δ' ἀποπατήσαντος τοῦ ζώου, πρὸς τἀναντία βλέπειν, κἀκείνων τι μετακοσμεῖν. ἐγὼ γὰρ εἰ πάνθ' ὅσα χρὴ σκοπεῖσθαι περὶ τὸ ζῶον, οὗ τῷ γάλακτι χρῆσθαι μέλλοιμεν, ἐξῆς ἅπαντα λέγοιμι, τῆς ὑγιεινῆς ὅλης ὑπομνήσομαι πραγματείας. ἣν ἀναγκαῖον μὲν ἐστι γινώσκειν τὸν χρηστὸν παρασκευάσοντα τὸ γάλα. λέγειν δ' οὐ νῦν καιρός, ἑτέρωθί γε διειλεγμένον τελεώτατα ὑπὲρ αὐτῆς. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπάνειμι. καί μοι πάλιν ἀναμιμνήσκου τοῦ λελουμένου τε καὶ τὸ γάλα προσενηνεγμένου. τοῦτον οὖν τὸν ἄνθρωπον ἡσυχάζειν ἐάσαντες ἄχρι τοῦ δευτέρου λουτροῦ, τρίψομεν τηνικαῦτα μετρίως τε ἅμα καὶ λιπαρῶς, εἰ ἀκριβῶς κατείργασται τὸ δοθὲν γάλα ταῖς ἐρυγαῖς τε καὶ τῷ τῆς γαστρὸς ὄγκῳ τεκμηράμενοι. σύμμετρος δὲ ἀπὸ τοῦ πρώτου λουτροῦ πρὸς τὸ δεύτερον, ὡρῶν ἰσημερινῶν τεττάρων ἢ πέντε, χρόνος. εἴγε τὸ τρίτον ἔτι μέλλοις λούειν αὐτόν. εἰ δὲ μή, πλειόνων. λούσης δὲ τὸ τρίτον, ἢν εἰθισμένος ᾖ λουτροῖς χρῆσθαι πλείοσιν. οὗτοι γὰρ καὶ χαίρουσι, καὶ ὀνίνανται πολλάκις λουόμενοι. καὶ μὲν δὴ καὶ ἐπαλείψομεν αὐτὸν ἐλαίῳ πρὶν ἀμφιέννυσθαι καθ' ἕκαστον λουτρόν. εἰς ἀνάθρεψιν γὰρ συντελεῖ καὶ τοῦτο, καθάπερ καὶ αἱ τρίψεις. εἴρηται δὲ ὑπὲρ ἁπάντων τῶν τοιούτων τῆς δυνάμεως ὁ λογισμὸς ἐν τοῖς ὑγιεινοῖς. οὐδὲν μὴν χεῖρον ἀναμνῆσαι καὶ νῦν τῶν κεφαλαίων αὐτῶν. εἴτε γὰρ ὕδωρ ἐπιχέοις θερμὸν εὔκρατον ὁτῳδήποτε μορίῳ τοῦ σώματος, εἴτε τρίβοις, εἴτε λούοις, εἴθ' ὁπωσοῦν ἄλλως θερμαίνοις, ὄψει γιγνόμενον, ὅπερ Ἱπποκράτης ἐπὶ τοῦ ὕδατι θερμῷ καταντλουμένου εἶπε. τὸ μὲν γὰρ πρῶτον, αἴρεται. ἔπειτα δὲ ἰσχναίνεται. διὰ τοῦτο σαρκῶσαι μὲν ἡμῖν βουλομένοις ὁτιοῦν σῶμα, μέχρι τοσούτου θερμαντέον, ὡς εἰς ὄγκον ἀρθῆναι. διαφορῆσαι δὲ καὶ κενῶσαι, μέχρι τοσούτου χρονιστέον, ὡς ἰσχνωθῆναι τὸ πρότερον ὀγκωθέν. ἀκριβῶς δὲ τὸν νοῦν προσέχειν χρὴ τὸν ἐπιστατοῦντα ταῖς τοιαύταις ἐνεργείαις, καὶ μάλιστα ἐφ' ὧν βούλεται σαρκῶσαι. τοῦ μὲν γὰρ διαφορῆσαι, πλατὺς ὁ καιρός. ὥστε οὐδ' ἑκὼν ἁμάρτοις ἂν αὐτοῦ. τοῦ σαρκῶσαι δ' ὀξύς. ὅταν γὰρ πρῶτον ὀγκωθῇ, τό τε παύεσθαι χρή. τὸ δ' ὀγκωθῆναι τοῦτο, καθ' ἕκαστον τῶν σωμάτων ἴδιόν ἐστιν. οὐ γὰρ οἷόν τε τὸν τῷ λόγῳ προκείμενον νῦν τὸν ἰσχνὸν εἰς ὄγκον ἀφικέσθαι τοῖς ὑγιαίνουσιν ἴσον. ἀλλ' ὅταν ἐπ' ὀλίγον ἀρθῇ, διαφορεῖται παραυτίκα. χρὴ τοίνυν ἀκριβῶς προσέχειν τὸν νοῦν, ὅπως μὴ λάθῃ σε παρελθὼν ὁ καιρός. ἐὰν γοῦν ἀνατρίβῃς τὸν ἄκρως ἰσχνόν, ἀρκεῖ τὸ ἐρύθημα μόνον. ἐάν τε λούῃς, τὸ θερμανθῆναι μετρίως. ἐπέκεινα δὲ τοῦδε χρονίζων, καταλύσεις μᾶλλον ἢ θρέψεις αὐτόν. ἐπαλείφειν δὲ ἐλαίῳ μετὰ τὰ λουτρὰ χάριν τοῦ μὴ διαπνεῖσθαι πλέον τοῦ προσήκοντος, ἀλλ' ἐμπεφράχθαι τοῦ δέρματος τοὺς πόρους. εἴη δ' ἂν εὐθέως αὐτὸ τοῦτο, τῆς μὲν ξηρότητος ἄκος, οἷον πρόβλημα δέ τι πρὸς τὴν ἐκ τοῦ περιέχοντος βλάβην. καὶ εἰ μὲν οὖν ἥδοιτο τῷ γάλακτι, καὶ μετὰ τὸ δεύτερον αὐτῷ δώσομεν λουτρόν. εἰ δὲ μή, πτισάνην ἀκριβῶς καθεψημένην, ἢ χόνδρον ὡς πτισάνην κατεσκευασμένον. εἶτ' αὖθις ἡσυχάσαντα, πάλιν πρὸς τὸ τρίτον ἄξομεν λουτρόν. ἢ ἄντικρυς ἐπὶ τὸ δεῖπνον. ἄρτος δ' ἔστω παρεσκευασμένος αὐτῷ κριβανίτης καθαρός. ἐπιμελῶς μὲν ὠπτημένος, ἔχων δὲ ζύμης τε καὶ ἁλῶν αὐτάρκων. ὄψον τε τῶν πετραίων ἰχθύων. ἢ ὀνίσκος ἐκ λευκοῦ ζωμοῦ. καὶ μὴν καὶ τὰ πτερά, καὶ οἱ ὄρχεις τῶν ἐν γάλακτι τρεφομένων ἀλεκτρυόνων, ἐπιτήδειοι. μὴ παρόντων δὲ τούτων, ἄλλοις χρηστέον. οὕτω δὲ καὶ πέρδιξι, καὶ στρουθοῖς χρῆσθαι τοῖς ὀρείοις τε καὶ μαλακοσάρκοις. φυλάττεσθαι δὲ τά θ' ἕλεια, καὶ σκληρόσαρκα. συνελόντι δὲ φάναι, τὸ κεφάλαιον τῆς τροφῆς, εὔπεπτος ἔστω καὶ τρόφιμος, ἥκιστα δὲ καὶ γλίσχρα καὶ περιττωματική. τροφιμώτατον οὖν ἐστιν ἁπάντων ὧν ἴσμεν ἐδεσμάτων, χοίρειον κρέας, ἀλλ' οὐχ ὁμοίως τοῖς εἰρημένοις εὔπεπτον, καὶ χυμοῦ γλίσχρου καὶ πάχεος γεννητικόν. οὐδὲ γὰρ οὐδ' ἄλλως οἷόν τε διακεῖσθαι τὸ ἄκρως τρόφιμον. ἴσχεσθαι γὰρ αὐτὸ χρή, καὶ προσπλάττεσθαι δυσαπολύτως, οὐ διαρρεῖν ὑπὸ λεπτότητος. οὐ μὴν εἴς γε τὰ παρόντα χρηστόν. εἰ μὲν γὰρ ἡ τροφὴ ἑαυτὴν πέττουσα καὶ ἀναδιδοῦσα, καὶ τοῖς τρεφομένοις ὁμοιοῦσα, προσεφύετο τοῖς πλείστης ἀναθρέψεως δεομένοις, τροφιμωτάτων ἂν ἔδει σιτίων. ἐπεὶ δ' οὐκ ἄλλο μέν ἐστι τὸ τρέφεσθαι δεόμενον, ἄλλο δὲ τὸ ταῦτα κατεργαζόμενον, ἀλλ' ἑαυτῷ τε τὴν τροφὴν ἐπισπᾶται τὸ τρέφεσθαι μέλλον, ἑαυτῷ τε μεταβάλλει καὶ πέττει, καὶ προσφύει, καὶ ἐξομοιοῖ, διττὸν ἕξει σκοπὸν τῆς τῶν σιτίων ἐπιτηδειότητος. ἕνα μὲν οὖν, αὐτοῦ τοῦ σιτίου τὴν φύσιν. ἕτερον δέ, τὴν οἰκείαν τε αὐτῷ καὶ σύμφυτον δύναμιν. ἐξ οὖν τῶν εἰρημένων, εὔδηλον ὡς οὔτε τὸ τροφιμώτατον σιτίον ἄριστον εἰς τὰ δεόμενα σώματα πλείονος ἀναθρέψεως. οὐ γὰρ ὑπάρχει τῷ τοιούτῳ τὸ πέττεσθαι ῥᾳδίως, οὔτε τὸ εὐπεπτότατον. ὅτι γε μὴ δὲ τοῦτο δυνατὸν εἶναι τροφιμώτατον. ἐναντιουμένων οὖν ἀλλήλοις τῶν σκοπῶν, οὐ χρὴ τοῦ ἑτέρου τῆς ἀκρότητος ὀριγνώμενον ἐπιλαθέσθαι θατέρου παντάπασιν, ἀλλ' ἀμφοῖν ἀεὶ μεμνημένον, εἰς ὅσον οἷόν τε ἐστὶ μιγνύειν αὐτούς. τούτου μὲν δή μοι διαπαντὸς μέμνησο τοῦ παραγγέλματος. Οἴνου δ' ἐφεξῆς ποιότητός τε καὶ ποσότητος μνημονεύσωμεν, μεγίστην ἔχοντος εἰς τὰ τοιαῦτα δύναμιν. ἐπειδὴ καὶ μόνῳ τούτῳ ποτῷ χρηστέον εἶναί φημι πᾶσι τοῖς ἀναθρέψεως δεομένοις σώμασιν ἄνευ τοῦ πυρέττειν. ἔστω τοίνυν ὡς ἐν παραδείγματι μὲν εἰπεῖν, οἷος ὁ σαβῖνος μὲν ἐπὶ τῆς Ἰταλίας. ἀρσυῗνος δέ, κατὰ τὴν Ἀσίαν. ὡς δὲ τύπῳ τε καὶ ὅλῳ τῷ γένει περιλαβεῖν, ὁ ὑδατώδης μὲν τἄλλα, βραχεῖαν δ' ἔχων τὴν στύψιν. ὑδατώδη δ' οἶνον ὀνομάζω, τὸν λευκὸν καὶ καθαρόν, καὶ ὀλιγοφόρον, ὡς Ἱπποκράτης ἐκάλεσεν. ὀλιγοφόρος δ' ἐστίν, ὡς ἂν ἐν τῷ κεράννυσθαι, τὴν τοῦ ὕδατος μίξιν ὀλιγίστην φέρει. τουτέστιν ὁ ἀσθενέστατός τε καὶ ὑδατωδέστατος ὡς ἐν οἴνοις. ὁ γὰρ ἀνεχόμενος ὕδατος πλείστου μίξιν ἐν τῷ κεράννυσθαι, σφοδρότατός ἐστι καὶ ἰσχυρότατος. ὠνόμαζε τὸν τοιοῦτον ὁ Ἱπποκράτης, οἰνώδη. ἀλλὰ τοῦτον μὲν φυλάττεσθαι, πλήττοντα τὰς ἀσθενεῖς δυνάμεις. ὁ δ' ὑδατώδης μὲν αὐστηρὸς δέ, ἐπιτήδειος, ὡς ἂν τὴν τοῦ ὕδατος ἐκπεφευγὼς ἀσθένειαν. καὶ μηδέπω τὴν οἴνου βλάβην ἔχων. ἐκ τούτων οὖν τῶν σκοπῶν, εὑρήσεις αὐτοῦ καὶ τὴν ἡλικίαν, καὶ τὴν κρᾶσιν. ὁ μὲν γὰρ νέος, ὑδατωδέστερός τε καὶ ἀσθενέστερός ἐστιν, ἢ ὡς οἴνῳ πρέπει. μετὰ καὶ τοῦ δυσπεπτότερος εἶναι καὶ περιττωματικώτερος. ὁ δὲ πρεσβύτερος, οἰνωδέστερός τε καὶ ἰσχυρότερος, ἢ ὡς τοῖς παροῦσιν ἁρμόττει. διὸ καὶ θᾶττον ἐτῶν ἓξ ὁ εὐγενὴς σαβῖνος οὐκ ἐπιτήδειος, ἐμπλέων ἐπὶ πλεῖστον ἔν τε τῷ στομάχῳ καὶ τῇ γαστρί, καὶ κλύδωνας ἐργαζόμενος. εὐγενῆ δ' ὀνομάζω τὸν αὐστηρόν. ὁμοίως μὲν σαβῖνον. ὁμοίως δὲ ἀδριανόν τε καὶ ἀλβανόν. ὁμοίως δὲ ἀρσυ-

δὲ Ἀρσυίνιόν τε καὶ Τιτακαζηνόν, ὅσοι τε ἄλλοι τοιοῦτοι. λέλεκται γὰρ ἐπὶ πλέον ὑπὲρ ἁπάντων οἴνων ἰδίᾳ. πρὸς τούτους οὖν ἀναφέρων τοὺς σκοποὺς, καὶ τὴν πρὸς τὸ ὕδωρ αὐτοῦ ποιεῖσθαι κρᾶσιν. ἔτι δ᾽ ἂν μᾶλλον ἀκριβῶς στοχάζοιο τῶν εἰρημένων, εἰ τῆς τοῦ ὕδατος κακίας τὰ κεφάλαια διὰ μνήμης ἔχοις. ἔρχεται δὲ ἐκ τῆς ψυχρότητος αὐτοῦ πάντα. δι᾽ ἣν ἔν τοῖς ὑποχονδρίοις τε μέχρι πλείστου παραμένει, καὶ κλύδωνας ἐργάζεται. καὶ πνευματοῦται, καὶ διαφθείρεται, καὶ τῆς γαστρὸς ἐκλύει τὸν τόνον, ὡς καὶ τὰς πέψεις διὰ τοῦτο χείρους γίγνεσθαι. συμπράττει δ᾽ οὐδὲ ταῖς ἀναδόσεσι τῆς τροφῆς οὐδὲν, ὅ, τι καὶ ἄξιον λόγου. καὶ μέν γε καὶ αἱ τῶν προειρημένων οἴνων ἀρεταὶ, ταῖς νῦν εἰρημέναις κακίαις, ἐξ ὑπεναντίου τὴν φύσιν ἔχουσιν. οὔτε γὰρ ἐμφυσῶσι τὸ ὑποχόνδριον, ἀλλ᾽ εἰ καὶ φυσωδέστερον πως εἴη, προστέλλουσιν, οὔτε χρονίζουσιν αὐτόθι τῷ τῆς θερμασίας συμμέτρῳ. τάς θ᾽ ὁδοὺς τῆς ἀναδόσεως ἀνοιγνύντες, αὐτοί τε συνεπωθοῦντες ἅμα καὶ συναναφέροντες τὴν τροφὴν εἰς τάχος τῇ κατὰ τὴν ἀνάδοσιν ἐνεργείᾳ συντελοῦσιν. εὔχυμοί τ᾽ εἰσὶ καὶ κατακεραστικοί, καὶ πεπτικοὶ τῶν κατὰ γαστέρα τε καὶ φλέβας. αὐξάνουσι δὲ καὶ τὴν δύναμιν τῶν ὀργάνων, καὶ τὰ περιττώματα πρὸς τὰς ἐκκρίσεις προδηγοῦσι. ταῦτ᾽ ἄρα καὶ οὐρητικοὶ τῶν ἄλλων οἴνων οἱ τοιοῦτοι μᾶλλον εἰσίν. ὡς ἂν αὐτοί τε ταχέως διεξερχόμενοι τὸ σύμπαν σῶμα, καὶ τὰ περιττώματα τῇ ῥύμῃ τῆς φορᾶς ἑαυτοῖς συνεκκρίνοντες. εἴρηται μὲν οὖν ἑτέρωθι τελεώτερον ὑπὲρ τῆς τῶν οἴνων δυνάμεως, ὥσπερ γε καὶ περὶ τῆς τῶν σιτίων. καὶ χρὴ τὸν μεθόδῳ τὴν τέχνην ἐργάζεσθαι βουλόμενον, ἰδίᾳ τῶν ὑλῶν ἁπασῶν ἐκμαθόντα τὰς δυνάμεις, μηκέτι καθ᾽ ἕκαστον πάθος ἀκούειν ἀξιοῦν, ἀλλ᾽ αὐτὸ μόνον ἐπιγνόντα τὸ τῆς θεραπείας εἶδος, εὑρετικὸν εἶναι τῆς ἁρμοζούσης διαίτης. ἐγὼ δ᾽ οὐκ ὀκνήσω κηδόμενος, τῶν τ᾽ ἀληθῶς σπουδαζόντων ἐκμανθάνειν, ἐφάψασθαι καὶ τῆς τοιαύτης διδασκαλίας, ἕνεκα τοῦ τοὺς ἀγυμναστοτέρους τὸν λογισμὸν, ἀπὸ τῶν καθόλου μεταβαίνειν ἐπὶ τὰ κατὰ μέρος, ὑπὸ τῶν παραδειγμάτων προδηγουμένους. ὅθεν οὖν ὑπόλοιπόν ἐστι, προσθετέον αὖθις. ὁ σκοπὸς τῆς ποσότητος ἐπὶ μὲν τοῦ πόματος, ὡς μηδέ ποτ᾽ ἐκπλεῦσαι τῇ γαστρὶ, καὶ κλύδωνας ἐργάζεσθαί τινα αἴσθησιν. ἐπὶ δὲ τῶν σιτίων, μάλιστα μὲν εἰ οἷόν τε, μὴ δὲ βαρῦναι ποτὲ αὐτήν. χαλεπὸν δὲ τὸ τοιοῦτον, ἢ ἴσως ἀδύνατον, ἐν ἀτόνῳ γαστρὶ φυλάξασθαι παντάπασιν. δεύτερον δ᾽ ὅτι τάχιστα παύσασθαι τὸ βάρος. ἐφεξῆς δὲ, διάτασιν καὶ πνευμάτωσιν ὑποχονδρίων φυλάττεσθαι. εἰ μὲν δὴ συμπέσοι τοιοῦτό τι κατὰ τὴν πρώτην ἡμέραν, ἀνάλογον τῷ μεγέθει τοῦ συμπτώματος ἀφελεῖν χρὴ τῶν σιτίων ἐπὶ τῆς ὑστεραίας. εἰ δ᾽ ἀμέμπτως ἅπαντα γίγνοιτο, προσθεῖναι βραχύ τι. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐπὶ τῆς τρίτης ἡμέρας, ἢ ἀφαιρεῖν ἢ προσθεῖναι, τῇ προηγουμένῃ παραβάλλοντας. καὶ οὕτως ἄχρι παντὸς, ἀναθρεπτικῶς τε καὶ ἀναληπτικῶς ἅπαντα διαπράττεσθαι, κινήσεσιν, αἰωρήσεσι, καὶ περιπάτοις, ἀνάλογον τῇ τοῦ σώματος ἐπιδόσει, προστιθέντα καὶ τἄλλα πάντα κατὰ τὸν ἀναληπτικὸν ὀνομαζόμενον τρόπον, ὃς οὐ τῷ γένει διενήνοχε τοῦ νῦν ἡμῖν ἐνεστῶτος, ἀλλὰ τῷ σύμπαν ὡσαύτως ἔχειν ἐπ᾽ ἐκείνου τὸ σῶμα, καθάπερ ἡ γαστὴρ ἐπὶ τοῦδε. συμβαίνει δὲ μάλιστα κατὰ τὰ χρόνια τῶν ἀρρωστημάτων, ὅταν ἡ σύμφυτος ὑγρότης ἑκάστου μέρους ἐξ ἧς πρώτης τρέφεται, κινδυνεύῃ μηκέτι εἶναι. τὴν μὲν γὰρ αὐτῶν τῶν στερεῶν σωμάτων ξηρότητα, τῶν ἀδυνάτων ἐστὶν ἐπανορθώσασθαι, καθάπερ καὶ τὸ γῆρας. ὡς κἀν τῷ περὶ μαρασμοῦ δέδεικται λόγῳ. τὴν ὑγρότητα δὲ κἂν ἀπόλυται τελέως, οἷόν τε γεννῆσαι, κατὰ τὴν εἰρημένην ἀρτίως δίαιταν. ἐν μὲν οὖν ταῖς ἄλλαις ἀναλήψεσιν, οὐδὲν ἐξαίρετον ἡ γαστὴρ πέπονθεν. ἐν δὲ τῇ νῦν προκειμένῃ διαθέσει, τὸ νόσημα μέν ἐστι τῆς γαστρὸς, λεπτύνεται δὲ τῷ χρόνῳ τὸ σύμπαν σῶμα μὴ καλῶς τρεφόμενον. εὔλογον οὖν ἀκριβεστέρας δεῖσθαι διαίτης τούσδε, διὰ τὸ περὶ τὰς πέψεις ἄρρωστον. ἀλλ᾽ ὅταν γε βελτίους γένωνται, κατὰ βραχὺ μετάγειν αὐτοὺς ἐπὶ τὴν ἀναθρεπτικὴν καὶ ἀναληπτικὴν ὀνομαζομένην ἀγωγήν. γίγνοιτο δ᾽ ἂν τοῦτο, τρίψεσί τε πλείοσιν, ἢ πρόσθεν. αἰωρήσεσί τε χρωμένων. ὑπαλλάττειν δ᾽ ἐν τούτῳ χρὴ καὶ τῶν τροφῶν τό, τε ποσὸν, καὶ τὸ ποιόν. ὡς καὶ πλείω καὶ ἰσχυρότερα σιτία τῶν ἔμπροσθεν διδόναι. καὶ τοῦ χρόνου δὲ προϊόντος, ὅταν ἤδη πλησίον ἥκωσι τῆς ὑγιεινῆς καταστάσεως, ἀποχωρῆσαι πτισάνης καὶ γάλακτος. ἔτι δὲ τῶν ἐκ χόνδρου ῥοφημάτων, ἐπὶ τὰ συνήθη προσάγοντας σιτία. εἶτα καὶ τοὺς ἰχθύας ἀφελεῖν, εἰ μὴ δι᾽ ἔθους εἶεν, ἐπὶ τοῖς πτωχοῖς διαιτωμένους. ἐδωδῆς τε χοιρείων κρεῶν, ἄρξασθαι μὲν ἀπὸ ποδὸς ἐν πτισάνῃ καθεψημένου, μετὰ ταῦτα δὲ καὶ ὁ κωλὴν ἂν ληφθείη καλῶς, ἔπειτα ἤδη καὶ τἄλλα μόρια. τὸ μὲν πρῶτον, ἱερείου νέου, καὶ εἰ χειμὼν εἴη, πρὸ μιᾶς ἡμέρας ἐσφαγμένου. τὸ γὰρ ἕωλον, εὐπεπτότερόν ἐστι τοῦ προσφάτου. θέρους δ᾽ ἀρκεῖ τεθύσθαι μὲν ἕωθεν τὸ ἱερεῖον, ἐσθίεσθαι δὲ περὶ δυσμὰς ἡλίου. πειρατέον γὰρ ἄχρι παντὸς μὲν διαφυλάττειν ὃ παρῃνέσαμεν ἐν τοῖς ἔμπροσθεν, ἡνίκ᾽ εἰς ἑσπέραν ἠξιοῦμεν διδόναι τὴν ἰσχυροτέραν τροφὴν, οὐ μικρῶν ἀγαθῶν ἀπολαβόντων τῶν οὕτω διαιτωμένων. γνώσῃ δ᾽ ἐπισκεψάμενος ἀκριβέστερον. ἄμεινον γὰρ ἐπ᾽ ἀρχὴν ἀναγαγεῖν τὸν λόγον. ἐπειδὴ δέονται μὲν οἱ οὕτως ἔχοντες, ὅτι πλείστου τοῦ θρέψαντος, οὐ δύνανται δὲ πέττειν οὐδὲ τὰ μέτρια, κατὰ βραχὺ καὶ πολλάκις ἄμεινον αὐτοῖς διδόναι. διὰ τοῦτο οὖν οὐ μόνον ἅπαξ οὐχ οἷόν τ᾽ ἐστὶ τρέφειν αὐτοὺς ἱκανῶς, ἀλλ᾽ οὐδὲ δὶς, ἕως ἂν ὦσιν ἰσχνότατοι. καὶ διὰ ταύτην τὴν αἰτίαν, εἴωθα τρὶς αὐτοὺς τρέφειν. ὅταν μέν τοι βελτίους ἑαυτῶν ἐναργῶς ἤδη φαίνωνται γεγονότες, ἀρκεῖ καὶ δὶς αὐτοὺς τρέφειν. τοσαύτην οὖν εὔλογον εἶναι τὴν πρώτην τροφὴν, ὡς ἀκριβῶς ἅπασαν πεπέφθαι πρὶν ἢ τὴν δευτέραν λαμβάνεσθαι. τοῦτο δὲ οὐχ οἷόν τε ταῖς ἰσχυροτέραις ὑπάρξαι. ληπτέον οὖν ἀσθενῆ τὴν πρώτην, ὡς πεφθῆναί τε τάχιστα καὶ ὑπελθεῖν αὐτῆς τὸ περίττωμα. καὶ χρὴ καὶ καθαρᾷ τὴν γαστρὶ, τὴν δευτέραν δοθῆναι τροφήν. ἀλλ᾽ ἐπεὶ μὴ μόνον ἡσυχία καὶ ὕπνος, ἀλλὰ καὶ χρόνος μακρότερος ἐκδέχεται τὴν ταύτης οἰκονομίαν, εὔλογον ὅσα τῶν σιτίων ἰσχυρότερα, κατὰ τοῦτον μάλιστα διδόναι τὸν καιρόν. ἀμέλει καὶ οἱ ἀθλοῦντες οὕτω πράττουσιν ἅπαντες, οὐ λόγου μόνου ἐξευρόντος αὐτοῖς τινὸς, ἀλλὰ καὶ τῆς πολυχρονίου πείρας μαρτυρούσης. καὶ μέν τοι καὶ ὅπερ ἐκεῖνοι πράττουσιν, οὐδὲν χεῖρόν ἐστι καὶ τοὺς ἀναληπτικῶς ἀγομένους ποιεῖν. καὶ μὴ πίνειν ἐπὶ τῷ δείπνῳ παραυτίκα, πρὶν πεφθῆναι τὴν τροφήν. ἐμπλεῖ γὰρ τὰ σιτία πινόντων, ὡς μὴ ψαύειν αὐτῶν τὸ τῆς γαστρὸς σῶμα, μέσης ἱσταμένης τῆς ὑγρότητος. εἰ δὲ διψώδης εἴη, ἀπέχειν μὲν αὐτοὺς τοπάμπαν, ἀνιαρόν τε ἅμα καὶ ἀλυσιτελές. ὀλίγον δὲ δοτέον ὡς παραμυθήσασθαι τὴν ἀνίαν καὶ πραΰναι τὸ δίψος. ἐπειδὰν δὲ πέψωσι τὴν

τροφήν, ὥστε πρέπειν αὐτάρκως πιεῖν. ἀναδίδοται γὰρ οὕτω πραξάντων τάχιστα. μετὰ δὲ τὸν ὕπνον, ἕωθεν μὴ ἀποπατήσαντα, καὶ βραχύ τι περιπατήσαντα, τρῖψαι συμμέτρως. ἡ δὲ σύμμετρος ἐπὶ τούτων τρῖψις ἐστίν, ὡς θερμῆναι τὸ σῶμα. κἄπειτα αἰώραις χρηστέον. εἶτ' αὖθις λουτέον τε καὶ τριπτέον ἐντὸς τοῦ μέσου τῆς ἡμέρας. ἢ πάντως γε περὶ τὸ μέσον, ὡς ἱκανὸν γίγνεσθαι τὸ πρὸς τὴν ἑσπέραν διάστημα. τὸ δ' ὅτι καὶ τῶν οἴκων ἐν οἷς ὁ ἀναλαμβανόμενος διαιτᾶται, φροντιστέον ἐστὶν ἐν τοῖς μάλιστα, ὅπως μὴ ψυχρότεροι τοῦ προσήκοντος ἢ θερμότεροι γεννηθῶσιν, οὐδὲν δέομαι λέγειν. ὅσα τ' ἄλλα τοιαῦτα δυνατὸν ἑαυτῷ τινὰ καὶ χωρὶς ἡμῶν εὑρίσκειν, οὐ μόνον ἐκ τῶν ἐνταῦθα λελεγμένων ὁρμώμενον, ἀλλὰ καὶ ἐκ τῆς ὑγιεινῆς πραγματείας. ἔστι γὰρ ἡ ἀναληπτικὴ δίαιτα μέση τῆς ὑγιεινῆς τε καὶ θεραπευτικῆς. ὥστε ἐκ τῶν καθ' ἑκατέραν λεγομένων, οὐδὲν ἔτι χαλεπὸν ἑαυτῷ τινὰ τὸ μέτρον ἐξευρίσκειν. τά τε γὰρ ἄλλα καὶ οὐχ ἓν εἶδος ἅπασι διαίτης ἐν ἔθει. τοῖς μὲν γὰρ ἅπαξ. τοῖς δὲ, δὶς σιτεῖσθαι. καὶ τοῖς μὲν θᾶττον. τοῖς δ' εἰς ἑσπέραν ἄρχεσθαι τῆς προσφορᾶς ἔθος ἐστί. καὶ δὴ καὶ τὰ ἐσθιόμενα τοῖς μὲν ἰχθύες εἰσὶ τὸ πλεῖστον, ἢ ὅλως τὰ ἐκ τῆς θαλάττης. τοῖς δὲ λάχανα μᾶλλον, ἢ ὅλως τὰ ἐκ κήπων. τοῖς δὲ ὀπῶραι. τοῖς δὲ ὄσπρια. τοῖς δὲ ἀκρόδρυα. τοῖς δὲ κρέα τετραπόδων ζώων, ἄλλοις ἄλλα. τοῖς δὲ ὀρνίθων, ἄλλων ἄλλοις καὶ ταῦτα. καὶ δὴ καὶ τυρῷ καὶ γάλακτι χρῶνταί τινες. οἱ πλεῖστοι μὲν αἰγῶν τοὔπιπαν, ἢ βοῶν, ἔνιοι δὲ καὶ ἑτέρων τινῶν. καὶ πίνουσιν οἱ μὲν θερμόν. οἱ δὲ, ψυχρόν. καὶ οἶνον ἢ πολὺν, ἢ ὀλίγον. ἢ οὐδόλως. ἢ τοῖον ἢ τοῖον. εἰς ταῦτ' οὖν ἐπανάγειν ἕκαστον, εἰς ἅπερ εἴθισται. γέγραπται δὲ καὶ περὶ ἐθῶν ἀκριβέστερον, ἰδίᾳ. καὶ νῦν ἀρκεῖ τό γε τοσοῦτον εἰπεῖν, ὡς οὐ μόνον ἐπὶ τῆς ἀναληπτικῆς διαίτης, ἀλλὰ καὶ κατὰ τὰς νόσους παμπόλλην μοῖραν εἰς ὕλην τροφῆς καὶ φαρμάκου ἐκλέξιν, ἐκ τῶν ἐθῶν ἐστὶ λαβεῖν. ὁ μὲν γὰρ λόγος, ὅλου τοῦ γένους ὑπαγορευτικώτερός ἐστι. τὰς δ' ὕλας ἔκ τε τῶν ἄλλων ὧν εἶπον, ἀτὰρ οὐχ ἥκιστα καὶ ἐκ τῶν ἐθῶν ληπτέον. ἐπιβλέπειν δὲ καὶ τὰς τῶν φύσεων ἰδιότητας. οἶδα γοῦν τινὰς εἰ διὰ τῆς νυκτὸς ὁπωσοῦν ἀναγκασθεῖεν ἐγρηγορικὸν διαπράξασθαι, μηκέτι κοιμηθῆναι δυναμένους. ἐκείνοις οὖν οὐ χρὴ συμβουλεύειν τῇ νυκτὶ πίνειν, μή πως δι' αὐτὸ τοῦτο περιπεσόντες ἀγρυπνίᾳ, βλαβῶσι τὰ μέγιστα. ξηραίνει γὰρ ὅλου τοῦ σώματος τὴν ἕξιν, ἡ ἀγρυπνία, καὶ διὰ τοῦτό ἐστι βλαβερωτάτη τοῖς κατὰ ξηρότητα νοσοῦσιν. ἔνιοι δὲ, εἰ γεύσαιντο πτισάνης, αὐτίκα ναυτιῶσιν. ἐνίοις δ' ὀξύνεται ῥᾳδίως. ὅτι δὲ καὶ τὰ βόεια κρέα πέττουσί τινες ῥᾳδίως, ἕν τι τῶν τεθρυλλημένων ἐστί. καὶ ὡς ἄλλοι πρὸς ἄλλα βρώματά τε καὶ πόματα διάκεινται εὖ τε καὶ κακῶς. οὐ μόνον δ' ἐκ τούτων, ἀλλὰ κἀκ τῶν ὡρῶν τε καὶ χωρῶν, εὐπορία τῆς ὕλης τῶν διαιτημάτων γίγνεται. καὶ ἤδη πολλοῖς τῶν πρὸ ἐμοῦ πρεσβυτέρων γέγραπται ταῦτα. διὸ κἀγὼ παρατρέχω μὲν τὰ τοιαῦτα, μόνον ἀναμιμνήσκων αὐτῶν, ὑπὲρ τοῦ μηδὲν παραλείπεσθαι. τὸ παραλελειμμένον δὲ τοῖς νεωτέροις ἰατροῖς ἅπασιν ἐπέξειμι, τὸ τὰς διαθέσεις τῶν σωμάτων θεραπεύειν μεθόδῳ τῶν παλαιῶν, ὡς εἶπον καὶ πρόσθεν, ἀρξαμένων μὲν καλῶς, οὐ συντελεσάντων δὲ τὴν μέθοδον. ἀλλ' ἐπὶ τὸ προκείμενον ἰτέον αὖθις. αἱ ξηραὶ δυσκρασίαι τῶν σωμάτων αὐτῶν ἁψάμεναι τῶν στερεῶν, εἰ μὲν περί τι μόριον συσταῖεν, ὥσπερ ὑπόκειται νῦν κατὰ τὴν γαστέρα, τελέως οὐκ ἄν ποτε θεραπευθεῖεν, οὐδ' ἐπανέλθοιεν εἰς τὴν πρὸ τοῦ νοσῆσαι διάθεσιν. ἀλλ' ὅπερ εἴωθε λέγεσθαι συνήθως, ὑπ' αὐτοῦ τοῦ πράγματος διδαχθεῖσι τοῖς πολλοῖς, ὡς ἡ νόσος ἐκάκωσε τὴν γαστέρα, καὶ ἀσθενῆ παρεσκεύασεν εἰς τὸν ἔπειτα βίον, ἐπὶ ταῖς τοιαύταις μάλιστα συμπίπτει δυσκρασίαις. γέροντος γὰρ οὗτοι ἴσχουσι γαστέρα πρὶν γηρᾶσαι. διὸ καὶ βλάπτονται ῥᾳδίως ὑπὸ σμικρῶν αἰτιῶν, ὥσπερ οἱ γέροντες. καὶ πέττειν οὐ δύνανται καλῶς. ἐξ οὗ συμβαίνει καὶ τὸ σύμπαν αὐτοῖς σῶμα χεῖρον ἴσχειν. οὕτως δὲ κἂν ἄλλο τι πάθωσι μόριον. ἂν δὲ καὶ τὴν καρδίαν αὐτὴν, ἐν τάχει μαραίνονται. καὶ καλεῖ τὸν τοιοῦτον μαρασμὸν ὁ Φίλιππος, ἐκ νόσου γῆρας. οὗτος μὲν οὖν ὁ μαρασμὸς, ἐπὶ θάνατον ἄγει συντόμως. ἐφεξῆς δὲ καὶ ὁ ἀπὸ τοῦ ἥπατος ἀρξάμενος. εἶθ' ὁ ἀπὸ τῆς γαστρός. οἱ δ' ἐπ' ἄλλοις μορίοις, εἰς τοσοῦτον χρονιώτεροι, εἰς ὅσον ἕκαστον αὐτῶν ἀκυρώτερόν ἐστι τῶν εἰρημένων. εἰ δὲ βραχύ τι τὸ τῆς καρδίας σῶμα ξηρανθείη, ταχύγηροι μὲν γίγνονται, διαρκοῦσι δ' εἰς ἔτη πλείω, τῶν ἰσχυρῶς βλαβέντων. μετὰ ταῦτα δ' ἐφ' ἥπατι καὶ γαστρὶ, καθάπερ εἴρηται. κἀπὶ τοῖς ἄλλοις ἅπασιν ἀνάλογον. ἀλλ' ἥ γε δίαιτα κατὰ γένος ἡ αὐτὴ καὶ ταύτῃ τῇ ξηρότητι, καὶ τῇ τὴν ὑγρότητα μόνην ἐκδαπανώσῃ τὴν τρέφουσαν τὰ στερεά. καὶ πρὸς ταύταις γέ τοι τῇ τρίτῃ ῥηθείσῃ ξηρότητι κατὰ τὸν ἔμπροσθεν λόγον. εὐιατωτάτη δὲ πασῶν ἐστὶν ἡ τετάρτη, καθ' ἣν αἱ φλέβες ἐκκενοῦνται τῶν χυμῶν. καὶ μᾶλλον ὡς ψυχροτάτης ἕξεως· ἡ τοιαύτη θεραπεύεται διάθεσις, ἤπερ ὡς ξηρότης. καὶ ἵνα σαφέστερον εἴπω, τὸ μὲν τῆς ψύξεως ἐπικρατεῖ, καὶ ὁ κίνδυνος κατὰ τοῦτο. δευτέρα δ' ἐστὶν ἡ ξηρότης. ὅθεν καὶ ἡ ἴασις ἑτοίμη τε καὶ ταχίστη. δύο γὰρ ἡμέραις εἴ τις αὐτοὺς διαιτήσειε πεφυλαγμένως θερμαίνων τε ἅμα τὰ μέτρια, καὶ ἀνατρέφων ἀσφαλῶς, εὐθέως τῇ τρίτῃ προσίενται δίαιταν ἁδροτέραν ἀβλαβῶς. καὶ πολὺ δὴ μᾶλλον τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ. καὶ τοῦτ' ἄρα ἦν τὸ ὑφ' Ἱπποκράτους λεγόμενον, τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα, νωθρῶς ἐπανατρέφειν. τὰ ἐν ὀλίγῳ, ὀλίγως. ἰστέον δ' ὅτι καὶ ταῖς ξηρότησι τῶν στερεῶν σωμάτων, ψύξις ἐξ ἀνάγκης ἀκολουθεῖ χρονιζούσαις. διαμένειν γὰρ αὐτὴν καθ' ἑαυτὴν ἡ ξηρότης, ἀμέμπτου τῆς κατὰ τὸν θερμὸν καὶ ψυχρὸν ἀντιθέσεως ὑπαρχούσης, οὐ δύναται. τάχιστα γὰρ ἐπὶ ταῖς ἀτροφίαις, ἀποψύχεται τὰ μόρια. διότι καὶ ἡ θρέψις αὐτοῖς ἐστὶν ἐκ θερμοῦ χυμοῦ τοῦ αἵματος. ἀλλ' ὅπερ ἐν ἀρχῇ λέλεκται, ξηρότητος ἴασιν ἐποιησάμεθα νῦν, ἐξ ἀρχῆς τε συστάσης μόνης, ἄχρι πλείστου τε μηδεμίαν ἀξιόλογον ἀκολουθοῦσαν ἐχούσης ψύξιν. ἑξῆς ἂν οὖν εἴη μιγνύειν αὐτῇ ψύξιν, ἐναργῆ μὲν ἔχουσαν τὰ γνωρίσματα, μὴ μὴν ἔτι μεγάλα. ἔσται τοίνυν ὁ σκοπὸς τῆς θεραπείας, οὐκέθ' ἁπλοῦς, ὡς ὁ καὶ πρόσθεν. οὐ γὰρ ὑγραίνειν μόνον, ἀλλὰ καὶ θερμαίνειν δεήσει. προσέχειν οὖν ἀκριβῶς ταῖς ὕλαις τῶν βοηθημάτων μή τι λάθωμεν ἡμᾶς αὐτοὺς, ἐμπλέκοντές τι τῶν ἄγαν θερμαινόντων, τοῖς ὑγραίνουσιν. ὑπάρχει γὰρ τούτοις, τὸ ξηραίνειν ἰσχυρῶς. ἀλλὰ καὶ τὸ ποσὸν τῆς βλάβης, ἐν ἑκατέρᾳ δυσκρασίᾳ πρὸς τὴν τῆς ὕλης εὕρεσιν ἱκανὸν ἔσται ποδηγεῖν. οἷον αὐτίκα μεγίστης μὲν ξηρότητος ἴασιν, ἄρτι πέπαυμαι γράφων. αἱ μέτριαι δὲ, τῆς οὕτως ἀκριβοῦς οὐ δέονται διαίτης, ὅτι μὴ δὲ τῆς

δυνάμεως

δυνάμεως ἐπ' αὐτῶν ἐσχάτως καταπεπτωκυίας. οὐδὲ γὰρ οὐδὲ δι' ἄλλο τι χαλεπὸν γίγνεται θεραπεῦσαι καλῶς, ἰσχυρὰν ξηρότητα σώματος, ἢ ὅτι χρήζει μὲν ἀναθρέψεως, ἡ τροφὴ δ' οὐ πέφυκεν ἑαυτὴν προσφύειν. ἀλλ' αὐτοῦ δεῖται τοῦ τρεφομένου δημιουργοῦντος αὐτήν, ὅπερ ἐστὶν ἄτονον. ὅταν οὖν ἡ μετρίως τοῦτο ξηρόν, ἅτε μὴ τῆς δυνάμεως ἐσχάτως καταπεπτωκυίας, ἀδροτέραν τε δίαιταν ἐγχωρεῖ. καὶ κίνδυνος οὐδεὶς ἁμαρτεῖν τοῦ μέτρου, διὰ τοῦτο καὶ ἡμεῖς ἐπὶ τὴν χαλεπωτάτην δυσκρασίαν τὸν λόγον ἀγαγόντες, ἐγυμνάσαμεν τοὺς φιλομαθεῖς ἐπ' αὐτῆς, ὡς ὑπὲρ παραδείγματος. ἐντεῦθεν γὰρ ὁρμηθέντες αὐτοί, ἐξευρήσουσιν ὕλας ἐπιτηδείας εἰς ἐπανόρθωσιν ξηροτήτων μετρίων.

Υποκείσθω δὲ καὶ νῦν ἔτι παραπλησία μὲν ἡ ξηρότης τῇ πρόσθεν, ἐζεύχθω δ' αὐτῇ ψυχρότης. εἰς τοσοῦτον οὖν ἐπιμίξωμεν τοῖς ἔμπροσθεν εἰρημένοις τὴν τῶν θερμαινόντων ὕλην, εἰς ὅσον ἔψυκται τὸ μόριον. ὑποκείσθω δὴ πρῶτον ἐψῦχθαι μετρίως αὐτό, προσθήσομεν οὖν τοῖς εἰρημένοις ὀλίγον ἔμπροσθεν, ἐν μὲν τῇ τοῦ γάλακτος χρήσει, τὸ μέλι πλέον. ἐν δὲ τῇ τοῦ οἴνου, τὸν αὐτὸν μὲν τῷ γένει δώσομεν, ἧττον δ' ὑδαρῆ τοῦ πρόσθεν, ἐτῶν δὲ πλειόνων. ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα σύμπαντα, θερμότερα δοτέον, οὐ ταῖς φυσικαῖς κράσεσι μόνον, ἀλλὰ καὶ ταῖς προσφάτοις ποιότησι. καὶ ναρδίνῳ μύρῳ συνεχῶς ἐπαλειπτέον τὴν κοιλίαν ὡς μηδέποτε γενέσθαι ξηράν. εἰ δὲ τοῦτο μὴ παρείη, τὸ μαστίχινον ἱκανόν. ἀλλὰ καὶ ὀποβαλσάμῳ χρίσωμεν αὐτήν, αὐτῷ τε καθ' ἑαυτὸ καὶ μιγνῦντες τοῖς προειρημένοις. καὶ εἰ μᾶλλον ἐθέλοιμεν ἔχεσθαι τοῦ χρωτὸς αὐτά, καὶ κηροῦ τι προσμίξομεν. εἰ δὲ καὶ τὸ περιέχον εἴη ψυχρόν, ἔριον βρέξαντες, ἐπιθήσομεν. ἀλλὰ καὶ τὴν χίαν μαστίχην ἐν ὀποβαλσάμῳ λειώσαντες, ἢ μύρῳ ναρδίνῳ κἄπειτα ἔριον δεύσαντες, ἐπιθήσομεν τῇ γαστρί. κάλλιον δὲ τὸ δευόμενον ἀρίστην εἶναι πορφύραν οἵα περ ἐστὶν ἡ τυρία. στύφειν τε γὰρ χρὴ μετρίως αὐτήν, ἐμπλάττειν τε τοῦ δέρματος τοὺς πόρους. τὰ μὲν γὰρ ἀραιοῦντα καὶ χαλῶντα, διαφορεῖ τε ἅμα, καὶ τοῖς ἔξωθεν προσπίπτουσι ψυχροῖς, εὐάλωτα παρασκευάζει τὰ μόρια. τὰ δ' ἐπὶ πλέον στύφοντα, ξηραίνει. ὅθεν οὔτε διαφορητικῆς εἶναι προσήκει δυνάμεως τὸ θερμαῖνον φάρμακον τὰ οὕτως διακείμενα σώματα, καὶ μὴ πολλὴν ἔχειν ἐπιμεμιγμένην στύψιν. ἀναμνήσθητι γὰρ ὧν ἐπί τε τῶν ἀρρώστων ἐθεάσω, κἂν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις ἐδιδάχθης. ὡς κατὰ μὲν τὴν ἑαυτῆς δύναμιν ἡ στρυφνὴ ποιότης, ψύχει τε, καὶ ξηραίνει. μιγνυμένη δέ τινι τῶν ἰσχυρῶς θερμαινόντων τὸ συγκείμενον ἐξ ἀμφοῖν, ἧττον μὲν ἐργάζεται θατέρου θερμαῖνον, οὐχ ἧττον δ' ἑκατέρου ξηραῖνον. ἐναντιώτατα δὲ τούτων, οἱ νῦν ἰατροὶ διαπράττονται. ξηρῷ καὶ ἀτρόφῳ μορίῳ πολλάκις ἐπιτιθέντες ἐκ θερμῆς καὶ στρυφνῆς ὕλης, σύνθετον φάρμακον. ἔστι δὲ οὐδὲν τῶν στρυφνῶν μετρίως στῦφον, ὅθεν οὐδὲ ξηραίνει μετρίως. ἀφεκτέον οὖν ἐστιν αὐτῶν ἐπὶ τῶν προκειμένων διαθέσεων. εἰ δὲ καὶ ἡ ψύξις εἴη πολλὴ τῆς κατὰ ξηρότητα δυσκρασίας ὡς ἀναγκάζειν ἐπὶ πλέον θερμαίνειν, πρῶτον μὲν ἀναμιμνήσκου τοῦ τῆς δυσκρασίας εἴδους. ἐδείχθη γὰρ ἁπάντων χαλεπώτατον. ὥστε δυσεπανόρθωτον αὐτὸ γίνωσκε, καὶ πολλῆς ἀκριβείας δεόμενον. ἀπέχεσθαι δὲ ὁμοίως τῶν προειρημένων ὑλῶν πειρῶ, ἐλπίζων ἐν χρόνῳ πλείονι διὰ τῶν ἀσφαλεστέρων ἰᾶσθαι τὴν διάθεσιν. ἀσφαλέστεραι δέ εἰσιν αὗται, αὖθις γὰρ εἰπεῖν ὑπὲρ τῶν ὄντως ἀναγκαίων ἄμεινον, ἐν ναρδίνῳ μύρῳ λειώσας μαστίχην χίαν ὡς λιπαρωτάτην, ἀναλαμβάνων πορφύρᾳ χρῶ. μιγνῦναι δ' ἄμεινον εἰ παρείη καὶ τὸν ὀπὸν τοῦ βαλσάμου. διδόναι δὲ καὶ τὸ μέλι πλέον, ἅμα τῷ γάλακτι προαπηφρισμένον. ὅπως ἧττόν τε εἴη περιττωματικόν, καὶ μᾶλλον τρόφιμον. ἀλλὰ καὶ αὐτὸ καθ' ἑαυτὸ ἀφεψημένον τὸ μέλι, τροφὴ καλλίστη ψυχρᾷ γαστρί. πολεμιώτατον δὲ τῇ θερμῇ. καὶ χρὴ μεμνῆσθαι τούτων ἀμφοτέρων ἐν τοῖς μάλιστα μὴ γινωσκομένων τοῖς πλείστοις ἰατροῖς. καὶ μήθ' αἱρεῖσθαί τι μέλιτος μᾶλλον ἐν ψυχροῖς σώμασι, μήτε φεύγειν ἐν θερμοῖς. ἡ μὲν δὴ πλείστη τροφὴ τῆς τοιαύτης διαθέσεως, ἔστω μὲν μέλι τὸ κάλλιστον, ἀφεψημένον ἐπ' ἀνθράκων δρυΐνων ἢ ἀμπελίνων εἰς τέλος διακαῶν, ἀφῃρημένου παντὸς τοῦ ἀφροῦ. τὸν δ' οἶνον ἀεὶ καὶ μᾶλλον αἱρεῖσθαι παλαιότερον ὅσῳ περ ἂν ἡ ψύξις ἐπὶ μᾶλλον κρατεῖ. καὶ εἰ δεήσειεν ὅλον τὸ γένος ὑπαλλάττειν, ἀδριανὸν μετὰ τὸ πρῶτον. εἶτ' αὖθις τιβουρτῖνον, ἤ τινα τῶν ὁμοίων αἱρούμενον. ἅπαντας παλαιοὺς μὲν ἀλλ' οὐχ οὕτως ὥστε πικροὺς ὑπάρχειν ἤδη. ξηραίνουσι γὰρ οἱ πικροὶ περαιτέρω τοῦ δέοντος. ἄριστον δὲ φάρμακον ἐπὶ τῶν τοιούτων ἁπάντων, ᾧ καθ' ἑκάστην ἡμέραν οἱ πιττωταὶ χρῶνται. καταχρίειν οὖν αὐτῷ προσήκει τὴν γαστέρα σύμπασαν. εἶτ' ἀποσπᾶν πρὶν ψυχθῆναι. καὶ τοῦτο ἀρκεῖ ποιῆσαι δὶς ἐφεξῆς ἐν ἡμέρᾳ μιᾷ. πλεονάκις δ' οὐ χρή. διαφορήσεις γὰρ οὕτως οὐ πληρώσεις αἵματος χρηστοῦ τὸ μόριον. ἡμεῖς δὲ οὐ διαφορεῖν τὸ περιεχόμενον, ἀλλ' ἐκ τῶν πλησίον ἐπισπᾶσθαι βουλόμεθα. τοῦτο καὶ ἐπὶ τῶν ἠτροφηκότων ἁπάντων μορίων, θαυμαστὸν φάρμακον, ἤν τις ἐπίστηται μετρίως χρῆσθαι. καὶ μέν τοι καὶ τὸ θερμαίνειν τὴν γαστέρα, μὴ ποιότητι παραύξοντα τὸ θερμόν, ἀλλ' ὅτι μάλιστα φυλάττοντα μὲν αὐτοῦ τὴν κατὰ φύσιν εὐκρασίαν, αὐξάνοντα δὲ τὴν οὐσίαν, οὐχ ὁ φαυλότατός ἐστι τῶν ἐν ταῖς τοιαύταις διαθέσεσι σκοπῶν. ἐργάζεται δὲ τοῦτο κατὰ μὲν τὴν δίαιταν ἅμα τοῖς εἰρημένοις ἔμπροσθεν, οἶνος μάλιστα. τῶν δ' ἔξωθεν τῇ γαστρὶ προσφερομένων εὔσαρκον παιδίον συγκοιμώμενον ὡς ψαύειν ἀεὶ τῶν κατ' ἐπιγάστριον. ἔνιοι δὲ καὶ κυνίδια λιπαρὰ τῆς αὐτῆς ἕνεκα χρείας ἔχουσιν. οὐκ ἐν τῷ νοσηλεύεσθαι μόνον, ἀλλὰ καὶ ὑγιαίνοντες. τὰ μὲν οὖν τοιαῦτα, καὶ τοῖς διὰ ξηρότητα μόνην ἀτονοῦσι τὴν κοιλίαν ἐπιτήδεια. καὶ χρὴ περὶ παντὸς ποιεῖσθαι τὸ παιδίον ἄνικμον ἔχειν τὸν χρῶτα. τὰ γὰρ ἐφιδροῦντα διὰ νυκτὸς ψύχει μᾶλλον, ἢ θερμαίνει. βλάπτουσι δὲ καὶ αἱ θερμαὶ πυρίαι τὰς τοιαύτας διαθέσεις. αἱ μὲν οὖν ἅμα ξηρότητι συνιστάμεναι, διότι τῶν ὁμοιομερῶν σωμάτων ἐκβόσκονται τὰς νοτίδας. αἱ δὲ σὺν ὑγρότητι τῷ διαφορεῖν τε ταῦτα, καὶ μάλισθ' ὅταν ἐπὶ πλέον χρησόμεθα. καὶ γὰρ σφόδρα μανὸν ἐργάζεσθαι καὶ τὸ σῶμα καὶ εὔψυκτον.

Περὶ μὲν οὖν ταύτης τῆς συζυγίας τῶν δυσκρασιῶν, ἱκανὰ καὶ ταῦτα. μιγνύσθω δὴ ἐφεξῆς δαψιλεῖ ξηρότητι καθάπερ ὑπόκειται, μὴ πάνυ πολλὴ θερμότης. ἐπὶ μὲν τῆς τοιαύτης ὑπαλλάξεως, τὴν πρώτην ἀγωγὴν φυλάξομεν. οὐχ ὅπως αὐξάνοντες ἢ τὴν τοῦ οἴνου δύναμιν, ἢ τὸ πλῆθος τοῦ μέλιτος, ἀλλὰ καὶ καθαιροῦντες, ὡς μέλιτος μὲν μηδόλως γεύεσθαι. τὸν δ' οἶνον ἥκιστα παλαιὸν προσφέρεσθαι· χλιαρὰ δὲ τὰ ἐδέσματα προσοίσομεν. ἃ καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς γαλακτώδη. θέρους δ' ὄντος, ἃ κα-

λοῦσι κρηναίῳ. καὶ τὴν κοιλίαν ἐπαλείφωμεν ὀμφακίνῳ τε καὶ μηλίνῳ. πολὺ δὲ δὴ μᾶλλον ἐὰν πλείων ἡ θερμότης ᾖ, τὸν οἶνον ὑδαρέστερόν τε δώσομεν. καὶ οὕτως ἔχοντα ψύξεως, ὡς τὸ κρηναῖον ὕδωρ ἐν ἦρι μέσῳ. γινώσκοντες ὡς ἡ τοιαύτη διάθεσις, ἀνάλογός ἐστι πυρετῷ. ὅπερ γὰρ ἐκεῖνος ἢ περὶ σύμπαν τὸ ζῶον, ἢ περὶ τὴν καρδίαν ἐστί, τοῦθ' ἡ νῦν προκειμένη διάθεσις, ἐν τῇ γαστρί. καὶ ἐγὼ πρῶτον μὲν ἁπάντων οἶδά τινα, θεασάμενος ἅμα τοῖς διδασκάλοις ἄνδρα τῆς καθεστώσης ἡλικίας ἐνοχλούμενον ἤδη μηνῶν οὐκ ὀλίγων. ἀλλ' οὔτ' ἐκείνων τις ἐγίνωσκε τὴν διάθεσιν, οὔτ' ἐγώ. μετὰ ταῦτα δ' ἀνεμνήσθην, εὑρηκὼς ἤδη τὴν θεραπευτικὴν μέθοδον, ὡς τοῦτ' ἄρ' ἦν ἐκεῖνο τὸ θεωρηθέν μοι πάλαι. κάλλιον δ' αὐτὸ καὶ διηγήσασθαι. πάντως γὰρ δή που καὶ τοὺς ἀκούσαντας ὀνήσει, καθάπερ κἀμέ. τετταρακοντούτης μὲν ἦν ὁ ἄνθρωπος, ἕξεως δὲ συμμέτρου περὶ πάχος καὶ λεπτότητα κατὰ τὸν τῆς ὑγείας χρόνον. ἐδίψει δὲ σφόδρα καὶ μισεῖν ἔφασκε τὸ θερμόν. ἐδίδου δ' αὐτῷ οὐδεὶς ψυχρόν, ἱκανῶς λιπαροῦντι. πυρέττειν μέν τοι τοῖς ἰατροῖς οὐκ ἐδόκει. καὶ ἡ γαστὴρ ἐξέκρινε τὰ ληφθέντα, τριῶν ἢ τεττάρων ὡρῶν ὕστερον, ἅμα τῷ ποτῷ. ταῦτ' ἄρα καὶ ἰσχνὸς ἦν ἤδη, καὶ πλησίον ἀφῖκτο κινδύνου, μηδὲν ὀνινάμενος ὑπὸ τῶν αὐστηρῶν καὶ στρυφνῶν ἐδεσμάτων τε καὶ φαρμάκων. ἐλάμβανε δὲ καὶ οἶνον αὐστηρὸν ἐπὶ τῇ τροφῇ. οὗτος ὁ ἄνθρωπος, ἅμα μὲν οὐκέτι φέρων τὸ δίψος, ἅμα δὲ καὶ ὡς ἔφασκεν ἑλόμενος ἀποθανεῖν μᾶλλον ἢ ζῆν ἀνιώμενος, ὕδατος ψυχροῦ δαψιλὲς ἀθρόως ἐπὶ τῇ τροφῇ προσενεγκάμενος, αὐτίκα μὲν ἐπαύσατο διψῶν. ἐξήμεσε δ' ὀλίγον ὕστερον τὸ πλεῖστον. φρικώδους δὲ τοὐντεῦθεν γίνεται τὸ σύμπαν σῶμα, καὶ δεῖται σκεπασμάτων πλειόνων ἀκριβεστέρων ἔμπροσθεν ἅπαντα. τό τε οὖν λοιπὸν ἅπαν τῆς ἡμέρας ἐφεξῆς τοῦτ' ἔπραξε. καὶ δι' ὅλης νυκτὸς ἐφ' ἡσυχίας ἔμεινεν, ἐν θάλπων ἑαυτὸν ἐπιβλήμασιν. ἐξέκρινε δ' ἅπαξ ἡ γαστὴρ αὐτῷ μετρίως συνεστῶτα, διὰ μέσης νυκτός. ὥστε οὐδὲ διψώδης ἦν ἔτι περὶ τὴν ὑστεραίαν, εὐχρούστερός τε μακρῷ καὶ ἰσχυρότερος ἀπείργαστο. καὶ σκέψις μὲν ἐγένετο τοῖς ἰατροῖς, εἰ λουστέον αὐτόν, ἐνίων μὲν κελευόντων, ἐνίων δ' ἀπαγορευόντων. ἐκράτει δὲ ἡ τοῦ λούειν δόξα. καὶ τοίνυν λουσάμενος εὐφόρως, μετρίως τε διῃτήθη. καὶ κρεῖττον ἢ περὶ τὴν προτεραίαν ἔπεψεν ἡ γαστήρ. ἐμέμψατο δὲ τὴν κατάποσιν, ὡς δυσχερῆ. καὶ πᾶσιν ἐδόκει διὰ τὸν ἔμετον ἀήθως γενόμενον, ἐσπαράχθαι τε καὶ κάμνειν τὸν στόμαχον. ὡς δὲ καὶ τῶν ἑξῆς ἡμερῶν ἔμενε τὸ σύμπτωμα, δῆλον ἐγίγνετο πᾶσιν ἡμῖν, ὡς ἡ μὲν γαστὴρ ἐθεραπεύθη τὴν ἀτονίαν. ὁ στόμαχος δὲ ἐψύχθη. καὶ οὐδὲν ἄρα θαυμαστὸν ἦν εἰς συμμετρίαν μὲν ἐπανελθεῖν τῇ πόσει τὸ ὑπερτεθερμασμένον. ψυχθῆναι δὲ τὸ μετρίως θερμόν. οὐ μὴν οὐδὲ ἐδυνήθη τις αὐτοῦ θεραπεῦσαι τὸν στόμαχον. ἀλλ' ἕτερον δ' ἀνθ' ἑτέρου κακὸν ἀνταλλαξάμενος, ἐτελεύτα τῷ χρόνῳ. ἄλλον δὲ τοιοῦτον ἔτεσιν ὕστερον οὐκ ὀλίγοις, ἐθεασάμην, ἤδη διαγινώσκειν εἰδὼς ἁπάσας τῆς γαστρὸς τὰς δυσκρασίας, ἐδόκει μοι δὴ ψύχειν ἀγωνιστικώτερον εὐθέως, πρὶν ἐπὶ πλέον λεπτυνθέντα, παραπλήσιόν τι τῷ πρόσθεν ἐπὶ τῇ ψύξει παθεῖν. ἀσφαλέστερον οὖν ἐφαίνετό μοι τὴν πρώτην, ἀποπειραθῆναι τῶν περὶ τὸ ὑποχόνδριον ἐπιτιθεμένων ψυκτηρίων φαρμάκων. καὶ οὕτω πράξαντος, ἠλαττώθη μὲν τὸ καῦμα τῆς κοιλίας, ἀνέπνει δὲ τοῖς στενάζουσιν ὁμοίως ὁ ἄνθρωπος, ὡς μόλις κινῶν ὅλον τὸν θώρακα. καὶ μέντοι καὶ αὐτὸς ἀνερωτώμενος, ὡμολόγει τοιούτου τινὸς αἰσθάνεσθαι παθήματος. ἔγνων οὖν ἐψύχθαι τὰς φρένας αὐτῷ. καὶ διὰ τοῦτ' ἀπορρίψας τὰ ψυκτήρια, κατήντλουν ἐλαίῳ θερμῷ. τάχιστα δὲ τῆς ἀναπνοῆς ἀπολαβούσης τὸν κατὰ φύσιν ῥυθμόν, ἐπαυσάμην μὲν τῆς αἰονήσεως, ἔγνων δὲ μετρίως αὐτὸν ψύχειν ἐν χρόνῳ πλείονι. τά τε οὖν ἔξωθεν ἐπιτιθέμενα, κάτω μᾶλλον ἐπετίθην ἀποχωρῶν τοῦ διαφράγματος, ὡς ἐπὶ τὸν ὀμφαλόν. ἅπαντά τε τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα, πλὴν τοῦ γάλακτος, ἐδίδου ψυχρά, παραπλησίως ὕδατι κρηναίῳ. καὶ οὕτως ἐν χρόνῳ πλείονι κατέστη, μηδὲν τῶν ἄλλων βλαβείς. ἴστον δέ σοι καὶ τοῦτο πρὸ πάντων, ὡς ἐπειδὰν μὲν ἰσχυρῶς ἀλλοιωθῇ κατ' ἀμφοτέρας τὰς ποιότητας ὁτιοῦν μόριον, ἀπόλλυται τὸ ἔργον αὐτοῦ σύμπαν. οὐ ῥᾴδιον δὲ οὐδὲ τὸ οὕτω διατεθέν, ἐπανελθεῖν εἰς τὸ κατὰ φύσιν. ἐπειδὰν δὲ ἡ ἑτέρα μόνη ποιότης ἐπὶ πλέον ὑπαλλαχθῇ, καθάπερ νῦν ὑπεθέμεθα τὴν ξηρότητα, τῶν δ' ἄλλων τις ἡ μετρία, δυνατὸν ἰάσασθαι τὸν οὕτω διακείμενον ἄνθρωπον.

Ὑποκείσθω δὴ πάλιν ἐπικρατεῖν μὲν τὴν θερμὴν δυσκρασίαν. μιγνύσθαι δ' αὐτῇ, ποτὲ μὲν ὑγρότητα, ποτὲ δὲ ξηρότητα μετρίαν ἑκατέραν. καὶ προτέραν γε τὴν ὑγρότητα. τὴν τοιαύτην δυσκρασίαν ἀδεέστερον ὕδατι θεραπεύσομεν ψυχρῷ, διὰ τὸ μὴ βλάπτεσθαι πρὸς αὐτοῦ τὰ γειτνιῶντα μετρίως διακείμενα. ἐπὶ γὰρ τὰς ξηρὰς διαθέσεις, ἀναγκαῖον ἐστὶ τὰ πλησιάζοντα μόνον, ἀλλὰ καὶ τὸ σύμπαν ἰσχνότερον γενέσθαι τὸ σῶμα. τῆς κοιλίας δ' αὐτῆς μηδέπω κατεξηρασμένης, ὡς ὑπόκειται νῦν, οὐδὲ τὸ σύμπαν σῶμα λεπτύνεσθαι δυνατόν. ὥστε οὐδὲ βλάπτεσθαι τῇ πόσει τοῦ ψυχροῦ, εἰ δ' οὕτω ποτὲ ἰσχυρὰ δυσκρασία θερμότητος εἴη περὶ τὴν κοιλίαν, ὡς μέχρι τῆς καρδίας ἐξικνεῖσθαι, πυρέττειν ἀνάγκη τὸν ἄνθρωπον. ὥστε δὲ καὶ τὸν κίνδυνον ὀξύτερον εἰκὸς ἕπεσθαι ταῖς τοιαύταις δυσκρασίαις. ἡ δ' ἴασις ἡ αὐτὴ μὲν κατὰ γένος. εἰρήσεται δὲ αὖθις ἐν ταῖς θεραπείαις τῶν πυρετῶν. ἡ δὲ μετὰ ξηρότητος θερμότης, τοῖς αὐτοῖς μὲν ὑπάγεται κατὰ γένος. οὐ μὴν ὁμοίως γε ἀδεὴς τῶν ψυχόντων ἡ χρῆσις ἐστί, δι' ἃς εἶπον αἰτίας. Ἡ δὲ ὑγρὰ δυσκρασία καὶ μόνη συστᾶσα, πασῶν ἐστιν εὐιατοτάτη, καὶ μετὰ θερμότητος ἢ ψυχρότητος ἐπιπλεκομένη. καὶ διότι γε συνεχῶς αἱ τρεῖς αὗται δυσκρασίαι καταλαμβάνουσι τὴν γαστέρα, καὶ εἰσὶν ἰαθῆναι ῥᾷσται, τὴν θεραπείαν δὲ ἀεὶ τούτων ἔχοντες ἐν μνήμῃ πάντες οἱ χωρὶς μεθόδου θεραπεύοντες τὰς νόσους, ἐπὶ τὰς ἄλλας ὡς εἴρηται μεταφέρουσιν, ἀγνοοῦντες ὅτι πλείους εἰσίν. ἔστι δὲ δή που τῆς μὲν ὑγρᾶς δυσκρασίας μόνης συνισταμένης βοηθήματα, τὰ ξηραίνοντα τῶν ἐδεσμάτων, ἄνευ τοῦ θερμαίνειν ἢ ψύχειν ἰσχυρῶς. Ἔτι τε πρὸς τούτοις, ἔνδεια τῶν συνήθων ποτῶν. τῆς δὲ μετὰ θερμότητος, ἡ τῶν στυφόντων ἐδεσμάτων καὶ ποτῶν χρῆσις. ἔστω δὲ καὶ ταῦτα χωρὶς τοῦ θερμαίνειν, αὐστηρὰ καὶ μὲν δὴ καὶ τὸ ψυχρὸν ποτόν, ἐπιτήδειον αὐτοῖς. τῆς δὲ μετὰ ψύξεως ὑγρᾶς δυσκρασίας, ἄριστα μὲν ἰάματα, τὰ δριμέα σύμπαντα. μιγνύσθω δ' αὐτοῖς καὶ τὰ στρυφνά, χωρὶς τοῦ ψύχειν σαφῶς. ἄριστον δ' ἴαμα καὶ τούτοις ὀλιγοστὸν πόμα. καὶ τοῦτό τις τῶν θερμαινόντων ἰσχυρῶς οἴνων. εὔδηλον δὲ καὶ ὡς ὁ τοιοῦτος οὐδὲ νέος ἐστίν. ἀνάλογον δὲ τοῖς ἐσθιομένοις καὶ πινομένοις,

καὶ τἄλλα

καὶ τἆλλα ἔξω σύμπαντα τὰ ἔξωθεν προσφερόμενα. ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, πάλιν ἐπ' ἀρχὴν τὸν λόγον ἀναγαγόντες, ἀθροίσωμεν αὐτοῦ τὰ κεφάλαια. τὴν μὲν οὖν θερμὴν δυσκρασίαν, ψυκτέον ἐστί. τὴν δὲ ψυχρὰν, θερμαντέον. οὕτω δὲ καὶ τὴν μὲν ὑγρὰν ξηραντέον, τὴν δὲ ξηρὰν ὑγραντέον. εἰ δὲ κατὰ συζυγίαν τινὰ εἴη γεγενημένη, μιγνύειν ἀμφοτέρους τοὺς σκοπούς. τὴν μὲν ὑγρὰν καὶ θερμὴν, ξηραίνοντας καὶ ψύχοντας. τὴν δ' ὑγρὰν καὶ ψυχρὰν, ξηραίνοντας καὶ θερμαίνοντας. οὕτως δὲ καὶ τὴν μὲν ξηρὰν καὶ θερμὴν, ὑγραίνοντας καὶ ψύχοντας. τὴν δὲ ψυχρὰν καὶ ξηρὰν ὑγραίνοντας καὶ θερμαίνοντας. ἁπασῶν δὲ χειρίστην ἰστέον εἶναι, τῶν μὲν ἁπλῶν, τὴν ξηράν. τῶν δὲ συνθέτων, τὴν ξηράν τε ἅμα καὶ ψυχράν. ἐν τούτῳ μὲν ἡμῖν τέλος ἐχέτω τὰ περὶ τῆς δυσκρασίας τῆς γαστρὸς, ἄνευ περιττῆς τινὸς ἔξωθεν ὑγρότητος.

Ἑξῆς δ' ἐπὶ τὰς διά τι τοιοῦτο γιγνομένας ἴωμεν τῷ λόγῳ. πολλάκις μὲν οὖν ἐν αὐτῷ τῷ κύτει τῆς κοιλίας τὶ περιεχόμενον ὑγρὸν, ἤτοι θερμαίνειν, ἢ ψύχειν, ἢ ὑγραίνειν, ἢ ξηραίνειν αὐτὴν πεφυκὸς, ἢ κατὰ συζυγίαν, τινὰ τούτων ποιεῖν. ἐνίοτε δ' εἰς αὐτοὺς τοὺς χιτῶνας, ὡς ἂν εἴποι τις, ἀναπεπωμένον ἢ ἐμπεπλασμένον, ἐργάζεται τὴν δυσκρασίαν. ἡ μὲν οὖν προτέρα διάθεσις, εἰ μὲν ἅπαξ συσταίη, δι' ἐμέτων ἐκκαθαρθεῖσα, καθίσταται ῥᾳδίως. εἰ δ' αὖθις καὶ αὖθις ἐξ ἑτέρου τινὸς ἢ ἑτέρων ἐπιρρέοι μορίων, ἀκριβοῦς δεῖται τῆς διαγνώσεως. ἡ θεραπεία δ' εὐθέως ἐπακολουθήσει τῇ γνώσει τῆς ποιούσης αἰτίας. ἐλέχθη γὰρ ἡμῖν ἐν ἄλλοις τέ τισι, κἀν ταῖς τῶν πυρετῶν διαφοραῖς, ὡς ἐπιρρεῖ πολλάκις ἐξ ἑτέρων μορίων ἑτέροις, ἡ περιουσία. καθάπερ εἰ οὕτως ἔτυχε τῶν κατὰ τὴν κεφαλὴν, τοῖς ὀφθαλμοῖς. ἔνθα χρὴ τὰ πέμποντα θεραπεύοντα μόρια, μόνου τοῦ τόνου προνοεῖσθαι τῶν ὀφθαλμῶν, ὡς μὴ ῥᾳδίως δέχοιντο μηδὲν τῶν ἐπιρρεόντων αὐτοῖς. οὕτως οὖν χρὴ καὶ ἐπὶ τῆς κοιλίας εὑρόντα τὸ πέμπον τὰ περιττὰ, σύμπασαν μὲν ἐκείνῳ προσάγειν τὴν θεραπείαν. τῆς γαστρὸς δὲ προνοεῖσθαι τοσοῦτον μόνον, ὡς μὴ ῥᾳδίως δέχοιτο τὰ ἐπιρρέοντα. γίνοιτο δ' ἂν οἶμαι τοῦτο, κατὰ διττὸν τρόπον. ἕνα μὲν τὸν κοινὸν ἁπάντων ῥευμάτων. ἀναστέλλεται γὰρ ὑπὸ τῶν στυφόντων. ἕτερον δὲ, καὶ τοῦτον κοινὸν ἁπάντων τῶν εἰς εὐεξίαν ἀγομένων μορίων ὑπὸ τῆς ἐν τῇ κράσει συμμετρίας. ἐπισκέπτεσθαι τοιγαροῦν ὅλον μὲν τὸ σῶμα πρότερον χρὴ, εἰ περιττωματικὸν ἢ πληθωρικὸν ὂν, ἐπιπέμπει ῥεῦμα τῇ γαστρί. δεύτερον δ' εἰ μὴ τοῦτο φαίνοιτο, τὸ καθ' ἓν ἕκαστον τῶν μορίων σκοπεῖσθαι. κατὰ μὲν δὴ τὴν τοῦ παντὸς σώματος ἐπίσκεψιν, ἔμαθες μὲν καὶ τὰ τοῦ πλήθους, καὶ τὰ τῶν περιττωμάτων γνωρίσματα, διά τε τῆς ὑγιεινῆς πραγματείας, καὶ τοῦ περὶ πλήθους βιβλίου. προσεπισκέπτου δ' αὐτοῖς, καὶ τάδε. πρῶτον μὲν ἐπὶ γυναικῶν, εἰ μὴ καθαίρονται κατὰ φύσιν. ἑξῆς δ' ἐπ' ἀνδρῶν, εἰ συνήθης ἔκκρισις ἐπέχεται. πολλοῖς μὲν γὰρ αἱμορροῒς εἴθισται τὸ περιττὸν ἐκκενοῦν. ἐνίοις δ' αἱμορραγίαι διὰ ῥινῶν, ἢ ἔμετος, ἢ τι κατ' ἄλλον τινὰ τόπον ἐν ὡρισμέναις περιόδοις ἀναστομούμενον ἀγγεῖον. οἶδα γοῦν ἐν στόματι καὶ φάρυγγι πολλοῖς τοῦθ' ὑπάρχον. ἔστι δ' οἷς καὶ διὰ γαστρὸς αἵματος ἔκκρισις ἀνὰ χρόνον γίγνεται. καὶ μάλισθ' ὅσοι γυμνασίων ἰσχυρῶν ἀρξάντες, οὐκ ἀπέστησαν τῆς ἔμπροσθεν διαίτης. ἢ τι κῶλον ὅλον ἀφῃρέθησαν, ὡς ἐδήλωσε καὶ ὁ Ἱπποκράτης. ἐνίοις δὲ καὶ διάρροιαι, καὶ χολέραι, διὰ χρόνων τινῶν γιγνόμεναι, κενοῦσιν ἅπαντος τοῦ σώματος τὴν περιουσίαν. ἐπὶ δὲ τοῖσδε, σκεπτέον ὁποίᾳ τινὶ κέχρηται διαίτῃ. πότερον, ἀπεψίαις πλείοσιν, ἢ πλησμοναῖς, ἐν ἀργῷ βίῳ. καὶ μάλιστα παρὰ τὸ ἔθος, ἢ τοὐναντίον. εἶθ' ἑξῆς ἐπισκεπτέον, εἰ μέλος ἄλλο τοῦ σώματος ἐνοχλούμενον ἐν περιόδοις τισὶ χρόνων, οὐκ ἐνοχλεῖται νῦν. ἐνίοις μὲν γὰρ, ἀρθρίτης, ἢ ἰσχιὰς, ἢ ποδάγρα. κεφαλαία δ' ἄλλοις. ἢ εἰς ὀφθαλμοὺς, ἢ εἰς ὦτα κατασκῆπτον ῥεῦμα, μετέστη νῦν εἰς τὴν γαστέρα. πολλοῖς δὲ καὶ κατάρροι, καὶ κόρυζαι συνεχῶς γινόμεναι, μεθίστανται κατά τινα χρόνον εἰς τὰ κατὰ τὴν γαστέρα χωρία. ταῦτ' οὖν ἅπαντα κατασκεψάμενος, εἰ μὲν ἐξ ἀκυρωτέρων ἡ μετάστασις εἴη γεγενημένη, πρὸς ἐκεῖνα πάλιν ἀντισπάσεις τὸ περιττεῦον. εἰ δ' ἐκ κυριωτέρων, ἀμφοῖν ὁμοίως προνοήσεις τὴν ἐργαζομένην τὸ ῥεῦμα διάθεσιν ἐκκόπτων ἀεί. γίγνοιτο δ' ἂν τοῦτο, πάντα μὲν εἰς εὐεξίαν ἀγόντων ἡμῶν τὰ τοῦ σώματος μόρια, πάσας δὲ τὰς φυσικὰς ἐκκρίσεις εὔρους ἀεὶ παρασκευαζόντων. ὅπως δ' ἄν τις ἐργάζοιτο ταῦτα, διὰ τῆς ὑγιεινῆς πραγματείας δεδήλωται. πρόδηλον δ' ὅτι κἂν εἰ διὰ πληθώραν ὅλου τοῦ σώματος ἡ γαστὴρ δέχηται ῥεῦμα, τὸ σύμπαν σῶμα κενωτέον ἐστίν. ὥσπερ γε καὶ εἰ διὰ κακοχυμίαν, ἐκείνην ἐκκαθαίρειν προσήκει. κἄπειθ' οὕτως, ἐπ' αὐτὴν ἰέναι τὴν γαστέρα. πάντως γὰρ δήπου πλείοσιν ἡμέραις εἰς αὐτὴν ἐνηνεγμένων τῶν περιττῶν, ἀπήλαυσέ τι τῆς μοχθηρίας αὐτῶν. ὥστε ἐν καιρῷ χρήσαιτ' ἂν ὁ οὕτω κάμνων, ἀψινθίῳ ποτῷ. δήλη δ' οἶμαί σοι. καὶ ἡ μετὰ ταῦτα πρόνοια μέχρι τοῦ τὴν ἔμπροσθεν ἕξιν ἀνακτήσασθαι τῇ γαστρί. κατὰ γάρ τοι τὴν κρᾶσιν τοῦ λυπήσαντος αὐτὴν ῥεύματος, ἔστιν ὅτε δύσκρατος γενομένη, τῶν ἐναντίων εἰς ἐπανόρθωσιν ἰαμάτων δεῖται. ῥᾷστον δὲ δήπου τὴν τοιαύτην ἰάσασθαι βλάβην, ὅταν ὀλίγων ἡμερῶν ᾖ. ὡς εἴγε δι' ἀργίαν τῶν ἰωμένων διαμείνῃ χρόνῳ πλείονι, ποτὲ μὲν οἱ χιτῶνες αὐτῆς ἐμπίπλανται τῆς κακοχυμίας, ἔστι δ' ὅτε καὶ αὐτὸ τὸ ὁμοιομερὲς αὐτῶν σῶμα δύσκρατον ἱκανῶς γενόμενον, ὁμοίας χρῄζει θεραπείας, τῇ λελεγμένῃ πρόσθεν ἐν τῷδε τῷ λόγῳ τῶν δυσκρασιῶν.

Ὑπόλοιπον οὖν ἐστι διελθεῖν ὅπως ἄν τις ἰῷτο τὰς ἐν τοῖς χιτῶσι τῆς γαστρὸς κακοχυμίας. ἔστι δὲ ἐπιτήδεια πρὸς τὰς τοιαύτας διαθέσεις φάρμακα, τῷ γένει μὲν ἐκ τῶν καθαιρόντων μετρίως, ὡς μὴ προϊέναι τὴν δύναμιν αὐτῶν ἀνωτέρω τῶν κατὰ γαστέρα τε καὶ τὰ ἔντερα χωρίων. ἢ εἴπερ ἄρα, πρὸς τούτοις ἅπτεσθαι τῶν κατὰ τὸ μεσεντέριον ἀγγείων. ἐν εἴδει δὲ, τὰ διὰ τῆς ἀλόης ἐστὶ κάλλιστα, καὶ αὐτὴ καθ' αὑτὴν ἡ ἀλόη μὴ παρόντων ἐκείνων. ἄπλυτος μὲν οὖν, ἱκανωτέρως ἐκκενοῖ. πλυθεῖσα δὲ, ἧττον μὲν καθαίρει, ῥώννυσι δὲ μᾶλλον τὴν γαστέρα.

Χρὴ τοίνυν ἔχειν τὴν καλουμένην ἤδη πρὸς ἁπάντων τῶν ἰατρῶν πικρὰν ἐσκευασμένην διττῶς. ἐξ ἀπλύτου τε καὶ πεπλυμένης ἀλόης. μίγνυται δὲ αὐτῇ κινναμώμου τε καὶ ξυλοβαλσάμου, καὶ ἀσάρου, καὶ νάρδου στάχυος, καὶ κρόκου, καὶ χίας μαστίχης. ἔστωσαν δὲ ἓξ μὲν τούτων ἑκάστου δραχμαί. μόνης δὲ τῆς ἀλόης, ἑκατόν. ἄριστον δὲ τοῦτο τὸ φάρμακον εἰς τὰς τῶν χιτώνων τῆς γαστρὸς κακοχυμίας. ἄμεινον δὲ χρῆσθαι ξηρῷ δι' ὕδατος ὅσον δυοῖν κοχλιαρίων μικρῶν τὸ πλῆθος, ὅταν γε μετρίως καὶ μέσως αὐτῷ χρῆσθαι προαιρώμεθα. τὸ γὰρ δὴ πλεῖστον καὶ τελεώτατον, οὐ σμικρῶν δυοῖν, ἀλλὰ μεγάλων ἡ

πόσις, ἐν ὕδατος εὐκράτου τρισὶ κυάθοις, ἐλαχίστη δὲ δόσις ἑνὸς κοχλιαρίου μικροῦ. χρῆσθαι δ' ἐν τῷ καιρῷ τῆς δὲ καὶ πτισάνης χυλῷ, πρῶτον αὐτὸν ἀπὸ τοῦ βαλανείου λαμβάνοντας. τὸ μὲν γὰρ φάρμακον αὐτὸ κατὰ τὸν συνήθη τοῖς καθαίρουσι διδόσθω καιρόν. ἐπ' αὐτῷ δὲ περιπατήσαντα σύμμετρα, καὶ κινηθέντα μέτρια, τῶν ἄλλων τῶν κατὰ τὴν δίαιταν, ὑπαλλάττειν μηδέν. ἔνιοι δ' ἀποτίθενται τὸ φάρμακον, ἀναλαμβάνοντες ἀπηφρισμένῳ μέλιτι. καὶ γίνεται μὲν οὕτω μονιμώτερον, οὐ μὴν δὲ ὁμοίως γε πρὸς τὰς ὑποκειμένας ἐν τῷ παρόντι λόγῳ διαθέσεις, ἀγαθόν. ἧττον γὰρ ῥώννυσι τὴν κοιλίαν, καὶ μᾶλλον ὑπάγει. Γλίσχρου μέν τοι φλέγματος ἐμπεπλασμένου τῇ γαστρί, δοτέον αὐτοῖς πρότερον ὅσα τέμνει τοῦτο. κἄπειτα οὕτω καθαρτέον. εἰ δὲ καὶ πρὸς ἔμετον ἐπιτηδείως ἔχοιεν, οὐδὲν ἂν εἴη χεῖρον ἐμεῖν ἀπὸ ῥαφανίδων δι' ὀξυμέλιτος. εἰ δὲ μήτε γλίσχρος ὁ χυμὸς εἴη, μήτε παχύς, ἀρκεῖ καὶ ὁ ἀπὸ τοῦ χυλοῦ τῆς πτισάνης ἔμετος μόνου, καὶ ὁ ἀπὸ τοῦ μελικράτου. λαμβάνειν δ' ἑκατέρου πλέον ἢ ὡς ἄν τις ἔλαβεν, ἤτοι τροφῆς ἕνεκεν, ἢ ὑπαγωγῆς γαστρός.. ἐπιτήδειον δὲ καὶ τὸ μελίκρατόν ἐστιν ἀφεψημένου καθ' αὐτὸ τοῦ ἀψινθίου πίνεσθαι. καὶ γὰρ καὶ τοῦτο καλῶς ὑπάγει κάτω τοὺς λεπτοὺς χυμούς, ὅσοι περ ἂν ἐν τῷ σώματι τῆς γαστρὸς αὐτῆς περιέχονται. κοινωνεῖ δὲ ὁ λόγος ὁ δὲ σύμπας ὁ περὶ τῆς δυσκρασίας τοῖς ὑγιεινοῖς παραγγέλμασι, καθ' ἕν τι μέρος ἑαυτοῦ τὸ τῶν ἀσθενῶν ἐνεργειῶν. οὐ γὰρ δὴ τῶν γε ἀπολωλυιῶν ἢ πλημμελῶς γιγνομένων. ἐκπέπτωκε γὰρ ἐκεῖνα τελέως τῶν ὑγιεινῶν. ἡ δ' ἀσθενὴς ἐνέργεια, κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον τῆς ὑγιεινῆς ἔσται πραγματείας ἢ τῆς θεραπευτικῆς. ὀλίγον μέν τι παραποδιζομένη, τῆς ὑγιεινῆς. ἐπὶ πλέον δέ, τῆς θεραπευτικῆς. ὅρος δ' ἑκατέρας, τὸ τῶν συνήθων πράξεων ἤτοι γε ἀφίστασθαι διὰ τὸ μέγεθος τῆς βλάβης, ἢ μή. λέλεκται δὲ καὶ περὶ τούτων ἐν τοῖς ὑγιεινοῖς. καὶ χρὴ καὶ διὰ τοῦτο θᾶττον ἀφίστασθαι τοῦ λόγου. γεγραμμένης γε δὴ συμπάσης ἤδη τῆς μεθόδου καθ' ἣν χρὴ τὰς δυσκρασίας ἰᾶσθαι τῆς γαστρός, εἴτε καθ' ἕξιν, εἴτε κατὰ σχέσιν ἐν αὐτῇ γίγνοιντο. δῆλον δὲ ὡς καὶ μικτή ποτ' ἔσται διάθεσις ἐν τῇ γαστρὶ τῶν εἰρημένων τριῶν τῶν ἁπλῶν. ὥστε καὶ αὐτὰ τὰ στερεὰ μόρια δυσκράτως ἔχειν. καὶ χυμοὺς μοχθηροὺς ἐμπεπλάσθαι δυσεκνίπτως τῇ γαστρί. καὶ κατὰ τὴν ἔνδον εὐρυχωρίαν ἑτέρους περιέχεσθαι. δύναται μὲν γάρ ποτε καὶ τὸ πρῶτον ἅμα τῷ δευτέρῳ ῥηθέντι συστῆναι. δύναται δὲ καὶ τὸ δεύτερον ἅμα τῷ τρίτῳ. καὶ αὖθίς γε τὸ πρῶτον ἅμα τῷ τρίτῳ. καὶ πάνθ' ἅμα πολλάκις, ἐφ' ὧν ἀναμνησθήσῃ μὲν δήπου καὶ τῆς ἔμπροσθεν εἰρημένης μεθόδου ἐν τοῖς περὶ τῶν ἑλκῶν λόγοις, ἁπασῶν τῶν ἐπιπλεκομένων ἀλλήλαις διαθέσεων. οὐδὲν δ' ἂν εἴη χεῖρον καὶ νῦν αὐτὴν διελθεῖν. ἐπισκέψαι γὰρ ἐν ταῖς τοιαύταις ὑπαλλάξεσι, πρῶτον μὲν ἀφ' οὗ μάλιστα κινδυνεύειν εἰκός ἐστι τὸν κάμνοντα. δεύτερον δέ, τί μὲν ἐξ αὐτῶν ἢ τίνα λόγον αἰτίας ἔχει, τίνα δὲ ἀποτελεῖται πρὸς αὐτῶν. καὶ τρίτον, οἷς ἀδύνατόν ἐστιν ἰαθῆναι πρὸ τῶν ἄλλων, καὶ ὅσοις δυνατόν. ὥσπερ ἐπὶ τῶν ἑλκῶν ἐδείκνυμεν τῶν ἅμα φλεγμοναῖς συνισταμένων. ἔνθα μὲν γὰρ ἀπό τινος τῆς διαθέσεως οὐ μικρὸς ὁ κίνδυνος ἐστίν, ὁ πρὸς τὸ κατεπεῖγον σκοπός, αἱρετέος. ἔνθα δὲ τὸ μὲν ποιοῦν ἐστι. τὸ δὲ γιγνόμενον, ὁ πρὸς τὸ αἴτιον. ἔνθα δὲ οὐχ οἷόν τε θεραπεύεσθαι τόδε πρὸ τοῦδε, ὁ ἀπὸ τῆς τάξεως. ἐν μὲν οὖν τῷ πρὸς τὸ κατεπεῖγον σκοπῷ, τὸ μέγεθος τῆς διαθέσεως σκεπτέον. ἔστι δὲ τρία μεγέθη. τὸ μὲν ἕν, κατὰ τὸ τῆς βεβλαμμένης ἐνεργείας ἀξίωμα. τὸ δ' ἕτερον, κατὰ τὴν οἰκείαν οὐσίαν τῆς διαθέσεως. καὶ τρίτον ἐπὶ τοῖσδε, τὸ πρὸς τὴν διοικοῦσαν τὸ βεβλαμμένον σῶμα δύναμιν. ἐν δὲ τῷ πρὸς τὸ αἴτιον σκοπῷ, θεωρητέον. τί μὲν ἐκ τῶν ἐπιπεπλεγμένων ἀλλήλαις αὐξάνειν ἢ γεννᾶν πέφυκε τὰ λοιπά, τίνα δ' ἤτοι τὴν γένεσιν ἢ τὴν αὔξησιν ὑπ' ἐκείνου λαμβάνει. ἐν δὲ τῷ κατὰ τὴν τάξιν, τί πρός τινος, ἢ τί σύν τινι, ἢ τί μετά τι δυνατὸν ἰᾶσθαι. ὑποκείσθω γοῦν εἰς τὴν γαστέρα καταρρέουσά τις ἐξ ἐγκεφάλου περιουσία ψυχρά. καὶ διὰ ταύτην ἤδη μέν τις οὖσα δυσκρασία κατὰ τὴν κοιλίαν. ἔτι δὲ μᾶλλον καὶ χυμοὶ μοχθηροὶ καθ' ὅλον αὐτῆς τὸ σῶμα τὰς μεταξὺ χώρας ἁπάσας τῶν ὁμοιομερῶν κατειληφότες, ἐν ταῖς τοιαύταις ἐπιπλοκαῖς, ἀξιώματι μὲν ἐστὶ μείζων ἡ δυσκρασία, διότι καὶ ἡ εὐκρασία, κατὰ δὲ τὴν οἰκείαν οὐσίαν, ὅ, τί περ ἂν αὐτῶν τύχῃ περὶ τὸν ὑποκείμενον ἄρρωστον ἐν τῷ λόγῳ. καὶ κείσθω πρός γε τὸ παρόν, ἐν τοῖς εἰρημένοις τρισὶ μείζων εἶναι διάθεσις ἡ τῶν ἐν τοῖς χιτῶσι τῆς γαστρὸς χυμῶν. ἔστω δ' εἰ βούλει καὶ τοῦτο αὐτὸ τὸ πάθημα, δῆξιν ἐργαζόμενον, καὶ διὰ τοῦτο αὐτὸ λειποψυχίαν τε καί τινας ἱδρῶτας ἅμα συγκοπτικαῖς ἐκλύσεσιν, ὡς εἶναι μεῖζον αὐτὸ τῶν ἄλλων, καθ' ὅσον ὑπὲρ τὴν δύναμιν ἐστίν. εὔδηλον οὖν ὅτι τὴν μὲν πρώτην ἄν τις ἐπιμέλειαν ἀντιτάξαιτο πρὸς τὸ καταλῦον τὴν δύναμιν. ἑξῆς δ' ἐπειδὴ μέγιστον τῶν ἄλλων ὑπέκειτο τοῦτο κατὰ τὴν οἰκείαν οὐσίαν, ἐπὶ πρῶτον ἄν τις αὐτὸ παραγίγνοιτο, καὶ πρῶτον ἰῷτο. εἰ δ' ἡμῖν ἤδη μετρίως ἔχει τοῦτο. καὶ μήθ' ἡ δύναμις ἔτι καταπίπτει, μήτε ἡ κατὰ τὴν γαστέρα κακοχυμία παμπόλλη τις εἴη, τότε ἐπὶ τὴν αἰτίαν ἀφιξώμεθα, γιγνώσκοντες ὡς οὐχ οἷόν τ' ἐστὶ τελέως ἰαθῆναι διάθεσιν οὐδεμίαν, ἔτι μενούσης τῆς ἐργαζομένης αὐτὴν αἰτίας. ἡ δέ γε τάξις τῆς θεραπείας, ἐνίοτε μὲν ὡς ἐπὶ φλεγμονῆς καὶ ἕλκους ἐναντίων ἐστὶν ἐνδεικτικὴ βοηθημάτων. ἐδείκνυτο γὰρ ὡς τὰ τὴν φλεγμονὴν θεραπεύοντα, μεῖζον ἀπεργάζεται τὸ ἕλκος. ἐνίοτε δ' οὐδὲν βλάπτει τὴν ἑτέραν διάθεσιν, ὥσπερ ἐπὶ τῆς ἐνεστώσης ὑποθέσεως. ὁ γὰρ ἐκκενῶν τὸ περιεχόμενον ὑγρὸν ἐν τῷ τῆς γαστρὸς κύτει, τῶν ἐν τοῖς χιτῶσι περιεχομένων ὑγρῶν ὑποτέμνεται τὴν τροφήν. ὥσπερ γε καὶ ὁ τὸν ἐγκέφαλον ἰώμενος, ὡς μηδεμίαν ἐν ἑαυτῷ γεννᾶν αἰσθητὴν περιουσίαν, ἐκκόπτει τὴν οἷον πηγὴν τῶν εἰς τὴν γαστέρα ῥευμάτων. ἐπὶ μὲν δὴ τούτων, ἡ τάξις τῆς θεραπείας, τῇ τάξει τῶν αἰτίων ὁμολογεῖ, κἂν ἐν ἄλλοις διαφέρηται. τὸ δ' ἀπὸ τοῦ μεγέθους χρὴ διορίζεσθαι καθάπερ εἴρηται. καὶ πρῶτον μὲν πειρᾶσθαι τῷ μεγίστῳ τὴν οἰκείαν ὕλην ἐφαρμόζειν τῶν βοηθημάτων. ἑξῆς δὲ κατὰ τὸν τῶν αἰτίων στοῖχον ἰᾶσθαι τὸ σύμπαν. ὅταν γὰρ μήτε πλῆθος ἀξιόλογον ᾖ τῶν κατὰ τὴν γαστέρα περιττωμάτων, μήτ' ἐν τῇ κοιλότητι περιεχομένων αὐτῆς, μήτ' ἐν τοῖς χιτῶσι, μήτε δῆξις ἀδικοῦσα τὴν δύναμιν, ἁπάντων μὲν χρὴ πρῶτον ἐκνοσηλεῦσαι τὸν ἐγκέφαλον. ἐφεξῆς δὲ τὸ κύτος τῆς γαστρὸς ἐκκενῶσαί τε καὶ διαρρύψαι, καὶ μετὰ ταῦτα ἐκκαθῆραι τοὺς χιτῶνας. εἶτα τὴν δυσκρασίαν ἰᾶσθαι. εἴρηται δὲ ἑκάστου τὰ ἰάματα πρόσθεν, ὥστε οὐ χρὴ μηκύνειν ἔτι τὰ κατὰ τὸν λόγον, ἀλλ' ἤδη τέλος ἐπιθεῖναι τῷ γράμματι. τὰς γὰρ τῶν ἄλλων ἁπάντων μορίων δυσκρασίας, ἀνάλογον ἄν τις ἰῷτο

τοῖς ἐπὶ

τοῖς ὑπὸ τῆς γαστρὸς εἰρημένοις. ἀεὶ γὰρ χρὴ τὸ, τῇ ἐναντίον τῇ διαθέσει πορίζεσθαι βοήθημα, καὶ τὴν ἀπὸ τῆς φύσεως τοῦ πεπονθότος ἔνδειξιν τῶν ὠφελησάντων, προσιθέναι, περὶ ἧς εἴρηται μὲν ἤδη καὶ διὰ τῶν ἔμπροσθεν. εἰρήσεται δὲ καὶ διὰ τῶν ἑξῆς ἐπὶ πλέον. ἀναγκαῖον δ' ἂν εἴη καὶ νῦν ἐπ' ὀλίγον αὐτῆς μνημονεῦσαι. πρώτη μὲν ἔνδειξις ἀπὸ τῆς τοῦ πεπονθότος τόπου κράσεώς ἐστι, τὸ μέτρον δεικνῦσα τοῦ θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν, ἢ κατὰ συζυγίαν τι πράττειν αὐτῶν. δευτέρα δὲ, ἀπὸ τοῦ κοινοῦ ἐστὶν ἔργου ἅπασι τοῖς τοῦ ζώου μορίοις, ἢ κοινὴν τὴν δύναμιν χορηγεῖν. καὶ τρίτη, παρὰ τῆς διαπλάσεως αὐτοῦ. καὶ τετάρτη, παρὰ τῆς θέσεως, ἧς μέρος ἐστὶν ἡ πρὸς τὰ πλησιάζοντα τοῦ ζώου μόρια κοινωνία. καὶ πρὸς τούτοις ἅπασι, τὸ τῆς αἰσθήσεως ποσόν. λεχθήσεται μὲν οὖν κἂν τοῖς ἑξῆς ὑπὲρ ἑκάστου τῶν εἰρημένων ἐπὶ πλέον. ἐπέλθωμεν δὲ καὶ νῦν αὐτὰ, διὰ βραχέων. ὅσα μὲν θερμότερα φύσει μόρια κατὰ τὴν ψύξιν νοσεῖ, μειζόνως τε ταῦτα καὶ μέχρι πλείονος χρόνου θερμαίνεσθαι δεῖται. καθάπερ γε καὶ τὰ ψυχρότερα κατὰ θερμότητα νοσοῦντα ψύχεσθαι. καὶ τὰ ξηρότερα καθ' ὑγρότητα, ξηραίνεσθαι. καὶ δὴ κατὰ τὸν αὐτὸν λόγον ὑγραίνεσθαι τὰ φύσει μὲν ὑγρότερα, κατὰ ξηρότητα δὲ νοσοῦντα, μειζόνως τε καὶ μέχρι πλείονος χρήζει τοῦ χρόνου. τοσοῦτον γὰρ ἐπανελθεῖν εἰς τὸ κατὰ φύσιν ἕκαστον αὐτῶν ἀναγκαῖόν ἐστιν, ὁπόσον εἰς τὰ παρὰ φύσιν ἐξετράπετο. καὶ καθάπερ ὁδόν τινα παλινδρομοῦσαν εἰς τοὐπίσω τῆς γενομένης αὐτῷ μεταστάσεως. ἔμπαλιν δὲ τῷ μὲν θερμοτέρῳ φύσει μορίῳ, θερμὸν νόσημα νοσοῦντι, βραχείας ἢ ὀλιγοχρονίου δεῖται τῆς ψύξεως, τῷ δὲ ψυχροτέρῳ, τῆς θερμάνσεως. ὡσαύτως δὲ κἀπὶ τῶν ὑγρῶν τε καὶ ξηρῶν. ὀλίγη γὰρ ἡ εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ τοῖς τοιούτοις ἐστὶ, καὶ ἡ εἰς τὸ κατὰ φύσιν ἐπάνοδος. ὅθεν καὶ κινδυνεύουσιν ἧττον, οἷς ἂν οἰκεία τῆς φύσεως ἡ νόσος ὑπάρχῃ. δῆλον δ' ὅτι καὶ κατὰ συζυγίαν αἱ δυσκρασίαι γινόμεναι, τηλικαύτην ἕξουσι τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον, ἡλίκην ἐποιήσαντο τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπήν. οὕτω μὲν οὖν ἀπὸ τῆς κράσεως τῶν πεπονθότων μορίων, ἡ τῶν βοηθημάτων ἔνδειξις γίγνεται. ἀπὸ δὲ τοῦ κατὰ τὴν ἐνέργειαν, ἤτοι χρήσιμον ἅπασι τοῖς τοῦ ζώου μορίοις ὑπάρχειν, ἢ ὀλίγοις τισὶν, ἢ ἑαυτῷ μόνῳ. κατὰ μὲν τὰς ἄνευ χυμῶν δυσκρασίας, οὐδὲν ἐκ τούτου τοῦ σκοποῦ λαμβάνεται. καὶ γὰρ ψύχεσθαι καὶ θερμαίνεσθαι, καὶ ξηραίνεσθαι καὶ ὑγραίνεσθαι, καὶ κατὰ συζυγίαν πάσχειν τι τούτων, ἕκαστον τῶν μορίων ἀνάλογον δεῖται τοῦ νοσήματος. κατὰ μέντοι τὰς ἐπὶ τοῖς χυμοῖς, εἰ μὲν ἑαυτῷ μόνῳ τὸ μόριον ἐνεργεῖ, θαρρῶν ποιήσεις τὰς κενώσεις, ὡς ἂν ἡ διάθεσις ὑπαγορεύῃ, συνεπιβλέπων τὴν δύναμιν. εἰ δ' ἀναγκαῖον εἴη τὸ ἔργον αὐτοῦ πᾶσι τοῖς τοῦ ζώου μορίοις, ὥσπερ τὸ τῆς γαστρός τε καὶ τοῦ ἥπατος, οὐ μικρὰν χρὴ φροντίδα ποιεῖσθαι τοῦ τόνου τῆς δυνάμεως, μή πως καταλύσωμεν αὐτὸν, ἀθροωτέραις κενώσεσι χρησάμενοι. κοινὸν δὲ τὸ ἔργον ἐστὶ καὶ φλεψὶ καὶ ἀρτηρίαις, καὶ καρδίᾳ καὶ θώρακι, καὶ νεφροῖς καὶ κύστει, τῇ τε τὸ οὖρον ὑποδεχομένῃ, καὶ τῇ χοληδόχῳ, σὺν τοῖς ἀπ' αὐτῆς ἀγγείοις. ἐγκεφάλου δὲ τὸ ἔργον, ὑγιαινόντων μὲν ἡμῶν εἰς τὰς καθ' ὁρμὴν ἐνεργείας, ἀναγκαῖόν ἐστι τοῖς τὰς τοιαύτας ἐνεργείας διαπραττομένοις ὀργάνοις. οὐκ ἀναγκαῖον δὲ νοσούντων, ὅτι μὴ μόνον τοῖς ἀναπνευστικοῖς. ἄλλων δ' ὀργάνων ἐνέργεια μὲν οὐκ ἔστιν. ὑπηρεσία δὲ ἀναγκαία πρὸς τὸ ζῆν. ὡς πνεύμονος, καὶ τραχείας ἀρτηρίας, καὶ φάρυγγος. ἐκ μὲν δὴ τῶν τοιούτων μορίων, ὅτι τάχιστα τὰς περιουσίας ἐκκενοῦν ἔξεστιν ὡς ἂν ἐθέλῃς. ἐκ γαστρὸς δὲ καὶ ἥπατος, οὐχ ὡς ἔτυχεν, ἀλλὰ σὺν τῷ φροντίζειν μηδὲν βλάψαι τὴν δύναμιν. ἐπεὶ δὲ οὐκ ἴσον ἐστὶ τὸ τῶν ἔργων ἀξίωμα πρὸς τὸ διασώζεσθαι τοὺς νοσοῦντας, ἀλλὰ τὸ μὲν μᾶλλον αὐτοῖς ἐστι, τὸ δὲ ἧττον χρηστὸν, ἀνάλογον χρὴ τῶν ἀξιωμάτων ἑκάστου μορίου προνοεῖσθαι τοῦ τόνου. μέγιστον μὲν οὖν ἀξίωμα τοῦ τῆς καρδίας ἐστὶν ἔργου. καὶ πάντων ἀναγκαιότατον τοῖς νοσοῦσι. τοῦ δ' ἐγκεφάλου πρὸς μὲν τὴν ζωὴν, ὁμότιμον. οὐ μὴν τῆς ἴσης ῥώμης ἐπὶ νοσούντων αὐτοῦ χρήζομεν. οὐ γὰρ ἀναγκαῖον πᾶσιν ἐνεργεῖν νεύροις καὶ μυσίν. ὥστ' ἀρκεῖ τοσοῦτον αὐτοῦ διασωζόμενον, ᾧ μέλλει μόνον ἐπιτελεῖσθαι τὸ τῆς ἀναπνοῆς ἔργον. ἡ δ' ἥπατος ἐνέργεια, πᾶσι μὲν ἀναγκαία τοῖς μορίοις ἐστίν. οὐ μὴν οὕτω γε διηνεκῶς ἔχει τὸ ἀναγκαῖον, ὡς ἡ τῆς καρδίας. ἀνάλογον δ' αὐτῷ καὶ ἡ τῆς γαστρός. ἐπιστάμενος οὖν ἁπάντων τῶν μορίων τὰς ἐνεργείας, καὶ τὰς χρείας ἐν ἑτέροις ὑπομνήμασιν ἀποδεδειγμένας, οὐ χαλεπῶς ἂν εὑρίσκοις εἰς ὅσον ἑκάστου φυλάττειν χρὴ τὸν τόνον. οὕτω δὲ καὶ ὅσα τῶν μορίων ἑτέροις ἀρχαὶ δυνάμεών εἰσι, διασώζειν αὐτῶν χρὴ τὸν τόνον, ἀνάλογον τῇ χρείᾳ τῶν δυνάμεων, ἣν ὑπηρετεῖ τοῖς τοῦ ζώου μέρεσιν. ἔμαθες δὲ καὶ περὶ τῶν τοιούτων μορίων, ὡς ἐγκέφαλός ἐστι, καὶ καρδία, καὶ ἧπαρ. ὁ μὲν τοῖς νεύροις τε καὶ μυσίν. ἡ δὲ, ταῖς ἀρτηρίαις. τὸ δ' ἧπαρ, ταῖς φλεψὶ, χορηγὰ τῆς δυνάμεως. ἀπὸ δὲ τῆς διαπλάσεως, ἡ ἔνδειξις γίγνεται τοῦ τρόπου τῆς κενώσεως τῶν περιττῶν ὧδέ πως. ἐμέτοις μὲν καὶ διαχωρήμασιν, ἡ γαστὴρ ἐκκενοῦται. τὰ δ' ἔντερα, μόνοις τοῖς κάτω διερχομένοις. ὥσπερ γε καὶ τοῦ ἥπατος τὰ σιμά. νεφροὶ δὲ καὶ κύστις καὶ τοῦ ἥπατος τὰ κυρτὰ, πολλῆς μὲν ἐμπεπλησμένα κακοχυμίας διὰ τῶν ὑπηλάτων τε καὶ καθαρτικῶν ὀνομαζομένων ἐκκαθαίρεται φαρμάκων, μετρίας δὲ, διὰ τῶν οὐρητικῶν πόρων. ἐγκέφαλος δὲ, δι' ὑπερῴας καὶ ῥινῶν, καὶ ὤτων. θώραξ δὲ καὶ πνεύμων, διὰ τραχείας ἀρτηρίας καὶ φάρυγγος. ἀπὸ δὲ τῆς θέσεως, ἔνδειξις ἔσται, εἴς τε τὰς δυσκρασίας τῶν στερρῶν, οὐχ ἥκιστα δὲ καὶ τὰς κακοχυμίας, οὐ μικρά. τοῖς μὲν γὰρ ἐπιπολῆς δυσκράτοις οἵων δεῖται φαρμάκων τοιαῦτα προσοίσομεν. τοῖς ἐν τῷ βάθει, προσλογιούμεθα τὸ διάστημα. εἰ γὰρ οἵων δεῖται τοιούτοις χρῷτο, πολὺ ἂν ἀσθενέστερα τῆς χρείας γιγνόμενα, πρὸς τὸν πεπονθότα τόπον ἀφίκοιτο. καὶ πρὸς τὰς κενώσεις δὲ ἡ θέσις συνενδείκνυταί τι, διδάσκουσα τὴν κοινωνίαν τοῦ πεπονθότος μορίου πρὸς τὰ ἄλλα. εἰ μὴ γὰρ εἰδείημεν ὅτι τοῖς σιμοῖς τοῦ ἥπατος ὑπόκειται τὰ κατὰ τὴν γαστέρα, καὶ τὴν νῆστιν, ὅτι τε τὴν μὲν νῆστιν, ἐκδέχεται τὸ λεπτὸν ἔντερον, ἐκεῖνο δὲ, τὸ κῶλον, εἶτ' αὖθις ἐκεῖνο, τὸ ἀπευθυσμένον, οὐκ ἂν οἷοί τε εἴημεν εὑρεῖν, ἐκκαθαίρεσθαι, μὲν δύνασθαι καὶ διὰ τῆς κάτω γαστρὸς καὶ δι' ἐμέτων τὸ ἧπαρ, ἄμεινον δ' εἶναι τὴν προτέραν κένωσιν, ἀνέχεσθαι μεμελετηκότων τῶν ἐντέρων, ἀεὶ τῆς ἐξ ἥπατος περιουσίας. οὐ μικρὰ δ' ἔνδειξις οὐδὲ παρὰ τῆς εὐαισθησίας τε καὶ δυσαισθησίας τῶν μορίων ἐστί. καταφρονεῖ μὲν γὰρ πάντων τῶν φαρμάκων τὰ δυσαίσθητα, κἂν ἱκανῶς ᾖ δακνώδη. τὰ δ' εὐαίσθητα μόρια, καταλύεται τὴν δύναμιν ἀνιώμενα. χρὴ τοίνυν ταῦτα

μὲν οὐκ ἀθρόως οὐδ' ἅπαξ ἰσχυροῖς ἐπιχειρεῖν ἰᾶσθαι φαρμάκοις, ἀλλ' ἐν χρόνῳ μᾶλλον ἀσφαλῶς. ἐπὶ δὲ τῶν δυσαλθήτων, οἷον τ' ἐστὶ καὶ διὰ ταχέων ἀνύσαι τὸ δέον, εἰσάπαξ χρησαμένους τῷ προσήκοντι βοηθήματι. ἀλλ' ὥσπερ ἔφην, εἰρήσεται καὶ αὖθις ἐπὶ πλέον ὑπὲρ τῆς ἀπὸ τούτων ἐνδείξεως. καὶ μάλισθ' ὅταν ἡμῖν ὁ λόγος γίγνηται περὶ τῆς τῶν παρὰ φύσιν ὄγκων ἰάσεως.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ

ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

ΟΣ δ' ἄν τις καὶ τοὺς πυρετοὺς ἰῷτο μεθόδῳ, τοῖς ἄλλοις ὡσαύτως νοσήμασι τοῖς ἐπὶ δυσκρασίαν συνισταμένοις ἐν ἡμῖν, ἃ διῆλθον ἐν τῷ πρὸ τοῦδε γράμματι, καιρὸς ἂν εἴη λέγειν. ὅτι μὲν οὖν ὦ Εὐγενιανέ, ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ὑγροῦ καὶ ξηροῦ κεραννυμένων ἀλλήλοις ἡ τῶν ἁπλῶν καὶ πρώτων μορίων συνέστηκε φύσις, ἅπερ Ἀριστοτέλης προσαγορεύει ὁμοιομερῆ, δι' ἑνὸς ἀποδέδεικται γράμματος, ἐν ᾧ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐσκοπούμεθα. ὅτι δ' ἐν τῷ τὸ μὲν θερμότερον εἶναι, τὸ δὲ, ψυχρότερον, ἢ ὑγρότερον, ἢ ξηρότερον, ἢ κατὰ συζυγίαν τι τούτων πεπονθέναι, τῶν ἁπλῶν καὶ πρώτων μορίων ἐστὶν ἡ πρὸς ἄλληλα διαφορὰ, διὰ τῆς περὶ κράσεων ἐδιδάχθη πραγματείας. ἐν δέ γε τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς βιβλίῳ, τῶν μὲν ἁπλῶν τοῦ ζώου μορίων δύο τὰ πάντ' εἶναι γένη νοσημάτων ἐδείκνυτο. κοινὸν μὲν τὸ ἕτερον αὐτοῖς, πρὸς τὰ συνθετά τε καὶ δεύτερα καὶ ὀργανικὰ μόρια. καλοῦμεν δὲ αὐτὸ λύσιν ἑνώσεως. ἕτερον δ' ἐξαίρετον ἴδιον ἐν δυσκρασίᾳ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ συνιστάμενον. εἶναι δὲ τῶν δυσκρασιῶν τὰς μὲν κατὰ μίαν ἀντίθεσιν, ἁπλᾶς. τὰς δὲ κατ' ἄμφω, συνθέτους. ἐν μὲν οὖν τῇ ἐπὶ τὸ θερμὸν καὶ ψυχρὸν ἀντιθέσει, δύο συνίστασθαι δυσκρασίας ἁπλᾶς. ἑτέραν μὲν ὅταν ἑαυτοῦ γένηταί τι θερμότερον εἰς τοσοῦτον, ὡς ἤδη βλάπτεσθαι τὴν ἐνέργειαν αὐτοῦ. δευτέραν δὲ, ὅταν ὁμοίως ἐπικρατήσῃ τὸ ψυχρόν.

aliter ἑτέρας αὖ καὶ ἐπὶ τόδε δύο

ἐν δὲ τῇ ἐπὶ τὸ ξηρὸν καὶ ὑγρὸν, † ἑτέρας δύο καὶ ἐπὶ τὰς δὲ δυσκρασίας, ὑγρὰν, καὶ ξηράν. ἐπιπλεκομένων δ' ἀλλήλαις τῶν ἁπλῶν, ἄλλας συνίστασθαι τέτταρας. ὑγρὰν καὶ ψυχράν, ὑγράν τε καὶ θερμήν, καὶ ξηρὰν καὶ θερμήν, ξηράν τε καὶ ψυχράν. εἴρηται δὲ καὶ γεννῶντα τὰς δυσκρασίας αἴτια δι' ἑτέρου γράμματος, ἐν ᾧ τὰς τῶν νοσημάτων αἰτίας ἐδηλοῦμεν. ἓν δέ τι τῶν κατὰ δυσκρασίαν νοσημάτων ἐστὶ, καὶ ὁ πυρετὸς, εἰς τοσαύτην ἀμετρίαν αἰρομένης τῆς θερμασίας ὡς ἀνιᾶν τε τὸν ἄνθρωπον, ἐνέργειάν τε βλάπτειν, ὡς εἴ γε μήπω μηδέτερον ἔχει, κἂν ὅτι μάλιστα θερμότερος ἑαυτοῦ τύχῃ γεγονὼς, οὐδέπω πυρέττειν αὐτὸν ἐδείκνυμεν. ἐπεὶ δ' ἕκαστον τῶν παρὰ φύσιν ἐν ἡμῖν συνισταμένων, εἴτε εἰδικωτέρας τυγχάνῃ προσηγορίας, εἴτε γενικωτέρας, οὐκ ἔστιν ἐκτὸς τοῦ σώματος, ἀλλὰ καὶ ἡ φλεγμονὴ, καὶ ἡ πλευρῖτις, καὶ ἡ νόσος ἅμα τὰ τρία καθ' ἓν γίνεται σῶμα τὸ Δίωνος, εἰ οὕτως ἔτυχεν. ἐνδείκνυται δὲ καὶ τούτων μὲν ἕκαστον ἰδίαν ἔνδειξιν, οὐδὲν δ' ἧττον αἱ διαφοραὶ τοῦ πάντων εἰδικωτάτου, διὰ τοῦτ' οὖν ἄμεινον ἔδοξεν ἰδίᾳ πραγματεύεσθαι περὶ τῆς διαφορᾶς τῶν πυρετῶν. ἵν' ἐφ' ἑτοίμοις ἅπασιν ὁ λόγος ἡμῖν ἐνθάδε περαίνηται, χωρὶς τῆς πρὸς τοὺς κακῶς ὑπὲρ αὐτῶν γράψαντας ἀντιλογίας. ἀναμνησθῶμεν οὖν τὰ κεφάλαια τῆς διαφορᾶς αὐτῶν, ἵν' ἐξ ἑκάστου τὴν οἰκείαν ἔνδειξιν ἀναλάβωμεν. ἔστιν οὖν μία μὲν αὐτῶν διαφορὰ, καθ' ἣν ἤτοι πάρεστιν ἔτι τὸ ποιοῦν αἴτιον τὸν πυρετὸν, ἢ πέπαυται ποιῆσαν. ἑτέρα δὲ, καθ' ἣν ἤτοι γ' ἑκτικός ἐστιν ὁ γεγονὼς πυρετὸς, ἢ ὡς ἂν εἴποι τις, σχετικός. ἐπειδὴ γὰρ ὀνομάζουσι τὰς μὲν εὐλύτους διαθέσεις, ἐν σχέσει. τὰς δὲ μὴ τοιαύτας, ἐν ἕξει, συγχωρητέον ἐστὶν ἕνεκα σαφοῦς διδασκαλίας καὶ αὐτῶν τῶν πυρετῶν, τοὺς μὲν δυσλύτους, ἑκτικούς. τοὺς δ' εὐλύτους, σχετικοὺς ὀνομάζεσθαι. καὶ λεκτέον ἐνίους μὲν τῶν πυρετῶν εὔλυτον ἔχειν τὴν διάθεσιν οὕτως, ὡς τὸ θερμανθὲν ἐν ἡλίῳ ξύλον. ἐνίους δὲ, δύσλυτον, ὡς τὸ μέχρι τοῦ τύφεσθαί τε καὶ καπνὸν ἀποβάλλειν ὑπὸ πυρὸς θαλφθέν. αὗται μὲν αἱ πρῶται διαφοραὶ τῶν πυρετῶν, ἃς συνάψαντες πρότερον ταῖς γενικωτέραις ἐνδείξεσιν, αὖθις ἐπὶ τὰς αὐτῶν τῶν εἰρημένων εἰδικωτέρας ἀφιξώμεθα. πρώτη μὲν γὰρ ἔνδειξις, ὡς ἀπὸ νοσήματος, ἐστὶν ἅπαντος πυρετοῦ, τὴν ἀναίρεσιν ἐνδεικνυμένη. δευτέρα δὲ ὡς τοιοῦδε νοσήματος, οὐκέτ' ἁπλῶς ἀναίρεσιν, ἀλλὰ τοιάνδε τινα κατὰ γάρ τοι δυσκρασίαν νοσούντων τῶν πυρεττόντων, ἀναγκαῖον καὶ τὴν ἴασιν αὐτῶν ἀναίρεσιν εἶναι τῆς δυσκρασίας. ἅπασα δ' ἀμετρία, διὰ τῆς ἐναντίας ἀμετρίας ἰᾶται. καὶ γὰρ καὶ τοῦτ' ἔμπροσθεν ἐδείχθη. καὶ τοίνυν καὶ ἡ τῆς τοῦ πυρετοῦ δυσκρασίας ἀμετρία, διὰ τῆς ἐναντίας ἀμετρίας ἰαθήσεται. ἔστι δ' ἡ ἀμετρία τῆς τῶν πυρεττόντων δυσκρασίας, ἐν πλεονεξίᾳ θερμότητος. ἡ τοίνυν εἰς εὐκρασίαν ὁδὸς αὐτοῖς, διὰ ψύξεως ἔσται. εἰ μὲν οὖν ἤδη γεγονότες εἶεν οἱ πυρετοὶ, τὸ δὲ ποιῆσαν αὐτοὺς αἴτιον οἴχοιτο, μόνως ἂν οὗτος εἴη τῆς θεραπείας αὐτῶν ὁ σκοπὸς ἡ ψύξις. ὥστε ζητητέον ἡμῖν τὰς ὕλας, ὅσαι ψύξιν ἰσόρροπον ἔχουσι τῇ πλεονεκτούσῃ θερμότητι. γιγνομένων δ' ἔτι τῶν πυρετῶν, τὴν ποιοῦσαν αὐτοὺς αἰτίαν ἀναιρετέον. εἰ δὲ τὸ μὲν ἤδη γεγονὸς αὐτῶν εἴη, τὸ δ' ἔτι γίγνοιτο, τοῦ συναμφοτέρου στοχαστέον. ἀναιρούντων πρότερον μὲν τὴν ἀνάψασαν αἰτίαν αὐτοὺς, ἐφεξῆς δὲ σβεννύντων, τὸ φθάσαν ἀπ' αὐτῆς ἀνῆφθαι. τίνες οὖν αἰτίαι πυρετοὺς γεννῶσαι, καὶ κατὰ τίνα σώματος ἑκάστου διάθεσιν, εἰ μή τις εἴη μεμνημένος ἀκριβῶς, οὐκ ἄν ποτε μεθόδῳ προνοήσαιτο πυρετῶν. ἐλέχθη γοῦν ἐν ἐκείνοις τοῖς σώμασιν ἡ στέγνωσις ἐργαζομένη πυρετὸν, ἐν οἷς ἐστὶ τὸ διαπνεόμενον οὐκ ἀτμῶδες, οἷόν περ ἐν τοῖς εὐχύμοις, ἀλλὰ δακνῶδες καὶ δριμὺ, καὶ καπνῷ παραπλήσιον, ἢ λιγνύϊ. τούτοις οὖν τοῖς σώμασιν, ὑγιεινότατα μὲν λουτρὰ γλυκέων ὑδάτων εὐκράτων, καὶ τρῖψις ἀραιωτικὴ, καὶ γυμνάσια σύμμετρα, καὶ δίαιτα γλυκύχυμος. ἐναντιώτατα δὲ λουτρὰ ψυχρὰ καὶ στυπτηριώδη, καὶ ἀλουσία, καὶ γυμνάσιον ὀξὺ, καὶ τρῖψις ἤτοι μηδόλως, ἢ σκληρὰ γινομένη, καὶ δίαιτα κακόχυμος, ἀγρυπνία τε καὶ θυμὸς, καὶ λύπη, καὶ φροντὶς, ἔγκαυσίς τε καὶ κόπος. ἀλλὰ περὶ μὲν τῶν ἄλλων, αὖθις ἐπάνειμι. περὶ δὲ τῆς στεγνώσεως νῦν ὅθεν ὁ λόγος ὡρμήθη, γινώσκειν χρὴ σαφῶς, ὅτι καὶ μόνη χωρὶς τῶν ἄλλων ἁπάντων, ἱκα-

νὴ γεν-

τε γεννῆσαι πυρετόν. ἐὰν οὖν ἑξῆς τὰς τοιαύτας φύσεις τῶν οἰκείων λουτρῶν, αὐτίκα πυρέττουσιν. ἐθεασάμεθα δὲ δή που καθ' ὃν ἐν Ῥώμῃ σὺν ἡμῖν διέτριψας χρόνον, ἐνίους οὕτω νοσήσαντας. ἐφ' ὧν οἱ τὴν θαυμαστὴν διάτριτον ἀσίτους ὑπερβάλλειν ἀξιοῦντες, αὐτοὶ κακοηθεστάτους πυρετοὺς κατασκευάζουσι. δέον αὐτίκα τοῦ πρώτου παροξυσμοῦ παρακμάζοντος, ἀπάγειν εἰς τὸ βαλανεῖον. ἐπιτρέπειν τε λούεσθαι πολλάκις εἰ βούλοιντο, μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ δίς. ἐγὼ γοῦν ἐάσας ἅπαντας τοὺς ἄλλους, ἀναμνήσω σε τοῦ λουσαμένου μὲν ἐν τοῖς στυπτηριώδεσιν ὕδασιν, ἃ καλοῦσιν Ἀλβουλα, πυκνωθέντος δ' ἐκ τούτου τὸ δέρμα, κἀντεῦθεν ἀρξαμένου πυρέττειν, ἀρκέσει γὰρ ἕνεκα σαφηνείας οὗτος οἷον παράδειγμά τι τοῦ λόγου γενέσθαι, παρῆσαν μὲν ἐπισκοπούμενοι τῶν οὐκ ἀφανῶν τινὲς ἰατρῶν, ὁ μὲν Ἐρασιστράτειος, ὁ δὲ, μεθοδικός. ἔδοξε δ' ἀμφοτέροις ἀσιτῆσαι τὸν ἄνθρωπον. οὐ μὴν εἰάσαμέν γε ἡμεῖς χωρισθέντων αὐτῶν ἐλθόντες, ἀλλ' εἰς βαλανεῖον εἰσαγαγόντες εὐθέως, καὶ χλιαρὸν ἔλαιον ἐπὶ πλεῖστον αὐτῷ περιχέαντες, ἀνατρίψαντές τε πραότατα, τὸ πλεῖστον τοῦ χρόνου μέρος ἐν τῷ τῆς θερμῆς δεξαμενῆς ὕδατι διατρίβειν ἐκελεύσαμεν. εἶτα ἐξελθόντα καὶ χρησάμενον ὕδατι ψυχρῷ κατὰ τὰ εἰωθότα, σκεπάσαντες σινδόνι, καὶ βραχὺ καθίσαι κελεύσαντες ὡς ἀνακτήσασθαι τὴν δύναμιν, αὖθις εἰσαγαγόντες εἰς τὸ βαλανεῖον, ὁμοίως τε πάλιν ἀλείψαντές τε καὶ τρίψαντες, καὶ κατὰ τὸ θερμὸν ὕδωρ χρονίσαι κελεύσαντες, εἶθ' αὖθις ἐξαγαγόντες καὶ τῷ ψυχρῷ βάψαντες, ἐκμάξαντές τε, τροφὴν ἐδώκαμεν, αὐτίκα μὲν ἐξελθόντι μετὰ τὸ πιεῖν ὕδατος, πτισάνης χυλόν. εἶτα βραχὺ διαλειπόντων, θριδακίνην. καὶ μετ' αὐτὴν, ἐξ ἁπλοῦ λευκοῦ ζωμοῦ τῶν ἁπαλοσάρκων ἰχθύων, οἷοί περ οἱ πετραῖοι πάντες εἰσί, καὶ οἱ ὀνίσκοι καλούμενοι. κάλλιον δ' ἕνεκα τοῦ παραλελεῖφθαι μηδὲν ἅπαντα προσθεῖναι τῇ διηγήσει, τοῦ μὲν ἔτους ἦν ὁ καιρὸς ἐκεῖνος ἐν ᾧ ταῦτ' ἐπράττετο, βραχύ τι μετὰ τὰς ὑπὸ κύνα προσαγορευομένας ἡμέρας. ὁ δὲ ἄνθρωπος, ὡς πέντε καὶ τριάκοντα ἐτῶν, μελάντερος τὴν χροιάν, καὶ λεπτὸς τὴν ἕξιν, καὶ δασύς, ἁπτομένοις τε σαφῶς δακνώδη τὴν θερμασίαν ἔχων ὁπόθ' ὑγιαίνοι, οὖρα κατακορῆ ξανθά. καὶ εἰ ἐπὶ πλέον ἀσιτήσειε δάκνοντα, γαστὴρ ἐξηραίνετο συνεχῶς. καὶ ἦν τὰ διαχωρήματα βραχέα, καὶ δριμέα, καὶ ξηρά. τὸ δὲ τῆς ψυχῆς ἦθος, ὀξύθυμόν τε καὶ φροντιστικὸν ὑπῆρχεν. ὀλιγόυπνός τε τὰ πάντα, καὶ συνεχῶς ἀγρυπνίαν μεμφόμενος. οὗτος ἐν χωρίῳ τινὶ πράξεων ἕνεκα γενόμενος, ἐχρῆτο τοῖς Ἀλβούλοις πλησίον οὖσιν. ὥρας τε ἑβδόμης ὡς ἔφασκε, καὶ τρίς γε καὶ τετράκις ἐλοῦτο, χρηστόν τι δὴ τοῦτο νομίζων ἐργάζεσθαι. ἐκεῖθεν τε πάλιν εἰς τὸν ἀγρὸν ἀφικόμενος, καὶ τροφὴν προσαράμενος, εἶθ' ὑπνώσας βραχέα, παρεγένετο μὲν εἰς τὴν πόλιν ἑσπέρας βαθείας. ἀπορήσας δ' ἐπιτηδείου λουτροῦ διὰ τῆς νυκτὸς, ἐπύρεξε. θεασάμενοι δὲ αὐτὸν οἱ ἰατροὶ σχεδὸν ὥρας τρίτης τῆς ἡμέρας, ἐκέλευσαν οὐ μόνον ἐκείνην, ἀλλὰ καὶ τὴν ἑξῆς ἀσιτεῖν ὅλην, ἵνα τὴν διὰ τρίτης νύκτα φυλάξαιντο. καὶ ταῦτ' εἰπόντες, ἀπηλλάττοντο. λούσαντες οὖν ἡμεῖς αὐτὸν, καὶ διαιτήσαντες, ὡς εἴρηται, τοῖς οἰκέταις ἐκελεύσαμεν, ἐὰν εἰς ἑσπέραν οἱ ἰατροὶ παραγενηθῶσιν, ἡσυχάζειν τε φάναι τὸν ἄνθρωπον. ἀποπέμπειν τ' ἐκείνους παραχρῆμα, τῆς ἐπιούσης ἡμέρας ἥκειν ἀξιώσαντας. ὡς δ' ἐχωρίσθησαν αὖθις ὁμοίως λούσαντές τε καὶ διαιτήσαντες αὐτὸν, ἐξ αὐτῶν τούτων ὧν ἐπράξαμεν, ὑπνῶσαι καλῶς ἐποιήσαμεν. παραγενόμενοι δὲ οἱ ἰατροὶ κατὰ τὴν ὑστεραίαν ἕωθεν, ἠξίουν αὐτὸν ἔτι κἀκείνην ἀσιτῆσαι τὴν ἡμέραν, εἰ καὶ ὅτι μάλιστα τελέως ἀπύρετος εἴη. τοῦ δ' ὑποσχομένου πράξειν ὡς κελεύουσιν, οἶσθα μὲν δή που τὸν γέλωτα τὸν γενόμενον, ἀπελθόντων αὐτῶν. ὃν ὑμεῖς ὀλίγον ὕστερον ἀφικόμενοι, κατελάβομεν. ἐπίστασαι δὲ καὶ ὅπως ἐπράχθη τὰ περὶ τὸν ἄρρωστον. ἐπειδὴ γὰρ ἔφην ὑγιαίνων ἐλούου δίς, οἱ δ' ἰατροὶ τελέως ἀσιτῆσαι σε κελεύουσιν, οὔτ' ἐκείνοις τὸ σύμπαν πεισθῆναι δίκαιον, διαλλάξαι τέ τι τῶν ἐπὶ τῆς ὑγείας προσήκει. τοῦ δ' οἰομένου με συμβουλεύειν αὐτῷ, λούσασθαι μὲν ἀλλ' οὐ δίς, ἑτοίμου τε πράττειν εἶναι φάσκοντος, ὅ,τι περ ἂν ἐγὼ κελεύσαιμι, μὴ τοίνυν ἔφην μήτ' ἀσιτήσῃς, μήτε λούσῃ δίς, καὶ γὰρ καὶ κάμνειν μοι δοκεῖς τρίτην ἡμέραν, καί που καὶ θερμανθῆναι σφοδρότερον ὑπὸ τοῦ ἡλίου, διά τε οὖν τὸν κάματον ἔφην καὶ τὴν ἔγκαυσιν, ἕν σε χρὴ προσθεῖναι λουτρὸν τοῖς δύο, καὶ τρὶς λούσασθαι πειθόμενον ἐμοί. τοῦτο γὰρ ὑπέσχου ποιήσειν. ὁ δὲ, μειδιάσας, χαλεπὰ μὲν ἔφη προστάττεις, ἀλλ' ἐπεὶ συνθήκας φυλάττειν δίκαιον, ἃ κελεύεις ποιήσω. τὰ δὲ πραχθέντα μετὰ ταῦτα τοῖς ἰατροῖς, οἶσθα δή που σαφῶς ὁπόσου καταγέλωτος ἦν ἄξια. δὶς μὲν ἐλέλουτο καὶ ἠριστηκὼς ἐκεκοίμητο. περὶ δὲ δυσμὰς ἡλίου, τῶν οἰκετῶν τις ἀγγέλλει παρεῖναι τοὺς ἰατρούς. ὁ δὲ, προσποιεῖται πυρέττειν, καὶ περιβαλλόμενος ἱμάτιον, ἔσω τε στραφεὶς ὅπως μὴ καταφανὴς αὐτοῖς γένοιτο πεπωκὼς οἶνον, τῶν φίλων τινὶ κελεύει, τοῖς ἰατροῖς ἀνθ' αὑτοῦ ποιεῖσθαι τὰς ἀποκρίσεις, ἥντινα πυνθάνωνται. ἔμελλον δὲ δή που τὸ συνηθέστατον αὐτοῖς πρῶτον ἐρήσεσθαι, θεώμενοι περιβεβλημένον ἐπιμελῶς ἅμα τῇ κεφαλῇ τὸν ἄνθρωπον. ἥτις ἦν ὥρα καθ' ἣν ὁ παροξυσμὸς εἰσέβαλεν. ἀποκρινομένου δὲ τοῦ φίλου σχεδὸν οὐδεμίαν ὁλόκληρον ὥραν γεγονέναι μεταξύ, πότερον μετὰ φρίκης ἢ μετὰ περιψύξεως ὑπήρξατο πυνθάνονται. τοῦ δὲ μετὰ φρίκης εἰπόντος, ἅπτονται τοῦ ἀνθρώπου διά τε τὸ γελᾶν καὶ περικεκαλύφθαι νοτιζομένου. ἐπαινέσαντες οὖν αὐτὸν ἐπὶ τῷ πεισθῆναι σφίσι, καὶ μηδὲν ἁμαρτεῖν περὶ τοῦ διὰ τρίτης παροξυσμοῦ, τοιγάρτοι διὰ τοῦτο ἔφασαν ἤδη μέν σοι πέπαυται τὰ τῆς φρίκης. ἱδρῶτος δ' ἐστὶν ὑπόφασις, καὶ νοτὶς πολλὴ περὶ τὸ δέρμα. καὶ ταῦτ' οὐκ ἂν ἐγένετο, μὴ ἀσιτήσαντός σου, καὶ τὴν διάτριτον ὑπερβάλλοντος. κελεύσαντες οὖν τοῖς οἰκείοις ἐὰν γένωνται τινὲς αὐτῷ νοτίδες, ἐκμάττειν ἐπιμελῶς, ὅπως μὴ ψυχθείη. παραγενήσεσθαί τε φάντες ἕωθεν, ἀπαλλάττονται, μὴ δὲ τότε κελεύοντες ἐπὶ τοῖς ἱδρῶσι τραφῆναι τὸν ἄνθρωπον. ἐδόκουν γὰρ αὐτοῖς αἱ κατ' ἐκεῖνον τὸν καιρὸν νύκτες εἶναι μικραί. καὶ κάλλιον ἐφαίνετο κατὰ τὴν ὑστεραίαν ἕωθεν τρέφειν. ἀπαλλαγέντων οὖν αὐτῶν, ἐν ἱδρῶτι ῥεόμενος ὁ νεανίσκος ὡς ἐνετετύλικτο τοῖς ἱματίοις, καταδραμὼν εἰς τὸ βαλανεῖον, ἐλούσατο τὸ τρίτον. ὁμοίως τε διῃτήθη. κἄπειτα κατὰ τὴν ὑστεραίαν πρὶν ἀφικέσθαι τοὺς ἰατρούς, προῆλθε τῆς οἰκίας ἐπίτηδες, ὅπως μὴ καταλάβοιεν αὐτόν. οἶσθ' ἄρα μικρὸν ὕστερον ἥκοντες,

καὶ μαθόντες αὐτὸν περιεληλυθέναι, καθ' ἑαυτοὺς ἐθαύμαζον, ὅ, τί ποτ' εἴη τὸ περιελθεῖν ἀναγκάσαν ἠσιτηκότα δυοῖν ἡμέραιν τὸν ἄνθρωπον. εἰ μὲν οὖν ἐν τούτοις μόνοις ὑπὸ τῶν τοιούτων ἰατρῶν οἱ κάμνοντες ἠδικοῦντο, τὸ μέχρι πλειόνων ἡμερῶν ἤδη τῆς κλίνης κατέχεσθαι, δυνάμενοι καὶ χωρὶς ἀσιτίας ἀκαίρου, πολὺ θᾶττον ἤδη τὰς συνήθεις ἀφικνεῖσθαι πράξεις, ἦν μὲν ἂν δήπου καὶ οὕτω δεινὸν τὸ γιγνόμενον, ἀλλ' ἧττον μακρῷ τῶν καταλαμβανόντων αὐτούς. ἐπειδὴ δὲ χαλεπωτάτοις ἁλίσκονται πυρετοῖς αἱ εἰρημέναι φύσεις, ὅταν οὕτω διαιτηθῶσιν, οὐδὲν ἀποδεῖν μοι δοκοῦσι δημίων, οἱ τὰ τοιαῦτα διαπραττόμενοι τῶν ἰατρῶν. οὐ γὰρ ὥσπερ οἱ ὑγροὶ καὶ εὔχυμοι περὶ τοὺς ἐφημέρους πυρετοὺς ἀναγκασθέντες ὑπερβάλλειν τὴν δαιμονίαν διάτριτον, ἐν τούτῳ ἀδικοῦνται μόνον τὸ κατατρίβεσθαι μάτην, οὕτω καὶ αἱ προειρημέναι φύσεις, ἀλλ' ἤδη ταῖς μακροτέραις ἀσιτίαις, ἁλίσκονται πυρετοῖς δριμυτάτοις τε καὶ ὀξυτάτοις. ἐξ ὧν ἡ μετάπτωσις, εἰς τοὺς ἑκτικοὺς γίνεται ῥᾳδίως. κἀξ ἐκείνων αὖθις, εἰς τὸν περίφρυγῆ μαρασμόν, ἢ ἐὰν εὐαδίκητον εἴη τὸ στόμα τῆς γαστρός, εἰς τὸν συγκοπώδη. πολλάκις γοῦν ἤκουσας ἡμῶν λεγόντων ἐνίοις τῶν τοιούτων ἰατρῶν, ὡς ἔξεστιν αὐτοῖς ἐναργέστατα μαθεῖν ἡλίκον ἐργάζονται κακόν, ἐν ἀσιτίᾳ φυλάττοντες τὰς προειρημένας φύσεις, ἢν ἐθελήσωσιν ὑγιαίνοντας ἀμέμπτως αὐτοὺς ἀσιτῆσαι κελεῦσαι δυοῖν ἡμέραιν. ὄψονται γὰρ αὐτίκα πυρέττοντας δι' οὐδὲν ἄλλο δήπουθεν, ἢ τὸν λιμόν. ᾧ γὰρ οὔτ' ἦν ἔμπροσθεν οὐδὲν ἄλλο περὶ τὸ σῶμα μέμψεως ἄξιον, οὔτ' ἐν τῷ μεταξὺ προσεγένετό τι νεώτερον ἔξωθεν, οὗτος ἐναργῶς ὑπὸ τῆς ἀσιτίας ἐπύρεξεν. ὅταν δ' ὡς εἴρηται μὴ μόνον εἷς ἢ δύο τῶν οὕτω δυσκράτων, ἀλλ' ἐφεξῆς ἅπαντες, ἀσιτήσαντές τε καὶ ἀλουτήσαντες ἁλίσκονται πυρετοῖς, οὐδ' ἀμυδρὰν ὑπόνοιαν ἔτι δυνατὸν ἡμῖν γίγνεσθαι τοῦ δι' ἄλλο τι καὶ μὴ διὰ τὴν ἀσιτίαν πυρέττειν αὐτούς. οἷς γοῦν ἐν τῇ κράσει τοῦ μὲν ὑγροῦ, τὸ ξηρόν, τοῦ δὲ ψυχροῦ, τὸ θερμὸν πλεονεκτεῖ, τούτοις ἡ μὲν ἕξις τοῦ σώματος, ἰσχνὴ καὶ δασεῖα καὶ μελαντέρα. καὶ εἰ ἀραιὸ† θερμοτέρα τῶν ἄλλων τριῶν τῶν δυσκράτων, τῶν ἧττον θερμῶν ἐντεῦθεν. παμπόλλη δ' ἡ ξανθὴ χολή. καὶ οὖρα, καὶ διαχωρήματα κατακορῆ, καὶ οἱ σφυγμοὶ μεγάλοι, καὶ ὕπνοι λεπτοὶ καὶ ὀλίγοι, καὶ ὁ θυμὸς σφοδρός. εἴρηται τοιγαροῦν ἐπ' αὐτῶν ὀρθῶς Ἱπποκράτει τό, τε καθόλου τῆς διαίτης εἶδος ὁποῖόν τι χρὴ ποιεῖσθαι, καὶ ὅσα καὶ οἷα καταλαμβάνει συμπτώματα, τοὺς τοιούτους ἀνθρώπους. οὐ μόνον ἐπειδὰν δι' ὅλης ἡμέρας ἀσιτήσωσιν, ἀλλὰ κἂν τῆς ἑτέρας τροφῆς ἀπόσχωνται τῆς περὶ τὸ ἄριστον. ἐν μὲν γὰρ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν φησίν, ἐν θερμῷ φύσει ψύξις. ποτόν, ὕδωρ. ἐλιννύειν. ἐν δὲ τῷ περὶ διαίτης ὀξέων, ὅ τινες ἐπιγράφουσι πρὸς τὰς κνιδίας γνώμας ὑπὲρ τῶν ἐκλειπόντων τὸ εἰθισμένον ἄριστον διαλεγόμενος, ἐμνημόνευσε καὶ τούτων τῶν φύσεων, ὀνομάζων αὐτὰς πικροχόλους ἀπὸ τοῦ κρατοῦντος χυμοῦ. ἔχει δ' ἡ ῥῆσις ὧδε. Ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτέεσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, ἀσθενέες καὶ ἄῤῥωστοί εἰσι. καὶ δειλοὶ εἰς πᾶν ἔργον. καὶ καρδιαλγέες. κρεμᾶσθαι δοκέει αὐτοῖσι τὰ σπλάγχνα. καὶ οὐρέουσι θερμὸν καὶ χλωρόν. καὶ ἡ ἄφοδος συγκαίεται. ἔστι δ' οἷσι καὶ πικραίνεται τὸ στόμα. καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται. καὶ οἱ κρόταφοι πάλλονται. καὶ τὰ ἄκρα διαψύχονται. ταῦτα προειπών, ἐφεξῆς ἕτερά τινα περί τε τοῦ δείπνου καὶ τῆς νυκτὸς ἐπὶ τελευτῇ τοῦ λόγου φησί. Τοὺς πικροχόλους, χαλεπώτερόν τε φέρειν τήν τε μονοσιτίαν καὶ τὴν ἀσιτίαν τῶν ἄλλων ἀνθρώπων. ἕν τι μέρος ἐξηγούμενος ἐπ' αὐτῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ, τὸ περὶ τὴν δίαιταν, ὧν ἐν τῷ καθόλου παρῄνεσεν ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν. ἡ γάρ τοι ψύξις ἣν ἐν ταῖς θερμαῖς φύσεσι συνεβούλευε, γίγνεται μὲν καὶ ἐξ ἄλλων τινῶν, οὐχ ἥκιστα δέ, καὶ διὰ τῆς τῶν σιτίων προσφορᾶς. ὅσοις γὰρ αὐχμῶδές τέ ἐστι καὶ δριμὺ τὸ ἔμφυτον θερμόν, ἀμετρότερον ἐξ ἀρχῆς κραθεῖσι, τούτοις αἱ τροφαὶ πραότερον αὐτὸ καὶ ἧττον ἀποφαίνουσι δακνῶδες. εὔδηλον δὲ δήπουθεν ὡς εὐχύμους τε καὶ ἀκριβεῖς εἶναι χρὴ τροφὰς τὰς διδομένας αὐτοῖς, οὐ τῷ μετέχειν τῆς τοιαύτης ὀλίγης οὐσίας, ὀνομαζομένας τε καὶ τρέφειν μὴ δυναμένας, ἀλλὰ τῷ τὸ πλεῖστον ἐν ἑαυταῖς ἔχειν χρηστόν. εἰσὶ μὲν γάρ πως καὶ αἱ μαλάχαι, καὶ αἱ κράμβαι, καὶ τὰ τεῦτλα, καὶ αἱ θριδακίναι, καὶ ἁπλῶς εἰπεῖν, τὰ λάχανα σύμπαντα, καὶ αἱ ὀπῶραι τροφαί. περιέχεται γάρ τις ἐν αὐταῖς οὐσία τρόφιμος. ἀλλ' ὥσπερ ἐπὶ τούτων ὀλίγον μέν ἐστι τὸ τρέφον, οὐκ ὀλίγον δὲ τὸ ἄχρηστον, οὕτως ἐπ' ἄρτου καθαροῦ καὶ ᾠῶν, καὶ κρεῶν, καὶ χόνδρου, πλεῖστον μὲν τὸ τρέφον, ἐλάχιστον δὲ τὸ μὴ τοιοῦτον. ἐὰν δὲ δὴ πρὸς τῷ μὴ τρέφειν, τὸ μεμιγμένον ἄχρηστον τῷ χρησίμῳ, συμβαίνει δριμεῖαν, ἢ ὀξεῖαν, ἢ στρυφνήν, ἢ πικράν, ἢ ὅλως μοχθηράν τινα δύναμιν ἔχειν, οὐ μόνον ἐκπέπτωκε τὰ τοιαῦτα τοῦ μὴ κυρίως ὑπάρχειν τροφαί, ἀλλὰ καὶ τῆς τῶν φαρμάκων δυνάμεως, οὐ σμικρόν τι μετείληφε. τρέφειν οὖν χρὴ τοὺς τοιούτους ἀνθρώπους ἐκείναις ταῖς τροφαῖς, ὅσαι μήτε τινὰ φαρμακώδη δύναμιν ἔχουσιν αἰσθητήν, ἀλλὰ μὴ δι' αὐτὸ τὸ τρόφιμον πάμπολυ. πρόσεστι γάρ τις καὶ τούτῳ κακία πλεονασθέντι. πρῶτον μὲν γάρ, οὐδ' ἡ κατὰ τὴν γαστέρα πέψις ἐπ' αὐτῶν ἀκριβοῦται. εἰ δ' ἄρα καὶ κρατήσειεν αὐτῶν ἡ γαστήρ, ἀλλ' ἥ γε κατὰ τὰς φλέβας, οὐκ ἀκριβὴς γίγνεται. εἰ δὲ κἂν ταύτῃ μηδέν τι μέγα πλημμεληθείη, τήν γοῦν τρίτην πέψιν ἥτις ἐστὶν ἑκάστου τῶν μορίων οἰκεία, χαλεπὸν ἐν ἅπασιν αὐτοῖς κατορθωθῆναι. πρόσεστι δὲ δήπου τῷδε, καὶ τὸ χρῆναι τὰς τροφὰς ἐπειδὰν θερμότερόν τε καὶ ξηρότερον ἑαυτοῦ γένηται τὸ σῶμα, ψυχούσας πως εἶναι καὶ ὑγραινούσας. ὅθεν ἄριστος μὲν ὁ τῆς πτισάνης χυλός, ἀκριβῶς καθεψημένης, οὐδὲν ἐχούσης ἐν ἑαυτῇ περίεργον ἥδυσμα. καὶ γὰρ ἐμψῦξαι καὶ ὑγρᾶναι καὶ ἄδιψον φυλάξαι τὸν ἄνθρωπον, ἱκανή, πρὸς δὲ μήτ' ἀτμῶδές τι, μήτ' ὑγρόν, μήτε ξηρὸν ἐπέχειν περίττωμα. καλῶ δ' ἀτμώδη μὲν ὅσα διὰ τοῦ δέρματος, εἰς τοὐκτὸς ἀποῤῥεῖν πέφυκεν. ὑγρὰ δ' ὅσα διὰ τῆς κύστεως. ξηρὰ δ' ὅσα διὰ τῆς κάτω γαστρός. ἀπὸ γὰρ τῆς ἐπικρατούσης ἐν ἑκάστῳ τῶν εἰρημένων οὐσίας, ἐθέμην αὐτοῖς τὰς προσηγορίας. ὅτι δ' οὐδέν τι τούτων ἐφέξει πτισάνης χυλός, εὔδηλον. αἱ μὲν γὰρ διὰ τῆς κάτω γαστρὸς ὑποχωρήσεις τῶν περιττῶν, ὑπὸ τῶν στυφόντων ἴσχεσθαι πεφύκασιν. αἱ δὲ δι' οὔρων τε καὶ σύμπαντος τοῦ δέρματος, ὑπό τε τῶν ἐμπλαττομένων τοῖς πόροις, καὶ σφοδρῶς στυφόντων, ἅπερ ὀνομάζουσι στρυφνά. πτισάνη δ' οὔτε ἐμπλαστικῆς, οὔτε στυπτικῆς μετέχει δυνάμεως. ὅτι μὲν οὖν οὐ στύφει, δηλοῖ καὶ ἡ γεῦσις, ἧς μόνης ἴδιόν ἐστιν αἰσθητόν, τὸ στῦφον. ὅτι δ' οὐδ' ἐμπλάττει λογίζεσθαι

al. θερμοτέρα τῶν δὲ ἄλλων τριῶν τῶν δυσκράτων ἧττον θερ.

πάρεστιν

πάρεστιν ἐκ τῶν ἄλλων αὐτῆς ἔργων. εἴτε γὰρ ἔξωθεν ἀνατρίβοις τῇ πτισάνῃ ῥυπτόμενον σῶμα, ῥύπτει τοῖς ἀφρονίτροις τε καὶ τῷ μέλιτι παραπλησίως. εἴτ' ἐν τῇ γαστρὶ περιεχόμενον μέτριον φλέγμα δι' ἐμέτων ἐκκενῶσαι βουληθείης, οὐδὲν ἧττον μελικράτου πτισάνης χυλὸς χρήσιμος. πρόσκειται δ' ἐν τῷ λόγῳ τὸ μέτριον, ὅτι εἰ πολὺ καὶ γλίσχρον ἰσχυρῶς εἴη καὶ παχὺ, ῥαφανίδων δεῖ ὀξυμέλιτος, οὐ μελικράτου καὶ πτισάνης πεφύκασιν ἀπορρύπτειν. ἔστι μὲν δὴ καὶ μελίκρατον, εἰς ἁπάσας τὰς εἰρημένας ἐκκρίσεις ἐπιτήδειον. ἀλλ' οὔτε ἄδιψον ὥσπερ ἡ πτισάνη, κἂν ταῖς πικροχόλοις φύσεσιν ἐκχολοῦται ῥᾳδίως. ἄριστον μὲν οὖν, ὡς εἴρηται, σιτίον ἐπὶ τῶν τοιούτων κράσεων, ἡ πτισάνη. δεύτερον δ' ἐπ' αὐτῇ, χόνδρος. ὄξος, χάριν ἀναδόσεως, ὀλίγον εἰληφώς. τρίτον δ' ὁ χωρὶς ὄξους ὑγρὸς οὐ παχὺς, ὁποῖον ἔνιοι σκευάζουσιν ἔτνει παραπλήσιον. ἐμβαλεῖν δὲ καὶ τῷ δὲ βέλτιον ἑψημένῳ πράσου. δῆλον δ' ὅτι καὶ ἀνήθου, καὶ ἁλῶν ἐξ ἀνάγκης μετέχειν. καὶ μὲν δὴ καὶ οἱ κριβανῖται τῶν ἄρτων, ἀγαθὸν ἔδεσμα, καὶ τῶν ἰχθύων οἱ πετραῖοι πάντες. οὐδὲν δ' ἧττον αὐτῶν οἱ ὀνίσκοι. πλὴν εἴπου λίμνης ἢ ποταμῶν μεγάλων ἐμβαλλόντων εἰς θάλατταν νεμόμενοι πλησίον, ὑγροτέραν τε καὶ γλισχροτέραν ἔχοιεν τὴν σάρκα. ἐφεξῆς δὲ τῶν ὀνίσκων αἵ τε βούγλωσσαί εἰσι, καὶ αἱ νάρκαι, καὶ τῶν ἰχθύων ὁ λάβραξ, καὶ ἡ τρίγλα, κἄπειτα πελάγιος κέφαλος. ἁπάντων δὲ χείρους ἰχθύες, ὅσοι λίμνης θαλάττῃ συναπτούσης, ἢ στόματος ποταμοῦ μεγάλου νέμονται πλησίον. ἐκ δὲ τῶν πτηνῶν, ἄριστοι μὲν οἱ πέρδικες ἅμα τοῖς ὀρείοις ἅπασι στρουθοῖς. ἐφεξῆς δὲ ἀλεκτορίδες καὶ φασιανοὶ, καὶ νέαι περιστεραί. μὴ καθείρχθω δ' ἔνδον μηδὲ ταῦτα. περιττωματικὰ γὰρ ἅπαντα τὰ ἀγύμναστα. περιττωματικὰ δὲ καὶ τὰ λιμναῖα σύμπαντα καὶ ἑλώδη. διὸ καὶ τῶν χοιρείων αὐτῶν ἀμείνω, τὰ ἐκ τῶν ὀρῶν. ἐφεξῆς δὲ αὐτῶν οἱ ἔριφοι. πάντων δὲ τῶν εἰρημένων φευκτέα τά τε παλαιὰ ζῶα, καὶ τὰ νεωστὶ γεγενημένα. τὰ μὲν γὰρ, σκληρότερά ἐστι καὶ δυσπεπτότερα. τὰ δὲ, πέρα τοῦ δέοντος ὑγρὰ καὶ περιττωματικά. καὶ μάλιστα ὅσα φύσει τῶν ζώων ἐστὶν ὑγρά. καθάπερ οἶές τε καὶ σύες. ἀλλὰ περὶ μὲν τῆς ἐν ἅπασι τοῖς ἐδέσμασι δυνάμεως, ἑτέρωθι διήρηται. νυνὶ δ' ἕνεκα παραδείγματος, ὥσπερ τ' ἄλλα τὰ κατὰ τήνδε τὴν πραγματείαν, οὕτω λελέχθω καὶ ταῦτα. πρόκειται γὰρ οὐ τὰς ὕλας ἡμᾶς ἐξευρεῖν ἐν αὐτῇ, καθάπερ ἔν τε τοῖς περὶ τῶν ἐδεσμάτων, καὶ φαρμάκων, ἀλλὰ μόνας τὰς καθόλου δυνάμεις, οὐδὲν δὲ δήπου διοίσει δυνάμεις γενικὰς, ἢ καθόλου προσαγορεύειν αὐτάς.

Ἐπανέλθωμεν οὖν αὖθις ἐπὶ τὸ προκείμενον. οἷς δ' ἀῤῥοῖ τὸ δριμὺ καθ' ἑκάστην ἡμέραν, ἕτοιμον τούτοις ἁλῶναι πυρετῷ, στεγνωθεῖσι τὸ δέρμα. στεγνοῖ δ' αὐτὸ, τά τε στύφοντα πάντα καθάπερ ὀλίγον ἔμπροσθεν ἐμνημονεύσαμεν τῶν ἀλβούλων ὑδάτων, ὅσα τ' ἐμπλάττεται τοῖς πόροις. ἔστι δ' ὅτε καὶ ἡ ξηρότης αὐτοῦ τοῦ δέρματος ἀμετροτέρα γινομένη, πυκνοῖ τοὺς πόρους αὐτοῦ. διὰ τοῦτο οὖν ἡμᾶς ἐθεάσω, καὶ τὸν οἰνάνθῃ χρώμενον ἐν τῷ βαλανείῳ, κωλύσαντας χρῆσθαι, καθ' ὃν ἔφησε χρόνον, ἀνωμαλίας αἰσθάνεσθαι. καὶ τὸν ὡσαύτως ἐκείνῳ μετ' ἐλαίου βραχέος οἴνῳ πολλῷ. καὶ τὸν τῷ χινίνῳ δὲ χρώμενον, ἡνίκα πυκνώσεως ᾔσθετο. καὶ τοῦτον ὡς οἶσθα τοῦ λοιποῦ χρῆσθαι διεκωλύσαμεν. εἴρξαμεν δὲ καὶ τὸν εἱληθεροῦντα καθ' ἑκάστην ἡμέραν, καὶ τὸν τῇ κόνει χρώμενον. ἑτέρῳ δ' εἰς ἀνωμαλίαν ἀφικνουμένῳ πυρετώδη, τὸ σφοδρὸν τῆς τρίψεως ἐπανεῖναι προσετάξαμεν. ἄλλον δ' ὡς οἶσθα ἐθεράπευσα θαυμάσαντα πῶς ἐνὶ λουτρῷ μετὰ τρίψεως τῆς προσηκούσης, ἡμερῶν παμπόλλων ἀνωμαλίαν αὐτοῦ φρικώδη διελύσαμεν. ἐχρῆτο δὲ κἀκεῖνος ἐλαίῳ στύφοντι τούτῳ, τῷ δικαίως ἐν δόξῃ διὰ τὴν εἰς τἄλλα χρείαν, ὃ καλοῦσιν σπανόν. ἀφελόντες οὖν τοῦτο, καὶ τῷ σαβίνῳ λιπαρῶς τε καὶ μαλακῶς ἐπὶ πλέον ἀνατρίψαντες καὶ λούσαντες δὶς, εὐθέως ἀπεφήναμεν ὑγιῆ. ταῦτά τε οὖν ἅπαντα φυλακτέα, τοῖς τὰ καπνώδη τε καὶ λιγνυώδη διαπνεομένοις. ὅσα τε γλίσχρα καὶ παχύχυμα. καὶ γὰρ καὶ ταῦτ' ἐμπλάττοντα τοὺς πόρους, ἐπέχει τὰς διαπνοάς. ἐπέχει δ' ὡς εἴρηται καὶ τὰ ξηραίνοντα τὸ δέρμα, πέρα τοῦ μετρίου. πολλοὺς γοῦν ἐν ἡλίῳ χρωμένους τοῖς τοιούτοις, ἄλλους δὲ νίτρῳ πλέονι, τινὰς δ' ἅλσιν ἢ γυμνασίοις πολλοῖς, ἢ τρίψει σκληρᾷ, ξηροτριβίᾳ τε, καὶ κόνει νοσοῦντας ἐκ τούτων καθ' ἕκαστον ἐνιαυτὸν, οἶσθα ὡς ἐπισχόντες αὐτῶν, ἀνόσους ἤδη παμπόλλων ἐτῶν ἐφυλάξαμεν. ἔστι δ' εἰκότως τὰ τοιαῦτα παραγγέλματα κοινὰ τῶν θ' ὑγιαινόντων ἔτι, καὶ τῶν ἤδη δυσαρεστουμένων. οὐ γὰρ τῶν γεγονότων, ἀλλὰ τῶν γιγνομένων ἔτι πυρετῶν ἐστι προφυλακτικὰ, κατὰ τὴν τῶν ποιούντων αὐτοὺς αἰτιῶν ἄρσιν. ὁ γὰρ ἔτι γιγνόμενος πυρετὸς, ἀρθέντος τοῦ αἰτίου, συναναιρεῖται καὶ αὐτός. ὥσθ' ὅσα περ ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ περὶ τῶν τοιούτων κράσεων εἴρηται, μεταφέρειν ἅπαντα προσήκει ἐπὶ τὴν τῶν ἀρχομένων πυρέττειν, εἴτε ἴασιν χρὴ λέγειν, εἴτε προφυλακήν. ἰώμεθα γὰρ τὸ ἤδη γεγονὸς αὐτῶν, κἂν ὀλίγον ᾖ. προφυλαττόμεθα δὲ μὴ γεννηθῆναί τι πλέον, ἀναιροῦντες τὸ αἴτιον. ὥσπερ δὲ εὔρουν τε καὶ ἔμπνουν εἶναι τὸ σῶμα πάντῃ, κοινὸς ἐπὶ τῶν εἰρημένων μάλιστα φύσεων ὑγιαινόντων τε καὶ δυσαρεστουμένων σκοπὸς, οὕτω καὶ τὸ φεύγειν ἀγρυπνίας, καὶ θυμοὺς, καὶ λύπας, καὶ φροντίδας, ἐγκαύσεις τε καὶ ψύξεις, καὶ κόπους, ἑτοιμότατα γὰρ ἐφ' ἑκάστῳ τῶν εἰρημένων αἱ τοιαῦται κράσεις ἁλίσκονται πυρετοῖς. ἰᾶσθαι δὲ αὐτὰς ὅταν ἐπί τινι τῶν ἤδη λελεγμένων προφάσεων πυρέξωσιν, ἔστιν οὖν ᾗ μὲν ὁμοίως τοῖς ἐπὶ στεγνώσει ῥηθεῖσιν, ᾗ δὲ καὶ διαφερόντως. ἄγειν μὲν γὰρ ἐπὶ τὰ λουτρὰ χρὴ πάντας ἐν τῇ παρακμῇ τοῦ πρώτου παροξυσμοῦ. τρίβειν τε λιπαρῶς τε ἅμα καὶ μαλακῶς. τοὺς μὲν ἐπί τινι τῶν στυψάντων τὸ δέρμα, καθάπερ εἴρηται. τοὺς δ' ἐπὶ ξηρότητι, τρίβειν μὲν ἀλλ' ἐλάττω τούτοις, λούειν δὲ πλείω. στοχάζεσθαι δ' ἀεὶ τοῦ μέτρου τῆς δυνάμεως, ἐν ἅπαντι τῷ τοιούτῳ βοηθήματι. θυμοὶ μὲν οὖν καὶ λῦπαι καὶ ἀγρυπνίαι καὶ φροντίδες, οὔτε τρίψεων, οὔτε λουτρῶν δέονται πολλῶν. ἀλλὰ πολὺ μὲν ἐξ ἁπάντων ἐκ τοιᾶσδε πυρεξάντων αἰτίας, ἔλαιον περιχεῖν χλιαρὸν ἥκιστα μετέχον στύψεως. ἀνατρίψαντες δὲ βραχέα, λούειν ὡς ἔθος. αἱ δ' ἐγκαύσεις, εὐθέως μὲν ἐξ ἀρχῆς τῶν ψυχόντων δέονται, καὶ πλειόνων λουτρῶν. ἥκιστα δὲ ἐλαίου δαψιλοῦς, ἢ συχνῆς τρίψεως. ἔστω δὲ τὰ ψύχοντα, ῥόδινόν τε καὶ τὸ καλούμενον ὀμφάκινον ἔλαιον. ὅπερ οἶμαι καὶ ὠμοτριβὲς ὀνομάζουσιν. ἄμεινον δ' ἐξ αὐτῶν, ὅσα μηδ' ὅλως ἐν ἑαυτοῖς ἔχει τῶν ἁλῶν. ἐργάζεσθαι δὲ ψυχρὸν τὸ ἀγγεῖον, ἐν ᾧ μᾶλλον περιέχεται, κρεμῶντας ἐν φρέατι ψαῦον τοῦ ὕδατος. ἔτι δὲ μᾶλλον

ἀκρουνὸς ὕδατος ψυχροῦ καταῤῥάττει τοῦ ἀγγείου, ψύχει τὸ ὑγρόν. εἰ δ' ἐπὶ πλέον ἐψῦχθαι βούλοιο, χιόνι περιπλάττειν αὐτό. καταχεῖν δὲ τοῦ βρέγματος μετέωρον ἐξαίροντα τὴν χεῖρα δι' ἐρίου συμμέτρου τῷ μεγέθει. ταῦτα ποιήσαντα μέχρι τῆς παρακμῆς, ἄγειν ἐπὶ τὸ λουτρόν. εἰ δὲ καὶ ψυχθεὶς πυρέξειεν ὁ τὴν προειρημένην ἔχων κρᾶσιν, ὑπὲρ οὗ ταῦτα πάντα λέγεται, καὶ τοῦτον ἐπὶ τὸ βαλανεῖον ἀκτέον ἐν ταῖς παρακμαῖς. εἰ δὲ σὺν κορύζῃ καὶ κατάῤῥῳ πυρέττοι, πρὶν πεφθῆναι ταῦτα, λούειν οὐ χρή. τοὺς δ' ἐπ' ἐγκαύσει, καὶ τούτων προόντων, λουστέον ὡς ἐν τοῖς ὑγιεινοῖς ἐπεδείκνυμεν. ἐπὶ δὲ τῷ λουτρῷ, τὴν κεφαλὴν τοῖς αὐτοῖς ἑκατέρων βρέχειν, οἷς πρὸ τοῦ. ψύχουσι μὲν τῶν ἐπ' ἐγκαύσει πυρεξάντων. θερμαίνουσι δὲ, τῶν ἐπὶ ψύξει. μέτρια δ' ἔστω καὶ ταῦτα μετὰ τὸ λουτρόν. οἷόν τό, τε καλούμενον ἴρινον ἐστὶ, καὶ τὸ νάρδινον μύρον. ἀλλ' οὐ χρὴ μηκύνειν ἔτι περὶ τῶν δὲ, λελεγμένων ἐν τοῖς ὑγιεινοῖς. ἀρκέσει δ' εἰπεῖν, ὡς τὰ μὲν ἄλλα, πρακτέον ὁμοίως ἐπὶ τῶν πυρεξάντων, ἅπερ ἐπὶ τῶν ἐγκαυθέντων τε καὶ ψυχθέντων ἐλέγομεν χρῆναι πράττειν, ἄνευ τοῦ πυρέξαι. οὐ μὴν ἅπαντί γε καιρῷ τοὺς πυρέξαντας λουστέον, ἀλλ' ἐν τῇ παρακμῇ τοῦ παροξυσμοῦ. καὶ μέντοι καὶ ὡς ἐπιτείνειν μὲν χρὴ τῶν πυρεξάντων ἐπ' ἐγκαύσει τὴν ἐμψυκτικὴν ὀνομαζομένην ἀγωγὴν, ἐκλύειν δὲ τῶν ψυχθέντων τὴν θερμαντικὴν ὑπόλοιπον δ' ἂν εἴη τὴν ἐν τῇ διαίτῃ κοινότητά τε καὶ διαφορὰν ἐπελθεῖν, ἁπάντων τῶν εἰρημένων ἐπὶ τῆς ὑποκειμένης κράσεως, ἀλούσης ἐφημέρῳ πυρετῷ. κοινὸν μὲν δὴ πάντων εἶδος ἔστω σοι διαίτης, εὔχυμον, εὔπεπτον, οὐδαμόθι κατὰ τοὺς πόρους ἰσχόμενον. ἀλλὰ τοῖς μὲν ἐγκαυθεῖσι, μετὰ τοῦ ψύχειν, καὶ ὑγραίνειν. οὕτως δὲ καὶ τοῖς θυμωθεῖσι. τοῖς δὲ ψυχθεῖσι, μετὰ τοῦ θερμαίνειν μετρίως. τοῖς δ' ἀγρυπνήσασι, καὶ λυπηθεῖσι, καὶ πλεῖον φροντίσασιν, ὑγρὸν καὶ ὑπνῶδες. οὕτως δὲ καὶ τοῖς μὲν κοπωθεῖσι, τροφιμώτερον. τοῖς δὲ ψυχθεῖσιν, ἀτροφώτερον. τοῖς δ' ἄλλοις, τὸ μέσον ἀμφοῖν. οἶνον δὲ πίνειν γινώσκεις δή που καὶ σὺ διδόντα με τοῖς τοιούτοις ἅπασι, τὸν ὑδατώδη καὶ ὄψει, καὶ δυνάμει. βελτίων γὰρ ὕδατος αὐτὸς τὰ πάντα, τῇ πέψει συναιρόμενος, καὶ οὖρα καὶ ἱδρῶτας προτρέπων. δῆλος δ' ἐστὶ καὶ ὁ Ἱπποκράτης, οὐ μόνον ἐν τοῖς ἐφημέροις πυρετοῖς, ἀλλὰ κἂν τοῖς ὀξέσι διδοὺς οἶνον, ἐξ ὧν ἐν τῷ περὶ διαίτης ὀξέων γράφει. κατὰ δὲ τὸ ἕκτον τῶν ἐπιδημιῶν, εἴτε οὖν αὐτὸς, εἴτε καὶ Θεσσαλὸς ὁ υἱὸς αὐτοῦ, παραιτεῖται τὸν οἶνον, οὐ μόνον εἰ πυρέξειαν οἱ θερμοὶ ταῖς κράσεσιν, ἀλλὰ κἂν τῷ τῆς ὑγείας χρόνῳ. ἐν θερμῇ γοῦν φύσει παραινεῖ ψῦξίν τε καὶ ποτὸν ὕδωρ, καὶ ἐλινύειν. εἰ μὴ ἄρα τὸ πλείονι χρῆσθαι τῷ ὕδατι τοῦ οἴνου κατὰ τὰς τοιαύτας φύσεις, ὅπερ ἀρέσκει τισὶ, φαίημεν ὑπ' αὐτοῦ παραινεῖσθαι. τοῦτο μὲν οὖν αὐτὸ καθ' αὑτὸ ζητείσθω. περὶ δὲ ποτοῦ ψυχροῦ, διοριστέον. ἐγὼ μὲν δή φημι τὰς τοιαύτας φύσεις, ὑγιαινούσας τε μᾶλλον πρὸς τοῦ τοιούτου πόματος ὀνίνασθαι μεγάλα. καὶ κατὰ τὸν ἐφήμερον πυρετὸν, οὐκ ἀφαιροῦμαι τοὺς εἰθικότας. ἀήθει δὲ, οὐκ ἀρξαίμην τηνικαῦτα διδόναι, ἀλλὰ πρότερον ἀκριβῶς ἀποδοὺς αὐτῷ τὴν ἀρχαίαν ὑγείαν. εἰ δὲ διὰ δειλίαν ἢ ἔθος ἐκ παίδων, ἢ ὑπόληψιν ψευδῆ φοβοῖτο τὸ ψυχρὸν, ἔργῳ τε πείσαιμ' ἂν αὐτὸν, ἐπιτηρήσας ποτὲ αὐτὸν καυσούμενον ἐν θέρει, καὶ λόγῳ μετὰ τὸ ἔργον. ὅταν γὰρ ἐπὶ τῇ χρήσει τοῦ τοιούτου πόματος ἀπαλλαχθῇ μὲν αὐτίκα τοῦ καυσοῦσθαί τε καὶ ἀλύειν, ἑαυτοῦ δὲ εὐτονώτερον ἐπί τε τὸν στόμαχον ἔχειν φαίνηται, καὶ ἡ γαστὴρ καταῤῥήξει χολώδη καὶ πέψει καλῶς, αὖθίς τε καὶ αὖθις χρωμένῳ ἀνατρέφηται τὸ σῶμα, τότε ἂν ἤδη καὶ τοὺς ἄλλους αὐτῷ δείξας, οὓς ὁμοίως ὤνησα, διέλθοιμι πρῶτον μὲν ὡς παντὸς μᾶλλον ἀληθές ἐστι, τὸ τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα. γέγραπται δέ μοι περὶ τούτου πρόσθεν. εἶθ' ὡς ἡ κρᾶσις αὐτῷ, τὴν ὑγιεινὴν ἐκβεβηκυῖα συμμετρίαν, πλησίον ἥκει νόσου. καὶ ὡς τοῖς τοιούτοις σώμασιν ἡ ὑγίεια σφαλερά. καὶ κατὰ σχέσιν μᾶλλον ἢ καθ' ἕξιν ὑπάρχει. καὶ ὡς εἰ μὲν ἀγαθῆς ὢν ἔτυχε κράσεως, ἐφύλαττον ἂν ἐκείνην αὐτῷ τρόπῳ παντί. μοχθηρᾶς δ' ὑπαρχούσης φύσεως, ἐπὶ τὸ κρεῖττον ἐξαλλάττω. λέλεκται δὲ καὶ περὶ τούτων ἐπὶ πλέον, ἐν τοῖς ὑγιεινοῖς. ὅθεν οὐ χρὴ μηκύνειν ἐνταῦθα, μιμούμενον ἐκείνους τῶν συγγραφέων, ὅσοι παντάπασιν ὀλίγα γινώσκοντες, ἐν ἅπασι τοῖς βιβλίοις αὐτὰ διέρχονται. τούτοις γὰρ οὐχὶ πολλὰ διδάσκειν, ἀλλὰ γράφειν ἐστὶ πολλά. καὶ πολλοὺς χάρτας ἀναλίσκειν ἐνὸν ὀλίγους. καὶ πολλὴν κατατρίβειν χρόνον, ἐνὸν μή. οὐκοῦν μηδὲ τὰς διαγνώσεις τῶν ἐφημέρων πυρετῶν ἐνταυθοῖ γράφω, προειρηκὼς μὲν ἐν τῷ δευτέρῳ περὶ κρίσεων ὀλίγου δεῖν ἁπάσας. εἰρηκὼς δὲ τὰ λείποντα κἂν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν, οὐδὲν δ' ἧττον κἂν τοῖς περὶ σφυγμῶν, ὅσον ἐξ αὐτῶν χρηστὸν ἑρμηνεύσας, ὡς οἶδα μόνος ἁπάντων τῶν ἔμπροσθεν, οὕτω σαφῶς, ὡς μηδ' ἂν παῖδα λαθεῖν τὸ δηλούμενον. ἀρχιγένους ὡς ἐπεδείξαμεν, οὐ διδάξαντος, ἀλλὰ περιλαλήσαντος τὰ πλεῖστα, κατά τε τὸ περὶ σφυγμῶν σύγγραμμα, καὶ τὴν πραγματείαν ἣν αὐτὸς ἐπιγράφει περὶ τῆς τοῦ πυρετοῦ σημειώσεως. ὥσπερ δὲ τὸν ἐν τῷ στυπτηριώδει λουσάμενον ὕδατι, τὴν τρίτην ἡμέραν ἀσιτεῖν ἐκέλευον οἱ ἰατροὶ, κατὰ τὸν αὐτὸν τρόπον οἶδα καὶ τῶν ἐγκαυθέντων τε καὶ κοπωθέντων ἐπί τε τοῖς ἄλλοις τοῖς εἰρημένοις αἰτίοις πυρεξάντων, οὐδένα λούοντας, οὐδὲ τρέφοντας αὐτοὺς, πρὶν ὑπερβαλεῖν τὴν διάτριτον. ἀνάγκη δή που κἀμὲ λέγειν διάτριτον, ὅπως μὴ καὶ περὶ τοῦδε τῆς φλυαρίας αὐτῶν ἐνέχομαι, φασκόντων ἕτερον μὲν εἶναι τὸν διὰ τρίτης παροξυσμὸν, ἑτέραν δὲ τὴν πρώτην διάτριτον. ἤκουσας γάρ ποτε καὶ σὺ μέχρι τοσούτου τῆς ἀδολεσχίας αὐτῶν ἐκταθείσης. ἀλλ' εἴτε πρώτην διάτριτον, εἴτ' ἄλλο τι καλεῖν ἐθέλουσιν, οὐχ ἅπαξ, ἢ δὶς, ἢ τρὶς, ἀλλ' ὁσάκις οὐδὲ μεμνῆσθαι δυνατὸν, ἔν τε τῇ πρώτῃ τῶν ἡμερῶν εὐθέως εἰς ἑσπέραν ἐλούσαμεν τοὺς τὸν ἐφήμερον πυρέξαντας, ἔν τε τῇ δευτέρᾳ πολὺ μᾶλλον, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν τρίτην ὡς ὀλίγον ἔμπροσθεν ἔφαμεν, ἐπὶ τοῦ στεγνωθέντος τὸ δέρμα. τοῦτο μὲν οὖν τὸ αἴτιον, ὀλιγάκις ἐθεασάμην ἀνάψαν πυρετόν. ὅθεν αὐτὸ μάλιστα προὐχειρισάμην. ἔγκαυσιν δὲ καὶ κόπον ἕκαστόν τε τῶν ἄλλων πάνυ πολλάκις. ἐθεάσω δὲ καὶ σὺ πάντας αὐτοὺς τῇ τετάρτῃ τῶν ἡμερῶν ἕωθέν τε προσελθόντας ἐπὶ τὰς συνήθεις πράξεις. ἀπαντῶντάς τε τοῖς ἰατροῖς, ὅσοι καὶ τὴν τρίτην ἡμέραν ᾤοντο τελέως αὐτοὺς ἠσιτηκέναι. καὶ τοίνυν θαυμάζοντί σοι καὶ ζητοῦντι τί ποτ' ἐστὶ τὸ αἴτιον τοῦ μὴ κἂν νῦν γοῦν ἀποστῆναι τοὺς τοιούτους ἰατροὺς τῶν κακῶς αὐτοῖς ὑπειλημμένων, ὡς νομίζω προσηκόντως εἶπον,

ὅπου, ὅτι μήτε γινώσκουσι τὴν ἀληθῆ θεωρίαν, αἰδοῦνταί τε νῦν ἄρξασθαι μανθάνειν αὐτήν. ἔνιοι δ' ὡς ἤκουσάς ποτε τινὸς ἐξ αὐτῶν ὁμολογήσαντος ἡμῖν ἰδίᾳ τ' ἀληθῆ μετὰ τοῦ δακρύειν, οὐδὲ τῶν ἐπιτηδείων εὐπορῆσαι φασίν, ἐὰν οἱ νομίζοντες αὐτοὺς ἐπίστασθαί τι, θεάσωνται μανθάνοντας, ἀλλὰ σὺ μὲν ἅπαξ ἤκουσας τούτου. θεοὺς δ' ἐγὼ σύμπαντας ἐπόμνυμι, πολλοὺς ἐμοὶ πολλάκις ὡμολογηκέναι μόνῳ ταῦτα μετὰ τοῦ δακρύειν τε καὶ τὴν ἑαυτῶν ὀδύρεσθαι δυστυχίαν ἐπὶ † τὸ τὸν χρόνον ἀπολέσαι μοχθηροῖς διδασκάλοις χρησαμένους. ἐπόμνυμι δ' αὖθις σοι τοὺς θεοὺς ἢ αὖ καὶ τοῦτο μοι λεχθῆναι πάνυ πολλάκις ὑπὸ τῶν συμφοιτησάντων, ἔτι μειρακίῳ τὴν ἡλικίαν ὄντι. ἐπειδὴ γὰρ εἰώθειν ὁπότε τις ἔροιτο περὶ τινὸς δόγματος εἰ ἀληθὲς εἴη, μηδὲν ἀποκρίνασθαι δύνασθαι φάσκειν, εἰ μὴ καὶ τὰ τῶν ἄλλων ἁπάντων μάθοιμι, καί τινα μέθοδον κτησαίμην, ᾗ διαγινώσκοιμι τὸ βέλτιον, οὐκ ὀλίγοι τῶν ταῦτα ἀκουόντων συμφοιτητῶν ἔφασάν μοι. σὺ μὲν καὶ φύσει διαφερούσῃ κέχρησαι, καὶ παιδείᾳ θαυμαστῇ διὰ τὴν τοῦ πατρός σου φιλοτιμίαν καὶ ἡλικίαν δυναμένην μανθάνειν ἔχεις. ὅθεν τε δαπανᾶν χρὴ σχολάζοντα μαθήμασι κέκτησαι. τὸ δ' ἡμέτερον, οὐχ ὧδ' ἔχει. καὶ γὰρ ἀπαίδευτοι τὴν πρώτην παιδείαν ἐσμέν, καὶ οὐκ ὀξεῖς τὴν διάνοιαν, ὥσπερ σύ. καὶ ἀναλίσκειν οὐκ ἔχομεν. ἀγαπητέον οὖν ἡμῖν ἐστιν ὁποῖα ποτ' ἂν εἴη ταῦτα τὰ νῦν γινωσκόμενα. μὴ τοίνυν ἔτι θαύμαζε, διατί πολλοὶ τῶν ἰατρῶν οὐκ αἰσχύνονται φθεγγόμενοι τὴν διάτριτον. καίτοι μυριάκις ἡμᾶς ἑωρακότες ἐπὶ τῶν νοσούντων προγινώσκοντας εἴτ' ἐφήμερος ἐστὶν ὁ πυρετὸς, εἴτε καὶ περὶ τὴν τρίτην ἢ τετάρτην ἡμέραν οἴσει τινὰ παροξυσμόν. ἀλλ' ἐκεῖνο σκόπει τὸ ὑφ' Ἱπποκράτους εἰρημένον, ἀνθρώπου φιλοσοφωτάτου τὸ ἦθος. ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει. καὶ τῇ ἐσχάτως λεπτῇ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾶν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρα τῶν ἐσχάτων εἴη. πόνους μὲν γὰρ λέγει πάντα τὰ λυποῦντα τὸν ἄνθρωπον. ἐσχάτους δὲ ὀνομάζει, τοὺς μεγίστους. οἵπερ ἐν ταῖς ἀκμαῖς γίνονται. κελεύει δ' εἰς τοῦτον τὸν χρόνον ἀποτίθεσθαι τῆς διαίτης τὸ λεπτότατον, οὐδέν τι διδάσκων ἀλλοιότερον, ἢ ὁπότ' ἔφασκεν, ὅταν ἀκμάζῃ τὸ νόσημα, τότε λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. καὶ μὴν οὐχ οἷόν τε τὸ λεπτότατον τῆς διαίτης εἰς τὴν ἀκμὴν ἀναβάλλεσθαι, χωρὶς τοῦ περὶ τὴν ἀρχὴν ἐστοχάσθαι περὶ πόσην ἡμέραν ἀκμάσει τὸ νόσημα. ἀλλὰ καὶ Ἱπποκράτη φασὶ ληρεῖν ταῦτα γράψαντα, καὶ ἡμῶν ἔργῳ διαδεικνυμένων αὐτὰ, πάντα μᾶλλον νομίζουσιν ἢ δυνατὸν ἀνθρώπῳ περὶ τὸν πρῶτον ποτὲ παροξυσμὸν ἀκριβῆ γνῶσιν ἔχειν τῆς τοῦ κάμνοντος διαθέσεως. ἐγὼ δ' οὔτ' ἐφ' ἁπάντων τῶν νοσούντων ἀκριβῶς φημὶ γινώσκειν τὴν διάθεσιν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, οὔτε τῶν ἐφημέρων τινὰ πυρετὸν λαθεῖν ἄν με. τοῦτο δ' ἀρκεῖ κατά γε τὰς πρώτας ἡμέρας εἰς τὸ μηδὲν ἁμαρτεῖν ἐν τῇ διαίτῃ, τὸ διακρῖναι τὸν ἐφήμερον πυρετὸν τῶν ἄλλων. διὰ τοῦτό γέ τοι τῇ τετάρτῃ τῶν ἡμερῶν ἐν ᾗ πρῶτον ἐκεῖνοι προταριχεύσαντες τὸν ἄνθρωπον, ἄρχονται τρέφειν, ἡμεῖς ἤδη τὰ συνήθη τῶν ἔργων προεχόμεθα πράττειν, κωλύομεν δὲ κἀκ τῶν ἐφημέρων πυρετῶν τὴν μετάστασιν εἰς τοὺς ὀξεῖς γενέσθαι τῷ τρόπῳ τούτῳ τῆς διαίτης, ὡς εἴγε τις ἑτέρως διαιτήσειεν, ἐξ ἀνάγκης ἀκολουθήσουσι κατά γε τὰς προειρημένας κράσεις, ὅσοι διακαέστατοι τῶν πυρετῶν. ἕτεραι γάρ εἰσι φύσεις ἐφ' ὧν ἢ οὐδὲν ἢ οὐκ ἀξιόλογόν γέ τι τοσούτων ἡμερῶν βλάπτει λιμός. ὥσπερ ἕτεραί γε πάλιν, ἐφ' ὧν οὐ μόνον ἀβλαβὴς, ἀλλὰ καὶ πρὸς ὠφέλειαν ἐστὶν ἡ ἀσιτία τῶν τριῶν ἡμερῶν. ἀλλὰ περὶ μὲν τῶν ἄλλων φύσεων, ἑξῆς διορίσω. τὴν ὑποκειμένην ἐξ ἀρχῆς κρᾶσιν εἰς τοὔσχατον ἄγουσι κινδύνου αἱ ἀσιτίαι κατὰ πάντας τοὺς πυρετοὺς, οὐ μόνους ὧν νῦν ἐμνημονεύσαμεν τοὺς ἐφημέρους ὀνομαζομένους. εἰ γὰρ καὶ δι' ἔμφραξιν, ὡς ἐλέχθη, στεγνωθείη ποτ' ἡ διαπνοὴ, μικρὰν μὲν ὑπάρχουσαν αὐτὴν, εἴτις ὀρθῶς διαρρύψειε, κωλύσει γενέσθαι δεύτερον παροξυσμόν. ἀξιολόγου δὲ γενομένης, οὐκ ἔθ' ὁμοίως ἐπαγγείλασθαι δυνατόν. εἰ δὲ καὶ πολλοὶ καὶ παχεῖς καὶ γλίσχροι σφηνωθεῖεν χυμοὶ, τὸν ἐπὶ τούτοις πυρετὸν ἀδύνατόν ἐστιν ἐν τοῖς ὅροις διαμεῖναι τῶν ἐφημέρων. ἐξ ἀνάγκης γὰρ αὐτὸν ὁ ἐπὶ σήψει χυμῶν διαδέξεται κατὰ τὰς κακοχύμους φύσεις. ὡς ἐπ' ἄλλων γε κράσεων, ἃς ἐν τοῖς ἑξῆς ἑρμηνεύσω, γένοιτ' ἄν τις ἰδέα πυρετοῦ συνόχου, διὰ τὴν τοιαύτην αἰτίαν ἄνευ σήψεως χυμῶν. ἕπεσθαι δὲ τοῖς τοιούτοις λόγοις, ἀδύνατον, ὅσον ἄν τις μὴ πρότερον ἐν ταῖς εἰρημέναις πραγματείαις γυμνάσηται. καὶ μάλιστα τῇ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν. ἐπειδὰν γὰρ ἔμφραξίς τις ᾖ μετρία, δι' ἣν ἐπύρεξαν οἱ κακόχυμοι, κατὰ μὲν τὴν πρώτην καὶ δευτέραν ἡμέραν, ἄχρι τινὸς οὐκ ἔστιν ἐν τῷ σφυγμῷ, τὸ τῆς σήψεως σημεῖον. ὥσπερ οὐδ' ἐν τοῖς οὔροις τὸ τῆς ἀπεψίας. μηκυνομένης μέντοι τῆς παρακμῆς, καὶ μηκέτ' ἀνάλογον ἐνδιδούσης ὥσπερ ὑπῆρξατο μετὰ τὴν ἀκμὴν, ὕποπτος ἐστὶν ἡ διάθεσις, ὥσπερ ἐφ' ὧν ἐπείγεται πρὸς τὴν λύσιν, ἀτμοί γέ τινες ἢ ἱδρῶτες ἐξεκρίθησαν, ἢ οὖρα πλείω χρηστὰ μετὰ τῶν κατὰ τὸν σφυγμὸν σημείων ἀγαθῶν ὑπαρχόντων, ἐφήμερός ἐστι βεβαίως ὁ πυρετός. ἀλλ' ὅγε διὰ μικρὰν ἔμφραξιν ὅμοιος μὲν τοῖς ἐφημέροις ἐστὶν ὡς εἴρηται κατά γε τὰ πρῶτα, μηκυνομένης δὲ τῆς παρακμῆς, ὕποπτος γίγνεται κἂν μηδέπω τὸ τῆς σήψεως σημεῖον ἐμφαίνηται τοῖς σφυγμοῖς. ἐὰν γὰρ μὴ διαπνευσθῇ τελέως, ἀναγκαῖον ἐστι σαπῆναι τὴν κακοχυμίαν. ἵν' οὖν διαπνευσθῇ, μείζονος ἡμῖν ἤδη βοηθείας ἐστὶ χρεία. εἰ μὲν οὖν ἤτοι παιδίον ἢ γέρων εἴη, φλεβοτομεῖν οὐκ ἔτ' ἐγχωρεῖ. μεταξὺ δὲ τῶν ἡλικιῶν τούτων, ῥώμης παρούσης τῷ κάμνοντι, φλεβοτομητέον, εἰ καὶ τὰ τοῦ πλήθους ἀπείη σημεῖα. βέλτιον γὰρ ἐκκενώσαντα τὸ πλέον τῆς κακοχυμίας, ἐπὶ τὸ διαρρύπτειν τὰς ἐμφράξεις ἰέναι. κίνδυνος γὰρ ἐκφραττόντων πρὶν ἐκκενῶσαι, σφηνωθῆναι μᾶλλον αὐτάς. ἐκφράττουσι μὲν οὖν αἱ ῥυπτικαὶ δυνάμεις, ἔξωθέν τε προσπίπτουσαι τῷ δέρματι, καὶ εἴσω τοῦ σώματος λαμβανόμεναι. κίνδυνος δὲ καὶ τὰς ἐκτὸς ἑλκούσας ἅμα τοῖς ἐμφράττουσι, συνεπισπᾶσθαί τι καὶ ἄλλο. καὶ τὰς ἔνδοθεν ἀναφερομένας, ἑαυταῖς συνεπισύρεσθαί τι τῶν ἐν τοῖς ἀγγείοις. ὅπερ εἰ μὲν γλίσχρον ἢ παχὺ τύχοι, διπλασιάσει τὴν ἔμφραξιν. εἰ δὲ μὴ, ἀλλὰ τῷ πλήθει γε πάντως οὐ σμικρὰ λυπήσει. φαίνεται γὰρ ἐνίοτε καὶ τὸ πολὺ ῥεῦσαν ἀθρόως, οὐδὲν ἧττον ἐμφράττεσθαί τε καὶ σφηνοῦσθαι τῶν γλίσχρων καὶ παχέων. εἰ δὲ καὶ διὰ πόρων στενῶν ἡ διέξοδος εἴη, πολὺ δὴ μᾶλλον ἴσχεσθαι. ὅπως οὖν ἀσφαλῶς

† τῷ

καὶ τούτοις ἡ φορὰ, καὶ τοῖς ἔξωθεν ἡ ὁλκὴ γίγνοιτο, χρησιμώτατόν τε ἐστὶ κενῶσαι τὸ σῶμα. καὶ μήν τοι καὶ τὰ διαπνεόμενα τῶν χυμῶν καπνώδη καὶ λιγνυώδη περιττώματα, μειωθέντων αὐτῶν ἐλάττω γίγνοιτο ἄν. ὥστε καὶ διὰ τοῦτο βραχύτερον ἔσται τὸ πυρετῶδες θερμὸν, ὡς ἐγχωρεῖν αὐτὸ διαπνεῖν εἰς τοὐκτὸς, εἴπερ εἶεν αἱ ἐμφράξεις βραχεῖαι. ὅταν οὖν ποθ' ὑπονοήσῃς ἐστεγνῶσθαι τὸ δέρμα δι' ἔμφραξιν ἔκ τε τοῦ μὴ γίγνεσθαι κατὰ τὴν παρακμὴν τοῦ πρώτου παροξυσμοῦ κενώσεις ἀξιολόγους, καὶ διαμένειν ὁμοίαν ἑαυτῇ τὴν παρακμὴν, εἰ μὲν γὰρ μηδενὸς τῶν προφανῶν αἰτίων ἐπύρεξεν ὁ ἄνθρωπος, ἔτι καὶ μᾶλλον ἂν εἴη σοι βεβαιοτέρα τῆς ἐμφράξεως ἡ διάγνωσις. εἰ δὲ σύν τινι τῶν προφανῶν, οὐκ ἀδύνατον ἅμα συνεληλυθέναι διττὰς αἰτίας. εἰ γὰρ ἡ ἑτέρα μόνη τῶν αἰτιῶν ἡ ἐκ τοῦ προκατάρξαντος αἰτίου ἦν, ἐμειοῦτο ἂν ἡ παρακμὴ σὺν αἰσθηταῖς ἐκκρίσεσιν, οὔκουν ἀναβάλλεσθαι τῶν τοιούτων ἀρρώστων ἀφαιρεῖν αἵματος, ἀνάλογον τῇ τε δυνάμει, καὶ τῷ μεγέθει τῆς ἐμφράξεως. ἔνδειξις δὲ τοῦ ποσοῦ τῆς ἐμφράξεως, ἐκ τοῦ μεγέθους ἔσται τοῦ κατὰ τὸν πυρετόν. μείζων μὲν γὰρ ἐπὶ ταῖς σφοδροτέραις ἐμφράξεσιν. ἐλάττων δ' ἐπὶ ταῖς μικροτέραις συμπίπτει. κενώσαντα δὲ τὸ σύμμετρον, οὐ μετὰ πολὺ διδόναι τῶν ῥυπτικῶν τινὰ τροφῶν ἢ φαρμάκων. ἔστι δ' οὐ πολλὰ τὰ τοῦτο δυνάμενα ποιεῖν ἐν πυρετοῖς. ἀλλ' ὡς εἴρηται καὶ πρόσθεν ἐν τῷ τροφῆς μὲν λόγῳ, ἡ πτισάνη τ' ἐστὶ καὶ μελίκρατον. ἐν φαρμάκοις δὲ, τό, τε ὀξύμελι, καὶ ὅσα τῷ μελικράτῳ συνεψεῖν οἷόν τε, ὡς καλαμίνθη, καὶ ὕσωπον, καὶ ὀρίγανον, καὶ ἕρπυλλον, καὶ ἶρις, καὶ σέλινον. ἀλλὰ ταῦτά γε πάντα, πλέον ἢ δεῖ θερμαίνει. καὶ διὰ τοῦτο ἐξάπτει τοὺς πυρετοὺς, ὥσπερ οἶνος. ὀξύμελι δὲ μόνον οὔτε τοὺς πυρετοὺς ἐξάπτει καὶ ῥύπτει γενναίως, ὡς διαλύειν μὲν ὅσα γλίσχρα καὶ παχέα, τοὺς πόρους δ' ἐκφράττειν. ἐν δὲ τῷ μεταξὺ μελικράτου τε καὶ ὀξυμέλιτος, εἴη ἂν τὸ καλούμενον ἀπόμελι, χρῶνται δ' αὐτῷ κατὰ τὴν Πελοπόννησον πλεῖστον. θείη δ' ἄν τις εὐλόγως οἶμαι καὶ τὸ σάκχαρ ἐν τοῖς τοιούτοις. ἐπὶ δὲ τῇ τοιαύτῃ τροφῇ, παραφυλάττειν πόσον ἀφαιρεῖται τῆς πυρετώδους θερμασίας. εἰ γάρ σοι φαίνοιτο κατὰ τὴν τρίτην ἡμέραν ἕωθεν ἐλάχιστόν τι λείπεσθαι τοῦ πυρετοῦ, μήτε τοῦ τῆς σήψεως τῶν χυμῶν σημείου παρόντος ἐν τοῖς σφυγμοῖς, μήτ' ἐν τοῖς οὔροις τοῦ τῆς ἀπεψίας, ἡ δ' ὕποπτος ὥρα καθ' ἣν εἰσέβαλεν ὁ πυρετὸς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἐξωτέρω τῆς μεσημβρίας εἴη, θαρρῶν λοῦε τὸν ἄνθρωπον, ὅσον οἷόν τε τάχιστα πρὸ πολλοῦ τῆς ἕκτης ὥρας. ἱκανὸν δὲ κἂν ἐντὸς τρίτης ὥρας συμπληρωθῇ τὸ λουτρόν. οὕτω δὲ καὶ εἰ δεκάτην ὥραν ὑποπτεύοις, ἄχρι τῆς ἑβδόμης λούειν ἐγχωρεῖ, τριῶν ἢ τεττάρων ὡρῶν ἰσημερινῶν αὐταρκεστάτων οὐσῶν εἰς διάστημα τοῦ τε βαλανείου, καὶ τοῦ παροξυντικοῦ καιροῦ. χρὴ δ' ἐν τῷ βαλανείῳ, περιαλείψαντα καὶ περιανατρίψαντα μετριώτατα διαρρύπτειν τε καὶ ἀποπλύνειν ἔξωθεν τὸ σῶμα. τὴν δ' ὕλην τῶν ῥυπτικῶν, ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν ἔχεις. ἐκλέγειν οὖν ἐκεῖθεν δεῖ τὰ πρὸς τὸ παρὸν ἁρμόττοντα. διῄρηται γὰρ ἐν αὐτοῖς ὅσα τε μᾶλλον αὐτῶν, ὅσα θ' ἧττον ῥύπτει. λεχθήσεται δὲ καὶ νῦν ἕνεκα παραδείγματος ὀλίγα. μετριώτατα μὲν οὖν ῥύπτει, τό, τε τῶν ὀρόβων ἄλευρον, καὶ τὸ τῶν κριθῶν, καὶ τὸ τῶν κυάμων, καὶ τὸ μελίκρατον τὸ ὑδαρές. ἔτι δὲ μᾶλλον τούτων, ἶρις, καὶ πάνακος ῥίζα. καὶ ἀριστολοχία. καὶ τὸ μέτριον ἐν τῇ κράσει μελίκρατόν ἐστιν, ὥσπερ γε καὶ τοῦδε μᾶλλον ὅταν ἀκρατέστατον ᾖ. γίνεται δὲ τοιοῦτο, τῷ μέλιτι μιχθέντος ὕδατος βραχέος, ὡς χυθὲν τοῖς μικροῖς τοῦ δέρματος εὐκόλως ἐνδῦναι πόροις. ἔστι δὲ τοῦδε μᾶλλον ὁ ἀφρὸς τοῦ νίτρου καὶ τὸ νίτρον αὐτὸ, καὶ τὸ ἀφρόνιτρον. εἶναι δὲ χρὴ τὸ μὲν νίτρον λεπτομερὲς, οἷόν περ ἐστὶ τὸ Βερενίκιον. εἰ δὲ τὸ λιθῶδες εἴη, καίειν τε καὶ λειοῦν ἀκριβῶς αὐτό. μέλι δὲ τὸ καθαρώτατον καὶ δριμύτατον οἷόν περ ἐστὶ τὸ Ὑμήττιον. ἔστι δὲ δήπου καὶ ὁ σάπων ὀνομαζόμενος ἐν τοῖς μάλιστα ῥύπτειν δυναμένοις. ἅλις ἔστω σοι παραδειγμάτων, τῆς τῶν ῥυπτόντων ὕλης. μετιέναι γὰρ ἤδη καιρὸς ἐπὶ τὰ μετὰ τὸ λουτρόν. ἔστι δ' οὐ πολλά. πλὴν γὰρ ὕδατος ἔχοντος ἐναφεψημένον αὐτῷ σέλινον ὀλίγον, οὐδὲν αὐτοῖς δοτέον, κἂν τὸ μεταξὺ τοῦ τε λουτροῦ, καὶ τῶν ὑπόπτων διάστημα τριῶν ὡρῶν ἔσεσθαι στοχαζόμεθα. περὶ μέντοι τὴν ἑσπέραν καὶ θᾶττον ὥραις δυοῖν τοῦ κατὰ τὴν πρώτην ἡμέραν εἰσβεβληκότος παροξυσμοῦ, καὶ λοῦσαι δυνατὸν ἕωθεν, καὶ θρέψαι μόνου πτισάνης χυλῷ. εἶτα εἰ μὲν μηδόλως ἐνεγείροιεν αἱ ὧραι τι, λούειν αὖθις εἰ βούλοιτο καὶ τρέφειν ὧν εἴρηκα σκοπῶν ἐχόμενον. εἰ δέ τι γένοιτο, παραβάλλειν τε τοῦτο τῷ κατὰ τὴν πρώτην ἡμέραν παροξυσμῷ, συνεπισκοπεῖσθαι τά τε οὖρα, καὶ τοὺς σφυγμούς. ἅπαντα δὲ δήπου φαίνεται μέτρια, βραχείας ὑπολειπομένης ἐμφράξεως ὥστε καὶ λούσεις τῇ τετάρτῃ τῶν ἡμερῶν αὐτὸν καὶ θρέψεις, τῶν εἰρημένων σκοπῶν ἐχόμενος. ἐλπίσεις τε μηδὲν ἔτι τῇ πέμπτῃ συμπεσεῖσθαι. μεγάλης δὲ τῆς ἐμφράξεως γεγενημένης, οὐκέτ' ἂν ὁ τοιοῦτος ἐκ τῶν ἐφημέρων εἴη πυρετῶν, ὥστε εἰς τὸν ἑξῆς ἀναβεβλήσθω λόγον. ἐν γάρ τοι τῷδε, περὶ τῶν ἐφημέρων μόνων πρόκειται διελθεῖν. ἐπεὶ τοίνυν ἐφήμεροι πυρετοὶ ταῖς ὑποκειμέναις κράσεσι τῶν σωμάτων ἐπιγίγνονται πολλάκις, καὶ ἀπεψίαις σιτίων, ἑξῆς ἂν εἴη περὶ αὐτῶν διελθεῖν. χειρίστη μὲν οὖν ἐστιν ἐν ταῖς τοιαύταις κράσεσιν, ἀπεψία. καὶ τάχιστ' ἀνάπτει πυρετὸν, ἐν ᾗ διαφθείρεται τὰ σιτία πρὸς τὸ κνισῶδές τε καὶ καπνῶδες. ὡς ἥγε εἰς ὀξύτατον τρέπουσα, σπανιάκις τε γίγνεται ταῖς τοιαύταις φύσεσι, καὶ ἧττον βλάπτει. λεχθήσεται δὲ ὑπὲρ ἑκατέρας ἰδίας, τὴν ἀρχὴν γὰρ τῆς πλειστάκις τε γιγνομένης αὐτοῖς, καὶ μᾶλλον βλαπτούσης ποιησαμένοις. ἔστι δ' ὡς εἴρηται κνισώδης τέ τις αὕτη καὶ καπνώδης. ἔλαττον μὲν ὑπάρχουσα κακὸν, εἰ καταρρήξειεν ἡ γαστήρ. οὐ μικρὸν δὲ, εἰ ἐπισχεθείη. πυρέττουσι γὰρ ἐπὶ ταῖς ἐπισχέσεσιν αὐτῆς ἑτοίμως αἱ κακόχυμοι φύσεις. καὶ μάλιστα ὅταν ἐπὶ τὰς συνήθεις τράπωνται πράξεις, ὑπεριδόντος τοῦ μένειν ἔνδον ἐφ' ἡσυχίας ἐν τῇ στρωμνῇ. πυρέττουσι δ' ἔνιοι καὶ τῶν ἁλόντων διαρροίαις ἐπ' ἀπεψίᾳ, συναυξανομένης αὐτοῖς τῆς πυρετώδους διαθέσεως, οὐχ ἥκιστα κἀκ τοῦ πλήθους τῶν ἐξαναστάσεων. εἰ δὲ καὶ δῆξίς τις, ἢ πόνος, ἢ θερμότης ἄμετρος ἐν τοῖς κατὰ τὴν γαστέρα καὶ τὰ ἔντερα γένοιτο, πολὺ δὴ μᾶλλον ἐντεῦθεν ἡ πυρετώδης αὐξάνεται διάθεσις. ἴασις δ' οὐχ ἡ αὐτὴ τῶν ἐπισχεθέντων τοῖς ἐκκρίνουσι. λεκτέον οὖν ὑπὲρ ἑκατέρων ἐν μέρει. φανεῖται γὰρ οὕτως. οὐ μόνον ὅπῃ διαλλάττουσιν, ἀλλὰ καὶ ὅσον ἐν ἀμφοτέροις κοινόν. εἰ μὲν δὴ φαίνοιτο μόνα τὰ διεφθαρμένα κεκενῶσθαι, λουτέον τ' ἐστὶ καὶ θρεπτέον ἐν τῇ παρακμῇ τοῦ πυρετοῦ, πρόνοιάν τινα τῶν κατὰ τὴν γαστέρα ποιη-

σαμένοις

σαμένοις πρότερον. εἰ δ' οὕτως εἴη πολλὴ κάκωσις, ἤτοι γεγονυῖα πρόσθεν, ἢ καὶ νῦν ἔτι γιγνομένη περὶ τὸν ἄνθρωπον ὡς κεκμηκέναι τὴν δύναμιν, ἄμεινον θρέψαι χωρὶς τοῦ λοῦσαι, προνοησαμένους τῆς περὶ τὴν γαστέρα. πρόνοια δ' ἐπὶ τῶν οὕτως ἐχόντων. εἰ μὲν μηκέτι γίγνοιτο κάκωσις, ἐμβροχὴ διὰ ἐλαίου τε καὶ ἀψινθίου. χρὴ δὲ προδιαβρέχειν ὕδατι ζέοντι τὸ ἀψίνθιον ὅπως μὴ κνισωθείη. καὶ εἴ γέ τις αἴσθησις ὑπολείποιτο περὶ τὴν γαστέρα δήξεως ἢ πόνου, πίλημα μετὰ τὴν ἐπιβροχὴν ἤτοι θερμὸν καὶ ξηρὸν, ἢ βεβρεγμένον μὲν ἐλαίῳ ἐν ᾧ τὸ ἀψίνθιον ἀπεζέσθη. τὸ πλεῖστον δ' ἐκπεπιεσμένον ἐπιβάλλειν χρή. κάλλιον δ' εἰ παρείη μύρον νάρδινον ἐπιμελῶς ἐσκευασμένον, ἐν ἐκείνῳ δεύσαντα, κατὰ τὸν αὐτὸν τρόπον ἐπιτιθέναι τὸ πίλημα. καὶ πολύ γε κάλλιον, εἰ πορφύρα τοῦτ' εἴη θαλαττία. καὶ κάλλιστόν γε εἰ τυρία ἀρίστη τυγχάνοι. λεπτομερεστέραν γὰρ ἔχει τὴν στύψιν ἥ τε τοιαύτη πορφύρα, καὶ ἡ ἀρίστη νάρδος. ὥστε διὰ τοῦ βάθους διεξέρχεσθαι τῶν περὶ τὴν γαστέρα σωμάτων ἡ δύναμις αὐτῶν ξηραινόντων, καὶ θερμαινόντων, καὶ τονούντων. εἰ δ' ἀτονώτερον ὑπάρχει τὸ στόμα τῆς γαστρὸς ὅπερ καὶ στόμαχον ὀνομάζειν εἰθίσμεθα καταχρώμενοι τῇ προσηγορίᾳ, καὶ τῆς χίας μαστίχης ἐν τῇ νάρδῳ λειώσαντες, ὡς γλοιῶδες γενέσθαι, δεύσαντες ἐξ αὐτοῦ, τὴν πορφύραν ἐπιθήσομεν. ἔστω δὲ θερμὸν ἱκανῶς ἕκαστον τῶν τοιούτων περὶ τὴν πρώτην ἐπιβολήν. ἐκλύει γὰρ ἅπαντα τὰ χλιαρὰ τὸν τόνον τῆς γαστρός. οἶδα δὲ καὶ ὡς ἐπ' ἀγγείου διπλοῦ προϋποβεβλημένου περὶ τὸ ἕτερον αὐτῶν τὸ μεῖζον ὕδατος ζέοντος, ἔθος ἡμῖν ἐστι θερμαίνειν τὰ μύρα. διαφθείρεται γὰρ ἡ δύναμις αὐτῶν ἑτέρως θερμανθέντων. ἔτι δὲ ὑπιούσης τῆς γαστρὸς, ἄμεινον χρῆσθαι μηλίνῳ καλλίστῳ τε καὶ προσφάτῳ, τὸν αὐτὸν τρόπον τῇ νάρδῳ. χρηστὸν δ' εἰς τὰ τοιαῦτα σύμπαντα, καὶ τὸ μαστίχινον. οὐχ ἥκιστα δὲ καὶ τὰ τῆς τρυφῆς ἕνεκα τῶν διατεθρυμμένων γυναικῶν σκευαζόμενα μύρα ταυτὶ τὰ πολυτελῆ, χρήσιμα πρὸς τὰς τοιαύτας διαθέσεις τῆς γαστρός. ἅπερ ἔοικεν ὑπὸ τῆς ἐν Ῥώμῃ τρυφῆς εὑρεθέντα, καὶ τὰς προσηγορίας ἔχειν ῥωμαϊκάς. ὀνομάζεται γέ τοι σπικάτα γε καὶ φυλιάτα. μὴ φερόντων δὲ τῶν καμνόντων τὴν ζώνην, ἤτοι γ' ἐξ ἔθους, ἢ τρυφῆς, ἐγχωρεῖ διὰ κηρωτῆς ἀνύειν ταυτόν. ἔστι δ' εἰς τὰ τοιαῦτα καλλίστη κηροῦ τυρρηνικοῦ τηχθέντος ἐν μύρῳ ναρδίνῳ, ψυχθείσῃ τῇ κηρωτῇ, μιχθείσης λείας ἀκριβῶς, ἀλόης τε καὶ μαστίχης. ἑκάστου δὲ αὐτῶν τὸ πλῆθος εἶναι χρὴ τοσόνδε. κηροῦ μὲν καὶ νάρδου, τὸ ἴσον. ἀλόης δὲ, τὸ ὄγδοον ὥσπερ οὖν καὶ τῆς μαστίχης. ἢ εἰ βούλει, βραχύ τι ταύτης πλέον. εἰ δὲ καὶ τῶν εἰρημένων τι μύρων τῶν πολυτελῶν ἀναμίξαις τῇ κηρωτῇ, βέλτιον ἔσται σοι τὸ φάρμακον. ἐγκαιομένης δὲ τῆς γαστρὸς ὡς καὶ φλεγμονώδη διάθεσιν ἐν αὐτῇ ξυνίστασθαι δοκεῖν, ἀμείνων ἡ κηρωτὴ ἡ διὰ τοῦ μηλίνου γιγνομένη. πολλὰ δὲ καὶ ἄλλα φάρμακα, τὰ μὲν δι' οἰνάνθης ἐστὶ τὰ δὲ, δι' ὑποκυστίδος, καὶ βαλαυστίου, καὶ φοινίκων σαρκὸς, ἐπιτήδεια καὶ ψύχειν τὴν γαστέρα, καὶ ῥώμην ἐντιθέναι. τούτων οὖν ἐκλέγου τὸ κάλλιστον εἰς τὰ παρόντα, πρὸς τοὺς εἰρημένους σκοποὺς ἀποβλέπων. τρέφειν δὲ τοῖς δὲ χρή. ῥεούσης μὲν ἔτι τῆς γαστρὸς, ἀλφίτοις τε καὶ τοῖς καλουμένοις ὀξυλιπέσιν ἄρτοις ὀλίγιστον ὄξους ἔχουσιν, οὐχ ὡς ἐπὶ δυσεντερίας, ἢ χρονίας διαρροίας εἰώθαμεν σκευάζειν. ἐπιπάττειν δὲ τὸ ἄλφιτον, ἐνίοτε μὲν ὕδατι θερμῷ διαψιλές. ἐνίοτε δ' ὅταν ἡ γαστὴρ ἔτι ἐκκρίνει πλέον τοῦ δέοντος, ἤτοι ῥοιᾶς, ἢ ἀπίων, ἢ μήλων χυλῷ. καὶ μάλιστα τῶν κυδωνίων. εἰ δ' ἥδιον οἱ κάμνουσι καὶ ἀφέψημά τι παρασκευάζοντες ἀπίων ἢ μήλων ἢ μύρτων, ἐπιπάττειν αὐτοῖς τὸ ἄλφιτον. εἰ δὲ μηκέτ' ἐκκρίνει ἡ γαστὴρ, ὅτε χόνδρος ἱκανῶς ὁμοίως ἠρτυμένος πτισάνῃ, τουτέστιν ὄξους ἔχων, τό τε δι' αὐτοῦ ῥόφημα χωρὶς ὄξους οἵ τε ὄρχεις τῶν ἀλεκτρυόνων, καὶ οἱ πετραῖοι τῶν ἰχθύων ἐκ τοῦ λευκοῦ ζωμοῦ. καί τις τῶν στυφουσῶν ὀπωρῶν καὶ μόνη, καὶ μετ' ἄρτου. ταύτας δὲ πολὺ μᾶλλον ἐπιδιδώσεις, ἔτι ῥεούσης τῆς γαστρός. εἰ δ' ἀνορέκτως ἔχοιεν ὡς ἀπεστράφθαι τὰ σιτία, γίνεται γὰρ καὶ τοῦτο πολλοῖς τῶν ἁλόντων διαρροίαις ἐπ' ἀπεψίᾳ, τοῦ διὰ τῶν κυδωνίων μήλων χυμοῦ προσδοτέον αὐτοῖς ὅσον κοχλιάριον ἓν ἢ δύο. εἰ δὲ μὴ παρείη τοῦτο, τοῦ διὰ τῆς σαρκὸς αὐτῶν. εἴρηται δ' ἡ σύνθεσις τῶν τοιούτων φαρμάκων ἐν τοῖς ὑγιεινοῖς. οὕτω μὲν ἐν τῇ πρώτῃ παρακμῇ τοὺς ἐπ' ἀπεψίᾳ πυρέξαντας ἰᾶσθαι προσήκει, τῆς γαστρὸς ἐκκενούσης. εἰ δ' ἐπέχοιτο τελέως, ἁψάμενος πρότερον τῶν ὑποχονδρίων, εἶθ' ὅλης τῆς γαστρὸς, ἐπίσκεψαι σαφῶς εἰ ὑπελήλυθεν εἰς τὸ λεπτὸν ἔντερον, ἢ εἰς τὸ κῶλον ἡ τροφή. κἄπειτ' ἐρώτησον ἑξῆς τὸν κάμνοντα κατά τι μὲν αἰσθάνεται μάλιστα μέρος ἤτοι δήξεως, ἢ βάρους. ὁποῖαι δέ τινες αἱ ἐρυγαί. διαγνοὺς δ' ἐκ τούτων, ἐν ᾧ μάλιστα μέρει τῆς συμπάσης γαστρός ἐστιν ἡ τροφὴ, μετεώρου μὲν οὔσης ἔτι, τοῦ διὰ τῶν τριῶν πεπέρεων διδόναι, μὴ τοῦ φαρμακώδους, ἀλλ' ὅπερ ἐπῃνέσαμεν ἐν τοῖς ὑγιεινοῖς, ὡς ἁπλούστατόν τε καὶ τοῖς ἠπεπτηκόσιν ἐπιτήδειον. εἶθ' ἑξῆς αἰονᾶν ὑποχόνδριά τε καὶ σύμπασαν τὴν γαστέρα. τοῦτο δὲ κἂν ἤδη κατωτέρω προήκῃ τὰ διεφθαρμένα, τῷ μᾶλλόν τε καὶ ἧττον ἐξαλλάττοντα, πλείονος γὰρ δεῖται καὶ χρόνου καὶ καταντλήσεως εἰς τὴν παρασκευὴν τῶν ἐφεξῆς πρακτέων, οἷς ἔτι μετέωρος ἐστὶν ἡ διεφθαρμένη τροφὴ περὶ τὴν γαστέρα. κινηθείσης δ' αὐτῆς ἀξιολόγως ἐπὶ τὰ κάτω, συμπράττειν ἤτοι διὰ τῶν προσθετῶν, ἢ διὰ κλυσμάτων πραέων. εἰ δὲ δῆξις συνείη, ταύτην πραΰνοντας. εἰ δ' ἐμπνευμάτωσις, ἐκείνην καθιστάντας. εἰ δὲ μηδέτερον, ἐκ μέλιτος καὶ ὕδατος ἐλαίου τε βραχέος συντιθεμένου τοῦ κλύσματος. ἔνθα δὲ εἴη σφοδροτέρα δῆξις, ἔλαιον σαβῖνον ἐπιτηδειότερον ἐνιέναι τηχθέντος στέατος ἐν αὐτῷ χηνός. εἰ δὲ μὴ παρείη τοῦτο, τοῦ τῆς ἀλεκτορίδος. εἰ δὲ μηδὲ τοῦτο, τοῦ τῆς αἰγός. ἀπορουντος δὲ καὶ τοῦδε, κηροῦ βραχύ τι προσεπεμβάλλειν τῷ ἐλαίῳ, καὶ μᾶλλον εἰ πεπλυμένος εἴη. τὰς δὲ ἐμπνευματώσεις ἰᾶσθαι συνέψοντας τῷ ἐλαίῳ πηγάνου τέ τι καὶ τῶν ἀφύσων σπερμάτων, σελίνου, καὶ κυμίνου, καὶ μαράθρου, καὶ σίνωνος. ὅσα τε ἄλλα τοιαῦτα. κενωθείσης δὲ τῆς γαστρὸς, αὐτίκα τρέφειν. τὰ δ' ἄλλα, παραπλησίως τοῖς ἔμπροσθεν εἰρημένοις. ἀφαιρεῖν δὲ τὰ στύφοντα. εἰ δ' οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν εἰς ἑσπέραν πραχθείη ταῦτα, ἢ νυκτὸς ὥρας ἡστινοσοῦν, προνοεῖσθαι χρὴ περὶ τὰ παραπλήσια καὶ τῇ δευτέρᾳ τῶν ἡμερῶν. καὶ λούεσθαί γε ἐν αὐτῇ συγχωρεῖν, ἐὰν ἀκριβῶς ἀπύρετος ᾖ. κἀπειδὰν τῆς ἐπιούσης νυκτὸς ἀλύπως ὑπνώσῃ, τελέως ἤδη νομίζειν ὑγιαίνειν αὐτόν. εἰ δ' ἡ μετὰ τὴν ἀπεψίαν ἡμέρα μετὰ τῆς ἐπιούσης νυκτὸς ἐνέγκοι τὸν πυρετόν, ὡς ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, προνοηθῆναί τε καὶ τραφῆναι τὸν ἄνθρωπον ἐνέγκοι δέ τι εἰ καὶ ἡ διὰ τρίτης νὺξ βραχὺ πυρετῶδες, οὐδ' οὕτως

χρὴ δεδιέναι, ἀλλὰ καὶ τούτους ἐπὶ τῆς ἐρχομένης ἡμέρας, καὶ λούειν, καὶ τρέφειν, ἅπαντά τε τἆλλα ποιεῖν ἀνάλογον ἐπ' αὐτῶν, ὡς ἔμπροσθεν διῄρηται. τὰς δ' εἰς ὀξεῖαν ποιότητα μεταβολὰς τῆς ἀπεπτηθείσης τροφῆς, οὔτε γιγνομένας ἐστὶν ἰδεῖν ἐν ταῖς τοιαύταις φύσεσιν, ὅτι μὴ σπανίως ἐπὶ τροφαῖς ἑτοίμως ὀξυνομέναις, οὔτε πυρετὸν ἀνάπτουσας ἐφήμερον, ὥσπερ οὐδὲ τὰς βραδυπεψίας. ὡς εἴγε ποτὲ διὰ τοιαύτην ἀπεψίαν πυρέξειαν αἱ πικρόχολοι κράσεις, ἔμφραξίν τε καὶ σῆψιν χυμῶν ὑποπτεύειν προσήκει, περὶ ἧς ἀκριβέστερον ἑξῆς δίειμι κατὰ τὸν περὶ σήψεως λόγον. νυνὶ δὲ τῇ τῶν ἐφημέρων πυρετῶν διδασκαλίᾳ τοσοῦτον ἐπιπροσθεὶς, ἀπαλλάξομαι. καπνώδης ἀναθυμίασις οὐκ ἄν ποτε γένοιτο διὰ βραδυπεψίαν, ἢ ἀπεψίαν ὀξυρεγμιώδη. ψυχροὶ γὰρ ἀτμοὶ ἐκ τῶν τοιούτων χυμῶν ἀπορρέουσιν ὀλίγιστοι παντάπασιν. οὐκ ἀναθυμιάσεις πολλαὶ καπνώδεις τε καὶ λιγνυώδεις. οὐδὲ γὰρ οὐδ' ἐπὶ τῶν ἐκτὸς ἑτέρως ἐστὶν ἰδεῖν καπνὸν ἢ λιγνὺν, ἀλλὰ καπνὸν μὲν, ἐπὶ ταῖς ἡμικαύστοις, ὡς ἂν εἴποι τις, ὕλαις. λιγνὺν δὲ, ἐπὶ ταῖς ὑπεροπτηθείσαις τε καὶ καυθείσαις. ἔστι γοῦν ἡ μὲν λιγνὺς, ἀναθυμίασις γεώδης. ὁ δὲ καπνὸς, συμμιγὴς ἐξ ὑδατώδους τε καὶ γεώδους οὐσίας, οὐ μὴν οὐδ' ὅπως χρὴ προνοεῖσθαι τῶν βραδυπεπτησόντων ἢ ὀξῶδες ἐρυγγανόντων ἀκούειν χρὴ ποθεῖν ἐν τῷδε. τῆς γὰρ ὑγιεινῆς πραγματείας ἐστὶν ὁ περὶ τούτων λόγος. ἐνταῦθα δὲ μόνον τῶν τοιούτων ἀπεψιῶν μνημονεύομεν, αἷς πυρετὸς ἕπεται. ἐπεὶ τοίνυν ἐφήμερος μὲν οὐχ ἕπεται πυρετὸς ταῖς ὀξυρεγμιώδεσιν ἀπεψίαις, ὁ δὲ ἐπὶ σήψει χυμῶν ἕπεται ποτὲ, δεόντως εἰς τὸν ὑπὲρ ἐκείνων λόγον ἀνεβαλλόμην περὶ τῶν τοιούτων ἀπεψιῶν ἐρεῖν. οὐδὲ τό γε καθ' ὃν ἐν τοῖς ὑγιεινοῖς τρόπον. ἐν ἐκείνοις μὲν γὰρ εἴπομεν ὁποῖά τινα χρὴ πρᾶξαι τὸν ἀπεπτήσαντα περὶ τὸν τῆς ὑγείας καιρόν. ἐνταῦθα δὲ, ὁποῖα κατὰ τοὺς ταῖς ἀπεψίαις ἀκολουθήσαντας πυρετοὺς, σχεδὸν εἴρηταί μοι πάντα περὶ τῶν ἐφημέρων πυρετῶν. οἱ γὰρ ἐπὶ βουβῶσι πυρέξαντες, οὐδὲ πυνθάνονται τῶν ἰατρῶν, ὅ,τι χρὴ ποιεῖν. ἀλλὰ τό θ' ἕλκος ἐφ' ᾧπερ ἂν ὁ βουβὼν αὖθις εἴη γεγενημένος, αὐτοί τε τοῦ βουβῶνος προνοησάμενοι, λούονται κατὰ τὴν παρακμὴν τοῦ γενομένου παροξυσμοῦ. κἂν φθέγξηταί τις τηνικαῦτα διάτριτον, ἅπαντες καταγελῶσι καὶ σχολαστικὸν ἀποκαλοῦσι. καταγνοῦντες οἶμαι φύσει μὴ δεῖν ὑπερβάλλειν τὸ μηδόλως ἐσόμενον. ἀξιοῦσί τε τοιούτους εἶναι τοὺς ἰατροὺς ἐν ἅπασι τοῖς ἄλλοις ὅσα διαφεύγει τὰς αἰσθήσεις, οἷοί περ αὐτοὶ περὶ τὰ φαινόμενα. τὸ δ' ἐν ἅπασιν εἶναι τοιούτους, οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ γινώσκειν ὁπηνίκα μὲν ἔσοιτο διὰ τρίτης ὁ παροξυσμὸς, ὁπηνίκα δ' οὐκ ἔσοιτο. καὶ μήν γε καὶ ψυχθέντες ἢ ἐγκαυθέντες ἢ κοπιάσαντες, ἤ τι τοιοῦτον ἕτερον παθόντες, ἐπειδὰν πυρέξαντες τύχωσιν, εἶτα τῆς ἐν ταῖς παρακμαῖς εὐφορίας αἴσθησιν ἔχωσιν ὑγιεινῆς, οὐδὲ τότ' ἀνέχονται τῶν τὴν διάτριτον φθεγγομένων. ὃ γὰρ εἴωθα λέγειν πολλάκις ὡς ἅπαντος σοφιστοῦ, τῶν ἰδιωτῶν ἕκαστος ὃς ἂν ἔχῃ κατὰ φύσιν ἀληθέστερα δοξάζει, τοῦτο κἀπὶ τῆς θειοτάτης αὐτῶν διατρίτου θεάσασθαί σοι πάρεστι καταγελωμένης ὑπὸ πάντων τῶν κατὰ φύσιν ἐχόντων. ἔναγχος γοῦν τις ἰδιώτης ἐν δείπνῳ πολυτελεῖ πλείω προσενεγκάμενος καὶ πιὼν, ἧκε μὲν οἴκαδε, σφαλλόμενός τε καὶ χειραγωγούμενος. ἐπιπολασάντων δὲ αὐτῷ τῶν βαρυνόντων τὴν γαστέρα, πάντ' ἐξήμεσεν αὐτὰ, διὰ νυκτὸς μὲν ἐπύρεξεν. ἐκοιμήθη δ' ἐπὶ πολὺ τῆς ἐπιούσης ἡμέρας. εἶτα διαναστὰς καὶ βραχέα περιπατήσας, ἐλούσατο καταγελάσας τοῦ τὴν διάτριτον αὐτῷ ἀναμένειν συμβουλεύσαντος. ὅσον μὲν γὰρ ἐπ' ἐκείνῳ, καὶ τὴν ἑξῆς ἡμέραν ἀσιτεῖν ἐχρῆν αὐτόν. ὅσον δ' ἐπὶ τοῖς ἀληθέσι καὶ οἷς αὐτὸς ἔπραξε λουσάμενος, καὶ μετρίως διαιτηθεὶς καὶ κοιμηθεὶς, ἀμέμπτως ἕωθεν ἀναστάντα τῶν συνήθων ἔχεσθαι ἐν αὐτῇ τῇ διατρίτῳ, καθ' ἣν ἀσιτεῖν αὐτὸν ἐχρῆν, πυθομένου τοῖς διατριταρίοις ἰατροῖς, οὕτω γὰρ αὐτούς τις ἐπισκώπτων ὠνόμαζε χαριέντως, καὶ δεδειπνηκότος δὲ ἤδη κατὰ τὸ σύνηθες τοῦ ἀνθρώπου, πρώην ὁ εὐτράπελος ἐκεῖνος, ἐγελωτοποίει, ἀναμιμνήσκων τὸν ἐμεμηκότα τρίτης ἑσπέρας, ὡς ἐχρῆν αὐτὸν ἄρτι δυοῖν ἡμερῶν ἄσιτόν τε καὶ ξηρὸν καὶ ἄσης μεστὸν κατακεῖσθαι, εἰς τὰς ὥρας ἀποβλέποντα κατὰ τὴν τῶν διατριταρίων πρόσταξιν. ἔστι γοῦν οἶμαι καὶ τοῖς ἰδιώταις δῆλα τὰ περὶ τὴν ἐνάργειαν ἀποτετολμημένα. κἀκ τούτου δεόντως ἰατροὺς μὲν ἑτέρους εἶναι φασὶ, λογιατροὺς δ' ἑτέρους. πῶς γὰρ οὐ δίκαιοι τούτου τοῦ προσρήματος εἰσὶ τυγχάνειν οἱ μὴ γινώσκοντες ἃ μηδεὶς ἰδιώτης ἀγνοεῖ. πῶς δ' οὐ καταγελᾶσθαι καὶ σκώπτεσθαι δικαιότατοι τυγχάνουσιν ὄντες, οἱ πρὸς τῷ τὰ τοιαῦτα ἀγνοεῖν, Ἱπποκράτους ἑαυτοὺς προκρίνοντες. ἀλλὰ τὴν μὲν ἐκείνων ἀναισθησίαν, οὐδ' ἂν ὁ Ἑρμῆς ἅμα ταῖς μούσαις ἰάσαιτο. συντετελεσμένου δὲ ἡμῖν τοῦ περὶ τῶν ἐφημέρων πυρετῶν λόγου κατὰ τὰς πικροχόλους φύσεις, ἐφ' ὧν τὸ μὲν θερμὸν στοιχεῖον, τοῦ ψυχροῦ, τὸ δὲ ξηρὸν, τοῦ ὑγροῦ πλεονεκτεῖ, μεταβαίνωμεν ἤδη πρὸς ἑτέραν κρᾶσιν τῶν σωμάτων, οὐδὲν ἧττον τῆσδε κακόχυμον. ἐν ᾗ τὸ μὲν θερμὸν, τοῦ ψυχροῦ. τὸ δ' ὑγρὸν, τοῦ ξηροῦ κρατεῖ. σηπεδονώδεσι γάρ τοι νοσήμασιν ἡ φύσις αὕτη ἁπασῶν μάλιστα τῶν δυσκρασιῶν ἁλίσκεται. διότι καὶ καθ' ὃν ὑγιαίνει χρόνον, ἐγγὺς σηπεδόνος ἐστίν. ὡς ἔκ τε τῶν ἱδρώτων ἔνεστι τεκμαίρεσθαι δυσωδῶν ὑπαρχόντων, οὐχ ἥκιστα δὲ καὶ τῶν οὔρων καὶ τῶν διαχωρημάτων, ἔτι τε καὶ τῆς ἐκπνοῆς. οἵα γὰρ ἡ τῶν τράγων κρᾶσίς ἐστι, τοιαύτη καὶ ἡ τῶν τοιῶνδε φύσεων. ἕτοιμον οὖν αὐτὴν νοσεῖν ἐξ αἰτίου παντὸς, ἄλλα τε νοσήματα πολλὰ, καὶ πυρετούς. οὔτε γὰρ ὁπόταν στεγνωθῇ τὸ δέρμα, δυνατὸν τοῖς οὕτω κεκραμένοις μὴ πυρέττειν, οὔθ' ὅταν ἀπεπτῶσιν ἰσχυρῶς, ἢ ἐγκαυθῶσιν, ἤ τι τοιοῦτον ἕτερον πάθωσιν. αἱ μὲν οὖν στεγνώσεις, μάλιστα τῶν κακοχύμων ἅπτονται φύσεων. ὥστε οὐδὲν ἧττον αἱ πικρόχολοι κράσεις τῶν σηπεδονωδῶν ἁλώσονται πυρετοῖς ἐπὶ στεγνώσει. ὑπὸ δὲ τῶν κνισωδῶν ἀπεψιῶν, ἑτοιμότερον αἱ ὑγραὶ καὶ θερμαὶ βλάπτονται φύσεις. ἃς ἀρτίως ὠνόμασα σηπεδονώδεις. ἐπειδὴ ῥᾷστα σήπονται κατὰ ταύτας οἱ χυμοί. περὶ δὲ τῶν ἐμφράξεων, τί δεῖ καὶ λέγειν, ἃς διὰ τοῦτο μάλιστα πυρετοὺς ἀνάπτειν ἔφαμεν, ὅτι σήψεις ἐργάζονται κατὰ τὰ μὴ διαπνεόμενα σώματα. ἀλλὰ περὶ μὲν τῶν τοιούτων πυρετῶν, αὖθις ἐροῦμεν. οἱ δ' ἐφήμεροι πάντες, ἑτοιμότατα μὲν ἐν ταῖς εἰρημέναις συνίστανται κράσεσιν, ἐπὶ πᾶσι τοῖς αἰτίοις, ὅσα μικρὸν ἔμπροσθεν εἴπομεν ἐπὶ τῶν πικροχόλων φύσεων. ἴασιν δὲ παραπλησίαν αὖθις ἔχοντες, ἐν ὀλίγοις πάνυ διαλλάττουσιν. ὑγρότεραι γὰρ αἱ φύσεις ὑπάρχουσαι, φέρουσιν ἐκείνων μᾶλλον ἀσιτίαν τε καὶ δίψος. ὥσθ' ἧττον οὗτοι βλάπτονται λιμαγχούμενοι πρὸς τῶν διατριταρίων ἰατρῶν, ἐὰν μόνον ἀκωλύτως διαπνέωνται. διὰ ταῦτα δὲ, καὶ τῶν βαλανείων ὡς μανούντων μὲν τὸ δέρμα,

δέονται

δέονται μᾶλλον, ἢ οὐχ ἧττόν γε τῶν πικροχόλων. ὡς ὑγραινόντων δὲ οὐ δέονται. ὅσα δὲ περὶ τῶν τοιούτων φύσεων εἴρηται, ταῦτα κἀπὶ τῶν ἐπικτήτων ἕξεων εἰρῆσθαι χρὴ νομίζειν. ἔνιοι γὰρ ὑπάρχοντες εὔχυμοι φύσει, πικρόχολοι γίγνονται συνελθόντων εἰς ἕνα χρόνον, ἐνίοτε πλειόνων αἰτιῶν ξηραινόντων τε καὶ θερμαινόντων τὸ σῶμα. φέρε γὰρ εἰς χωρίον ἀφῖχθαι τὸν ἄνθρωπον ὥρᾳ θέρους, θερμὸν καὶ ξηρόν. εἶναι δὲ καὶ τὴν ἐν τῷ τότε χρόνῳ κατάστασιν θερμὴν καὶ ξηράν. ἐσθίειν τε αὐτὸν ἐδέσματα θερμὰ καὶ ξηρά. καὶ φροντίζειν, καὶ λυπεῖσθαι, καὶ ἀγρυπνεῖν, καὶ θυμοῦσθαι, καὶ πονεῖν πάμπολλα. δύναιτο δ᾽ ἂν ὁ αὐτὸς ἄνθρωπος ἀφροδισίοις τε συνεχέσι χρῆσθαι κατ᾽ ἐκεῖνον τὸν καιρόν. ἐν ἡλίῳ τε διατρίβειν τὰ πλείω. καὶ πίνειν φαρμάκων ξηραινόντων τε καὶ θερμαινόντων. ὥσπερ ἔνιοι μὲν τῆς θηριακῆς. ἔνιοι δὲ τῆς ἀμβροσίας. ἔνιοι δὲ τῆς ἀθανασίας. ἴσμεν γὰρ δήπου τὰ καλούμενα πρὸς τῶν νεωτέρων ἰατρῶν φάρμακα τοῖς τοιούτοις ὀνόμασιν. ὅστις οὖν ἐν ἅπασι τοῖς εἰρημένοις ἐγγύς που θέρους, ἀναγκαῖον αὐτῷ, θερμὸν καὶ ξηρόν, καὶ διὰ τοῦτο πικρόχολον εἶναι τὸ σῶμα. κἂν ἔμπροσθεν εὐχυμώτατον ᾖ. καὶ κοινῶς καὶ πυρέξει ῥᾳδίως οὗτος ὑπὸ πᾶσι τοῖς ἔμπροσθεν εἰρημένοις αἰτίοις. οὕτω δὲ καὶ ὅστις εὔχυμος φύσει, χωρίον εὔκρατον οἰκῶν, εἰς ἕτερον χωρίον ὑγρὸν καὶ θερμὸν ἐν ἦρι μετέλθοι, καταστάσεως οὔσης θερμῆς καὶ ὑγρᾶς, ἅπαντά τε τὰ διαιτήματα θερμὰ καὶ ὑγρὰ ποιήσαιτο, καὶ οὗτος ὁμοίως τῷ φύσει σηπεδονώδει, τοῖς τ᾽ ἄλλοις ἁλώσεται νοσήμασιν, οἷς περ κἀκεῖνοι. καὶ πυρέξει, τούς τ᾽ ἄλλους πυρετοὺς ὁμοίως ἐκείνοις ὑπὸ τοῖς αὐτοῖς αἰτίοις, οὐχ ἥκιστα δὲ καὶ τὸν ἐφήμερον, ὑπὲρ οὗ νῦν ὁ λόγος. ὀκτὼ δ᾽ οὐσῶν τῶν πασῶν δυσκρασιῶν, ὡς ἐνδείκνυμεν, ἑτοιμοτάτη μὲν εἰς πυρετούς, ἡ θερμὴ καὶ ξηρά. καὶ ἤν μή τις αὐτὴν ὡς εἴρηται διαιτήσῃ, τάχιστα μεταπίπτουσιν ἀπ᾽ αὐτῶν εἰς τοὺς ὀξεῖς πυρετοὺς οἱ ἐφήμεροι. ἐγγὺς δ᾽ αὐτῇ, πυρετῶν γ᾽ ἕνεκα, καίτοι πρὸς ἄλλα γε ὑπάρχουσα χείρων, ἡ θερμὴ καὶ ὑγρά. τρίτη δ᾽ ἐπὶ ταύταις ἐστίν, ἡ ἁπλῆ δυσκρασία, καθ᾽ ἣν ἡ μὲν ἑτέρα τῶν ἀντιθέσεων ἡ κατὰ τὸ ξηρὸν καὶ ὑγρόν, ἄμεμπτος. ἐν δὲ τῇ λοιπῇ πλεονεκτεῖ τὸ θερμόν. ἑτοιμοτέρα γοῦν ἡ δὲ τῶν ὑπολοίπων, καὶ βλάπτεσθαι πρὸς ἁπάντων τῶν εἰρημένων αἰτιῶν, καὶ μεταπίπτειν ἐκ τῶν ἐφημέρων εἰς τοὺς πολυημέρους. οὐδὲν γὰρ χεῖρον οὕτως αὐτοὺς ὀνομάσαι. ταύτῃ δ᾽ ἐφεξῆς ἐστιν, ἡ κατὰ μὲν τὸ θερμὸν καὶ ψυχρὸν εὔκρατος, ὑπερκρατοῦν δὲ τὸ ξηρὸν στοιχεῖον ἔχουσα τοῦ ὑγροῦ. μεθ᾽ ἣν ἡ μέση πασῶν ἡ εὔκρατος ἐστὶ κατ᾽ ἀμφοτέρας τὰς ἀντιθέσεις. αἱ δ᾽ ὑπόλοιποι κράσεις αἱ τέτταρες, οὔτε ῥᾳδίως ἁλίσκονται πυρετοῖς ὑπὸ τοῖς εἰρημένοις αἰτίοις, οὔθ᾽ ἁλοῦσαι τινὶ τῶν ἐφημέρων ἐὰν ἀσιτήσωσι, μεταπίπτουσιν εἰς τοὺς πολυημέρους. ἀλλ᾽ ἔνιαί γε αὐτῶν ἐπειδὰν τύχωσι πλῆθος ἠθροικέναι χυμῶν ἄνευ διαφθορᾶς, ἀθροίζουσι δὲ αἱ τοιαῦται συνεχῶς, ὑπὸ ἀσιτίας ὀνίνανται. μάλιστα μὲν ἡ ὑγρά, καὶ ψυχρά. δευτέρα δέ, ἡ ὑγρά. καὶ τρίτη μετὰ ταύτης, ἡ ψυχρά. τετάρτη δ᾽ ἡ ξηρὰ καὶ ψυχρά. ὑπὸ γὰρ τοῖς ἐφημέροις πυρετοῖς παυσαμένοις, ὅταν ἀναγκασθῇ τις οὐδὲν δέον ὑπερβάλλειν τὴν δαιμονιωτάτην διάτριτον, ἕτερος μὲν οὐκ ἂν ἐκ τῆς ἀσιτίας ἀναφθείη πυρετὸς ἐν ψυχραῖς κράσεσι. κακοῦται δ᾽ ἡ ξηρὰ καὶ ψυχρὰ μάλιστα ἕξις, ὥστε πολλοῦ χρόνου χρῄζειν ἵν᾽ εἰς τὸ κατὰ φύσιν ἐπανέλθωσιν οἱ οὕτω δύσκρατοι. συνούσης μέν τοι τινὸς αὖθις κατὰ τύχην ἐπικτήτου κακίας χυμῶν, ἐγχωρεῖ μεταπεσεῖν ἐκ τῶν ἐφημέρων πυρετῶν εἰς τοὺς πολυημέρους, ὅταν ἄσιτοι καὶ ἄλουτοι φυλαχθῶσι τὰς τρεῖς ἡμέρας. ἡ μέν τοι ξηρὰ μὲν ἀλλ᾽ εὔκρατος κατὰ τὴν ἑτέραν ἀντίθεσιν φύσιν σώματος, ἐν ταῖς μακροτέραις ἀσιτίαις, ἰσχνοῦται μὲν τῆς ξηρᾶς τὸ ψυχρᾶς μᾶλλον, ἀναθρέφεται δὲ ῥᾷον ὑπὸ τῆς προσηκούσης διαίτης. ἐξαλλαχθήσεται δὲ καὶ τοῖς τοιούτοις ἅπασιν ἡ δίαιτα πολὺ δή τι πλέον, ἢ τοῖς πρώτοις ἁπάντων ῥηθεῖσι τῷ θερμῷ καὶ ξηρῷ, καὶ τῷ θερμῷ καὶ ὑγρῷ. τὸν γοῦν ὑγρὸν καὶ ψυχρὸν φύσει, τῷ θερμῷ καὶ ξηρῷ κατ᾽ ἀμφοτέρας τὰς δυσκρασίας ἐναντίως διακείμενον, ἐναντίως διαιτήσομεν. ἄμεινον δ᾽ οὐχ ἁπλῶς ἐναντίως εἰπεῖν, ἀλλὰ κατὰ τὴν ἐκ τῆς κράσεως μόνης ἔνδειξιν, ὡς τήν γ᾽ ἐκ τοῦ πεπυρεχέναι τὸν αὐτὸν πυρετόν, οὐχ ἑτέραν, ἀλλὰ τὴν αὐτὴν ἔχουσιν ἔνδειξιν πάντη. λέλεκται γὰρ ἤδη πολλάκις ὡς τὸ μὲν κατὰ φύσιν, ἀεὶ χρῄζει τῶν ὁμοίων. τὸ δὲ παρὰ φύσιν, τῶν ἐναντίων. εἴγε τὸ μέν, φυλάττεσθαι σκοπός, τὸ δ᾽ ἀναιρεῖσθαι. πυρετὸς μὲν οὖν ἅπας, τῶν παρὰ φύσιν ἐστί. καὶ διὰ τοῦτο χρῄζει διαίτης ὑγρᾶς καὶ ψυχρᾶς. αἱ κράσεις δέ, ποτὲ μὲν τῶν ὁμοίων, ἔστι δ᾽ ὅτε τῶν ἐναντίων χρῄζουσιν. αἱ μὲν γὰρ ἄμεμπτοι, τῶν ὁμοίων ἀεί. φυλάττειν γὰρ αὐτὰς προσήκει. αἱ δύσκρατοι δ᾽ ὡς κἂν τοῖς ὑγιεινοῖς ἐλέχθη, ποτὲ μὲν τῶν ὁμοίων, ἔστι δ᾽ ὅτε τῶν ἐναντίων. καὶ τοῦτ᾽ εὐλόγως πεπόνθασιν. οὔτε γὰρ ἀκριβῶς κατὰ φύσιν ὑπάρχουσι, πῶς γὰρ ἂν ἦσαν μεμπτέαι; οὔτε πάντη παρὰ φύσιν ἔχουσι, διὰ παντὸς γοῦν ἂν ἐνόσουν οἱ οὕτως κεκραμένοι. τῶν μὲν οὖν ὁμοίων δέονται κατ᾽ ἄλλα τέ τινα περὶ ὧν αὖθις εἰρήσεται, καὶ μέν τοι καὶ † κατὰ τὰ ἕλκη πάντα. δέδεικται γὰρ ἤδη τοῦτο πολλάκις, διὰ τῶν ἔμπροσθεν. τῶν ἐναντίων δὲ κατὰ τὴν ὑγιεινὴν δίαιταν, ὡς ἐν τοῖς ὑγιεινοῖς ἐπεδείκνυμεν. οὐδὲ τούτων διαπαντός, ἀλλ᾽ ὅτ᾽ ἂν ἐπανορθοῦσθαι τὴν δυσκρασίαν αὐτῶν ἐθελήσωμεν. εἶναι γὰρ ἡμῖν σκοπὸν διττὸν ἐπὶ τῶν ὑγιαινόντων, ἤτοι φυλάττειν ὑγιαῖνον τὸ σῶμα κατὰ τὴν ἀρχαίαν κρᾶσιν, ἢ καὶ ταύτην αὐτὴν βελτίω ποιεῖν. οὕτως οὖν οἶμαι κἂν τῷ διαιτᾶν τοὺς τὸν ἐφήμερον πυρέξαντας, ἤτοι τῇ πυρετώδει διαθέσει μόνῃ τὸ ἐναντίον, ἢ καὶ τῇ τοῦ κάμνοντος δυσκρασίᾳ, παραλήψομαι. κατὰ μέν τοι τὴν εὔκρατον φύσιν, ἀναμφισβητήτως ἀπὸ τοῦ πυρετοῦ μόνου τὴν τῶν ἐναντίων ἔνδειξιν λαμβάνοντες, ὑγρὰν καὶ ψυχρὰν εἰς τοσοῦτον ποιησόμεθα τὴν δίαιταν, εἰς ὅσον ἂν αὐχμωδέστερόν τε καὶ θερμότερον ἑαυτοῦ φαίνηται τὸ σῶμα γεγονός. ἀλλὰ τοῦτο μὲν εὔδηλόν τε καὶ † οὐ ζητούμενον. ἐπανέλθωμεν δ᾽ αὖθις ἐπὶ τὰς δυσκράτους φύσεις. ἐπειδὴ γοῦν ὡς ἐν τοῖς ὑγιεινοῖς δείκνυται, τὰς τοιαύτας ἐγχωρεῖ μὲν καὶ φυλάττειν οἵας παρελάβομεν, ἐγχωρεῖ δὲ καὶ μετακοσμεῖν ἐπὶ τὸ βέλτιον, ἄμεινον οἶμαι τὴν ἐξάλλαξιν αὐτῶν τῆς διαίτης, ὅτ᾽ ἂν ἀμέμπτως ὑγιαίνωσιν, οὐχ ὅταν ἤδη νοσῶσιν, ἢ δυσαρεστῶνται ποιεῖσθαι. χαίρουσι γὰρ αἱ φύσεις ἀεὶ τοῖς ἔθεσιν, ὡς Ἱπποκράτης τε διὰ τῶν ἐναργεστάτων ἀπέδειξεν ἐν τῷ περὶ διαίτης ὀξέων. ἅπασί τε σαφῶς φαίνεται τοῖς κατὰ φύσιν ἔχουσι. τοὺς γάρ τοι δυσαρεστουμένους, ὅτι μὲν ἔξω τοῦ χοροῦ τῶν κατὰ φύσιν ἐχόντων θετέον ἐστίν, οὐκ ἄν τις νοῦν ἔχων ζητήσειεν. εἴτε δ᾽ ἤδη παρὰ φύσιν, εἴτ᾽ οὐ φύσει μόνον ἔχουσι, τοῦτ᾽ ἄν τις σκέψεται. καὶ μὴν εἴπερ ἔνδειξίν τινα χρὴ κἀκ τῶν ἐθῶν λαμβάνειν, εἰ μὲν ἤδη φθάνοιμεν ἐκ πολλοῦ τὰς δυσκράτους φύσεις, ἐναντίον τῇ

† καὶ τὰ ἡλκωμένα

† τὰ ζητούμενα

κρατούσῃ δυσκρασίᾳ διαιτῶντες, οὕτω καὶ δυσαρεστούντων πράξομεν. εἰ δὲ μὴ τῶν ὁμοίων τῇ κράσει, τὴν ἔνδειξιν ἕξομεν. οὕτω δέ μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης γινώσκειν, ἐπειδὰν λέγῃ, αἱ ὑγραὶ πᾶσαι δίαιται τοῖσι πυρεταίνουσι ξυμφέρουσι. μάλιστα δὲ παιδίοισι καὶ τοῖσιν ἄλλοισι, τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι. τοῖς μὲν γὰρ πυρεταίνουσιν, ὑγραὶ δίαιται, καθόσον πυρεταίνουσιν ἐκ τῆς τῶν ἐναντίων ἐνδείξεως, ὠφέλιμοι. τοῖς δὲ παιδίοις, ἐκ τῆς τῶν ὁμοίων. ὡσαύτως δὲ καὶ τὴν ἀπὸ τῶν ἐθῶν ἔνδειξιν ἔλαβεν, ὡς καὶ τὴν ἀπὸ τῆς ἡλικίας. ἥτε γὰρ ἡλικία τῶν κατὰ φύσιν οὖσα, τῶν ὁμοίων ἑαυτῇ δεῖται διαιτημάτων. ἥτε ἐκ τοῦ ἔθους ἔνδειξις, ὥσπερ καὶ ἡ ἐκ τῆς ἡλικίας εἰλήφθη. φυλάττειν γὰρ συμβουλεύει καὶ τοῦτο, καθάπερ καὶ τὴν οἰκείαν τῆς ἡλικίας κρᾶσιν. ὥστε καὶ ἡμᾶς ἀπὸ πάντων τῶν περὶ τὸν ἄρρωστον ἀεὶ χρὴ τὴν τοῦ συμφέροντος εὕρεσιν ποιουμένους, ἐπισκοπεῖσθαι πηνίκα μὲν ἀλλήλαις αἱ ἐνδείξεις ὅμοιαι πᾶσαι, πηνίκα δ' ἐναντίαι γίνονται. πασῶν μὲν γὰρ ὁμοίων οὐσῶν, ἓν εἶδος ἀκριβὲς διαίτης συστησόμεθα. μαχομένων δ' ἀλλήλαις, τὰς ἰσχυροτέρας τε καὶ πλείους προκρινοῦμεν. ὥσθ' ἡμῖν ἐπικρατεῖσθαι μὲν ἐκ τούτων τὸ τῆς διαίτης εἶδος. οὐ μὴν παρεῶφθαι οὐδὲ τὸ ἐναντίον. ἡ δ' ἐπικράτησις ἐνίοτε μὲν ἑκατέρων κεραννυμένων εἰς ἑνὸς βοηθήματος ὕλην, ἐνίοτε δ' ἐν μέρει παραλαμβανομένων γίνεται. κοινὸς μὲν οὗτος ὁ λόγος ἁπασῶν τῶν ἐμπεπλεγμένων ἀλλήλων ἐναντίων ἐνδείξεων. ὅπως δ' αὐτὸν χρὴ μεταχειρίζεσθαι, ποτὲ μὲν αὐτῶν τῶν νοσημάτων ἐπιπλεκομένων, ἔστι δ' ὅτε ἑνὸς μὲν ὑπάρχοντος τούτου, τὴν δὲ ἔνδειξιν ἐναντίαν ποιουμένου τῇ φυσικῇ κράσει τοῦ κάμνοντος, ἢ τῇ νῦν ἐπικτήτῳ, τῇ θ' ἡλικίᾳ καὶ τῷ ἔθει, καὶ τῷ χωρίῳ καὶ τῇ ὥρᾳ, δι' αὐτῶν τῶν κατὰ μέρος ἐπιδείξω. Νῦν οὖν ἡμῖν προκειμένου κατὰ τὸν λόγον εὑρεῖν ἐπιτήδειον δίαιταν ἑκάστῃ τῶν εἰρημένων δυσκρασιῶν, ὁ κοινὸς τρόπος τῆς μεθόδου προχειρισθεὶς, ὡς ἐπὶ παραδείγματος ἐξεταζέσθω. φέρε γὰρ ἁλῶναι πυρετῷ δύο ἀνθρώπους, ἐν εὐκράτῳ μὲν χωρίῳ γεγεννημένους καὶ τεθραμμένους. οὐκ ὄντας δ' ἐν αὐτῷ νῦν. ἀλλ' ἐν μὲν θερμῷ καὶ ξηρῷ, τὸν ἕτερον. ἐν ὑγρῷ δὲ καὶ ψυχρῷ, τὸν ἕτερον. εἶναι δὲ καὶ τῇ κράσει διαφέροντας αὐτοὺς καὶ τῇ φύσει καὶ τοῖς ἔθεσι, καὶ ταῖς ἡλικίαις, εἰ δὲ βούλει, καὶ κατὰ διαφερούσας ὥρας καὶ καταστάσεις ἀρρωστεῖν. ὥστε τὸν μὲν θερμὸν καὶ ξηρὸν, φύσει καὶ τῇ διαίτῃ πάσῃ τοιαύτῃ συνηθεῖσθαι, καὶ νεανίσκον εἶναι, καὶ χειμῶνος νοσεῖν ἐν ὑγρῷ καὶ ψυχρῷ χωρίῳ καὶ καταστάσει τοιαύτῃ. τὸν δὲ ὑγρόν τε καὶ ψυχρὸν, ἐν ἔθει τε διαίτης ὁμοίῳ, καὶ παῖδα τὴν ἡλικίαν. καὶ νοσεῖν δὲ θέρους ἐν θερμῷ καὶ ξηρῷ χωρίῳ καὶ καταστάσει τοιαύτῃ. τίνες οὖν ἐν ἑκατέρῳ τούτων αἱ ἐνδείξεις; ἡ μὲν ἀπὸ τοῦ πυρέττειν ἀμφοτέροις κοινὴ, τῶν ὑγραινόντων τε καὶ ψυχόντων δεομένη. τῶν δ' ἄλλων, οὐκέτ' οὐδὲ μία κοινή. τῷ μὲν γὰρ προτέρῳ, διά τε τὴν φύσιν καὶ τὴν ἡλικίαν ἐν ὁμοίοις τε αὐταῖς διαιτήμασιν εἰθισμένῳ, ἐπιτήδεια τὰ ξηρότερα καὶ θερμότερα τῇ κράσει σιτία. καὶ μέντοι καὶ διὰ τὴν ὥραν τε καὶ τὴν κατάστασιν καὶ τὸ χωρίον. οὐ γὰρ τῶν ὁμοίων ἐστὶν ἡ ἀπὸ τούτων ἔνδειξις, ἀλλὰ τῶν ἐναντίων. τῷ δ' ἑτέρῳ τῶν ὑποκειμένων, διὰ μὲν τὴν ἡλικίαν καὶ τὴν φύσιν καὶ τὸ ἔθος, τῶν ὁμοίων αὐτοῖς ὑγρῶν μὲν καὶ συμμέτρως θερμῶν, διὰ τὴν ἡλικίαν. ὑγρῶν δὲ καὶ ψυχρῶν, διά τε τὴν φύσιν καὶ τὸ ἔθος. διὰ δὲ τὸ χωρίον καὶ τὴν ὥραν καὶ τὴν κατάστασιν, τῶν ἐναντίων. ἅπερ ἐστὶ δή που καὶ αὐτὰ ψυχρότερα καὶ ὑγρότερα τοσούτῳ τῶν εὐκράτων, ὅσῳ περ ἐστὶ καὶ τὰ χωρία τῶν εὐκράτων θερμότερα καὶ ξηρότερα. παρὰ μὲν γὰρ τῶν ἐθῶν, ἡ ἔνδειξις ἀεὶ τῶν ὁμοίων ἐστὶν, ἄχρις ἂν νοσῶσιν οἱ ἄνθρωποι. παρὰ δὲ τῶν ἡλικιῶν καὶ φύσεων καὶ χωρῶν, ὡρῶν τε καὶ καταστάσεων, εὐκράτων μὲν οὐσῶν, ἔνδειξις ἀεὶ τῶν ὁμοίων διαιτημάτων ἐστὶν ἄνθ' ὑγιαίνωσιν, ἄντε νοσῶσι. παρὰ δὲ τῶν δυσκράτων ὡρῶν μὲν καὶ καταστάσεων καὶ χωρῶν, ἔνδειξις τῶν ἐναντίων. ἡλικιῶν δὲ καὶ φύσεων οὐχ ἁπλῶς, ἀλλὰ σὺν τῷ ἔθει. σκοπεῖσθαι δ' ἐπὶ τῶν ἐναντίων ἐνδείξεων οὐδὲν οὕτω προσήκει, ὡς τὸ μέγεθος ἑκάστου τῶν συνεισφερόντων, ὅπερ ἐδείκνυμεν ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασι διττόν. ἕτερον μὲν αὐτοῖς τοῖς τῶν ἐνδεικνυμένων ἀξιώμασι μετρούμενον. ἕτερον δὲ, ταῖς οἰκείαις αὐτῶν, ὡς ἂν εἴποι τις, οὐσίαις, ἃς ἐκ τοῦ παραβάλλειν τῷ συμμέτρῳ τε καὶ κατὰ φύσιν ἔφαμεν χρῆναι λαμβάνειν. εἰ μὴ γὰρ οὕτω τις ἐξετάσειε τῶν ἐνδείξεων τὰς δυνάμεις, οὐχ οἷόν τε τὸ μέτρον ἐξευρεῖν τῆς διαίτης. ἐνδεικνυμένου γὰρ ἀεὶ τοῦ μὲν πυρετοῦ, τὸ ψύχειν καὶ ὑγραίνειν. τῶν δ' ἄλλων ἑκάστου, καθότι προείρηται, συμφωνούσης μὲν αὐτῶν τῆς ἐνδείξεως, οὐδὲν ἂν εἴη πρᾶγμα. διαφωνούσης δὲ, κατὰ τὰ πλείω καὶ μείζω τυποῦσθαι χρὴ τὴν δίαιταν. ἐπὶ γοῦν τῶν ὑποτεθέντων ἀρτίως ὅτι μὲν πυρέττουσιν, ἔνδειξις κοινὴ τῶν ὑγραινόντων καὶ ψυχόντων ἐστίν. οὐ μὴν ἀπό γε τῶν ἄλλων. ἀλλ' ᾧ μὲν ἥ θ' ἡλικία καὶ ἡ κρᾶσις ἅμα τῷ ἔθει, καὶ ἡ χώρα, καὶ ἡ ὥρα, καὶ ἡ κατάστασις τῶν ὑγραινόντων καὶ ψυχόντων ἔχει τὴν ἔνδειξιν, οὐ μόνον ἀναμφισβήτητόν ἐστι τὸ χρῆναι τοῦτον ὑγραίνειν καὶ ψύχειν, ἀλλὰ καὶ τὸ μὴ μικρῶς μηδ' ὡς ἔτυχεν. ἰσχυρῶς δὲ πάνυ καὶ μεγάλως, ἁπάντων γε τῶν σκοπῶν ἐνδεικνυμένων ταὐτόν. ᾧ δ' ἡ τῶν ἄλλων ἁπάντων ἔνδειξις οὐχ ὑγρῶν καὶ ψυχρῶν ὁμοίως τῷ πυρετῷ, τῶν διαιτημάτων ἐστὶν, ἀλλὰ τῶν ἐναντίων αὐτοῖς τῶν θερμῶν καὶ ξηρῶν, ἀμφισβήτησις γίγνεται καὶ μάχη τῶν ἐνδείξεων πρὸς ἀλλήλας, ἡνίκα μάλιστά ἐστι χρεία τοῦ παραβάλλειν τόν τε ἀριθμὸν, καὶ τὰ μεγέθη τῶν ἐνδείξεων. ἡ γοῦν ἀπὸ τοῦ πυρέττειν ἔνδειξις, ἀριθμῷ μὲν λείπεται τῶν ἄλλων, ὅταν ἅπασαι τὸν ἐναντίον ὑφηγῶνται τρόπον πράττειν. ὑπερέχει δὲ μεγέθει τῷ κατὰ τὴν ἀξίαν ἢ τὴν δύναμιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. καὶ μάλιστα ὅταν ἐπὶ πολὺ τοῦ κατὰ φύσιν ἐξεστήκῃ. δύο γὰρ αὐτῷ τόθ' ὑπάρχει μεγέθη. τό τ' ἐκ τοῦ γένους τῶν πυρετῶν τὸ κοινὸν ἅπασι, τό τ' ἴδιον οἰκεῖον αὐτοῦ. καὶ γὰρ ὅτι πυρετός ἐστιν, ἐπιστρέφει μᾶλλον ἡμᾶς πρὸς ἑαυτὸν, ἁπάντων τῶν ἄλλων. καὶ ὅτι τὸ μέγεθος αὐτῷ τὸ οἰκεῖον ἀξιόλογον ὑπάρχει, καὶ διὰ τοῦτο κατακρύπτει τε καὶ συσκιάζει τὰς ἐναντίας ἐνδείξεις. εἰ δὲ μικρὸς ὑπάρχει, δύνανται αἱ ἄλλαι πᾶσαι συντεθεῖσαι πρὸς αὐτὸν, ἀντεξετάσεσθαι. καὶ εἴπερ ἴσαι φανεῖεν, οὔθ' ἡ τοῦ πυρετοῦ κρατήσειεν ἂν ἔνδειξις ὡς ὑγραίνειν καὶ ψύχειν, οὔθ' ἡ τῶν ἄλλων, ὡς θερμαίνειν καὶ ξηραίνειν, ἀλλὰ τὸ μέσον εἶδος τῆς διαίτης ἐπὶ τῶν οὕτως ἐχόντων σωμάτων ἐκλεξόμεθα. κρατούσης δὲ τῆς ἑτέρας ἐνδείξεως, εἰς τοσοῦτον ἀποχωρήσομεν τῆς εὐκράτου καὶ μέσης τῆς διαίτης, εἰς ὅσον ὑπερέχει τῶν ἐναντίων τὰ κρατοῦντα. γεγυμνασμένον τε οὖν εἰς ταῦτα πάντα καὶ φύσει συνετὸν εἶναι χρὴ τὸν ἰατρὸν, ἵν' ἑκάστης ἐνδείξεως ἀκριβῶς ἐκλογιζόμενος τὴν δύναμιν, ἀλλήλαις τε παραβάλλων ἁπάσας, ἔν τι κεφάλαιον ἀθροίσει τῶν οἰκείων τῷ κάμνοντι διαιτημάτων.

διαιτημάτων. αἱ μὲν οὖν ἀπὸ τῶν ἐφημέρων πυρετῶν ἐνδείξεις, ἐκ τούτων τῶν σκοπῶν λαμβάνονται. καὶ σπάνιον εἴποτε ἀπὸ τοῦ μέτρου τῆς τοῦ κάμνοντος δυνάμεως. αἱ δὲ τῶν πολυημέρων, ἐξ ἀνάγκης μὲν καὶ τὴν δύναμιν προσλαμβάνουσιν. οὐ μικρὸς γὰρ ἐπ᾽ ἐκείνων ὁ ἀπὸ ταύτης σκοπός. οὐδὲν ἧττον δὲ καὶ τὴν γεννῶσαν αἰτίαν τοὺς πυρετούς, πλὴν τῶν ἑκτικῶν. οὐδὲ μία γὰρ ἀνάπτει τούτους αἰτία, καθάπερ οὐδὲ τὸ δεδεγμένον ἑκτικῶς εἰς ἑαυτὸ σῶμα, τὴν τοῦ πυρὸς θερμασίαν, εἴτε λίθος, εἴτε ξύλον ὑπάρχει. κοινὸν γὰρ αὐτοῖς τὸ μηκέτι γίνεσθαι πρὸς τοὺς ἐφημέρους εἶναι, διαλλάττοντας δὲ ἐν τῷ τοὺς μὲν ἐφημέρους, κατὰ σχέσιν ἔχειν τὴν θέρμην. τοὺς δ᾽ ἑκτικοὺς ἐν ἕξει δυσλύτῳ. δύναιτο δ᾽ ἄν τις φάναι καὶ τὴν ἀπὸ τῆς δυνάμεως ἔνδειξιν ἀεὶ παρεῖναι, κατά τε τἆλλα σύμπαντα νοσήματα, καὶ τοὺς ἐφημέρους πυρετούς, ἡμᾶς δ᾽ ἐν τῷ νῦν λόγῳ μηδὲν αὐτῆς δεηθῆναι, διότι πρώτως μὲν οὐκ ἐνδείκνυται, κατὰ συμβεβηκὸς δέ, περὶ οὗ συμβεβηκότος ἐν τοῖς ἑξῆς διοριῶ.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ

ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

ΤΩΝ ἐφημέρων πυρετῶν ὦ Εὐγενιανὲ τὴν τῆς θεραπείας μέθοδον ἐν τῷ πρὸ τούτου γράμματι διῆλθον ὀγδόῳ τῆς ὅλης ὄντι πραγματείας. ἔστι δὲ τοῦ γένους τοῦδε τῶν πυρετῶν, εἷς ὁ παροξυσμός, ἡμέρᾳ μιᾷ περιγραφόμενος ὡς τὸ πολὺ κατά γε τὴν ἑαυτοῦ φύσιν. ὅσα γὰρ ἢ διὰ τὴν τῶν ἰατρῶν ἀμαθίαν, ἢ διὰ τὴν τῶν καμνόντων ἀκολασίαν, ἢ διὰ τὴν τῶν ὑπηρετούντων πλημμέλειαν ἁμαρτανόμενα περὶ τοὺς τοιούτους πυρετοὺς εἰς ἕτερόν τι γένος αὐτοὺς μεθίστησιν, οὐ κατὰ τὴν οἰκείαν αὐτῶν ἀποβαίνουσι φύσιν, οὐδὲν γοῦν δή που θαυμαστὸν ἐκ τῶν ἁμαρτανομένων οὐ μηκύνεσθαι μόνον ἢ μεταπίπτειν εἰς ἕτερόν τι γένος ἡντινοῦν τῶν νόσων, ἀλλὰ καὶ γεννᾶσθαι νῦν, ἔμπροσθεν οὐκ οὖσαν. ὅπου γὰρ οὐδὲ τοῖς ὑγιαίνουσιν ἁμαρτάνειν ἀσφαλές, σχολῇ γ᾽ ἀκίνδυνον ἄν ποτε τοῖς κάμνουσι γένοιτο. λοιπῶν δ᾽ ὑπαρχόντων δυοῖν γενῶν, ὡς ἐν τοῖς περὶ τῆς διαφορᾶς τῶν πυρετῶν ὑπομνήμασιν ἐπιδέδεικται, τὸ μὲν ἕτερον, ἐπὶ χυμοῖς σηπομένοις ἐδείκνυτο γίνεσθαι. τὸ δ᾽ ἕτερον, αὐτὰ τὰ στερεὰ τοῦ ζώου μόρια κατειληφός, ἑκτικὸν ὀνομάζεται. μεταπίπτουσι δ᾽ εἰς ἑκάτερα γένη πολλάκις οἱ ἐφήμεροι πυρετοί, καθάπερ ἔμπροσθεν ἐδείκνυμεν, εἰ μή τις αὐτοὺς προσηκόντως μεταχειρίζοιτο. ὥσπερ δέ, ἐν τοῖς ἄλλοις ἅπασι πράγμασιν ὅσα κοινωνεῖ ταῖς φύσεσιν ἑνὶ περιλαμβανόμενα γένει, καὶ διὰ τοῦτ᾽ εἰς ἄλληλα μεταπίπτειν δυνάμενα, τρίτη τις ἰδέα κατὰ τὴν μετάπτωσιν αὐτῶν συνίσταται, μηδετέρου τῶν ἄκρων ἀκριβοῦσα τὸν τύπον, οὕτω κἂν ταῖς τῶν ἐφημέρων πυρετῶν μεταπτώσεσι, φαντασθείη τις ἄν, ἕτερόν τι γένος ἐν τῇ μεταπτώσει συνίστασθαι μηδετέρῳ τῶν ἄκρων ταὐτόν. καί μοι δοκεῖ περὶ τοῦδε πρώτου διοριστέον εἶναι, ἵν᾽ ὥσπερ καὶ τἆλλα, καὶ τοῦτο γνωρίζοιτό τε συνιστάμενον αὐτίκα, καὶ κωλύοιτο κατὰ τὴν πρώτην γένεσιν, ὡς μὴ δὲ δυσίατον ἢ ἀνίατον αὐξηθὲν γενέσθαι. μέσον δ᾽ αὐτὸ συνιστάμενον, οὔτε γνωρίσαι δυνατόν, οὔτε ἰάσασθαι τοῖς ἀγνοοῦσι τὴν ἰδέαν τῶν ἄκρων ὧν ὑπάρχει μέσον. ἀλλὰ τοῖς γ᾽ ἐπισταμένοις τά τε τῶν ἐφημέρων πυρετῶν γνωρίσματα, καὶ τὰ τῶν ὑπολοίπων δύο γενῶν, ἐπειδὰν ἤτοι νοθεύηται κατά τι τὰ τῶν ἐφημέρων πυρετῶν γνωρίσματα καὶ τὰ τῶν ὑπολοίπων δύο γενῶν, ἢ παρεμφαίνηται τὰ τῶν ἄλλων, οὐδὲν ἂν εἴη χαλεπὸν ὑποπτεύειν ἤδη τὴν μετάπτωσιν. ἐπ᾽ ἐγκαύσεσι μὲν οὖν, ἢ ἀπεψίαις, ἢ κόποις, ἢ ἀγρυπνίαις, ἢ πάθεσι ψυχικοῖς, ἢ βουβῶσιν, ἢ διά τινα αἰτίαν προφανῆ γεγενημένῳ, μέχρι τρίτης ἡμέρας οὐκ ἄν ποτε προέλθοι πυρετοῦ παροξυσμός, ἄνευ τοῦ πλημμεληθῆναί τι περὶ τὸν κάμνοντα. τοῖς δ᾽ ἐπὶ στεγνώσει πυρέξασιν ἐγχωρεῖ καὶ ταύτης ἐξωτέρω προβῆναι τὸν παροξυσμόν. ἐπειδὴ γὰρ ἡ στέγνωσις ἤτοι φραχθέντων, ἢ μυσάντων γίγνεται τῶν πόρων, ἢ καὶ τοῦ σώματος αὐτοῦ πιληθέντος ἀμετρότερον, εὐλόγως ἔφαμεν ἐπί τε κρύει καὶ λουτροῖς, ἤτοι τῇ θίξει ψύχουσιν, ἢ τῇ δυνάμει, καὶ φαρμάκοις τοῖς τοιούτοις, ἔτι δὲ τοῖς ξηραίνουσι τὸ δέρμα, καθάπερ ἡλίῳ διακαεῖ, καὶ τοῖς πιλοῦσιν, ὡς τῇ σκληρᾷ ῥίψει μετὰ τῶν ψυχόντων, κατέχεσθαι μὲν ἐντὸς τοῦ σώματος τὰς οἷον καπνώδεις, ἢ λιγνυώδεις ἀπορροάς, ἀνάπτεσθαι δ᾽ ἐπ᾽ αὐτοῖς τὸν πυρετόν. ἀλλ᾽ ἐπὶ τούτοις μὲν ὡς εἴρηται, πίλησίν τε τινὰ γίγνεσθαι τῶν σωμάτων αὐτῶν, καὶ μύσιν τῶν πόρων. ἔμφραξιν δέ, διὰ γλίσχρους, ἢ παχεῖς, ἢ πολλοὺς χυμούς. καὶ εἰκὸς καὶ τοὺς πυρετοὺς ὅσοι μὲν ἐπὶ μύσει τῶν πόρων ἢ πιλήσει προσφάτῳ τῶν σωμάτων ἐγένοντο, παύεσθαί τε μετὰ τὸν πρῶτον παροξυσμόν, ἐάν τις ὀρθῶς αὐτοῖς προσφέρηται, καὶ ὄντως τούτους ἐφημέρους γίγνεσθαι καὶ προσαγορεύεσθαι. ὅσοι δ᾽ ἐπ᾽ ἐμφράξει τὴν γένεσιν ἔχουσιν, εἰ μὲν ὀλίγη τις αὕτη συσταίη, λύεσθαι καὶ τούτους, ὁμοίως γε τοῖς ἄλλοις ἐφημέροις, ἐὰν ἰάσηταί τις αὐτοὺς προσηκόντως. εἰ δ᾽ ἰσχυρῶς οἱ χυμοὶ σφηνωθεῖεν, ὡς μοχλείας δεῖσθαι σφοδροτέρας. ἐκτείνεσθαι μὲν ἀνάγκη τοὺς τοιούτους πυρετοὺς ὑπὲρ τὴν μίαν ἡμέραν. ἐκπεπτωκέναι δὲ δοκεῖν ἤδη τοῦ γένους τῶν ἐφημέρων. πῶς γὰρ ἂν ἐφήμερος ἔτι δύναιτο λέγεσθαι πυρετός, ὁ μέχρι τρίτης ἡμέρας ἐκτεινόμενος. ἐν γὰρ τῇ δευτέρᾳ τῶν ἡμερῶν, προσήκει παύεσθαι τὸν τοιοῦτον πυρετόν, ὅσον ἐπὶ τῇ προσηγορίᾳ. λέλεκται γὰρ ἔμπροσθεν ὡς τεττάρων καὶ εἴκοσιν ὡρῶν ὁ χρόνος ἐστὶ τῆς οὕτω λεγομένης ἡμέρας, ὡς συναριθμεῖσθαι καὶ τὴν νύκτα τῷ ὀνόματι τῆς ἡμέρας. καὶ μὴν εἰ μήτε σῆψις εἴη χυμῶν, μήτ᾽ αὐτὸ τὸ σῶμα τὴν πυρετικὴν θερμασίαν ἑκτικῶς ἀναδέξαιτο, τῶν δύο γενῶν ἐκπεπτωκὼς ἂν εἴη. ἢ τοίνυν ἄλλο γένος ἐπὶ τοῖς εἰρημένοις τρισὶν ἀναγκαῖόν ἐστι λέγειν ἐν τῇ πρώτῃ διαιρέσει τῶν πυρετῶν, ἢ καταφρονοῦντα τῆς προσηγορίας, ἐφημέρους ὀνομάζειν αὐτούς. οὐ γὰρ δὴ τῆς γ᾽ οὐσίας ἦν αὐτῆς τῶν τοιούτων πυρετῶν, ὁ ἐφήμερος ὄνομα. προσηγορίας δ᾽ οἰκείας ἀποροῦντες ἕνεκα σαφοῦς καὶ συντόμου διδασκαλίας, ἀπὸ τοῦ πολλάκις αὐτοῖς ἑπομένου τοὔνομα ἐθέμεθα. φύσις μὲν οὖν αὐτῶν, ἡ αὐτὴ τοῖς ἐφημέροις ἐστίν. ὄνομα δὲ οὐ ταὐτόν. ἐφ᾽ ὧν γὰρ ὁ παροξυσμὸς εἷς ἀπ᾽ ἀρχῆς ἄχρι παντὸς διαμένων εἰς πολλὰς ἡμέρας ἐκτείνεται, συνόχους ὀνομάζουσι τοὺς τοιούτους πυρετούς. οὐχ ἑλληνικῷ μὲν ὀνόματι χρώμενοι, σολοικίζειν δ᾽ ἑλόμενοι μᾶλλον ἢ καταλιπεῖν

ἀνώνυμον αὐτῶν τὴν ἰδέαν. ἀλλ' ὥσπερ ἰδέα μία τῶν τοιούτων ἐστὶ πυρετῶν, ἀφ' ἧς ὀνομάζουσι συνόχους αὐτοὺς, οὕτως ἡ φύσις οὐκέτ' ἁπλῆ καὶ μία. τινὲς μὲν γὰρ αὐτῶν ἐναργὲς ἔχουσι τὸ τῆς σήψεως σημεῖον. ἔνιοι δ' οὐδ' ὅλως ἔχουσιν. οὓς ἐκ τοῦ γένους τῶν ἐφημέρων πυρετῶν ἔφαμεν εἶναι. ἐπειδὴ γὰρ ἡ τοῦ παροξυσμοῦ παῦλα διαπνεομένων εἴωθε γίγνεσθαι τῶν ζεσάντων χυμῶν, οὐ διαπνεῖται δ' ἐπὶ ταῖς ἰσχυραῖς στεγνώσεσιν, ἀναγκαῖον ἐστὶ πολυήμερον γίγνεσθαι τὸν παροξυσμόν. ὅταν οὖν μὴ δὲ μία συνῇ τῷ τοιούτῳ πυρετῷ πρόφασις ἀρχὴν ἑτέρου παροξυσμοῦ γεννῶσα, πρὸς τὸ πολυήμερος ὑπάρχει, οὐδ' εἰς βολὴν ἐπισημασίας οὐδὲ μιᾶς ποιεῖται. μένει δ' ἀπ' ἀρχῆς ἄχρι τέλους εἷς ὁ πυρετὸς, οὔτ' ἀμφημερινὴν, οὔτε διὰ τρίτης, οὔτε διὰ τετάρτης ἡμέρας ἔχων ἐπισημασίαν. ὅταν δ' ἀκούσῃς μου λέγοντος ἐντὸς τοῦ σώματος στέγεσθαι τὸ πυρετῶδες θερμὸν, ἐπὶ τῶν ἰσχυρῶς ἐστεγνωμένων σωμάτων, οὐχ οὕτω χρὴ νομίζειν ἀκριβῶς γεγονέναι τὴν πύκνωσιν, ὡς μηδὲν ἐνίοτε τῶν ἱκανῶς λεπτυνθέντων χυμῶν ἐπιτρέπειν εἰς τοὐκτὸς διαρρεῖν. οὐδὲ γὰρ οὐδ' ἐπὶ τῶν ὀστῶν λεγόμενον, ἀληθὲς ἂν εἴη τοῦτο, μή τοι γε δὴ τῶν σαρκῶν τε καὶ τοῦ δέρματος. ἀλλ' ὅταν ἡ μὲν ἐκ τῶν ζεόντων χυμῶν ἀναθυμίασις ᾖ παμπόλλη, διαρρέῃ δ' ἐκτὸς ὀλίγη, τὴν ὑπολειπομένην ἀνάγκη διαφυλάττειν τὸν πυρετόν. οὐ μόνον τῷ μένειν αὐτὴν, ἀλλὰ καὶ τῷ τὰ πλησιάζοντα συνεκκαίειν. ἐπεὶ τοίνυν ἐν δυοῖν τούτοιν ἐστὶ τὸ φυλάττεσθαι τὸν πυρετὸν, τῷ τε μὴ διαπνεῖσθαι πᾶσαν τὴν ἀτμίδα, καὶ τῷ συνεκθερμαίνειν τὰ ψαύοντα, τρεῖς ἀνάγκη διαφορὰς ἐν τοῖς συνόχοις γίγνεσθαι πυρετοῖς, ἤτοι διαμένοντος ἴσου τοῦ μεγέθους ὃ κατὰ τὸν πρῶτον παροξυσμὸν ἔχειν ἀκμάσας, ἢ προστεθέντος, ἢ ἀφαιροῦντος ἀεί τι σμικρόν. καὶ ταῦτα ποιοῦντος, ἢ ὁμαλῶς, ἢ ἀνωμάλως. ἂν μὲν οὖν ἴσον ᾖ τῷ διαπνεομένῳ τὸ ἀναπτόμενον, οὔτ' αὔξησιν οὔτε μείωσιν ἕξει τὸ πυρετῶδες θερμόν. ἀλλ' οὕτως ἑαυτῷ διαμένει παραπλήσιον, ὡς εἰ μήτε προσετίθετο μηδὲν αὐτῷ, μήτ' ἀφῃρεῖτο. διαφέρει γὰρ οὐδὲν εἴς γε τὴν τῆς ἰσότητος διαμονὴν, ἢ διαφυλάττεσθαι τὴν αὐτὴν οὐσίαν διαπαντὸς, ἢ τῷ ἐκκενουμένῳ τὸ προστιθέμενον ἴσον ὑπάρχειν. εἰ δέ γε θάτερον αὐτῶν ἐπικρατήσειεν, εἰ μὲν τὸ κενούμενον, ἐλαττοῦσθαι τὸν πυρετὸν ἀναγκαῖον ἐστίν. εἰ δὲ τὸ προστιθέμενον, αὐξάνεσθαι πάντως. εὔδηλον δὲ καὶ ὡς τὸ μᾶλλόν τε καὶ τὸ ἧττον ἑτέρου ἑτέρου τὸν πυρετὸν αὐξάνεσθαί τε καὶ μειοῦσθαι, διὰ τὸ τῆς πλεονεξίας ἄνισον, ἀναγκαῖον ἐστὶ γίγνεσθαι. ποτὲ μὲν γὰρ πλείονι μέτρῳ, ποτὲ δ' ἥττονι. πλεονεκτούσης ἤτοι τῆς γενέσεως τῶν πυρετῶν, ἢ τῆς διαπνοῆς, οὔτε τοῖς αὐξανομένοις ἅπασιν ἴσην τὴν αὔξησιν, οὔτε τοῖς μειουμένοις τὴν καθαίρεσιν οἷόν τε γίγνεσθαι. παμπόλλην δ' εἶναι τὴν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφοράν. ἓν μὲν δὴ τοῦτο τὸ γένος ἢ εἶδος ἢ ὅ, τί περ ἂν ὀνομάζειν ἐθέλοις ἐστὶ συνόχων πυρετῶν, ἐκ τῆς αὐτῆς ὑπάρχον φύσεως τοῖς ἐφημέροις. ἕτερον δ' ὅταν ἐν ἅπασι τοῖς ἀγγείοις καὶ μάλιστα τοῖς μεγίστοις, ὁμοτίμως οἱ χυμοὶ διασήπωνται. τῶν τοιούτων πυρετῶν οὐδέτερον ἐν ἰσχνῷ καὶ ψυχρῷ σώματι φιλεῖ συνίστασθαι. τὰ πολλὰ δ' ἐν πολυαίμοις τε καὶ πολυσάρκοις ἡ γένεσις αὐτῶν. αἵ τε γὰρ ἐμφράξεις οὐχ ἱκαναὶ γεννῆσαι πυρετὸν ἄνευ σήψεως, εἰ μὴ τὸ διαπνεόμενον εἴη πολὺ καὶ θερμόν. ἥ τε σηπεδὼν τῶν χυμῶν, εἰς ἁπάσας τὰς μεταξὺ βουβώνων τε καὶ μασχαλῶν φλέβας, ὁμοτίμως τε καὶ διὰ ταχέων ἐκταθῆναι κατὰ τὰς ψυχρὰς ἕξεις, οὐ δύναται. δεῖται γὰρ ἀεὶ τὰ σηπόμενα θερμά τ' εἶναι, καὶ ὑγρὰ, καὶ δυσδιάπνευστα. διὰ τοῦτ' οὖν οὔτ' ἐν ψυχραῖς ἡλικίαις, οὔτ' ἐν κράσεσι σωμάτων ψυχραῖς, εἴτ' οὖν ἐξ ἀρχῆς, εἴτε καὶ νῦν εἴη γεγονότα ψυχρὰ, σύνοχοι γεννῶνται πυρετοί. καθάπερ οὐδ' ἐν ἰσχνοῖς ἢ ἀραιοῖς. ἀλλὰ καὶ τῶν ἡλικιῶν ταῖς θερμαῖς, καὶ τῶν φύσεων, καὶ τῶν ἐπικτήτων κράσεων ταῖς ὁμοίαις ἐγγίγνονται. καὶ μᾶλλον ὅταν εὔσαρκοί τε, καὶ πολύαιμοι, καὶ πυκνοὶ τὰς ἕξεις οἱ κάμνοντες ὦσιν, ἢ περιττώμασι θερμοῖς πεπληρωμένοι. ταὐτ' ἄρα τοῖς οὕτω πυρέττουσιν ὁ σφυγμὸς μέγιστος ἐστὶ καὶ ὁμαλὸς καὶ σφοδρός. καὶ τὴν σύστασιν τῆς ἀρτηρίας οὔτε σκληροτέραν, οὔτε μαλακωτέραν τοῦ κατὰ φύσιν ἔχων. τάχους δ' εἰς τοσοῦτον ἥκει καὶ πυκνότητος, εἰς ὅσον ἂν ὁ πυρετὸς αὐτὸς ἥκοι μεγέθους. κοινὰ μὲν οὖν ἀμφοῖν ταῦτα. πρόσεστι δ' ἐξαίρετα θατέρῳ σημεῖα τὰ τῆς σήψεως, ἔν τ' οὔροις τε καὶ σφυγμοῖς, καὶ τῷ τῆς θερμασίας ἀηδεῖ. καὶ δὴ παραδείγματος ἕνεκα, ἀναμνήσω σε τοῖν νεανίσκοιν οὓς ἐθεάσω μεθ' ἡμῶν. ἦν δὲ ὁ μὲν ἕτερος αὐτῶν, ἐλεύθερος καὶ γυμναστικός. ὁ δ' ἕτερος, δοῦλος, οὐκ ἀγύμναστος μὲν, οὐ μὴν τά γε κατὰ παλαίστραν δεινός, ἀλλ' ὅσα δούλῳ πρέπει τὰ ἐφήμερα γυμνάσιά τε ἅμα καὶ ἔργα μεταχειρίζεσθαι. ὁ μὲν οὖν ἐλεύθερος, τὸν χωρὶς σήψεως ἐπύρεξε σύνοχον. ὁ δὲ δοῦλος, τὸν μετὰ σήψεως. ὁποίαν δ' ἑκατέρῳ τὴν ἴασιν ἐποιησάμεθα, καιρὸς ἂν εἴη λέγειν. ἐπειδὴ μάλιστα μὲν χρὴ γυμνάζεσθαι τοὺς μανθάνοντας ὁτιοῦν ἐπὶ παραδειγμάτων. οὐ γὰρ ἀρκοῦσιν αἱ καθόλου μέθοδοι πρὸς τὴν ἀκριβῆ γνῶσιν. ἀμείνω δὲ τῶν παραδειγμάτων ἐστὶν, ὧν αὐτόπται γεγόναμεν. ὡς εἴ γε πάντες οἱ διδάσκειν ἢ γράφειν ὁτιοῦν ἐπιχειροῦντες ἔργοις ἐπεδείκνυντο πρότερον αὐτὰ, παντάπασιν ἂν ὀλίγ' ἄττα ψευδῶς ἦν λεγόμενα. νυνὶ δ' οἱ πλεῖστοι διδάσκειν ἄλλους ἐπιχειροῦσιν, ἃ μήτ' αὐτοί ποτ' ἔπραξαν, μήτ' ἄλλοις ἐπεδείξαντο. τοὺς μὲν οὖν πολλοὺς τῶν ἰατρῶν οὐδὲν θαυμαστὸν ἀμελήσαντας ἤθους χρηστοῦ, δοξοσοφίαν μᾶλλον ἢ ἀλήθειαν σπουδάσαι. τὸ δ' ἡμέτερον, οὐχ ὧδ' ἔχει. οὐ γὰρ δὴ χθὲς ἢ πρώην, ἀλλ' εὐθὺς ἐκ μειρακίου φιλοσοφίας ἐρασθέντες, ἐπ' ἐκείνην ἤξαμεν πρῶτον. εἶθ' ὕστερον τοῦ πατρὸς ὀνείρασιν ἐναργέσι προτραπέντος, ἐπὶ τὴν τῆς ἰατρικῆς ἄσκησιν ἀφικόμεθα. καὶ δι' ὅλου τοῦ βίου τὰς ἐπιστήμας ἑκατέρας ἔργοις μᾶλλον ἢ λόγοις ἐσπουδάσαμεν. οὐδὲν οὖν θαυμαστὸν ἐν ᾧ προσαγορεύουσιν ἄλλοι περιθέοντες ὅλην τὴν πόλιν ἐν κύκλῳ, καὶ συνδειπνοῦσι καὶ παραπέμπουσι τοὺς πλουτοῦντάς τε καὶ δυναμένους, ἐν τούτῳ τῷ χρόνῳ παντὶ φιλοπονοῦντας ἡμᾶς ἐκμαθεῖν μὲν πρότερον ὅσα καλῶς εὕρηται τοῖς παλαιοῖς. ἔπειτα διὰ τῶν ἔργων αὐτὰ κρῖναί τε ἅμα καὶ ἀσκῆσαι. τὸν τοίνυν γυμναστικὸν νεανίσκον ἀρξάμενον πυρέττειν ὥρας πρώτης τῆς νυκτὸς, ἐθεασάμεθα κατὰ τὴν ἐπιοῦσαν ἡμέραν ὥρας που τρίτης. εὑρόντες δὲ πυρετὸν ἱκανῶς μὲν θερμὸν, ἀλλὰ καὶ τούς τε σφυγμοὺς ὁμαλοὺς καὶ μεγίστους, καὶ ταχεῖς, καὶ πυκνοὺς, καὶ σφοδροὺς, καὶ τὴν τῆς θερμασίας ποιότητα τὸ διαβρωτικὸν τῆς ἁφῆς οὐκ ἔχουσαν. ἔτι δὲ καὶ τὰ οὖρα τῇ τε συστάσει καὶ τῇ χροιᾷ τῶν κατὰ φύσιν οὐ πάνυ λειπόμενα, πυθόμενοί τε τοῦ τῶν γυμνασίων ἔθους ἠμεληκότα τὸν ἄνθρωπον ἡμέραις ὡς τριάκοντα, τῇ δὲ προτεραίᾳ μόνῃ γεγυμνάσθαι σφοδρότερον μὲν ἀλλ' οὐκ ἐπὶ πολὺ, προσενηνέχθαι τε τὰ συνήθη σιτία, καὶ ταῦτα πεπέφθαι μὲν ἀλλὰ βραδέως καὶ μόγις, ὡς ἂν ἐπιγινο-

ἐπιγινομένου ἐπὶ τὴν ἑσπέραν τοῦ πυρετοῦ. φαινομένου δὲ ἐρυθροῦ καὶ μεστοῦ τοῦ ἀνθρώπου, καὶ μέντοι καὶ πληρώσεώς αὐτῷ τινα αἴσθησιν εἶναι λέγοντος, ἐν τούτῳ τε φθεγξαμένου περὶ φλεβοτομίας τῶν παρόντων τινός, ἔδοξεν ἡμῖν ἀναβάλλεσθαι τὴν περὶ τοῦ βοηθήματος σκέψιν εἰς ἕτερον καιρόν. ἅμα μὲν ἵνα ἀκριβέστερον διαγνῶμεν ἐκ ποίου γένους ἐστὶν ὁ πυρετός, ἅμα δ᾽ ἐξ ἀνάγκης διὰ τὴν προγεγενημένην βραδυπεψίαν. ἐπεὶ δὲ καὶ ἐπὶ τὴν ἑσπέραν ὁμοίως ἀκμάζειν ὁ πυρετὸς ἐφαίνετο μηδὲν ἀφαιρῶν αἰσθητῶς, ὕποπτος ἦν ἤδη συνόχους ὑπάρχειν ἐπ᾽ ἐμφράξει τε καὶ πολυαιμίᾳ, καὶ τῇ διὰ τὸ πλῆθος τῶν σαρκῶν στεγνώσει. διαφυλαχθέντος δὲ τοῦ μεγέθους ἴσου δι᾽ ὅλης τῆς νυκτός, ἐπὶ τῆς ὑστεραίας ἐδόκει τοῖς ἐπισκοπουμένοις αὐτὸν ἰατροῖς ἅπασι φλεβοτομητέος εἶναι. στάσεως δ᾽ ἐγγινομένης περὶ τοῦ καιροῦ, καὶ κρατησάντων τῶν εἰς τὴν ἐπιοῦσαν ἀναβάλλεσθαι συμβουλευόντων, ὁ πυρετὸς ἐναργῶς ἐφάνη δι᾽ ὅλης τῆς ἡμέρας ἐπακμάζων ἑαυτῷ. κἄπειτα τῆς ἐπιούσης νυκτὸς τῆς τρίτης, ἄλλος μὲν οὐκ ἐγένετο παροξυσμὸς ὡς πρὸς τὸ πρῶτον ἐξ ἀναλογίας, ἀφόρητον δ᾽ ἦν τὸ καῦμα τῷ κάμνοντι. καὶ τάσις ὅλου τοῦ σώματος ὡς πεπληρωμένου. καὶ σφυγμὸς τῆς κεφαλῆς, ἀγρυπνία τε διὰ ταῦτα δεινή. καὶ μεταρριπτοῦντος ἑαυτὸν ἄλλοτ᾽ εἰς ἄλλο σχῆμα τοῦ νεανίσκου. καὶ τὴν ὀδύνην ὡς οὐκέτ᾽ ἔφερεν, ὥρας που τῆς νυκτὸς ὀγδόης ἐκπέμψας οἰκέτην πρός με, δεῖται παρ᾽ αὐτὸν ἀφικέσθαι διὰ ταχέων. ὑπακούω δὴ καὶ ἀπέρχομαι, καὶ καταλαμβάνω θερμότατόν τε τὸν πυρετὸν, καὶ τοὺς σφυγμοὺς οἵους ἔμπροσθεν εἶπον. ἐπεὶ δ᾽ οὔτ᾽ ἐν τούτοις, οὔτε ἐν τοῖς οὔροις, οὔτ᾽ ἐν αὐτῇ τῇ τῆς θερμότητος ποιότητι σημεῖόν τι σηπεδόνος ἐφαίνετο χυμῶν, ἐδόκει κάλλιον εἶναι τεμεῖν τὴν φλέβα, πρὶν ἄρξασθαι τὴν σῆψιν. Ἀφαιρῶ τοίνυν αὐτοῦ τοσοῦτον ἐξεπίτηδες, ὡς λειποθυμίαν ἐπιγενέσθαι. μέγιστόν τι βοήθημα τῶν πυρετῶν συνόχων ἐν ἰσχυρᾷ δυνάμει, καὶ τῷ λόγῳ καὶ τῇ πείρᾳ δεδιδαγμένος. πρῶτον μὲν γὰρ εἰς ἐναντίαν κατάστασιν ἀφικνεῖται τάχιστα ψυχόμενον ἐν τῇ λειποθυμίᾳ τὸ σῶμα. τούτου δ᾽ οὔτε τοῖς κάμνουσιν, οὐδ᾽ αὐτῇ τῇ διοικούσῃ τὰ ζῶα φύσει δύναιτ᾽ ἄν τις εὑρεῖν ἥδιον ἢ χρηστότερον, ἔπειτα δ᾽ ἐξ ἀνάγκης ἐν τοῖς τοιούτοις σώμασιν ἕπεται διαχώρησις γαστρός, ἔστι δὲ ὅτε καὶ χολῆς ἔμετος, ἐφ᾽ οἷς αὐτίκα νοτίδες ἀπὸ παντὸς τοῦ σώματος ἢ ἱδρῶτες. ἅπερ οὖν κἀκείνῳ πάνθ᾽ ἑξῆς γενόμενα, παραχρῆμα τὸν πυρετὸν ἔσβεσαν. ὥστε τινὰς τῶν παρόντων εἰπεῖν, ἔσφαξας ἄνθρωπε τὸν πυρετόν. ἐπὶ τούτῳ μὲν δὴ πάντες ἐγελάσαμεν. ὅπως δὲ πληρώσαιμι τὴν διήγησιν, οὐδὲν ἂν εἴη χεῖρον ὀλίγα προσθεῖναι. μετὰ δύο γὰρ τῆς φλεβοτομίας ὥρας βραχύ τι προσδοὺς τροφῆς τῷ κάμνοντι, καὶ κελεύσας ἡσυχάζειν, ἀπηλλαττόμην. ἀφικόμενος δὲ πέμπτης ὥρας τῆς ἡμέρας, οὕτω βαθέως ὑπνοῦντα κατέλαβον, ὡς ἁπτομένου μου μὴ δ᾽ ὅλως αἰσθάνεσθαι. λεγόντων δὲ καὶ τῶν ὑπηρετουμένων αὐτῷ βαθὺν οὕτως εἶναι τὸν ὕπνον, ὡς μηδ᾽ ὅταν ἀπομάττωσιν αὐτοῦ τὰς νοτίδας, ἐξεγείρεσθαι, συνεβούλευον οὕτω πράττειν, εἶναι γὰρ ἀκριβῶς ἤδη τὸν ἄνθρωπον ἀπύρετον. ἀφικόμενος δ᾽ αὖθις ὥρας δεκάτης, εὗρον ἔτι καὶ τότε κοιμώμενον αὐτόν. ἐξελθὼν δὲ πάλιν ἐπ᾽ ἄλλους ἀρρώστους, ἐπανῆλθον ὥρας πρώτης νυκτός, οὐκέτι μετὰ σιωπῆς, ἀλλ᾽ ἐξεπίτηδες μέγα φθεγγόμενος ὅπως ὁ κάμνων διεγερθείη τοῦ ὕπνου. καὶ τοίνυν οὕτω γενομένου, πτισάνης χυλῷ μόνῳ θρέψας αὐτὸν, ἀπηλλαττόμην. ἐπιμετρίως δὲ τὴν ὑστεραίαν, ἐπὶ τὸ λουτρὸν ἀπέλυσα τῇ μετ᾽ αὐτήν. τὰ μὲν δὴ ἐπὶ τούτου, οὕτως ἐπράχθη. τὰ δὲ ἐπὶ τὸν ἕτερον, ἤδη σοι δίειμι. δι᾽ ὅλης ἡμέρας ἐκεῖνος ὁ ἄνθρωπος καμὼν πολλά, κἄπειτα λουσάμενος, ὀλίγα τε προσενεγκάμενος, ὑπήρξατο πυρέττειν ἐν τῇ νυκτί, συνάψας αὐτῇ καὶ τὴν ἑπομένην ἡμέραν. ἐθεασάμεθα δ᾽ ἡμεῖς αὐτὸν μετὰ τὴν δευτέραν νύκτα, τὰ μὲν οὖν ἄλλα πάντα, τῷ προειρημένῳ παραπλησίως διακείμενον, ἐναργῆ δὲ τὰ τῆς σηπεδόνος τῶν χυμῶν ἔχοντα γνωρίσματα. φλέβα τοίνυν αὐτῷ παραχρῆμα διελόντες, ἄχρι λειποθυμίας ἐκενώσαμεν, ἐφ᾽ ἧς διαλειπόντες αὐτάρκως, ἐθρέψαμεν. μελικράτῳ μὲν πρῶτον. μετὰ δὲ ὥραν ἐκείνου μίαν, πτισάνης χυλῷ. καὶ πάντ᾽ ἐπεπράκει ταῦτα πέμπτης ὥρας ἐντός. ὁμοίου δὲ αὐτῷ διαμένοντος τοῦ πυρετοῦ, συνόχου εἶναι προσεδοκήσαμεν ἐπὶ σήψει. καὶ τοίνυν καὶ οὕτως ἀπέβη. θεασάμενοι γὰρ αὐτὸν ὥρας που δευτέρας νυκτὸς ἐν ἴσῳ μεγέθει, τὸν διὰ τρίτης παροξυσμόν, ἤτοι γ᾽ ἐσόμενον ἢ οὐκ ἐσόμενον, ἀκριβῶς ἠβουλήθημεν παραφυλάξαι νυκτὸς ὥραν ἑβδόμην τὴν ὕποπτον ἔχοντα. ὄρθρου δὴ βαθέος ἐπὶ τὸν ἄνθρωπον ἐλθόντες, εὕρομεν ὅπερ ἠλπίσαμεν. οὔτε γὰρ ὁ διὰ τρίτης ἐγεγόνει παροξυσμός. ἐφαίνετό τε βραχύ τι μικρότερος ὁ πυρετὸς, οὗ κατελείπομεν ἐπὶ τῆς ἑσπέρας. ὡς δὲ καὶ τῆς μεσημβρίας ἰδὼν αὐτὸν, ἦν ἤδη βεβαιότατος ἀφαιρεῖν τι βραχὺ καὶ συνόχου εἶναι παρακμαστικόν, ἄμεινον ἐδόκει θρέψαι καὶ τόθ᾽ ὁμοίως τὸν ἄνθρωπον. διελθούσης δὲ καὶ τῆς τετάρτης νυκτὸς ἐναργῶς ἐλάττων ἑαυτοῦ ἐπὶ τὴν τετάρτην ἡμέραν ἦν, ἐν ᾗ πάλιν ὁμοίως αὐτὸν θρεψάντων, ἠκολουθήσαμεν ἀφαιροῦντι τοῦ μεγέθους, διὰ ὅλης τε τῆς ἡμέρας ἐκείνης, καὶ τῆς ἐπιούσης νυκτὸς τῆς πέμπτης. ὥστ᾽ ἐναργῶς τῇ πέμπτῃ τῶν ἡμερῶν, ἐλάττονα φαίνεσθαι τοῦ πρόσθεν. ἀνάλογον δὲ τῇ μειώσει τοῦ πυρετοῦ καὶ ἡ τῶν οὔρων πέψις προὐχώρει. καὶ ἦν δῆλον ὡς ἐπὶ τὴν ἑβδόμην ἡμέραν παύσαιτο. καὶ οὕτως ἐγένετο. παρακμαστικὸς οὖν ἀκριβῶς οὗτος ἡμῖν ὁ σύνοχος ἐπὶ σήψει χυμῶν ὤφθη. πολλοὺς δ᾽ ἄλλους συνόχους ἐθεασάμεθα. τοὺς μὲν ἐπακμαστικούς, τοὺς δὲ ὁμοτόνους ἢ ἀκμαστικούς, ἢ ὅπως ἄν τις ἐθέλοι καλεῖν. ἐνίους δ᾽, ὥσπερ καὶ οὗτος ὁ προειρημένος, παρακμαστικούς. καί τινας μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν τὰ τῆς σήψεως ἔχοντας γνωρίσματα, τινὰς δ᾽ ἐν τῇ τρίτῃ ἔχοντας ἢ τὸ πλεῖστόν γε τῇ τετάρτῃ, ποτὲ μὲν ἀμαθίᾳ τῶν ἰατρῶν μὴ τεμνόντων τὴν φλέβα, ποτὲ δ᾽ αὐτῶν τῶν καμνόντων δειλίᾳ. Τῶν γὰρ ἐπ᾽ ἐμφράξει μόνῃ πυρεξάντων, οὐδεὶς μετέπεσεν εἰς τὸν ἐπὶ σηπεδόνι πυρετόν, ἀποχέαι τι φθασάντων αἵματος. ἰσχυρᾶς μὲν οὖν ὑπαρχούσης τῆς δυνάμεως καὶ τῆς ἡλικίας συγχωρούσης ἄχρι λειποθυμίας ἄμεινον ἄγειν. εἰ δέ τι τούτων ἐνδέοι κατά τι βέλτιον ἀφελεῖν μὲν ὅσον ἂν ἱκανὸν εἶναι φαίνηται, τήν γε πρώτην. ἐπαφαιρεῖν δ᾽ αὖθις ὅσον ἐνδέοι. μὴ φλεβοτομηθέντος γὰρ οἱ οὕτως πυρέττοντες, εἰς ἔσχατον ἥκουσι κινδύνου. πλὴν εἴποτε ῥώμη δυνάμεως, ἢ αἱμορραγία λάβρος, ἢ ἱδρὼς πολὺς ἐξαρπάσειεν αὐτοὺς ὀλέθρου προφανοῦς. ἀλλ᾽ ὅμως ἔνιοι τῶν ἰατρῶν ὁρῶντες τὴν φύσιν ἐναργέστατα διὰ αἱμορραγίας ἐκσώζουσαν οὐκ ὀλίγους τῶν οὕτω κινδυνευόντων, ἀποδιδράσκουσι τὴν φλεβοτομίαν. οὔτ᾽ ἐμπειρίαν οὐδεμίαν, οὔτε λόγον ἀληθῆ προσποιούμενοι. τούτους μὲν οὖν ἐάσωμεν αὐτάρκως πρὸς αὐτοὺς διειλεγμένοι, καθ᾽ ἓν ὅλον γράμμα τὸ περὶ φλεβοτομίας

Cap. V.

πρὸς Ἐρασίστρατον. αὐτοὶ δ' αὖθις ἐπὶ τὸ προκείμενον ἴωμεν. Ἦν δ' ἐν τῷ νῦν λόγῳ προκείμενον, ὑπὲρ ἐκείνων διελθεῖν τῶν πυρετῶν, ὅσοι στεγνώσεσιν ἕπονται ταῖς δι' ἔμφραξιν. οὓς εἰ μὲν αὐτοὶ σηπεδόνος εἶεν, ἐκ τοῦ τῶν ἐφημέρων ἔφασκον ὑπάρχειν γένους. εἰ δέ τις αὐτοῖς ἢ ἐξ ἀρχῆς εὐθέως, ἢ ἐξ ὑστέρου σῆψις ἐπιγίγνοιτο, κατὰ μὲν ἁπάσας τὰς φλέβας καὶ μάλιστα τὰς μεγάλας συνισταμένης αὐτῆς, τοὺς συνόχους γεννᾶσθαι πυρετούς. ἐν ἑνὶ δὲ μορίῳ τοῦ ζώου τοὺς κατὰ περίοδόν τινα παροξυσμούς. ἀλλὰ περὶ μὲν τούτων αὖθις. ὃ δὲ χρὴ καὶ δὶς οἶμαι καὶ τρὶς καὶ πολλάκις αὖθίς τε καὶ αὖθις εἰπεῖν, εἰ μέλλοιεν οἱ οὕτως νοσοῦντες ὀρθῶς θεραπευθήσεσθαι, τὸ τῆς φλεβοτομίας παραληπτέον ἐστίν. ὅσοις γοῦν ἐπὶ πλήθει χυμῶν δυσδιάπνευστον τὸ σῶμα γενόμενον ἤθροισε τοσαύτην θερμασίαν ὡς ἤδη πυρέττειν, ἀφαιρεῖν αἵματος χρὴ τοσοῦτον ἂν ὅσον ἡ δύναμις φέρει. γινώσκοντας ὡς εἰ μὴ παραληφθείη τὸ βοήθημα τοῦτο, πνιγήσεσθαι τοὺς οὕτω διακειμένους τὴν φύσιν ἢ συγκόπτεσθαι γε πάντως αὐτούς, εἰ μὴ ποθ' ὡς εἴρηται, ῥώμῃ τῆς φύσεως, ἢ ἱδρὼς πάμπολυς αὐτούς, ἢ λάβρος αἱμορραγία ῥύσεται τοῦ θανάτου. δῆλον μὲν οὖν ἐστὶ κἂν ἐγὼ μὴ λέγω, τοῖς γε τὸ περὶ πλήθους γράμμα καλῶς ἀναλεγομένοις. οὐδὲν δ' ἧττον εἰρήσεται καὶ πρὸς ἡμῶν, ὅτι νῦν ὁ λόγος ἐστίν, οὐ περὶ τοῦ πρὸς τὴν δύναμιν πλήθους. οὔτε γοῦν ἐμφράττει τοῦτο τὰ στόματα τῶν ἀγγείων, ὡς κωλύειν τὴν ἀνάψυξιν, οὔτε τείνει τοὺς χιτῶνας αὐτῶν. οὔτ' ἔρευθος, οὔτ' ὄγκον ἐργάζεται. πολὺ δὲ δὴ μᾶλλον οὐδὲ τὰς τῆς σαρκός, ἢ τοῦ δέρματος ἐπέχει διαπνοάς. ἀλλὰ περὶ τοῦ μηκέτι δυναμένου χωρεῖσθαι πρὸς τῶν ἀγγείων, ὃ καὶ διὰ τοῦτ' αὐτὸ ῥηγνύμαί τε καὶ ἀναστομοῦν εἴωθεν αὐτά, καὶ τἆλλα συμπτώματα τὰ νῦν εἰρημένα φέρει τὴν ἔμφραξιν. τὴν τάσιν. τὸν ὄγκον. τὸ ἔρευθος. ὁ σύμπας μοι λόγος ἐπεράνθη τε, καὶ νῦν οὐχ ἧττον περανθήσεται. τὸ γάρ τοι πλῆθος τοῦτο χρηστὸν ὄν, συναύξεσθαι πέφυκε τῇ ῥώμῃ τῆς δυνάμεως. ὡς εἴγε βαρυνεῖ ποτ' αὐτήν, οὔτ' αὐξηθήσεται τοῦ λοιποῦ, καὶ παύσεται χρηστὸν ὑπάρχον. εἰ γὰρ ἅπαξ ἀπολέσειε τὸν ἐκ τῆς φύσεως κόσμον, ἀδύνατον αὐτῷ μὴ σαπῆναι. διότι μηδ' ἄλλο μηδὲν ὑγρὸν καὶ θερμὸν σῶμα τουτωνὶ τῶν ἐκτός, ὁρῶμεν ἄσηπτον διαμένον. ταῦτά τοι χρὴ σπεύδειν ἀφαιρεῖν τοῦ αἵματος, ὅπως ἡ τῶν ἀγγείων φύσις ἐκ τοῦ διαπνεῖσθαί τε καὶ ῥιπίζεσθαι, τὴν φυσικὴν εὐκρασίαν φυλάττουσα, κατὰ τὸν ἐξ ἀρχῆς τρόπον ἐπικρατῇ τῶν χυμῶν. ὡς εἴγε δύσκρατος γενομένη κά μοι, κινδυνεύσει αὐτοῖς σαπῆναι. ἡ δυσκρασία δ' ἐν αὐτῇ γίνεται, διὰ τὴν τοῦ πυρετοῦ θέρμην. ἣν ὅταν τις ἀμαθὴς ἰατρὸς αὐξήσῃ τῷ μὴ γνῶσαι τὸ τῆς στεγνώσεως αἴτιον, ἄπορος ἡ λοιπὴ πᾶσα βοήθεια γίγνεται. τοῦ μὲν γὰρ πλήθους κενοῦσθαι δεομένου, τῆς θέρμης δ' ἐμψύχεσθαι, μάχη καὶ στάσις εἰς ἄλληλα, τοῖς ἰωμένοις βοηθήμασι γίγνεται. τῶν μὲν ἐμψυχόντων, εἰ καὶ τὴν εὐκρασίαν ἐκποριζοιτο τῇ φύσει, κατεχόντων γοῦν τὸ πλῆθος ἐν τῷ σώματι. τῶν δὲ τῇ μειώσει τοῦ δέρματος ἐκκενούντων αὐτό, θερμαινόντων ἅπαντων. ὥστ' εἰ μὲν τοῦτο κενοῦν ἐθέλοις, αὐξήσεις τὸν πυρετόν. εἰ δ' ἐκεῖνον ἐμψύχειν, καθέξεις τοῦτο. ταύτην τὴν ἀπορίαν τῶν ἰαμάτων οἱ μὴ κενώσαντες εὐθύς, ἐξ ἀρχῆς ἐργάζονται, πεισθέντες Ἐρασιστράτῳ, τῷ μὴ δὲ τὰς αὐτομάτους αἱμορραγίας μιμήσασθαι δυνηθέντι. Κάλλιστον μὲν οὖν εὐθέως ὡς ἐθεάσω διαπαντὸς ἡμᾶς ποιοῦντας, οὐχ ἡμερῶν ἀριθμῷ ἐπὶ παντὸς πράγματος προσέχειν τὸν νοῦν, ἀλλὰ τῇ ῥώμῃ μόνῃ τῆς δυνάμεως ἐπὶ τῶν τοιούτων πυρετῶν. εἰ γὰρ αὕτη διασώζοιτο, μὴ μόνον ἑκταίους, ἢ ἑβδομαίους, ἀλλὰ καὶ κατὰ τὰς ἑξῆς ἡμέρας φλεβοτομεῖν. Εἰ δ' ἀναγκασθείης ποτὲ θεραπεύειν ἄρρωστον, ᾧ μὴ μόνον ἔμπροσθεν παρελείφθη τὸ τῆς φλεβοτομίας βοήθημα, ἀλλὰ καὶ νῦν, ἤτοι διὰ τὴν ἀμαθίαν τῶν ἰατρῶν, ἢ τὴν τοῦ κάμνοντος, ἢ τὴν τῶν οἰκείων αὐτῶν δειλίαν, ἐπὶ προήκοντι τῷ χρόνῳ κωλυθείης ἀφαιρεῖν αἵματος, ἐπὶ τὴν τοῦ ψυχροῦ δόσιν ἔρχεσθαι διορισάμενος ἀκριβῶς ὁπόση τις ἐξ αὐτοῦ γενήσεται βλάβη. μικρᾶς μὲν γὰρ ἢ οὐδ' ὅλως ἐσομένης, διδόναι πίνειν ἀκραιφνὲς ψυχρὸν ὅσον ἂν ὁ κάμνων βούληται. ἔτι καὶ μᾶλλον θαρρῶν εἰ ψυχροπότης εἴη. μεγάλης δὲ τῆς βλάβης προσδοκωμένης, ἀφίστασθαι μὲν τῆς δόσεως, τοῖς δὲ ἄλλοις χρῆσθαι βοηθήμασιν. ἃ τάς τ' ἐμφράξεις ἐκφράττει, καὶ τὸ πλῆθος κενοῖ, καὶ πραΰνει τὸ ζέον τῶν πυρετῶν. Αἱ δ' ἐξ ἀκαίρου ψυχρᾶς πόσεως ἢ ἀμέτρου βλάβαι, κατὰ τάδε γίγνονται. τοὺς γλίσχρους καὶ παχεῖς χυμούς, εἴτ' ἔμφραξιν, εἴτε σῆψιν, εἴτε φλεγμονήν, εἴτ' ἐρυσιπελατώδη διάθεσιν, ἢ σκιρρώδη τύχοιεν, ἢ οἰδηματώδη πεποιημένοι, κωλύει λεπτύνεσθαί τε καὶ διαφορεῖσθαι. ὅταν οὖν ἐκ τούτων μὲν ὁ πυρετὸς ἀνάπτηται, μηδὲν δὲ εἰς τὴν κένωσιν αὐτῶν ἡ τοῦ ψυχροῦ δόσις ὠφελεῖ, πρᾶγμα μὲν οὐκ ὀλίγην φέρει τὴν ῥᾳστώνην ἐπὶ τὸ σβέσαι τὸν ἤδη γεγονότα πυρετόν, ἅτε δὴ διαμενούσης τῆς αἰτίας, αὖθις ἕτερον ἀναγκαῖον ἀνάπτεσθαι. καὶ πολλάκις γε χαλεπώτερον τοῦ πρόσθεν, ὅταν ἐκ τοῦ ψυχροῦ πυκνωθῇ τὸ σῶμα. τοῦτο μὲν δὴ σοι βλάβης εἶδος ἕν, οὐκ εὐκαταφρόνητον. ἕτερον δὲ τοιόνδε. πολλὰ τῶν ἀσθενεστέρων τοῦ κάμνοντος μορίων, εἴτε διὰ φυσικὴν δυσκρασίαν, εἴτε δι' ἐπίκτητον βλάβην ὑπὸ τοῦ ψυχροῦ πλήττεται. τῷ μέν γε στόμαχος ἔπαθεν οὕτως ἰσχυρῶς, ὡς μόγις καταπίνειν. τῷ δ' ἡ γαστήρ, ὡς μόγις πέττειν. ἄλλῳ δέ, τὸ στόμα τῆς γαστρός, ἢ τὸ ἧπαρ, ἢ τὸ κῶλον, ἢ ὁ πνεύμων, ἢ αἱ φρένες. ἢ καὶ νὴ Δία νεφροὶ καὶ κύστις, ἢ τι τοιοῦτον ἕτερον ὑπὸ τοῦ ψυχροῦ πληγέν, ἄρρωστον εἰς τὴν οἰκείαν ἐνέργειαν ἐγένετο. Τινὲς δὲ αὐτῶν ἐξ ἀκαίρου τε καὶ ἀμέτρου πόσεως οὐκ εἰς μακρὰν οὐδ' εἰς ὕστερον, ἀλλ' αὐτίκα δυσπνοίαις καὶ σπασμοῖς καὶ τρόμοις ἁλίσκονται. καὶ συλλήβδην εἰπεῖν, κακοῦται πᾶν τὸ νευρῶδες γένος. Οἶδ' ὅτι φοβερὸν ἄν σε πρὸς τὴν τοῦ ψυχροῦ δόσιν εἰργασάμην ἐξ ὧν εἶπον, εἰ μή με πολλάκις ἐθεάσω μὲν χρησάμενον, ἀεὶ δ' ὠφελήσαντα χωρὶς τοῦ βλάψαι τι τὸν κάμνοντα σαφές. Ὅσοις μὲν γοῦν ἐν κυρίῳ μορίῳ φλεγμονώδης ὄγκος ἢ οἰδηματώδης ἢ σκιρρώδης ἐστίν, οὐ χρὴ τούτοις διδόναι τὸ ψυχρόν. οὐ μὴν οὐδ' ὅσοις ἔμφραξις ἢ σῆψις χυμῶν ἄπεπτος. Εἰ δ' ἐναργῆ βλέποις τὰ τῆς πέψεως σημεῖα χωρὶς τῶν εἰρημένων ὄγκων, ἐκεῖνο μόνον ἔτι διάσκεψαι, μή τι μόριον οὕτω ψυχρὸν εἴη τὴν κρᾶσιν, ὡς εἰς αὐτὸ κατασκῆψαι τὴν βλάβην. Ἐρυσίπελας δέ, τό γ' οὖν ἀκριβές, οὐκ ἂν ἄλλως ἰάσαιο. συμμιγὴς δ' εἴπερ εἴη φλεγμονή, τὰ τῆς πέψεως ἀναμεῖναι χρὴ γνωρίσματα. Ταῦτα μὲν οὖν ἐπὶ πλέον, ἢ κατὰ τὴν ἐνεστῶσαν ὑπόθεσιν. ὅθεν ἴσως καὶ αὖθις ἀναγκαῖον ἔσται ποτὲ δόσεως ψυχροῦ μνημονεῦσαι. νυνὶ γὰρ ὁ μὲν ἕτερος τῶν συνόχων, ἐπ' ἐμφράξει μόνῃ τὴν γένεσιν ἔχει. ὁ δ' ἕτερος, ἅμα σήψει καθ' ὅλας τὰς φλέβας. ὅταν οὖν ποτ' ἐπ' αὐτῶν ἴδῃς τὰ τῆς πέψεως τῶν χυμῶν σημεῖα, περὶ ὧν αὐτάρκως ἐν τοῖς περὶ κρίσεων εἴρηται, θαρρῶν διδόναι τὸ ψυχρόν. ἡ γάρ τοι φύσις τῶν στερεῶν τοῦ

ζώου μορίων ἐξωθεῖσθαι, τοῖς περιλελειμμένοις ἐπιτίθεται χυμοῖς. ὥσθ᾽ ὅσοι μὲν χρηστοὶ καὶ τρέφειν ἱκανοί, τούτους μὲν ἕλκειν εἰς ἑαυτά. τοὺς δ᾽ ἀχρήστους ἐκβάλλειν, ἤτοι διὰ τῆς γαστρός, ἢ διὰ τοῦ δέρματος. εἰ δὲ ψυχροπότης ὁ κάμνων εἴη, πάνυ θαῤῥῶν δίδου τὸ ψυχρόν, αὐτῇ τῇ πείρᾳ δεδιδαγμένος ἀνέχεσθαι πάντα τὰ σπλάγχνα τῆς ὁμιλίας αὐτοῦ, πάντως γὰρ εἴ τι ψυχρὸν οὕτως ὑπάρχον, ὡς πλήττεσθαι πρὸς αὐτοῦ κατὰ τὸν τῆς ὑγείας χρόνον, ἐναργῆ τὴν βλάβην ἐνεδείξατο ἄν. μηδενὸς δὲ μηδὲν μορίου βλαβέντος, οὐδ᾽ ἂν ἐν τῷ πυρέττειν βλαβείη τι. ὅπου γὰρ καὶ ἀηθεῖς ἔνιοι ψυχροῦ διὰ καυσώδη πυρετὸν ἀναγκασθέντες πιεῖν, οὐδὲν ἐβλάβησαν, οὔπου γε τῶν ἐθάδων ἄν τις βλαβείη, πρόβλημα μέγιστον ἔχων ἐξ ὑπερμέτρου τὸ πλῆθος τῆς θερμασίας. αὕτη γὰρ ἐν ταῖς εὐρυχωρίαις τῶν ἀγγείων πολλὴ περιεχομένη, τῆς ἀερώδους οὐσίας ἐν αὐτοῖς. καὶ προσέτι τῶν χυμῶν ἁπάντων ἐκπεπυρωμένων, ὅσον ὑπὸ τοῦ ψυχροῦ πάσχει ψυχομένη, τοσοῦτον εἰς αὐτὸ δρᾷ θερμαίνουσα. καὶ διὰ τοῦτο τοῖς ὀλίγον αἷμα καὶ σάρκας ἔχουσιν, ἡ πόσις τοῦ ψυχροῦ σφαλερωτέρα. ταχὺ γὰρ ἐπὶ τὰ στερεὰ τοῦ ζώου μόρια διικνεῖται μηδενὶ προσεντυγχάνον, ὑφ᾽ οὗ θραυσθήσεται. διὰ τοῦτο δὲ καὶ οἱ ἑκτικοὶ τῶν πυρετῶν οὔτ᾽ ἀκραιφνοῦς ὁμοίως οὔτε πολλοῦ χρήζουσι τοῦ ψυχροῦ, λεπτοῖς καὶ ὀλιγαίμοις τοὐπίπαν ἐγγινόμενοι σώμασιν. ἀλλὰ περὶ μὲν ἐκείνων, αὖθις εἰρήσεται. ἰάματα δὲ συνόχων πυρετῶν δύο ταῦτ᾽ ἐστὶ μέγιστα. φλεβοτομία καὶ ψυχρόν. ἀλλ᾽ ἐκείνη μὲν ἐν παντὶ καιρῷ, φερούσης γε τῆς δυνάμεως. ἡ δὲ τοῦ ψυχροῦ πόσις, ὅταν ἐν μὲν τοῖς σφυγμοῖς καὶ τοῖς οὔροις, τὰ τῆς πέψεως ἐναργῆ σημεῖα βλέπῃς. μέγιστος δὲ ὁ πυρετὸς εἴη.

Προσεπιβλέπειν δὲ τοῖς τῆς φλεβοτομίας σκοποῖς, τά τε προηγούμενα, καὶ τὰ πάντως ἐπακολουθοῦντα. προηγησαμένης γὰρ ἀπεψίας σιτίων, τοσοῦτον χρόνον ἀναβάλλεσθαι κελεύει τὴν φλεβοτομίαν, ὅσος ἂν ἱκανὸς εἶναί σοι δόξῃ πρός τε τὴν πέψιν αὐτῶν καὶ τὴν τῶν περιττωμάτων ὑποχώρησιν. ἑπομένης δέ τινος ἐξ ἀνάγκης κενώσεως, ἀπολιπεῖν αὐτῇ τοῦ περιττοῦ τοσοῦτον, ὅσον μέλλει κενώσει. ὥστε εἴτε καταμήνια τύχοι κινηθέντα κατὰ τὸν τῆς φλεβοτομίας καιρόν, εἴτ᾽ αἱμοῤῥοῒς ἀναστομωθεῖσα, θεασάμενος τοῦ φερομένου τὴν ὁρμήν, εἰ μὲν ἱκανὸν αὐτὸ φαίνοιτο μόνον ἐκκενῶσαι τὸ δέον, ἐπιτρέπειν τῇ φύσει τὸ σύμπαν. εἰ δὲ μή, τοσοῦτον ἀφαιρεῖν αὐτοῦ, ὡς ἐξ ἀμφοῖν συντεθέντων ἀνυσθῆναι τὸ προσῆκον. ὥσπερ δ᾽ ἐπὶ τούτων, τὴν φυσικὴν κένωσιν αἰσθητὴν οὖσαν, οὐ μικρὸν χρὴ τίθεσθαι σκοπὸν οὕτως ἑτέρωθι τὴν φύσιν, ἢ τὴν ἡλικίαν ἢ τὴν κατάστασιν. ἔνιοι μὲν γὰρ εὐδιαφόρητοι φύσει. παῖδες δ᾽ ἀεὶ διὰ τὴν ἡλικίαν. ἡ κατάστασις δ᾽ ὅταν ᾖ θερμή τε ἄγαν καὶ ξηρά, καλῶ δὲ δηλονότι κατάστασιν, τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν, ἐν ᾗ καὶ χώρα καὶ ὥρα περιείληπται. καὶ γὰρ καὶ τούτων ἑκάτερον ἔχει τὴν ἔνδειξιν ἐκ τῆς τοῦ περιέχοντος κράσεως. εὐδιαφόρητοι δ᾽ εἰσίν, οἱ ὑγροὶ τὴν φύσιν ἅπαντες, καὶ μᾶλλον ἅμα θερμότητι. καὶ οἱ ἀραιοὶ τὴν ἕξιν. ἔτι δ᾽ οἷς τὸ στόμα τῆς γαστρὸς ἢ πικρόχολον, ἢ ἄῤῥωστον, ἢ πέρα τοῦ δέοντος αἰσθητικόν. οὗτοι μὲν οὖν οἱ ἀντιπράττοντες τῇ φλεβοτομίᾳ σκοποί. συνενδεικνύμενοι δ᾽ αὐτὴν τῇ πρώτως χρηζούσῃ διαθέσει, σκληρὰ μὲν ἡ ἕξις καὶ πυκνή, καὶ τὸ σύμπαν φάναι, δυσδιαφόρητος. ὑγρὸν δὲ ἢ ψυχρὸν τὸ περιέχον. εὐλόγως δή που τὰ μὲν συνενδείκνυται τὴν φλεβοτομίαν. τὰ δέ, ἀντενδείκνυται. κένωσις μὲν γὰρ αὐτῆς, ὁ σκοπός. τῶν δ᾽ εἰρημένων τὰ μὲν ἐπέχει τὰς διαπνοάς. τὰ δέ, προτρέπει. καὶ τὰ μὲν εὐκένωτά ἐστι. τὰ δέ, οὔ. κωλύει μὲν οὖν διαπνεῖσθαι τὰ σώματα, στέγνωσίς τε τῶν πόρων καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ὑγρότης τε καὶ ψύξις. προτρέπει δὲ τὰ τούτων ἐναντία. τῶν κενουμένων δ᾽ αὐτῶν τὰ μὲν ὑγρὰ καὶ θερμὰ καὶ λεπτά, διαφορεῖται τάχιστα. τὰ δὲ παχέα καὶ γλίσχρα, καὶ ψυχρά, δυσδιαφόρητά ἐστι. ταυτὶ μὲν οὖν εἴς γε τὰ παρόντα περὶ φλεβοτομίας τε καὶ ψυχρᾶς πόσεως, ἐγνῶσθαι κάλλιον. ἅπερ ἀμφότερα, πολλοὺς ἐθεασάμην δεδιότας ἀγυμνάστους ἰατρούς. ὧν τοὺς μὲν αἱμοφόβους. τοὺς δέ, ψυχροφόβους ὀνομάζομεν. ὥσπερ ὑδροφόβους, τοὺς λυττῶντας. εἰσὶ γὰρ ἀμέλει καὶ τούτων ἔνιοι διὰ τὴν περὶ τὰ δόγματα σπουδήν, οὐκ ἐν βραχείᾳ λύττῃ. καταλιπόντες οὖν αὐτούς, ἐχώμεθα τῶν ἐξ ἀρχῆς ἡμῖν προκειμένων, ἀναμνησθέντες, ὡς ἐκ τῶν ἐφημέρων πυρετῶν, ὁ λόγος εἰς τοὺς συνόχους ἀφίκετο τῇ κοινωνίᾳ τῶν συμβαινόντων αὐτοῖς. ἐπειδὴ γὰρ ἡ τῆς ἐμφράξεως διάθεσις ὅταν μὲν αὐτή τε σμικρὰ τύχοι καὶ καλῶς παιδαγωγηθῇ, τὸν ἐφήμερον ἐργάζεται πυρετόν. ὅταν δ᾽ ἤτοι διὰ μέγεθος ἢ δι᾽ ἀμαθίαν ἰατρῶν ἐκπέσοι τοῦ συνήθους χρόνου τῶν ἐφημέρων, ἤτοι σύνοχον, ἤ τινα τῶν περιοδιζόντων, εἰκότως ὁ περὶ τοῦ τοῖς ἐφημέροις ὁμογενοῦς συνόχου λόγος, ἡμᾶς ἐξεδέξατο. διὰ δὲ τούτων εὐθέως, καὶ ὁ περὶ τοῦ μετὰ σήψεως χυμῶν. ἔδοξέ τε βέλτιον εἶναι σαφηνείας ἕνεκα καὶ γυμνασίας ἑνὸς ἀῤῥώστου μνημονεῦσαι καθ᾽ ἑκάτερον εἶδος τῶν πυρετῶν. ἐπεὶ τοίνυν πέπρακται τοῦθ᾽ ἡμῖν, ἐναργῶς τε δέδεικται δι᾽ αὐτῶν, ὅπερ ἐν τῷ πρὸ τούτου γράμματι κατὰ τὴν τελευτὴν ἐλέχθη, τὸ χρῆναι τὰς ἐνδείξεις ἐπὶ τῶν ἄλλων πυρετῶν, ὅσοι μηκέτ᾽ εἰσὶν ἐφήμεροι, μὴ μόνον ἀπὸ τῶν ἐν ἐκείνῳ τῷ λόγῳ διδαχθέντων σκοπῶν, ἀλλὰ καὶ τῆς τῶν πυρετῶν ἐργαζομένης αἰτίας, καὶ τῆς τοῦ κάμνοντος δυνάμεως λαμβάνεσθαι, πάλιν ἐπὶ τὴν καθόλου γυμνασίαν ἀνέλθωμεν. εὖ εἰδότες ὡς οὐχ οἷόν τ᾽ ἐστὶ τέχνης οὐδὲ μιᾶς ἐπιστήμην κτήσασθαι, χωρὶς τοῦ μέθοδον μέν τινα διὰ τῶν καθόλου λεγομένων θεωρημάτων, ἄσκησιν δὲ διὰ τῶν ἐν μέρει λαμβάνειν παραδειγμάτων. οὔτε γὰρ οἷόν τε χωρὶς τοῦ γυμνάσασθαι πολυειδῶς ἐν τοῖς κατὰ μέρος ἐπὶ τῶν καμνόντων ἃ χρὴ πράττειν, οὔτ᾽ αὐτὴν τὴν γυμνασίαν ἐγχωρεῖ γίγνεσθαι προσηκόντως ἄνευ τῆς τῶν καθόλου γνώσεως. ἐν ἐκείνοις μὲν γὰρ ἡ μέθοδος. ἡ δ᾽ ἄσκησις, ἐν τοῖς κατὰ μέρος. ὥσπερ οὖν ὅσοι βαδίσαι τινὰ ὁδὸν ἐφίενται, τοῖς σκέλεσιν ἀμφοτέροις ἐν μέρει χρῶνται, θατέρῳ δ᾽ εἴ τις σκάζων μόνῳ χρῷτο παμπόλλῳ τε χρόνῳ, καὶ μετὰ τοῦ σφάλλεσθαι πολλάκις ἀνύσει τὴν πορείαν, οὕτως ὅστις ἐπὶ τέλος ἡσινοδῷ ἀφικέσθαι τέχνης ἐθέλει, χρηστέον αὐτῷ τοῖς δύο τούτοις οἷόνπερ σκέλεσιν ἢ ὀργάνοις, ἢ ὅπως ἄν τις ὀνομάζειν βούληται. μεθόδῳ μὲν ἐν τοῖς καθόλου θεωρήμασιν. ἀσκήσει δ᾽ ἐν τοῖς κατὰ μέρος. ἀνελθόντες οὖν αὖθις ἐπὶ τὴν μέθοδον, ὑπὲρ τῆς τοῦ κάμνοντος ἐπισκεψώμεθα δυνάμεως. εἴτε συντελεῖ τι πρὸς τὴν θεραπείαν, εἴτ᾽ οὐδὲν ὅλως, ὡς ἔδοξέ τισιν. ἔοικε δὲ τοῖς ἄχρηστον εἰς θεραπείας εὕρεσιν εἶναι φαμένοις τὴν δύναμιν, οὐκ οἰκεία τοῖς ἔργοις τῆς τέχνης ἡ σκέψις, ἀλλὰ λογικωτέρα μᾶλλον ὡς σοφισταῖς γεγονέναι. λέγουσι μὲν γὰρ ἐκ τῆς διαθέσεως ἣν θεραπεύομεν, εἶναι τὴν ἔνδειξιν

ὧν χρὴ πράττειν, οὐκ ἐκ τῆς δυνάμεως. ἀμέλει καὶ ὥρας καὶ χώρας καὶ καταστάσεις καὶ ἡλικίας καὶ ἔθη καὶ κράσεις σωμάτων ἀχρήστους εἶναι φασὶν κατὰ τὸν αὐτὸν λόγον. εἶθ' ὅταν ἀναγκάζονται τὴν θεραπείαν ἐξαλλάττειν, διὰ ταῦτα τῶν ἐν ἀρχῇ ῥηθέντων ἑαυτοῖς ἐπιλανθανόμενοι, τὰ μὲν αὐτῶν ἀντενδείκνυσθαι φασὶν ἐνίοτε τοῖς θεραπευτικοῖς σκοποῖς. τὰ δ' εἰς ὕλας βοηθημάτων εἶναι χρήσιμα. καθάπερ καὶ τὰ μόρια τοῦ ζώου. καὶ γὰρ ἐπ' ἐκείνων, τὴν αὐτὴν στρέφονται στροφήν. ἐν ἀρχῇ μὲν τοῦ λόγου ἄχρηστα πρὸς τὴν τῆς θεραπείας εὕρεσιν ὑπάρχειν αὐτὰ φάσκοντες. ὕστερον δ' ὅταν ἐξελέγχωνται, πρὸς μὲν τὴν ἔνδειξιν τῆς θεραπείας, ἄχρηστα λέγοντες. εἰς δὲ τὴν τῆς ὕλης ἐξάλλαξιν ἢ εὕρεσιν, ἢ διαφορὰν, ἢ ποιότητα, καὶ γὰρ καὶ ὀνομάζουσιν οὐχ ὡσαύτως ἅπαντες, ἀναγκαῖα συγχωροῦντες ὑπάρχειν. ὅπερ οὖν εἶπον ἀρτίως, ἀναλήψομαι καὶ νῦν. ὡς ἐκ τοῦ χρησίμου τῆς τέχνης μεταβαίνοντες, εἰς λογικὴν ἀφικνοῦνται σκέψιν. Ἔστι μὲν γὰρ τὸ χρήσιμον ἐξευρεῖν βοηθήματα, δι' ὧν ὁ κάμνων θεραπευθήσεται. καταλιπόντες δ' ἐκεῖνοι τοῦτο, περὶ ὀνομάτων ἐρίζουσιν. ἐνδείξεις τε καὶ ἀντενδείξεις λέγοντες, καὶ κοινότητας, καὶ σκοποὺς καὶ ὕλας βοηθημάτων. ὅσα τ' ἄλλα τοιαῦτα τῇ διαφορᾷ τῶν ὀνομάτων ἀπολογεῖσθαι νομίζοντες, ὑπὲρ ὧν ἀπεφήναντο ψευδῶς. ἐγὼ δ' οὐ κωλύω μὲν αὐτοὺς ὀνόμασιν οἷς ἂν ἐθέλωσι χρῆσθαι. μεμνῆσθαι δὲ ἀξιῶ τῶν ἐξ ἀρχῆς προτεθέντων ἅπερ ἐστὶ βοηθημάτων εὑρέσεις. εἰς ἃς ὅ, τί περ ἂν φαίνηται συντελοῦν, ὁπωσοῦν ἀναγκαῖον αὐτὸ φατέον εἰς τὴν θεραπείαν ὑπάρχειν. οὕτως οὖν καὶ ἡ δύναμις ἔστ' ἀναγκαῖα σκοπεῖσθαι τοῖς ἰατροῖς ἐπὶ τῶν ἀρρωστούντων, ἔστ' οὐκ ἀναγκαῖα σκοπῶμεν. ἐγὼ μὲν γάρ φημι πολλάκις ἀναγκαιοτάτην ὑπάρχειν αὐτὴν ὡς πάντα σχεδόν τι τὰ περὶ τὸν κάμνοντα δι' ἐκείνην πράττεσθαι μόνην. ἔστι δ' ὅτε μετρίως ἀναγκαίαν, ὡς λαμβάνεσθαι μέν τι καὶ ἐξ αὐτῆς εἰς τὰ ποιητέα. μὴ μέν τοι πρὸς αὐτήν γε τὸ πᾶν κῦρος ἀναφέρεσθαι τῶν πρακτέων. αὖθις δ' ἂν σοι δείξαιμι τὴν δύναμιν οὕτω βραχὺ συντελοῦσαν εἰς τὴν τῶν βοηθημάτων εὕρεσιν, ὡς διὰ σμικρότητα καὶ λανθάνειν. ἐνίοτε καὶ παραπέμπεσθαι καὶ σιωπᾶσθαι, καθάπερ ὅλως οὐκ οὖσαν ἐκ τῶν χρησίμων σκοπῶν. ἀλλ' ὅπερ ἐπὶ τῆς δυνάμεως ἐστὶ, τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὑπάρχει τῶν ἐνδεικνυμένων. ἄλλο τε γὰρ αὐτῶν ἄλλο. τὸ μὲν ἧττον δύναται. τὸ δὲ, πλέον. ἐνίοτε δὲ οὕτως ἰσχυρόν ἐστιν, ὡς μόνον ἐνδείκνυσθαι δοκεῖν. ἢ οὕτως ἀσθενὲς, ὡς παραλείπεσθαι. Ταῦτ' οὖν ὑποδεικνῦντί μοι πρόσεχε τὸν νοῦν, ἐκεῖνο διὰ μνήμης ἔχων ὡς οὔτ' ἐν ἄλλοις τισὶ τὸ μέθοδον θεραπεύειν ἐστὶν, οὔτ' ἄλλός τις τῶν πρὸ ἡμῶν διωρίσατο πάνθ' ἑξῆς αὐτά. καί τοι γε ὑφ' Ἱπποκράτους εὑρημένης τῆς ὁδοῦ. ταύτῃ γὰρ ἃ νῦν ἐγὼ μέλλω διέρχεσθαι τὴν θεραπείαν ἐνδεικνύμενα, πρῶτος ἁπάντων ἐκεῖνος ἔγραψεν. ἀλλ' ὡς ἂν πρῶτος εὑρίσκων, οὔτε τὴν προσήκουσαν ἅπασιν ἐπέθηκε τάξιν, οὔτε τὴν ἀξίαν ἑκάστου τῶν σκοπῶν ἀκριβῶς ἀφωρίσατο. παρέλιπέ τε τινὰς ἐν αὐτοῖς διορισμοὺς, ἀσαφῶς τε τὰ πλεῖστα διὰ παλαιὰν βραχυλογίαν ἑρμήνευσε. καὶ δὴ καὶ περὶ τῶν ἐπιπεπλεγμένων διαθέσεων, ὀλίγιστα παντάπασιν ἐδίδαξε. συνελόντι δὲ φάναι, τὴν ἐπὶ τὰς ἰάσεις ὁδὸν ἅπασαν μέν μοι δοκεῖ τέμνεσθαι. δεομένην μέν τοι γε ἐπιμελείας εἰς τὸ τέλεον. ὥσπερ καὶ νῦν ὁρῶμεν ἐνίας τῶν ἐπὶ τῆς γῆς ὁδῶν τῶν παλαιῶν, ἢ πηλώδεις τι μόριον ἑαυτῶν, ἢ λίθων, ἢ ἀκανθῶν πλήρεις, ἢ λυπηρῶς ὀρθίους, ἢ κάταντες σφαλερῶς, ἢ θηρίων πλήρεις, ἢ διὰ μέγεθος ποταμῶν δυσβάτους, ἢ μακρὰς, ἢ τραχείας κεκτημένας. ἀμέλει ταῦτ' ἐχούσας ἁπάσας τὰς ἐπὶ τῆς Ἰταλίας ὁδοὺς, ὁ Τραϊανὸς ἐκεῖνος ἐπανωρθώσατο. τὰ μὲν ὑγρὰ καὶ πηλώδη μέρη, λίθοις στρωννὺς, ἢ ὑψηλοῖς ἐξαίρων χώμασιν. ἐκκαθαίρων δὲ τά τε ἀκανθώδη, καὶ τραχέα, καὶ γεφύρας ἐπιβάλλων τοῖς δυσπόροις τῶν ποταμῶν. ἔνθα δ' ἐπιμήκης οὐ προσηκόντως ὁδὸς ἦν, ἐνταῦθα σύντομον ἑτέραν τεμνόμενος. ὥσπερ καὶ εἰ δι' ὕψος λόφου χαλεπὴ, διὰ τῶν εὐπορωτέρων χωρίων ἐκτρέπων. καὶ εἰ θηριώδης ἢ ἔρημος, ἐξιστάμενος μὲν ἐκείνης, ἐφιστάμενος δὲ εἰς τὰς λεωφόρους. ἐπανορθούμενος δὲ καὶ τὰς τραχείας. οὔκουν χρὴ θαυμάζειν εἰ μαρτυροῦντες Ἱπποκράτει τὴν εὕρεσιν τῆς θεραπευτικῆς μεθόδου, γράφειν ἐπεχειρήσαμεν αὐτοὶ τήνδε τὴν πραγματείαν. οὐ γὰρ ὡς οὐδ' ὅλως εὑρεθείσης αὐτῆς, ἀλλ' ὡς δεομένης ὧν ὀλίγον ἔμπροσθεν εἶπον, ἐπὶ τήνδε τὴν συγγραφὴν ἧκον. οὐδένα τῶν πρὸ ἐμοῦ συμπληρώσαντα τὴν μέθοδον εὑρών. ἔνιοι μὲν γὰρ οὐκ ἔγνωσαν ὅλως αὐτήν. ἔνιοι δὲ γνῶντες, οὐκ ἠδυνήθησαν προσθεῖναι τὸ λεῖπον. εἰσὶ δ' οἳ καὶ κατακρύψαι καὶ συσκιάσαι προείλοντο, καὶ ἀφανῆ ποιῆσαι παντάπασιν. οἵτινες δ' εἰσὶν οὗτοι, προϊόντος ῥηθήσεται τοῦ λόγου. νυνὶ δ' ὅπερ ὑπεσχόμην, ἤδη ποιήσω. πάντας ἑξῆς ἐκθήσομαι τοὺς θεραπευτικοὺς σκοπούς. Ἀρχὴ δ' αὐτῶν εἰς σαφήνειαν χρήσιμος, ἀνάμνησις ὧν ἐν τῷ πρὸ τούτου γράμματι διῆλθον, ὑπὲρ τῶν ἐφημέρων πυρετῶν διαλεγόμενος. ἐφαίνετο γοῦν ἐπ' ἐκείνων ἔνδειξις ἡ πρώτη μὲν καὶ, ὡς ἂν εἴποι τις, κυριωτάτη, τὴν διάθεσιν τοῦ νοσοῦντος ἐκκόπτειν. ὥσπερ ἐπὶ τῶν ὑγιαινόντων ἐδείχθη, φυλάττειν. ἀλλ' ὥσπερ τηρεῖται διὰ τῶν ὁμοίων, οὕτως ἀναιρεῖται διὰ τῶν ἐναντίων. συνενδείκνυσθαι δ' ἐλέγομεν εἰς τὴν τῶν ἰαμάτων εὕρεσιν, αὐτήν τε τοῦ σώματος τὴν κρᾶσιν, ἅμα τοῖς ἔθεσι. καὶ τὴν χώραν καὶ τὴν ὥραν, καὶ τὴν κατάστασιν. ἐφ' ὧν δὲ νοσημάτων ἐξαίρετός τις ἐν ἑνὶ μορίῳ τοῦ ζώου διάθεσις ἐγένετο, καθάπερ ἐπὶ τῶν ἐγκαύσεων ἐν τῇ κεφαλῇ, λαμβάνεσθαί τινα κἀκ τοῦ μέρους τούτου ἔνδειξιν. οὐ μὴν ἐν ἐκείνῳ γε τῷ γράμματι περὶ τῆς δυνάμεως, ἢ τὴν διάθεσιν ἐργαζομένης αἰτίας, εἴρηταί τι. διὰ τὸ τὴν μὲν δύναμιν, οὐδὲ μιᾶς ἐξαιρέτου δεῖσθαι προνοίας ἐν τοῖς ἐφημέροις πυρετοῖς, ὡς ἂν ἐρρωμένην τοὐπίπαν. διάθεσίν τε οὐδὲ μίαν εἶναι τὸν ἀκριβῶς ἐφήμερον πυρετὸν, ἤτοι γεννῶσαν ἢ αὐξάνουσαν. ἑκατέρως γὰρ ἐγχωρεῖ λέγειν. ἀλλὰ νῦν γε περὶ πρώτης διελθὼν τῆς δυνάμεως, ἑξῆς ἐπὶ τὰς γεννώσας αἰτίας τὸν πυρετὸν ἀφίξομαι τῷ λόγῳ. διοικοῦσι τὸ ζῶον, ὡς ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπεδείκνυτο, τρεῖς ἑτερογενεῖς ἀλλήλων δυνάμεις, ὥσπερ ἐκ πηγῆς τινος ἰδίας ἑκάστη, παντὶ τῷ σώματι διανεμόμεναι. καλεῖ δ' αὐτὰς ὁ Πλάτων ψυχὰς, ἰδίαν ἑκάστης εὑρίσκων τὴν οὐσίαν. ἔστι δ' ἡ μέν τις αὐτῶν εἰς τὸ τρέφεσθαι τὸ ζῶον ἀναγκαία, καὶ κοινὴ πρὸς τὰ φυτά. τὴν μὲν οἷον πηγὴν ἔχουσα, τὸ ἧπαρ. ὀχετοὺς δ' ἐξ αὐτῆς εἰς ὅλον τὸ σῶμα διαφερομένους τὰς φλέβας. ἣν εἴτ' ἐπιθυμητικὴν, εἴτε φυσικὴν, εἴτε θρεπτικὴν ὀνομάζοις, οὐδὲν διοίσει. καθάπερ οὐδὲ εἰ ψυχὴν, ἢ δύναμιν. ἑτέρα δ' οὐ μόνον ὡς φυτοῖς ἡμῖν ἢ ζῶσιν, ἀλλὰ καὶ ὡς ζώοις ὑπάρχουσα ψυχὴ κατὰ τὴν καρδίαν ἵδρυται, πηγή τις οὖσα καὶ ἥδε τῆς ἐμφύτου θερμασίας. ὀχετοὶ δὲ καὶ ταύτης τῆς πηγῆς, αἱ ἀρτηρίαι, καλουμένης καὶ αὐτῆς,

ὀνόμασι

ὀνόμασι πολλοῖς· ἡ γὰρ δύναμις ζωτική, καὶ δύναμις θυμοειδής, καὶ ψυχὴ θυμοειδὴς ὀνομάζεται. τρίτη δ' ἐν ἐγκεφάλῳ καθίδρυται ψυχὴ λογική, τὴν κατὰ προαίρεσιν ἐνέργειαν, ἅμα ταῖς αἰσθήσεσιν ἐξηγουμένη. χρῆται δὲ μορίοις καὶ ἤδη, καθάπερ ὀχετοῖς τισι τοῖς νεύροις αἴσθησίν τε καὶ κίνησιν ἐπιπέμπουσα δι' αὐτῶν τῷ ζώῳ παντί. τὸ μὲν δὴ ταύτας φυλάττειν τὰς δυνάμεις, οὐδὲν ἄλλο ἐστίν, ἢ τὸ φυλάττειν τὴν ζωήν. ἐλέχθη γὰρ ὅπως ἀπολομένης ἡστινοσοῦν ἐξ αὐτῶν μιᾶς, ἀναγκαῖόν ἐστι καὶ τὰς λοιπὰς συναπόλλυσθαι. καὶ διὰ τοῦτο κατὰ τὴν ὑγιεινὴν πραγματείαν, ὁ σκοπὸς ἡμῖν οὗτος ἦν. ἐπὶ δὲ τῆς θεραπευτικῆς, ὁ μὲν πρῶτος σκοπός, ἀνάλογον τῷ κατὰ τὴν ὑγιεινήν, ἡ τοῦ νοσήματος ἀναίρεσίς ἐστιν. οἷον γὰρ ἐπ' ἐκείνης τὸ φυλάξαι τὴν ὑγείαν ὑπάρχει, τοιοῦτον ἐπὶ ταύτης ἐκκόψαι τὴν νόσον. ἐν δ' ἀμφοτέραις αὐταῖς κοινόν, ἡ φυλακὴ τῆς ζωῆς. ἐπὶ μὲν τῆς ὑγιεινῆς πραγματείας, ἑπομένη τῇ φυλακῇ τῆς ὑγείας. ὃ γὰρ ἂν ὑγείας ἕνεκα πράττοιτο, τοῦτ' εὐθέως ἐστὶ καὶ τῆς ζωῆς φυλακτικόν. ἐπὶ δὲ τῆς θεραπευτικῆς, οὐκέτι. διὰ τὸ τὰ λυτικὰ τῶν παρὰ φύσιν ἐν ἡμῖν διαθέσεων, οὐκ ἐξ ἅπαντος φυλάττειν τὴν ζωήν. ἔνια γοῦν ἐξ αὐτῶν ἐστι τοιαῦτα ταῖς δυνάμεσιν, ὥστε ἀμετρότερον ἢ ἀκαιρότερον αὐτοῖς χρησαμένων, ἀπόλλυσθαι τὴν ζωήν. ἐπὶ γοῦν τῆς φλεβοτομίας, ἣν ὀλίγον ἔμπροσθεν ἄχρι λειποθυμίας ἐλέγομεν χρῆναι ποιεῖσθαι, χάριν τοῦ σβέσαι τὴν φλόγα τῶν ἐπὶ στεγνώσει συνόχων, οὐ σμικρόν τι τὸ βλάβος εἰκὸς ἀκολουθήσειν, εἰ μὴ κατὰ τὸν προσήκοντα καιρὸν ἢ τὸ δέον ἀποτελεσθείη μέτρον. δύο οὖν ἀνθρώπους ἀπολλυμένους εἶδον ἐν αὐταῖς τῶν ἰατρῶν ταῖς χερσί. λειποθυμήσαντας μέν, ἀνακομισθέντας δ' οὐκέτι. πολλοὶ δὲ εἰ καὶ μὴ παραχρῆμα διεφθάρησαν, ἀλλ' ἐξ ὑστέρου γε διὰ τὸν τῆς δυνάμεως κάματον. οὓς εἴ τις ἐκένωσεν ἄνευ τοῦ καταλῦσαι τὴν δύναμιν, οὐκ ἂν ἀπώλοντο. καὶ μέν γε καὶ εἰς νόσον ἔνιοι μακρὰν ἐξέπεσον, ἐπὶ κενώσεσιν ἀμέτροις ἐκλυθείσης τῆς δυνάμεως. ἄλλοι δ' εἰς τὸν ἐφεξῆς βίον ἅπαντα, τὴν κρᾶσιν ὅλου τοῦ σώματος ἔσχον ψυχροτέραν, οὐ δυνηθέντος οὐκέτ' ἀνακαλέσασθαι τὴν ἐκ τῆς ἀμέτρου κενώσεως βλάβην. ἐξ ἧς ψυχρότητος οἱ μέν, ἄχροοί τε καὶ καχέκται καὶ ῥᾳδίως ἐπὶ παντὶ βλαπτόμενοι, διετέλεσαν. ἄλλοι δ' ἐξ αὐτῆς ταύτης, νοσήμασιν ἑάλωσαν ὀλεθρίοις, ὑδέροις, καὶ ὀρθοπνοίαις, καὶ ἥπατος ἀτονίαις καὶ γαστρός, ἀποπληξίαις τε καὶ παραπληξίαις. Εἰς τοσοῦτον οὖν ἀναγκαίας οὔσης τῆς δυνάμεως, ἁπάντων αὐτὴν τῶν κενωτικῶν βοηθημάτων ὅταν ἀμετρότερον αὐτοῖς τις χρήσαιτο βλαπτόντων, ἐναντιούμεναι δηλονότι πρὸς ἀλλήλας αἱ ἐνδείξεις γίγνονται, κατὰ τὰ τοιαῦτα τῶν σωμάτων. ἐν οἷς ἡ μὲν διάθεσις ἵνα λυθῇ, δεῖται κενώσεως ἀξιολόγου. φέρειν δ' αὐτὴν ἡ δύναμις οὐ δύναται. πολλάκις δ' οὐδὲν ὑπὸ τῆς κενώσεως ἡ δύναμις βλαπτομένη, παροράται τοὐντεῦθεν ὑπὸ τῶν ἀσκέπτων τε ἅμα καὶ προπετῶν ἰατρῶν, ὡς οὐδέ ποτε οὐδὲν ἐνδεικνυμένη. σφάλλονται δὲ ὡς εἴρηται διὰ τὸ μὴ γινώσκειν, ὡς ἄλλου μέν τινος ἕνεκεν ἡ δύναμις σκοπὸς τῶν ποιητέων ἐστίν. εἰς δὲ τὴν λύσιν τῆς διαθέσεως, οὐδὲν ἐνδείκνυται. ὥσπερ οὖν ἐπὶ τῶν ὑγιαινόντων, ἕπεται διὰ παντὸς τοῖς ἕνεκα τῆς ὑγείας πραττομένοις, καὶ οὐδὲν ἐστὶν εὑρεῖν τὸ φυλακτικὸν ὑγείας ἀναιρετικὸν τῆς δυνάμεως, οὕτως ἐπὶ τῶν νοσούντων ἐνίοτε μὲν ἕπεται τοῖς ὡς πρὸς τὴν λύσιν αὐτοῦ πραττομένοις, ἐνίοτε δ' ἀναιρεῖται πρὸς αὐτῶν. εἰ μὲν γὰρ ὀλίγον τῆς δυνάμεως εἴη τὸ πλῆθος ἰσχυρότερον, ἐπὶ ταῖς συμμέτροις κενώσεσιν οὐ μόνον οὐδεμία βλάβη τῆς δυνάμεως, ἀλλὰ καὶ ὠφέλεια μεγίστη γίνεται τοῦ βαρύνοντος αὐτὴν ἀρθέντος. εἰ δ' ἵνα μὲν ἡ διάθεσις ἰαθῇ, πολλῆς χρεία τῆς κενώσεως εἴη. καταλύοιτο δὲ ὑπὸ τῆς τοσαύτης ἡ δύναμις. οὐ μόνον αὖ πάλιν οὐδὲν ὀνήσεται πρὸς αὐτῆς ὁ ἄνθρωπος, ἀλλὰ καὶ κινδυνεύσει τὰ μέγιστα.. Κατὰ μὲν οὖν τὰς ἐπὶ στεγνώσει συνόχους ἰσχυρᾶς οὔσης ὡς τὰ πολλὰ τῆς δυνάμεως, ἀκίνδυνος ἡ κένωσις. ἐν ἑτέροις δὲ νοσήμασιν, ἐσχάτως ἐστὶ κινδυνώδης. οἷον ἐπὶ τῆς διαφθορᾶς εἰ τύχη τῶν χυμῶν. ἐν καιρῷ γὰρ ἂν εἴη μνημονεύειν αὐτῆς, ὑπὲρ τοῦ καὶ τοὺς τῆς φλεβοτομίας ἅπαντας σκοποὺς, ἐν τούτῳ τῷ βιβλίῳ διορίζειν. Τὸ τοίνυν διεφθαρμένον ἀλλότριόν ἐστι τῇ φύσει, τὸ τοιοῦτον δ' ἐνδείκνυται τὴν ἄρσιν. ἐὰν οὖν ἡ διαφθορὰ ποτὲ μετὰ δυνάμεως ἀσθενοῦς συμπέσῃ, μάχεται τῆς διαθέσεως τὸ βοήθημα τῇ φυλακῇ τῆς δυνάμεως. ἡ μὲν γὰρ διάθεσις, ἐνδείκνυται τὴν κένωσιν ἤτοι διὰ φλεβοτομίας, ἢ καθάρσεως. οὐδετέραν δ' αὖ ἡ ἄρρωστος οἴσει δύναμις. ἐπεὶ τοίνυν ἐν ἁπάσαις ταῖς τοιαύταις μάχαις ἄπορος ἡ βοήθεια γίνεται, ποτὲ μὲν ὅλως ἀνίατος ἡ διάθεσις ἔσται, ποτὲ δὲ ἐν χρόνῳ καὶ μόγις ἰατροῦ μεγάλου τυχοῦσα, δύναιτ' ἂν ἰαθῆναι. χρὴ γὰρ δηλονότι κατὰ τὰς τοιαύτας ἐναντιώσεις τῶν ἐνδείξεων, κατὰ βραχὺ μὲν ἐκκενοῦν τὸ μοχθηρόν, κατὰ βραχὺ δ' ἀντ' αὐτοῦ τὸ χρηστὸν ἐντιθέναι. καλεῖται δ' ἐπίκρασις ὑπὸ τῶν ἰατρῶν, ἡ τοιαύτη θεραπεία τῆς κακοχυμίας. Μεμνῆσθαι δέ μοι πρὸς τὰ μέλλοντα καὶ τοὺς τῆς φλεβοτομίας σκοπούς. ἐπειδὴ γὰρ αἵματός ἐστι κένωσις ἡ φλεβοτομία, καὶ χρηστὸν τῇ φύσει τὸ αἷμα, χρὴ δήπου καλῶς αὐτὴν γίγνεσθαι τὸ ἄχρηστον τῇ φύσει κενοῦσαν. ἄχρηστον δὲ γίγνεται τῇ φύσει τὸ αἷμα διττῶς. ἢ τὸ μὴ φυλάττον ἀκριβῶς τὴν ἑαυτοῦ ποιότητα, καὶ δὲ τρέφειν ἔτι δυνάμενον ὡς πρόσθεν χρηστόν, ἢ τὸ πλῆθος τοσοῦτον γενόμενον, ὡς ἤτοι βαρύνειν τὴν δύναμιν, ἢ τείνειν, ἢ ῥήσσειν, ἢ ἐμφράττειν τάς τε ἀρτηρίας καὶ τὰς φλέβας. ἐν τούτοις μὲν ἡ φλεβοτομία χρήσιμος, ὡς ἕν τι καὶ αὐτὴ τῶν κενωτικῶν βοηθημάτων. ἐν ἑτέροις δ' ὡς ἀντισπαστικόν, ἢ παροχετευτικόν, ὅταν ὁρμὴν χυμῶν σφοδροτέραν ἤτοι γε εἰς τοὐναντίον ἀντισπάσωμεν δι' αὐτῆς, ἢ παροχετεύσωμεν εἰς τὰ πλάγια. δεῖται δ' ἀεὶ δυνάμεως ἰσχυρᾶς ἐξαρκούσης τῷ ποσῷ τῆς κατ' αὐτὴν κενώσεως. Ἐκ τούτων οὖν τῶν σκοπῶν, ἐνίοτε μὲν ἅπαξ ἀφαιροῦμεν αἵματος. ἐνίοτε δὲ, δίς, ἢ τρίς, ἢ πλεονάκις, ὡς κἀν τοῖς ἑξῆς ἔσται δῆλον. Ἐν δὲ τῷ παρόντι, τοῦθ' ἡμῖν δέδεικται σαφῶς ὅτι τῶν κενωτικῶν βοηθημάτων ἐνίοτε μὲν ἀλύπως ἡ δύναμις ἀνέχεται μήτε ὀνιναμένη πρὸς αὐτῶν μηδὲν ὅτι καὶ ἄξιον λόγου, μήτε βλαπτομένη. πολλάκις δ' ἤτοι μᾶλλον ἢ ἧττον ὠφελεῖταί τε καὶ βλάπτεται, καὶ ὡς ὁπόταν μὲν ἀξιόλογον γένηται τὸ βλάβος ἐκ τῶν κενωτικῶν βοηθημάτων, ἐναργῶς φαίνεται τηνικαῦτα ἡ δύναμις ἐνδεικνυμένη τι καὶ αὐτὴ χρήσιμον. ὥσπερ γε καὶ ὁπόταν ὠφελεῖται σαφῶς. ὁπόταν δὲ μήτε ὄφελος αὐτῇ τι μήτε βλάβος ἐκ τῶν τὴν διάθεσιν ἀνασκευαζόντων γένηται, παροράται μὲν τηνικαῦτα ὡς ἄχρηστος. μία δὲ κἀν ταύτης ἐστὶ διαπαντὸς ἡ τοῦ συμφέροντος ἔνδειξις. ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων. κατὰ γὰρ τὴν ἑαυτοῦ φύσιν ἐνδεικνυμένων ἕκαστον, ἓν ἐνδείξεται διαπαντὸς ὡς ἂν καὶ μίαν ἔχον τὴν φύσιν. καὶ τοῦτο ἕν, εἰ μὲν ἁπλοῦν εἴη, τὸ τὴν ἔνδειξιν ποιούμενον, ἁπλοῦν ἔσται καὶ αὐτό. συνθέτου δ' ὑπάρχοντος ἐκείνου, καὶ τοῦτ' ἔσται σύνθετον.

Ἔνια μὲν οὖν ἐνδείκνυται τὴν ἑαυτοῦ φυλακήν, ἔνια δὲ τὴν ἀναίρεσιν. ὁποτέρως δ' ἂν τοῦτο ποιῇ, τὸ μὲν ἁπλοῦν, ἁπλῶς τε καὶ τὴν ἔνδειξιν ἔχει. τὸ δ' οὐχ ἁπλοῦν, οὐχ ἁπλῶς. διὰ τοῦτο ἐν τοῖς ἔμπροσθεν ἀεὶ τὴν μὲν ἁπλῆν δυσκρασίαν, ἁπλῶς καὶ τὴν ἔνδειξιν ἔφαμεν ποιεῖσθαι. καθάπερ, εἰ τύχοι, ὡδὶ ψύξεως τὴν θερμότητα. τὴν δ' οὐχ ἁπλῆν, οὐδὲ τὴν ἔνδειξιν ἔχειν ἁπλῆν. τὴν γὰρ θερμὴν καὶ ξηρὰν δυσκρασίαν ἐνδείκνυσθαι τὴν ἴασιν ἑαυτῆς διά τε τῶν ὑγραινόντων τε καὶ τῶν ψυχόντων. ἕξει τοίνυν καὶ ἡ δύναμις ἀεὶ τὴν ἔνδειξιν μίαν. ἥτις ἐστὶν ἑαυτῆς φυλακή. ἐκ τίνων οὖν φυλαχθήσεται; κατὰ μὲν τὸν πρῶτον λόγον, ἐκ τοῦ τῆς οὐσίας αὐτῆς τὸ κενούμενον ἢ ἀλλοιούμενον ἐπανορθοῦσθαι. κατὰ δεύτερον δ' ἐκ τοῦ κωλύειν ἡμᾶς τὰ κενοῦν ἢ ἀλλοιοῦν τὴν οὐσίαν αὐτῆς δυνάμενα. περιλαμβανέσθω δ' ἐν τοῖς ἀλλοιοῦσι βραχυλογίας ἕνεκα, καὶ τὰ τὴν συνέχειαν ἑαυτῆς διασπῶντα. ταύτης οὖν ἀεὶ τῆς δυνάμεως ἐνδεικνυμένης, ἐπὶ μὲν τῶν ὑγιαινόντων ὡς εἴρηται, συμφωνία τῶν πραττομένων ἁπάντων ἐστὶν εἰς τὴν διαμονὴν αὐτῆς. ἐπὶ δὲ τῶν νοσούντων, οὐκ ἀεί. κἂν τούτῳ χρὴ σκοπεῖσθαι τὸ ἐπικρατοῦν ἤτοι κατὰ τὸ μέγεθος, ἢ καὶ κατὰ τὴν ἀξίαν, ὡς καὶ πρόσθεν ἐλέγετο. μέγιστον μὲν οὖν ἀξίωμα τὸ τῶν δυνάμεων ἐστίν. αὐτὸ γὰρ τὸ ζῆν ἡμῖν, ἐκ τῆς τούτων ὑπάρχει φυλακῆς. ἐπειδὴ καὶ τὴν ζωὴν ἀναγκαῖοι ἤτοι αὐτὰς τὰς δυνάμεις ἢ τὰς ἐνεργείας αὐτῶν ὑπάρχειν. οὐδὲν δ' ἂν εἴη τῆς ζωῆς πρῶτον ἐν τοῖς τῶν ζῴων σώμασιν, ὅτι μὴ δ' ὑγιαίνειν οἷόν τε χωρὶς τοῦ ζῆν. ἡ δύναμις οὖν ἁπάντων πρώτου φυλακτέα τοῖς ἀνθρώποις ἐστὶν ἐκ τοῦ μήτε κενοῦσθαι τὴν οὐσίαν αὐτῆς, μήτ' ἀλλοιοῦσθαι τοσαύτην ἀλλοίωσιν, ὅση πλησιάσει φθορᾷ. καὶ ταύτης τῆς φυλακῆς ἐστὶ μόριον, ὅταν τὴν εὐκρασίαν, ἤτοι φυλάττομεν οὖσαν, ἢ οὐκ οὖσαν ἐργαζόμεθα. Μετὰ δὲ τὴν δύναμιν, ἡ ἀπὸ τῶν διαθέσεων ἐστὶν ἔνδειξις, ἃς θεραπεύειν πρόκειται. κἄπειτα ἑξῆς τἄλλα. πᾶν οὖν ὅπερ ἂν μάχηται τῇ ἀπὸ τῆς δυνάμεως ἐνδείξει, δεύτερόν ἐστι καὶ ὕστερον ὧν ἐκείνη κελεύει. τὰ δ' εἰς ταὐτὸ συμβαίνοντα τοῖς ἐκείνῃ συμφέρουσιν, ἀμφοτέρας ἔχει τὰς ψήφους, καὶ τὴν τῶν πρωτείων, ὡς ἂν εἴποι τις, καὶ τὴν τῶν δευτερείων. ὥστε ταῦτα μὲν ἀναμφισβητήτως ποιητέα. τὰ δ' ἐναντιούμενα ποτὲ μὲν οὐδόλως ἐστὶ ποιητέα. ἐνίοτε δ' ἐπ' ὀλίγον. Εἰ γὰρ ἡ διάθεσις ἣν θεραπεύειν προαιρούμεθα χρῄζοι κενώσεως, ἄρρωστος δ' ἡ δύναμις ἐσχάτως ὑπάρχει, τῶν τὴν διάθεσιν ἰωμένων, οὐδὲν τῷ κάμνοντι προσάξομεν ἐν ἐκείνῳ τῷ χρόνῳ παντί, καθ' ὅσον ἀνατρέψομεν τὴν δύναμιν. ὅταν δ' εἰς τοσοῦτον ἰσχύος ἥκειν αὐτὴν ὑπολάβωμεν, ὡς ἤτοι μηδὲν ἢ ὀλίγον ὑπὸ τῆς κενώσεως βλάπτεσθαι, τηνικαῦτα καὶ πρὸς τὴν τῆς διαθέσεως ἴασιν ἀφιξόμεθα. Πρῶτος μὲν οὖν ἁπάντων σκοπός, ὁ τῆς δυνάμεως ἐστίν. οὐ μὴν ὡς θεραπευτικός γε πρῶτος. ὅς γε τὴν ἀρχὴν οὐδὲ τῶν θεραπευτικῶν ἐστίν, ἀλλ' ὡς ἂν εἴποι τις τῶν ζωτικῶν. οὐ γὰρ ἵν' ὑγιαίνωμεν οὐδ' ἵν' ἀπαλλαγῶμεν νόσων διὰ αὐτῆς τι πρώτως λαμβάνομεν, ἀλλ' ἵνα ζῶμεν. πρόσκειται δ' ἐν τῷ λόγῳ τὸ πρώτως, ὅτι γε καὶ κατὰ συμβεβηκός ποτε τῆς δυνάμεως ἡ ῥῶσις εἰς τὴν τῆς διαθέσεως ἴασιν ὑπάρχει χρήσιμος. ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ἑξῆς ἐπιδειξόμεθα. ἐπὶ δὲ τὸ προκείμενον αὖθις ἐπανέλθωμεν, εἰς ὀλίγα κεφάλαια συνόψεως ἕνεκα τὸ πᾶν ἀθροίσαντες. Οἱ θεραπευτικοὶ σκοποὶ πρῶτά τε τοῦ νοσήματος εἰσὶ καὶ τῆς τοῦ σώματος κράσεως. καὶ τρίτος τοῦ περιέχοντος ἡμᾶς ἀέρος. εἰ δ' ἔμπροσθεν ἕτεροί τινες εἶεν, ἢ καὶ αὖθις οὐχ οὗτοι μόνοι, ἀλλὰ καὶ ἄλλοι ῥηθεῖεν, ἐκ τῆς τούτων τομῆς ἅπαντες φανοῦνται γιγνόμενοι. ἡ μὲν γὰρ κρᾶσις τοῦ σώματος ἡ κατ' ἐκεῖνον τὸν καιρὸν ἡνίκα νοσεῖν ἤρξατο, πρὸς τὴν εὕρεσιν τῶν ἰαμάτων ὑπάρχουσα χρήσιμος, ἐκ φύσεως καὶ ἡλικίας καὶ ἐθῶν καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος γεννᾶται. τὸ περιέχον δ' αὐτὸ τοιοῦτον εἰργάσθη διά τε τὴν χώραν καὶ τὴν ὥραν καὶ τὴν κατάστασιν. ἓν τοίνυν ἑκάτερον αὐτῶν ὑπάρχον, ἐκ πολλῶν γίνεται τοιοῦτον. ἡ δέ γε διάθεσις, οὐχ ὡς εἰς αἰτίας τέμνεσθαι πέφυκεν, ἀλλ' ὡς εἰς διαφοράς. ἤτοι γὰρ ἐν τοῖς ὁμοιομερέσιν ἐστίν, ἢ ἐν τοῖς ὀργανικοῖς συνίσταται μορίοις. ἐν μὲν οὖν τοῖς ὁμοιομερέσιν, ἤτοι γ' ἁπλῆ τις ἢ σύνθετος ὑπάρχουσα δυσκρασία. ἐν δὲ τοῖς ὀργανικοῖς, περὶ τὴν τῶν ἁπλῶν μορίων γιγνομένη θέσιν, ἢ διάπλασιν, ἢ ἀριθμόν, ἢ μέγεθος. ὅσαι τε καθ' ἕκαστον τούτων ἐδείχθησαν οὖσαι διαφοραί. Ταῦτ' οὖν ἐστὶ τρία τὰ πρῶτα τὰ τὴν θεραπείαν ἐνδεικνύμενα. τὸ περιέχον ἅμα ταῖς διτταῖς τοῦ σώματος ἤτοι διαθέσεσιν, ἢ κατασκευαῖς, ἢ ἴδιόν τοι φάναι. μιᾷ μὲν τῇ κατὰ φύσιν. ἑτέρᾳ δὲ ἡ τῇ παρὰ φύσιν, ἥτις τὸ νόσημά ἐστιν. ὅτι δ' οὐκ ἐνδέχεται αὐτὰ τὰ πρῶτα γένη τῶν θεραπευτικῶν σκοπῶν πλείω τῶν εἰρημένων τριῶν ὑπάρχειν, ἐξ αὐτῆς τῆς τῶν πραγμάτων οὐσίας ἔνεστί τοι μαθεῖν. τὸ μὲν γὰρ νόσημα, καὶ ἡ ὑγεία, διαθέσεις εἰσὶ τοῦ σώματος. ἡ μὲν τὴν ἀναίρεσιν ἐνδεικνυμένη τὴν ἑαυτῆς. ἡ δὲ τὴν τήρησιν. τὸ περιέχον δέ, οὗ χωρὶς οὔτ' ἀνελεῖν οἷόν τε τὴν νόσον, οὔτε κτήσασθαι τὴν ὑγείαν, τοῦτο μὲν οὖν τῶν ὧν οὐκ ἄνευ λόγον ἐπέχει. Τὸ νοσοῦν δ' ἀλλοιοῦντες, εἰ μὴ γινώσκοιμεν εἰς ὅ, τι μεθιστῶμεν, οὐδ' ὁπότε παυσόμεθα τῆς ἀλλοιώσεως εἰσόμεθα. καθόλου οὖν ἐπὶ πάσης τῆς θεραπείας ἐν τούτοις τοῖς τρισὶ γένεσιν, οἱ σκοποὶ τοῖς πλείστοις εἰσί. κατὰ μέρος δέ, ὡς ἔμπροσθεν εἴρηται. τινὲς μὲν τῶν ἁπλῶν μορίων εἰσὶν ἴδιοι. τινὲς δέ, τῶν συνθέτων. Ἓν δή τι τῶν ἐγγιγνομένων τοῖς ἁπλοῖς ἐστίν, ἡ κατὰ τὸ θερμὸν δυσκρασία. ταύτης δ' εἰς ὅλον ἐκταθείσης τὸ σῶμα, πυρετὸς τοὔνομα. Καὶ τοίνυν ἅπαντος πυρετοῦ καθόλου ἐστὶ πυρετὸς ὑγρότης καὶ ψύξις ἰάματα. μόνου μὲν οὖν ὄντος αὐτοῦ, σκοπὸς ἁπάντων τῶν βοηθημάτων κοινός, ὁ νῦν εἰρημένος. ὥστε οὐδὲν ἔτι δεῖ πρὸς τὴν ἴασιν; ἀλλ' ἢ τὰς ὕλας ἐξευρεῖν ἐν αἷς ὁ σκοπός. εὑρόντας δὲ τὰς ὕλας, τὸν μὲν καιρὸν ἐξ αὐτῶν τῶν τεσσάρων τοῦ πυρετοῦ λαμβάνειν καιρῶν. τὸ ποσὸν δ' ἐκ τοῦ παραβάλλειν τῷ κατὰ φύσιν, τὴν νόσον. εἰς ὅσον γὰρ ἀποκεχώρηκε τοῦ κατὰ φύσιν, εἰς τοσοῦτον χρὴ ψύχειν τε καὶ ὑγραίνειν τὸν κάμνοντα. τὸ περιέχον δὲ εἰ μὲν ἐναντίαν ἔχοι τῷ νοσήματι τὴν κρᾶσιν, ἕν τι τῶν βοηθημάτων ἐστίν. εἰ δὲ ὁμοίαν, ἕν τι τῶν νοσωδῶν αἰτίων. διότι δὲ τὰς μὲν ἄλλας ὕλας ἐκλέξασθαί τε καὶ φυγεῖν δυνάμεθα. τὴν δ' ἐκ τοῦ περιέχοντος οὐχ οἷόν τ' ἐστὶ φυγεῖν, ἀλλ' ἀναγκαῖον χρῆσθαι τῇ παρούσῃ καταστάσει, διὰ τοῦτο καὶ ταύτῃ προσέχειν ἀναγκαζόμεθα. πολλάκις μὲν ὁμολογούσῃ τῇ κατὰ τὸ νόσημα ἐνδείξει ὡς εἴπομεν. πολλάκις δ' ἐναντιουμένῃ τε καὶ ἀντιπραττούσῃ. λόγον μὲν οὖν ἔχει τὸ περιέχον ὡς εἴπομεν, ἐνίοτε μὲν ὕλης ἰωμένης. ἐνίοτε δὲ ὡς αἰτίου νοσάζοντος. εἰ μὲν γὰρ ὑγραίνεσθαι καὶ ψύχεσθαι δεομένους τῆς νόσου ταῦτ' ἐργάζοιτο, λόγον ὕλης ἔχει θεραπευτικῆς. εἰ δὲ θερμαίνοι καὶ ξηραίνοι, νοσώδους αἴτιον γίγνεται. συμφω-

νοῦντος

μένοντος μὲν οὖν αὐτοῦ ταῖς θεραπευτικαῖς ἐνδείξεσιν, ἀσμενιστέον. ἐναντιουμένου δὲ, κωλυτέον τὴν βλάβην, ἀντιτείνοντάς τε καὶ προσαυξάνοντας τῶν ἄλλων βοηθημάτων τήν θ' ὑγρότητα καὶ τὴν ψύξιν. ἀντιτευκτέον δὲ καθ' ὅσον ἐγχωρεῖ αὐτὸ τὸ περιέχον οἷον χρὴ κατασκευάζειν, ὑγροτέρους τε καὶ ψυχροτέρους οἴκους αἱρούμενόν τε καὶ κατασκευάζοντα. καθάπερ εἰ καὶ ψυχρὸν καὶ ὑγρὸν εἴη τὸ εἶδος τῆς νόσου, τὸ θερμαίνειν καὶ ξηραίνειν ἐνδεικνυμένης, αἱρεῖσθαί τε καὶ κατασκευάζειν οἴκους θερμαίνοντάς τε καὶ ξηραίνοντας. αἱρεῖσθαι μὲν οὖν λέγω, τοὺς ἐξ ἑαυτῶν τοιούτους. κατασκευάζειν δὲ ἀντιτεχνώμενον. ἐν μὲν τῷ θέρει, καταγείους τε καὶ πρὸς ἄρκτον ἐστραμμένους αὐτούς. ῥαίνοντα συνεχῶς τὸ ἔδαφος αὐτῶν, ἐξ εὐρίπου τέ τινος αὔραν εἰσπνεῖν ἀντιτεχνώμενον. ἄνθη τε καὶ βλαστήματα δυνάμεως ὑγρᾶς τε καὶ ψυχρᾶς ἐπὶ τοῦ ἐδάφους καταρρίπτοντα. χειμῶνος δὲ τἀναντία τούτων ἀντιτεχνώμενον, ὅταν γε τὸ νόσημα κελεύῃ ποιεῖν ὡς εἴρηται. μὴ κελεύοντος δὲ, τὴν ἀμετρίαν μόνην ἑκατέρας τῆς ὥρας κωλυτέον. ὑπὲρ ἧς ἐξ ἀνάγκης μοι τι καὶ μετὰ ταῦτα λεχθήσεται. νυνὶ γὰρ οὐ τὰς ὕλας τῶν βοηθημάτων ἔγνωκα κρίνειν, ἀλλὰ τὰς μεθόδους ἐκδιδάσκειν. ἀνάγωμεν οὖν αὖθις ἐπὶ ταύτας τὸν λόγον, ἐπιδεικνύντες ὅπως ὀλίγοι τε καὶ πολλοὶ γίγνονται σκοποὶ θεραπευτικοὶ κατὰ διαφόρους τομάς. τρεῖς τε γὰρ οἷόν τε ποιῆσαι τοὺς πάντας, ὡς ἀρτίως ἐποιήσαμεν, εἰς ὀλίγα κεφάλαια τὸ πᾶν ἀνάγοντες. ἕκαστόν τε πάλιν αὐτῶν τέμνοντες πολλοὺς ἐξ αὐτῶν ποιήσασθαι, καθάπερ καὶ τοῦτο ἤδη δέδεικται καὶ μέν τοι καὶ αὐτῶν τῶν τμημάτων ἕκαστον οἷόν τε τέμνειν αὖθις, ἄχρις ἂν ἐπί τι τῶν ἀτμήτων ἀφικώμεθα. Καὶ τὰ πρῶτα δὲ πάντων εἰρημένα τρία, δυνατὸν εἰς ἐλάττω συναγαγεῖν, ὡς εἶναι δύο τὰ πάντα κεφάλαια τῶν τὴν θεραπείαν ἐνδεικνυμένων σκοπῶν. τήν τε ἐνεστῶσαν διάθεσιν, ἣν νόσον ὀνομάζομεν. ἥν τε ἔμπροσθεν εἶχεν, ἣν ὑγείαν τε καὶ τὸ κατὰ φύσιν ἐκαλοῦμεν. οὐ γὰρ δὴ ἄλλο γέ τι τὸ ὑγιάζειν ἐστὶ, παρὰ τὸ τὴν νῦν οὖσαν ἐν τῷ σώματι διάθεσιν εἰς τὸ κατὰ φύσιν ἄγειν. ἐναντίων δ' οὐσῶν τῶν διαθέσεων, ἀναγκαῖον ἐστὶ δι' ἐναντίων γίγνεσθαι τὴν εἰς ἀλλήλας αὐτῶν μετάπτωσιν. καὶ οὕτως αὖ πάλιν εἷς μόνος ὁ γενικώτατος ἔσται σκοπὸς τῶν ἰαμάτων, ἡ ἐναντίωσις. Ἐντεῦθεν οὖν πάλιν ἀρξάμενοι, τοὺς κατὰ μέρος ἐξεύρωμεν. ἐπειδὴ τὸ νοσοῦν ἐναντίον ἐστὶ ὑγιαίνοντι, δι' ἐναντίου ἡ ὁδὸς ἐπ' αὐτῶν. Πῶς δ' εὑρεθήσεται τὸ ποσὸν ἐν τοῖς ἐναντίοις; οὐ γὰρ ἀρκεῖ δή που προσαγαγεῖν τὰ ψύχοντα ταῖς θερμαῖς διαθέσεσιν ἄνευ τοῦ προσήκοντος μέτρου. κίνδυνος γὰρ ἐλλείποντας μὲν ἀπολιπεῖν τι καὶ τῆς νόσου λείψανον. ὑπερβάλλοντας δὲ, γένος ἐναντίου ἀπεργάσασθαι νοσήματος. ὁ γὰρ ἐπὶ πλέον ἢ χρὴ ψύχων τὸ θερμὸν νόσημα, τὴν ὑγιεινὴν ὑπερβὰς συμμετρίαν, ἕτερον ἐργάσεται νόσημα ψυχρόν. ὅπως οὖν τοῦτο μὴ γίγνοιτο, τὴν φύσιν ἐπίστασθαι χρὴ τοῦ θεραπευομένου σώματος. ἵν' ὁπόσον ἀφέστηκεν αὐτοῦ ἡ νόσος τῆς συμμετρίας γνόντες, ἐπιθῶμεν τῷ ψύχοντι βοηθήματι τὸ μέτρον. ἀλλ' οὐχ οἷόν τε τὴν ἀπόστασιν αὐτῶν ἐξευρεῖν, εἰ μὴ γνοίημεν εἰς ὅσον ἦν ὑγρὸν, ἢ ξηρὸν, ἢ θερμὸν, ἢ ψυχρὸν, ὅθ' ὑγίαινεν. εἰς ὅσον δ' ἐξέστηκεν ἐν τῷ νοσεῖν, τὸ μὲν γὰρ ἐπὶ πλεῖστον ἀποκεχωρηκὸς τοῦ κατὰ φύσιν, ἰσχυροῦ δεῖται τοῦ ἐναντίου. τὸ δ' οὐκ ἐπὶ πλεῖστον, ἀσθενοῦς. ἐπὶ πλεῖστον μὲν οὖν ἀφέστηκε τὸ ψυχρὸν νόσημα τοῦ φύσει θερμοῦ σώματος. ὥσπερ γε καὶ τὸ θερμὸν, τοῦ ψυχροῦ. ἔλαττον δὲ ἀφέστηκε τὸ μὲν θερμὸν, τοῦ θερμοῦ. τὸ δὲ ψυχρὸν, τοῦ ψυχροῦ. ὥστ' ἐξ ἀμφοῖν ἡ ἔνδειξις. ἀλλ' ἐπεὶ τῶν μετ' ἄλλων ἁπάντων βοηθημάτων τῆς ὕλης ἡ ἔκλεξις ἐφ' ἡμῖν ἐστι, τῆς δὲ τοῦ περιέχοντος οὐκ ἐφ' ἡμῖν, εὔλογον δή που κἀκ τούτου τὴν ἔνδειξιν λαμβάνειν. ἀλλ' ἐπεὶ διαγινώσκειν προσήκει τὰς κράσεις τῶν σωμάτων ἀκριβῶς, ἔστι δὲ πάνυ χαλεπὸν τὸ τοιοῦτον, πειρατέον μὲν δή που καὶ ἐκ τῶν ἐν τοῖς περὶ κράσεων εἰρημένοις ἐξευρίσκειν αὐτάς. ἐξ ἐπιμέτρου δὲ πρὸς ἐπιστημονικωτέραν διάγνωσιν, ἀπό τε τῆς ἡλικίας καὶ τοῦ προηγουμένου βίου παντὸς, ὅς ἐξ ἐπιτηδευμάτων τε καὶ διαίτης συνέστηκε, καὶ τῆς ἐν τῷ τῷδε χωρίῳ. καὶ ὥρᾳ τῇδε καὶ καταστάσει τῇδε διατριβῆς. Εἰ μὲν γὰρ ἰσχνὸς φύσει καὶ θερμὸς ἁπτομένῳ, καὶ χολώδης, καὶ θυμικὸς, καὶ δασὺς, θερμὸς οὗτός ἐστι καὶ ξηρὸς τὴν κρᾶσιν. οὐ μὴν ἐξ ἀνάγκης γε καὶ νῦν ὁπότε νοσεῖν ὑπήρξατο, τὴν αὐτὴν ἀκριβῶς ἔχει διάθεσιν. ἐγχωρεῖ γὰρ αὐτῷ βίον ἀργὸν ἐν ὑγροῖς καὶ ψυχροῖς ἐδέσμασί τε καὶ ποτοῖς γεγονέναι. καὶ πρὸς τούτοις ἔτι καὶ βαλανείοις, ἐπὶ τροφαῖς καὶ ὕπνοις πολλοῖς. ἐν ὑγρῷ καὶ ψυχρῷ χωρίῳ, χειμῶνος ὑγρᾶς καὶ ψυχρᾶς ἐπικρατούσης καταστάσεως, ὥσπερ γε τἀναντία τούτων ἐγχωρεῖ προηγήσασθαι, τουτέστι τὰ θερμαίνοντα καὶ ξηραίνοντα καθ' ἕκαστον τῶν εἰρημένων γενῶν. ἐξ αὐτῶν οὖν τῶν προηγησαμένων, ἀναπληρώσομεν ὅσον ἂν ἐνδεὲς ἔχωμεν εἰς τὴν τῆς ἐνεστώσης διάγνωσιν κράσεως. ἐξ ἐκείνης δὲ εὑρεθείσης, τὴν τῶν ποιητέων ἔνδειξιν ἕξομεν. Ἔλεγον γοῦν ἔμπροσθεν ἐπὶ τῆς τοῦ ψυχροῦ δόσεως, ἕν τι καὶ τοῦτο ἐπισκεπτέον εἶναι. μή τι τῶν μορίων φύσει ψυχρὸν ὂν, ἐκ τῆς πόσεως αὐτοῦ βλαβείη μεγάλως. Ἆρ' οὖν ἐγχωρεῖ τὴν κρᾶσιν ἑκάστου τῶν μορίων ἐπὶ τοῦ κάμνοντος ἀνθρώπου, χωρὶς ὧν εἴπομεν σημείων ἐν ταῖς περὶ τούτων πραγματείαις ἐξευρεῖν; ἐκεῖνοι μὲν οὖν οὔτε ζητοῦσιν, οὔτε ἴσασιν. ἀλλὰ καὶ κατὰ τὴν παροιμίαν, ἑνὶ καλόποδι πάντας ὑποδοῦσιν. ἡμεῖς δὲ ζητήσαντες, εὕρομεν ὅτι διὰ πολλῶν καὶ δυσκόλων γνωσθῆναι γνωρισμάτων, ἑκάστου τῶν μορίων ἡ κρᾶσις εὑρίσκεται, στοχαστικῶς μᾶλλον ἢ ἐπιστημονικῶς. Ἐὰν τοίνυν φανῇ τι γνωρισμάτων πολλῶν τε καὶ μακρῶν ἀκριβέστερον ἕν, οὐκ ἂν ἀπορρίψαντες ἐκεῖνα τοῦτο ἀντὶ πάντων ἑλοίμεθα, πᾶς οἶμαι νοῦν ἔχων ὁμολογήσει. καὶ μὴν οὐδ' ἐγγύς ἐστι τῇ πίστει τὰ γνωρίσματα τῶν κράσεων ἅπαντα συνελθόντα, πρὸς τὴν ἐκ τοῦ ἔθους ἔνδειξιν. Εἰ γὰρ ὑγιαίνων τις ἔπινεν ἀεὶ ψυχρὸν, οὐθ' ἧπαρ, οὔτε κύστιν, οὔτε κοιλίαν, οὔτ' ἄλλο τι τῶν τοιούτων βλαπτόμενος, δῆλον ὡς ἰσχυρά τ' ἐστὶν ἅπαντα ταῦτα, καὶ οὐδ' ἂν νῦν ὑπὸ τοῦ ψυχροῦ βλαβείη. μὴ τοίνυν μικρόν τινα καὶ φαῦλον σκοπὸν εἰς βοηθημάτων εὕρεσιν ὑπολαμβάνωμεν εἶναι τὸ ἔθος, ὥσπερ οὐδὲ εἰς ὑγείας φυλακήν. οὐδεὶς γὰρ ἀνθρώπων οὕτως ἐστὶν ἔμπληκτος, ὡς μεγάλως βλαπτόμενος ὑπὸ τῆς τοῦ ψυχροῦ πόσεως, εἰς πολυχρόνιον ἔθος ἀγαγεῖν τὴν χρῆσιν. ἐν γὰρ τῷ μεταξὺ βλαβεὶς ἐναργῶς ὑπ' αὐτοῦ καὶ νοσήσας, ἀποστήσεται πάντως. Ὥσπερ οὖν ἄλλα πολλὰ παρὰ τὰς κοινὰς ἐννοίας ἐνίοις ἐρρήθη τῶν ἰατρῶν, οὕτω καὶ τὸ μηδεμίαν εὕρεσιν ἢ διαίτης ὑγιεινῆς, ἢ θεραπείας νοσούντων ἐξ ἔθους γίγνεσθαι. φαίνεται γὰρ οὐχ ὥσπερ ἄλλα τινὰ σμικρὰν καὶ φαύλην ἔχον τὴν δύναμιν, ἀλλὰ μεγίστην τε καὶ

κυριωτάτην, ὡς ἂν ἐνδεικνύμενον ἑκάστου τῶν σωμάτων τὴν φύσιν. Ἡμεῖς μὲν οὖν ἐξ αὐτοῦ μεθόδῳ προερχόμενοι, τὴν διάθεσιν τῶν μορίων εὑρίσκεσθαι φαμέν. εἶτ' ἐξ ἐκείνης αὖθις ἐπὶ τὴν ἔνδειξιν ἔρχεσθαι τῶν ποιητέων. ὁ δ' ἐμπειρικὸς ὑπερβαίνειν φησὶ τὴν ζήτησιν τῆς φύσεως. ἐφ' ὃ γὰρ ἂν ὑπ' αὐτῆς ἤχθη, τοῦτο ἔχειν ἤδη γνῶσιν τοῦ μὴ βλάπτεσθαι τὸ τοῦ κάμνοντος σῶμα πόσει ψυχροῦ, τοῦτο δ' εἶναι τὸ ἐξ ἀρχῆς ἡμῖν προκείμενον, οὐ τὸ γνῶναι τὴν φύσιν. εἶτ' οἶμαι προσηκόντως ἡμᾶς μὲν ὡς μακρὰν ὁδὸν εἰκῇ περιερχομένους ἐπισκώψειεν. τοῖς δ' ὅλως ἄχρηστον εἶναι λέγουσι τὸ ἔθος, ὡς μὴ τὸν κοινὸν νοῦν ἔχουσιν, εἰκότως μέμψαιτο. τί ποτ' οὖν φήσεις πρὸς αὐτούς, ἐροῦμεν ἡμεῖς οἱ μεθόδῳ τὴν τέχνην συνιστάμενοι; Τί δ' ἄλλο γε, ἢ ὅτι τἀληθῆ λέγουσιν ἐπὶ τῶν οὕτως ἐναργῆ τὴν ὠφέλειαν ἢ βλάβην ἐχόντων ἐθῶν. ἴσασι γὰρ ἅπαντες αὐτὰ καὶ πρὸ τῆς μεθόδου. τῶν δ' ἄλλων ἐθῶν ἔνια τῶν ἐπὶ βραχὺ μεγάλην ἀθροιζόντων τὴν βλάβην, οὐκέτ' οἷόν τ' ἐστὶ διὰ ἐμπειρίας ἐξευρεῖν. εἴρηται δὲ περὶ τῶν τοιούτων ἐπὶ πλέον ἐν τοῖς ὑγιεινοῖς. ὅθεν εἰ κἂν τῇ τοῦ ψυχροῦ δόσει χωρὶς τῆς μεθόδου τὸ ἔθος ἱκανόν, οὐδ' ἡμεῖς δή που τὴν ἐμπειρίαν ἐκφεύγομεν. ἀλλ' ὅσαπερ ἐκεῖνοι πάντα, ἐξ αὐτῆς ὠφελούμενοι προστίθεμεν ἔξωθεν, οἵ γε προσθεῖναι δυνάμενοι τὴν ἐκ τῆς τῶν πραγμάτων φύσεως ἔνδειξιν. ἐν δὲ τῷ παρόντι λόγῳ τὴν ἀκολουθίαν τῆς μεθόδου φυλάττοντες, ὁμολογοῦμεν ὁδῷ μακροτέρᾳ ταυτὸν εὑρίσκειν, ὃ διὰ βραχυτέρας ἐνῆν ἐξευρεῖν ἀναλογισμοῦ χωρίς. Ἑωρακότες γὰρ οἶμαι πολλάκις ἤδη πολλοὺς τῶν καυσουμένων ἐν πυρετοῖς ὅταν ἤδη μετρίως ὦσιν οἱ χυμοὶ πεπεμμένοι, παραχρῆμα λύσαντας ἤδη τὸν πυρετὸν ἐπὶ τῇ πόσει τοῦ ψυχροῦ κἂν ἀήθεις ὦσιν αὐτοῦ, πολὺ δή που μᾶλλον ἐλπίζομεν ἐπὶ τῶν εἰθισμένων ἄνευ πάσης βλάβης ἔσεσθαι τὴν ὠφέλειαν. ἔχεις οὖν ἤδη καὶ τὸν περὶ τῶν ἐθῶν λόγον, εἰ καὶ κατὰ τὸ πάρεργον, ἀλλ' ἱκανῶς διωρισμένον. ἓν γάρ τι καὶ τοῦτό ἐστι τῶν ἐνδεικνυμένων τὰς ἰάσεις διὰ μέσης τῆς τοῦ νοσήματος φύσεως. ὥσπερ καὶ ἡ ἡλικία. καὶ γὰρ καὶ αὕτη διὰ μέσης τῆς κράσεως ἔχει τὴν ἔνδειξιν. οἷον ἡ τῶν παιδίων ὑγρὰν καὶ θερμὴν ἔχουσα τὴν κρᾶσιν, ἑτοίμως διαφορεῖται. πρόχειρον γάρ μοι κἀνταῦθα τὸν νοῦν τῇ διαφορᾷ τῶν σωμάτων. ἡ μὲν τῶν λίθων οὐσία, μόνιμός ἐστι διὰ ξηρότητα καὶ ψύξιν. οὕτως δὲ ἡ τοῦ χαλκοῦ καὶ ἡ τοῦ σιδήρου καὶ ἡ τοῦ χρυσοῦ. καὶ συνελόντι φάναι, πάντων τῶν γεωδῶν σωμάτων. ἥ δέ γε τῶν ὑγρῶν καὶ θερμῶν, εἰς τὸ περιέχον ἀεὶ σκίδναται τάχιστα. ποτὲ μὲν εἰς αἰσθητοὺς ἀτμοὺς λυομένη. ποτὲ δ' εἰς ἀδήλους μὲν τῇ ὄψει, τῷ λόγῳ δὲ γνωστὰς ἀπορροάς. αὗται μὲν οὖν αἱ φύσεις τῶν σωμάτων οἷον ἐκ διαμέτρου πρὸς ἀλλήλας ἀντίκεινται. Τῶν δ' ἄλλων ἁπασῶν ἐν μὲν τῇ ξηρᾷ καὶ ψυχρᾷ φύσει πλησιέστερον ὑπάρχουσαι, δυσδιαφόρητοι μέν εἰσιν, ἀλλ' ἧττον σιδήρου, καὶ λίθου, καὶ ἀδάμαντος. ἐν δὲ τῇ θερμῇ καὶ ὑγρᾷ, διαφοροῦνται μὲν ἑτοιμότερον, ἀλλ' ἧττον καὶ αὗται τοῦ θερμανθέντος ὕδατος. χωρὶς μὲν γὰρ θερμότητος, οὐχ οἷόν τ' ἐστὶ διαφορεῖσθαί τι σῶμα, μενούσης αὐτῆς τῆς οὐσίας συμπεφυγμένης τε καὶ πεπιλημένης. ὑπὸ θερμότητος δ' οὐχ ἅπαν. ἀλλ' ὅσον ἐπιτήδειόν ἐστιν εἰς ἀτμοὺς λύεσθαι, τοιοῦτον δ' ἐστὶ δή που τὸ ὑγρόν. Ἡ τοίνυν τῶν παιδίων οὐσία, ῥᾷστα διαφορεῖται καὶ σκεδάννυται, διότι πασῶν μέν ἐστιν ὑγροτάτη. ψυχροτάτη δ', οὐδὲ μιᾶς. ὥστε οὐ χρῄζει κενωτικοῦ βοηθήματος, ἐξ ἑαυτῆς ἔχουσα τὸ κενοῦσθαι σύμφυτον. Γίγνεται δὲ δή που καὶ διὰ χώραν θερμὴν καὶ ξηράν. ὥραν τε θερινὴν καὶ κατάστασιν ἱκανῶς θερμὴν καὶ ξηράν, ἡ διὰ τῆς ἐπιφανείας τοῦ σώματος ἀξιόλογος κένωσις. ὥσπερ καὶ διὰ ταύτην τοὺς δεομένους αἵματος ἀφαιρέσεως, ἢ οὐδ' ὅλως φλεβοτομοῦμεν, ἢ ὀλίγον ἀφαιροῦμεν. Ἔσονται δὲ καὶ ἐπὶ τὴν τομὴν τήνδε, πολλοὶ σκοποί. ἡ φύσις ἡ ἐξ ἀρχῆς. τὸ ἔθος. ἡ ἡλικία. τὸ χωρίον. ἡ ὥρα τοῦ ἔτους. ἡ κατάστασις. ἔτι τε πρὸς τούτοις, ἡ νοσώδης διάθεσις, ἣν θεραπεύομεν. ἑτέρῳ τε τρόπῳ πρὸ αὐτῆς ἡ τοῦ κάμνοντος δύναμις. οὐσῶν δὲ δηλονότι πολλῶν τῶν διαθέσεων, ἰδία καθ' ἑκάστην αὐτῶν ἡ ἔνδειξις. ἀεὶ μὲν τῆς θερμῆς, ἡ τοῦ ψύχειν. ἀεὶ δὲ τῆς ψυχρᾶς, ἡ τοῦ θερμαίνειν. ἑκάστης τε τῶν ἄλλων ὑπεναντίωσις. ὥστε ὀκτὼ δυσκρασιῶν οὐσῶν, ὀκτὼ καὶ τοὺς κατὰ μέρος εἶναι σκοποὺς ἁπάντων τῶν ἐπιγιγνομένων νοσημάτων τοῖς ἁπλοῖς σώμασιν. ἐξ ἐπιμέτρου δέ, τὸν κοινὸν πρὸς τὰς τῶν ὀργανικῶν διαθέσεις, οὗ μηδὲν ὄνομα ἦν τοῖς ἔμπροσθεν. ἀλλ' ἡμεῖς ἀναγκασθέντες ἑρμηνεύειν αὐτό, συνεχείας λύσιν ἐκαλέσαμεν. ἐπεδείξαμέν τε τὸν κοινὸν κἀνταῦθα τῆς θεραπείας σκοπὸν εἶναι, τὴν ἕνωσιν. ὅσοι δ' ἐξ αὐτοῦ τούτου πάλιν τεμνόμενοι κατὰ μέρος συνίστανται, διὰ τῶν τεττάρων ὑπομνημάτων ἐδείχθησαν, τοῦ τρίτου τοῦ ἐν τῇδε τῇ πραγματείᾳ καὶ τετάρτου καὶ πέμπτου καὶ ἕκτου. Νυνὶ μὲν οὖν ἔτι, τὸν περὶ τῶν δυσκρασιῶν ἐν τοῖς ἑξῆς ὑπομνήμασι ποιήσομαι λόγον. συντελέσας δ' αὐτόν, ἐπὶ τὰ τῶν ὀργανικῶν μορίων ἀφίξομαι νοσήματα, καὶ δείξω κατὰ τὴν αὐτὴν μέθοδον ἐν αὐτοῖς τούς τε πρώτους ἁπάντων σκοπούς, οὓς γενικωτάτους ὀνομάζειν οὐδὲν κωλύει, καὶ τοὺς ἐκ τῆς τούτων τομῆς γιγνομένους. εἶτ' αὖθις τοὺς ἐξ ἐκείνων ἄχρι περ ἂν ἐπί τι τῶν μηκέτ' ἐγχωρούντων τομήν, ἀφικώμεθα. ταύτην γὰρ ἡμᾶς ὁ Πλάτων ἐδίδαξε μέθοδον ἁπάσης τέχνης συστάσεως. ἀλλὰ περὶ μὲν τῶν ὀργανικῶν ὡς ἔφην αὖθις εἰρήσεται, νυνὶ δ' ἀναμνησθέντες ἐν τίνι μέρει τῆς προκειμένης πραγματείας ἐσμέν, ἐπιθῶμεν ἤδη τῇ παρούσῃ διεξόδῳ τὴν προσήκουσαν τελευτήν. Ἓν δή τι γένος ἐστὶ νοσήματος ἐγγινόμενον τοῖς ὁμοιομερέσι καὶ ἁπλοῖς ὀνομαζομένοις τοῦ ζώου μορίοις, ὃ καλεῖται δυσκρασία. ταύτης τῆς δυσκρασίας ἐνίας μὲν ἐδείξαμεν ἀλλοιουμένων τῶν σωμάτων κατὰ ψιλὰς ποιότητας. ἐνίας δὲ μεθ' ὕλης τινὸς εἰς αὐτὰ κατασκηπτούσης, ἀποτελεῖσθαι. γίγνεσθαι δ' ἑκατέρας αὖ πάλιν ἤτοι περὶ ἓν ἢ πλείω μόρια τοῦ ζώου. ἢ καὶ σύμπαν τὸ σῶμα. Διελθόντες οὖν ἐν τῷ τῆσδε τῆς πραγματείας ἑβδόμῳ γράμματι τὰς περὶ τὰ μόρια συνισταμένας δυσκρασίας ἀλλοιουμένων μόνων τῶν ποιοτήτων, ἑξῆς ἐν δυοῖν τούτοιν, ἐπὶ τὰς εἰς ὅλον ἐκτεταμένας τὸ ζῶον ἀφικόμενοι, περὶ πρώτων ἔγνωμεν διαλεχθῆναι τῶν πυρετῶν. Ἐπεὶ δὲ καὶ τούτων αὐτῶν ἔνιοι μὲν ἔτι γίνονται τῆς ἐργαζομένης αὐτοὺς αἰτίας ἐν τῷ σώματι περιεχομένης, ἔνιοι δ' ἐγένοντο μέν, οἴχεται δ' αὐτῶν τὸ ποιῆσαν αἴτιον, ἄμεινον ἐδόκει τὸν λόγον ἐπὶ τούτους πρώτους ἄγειν ἁπλῆν τὴν πρώτην ἔνδειξιν ἔχοντας, εἶθ' ἑξῆς αὐτῶν, ἅψασθαι τῷ λόγῳ, κἀκείνων τῶν πυρετῶν, ὧν ἐν τῷ σώματι τὸ ποιοῦν ἐστιν αἴτιον.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

ΕΠΙ μὲν δὴ τῶν ἐφημέρων πυρετῶν ἁπλῆ τίς ἐστιν ἡ παρὰ φύσιν ἐν τῷ σώματι διάθεσις, ὡς ἂν τῶν πρώτων ἐργασαμένων αἰτίων αὐτοὺς οὐκέτ' ὄντων. ἐφ' ὧν δ' ἐστὶν ἔτι τὸ ποιοῦν αἴτιον, οὐκ ἔσθ' ἡ τούτων οὔθ' ἡ διάθεσις, οὔθ' ἡ ἴασις ἁπλῆ. χρὴ γὰρ τὸ μὲν ἤδη γεγονὸς τοῦ πυρετοῦ, λύειν ἐκ τῆς οἰκείας ἐνδείξεως αὐτοῦ. τὸ δὲ γινόμενον, ἀποτρέπειν τε καὶ κωλύειν γίνεσθαι. κωλυθήσεται δὲ, τῆς ποιούσης αἰτίας αὐτὸ τελέως ἐκκοπείσης. ὥστ' ἐν μὲν τοῖς ἐφημέροις, ἡ τῶν πρακτέων ἔνδειξις, ἐκ τοῦ πυρετοῦ μάλιστ' ἡμῖν ἔσται. συνεπισκοπουμένοις αὐτῷ, φύσιν, καὶ ἡλικίαν, καὶ ἔθος, ὥραν τε, καὶ κατάστασιν, καὶ χώραν, καὶ δύναμιν. ἐν δὲ τοῖς ἄλλοις, ὅσοι τὴν ἀνάψασαν αὐτοὺς αἰτίαν ἔχουσιν ἔνδον, ὁ πρῶτος σκοπὸς τῆς ἐνδείξεως ἀπὸ τῆς αἰτίας ἐστίν. εἴπερ οὖν ὀρθῶς ἡμῖν ἐλέχθη σῆψις χυμῶν αἰτία τῶν πολυημέρων εἶναι πυρετῶν, ταύτην ἰᾶσθαι χρὴ πρώτην. οὐκ ἀμελοῦντας οὐδὲ τοῦ σβεννύναι τὸν ἐξ αὐτῆς ἀνῆφθαι φθάσαντα πυρετόν. εἰ μὲν οὖν εἰς ταυτὸ συμβαίνοι, τά τε τοῦ πυρετοῦ σβεστήρια, καὶ τὰ τῆς αἰτίας ἀλεξητήρια, τὸ δηλούμενον ὑπ' ἀμφοῖν ἓν ὄν, ἑτοίμως πρακτέον. Εἰ δὲ ἡ τῶν ἤδη γεγονότων πυρετῶν ἴασις, αὐξάνει τὴν ἀνάψασαν αὐτοὺς αἰτίαν, ἢ τὰ τὴν αἰτίαν ἐκκόπτοντα, παροξύνει τοὺς πυρετοὺς, ἐνταῦθα σκεπτέον ἀκριβῶς ὑπὲρ τῆς τῶν βοηθημάτων ἰδέας. ἐπίσκεψις δ' ἀκριβὴς ἄν σοι γένηται, διελομένῳ τὴν ὅλην σκέψιν εἰς τρεῖς τούτους σκοπούς. ἆρά γε τὸν πυρετὸν ἐστὶ μόνον ἰατέον ἀμελοῦντα τῆς αἰτίας, ἢ τὴν αἰτίαν ἐκκοπτέον οὐδὲν φροντίζοντα τοῦ πυρετοῦ. ἢ τὸ μὲν πλεῖστον τῶν βοηθημάτων ὡς πρὸς θάτερον αὐτῶν ἐστὶ, ποιητέον. οὐκ ἀμελητέον δ' οὐδὲ τοῦ λοιποῦ; τὸ μὲν οὖν πρῶτον τῶν ῥηθέντων, οὐκ ἐπαινέσομεν. εἰ γὰρ οἷς ἂν ἰώμεθα βοηθήμασι τὸ γινόμενον ἀεὶ τοῦ πυρετοῦ, ταῦθ' ἡμῖν αὐξήσει τὴν ποιοῦσαν αὐτοὺς αἰτίαν, οὔτ' ἀναιρήσομέν ποτε τὴν γένεσιν αὐτοῦ, οὔτε τὸ μέγεθος καθαιρήσομεν. ἥτε γὰρ γένεσις, ἀκολουθήσει τῇ τῆς ποιούσης αἰτίας ἰδέᾳ. τό, τε μέγεθος ἐκείνῃ συναυξηθήσεται. τὸ δὲ δεύτερον τῶν ῥηθέντων, εἰ διορισώμεθα, γένοιτ' ἂν ἡμῖν χρηστόν. εἰ μὲν γὰρ ἀφόρητον εἴη τῷ κάμνοντι τὸ τοῦ πυρετοῦ μέγεθος, οὐ χρὴ δι' ὧν τὴν αἰτίαν ἐκκόπτομεν, αὐξάνειν τὸν πυρετόν. ἅμα γὰρ ὡς ἔοικεν ἀναιρήσομεν ἀμφοτέρους, τόν τε πυρετὸν, καὶ τὸν ἄνθρωπον. εἰ δ' οὕτως εἴη μέτριος ὁ πυρετὸς, ὥστε μὴ προκαταλῦσαι τὴν δύναμιν τοῦ νοσοῦντος, ἐν ᾧ χρόνῳ πρὸς τὴν αἰτίαν ἐνιστάμεθα μόνην, οὐκ ἀπόβλητος ὁ τοιοῦτος ἂν εἴη τρόπος. οὐκ ἀπόβλητος δὲ οὐδὲ ὁ τρίτος. ἀνθίστασθαι μὲν κελεύων τῷ μείζονα τὴν ἀξίαν ἔχοντι. μὴ μέν τοι μηδὲ θατέρου παντάπασιν ἀμελεῖν. ὡς τὰ πολλὰ μὲν οὖν ἡ αἰτία μείζονα τὴν ἰσχὺν ἔχει. γένοιτο δ' ἄν ποτε τηλικοῦτον τοῦ πυρετοῦ τὸ μέγεθος, ὡς ὑπόγυιον ἐπιφέρειν τὸν ὄλεθρον, εἰ μή τις αὐτὸ κωλύσειεν. ἡνίκα γε χρὴ τοῦτ' ἐκκόψαντας πρότερον, ἐπὶ τὴν τῆς αἰτίας ἀναίρεσιν ἰέναι. ταυτὶ μὲν οὖν ὦ Εὐγενιανὲ διωρίσθω σοι κατ' ἀρχὰς εὐθέως ὑπὲρ τῶν ἐναντίων ἐνδείξεων.

Ἐπεὶ δ' ἐν τῷ ταύτας ἐξετάζειν, οὐ σμικρὰν μοῖραν εἰς τὸ σωθῆναι τὸν ἄνθρωπον ἡ δύναμις ἔχειν ἐφάνη, γένοιτ' ἄν σοι καὶ ὅδε σκοπὸς οὐ σμικρὸς εἰς τὴν τῶν πρακτέων εὕρεσιν. ὥστε εἶναι τοὺς πρώτους τρεῖς σκοποὺς ἐνδεικτικοὺς τῶν ποιητέων ἐν τοῖς ὑποκειμένοις τῇ σκέψει πυρετοῖς. ἕνα μὲν οὖν αὐτὸν τὸν πυρετόν. ἕτερον δὲ, τὴν γεννῶσαν αὐτὸν αἰτίαν. καὶ τρίτον, τὴν δύναμιν. ἀλλὰ τοὺς μὲν δύο πρώτους σκοποὺς, ἀναιρεῖν προσήκει. φυλάττειν δὲ τὸν τρίτον. ἔσται δή σοι κἀνταῦθα πάλιν ἡ αὐτὴ σκέψις, ἣν μικρὸν ἔμπροσθεν ἐσκέψω, παραβάλλοντι τῇ δυνάμει τόν τε πυρετὸν ἐν μέρει, καὶ τὴν αἰτίαν. εἶτα εἰ μὲν τῶν αὐτῶν ἄμφω δέοιντο βοηθημάτων, ἑτοίμως λαμβάνοντι. μαχομένων δὲ τῶν ἐνδείξεων, ἤτοι τὴν ἀπὸ τῆς δυνάμεως, ἢ τὴν ἀπὸ τῆς αἰτίας, ἢ τοῦ πυρετοῦ προαιρουμένῳ. ἢ τῷ μὲν ἰσχυροτέρῳ μᾶλλον ἑπομένῳ, μὴ μέν τοι γ' ἀμελοῦντι μηδὲ τῶν ὑπολοίπων. ἐκ γάρ τοι τῶν τοιούτων διορισμῶν διδαχθήσῃ, πρώτως μὲν τὴν αἰτίαν ἐκκόπτειν καὶ τὸν πυρετὸν, ὅταν στοχαζομένῳ σοι φαίνηται τοῖς τοιούτοις ἰάμασιν ἡ δύναμις ἐξαρκοῦσα. πρώτην δ' αὖ πάλιν ῥωννύναι τὴν δύναμιν, ὅταν ἀρρωστοῦσα, μὴ φέρῃ τά τε τῆς αἰτίας καὶ τὰ τοῦ πυρετοῦ βοηθήματα. καὶ μέν τοι καὶ πάντων ἅμα στοχάζεσθαί ποτε δυνατὸν, ὡς ὀλίγον ἔμπροσθεν ἐπί τε τοῦ πυρετοῦ καὶ τῆς αἰτίας ἐλέχθη. Τριῶν οὖν ὄντων τούτων οἷς χρὴ προσέχειν τὸν νοῦν ἐν ταῖς προκειμέναις τῶν πυρετῶν ἰάσεσιν, αὐτοῦ τε τοῦ πυρετοῦ, καὶ τῆς ποιούσης αὐτὸν αἰτίας, καὶ τῆς τοῦ κάμνοντος δυνάμεως, εὑρημένων δὲ καὶ τῶν τῆς ἐνδείξεως τρόπων τῶν γενικῶν οὓς καὶ καθόλου προσαγορεύομεν, ἐπὶ τὰς διαφορὰς ἤδη τῶν ἰδικῶν τε καὶ κατὰ μέρος ἰέναι χρὴ βοηθημάτων, ἀναμνήσαντας αὖθις τῶν ἐφημέρων πυρετῶν, ἐπειδὴ τινὲς ἐξ αὐτῶν μεταπίπτουσιν εἰς τοὺς πολυημέρους. γιγνομένης δὲ τῆς μεταπτώσεως αὐτῶν, καθ' ἕνα τρόπον, τὸν κοινότατον δι' ἀμαθίαν τῶν ἰατρῶν. ἰδικωτέρους δὲ, δύο. διότι καὶ αὐτῶν τῶν πυρετῶν ἤτοι γ' ἀπήλλακται τὸ ποιῆσαν αἴτιον, ἢ καὶ νῦν ἔτι μένει, περὶ ἀμφοτέρων ἐν μέρει λεκτέον. Ἀπήλλακται μὲν οὖν τὸ ποιῆσαν αἴτιον, ὅταν ἐπὶ θυμῷ, καὶ λύπῃ, καὶ ἀγρυπνίᾳ, καὶ φροντίδι, καὶ ἡλίῳ θερινῷ, καὶ κόπῳ, καὶ βουβῶνι παυσαμένῳ γένηται πυρετὸς, ἄνευ στεγνώσεως. οὐκ ἀπήλλακται δὲ, ὅταν ὑπὸ τοῦ προκατάρξαντος ἢ αὐτοῦ πυρετοῦ γένηταί τις στέγνωσις. ἥτε γὰρ ψύξις ἀεὶ, καὶ ἡ τῶν στυφόντων ὁμιλία διὰ μέσης στεγνώσεως, ἐργάζονται πυρετόν. ἥτ' ἔγκαυσις, ἔστιν ὅτε στεγνοῖ τὴν ἕξιν. Αὐτή τε πολλάκις ἡ ἀρχὴ τοῦ πυρετοῦ φρικώδης γενομένη, στέγνωσιν εἰργάσατο. καὶ μέν τοι καὶ γλίσχροι καὶ παχεῖς ἢ καὶ πολλοὶ χυμοὶ μετρίαν ἔμφραξιν ποιησάμενοι, τὸν ἐφήμερον ἐνίοτε γεννῶσι πυρετὸν, ὅταν ἀγαθῶν ἰατρῶν τύχωσιν, ὡς ἔμπροσθεν ἐδείκνυτο. Καλοῦνται μὲν οὖν πάντες ἐφήμεροι οἱ τοιοῦτοι πυρετοὶ, διότι λύεσθαι πεφύκασιν ὅσον ἐφ' ἑαυτοῖς ἡμέρᾳ μιᾷ συναριθμουμένης αὐτῇ δηλονότι καὶ τῆς νυκτὸς, ὥσπερ ἐν τῷ λέγειν ἡμερῶν εἶναι μῆνα τριάκοντα. καὶ τὸν ἐνιαυτὸν, τριακοσίων ἑξήκοντα καὶ πέντε. καὶ τὸ δέ τι πέπρακται πρὸ τριῶν ἡμερῶν, ἢ πραχθήσεται μετὰ τέσσαρας. Οὐ μὴν ἡ αὐτή γε διάθεσις ἁπάντων αὐτῶν ἐστὶν, ἀλλ' ἔνιοι μὲν ἀχώριστον ἔχουσι τὴν

στέγνωσιν. ἔνιοι δὲ, οὐκ ἀχώριστον μὲν ἤτοι δ' ὡς τὰ πολλὰ σωζοῦσαν ἢ ἀμφιδόξως ἢ σπανίως. ἀχώριστος μὲν οὖν ἡ στέγνωσίς ἐστι τοῖς διὰ τὸ στυπτηριωδῶν ἢ χαλκανθωδῶν ὑδάτων, ἤτι τοιούτου ἑτέρου. ἢ διὰ ψύξιν, ἢ διὰ βραχεῖαν ἔμφραξιν πυρέξασιν. ὡς τὸ πολὺ δὲ τοῖς δι' ἔγκαυσιν. ἀμφιδόξως δὲ, τοῖς διὰ κόπον. ὅσοι δὲ διὰ θυμὸν, ἢ λύπην, ἢ ἀγρυπνίαν, ἢ σύντονον σκέψιν, ἢ ἀπεψίαν, ἢ βουβῶνα πυρέττουσι, σπανιάκις αὐτοῖς σύνεστι στέγνωσις. οὗτοι πάντες πάντως οἱ πυρετοὶ κατὰ τὸν ἑαυτῶν λόγον, οὐκ ἀναμένουσι δεύτερον παροξυσμὸν, ἀλλ' ἐντὸς τῶν εἴκοσι καὶ τεσσάρων ὡρῶν παύονται τοὐπίπαν. ἢ εἴπου κατὰ τὸ σπάνιον ἐνίοτέ τινες αὐτῶν ἐπὶ πλέον ἐκτείνονται, δύο δ' αὐτοῖς αἰτίαι προσγινόμεναι, κωλύουσι λυθῆναι. μία μὲν ἡ ψύξις, ἤτοι γ' ἐκ τοῦ περιέχοντος ἀέρος, ἢ ἐξ ἀλείμματός τινος ἔξωθεν προσενεχθέντος. ἑτέρα δ' ἡ δαιμονία διάτριτος, ἐὰν ἀναγκάζωσιν ὑπερβάλλειν αὐτὴν ἰατρῶν ἀμαθία. εἰ δὲ τὸ περιέχον ἀλεεινὸν ὑπάρχει, καὶ μηδεὶς τῶν τὴν διάτριτον σεβόντων ἰατρῶν παρείη τῷ κάμνοντι, παύσεται μὲν ὁ πυρετὸς ἐπὶ τῷ πρώτῳ παροξυσμῷ μεθ' ἱδρῶτος ἢ νοτίδος ἢ διαπνοῶν ἀτμωδῶν. ὁ κάμνων δ' αἰσθανόμενος ἀπαλλαγῆναι ἑαυτὸν τοῦ πυρετοῦ, τὰ συνήθη πράττειν ἐπιχειρήσει, λουόμενος ἢ ἀλειφόμενος ἢ καὶ χωρὶς τούτων ἐσθίων εἴ τις εἴη τῶν ὀρείων ἀγροίκων. οἱ μὲν οὖν ἰδιῶται, καθάπερ ἄλλα πολλὰ πρὸς αὐτῆς τῶν πραγμάτων τῆς φύσεως διδασκόμενοι, πράττουσιν ἄμεινον τῶν σοφιστῶν, οὕτω κἀν τοῖς ἐφημέροις πυρετοῖς ἱκανοὶ τὸ σύμπαν ἑαυτοῖς ἐκπορίζειν εἰσὶν, ὅταν γε χωρὶς ἰσχυροτέρας στεγνώσεως συστῶσιν. εἰ δὲ μετὰ τοιαύτης εἰσβάλοιεν, ἀτυχησάντων μὲν ἰατρῶν περιπίπτουσί τινι τῶν σεβόντων τὴν διάτριτον. εὐτυχησάντων δὲ, τῶν λουσάντων τε καὶ θρεψάντων αὐτοὺς, καὶ τἄλλα σύμπαντα πραξάντων, ὅπως ἡ στέγνωσις λυθείη. πολλάκις γοῦν ὡς εἴρηται διὰ ἔμφραξιν βραχεῖαν, ἅμα λεληθυίᾳ πυκνώσει τοῦ δέρματος, ἤτοι διὰ λουτρὸν μοχθηρὸν, ἢ δι' ἄλλο τι γινομένην, πυρετοῖς ἐφημέροις ἑάλωσαν ἔνιοι. καθ' ὃν καιρὸν, ἐὰν μὴ ταχέως τις ἰάσηται τὴν ἔμφραξιν, εἰς τοὺς πολυημέρους μεταπίπτουσιν. ἔστι γὰρ ὁ τοιοῦτος πυρετὸς, ὅσον μὲν ἐφ' ἑαυτῷ, κοινὸς τῶν πολυημέρων τε καὶ τῶν ἐφημέρων. ἀλλὰ διὰ τὴν σμικρότητα τῆς αἰτίας, μονήμερος γίνεται. καθάπερ γε καὶ διὰ μέγεθος ἐστὶν ὅτε πολυήμερος. ἀλλ' ὅ γε παροξυσμὸς εἷς αὐτοῦ μέχρι τοῦ τέλους ἀπὸ τῆς ἀρχῆς ἐστὶν, ἐὰν μὴ τύχῃ διαδεξάμενος αὐτὸν ὁ ἐπὶ σήψει χυμῶν. ἔστ' ἂν οὖν μήτ' ἐν τῷ σφυγμῷ μηδέπω τὸ τῆς σήψεως ὑπάρχῃ γνώρισμα, μήτ' ἐν τῇ θέρμῃ, μήτ' ἐν τοῖς οὔροις, ἐπ' ἐμφράξει τε μόνῃ τὴν γένεσιν ἔχει, καὶ ἴασις αὐτῷ τῆς ἐμφράξεως ἡ λύσις γίγνεται. καὶ ὡς χρὴ λύειν αὐτὸν, ἔμπροσθεν εἴρηται. Πλείους οὖν αἱ κατὰ μέρος διαφοραὶ φαίνονται τῶν ἐφημέρων πυρετῶν. μία μὲν ὅταν μηδόλως ᾖ μηκέτι τὸ ποιῆσαν αὐτοὺς αἴτιον. οἷον ἡ ἔγκαυσις. ἑτέρα δ' ὅταν ἔτι παρείη, καθάπερ ἡ στέγνωσις. ἧς ἐδείχθησαν οὖσαι διτταὶ διαφοραί. † πύκνωσίς τε τῶν πόρων καὶ νῦν μεταχειριζόμεθα κατὰ τὸν λόγον ἔμφραξις. ἔστι δὲ δή που καὶ τῆς πυκνώσεως ἡ μὲν διὰ ξηρότητα, καθάπερ ἐπ' ἐγκαύσεσιν, ἢ κόποις, ἢ θυμοῖς. ἡ δὲ, διὰ ψύξιν, ἤτοι γε ἁπλῆν, ἢ μετὰ στύψεως. ὅπῃ δ' ἀλλήλων αὗται διαφέρουσιν, ἐν τοῖς περὶ φαρμάκων διῄρηται. καὶ τῆς ἐμφράξεως δὲ, ἡ μέν τις, διὰ πλῆθος, ἡ δὲ διὰ ποιότητα γίνεται χυμῶν, ἤτοι γλίσχρων, ἢ παχέων ὑπαρχόντων. Ἐπικρατήσει δὲ κατὰ τὴν ἴασιν, ἐν μὲν τῇ διὰ πλῆθος, ἀφαίρεσις αἵματος. ἐν δὲ τῇ διὰ ποιότητα, τῶν λεπτυνόντων ἡ χρῆσις. ὁ δ' ἀπὸ τῆς δυνάμεως σκοπὸς, ἐν μὲν τοῖς ἐφημέροις πυρετοῖς, μικρός. ἀξιόλογος δ' ἐν τοῖς πολυημέροις ἐστί. καὶ μᾶλλον ὅσῳ περ ἂν ὦσι μακρότεροι. κατὰ φύσιν μὲν οὖν ἐχούσης τῆς δυνάμεως, οὐδὲ τὸ βραχύτατον ἡ τῶν κενωτικῶν βοηθημάτων ἐμποδίζεται χρῆσις ἐν τοῖς πολυημέροις πυρετοῖς. οὐ κατὰ φύσιν δὲ ἐχούσης, λέγω δὲ οὐ κατὰ φύσιν, ὅταν ἀρρωστοτέρα πως ὑπάρχῃ, κατὰ τὸ μέγεθος ἀεὶ τῆς ἀρρωστίας, ἐμποδίζεται τὰ κενωτικὰ βοηθήματα. σπανιώτερον μὲν οὖν εὐθύς ἐστιν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἢ τῇ δευτέρᾳ, τὴν δύναμιν ὑπάρχειν ἀσθενῆ. γίγνεται δ' ἐνίοτε καὶ διὰ καχεξίαν τοῦ κάμνοντος. καὶ διὰ γῆρας. ἐνίοις δὲ καὶ κόπος ἅμα ἐγκαύσει καὶ λύπῃ καὶ ἀγρυπνίᾳ προσγινομένη, καὶ ἀσιτίᾳ δι' ὅλης ἡμέρας ἐπιγινομένη, κἄπειτα περὶ τὴν ἑσπέραν εἰσβάλλοντος τοῦ πυρετοῦ, πρὶν τραφῆναι τὸν ἄνθρωπον, ἀγρύπνου τε γινομένου τῆς νυκτὸς, ἱκανῶς κατέλυσε τὴν δύναμιν. Καί σοι διηγήσομαι τοιοῦτον ἄρρωστον, ἐφ' οὗ πρῶτον ἐτόλμησα τῷ λόγῳ προηγούμενος, ὑπεριδεῖν μὲν τῆς διατρίτου, στοχάσασθαι δὲ τῆς δυνάμεως. ὕστερον δὲ καὶ ἄλλους ἰδὼν ὁμοίως αὐτῷ, θαρρῶν ἤδη τὸν αὐτὸν τρόπον ἰασάμην ὅνπερ κἀκεῖνον. ἡ γὰρ πρώτη πεῖρα μαρτυρήσασα τοῖς ὑπὸ τῆς ἐνδείξεως εὑρημένοις, θαρσαλεωτέρους ἀπετέλει πρὸς τὴν ἐκ δευτέρου χρῆσιν. Ὁ τοίνυν ἁλοὺς τῷ πυρετῷ νεανίσκος, ἦν μὲν ἐτῶν πέντε καὶ εἴκοσιν. ἰσχνὸς καὶ μυώδης τὸ σῶμα. καθάπερ κύων ξηρὸς καὶ θερμὸς ἀκριβῶς τὴν κρᾶσιν. ἔχαιρε δέ πως καὶ γυμνασίοις. καὶ τἄλλα φροντιστής τε καὶ φιλόπονος ἦν. οὗτος ἀποδημῶν, εἶτα πυθόμενός τι τῶν οὐχ ἡδέων, ἠνιάθη τε ἅμα καὶ συντείνας ἑαυτὸν εἰς τὴν πόλιν ἠπείγετο. διὰ μὲν οὖν τῆς προτέρας ἡμέρας, ἐκοπώθη τε μετρίως. καὶ λουσάμενος καὶ δειπνήσας, ἀνεπαύσατο κατά τι πανδοχεῖον, ἀγρυπνήσας τὰ πλείω. κατὰ δὲ τὴν ὑστεραίαν, ἔτι καὶ μᾶλλον ἐπείχθη. καὶ διανύσας ὁδὸν, παμπόλλην καὶ ψαμμώδη, καὶ αὐχμηρὰν ἐν ἡλίῳ θερμῷ, σχεδὸν ὥρας ἑβδόμης καὶ ἡμισείας εἰς τὴν πόλιν ἀφίκετο. πυθόμενος δὲ ἤδη δι' ἅπερ ἔσπευδεν, εἰς γυμνάσιον ἐπορεύθη λουσόμενος. εἶτ' ἀλειψάμενος, ἀνετρίψατο σύν τινι τῶν αὐτόθι νεανίσκων. καὶ προτραπεὶς ὑπ' αὐτοῦ κινηθῆναι βραχέα, φιλονεικίας αὖθις ἐγγινομένης, οἵας πολλάκις εἰώθασι περιπίπτειν οἱ γυμναστικοὶ, πλείω τοῦ δέοντος ἐγυμνάσατο. καὶ ἦν ἤδη ξηρὸς ἀμέτρως. ἐξελθὼν δὲ τοῦ γυμνασίου, καταλαμβάνει μαχομένους τῶν ἑταίρων τινάς. οὓς διαλύων, ἔλαθεν αὖθις ἑαυτὸν ἑτέρῳ περιπεσὼν οὐ μικρῷ γυμνασίῳ. τοὺς μὲν ἕλκων ἐξ αὐτῶν. τοὺς δὲ ὠθῶν. τοὺς δὲ διαλαμβάνων μέσους. ἐπιτιμῶν τε τισὶν ἐξ αὐτῶν ὡς ἀδικοῦσι, καὶ θυμούμενος ὑπὲρ τῶν ἀδικουμένων, ὥσθ' ὑποστρέψαι ξηρὸς ἐσχάτως οἴκαδε, κόπου τε καὶ ἀνωμαλίας αἰσθανόμενος. ὕδατος οὖν ὡς εἰώθει πιὼν, ἐπειδὴ μηδὲν ἐγίγνετο κρεῖττον, ἀλλ' ἐπετείνετο τὰ τῆς ἀνωμαλίας αὐτῷ, τότε μὲν ἤμεσεν. ἄμεινον δ' ὑπολαβὼν εἶναι μηδέπω τρέφεσθαι, κατέκλινέ τε καὶ ἡσύχαζε ὥρας

ἄλ. πύκνωσίς τε τῶν μικρῶν πόρων, καὶ ἣν νῦν μεταχει.

ὥρας σχεδόν τι τῆς ἡμέρας ἐνδεκάτης τοῦτο πράξας. ἀγρυπνήσας δὲ μετὰ τὸ πυρέξαι δι' ὅλης τῆς νυκτὸς, ἡσύχαζε κατὰ τὴν ἐπιοῦσαν ἄχρι μεσημβρίας, ἰάσασθαι τὴν ἀγρυπνίαν ἐλπίζων. ἡνίκα δέ τινες αὐτὸν ἰατροὶ τῆς διατρίτου θεασάμενοι, κατὰ μὲν τὸ παρὸν ἔφασαν ἀξιόλογον εἶναι πυρετὸν, εἰς ἑσπέραν δ' αὖθις ὄψεσθαι. καὶ τοίνυν καὶ θεασάμενοι πάλιν ἑσπέρας παρακμάζοντα τὸν πυρετὸν, οὐκ ἠξίωσαν οὐδὲ τότε θρέψαι, καίτοι γ' ἄλλου τινὸς ἰατροῦ συμβουλεύοντος, ἀλλὰ ἀντέστησαν ἐκεῖνοι γενναίως. εἰ μὲν γὰρ ἀπύρετος ἐγεγόνει, τάχ' ἂν αὐτῷ δοῦναι τροφὴν εἰπόντος, ἔτι δὲ πυρέττοντι, οὐκ ἂν δοῦναι. καὶ τοίνυν καὶ κατὰ τὴν τρίτην ἡμέραν, ἕωθεν ἀφικόμενοι, τὴν διάτριτον ὑπερβάλλειν ἠξίουν. ἦν δ' ὡς εἴρηται πρόσθεν, ἡ ὕποπτος ὥρα τῆς ἡμέρας ἐκείνης ἐνδεκάτη. χωρισθέντων οὖν αὐτῶν, ἐγὼ παραγενόμενος, ἐθεασάμην τοῦ νεανίσκου τὸ πρόσωπον οἷόν περ ὁ Ἱπποκράτης ἐν προγνωστικῷ γράφει διὰ τῆς δὲ τῆς ῥήσεως. ῥὶς ὀξεῖα. ὀφθαλμοὶ κοῖλοι. « καὶ τἆλλα ἅπερ ἴσμεν ἐφεξῆς αὐτῷ εἰρημένα. πάντως οὖν αὐτὸν ἁλώσεσθαι πυρετῷ ἑκτικῷ τε καὶ μαρασμῷ δεῖ μὴ τραφέντα πείσας ἐμαυτὸν ὅτι τάχιστα παρασκευάσας ἐκ χόνδρου ῥόφημα, δίδωμι προσενέγκασθαι. ἀλλ' ὅμως καίτοι τοῦτο προσενηνεγμένος, οὐδὲν ἧττον ἐν τῷ καιρῷ τοῦ παροξυσμοῦ περὶ τὴν ἐνδεκάτην ὥραν εἰσβάλλοντος, ἀπεψύχθη τε τὰ ἄκρα δυσεκθερμάντως. καὶ ὁ σφυγμὸς αὐτῷ μικρὸς καὶ ἄρρωστος ἐσχάτως ἐγένετο. διὸ δὴ καὶ κατὰ τὴν τετάρτην ἡμέραν ἕωθέν τε καὶ εἰς ἑσπέραν, ἔδωκα τροφὴν αὐτῷ. τήν τε δύναμιν ἀνακτώμενος, καὶ τὸν αὐχμὸν τοῦ σώματος ἐπιτέγγων. ἦν γὰρ αὐτῷ τὸ δέρμα καρφαλέον ὥσπερ βύρσα. διαμένοντος δὲ τοῦ πυρετοῦ λεπτοῦ καὶ ὁμοίου, κατὰ τὴν πέμπτην αὖθις ἡμέραν ἐδικαίωσα τρέφειν αὐτὸν, οὐχ ἁπλῶς ῥοφήμασιν ὡς ἔμπροσθεν, ἀλλὰ καὶ κόκκους ῥοιᾶς ἐμβαλὼν εἰς χόνδρον ἐξ ὕδατος θερμοῦ χωρὶς ἀρτύσεως. κάλλιστον γὰρ ἔδεσμα τοῦτο κάμνοντι πικροχόλῳ στομάχῳ. καὶ γὰρ καὶ ῥώννυσιν αὐτὸν ἡ ῥοιά. καὶ χωρὶς τοῦ διαφθαρῆναι μέχρι πλείστου μένων ὁ χόνδρος ἐν τῇ γαστρὶ, πέττεται κατὰ βραχύ. μήτ' ὀξυνόμενος, μήτ' ἐπιπολάζων. ἅπερ εἴωθε τοῖς ῥοφήμασιν ἔστιν ὅτε συμβαίνειν. ἐγένετο δ' οὖν καὶ περὶ τὴν πέμπτην ἡμέραν ἡ ἀρχὴ τοῦ παροξυσμοῦ, παραπλησία. καὶ πάλιν ἡμῶν κατά τε τὴν ἕκτην καὶ τὴν ἑβδόμην ἡμέραν ὡσαύτως αὐτὸν διαιτησάντων, ἡ κατὰ τὴν ὀγδόην αὖθις ὁμοία ταῖς ἔμπροσθεν. ἔνθα δὴ καὶ μάλιστα τὴν ἄνοιαν ἢ τὴν φιλονεικίαν, ἢ οὐκ οἶδ' ὅ,τι φῶ, τῶν τὴν διάτριτον, αὐτὸν ἐν ἀρχῇ κελευσάντων ὑπερβάλλειν, ἀκριβῶς ἦν καταμαθεῖν. ἐναργῶς γάρ τοι φαινομένου πᾶσιν, ὡς οὐκ ἂν εἰς τὴν τετάρτην ἡμέραν ὁ ἄνθρωπος ἀφίκετο, μὴ τραφεὶς πρὸ τοῦ κατὰ τὴν τρίτην παροξυσμοῦ, κακῶς ἐκεῖνοι καὶ τότε καὶ ταῖς ἐφεξῆς ἡμέραις ἔφασαν αὐτὸν τεθράφθαι. ἀλλὰ γὰρ οὐχ οἷόν τε ἦν ἵν' ἐξελέγξῃ τις αὐτοὺς, προσδοῦναι τὸν κάμνοντα, μὴ διδόντα τροφὴν ἐν τῇ παροξυντικῇ τῶν ἡμερῶν. ὁμοίως οὖν θρεψάντων ἐπὶ τῆς ἐννάτης ἡμέρας τὸν ἄνθρωπον, καὶ θεασάμενοι κατὰ τὸν παροξυσμὸν εὐτονώτερον μὲν ἑαυτοῦ γεγονότα τὸν σφυγμὸν ἔτι μέν τοι τὸ ἄρρωστον ἔχοντα, μετὰ τῆς τῶν ἄκρων ψύξεως, οὐχ ὑπεμείναμεν ἀνέχεσθαι τὴν γλωσσαλγίαν τῶν ἰατρῶν. ἀλλὰ κατὰ τὴν ἑνδεκάτην ἡμέραν προειπόντος τοῖς φίλοις τοῦ κάμνοντος, ὡς ἴσονται τήμερον, μέχρι τοῦ δεῦρο δι' ἡμᾶς τὸν ἄνθρωπον σωζόμενον, ἐπετρέψαμεν ὑπερβάλλειν αὐτὸν τὰς παροξυντικὰς ὥρας. ἀσφυξίας οὖν ἐν αὐταῖς γενομένης πάντως, καὶ καταψύξεως ἰσχυρᾶς ὅλου τοῦ σώματος, ὡς μήτε φθέγγεσθαι μηκέτι, καὶ μόγις τῶν θλιβόντων αἰσθάνεσθαι, κληθέντος ἅμα πάντων οἱ ἐξ ἀρχῆς ὁρώντων ἰατροὶ, μόνον οὐ διασπασθῆναι πρὸς τῶν οἰκείων τοῦ κάμνοντος ἐκινδυνεύσαμεν. ἐγὼ μὲν ὡς ἑκὼν προδοὺς τὴν σωτηρίαν αὐτοῦ, διὰ φιλονεικίαν. οἱ δ' ἐρασταὶ τῆς διατρίτου, διὰ τὴν ἀμαθίαν, ἅμα δὲ καὶ ἀναισθησίαν. ἐκεῖνοι μὲν ὠχρότεροι καὶ ψυχρότεροι τοῦ νοσοῦντος αὐτοῦ γενόμενοι, μηχανήν τινα ἐβουλεύσαντο φυγῆς. προνοήσας δ' ἐγὼ τοῦτο, τὴν αὔλειον θύραν ἐκέλευσα κλεισθῆναι. καί τινι τῶν ἑταίρων προσέταξα λαβόντι τὴν κλεῖν φυλάττειν. εἶτ' ἐν τῷ μέσῳ καταστὰς, ἤδη μὲν οὖν ὑμᾶς ἔφην ἀκριβῶς πεπεῖσθαι τίς ἐστιν ὁ σώσας τὸν ἄνθρωπον ἄχρι τοῦ δεῦρο. σωθήσεται δὲ καὶ νῦν ὑφ' ἡμῶν. οὐ γὰρ ἂν εἰ πάντως αὐτὸν ἀχλέεσθαι προσεδοκήσαμεν ἐν τῷ δὲ τῷ παροξυσμῷ, τοῦ τρέφειν ἀπέστημεν ἄν. ἀλλ' ἐπειδὴ τοσοῦτον αὐτῷ ῥώμης ἐκ τῆς ἔμπροσθεν διαίτης ἔγνωμεν ὑπάρχειν, ὡς δύνασθαι διενεγκεῖν τὸν παροξυσμὸν, ἐπετρέψαμεν ὑπερβάλλειν ἀσίτῳ. κάλλιον μὲν οὖν ἦν τεθράφθαι πρὸ πολλοῦ τὸν ἄνθρωπον. ἀλλ' ἵνα καὶ τούτους ἐξελέγξω καὶ πείσω τινὰς τῶν παρεχόντων αὐτοῖς τὰ ὦτα, φάσκουσιν ὑφ' ἡμῶν ἐπιτρίβεσθαι τὸν νεανίσκον, ἀπολέσας ἐκεῖνον τὸν καιρὸν, ἐπιδείξω νῦν αὐτοῖς ὅτι καὶ κατ' αὐτὸν τὸν παροξυσμὸν ἐνίους τῶν ἀρρωστούντων προσήκει τρέφειν. μή τί γε μὴ πρὸ τοῦ παροξυσμοῦ. ταῦτ' εἰπὼν καὶ διαστήσας τὰς γνάθους αὐτοῦ, ἐγχέων πτισάνης χυλὸν δι' ἀγγείου στενοστόμου κυάθων τὸ πλῆθος τριῶν, εἶτα ὀλίγον ὕστερον οἴνου λευκοῦ λεπτοῦ κεκραμένου συμμέτρως θερμῷ δύο κυάθους. ἐφ' οἷς ἀνέβλεψέ τε, καὶ ἀκούειν καὶ φθέγγεσθαι καὶ καὶ γνωρίζειν τοὺς παρόντας ὑπήρξατο. πρότερον, οἷόν περ ξύλον ξηρὸν ἐκτεταμένος ἀναίσθητός τε καὶ ἄφωνος. αὖθις οὖν αὐτῷ δοὺς ἄρτου τι καταπιεῖν ἐξ οἴνου καθ' ὃν εἴρηται τρόπον κεκραμένου, τελέως ἀνεκτησάμην. καὶ πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς ἀγαγὼν ὁδὸν τῆς διαίτης, εὐφόρως τὸν ἐν τῇ τρισκαιδεκάτῃ παροξυσμὸν ὑπομείναντα θεασάμενος, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πάλιν ἕωθεν θρέψας, ἔλουσα μετὰ τοῦτο, περὶ ὥραν ὀγδόην. εἶτ' αὖθις θρέψας γενναιότερον, ἐπιδούς τε πιεῖν οἴνου. τοῦτο δὲ καὶ κατὰ τὴν δωδεκάτην τε καὶ τρισκαιδεκάτην ἡμέραν ἐπεποιήκειν. ἐν τῇ πεντεκαιδεκάτῃ πάλιν ἕωθεν ἔθρεψα. μᾶλλον δὲ αὐτοῦ τό τε τὸν παροξυσμὸν ἐνεγκόντος εὐφόρως, αὖθις ἔλουσα κατὰ τὴν ἑκκαιδεκάτην ἡμέραν. καὶ τἆλλα ὁμοίως ἔπραξα περὶ τὸν ἄνθρωπον τοῖς ἔμπροσθεν. ἐπεὶ δὲ κατὰ τὴν ἑπτακαιδεκάτην ἡμέραν ὁ παροξυσμὸς ἄθλιπτος καὶ μικρὸς ἐγένετο, θαρρῶν ἤδη τοῦ λοιποῦ, διῄτων αὐτὸν ἀναληπτικῶς.

Οὗτος ὁ ἄρρωστος ἐπαίδευσε πολλοὺς τῶν ἡμιμοχθήρων τε καὶ μὴ παντάπασιν ὄνων, ὡς καὶ πρὸ τῶν παροξυσμῶν ἐνίοτε χρὴ τρέφειν, εἰ καὶ δυοῖν ὡρῶν εἴη τὸ μεταξύ. καὶ πολὺ δὴ μᾶλλον ἔμπροσθεν τῆς διατρίτου. Ἐδίδαξα δέ σε καὶ κατ' αὐτὴν τὴν εἰσβολὴν τοῦ πρώτου παροξυσμοῦ τοὺς τοιούτους τρέφεσθαι δεομένους. λέγω δὲ τοὺς τοιούτους, ἐφ' ὧν ἡ δυσκρασία τοῦ σώματος

ἐπὶ τὸ ξηρὸν καὶ τὸ θερμὸν ἐκτρεπομένης, πυρετὸν ἀνάπτει. ἔστι μὲν οὖν ἴσως καὶ τοῦτο τοῖς πολλοῖς τῶν ἰατρῶν ἄπιστον. ἀλλ' εἴτε τῷ λόγῳ χρὴ παρέχειν αὐτῷ τὴν πίστιν, εἴτε τοῖς ἔργοις, ἀμφοτέροις ἡμεῖς παρεχόμεθα. τοῖς μὲν ἔργοις ἀνθρώπους ἐπιδεικνύντες αὐτοῖς. οὓς ἐὰν ἀσιτήσωσιν ἐπὶ δυοῖν ἡμέραιν, ἀνάγκη πυρέξαι. καθάπερ ἐνίους ὀργισθέντας, ἢ λυπηθέντας, ἢ ἀγρυπνήσαντας. ἐναργέστατα γὰρ ἐπὶ τῶν ἀναλαμβανομένων ἐκ νόσου μακρᾶς τὰ τοιαῦτα φαίνεται γιγνόμενα, καὶ τῶν θερμῶν καὶ τῶν ξηρῶν τὴν κρᾶσιν. τῷ λόγῳ δ' ἡ πίστις τοῦ γιγνομένου. λέλεκται μὲν ἤδη καὶ δι' ἄλλων· εἰρήσεται δὲ αὐτοῦ καὶ νῦν τὰ κεφάλαια. οἱ δακνώδεις ἀτμοὶ καὶ χυμοὶ διὰ τῶν αἰσθητικῶν σωμάτων φερόμενοι, φρίκας καὶ ῥίγη γεννῶσιν. ἐν οἷς στεγνουμένου τοῦ δέρματος, ἐπισχεθέντα τὰ διαπνεόμενα πρόσθεν, ὅταν ᾖ λιγνυώδη, πυρετὸν ἐξάπτει. τοὺς τοιούτους οὖν ἀτμοὺς καὶ χυμοὺς, αἵ τε κινήσεις αἱ πολλαὶ, καὶ σφοδραὶ, καὶ ἀγρυπνίαι, καὶ οἱ θυμοὶ, καὶ αἱ λῦπαι, καὶ αἱ φροντίδες, ἐργάζονται πλείονας. ἐφεξῆς δὲ τούτων, αὐτὸ καθ' ἑαυτὸ μόνον ἱκανὸν ἐνίοτε τὸ μὴ προσενέγκασθαι τροφήν. ἐκχολοῦται γὰρ ἐπὶ τῶν πικροχόλων φύσεων ἡ ἕξις, ἐπὶ ταῖς μακροτέραις ἀσιτίαις. ἐὰν οὖν ἅμα τε τοῦτο συμβῇ, καὶ κίνησίν τινα κινηθεὶς ὁ κάμνων, ἰσχυροτέραν τῆς δυνάμεως, ἀθροωτέραν ἐργάσεται τῶν δακνωδῶν περιττωμάτων τὴν εἰς τοὐκτὸς φοράν. ἀναγκαῖον δ' ἐστὶν ὡς ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις ἐπεδείκνυμεν ἤτοι ῥῖγος ἢ φρίκην ἐπιγίγνεσθαι. ῥῖγος μὲν οὖν ἔσται διά τε τὸ πλῆθος τῶν φερομένων, καὶ τὴν δριμύτητα, καὶ τὸ τάχος τῆς φορᾶς, καὶ τὴν τῆς δυνάμεως ἀσθένειαν. τά γε γὰρ πολλὰ τῶν ὀλίγων, καὶ τὰ ταῖς ποιότησιν ἠκριβωμένα τῶν μὴ τοιούτων δάκνει μᾶλλον, ὥσπερ γε καὶ τὰ θᾶττον φερόμενα τῶν βραδυτέρων. ἥ τε δύναμις ἰσχυρὰ μὲν οὖσα, καταφρονεῖ καὶ ἀνέχεται πάντων. ἀσθενὴς δὲ γιγνομένη, καὶ πρὸς τῶν τυχόντων ἀνιᾶται. φρίκη δ' ἂν γένοιτο, τῆς τε ποιότητος αὐτῶν, καὶ τοῦ τάχους τῆς φορᾶς ἐκλυθέντων ἅμα τῷ πλήθει. καὶ μάλιστα ὅταν ἡ δύναμις ἀνθίσταται τοῖς λυποῦσιν. ἐπὶ πλέον δὲ τῶν εἰρημένων ἐκλυθέντων, οὐδὲ φρίκη γένοιτ' ἄν. ἀλλ' ἤτοι τις ἑλκώδης αἴσθησις, ἢ ἀνωμαλία μόνη. πάντων μὲν οὖν τῶν εἰρημένων συνελθόντων, τὸ σφοδρότατόν ἐστι ῥῖγος. ἁπάντων δ' ἐκλυθέντων, οὐδεμία τῆς διεξόδου τῶν περιττωμάτων αἴσθησις. εἰ δὲ τὰ μὲν εἴη, τὰ δὲ, οὐκ εἴη. καὶ τὰ μὲν μείζω, τὰ δὲ σμικρότερα, τὸ ἐν μέσῳ πᾶν ἀπεργασθήσεται πλάτος ἐν ταῖς τοιαύταις μίξεσι, τοῦ τε μεγίστου ῥίγους, καὶ τῆς παντελοῦς τῶν περιττωμάτων ἀναισθησίας. οὐδὲν οὖν ἐστι θαυμαστὸν, εἰ τῷ μὲν ἀνωμαλίαν, τῷ δὲ, ἑλκώδη τινὰ αἴσθησιν ἢ φρίκην, ἢ ῥῖγος ἕκαστον τῶν αἰτίων αὐτό τε καθ' ἑαυτὸ καὶ σὺν ἄλλοις ὁρᾶται φέρον. ὑποκείσθωσαν γὰρ ἀσθενεῖς μὲν αἱ δυνάμεις. αἰσθητικὸν δ' ἱκανῶς τὸ σῶμα, καὶ γὰρ καὶ τοῦτο ἐδείχθη συντελεῖν οὐκ ὀλίγον εἰς τὴν τῶν τοιούτων συμπτωμάτων γένεσιν, ἰσχνὴ δὲ ἡ ἕξις, καὶ ἡ κρᾶσις πικρόχολος. ὅ, τε στόμαχος ἐκχολούμενος ὁμοίως, ἐπί τε τούτοις ἅπασιν ἔνδεια γιγνέσθω σιτίων, ἀγρυπνία τέ τις, καὶ λύπη, καὶ φροντὶς, ἀναγκαία τε πρόοδος οἴκοθεν ἐπειγούσης τινὸς χρείας. εἶτα τούτων ὑποκειμένων, ὅπερ ἐθεασάμην ποτὲ γιγνέσθω. προθυμηθείτω διὰ τὴν χρείαν ὁ τοιοῦτος ἄνθρωπος, ὁδὸν μακροτέραν ἀνύσαι κατὰ τὴν πόλιν ἐπειγόμενος. ἆρ' οὐχ ἑτοίμως ἐκ τῆς προσγιγνομένης αὐτῷ κινήσεως τῶν δακνωδῶν περιττωμάτων, ἀνωμαλίαν μέν τινα πρῶτον, αὐτίκα δὲ καὶ φρίκην γενέσθαι, καὶ εἰ ἐπιμένει κινούμενος ἢ μὴ φθάσει λαβεῖν σιτίων, αὐτίκα πυρέττειν αὐτόν; ἔδειξα δέ σοι πυρέξαντας οὕτω τινὰς, καὶ μάλιστα τῶν ἐκ νόσου μακρᾶς ἀνακομιζομένων. ὧν ἑνὶ κατὰ τύχην ἀπαντήσας τῆς φρίκης ἀρχομένης ἄρτι δηλώσαντι τὸ γιγνόμενον, ἄρτον ἐξ οἴνου κεκραμένου δοὺς προσενέγκασθαι, παραχρῆμα τὴν φρίκην ἔπαυσα. ἀλλὰ τοῦτον μὲν ὡς οἶσθα, κατὰ τὴν ὁδὸν εἰς ἐργαστήριον εἰσαγαγὼν, ἐκώλυσα πυρέξαι. ἑτέρους δ' εἰς τὴν ἑαυτῶν καταγωγὴν ἀφικέσθαι φθάσαντας, ἔθρεψα κατὰ τὴν ἀρχὴν τῆς φρίκης, ἢ μικρὸν ὕστερον. Ἁπλῶς δ' εἰπεῖν, οἷς ἔτι τὰ τῆς ἀρχῆς τῶν παροξυσμῶν ἐστι συμπτώματα, τούτοις ἅπασιν ἄρτον ἐξ οἴνου κεκραμένου θερμοῦ διὰ ταχέων προσφέρων, ἔπαυσά τε παραχρῆμα τὴν φρίκην, ἐκώλυσά τε πυρέξαι. ὅσῳ δ' ἂν θᾶττον αὐτοὺς θρέψαις, τοσούτῳ μᾶλλον κωλύσεις τὸν πυρετόν. εἰ δὲ βραδύνοις ποτὲ βραχὺ, πυρετὸς μὲν οὐδ' οὕτω, θερμασία δὲ αὐτοῖς ἐπιγίγνεται πολλή. τρόπον ὁμοιότατον τοῖς ἐν κρύει μὲν ὁδοιπορήσασι σφοδρῷ. καταχθεῖσι δ' οἴκαδε, καὶ τραφεῖσι θερμοῖς, ὡς εἴγε βραδύνοις πλέον, ἔτι πλέον οὗτοι θερμανθήσονται θερμασίαν τοσαύτην, τε καὶ τοιαύτην ὡς ἀμφιβάλλειν εἰ πυρετὸν ἤδη κλητέον αὐτήν. Εἰ δ' ὧραι δύο μετὰ τὴν ἀρχὴν τῆς ἀνωμαλίας εἴησαν γεγενημέναι, τρέφειν μὲν καὶ τότε μενούσης γ' ἔτι τῆς φρίκης. προλέγειν δ' ὅτι πυρέξουσιν οὗτοι πυρετὸν ἄλυπον, ᾧ νοτίδες ἀκολουθήσουσι. καὶ τούτου γενομένου, καὶ λούειν χρὴ καὶ τρέφειν αὖθις. Εἰ δὲ ἡ μὲν φρίκη παύσαιτο, πυρέττοιεν δ' ἤδη σαφῶς, μηκέτι τρέφειν αὐτοὺς ἐν ἐκείνῳ τῷ καιρῷ· παρακμάζοντος δὲ τοῦ γιγνομένου παροξυσμοῦ, τρέφειν αὐτίκα μὴ περιμένων ἀπυρεξίαν. Ἐν ἁπάσαις γὰρ ταῖς αὐχμώδεσι διαθέσεσιν, οὐ παύονται καλῶς οἱ παροξυσμοὶ, πρὶν ἢ δὲ λουτροῖς, ἢ τροφαῖς ὑγραινούσαις τυχεῖν. Ταῦτα ἐγὼ πάντα δι' ἔργων ἐπιδειξάμενος ἐφ' οἷς ὡς οἶσθα παραδοξοποιὸς ὑπὸ τῶν ἐπαινούντων ἢ φθονούντων ἐκλήθην, ὁπότε δὲ λόγῳ διεξερχόμην ὑπὲρ τῶν αὐτῶν ἐπιδεικνὺς ὡς χρὴ τινὰς μὲν πρὸ τοῦ παροξυσμοῦ τρέφειν, ἐνίους δὲ καὶ κατ' αὐτὸν, ἤτοι παρακμῆς ἀρξαμένης ἢ καὶ νὴ Δία τῆς ἀκμῆς ἐνεστηκυίας, οἶσθ' ὡς τηνικαῦτα παραδοξολόγον ἐκάλουν με. τί ἂν οὖν τις πάθοι πρὸς ἀνθρώπους, μήτε ἔργῳ, μήτε λόγῳ πεισθῆναι δυναμένους. ἀλλ' ἀδύνατόν φασι διαγνῶναι τὰς τοιαύτας διαθέσεις. Πῶς οὖν ἡμεῖς τὰς τοιαύτας διαγινώσκομεν; ἀδύνατον εἶναί σοι δοκεῖ διαγνῶναι ξηρὰν καὶ θερμὴν κρᾶσιν, ἢ ἐξ ἀρχῆς γεγενημένην, ἢ ἐν τῷ νῦν χρόνῳ τοιαύτην ἀποτελεσθεῖσαν. ἐμοὶ μὲν γὰρ οὕτω ῥᾷστον, ὡς καὶ ταυτὶ γνωρίζειν τὰ γράμματα. τί δ' ὅτι τούτῳ μὲν οὐδέπω σηπεδὼν οὐδεμία χυμῶν ἐστι. τούτῳ δ' ἐστὶν, ἀδύνατον εἶναι διαγνῶναι νομίζεις; ἀλλ' οὐχ ἡμεῖς γε. καὶ γὰρ διὰ τῶν σφυγμῶν καὶ διὰ τῶν οὔρων καὶ δι' αὐτῆς ἐστιν ὅτε τῆς κατὰ τὴν θέρμην ποιότητος ἐναργῶς διαγινώσκομεν. εἰ δ' ἐκ τοῦ μηδὲν αὐτοὶ μήτε μαθεῖν ἐθελῆσαι, μήτ' ἀσκῆσαι τοῖς ἐπιστήμοσιν ἀπιστοῦσι, τί κωλύει καὶ τοῖς γεωμέτραις αὐτοῖς καὶ τοῖς ἀριθμητικοῖς καὶ

τοῖς ἄλλοις ἅπασι τεχνίταις ἀπιστεῖν. ἐάσαντες οὖν ἤδη τοὺς τοιούτους ἀνθρώπους, αὖθις ἀναλάβωμεν αὐτὸ τὸ συνεχὲς τοῦ λόγου. Ταῖς θερμαῖς καὶ ξηραῖς ἕξεσιν, ἐναντιώτατόν ἐστι καὶ πυρετωδέστατον αἴτιον, ἀσιτία. λέγω δ' ἕξεις θερμὰς καὶ ξηράς, οὐ μόνον ὅταν ἐξ ἀρχῆς ὦσι τοιαῦται κατὰ τὴν οἰκείαν κρᾶσιν, ἀλλὰ κἂν ἐξ ὑστέρου γένωνται ἐκ διαίτης θερμῆς καὶ ξηρᾶς. καὶ κινήσεων πλειόνων. ἀγρυπνίας τε καὶ φροντίδος. καὶ λύπης. καὶ χωρίου θερμοῦ καὶ ξηροῦ. καὶ ὥρας θερινῆς. καὶ καταστάσεως θερμῆς καὶ ξηρᾶς. ἔξεστι δὲ καὶ χωρὶς τοῦ τῆς ὥρας ὀνόματος ἐν τοῖς τοιούτοις λόγοις, μόνης μεμνῆσθαι τῆς καταστάσεως. ἄνωθεν γοῦν ἀναληφθέντος τοῦ λόγου, μᾶλλον πεισθήσῃ τῷ λεγομένῳ. Τὰς θερμὰς καὶ ξηρὰς κράσεις εἴτ' ἐκ τῆς ἀρχαίας φύσεως, εἴτ' ἐκ τῆς διαίτης καὶ πόνων ἀμέτρων καὶ παθῶν ψυχικῶν καὶ χωρίου καὶ καταστάσεως εἰς τοῦτο ἧκον ἠγμένας, βλάπτουσιν ἱκανῶς αἱ ἀσιτίαι. ἐν τούτῳ τῷ λόγῳ παραλέλειπται μὲν ἡ ὥρα κατά γε τὴν λέξιν. οὐ παραλέλειπται δὲ τῇ δυνάμει. περιέχεται γὰρ ἐν τῇ καταστάσει τῆς ἄκρως θερμῆς καὶ ξηρᾶς καταστάσεως τὴν εἰρημένην κρᾶσιν ἐργαζομένης, ἣν οὐχ οἷόν τε γενέσθαι κατ' ἄλλην ὥραν οὐδεμίαν. ὅτι μὴ τοῦ θέρους. οὔτε γὰρ ἐν φθινοπώρῳ δυνατόν, οὔτ' ἐν ἦρι. πολὺ δὲ μᾶλλον οὐδ' ἐν χειμῶνι, θερμοτάτην ἅμα καὶ ξηροτάτην γενέσθαι κατάστασιν. ὥσπερ οὐδὲ ψυχροτάτην οὐδὲ ὑγροτάτην ἐν ἄλλῃ τινί, πλὴν ἐν χειμῶνι. διὰ ταῦτα μὲν δὴ κἀγὼ παραλιπὼν ἐνίοτε τὴν ὥραν, ἀρκοῦμαι τῇ καταστάσει. ἐξέστω μὲν ἑκάστῳ χρῆσθαι τοῖς ὀνόμασιν ὡς ἂν ἐθέλοι, φυλάττοντι τῶν πραγμάτων τὴν φύσιν. ἔστι δὲ ἡ φύσις τῶν πραγμάτων οἵαν ἤδη τε πολλάκις ἔφην. οὐδὲν δὲ ἧττον ἐρῶ καὶ νῦν. ὅσα γὰρ ἀναγκαιότατα μέν εἰς τὰς ἰάσεις ἐστίν, ἀγνοεῖται δὲ μάλιστα, ταῦτ' οὐδ' Ἱπποκράτης ὀκνεῖ διδάσκειν πολλάκις. Ἀσιτία τοίνυν τοῖς ξηροῖς καὶ θερμοῖς σώμασιν, ὑγιαίνουσι μὲν βλαβερά. πυρέττουσι δ' ἐν θερμῷ πυρετῷ καὶ ξηρῷ τὸν ἐπ' ἐγκαύσει πυρετόν, ἢ πόνοις ἀμέτροις, ἢ ἀγρυπνίαις, ἢ τοῖς εἰρημένοις πάθεσι τῆς ψυχῆς, οὐχ ἁπλῶς βλαβερόν, ἀλλ' εἴπερ τι καὶ ἄλλο τῶν πάντων ὀλέθριον. ἤτοι γὰρ εἰς καυσώδεις ἐμπίπτουσι πυρετοὺς ἐξ αὐτῆς. ἐξ ὧν ἐὰν μὴ φθάσωσιν ἀποθανεῖν, εἰς τοὺς ἑκτικοὺς μεταπίπτουσιν. αὖθις δ' ἐκ τούτων, εἰς μαρασμόν. ἢ ἐξ ἀρχῆς εὐθέως ὁ ἑκτικὸς αὐτοῖς συμπίπτει πυρετὸς ὑπερβὰς τὸν καυσώδη. μάλιστα δ' ὡς εἴρηται πολλάκις, αἱ ξηραὶ καὶ θερμαὶ διαθέσεις ἁλίσκονται τοῖς ἑκτικοῖς πυρετοῖς εὐθὺς ἐξ ἀρχῆς. ὥσπερ καὶ ἐπὶ τοῦ ἀνθρώπου τοῦ φθινοπώρου μὲν ἀρξαμένης διὰ ἀγρυπνίαν καὶ λύπην. ἐπὶ πλεῖστον δὲ παρατεινάσης τοῦ χειμῶνος. ἣν τεθεάμεθα μὲν ὡς οἶσθα, τεταρταίαν. ἐγνωρίσαμεν δ' εὐθέως ἑκτικὸν εἶναι πυρετὸν ἐπιπεπλεγμένον ἑτέρῳ τινὶ τῶν ἐπὶ χυμοῖς. ἴασις δ' ἦν μόνη διδόναι ψυχρὸν ἐν καιρῷ μέτριον, εἰθισμένῃ πίνειν αὐτὸ καὶ παρὰ τὸν ὑγείας χρόνον. ἀλλ' ἕτεροι μὲν ἐπὶ ταύτης ἐνεπιστεύοντο τὴν θεραπείαν. ὅθεν ἡμεῖς ἔγνωμεν σιωπᾶν. ἐπ' ἄλλου δὲ κατὰ τὸν αὐτὸν χρόνον, ὃς ἡμῖν ἑαυτὸν ἐπέτρεψε, καθ' ἑκάστην τροφὴν ἐδίδομεν ἀκραιφνοῦς πηγαίου ψυχροῦ. ποτὲ μὲν, δύο κυάθους. ἔστι δ' ὅτε τρεῖς. ἀθρόον γὰρ οἱ τοιοῦτοι ψυχρὸν οὐ φέρουσιν ἄνευ τοῦ βλαβῆναι. διὸ κάλλιστόν ἐστιν εὐθὺς ἐν τῷ πρώτῳ παροξυσμῷ, διαγνόντα τοῦ πυρετοῦ τὴν ἰδέαν, ἀκινδυνώτερον χρήσασθαι ψυχρῷ πλέονι, μηδέπω ξηρῶν ἱκανῶς τῶν σωμάτων γεγονότων. Ὁ γοῦν ἐκ θυμοῦ πυρέξας ἐν τοῖς ὑπὸ κύνα καύμασι, θερμὸς καὶ ξηρὸς νεανίσκος ἐν τῷ πρώτῳ παροξυσμῷ πιὼν ὕδατος ψυχροῦ δύο κοτύλας, αὐτίκα μὲν ἤμεσε χολὴν ξανθοτάτην. ἐξέκρινε δ' ὀλίγον ὕστερον καὶ κάτω. κἄπειτ' αὖθις ἐπὶ τῇ τροφῇ λαβὼν ὁμοίως ὕδατος ὅσον κοτύλης, οὐκέτι ἐπύρεξεν. ἀλλ' ἔνιοι τῶν ἰατρῶν ἐν ἀρχῇ μὲν οὐ γνωρίζοντες οὐδεμίαν ἰδέαν πυρετοῦ, γνόντες δ' ὕστερον, ὅτι οὐδὲν ὄφελος εἰς ἑκτικόν, ἢ καὶ νὴ δία ἤδη μαρασμώδη πυρετὸν ἐμπίπτοντα τὸν ἄρρωστον, ἔδοσαν αὐτῷ ψυχρὸν πιεῖν ἡμᾶς μιμησάμενοι. καὶ πάντες ἀπέτυχον τοῦ σκοποῦ. πολλῆς γὰρ ἀκριβείας δεῖται κατὰ τὸ μέτρον ἐπὶ τῶν οὕτως ἐχόντων, ἡ δόσις τοῦ ψυχροῦ. καὶ λεχθήσεται περὶ αὐτῆς ὀλίγον ὕστερον. ἐπειδὰν πρότερον ἐπιθῶ τελευτὴν τοῖς ἐνεστῶσιν. Ὁ γάρ τοι προγεγραμμένος ἄρρωστος, ἁπάντων παράδειγμά ἐστι τῶν εὐθὺς ἐξ ἀρχῆς τρέφεσθαι δεομένων διὰ ξηρότητα, κἂν ἤδη πυρέττειν ἄρχωνται. γινομένου γὰρ αὐτοῖς τοῦ πυρετοῦ διὰ τὸ δακνῶδες τῶν ἐν ταῖς ἡλιώσεσι, καὶ ἀσιτίαις, καὶ πόνοις ἐκ θερμανθέντων καὶ λεπτυνθέντων χυμῶν, ἡ ὑγραίνουσα τροφὴ μέγιστον ἴαμα ἐστίν. ὥσθ' ὅπου γε διὰ πλῆθος ἢ ἔμφραξιν ἢ φλεγμονὴν ἢ ἁπλῶς εἰπεῖν σηπεδόνα τινῶν χυμῶν ὁ πυρετὸς γεννᾶται, μέγιστον κακόν ἐστιν ἡ τροφή. Τούτους μὲν οὖν οὐδ' ἐν ταῖς παρακμαῖς ἀβλαβῶς ἂν τρέφοις, μήτι γε δὴ κατὰ τὴν εἰσβολὴν τῶν παροξυσμῶν. τοὺς προειρημένους δὲ ἐν ἅπαντι μὲν καιρῷ, μάλιστα δ' ἐν τῇ παρακμῇ. καί με πολλάκις ἐθεάσω τοὺς ἐπὶ πλήθει καὶ φλεγμονῇ νοσοῦντας ἐν ἀσιτίαις διαφυλάξαντα μακραῖς οὕτως, ὡς μηδόλως θρέψαι πρὸ τῆς ἑβδόμης ἡμέρας, ἀλλ' ἀρκεσθῆναι μόνῳ μελικράτῳ τῆς δυνάμεως ἐρρωμένης δηλονότι. τινὰς δ' αὐτῶν οἷς ἡ δύναμις οὐκ ἦν εὔρωστος, ἢ χολώδης ὁ στόμαχος, ἢ ἀσθενής, ἢ περιττῶς αἰσθητικός, ἐπὶ χυλοῦ πτισάνης μόνου διεφύλαξα μέχρι τῆς ἑβδόμης ἡμέρας, μέλλοντός γε δηλονότι κατὰ ταύτην ἤτοι ἀκμάζειν τοῦ νοσήματος, ἢ καὶ παντάπασι λυθήσεσθαι διὰ κρίσεως. ἔστωσαν δὴ σοι καθ' ἕκαστον ἄρρωστον εὐθέως ἀπὸ πρώτης ἡμέρας οἱ σκοποὶ τοῦ τρέφειν, ὡς Ἱπποκράτης ἐκέλευσεν, ἥτε τοῦ νοσήματος ἀκμή, καὶ ἡ τοῦ κάμνοντος δύναμις. εἶθ' εἰ μὲν ἐγχωρεῖ μηδόλως τρεφόμενον ὑπερβάλλειν τὴν ἀκμήν, ἐν ἀσιτίαις φυλάττε τὸν ἄνθρωπον. εἰ δὲ βραχείας τινὸς βοηθείας δέοιτο, τὸ μελίκρατον ἀρκείτω μόνον. εἰ δὲ ἔτι μείζονος ἢ κατὰ μελίκρατον, ὁ χυμὸς τῆς πτισάνης. εἰ δ' οὐκ ἐγχωρεῖ τὴν ἀκμὴν τοῦ νοσήματος ὑπερβάλλειν ἤτοι λεπτῶς διαιτώμενον, ἢ ἀσιτοῦντα, πειρᾶσθαι τρέφειν τοῦτον εὐθὺς ἐν τῇ τοῦ πρώτου παροξυσμοῦ παρακμῇ. τινὰς δ' αὐτῶν, ὡς εἴρηται, καὶ μέλλοντος εἰσβάλλειν καὶ ἀρχομένου. ξηροὶ δ' εἰσὶν οὗτοι καὶ θερμοὶ τὴν κρᾶσιν. ἤτοι γ' ἐξ ἀρχῆς, ἢ καθ' ἐκεῖνον τὸν χρόνον. ἀσθενεῖς τε τὴν δύναμιν ἐξ ἀνάγκης. οὐ γὰρ ἐνδέχεται ξηρὸν καὶ θερμὸν ἱκανῶς σῶμα πυρέξαν, ἐρρῶσθαι ταῖς δυνάμεσιν. Εἰ μὲν οὖν ποτε συνέλθοι φλεγμονὴ τοῖς τοιούτοις πυρετοῖς τε καὶ σώμασιν ἐπὶ καιρίου μορίου, τεθνήξονται πάντως. ἐθεάσω γὰρ ἡμᾶς καὶ τοὺς προειπόντας μὲν ἀεί, ψευσαμένους δ' οὐδέ ποτε. καὶ μᾶλλον εἰ πνεύμονος, ἢ τοῦ τὰς πλευρὰς ὑπεζωκότος χιτῶνος, ἢ γαστρός, ἢ ἥπατος. ἀεὶ γὰρ ἐν τούτοις τοῖς μέρεσι φλεγμοναί, μὴ ὅτι τοῖς οὕτως ἀσθενέσι

τὴν δύναμιν, ἀλλὰ καὶ τοῖς ἰσχυροτέροις αὐτῶν, ὀλέθριαι. καὶ μία σωτηρία πλευριτικοῖς τε καὶ περιπνευμονικοῖς, προσκείσθω δὲ καὶ συναγχικοῖς, ἡ ῥώμη τῆς δυνάμεως. Ἔτι τε τούτων οὐδὲν ἧττον οἷς ἧπαρ ἢ γαστὴρ ἐφλέγμηνεν. ὅσον μὲν γὰρ ἐπὶ ταῖς φλεγμοναῖς αὐτῶν, ἥκιστα προσήκει τρέφειν. ὅσον δ᾽ ἐπὶ τῇ τῆς δυνάμεως ἀῤῥωστίᾳ, πολλάκις. ὥστ᾽ ἀναγκαῖον ἢ καταλῦσαι τὴν δύναμιν, ἢ τὰς φλεγμονὰς αὐξῆσαι. Ταυτὶ μὲν οὖν ἐπὶ πλέον ἴσως ἢ τοῖς ἐνεστῶσιν ἁρμόττει, λέλεκταί μοι, διεγνωκότι γε καὶ ἴδιον ὅλον τὸ γράμμα περὶ τῶν ἄνευ φλεγμονῆς διαλεχθῆναι πυρετῶν. ἀλλὰ διὰ τὴν τοῦ λόγου κοινωνίαν, ἐξέβην ἐφ᾽ ὅσον ἦν ἀναγκαῖον. Αὖθις οὖν ἐπανέλθωμεν ἐπὶ τοὺς δὲ τοῖς προειρημένοις πυρετοῖς συγγενεῖς, οὓς ὀνομάζειν εἰώθαμεν ἑκτικούς. ὁ γάρ τοι νεανίσκος ὃν προέγραψα, τὸν ἑκτικὸν ἂν ἤγειρε πυρετόν, ὑπερβάλλειν ἀναγκασθεὶς τὴν θαυμαστὴν διάτριτον. εἴπερ γε μὴ φθάσας ἀπέθανεν ὑπὸ τῶν εἰθισμένων ἄνευ μεθόδου διαιτᾶν. Ὑποκείσθω τοίνυν ἄλλος τις ἅπαντα μὲν ἔχων τὰ αὐτὰ τῷ προειρημένῳ. τὴν δύναμιν δὲ ἰσχυρότερος εἰς τοσοῦτον, ὡς καὶ τὴν διάτριτον ὑπερβάλλων ἀντέχειν. ἀνάγκη τὸν τοιοῦτον οὕτω διαιτώμενον, ὡς διαιτῶσιν οἱ τὴν διάτριτον ὑμνοῦντες, εἰς τὸν ἑκτικὸν πυρετὸν ἐμπεσεῖν. ἔθρεψαν γὰρ αὐτὸν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν. εἶθ᾽ αὖθις ἐν τῇ ἕκτῃ. κἄπειτ᾽ ὀγδόῃ τε καὶ δεκάτῃ. τοιοῦτος γοῦν τις ὁ τύπος τῆς διαίτης αὐτῶν ἐστιν, ὡς ἐθεάσω πολλάκις. Ἡ μὲν πρώτη τροφή, μετὰ τὴν πρώτην διάτριτον. αἱ δ᾽ ἄλλαι, παρὰ μίαν. εὐθὺς δ᾽ ἂν οἶμαι καὶ διὰ ῥοδομέλιτος ἐξήρανον αὐτοῦ τὰ ὑποχόνδρια. καὶ γὰρ καὶ τοῦτο ἐκ τοῦ νόμου τῶν τοιούτων ἰατρῶν ἐστιν, εἴτε φλεγμαίνοι σπλάγχνον, εἴτε καὶ μή. Κατ᾽ ἀρχὰς μὲν οὖν ὅπως χρὴ διαιτᾶν τοὺς οὕτω κάμνοντας, εἴρηται μὲν καὶ πρόσθεν. οὐδὲν δὲ ἧττον ἐν κεφαλαίοις εἰρήσεται καὶ νῦν. ὅταν ἤτοι γε ἐκ κόπων, ἢ θυμῶν, ἢ φροντίδων πλειόνων, ἢ ἀγρυπνίας, ἢ λύπης, ἢ ἐνδείας μακρᾶς, ἢ καὶ πάντων ἅμα συνελθόντων, ὥσπερ ἐπὶ τοῦ προγεγραμμένου νεανίσκου, ξηρανθέντος τοῦ σώματος, εἰσβάλλῃ πυρετός, αὐχμηρὸν μὲν ποιῶν τὸ δέρμα, πυρώδη δ᾽ ἔχων τὴν θέρμην. ἐλπὶς μὲν δή που τοῦτον τὸν ἄνθρωπον, ἑκτικῷ ληφθήσεσθαι πυρετῷ. καὶ μᾶλλον ἐν θέρει, καὶ ἐν θερμῇ καὶ ξηρᾷ καταστάσει. Χρὴ δὲ ὅτι τάχιστα διά τε πτισάνης χυλοῦ, καὶ τῶν διὰ χόνδρου ῥοφημάτων θρέψαντα, καὶ ἄρτου τι προσεπιδιδόντα, θεραπεῦσαι πόσει ψυχρᾶς τὸν κάμνοντα. σβέννυται γὰρ αὐτίκα καὶ παύεται τελέως ὁ πυρετός, ὅταν γε, ὡς εἴρηται, μήτε φλεγμονή τις αὐτῷ συνῇ, μήτε σῆψις χυμῶν. εἰ δέ γε τούτων τι συνεπιφαίνοιτο, προσέχειν ἀκριβῶς χρὴ καὶ διακρίνειν, ἐν τίνι καιρῷ πρώτως τὸ ψυχρὸν ὕδωρ αὐτῷ δοῦναι τολμήσομεν. ἐγὼ γὰρ ἔδωκα πολλοῖς, καὶ τῶν τοιούτων ἄμεινον εἶναι νομίσας αὐξῆσαι τὰς φλεγμονάς, τό γε παραυτίκα, τοῦ περιπεσεῖν ἀνέχεσθαι τὸν ἄνθρωπον ἑκτικῷ πυρετῷ. παντελῶς τοίνυν, ὡς ἀεὶ λέγομεν ἡ θεραπεία τῇ διαγνώσει τε καὶ προγνώσει συνέπεται. Διαγνῶναι μὲν γὰρ χρὴ τὰ παρόντα, προγνῶναι δ᾽ ἐξ αὐτῶν τὰ γενησόμενα, τὸν μέλλοντα χρήσεσθαι βοηθήματι δραστηρίῳ. Εἰ μὲν τοίνυν μεγάλην ἔσεσθαι στοχάζοιο τὴν βλάβην, ἤτοι τῆς σήψεως τῶν χυμῶν, ἢ τῆς φλεγμονῆς, ἐπισχεῖν μὲν τὴν δόσιν τοῦ ψυχροῦ. τοῖς δ᾽ ἔξωθεν ἐπιτιθεμένοις ψυκτηρίοις ἰάμασι χρῆσθαι, ποτὲ μὲν ἐπὶ στόματι τῆς γαστρὸς ἢ καθ᾽ ὅλων τῶν ὑποχονδρίων. ἔστι δ᾽ ὅτε καὶ κατὰ τοῦ θώρακος ἐπιτιθέντα. καθάπερ ἂν ἡγησαίμεθα μάλιστα τὸ πλεῖστον εἶναι τῆς θέρμης. Εἴρηται δ᾽ ὅτι καὶ βαλανεῖα τοῖς οὕτω κάμνουσιν ἐπιτήδεια. τουτέστι τοῖς ἐξηρασμένοις μὲν ἱκανῶς τὸ σῶμα, πυρέττουσι δ᾽ ἄνευ χυμῶν σηπεδόνος ἐπί τινι τῶν προειρημένων αἰτίων. Ἐπιδέδεικται δὲ ἡμῖν ἐν τοῖς περὶ τῶν πυρετῶν λογισμοῖς, ὅτι καὶ ταῖς φλεγμοναῖς διὰ τὴν σηπεδόνα τῶν ἐν αὐταῖς χυμῶν, ἕπονται πυρετοί. Διὰ τοῦτο οὖν ὅταν εἴπω ποτέ, τοῖς ἐπὶ σήψει πυρετοῖς, ἤτοι συμφέρειν ἢ μὴ συμφέρειν τὸ δέ τι, καὶ τοὺς ἐπὶ φλεγμοναῖς ἀκούειν σε χρὴ περιλαμβανομένους ἐν τῷ κοινῷ γένει τῆς σηπεδόνος. Ὅταν δ᾽ ἑξῆς ἀλλήλοις ἀμφοτέρους ὀνομάζοντος ἀκούῃς μου, τοὺς ἐπὶ φλεγμοναῖς ἰδίᾳ τῶν ἐπὶ μόνῃ σήψει τηνικαῦτα διοριζομένους. ὁποία γάρ τις ἐστὶν ἡ τῆς φλεγμονῆς διάθεσις, εἴρηται μὲν ἔν τε τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας, καὶ τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων. ἀναμνῆσαι δέ σε καὶ νῦν ἀναγκαῖόν ἐστιν, ὅτι κατασκήψαντος αἵματος θερμοῦ πλείονος, εἰς τὸ τοῦ ζώου μόριον, ἐξαίρεται μὲν αὐτίκα τὰ μείζω τῶν ἀγγείων, μὴ στέγοντα τὸ πλῆθος. ἑξῆς δ᾽ αὐτοῖς τὰ σμικρότερα. κἄπειθ᾽ οὕτως ἐπειδὰν μηδ᾽ ἐν τούτοις στέγηται, διιδροῦται πρὸς τοὐκτὸς εἰς τὰς μεταξὺ τῶν ἀγγείων εὐρυχωρίας, ὡς καὶ τὰ ἐν τῇ συνθέτῳ σαρκὶ χώρας ἁπάσας καταλαμβάνειν. αὕτη μὲν ἡ τῆς φλεγμονῆς διάθεσις. ἐγχωρεῖ δὲ καὶ χωρὶς αὐτῆς ἐν αὐτοῖς τοῖς ἀγγείοις σήπεσθαί τινας χυμούς. ἤτοι καθ᾽ ἕν τι τοῦ ζώου μόριον ἐν τοῖς πέρασιν αὐτῶν σφηνωθέντας, ἢ καὶ καθ᾽ ὅλας αὐτῶν τὰς εὐρύτητας, ὁπόσαι μεταξὺ βουβώνων τέ εἰσι καὶ μασχαλῶν.

Cap vii

Ὅταν οὖν ὡς ἐλέγομεν ἄνευ σηπεδόνος αὐχμώδει σώματι πυρέττειν συμβῇ, τὸ κεφάλαιον τῆς ἰάσεως ἐν τοῖς ὑγραίνουσι καὶ ψύχουσι βοηθήμασι τίθεσθαι χρή. Δύο δ᾽ εἰσὶν αἱ τούτων ὗλαι κατὰ γένος αἱ πρῶται. μία μὲν ἐν τοῖς προσπίπτουσιν ἔξωθεν. ἑτέρα δέ, ἐν τοῖς εἴσω τοῦ σώματος λαμβανομένοις, ἃ δὴ καὶ προσφερόμενα καλοῦσιν. ἔξωθεν μὲν οὖν προσπίπτει, τό τε περιέχον ἡμᾶς αὐτό, καὶ ὅσα δυνάμει φαρμάκων ὑγραίνειν τε καὶ ψύχειν πεφύκασι. καὶ τρίτον πρὸς τούτοις, ὑδάτων γλυκέων λουτρά. τὰ δ᾽ εἴσω τοῦ σώματος λαμβανόμενα, τά τε ἐσθιόμενα καὶ τὰ πινόμενα, καὶ ὁ εἰσπνεόμενος ἀήρ ἐστιν. ἐκ τούτων χρὴ πειρᾶσθαι, τήν θ᾽ ὑγρότητα καὶ τὴν ψύξιν ἐκπορίζειν τοῖς ἐν τῷδε τῷ λόγῳ προκειμένοις πυρετοῖς. Ἀλλ᾽ ἡ μὲν ψύξις ὡς ἂν ὑπὸ δραστηρίου ποιότητος γινομένη, ὀλιγοχρόνιός τ᾽ ἐστὶ καὶ σφαλερά. πολυχρόνιος δὲ ἡ τῶν ἐξηρασμένων ἐπανόρθωσις ὑπάρχει δι᾽ ὑγρότητος, ἧττόν τε σφαλερὰ τῆς διὰ ψύξεως.

Cap viii

Ἐπέλθωμεν οὖν ἐφεξῆς τὰς εἰρημένας ἐξ διαφορὰς τῆς ὕλης, ἀπὸ τοῦ περιέχοντος ἀρξάμενοι. Τούτῳ τοίνυν εὐκράτῳ μὲν ὄντι, χρηστέον ὡς ἔχει μηδὲν περιεργαζομένους. εἰ δ᾽ ἤτοι θερμὸν ἱκανῶς ἢ ψυχρὸν ὑπάρχοι, τῷ μὲν θερμῷ τοὐναντίον ἐπιτεχνᾶσθαι καταγείους οἴκους ψυχροτάτους τε καὶ εὐπνουστάτους ἐξευρίσκοντας πρὸς ἄρκτον ἐστραμμένους. αὔρας τέ τινας ἡδείας αὐτοῖς μηχανωμένους. ἐνίοτε μὲν ἐξ εὐρίπων, εἰς οὓς καταῤῥάσσουσιν ὕδατος κρουνοὶ πλείους. ἐνίοτε δ᾽ ἐξ ἀγγείων εἰς ἀγγεῖα μεταῤῥέοντος ὕδατος ψυχροῦ. εὐθὺς δὲ τοῦτο καὶ ὑπνωτικὸν ὑπάρχει ῥαίνοντάς τε συχνῶς τὸν οἶκον. ἀκραιφνεῖ ψυχρῷ καὶ

ῥόδα

ῥόδα πολλὰ κατὰ τῆς γῆς ἐκχέοντας. ἢ ἀμπέλων ἕλικας. ἢ βάτων ἀκρέμονας. ἢ σχίνων κλῶνας. ἤτι τῶν ἄλλων φυτῶν ὅσα ψύχει. λέλεκται δὲ ὑπὲρ αὐτῶν ἤδη καὶ πρόσθεν. εἴργοντας δὲ δηλονότι καὶ πλῆθος ἀνθρώπων εἰσιέναι. καὶ γὰρ καὶ τοῦτο θερμαίνει τὸν οἶκον. οὕτω μὲν τὸν θερμότατον ἀέρα πειρᾶσθαι ψύχειν. ἐν θέρει δηλονότι θερμῷ καὶ ξηρῷ συνιστάμενον. οὐ γὰρ ἂν ἐν χειμῶνι ποτὲ γένοιτο θερμότατος. ὥσπερ οὐδὲ ψυχρότατος ἐν θέρει. τὸν ψυχρὸν δὲ μετρίως μὲν ὑπάρχοντα τοιοῦτον, ἀγαπᾶν καὶ δέχεσθαι μηδὲν αὐτὸν ἐπιτεχνώμενον ἢ ἐξαλλάττοντα τὴν κρᾶσιν αὐτοῦ. ψυχρότατον δ' ὄντα, καθ' ὅσον μὲν εἰσπνεῖται, προσίεσθαι. ψύχει γὰρ ἱκανῶς τὴν ἐν τῇ καρδίᾳ θέρμην. οὐ μὴν καθ' ὅσον ἔξωθέν γε ἅπτεται τοῦ κάμνοντος, πυκνοῖ γὰρ καὶ συνάγει τὸ δέρμα καὶ κωλύει τὰς ἀποῤῥοὰς διαπνεῖσθαι τῶν συμπεδουμένων χυμῶν. διὰ μὲν γὰρ τοῦ πνεύμονος ἀραιοῦ σπλάγχνου χαλεπὸν οὐδὲν ἐπὶ τὴν καρδίαν ἀφικνεῖσθαι ῥᾳδίως, οὐ μόνην τὴν ποιότητα, ἀλλὰ καὶ τὴν οὐσίαν αὐτοῦ. διὰ μέντοι τοῦ δέρματος, οὔτε τὴν ποιότητα δυνατὸν, οὔτε τὴν οὐσίαν ἐπὶ τὴν καρδίαν ἀφικνεῖσθαι, φθάνοντος πυκνοῦσθαι. τὸ γὰρ ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ῥηθὲν ἐπὶ τῶν ἰσχυρῶς στυφόντων, ἀναμνῆσαι χρὴ κἀνταῦθα καὶ γνῶναι τὸν ἄγαν ψυχρὸν ἀέρα τὰς ὁδοὺς ἀποκλείειν ἑαυτῷ, τὸ δέρμα στεγνοῦντα ἀεί. μείζονα μέντοι γνωστέον ὑπομένειν ἐκ τῆς ψυχρᾶς εἰσπνοῆς τὴν ὠφέλειαν, ἤπερ ἐκ τῆς τοῦ δέρματος πυκνώσεως τὴν βλάβην. καὶ μάλισθ' ὅταν διὰ ἐπιβλημάτων οἷόν τε θάλπειν αὐτό. χρῆσθαι δ' ἀέρι τοιούτῳ κατ' ἐκείνους μάλιστα τῶν ἑκτικῶν πυρετῶν, ἐν οἷς ἡ καρδία πάσχει πρώτως. καθάπερ γε καὶ εἰ ἡ γαστὴρ πρώτη ἐπεπόνθει, διὰ τῶν ἐσθιομένων καὶ πινομένων ἀρήγειν αὐτῇ. ταύτῃ μὲν γὰρ ἐκεῖνα τὴν δύναμιν εἰλικρινῆ φυλάττοντα, προσπίπτει. τῇ καρδίᾳ δὲ, ὁ εἰσπνεόμενος ἀήρ. ἥπατι δὲ, ἐκ μὲν τῆς εἰσπνοῆς, οὐδὲν ὄφελος. ὠφελεῖται δ' ἧττον μὲν τῆς κοιλίας, οὐ μὴν ἀμυδρῶς γε, διὰ τῶν ἐσθιομένων τε καὶ πινομένων. κοινὴ δ' ἁπάντων ἴασις ἡ διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων ὑγραινόντων τε καὶ ψυχόντων. ἐπὶ τούτοις μὲν οὖν τοῖς σπλάγχνοις, ὡς τὰ πολλὰ, τοὺς ἑκτικοὺς καὶ μαρασμώδεις ἐθεασάμεθα πυρετούς. ἐπιγίγνονται μὴν ἐνίοτε καὶ ταῖς τοῦ πνεύμονος ξηραῖς καὶ θερμαῖς δυσκρασίαις. ἀλλ' οὐκ ἐπιτήδειον εἰς τοὺς τοιούτους πυρετοὺς τὸ σπλάγχνον ὑγρὸν καὶ χαῦνον ὑπάρχον. ἐπιγίνονται δὲ καὶ θώρακι, καὶ μεσαραίῳ, καὶ κύστει, καὶ κώλῳ, καί ποτε καὶ μήτρᾳ, καὶ νεφροῖς. ἐπὶ δὲ τῷ διαφράγματι, μαρασμὸν μὲν οὐκ εἶδον, ἑκτικὸν δ' ἐθεασάμην πυρετόν. ἅπαξ μὲν ἀκριβῶς ἀπεργασθέντα. πολλάκις δ' ἀποκτείναντα, πρὶν ἀκριβῶς συμπληρωθῆναι. δύσπνοιά τε γὰρ ἕπεται καὶ παραφροσύνη ταῖς τοιαύταις διαθέσεσιν, ἐφ' αἷς ἀποθνήσκουσιν, ὡς τὰ πολλὰ, πρὶν ἑκτικὸν ἀκριβῶς γενέσθαι τὸν πυρετόν. ῥᾴστη δ' αὐτῶν ἡ διάγνωσις τῇ τε σκληρότητι τοῦ σφυγμοῦ, καὶ τῷ τὸ ὑποχόνδριον ἐπὶ πλεῖστον ἀνασπᾶσθαι, καὶ τῷ δυσπνοεῖν ἀνώμαλόν τέ τινα καὶ πολυειδῆ δύσπνοιαν. ἐπὶ πλεῖστον μὲν γὰρ ἐνίοτε σμικρὸν καὶ πυκνὸν ἀναπνέουσιν. αὖθις δ' ἔστιν ὅτε βραδύνουσι σαφῶς. εἶτ' ἐξαίφνης ὥσπερ στενάζοντος, ἀνέπνευσαν. ἢ διπλῆν τὴν εἴσω φορὰν τοῦ πνεύματος, οἷον ἐπεισπνέοντος. ἢ διπλῆν τὴν ἔξω ποιοῦνται, καθάπερ ἐπεκπνέοντος. ἀναπνέουσι δὲ καὶ τῷ ἄλλῳ θώρακι παντὶ πολλάκις αἰσθητὸν καὶ μέγα τὰς ὠμοπλάτας ἐξαίροντος. ἐνίοτε δ' ἱκανῶς ἀραιὰν καὶ μεγάλην ποιοῦνται ἀναπνοὴν, ὅταν ἐπικρατῇ τὰ τῆς παραφροσύνης. ἀλλ' οὐ πρόκειται νῦν λέγειν οὔτε τὰ γνωρίσματα τῶν πεπονθότων τόπων, οὔτε τὰς αἰτίας αὐτῶν. αὖθις οὖν ἐπὶ τὴν θεραπείαν ἴωμεν, ἐπισκοπούμενοι τῶν προκειμένων ὑλῶν τὰς δυνάμεις ὁποίας τινὰς ἔχουσιν ὡς πρὸς τοὺς ἑκτικοὺς πυρετούς. εἴρηται δὲ ἤδη περὶ ἀέρος οὐκ ὀλίγα θερμοῦ καὶ ψυχροῦ. καὶ μάλιστα μὲν ὠφελοῦντος, ὅταν, ὡς εἰώθασιν ὀνομάζειν, ἡ καρδία πρωτοπαθῇ. βοηθοῦντος δ' οὐκ ὀλίγον, οὐδ' ἐν τοῖς ἄλλοις πυρετοῖς ἐπειδὴ κἀν τούτοις ἐξ ἀνάγκης ἡ καρδία παραπλησίαν ἀναδέχεται δυσκρασίαν. ἧς χωρὶς, οὐχ οἷόν τε μὴ ὅτι μαρασμὸν, ἢ ἑκτικὸν πυρετὸν, ἀλλὰ μηδὲ τῶν ἄλλων μηδένα γενέσθαι. δῆλον οὖν ὅτι κἂν ὁ πνεύμων ποτὲ πάθῃ πρώτως, ἐμψύχοντος αὐτὸν ἀέρος δεήσεται τῶν ἄλλων ἁπάντων μᾶλλον. ἐφεξῆς δ' ἂν εἴη σκέψασθαι περὶ τῶν ἔξωθεν ἐπιβαλλομένων φαρμάκων ὑγραινόντων τε καὶ ψυχόντων. ὅτι μὲν δὴ καὶ τούτων ἐκλεκτέα τὰ ψύχοντα χωρὶς τοῦ στύφειν ἰσχυρῶς, πρόδηλον παντί. πρὸς γὰρ τῷ μὴ δ' ὑγραίνειν τὰ τοιαῦτα, καὶ διϊκνεῖσθαι πρὸς τὸ βάθος, ἡ ψύξις αὐτῶν ἀδυνατεῖ συναγόντων τε καὶ σφιγγόντων τὸ δέρμα. κάλλιστα δ' οὐ μόνον ὅσα ψύχει χωρὶς τοῦ στύφειν, ἀλλ' εἰ καὶ τῇ συστάσει τοῦ σώματος εἴη λεπτομερῆ. Τελεωτάτην μὲν οὖν εὑρεῖν οὐσίαν λεπτομερῆ καὶ ψυχρὰν ἀκριβῶς, ἴσως ἀδύνατον. ἀκριβῶς δ' εἶπον, ἐπειδὴ τὸ πάντων ὧν ἴσμεν ψυχρὸν τῇ δυνάμει λεπτομερέστατον τὸ ὄξος, ἔχει τινὰ μεμιγμένην ἑαυτῷ θερμότητα. καὶ μέντοι καὶ ξηραίνει τὰ πλησιάζοντα σώματα κἂν ὑγρὸν εἴη κατὰ τὴν φαντασίαν. ὅθεν οὐδὲ μόνῳ αὐτῷ ποτὲ χρώμεθα πρὸς τὰς ὑγραίνεσθαί τε ἅμα καὶ ψύχεσθαι δεομένας διαθέσεις, ἀλλ' ὕδατι ψυχρῷ τοσούτῳ μιγνύντες, ὡς δύνασθαι πιεῖν. Ἀλλ' εἰ καὶ τὸ τελέως λεπτομερὲς ἅμα καὶ ψυχρὸν σῶμα μὴ δυνατὸν εὑρεῖν, ὅμως ἐκλέγεσθαι χρὴ τὰς ἐπιτηδειοτάτας ὕλας εἰς τὴν τοῦ τοιούτου σύνθεσιν φαρμάκου. λέλεκται μὲν οὖν ἐπὶ πλέον ὑπὲρ αὐτῶν, ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις. εἰρήσεται δὲ καὶ νῦν ἐπὶ παραδειγμάτων ὀλίγον, ἕνεκα τοῦ γυμνάσασθαί σε καὶ κατὰ τοῦτο τὸ γένος, ἐν τοῖς κατὰ μέρος. ἄρξομαι δ' ἀπὸ τοῦ πάντων ἁπλουστάτου φαρμάκου τῶν ὑγραινόντων τε καὶ ψυχόντων, ᾧ καὶ κατὰ τῶν ἐρυσιπελάτων χρῶνται. καὶ κατὰ τῶν ἐν αἰδοίοις φλεγμονῶν ἐν ἀρχῇ πρὶν ὑποφαίνεσθαί τινα νομώδη σηπεδόνα. Χρὴ δ' εἰς αὐτὸ παρασκευάζεσθαι κηρὸν ὡς κάλλιστον πεπλυμένον. εἴη δ' ἂν κάλλιστος ὅ, τε ποντικὸς ὁ λευκὸς, ὅ, τε ἐξ Ἀττικῶν κηρίων. ἔστω δὲ τὸ ῥόδινον ἐξ ἐλαίου τοῦ καλουμένου πρός τινων μὲν ὀμφακίνου. πρὸς ἄλλων δὲ, ὠμοτριβοῦς, ἐσκευασμένον χωρὶς ἁλῶν. ἄριστον δὲ εἶναι καὶ τοῦτο τὸ ἔλαιον ἀκριβῶς λεπτομερὲς, ὥσπερ τὸ Σαβῖνον. ἐπὶ δὲ τῆς χρείας ἄμφω μιχθέντα, τηκέσθω διὰ ἀγγείου διπλοῦ, καὶ γενομένης ὑγρᾶς κηρωτῆς. ἔσται δὲ τοιαύτη, τριπλάσιον, ἢ τετραπλάσιον ἔχουσα τοῦ κηροῦ τὸ ῥόδινον. ἐπειδὰν δὲ αὐτὴ ψυχθῇ, μιγνύσθω ψυχθείσῃ κατὰ

Βραχὺ τοσοῦτον ὕδατος, ὅσον ἂν ἐν θυίᾳ μαλαττομένη σὺν αὐτῷ, δέξασθαι δύναιτο. χρὴ δὲ καὶ τὴν κηρωτὴν αὐτὴν ἱκανῶς ἐψῦχθαι, καὶ τὸ μιγνύμενον ὕδωρ αὐτῇ ψυχρότατον ὑπάρχειν. ἱκανῶς δὲ ψύξεις τὴν κηρωτὴν, ἐπειδὰν μετρίως παγῇ, καθιεὶς εἰς ὕδωρ ψυχρότατον ὅλον τὸ ἀγγεῖον, ἐν ᾧ περιέχεται. μίξας δὲ εἰ βούλοιο καὶ ὄξους ὀλίγον ἱκανῶς λεπτοῦ καὶ διαυγοῦς. ἔτι δὲ καὶ μᾶλλον ὑγραῖνόν τε ἅμα καὶ ψῦχον ἐργάσῃ φάρμακον. οὐ χρὴ δ' ἀναμένειν ἐπικεῖσθαι κατὰ τοῦ σώματος αὐτὸ τοῦ κάμνοντος εἰς τοσοῦτον, ὡς θερμανθῆναι σαφῶς, ἀλλ' ὑπαλλάττεσθαι συνεχῶς. Ἄλλο φάρμακον. Ὀξαλίδος ἢ ὀξυλαπάθου χυλὸς, ἀλφίτων ὀλίγων μιχθέντων, ἀναλαμβανέσθω διπτύχῳ ῥάκει τριβακῷ, ψυχρὸν δ' ἱκανῶς ἐπιτιθέσθω καὶ σῦρ. μὴ παρόντος δὲ τοιούτου ῥάκους, ὀθόνιον δίπτυχον ἀναδεύσας, ἐπιτίθει τῷ ψύχεσθαι δεομένῳ μορίῳ, καὶ μὴν δὴ καὶ ὁ τῆς ἀνδράχνης, καὶ ὁ τοῦ ἀειζώου χυλὸς ἅμα τῷ τῆς ὄμφακος, ὁμοίως ἀλφίτοις μίγνυνται. Πρὸς τούτοις δ' ἔτι φακὸς ὁ ἀπὸ τῶν τελμάτων, καὶ τριβόλου χλωροῦ, καὶ πολυγόνου, καὶ θριδακίνης, καὶ σέρεως χυλός. ὅσα τ' ἄλλα ψύχειν ἐλέχθη σὺν ἀλφίτοις λεπτοῖς πάντα. καὶ χωρὶς δ' ἀλφίτων, ὅλας τὰς πόας ἔξεστι λειοῦντα χρῆσθαι. καὶ μὴν δὴ καὶ τὸ διὰ τῶν φοινίκων ἐπίθημα τῶν λιπαρῶν, ὀνομάζουσι δ' αὐτοὺς πατητοὺς, ἀγαθὸν φάρμακον. ἕψειν δὲ χρὴ καὶ τούτων τὴν σάρκα, τὸ ὑμενῶδες ἅπαν ἐξαιροῦντα. ποτὲ μὲν δι' ὄξους μόνου διαυγοῦς. ἔστι δ' ὅτε καὶ ὕδατος αὐτῷ μιγνύντα. τακερᾶς δ' ἱκανῶς γενηθείσης, λειοῦντα χρῆσθαι. σκληρὸν δ' εἰ φαίνοιτό σοι κατὰ τὴν σύστασιν, ἄμεινον μιγνύναι τῆς προγεγραμμένης κηρωτῆς. εἰ δὲ καὶ ῥοδίνου ποτὲ τῶν εἰρημένων ἑκάστῳ μίξαι βουληθείης, οὐδὲν ἔσται σοι χεῖρον τὸ φάρμακον. ἔστω δὲ ὀλιγιστόν τε τὸ μιγνύμενον καὶ ἁπλοῦν καὶ ψυχρὸν ἱκανῶς. κατ' ἐλαίου γεγονὸς, ἅλας οὐκ ἔχοντος.

Ἁπλοῦν δ' ὅταν εἴπω ῥόδινον ἢ ἄλλο τι τῶν τοιούτων ἀκούειν σε χρὴ, τὸ χωρὶς τῶν ἀρωμάτων σκευασμένον. ἀγαθὸν φάρμακον εἰς τὰ τοιαῦτα, καὶ ὁ τῶν ῥόδων χυλὸς, ἅμα τοῖς ἀλφίτοις ψυχρός. ἀγαθὸν δὲ καὶ αὐτὰ λειωθέντα. καθάπερ οὖν καὶ αἱ λεῖαι βλάσται τῶν μετρίως στυφόντων φυτῶν, οὕτω δ' ἐστὶν ὅτε καὶ βοτάναις χρῆσθαι μετρίως στυφούσαις δυνατὸν, ὥσπερ τῷ στρύχνῳ. ἀλλ' ἡ μὲν τῶν τοιούτων φαρμάκων ὕλη, δι' ἑτέρας πραγματείας εἴρηται πᾶσα. νῦν δ' ἀρκεῖ τὰ λελεγμένα παραδείγματος ἕνεκα, χρῆσθαι δ' οὐχ ὡς οἱ πολλοὶ καθ' ὅλου τοῦ θώρακος ἢ συμπάσης τῆς γαστρὸς, ἀλλὰ κατ' ἐκείνου μάλιστα τοῦ πρώτως πεπονθότος. οὐδὲ γὰρ ἀναγκαῖον ἢ σὺν τῷ ψύχεσθαι σφοδρῶς δεομένῳ, ψυχθῆναί τι τῶν οὐχ ὁμοίως δεομένων. ἢ θᾶττον τοῦ δέοντος παύσασθαι, δεδιότα βλάψαι τι τῶν γειτνιώντων. ἐγὼ γοῦν οἶδα κατὰ τῶν ὑποχονδρίων ἐπιτεθέντος ποτὲ ψύχοντος φαρμάκου, παραχρῆμα δυσπνοήσαντα τὸν ἄνθρωπον. ἄλλον δ' αὐτίκα βήξαντα, καὶ μικρὸν ὕστερον ἑκατέρῳ παυσάμενον τὸ σύμπτωμα, τοῦ ψύχοντος ἀρθέντος. μὴ βουλομένῳ δέ σοι γενναίως ψύχειν, οὐκ ὀλίγον ὑπάρχει πλῆθος ἐμπλαστῶν φαρμάκων κηρωτοειδῶν μετρίως ψυχόντων. ὧν οὐ μόνης τῆς ὕλης τὰς δυνάμεις, ἀλλὰ καὶ τῆς συνθέσεως ἔμαθες τὴν μέθοδον. ἐγὼ δ' αἰσθανόμενος ὕστερον τὸ μέτρον ἤδη τῆς προκειμένης πραγματείας ἐκπίπτων, ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβήσομαι. συνεχὴς δ' ἐστὶ τοῖς εἰρημένοις, ἡ περὶ βαλανείου σκέψις. αὐτοῦ τε τοῦ πράγματος ἕνεκα, ἔτι τε μάλιστα ἐπειδὴ Φίλιππος ἡγεῖται βλάπτειν αὐτὸ τοὺς μαραινομένους. ἐγὼ τοίνυν ἣν ἔχω γνώμην ὑπέρ γε τῆς δυνάμεως ἁπάσης τῶν βαλανείων, καὶ προσέτι τῆς εἰς τοὺς ἑκτικοὺς καὶ μαρασμώδεις, ἢ ἁπλῶς εἰπεῖν ἅπαντας, ἐν τῷδε τῷ λόγῳ μάλιστ' ἂν διέλθοιμι. μέμνημαι γὰρ γὰρ ὅτι καὶ πρόσθεν ἐπὶ τῶν ἐφημέρων πυρετῶν ἐπῄνουν αὐτό. καὶ κατὰ τὸν ἕβδομον λόγον ἐπὶ τῶν κατὰ ξηρότητα δυσκρασιῶν τῆς γαστρὸς ἀπεπτούντων τε καὶ λεπτυνομένων, ἐκέλευον χρῆσθαι πολλάκις. οὐ μὴν περί γε τῆς συμπάσης δυνάμεως ἐν ἑτέρῳ τινὶ λόγῳ διῆλθον, ἀλλ' εἰς τοῦτον ἐφύλαξα καθ' ὃν ἀγωνιστικωτέρα μάλιστά ἐστιν ἡ χρῆσις αὐτοῦ. καὶ τὸν Φίλιππον ἔχει κωλύοντα. δέδεικται μὲν οὖν ἤδη καὶ πρόσθεν ἐπὶ τῆς τῶν ἑλκῶν ἰάσεως, ἡ αἰτία τῆς ἀγνοίας τῶν καθ' ἕκαστον πάθος οἰκείων σκοπῶν. εἰρήσεται δ' οὐδὲν ἧττον καὶ νῦν εἴς τε τὰ παρόντα καὶ τὰ μέλλοντα, χρήσιμος ὑπάρχουσα. μιᾶς μὲν γὰρ ἐν τῷ σώματι διαθέσεως οὔσης, εἰ καὶ μὴ τῷ λόγῳ, τῇ πείρᾳ γοῦν εὑρεῖν οὐ χαλεπὸν αὐτῆς ἐστι τὴν ἴασιν. ἐπιπλεκομένων δὲ δυοῖν ἢ τριῶν, καὶ μάλιστα ὅταν ἐναντιωτάτων ἀλλήλοις δέονται βοηθημάτων, ἀδύνατον μὲν εὑρεῖν τῇ πείρᾳ τὸ ποιητέον. οὐ ῥᾴδιον δ' οὐδὲ τῷ λόγῳ. καὶ γὰρ τὴν οὐσίαν ἑκάστης τῶν διαθέσεων, ἀκριβῶς χρὴ γνῶναι. καὶ τὴν οἰκείαν τῆς θεραπείας ἐφ' ἑκάστης αὐτῶν ἔνδειξιν λαβεῖν. ἥν τινα τε χρὴ πρώτην τῶν ἄλλων ἢ μᾶλλον. ἥν τινα δ' ἧττον, ἢ δευτέραν ἢ τρίτην ἰᾶσθαι. διὰ ταύτην οὖν τὴν αἰτίαν, οὐδ' ὅτι πυρετῶν ἢ πυρετοῖ, συμπάντων ἐστὶν ἴδιον ἴαμα τὸ ψυχρόν. εἴτε οὖν κατ' ἐνέργειαν, εἴτε κατὰ δύναμιν εἴη τοιοῦτον, ἐγνώσθη τῷ πλήθει τῶν ἰατρῶν. οὐδ' ὅτι κατὰ συμβεβηκὸς ἕτερα πολλὰ πέφυκε ψύχοντα, πυρετῶν γίνεσθαι βοηθήματα. περὶ ὧν εἴρηται μὲν ἤδη τι κἂν τοῖς ἔμπροσθεν. εἰρήσεται δὲ κἂν τοῖς αὖθις. ἔνια γὰρ τῶν βοηθημάτων ἐπιπεπλεγμένην τέ πως ἔχει καὶ διττὴν δύναμιν ὡς καὶ πρώτως ὀνινάναι καὶ κατὰ συμβεβηκὸς, οἷόν περ ἐστὶ καὶ τὸ λουτρόν. ἡ μὲν γὰρ πόσις τοῦ ψυχροῦ, καθ' ἑαυτὴν μὲν ὀνίνησιν ἐνεργείᾳ ψύχουσα. χυλὸς δ' ὄμφακος τῇ δυνάμει ψυκτικὸν φάρμακον. ταυτὶ μὲν οὖν ἀμφότερα ψύχει πρώτως. ὅπερ ἐστὶ καθ' ἑαυτὰ διὰ μέσου μηδενός.

Αἵματος δ' ἀφαίρεσις, ὡς ἔμπροσθεν ἐδείκνυμεν, ἐπὶ τῶν συνόχων καλουμένων πυρετῶν, οὐκέτι πρώτως, ἀλλὰ κατὰ συμβεβηκὸς ἰᾶταί ποτε τὰς θερμὰς δυσκρασίας. ὡσαύτως δὲ καὶ κλυστὴρ καὶ κάθαρσις. ἐπιβροχή τε καὶ κατάπλασμα διαφορητικὸν ἢ πεπτικόν. ἑκατέρας δὲ τὰς δυνάμεις ἔχει συλλαβὸν ἐν ἑαυτῷ τὸ προκείμενον ἐν τῷ λόγῳ λουτρὸν, ὡς ἂν οἶμαι σύνθετον ὑπάρχον ἐκ διαφερόντων ταῖς δυνάμεσι τῶν ἑαυτοῦ μερῶν. εἰσελθόντες μὲν γὰρ ὁμιλοῦσιν ἀέρι θερμῷ. μετὰ δὲ ταῦτα, εἰς ὕδωρ εἰσίασι θερμόν. εἶτ' ἐξελθόντες, εἰς ψυχρόν. εἶτ' ἀπομάττονται τὸν ἱδρῶτα.

Δύναται δὲ τὸ μὲν πρῶτον αὐτοῦ μέρος θερμῆναί τε δι' ὅλου τὸ σῶμα καὶ χέαι τὰς ὕλας. ὁμαλῦναί τε τὰς ἀνωμαλίας. ἀραιῶσαί τε τὸ δέρμα, καὶ κενῶσαι πολλὰ τῶν ἔμπροσθεν ὑπ' αὐτοῦ κατεχομένων. τὸ δὲ δεύτερον, ὅταν ἐπὶ ξηρᾷ διαθέσει τοῦ σώματος αὐτῷ τις χρῆται, νοτίδα χρηστὴν ἐνθεῖναι τοῖς στερεοῖς τοῦ ζώου μορίοις. ἡ δὲ τρίτη μοῖρα

τῶν λου-

τῶν λουτρῶν, ἐπειδὰν τῷ ψυχρῷ τύχωμεν χρώμενοι, ψύξαι τε σύμπαν τὸ σῶμα, καὶ πυκνῶσαι τὸ δέρμα, καὶ ῥῶσαι τὰς δυνάμεις. τὸ δὲ τέταρτον, ἐκκενῶσαι διὰ ἱδρώτων τὸ σῶμα χωρὶς τῆς ἐκ τοῦ ψύχεσθαι βλάβης. ταῦτ' οὖν δυναμένου περὶ τὸν ἄνθρωπον ἐργάζεσθαι πάντα τοῦ τῶν ποτίμων ὑδάτων εὐκράτου λουτροῦ, καὶ πρὸς τούτοις ἔτι φρίκας τε καὶ πυκνώσεις τοῦ δέρματος ὅταν ἀκαίρως λούσωνται, πειρατέον ἐφεξῆς διορίσαι πάντα, περὶ πρώτου ἐκείνων τὸν λόγον ποιησαμένους, ὅσοι φρικώδεις γίγνονται λουόμενοι. μία μὲν γὰρ αὐτοῖς ἐστιν, ὡς ἂν εἴποι τις, αἰτία συνεκτικὴ τοῦ γινομένου συμπτώματος. ἄλλαι δ' ἐκείνης πλείους προηγοῦνται. τὴν μὲν δὴ τὸ φρίττειν ἐργαζομένην αἰτίαν εἶναι φημί, κίνησιν ἀθροωτέραν τῶν δακνωδῶν περιττωμάτων. ὅθεν οἷς ταῦτα μὲν πολλά, πυκναὶ δὲ αἱ σάρκες ἢ τὸ δέρμα, φρίττουσιν ἄντε εἰς βαλανεῖον εἰσέλθωσιν, ἄντε ἐν ἡλίῳ στῶσιν, ἄντε κινηθῶσιν ὁπωσοῦν σφοδρότερον ἤτοι δι' αἰωρήσεων ἢ τρίψεων ἢ γυμνασίων. οἷς οὐδ' ὀλίγα ταῦτ' ἐστί, καὶ ἡ τοῦ σώματος ἕξις ἑτοίμη χαλασθῆναι καὶ ἀραιωθῆναι πρὸς τῆς ἀμφ' αὐτοῦ θερμασίας, οὐ μόνον οὐ φρίττουσιν, ἀλλὰ καὶ βελτίους γίγνονται κενουμένων τῶν περιττωμάτων. Εἰκότως τοίνυν οὔτ' ἐν τῇ τῆς ἐπισημασίας ἀρχῇ τις ἔλουσεν ἄρρωστον, οὔτ' ἐν ἐπιδόσει. πεπύκνωται γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ πεπίληται τὸ δέρμα, καὶ ἡ ὑποκειμένη μετ' αὐτὸ σαρκώδης οὐσία. κατὰ δὲ τὰς παρακμὰς ἤτοι γε ἀρχομένας ἢ προϊούσας ἢ προσελθούσας ἐπὶ πλέον, ἡμεῖς τε πολλάκις ἄλλοι τέ τινες ἰατροί, πολλοὺς τῶν καμνόντων λούσαντες ὠφέλησαν οὐ σμικρά. πότε μὲν οὖν χρὴ τῆς παρακμῆς ἀρχομένης, ἢ προελθούσης, ἢ καὶ κατὰ τὴν ἀκμὴν ἐνίοτε, καὶ γὰρ καὶ τοῦτο συμβαίνει ποτὲ σπανίως, ἐπὶ τὸ βαλανεῖον ἀπάγειν, ἐν τοῖς ἑξῆς διοριῶ. Νυνὶ δὲ ὑπὲρ τῆς καθόλου δυνάμεως ἑκάστου τῶν μερῶν τοῦ λουτροῦ διελθεῖν προυθέμενος, ἐν τὸ πρῶτον πάντων δίειμι. καί φημι πολλοὺς μὲν καὶ τῶν ἀπεπτησάντων, ἔτι δὲ πλείους, οἷς πλῆθός ἐστι δακνωδῶν περιττωμάτων. ἅπαντάς τε τοὺς ἐν ἐπισημασίαις ἢ ἀναβάσεσι, καὶ τοὺς ἐν ἀκμῇ δέ, πλὴν ὀλίγων δή τινων, εἰκότως φρίττειν, ἄντ' εἰς βαλανεῖον εἰσέλθωσιν, ἄντ' ἐν ἡλίῳ θερμῷ στῶσιν, ἄντε γυμνασίοις ἢ τρίψεσιν ἢ αἰωρήσεσιν ἐπιχειρήσωσιν. ἕκαστον γὰρ τῶν εἰρημένων, ἀθρόαν ὁρμὴν ἐργάζεται τῶν περιττωμάτων. ὅταν δὲ ἔτι μὲν ὑπάρχῃ πυκνὸν οὑτωσὶ τὸ δέρμα τῶν λουομένων, ὡς κατὰ τὴν πρώτην τοῦ περιέχοντος ἀέρος προσβολήν, μὴ δύνασθαι τὴν κατὰ φύσιν ἀπολαβεῖν ἑαυτοῦ διάθεσιν, ἀλλὰ χρόνου πλέονος εἴη εἰς τοῦτο δεόμενον, ἀθρόα δὲ ὁρμήσῃ πρὸς τοὐκτὸς φέρεσθαι τὰ περιττά, κατέχεσθαί τε τοὐντεῦθεν ἀναγκαῖόν ἐστιν αὐτοῖς καὶ δάκνειν ἀθροιζομένοις ὑπὸ τὸ δέρμα, καὶ διὰ τῶν σαρκῶν φερομένοις. δέδεικται δ' ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις, ὡς τὰ δακνώδη περιττώματα, διὰ τῶν αἰσθητικῶν σωμάτων φερόμενα, ῥίγη τε καὶ φρίκας ἐργάζεται. τοῦ μὲν δὴ φρίττειν ἐν τοῖς λουτροῖς ἅπαντας τοὺς εἰρημένους, ἐξευρήκαμεν ἤδη τὰς αἰτίας. ὥσπερ γε καὶ τοῦ μὴ φρίττειν. οἷς ἤτοι μηδόλως ἐστὶ δακνῶδες μηδὲν ἐν τῷ σώματι περιττόν, ἢ τοσοῦτον, ὡς ῥᾳδίως ἐκκενοῦσθαι. περὶ τούτων αὖθις αὐτῶν ὁ λόγος ἡμῖν γιγνέσθω, δι' οὓς καὶ τῶν φριττόντων ἐμνημονεύσαμεν. εἰ γάρ τις εἰσελθὼν εἰς βαλανεῖον οὐκ ἔφριξεν, ἀλλ' ἐχαλάσθη τε καὶ ἠραιώθη τὸ δέρμα, τούτῳ πάντως ἀναγκαῖον ἕπεσθαι τὰ πρόσθεν λεχθέντα. κένωσιν τῶν περιττῶν. ὁμαλὴν θερμότητα δι' ὅλου τοῦ σώματος. ἀραίωσιν τῶν πόρων. χάλασιν τῶν συντεταμένων. χύσιν τῶν πεπιλημένων. ἡ μὲν οὖν κένωσις τῶν περιττωμάτων, χρησιμωτάτη πᾶσι πυρετοῖς ἐστιν. ὡσαύτως δ' ἀραίωσίς τε καὶ χάλασις. οὔτε δὲ ἡ χύσις, οὔθ' ἡ θερμότης. ἀλλ' ἡ μὲν θερμότης, ἅπασιν ἐναντία. ψύχεσθαι μὲν γὰρ αὐτῶν ἡ διάθεσις, οὐ θερμαίνεσθαι δεῖται. τὸ διαχεῖσθαι δ' ὁμαλῶς, τοῖς μὲν στερεοῖς τοῦ ζώου μορίοις οὐκ ἂν ἐπιτήδειον. τοῖς χυμοῖς δ' οὐκ ἀεὶ λυσιτελές, ἀλλ' ὅταν ἤτοι φλεγμονή τις, ἢ ὁμοία φλεγμονῇ διάθεσις ὑπάρχῃ κατὰ τὸ ζῷον, ἢ πλῆθος ὁποτερονοῦν, εἴτε τὸ πρὸς τὴν δύναμιν, εἴτε τὸ πρὸς τὴν εὐρυχωρίαν τῶν ἀγγείων, ἁπάντων ἐστὶ βλαβερώτατον. αὐξάνονται μὲν οὖν αἱ φλεγμοναὶ τῶν θερμανθέντων χυμῶν ἐπιρρεόντων αὐταῖς. διατείνονται δ' οἱ χιτῶνες τῶν ἀγγείων μὴ στέγοντες τὸ πλῆθος ἐν τῇ χύσει πνευματωθέν. ἡ δύναμις δ' αὐτῷ τούτῳ κακοπαθεῖ. ταῖς τοίνυν θερμαῖς καὶ ξηραῖς διαθέσεσι τοῦ σώματος ὑπὲρ ὧν ὁ λόγος ἦν, ἀποχεῖσθαι μὲν τὰ δακνώδη χρηστόν, ἀκίνδυνος γὰρ ἡ χύσις. οὐκ ἀβλαβὴς δ' ἡ θέρμανσις. ἐκ μὲν δὴ τοῦ πρώτου μέρους τῶν λουτρῶν μεμνῆσθαι χρὴ ταῦθ' ὑπάρξαντα τοῖς οὕτω κάμνουσιν ὅταν ἐν καιρῷ λούωνται. μετίωμεν δή που πρὸς τὸ δεύτερον αὐτῶν μέρος, ὅπερ ἦν αὐτὸ τὸ κυριώτατον προσαγορευόμενον λουτρόν. ἐν τούτῳ τοίνυν ὑγραινόμενοι μὲν ὀνίνανται. θερμαινόμενοι δ' οὐδὲν ὀνίνανται. μετέλθωμεν οὖν αὖθις ἐπὶ τὸ τρίτον, ἐν ᾧ ψύχεται μὲν ἀλύπως τὰ τεθερμασμένα. ῥώννυται δ' ἡ δύναμις. ὅσα δ' ἠραιώθη τε καὶ περαιτέρω τοῦ προσήκοντος ἐχαλάσθη, ταῦτα εἰς τὴν κατὰ φύσιν ἐπανέρχεται συμμετρίαν, ὡς δηλοῖ καὶ τὸ τέταρτον τοῦ λουτροῦ μέρος. ἐφ' ὧν γὰρ ἐπράχθη καλῶς πάντα, καὶ μετὰ τὴν τοῦ ψυχροῦ χρῆσιν ἱδροῦσιν ἔτι, καὶ πάντ' αὐτῶν ἐκκενοῦται τὰ περιττά. καὶ τοίνυν ἐκ πάντων ὧν εἴπομεν περὶ βαλανείων, ἀθρόον κεφάλαιον συμβαίνει, κεκενῶσθαι μὲν ὅσον ἦν ἐπὶ τῷ σώματι λιγνυῶδές τε καὶ καπνῶδες. ἐν δὲ τῇ κατὰ φύσιν ὑπάρχειν συμμετρίᾳ τὰς σάρκας καὶ τὸ δέρμα. τὸν δὲ τῶν στερεῶν μορίων αὐχμόν, πεπαῦσθαι. καὶ τὴν θερμασίαν, οὐ μόνον τὴν ἐκ τοῦ λουτροῦ προσγινομένην, ἀλλὰ καὶ τὴν ἔμπροσθεν οὖσαν ὑπὸ τῆς τοῦ ψυχροῦ χρήσεως ἀναιρεῖσθαι. Μέγιστον δὲ τοῦ λόγου τεκμήριον, ἡ συμβαίνουσα κατάστασις ἐπὶ τοῖς τοιούτοις λουτροῖς ὅταν ὁδοιπορήσωμεν ἐν ἡλίῳ θερμῷ. παραγινόμεθα μὲν γὰρ ἐπ' αὐτὰ μὴ δὲ φθέγξασθαι δυνάμενοι διὰ τὴν ξηρότητα τῆς γλώττης καὶ φάρυγγος. ἅπαν τε τὸ σῶμα καρφαλέον ἔχοντες. ἐξελθόντες δὲ τοῦ ψυχροῦ παραχρῆμα, πάντ' ἀνακτώμεθα τὰ κατὰ φύσιν οὔτε τῇ πυρώδει θερμασίᾳ κάμνοντες, οὔτε τῇ ξηρότητι δυσφοροῦντες. ἑτοίμως τε φθεγγόμενοι, καὶ τῆς δίψης τὸ πλεῖστον ἰαθέντες. ἆρ' οὖν ἐναργέστερον ἔτι δύναμιν λουτρῶν γνῶναι ποθεῖς ἐπὶ ξηραῖς καὶ θερμαῖς σωμάτων διαθέσεσιν; ἐγὼ μὲν οὐκ οἶμαι. πάρεστι δὲ τοῖς βουλομένοις πειραθῆναι μετὰ τὴν τοιαύτην ὁδοιπορίαν ἀλουτήσασι, τῆς ἑπομένης βλάβης. ἢ γὰρ εὐθέως πυρέξουσιν, ἢ πολλῆς ἄσης ἀνάπλεοι διατελέσουσι βαρυνόμενοι τὴν κεφαλήν. καὶ μάλιστα ἐὰν μὴ δέπω τῷ ψυχρῷ σβέσωσι τὸ καῦμα. πολλοὶ μέν τοι

νεανίσκοι μετὰ τὰς τοιαύτας ὁδοιπορείας εὐθέως εἰς ὕδωρ ψυχρὸν ἑαυτοὺς ἐπιῤῥίψαντες, ὠνίναντο, καὶ μάλισθ' ὅσοι περ ἂν ὦσιν ἰσχυροί, καὶ ψυχρῶν λουτρῶν ἐθάδες. οὕτω δὲ κἀν τοῖς ἀγροῖς, ἐν οἷς οὐκ ἔστι βαλανεῖα πράττουσιν, εἰς λίμνας ἢ ποταμοὺς ἑαυτοὺς ἐμβάλλοντες, οὐδενὸς ἰατροῦ συμβουλεύσαντος αὐτοῖς. ἀλλ' ὑπὸ τῆς διοικούσης τὸ σῶμα φύσεως ἀγόμενοι πρὸς τὸ δέον. ἥτις καὶ τοῖς ἀλόγοις ζώοις τὰς ἐπὶ τἀναντία τῶν λυπούντων ὁρμὰς ἐντίθησι. λούεται γὰρ κἀκεῖνα ψυχρῷ, τῷ θάλπει καταπονούμενα, καθάπερ γε καὶ θερμὰς εὐνὰς ἐξευρίσκει, τῷ κρύει κάμνοντα. κατὰ δὲ τὴν τοιαύτην ἐναντίωσιν, ἐσθίει μὲν πεινῶντα. πίνει δὲ, διψῶντα. καὶ τἆλλα πάντα πράττει φύσει. καὶ εἴπερ γε διάγνωσιν ἀκριβῆ τῆς τῶν πυρεττόντων εἴχομεν φύσεως, ἐτολμῶμεν ἂν οἶμαι συνεχῶς ἐξ αὐτῶν λούειν ἐν ὕδασιν ἐνίους ψυχροῖς, βαλανείου χωρίς. ὅτι μὲν γάρ εἰσί τινες οἱ δεόμενοι τούτου, δῆλον ἐκ τῶν ὠφεληθέντων. οὓς οὐκ ἂν ὤνησε τὸ ψυχρὸν λουτρὸν, εἴπερ μὴ διέκειντο κατ' ἐκεῖνον τὸν καιρὸν ἐπιτηδείως πρὸς αὐτό. τῷ δ' ἀγνοεῖν ἡμᾶς ἀκριβῶς τὰς διαθέσεις, μεγίστην τε τὴν ἐκ τῆς ἀτυχίας ὑπάρχειν βλάβην, ἀφιστάμεθα τῶν τοιούτων βοηθημάτων. καὶ μάλιστα ἐπὶ τῶν ἑκτικῶν πυρετῶν. ὡς ἂν ὀλιγαίμου καὶ ὀλιγοσάρκου κἀπιμελοῦς τοῦ σώματος αὐτοῖς γεγονότος. οὐδὲν γὰρ ἔχουσι τῶν στερεῶν μορίων πρόβλημα, τὴν ἐκ τοῦ ψυχροῦ προσβολὴν ἀλύπως ἐκδεχόμενον. ἀλλὰ αὐτοῖς εὐθέως προσπίπτει τοῖς ὁμοιομερέσιν ὀνομαζομένοις. ὑφ' ὧν ἅπασι τοῖς ζώοις αἱ ἐνέργειαι γίνονται. νέος δ' ἄν τις εὔσαρκος ὥρᾳ θέρους ἐν ἀκμῇ πυρετώδους νοσήματος, ἄνευ σπλάγχνου φλεγμονῆς, εἰς ψυχρὸν ἑαυτὸν ἐμβαλὼν ὕδωρ, ἱδρῶτα κινήσειεν. εἰ δὲ καὶ ψυχρολουσίας συνήθης εἴη, πάνυ θαῤῥῶν χρῷτο τῷ βοηθήματι. ἀλλὰ περὶ μὲν τῶν τοιούτων σωμάτων, αὖθις εἰρήσεται. τοῖς δὲ τὸν ἑκτικὸν πυρέττουσι πυρετὸν, ἐπὶ θερμῇ καὶ ξηρᾷ κράσει, καὶ μάλιστα τοῖς ἤδη μαραινομένοις, οὐκ ἀσφαλὲς εἰς ὅλον ἀναῤῥίπτειν, ἐπὶ τὸ τοιοῦτον ἰοῦσι βοήθημα. καθάπερ οὐδ' ὅσοι θέρους ὥρᾳ θερμοῦ καὶ ξηροῦ, μακροτέραν ὁδὸν ἀνύσαντες, ἰσχνοὶ καὶ ἀσθενεῖς ὄντες, ἐμψυχθῆναι δέονται. οὐ γὰρ οὐδὲ τούτοις ἀκίνδυνος ἡ τοῦ ψυχροῦ χρῆσις, ἄνευ τοῦ κατὰ βαλανεῖον ὁμαλῶς προθερμανθῆναι. τοιοῦτον γάρ τοι συμβαίνειν ἔοικεν ἡμῖν εἰς τὴν ψυχρὰν δεξαμενὴν εἰσιοῦσιν ἐπὶ τοῖς βαλανείοις, οἷόν τι καὶ τῇ τοῦ σιδήρου βαφῇ. καὶ γὰρ ψυχόμεθα καὶ τονούμεθα, καθάπερ ἐκεῖνος. ἐπειδὰν διάπυρος γενόμενος ἐμβάπτηται τῷ ψυχρῷ, καὶ τούτου χάριν ἐπὶ τῶν ἀσθενεστέρων σωμάτων εὕρηται τὰ βαλανεῖα προθερμαίνοντα, καὶ προπαρασκευάζοντα τῷ ψυχρῷ λουτρῷ. τοιοῦτον δὲ δή τι καὶ οἱ χωρὶς τοῦ βαλανείου χρώμενοι τῷ ψυχρῷ πράττουσιν, ὅταν προγυμνασθέντες εἰς αὐτὸ καθάλλωνται. οἷον γάρ τι τὸ βαλανεῖον ἡμῖν ἐστι τοιοῦτον ἐκείνοις τὸ γυμνάσιον. οὐ μόνον ἐκθερμαῖνον, ἀλλὰ καὶ τὴν ἐκ τοῦ βάθους κίνησιν τῆς ἐμφύτου θερμασίας πρὸς τοὐκτὸς ἐργαζόμενον. ὥστ' ἀπαντῆσαί τε τῷ προσπίπτοντι ψυχρῷ, καὶ ἀπομαχέσασθαι, καὶ κωλῦσαι βιαίως ἐμπεσεῖν τῷ βάθει, καὶ πλῆξαί τι τῶν σπλάγχνων. ὅτε γὰρ τὴν οὐσίαν αὐτὴν τοῦ ψυχροῦ μέχρι τῶν σπλάγχνων ἀφικέσθαι καλὸν, οὔτε ἀκραιφνῆ τὴν ποιότητα. βέλτιον δὲ καὶ ἀσφαλέστερόν ἐστι τῷ τῆς διαδόσεως λόγῳ πρὸς τὸ βάθος ὁδοιπορῆσαι μόνην τὴν ποιότητα χωρὶς τῆς οὐσίας. καὶ τοίνυν καὶ ὅσοι τῶν πυρεττόντων ἑκτικῶς ἐπὶ τὸ βαλανεῖον ἥκουσιν, εἰ μὴ τῷ ψυχρῷ βαφεῖεν, οὐδὲν ὀνίνανται. τῶν μὲν γὰρ ἄλλως πυρεττόντων, οὐδέπω τὰ στερεὰ μόρια δύσλυτον ἔχει τὴν θέρμην. ὥσθ' ἱκανὴ βοήθεια τούτοις ἐστὶν, ἡ ἐκ τῶν ἱδρώτων ἅμα ταῖς ἀδήλοις αἰσθήσει διαπνοαῖς. καὶ τῶν γ' ἐφημέρων πυρετῶν, αὐτὴν σχεδόν γε τὴν οὐσίαν ἐκκενοῦσθαι συμβαίνει δι' αὐτῶν. ἐπὶ δὲ τῶν διὰ ξηρότητα καὶ θερμασίαν ἑκτικοῖς ἁλόντων πυρετοῖς, ὁμοία τοῖς διαπύροις σιδήροις ἐστὶν ἡ τῶν στερεῶν μορίων διάθεσις. ὥστ' οὐκ ἀρκεῖ θερμῆναι καὶ τέγξαι μόνον ἐν τοῖς βαλανείοις αὐτούς. τροφὴν γὰρ ἂν οὕτω γε καὶ αὔξησιν δοίημεν τῷ πυρετῷ. βέλτιον δ' ἐμβάπτοντας τῷ ψυχρῷ σβέσαι τὴν θέρμην. ἀλλ' ἐν τούτῳ κίνδυνος εἰς τοὐναντίον ἀγαγεῖν καὶ ψῦξαι τὸ σῶμα. τίς δ' οὔ φησιν; οὐ μὴν διά γε τοῦτο τὸ κατορθούμενον ἐν τῷ βοηθήματι προσήκει ψέγειν. οὐδ' ὅτι δύσληπτον τὸ μέτρον, ἀφίστασθαι παντάπασιν. εἰ μὲν γὰρ οἷόν τ' ἦν ἑτέρως ἰᾶσθαι τούς τ' ἄλλους ἑκτικοὺς πυρετοὺς, καὶ τοὺς μαρασμώδεις, ἄμεινον ἂν ἦν τὴν ἀσφαλεστέραν ἰέναι. Ἐπειδ' ἐν μὲν τῷ ψῦξαι καὶ ὑγρᾶναι τὸ κῦρος τῆς θεραπείας ἐστὶν, ἅπασι δὲ τοῖς ψυκτικοῖς βοηθήμασιν ἐφεδρεύει βλάβη διὰ τὴν ἰσχνότητα τοῦ σώματος, ἀναγκαῖον οἶμαι γίγνεσθαι τὸ τοῦ Θουκυδίδου, δράσαντάς τι καὶ κινδυνεῦσαι. οἷς μὲν γὰρ ἑτέρα μὲν οὐχ ὑπάρχει τῆς σωτηρίας ὁδὸς, ἡ δὲ οὖσα μόνη σφαλερὰ καθέστηκεν, ἀναγκαῖον οἶμαι τούτοις ἐστὶν, ὁμόσε τοῖς δεινοῖς ἰέναι. οὐ μὴν οὐδὲ τὸ σφάλμα θανατῶδες οὐδ' ἀβοήθητον. οὓς γὰρ ἂν ἐν τῷ σβεννύναι τὸν πυρετὸν εἰς τὴν ἐναντίαν διάθεσιν ἀγάγῃ τὸ ψυχρὸν, ἔνεστιν ἰάσασθαι θερμαίνοντας ἐν τῷ μετὰ ταῦτα χρόνῳ παντί. ἀλλ' οὐδ' ὁ κίνδυνος ἴσος, οὔθ' ὁ τῆς διαθέσεως τῆς ψυχρᾶς, οὔθ' ὁ τῶν ἰαμάτων αὐτῆς. ἐδείχθη γὰρ ἤδη καὶ πρόσθεν ἐν τῷ τῆσδε τῆς πραγματείας ἑβδόμῳ γράμματι. δέδεικται δὲ κἀν τῷ περὶ μαρασμοῦ βιβλίῳ. καὶ πρὸ τούτων ἔτι κατὰ τὴν ὑγιεινὴν πραγματείαν, ὡς οὐχ οἷόν τε τὴν τῶν στερεῶν μορίων ξηρότητα τελέως ἰάσασθαι. καὶ ὡς εἴπερ ἦν τοῦτο πρᾶξαι δυνατὸν, ἀγήρως ἄν τις ἐγένετο τοιαύτῃ διαίτῃ χρώμενος. Εἴπερ οὖν ἀνίατος μέν ἐστιν ἡ ξηρότης τῶν στερεῶν σωμάτων, ὠκυτάτη δ' ἐπ' αὐτὴν ὁδὸς τέτμηται ἡ διὰ τῶν ἑκτικῶν πυρετῶν, ἄμεινον εἰς ψυχρὰν δυσκρασίαν μεταστήσαντα τὸν ἄνθρωπον, ἔχειν ᾧ θεραπεύσομεν. Ὁ μὲν γὰρ τοῦτο πράξας ἀναμαχέσαιτ' ἂν ἐξ ὑστέρου τὴν βλάβην. ὁ δ' ἐπιτρέψας ἰέναι τὴν ἐπὶ θάνατον, ἀνέλπιστον τῷ κάμνοντι τὴν σωτηρίαν εἰργάσατο. ὅσῳ τοίνυν ἄμεινόν ἐστι τοῦ χωρὶς ἐλπίδος ἀπόλλυσθαι βεβαίως, τὸ σὺν ἐλπίδι χρηστῇ δράσαντάς τι καὶ κινδυνεῦσαι, τοσούτῳ τὸ μετὰ μεγάλων βοηθημάτων ἀγωνίσασθαι, τοῦ μηδὲν πρᾶξαι βέλτιον. ἐμψύχωμεν οὖν ἅπαντι τρόπῳ τοὺς ἑκτικῶς πυρέξοντας αὐτίκα, πρὶν προσελθόντας εἰς μαρασμὸν τελευτῆσαι. τὸν δ' ἀκριβῶς μαρανθέντα, μηδ' ἐπιχειρῶμεν ἰᾶσθαι. καὶ γὰρ εἰ τὴν θέρμην αὐτοῦ σβέσαιμεν, ἀλλ' ἥ γε ξηρότης ὑπολειφθεῖσα γήρως τρόπῳ τὸν ἄνθρωπον ἀπολεῖ τοσοῦτον ἐπιβιώσαντα χρόνον, ὅσον ἀντισχεῖν τὰ στερεὰ μόρια πρὸς τὴν ἐσχάτην ξηρότητα. τάχα δ' ἄν τις ἕλοιτο τῶν οἰκείων τοῦ νοσοῦντος, ἔτι τε μᾶλλον ὁ κάμνων αὐτὸς, ἐπιβιῶναι τινὰ χρόνον ἐν γέροντος ἕξει μᾶλλον, ἢ τεθνάναι παραχρῆμα. Θεραπεύειν οὖν καὶ τούτους μετὰ προῤῥήσεως, εἰς ἕτερον

μεθιστάντας

μεθιστάντας μαρασμόν, ὃν ἤδη καλεῖν ἔθος ἡμῖν ἐστὶν ἐκ νόσου γῆρας. ἐγχωρεῖ γὰρ αὐτοὺς οὐ μόνον ἡμέρας πλείους, ἀλλὰ καὶ μῆνας ζῆσαι. νεανίσκον γοῦν ἐγώ τινα τῶν οὕτως ἐχόντων ἰασάμενος, εἶθ' ἑξῆς ἀνακομίζων καὶ οἷον γηροτροφῶν αὐτοῦ τὴν πρεσβυτικὴν ἀσθένειαν, οὐ μόνον εἰς μῆνας, ἀλλὰ καὶ εἰς ἔτη διεφύλαξα ζῶντα. χρὴ δ' οὖν νῦν ἀκούειν πόθεν τοῦ τοιούτου μαρασμοῦ τὴν ἐπιμέλειαν. ἔν τε γὰρ τῷ τῆσδε τῆς πραγματείας ἑβδόμῳ προείρηται δυνάμει, τὰς ξηρὰς καὶ ψυχρὰς δυσκρασίας ἰωμένων ἡμῶν. ἔν τε τῷ γηροκομικῷ μέρει τῆς ὑγιεινῆς πραγματείας. ὁ δ' ἐνεστὼς λόγος, οὐ μαρασμῶν ἐπηγγείλατο θεραπείαν διδάξαι, ἀλλὰ πυρετῶν ἑκτικῶν. ὧν οὐ γένους εἰσὶ καὶ οἱ μαρασμώδεις. εἴρηται δή μοι περὶ τούτων ἄλλα τε πολλὰ λόγῳ καὶ πείρᾳ κεκριμένα, καὶ ὡς οὐ χρὴ δεδιέναι βαλανεῖον, ὥσπερ ὁ Φίλιππος εὐλαβέστερον ἴσως αὐτῷ χρώμενος. ὃν τρόπον ἐπὶ τῶν ἄλλων εἰθίσμεθα πυρετῶν, ὅσοι διὰ φλεγμονὰς καὶ σήψεις γίνονται χυμῶν. ἐπ' ἐκείνων μὲν γὰρ οὐδὲν βλάψεις, εἰ καὶ μὴ βάπτοις εἰς τὸ ψυχρὸν ὕδωρ αὐτούς. ἀλλ' ὡς εἰθίσαι περιχέοις χλιαρὸν μὲν πρῶτον, εἶθ' οἷον ἐστὶν ἡλίου θερινοῦ. κἄπειτα τούτου βραχύ τι ψυχρότερον. ἐπὶ δὲ τῶν ἑκτικῶν πυρετῶν, οὐ τὸ θερμὸν λουτρόν ἐστι, τὸ τὴν ὠφέλειαν παρέχον, ἀλλὰ τὸ ψυχρόν, ᾧ παρασκευάζει τὰ βαλανεῖα τὸ τοῦ κάμνοντος σῶμα, καθάπερ ἐπὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν ὑγείᾳ λουομένων. οὐ μόνον δὲ διὰ τοῦτο δοκεῖ μοι Φίλιππος ἀγνοεῖν ἐπὶ τῶν μαραινομένων ὁποῖόν τι χρῆμά ἐστι βαλανεῖον, ὅτι τοὺς οὕτως ἰσχνοὺς οὐδεὶς τολμᾷ βάπτειν εἰς τὴν ψυχρὰν δεξαμενήν, ἢ τὸ γοῦν ὕστατον ὕδωρ καταχεῖν ψυχρόν, ἀλλὰ καὶ διότι πολλάκις ἐξάπτεταί τις ἄλλος αὐτοῖς πυρετὸς ἐπὶ χυμοῖς σηπομένοις ἢ σπλάγχνου φλεγμονῇ. καὶ μὴν δὴ καὶ ὅτι πάθος ὀλέθριον τῶν μαραινομένων αὐτὸ ὑπάρχει, καὶ διὰ τοῦτο οὐκ ὀρθῶς ἔνιοι πάντα μέμφονται τὰ προσφερόμενα, δέον οὐκ ἐκείνοις, ἀλλὰ τῇ διαθέσει τὴν αἰτίαν ἀναφέρειν. ἀναλαβόντες οὖν αὖθις ἅπερ ἐλέγομεν, ἐπιθῶμεν ἤδη τῷ λόγῳ κεφαλήν. ἅπαντας τοὺς ἑκτικὸν νοσοῦντας πυρετόν, καὶ μᾶλλον ἔτι αὐτῶν ὅσοι περ ἂν ἤδη μαραίνονται, χωρὶς τοῦ τινὰ ἕτερον ἐπιπεπλέχθαι πυρετὸν αὐτοῖς, ἤτοι γ' ἐπὶ σήψει μόνῃ χυμῶν ἢ μετὰ φλεγμονῆς, λούειν θαρροῦντα ἄνευ καμάτου παντός, ὡς μὴ καταλῦσαι τὴν δύναμιν. ὅπερ οὐχ ἥκιστα καὶ αὐτὸ βλάπτον ἰσχυρῶς, αἴτιον γίγνεται τοῦ ψέγεσθαι τὸ λουτρόν. τὸ δ' ἄνευ καμάτου, ποῖον δέ τι λέγω. τὸν ἀρρωστοῦντα βούλομαι κομίζεσθαι μὲν ἐπὶ τοῦ σκίμποδος εἰς τὸ βαλανεῖον. ἑτοίμως δ' αὐτῷ παρεσκευασμένης σινδόνος θερμῆς, ἐπ' ἐκείνῃ ἐν τῷ πρώτῳ τῶν τριῶν οἴκων τοῦ βαλανείου μεταφέρεσθαι γυμνωθέντα. τέσσαρες δ' ἔστωσαν οἱ κρατοῦντες αὐτόν, εἷς καθ' ἕκαστον πέρας. εἰ μὲν οὖν αὐτάρκως εἴη θερμὸς ὁ πρῶτος οἶκος, ἐν αὐτῷ γυμνωθεὶς ὁ κάμνων, εἰς τὸν δεύτερον εἰσκομιζέσθω. εἰ δ' ἔτι σοι φαίνοιτο ψυχρότερον εἶναι, μὴ γυμνός, ἀλλ' ἐπιβεβλημένος ἤτοι γ' ἑτέραν σινδόνα μὴ ψυχράν, ἤ τι τοιοῦτον ἐπίβλημα. δῆλον δὲ ὡς χρὴ τὴν μέλλουσαν ὀχεῖν αὐτὸν σινδόνα ἰσχυροτέραν ὑπάρχειν. εἰ δ' ἀσθενὴς εἴη καθ' ἑαυτήν, ἐπιπτύσσοντα διπλῆν ἐργάζεσθαι βέλτιον. ἔστω δ' ὁ μέσος οἶκος, οὐ μόνον τῇ θέσει, ἀλλὰ καὶ τῇ κράσει τοσούτῳ τοῦ πρώτου θερμότερος, ὅσῳ τοῦ τρίτου ψυχρότερος. ἐν τούτῳ τῷ οἴκῳ, τὸ ἔλαιον ἔστω χλιαρόν, ὡς εὐθέως περιχυθῆναι τῷ κάμνοντι ἐπὶ τῆς σινδόνος εἰσκομισθέντι. καὶ τοῦτο πράξαντες, εἰς τὸν τρίτον οἶκον εἰσίτωσαν, εἰς τὴν δεξαμενὴν ἀποκομίζοντες αὐτόν, ὥστε διόδῳ χρῆσθαι μόνῃ τοῖς τρισὶν οἴκοις τοῦ βαλανείου. μὴ ταχέως βαδιζόντων τῶν εἰσκομιζόντων τὸν κάμνοντα, ἀλλὰ τοσοῦτον ἐπιμενόντων ἐπὶ τοὺς πρώτους οἴκους, ὅσον ἐν μὲν θατέρῳ μετατεθεῖναι μόνον ἀπὸ τοῦ σκίμποδος, ἐν δὲ τῷ μέσῳ περιχυθῆναι τὸ ἔλαιον. ἔστω δὲ καὶ ὁ ἀὴρ τῶν οἴκων ἁπάντων μήτε θερμὸς ἄκρως μήτε ψυχρός, ἀλλ' εὔκρατος ἱκανῶς καὶ μετρίως ὑγρός. ἔσται δὲ τοῦτο περιεκχυθέντος ὕδατος εὐκράτου δαψιλῶς ἐκ τῆς δεξαμενῆς, ὡς διαρρεῖν διὰ πάντων τῶν οἴκων. ἐν αὐτῷ δὲ τῷ τῆς κολυμβήθρας ὕδατι, χρονιζέτω μετρίως, ὀχούμενος ἐπὶ τῆς σινδόνος, οὐδεμιᾶς ἐπαντλήσεως αὐτῷ γιγνομένης οἵας ἐπ' ἄλλων εἰθίσμεθα πράττειν. ἀλλ' οὐδὲ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καταχεῖσθαι βουλοίμην ἄν. ἱκανὸν γὰρ καὶ ταύτῃ δῦναι δὶς ἢ καὶ τρὶς ἅμα τῷ παντὶ σώματι ἐπὶ τοῦ ὕδατος, ὑφιέντων μετρίως εἰς τὸ κάτω τὴν σινδόνα. καὶ αὖθις ἀνακομιζόντων αὐτὸν ὁμοίως νεανίσκων τεττάρων. ἐκκομισθεὶς δ' ἐντεῦθεν, εἰς ὕδωρ ψυχρὸν ἀθρόως βαπτέσθω μηδ' ἐπὶ βραχὺ χρονίζων ἐν αὐτῷ. δεδιδάχθαι δὲ χρὴ καὶ τἆλλα μὲν ἀκριβῶς ἅπαντα τοὺς βαστάζοντας αὐτόν. ἐξαίρετον δ' ἐπὶ τούτου ἔστω δίδαγμά τε ἅμα καὶ παράγγελμα, τὸ τάχος τῆς βαφῆς. εὐθὺς δ' ἕτερος ἑτοίμην ἔχων σινδόνα, κατ' αὐτοῦ βαλέτω. κἄπειθ' ἑξῆς ἐπιβληθεὶς τῷ σκίμποδι, διὰ σπόγγων μὲν ἀποματτέσθω τὰ πρῶτα. μαλακοῖς δ' ὕστερον ὀθονίοις. μὴ δ' αὐτῶν τῶν ἀποματτόντων αὐτὸν βιαίως ψαυόντων, ἀλλ' ὡς ἔνι μάλιστα πρᾳότατα. μετὰ δὲ ταῦτα ἐπαλείψαντάς τε καὶ περιθέντας ἱμάτια, κομίζειν αὖθις ἐπὶ τοῦ σκίμποδος εἰς τὸν οἶκον, ἐν ᾧ διαιτᾶται διδόντας τροφήν. εἴρηται δὲ κἂν τοῖς πρόσθεν ἡνίκα ἰώμεθα τὰς ξηρὰς δυσκρασίας ἐν τῷ τῶνδε τῶν ὑπομνημάτων ἑβδόμῳ, τὸν οἶκον ἐζεῦχθαι χρῆναι τῷ βαλανείῳ. περὶ μὲν οὖν λουτρῶν, αὐτάρκης ὁ λόγος εἰς τὰ παρόντα. συνεχὴς δ' ἐστὶ τοῖς εἰρημένοις, τὰ περὶ τῆς δυνάμεως τῶν τροφῶν. ὅτι μὲν οὖν ὑγρὰς καὶ ψυχρὰς εἶναι προσήκει τὰς μελλούσας ὀνήσειν τοὺς ἑκτικοὺς πυρετούς, εὔδηλον παντί. τοιαῦται δ' εἰσίν, ὅ, τε χυλὸς ὁ τῆς πτισάνης ψυχρὸς λαμβανόμενος, ὅ, τε χόνδρος ὁμοίως πτισάνῃ σκευασθεὶς ὅπερ ἐστὶ δι' ὕδατος καὶ πράσου βραχέος ἀνήθου τε καὶ ἁλῶν. ἐλαίου τε καὶ ὄξους. ἐπιτήδειος δὲ τοῖς ὧδε κάμνουσι, καὶ ὁ βραχὺς ἄρτος ἐν ὕδατι ψυχρῷ. μηδενὸς δ' αὐτῶν ἡ ψῦξις εἰλικρινὴς ἔστω, καθάπερ ἡ τοῦ ποτοῦ. ἐκεῖνο μὲν γὰρ καὶ θερμαίνεται ταχέως, καὶ διεξέρχεται. ταῦτα δ' ἐπὶ πλέον ἐν τῇ γαστρὶ διαμένοντα, τάχ' ἄν που καὶ διαψύξειεν αὐτήν, ἀμέτρως ὄντα ψυχρά. χρονίου δ' ὑπάρχοντος ἤδη τοῦ πυρετοῦ, καὶ τὸ τῆς ὄνου γάλα δοτέον, ἀκριβῶς προσέχοντα τὸν νοῦν μὴ τυρωθῇ ποτε ἐπὶ τὴν γαστέρα. τοῦτο δὲ ἐνίοτε μὲν αὐτὸς ὁ κάμνων ἡμᾶς διδάξει τῆς ἑαυτοῦ φύσεως ἐμπείρως ἔχων. ἐνίοτε δὲ ἡμᾶς αὐτοὺς ἐξευρίσκειν δεήσει ἐπὶ βραχὺ τῇ χρήσει προσερχομένους. ἕτοιμον μὲν οὖν ἤτοι μέλιτος αὐτῷ μιγνύντας, ἢ καὶ βραχύ τι τῶν ἐδωδίμων ἁλῶν κωλῦσαι τὸ σύμπτωμα. φευκτέον δ' εἰς ὅσον οἷόν τε τὸ μέλι ἐπὶ τοῦ ἑκτικοῦ πυρετοῦ. καὶ διὰ τοῦτο καὶ τὸ μελίκρατον, ἐκχολοῦται γὰρ αὐτίκα καὶ ξηροτέρους ἅμα θερμὴ δριμέα τοὺς πυρετοὺς ἀπεργάζεται. δοτέον οὖν τὴν πρώτην τὸ γάλα τῆς ὄνου κυάθου μὴ πλέον, ὡς ἐθεάσω διδόντας ἡμᾶς.

εἰσαχθείσης μὲν εἰς τὸν κοιτῶνα τῆς ὄνου πρὸς τὸ μηδένα χρόνον ἐν τῷ μεταξὺ γενέσθαι. καταπιόντος δ' αὐτὸ τοῦ κάμνοντος αὐτίκα. θαῤῥούντων δ' ἡμῶν ἀκριβῶς, καὶ παραβαλλόντων τὴν κίνησιν τῶν ἀρτηριῶν τὴν ἐπὶ τῇ προσφορᾷ γιγνομένην, τῇ πρὸ τοῦ ληφθῆναι τὸ γάλα. εἰ μὲν γὰρ διαφθείροιτο, τοὺς σφυγμοὺς εὑρήσεις οἵους περ ἐπὶ θλίψει στομάχου συμβαίνοντας οἶσθα. εἰ δὲ μὴ διαφθείροιτο, τοὺς σφυγμοὺς μείζους τε καὶ ἰσχυροτέρους γιγνομένους. ὥστ' ἐξέσται σοι μετὰ ταῦτα προσφέροντι, τὸ πλῆθος αὐξῆσαι τοῦ γάλακτος ἥμισυ κυάθου. κἄπειθ' ἥμισυ προσθεῖναι πάλιν. εἶθ' οὕτω κατὰ βραχὺ μέχρι τοῦ συμμέτρου προσαυξῆσαι. τοῦ μέτρου δὲ οὐ μόνον τοῦ γάλακτος, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων σιτίων ἔμαθες τοὺς σκοπούς, ἔνθα τὰς τῆς γαστρὸς ἰώμεθα δυσκρασίας ἐν τῷ τῶν δὲ τῶν ὑπομνημάτων ἑβδόμῳ. πρώτην γὰρ ἐν ἐκείνῳ τῷ λόγῳ, τὴν ξηρὰν δυσκρασίαν αὐτῆς ὑποθέμενοι κεχρονισμένην εἰς τοσοῦτον, ὡς σύμπαν ἤδη τὸ σῶμα λεπτὸν ὑπάρχειν ἐπεδείξαμεν, ὅπως ἄν τις ἅμα μὲν ἄμφω καλῶς ἰῷτο καὶ τὴν δυσκρασίαν τῆς γαστρός, καὶ τὴν ἰσχνότητα τοῦ σώματος. καὶ τοίνυν ἴσως ἄμεινον ὑπὲρ τοῦ μὴ γράφειν πολλά, πρὸς ἐκεῖνον ἀναπέμψαι τὸν λόγον ὑπὲρ τῶν ἄλλων ἁπάντων ἐδεσμάτων. ὅμοιαι γὰρ αἱ διαθέσεις οὖσαι, παραπλησίων χρήζουσι καὶ τῶν ἰαμάτων. ὅσον δ' ἐστὶν ἡ τῶν ἑκτικῶν πυρετῶν θερμοτέρα, τοσοῦτον καὶ τῶν βοηθημάτων δεῖται ψυχροτέρων. ἀκριβείας τε πλείονος, ὅπως μήτι βλάψαιμεν ἰσχυροῖς βοηθήμασι χρησάμενοι. καὶ τοὺς μὲν ἤδη μαραινομένους, ὡς εἴρηται, λουστέον. ὅσοι δ' ἐν τοῖς ἑκτικοῖς εἰσὶ πυρετοῖς, οὐδέπω μαραινόμενοι, τούτους οἴονται δεῖν καὶ χωρὶς σινδόνος ὑποβεβλημένης λούειν, ὡς ἂν ἰσχυροὺς ἔτι τὴν δύναμιν ὄντας. εἰσφέρειν μέντοι καὶ τούτους εἰς τὸν οἶκον. ἤτοι γε ἐπὶ σκίμποδος, ἢ φορείου τινός. εἶθ' ἑαυτοῖς βαδίζοντας ἐπὶ τὸ θερμὸν ὕδωρ ἀκτέον, ὅπως ἐν ἐκείνῳ χρονίζοιεν. ὅσοι δ' ἀκρατέστεροι τῶν τοιούτων εἰσί, σφαλερὸν ἐπιτρέπειν αὐτοῖς ἐμβαίνειν ταῖς ψυχραῖς κολυμβήθραις. ἀλλ' ἔξω μᾶλλον αὐτὸν καταχεῖν ἐπὶ χλιαρῷ μὲν πρότερον, τὸ δεύτερον ψυχρόν. ἔσω δ' οὕτω ψυχρόν τό τε κατὰ τὴν δεξαμενὴν ὕδωρ αὐτοῖς παρεσκευασμένον, ὅσον ἐξ ἐκείνης ἄν τις ἀρυσάμενος αὐταρκὲς ἀθρόως εἰς ἅπαξ ἐπιχέαι τοῖς λελουμένοις, ὡς μηδεμίαν ἐμφαίνειν σαφῆ ποιότητα, μήτε τῶν ἀκριβῶς ψυχρῶν, μήτε τῶν χλιαρῶν ὑδάτων, ἀλλ' οἷον τὸ κρηναῖον καλούμενον, ἐν μέσῳ ψύξεως πληκτικῆς καὶ χλιαρότητος ἐκλυτικῆς. εἰ μὲν οὖν ἀκριβῶς ἅπαντα γίγνοιτο κατά τε τὰ λουτρὰ καὶ τὰς τροφάς, ἐλπὶς σωθήσεσθαι τοὺς μαραινομένους. εἰ δ' ἁμαρτηθείη τι κἂν ἕν, ἀνατρέπει τἄλλα σύμπαντα. τὸ γάρ τοι τῆς διαθέσεως αὐτῶν ὀλέθριον, οὐδὲ βραχύτατον ἁμάρτημα φέρει. καὶ εἴ τις ἐσώθη τῶν τοιούτων, τὸ σαρκῶδες αὐτοῦ γένος ὁ μαρασμὸς κατειλήφει. τῶν στερεῶν δ' αὐτῶν ἐξηρασμένων, ἀδύνατόν ἐστι τὸν ἄνθρωπον ὑγιασθῆναι τελέως. ἀλλ' ἀναγκαῖον ἤτοι γ' ἐξ αὐτοῦ τοῦ πυρετοῦ τὸν θάνατον ἥκειν εὐθέως. ἢ μεταπεσόντος εἰς τὸ καλούμενον ἐκ νόσου γῆρας. πρῶτον μὲν γὰρ ὁ τοιοῦτος πυρετὸς ἐκβόσκεται τὴν οἰκείαν ἰκμάδα τῶν μορίων ὑφ' ἧς τρέφεται. μεταβαίνειν δ' ἐντεῦθεν ἐπὶ τὸ σαρκῶδες γένος, ὃ ταῖς ἰσὶ καὶ τοῖς ὑμενώδεσι τῶν στερεῶν μορίων περιπέφυκεν. εἶθ' οὕτως ἅπτεται καὶ αὐτῶν τῶν στερεῶν μορίων. καθ' ἕκαστον γάρ τοι μόριον τῶν ἁπλῶν καὶ πρώτων ὀνομαζομένων ἐθεάσω κατὰ τὰς ἀνατομάς. τὸ μὲν οἷον ἰνῶδες ἐστὶ τῆς οὐσίας αὐτῶν. τὸ δ' ὑμενῶδες. τὸ δέ, σαρκῶδες. οἷον εἰ τύχοι τῆς φλεβὸς ἕνα χιτῶνα κεκτημένης λεπτόν, ἔστιν εὑρεῖν κατ' αὐτὴν ἶνας πολλὰς ἀραχνοειδέσι διατάσεσι συναπτομένας. αἷς ἀμφοτέραις, ἡ οἰκεία τῆς φλεβὸς οὐσία περιπέφυκεν, ἄλλη κατ' ἄλλο μόριον ὑπάρχουσα, κοινὸν οὐδὲν ὄνομα κεκτημένη. καλεῖν γοῦν αὐτὴν οὐδὲν κωλύει διδασκαλίας ἕνεκα σαρκοειδῆ φύσιν. ἢ καὶ νὴ Δία τὴν τοῦ δεῖνος τοῦ μορίου σάρκα, κατὰ γαστέρα μὲν ἑτέραν ὑπάρχουσαν. καθ' ἧπαρ δ' ἑτέραν. ὥσπερ γε καὶ κατὰ ἀρτηρίαν καὶ μῦν. ὠνόμασται δὲ μόνη σὰρξ ἡ ἐν μυσί. τῶν ἄλλων οὐδὲ μίαν ὀνομάζουσι σάρκα, πλὴν ὀλίγοι δέ τινες. ἀλλὰ τὰ μὲν ἐν τοῖς σπλάγχνοις οἷον ἥπατι καὶ νεφροῖς καὶ σπληνὶ καὶ πνεύμονι, παρεγχύματα καλοῦσι. τὰς δ' ἐν ἐντέροις καὶ γαστρὶ καὶ στομάχῳ καὶ μήτρᾳ, ἀνωνύμους ἀπολείπουσιν. ἀλλὰ σὺ τῶν μὲν ὀνομάτων μηδὲν φρόντιζε. γίγνωσκε δὲ ἑκάστου τῶν μορίων τὸν ὄγκον τῆς οὐσίας, ὑπὸ τῆς τοιαύτης μάλιστα συμπληροῦσθαι φύσεως, φθορὰν καὶ γένεσιν ἐπιδεχομένης, ὡς ἔνεστι θεάσασθαι σαφῶς ἐπὶ τῶν κοίλων ἑλκῶν. οὐ μὴν οὐθ' ἡ τῶν ἰνῶν φύσις, οὔθ' ἡ νευρώδης ἢ ὑμενώδης ὁρᾶται τὴν αὐτὴν ἔχουσα γένεσιν. οὐδ' ἐγχωρεῖ τὰς ἐν ἑκάστῳ μορίῳ τοιαύτας ἶνας, ὑπὸ τῶν κακοήθων πυρετῶν ἐκτακῆναι, καθάπερ τὰς σάρκας. ἅς γε πρὶν ξηρανθῆναι τελέως διαφθείρουσι τὸ ζῷον. εἰσὶ μὲν οὖν καὶ οἱ μαρασμώδεις πυρετοὶ πάντες, ἐκ τοῦ τῶν συντηκόντων γένους. ἀλλὰ διαφέρουσι τῷ τὸ συντηκόμενον ἑκάστοτε τῆς σαρκός, ἐπὶ μὲν τούτων, διαφορεῖσθαι. καταῤῥεῖν δ' ἐπ' ἐκείνων εἰς γαστέρα. φαίνεται δὲ τοῦτο κἀπὶ τῶν κρεῶν γιγνόμενον ἐναργῶς, ὀπτωμένων ἐπὶ τῆς καλουμένης ἐσχάρας. ἐνίων μὲν γὰρ ἀποῤῥεῖ πάμπολυ τὸ σύντηγμα. καὶ φέρεται κατὰ τῶν ἀνθράκων ἀθρόως. ἐνίων δ' ὅλως οὐδὲν αἰσθητὸν ἀπόῤῥεον φαίνεται κἂν ἴσον ᾖ τὸ πλῆθος τῶν ἀνθράκων. οἱ γοῦν ἄγριοι σύες, ἢ οὐδ' ὅλως ἢ ὀλίγιστον ἔχουσι τὸ ἀπόῤῥεον. οἱ δ' ἥμεροι, πάμπολυ. καὶ ὅσον περ ἂν ᾖ πιμελωδέστερον καὶ σαρκωδέστερον τὸ ζῷον, τοσοῦτον τὸ ἀπόῤῥεον αὐτῶν τῶν σαρκῶν ἐπὶ τῆς ἐσχάρας ὀπτωμένων πλέον φαίνεται. τὸν αὐτὸν οὖν τρόπον, ἐπὶ τῶν θερμοτάτων πυρετῶν, εἰ μὲν οὖν εἶεν σάρκες ὑγραὶ καὶ μαλακαὶ μετὰ πλήθους πιμελῆς, τὰς συντήξεις αἰσθητὰς ἴσχουσιν. εἰ δὲ ἄνευ πιμελῆς καὶ ξηραί, τοῖς μαρασμώδεσιν ἁλίσκονται πυρετοῖς. ἐναργέστατον δὲ τούτου τεκμήριον, οἱ τὰς συντήξεις ἐκκρίνοντες ἄῤῥωστοι διὰ γαστρός, ἢν μὴ φθάσωσιν ἀποθανεῖν. ἤτοι γ' ὑπὸ βίας τοῦ νοσήματος, ἢ διὰ τὴν τῶν ἰατρῶν ἀμαθίαν, εἰς τοὺς μαρασμώδεις ἐμπίπτοντες πυρετούς. ἄχρι μὲν γὰρ ἂν ἔχωσι τὴν ὕλην δαψιλῆ, ταύτην συντήκουσιν. ὅταν δὲ ἐπιλείπωσιν αὐτοὺς αἵ τε πιμελαί, καὶ αἱ σάρκες αἱ μαλακαί, ξηραίνουσι τὰς σκληρὰς καὶ δυστήκτους σάρκας. ὧν οὐδὲν ἀποῤῥεῖ διὰ ξηρότητα, καθάπερ οὐδὲ τῶν ταριχηρῶν κρεῶν, εἰ καὶ ταῦτ' ἐθελήσειας ὀπτᾶν ἐπιβάλλων ἴσως τοῖς ἄλλοις πυρί, ξηρότεραι μὲν γὰρ αἱ σάρκες αὐτῶν ἔσονται. καὶ σκληρωθήσονταί γε βύρσης τρόπον. οὐ μὴν ἐκρυήσεταί γε αὐτῶν οὐδεμία τηκεδὼν αἰσθητή. ταῦτ' οὖν γινώσκοντί σοι, καὶ ἡ τῶν συντηκτικῶν πυρετῶν ἐπιμέλεια κατὰ

τὰς

τὰς αὐτὰς γίνεσθαι μεθόδους. ἐπί τε ψυχροῦ δόσιν, ὅτι τάχιστα, παραγιγνομένῳ, καὶ διὰ τῶν ὑγραινόντων καὶ ψυχόντων τρέφοντι. μελίκρατον δ' οἰόμενον πολεμιώτατον εἶναι, ᾧ μάλιστα ὁρᾷς χρωμένους ἐπὶ τῶν τοιούτων πυρετῶν, τοὺς πλείστους τῶν ἰατρῶν. ἀλλὰ περὶ μὲν τῶν συντηκόντων πυρετῶν, αὖθις ἐξέσται διελθεῖν. ὥσπερ γε καὶ περὶ τῶν ἐν λοιμοῖς πυρετῶν ἑκτικῶν, οἷος ὁ νῦν ἐπιδημῶν ἐστιν. εἰρήσεται γὰρ περὶ τοῦ δὲ κατὰ τοὺς λοιμώδεις πυρετούς. τῶν δ' ἄλλων ἑκτικῶν καὶ μαρασμωδῶν, αὐτάρκως εἰρῆσθαι νομίζω τὴν μέθοδον τῆς ἰάσεως.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

ΤΩΝ δ' ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν, οἱ πρῶτοι μὲν εἴρηνται σκοποὶ πρόσθεν, ἡνίκα ἐδείκνυον ὅπως ἐγχωρεῖ καὶ δύο καὶ τρεῖς αὐτοὺς ποιῆσαι. κἂν εἰ βουληθείη μὲν ἕνα. νυνὶ δ' ὥσπερ ἐπὶ τῶν ἄλλων πυρετῶν, ἐκ τῆς τῶν πρώτων γενῶν τομῆς ἄχρι τῶν ἐσχάτων εἰδῶν ἀφικόμεθα τέμνοντες, οὕτω πρᾶξαι πειραθῶμεν κἀπὶ τῆς προκειμένης διαφορᾶς, ἐκεῖνο πρότερον ἀναμνήσαντες ὃ κἂν τοῖς περὶ διαφορᾶς τῶν σφυγμῶν ὑπομνήμασιν ἐδείξαμεν. ὡς εἴτε πρώτας διαφοράς, εἴτε γένη πρῶτα καλεῖν ἐθέλοι τις, εἴτε γενικωτάτας ἰδέας, εἴθ' ὁπωσοῦν ἄλλως φυλάττων ἀκριβῆ τοῦ πράγματος τὴν ἔννοιαν, οὐ διοίσει.

Τῶν μὲν δὴ πυρετῶν αὐτῶν τοὺς ἐφημέρους ὅπως χρὴ θεραπεύειν, ἐν τῷ τῶνδε τῶν ὑπομνημάτων ὀγδόῳ διῆλθον. ὥσπερ γε καὶ ὅπως τοὺς συνόχους ἐν τῷ μετ' αὐτό. καὶ τρίτους γε τοὺς ἑκτικοὺς ἐν τῷ μετ' ἐκεῖνο τῆς ὅλης πραγματείας ὄντι δεκάτῳ, μετὰ τῶν ἰδίων ἑκάστῳ, πλεῖστα καὶ τῶν κοινῶν ἐπελθών. νυνὶ δ' ὅπως αὖτις ἰᾶσθαι μεθόδῳ τοὺς ἐπὶ σήψει χυμῶν συνισταμένους, πρόκειται διελθεῖν. Οἱ σκοποὶ δ' οἱ θεραπευτικοί, κατὰ μὲν τὴν εἰς δύο τομήν, ἥ τε διάθεσις ἣν θεραπεύομεν ὑπάρχει, καὶ ἡ τῶν τοῦ κάμνοντος μορίων κρᾶσις. ἐγχωρεῖ δ' ὡς ἐλέχθη καὶ δι' ἑνὸς ἑρμηνεῦσαι κεφαλαίου, θεραπευτικὸν εἰπόντων ἡμῶν εἶναι σκοπὸν ἕνα κοινὸν ἁπάντων νοσημάτων τὴν ἐναντίωσιν. οὗ τεμνομένου, γεννᾶσθαι τοὺς δύο. τοῦ μὲν νοσήματος ἐνδεικνυμένου τὴν τῶν ἐναντίων ἑαυτῷ βοηθημάτων χρῆσιν. τῆς δὲ τοῦ θεραπευομένου κράσεως, ὁριζούσης ἅμα τῷ νοσήματι, τὸ μέτρον τῆς ἐναντιώσεως. ἐρρέθη δ' ἐν ἐκείνοις ὡς καὶ τὸ περιέχον ἡμᾶς, ἕνα ποιήσασθαι τὸν σκοπὸν ἐγχωρεῖ. καὶ ὡς ὁπόταν εἰς δύο μόνους τὴν πρώτην ποιησώμεθα τομήν, ἤτοι γ' ἐν τοῖς νοσεροῖς αἰτίοις, ἢ ἐν τοῖς ὑγιεινοῖς τίθεσθαι χρὴ τὸ περιέχον. ὄντων δ' αἰτίων ὑγιεινῶν ἁπάντων τῶν ποιούντων ὑγείαν, ἓν ἐξ αὐτῶν ἐστι τὸ καλούμενον βοήθημα, κατὰ διαφόρους ἐννοίας, ἔσχατον καὶ πρῶτον ὑγιεινὸν αἴτιον ὀρθῶς λεγόμενον. ἔσχατον μὲν γὰρ ἐστὶ τῷ χρόνῳ, διότι φύσις καὶ τέχνη καὶ τύχη, τῷ χρόνῳ πρότερα τῶν βοηθημάτων ἐστὶν ὑγείας αἴτια. πρῶτον δὲ καθ' ὅσον αὐτὸ ψαύει τοῦ νοσοῦντος, ἀλλοιοῦν τὴν διάθεσιν αὐτοῦ. καὶ διὰ τὴν ἐκ τούτου γινομένην ἀλλοίωσιν τῶν νοσούντων σωμάτων εἰς ὑγείαν ἀγομένων, ἡ τέχνη καὶ ὁ τεχνίτης αἴτια τῆς ὑγείας γίνεται. οὐ τῷ πρώτως αὐτὰ τὰς νόσους ἐκκόπτειν, ἀλλὰ τῷ δι' ἑτέρων ὑλῶν ἐπιτηδείων, αἳ τινὲς ὀνομάζονται βοηθήματα. φλεβοτομία γοῦν αὕτη μὲν καθ' ἑαυτήν, αὐτὸ δὴ τοῦτο τὸ νῦν εἰρημένον ὄνομα κέκτηται. βλάψασα δὲ τὸν ἄνθρωπον, ἐκ τῶν αἰτίων γίνεται τῶν νοσωδῶν, ὥσπερ γε καὶ ὠφελήσασα, τῶν ὑγιεινῶν. καὶ διὰ τοῦτο καλεῖται βοήθημα, καθ' ὃν ἂν ὠφελεῖ καιρόν. ὡς καὶ πάσης ὕλης τῆς ὁπωσοῦν ἀλλοιούσης τὸ σῶμα, καθ' ὃν ἂν ὠφελεῖ χρόνον, ὀνομαζομένης βοηθήματος. οὕτως οὖν καὶ περιέχοντος ἡμᾶς, ἴδιον μὲν ὄνομα κατὰ τὴν ἑαυτοῦ φύσιν, ὁ ἀήρ. ἐν δὲ τῇ πρὸς ἡμᾶς σχέσει, ποτὲ μὲν βοήθημα καὶ τῶν αἰτίων ἐστὶ τῶν ὑγιεινῶν γίγνεται. ποτὲ δὲ τῶν ἐναντίων αὐτοῖς τῶν νοσωδῶν. ἐπεὶ δ' ἔκ τε τῆς ἐνεστώσης καταστάσεως καὶ τῆς ὥρας τοῦ ἔτους καὶ τῆς τοῦ χωρίου φύσεως ὁ ἀὴρ ἴσχει τὰς καθ' ὑγρότητα καὶ ξηρότητα καὶ θερμότητα καὶ ψυχρότητα μεταβολάς, ἐξ ἐκείνων πάλιν ἑκάστου γίγνονταί τινες ἐνδείξεις μερικώτεραι. τύχη μὲν οὖν καὶ τέχνη καὶ τεχνίτης, διὰ μέσων τῶν ὑλῶν ἔχουσι τὸ δρᾶν. ἡ φύσις δ' αὐτὴ δι' ἑαυτῆς, ἐκ τριῶν τούτων συμπεπληρωμένη μορίων, τῆς τε τοῦ πνεύματος οὐσίας, καὶ τῆς τῶν ὄντως στερεῶν, ἅπερ ἐκ σπέρματος ἐδείχθη γιγνόμενα. καὶ τρίτης ἐπ' αὐτοῖς, τῆς σαρκοειδοῦς οὐσίας, ἐν ἑκάστῳ τῶν μορίων ἰδίας ὑπαρχούσης. ἕκαστον δὲ τῶν εἰρημένων τριῶν, ἰδίαν τινὰ ἔχει ποσότητα καὶ ποιότητα κατὰ φύσιν. ἡ μὲν οὖν ποιότης αὐτῶν, ἐκ τῆς πρεπούσης κράσεως ὑγρᾶς καὶ ξηρᾶς, καὶ ψυχρᾶς καὶ θερμῆς συνίσταται. τὸ ποσὸν δέ, τῶν μὲν στερεῶν σωμάτων, ἴσον ἀεὶ διαμένει. τοῖς μὲν αὐξανομένοις ἔτι, κατὰ τὸν ἀριθμὸν μόνον. τοῖς δ' ἤδη τετελειωμένοις, καὶ κατὰ τὸ μέγεθος. τῆς σαρκοειδοῦς δ' οὐσίας ἐξαλλάττεται τὸ μέγεθος, εἰ καὶ μηκέτι αὔξοιτο τὸ ζῶον. οὕτως δὲ καὶ ἡ τοῦ πνεύματος οὐσία, μονονοὺ καθ' ἑκάστην ῥοπὴν ἐλάττων τε καὶ πλείων γίνεται. καὶ τοίνυν καὶ ἡ δύναμις ἐφ' οἷς ἔμπροσθεν εἶπον σκοποῖς, ἤτοι μόνη προστίθεται κατὰ τὴν τῶν εἰρημένων τριῶν οὐσιῶν συναρίθμησιν, ἢ τῆς κράσεως ἀφορισθείσης, ἰδία καθ' ἑαυτήν. ἥτις αὖ πάλιν καὶ αὐτὴ ποτὲ μὲν ὡς ἐδείκνυτο, διχῆ τέμνεται εἴς τε τὴν ἐξ ἀρχῆς φύσιν, καὶ τὴν ἐπίκτητον διάθεσιν. ὥστε ἀπὸ τούτων καὶ τῶν ἄλλων τῶν προειρημένων γίγνεσθαι τινὰ ἔνδειξιν ἰαμάτων ἰδίαν ἑκάστου. πολλάκις δὲ ἡ ἐπίκτητος κρᾶσις, εἰς τὰς ποιητικὰς αἰτίας ἀναχθεῖσα, τὴν ἔνδειξιν ἐκείναις ἐχαρίσατο. κατὰ τοῦτον οὖν ἔφαμεν τὸν τρόπον, ἐξ ἡλικίας, ἐπιτηδευμάτων τε καὶ ἐθῶν ἔνδειξιν βοηθημάτων γίγνεσθαι. συμφωνεῖν δ' ἀλλήλαις ἁπάσας τὰς εἰρημένας ἐνδείξεις. ἐν γοῦν ταῖς ἰδικωτέραις ἀεὶ περιέχεσθαι τὰς γενικωτέρας. ἄγεσθαι δ' εἰς χρῆσιν τὰς ἰδικωτέρας, εὑρισκομένας ἐκ τῆς τῶν γενικωτέρων τομῆς. ἡ γάρ τοι πρώτη πασῶν ἔνδειξις θεραπευτική, ἐξ αὐτοῦ τοῦ θεραπευομένου νοσήματος γιγνομένη, τὴν ἐναντίωσιν ἐδίδαξεν. ἐπεὶ δ' ἐστὶ πλείονα γένη τῶν νόσων, ἕκαστον αὐτῶν ἰδίαν ἕξει τὴν ἐναντίωσιν. ἀλλὰ τὰ μὲν ἄλλα παρείσθω τό γε νῦν εἶναι. προκεχωρήσθω δὲ μόνον

ἡμῖν εἰς τὰ παρόντα, τῆς θεραπευομένης νόσου τὸ γένος ἐν δυσκρασίᾳ κείμενον. ἰαθήσεται τοίνυν ὑπὸ τῆς ἐναντίας αὐτῷ δυσκρασίας. ἀλλ' ἐπεὶ τοῦ γένους ὅλου τῶν πυρετῶν ἡ δυσκρασία θερμότης ἐστὶ, διὰ ψυχρότητος ἰαθήσεται. ὥστε ἀλλήλαις ὁμολογεῖν ἁπάσας τὰς ἐνδείξεις. ἐάν τε γὰρ εἴπωμεν ἁπλῶς οὕτως ὡς χρὴ τὸν πυρετὸν ἰᾶσθαι διὰ τῶν ἐναντίων, ἐάν τε προσθέντες ὡς διὰ τῶν ἐναντίων τῇ κράσει, μάχην οὐδὲ μίαν ἕξουσιν οἱ λόγοι. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδ' εἰ φαίημεν ἰᾶσθαι χρῆναι διὰ τῶν ψυχόντων τὸν πυρετόν. ὥσπερ γε οὐδ' εἰ τέμνοντες ἔτι, φαίημεν ἐνίοτε μὲν ἰᾶσθαι τὸν πυρετὸν ἡμᾶς διὰ τῶν ἐνεργείᾳ ψυχόντων. ἐνίοτε δὲ, διὰ τῶν δυνάμει. καί ποτε αὖθις, διὰ τῶν κατὰ συμβεβηκός. ἢ καὶ συντιθέντες ταῦτα, μάχην οὐδεμίαν ἕξει τοῖς προειρημένοις ὁ λόγος. ὥσπερ γε οὐδ' εἰ φαίημεν ὅσα μὲν κατ' ἐνέργειαν ἢ δύναμιν ἢ κατὰ συμβεβηκὸς θερμαίνει, χείρονας ἑαυτῶν ἀποτελεῖν τοὺς πυρετούς. ὅσα δ' αὖ κατ' ἐνέργειαν ἢ δύναμιν ἢ κατὰ συμβεβηκὸς ψύχει, θεραπεύειν αὐτούς. ἡ γὰρ ἀπὸ τῆς διαθέσεως ἔνδειξις εἰς τοσούτους ἐτμήθη τοὺς κατὰ μέρος σκοπούς. αὐτοὶ δὲ πάλιν οὗτοι οἱ σκοποὶ τὴν ὕλην τῶν βοηθημάτων εὑρίσκουσι κατὰ τὰς ἐν τοῖς περὶ φαρμάκων εἰρημένας μεθόδους. ἀρχὴ γὰρ ἐκείνων ἐστὶν εἰς ὅπερ ἐτελεύτησεν ἡ ἐκ τῆς θεραπευομένης διαθέσεως τομή. κυριωτάτη μὲν οὖν ἐν τῷ λυθῆναι τὴν νόσον θεραπεία νοεῖται. καταχρωμένων δὲ, καὶ τὸ μικτὸν γένος ἔκ τε τῆς ὄντως θεραπείας, καὶ ἣν ὀνομάζουσι προφυλακτικήν. τῶν μὲν οὖν ἐφημέρων πυρετῶν, ἡ ὄντως ἐστὶ θεραπεία καθάπερ γε καὶ ἡ τῶν ἑκτικῶν. ὅσοι δ' ἐπὶ χυμοῖς συνίστανται σηπομένοις, ἡ λεγομένη θεραπεία τῆς προφυλακτικῆς προσείληφεν, ἥτις ἐστὶ τὸ τὴν νόσον ἐργαζόμενον αἴτιον ἐκκόπτειν. ὀνομάζεται δὲ καὶ αὐτὸ τοῦτο τὸ μέρος τῆς τέχνης, θεραπευτικόν. ἀποκεχωρισμένον τοῦ καθαρῶς τε καὶ εἰλικρινῶς προφυλακτικοῦ, τῷ γενέσθαι τὴν νόσον μὲν ἀληθῶς ὑπὸ τῆς αἰτίας ἤδη. μέλλειν δὲ ἔσεσθαι, κατὰ τὰς προφυλακτικάς. τοῖς μὲν οὖν ὀνόμασιν ὡς ἂν ἐθέλοι τις χρήσθω. τοῦτο γὰρ ἀναμιμνήσκειν ἀεὶ χρή. φυλαττέτω δὲ τὴν ἐφ' ἑκάστου τῶν πραγμάτων ἔνδειξιν τῶν ἰαμάτων, ὡς εἴγε παραλείποι τι κἂν ἓν ἐξ αὐτῶν ἀνάλογον ἐκείνου τῷ μεγέθει τε καὶ τῇ δυνάμει, βλάψει τὴν ἴασιν. ὃν περ δὲ τρόπον ἀπὸ τῆς διαθέσεως ἐπὶ τὰς ὕλας τῶν βοηθημάτων ἀφικόμεθα, τὸν αὐτὸν τρόπον ἀφ' ἑκάστου τῶν ἄλλων γενῶν τῶν πρώτων κατέρχεσθαι χρὴ πρὸς αὐτάς. οἷον ἀπὸ τῆς δυνάμεως. ἀντιτέτακται γὰρ αὕτη τῇ νόσῳ, καθάπερ τις ἀνταγωνιστής. καὶ πρόκειταί γε τῷ ἰατρῷ βοηθεῖν ταύτῃ καὶ συναγωνίζεσθαι τρόπῳ παντί. Τίς οὖν ὁ πρῶτος σκοπὸς ἀπὸ τῆς δυνάμεως, ἢ τίς ἔνδειξις προτέρα; καὶ γὰρ κἀνταῦθα λεκτέον ὡς ἂν ἐθέλοι τις. αὐτὴν μὲν τὴν δύναμιν ἕνα τὸν πρῶτον σκοπὸν τιθέμενος. τὸ δ' ὑπ' αὐτῆς ἐνδεικνύμενον, ἕτερον σκοπὸν δεύτερον. ἐπεὶ τοίνυν ἐδείχθη τὴν ἑαυτῆς ἐνδεικνυμένη φυλακὴν, ὥσπερ ἡ νόσος τὴν ἀναίρεσιν, ἔσται πάλιν ὁ δεύτερος ἐπὶ τῇ δυνάμει σκοπὸς ἡ φυλακὴ, καθάπερ ἐπὶ τῶν νοσημάτων ἡ ἀναίρεσις. ἀλλ' ἡ μὲν φυλακὴ, τὴν τῶν ὁμοίων ἐνδείκνυται προσαγωγήν. ἡ δ' ἀναίρεσις, τὴν τῶν ἐναντίων. ἐπειδὴ δὲ τῆς δυνάμεως οὐσία συμπεπλήρωται διά τε τοῦ πνεύματος καὶ τῆς σαρκώδους ἰδέας καὶ τῶν στερεῶν, ἐκ τῶν ὁμοίων ἑκάστῳ πορίζεσθαι χρὴ τὴν διαμονήν. τῷ μὲν πνεύματι, διὰ τῆς ἀναπνοῆς τε καὶ διαπνοῆς, καὶ τῆς ἐκ τοῦ αἵματος ἀναθυμιάσεως, ἐξέστω δὲ κἀνταῦθα τῷ βουλομένῳ καλεῖν ἀέρωσιν ἢ λεπτοποίησιν αἵματος, ἢ εἰς ἀτμοὺς λύσιν, ἢ ὅπως ἂν αὐτὸς ἐθέλοι. τῷ δὲ τῶν στερεῶν γένει, διὰ τῆς στερεᾶς τροφῆς. ὥσπερ γε καὶ τῷ τῶν σαρκωδῶν διὰ τῆς ἐν μέσῳ φύσεως ὑγρῶν τε καὶ στερεῶν σωμάτων. ἑκάστου δὲ τούτων εὑρήσεις τὸ μὲν ποσὸν, ἐκ τῆς κατὰ τὴν φυλαττομένην οὐσίαν ποσότητος. τὸ δὲ ποιὸν, ἐκ τῆς κράσεως. αὐτῆς δὲ τῆς κράσεως καθ' ἕκαστον αὐτῶν ἤτοι γε ἀρίστης ὑπαρχούσης, ἢ μεμπτῆς κατά τι, τὴν μὲν ἀρίστην ἀεὶ φυλάττειν χρή. τὴν μεμπτὴν δὲ, ἐπὶ μὲν τῶν ὑγιαινόντων ἤτοι φυλάττειν, ἢ ἀλλοιοῦν. ἐπὶ δὲ τῶν νοσούντων, φυλάττειν. ἐξ οὗ λογισμοῦ πρόσθεν ἐδείκνυτο, μεγίστην ἔνδειξιν ἔχον τὸ ἔθος. ἢ γὰρ τὴν ἐξ ἀρχῆς αὐτοῦ φυλάττειν κρᾶσιν, ἢ τὴν ἐπίκτητον ἐργάζεσθαι. γίγνεσθαι δ' ὡς ἐλέγετο τὴν ἔνδειξιν τοῦ μέτρου τῶν βοηθημάτων, ἐκ τῆς νῦν κράσεως. ὥσπερ γε κἀκ τῆς ἡλικίας, οὐχ ἧς ἔμπροσθεν εἶχεν ὁ κάμνων, ἀλλ' ἧς νῦν ἔχει. Διαφορᾶς δ' οὐκ ὀλίγης ὑπαρχούσης ἐν τῇ κράσει τῶν τοῦ ζώου μορίων, ἴδιον ἑκάστῳ τὸ μέτρον ἔσεσθαι τῶν ὁμοίων ἑαυτῷ. τῷ μὲν γεωδεστέρῳ, τῶν γεωδεστέρων. τῷ δὲ ὑγροτέρων. οὕτω δὲ καὶ τῷ μὲν ἀερωδεστέρῳ, τῶν ἀερωδῶν. τῷ δὲ θερμοτέρῳ, τῶν πυρωδῶν. ἐντεῦθεν οὖν ἤδη τὰς ὕλας ἐξευρίσκειν ἁπάντων τῶν κατὰ μέρος ἐν τροφαῖς καὶ πόμασι καὶ ἀέρι καὶ τοῖς ἐπιτηδευομένοις ἅπασιν. ἔνθα δ' ἀλλήλαις ἐναντιοῦνταί τινες ἐνδείξεις, τῇ πρόσθεν εἰρημένῃ χρῆσθαι μεθόδῳ, πρὸς τὴν τῶν πρακτέων εὕρεσιν. ἐπιβλέποντα μέγεθός τε καὶ ἀξίωμα τῶν ἐνδεικνυμένων σκοπῶν. αἱρεῖσθαι γὰρ ἐδείκνυμεν χρῆναι τὰς ἀπὸ τῶν ἀξιολογωτέρων τε καὶ μειζόνων ἐνδείξεις σκοπῶν. ἀξίωμα μὲν οὖν αὐτῶν, εἰς ζωὴν ἢ ὑγείαν ἀποβλεπόντων κρίνεσθαι. μέγεθος δ' εἶναι δῆλον, ἤτοι κατὰ τὴν οἰκείαν οὐσίαν, ἢ τὴν τοῦ κατὰ φύσιν ἐκτροπήν. ἐπὶ ταύταις οὖν ἤδη ταῖς μεθόδοις γυμνασώμεθα ἐν τῷ γένει τῶν ἐπὶ σηπεδόνι πυρετῶν. ἐπεὶ δὲ ἡ σηπεδὼν ἤτοι γε ὁμοτίμως ἐν ἅπασι συνίσταται τοῖς ἀγγείοις, ἢ ἐν τοῖς μεγίστοις καὶ κυριωτάτοις ἃ δὴ μεταξὺ βουβώνων τ' ἐστὶ καὶ μασχαλῶν, ἢ καθ' ἕν τι μόριον ἤτοι φλεγμαῖνον, ἢ καὶ χωρὶς φλεγμονῆς ἐν ἑαυτῷ περιέχον οἷόν περ ἐν ἑστίᾳ τινὶ τὴν ἀρχὴν τοῦ πυρετοῦ, καθ' ἑκάστην τῶν εἰρημένων διαφορῶν, ἰδίᾳ χρὴ γυμνάσασθαι. καὶ πρώτην γε τὴν ἤτοι κατὰ τὰ μέγιστα τῶν ἀγγείων ἢ σύμπανθ' ἅμα γινομένην τῷ λόγῳ προχειρισόμεθα. τὸν γὰρ ἐπὶ τῇ τοιαύτῃ διαθέσει πυρετὸν, εἶναι μὲν δή που σύνοχον ἀναγκαῖον. ἰαθῆναι δ' ἀδύνατον ἄνευ τοῦ παύσασθαι τὴν σηπεδόνα. παύσασθαι δ' οὐ δύναται μενούσης τῆς αἰτίας. ἐκκόπτειν οὖν χρὴ τὴν αἰτίαν αὐτῆς, εἰ μέλλει προτέρα μὲν ἡ σῆψις, ἐπ' αὐτῇ δ' ὁ πυρετὸς ἰαθήσεσθαι. τίς οὖν ἡ αἰτία τῆς ὁμοτίμου σηπεδόνος ἐν ἅπασι τοῖς ἀγγείοις, ἀναμνησθῆναι χρὴ πρότερον, ἢ τίς ποθ' ἡμῖν ἐδείκνυτο σηπεδόνος αἰτία, κἄπειθ' ἑξῆς ζητῆσαι τὴν τῆς ὁμαλῶς γινομένης ἐν ἅπαντι μέρει τοῦ ζώου. δέδεικται τοίνυν ἐν ταῖς τῶν νόσων αἰτίαις, ὡς ἐκεῖνα μόνα σήπεται τῶν σωμάτων, ὅσα φύσιν ἔχοντα θερμὴν καὶ ὑγρὰν, ἀδιάπνευστα καὶ ἀρίπιστα μένει ἐν θερμῷ καὶ ὑγρῷ χωρίῳ. εἰ δ' ἐν κινήσει τε εἴη, καὶ ῥιπίζοιτο καὶ διαπνέοιτο, δύναιτ' ἂν ἄσηπτα φυλάττεσθαι. καὶ μάλισθ' ὅσα σώματα διοικοῦσιν αἱ φύσεις, ὥσπερ

τὰ τῶν

τὰ τῶν ζώων τε καὶ τῶν φυτῶν. αὗται γὰρ ἐξ ἀρχῆς ἑαυταῖς ἔχουσι συμφύτους κινήσεις, ὡς ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἐδείκνυμεν, αἷς ἐκκρίνουσι τὰ περιττά. δέδεικται δὲ καὶ δι' ἄλλων δυοῖν βιβλίων, πηλίκη τίς ἡ χρεία τῆς τ' ἀναπνοῆς ἐστι καὶ τῶν σφυγμῶν, ὑπὲρ τοῦ ῥιπίζεσθαί τε καὶ διαπνεῖσθαι τὸ σῶμα, καὶ τὴν κατὰ φύσιν ἑαυτοῦ φυλάττειν θερμασίαν. ἐπεὶ οὖν τι μέλλει σαφῶς ἅπτεσθαι τῶν κατ' αὐτό, τὰς εἰρημένας χρὴ διαπνοὰς ἐπισχεθῆναι. πῶς δ' ἂν καὶ δύναιντο αἱ καθ' ὅλον τὸ ζῶον εἰς τοῦτ' ἐλθεῖν, ἄνευ στεγνώσεως. ἤτοι γ' ἐν τοῖς πέρασι τῶν ἀγγείων γινομένης, ἢ κατὰ σύμπαν τὸ δέρμα; κατὰ μὲν οὖν τὰ πέρατα τῶν ἀγγείων ἡ στέγνωσις γίγνοιτ' ἄν, ἢ διὰ σφοδράν τινα ἔξωθεν ψύξιν, ἢ διὰ πάχος, ἢ πλῆθος, ἢ γλισχρότητα τῶν περιεχομένων ἐν αὐτοῖς χυμῶν ἀθροώτερον ῥυέντων ἐπὶ τὴν ἔξω φοράν. γίγνεται δ' αὐτοῖς τοῦτο καὶ διὰ γυμνάσια τὰ κατὰ παλαίστραν ἢ ἄλλως ἐπιτηδευθέντα, καὶ δι' ὁδοιπορίας συντόνους. ἢ διὰ τὸ περιέχον, ἐξαίφνης ἐκ κρύους εἰς θάλπος μεταβαλόν. ἐνίοτε δὲ καὶ διὰ θυμὸν οἱ χυμοὶ ζέσαντες ἀθρόα, καὶ χρησάμενοι τῇ πρὸς τοὐκτὸς φύσει, τὰς εἰρημένας στεγνώσεις εἰργάσαντο. χρὴ τοίνυν ὅστις ἰᾶσθαι μέλλει τὸν προκείμενον ἐν τῷ λόγῳ πυρετόν, ἅμα μὲν ἐκκόπτειν αὐτοῦ τὴν αἰτίαν, ἅμα δὲ καὶ τὴν ἤδη γεγενημένην ὑπ' αὐτῆς ἐν τῷ ζώῳ θερμασίαν ἐμψύχειν. ὅπως μὲν οὖν ἐκείνην χρὴ ψύχειν, ἔμπροσθεν εἴρηται. τὴν δ' αἰτίαν ἐκκόπτειν προσήκει, κατὰ τὴν ἰδίαν ἑκάστης φύσιν ἐξευρίσκοντα τὴν ἐναντίωσιν. εἰ μὲν ὑπὸ ψυχρᾶς αἰτίας ἐπιλήθη τε καὶ πυκνὸν εἴργασται τὸ σῶμα, χαλῶντα καὶ ἀραιοῦντα παντοίως αὐτό. δι' ἔμφραξιν δὲ τοῦτο παθόν, ἐκφράττοντα. τὸ δὲ ἐκφρακτέον εὑρήσεις κἀν τῷδε τῷ τῆς ἐναντιώσεως προσέχων σκοπῷ. τοὺς μὲν γὰρ πολλοὺς χυμούς, κενώσεις. τοὺς παχεῖς δὲ καὶ γλίσχρους, ἐργάσῃ λεπτούς τε καὶ ῥυτούς. εἰ δὲ καὶ πλείω συνέλθοι ποτὲ αἴτια, πρὸς ἅπαντα ἐνιστάμενος ἐξ ὑπεναντίας. δυνατὸν γοῦν δή που καὶ πεπιλῆσθαι τὸ σῶμα καὶ πεπυκνῶσθαι τοὺς πόρους, καὶ πολλοὺς καὶ γλίσχρους εἶναι τοὺς χυμούς. ἐν δὲ ταῖς τοιαύταις ἐπιπλοκαῖς, ἔτι μεμνήμεθα τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων, ἄρχεσθαι προσήκει ἀπὸ τῆς φλεβοτομίας, ἐκκενοῦντα τὸ πλῆθος. ἀφικνεῖσθαι δ' ἐπὶ τὸ λεπτύνειν τοὺς χυμούς. εἶθ' ἑξῆς ἐπὶ τὸ χαλᾶν τὰ πεπιλημένα, καὶ ἀραιοῦν τὰ πεπυκνωμένα. ταυτὶ μὲν οὖν ἐκ τῆς νοσώδους διαθέσεως ἐνδεικτικῶς ληπτέον. ἀπὸ δὲ τῆς δυνάμεως, ἐπειδὴ σιτία καὶ ποτὰ καὶ ἐνδύματα ταύτην ἐφύλαττον, ἐν μέτρῳ τέ τινι καὶ ποιότητι δεούσῃ προσφερόμενα. καὶ ἦν αὐτῶν τὸ μὲν τοῦ ποσοῦ μέτρον, ἀπὸ τῆς οὐσίας τῆς δυνάμεως εὑρισκόμενον. τὸ δὲ τῆς ποιότητος, ἀπὸ τῆς κράσεως, ἐπισκεπτέον ὅπως ἔχουσιν αἱ διοικοῦσαι τὸ σῶμα δυνάμεις. εὐρώστων μὲν γὰρ οὐσῶν, θαρρῶν χρῶ τοῖς κενωτικοῖς βοηθήμασιν. ἅπερ ἐκ τῆς κατὰ τὴν νόσον ἐλήφθη διαθέσεως. ἀρρωστοτέρων δὲ γεγενημένων, εὐλαβῶς μεταχείριζε τὰ κενωτικὰ βοηθήματα. καὶ μὲν δὴ καὶ τὸ τῆς τροφῆς ποσόν, ἐντεῦθεν ληπτέον. ἐρρωμένων γὰρ τῶν δυνάμεων κατὰ τὸν ἑαυτῶν λόγον, καὶ τῆς ἀκμῆς τοῦ νοσήματος ἐν τάχει προσδοκωμένης, ἔξεστι λεπτοτάτῃ διαιτᾶν. ἀρρωστοτέρων γ' οὐσῶν, οὐκ ἔξεστιν ἄνευ ζημίας μεγάλης. ἀλλὰ χρὴ προστιθέναι τοῖς τρέφουσι τοσοῦτον, ὅσον ἀφῄρηνται τῆς εὐτονίας αἱ δυνάμεις. ἐκ τούτων μὲν τῶν σκοπῶν, τὸ ποσὸν τῆς τροφῆς ληπτέον. ἐκ δὲ τῆς διαθέσεως τῆς κατὰ τὴν νόσον, ἅμα τῇ κατὰ φύσιν κράσει ἐν τῷ τότε χρόνῳ τῶν στερεῶν σωμάτων, τὸ ποιόν. ἀπὸ μὲν τῆς διαθέσεως, εἰ ἔμφραξις εἴη, τὰς λεπτυνούσας. ἀπὸ δὲ τῆς κατὰ φύσιν αὐτῶν κράσεως ἅμα τοῖς ἔθεσι, καθὼς καὶ περὶ τούτων διώρισται πρόσθεν. ὁ δὲ καιρὸς τῆς τροφῆς, ἐπὶ μὲν τῶν ἄλλων ἁπάντων πυρετῶν ὅσοι σήψεσιν ἕπονται, προϊόντος εἰρήσεται τοῦ λόγου. τοῖς δ' ἕνα μόνον ἀπ' ἀρχῆς ἄχρι τέλους ἔχουσι παροξυσμόν, ὑπὲρ τούτων γὰρ ἡμῖν ὁ ἐνεστὼς λόγος, ἥ τ' εὐφορία καὶ τὸ ἔθος, οἱ σκοποί. τηνικαῦτα γὰρ ἂν αὐτοῖς δοτέον ὅταν εὐφορώτατοι σφῶν αὐτῶν ὑπάρχωσι. καὶ μάλιστα κατ' ἐκεῖνον τὸν καιρὸν τῆς ἡμέρας, ἐν ᾧ καὶ πρόσθεν ὑγιαίνοντες ἔθος εἶχον σιτεῖσθαι. μάλιστα γοῦν ἂν εὐφόρως ἐνέγκαιεν τὰ σιτία πρὸς τούτους τοὺς σκοποὺς λαβόντες. ὅτι δὲ καὶ τὸ ψυχρὸν τοῖς οὕτω νοσοῦσι δοτέον, ὅταν ἤδη πέττωνται μὲν οἱ χυμοί, τὸ δὲ πάχος αὐτῶν ᾖ προλελεπτυσμένον, ἐκ τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων εὔδηλον. ἐπαμφοτερίζοντος γὰρ τοῦ τοιούτου πυρετοῦ, τοῖς τ' ἐπὶ σήψει χυμῶν ἐν περιόδοις τισὶ παροξυνομένοις, καὶ τοῖς ἐφημέροις ὀνομαζομένοις, ἐν ἑκατέρῳ τῷ γένει προσηκόντως ἐμνημονεύσαμεν τούτων. ἕνα μὲν ἐχόντων παροξυσμόν, ὡς ἐφημέρων. ἐπὶ σήψει δὲ γιγνομένων, καὶ ἤδη πολυημέρων πως ὄντων. ὥσθ' ἓν μὲν ἔχουσι κοινὸν πρὸς τοὺς ἐφημέρους. δύο δέ, πρὸς τοὺς ἐπὶ σήψει πολυημέρους. τὸ δ' ἕτερον γένος τῶν συνόχων, δύο μὲν ἔχει κοινὰ πρὸς τοὺς ἐφημέρους. τό, τε χωρὶς σήψεως γίγνεσθαι, καὶ χωρὶς περιόδου. τὸ τρίτον δ' οὐ κοινόν. εἰς γὰρ τὴν πέμπτην ἡμέραν ἐκτείνεται πολλάκις. ἡ μὲν οὖν τῶν δὲ τῶν πυρετῶν θεραπεία, γέγραπται πρόσθεν. ἡ δὲ τῶν ἐπὶ σήψει συνόχων ἑκατέρῳ τῷ γένει κοινωνοῦσα, καὶ ἡμᾶς ἠνάγκασεν ἐν ἀμφοτέροις τοῖς λόγοις ὑπὲρ αὐτῆς διελθεῖν. ἀλλ' ἡ μὲν οὐσία καὶ ἡ σύμπασα φύσις αὐτῶν, ἐκ τοῦ γένους ἐστὶ τοῦ νῦν ἡμῖν προκειμένου. καθ' ἓν δέ τι τῶν συμβεβηκότων αὐτοῖς ἐκοινώνησαν τοῖς ἐφημέροις, ὅπερ ἦν εἷς ὁ σύμπας παροξυσμὸς ὅλης τῆς νόσου. χρὴ τοίνυν καὶ τὰ τῆς ἰάσεως αὐτοῖς καθ' ἓν μὲν τοῦτο μόνον εἰς κοινωνίαν ἥκειν τοῖς ἐφημέροις. κατὰ δὲ τἆλλα σύμπαντα, διχῇ τμηθῆναι. καὶ τοὺς μέν τινας σκοποὺς θεραπευτικούς, ἐκ τοῦ γένους τῶν ἐπὶ σήψει λαβεῖν. τοὺς δέ τινας, ἐκ τῆς οἰκείας αὐτῶν οὐσίας. οὕτω δὲ καὶ τὰς ἄλλας διαφορὰς τῶν ἐπὶ σήψει χυμῶν ἰᾶσθαι προσήκει, καθάπερ ἤδη πολλάκις ἔμπροσθεν εἴρηται, τὴν ἔνδειξιν, ἀπό τε τοῦ κοινοῦ γένους αὐτῶν λαμβάνοντας, καὶ τῆς καθ' ἕκαστον ἰδίας διαφορᾶς. ἀναλαβόντες οὖν αὖ εἴπωμεν, ὁπόσαι μέν εἰσιν αἱ πᾶσαι διαφοραὶ τῶν ἐπὶ σηπεδόνι χυμῶν ἀναπτομένων πυρετῶν. τίς δ' ἡ κοινὴ τοῦ γένους αὐτῶν ἔνδειξις τῶν ἰωμένων βοηθημάτων. εἶθ' ἑξῆς ὁποία τίς ἡ καθ' ἕκαστον ἰδία. χρὴ γὰρ δή που τό, τε κοινὸν αὐτοῖς ἅπασι, κοινὴν καὶ τὴν ἔνδειξιν ἔχειν. τό, τ' ἐν ἑκάστῳ διάφορον εἰς ὅσον ἀποκεχώρηκε τῶν ὁμογενῶν, εἰς τοσοῦτον καὶ τὴν ἔνδειξιν ἀφωρισμένην ἐκείνων ἔχειν. εἰσὶ δὲ τῶν ἐπὶ σήψει χυμῶν αἱ διαφοραὶ αἵδε. μία μὲν ἐκ τοῦ παρεῖναι τὰς αἰτίας αὐτοῖς τῆς σηπεδόνος, ἢ μὴ παρεῖναι. δευτέρα δέ, ἐκ τοῦ καθ' ὅλον τὸ ζῶον ἢ κατὰ μέρος ὑπάρχειν τὴν σηπεδόνα. καὶ τρίτη καθ' ὅσον ἤτοι μετὰ

φλεγμονῆς, ἢ χωρὶς ταύτης εἴη. ἐπισκεπτέον οὖν ἡμῖν ἐστι τί μὲν ἔχει κοινὸν ἡ ἀπὸ τῆς αἰτίας ἔνδειξις ὑπαρχούσης ἔτι, τί δ' ἡ τῆς σηπεδόνος αὐτῆς. κἄπειθ' ἑξῆς τί μὲν ἡ καθ' ὅλον τὸ ζῶον ἢ τά γε κυριώτατα τῶν ἀγγείων αὐτοῦ. τί δὲ ἡ καθ' ἕν τι μόριον. ἔπειθ' ἑξῆς τῶν καθ' ἕν τι μορίων τὰς διαφοράς. ἄλλην μὲν γὰρ εἰκὸς ἔνδειξιν εἶναι τῇ μετὰ φλεγμονῆς, ἑτέραν δὲ τῇ χωρὶς ταύτης. ἐν αὐταῖς δὲ ταύταις πάλιν ἑτέραν μὲν ἔτι παρούσης τῆς ποιούσης αἰτίας. ἑτέραν δ' οἰχομένης αὐτῆς. εἶθ' ἑξῆς τὰς καθ' ἑκάστην αἰτίαν ἔτι παροῦσαν διαφοράς, ἐπὶ πάντων τῶν εἰρημένων κατὰ τὴν τομὴν εἰδῶν. ἐνταῦθα γὰρ ἡμῖν ἀναγκαῖόν ἐστιν εἰς τὰς ἀπὸ τῶν θεραπευομένων διαθέσεων ἐνδείξεις τελευτῆσαι. Μετὰ δὲ ταύτας, δηλονότι τὰς ἀπὸ τῶν θεραπευομένων μορίων ἐνδείξεις ληψόμεθα, κατὰ τὴν προειρημένην μέθοδον. αἷς προστεθέντος τὰς ἀπὸ τῆς δυνάμεως, τελείαν ἕξομεν ἤδη τὴν μέθοδον τῆς ἁπάντων τῶν ἐπὶ σήψει πυρετῶν ἰάσεως. Ἀρξώμεθα οὖν ἀπὸ τοῦ πρώτου σκοποῦ κατὰ τὴν διαίρεσιν ὅπερ ἦν ἡ σηπεδὼν τῶν χυμῶν, καὶ σκεψώμεθα τίσιν ἄν τις προσέχων σκοποῖς καὶ τίσιν ἐνδείξεσι χρώμενος, ἐξεύροι μὲν τὴν θεραπείαν αὐτῆς. ἀρχὴ δ' εἰς τὴν εὕρεσιν ἡ φύσις ἔσται τοῦ πράγματος ὑπὲρ οὗ σκοπούμεθα. καὶ γὰρ καὶ τοῦτο ἐμάθομεν ἐν ταῖς ἀποδεικτικαῖς μεθόδοις. τίς οὖν ἡ φύσις τῆς σηπεδόνος ἐστίν; ἡ μεταβολὴ τῆς ὅλης τοῦ σώματος σηπομένης οὐσίας ἐπὶ φθορὰν ὑπὸ τῆς ἔξωθεν θερμασίας. οὐ γὰρ δὴ ὑπό γε τῆς οἰκείας τι φθείρεται. τοὐναντίον δ' ἅπαν αὐξάνεταί τε, καὶ ῥώννυται, καὶ ὑγιαίνει, καὶ ζῇ καὶ τῶν ὄντων ἕκαστον ὑπὸ τῆς οἰκείας θερμασίας διοικούμενον, ὥσπερ ἀμέλει καὶ αὐτὰ τὰ τῶν ζώων σώματα, καίτοι τὸ πλεῖστον τῆς ἑαυτῶν οὐσίας ὑγρὸν καὶ θερμὸν ἔχοντα. διαρκεῖ πάμπολυν ἐτῶν ἀριθμὸν ἄσηπτά τε καὶ ὑγιῆ καὶ ζῶντα, φυλαττομένης αὐτῶν, ὡς ἐπιδέδεικται, τῆς οἰκείας θερμασίας. ἐν μὲν τῷ τῆς καρδίας σώματι, διὰ τῆς ἀναπνοῆς. ἐν ἅπασι δὲ τοῖς ἄλλοις μέρεσι, διά τε τῆς πρὸς τὴν καρδίαν κοινωνίας, καὶ δι' ἑτέρου τινὸς εἴδους ἀναπνοῆς, ὃ καθ' ὅλον τὸ δέρμα γιγνόμενον, ὠνόμασται διαπνοή. τῇ δὲ τούτων βλάβῃ συγκακοῦται μὲν τὸ κατὰ φύσιν θερμόν. ὀθνεῖον δέ τι καὶ παρὰ φύσιν ἕτερον ἐγγινόμενον τοῖς σώμασι, τοὺς μὲν χυμοὺς πρώτους, δι' ὑγρότητα σήπει τε καὶ διαφθείρει. τῷ χρόνῳ δὲ, καὶ τῆς πιμελῆς ἅπτεται. καὶ τῆς σαρκός. ὥσπερ οὖν ὅσα τῶν μὴ ζώντων σωμάτων σήπεται, πρῶτον μὲν ἀποφράττουσιν αὐτῶν ὅσον ἤδη σέσηπται, εἶθ' ἑξῆς τὸ λοιπὸν αἰωρήσαντες ἐν ἀέρι ψυχρῷ, διαπνοὰς εὐψυχεῖς μηχανῶνται, κατὰ τὸν αὐτὸν τρόπον ἰασόμεθα τὴν ἐν τοῖς ζώοις σηπεδόνα. τὸ μὲν ἤδη διεφθαρμένον, ἐκκενοῦντες ἅπαντι τρόπῳ. τὸ δὲ ὑπόλοιπον, αἰωρήσεσι μετρίαις καὶ διαπνοαῖς εὐψυχέσιν εἰς τὴν ἀκριβῆ συμμετρίαν ἐπαναγαγόντες. ἡ μὲν δὴ κένωσις αὐτῶν, δι' οὔρων τε καὶ διαχωρημάτων ἐμέτων τε καὶ ἱδρώτων ἔσται. μετὰ δὲ ταῦτα, κινήσεις μετρίας ἅμα τῇ τοῦ περιέχοντος εὐκρασίᾳ προσάξομεν. ὅπως δ' αὖθις ἕκαστον τούτων ὀρθῶς μεταχειρίζοιτο, μικρὸν ὕστερον ἐπισκεψόμεθα. νυνὶ δ' ἐπὶ τὸ δεύτερον ἐκ τῆς διαιρέσεως ἤδη μεταβῶμεν, ὡς αὖθις κάλλιστα τῆς ποιούσης αἰτίας τὴν σῆψιν ἔτι μενούσης, ἐξεύροι τὴν ἴασιν. ἔστι δ' οὐδ' ἐνταῦθα χαλεπὸν οὐδὲν ἐξευρεῖν, ὅτι διὰ τῶν ἐναντίων ἀναιρουμένης αὐτῆς. ἐπεὶ τοίνυν ἡ κώλυσις τῆς διαπνοῆς εἰργάζετο τὴν σῆψιν, ἀναιρετέον αὐτήν. ἀλλ' ἐπεὶ πολυειδῶς ἐγίγνετο καὶ πυκνουμένων τῶν πόρων καὶ πιλουμένων τῶν σωμάτων, καὶ διὰ πλῆθος καὶ πάχος καὶ γλισχρότητα τῶν χυμῶν ἐμφραττομένων, ἑκάστην τῶν εἰρημένων διαθέσεων ἰᾶσθαι χρὴ διὰ τῶν ἐναντίων. τὴν μὲν πύκνωσιν, τοῖς ἀραιοῦσι. τὴν δὲ πίλησιν, τοῖς χέουσι. τὸ δὲ πλῆθος, τοῖς κενοῦσι. καὶ τὸ πάχος, τοῖς τέμνουσι. καὶ τὴν γλισχρότητα, τοῖς ῥύπτουσιν. καὶ εἰ μὲν καθ' ὅλον εἴη τὸ σῶμα τῶν εἰρημένων ἕκαστον ὅλῳ τῷ σώματι διὰ τῶν ἐναντίων τιμωροῦντες. καθ' ἓν δέ τι τῶν μορίων ὑπαρχούσης τῆς σηπεδόνος, ἐν ἐκείνῳ τὰ εἰρημένα μηχανώμεθα. οὐ τῶν αὐτῶν δὲ δηλονότι δεήσεται πάντα κενώσεως φαρμάκων, ὡς ἂν καὶ ταῖς κράσεσι καὶ ταῖς θέσεσι καὶ ταῖς διαπλάσεσι καὶ τῇ συμπάσῃ κατασκευῇ καὶ φύσει διαφέροντα ἀλλήλων. Ὅπως οὖν χρὴ βοηθεῖν ἑκάστῳ, μετὰ ταῦτα σκεψώμεθα κατὰ τὴν οἰκείαν τοῦ λόγου τάξιν. ἧς τὴν ἀρχὴν, ἀπὸ τῆς ἐν ὅλῳ τῷ σώματι σηπεδόνος ποιησόμεθα. γνώσῃς καὶ αὐτῆς τοὺς συνόχους ὀνομαζομένους πυρετούς. ἐκκαθαίρειν οὖν χρὴ τὰ σεσηπότα τῶν οὕτω καμνόντων σωμάτων δι' οὔρων τε καὶ γαστρὸς καὶ ἱδρώτων. εἰ δ' αὐτόματόν ποτε τὴν ὁρμὴν ἐπὶ τὸ στόμα τῆς γαστρὸς ποιήσαιτο, καὶ δι' ἐμέτων. ἄλλως δὲ οὐ χρὴ παρὰ φύσιν ἐρεθίζειν αὐτά. ἔστι μὲν οὐκ ὀλίγη τις ὕλη τῶν τὰς εἰρημένας ἐκκρίσεις προτρεπόντων. ἀλλ' αἱ πλείους αὐτῶν θερμαὶ καὶ ξηραὶ ταῖς δυνάμεσιν οὖσαι, τὸν πυρετὸν ἐπαύξονται. ἐκλεκτέον οὖν τὸν ἰατρὸν, ὅσα χωρὶς τοῦ θερμαίνειν καὶ ξηραίνειν ἱκανῶς τὰς εἰρημένας κενώσεις ἐργάζονται, καθάπερ ὅ, τε τῆς πτισάνης χυλὸς, καὶ τὸ μελίκρατον. ὀξύμελί τε καὶ ἀπόμελι, καὶ ἡ τοῦ σελίνου ῥίζα κατὰ τὸ πινόμενον ὕδωρ ἑψομένη. αὐτὰ δὲ ταῦτα, καὶ κατὰ κοιλίαν ἀγαθά. μὴ διαχωρούσης δὲ τῆς κοιλίας, κλύζειν μελικράτῳ μετ' ἐλαίου. τὸ δ' ὅλον σῶμα πρὶν μὲν κενῶσαι, μανοῦν οὐ χρή. κενώσαντα δ' ἐγχωρεῖ μανοῦν φαρμάκῳ χλιαρὰν ἔχοντι τὴν θερμασίαν, ὁποῖόν ἐστι τὸ διὰ τοῦ χαμαιμήλου. ἐν τούτῳ τῷ καιρῷ καὶ οἶνος ὑδατώδης πινόμενος, ἁπάσας κινεῖ τὰς ἐκκρίσεις. καὶ λουτρὸν εὔκρατον ἐκ γλυκέος ὕδατος. εἰ δὲ καὶ μὴ προσκέοιτο ποτὲ κατὰ τὴν λέξιν τὸ γλυκὺ, προσυπακούειν χρὴ, γινώσκοντας ὅτι περὶ τοῦ τοιούτου λουτροῦ διὰ παντὸς ὁ λόγος ἡμῖν ἐπὶ τῶν πυρεττόντων ἐστὶν, οὐκ ἀσφαλτώδους, ἢ θειώδους ἢ στυπτηριώδους, ἢ χαλκανθώδους, ἢ ἁλμώδους, ἢ θαλάττης αὐτῆς. ἀλλ' ὅταν ἀνθίσταται τὸ μέγεθος τοῦ πυρετοῦ, καθάπερ ἐπὶ τῶν συνόχων, οὔτ' οἴνῳ χρηστέον, οὔτε λουτρῷ, οὔτε ἀλείμμασιν ἀραιωτικοῖς. ἀλλὰ τὸ ψυχρὸν ὕδωρ ἐν τούτοις τοῖς πυρετοῖς πινόμενον, ὡς ἔμπροσθεν εἴπομεν, ἐπιτηδειότατον, εἰ μὴ καὶ τοῦτο κωλύει τι τῶν εἰρημένων. αὐτοῦ μὲν γὰρ τοῦ πυρετοῦ διὰ παντὸς ἴαμα τὸ ψυχρὸν ποτὸν, οὐ μὴν τοῦ γ' ἐκκενωθῆναι τὰ σηπόμενα διὰ γαστρὸς οὔρων ἢ ἱδρώτων. διὸ χρὴ γεγυμνασμένον ἐν ταῖς νῦν διδασκομέναις μεθόδοις ἐπὶ τῶν καμνόντων σκοπεῖσθαι, τίνα μέν ἐστιν αὐτοῦ τοῦ πυρετοῦ τὰ ἰάματα, τίνα δὲ τῆς σήψεως αὐτῆς καθ' ἑαυτὴν ἐγκειμένης μόνης. τίνα δὲ τῆς ποιούσης αὐτὴν αἰτίας. καὶ ταύτης αὐτῆς καθ' ἑαυτὴν ἐγκειμένης. οὐ γὰρ ὁμολογεῖ πάντα ἀλλήλοις διὰ παντὸς, ἀλλ' ἐναντιοῦνται πλειστάκις. ἔνθα χρὴ μεμνημένον ὧν ἐμάθομεν ἐπὶ τὸ μέγιστον

ἀπ' αὐτῶν

ἁπάντων ἄρχεσθαι. καὶ τοῦτ' ἤτοι πρῶτον ἢ μᾶλλον τῶν ἄλλων ἰᾶσθαι. χαλεπὸν μὲν οὖν εὖ ἴσθι καὶ γνώμης ὀξείας δεόμενον ἀλλήλοις παραβάλλειν τὸν πυρετὸν καὶ τὴν σηπεδόνα, καὶ τὴν ποιοῦσαν αἰτίαν, ὅταν ἔτι καὶ αὐτὴ παρῇ. χαλεπώτερον δὲ εἰ καὶ τὴν δύναμιν αὐτοῖς παραβάλλοις, ὅπερ ἀναγκαῖον μὲν ἀεὶ, διὰ τὸν τῆς ζωῆς σκοπὸν, ὡς ἔμπροσθεν ἐδείκνυμεν, ἐνίοτε δὲ, καὶ κατὰ τὸ συμβεβηκὸς, ὡς πρὸς τὴν ἴασιν τῶν νοσημάτων ὅπερ ὑπεσχόμεθα δείξειν. εἰ μὲν γὰρ ἱμάτιον εἴη τὸ σηπόμενον ἤ τι τῶν ἀψύχων ἄλλων σωμάτων, ἐκ τῶν εἰρημένων ἂν ὑπῆρχεν ἡμῖν μόνον ἡ ἔνδειξις. ἐπεὶ δ' ἐν ζῶντι σώματι γίνεται σῆψις ἀλλοιοῦν δυναμένῳ, καὶ πέττειν, ἐπανάγειν τε πρὸς τὸ χρηστὸν ὅσα τῶν σηπομένων οἷον ἡμισαπῆ τ' ἐστὶ ἡμιμόχθηρα, τὴν δύναμιν αὐτοῦ ταύτην, ἣ πέττειν πέφυκεν ἐπεγείρων καὶ ῥωννύων ἰάσῃ τὰ σηπόμενα. διὸ καὶ τότε μάλιστα τολμῶμεν ἤτοι λούειν ἐν τοῖς βαλανείοις αὐτοὺς, ἢ τοῖς ἀραιωτικοῖς χρῆσθαι φαρμάκοις. ἢ ὕδωρ ψυχρὸν, ἢ οἶνον διδόναι πίνειν, ὅταν ἴδωμεν τὰ γνωρίσματα τῶν πεττομένων χυμῶν. οὐ γὰρ δὴ τῆς γε σφυγμικῆς δυνάμεως ἐῤῥωμένης μόνης εἰς τὰ τοιαῦτα χρῄζομεν, ὥσπερ οὐδὲ τῆς καθ' ὁρμὴν ἡμᾶς κινούσης, ἀλλ' ὡς εἴρηται τῆς πεπτικῆς μᾶλλον. ἢ μὲν οὖν αἵ τε δυνάμεις ἰσχυραὶ πᾶσαι τυγχάνοιεν οὖσαι καὶ ὁ πυρετὸς διακαέστατος, καὶ τὰ τῆς πέψεως ἐναργῆ σημεῖα, τὸ ψυχρὸν αὐτὸ διδόναι θαῤῥοῦντες. δῆλον γὰρ ὅτι μὴ δὲ πρεσβύτης ἐστὶν ὁ τοιοῦτος ἐξ ὧν προειρήκαμεν ἁπάσας ἰσχυρὰς ὑπάρχειν αὐτῷ τὰς δυνάμεις. εἰ δὲ καὶ εὔσαρκος εἴη, καὶ ἡ κατάστασις θερμὴ καὶ ξηρὰ, κἂν εἰς κολυμβήθραν αὐτὸν ἐμβάλῃς ψυχρὰν, οὐ βλαβήσεται. κατὰ τὸν τοιοῦτον γοῦν καιρὸν, οἱ ῥίψαντες σφᾶς αὐτοὺς εἰς ὕδωρ ψυχρὸν, ἵδρωσάν τε πάντως αὐτίκα, καὶ ἡ γαστὴρ οἷς τισιν αὐτῶν κατέῤῥηξε χολώδη. μετρίου δ' ὑπάρχοντος τοῦ πυρετοῦ καὶ τῶν δυνάμεων οὐσῶν οὐχ ἰσχυρῶν ἅμα τοῖς τῆς πέψεως σημείοις, ὠφελεῖ τοὺς τοιούτους, τά τε βαλανεῖα, καὶ ἡ τοῦ οἴνου πόσις. ὅσα τε τῶν ἀλειμμάτων ἐστὶ μανωτικά. καὶ πολὺ μᾶλλον ὅταν ἢ τὸ περιέχον ψυχρόν. οὐδὲ γὰρ ἐπιθυμοῦσιν ὡς τὸ πολλὰ ψυχρῶν λουτρῶν ἢ πόσεων ἐν ταῖς τοιαύταις καταστάσεσιν ἀναψυχόμενοι διὰ παντὸς ταῖς εἰσπνοαῖς. ὡς εἴγε συμβαίη ποτὲ ψυχροῦ τοῦ περιέχοντος ἀέρος ὄντος, ἰσχυρῶς καυσοῦσθαι τὸν κάμνοντα, βραχείας ἐπ' αὐτοῦ σωτηρίας ἐλπίδας ἔχειν. εἰ δὲ μὴ δὲ τὰ τῆς πέψεως εἴη σημεῖα, μὴ δὲ τὰς δυνάμεις ἰσχυρὰς ἔχειν φαίνοιτο, σωθῆναι τοῦτον ἀδύνατον. ὥστε οὔτε λούσαις αὐτὸν οὔτ' ἀλείψαις τοῖς μανωτικοῖς φαρμάκοις. οὔτ' οἶνον δώσεις, οὔτε ψυχρόν. ἐφ' οὗ γὰρ ἀνέλπιστος ἡ σωτηρία, μάταιον ἂν εἴη διαβάλλειν τοῖς ἰδιώταις τὰ πολλοὺς σώζοντα βοηθήματα. ἐγὼ γοῦν οἶδα τινὰς ἰατροὺς ἀμεθόδους μιμησαμένους τὰ ὑφ' ἡμῶν πραττόμενα, καὶ τοῖς αὐτοῖς χρησαμένους βοηθήμασιν ἐπὶ τῶν πάντως τεθνηξομένων. ἀλλ' οὔτ' ἀνύσαντάς τι, καὶ τὴν εὔκαιρον αὐτῶν χρῆσιν ὕποπτόν τε καὶ φοβερὰν ἐργασαμένους. ἀλλ' ἡμεῖς γε καιροὺς δηλονότι καὶ βοηθήματα γράφομεν ἐπὶ τῶν σωθῆναι δυναμένων. ὡς ὅσοι γε ἀνίατοι τῶν νοσούντων εἰσὶν, οὔτε καιρὸς ἐπιτήδειος, οὔτε βοήθημα τούτοις ἐστί. καὶ χρὴ μεμνῆσθαι τοῦ δε παρ' ὅλον τὸν λόγον ὑπὲρ τοῦ μὴ δόξαι ποτὲ τὸν κυριώτατον καὶ πρῶτον σκοπὸν ἁπάντων διαβάλλεσθαι. λέγοντος γοῦν Ἱπποκράτους τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, τί κωλύει πᾶσιν ἑξῆς τοῖς πυρέττουσιν ὕδωρ ψυχρὸν διδόναι; ἀλλ' οὔτε δοτέον, οὔτ' ἀνατρέπεται κατ' ἐκεῖνον τὸν χρόνον ὁ καθόλου σκοπὸς ἁπάσης τῆς θεραπείας. ἓν μὲν γάρ τι τῶν ψυχόντων ἐνεργείᾳ τὸ ψυχρὸν ὕδωρ ἐστὶ, πλείω δ' ἄλλα. τὰ μὲν κατὰ δύναμιν, ὡς εἴρηται, ψύχει. τὰ δὲ κατὰ συμβεβηκός. ὧν ἄλλοτ' ἄλλῳ χρώμεθα διὰ τὴν ἐπιπλοκὴν τῶν ἐναντιουμένων ἀλλήλοις σκοπῶν. εἴρηται δ' ἡ μέθοδος τῆς τοῦ συμφέροντος ἑκάστοτε πρὸ τῶν ἄλλων αἱρέσεων. ἐδείχθη δὲ καὶ ὡς ὅσον μὲν ἐπ' αὐτῷ τῷ πυρετῷ, τὸ ψυχρὸν ὕδωρ ἀεὶ βοήθημά ἐστιν. ὅσον δ' ἐπὶ τοῖς ἄλλοις, οὐκ ἀεί. καθάπερ οὐδ' ὅταν ἔμφραξις γλίσχρων καὶ παχέων χυμῶν ἐργάσηται τὴν σηπεδόνα τῶν χυμῶν. ὑποκείσθω δὲ σὺν αὐτοῖς εἶναι καὶ πλῆθος ἐν ὅλῳ τῷ σώματι, καὶ ἡ δύναμις οὐκ ἀσθενής. ἐν γὰρ ταῖς τοιαύταις ἐπιπλοκαῖς, πολλῶν ἐν τῷ σώματι παρὰ φύσιν ὑπαρχόντων, ἔνια μὲν αἴτια προηγούμενα γενήσεται, καθάπερ τὸ πλῆθος ἅμα τοῖς γλίσχροις καὶ παχέσι χυμοῖς. ὑπὸ τούτων γὰρ ἡ ἔμφραξις ἀπειργάσθη νόσημα οὖσα τῶν ἐμφραττομένων σωμάτων ὀργανικόν. ἐπὶ ταύτῃ δὲ σύμπτωμα ἐγένετο τῆς διαπνοῆς ἡ ἐπίσχεσις. ἐφ' ᾗ πάλιν ἡ σηπεδὼν τῶν χυμῶν, αἴτιόν τι προηγούμενον τοῦ πυρετοῦ. τοῖς οὖν ἐπιχειροῦσιν ἰᾶσθαι τὸν πυρετὸν, ἀναγκαῖον ἐστὶ παύειν τὴν σῆψιν, ὥστε δύο γενέσθαι σκοπούς. τὸν μὲν ἀπὸ τοῦ πυρετοῦ. τὸν δὲ, ἀπὸ τῆς σήψεως. ἵνα τὸ μὲν γεγονὸς ἤδη τοῦ πυρετοῦ, θεραπεύηται. τὸ δὲ γιγνόμενον, κωλύηται. ἄλλοι δ' αὖ πάλιν ἔσονται δύο σκοποί. τὸ μὲν γεγονὸς ἤδη τῆς σήψεως, ἰώμενοι. τὸ δὲ γινόμενον, κωλύοντες. ἦν δὲ τὸ γιγνόμενον, ἐκ τῆς ἀδιαπνευστίας. εὐδηλον γὰρ χεῖρον οὕτως αὐτὴν ὀνομάσαι σαφοῦς ἕνεκα διδασκαλίας. ὥστε καὶ περὶ ταύτης, ἕτεραι δύο ἐνδείξεις ἔσονται. τὸ μὲν ἐπεσχημένον, ἐκκενούντων. τὸ δ' ἐπέχεσθαι μέλλον, κωλυόντων. κωλυθήσεται δὲ διὰ τῶν τὴν ἔμφραξιν ἰωμένων. ἧς πάλιν καὶ αὐτῆς, τὸ μὲν ἤδη γεγονὸς, ἰατέον ἐστί. τὸ δὲ ἐσόμενον, κωλυτέον. ἰαθήσεται μὲν οὖν τὸ γεγονὸς, ὑπὸ τῶν ἐκφραττόντων. κωλυθήσεται δὲ, τὴν ἐπιῤῥοὴν τῶν ἐμφραττόντων χυμῶν ἀνειργόντων. ὅπερ οὖν ἔσχατον εὑρέθη κατὰ τὴν ἀναλυτικὴν μέθοδον, ἐν τῇ θεραπείᾳ πρῶτον ἁπάντων χρὴ πραχθῆναι. δέδεικται γὰρ ἐν τοῖς ἔμπροσθεν λόγοις, ὡς ἐὰν ἐθελήσωμεν τοῖς ἐκφρακτικοῖς βοηθήμασι χρῆσθαι ἄνευ τοῦ προκενῶσαι τὸ πλῆθος, οὐ μόνον οὐδὲν ἀνύσομεν, ἀλλὰ μείζονα τὴν διάθεσιν ἐργασόμεθα, μαχομένων ἀλλήλαις τῶν ἐνδείξεων. ἀλλ' ἐὰν κενώσαντες πρότερον, ἐπὶ τὸ θεραπεύειν ἴωμεν τὴν ἔμφραξιν, ἐκφραττόντων, ἡμῖν δεήσει φαρμάκων. ἀλλ' ἐπεὶ τούτων ἐστὶ τὰ πλεῖστα θερμὰ, κίνδυνος αὐξῆσαι καὶ τὴν σηπεδόνα καὶ τὸν πυρετόν. ὅσα τοίνυν ἄνευ τοῦ θερμαίνειν ἐκφράττειν δύναται, τούτοις χρησόμεθα. μετὰ δὲ τὸ διαῤῥύψαι καὶ τεμεῖν τὰ ἐμφράττοντα, κενοῦν αὐτοὺς πειρασόμεθα, διά τε γαστρὸς καὶ οὔρων καὶ ἱδρώτων. οὐσῶν δὲ καὶ τῶν ταῦτα ἐργαζομένων ὑλῶν θερμῶν, ἀναγκαῖον μὲν ἐν τούτῳ τήν τε σῆψιν αὐξάνειν. καὶ τοὺς πυρετούς. ὥστε καθ' ὅσον ἐνδέχεται πειρατέον ἐκλέγεσθαι τὰς ἧττον θερμαινούσας ὕλας. ἢ εἴ τις εὑρίσκοιτο μὴ θερμαίνουσα, καθάπερ ἐν τῷ καιρῷ τῷ δὲ τὸ βαλανεῖον, ἐπ' αὐτὴν ἔρχεσθαι. πειρᾶσθαι δ' ἐν τούτῳ τῷ χρόνῳ

καὶ τὴν δύναμιν ῥωννύειν, ὅπως πέττῃ τοὺς χυμοὺς, ἐκνικῶσα τὴν σῆψιν. αὐτοῦ δὲ τοῦ πυρετοῦ τὸ γεγονὸς ἤδη, ψυκτέον. ἔσχατος γάρ ἐν τῇ τῶν βοηθημάτων τάξει σκοπὸς, ὁ ἀπὸ τοῦ δε. καίτοι καθ' ἕτερον τρόπον ὑπάρχων πρῶτος. ἀπ' αὐτοῦ γοῦν ἤρξατο καὶ ἡ τῶν βοηθημάτων εὑρετικὴ μέθοδος. εἰ μὲν οὖν μηδὲν ἰσχυρὸν ἐν τῷ μεταξὺ σύμπτωμα προσγιγνόμενον, ἐάσει οὕτω προελθεῖν ἀπὸ τῆς ἀρχῆς τοῦ νοσήματος ἄχρι τῆς τελευτῆς τὰ βοηθήματα, ταχίστη λύσις ἐπακολουθήσει τοῦ πυρετοῦ. παρεμπεσόντος δὲ τοιούτου τινὸς ὡς ἐφ' ἑαυτοῦ, τὴν ὅλην ἐπιστρέψαι θεραπείαν, ἀναγκαῖόν ἐστι βραδῦναι τὸ τέλος τῆς ἰάσεως. τὸ γὰρ παρεμπῖπτον ἐστὶ τοὐπίπαν, ἤτοι γ' ἐναντίον ἐστὶ τοῖς λύουσι βοηθήμασι τὸν προειρημένον στοῖχον τῶν τ' αἰτίων καὶ διαθέσεων, καὶ συμπτωμάτων, ἢ πάντως γ' οὐδὲν ὀνίνησιν. εἰ μὲν οὖν ἡ τοῦ παρεμπίπτοντος ἴασις ἐναντία ἦ τῇ προειρημένῃ τάξει τῶν βοηθημάτων, ἐν ἐκείνῳ τῷ χρόνῳ πάντα χείρω γίνεσθαι. εἰ δὲ μήτ' ὠφελοῖ τι πάντη, μήτε βλάπτοι τὴν ἐξ ἀρχῆς διάθεσιν, ἡ τοῦ μεταξὺ γινομένου παθήματος ἐπανόρθωσις, εἰς τὸ τάχος τῆς ὅλης θεραπείας ἐμποδισθησόμεθα. βλαπτούσης δ' ἀναγκαῖον ἤτοι γ' εἰς ἔτι πλείονα χρόνον ἐκταθῆναι τὴν σύμπασαν ἴασιν, ἢ κίνδυνον ἀκολουθῆσαι τινὰ, ἢ συναμφότερον γίνεσθαι. φέρε γὰρ ἐν τῷ μεταξὺ κακωθέντος στομάχου, συγκοπὴν ἐμπεσεῖν, ἣν ἀναγκαζομένων ἰᾶσθαι, τροφὰς ἀκαίρους δοθῆναι χρὴ σὺν οἴνῳ ψυχρῷ. τῇ γὰρ τούτων χρήσει, τὰς ἐμφράξεις καὶ τὴν στέγνωσιν καὶ τὴν σῆψιν ἀναγκαῖον αὐξηθῆναι. καὶ διὰ τὴν τούτων αὔξησιν, καὶ αὐτὸν τὸν πυρετόν. ἀλλ' ὅταν ἥ τε δύναμις ἐξαρκεῖ καὶ μηδὲν, ὡς εἴρηται, παρεμπέσῃ, καθάπερ ἄρτι μὲν ἐρρήθη συγκοπὴ κακωθέντος στομάχου, γένοιτο δ' ἄν ποτε καὶ αἱμορραγία, καὶ ἀγρυπνία, καὶ ἄλγημα, καί τι τῶν ἁμαρτανομένων ὑπὸ τοῦ κάμνοντος, ἢ τινὸς τῶν ἀμφ' αὐτὸν, ἡ εἰρημένη μικρὸν ἔμπροσθεν ἅπασα τῶν βοηθημάτων τάξις, ἰάσεται τὸν ἄνθρωπον. οὔτ' αὐτὴ καθ' ἕκαστον βοήθημα, τὰ παρὰ φύσιν ἐκθεραπεύουσα πάντα. τὸ γοῦν μελίκρατον, ὅσον μὲν ἐπὶ τὸ τέμνειν τοὺς παχεῖς χυμοὺς καὶ ῥύπτειν τοὺς γλίσχρους, καὶ τὰς ἐκκρίσεις προτρέπειν, ἄριστον ἂν εἴη βοήθημα, κατὰ τοὺς ἐπὶ στεγνώσει καὶ σήψει συνόχους. ὅσον δ' ἐπὶ τὸ τὴν θερμὴν αὐξάνειν τοῦ πυρετοῦ, βλαβερόν. ὅθεν εἴπερ ἄμετρος ἤδη εἴη, φείδεσθαι μὲν χρὴ τοῦ μελικράτου. χρῆσθαι δὲ τῷ χυλῷ τῆς πτισάνης. εἰ δὲ τὰς ἐμφράξεις δυσλύτους εἶναι λογιζόμεθα, καὶ ὀξυμέλιτι. καὶ τούτῳ δ' αὖ πάλιν αὐτῷ χρησαμένων ἀμέτρως, ἐντερόν τε ξύει, καὶ βῆχα κινεῖ, καὶ τὰ νευρώδη βλάπτει. ὥστ' εἶναι τῶν δυσχερεστάτων εὑρεῖν τι βοήθημα τοιοῦτον, ὃ μηδὲν βλάπτον, ὀνίνησι μεγάλως. καὶ τοῦθ' ὡς ἐδείχθη γίνεται διὰ τὴν ἐπιπλοκὴν τῶν παρὰ φύσιν ἐν τῷ σώματι συνισταμένων διαθέσεων ἅμα τοῖς προηγουμένοις αὐτῶν αἰτίοις, καὶ τοῖς ἑπομένοις συμπτώμασιν. οὐ μὴν διά γε τοῦτο ποτὲ μὲν ἀληθὲς γίνεται τὸ, τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα, ποτὲ δὲ ψεῦδος. ἀλλὰ διὰ παντὸς μένει ἀληθές. οὐδὲ γὰρ οἷόν τε τὰ παρὰ φύσιν ἰαθῆναι δι' ἄλλης τινὸς ἰαμάτων ἰδέας. οὐ μὴν ἀεί γε βέλτιον ἰᾶσθαι πάντα τὰ παρὰ φύσιν. ἀλλ' ὅταν μόνα τύχῃ καθ' ἑαυτὰ συνιστάντα, μετ' ἄλλων δ' εἰ γένοιτο, πολλάκις ἕτερα χρὴ πρὸ ἐκείνων ἰᾶσθαι, καθάπερ ἐπὶ τῶν κοίλων ἑλκῶν, ὅταν ἅμα φλεγμονῇ συστῇ. μένει γὰρ καὶ νῦν ἀληθὲς τὸ ὑπὸ τῶν σαρκούντων αὐτὰ θεραπεύεσθαι. χρῆσθαι δὲ οὐχ οἷόν τε τούτοις, πρὶν ἰάσασθαι τὴν φλεγμονήν. ἀλλ' ὁπότ' ἄν γε ταύτην ἰώμεθα, τὸ ἕλκος τὸ κοῖλον οὐχ ὅπως ἑαυτοῦ κρεῖττον, ἀλλὰ καὶ κοιλότερον γίγνεται. κἂν εἰ βουληθείης δὲ χρήσασθαι τοῖς σαρκωτικοῖς φαρμάκοις, οὔτε σαρκώσεις αὐτὸ, καὶ τὴν φλεγμονὴν αὐξήσεις. τὰ γάρ τοι σαρκωτικὰ τῶν ἀφλεγμάντων σωμάτων, οὐ τῶν ἔτι φλεγμαινόντων ἐστὶ σαρκωτικά. τοῦτο οὖν τὸ οὕτω μικρὸν ἐν τῇ λέξει, τὸ, τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα, μέγιστον εὑρίσκεται τῇ δυνάμει. συγχεῖται γὰρ ἡ θεραπευτικὴ μέθοδος ἅπασα τῷ παριδόντι τοῦτον τὸν σκοπὸν, ἁπάντων τῶν παρὰ φύσιν ὑπὸ τῶν ἑαυτοῖς ἐναντίων θεραπευομένων. διττῆς δὲ οὔσης αὐτῶν τῆς πρώτης διαφορᾶς, τὰ μὲν γὰρ ὑπάρχει καθ' ἑαυτά. τὰ δ' ἐν τῷ γίνεσθαι τὸ εἶναι λαμβάνει ταῖς διαθέσεσιν ἑπόμενα, δίκην σκιῶν. ἡ μὲν ἴασις, ἀναίρεσις ἐστὶ τῶν διαθέσεων. ἀκολουθεῖ δ' αὐτῇ ἡ τῶν συμπτωμάτων ἀναίρεσις. οἷς οὐδὲν αὐτοῖς προσάγεται πρώτως, ἀλλὰ κἀπὶ τούτων γε μένει τὸ καθόλου, τὸ, τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα. τὰς γοῦν διαθέσεις αἷς ἕπεται τὰ συμπτώματα θεραπεύοντες, εἰς ἐναντίαν κατάστασιν ἄγομεν. ὥσθ' ὅσα συμπτώματα διὰ πύκνωσιν ἐγένετο πόρων, ὑπὸ τῆς ἀραιώσεως ἀναιρεθήσεται. εἰ δὲ δὴ καὶ αὐτῷ τῷ συμπτώματι τῷ διὰ τὴν πύκνωσιν τῶν πόρων γιγνομένῳ, τουτέστι ταῖς ἐλάττοσι τῶν συμμέτρων ἀπορροαῖς, ὅπερ ἐκαλέσαμεν ὀλίγον ἔμπροσθεν ἀδιαπνευστίαν, ἕτερον ἐθέλοις φάναι συμπτώματος εἶδος ἀντιτάττεσθαι ἐναντίον, οὐδ' οὕτως ἄπορος ὁ λόγος. εἰσὶ γὰρ αἱ πλείους τῶν συμμέτρων ἀπόρροιαι, ταῖς ἐλάττοσιν ἐναντίαι. ὥστε κἂν ἐν τοῖς συμπτώμασιν αὐτοῖς ἐθέλῃ τις λέγειν τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, φυλάττεσθαι κἀπὶ τούτων τὸν πρῶτον ἁπάντων τῶν περὶ φάσιν σκοπὸν τῆς ἰάσεως. ἄμεινον δ' ὡς ἐλέγετο τῶν ὄντως τε καὶ πρώτως θεραπευομένων ὑπολαμβάνειν τὰ ἐναντία εἶναι βοηθήματα. τουτέστι τῶν ἐν τῷ σώματι διαθέσεων, αἵπερ ὄντως εἰσὶν ὄντα. τὰς γοῦν ἐνεργείας αὐτῶν ὥσπερ οὖν καὶ τὰς βλάβας, γινόμενα μὲν εἶναι φατέον. ὄντα δὲ ἁπλῶς οὐ ῥητέον. οὔτε γὰρ τὸ ἐκτείνειν, οὔτε τὸ κάμπτειν τὴν χεῖρα τῶν ὄντων ἁπλῶς ἐστιν εἰπεῖν, ἀλλὰ τῶν γιγνομένων. οὔτε πολὺ μᾶλλον τὴν ἀκινησίαν αὐτῆς. ὅπερ καὶ αὐτὸ σύμπτωμα ἐστὶ τῆς ἐν τοῖς μυσὶν ἢ τοῖς νεύροις διαθέσεως. ἀλλὰ τὴν μὲν διάθεσιν, ἔν τι τῶν ὄντων ὑπάρχουσαν, ἐναντίων δεῖσθαι βοηθημάτων. ἕπεσθαι δ' αὐτῇ λυομένῃ τὴν ἐναντίαν κατάστασιν, ἥπερ ἐστὶν ἡ ὑγεία. καὶ ταύτῃ πάλιν, ἐνέργειάν τινα φύσεως, ἐναντίαν τῷ παυσαμένῳ συμπτώματι. μὴ μέντοι μηδ' ὑπὸ τῶν ὀνομάτων ἐξαπατᾶσθαι. πολλάκις μὲν ἐν ἑτέρῳ σχήματι λεγομένων, ἢ ὡς τοῖς ἐναντίοις προσήκει. πολλάκις δ' ὅλως οὐκ ὄντων ὀνομάτων, ἀλλ' ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως εὑρίσκειν τὸ ἐναντίον. ἔχοντά γε δὴ καὶ τοῦτο σκοπὸν ὡμολογημένον, ὡς ἐστὶν ἐναντία τὰ πλεῖστον ἀλλήλων διεστῶτα καθ' ἕν τι γένος. ἐννοήσας οὖν τὸ σύμμετρον ἐν ἐκείνῳ τῷ γένει, τοῦτο δ' ὡς πολλάκις ἐδείχθη μέσον τῶν ἄκρων ἐστὶν, εὑρήσεις ἄπειρόν τι πλῆθος ἐναντίων πραγμάτων ἐν τῷ μᾶλλον τε καὶ ἧττον ἀλλήλων διαφερόντων. ἐν μὲν γοῦν ταῖς διαθέσεσιν, εἰ οὕτως ἔτυχε,

τὴν

τὴν συμμετρίαν τῶν πόρων, ἧς ἐφ' ἑκάτερα διττὰς ἀμετρίας ἀλλήλαις ἐναντίας. ἐν δὲ ταῖς ἐνεργείαις, τὴν συμμετρίαν τῶν κενουμένων· ἧς καὶ αὐτῆς ἐστιν ἑκατέρωθεν ἀμετρία. ἀλλὰ κατὰ μὲν τοὺς πόρους, ὀνόματα κεῖνται ταῖς ἀμετρίαις, πύκνωσίς τε καὶ μάνωσις. ἐν δὲ τοῖς κενουμένοις, οὐ κεῖνται. διόπερ ἀναγκαζόμεθα λέγειν, ἐλάττους τε καὶ πλείους ἀποῤῥοίας. ὥσπερ εἰ καὶ τῶν πόρων ἀναγκαζοίμεθα, τοὺς μὲν ἐλάττους τῶν κατὰ φύσιν, τοὺς δὲ, μείζους λέγειν. οὐκ ἐχόντων, οὔτε τὸ τῆς πυκνώσεως, οὔτε τὸ τῆς μανώσεως ὄνομα. τοῦτο οὖν ὡς ἔφην ἐν τοῖς μάλιστα φυλακτέον ἡμῖν ἐστιν. ἅμα δὲ καὶ γυμναστέον ἀμφ' αὐτὸ πρὸς τὸ ταχέως εὑρίσκειν δύνασθαι παντὸς τοῦ λεχθέντος οὕτω, τὸ, ἐναντίον. οὐ γὰρ ἐν τοῖς ποιοῖς σώμασιν μόνον, ἀλλὰ κἂν τοῖς ποσοῖς ἐστιν εὑρεῖν τὴν τοιαύτην ἐναντίωσιν, ἣν οἱ περὶ τὸν Ἀριστοτέλη καλοῦσιν ἀντίθεσιν οὐκ ἐναντίωσιν. οὔτε γὰρ τὸ μέγα τῷ μικρῷ φασιν ὑπάρχειν ἐναντίον, ἀλλ' ἀντικείμενον ἐν τῷ πρός τι, οὔτε τὸ πολὺ τῷ ὀλίγῳ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδ' ἀραιὸν τῷ πυκνῷ, οὐδὲ τῷ συντεταμένῳ τὸ κεχαλασμένον, οὐδὲ τῷ κατὰ φύσιν αὖ τὸ παρὰ φύσιν. ἀλλὰ κατά γε τὸν Ἱπποκράτην, πάντα τὰ τοιαῦτα τὴν τῶν ἐναντίων ἔχει προσηγορίαν. ὥσπερ γε καὶ κατὰ Πλάτωνα, τὰς γενέσεις ἐκ τῶν ἐναντίων εἶναι φάσκοντα. δέδεικται δέ μοι καὶ δι' ἑτέρων, ὅτι καὶ Ἀριστοτέλης αὐτὸς οὐκ ἐφύλαξε τὴν ἑαυτοῦ νομοθεσίαν ἐν τοῖς ὀνόμασιν, ἡνίκα τὰς ἀρχὰς τῶν ὑπὸ φύσεως διοικουμένων, ὕλην ἔθετο, καὶ εἶδος, καὶ στέρησιν. ἀλλ' ὅπερ ἀεὶ λέγομεν ἑπόμενοι τῷ θείῳ Πλάτωνι, καταφρονεῖν μὲν χρὴ τῶν ὀνομάτων, μὴ καταφρονεῖν δὲ τῆς τῶν πραγμάτων ἐπιστήμης. αὕτη μὲν γὰρ εἰς σωτηρίαν ἀνθρώπων διαφέρει. καὶ τὸ σφάλμα αὐτῆς, εἰς ὄλεθρον τελευτᾷ. τοῖς δ' ὀνόμασιν, ἄντε κυρίως, ἄντε ἀκύρως χρησώμεθα, τοῖς κάμνουσιν οὐδὲν οὔτε πλέον οὔθ' ἧττον ἐκ τοῦ τοιούτου. μάθοις δ' ἂν ἐναργέστερον, εἰ μὴ τὰ ἐναντία τῶν ἐναντίων, ἀλλὰ τὰ ἀντικείμενα λέγοις, ἅπερ ἐκείνοις φίλον, ἀλλήλων ὑπάρχειν ἰάματα. τὸ μὲν γὰρ πλῆθος, ἡ κένωσις ἰᾶται. τὴν δ' ἔνδειαν, αἱ τροφαί. καὶ ὅλως τὸ μὲν ὑπερβάλλον, ἡ ἀφαίρεσις. τὸ δ' ἐλλεῖπον, ἡ πρόσθεσις. ὅθεν οἶμαι καὶ δι' ἑτέρου λέλεκται γράμματος ὀρθῶς τῷ παλαιῷ. ἰατρικὴ γάρ ἐστι πρόσθεσις καὶ ἀφαίρεσις. πρόσθεσις μὲν τῶν ἐλλειπόντων. ἀφαίρεσις δὲ, τῶν πλεοναζόντων. ἐλλείπει δὲ καὶ πλεονάζει. τὰ μὲν κατὰ τὸ ποσὸν δηλονότι. τὰ δὲ, κατὰ τὸ ποιόν. κατὰ μὲν τὸ ποσὸν, ὅταν αἷμα πλέον ἢ τοῦ δέοντος, ἢ πάλιν ἔλαττον γίνηται. κατὰ δὲ τὸ ποιὸν, ὅταν ἤτοι θερμὸν ἢ ψυχρὸν ἢ παχύτερον ἢ λεπτότερον, εἴτ' οὖν ἐναντίωσιν, εἴτ' ἀντίθεσιν ὀνομάζειν ἐθέλοις τοῦ ἐξ ἁπάντων τῶν παρὰ φύσιν σκοποῦ τῆς ἰάσεως, ἀεὶ μέμνησο καὶ πρόσεχε τὸν νοῦν αὐτῷ μάλιστα μὲν ὡς εἴρηται πρόσθεν, ἐν ταῖς διαθέσεσιν, ἤδη δὲ κἂν τοῖς συμπτώμασιν. ὧν οὔτε πρώτως ἐστὶν ἴασις, οὔτ' ἐναντίωσις κυρίως. ἀλλ' ἡ μὲν ἴασις ἅμα ταῖς διαθέσεσι, κατὰ συμβεβηκός. ἐναντίον δὲ καταχρηστικῶς ὀνομαζόντων ἕνεκα σαφοῦς τε ἅμα καὶ συντόμου διδασκαλίας. ἀνέλθωμεν οὖν αὖθις ἐπὶ τοὺς θεραπευτικοὺς σκοποὺς τοῦ προκειμένου γένους τῶν πυρετῶν. ἀναμνήσω μέν τε τὰ γένη τῶν παρὰ φύσιν ἐν ἡμῖν, τῶν τε αἰτίων, καὶ τῶν νοσημάτων, καὶ τῶν συμπτωμάτων. αἰτίων μὲν τοῦ πλήθους καὶ τοῦ πάχους καὶ τῆς γλισχρότητος τῶν χυμῶν. αἰτίου δ' ἅμα καὶ συμπτώματος, τῆς κατὰ τὴν διαπνοὴν ἐπισχέσεως. ὥσπερ αὖ πάλιν αἰτίου τε ἅμα καὶ διαθέσεως τῆς σήψεως. νοσήματος δὲ, τῆς ἐμφράξεως καὶ τοῦ πυρετοῦ. συμπτώματος δὲ, τῆς ἐπισχέσεως τῆς διαπνοῆς. ἐνδείξεται τοιγαροῦν, ὡς ἐλέχθη, τῶν μὲν προηγουμένων αἰτίων ἕκαστον ἴδιόν τι. τὸ μὲν πλῆθος ἐν τῷ πρός τι κατὰ τὴν τοῦ ποσοῦ προσηγορίαν τὴν κένωσιν. ἡ δὲ γλισχρότης καὶ τὸ πάχος κατὰ τὴν τοῦ ποιοῦ διάθεσιν ὑπάρχοντα, τὴν διὰ τῶν ἐναντίων ἴασιν. ἅτε δὲ οὐκ ὄντων ἐν ταῖς πλείσταις ἀντιθέσεσι συνήθων ὀνομάτων, ἀπατᾶσθαι συμβαίνει τοὺς ἀγυμνάστους τὴν περὶ τῶν πραγμάτων ἐπιστήμην, ὅταν ὀνομάσαι μιᾷ προσηγορίᾳ μὴ δυνηθῶσι τὸ νοούμενον, ὡς οὐδ' ὅλως ὄντος ἀφιστάμενοι. ὅπερ ἀμέλει καὶ κατὰ τοὺς γλίσχρους καὶ παχεῖς χυμοὺς πεπόνθασιν. ὁ μὲν γὰρ παχὺς χυμὸς, ἀντικείμενον ἔχει τὸν λεπτόν. ὁ δὲ γλίσχρος, ὡς μὲν ἐγὼ πρόσθεν ὠνόμασα, τὸν ῥυπτικόν. ὡς δ' ἄν τις ἴσως ἀπὸ στερεῶν σωμάτων ὁρμώμενος φαίη, τὸν κραῦρον. οὕτω γὰρ φαίνεται καὶ ὁ Ἀριστοτέλης ἀεὶ ποιούμενος τὴν ἀντίθεσιν. ἀλλ' οὐκ ἐπὶ τῶν χυμῶν, ὡς ἔφην, ἀλλ' ἐπ' αὐτῶν τῶν στερεῶν σωμάτων. εἰ δὲ νοήσαις τοῦ γλίσχρου χυμοῦ τὴν φύσιν, ὡς παντὸς τοῦ ψαύσαντος ἀντέχεται δυσλύτως, εἰκότως οἶμαι τὸν μὴ συμπλεκόμενον ἀποῤῥύπτοντά τε τοὺς συμπλεκομένους, ἐναντίον εἶναι φήσεις αὐτῷ. κατὰ γοῦν τὰ προηγούμενα τῶν αἰτίων, αἱ ἀντιθέσεις αὐτάρκως εἴρηνται. κατὰ δὲ τὴν ὀργανικὴν νόσον ἥπερ ἐστὶν ἔμφραξις, τὸ ἐναντίον ταύτῃ ἡ ἔκφραξις ὑπάρχει. κατὰ δὲ τὸ σύμπτωμα τὸ τῆς ἐποχῆς τῶν διαπνεομένων, ἡ ἔκκρισις αὐτῶν ἐστι τὸ ἐναντίον. κατὰ δὲ τὴν σηπεδόνα τῶν χυμῶν, εἴτε ἔκκρισις, καὶ ἡ ἀνάψυξις, καὶ ἡ ῥίπισις, καὶ ἡ τῶν ἡμισαπῶν πέψις. αὐτῶν δὲ τῶν πυρετῶν ἡ ἀντίθεσις, ψύξις ἐστίν. ἐξ ὧν δ' ἄν τις μεθόδῳ εὕροι τὴν ἐργαζομένην ἕκαστον τῶν εἰρημένων ὕλην, ἤδη εἴρηται. μαχομένων οὖν αὐτῶν, ὥσπερ ἐλέγομεν, ἄλλοτ' ἄλλη κρατεῖ τῶν ἐνδείξεών τε καὶ ὑλῶν. καὶ κατὰ τοῦτο τινὲς ἀγνοήσαντες ὡς ἀφ' ἑκάστου τῶν ὄντων ἔνδειξίς ἐστιν ἀεὶ μία, καὶ ὡς εἰ μὲν εἴη τῶν παρὰ φύσιν τι τὸ ἐνδεικνύμενον, ἡ ἔνδειξις αὐτοῦ τὸ ἐναντίον ἐστὶν, εἰ δὲ τῶν κατὰ φύσιν, οὐ τὸ ἐναντίον, ἀλλὰ τὸ ὅμοιον, οὐκ ἠδυνήθησαν οὔτε θεραπευτικὴν οὔτε ὑγιεινὴν συστήσασθαι μέθοδον. ὅπου γὰρ ἐν τοῖς πρώτοις ἐσφάλησαν σκοποῖς, πολὺ δή που μᾶλλον ἔμελλον ἐν τοῖς μετ' αὐτοὺς σφαλήσεσθαι. χρὴ γὰρ οἶμαι τὰ θεμέλια τοῖς οἰκοδομήμασιν, ἰσχυρὰ προκαταβεβλῆσθαι. καὶ τὴν τρόπιν τοῖς σκάφεσιν, εἰ μέλλει τι τῶν ἐπ' αὐτοῖς οἰκοδομουμένων τε καὶ πηγνυμένων ἀσφαλὲς γενήσεσθαι. ὅπου δ' ἂν ἐξ ἀρχῆς εὐθὺς ἡ πρώτη κρηπὶς σαθρὰ συμπαγῇ, τίς μηχανὴ τῶν ἐπ' αὐτῇ τι γενήσεσθαι μὴ σαθρόν; ἐπεὶ τοίνυν τῶν κατὰ τὴν προκειμένην στέγνωσιν συνόχων, οὐ γὰρ ὀκνητέον αὖθις καὶ αὖθις ἀναλαμβάνειν τὸν λόγον, ὑπὲρ τοῦ μαθεῖν τοὺς πολλοὺς τῶν ἰατρῶν, κἂν νῦν γοῦν τὴν ἀληθῆ μέθοδον, ἑπτὰ μὲν ὑπέκειτο τὰ παρὰ φύσιν ἀφ' ὧν αἱ ἐνδείξεις, πλῆθος χυμῶν, καὶ πάχος, καὶ γλισχρότης. ἔμφραξίς τε καὶ τῶν ἀναπνεομένων ἐπίσχεσις, καὶ σῆψις, καὶ πυρετὸς οὐκ ἔχων διάλειμμα. καὶ ταῦτ' ἐνδείκνυται πάντως τὸ ἐναντίον. ἔξωθεν δ' αὐτῶν ἔνδειξις ἀπὸ τῶν κατὰ φύσιν, ἐκ τῆς κράσεώς τοῦ τε

νοσοῦντος μορίου, καὶ τῶν ἄλλων ἁπάντων τῶν κυρίων, ἐκ τοῦ ποσοῦ τῆς οὐσίας αὐτῶν, καὶ ἐκ τοῦ ποσοῦ τε καὶ ποιοῦ τῆς τοῦ πνεύματος οὐσίας. αἱ δ' ἀπὸ τούτων ἐνδείξεις, οὐ τῶν ἐναντίων εἰσίν, ἀλλὰ τῶν οἰκείων. εἰς δὲ τὴν διάγνωσιν αὐτῶν, ὡς ἐλέγομεν, ἥ τε ἡλικία, καὶ τὸ ἔθος, ἅπαντά τε τὰ προκατάρξαντα τῆς νόσου συντελεῖ. προερχομένων δὲ κἀντεῦθεν ἐνδείξεων οὐκ ὀλίγων, εἰς ἁπάσας χρὴ βλέπειν ἅμα τὸν ἰατρόν, ἵν' ἐξεύρῃ τίνι μὲν πρῶτον τε καὶ μᾶλλον, τίνι δ' ἧττόν τε καὶ δεύτερον, τίνι αὖθις τε καὶ τρίτον, καὶ οὕτως ἐφεξῆς ἄλλῳ μετ' ἄλλο χρήσεται βοηθήματι. τῶν μὲν γὰρ δυνάμεων ἰσχυρῶν ὑπαρχουσῶν, τοῦ τὸν ἐπὶ σηπεδόνι πυρετὸν πυρέττοντος, ὡς ὑπόκειται, φλεβοτομητέον αὐτίκα χωρὶς ἀπεψίας τῆς κατὰ γαστέρα τοῦ νοσήματος ὑπαρξαμένου. τῆς δυνάμεως δὲ ἀσθενεστέρας οὔσης ἢ τῆς ἡλικίας κωλυούσης, οὐ χρὴ τέμνειν φλέβα. λέλεκται δ' ἔμπροσθεν ὡς οὐδὲ συνεισβάλλει τῷ τοιούτῳ πυρετῷ δύναμις ἄρρωστος. εὐεκτικῶν τε γάρ ἐστι σωμάτων καὶ ἡλικίας θερμῆς, ὁ συνόχος πυρετὸς οἰκεῖος. ἀλλ' ἐὰν ἐν παιδίῳ γένηται μήπω τεσσαρεσκαιδέκατον ἔτος ἄγοντι, φλεβοτομεῖν οὐ προσήκει. διότι τοῖς τηλικούτοις γε θερμοῖς καὶ ὑγροῖς οὖσι, καθ' ἑκάστην ἡμέραν ἀπορρεῖ καὶ διαφορεῖται πάμπολυ τῆς τοῦ σώματος οὐσίας. ὥσθ' ὅπερ ἂν ἐκ τῆς φλεβοτομίας ἐμηχανησάμεθα, τοῦτ' αὐτόματον ἐκ τῆς τοῦ θεραπευομένου σώματος ὑπάρχει φύσεως. εἰ δ' ὑπὲρ τεσσαρεσκαιδέκατον ἔτος εἴη τὸ σῶμα, σκεπτέον αὖ τοῦ τὴν φύσιν ὁποία τίς ἐστιν. ἆρ' ἰσχνὴ καὶ πυκνὴ καὶ σκληρὰ καὶ πολύαιμος, ἢ τἀναντία. καὶ οὕτως ἐπὶ μὲν τῇ προτέρᾳ, παραλήψῃ τὴν φλεβοτομίαν. ἐπὶ δὲ τῆς δευτέρας, οὐκέτι. καὶ μὴν δὴ καὶ τὸ μέτρον σοι τῆς κενώσεως ἐκ τῶν αὐτῶν σκοπῶν λαμβανέσθω. καὶ γὰρ εἰ τριακονταετὴς μὲν ὁ φλεβοτομούμενος εἴη, πλαδαρός τε καὶ μαλακὸς καὶ πιμελώδης καὶ λευκὸς καὶ μικρὰς ἔχων τὰς φλέβας, ἤτοι γ' οὐδ' ὅλως φλεβοτομήσεις αὐτόν, ἢ ὀλίγον ἀφαιρήσεις. οὐδ' ὅλως μὲν ἐν ὥρᾳ θερινῇ, καὶ πνιγώδει χωρίῳ θερμῆς καὶ ξηρᾶς οὔσης τῆς καταστάσεως. ὀλίγον δ' ἐν ταῖς ἄλλαις ὥραις καὶ χώραις καὶ καταστάσεσιν. εἰ μὲν γὰρ μήτ' ἔμφραξις ὑπέκειτο, μήτε σηπεδών, ἀλλὰ μόνον ἦν τὸ πλῆθος τῶν χυμῶν, εὐθὺς ἂν ἐπὶ τῇ φλεβοτομίᾳ κατὰ φύσιν ἔχειν. ὥστε ἀφαιρεῖν ἦν προσῆκον ἐν ἁπάσῃ κράσει σώματος, καὶ πάσῃ χώρᾳ καὶ ὥρᾳ καὶ καταστάσει τοσοῦτον τῶν χυμῶν, ὅσον ὑπὲρ τὸ κατὰ φύσιν ηὔξηται. ἐπεὶ δ' οὔτε τὴν ἔμφραξιν οὔτε τὴν σηπεδόνα δυνατόν ἐστι θεραπεῦσαι διὰ τῆς φλεβοτομίας, ἑτέρων δεομένας βοηθημάτων, ὡς ἔμπροσθεν ἐδείκνυμεν, ἀποθέσθαι χρή τι τοῦ αἵματος εἰς τὸν τῆς θεραπείας χρόνον. ὅπως μήποτ' ἀνάγκη καταλάβῃ τις ἡμᾶς ἀκαίρως τρέφειν. ὅσον μὲν γὰρ ἐπὶ τοιούτῳ πυρετῷ, θρεπτέον οὐδ' ὅλως ἐστίν. ἐδείχθη γάρ σοι καὶ πρόσθεν ὁ ἀπὸ τῆς δυνάμεως σκοπὸς μόνος, ἐνδεικνύμενος τὴν τροφήν. ὅθεν δ' ἐπὶ τῷ κενοῦσθαι τὸ σῶμα, δεήσει τρέφειν. ὥστ' ἀναγκαῖον ἔσται δυοῖν θάτερον, ἢ τρέφοντα τὸν πυρετὸν αὐξάνειν, ἢ μὴ τρέφοντα καταλύειν τὴν δύναμιν. ἄμεινον οὖν ὡς εἴρηται καταλιπεῖν τι τοῦ αἵματος, οἰκείαν τροφὴν τοῖς τοῦ ζώου μορίοις. αὐτὸν δ' ἀρκεσθῆναι προσφοραῖς ὀλιγίσταις ῥοφημάτων καὶ ποτῶν, ὧν ὡς φαρμάκων μᾶλλον ἢ τροφῶν χρήζομεν. ἐδείχθη γάρ σοι καὶ περὶ τοῦδε πρόσθεν. ὅθεν οὐ χρὴ μηκύνειν ἔτι περὶ αὐτῶν. ἀλλὰ καὶ περὶ καταπλασμάτων τε καὶ περὶ τῆς τῶν ὑποχονδρίων αἰονήσεως λεκτέον. ὁ μὲν γὰρ πολὺς ὅμιλος τῶν ἰατρῶν, ἕν τι καὶ τοῦτο τῶν ἐκ τοῦ νόμου τῆς ἀμεθόδου θεραπείας ἔθος. καὶ πάντας ὥσπερ τρέφουσι μετὰ τὴν διάτριτον, οὕτω καὶ προκαταντλοῦσιν ἐλαίῳ. κἄπειτα μίαν ὑπερβαλόντες, αὖθις τρέφουσι προκαταπλάττοντες. εἰ δέ που γαστὴρ ἐπισχεθείη, καὶ κλύζοντες. ὥστε τό γε κατὰ τούτους, ὥρᾳ μιᾷ δύνασθαι μαθεῖν τινα τέχνην διαιτητικήν. οὐ μὴν ὧδ' ἔχει τἀληθές. ἀλλ' ὅλης οὔσης μεγάλης τῆς τέχνης, ἕν τι τῶν μερῶν αὐτῆς, οὐ τὸ φαυλότατόν ἐστιν ἐπιστήμη διαίτης. ἥτις ἐκ τούτων μάλιστα συμπληροῦται τῶν βοηθημάτων, τροφῶν καὶ πομάτων ἐπιβροχῶν τε καὶ καταπλασμάτων καὶ κλυστήρων. ἡ γάρ τοι φλεβοτομία κατὰ τὴν ἀρχὴν καὶ αὐτὴ μόνη πρὸς τῶν αὐτῶν ἰατρῶν παραληφθεῖσα, τὴν ἐφεξῆς ἅπασαν ἴασιν τοῦ νοσοῦντος ἐπιτρέπει τῇ διαίτῃ. μιᾶς οὖν ὥρας ὡς ἔφην ἐστὶν ἡ μάθησις τῆς διαίτης αὐτῶν. εἰ δ' ὁ μανθάνων εἴη συνετός, οὐδὲ ταύτης ὅλης, ἀλλ' ὀλιγοστοῦ μέρους αὐτῆς, ἐν ᾧ τούτων τῶν νῦν λεχθησομένων ἀκοῦσαι δυνατόν ἐστιν. ἅπαντας τοὺς πυρέττοντας ἐν ἀρχῇ μὲν φλεβοτομήσεις ἐὰν ἰσχυροὶ τὴν δύναμιν ὦσι. καταντλήσας δ' ἐλαίῳ μετὰ τὴν διάτριτον, ἤτοι μελικράτῳ μετὰ χόνδρου θρέψεις, ἢ ῥοφήματι. κἄπειθ' ἑξῆς τρέφε παρὰ μίαν, ἀρτομέλιτι προκαταπλάττων. εἰ δ' ἐπισχεθείη ποτὲ ἡ γαστήρ, ὑπάγειν αὐτὴν κλυστῆρι. τὴν μὲν οὖν ἐκείνων διαιτητικὴν τέχνην, ἤδη σύμπασαν ἀκήκοας ἐν τοῖσδε τοῖς ῥήμασιν. οὐκ ἐν ἓξ μησίν, ἀλλ' ἐν ἓξ στίχοις. τὴν δ' ὄντως διαιτητικήν, ἑξῆς ἄκουσον. θερμαίνειν ὑποχόνδρια καταπλάσμασιν ἢ αἰονήσεσιν οὐ διὰ παντὸς ἀσφαλές, ἀλλ' ἐπ' ἐκείνων μόνων τῶν ἀρρώστων ἐφ' ὧν οὐκέτ' ἀλλᾶται περιττὸν ἐν ὅλῳ τῷ σώματι. τοῖς δ' ἄλλοις ἅπασι, κακὸν ἔσχατον. ἐάν τε γὰρ ἡ πλῆθος ὁποτερονοῦν, εἴτε τὸ πρὸς τὴν δύναμιν, εἴτε πρὸς τὴν εὐρυχωρίαν τῶν ἀγγείων, ἐάν τε περιττώματα μοχθηρὰ κατά τι μόριον ἓν ἢ καὶ πλείω, ταῦθ' ἕλκεται πάντα πρὸς τὸ θερμαινόμενον. ἐθεάσω οὖν οὐκ ὀλιγάκις ἀφλέγμαντα τελέως ὑποχόνδρια, κατὰ τέσσαρας ἡμέρας ἀρχομένων αἰονᾶν αὐτὰ τῶν ἀγελαίων ἰατρῶν φλεγμήναντα, αὐτὸ τοῦτό σοι δείξαντος ἐμοῦ καὶ κελεύσαντος ἀκριβῶς προσέχειν τὸν νοῦν τῇ μελλούσῃ γενήσεσθαι φλεγμονῇ. ἐφ' ὧν καὶ μάλιστα ἔγνως πηλίκον ἐστὶ κακὸν ἄλογος τριβή. διὰ παντὸς γὰρ αὐτοὶ γεννῶντες τὰς φλεγμονὰς ἐξ ὧν πράττουσιν, οὐ γινώσκουσιν. ἀλλ' ἀεὶ τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτουσιν ὥσπερ Ἱπποκράτης ἔλεγε, τοὺς ἔνθεν τε καὶ ἔνθεν ἐπιδοῦντας τὰ μεθ' ἕλκους κατάγματα. καὶ γὰρ κἀκεῖνοι φλεγμονὰς ἐργαζόμενοι κατὰ τὸ ἕλκος, ὅμως οὐκ ἐπαύοντο, νομίζοντες οὐ τὴν ἐπίδεσιν αἰτίαν ὑπάρχειν, ἀλλ' ἄλλην τινὰ ἀτυχίαν. πῶς δ' ἂν καὶ μετέβησαν ἐφ' ἕτερον ἰάσεως τρόπον, οἱ τὴν ἄλογον πρεσβεύοντες τριβὴν ἀφ' ὧν αὐτοί τε διὰ παντὸς εἰθίσθησαν οὕτω πράττειν, τούς τε διδασκάλους ἐθεάσαντο πρὸ αὐτῶν. οὐδὲν γὰρ οὐδ' ἐπιχειρεῖν ἀξιοῦσιν οἱ τοιοῦτοι δι' ἐνδείξεως λαμβάνειν, ἀρκούμενοι μόνῃ τῇ πείρᾳ. ἀλλ' Ἱπποκράτης ἀπὸ τῆς τοῦ πράγματος ὁρμηθεὶς φύσεως, ἐξεῦρε τρόπον ἰάσεως ἐπιτήδειον. οὐ λοιπὸν εἰς πεῖραν ἐλθόντος, ἐγνώσθη πόσον ὁ πρότερος ἐσφάλλετο. καὶ τοίνυν εἴ τις ἐθελήσειεν ἐπὶ τῶν τοιούτων διαθέσεων, ἀποστὰς καταπλασμάτων τε καὶ τῆς δι' ἐλαίου καταντλήσεως, ἐπὶ

τὴν

τὴν ἐκ τοῦ λόγου διδασκομένην ἀφικέσθαι θεραπείαν, οὐ χαλεπῶς ἂν οὐδ᾽ αὐτὸς τῇ πείρᾳ κρίνειε πηλίκον ἁμαρτάνουσιν οἱ οὕτω θεραπεύοντες τά τε πληθωρικὰ, καὶ τὰ μὴ καθαρὰ σώματα. συμβαίνει δὲ ἐν τοῖς τοιούτοις νοσήμασι τοὺς πλουσίους μᾶλλον τῶν πενήτων κακῶς θεραπεύεσθαι. ἀμφότερα γὰρ ἐπ᾽ αὐτῶν ἁμαρτάνεται διὰ τὴν τρυφὴν οὐκ ὀλιγάκις, ἥ τε τῆς φλεβοτομίας ἔνδεια, καὶ ἡ περιττοτέρα δι᾽ ἣν ἐπιμέλεια τῶν ἰατρῶν, ὡς καθ᾽ ἑκάστην τι προσθεῖν ἡμέραν ἐπὶ τῷ τοῦ κάμνοντος σώματι. κατ᾽ ἀρχὰς μὲν οὖν ὑπὸ τρυφῆς οὐκ ἀνέχονται τῆς φλεβοτομίας οἱ πλείους αὐτῶν. καίτοι μᾶλλον τῶν πενήτων ἁλισκόμενοι ταῖς πληθωρικαῖς διαθέσεσιν, ὡς ἂν καὶ μᾶλλον ἐμπιπλάμενοι, καὶ βιοῦντες ἀργότερον. οἱ θεραπεύοντες δ᾽ αὐτοὺς ἰατροὶ, διότι παραλέλειπται μέγιστον βοήθημα, τῇ διὰ τῶν ἄλλων χρήσει, νομίζουσιν ἀναπληρώσειν ὅπερ ἐνδεῖ. καὶ μέντοι καὶ οἱ κάμνοντες οἰόμενοι τὴν μετ᾽ ἡσυχίας δίαιταν ἀμέλειαν εἶναι, τὸ δὲ ὁπωσοῦν πράττειν ἐπιμέλειαν, ἐπαναγκάζουσιν αὐτοὺς ἑκάστης ἡμέρας προσφέρειν τι τοῖς ὑποχονδρίοις. βουλομένοις δὲ δήπου καὶ τοῖς ἰατροῖς ἐπὶ τούτῳ, πρὸς τὸ δοκεῖν ἐνεργεῖν τι διαπαντός. ἐντεῦθεν γὰρ ἐλπίζουσι καὶ τὸν μισθὸν πλείω λήψεσθαι. συμβαίνει τοιγαροῦν ἐν ἐκείνῳ τῷ χρόνῳ τὰς φλεγμονὰς ἄρχεσθαι τοῖς πλουσίοις, ἐν ᾧ πλησίον ἤδη τῆς λύσεως ἐστὶν ἐπὶ τῶν πενήτων τὸ νόσημα. φλεβοτομηθέντες γὰρ ἐν ἀρχῇ κατὰ τοὺς προκειμένους ἐν τῷ λόγῳ πυρετοὺς, οὐ μόνον οἱ πένητες, ἀλλὰ καὶ οἱ δοῦλοι τῶν πλουσίων, οἱ πλεῖστοι μὲν ἐν τῇ πέμπτῃ τῶν ἡμερῶν ἐκρίθησαν. ἔνιοι δὲ εἰς τὴν ἑβδόμην ἀφίκοντο. πορρωτέρω δ᾽ οὐδείς. ἀλλ᾽ οἵ γε πλούσιοι τὸ μὲν πλῆθος καὶ τὰ περιττώματα πλείω τῶν πενήτων καὶ δούλων ἔχοντες, παραλιπόντες δὲ τὸ τῆς φλεβοτομίας βοήθημα, κἄπειτα καθ᾽ ἑκάστην ἡμέραν αἰωνούμενοί τε δι᾽ ἐλαίου θερμοῦ καὶ καταπλαττόμενοι τοῖς χαλαστικοῖς καταπλάσμασι, φλεγμονήν τινα συνισταμένην ἴσχουσιν, ἤτοι περὶ τὸ ἧπαρ, ἢ τὴν κοιλίαν, ἤ τι τῶν ἄλλων τῶν τῇδε σπλάγχνων. ἔνιοι μὲν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν. ἔνιοι δ᾽ ἐν τῇ πέμπτῃ. πάντως δ᾽ οὖν ἐν τῇ ἕκτῃ. οἶδα δὲ δή που καὶ τινα ἐν αὐτῷ τῷ καταντλεῖσθαι δυσπνοήσαντα, τοῦ περιττοῦ παντὸς ἐπὶ τὰς φρένας ἑλχθέντος ὑπὸ τῆς θερμασίας. οὗτός τε οὖν ἀπέθανε, καὶ ἄλλοι μυρίοι καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκουσιν. ὥσπερ σικύας τοῦ καταπλάσματος ἕλκοντος ἐπὶ τὰ σπλάγχνα τὰ καθ᾽ ὅλον τὸ σῶμα περιττά. τινὲς δὲ ἀμέλει καὶ αὐτῇ τῇ σικύᾳ κατ᾽ αὐτῶν ἐχρήσαντο. τοῦθ᾽ ἓν μόνον ἐννοοῦντες κἀκεῖνοι, τὸ φαίνεσθαί τι πράττοντες ἀεὶ περὶ τὸν κάμνοντα. κάλλιστον μὲν οὖν, ὡς εἴρηται, φλέβα τέμνειν οὐ μόνον ἐν τοῖς συνόχοις πυρετοῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ἐπὶ σήψει χυμοῖς, ὅταν γε ἤτοι τὰ τῆς ἡλικίας, ἢ τὰ τῆς δυνάμεως μὴ κωλύει. κουφισθεῖσα γὰρ ἡ διοικοῦσα τὰ σώματα ἡμῶν φύσις, ἀποθεμένη τε τὸ βαροῦν αὐτὴν οἷόν περ τι φορτίον, ἐπικρατήσει τοῦ λοιποῦ ῥᾳδίως, ὥστε καὶ πέψει τὸ πεφθῆναι δυνάμενον, ἐκκρίνει τε τὸ δυνάμενον ἐκκριθῆναι, ἀναμνησθεῖσα τῶν οἰκείων ἐνεργειῶν. ἡ γὰρ τῶν μέσων τοῦ σώματος ὡς οὗτοι καλοῦσι πρόνοια, μέγιστον μὲν κακὸν ἐπὶ τῶν μὴ φλεβοτομηθέντων τ᾽ ἐστίν. οὐ μέγιστον δὲ ἐπὶ τῶν φλεβοτομηθέντων. ἀλλ᾽ ὅμως κἀπὶ τούτων τι βλάπτειν πέφυκεν ἐν τοῖς συνόχοις πυρετοῖς. διακαιόμενα γὰρ ὑπὸ τοῦ πλήθους τῆς θέρμης τὰ σπλάγχνα προσέτι διακαίεται καὶ ἐξοπτᾶται. μόνοι τοιγαροῦν ἐκεῖνοι δέονται προνοίας τοιαύτης, οἷς ἡ σῆψις ἐν ἑνὶ συνέστη μορίῳ, προφλεβοτομηθέντες δηλονότι καὶ οὗτοι. ποιησόμεθα δ᾽ αὐτῶν τὴν πρόνοιαν, οὐχ ὁμοίως τοῖς ἐκ τῆς τριόδου τούτοις ἰατροῖς εὐθέως ἐξ ἀρχῆς χαλῶντες, ἀλλὰ πᾶν τοὐναντίον ἐπὶ τῶν πλείστων ἐργαζόμενοι. τὰ μὲν γὰρ χαλαστικὰ τῶν βοηθημάτων, ὥσπερ γε διαφορεῖ τὸ περιεχόμενον ἐν τοῖς μέλεσιν, οὕτως ἐπισπᾶται πλέον αὐτ᾽ αὐτοῦ κατ᾽ ἀρχὰς προσαγόμενα. φερομένων γὰρ ἔτι τῶν ῥευμάτων ἐπὶ τὸ πεπονθὸς ἀποκρούεσθαι βέλτιόν ἐστι καὶ ἀναστέλλειν, οὐχ ἕλκειν ἐπ᾽ αὐτά. τὰ δ᾽ ἀποκρουστικὰ καλούμενα, μετέχοντα δηλονότι τῆς στυπτικῆς δυνάμεως, ἐπιτήδεια πρὸς τὰς ἀρχάς ἐστιν. ἅμα μὲν ἐντιθέντα τόνον τοῖς πάσχουσι μορίοις, ὡς μὴ ῥᾳδίως ὑποδέχοιντο τὰ ἐπιρρέοντα τῶν περιττωμάτων. ἅμα δὲ καὶ τῶν ἐν αὐτοῖς ἤδη περιεχομένων ἀντεκθλίβοντα τὸ λεπτότατον. εἰ δ᾽ ἥ τε φορὰ παύσαιτο διὰ τῶν τοιούτων βοηθημάτων, ἥ τ᾽ ἐκ τῆς στύψεως ἐγγινομένη πύκνωσις τοῖς πεπονθόσι κατέχοι τὰ παχύτερα, καιρὸς ἤδη χαλᾶν ὑπὲρ τοῦ κενῶσαι τὰ περιεχόμενα. μάλιστα δ᾽ ὅταν εἰς ἧπαρ ἢ γαστέρα κατασκήπτῃ τὰ περιττὰ, τοῖς στύφουσι χρῆσθαι. κύριά τε γὰρ ἱκανῶς τὰ μόρια, καὶ πάντως ἐργάζεσθαι τὸ σφέτερον ἔργον ἀναγκαῖα κἂν ταῖς νόσοις. ἔστι δὲ οὐ σμικρὸν αὐτῶν τὸ ἔργον, οἷόν περ ἑκάστου τῶν ἄλλων, ἃ μόνον ἐκεῖνο κατεργάζεσθαι πέφυκεν ὑφ᾽ οὗ θρέψεται. ἀλλ᾽ οὕτως εἰς μέγα τῷ ζώῳ διαφέρειν, ὡς εἰ μήτε κατὰ γαστέρα πεφθείη καλῶς ἡ τροφὴ, μήτ᾽ αἱματωθείη κατὰ τὸ ἧπαρ, οἷόν περ ἐν λιμῷ πάσχουσι μὲν ἀπορίᾳ βρωμάτων ἀσιτεῖν ἀναγκαζόμενοι, τοιοῦτόν τι καὶ νῦν συμβήσεται πᾶσι τοῖς τοῦ ζώου μορίοις. οὐ γὰρ ἐκ τῶν καταποθέντων, ἀλλ᾽ ἐκ τῶν κατεργασθέντων ἐν τοῖς εἰρημένοις σπλάγχνοις, ἡ χορηγία τῆς τροφῆς ἐστὶν ὅλῳ τῷ σώματι. διὰ ταῦτα μὲν δὴ περιττότερον ἢ τὰ ἄλλα μόρια γαστήρ τε καὶ ἧπαρ τῶν στυφόντων χρῄζουσιν. ἀμέλει κἀπειδὰν καιρὸς ᾖ διαφορεῖν τὰ στηριχθέντα, καὶ τότε δεῖται στύφεσθαι τὰ μέτρια. τὸ γὰρ ἐξ ἐπιμέτρου περὶ τὰ ἄλλα μόρια κατ᾽ ἀρχὰς αὐτοῖς προστιθέμενον τῆς στύψεως, ἀεὶ φυλάττεσθαι χρὴ, μενούσης γε τῆς ἐνδειξαμένης αὐτὸ χρείας. ἡ χρεία δ᾽ ἐστὶν, ὡς ὀλίγον ἔμπροσθεν εἴπομεν, ἡ κατεργασία τῆς τροφῆς. ἐὰν οὖν ἀτονήσαντα μὴ πέψῃ καλῶς, οὐ μόνον οὐδὲν ὄφελος ἔσται τῶν καταποθέντων σιτίων, ἀλλ᾽ ἐπὶ ταῖς διαφθοραῖς αὐτῶν πολλάκις ἐρεθισθείσης τῆς γαστρὸς, συναπέρχεταί τι καὶ προϋπαρχόντων, ὥστε διχόθεν ἤδη τὴν βλάβην γίνεσθαι τῷ παντὶ σώματι, μήθ᾽ ὑπὸ τῶν σιτίων τραφέντι καὶ τῆς οἰκείας παρασκευῆς τι προσαπολοῦντι. καὶ χωρὶς δὲ τῶν εἰρημένων, αἱ πέψεις τῶν σιτίων ἄν τε καθ᾽ ἧπαρ ἀτυχήσωσιν, ἄν τε κατὰ γαστέρα, τοὺς πυρετοὺς αὐξάνουσι. καὶ δριμυτέρους ἐργάζονται τῇ κακοχυμίᾳ. διὰ τοῦτο τοίνυν πολλὴν χρὴ πεποιῆσθαι πρόνοιαν ἐν ἅπασι πυρετοῖς, πέψεως σιτίων. καὶ διὰ ταύτην τοῦ τόνου τῶν πεπτικῶν ὀργάνων οὐ σμικρὰ φροντιστέον. ἔνιοι δ᾽ ὥς φησιν Ἱπποκράτης, οὐ σμικρὰ κερδαίνουσιν ὅτι ἀγνοοῦσιν. οἴονται γοῦν ἥπατος φλεγμονὴν a ἰᾶσθαι χαλαστικοῖς βοηθήμασιν, ἐξ ὧν ἐν τῇ διαγνώσει σφάλλονται, δόξαν ἑαυτοῖς πορίζομενοι. φαίνεται γὰρ

ἐνίοτε τοῦ καθήκοντος εἰς ὑποχόνδρια μυὸς ἐκ τῶν πλευρῶν τοῦ θώρακος ἡ περιγραφή, παραπλησία τῷ ἥπατι. θαυμαστὸν δ᾽ οὐδὲν οἶμαι τοὺς μήτ᾽ ἄλλο μηδὲν ἐν τῇ τέχνῃ καλῶς ἐκμαθόντας, μήτ᾽ ἀσκηθέντας ἐν διαγνώσεσι πεπονθότων μορίων, τὰ τοιαῦτα κορδαίνειν. ἐκείνους μὲν οὖν ἐατέον. ἡμεῖς δὲ κἂν ἐλαχίστην ποθ᾽ ὑπόνοιαν σχῶμεν ἥπατος ἢ γαστρὸς κακοπραγούντων, εὐθέως ἀψίνθιον ἐλαίῳ προσαφεψήσαντες, αἰονῶμεν τὰ μόρια. δῆλον δὲ ἅπαντος ἀψινθίου ποιότητα καὶ δύναμιν ἔχοντος, ὡς κἀν τοῖς περὶ φαρμάκων εἴρηται. καὶ τὸ μὲν τὸ ποντικόν, ἡ στύφουσα ποιότης ἐστὶν οὐκ ὀλίγη. τοῖς δ᾽ ἄλλοις ἅπασιν, ἡ μὲν πικρὰ ποιότης, ὑπάρχει σφοδροτάτη. στύψεως δ᾽ ἤτοι παντάπασιν ἀμυδρᾶς καὶ οὐδ᾽ ὅλως δ᾽ ἂν αἰσθανόμεθα αὐτῶν. ταῦτά τοι τὸ ποντικὸν ἀψίνθιον αἱρεῖσθαι βέλτιόν ἐστιν εἰς τὰς ἥπατος καὶ γαστρὸς φλεγμονάς. ἔστι δ᾽ αὐτοῦ καὶ τὸ φύλλον καὶ τὸ ἄνθος πολὺ σμικρότερον, ἢ τῶν ἄλλων ἀψινθίων. καὶ ἡ ὀσμὴ τούτῳ μὲν οὐχ ὅπως ἀηδής, ἀλλά τι καὶ τῶν ἀρωμάτων ἐμφαίνουσα. τοῖς δ᾽ ἄλλοις δυσώδης ἅπασι. φεύγειν μὲν οὖν ἐκεῖνα προσήκει. χρῆσθαι δ᾽ ἀεὶ τῷ ποντικῷ. καὶ τῶν ἄλλων δέ τι φαρμάκων ἐμβαλεῖν εἰς τοὔλαιον, οἷς ἐπιμέμικται τῇ πικρᾷ ποιότητι δύναμις στυπτική, κατὰ τὸν αὐτὸν τρόπον χρήσῃ. δέδεικται γὰρ ἐν τοῖς περὶ φαρμάκων, ἡ πικρὰ ποιότης προσηκοῦσα τὴν στύφουσαν. διὸ καὶ κρεῖττόν ἐστι τὸ τοιοῦτον φάρμακον ἅπαν τοῦ στύφοντος μόνον. εἰ μὲν οὖν ἰσχυροτέραν ἐθέλῃς ἐργάσασθαι τὴν στῦψιν, ἔστω σοι καὶ τὸ ἔλαιον στῦφον. ὁποῖόν ἐστι τό, τε Ἱσπανὸν ὀνομαζόμενον, ὅσα τἄλλα σκευάζουσι μετὰ θαλλῶν ἐλαίας. ἢ οἷόν περ ἐστὶ τὸ καλούμενον ὀμφάκινον. εἰ δ᾽ ἀσθενεστέρᾳ βούλοιο χρήσασθαι τῇ στύψει, τῶν ἄλλων ἐλαίων τι παρασκεύαζε, καὶ μάλιστα τῶν λεπτομερῶν, οἷόν περ ἐστὶ τὸ Σαβῖνον. ἄριστον δὲ ἐν οἷς στύψεως ἰσχυροτέρας ἐστὶ χρεία τὸ Ἰστρικὸν ἔλαιον, ὡς ἂν ἑκατέρας ἔχον ἐν ἑαυτῷ τὰς ποιότητας, στύφουσαν καὶ πικράν. ἀρκοῦντι δ᾽ ἀψινθίου, μήλινον, ἢ μαστίχινον, ἢ σχίνινον ἀρκέσει τὴν πρώτην. εἰ δὲ μικρὸς ὁ πυρετὸς εἴη, καὶ τὸ διὰ τῆς νάρδου μύρον. ἔστω δὲ καὶ τοῦτ᾽ ἄριστον. οὐ σμικρὰ γὰρ ἡ διαφορὰ τοῦ τοιούτου πρὸς τὸ φαῦλον. ὃ γοῦν ἐν Νεαπόλει τῆς Ἰταλίας σκευάζουσιν, ὄνομα μόνον ἐστὶ μύρου ναρδίνου, παραβαλλόμενον τῷ κατὰ τὴν Ἀσίαν. ἔμπροσθεν μὲν ἐν Λαοδικείᾳ μόνῃ σκευαζόμενον. νυνὶ δὲ ἐν πολλαῖς ἤδη πόλεσιν. εἰ δ᾽ ἡ παρακμὴ τοῦ πυρετοῦ, καθ᾽ ἣν δηλονότι πράττεις τὰ τοιαῦτα, μὴ πάνυ τι πραεῖα γίγνοιτο, φυλάττεσθαι μὲν τὴν νάρδον. ἄμεινον δὲ χρῆσθαι τηνικαῦτα τῷ μηλίνῳ. μὴ παρόντος δὲ τούτου, τῷ σχινίνῳ. καὶ μετ᾽ αὐτό, τῷ μαστιχίνῳ. πάντων γὰρ τούτων τὸ νάρδινον μύρον μᾶλλον θερμαίνει. διὸ τῶν μικτέον αὐτῷ τῶν ἄλλων ἀρκοῦντι, ῥοδίνου. ἡ δὲ τοῦ μυρσίνου στῦψις, οὐκ ἐπιτήδειος. ἔστι γὰρ τοῦτο παχυμερέστερον ἢ ὥστε διὰ βάθους ἰέναι. τὰ μὲν οὖν τοιαῦτα, παραδείγματος ἕνεκα λέλεκται. πολὺ γὰρ αὐτῶν ἐκλέξῃ πλῆθος ἐκ τῶν περὶ φαρμάκων ὑπομνημάτων. ὡσαύτως δὲ καὶ τὸ κατάπλασμα σύνθετον ἐχέτω τὴν δύναμιν ἔκ τε τῆς χαλαστικῆς λεπτομεροῦς καὶ πικρᾶς καὶ στυφούσης. ἐπικρατείτω δ᾽ ἐν αὐταῖς εἰ μὲν ἀκρεῖσθαί τε καὶ τόνον ἐντιθέναι βουλοίμεθα, τὸ στῦφον. εἰ δὲ τέμνειν καὶ διαῤῥύπτειν, τὸ πικρόν. εἰ δὲ διαφορεῖν, τὰ λεπτομερῆ τῶν χαλώντων. τὰ γὰρ παχυμερῆ, τοῖς ἐκπυΐσκουσιν ἐδείχθη χρηστά. διωρισμένων δ᾽ ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασι, τῶν τε μόνην ἐχόντων ἤτοι τὴν στύφουσαν ἢ τὴν πικρὰν ποιότητα, τῶν τε συναμφοτέρας, ἄριστον μὲν οὖν ἀεὶ αἱρεῖσθαι τὰ συναμφοτέρας ἔχοντα. μὴ παρόντων δὲ τούτων, αὐτὸν, μιγνύναι τὰ πικρὰ τοῖς στύφουσιν. ὥσπερ ἐθεασάμην ποθ᾽ ἡμᾶς κατάπλασμα συντιθέντας ἥπατος φλεγμαίνοντος ἐκ τῶν παρόντων. ἦν μὲν γὰρ ἰατρὸς ὁ κάμνων. ἐθεασάμεθα δ᾽ αὐτὸν ἤδη λύχνων ἡμμένων, ὡς μηδὲν ἔτι δύνασθαι πρίασθαι παρὰ τῶν καπηλευόντων τὰ τοιαῦτα. παρακμὴν οὖν εὑρόντες ἀξιόλογον, ἐσπεύσαμεν ὅτι τάχιστα χρήσασθαι τῷ καιρῷ. καὶ μάλισθ᾽ ὅτι τὴν ὕποπτον ὥραν προσεδοκῶμεν, ἀρχὴν οἴσειν ἑτέρου παροξυσμοῦ, περὶ τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. ἀφεψήσαντες οὖν ἐλαίῳ μὲν ἀψίνθιον, ἐν ὕδατι δὲ κυδώνιον μῆλον. ἐν ᾧ ταῦθ᾽ ἥψετο, μυροβαλάνου πίεσμα, καὶ ἴρεως τὴν ῥίζαν εὑρόντες ἔνδον, καὶ κόψαντες καὶ διαττήσαντες, εἶτ᾽ ἐμβαλόντες μέλιτι τοῦτ᾽ ἐλαίου καὶ τοῦ ὕδατος ὧν περ εὐκαιρῶμεν, ἀφεψήσαντές τε μετρίως ἐπεβάλλομεν ἅμα κηρῷ βραχεῖ, τὴν μυροβάλανον καὶ τὴν ἶριν. ἕψομεν δ᾽ ὡς οἶσθα τὸ μῆλον οὐ δι᾽ ὕδατος μόνον, ἀλλὰ καὶ δι᾽ οἴνου πολλάκις αὐστηροῦ. καὶ μίγνυμεν ἐνίοτε καὶ αὐτῆς τι τοῦ μήλου τῆς σαρκὸς ἅπασι τοῖς τοιούτοις καταπλάσμασιν. ὅταν μὲν γὰρ τό, τε ἐπίῤῥεον εἴη πλέον, ἀτονώτερόν τε τὸ μόριον, αὐξάνομεν ὡς οἶσθα τὴν στῦψιν. ὅταν δὲ τό, θ᾽ ὅλον σῶμα κενὸν οὐκ ἄῤῥωστόν τε τὸ μόριον, ἐπιῤῥέῃ τε μηδὲν ἔτι, βραχύτατον ἔστω τὸ στῦφον. ἀξιολογώτερον δὲ αὐτοῦ τὸ χαλαστικόν. καὶ πρὸς τούτοις, τό, τε πικρόν, καὶ τὸ δριμύ, κατὰ τὴν τῶν ἐπεμβαλλομένων ὕλην. εἰ δὲ καὶ μικρὸς ὁ πυρετὸς εἴη, καὶ ἡ φλεγμονὴ μὴ πάνυ θερμή, καὶ ἀσιτίαν ὁ κάμνων ἐνεγκεῖν δυνάμενος, αὐξανέσθω σοι τὸ διαφορητικὸν εἶδος τῆς θεραπείας, ἐκλυομένου τοῦ στυπτικοῦ. οὐ γὰρ δὴ τὴν φλεγμονὴν δυνατὸν ὠφελῆσαι τοῖς στύφουσιν, ἡνίκα μήτ᾽ ἐπιῤῥέῃ μηδέν, ἐστήρικταί τε δυσλύτως ἐν τῷ πάσχοντι παχυμερὴς χυμός. ἀλλ᾽ ὡς εἴρηται βραδύνειν αἱρούμεθα μᾶλλον ἐν τῇ θεραπείᾳ μιγνύντες τι τῶν στυφόντων, ὑπὲρ τοῦ φυλάξαι τῶν μορίων τὸν τόνον. ὅθεν οὔτ᾽ ἐπὶ κώλου πάσχοντος ἢ τῶν ἄλλων ἐντέρων τινός, οὔτε τῶν καθ᾽ ὑποχόνδρια μυῶν, ἢ περιτοναίου, μικτέον τὰ στύφοντα. καθάπερ οὐδὲ κύστεως ἢ μήτρας ὅταν γ᾽ ὡς εἴρηται, μήτ᾽ ἐπιῤῥέῃ μηδὲν ἔτι, μήτε πλῆθος ἢ περιττώματα πολλά, καθ᾽ ὅλον ὑπάρχῃ τὸ σῶμα. νεφροὶ δὲ καὶ θώραξ, ἐν μέσῳ τῶν εἰρημένων εἰσίν. ὅσον γὰρ ἀπολείπονται γαστρὸς καὶ ἥπατος, τοσοῦτον τῶν ἄλλων πλεονεκτοῦνται. ἐπὶ μὲν γὰρ τοῦ ἥπατος ἢ τῆς γαστρὸς ἐκλυθῆναι τὸν τόνον ὀλεθριώτατον. ἐπὶ δὲ τῶν ἄλλων, ἀκινδυνώτατον. ἐπὶ τούτων δὲ κινδυνῶδες μέν. οὐ μὴν ἐκείνοις γ᾽ ὁμοίως. πλὴν εἴ ποτε πύον ἐκκαθαίρειν δέοι, περιεχόμενον ἐν θώρακι καὶ πνεύμονι. περὶ δὲ τοῦ σπληνός, οὐχ ἁπλῶς ἀποφήνασθαι δυνατόν, ἀλλὰ μετὰ τοῦ διορίσασθαι τήν τε φύσιν ὅλου τοῦ σώματος, καὶ τὴν ἐν τῷ τῆς θεραπείας χρόνῳ διάθεσιν. εἰ μὲν γὰρ ἤτοι φύσει τῶν ἀθροιζόντων εἴη περίττωμα μελαγχολικὸν ὁ κάμνων, ἢ κατ᾽ ἐκεῖνον τὸν χρόνον, ὁ τοιοῦτος ἐν αὐτῷ πλεονάζοι χυμός, ἀναγκαῖον ἐστὶν ἐν τῇ θεραπείᾳ τοῦ σπληνός, ἐπιπλέκεσθαι τοῖς ἄλλοις τὰ στύφοντα χάριν τοῦ φυλάττεσθαι τοῦ σπλάγχνου τὸν τόνον. οὕτω γὰρ ἕλξει τε πρὸς ἑαυτὸν τὰ περιττώματα, καὶ καθήρας τὸ σῶμα, πάλιν αὐτὰ ἐκκρίνῃ διὰ τῆς γαστρός, ὡς ἐν τοῖς φυσικοῖς περὶ τούτων ἐπιδέδεικται

ἐπὶ δέδεικται λόγοις. εἰ δὲ μηδὲν οὐδ' ὅλως ἢ περίττωμα μελαγχολικὸν, ἢ οὐδ' ὅλως σηπτέον, ἢ ὡς ἥκιστα. προσέχειν δ' ἀκριβῶς τὸν νοῦν οὐ πρὸς τὸν σπλῆνα μόνον, ἀλλὰ καὶ πρὸς σύμπαντα τἆλλα μόρια καθ' ἃ σήπεται χυμὸς, ὁποῖον μέν τοι τῶν συμπτωμάτων ἐστὶ τὸ ἰσχυρότατον. ὁποῖον τὸ δεύτερον, ἢ τὸ τρίτον, ἵν' ἐξ αὐτῶν τὴν διάθεσιν ἀκριβῶς ἐξευρὼν, οἰκείαν αὐτῇ καὶ τὴν θεραπείαν ἁρμόσῃς. ἐνίοτε μὲν γὰρ ἡ θέρμη κρατεῖ περὶ τὸ πεπονθός. ἐνίοτε δ' ὄγκος. ἤτοι διὰ τὸ πλῆθος τοῦ χυμοῦ σκληρὸς, ἢ διὰ τὸ πάχος. εἰ μὲν οὖν ἡ θέρμη κρατοίη, πειρᾶσθαι διαφορεῖν ἀτρέμα διὰ τῶν χλιαρὰν ἐχόντων θερμασίαν, οἷόν ἐστι τό, τε λινόσπερμον, καὶ τὸ χαμαίμηλον. ἐπιμιγνύσθαι δ' αὐτοῖς, ἄλευρον κριθῶν ἢ κυάμων. οὐδέτερον γὰρ αὐτῶν θερμαίνει. πολλάκις δ' ὡς οἶσθα τὸ καλούμενον ὑπὸ τῶν ἰατρῶν ἀρτόμελι παρασκευάζοντες εἰς κατάπλασμα τοιαύτης φλεγμονῆς, ὕδατος ἐπεμίξαμεν. ἐπὶ δὲ σπληνὸς, ἔστιν ὅτε καὶ ὄξους. εἰ δ' ἡ θέρμη τοῦ φλεγμαίνοντος μορίου μὴ πολὺ τοῦ κατὰ φύσιν ἐξεστήκοι, μέγεθος δ' ἀξιόλογον εἴη, διαφορεῖν θαρρούντως, χωρὶς ὕδατος ἐπιμιγνύοντα τοῖς εἰρημένοις καὶ τῆλιν. εἰ δ' οἷον σκιρρώδης τις φλεγμονὴ τύχοι, διὰ τὸ πάχος ἢ τὴν γλισχρότητα τῶν ἐν αὐτῇ χυμῶν, ὄξους τε ἅμα καὶ τῶν πικρῶν μικτέον φαρμάκων. καὶ μάλιστ' ἐπὶ σπληνός. τὸ γάρ τοι σπλάγχνον τοῦτο διὰ τὸ παχὺν ἐπισπᾶσθαι χυμὸν ἐξ ἥπατος, ὑπὸ τοῦ τοιούτου καὶ νοσεῖ τὰ πολλά. διὰ τοῦτ' οὖν αὐτὸ τά τε δι' ὀξυμέλιτος καὶ ἀψινθίου καὶ καππάρεως ἐπιτήδεια καταπλάσματα. ταῦτ' οὖν ἀγνοοῦντες οἱ πολλοὶ τῶν ἰατρῶν, ἅπαντας αἰονῶσιν ἐλαίῳ, καὶ καταπλάττουσι τοῖς χαλαστικοῖς καταπλάσμασι, πρὶν κενῶσαι τὸ σῶμα. πάντων δ' ὡς εἴρηται μάλιστα τοὺς πλουσίους, οἷς οὐ μόνον εἰς τὰ τοιαῦτα ὑπηρετοῦσιν, ἀλλὰ καὶ λούεσθαι συγχωροῦσιν. ἐγὼ δ' οὔτε λούσαιμ' ἂν οὐδένα τῶν ἐπὶ σηπεδόνι χυμῶν πυρεττόντων, οὔτε χαλαστικοῖς χρήσομαι καταπλάσμασι, πρὶν κενῶσαι τὰ περιττά. κενώσας δὲ, καὶ λούοιμ' ἂν ἤδη θαρρῶν, καὶ καταπλάττοιμι. τὰ μὲν ἄλλα μόρια τοῖς χαλαστικοῖς, ἧπαρ δὲ καὶ γαστέρα, μετὰ τοῦ τὰ μέτρια στύφειν. ἧττον δὲ ἐπὶ θώρακος τοῖς στύφουσι χρηστέον, ἀποκρούεται γὰρ εἰς πνεύμονα καὶ καρδίαν ἐνίοτε τὰ τοιαῦτα τοὺς τὴν φλεγμονὴν ἐργαζομένους χυμούς. ἀλλὰ διὰ τῶν ἐδεσμάτων αὐτοῖς, φυλακτέον τὸν τόνον. οὐ γὰρ ὥσπερ ἐπὶ γαστρὸς καὶ ἥπατος, οὕτω καὶ ἐνθάδε λεπτοτάτην διαιτᾶν ἀναγκαῖον. ἐν ἐκείνοις μὲν γὰρ ἡ τροφὴ περιττεύει, καὶ κίνδυνός ἐστι φλεγμαινόντων αὐτῶν, μήτε πεφθῆναι καλῶς, αὐξηθῆναί τε τὰς φλεγμονάς. εἰς θώρακα δὲ τοσοῦτον ἀφικνεῖται τῶν πεφθέντων, ὅσον ἱκανὸν αὐτῷ μόνῳ τῷ τρεφομένῳ μορίῳ. πολὺ δὲ δὴ μᾶλλον ἐπὶ πνεύμονος φλεγμαίνοντος ἀφεκτέον ἐστὶ τῶν στυφόντων, ὅπου γε καὶ τοῖς χαλαστικοῖς μικτέον, ἐπ' αὐτῶν τῶν δριμυτέρων τι καὶ σαφῶς θερμαινόντων. ἕλκειν γὰρ ἔξω μᾶλλον ἢ ἀποκρούεσθαι προσήκει. διὸ καὶ αἱ σικύαι προκενωθέντων, χρήσιμοι. πληθωρικῶν δὲ ὑπαρχόντων, οὐ μᾶλλον ἐκ πνεύμονος εἰς θώρακα μεθιστᾶσί τι τῶν περιττωμάτων, ἢ ἐξ ὅλου τοῦ σώματος ἕλκουσιν εἰς ἀμφότερα. τῷ δὲ αὐτῷ λόγῳ, κἀπὶ τῶν περὶ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας φλεγμονῶν, οὐ χρησόμεθα σικύαις ἐν ἀρχῇ τῶν παθῶν, ἀλλ' ὅταν μήτ' ἐπιρρέῃ μηδὲν ἔτι καὶ προκενώσομεν ὅλον τὸ σῶμα. κατὰ τὴν ἀρχὴν δὲ κἀνθάδε τοῖς ἀποκρουστικοῖς ὀνομαζομένοις χρηστέον. ἐπεὶ δὲ τῶν ὀστῶν τοῦ κρανίου μεταξὺ κειμένων τὴν δύναμιν αὐτῶν ἐξικνεῖσθαι βουλόμεθα πρὸς τὸ βάθος, ἐπιμίξομεν τοῖς ἀποκρουστικοῖς ὀνομαζομένοις τῶν ποδηγεῖν τι δυναμένων. τουτέστι τῶν λεπτομερῶν κατὰ τὴν οὐσίαν. ὄξος μὲν οὖν οὐ μόνον ἐστὶ λεπτομερὲς, ἀλλὰ καὶ αὐτῆς τῆς ἀποκρουστικῆς δυνάμεως, οὐ μετρίως μετείληφεν. ὅθεν εἰκότως ἐν ἀρχῇ τῶν παθῶν αὐτῷ χρῶνται τῷ ῥοδίνῳ μιγνύντες. ἐπὶ προήκοντι δὲ τῷ χρόνῳ, καὶ σφονδυλίου καὶ ἑρπύλλου, μιγνύουσιν ἤδη τι καὶ θερμαῖνον ἐχόντων, οὐ μόνον λεπτομερές. ἐν ᾧ καιρῷ χρὴ μεταβαίνειν ἐπὶ τὰ διαπνέοντά τε καὶ διαφοροῦντα πλέον, ἢ κατὰ τὴν χρείαν τῶν φλεγμαινόντων αἱρούμενον ἑκάτερον, ὡς ἂν ἐκλυομένης αὐτῶν τῆς δυνάμεως ἐν τῷ μεταξὺ τεταγμένων ὀστῶν. οὕτως οὖν καὶ τῷ καστορίῳ χρώμεθα, καίτοι γ' ἐπὶ τῶν ἄλλων οὐ χρώμενοι φλεγμονῶν. οὐδ' ἢν ἐν ἐσχάτῳ τῆς παρακμῆς ὦσι. θερμότερον γάρ ἐστιν, ἢ ὡς ἐν ταῖς φλεγμοναῖς ἐπιτήδειον εἶναι. τοῖς μέν τοι κατὰ τὸν ἐγκέφαλον χωρίοις ἄριστον ἐν ταῖς παρακμαῖς τῶν φλεγμονῶν, ὡς ἂν οὐκ εὐθέως αὐτοῖς προσπίπτον, ἀλλὰ διὰ μέσων τῶν ὀστῶν. ὑπάρχει δὲ τῷ τοιούτῳ φαρμάκῳ καὶ τὸ λεπτομερὲς τῆς οὐσίας, ὃ καὶ αὐτὸ τοῖς διὰ προβλημάτων στεγανῶν διαπέμψειν μέλλουσι τὴν ἑαυτῶν δύναμιν, ἐπιτήδειόν ἐστιν. οἶσθα δὲ δή που καὶ τοὺς ἑκάστου τῶν μορίων οἰκείους πόρους, εἰς τὴν τῶν περιττωμάτων ἔκκρισιν εὑροὺς ἡμᾶς παρασκευάζοντας. ἐντέρῳ μὲν καὶ γαστρὶ καὶ μεσαραίῳ καὶ τοῖς σιμοῖς τοῦ ἥπατος, τὸν δι' ἀπευθυσμένου. νεφροῖς δὲ καὶ κύστει καὶ τοῖς κυρτοῖς τοῦ ἥπατος καὶ κοίλῃ φλεβὶ καὶ ἀρτηρίᾳ τῇ μεγάλῃ, καὶ πᾶσι τοῖς κατ' ὀσφὺν, τὸν τοῖς οὔροις ἀνακείμενον. πνεύμονι δὲ καὶ θώρακι, τὸν διὰ τραχείας ἀρτηρίας καὶ φάρυγγος. ἐγκεφάλῳ δὲ καὶ μήνιγξι, τὸν δι' ὑπερῴας καὶ ῥινός. ἡ δ' εὔροια τοῖς μὲν δι' ἕδρας ἐκκριθήσεσθαι μέλλουσιν, ὑπό τε μελικράτου γενήσεται, καὶ τῶν ἐδεσμάτων ὅσα λαπάττει τὴν γαστέρα, καὶ φαρμάκων ὅσα μετρίως ἐρεθίζειν πέφυκε. φυλάττεσθαι γὰρ χρὴ τὰ δριμύτερα, παροξύνοντα τὰς φλεγμονάς. ἐπὶ δὲ γαστρὸς καὶ ἥπατος καὶ σπληνὸς φλεγμαινόντων, οὐδὲ τὸ μελίκρατον ἀγαθόν. ἐκχολοῦται γὰρ αὐτίκα, καὶ τὰς φλεγμονὰς αὐξάνει τῶν σπλάγχνων. τοῖς δὲ διουρητικοῖς ὀνομαζομένοις φαρμάκοις, ἐπ' οὖρα προτρέψεις τὴν περιουσίαν. ὥσπερ γε καὶ τοῖς βηχικοῖς τὰ κατὰ θώρακα καὶ πνεύμονα, διὰ βηχῶν ἐκκενώσεις. ἔμαθες δ' ἐν τοῖς περὶ φαρμάκων τὰς ὕλας ἑκάστων. οὐ μόνον τῶν εἰρημένων, ἀλλὰ καὶ ὅσα διὰ ῥινῶν ἐκκενοῖ τὰ κατ' ἐγκέφαλόν τε καὶ μήνιγγας περιττά. καὶ γὰρ καὶ τούτων ἁπάντων ἐν ἐκείνοις τοῖς ὑπομνήμασι τὴν ὕλην ἄφθονον ἔχεις. ὥστ' ἀρκεῖ πρός γε τὰ παρόντα περὶ τῆς τῶν φλεγμαινόντων μορίων διαφορᾶς ὅσα λέλεκταί μοι. μελλήσω γὰρ ἐπὶ πλέον ἐρεῖν ὑπὲρ αὐτῶν, ἐν τῇ μεθόδῳ τῆς θεραπείας ἁπάντων τῶν παρὰ φύσιν ὄγκων. οὐδὲ γὰρ οὐδὲ νῦν ὡς ἔργον τι καὶ σπούδασμα μετεχειρισάμην τόνδε τὸν λόγον, ἀλλ' ἐν παρέργῳ διῆλθον ὡς ἐξ ἀκολουθίας τινὸς ἐμπεσὼν αὐτῷ. προὔκειτο γὰρ οὐχ ὡς ἄν τις ἄριστα θεραπεύσειεν ἕκαστον τῶν μορίων φλεγμαῖνον, ὑποθέσθαι σοι κατὰ τὸν ἐνεστῶτα λόγον, ἀλλ' ἐνδείξασθαι τὴν βλάβην τῶν καταπλαττομένων ἐν πυρετοῖς ἄνευ τοῦ κενωθῆναι τὸ σύμπαν σῶμα. καὶ μάλισθ' ὅταν μὴ φλεγμαίνῃ τι τῶν ἔνδον. εἰ γὰρ εἴη τὸ περιτ-

χου θερμὸν ὡς κεχύσθαι τὰς ὕλας ἱκανῶς, μείζων ἡ βλάβη τοῖς τοιούτοις ἕπεται καταπλάσμασιν ἤπερ τοῖς λουτροῖς. καί τοι δοκοῦσί γε οἱ καθ᾽ ἑκάστην ἡμέραν αἰονῶντες τε καὶ καταπλάττοντες τὰ ὑποχόνδρια, ἐκ τούτων μὲν οὐχ ὅπως βλάβην, ἀλλὰ καὶ μεγάλην ὠφέλειαν γίγνεσθαι τοῖς νοσοῦσιν. ἐκ λουτρῶν δ᾽ οὐκ ὠφέλειαν γίγνεσθαι, ἀλλὰ καὶ μεγίστην βλάβην. ἀγνοοῦντες ὥσπερ τῶν ἄλλων ἁπάντων ὧν περὶ τὸν κάμνοντα πράττουσιν, οὕτω καὶ τῶν βαλανείων τὴν φύσιν. ἐγὼ δὲ περὶ μὲν τῆς ὅλης αὐτῶν τῆς δυνάμεως ἔμπροσθεν εἴρηκα τελεώτατα. νυνὶ δ᾽ ἀρκεῖ μοι τό γε τοσοῦτον εἰπεῖν, ὡς ἐπί τινων μὲν ὅτι βλάψει τὸ βαλανεῖον ὅλως, ἐπί τινων δὲ, τοῦ καταπλάσματος ἧττον. ὃ γὰρ ἐν τοῖς ὑποχονδρίοις ἐργάζεται τὰ χαλαστικὰ πρὸς αὐτῶν ὀνομαζόμενα βοηθήματα, τοῦτ᾽ ἐν ὅλῳ τῷ σώματι τὸ βαλανεῖον. ὥσθ᾽ ὅταν ἐν τῇ παρακμῇ παραλαμβάνηται διαπνεομένου τοῦ σώματος ἤδη μετρίως, οὐ σμικρὸν ὄφελος ἐργάζεται κενῶσαν ἅπαντ᾽ ἐξ αὐτοῦ τὰ λιγνυώδη καὶ καπνώδη περιττώματα. καὶ εἴ γε μηδὲν εἴη τῶν σπλάγχνων ἀσθενὲς, ὀνήσει τὸν κάμνοντα, χωρὶς τοῦ φρῖξαι τό τε γενόμενον. τρεῖς γὰρ ἔχειν δεῖ τούτους σκοποὺς ἐπὶ τῶν ἐν ἅπασι πυρετοῖς λουτρῶν. ἕνα μὲν εἰ χωρὶς τοῦ φρῖξαι γένοιτο. δεύτερον δ᾽ εἰ μηδὲν τῶν κυρίων μορίων ἀσθενὲς ὑπάρχοι. καὶ τρίτον εἰ μὴ πλῆθος ὠμῶν εἴη χυμῶν κατὰ τὰς πρώτας φλέβας. ἡ μὲν γὰρ φρίκη λέλεκται πρόσθεν ὅπως οὐ μόνον αὐξάνειν τοὺς ὄντας ἤδη πυρετοὺς, ἀλλὰ καὶ γεννᾷν ἐνίοτε πέφυκε τοὺς οὐκ ὄντας. ἡ δ᾽ ἀσθένεια τῶν μορίων, χυθέντας τοὺς χυμοὺς ὑποδέχεται μᾶλλον, ἢ πρὶν χυθῆναι. τὸ δὲ τῶν ὠμῶν χυμῶν πλῆθος, εἰς ὅλον ἀναδίδοται τὸ σῶμα. μηδενὸς δὲ τούτων ἐμποδίζοντος, ἐπὶ τῶν βαλανείων δύο ἂν ταῦτα κερδαίνοιτο τῷ κάμνοντι, κενωθῆναί τι τῆς περιουσίας τῶν χυμῶν, καὶ διαπνεῦσαι τὸ πολὺ τῆς τοῦ πυρετοῦ θερμότητος. εἰ δὲ πρὸς τὸ μηδὲν ἀσθενὲς εἶναι τῶν κυρίων μορίων, ἔτι δὲ καὶ τῶν ἀκύρων ἀσθενὲς ὑπάρχει τι, καθάπερ ἐπὶ μὲν τῶν ποδαγρικῶν, οἱ πόδες, ἐπὶ δὲ τῶν ἀρθριτικῶν, ἅπαντα τὰ τοῦ σώματος ἄρθρα, μεγίστη τις ἂν ἐκ τοῦ βαλανείου τῷ κάμνοντι πρὸς τὴν σωτηρίαν ἀπεργασθείη μοῖρα δεξαμένων τὰ περιττὰ τῶν ἀσθενῶν. εἴωθε μὲν γὰρ ἐνίοτε καὶ χωρὶς τῶν βαλανείων, ἐπιῤῥεῖν τοῖς ἀσθενέσι τὸ περιττόν. ἐπὶ βαλανείοις δὲ μᾶλλον ὡς ἂν καὶ τῶν ὑγρῶν χεομένων, καὶ τῶν ὁδῶν αὐτοῖς παρασκευαζομένων εἰς εὔροιαν. ἄμφω γὰρ ταῦτα θερμαινομένοις μετρίως ἀναγκαῖον ἐπακολουθεῖν. λέγω δὲ τήν τε χύσιν τῶν ὑγρῶν, καὶ τὴν εὐρυχωρίαν τῶν ὁδῶν. ὅθεν ὅταν ἧπαρ ἢ γαστὴρ ἢ πνεύμων ἢ θώραξ, ἤ τι τῶν οὕτω κυρίων ἀσθενὲς τύχῃ, μέγιστα βλάπτονται λουσάμενοι πάντες, οἷς ἂν ᾖ τι περιττὸν ἐν τῷ σώματι. τοῖς δ᾽ αὐτοῖς τούτοις καταπλασθεῖσιν, ἡ βλάβη γίγνεται διπλασία μετὰ τοῦ μηδὲν ὀνίνασθαι. τὰ μὲν γοῦν βαλανεῖα, καὶ κενοῖ τὸ σύμπαν σῶμα, καὶ τὸ καπνῶδες ἅμα τῷ λιγνυώδει διαφορεῖ. τὰ δ᾽ εἰρημένα καταπλάσματα τὰ χαλαστικὰ, μετὰ τῶν ὁμοίων αἰονήσεων, οὔτε τι τῶν ἀγαθῶν ἔχει, καὶ πάνθ᾽ ἕλκει τὰ περιττὰ πρὸς τὸ τῶν μορίων ἀσθενέστερον, ὅ, τί περ ἂν ᾖ τῶν, τῶν κατὰ τὰ μέσα τοῦ σώματος. εἴτ᾽ οὖν ἧπαρ, εἴτε γαστὴρ, εἴτε φρένες, εἴτε μεσάραιον, ἢ νῆστις, ἢ κῶλον, ἢ νεφροί. εἰ δ᾽ ἐπιμελέστεροι βουλόμεθα φαίνεσθαι, καὶ τὸν θώρακα συνθερμαίνοιεν, ἤτοι γ᾽ εἰς αὐτὸν ἐκεῖνον ἕλξουσι τὸ περιττὸν, ἢ εἰς τὴν καρδίαν, ἢ εἰς τὸν πνεύμονα. λέγω δὲ ἀσθενὲς μόριον ἤτοι τὸ φύσει δυσκρατότατον, ἄλλῳ γὰρ ἄλλο τοιοῦτον, ἢ τὸ κατά τινα προηγησαμένην νόσον, ἐν δυσκρασίᾳ γενόμενον, ἢ κατὰ τὸν ἐνεστῶτα χρόνον εἰς αὐτὴν ἠγμένον. οὐ γὰρ ἁπάντων εὐθέως τῶν φλεγμαινόντων μορίων, ἢ σηπομένους χυμοὺς περιεχόντων, ἢ ἐμπεφραγμένων, ἡ δύναμις ἀῤῥωστεῖ. θᾶττον μέν τοι κἀπὶ τούτων εἰς τὸ πεπονθὸς φέρεται τὸ περιττὸν ὁπόσον ἂν ᾖ διὰ τὴν ἐκ τοῦ παθήματος θέρμην. ἡ γὰρ οἷον ἑστία τοῦ πυρετοῦ, τὸ τὴν ἔμφραξιν ἢ τὴν σῆψιν ἢ τὴν φλεγμονὴν ἐκδεξάμενόν ἐστι μόριον. ὅταν οὖν ἕλκον τι διὰ θέρμην αὐτῷ προσέλθοι τις ἔξωθεν ἑτέρα πρόφασις ἔκ τινος τῶν δυνάμει θερμαινόντων, ἀναγκαῖον αὐξάνεσθαι τὴν διάθεσιν. εἰ δ᾽ ὡς εἴρηται προκεκενωμένος ὅλον τὸ σῶμα, διὰ τῶν χαλαστικῶν θεραπεύοιτο, χωρὶς τοῦ μέγιστον εἶναι τὸν πυρετὸν, ὀνίναιτ᾽ ἄν τι. τηνικαῦτα δ᾽ ὡς ἐλέχθη καὶ λούοιτ᾽ ἂν ἀβλαβῶς. χρὴ δὲ φυλάττεσθαι τὴν ψυχρὰν δεξαμενὴν τοὺς τοιούτους. εἰώθασι γὰρ οἵ τ᾽ ὠμοὶ χυμοὶ καὶ οἱ σηπόμενοι, δυσδιάπνευστοι γίγνεσθαι χρονιζόντων ἐν αὐτῇ. βλάπτει δ᾽ αὐτοὺς κἂν ἰσχυρῶς εἴη τὸ ὕδωρ ψυχρὸν, ἐπειδὴ διαπνεῖσθαι τῶν οὕτω διακειμένων καὶ ὅλον μὲν τὸ σῶμα δεῖται. μάλιστα δὲ τὸ πεπονθός. ὥστε ἤτοι περιχέειν αὐτοῖς ὡς εἰώθαμεν ἐπιτήδειον ὕδωρ, ἢ εἰ μετρίως εἴη τὸ κατὰ τὴν κολυμβήθραν ψυχρὸν ἐπιτρέψαντες ἐμβῆναι, διὰ ταχέων ἐξιέναι κελεύειν. ἐπὶ δὲ προήκοντι τῷ νοσήματι, καθ᾽ ὃν ἤδη καιρὸν ἐκδεδαπάνηται μὲν τὰ περιττὰ, πέττεται δὲ τὰ ὠμὰ, καὶ τὰ σηπόμενα, καὶ καταπλάσμασι χαλῶσι. καὶ βαλανείοις ἀκινδύνως χρῆσθαι. καιρὸς δ᾽ ἐπιτηδειότατος ἐν τοῖς διαλείπουσι πυρετοῖς, ὅταν ὡς εἴρηται διαπνοεῖν ἄρξηται τὸ πυρετῶδες θερμόν. εὐθὺς γὰρ καὶ τῇ τροφῇ παρασκευάζει τὸ σῶμα, δυοῖν τούτοιν σκοποῖν, καὶ τοῦ ταύτης καιροῦ δεομένου, τῆς τ᾽ ἀκμῆς τοῦ προγεγονότος παροξυσμοῦ καὶ τῆς ἀρχῆς τοῦ γενησομένου. πρὸς τούτους γὰρ ἀποβλέποντας, χρὴ πειρᾶσθαι ποῤῥωτάτω τρέφειν ἑκατέρου. εἰ μὲν οὖν ἱκανὸν εἴη τρέφειν ἐν μέσῳ τῆς τ᾽ ἀκμῆς τοῦ προτέρου παροξυσμοῦ, καὶ τῆς ἀρχῆς τοῦ δευτέρου ῥᾷστον ἐξευρεῖν τὸν καιρόν. εἰ δ᾽ ὀλίγον, ἀναγκαῖον ἐστὶ δυοῖν θάτερον, ἢ θερμὸν ἱκανῶς ἔτι τὸν κάμνοντα τρέφειν, ἢ μελλούσης ὅσον οὔπω τῆς εἰσβολῆς γενέσθαι τοῦ δευτέρου παροξυσμοῦ. προγνωστικοῦ τοιγαροῦν ὁ τοιοῦτος πυρετὸς δεῖται ἰατροῦ, δυναμένου στοχάζεσθαι κατὰ τὰς πρώτας εὐθέως ἡμέρας, εἰς πόσον ἐκταθήσεται χρόνον ὁ πυρετός. δῆλον γοῦν ὅτι συνεχὴς ὑπάρχων, ὀξεῖαν ἕξει τὴν λύσιν. εἰ μὲν οὖν μὴ πόῤῥω τῆς ἑβδόμης ἡμέρας μέλλοι προέρχεσθαι, παντάπασιν ἀσιτητέον ἐστὶ τῷ νοσοῦντι, στοχαζομένων ἡμῶν εἰ ἡ δύναμις ἐξαρκέσει. εἰ δ᾽ ἤτοι μέχρι τῆς ἐννάτης ἢ ἑνδεκάτης ἢ τεσσαρεσκαιδεκάτης ἐκτείνεσθαι μέλλοι, ἢ καὶ περὶ μὲν τὴν ἑβδόμην λύεσθαι, τὴν δύναμιν δ᾽ ἀσθενεστέραν, ἢ ὥστ᾽ ἐξαρκέσαι μέχρι τοσούτου χρόνου δόξειεν ἔχειν ὁ κάμνων, ἀναγκαῖον μὲν ἔσται τρέφειν, αἱρεῖσθαι δ᾽ ὡς ἐν ἀπόροις προσήκει τὰ ἧττον βλαβερά. διοριζόμενόν τε καὶ ἧττον ἀφορίζοντα τῶν μᾶλλον βλαπτόντων αὐτὰ, τῷ τε τόπῳ τῷ πεπονθότι σὺν τῇ διαθέσει δηλονότι, καὶ τῷ τοῦ παροξυσμοῦ καὶ τῷ τῆς ἀκμῆς ἤθει. φλεγμαίνοντος μὲν γὰρ ἥπατος ἢ γαστρὸς, ὀλεθριώτατον θρέψαι πρὸ τοῦ παροξυσμοῦ. χωρὶς δὲ φλεγμονῆς ἀῤῥωστούντων τὴν δύναμιν, ὠφελιμώτατον. εἰώθασι

γὰρ τῶν

γὰρ τῶν οὕτως ἐχόντων ἐπὶ μὲν τῷ ἥπατι κακοπραγοῦντι, διαχωρήσεις τοῖς παροξυσμοῖς συνεισβάλλειν. ἐπὶ δὲ τῷ στόματι τῆς γαστρός, συγκοπήν. τοῖς δ᾽ εἰρημένοις ὀργάνοις τοῦ ζώου, τὸ ἀνάλογον ἐπὶ τῶν ἄλλων σκοπεῖν. κατά γε τὴν θέσιν καὶ τὴν ἀξίαν τοῦ μορίου. λεχθήσεται δὲ καὶ αὖθις ὑπὲρ αὐτῶν. ἦθος δ᾽ ἀκμῆς τε καὶ παροξυσμοῦ ἀρχῆς, ἀξιῶ σε σκοπεῖσθαι προσέχοντα τὸν νοῦν. ἐπὶ μὲν τῆς ἀκμῆς, εἰ ξηρὰ καὶ αὐχμώδης ἄνευ μεγέθους τῆς θέρμης τῆς πυρετικῆς, ἢ διακαὴς χωρὶς αὐχμοῦ. τὴν μὲν γὰρ προτέραν, ὅτι τάχιστα χρὴ τέγγειν ὑγραινούσαις τροφαῖς. ἐπὶ δὲ τῆς δευτέρας, ἀναμένειν λωφῆσαι τὸ πλεῖστον τῆς θερμότητος. οὕτω δὲ καὶ τῆς ἀρχῆς τοῦ παροξυσμοῦ τὸ ἦθος, ἐν ᾧ δεῖ καταψύχειν τὰ τοῦ σώματος ἀκρωτήρια, καὶ πολλὴν ἔσω ποιεῖσθαι μετάστασιν τοῦ αἵματος, ἢ χωρὶς ἁπάσης γίγνεσθαι θλίψεως ἐπισκέψῃ. τῆς μὲν γὰρ δευτέρας εἰρημένης τῆς ἀθλίπτου, καταφρονεῖν ὡς ἐπιεικοῦς. ἐπὶ δὲ τῆς προτέρας, διορίζεσθαι. χωρὶς μὲν γὰρ φλεγμονῆς σπλάγχνου, ἢ περιουσίας χυμῶν, ἐπικρατούσης τῆς εἰς τὸ βάθος κινήσεως ἐν τοῖς παροξυσμοῖς οὐδὲν βλάψεις ὀλίγῳ θᾶττον τρέφων. εἰ δ᾽ ἤτοι φλεγμονή τις ἢ πλῆθος εἴη, φυλακτέον τὴν περὶ τοῦ παροξυσμοῦ τροφήν, ὡς βλαβερωτάτην.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

Οὔτε γένος, οὔτε εἶδος, οὔτε διαφορά τίς ἐστι πυρετῶν ὡς ἔνιοι νομίζουσιν, οἱ μετὰ συμπτωμάτων συνιστάμενοι. ἀλλ᾽ ὥσπερ ἄλλο τι ἄλλῳ νόσημά τε νοσήματι, καὶ σύμπτωμα συμπτώματι, καθ᾽ ἕνα χρόνον ἐπιπλέκεται περὶ ἓν σῶμα, κατὰ τὸν αὐτὸν τρόπον ἅμα πυρετῷ γίγνεταί τινα μείζω συμπτώματα, περιττοτέρας προνοίας δεόμενα. τῶν μὲν γὰρ μικροτέρων ἐξ ἀνάγκης ἑπομένων ταῖς γενέσεσι τῶν πυρετῶν. οὐδὲ μέμνηνται τὴν ἀρχήν. ἀλλ᾽ ὡς οὐδ᾽ ὅλως ὄντα, παραλείπουσιν ἀνώνυμα. τὰ δ᾽ ἤτοι κατὰ τὸ σπάνιον ἐπιγινόμενα τοῖς πυρέττουσιν, ἢ τὸ συνήθους ὑπερβάλλοντα μεγέθος, ἐξαιρέτου παρὰ τἄλλα διδασκαλίας ἀξιοῦσιν. εἰσὶ μὲν οὖν αὐτῶν αἱ πρῶται διαφοραί, τρεῖς. ἤτοι γὰρ ἐν ταῖς τῶν ἐνεργειῶν βλάβαις εἰσίν, ἢ ἐν ταῖς τῶν ἐπεχομένων, ἢ κενουμένων ἀμετρίαις, ἢ διαθέσεσι σωμάτων ὑπάρχουσι. οὐ γὰρ τὸ τέταρτον γένος ἐν συμπτώμασι θετέον, εἰ καὶ ὅτι μάλιστα πάμπολλοι καὶ τοῦτο τοῖς συμπτώμασιν ἔμιξαν. οἷον ἐρυσιπέλατα. καὶ ὀφθαλμίας. καὶ ἕλκη. καὶ παρωτίδας. ὅσα τἆλλα τοιαῦτα. τῶν δ᾽ εἰρημένων τριῶν, αἱ μὲν τῶν ἐνεργειῶν βλάβαι λυπηραὶ γενηθεῖσαι, πρὸς ἑαυτὰς ἐπιστρέφουσι τὸν ἰατρόν, ἀφίστασθαι τῶν διαθέσεων ἀναγκάζουσαι. καθάπερ γε καὶ αἱ τῶν ἐκκρινομένων ἢ ἐπεχομένων ἀμετρίαι. τὸ δ᾽ ἐν ταῖς διαθέσεσι γένος τῶν συμπτωμάτων, σημεῖον μέν ἐστιν ἑτέρας διαθέσεως, ἣν χρὴ θεραπεύειν. αὐτὸ δ᾽ οὐδεμίαν ἐξαίρετον ἴασιν ἔχει, παυόμενον ἅμα τῇ ποιούσῃ διαθέσει. καθόλου μὲν οὖν εἰπεῖν οὐδὲν τῶν συμπτωμάτων, ᾗ σύμπτωμά ἐστιν, οὔτ᾽ ἐνδείκνυται θεραπείαν, οὔθ᾽ ὑπαλλάττει πρώτως. ἐδείχθη γὰρ ἐκ τῶν νοσημάτων ἡ ἔνδειξις τῆς θεραπείας γινομένη, καθάπερ ἐκ τῶν αἰτίων ἡ προφυλακή. λέλεκται δὲ καὶ ὅπως ἡ προφυλακὴ τῷ τῶν ἰαμάτων μίγνυται γένει. κατὰ συμβεβηκὸς δέ ποτε καὶ τὰ συμπτώματα τὴν θεραπείαν ἐξαλλάττει λόγον αἰτίας ἔχοντα κατ᾽ ἐκεῖνον τὸν χρόνον. ἓν δ᾽ αὐτῶν ἐστιν ἁπάντων κεφάλαιον ὅταν γ᾽ ὡς αἴτια τὴν θεραπείαν ὑπαλλάττῃ. λέγω δὲ τὸ ἐν τούτῳ, τὴν βλάβην, εἴτ᾽ οὖν τῆς δυνάμεως, εἴτε τῆς διαθέσεως. ὡς ὅταν γε βλάπτῃ μηδέν, οὐ διακόπτει τὴν ἴασιν. βλάπτει δὲ τὴν μὲν δύναμιν, ἀγρυπνία. καὶ ὀδύνη. καὶ κένωσις ἄμετρος. τὴν διάθεσιν δ᾽ οὐκ ἀεὶ μὲν ὡς τὰ πολλὰ δέ. καὶ μάλιστα ὅταν ἄμετρα γένηται. ἐπὶ τούτοις οὖν οὖν μόνοις ἀναγκαζόμεθα τὴν ἀγωγὴν τῆς θεραπείας, ἣν ἐξ ἀρχῆς ἐνεστησάμεθα μεταβαλόντες ἐν τῷ παρόντι, πρῶτον ἐκκόψαι τὸ σύμπτωμα. καταλυομένης οὖν τῆς δυνάμεως, οὐ μὴν ἤδη γε ἰσχυρῶς καταλελυμένης, ἀλλ᾽ ἀντεχούσης ἔτι, πρὸς τὸ σύμπτωμα μόνον ἀποβλέπομεν, ὅτι τάχιστα σπεύδοντες ἀναιρεῖν αὐτό. καταλελυμένης δ᾽ ἰσχυρῶς, οὐ μόνον τὸ σύμπτωμα παύειν, ἀλλὰ κἀκείνην ῥωννύειν σπεύδομεν. εἰ δ᾽ ἑνὶ βοηθήματι καὶ τὸ σύμπτωμα παύεσθαι δύναιτο, καὶ τὸ νόσημα θεραπεύεσθαι, τοῦτο οὐκ ἂν εἴη πρὸς σύμπτωμα βλέπειν ἢ συμπτώματος ἕνεκα βοήθημα παραλαμβάνειν. ἀλλ᾽ ἄντικρυς ἡ τοιαύτη πᾶσα τῶν βοηθημάτων ἰδέα νοσημάτων ἴασίς ἐστιν. οὔτε γὰρ ὅταν ἄλγημα πλευρᾶς ἐν πλευρίτιδι φλεβοτομήσαντες, ἢ καθάραντες ἰασώμεθα, συμπτώματός ἐστιν ἡ τοιαύτη θεραπεία, οὔθ᾽ ὅταν ἀπόστημα διατεινόμενον, καὶ σφύζον ὀδυνηρῶς διελόντες, ἐκκρίνωμεν τὸ πύον. ἀλλ᾽ ὅταν εἰ οὕτως ἔτυχεν ἐπὶ δυσεντερικῆς ἐκκρίσεσι δακνούσαις σφοδρῶς, ἤτοι τράγου χυλὸν ἐνιέμεν, ἢ στέαρ αἴγειον, ἢ ῥοδίνην κηρωτήν. ὑφ᾽ ὧν αὕτη μὲν ἡ τῶν ἐντέρων ἕλκωσις, οὐ θεραπεύεται. καὶ μάλιστα ὅταν ἔχῃ τι σηπεδονῶδες. ἀναπαύεται δ᾽ ἡ δύναμις ἐν τῷ μεταξύ. καὶ τοῦτ᾽ ἐστὶ τὸ πρὸς τὸ σύμπτωμα ἱστάναι τοῦ νοσήματος, ἀμελήσαντες παρ᾽ ἐκεῖνον τὸν καιρόν. ὡς ὅταν γε θαρρῶμεν τῷ τόνῳ τῆς δυνάμεως, οὐδέ ποτε πρὸς τὸ σύμπτωμα ἐνιστάμεθα. τοὐναντίον δ᾽ ἅπαν ἐνίοτε διὰ τῶν ὀδυνηρῶν βοηθημάτων, τὰ νοσήματα θεραπεύομεν. ὥσπερ ἀμέλει τὴν δυσεντερίαν αὐτὴν δηκτικωτάτοις φαρμάκοις τότε μάλιστα θεραπεύομεν, ὅταν ᾖ σφοδροτάτη. πεντηκοντούτης γοῦν ἰατρός τις νοσῶν, ἑβδόμην ἄγων ἐκείνην τὴν νύκτα, μὴ πάνυ τι τὴν δύναμιν ἰσχυρός, ἀλγήματος αὐτῷ κεφαλῆς ἰσχυροῦ γενομένου κατὰ τὸν δεξιὸν μάλιστα κρόταφον, οὐκ ἀναμείνας ἀφικέσθαι τινὰ τῶν ἑτέρων, ἑαυτὸν ἐφλεβοτόμησεν ἐν τῇ νυκτί. καὶ τὸ μὲν ἄλγημα, διὰ ταχέως ἔπαυσε. μέχρι μέντοι χρόνου πολλοῦ, κακόχρους καὶ ἄρρωστος τὴν δύναμιν. ἰσχνός τε καὶ ἄτροφος ἦν, ὡς μόλις ἀναλαβεῖν τὴν ἐξ ἀρχῆς ἕξιν. ἔστι δὲ κἀνταῦθα πρόφασις διττὴ τῶν πρὸς ὀδύνην ἱσταμένων ἰατρῶν. ἐνίοτε μὲν ὑπὲρ τοῦ χαρίσασθαι τῇ μαλακίᾳ τῶν καμνόντων. ἐνίοτε δὲ κατὰ τὸν τῆς τέχνης λόγον. εἰ μὲν γὰρ ἐνὸν ἀντισχόντα ταῖς ὀδύναις διὰ τῶν ἰσχυρῶν βοηθημάτων ἡμέρᾳ μιᾷ θεραπευθῆναι, πρὸς τὴν ὀδύνην ἵσταταί τις τῆς ὅλης θεραπείας ἀμελῶν, οὐ κατὰ τὸν λόγον τῆς τέχνης, ἀλλὰ τῷ κάμνοντι

χαριζόμενος οὕτω πράττει. εἰ δὲ ὑπὸ τῆς ὀδύνης ἡ δύναμις καταλύοιτο, καὶ κίνδυνος ἐφεδρεύοι διὰ τοῦτο, πραΰνειν μὲν χρὴ τὸ ἄλγημα. ῥωννύναι δὲ τὴν δύναμιν, ὅπως ἀντιχεῖν μὲν τῷ νοσήματι δυνηθῇ. πρὸς τε τὸν χρόνον ἐξαρκέσαι τῆς ἰάσεως. οἶδα γὰρ ἐνίους τῶν γενναίων εἶναι προσποιουμένων ἰατρῶν τε καὶ καμνόντων ἀπολομένους δι' αὐτὸ τοῦτο τὸ καρτερῶς τε καὶ ἀνδρείως ὁμόσε χωρεῖν ἀεὶ ταῖς ὀδύναις οὐδὲν τῶν παρηγορικῶν ἑλομένους, ἀλλ' ἐν τοῖς τραχέσι καὶ ὡς ἔλεγον αὐτοὶ τὴν διάθεσιν ἀνασκευάζουσι διαγιγνομένους βοηθήμασιν οὓς ἐν χρόνῳ πλείονι θεραπεῦσαι βέλτιον ἦν, ἢ τοὺς ἀποδύοντας ἀνδρείως ἀποθανεῖν. ἰώμενος δέ τις ὡς αὐτὸς ἐνόμιζε, γενναίως δυσεντερικοὺς, ἰσχυροτάτῳ φαρμάκῳ πολλοὺς μὲν ἐθεράπευσεν ἐν ἡμέρᾳ μιᾷ. τινὰς δὲ ἀπέκτεινεν. ἦν δ' ὁ τρόπος αὐτοῦ τῆς θεραπείας τοιόσδε. κρόμυα τὰ κάρτα καλούμενα, μετὰ ἄρτου ἐδίδου ἐσθίειν καὶ πίνειν ὀλίγον ἡμέρᾳ μιᾷ. κατὰ τὴν ὑστεραίαν ἕωθεν ἔκλυζεν ἅλμῃ δριμυτάτῃ. καὶ μετ' αὐτὴν ἐνίει φάρμακον ἰσχυρόν. ὅσοι μὲν οὖν ἀντισχεῖν ἐδυνήθησαν αὐτὸ, τελέως ὑγιάσθησαν. ἔνιοι δὲ ἀπαθέντες ἐπὶ μετὰ νοτίδος ὑπὸ τῆς ὀδύνης συγκοπέντες, ἀπέθανον. ὅρος γοῦν ἐστὶ καμνόντων τῷ κατὰ τὸν λόγον τῆς τέχνης ἀγωνιζομένῳ γενναίως πρὸς τὸ νόσημα. τὸ τῆς ἰάσεως ἀσφαλὲς, ὥσπερ γε καὶ τῷ πραΰνοντι τὰς ὀδύνας, ἡ τῆς δυνάμεως φυλακή. τὸ δ' ἐπέκεινα τῶνδε, σκαιοῦ μὲν ἀνδρὸς ἔργον ἐστὶν ἅμα τῷ νοσήματι καὶ τὴν ζωὴν ἀφελέσθαι τὸν ἄνθρωπον. κόλακος δὲ, τὸ χαρίζεσθαι τῷ νοσοῦντι, σκοπὸν ὧν πράττει θέμενον ἡδονὴν, οὐκ ὑγείαν. ἐμπίπτουσι δ' εἰς τὰς τοιαύτας ὑπερβολὰς ἐν πολλαῖς μὲν καὶ ἄλλαις ὕλαις βοηθημάτων οἱ ἰατροὶ, μάλιστα δ' ἐν τοῖς καλουμένοις ἀνωδύνοις φαρμάκοις, ὅσα διὰ ὀποῦ μήκωνος, ἢ ὑοσκυάμου σπέρματος, ἢ μανδραγόρου ῥίζης, ἢ στύρακος, ἢ τινὸς τοιούτου συντίθεασιν. οἵτε γὰρ χαριζόμενοι τοῖς νοσοῦσι, πλεονάζουσιν ἐν τῇ χρήσει τῶν τοιούτων φαρμάκων, οἵτ' ἀκαίρως καὶ ἀμέτρως γενναῖοι μὴ δ' ὅλως χρώμενοι, διαφθείρουσιν ὀδύναις τοὺς κάμνοντας. ὥσπερ οὖν ἐν ἁπάσαις ταῖς καθ' ὅλον τὸν βίον ἕξεσί τε καὶ πράξεσιν, οὕτω κἀνταῦθα τὸ μηδὲν ἄγαν, αἱρετέον, ὅρον ἔχοντα τὴν ὠφέλειαν τοῦ κάμνοντος. εἰ μὲν γὰρ οἷόν τε εἴη τοῖς ἰαμένοις τὸ νόσημα βοηθήμασι χρώμενον ἀνύσαι τὸ δέον, ἀφίστασθαι χρὴ τῶν ναρκωτικῶν φαρμάκων, ἃ καλοῦσιν ἀνώδυνα. εἰ δ' ὑπό τε τῶν ἀγρυπνιῶν καὶ τοῦ καταλύεσθαι τὴν δύναμιν εἰς κίνδυνον ὁ κάμνων ἥκει θανάτου, τότ' ἂν ἐν καιρῷ χρήσαιο καὶ τοῖς τοιούτοις φαρμάκοις. ἐπιστάμενος μὲν ὅτι βλάψεις τι τὴν ἕξιν τοῦ σώματος. αἱρετώτερον δὲ εἶναι νομίζων τοῦ θανάτου τὴν βλάβην. εἰ μὲν γὰρ μὴ πάνυ τις αὐτὴ μεγάλη γένοιτο, κἂν ἐκκόψαιμεν αὖθις αὐτὴν ἐπὶ μακροτέρας σχολῆς. εἰ δ' οὕτως ἄμετρος ὡς μὴ δ' ἐν χρόνῳ πολλῷ τελέως ἰαθῆναι, τοῦτο γοῦν αὐτὸ βέλτιον εἶναι νομίζομεν, ἢ ἀπολέσθαι τὸν ἄνθρωπον. κατὰ τοῦτον τὸν λογισμὸν, καὶ ἡμεῖς αὐτοὶ καί τοι μάλιστα πάντων ἐξιστάμενοι χρῆσθαι ναρκωτικοῖς φαρμάκοις, ἔσθ' ὅτε καὶ κωλικοῖς ἐδώκαμεν αὐτά. καὶ ὀφθαλμοὺς ὀδυνωμένοις σφοδρότατα. καὶ οὖς. ἕτερά τε μόρια κατὰ τὸν αὐτὸν τρόπον. ἔσθ' ὅτε καὶ διὰ κατάρρουν λεπτὸν ἀγρυπνοῦντος τε καὶ βήττοντος ἰσχυρῶς τοῦ κάμνοντος, ἐδώκαμεν ὀλίγον τι τοῦ τοιούτου φαρμάκου, ῥᾷστον εἶναι νομίζοντες ἐπανορθώσασθαι τὴν βλάβην τῷ χρόνῳ, εἴ τις ἅπαξ χρήσαιτο ναρκωτικῷ φαρμάκῳ. διαφέρει δὲ δή πού καὶ αὐτὰ τὰ φάρμακα σφῶν αὐτῶν. τὰ μὲν γὰρ πλεῖστον ἔχοντα τῶν ναρκούντων, εὐδοκιμεῖ μὲν ἐν τῷ παραυτίκα μᾶλλον. ἰσχυρὰν δὲ καὶ δύσλυτον ἐναποτίθεται τὴν ψύξιν τῷ τοῦ κάμνοντος σώματι. τὰ δ' ἔλαττον μὲν τούτων ἔχοντα, τῶν μιγνυμένων δὲ αὐτοῖς θερμαντικῶν πλεῖστον, ὅσον ἀπρακτότερα πρὸς τὸ παρὸν ὑπάρχει, τοσοῦτον ἀβλαβέστερα πρὸς τὸ μέλλον. ἅπαντα δ' ἀμείνω τὰ τοιαῦτα μετ' ἐνιαυτὸν τῆς συνθέσεως λαμβανόμενα, καθάπερ καὶ τὸ τοῦ Φίλωνος, οὐδενὸς ἧττον ἔνδοξον ὀδύνας πραΰναι ναρκῶσαν τὴν αἴσθησιν. ἔστι δὲ καὶ ἄλλα πολλὰ φάρμακα διὰ τῶν σπερμάτων, ὀνομαζόμενα καὶ τρυγόνος μετριώτερα μὲν εἰς τὴν ἐν τῷ παραχρῆμα νάρκην. ἀκινδυνότερα δὲ, εἰς τὸ μέλλον. ἅπαντα δ' ἀμείνω καὶ ταῦτα μετ' ἐνιαυτὸν τοῦ συντίθεσθαι λαμβανόμενα. τό γε μὴν τοῦ Φίλωνος εἰ καὶ δυοῖν ἢ καὶ τριῶν ἢ καὶ τεττάρων ἐτῶν εἴη, πολὺ δή που βέλτιον. οὐκ ἄχρηστον δ' οὐδ' ἐν τοῖς ἐφεξῆς ἔτεσιν ἄχρι που ἐτῶν δέκα. τὸ γὰρ ἐπὶ πλέον κεχρονισμένον, ἀβλαβέστερον μὲν εἰς τοσοῦτον, εἰς ὅσον χρονιώτερον. ἤδη δ' ἐξίτηλον ἐστὶ τὴν δύναμιν, ὥστε ἀσθενῶς ἀνύειν, οὗ χάριν σκευάσθη. ὥσπερ οὖν χρὴ φυλάττεσθαι καθ' ὅσον οἷόν τε τὴν τῶν τοιούτων φαρμάκων χρῆσιν, οὕτως ἀναγκασθέντας χρήσασθαι, μήτε νέα ἱκανῶς προσφέρειν ἰσχυρὰν ἔτι δύναμιν ἐχόντων τῶν ἐν αὐτοῖς ψυκτικῶν μήθ' οὕτως παλαιὰ ὡς ἁμαρτεῖν τοῦ σκοποῦ. ἀλλ' ὡς εἴρηται τοσοῦτον ἀναμένειν χρόνον ἐν ὅσῳ κολασθήσεται τὸ βίαιον τῶν ψυκτικῶν ὑπὸ τῆς τῶν θερμαινόντων δυνάμεως. ἡ μὲν δὴ τῶν τοιούτων φαρμάκων χρῆσις, ὡς πρὸς σύμπτωμά ἐστιν ἱσταμένον. καὶ μάλιστα ὅταν ὑπὸ ψυχρᾶς αἰτίας ἡ ὀδύνη συνίσταται. βλάπτει γὰρ ἰσχυρῶς τὴν διάθεσιν ὅλην ταῦτα, καὶ δυσλυτον ἀπεργάζεται. φλεβοτομία δέ γε ἡ μὴ καταλύουσα τὴν δύναμιν, οὐ πρὸς τὸ σύμπτωμα βλεπόντων ἐστὶ, ἀλλὰ τὴν διάθεσιν ὅλην ἐκκοπτόντων. οὕτω δὲ καὶ λουτρὸν, καὶ κάθαρσις καὶ πυρία, καὶ οἴνου πόσις. ὧν ἁπάντων Ἱπποκράτης ἐπὶ ὀφθαλμῶν ὀδυνωμένων ἐμνημόνευσεν ἐν ἀφορισμοῖς λέγων ὧδε. » Ὀδύνας ὀφθαλμῶν ἀκρατοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμα» κίη λύει. ἅπαντα γὰρ ταῦτα τὰς διαθέσεις ἰώμενα συνεξιᾶται τὰς ὀδύνας αὐτῶν. οὕτω δὲ καὶ τροφὴ καθάπερ καὶ ἐν τοῖς ἔμπροσθεν εἶπον, ξηρῷ καὶ αὐχμώδει σώματι κάμνοντος στομάχου διδομένη, τὴν διάθεσιν ἰωμένη, κωλύει συγκόπτεσθαι. οὐ μὴν ἥ γε διὰ πλῆθος ψυχρῶν ἤτοι γ' ἔκλυσις ἢ στομαχικὴ συγκοπὴ, τῆς τροφῆς, ὡς ἰάματος, δεῖται. καί τοι πολλάκις ἐν ταῖς τοιαύταις διαθέσεσιν οὐ τροφὴν μόνον, ἀλλὰ καὶ οἶνον τι δοῦναι τοῖς κάμνουσιν ἀναγκαζόμεθα, τὸν ἐν τῷ παραχρῆμα κίνδυνον ἀποτρέποντες, οὐ τὴν διάθεσιν ἰώμενοι. κένωσις γὰρ μᾶλλον ἢ πρόσθεσις ἡ τῶν τοιούτων ἐστὶν ἴασις. καὶ πλείστους ἰδεῖν ἐστι τῶν οὕτως ἐχόντων ὁσημέραι διαφθειρομένους ἀμαθίᾳ τῶν ἰατρῶν. ὑπὲρ ὧν μοι δοκεῖ καιρὸς εἶναι τὸν λόγον ἐπιστήσαντα διελθεῖν. ἄρχονται τοίνυν πυρέττειν ἔνιοι πάμπολυ πλῆθος ὠμῶν χυμῶν ἠθροικότες ἅμα τῷ κεκακῶσθαι τὸ στόμα τῆς γαστρός. ὃ δὴ καὶ στόμαχον ὀνομάζουσιν. ἤτοι γ' ἐξ ἀπεψιῶν ἢ καὶ ἄλλως πως, ἐμπεφύσηται τούτοις τὸ ὑποχόνδριον, ἔν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν ὅλον τὸ σῶμα ἐστί. καὶ ἡ χροιὰ, τοῖς μὲν ἐπὶ τὸ λευκότερόν τε καὶ ὑδαλεώτερον ἐκτέτραπται

τοῦ κατὰ

τὴν φύσιν. ἔστι δὲ οἷς ἐπὶ τὸ μελάντερον ἢ πελιδνότερον, οὓς ἔνιοι τῶν ἰατρῶν ὀνομάζουσι μολιβδοχρῶτας. οἱ σφυγμοὶ δ' ἁπάντων μικρότεροί τε εἰσὶν ἢ κατὰ λόγον τῆς θέρμης, ἀμυδροὶ δὲ καὶ πάντως ἀνώμαλοι. πολλάκις μὲν καὶ τὴν συστηματικὴν ὀνομαζομένην ἀνωμαλίαν, ἀεὶ δὲ τὴν κατὰ μίαν πληγήν, ἐπ' οὐδενὸς τῶν τοιούτων αἵματος ἀφαίρεσις ἄνευ μεγίστης εἴωθε γίγνεσθαι βλάβης. καί τοι δέονταί γε κενώσεως. ἀλλ' οὔτε φλεβοτομίαν, οὔτε κάθαρσιν φέρουσιν. εἴγε καὶ χωρὶς τούτων ἐξαίφνης συγκόπτονται. πῶς οὖν χρὴ τοὺς τοιούτους ἰᾶσθαι δεομένους μὲν κενώσεως, μὴ φέροντας δὲ τὰ κενωτικὰ βοηθήματα; οὐδὲ μίαν ἄλλην εὗρον ἐπ' αὐτῶν κένωσιν, πλὴν τὴν τῆς διατρίψεως. ἄρχεσθαι δ' εὐθέως ἐν ἀρχῇ τῆς νόσου προσήκει. τὸ μὲν πρῶτον, ἀπὸ τῶν σκελῶν ἄνωθεν κάτω διὰ σινδόνων μὴ πάνυ μαλακῶν, ἀλλά τι μέτριον ἐχουσῶν τραχύ. χρὴ γὰρ ἀμύττεσθαι πρὸς αὐτῶν τὸ δέρμα, θερμαίνεσθαί τε ὁμοῦ αὐτὸ καὶ διαφορεῖσθαι δεομένου τοῦ κάμνοντος. ἐφεξῆς δὲ καὶ ὅλας τὰς χεῖρας ἀπὸ τῶν ὤμων ἄνωθεν κάτω κατὰ τὸν αὐτὸν τρόπον τρίβειν. ἐπειδὰν δὲ ἱκανῶς ἅπαντα τὰ κῶλα φαίνηται θερμά, καὶ φόβος ἢ κοπώδη τινὰ αἴσθησιν αὐτοῖς γενέσθαι, τεθλασμένης τῆς σαρκὸς ἐπὶ τῷ πλήθει τῆς θλίψεως, ἐλαίῳ χαλαστικῷ χρηστέον, οἷόν ἐστι τὸ σαβῖνον. ἀπέχεσθαι δὲ τῶν στυφόντων, σπανοῦ, καὶ ἰστρικοῦ. καὶ τοῦ μετὰ θαλλῶν. ἢ ἐξ ὠμῆς ἔτι τῆς ἐλαίας σκευασμένου. χειμῶνος δ' ὄντος, οὐδὲν ἂν εἴη χεῖρον ἐπί τι τῶν διαφορητικῶν ἰέναι, οἷόν περ ἐστὶ τὸ σικυώνιον ἔλαιον, ἢ τὸ διὰ τοῦ χαμαιμήλου, ἢ τὸ παρὰ τοῖς αἰγυπτίοις εὐδοκιμοῦν. εἰ δὲ μὴ παρείη ταῦτα, τῶν ἐλαίων τι τῶν χαλαστικῶν, οἷς οὐδεμία σύνεστι τῆς στύψις. καὶ μάλιστα εἰ παλαιότερον εἴη, λαβόντας, ἐμβαλεῖν αὐτῷ σύμμετρον ἀνήθου. κἄπειτα, ὡς εἰώθαμεν, ἐπ' ἀγγείου διπλοῦ θερμήναντάς τε ὥστε δέξασθαι μετρίως αὐτὸ τὴν ποιότητα τῆς βοτάνης ἀλείφειν τε τούτῳ, τρίβοντας καὶ νῦν ἐπὶ πλεῖστον τὰ κῶλα. μετὰ δὲ ταῦτα, τὸ μὲν ἔλαιον ἀπομάττειν. ἀσηρὸν γὰρ ἰέναι δὲ ἐπὶ τὴν ῥάχιν ὅλην, καὶ ταύτην ἀνατρίβειν ὁμοίως. τὰ μὲν πρῶτα, ξηρᾷ τρίψει. τῷ λίπει δ' ὕστερον. εἶτ' αὖθις, ἐπὶ τὰ σκέλη μετιέναι. κἀκ τούτων αὖθις, ἐπὶ τὰς χεῖρας. εἶτ' αὖθις ἐπὶ τὴν ῥάχιν ὅλης τῆς ἡμέρας οὕτω πράττοντας ἐν οἴκῳ φῶς ἔχοντι καθαρὸν καὶ ἄνικμον. ἔστω δὲ δηλονότι καὶ τῇ θερμότητι σύμμετρος ὁ οἶκος. ἐπιτηδειότατον δὲ τούτοις ἔστω τὸ μελίκρατον ἐναφεψηθέντος ὑσσώπου. καὶ χρὴ μήτε σιτίων αὐτοῖς, μήτε ῥόφημα, μήθ' ὕδωρ διδόναι, μήτ' ἐπιτρέπειν ὅλως πίνειν δαψιλῶς. ἀλλὰ τῷ μελικράτῳ μόνῳ χρῆσθαι, κατὰ τὰς τρεῖς τὰς πρώτας ἡμέρας ἐκ διαδοχῆς τρίβοντα καὶ μόνον ἐκεῖνον ἀνιέντα τὸν καιρόν, ἐν ᾧ περ ἂν ὕπνος αὐτοὺς καταλάβῃ. συνεργεῖ δ' εἰς τοῦτο μάλιστα, καὶ ἡ πλείων τρίψις. ὥστε καὶ κατὰ τοῦτ' ἂν εἴη βοήθημα χρηστόν, οὐ μόνον τὸ κενοῦν, ἀλλὰ καὶ τὸν ὕπνον ἐμποιοῦν. οὐ μὴν οὐδ' ὁ πλείων ὕπνος ἀγαθὸς τοῖς τοιούτοις. οὔτε γὰρ ἐπιτρέπει διαφορῆσαι τοὺς ὠμοὺς χυμούς, καὶ βαρύνει τὰ σπλάγχνα. ἀλλ' εἴπερ τις ἄλλη διάθεσις ἑκατέρων δεῖται μετρίων ὕπνου τε καὶ ἐγρηγόρσεως, οὕτω καὶ ἥδε. πέττει μὲν γὰρ ὁ ὕπνος, διαφορεῖ δὲ ἡ ἐγρήγορσις. ἀμφοτέρων δ' ἐστὶ χρεία τοῖς ἐκ πλήθους ὠμῶν χυμῶν νοσοῦσιν. ἐν μέρει τοίνυν μετρίως γινόμενα, τιμωρεῖν ἀλλήλοις δύνανται χρηστῶς. εἰ μὲν γὰρ ὁ σφυγμὸς αὐτοῖς μικρὸς ἱκανῶς εἴη καὶ ἄρρωστος, ἢ καὶ πρὸς τούτοις ἀνώμαλος ἰσχυρῶς, ἔσχατος ὁ κίνδυνος. καὶ χρὴ πράττειν τὰ λελεγμένα μηδὲν ἄλλο περιεργαζόμενον. εἰ δὲ καὶ τόνου μετρίως ἔχει καὶ μεγέθους, ἄθλιπτός τε εἴη καὶ ὁμαλός, ἐπισκέπτου τὰ κατὰ γαστέρα, καὶ κλύζε θαρρῶν, εἰ μὴ καλῶς αὐτομάτως διεξέρχοιτο. συμβαίνει γὰρ ἐπὶ τῷ μελικράτῳ κενοῦσθαι ταύτῃ χρηστῶς ἅπασαν τὴν περιουσίαν, τὴν ἐν ταῖς πρώταις τῶν φλεβῶν εἰωθυῖαν ἀθροίζεσθαι ταῖς καθ' ἧπάρ τε καὶ μεσεντέριον. εἰ δὲ πλείων τοῦ δέοντος ἡ ὁρμὴ τῶν περιττῶν ἐπὶ τὴν γαστέρα γένοιτο, τὴν μὲν πρώτην, ἐπὶ πλέον ἕψειν τὸ μελίκρατον. ἧττον γὰρ ὑπάγον τὸ τοιοῦτον, τρέφει μᾶλλον. ὥσπερ γε τὸ ὠμόν, ἧττον μὲν τρέφει, μᾶλλον δ' ὑπάγει. μετὰ δὲ ταῦτα φερομένης ἐπὶ πλέον κάτω τῆς περιουσίας, μὴ δ' οὕτως μὲν ἵστασθαι. διδόναι δ' ἀντὶ τοῦ μελικράτου, πτισάνης χυλόν. εἰ δ' ἐπιμένει φερόμενα, τῷ ἐκ τοῦ χόνδρου ῥοφήματι τρέφειν, παρακολουθοῦντα δηλονότι τοῖς σφυγμοῖς. ἔσθ' ὅτε γὰρ ἐξαίφνης μεταβάλλουσιν εἰς ἀρρωστίαν, ἢ ἀνωμαλίαν, ἢ μικρότητα. καθ' ὃν καιρὸν ἄρτον ἐξ οἴνου κεκραμένου διδόναι προσήκει. μήτε γαστρὸς δηλονότι, μήθ' ἥπατος φλεγμαινόντων. ὡς εἴγε φλεγμαίνειεν ὠμῶν χυμῶν πεπληρωμένου τοῦ σώματος, ἀνέλπιστος ὁ κάμνων ἐστὶ τῶν σφυγμῶν οὕτω τραπέντων. ἐπὶ μὲν δὴ τῶν τοιούτων ἀρρώστων προλέγων τὸν θάνατον, ἀνέγκλητον φυλάξαις σεαυτὸν μηδενὶ βοηθήματι γενναίῳ χρώμενος. ἐφ' ὧν δ' ἐλπὶς σωτηρίας, ἐπὶ πάντων δ' ἐστὶ τῶν χωρὶς φλεγμονῆς οὕτω νοσούντων, ὅταν ἐξ ἀρχῆς παραλαμβάνωμεν αὐτούς, αἴσχιστον εἶναί μοι δοκεῖ συγκοπῆναι τὸν κάμνοντα. καί τοι γ' ὁσημέραι γίγνεται τοῦτο διὰ τὴν ἀμαθίαν τῶν ἰατρῶν. ἀλλ' οὐ πρὸς τούτους χρὴ βλέπειν, οὐδὲ τούτοις παραβάλλειν ἑαυτόν. ἀλλ' ὅστις ἂν ὄντως ᾖ τέχνης ἰατρικῆς ἐπιστήμων, αἰσχρὸν εἶναι νομίσει ἐξαίφνης ἄρρωστον συγκοπῆναι, μήτε προειπόντος αὐτοῦ τὸ σύμπτωμα, μήτε παρασκευασαμένου πρὸς αὐτό, μήτε κωλύσαντος. εἴρηται δέ μοι καὶ πρόσθεν ὡς ἐν ταῖς τοιαύταις διαθέσεσιν αὐτοὶ κατασκευάζουσι τὰς φλεγμονάς, οἱ διαπαντὸς τοῖς ὑποχονδρίοις λωβώμενοι διὰ καταπλασμάτων τε καὶ καταντλήσεων. οὔκουν χρηστέον αὐτοῖς, πρὶν ἢ τὸ πολὺ τοῦ πλήθους, τὸ μὲν ἐκκενῶσαι. τὸ δέ, πέψαι. τηνικαῦτα δὲ ἤδη χρηστέον αὐτοῖς, οὐχ ἁπλῶς χαλῶντας, ἀλλ' αἰονῶντας δι' ἀψινθίου μετρίως, ἢν ὁ πυρετὸς ὑπάρχῃ μὴ πάνυ μέγας. εἰ δ' ὡς εἴρηται θεραπεύοντί σοι τὰς τρεῖς τὰς πρώτας ἡμέρας μηδὲν ἀπαντήσει χεῖρον, ἐπὶ τῶν αὐτῶν ἄγειν ἄχρι τῆς ἑβδόμης μελικράτῳ μόνῳ χρωμένους ὕσσωπον ἔχοντι. μακροτάτην γὰρ οἱ οὕτω διακείμενοι φέρουσιν ἀσιτίαν, ἐξ αὐτῶν ὧν ἔχουσιν ὠμῶν χυμῶν πεττομένων, τρεφομένου τοῦ σώματος. εἰ δὲ μὴ μόνον ὠμοὶ τύχοιεν ὄντες, ἀλλὰ καὶ διαφθορᾶς εἰς τοσοῦτον ἥκοντες, ὡς μὴ δύνασθαι πεφθῆναι τελέως, ἀδύνατον σωθῆναι τοὺς οὕτω νοσοῦντας. ἀλλὰ τούς γε σωθῆναι δυναμένους εἰ μηδὲν ἁμαρτάνοιτο, μέχρι τῆς ἑβδόμης, ἐπὶ μελικράτῳ μόνῳ διαιτᾶν, ἢ εἴ ποτ' ἄρα δεήσειεν ἤτοι τῆς γαστρὸς ἐκκενούσης, ἢ ἀποστραφέντων αὐτῶν τὸ μελίκρατον, ἐπὶ τὸν τῆς πτισάνης ἰέναι χυλόν. εἰ δὲ καὶ τοῦτον ἀποστρέφοιντο, χόνδρον ὁμοίως ἀρτύειν πτισάνῃ. καὶ μὲν οὐδὲ βλάπτει τοὺς οὕτω διακειμένους ὄξος. ἀλλ' ἢν αἴσθοιό ποτε παχεῖς ἱκανῶς εἶναι τοὺς ὠμούς, ὀξύμελι διδόναι διὰ παντὸς ἀντὶ τοῦ μελικράτου. εἰ δ' ἄχθοιντο τῷ

συνεχεῖ τῆς δόσεως, ἐξαλλάττειν μὲν ἐπὶ μελίκρατον καὶ πτισάνην. ἐπανέρχεσθαι δ' αὖθις ἐπ' αὐτό. μάλιστα δὲ ἐπὶ τῶν μικρὸν ἐχόντων καὶ ἀραιὸν καὶ βραδὺν τὸν σφυγμὸν ἡγεῖσθαι ψυχροὺς εἶναι τοὺς χυμούς. εὐθὺς δὲ τούτοις σύνεστι καὶ ἡ τοῦ παντὸς σώματος ἄχροια σαφῶς, οἵα περ πρόσθεν εἴρηται. δόξει δέ τισιν ἴσως ἀδύνατον εἶναι τὸ λεγόμενον, οὐδενὶ τῶν πυρεσσόντων οὔτε βραδυτέρων οὔτε ἀραιοτέρων γινομένων τῶν σφυγμῶν ἀλλὰ κατὰ διττόν γε τρόπον ἀληθὲς ὑπάρχει τὸ εἰρημένον. ἕνα μὲν ἐπειδὴ σαφῶς ἐν τοῖς παροξυσμοῖς καὶ βραδύτεροι καὶ ἀραιότεροι γίνονται τοῦ κατὰ φύσιν, ἕτερον δέ, διότι καὶ κατὰ τοὺς ἄλλους καιροὺς τοῦ παροξυσμοῦ πάντων τῶν ὁπωσοῦν πυρεττόντων, ἀραιότερόν τε καὶ βραδύτερον αἱ τούτων ἀρτηρίαι σφύζουσιν. εἰ μὲν γὰρ δὴ θέρος εἴη, καὶ ψυχροπότης ὁ νοσῶν, ψυχρὸν τούτῳ διδόναι τὸ ὀξύμελι· χειμῶνος δ' ὄντος, ἅπασι θερμὸν ὡσαύτως ψυχροπόταις τε καὶ θερμοπόταις. ὥσπερ εἰ καὶ ἄμετρον καῦμα θέρους ὥρᾳ ψυχρὸν καὶ τοῖς θερμοπόταις, εἰ μηδὲν εὐπαθὲς ἔχοιεν σπλάγχνον. ἐναντιώτατα δὲ τούτοις ἐστὶ βαλανεῖα, καὶ ὁ περιέχων ἀὴρ εἰ θερμὸς ἱκανῶς ἢ ψυχρός. ὅθεν οὔτε λούειν προσήκει, καὶ κατακλίνειν ἐν οἴκῳ ὥρᾳ μὲν θέρους ψυχεινῷ, χειμῶνος δ' ἀλεεινῷ. βλάπτονται γὰρ ἱκανῶς ὑφ' ἑκατέρας τῆς ἀμετρίας. ἐν μὲν τοῖς βαλανείοις, ὡς κἂν τῷ θέρει καὶ πάσῃ τῇ κατὰ τὸ θερμὸν αὐξήσει χεομένων τῶν ὠμῶν χυμῶν, καὶ πάντῃ τοῦ σώματος ῥεόντων, ὡς κίνδυνον εἶναι καὶ πρὸς τὸν πνεύμονα καὶ τὴν καρδίαν ἀφικέσθαι, καί ποτε καὶ εἰς τὸν ἐγκέφαλον ἀναδραμεῖν, ἄμεινον ὑπάρχον μακρῷ περί τε τὸ ἧπαρ αὐτοῖς ἔτι μένειν, καὶ τὰς πρώτας φλέβας. ἐν δὲ τοῖς ἀμέτρως ψυχροῖς οἴκοις καὶ χειμῶνι καὶ ὅλως ψυχρῷ τῷ περιέχοντι, δύσπεπτοί τε μένουσι οἱ ὠμοὶ χυμοί, καὶ τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις. εἰ μὲν εἶεν μακραί, παραυξοῦσιν. εἰ δ' οὐκ εἶεν, γεννῶσι διὰ πάχος ἰσχόμενοι καὶ σφηνούμενοι. ταῦτα μὲν οὖν οὕτω πρακτέον, ὅταν ἀπὸ πρώτης ἡμέρας αὐτὸς ἄρχῃ τῆς θεραπείας αὐτῶν. εἰ δὲ συγκοπτομένων ἤδη κληθείης ἀφλεγμάντων ὄντων ὧν εἶπον χωρίων, διδόναι μὲν αὐτοῖς ἄρτου μὴ πολύ, δι' οἴνου δὲ τὴν ἀνάδοσιν ἐργαζομένων ταχεῖαν. εὐθέως δὲ ἐπὶ τὴν τρίψιν ἰέναι, καὶ χρῆσθαι κατὰ τὸν εἰρημένον ὀλίγον ἔμπροσθεν τρόπον. εἰ μὲν οὖν εἴη θέρος καὶ τὸ χωρίον φύσει θερμὸν καὶ πνιγῶδες, ἢ ἡ κατάστασις ἱκανῶς θερμή, μεθ' ὕδατος ψυχροῦ δοτέον τὸν οἶνον. εἰ δὲ μηδὲν τῶν τοιούτων εἴη, μετὰ θερμοῦ. τὸ μέντοι δεύτερον καὶ τρίτον, ἐκ παντὸς τρόπου πειρᾶσθαι θερμὸν διδόναι ποτόν. εἰς γὰρ τὴν ὅλην θεραπείαν ἧς ἕνεκα καὶ τὰς τρίψεις παραλαμβάνομεν, ἄμεινον τὸ θερμὸν ταῖς πέψεσι τῶν ὠμῶν χυμῶν συνεργοῦν. ἐφ' ὧν δὲ διὰ χολὴν ξανθὴν ἀδικήσασαν τὸ στόμα τῆς γαστρὸς ἡ συγκοπὴ γένοιτο, ψυχρὸν τούτοις χρὴ προσφέρειν τὸ ποτόν. οἶνον μέντοι τῇ φύσει θερμὸν εἰς ἀνάδοσιν ὁρμῶντα, τοῖς συγκοπτομένοις ἅπασι δοτέον. ἀναδοθῆναι γὰρ βουλόμεθα τὴν ληφθεῖσαν τροφήν, οὐκ ἐν τῇ γαστρὶ μεῖναι. δῆλον δὲ ὅτι τοὺς οἴνους κιρροὺς μὲν τῇ χροιᾷ, λεπτοὺς δὲ τῇ συστάσει, παλαιοὺς δὲ τὴν ἡλικίαν ἐκλεκτέον. εὐθὺς δ' ἂν εἶεν εὐώδεις οἱ τοιοίδε, καὶ μέντοι καὶ αὐτῷ τῷ πάρεστι καταπίνοντι βραχὺ κραθέντων αὐτῶν, αἰσθάνεσθαι θερμασίας, εἰς ὅλον ἰούσης τὸ σῶμα. μὴ μέντοι πικροί γε ἔστωσαν ὑπὸ παλαιότητος οἱ οἶνοι, καὶ μάλιστα ἐφ' ὧν ὁ τοῦ κάμνοντος στόμαχος ὑπὸ τῆς ξανθῆς ἀδικεῖται χολῆς. οὔτε γὰρ ἔτι τὸ τῶν οἴνων εὔχυμον καὶ τρόφιμον ἔχουσιν οἱ τοιοῦτοι καὶ ἀηδεῖς ὄντες αὐτῷ τούτῳ τὸν στόμαχον ἀνιῶσιν. ἄριστοι τοίνυν εἰσὶν ὅσοι τῶν οἴνων αὐστηροὶ τὴν φύσιν ὄντες, αἰσθητὴν μὲν οὐκέτι τὴν στύψιν ἔχουσι διὰ τὴν παλαιότητα. σαφῆ δ' ἱκανῶς τὴν θερμασίαν. ἅπαντα γὰρ ὧν δεόμεθα ποιήσουσιν, ἐφ' ὧν ὁ στόμαχός ἐστι πικρόχολος. ἡδέως τε λαμβανόμενοι καὶ πέψει καὶ ἀναδόσει συνεργοῦντες. καὶ τὴν κακίαν τοῦ χυμοῦ πραΰνοντες. καὶ θερμὴν τὴν ἕξιν ἐργαζόμενοι. καὶ ῥωννύοντες τὸν στόμαχον. ἄριστοι δ' εἰσὶ τῶν τοιούτων οἴνων, σουρεντῖνος, σιγνῖνος, τιβουρτῖνος, μάρσος. ἰταλιῶται πάντες οὗτοι στύφοντες μὲν ἀλλ' οὐχ ὁμοίως ἅπαντες. ὁ μὲν γὰρ σουρεντῖνος, μετρίως τε στύφει καὶ θερμότερος τῶν ἄλλων, καὶ ἡδίων ἐστίν. ἐφεξῆς δ' ὁ τιβουρτῖνος ὁ εὐγενής. ἔστι γάρ τις καὶ ἄλλος τιβουρτῖνος ὁμοίως σαβίνῳ, βραχείας μετέχων στύψεως. ὁ δὲ σιγνῖνος, αὐστηρότερος. καὶ τούτου πολὺ μᾶλλον ὁ μάρσος. πάντες οὗτοι χρηστοὶ πικροχόλῳ στομάχῳ. καὶ διὰ τοῦτ' αὐτοῖς χρηστέον, ὅταν γ' ἤτοι ὑπὸ καυσωδῶν πυρετῶν ἀδικηθεὶς ἐπιφέρῃ συγκοπήν. ἢ καὶ ἄλλως πολλῆς εἰς αὐτὸν ἤτοι ῥυείσης ἢ ἀναποθείσης χολῆς. οἷς μέντοι δι' ὠμοὺς χυμοὺς ὁ κίνδυνος τῆς συγκοπῆς, ὁ φαλερῖνος ἀμείνων τῶν εἰρημένων εἰς τοσοῦτον, εἰς ὅσον εὐχυμότερός τε ἐστὶ καὶ θερμότερος. ἀναδοθήσεται γὰρ αὐτῶν θᾶττον, καὶ τῇ πέψει τῶν ὠμῶν χυμῶν συνεργήσει. τῶν δ' εἰρημένων ἕκαστος, ὁ μὲν μᾶλλον, ὁ δ' ἧττον, ἅπαντες δ' οὖν φαλερῖνοι τονοῦσι μᾶλλον τὸν στόμαχον. ἐπεὶ δὲ καὶ αὐτῶν τῶν φαλερίνων, ὁ μέν τις ἱκανός ἐστι γλυκύς ὃν ὀνομάζουσι φαυστῖνον, ὁ δ' ὡς μὲν πρὸς ἐκεῖνον, αὐστηρός, ὡς δὲ πρὸς τὸν σιγνῖνόν τε καὶ μάρσον γλυκύς, ἐκλεκτέον εἰς τὰ τοιαῦτα τὸν δεύτερον. εἰ δ' ὁ κάμνων εἴθιστο χρῆσθαι παρὰ τὸν τῆς ὑγείας χρόνον οἴνοις γλυκέσιν, οὐδὲν κωλύει τούτῳ δοῦναι τὸν γλυκύτερον φαλερῖνον. ἐπὶ μέντοι τῆς Ἀσίας καὶ τῆς Ἑλλάδος, ὅσα τε τούτοις ἔθνη γειτνιᾷ, μὴ παρόντων τῶν εἰρημένων οἴνων ἔστιν ὅτε κάλλιστος πρὸς ἀνάδοσιν τῶν ἐν ἐκείνοις τοῖς χωρίοις εὐπορουμένων οἴνων, ὁ ἀρουίσιός τε καὶ ὁ λέσβιος. ὁ μὲν οὖν λέσβιος εὔδηλός ἐστι κἀκ τῆς προσηγορίας ἐν Λέσβῳ γινόμενος. ὁ δ' ἀρουίσιος, ἐν χωρίοις τισὶ τῆς Χίου γεωργεῖται. τριῶν δὲ οὐσῶν ἐν Λέσβῳ πόλεων, ἧττον μὲν εὐώδης καὶ γλυκὺς ἐν Μιτυλήνῃ γεννᾶται. μᾶλλον δ' εὐώδης καὶ γλυκύς, ἐν Ἐρέσσῳ. κἄπειτα ἐν Μεθύμνῃ. λαμβάνειν δ' ἀπαραχύτους, οὕτω δ' ὀνομάζουσιν οἷς οὐ μέμικται θάλασσα, μεγίστην βλάβην ἡγουμένους ἐφ' ὧν μέμικται γενήσεσθαι. οὐ μὴν οὐδὲ εἰώθασι τοῖς εὐγενέσιν οἴνοις, ὑπὲρ ὧν ὁ λόγος ἐστὶ μιγνύναι τῆς θαλάσσης ἐν Λέσβῳ καθάπερ οὐδ' ἐν Χίῳ τῷ ἀρουισίῳ. γεννᾶται δὲ καὶ κατὰ τὴν ἑλλησποντιακὴν Μυσίαν οἶνος ὅμοιος τῷ σουρεντίνῳ, μύσιος ὀνομαζόμενος κατ' ἐξοχήν. οὗτοι πάντες οἱ οἶνοι, κιρροί, καὶ θερμοί, καὶ εὐώδεις εἰσί. καὶ τῇ συστάσει μέσοι τῶν θ' ὑδατωδῶν καὶ τῶν παχέων. ὑδατώδεις μὲν οὖν εἰσι τὴν σύστασιν, ὅ, τε ἀδριανός, καὶ σαβῖνος, καὶ ἀλβανός, καὶ γαυριανός. καὶ θοῦσκος. ὅ, τε νεαπολίτης ὁ ἀμιναῖος, ἐν τοῖς περὶ Νεάπολιν χωρίοις γεννώμενος. ὥστε καὶ ὀνομάζουσιν οὕτως αὐτόν. ἐπὶ δὲ τῆς Ἀσίας, ὅ, τε τιβηνῖνος, καὶ ὁ τιτακαζηνός. καὶ τρίτος μετ' αὐτούς, ὁ ἀρσυῖνος. ἔμπαλιν δὲ παχεῖς οἶνοι καθάπερ τὸ σίραιον, ὃ παρ' ἡμῖν ὀνομάζουσιν ἕψημα, ὁ σκυβελλίτης καὶ ὁ θηραῖος ἀλεάτης. ἐπὶ δὲ τῆς

Ἀσίας,

Ἀσίας, αἰγιαλίτης τε καὶ περπερῖνος. ἐφ' ὧν οὖν διὰ πλῆθος ὠμῶν χυμῶν ἡ συγκοπὴ γίγνεται, τοὺς μὲν παχεῖς, φευκτέον ὡς βλάπτοντας. τοὺς δὲ ὑδατώδεις, ὡς ἀπράκτους· αἱρετέον δὲ τοὺς μέσους αὐτῶν κιῤῥοὺς ὡς εἴρηται καὶ θερμοὺς ὄντας. οὐδὲ γὰρ ἂν εὕροις οὐδένα τῶν λευκῶν οἴνων, θερμόν. ὅπου γε καὶ οἱ αὐστηροὶ καὶ μετρίως λευκοὶ παλαιούμενοι, κιῤῥότεροί πως γίνονται. εἰ δ' ἄλλως ἐθέλεις ὀνομάζειν τὸ κιῤῥὸν χρῶμα, δύναιο ἂν λέγειν πυῤῥὸν ὠχρόν. ὅσοι δ' ἐν αὐτοῖς εἰσὶ θερμότατοι, ξανθοὶ πάντες εἰσίν. ὁποῖος καὶ ὁ κίκυβος ἐπὶ τῆς Ἰταλίας. ὃς οὐχ ἕν τι γένος ἐστὶν οἴνου τοιούτου ἐξ ἀρχῆς, ὡς ἔνιοι νομίζουσιν, ἀλλ' ὑπὸ παλαιότητος εἰς τοῦθ' ἥκων, ὡς πυῤῥὰν ἔχειν χρόαν. ὅθεν περ καὶ τοὔνομα αὐτοῖς. ἥκουσι δ' οὐ πάντες εἰς τοῦτο φθάνοντες παχύνεσθαι, πρὶν ἐν τῷ διαυγεῖ τὸ ξανθὸν λαβεῖν χρῶμα. τῶν δ' ἄλλων οἴνων τῶν αὐστηρῶν ὅσοι μετρίως λευκοὶ καὶ παχεῖς, οὐδεὶς ἐπιτήδειος εἰς ἀνάδοσιν. εἰ μέντοι παλαιωθεῖεν ἱκανῶς, χρήσαιτ' ἄν τις αὐτοῖς ἑτέρων μὴ παρόντων. δυσστόμαχοι δ' εἰσὶν οἱ τοιοῦτοι πάντες παλαιούμενοι. ὅπως δὲ καὶ τούτων ἔχοις τι παράδειγμα τοῦ τ' ἀπὸ τῆς Νικομηδείας ἀναμιμνήσκω σε πᾶσιν ἀνθρώποις γνωρίμου, καὶ τοῦ σικελοῦ τοῦ ἀμιναίου τοῦ ἐν τοῖς μεγάλοις κεραμείοις. ὁ γὰρ ἐν τοῖς μικροῖς λαγυνίοις ἐναντιώτατος ὅδε, κακοστόμαχος ἅμα καὶ κεφαλαλγὴς ὑπάρχων. πειρᾶσθαι μὲν οὖν ἀεὶ τὸν ἄριστον αἱρεῖσθαι. μὴ παρόντος δὲ, τὸν ὁμοιότατον ἐκείνῳ, κατὰ τὰ λελεγμένα γνωρίσματα. κάλλιστοι γοῦν εἰς ἀνάδοσιν, ὅ τ' ἀρούσιος ἐστὶ, καὶ ὁ λέσβιος. ἀλλ' εἰ μὴ παρείη, ἐν Ἀσίᾳ δὲ εἴημεν, ἤτοι τὸν ἀφροδισιαῖον ληπτέον, ἢ τὸν αὐστηρὸν τμωλίτην, ἤ τινα τῶν ὁμοίων αὐτοῖς, κιῤῥὸν τῇ χρόᾳ καὶ θερμαίνοντα σαφῶς εἰ ποθείη παραχρῆμα. ἐπισκέπτεσθαι δὲ χρὴ πρὸ πάντων ὁποία τίς ἡ τοῦ κάμνοντός ἐστι φύσις, εἰ μὲν γὰρ ἀσθενὴς τὴν κεφαλὴν εἴη, καὶ ῥᾳδίως ὑπὸ τῶν θερμῶν οἴνων πληρούμενος, ἐπὶ τοὺς ἧττον θερμοὺς ἔρχεσθαι μᾶλλον χρή. εἰ δ' ἰσχυρὸς τὴν κεφαλὴν ᾖ, καὶ χαίρων οἴνοις τοῖς τοιούτοις, ἢ εἰθισμένος ἀλύπως φέρειν, χρηστέον αὐτοῖς θαῤῥούντως. κεφαλαλγεῖς δέ εἰσιν ὅσον ἐφ' ἑαυτοῖς οἶνοι πάντες οἱ εὐώδεις καὶ κιῤῥοί. διὰ τοῦτο καὶ ὁ φαλερῖνος, καὶ ὁ τμωλίτης, καὶ ὁ λέσβιος, ἀσθενεῖ κεφαλῇ βλαβεροί, ὁποία δὲ ἐν τοῖς φαλερίνοις οἴνοις εἴρηται διαφορὰ, τοιαύτη κἂν τοῖς τμωλίταις. ὁ μὲν γὰρ ἕτερος, ἱκανῶς γλυκύς. ὁ δὲ ἕτερος, αὐστηρὸς, ὡς ἐκείνῳ παραβάλλειν. θερμοὶ δ' ἱκανῶς ἀμφότεροι, καὶ διὰ τοῦτο κεφαλαλγεῖς. οἱ δὲ αὐστηροὶ, τήν τε γαστέρα ῥωννύουσι, καὶ ἄλυποι τῇ κεφαλῇ πάντων οἴνων μάλιστ' εἰσίν. εἰς ἀνάδοσιν δὲ οὐχ ὁρμῶσιν. ὥστε τούτοι φευκτέον αὐτοὺς ἐπὶ τῶν συγκοπτομένων, οὐδὲν ἧττον ὕδατος. ἐπιτήδειος δὲ εἰς ἀνάδοσιν καὶ ὁ ἱπποδαμάντειος παλαιωθεὶς ἐκ τῆς ἰδέας ὢν τοῦ τε φαλερίνου γλυκέος, καὶ τοῦ τμωλίτου. πρόσεστι δὲ αὐτῷ στύψις σαφὴς, ὅπερ ἐκείνων οὐδετέρῳ. καὶ διὰ τοῦτ' ἐστὶν εὐστομαχώτερος. ἀποροῦντι δέ σοι τῶν οἰκείων οἴνων, ἐν ἑκατέρᾳ τῇ συγκοπῇ, λέγω δὲ τῇ τε διὰ πλῆθος ὠμῶν, καὶ τῇ διὰ χολὴν, ἀναγκαζομένῳ τε πάντως οἴνῳ χρήσασθαι, φευκτέον μὲν ὡς εἴρηται, πάντες οἱ αὐστηροὶ καὶ νέοι. φευκτέοι δὲ καὶ οἱ παχεῖς. αἱρετέοι δὲ οἱ ὑδατώδεις, καὶ μᾶλλον εἰ παλαιοὶ τύχοιεν ὄντες. οὐ θερμαίνουσι μὲν γὰρ ἱκανῶς οἱ τοιοῦτοι. ῥᾳδίως δὲ ἀναδίδονται. ὥστε τοῦ τάχους τῆς ἀναδόσεως κοινοῦ τοῖς τοιούτοις οἴνοις πρὸς τοὺς κιῤῥοὺς ὄντος, ἡ διαφορὰ γένηται ἂν ἐν τοῖς δε. πέψει μὲν τῇ κατὰ τὴν γαστέρα καὶ φλέβας, οἱ κιῤῥοὶ συναίρονται μᾶλλον, ὅτι καὶ μᾶλλον θερμαίνουσι. ἐπικεραστικοὶ δ' εἰσὶ καὶ θρεπτικοί. καὶ διὰ τοῦτο καὶ ταῖς εὐχυμίαις συντελοῦσιν, ὧν οὐδὲν ὑπάρχει τοῖς ὑδατώδεσιν. ἥκιστα γὰρ ἐκ τῆς τούτων οὐσίας ὁμοιοῦταί τι τῷ αἵματι. πληττόντων δὲ τῶν κιῤῥῶν τὴν κεφαλὴν, ἀλυπότατοι πεφύκασιν οἱ ὑδατώδεις. οὐρητικοὶ δέ εἰσιν ἁπάντων οἴνων μάλιστα. δεύτεροι δ' ἐπ' αὐτοῖς, ὅσοι λεπτότατοι τῶν κιῤῥῶν· οὓς μάλιστ' ἄν τις εἰς συγκοπὰς αἱροῖτο. βραδυπορώτεροι δὲ τούτων, οἱ κιῤῥοὶ καὶ παχεῖς. ἀλλ' ὅμως τῶν αὐστηρῶν ἁπάντων ποριμώτεροι. τρέφουσι δὲ μᾶλλον τῶν λεπτῶν, κακοχυμίαν τε τάχιστα πάντων τῶν οἴνων ἐπανορθοῦνται, χρηστὸν αἷμα γεννῶντες. ἐπ' ἀρχὴν οὖν αὖθις ἐπαναγάγωμεν τὸν λόγον. ὅτι μὲν οὖν ἡ συγκοπὴ κατάπτωσίς ἐστιν ὀξεῖα δυνάμεως, εἴρηται τοῖς πρὸ ἡμῶν. ἐπεὶ δὲ ἡ οὐσία τῶν διοικουσῶν ἡμᾶς δυνάμεων ἔν τε τῷ πνεύματι, καὶ τῇ τῶν στερεῶν σωμάτων ἐστὶ κράσει, ταῦθ' ἡμῖν φυλακτέον ἐστὶ παρόντα, καὶ ἀνασωστέον διαφθειρόμενα. πῶς μὲν οὖν χρὴ φυλάττειν αὐτὰ κατὰ τὸν τῆς ὑγείας χρόνον, ἐν τοῖς ὑγιεινοῖς δεδήλωται. πῶς δὲ ἐν ταῖς νόσοις, εἴρηται μὲν ἤδη καὶ διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων. εἰρήσεται δὲ καὶ νῦν. οὐ μὴν ἤδη γέ πω τὸ σύμπαν εἰς πρέπουσαν ἧκε σύνοψιν. οὐδὲ τοιαύτην ἔχει μέθοδον οἵαν τ' ἄλλα τὰ πρότερα. ὅπερ οὖν ἐνδεῖ, προσθεῖναι καιρός. τὴν τοῦ πνεύματος οὐσίαν ἅμα τοῖς στερεοῖς σώμασι φυλακτέον ἡμῖν ἐστὶν ἐν ταῖς νόσοις. ὥστε καὶ τῇ ποιότητι καὶ τῇ ποσότητι καθ' ὅσον ἐνδέχεται κατὰ φύσιν ἔχειν αὐτά. εἰ μὲν οὖν ἐνεχώρει τοῦ τε μὴ κενοῦσθαί τι τῆς οὐσίας αὐτῶν, καὶ τοῦ μὴ δ' ὅλως ἀλλοιοῦσθαι προνοήσασθαι, τοῦτ' ἂν ἦν ἄριστον. ἐπεὶ δ' ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασιν ἀδύνατον ἐδείχθη τὸ τοιοῦτον ὑπάρξαι ποτὲ περὶ γεννητῷ σώματι, πειρᾶσθαι χρὴ τὸ μὲν ἐκρέον τῆς οὐσίας, ἐπανορθοῦσθαι προσθέσει, τὸ δὲ ἀλλοιούμενον, εἰς εὐκρασίαν ἐπανάγειν διὰ ἐναντίας ἀλλοιώσεως. εἰ μὲν οὖν ἥτε κένωσις ἥτε ἀλλοίωσις γίγνοιτο κατὰ βραχὺ, καὶ ἡ ἐπανόρθωσις ἀμφοῖν ἔσται κατὰ βραχύ. καὶ τοῦτ' ἐστὶν ἔργον, ὡς ἐδείχθη, τῆς ὑγιεινῆς τέχνης. εἰ δὲ καὶ ἀθρόως καὶ κατὰ μεγάλα μὴ μόνον αἱ κενώσεις, ἀλλὰ καὶ αἱ προσθέσεις ποτὲ γίγνοιντο, νόσος ἂν οὕτω γε συσταίη. θεραπευτικῆς δ' ἂν εἰς τὴν ἴασιν αὐτῶν δεοίμεθα μεθόδου. ὥσπερ οὖν τῆς ὑγιεινῆς ἦν ἔργον τὸ κατὰ μικρὰ τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπὴν ἐπανορθοῦσθαι, οὕτω τῆς θεραπευτικῆς ἐστὶ, τὸ κατὰ μεγάλα. τοῦ μὲν δὴ ψυχικοῦ πνεύματος ἐναργῶς ἐδείξαμεν οἷον πηγήν τινα οὖσαν τὸν ἐγκέφαλον, ἀρδόμενον καὶ τρεφόμενον διά τε τῆς εἰσπνοῆς, καὶ τῆς ἐκ τοῦ δικτυοειδοῦς πλέγματος χορηγίας. τοῦ δὲ ζωτικοῦ πνεύματος, οὐχ ὁμοίως μὲν ἐναργὴς ἡ ἀπόδειξις ἦν. οὐ μὴν ἀπίθανόν γε κατά τε τὴν καρδίαν αὐτὸ καὶ τὰς ἀρτηρίας δοκεῖν περιέχεσθαι τρεφόμενον, καὶ τοῦτο, μάλιστα μὲν ἐκ τῆς ἀναπνοῆς, ἤδη δὲ καὶ τοῦ αἵματος. εἰ δ' ἔστι τι καὶ φυσικὸν πνεῦμα, περιέχοιτ' ἂν καὶ τοῦτο κατά τε τὸ ἧπαρ, καὶ τὰς φλέβας. εἴρηται δὲ ἐπὶ πλεῖστον ὑπὲρ οὐσίας δυνάμεων, ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων. ἡ δὲ τῶν στερεῶν σωμάτων οὐσία, δεῖται μὲν δή που ποσότητος

ὑπάρχειν. καὶ διὰ τοῦτο αἱ τροφαὶ διασώζουσι τὸ θνητὸν γένος. οὐ μὴν ἧττον εὐκρασίας χρήζει τῶν συνθετικῶν αὐτῶν στοιχείων. καὶ λέλεκται πολλάκις ἤδη δι' ὧν χρὴ φυλάττειν αὐτὴν εὔκρατον. ἀλλ' ἥγε κατάπτωσις τῆς δυνάμεως, ὑπὲρ ἧς νῦν πρόκειται λέγειν, ὑπὸ μὲν τῇ τῶν στερεῶν οὐσίᾳ διαφθειρομένῃ κατά γε τὰ χρονιώτατα νοσήματα, γίγνεται πολλάκις ἀτροφίᾳ λεπτυνθέντος τοῦ ζώου, καὶ τῶν ὀξέων ἐν τοῖς συντηκτικοῖς πυρετοῖς. ὑπὸ δὲ τῇ κράσει μεταβαλλούσῃ θερμανθέντων αὐτῶν ἀμέτρως, ἢ ψυχθέντων, ἢ ὑγρανθέντων, ἢ ξηρανθέντων, ἢ κατὰ συζυγίαν τι τούτων παθόντων. ἡ δὲ τοῦ πνεύματος ἀλλοίωσις, διά τε μοχθηρὸς γίγνεται χυμὸς, καὶ τὴν τοῦ περιέχοντος ἀέρος κακίαν ἄλλοτε ἐξ ἄλλης αἰτίας εἰς τοῦτ' ἀχθέντος. ἔτι τε τὰς δηλητηρίους δυνάμεις, ἢ τοὺς τῶν ἰοβόλων ζώων ἰούς. ἀλλ' ἐξῃρήσθω γε ταῦτα τῆς ἐνεστώσης ὑποθέσεως. ἡ δὲ τῆς οὐσίας τοῦ πνεύματος φθορὰ γίνεσθαι διά τε κινδυνεύουσα. καὶ ἡ ἤδη γινομένη διά τε πάθος ψυχικὸν, καὶ ὀδύνην ἰσχυρὰν, καὶ κινήσεις πλείους. ἐξ οὗ γένους ἐστὶ καὶ ἀγρυπνία. καὶ προσέτι δι' ὑπερβάλλουσαν αὐτοῦ λεπτότητα, καὶ τῶν περιεχόντων αὐτὸ σωμάτων ἀραίωσιν. καὶ δὴ καὶ πρὸ τούτων ἁπάντων δι' ἐπίσχεσιν τῆς ἀναπνοῆς, καὶ τροφῆς χρείαν ἐπανορθώσεως ἀκριβεστέρας δεῖται. τὰ μὲν οὖν πάθη τὰ ψυχικὰ, φόβοι τέ εἰσιν ἐξαιφνίδιοι καὶ σφοδροὶ, οὓς ἐκπλήξεις καλοῦσιν. αὐτῶν ἐναντίαι τοῖς φόβοις ἡδοναὶ μέγισται. καλοῦσι δὲ καὶ ταύτας περιχαρείας. ἴσμεν γὰρ ἐξ ἀμφοῖν ἀποθανόντας τινάς. ἤδη δὲ καὶ οἱ ἄλλοι φόβοι πάντες οἱ μεγάλοι σὺν ταῖς μεγίσταις ἡδοναῖς, εἰ καὶ μὴ ἀπέκτειναν, ἀλλ' ἔκλυτον ἐργάζονται καὶ ἄτονον τὸ πνεῦμα. καὶ λῦπαι δὲ καὶ ἀγωνίαι καὶ θυμοὶ καὶ φροντίδες, ἐν οἵῳ τρόπῳ καὶ αἱ πλείους ἀγρυπνίαι, βλάπτουσι καταλύουσαι τὴν δύναμιν. ἐν μὲν δὴ τούτοις ἅπασιν αὐτὴ καθ' ἑαυτὴν ἡ ψυχὴ κινεῖται. κατὰ δὲ τὰς πρακτικὰς ἐνεργείας, τὸ σῶμα κινεῖ. καταλύει δὲ αὐτῆς τὸν τόνον ἑκάτερα τὰ γένη τῶν οἰκείων κινήσεων, εἰς ἀμετρίαν ἐκταθέντα. περὶ δὲ πόνων, τί δεῖ λέγειν; ὅπως ἀνεῖλον μέν τινας αὐξηθέντες ἐπὶ τὸ σφοδρότερον, ἔβλαψαν δὲ πάντας εἰ καὶ μὴ τύχοιεν ἀποκτείναντες. ἐν τοῖς τοιούτοις ἅπασιν ἐναργῶς φαίνονται λειποθυμοῦντές τε καὶ καταλυόμενοι τὴν δύναμιν οἱ κάμνοντες. ἔνιοι δ' ὡς εἴρηται καὶ ἀποθνήσκοντες. ἔσθ' ὅτε μὲν ἀπολλυμένου τοῦ πνεύματος, ἔσθ' ὅτε δὲ ἀλλοιουμένου. ποτὲ δὲ ἐκ μέρους διαφορουμένου. πολλάκις δ' ἀμφότερα ταῦτα πάσχοντος. δίειρηται γὰρ ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἔν ἄλλοις τέ τισι κἀν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων. εἰς δέ γε τὰ παρόντα, τὸν μὲν τρόπον ᾧ βλάπτειν ἕκαστον πέφυκεν, οὐκ ἀναγκαῖον ζητεῖν. τὸ δὲ ὅτι βλάπτει λαβόντα παρὰ τῆς ἐναργείας, χρῆσθαι συμφερόντως εἰς φυλακὴν δυνάμεως ἐν νόσοις. οὕτω δ' εἰ καὶ λεπτυνθείη ποτὲ περαιτέρω τοῦ δέοντος, ἡ τῶν διοικούντων ἡμᾶς πνευμάτων οὐσία, γίγνοιτ' ἂν ἀσθενὴς κατ' ἀμφότερα. καὶ ὡς ἠλλοιωμένη τὴν κρᾶσιν, καὶ ὡς εὐσκέδαστος, ἢ εὐδιαφόρητος, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλει γεγενημένη. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ καὶ τὸ σῶμα σύμπαν εἰς ἄμετρον ἐκτραπείη μανότητα, διαφοροῖτ' ἂν ἡ τῶν πνευμάτων οὐσία ῥᾳδίως αὐτή τε λεπτομερὴς ὑπάρχουσα, καὶ τῶν σωμάτων μὴ στεγόντων αὐτήν. οὔκουν οὐδ' ἀραιοῦν ἀμέτρως χρὴ τοῦ νοσοῦντος τὸ σῶμα συνέχειν ἐν ἑαυτῷ τὸ πνεῦμα προαιρούμενον. οὔτε λεπτύνειν ἰσχυρῶς τὰ κατ' αὐτὸ, διά τε τῶν ἐσθιομένων τε καὶ πινομένων. ὅτι δὲ καὶ αὐτῶν τῶν τροφῶν ἅμα τοῖς ποτοῖς οὐ σμικρόν ἐστι φροντιστέον εἰς ῥώμην δυνάμεως, ὅπως τῇ τε ποσότητι σύμμετροι, καὶ ταῖς ποιότησιν ἠκριβωμένοι εἶεν, πρόδηλον εἶναι νομίζω. πρόδηλον δὲ οὐδὲν ἧττον, ὡς καὶ τῆς εἰσπνεομένης οὐσίας φροντιστέον ὅπως εὐκρατοτάτη τ' εἴη, καὶ παντὸς τοῦ μιαίνοντος αὐτὴν καθαρωτάτη. μήτ' ἐκ μετάλλων ἢ καμίνων ἢ βαράθρων ἐπιμιξίαν τινὰ λαμβάνουσα. μήτε ἐκ σηπεδόνος ὀσπρίων ἢ λαχάνων ἢ ζώων, ἢ ὁτουδήποτε. μήτ' ἀτμοὺς ἐκ λιμνῶν ἢ ἑλῶν, ἢ ποταμῶν δεχομένη. ταῦτ' οὖν ἅπαντα προνοεῖσθαι χρὴ, διασώζειν βουλόμενον τὴν δύναμιν ἀβλαβῆ. ἔτι τε πρὸς τούτοις, αὐτῶν τῶν στερεῶν σωμάτων, ἐν οἷς δὴ καὶ μάλιστα ἔοικεν ἡ οὐσία τῶν δυνάμεων ὑπάρχειν, οὐ σμικρῶς προνοητέον, ὅπως ὑγιεινὰ ταῖς κράσεσιν εἴη. τοῦτο μὲν οὖν ἁπάντων μορίων κοινὸν ἀγαθόν. ἐξαίρετον δὲ εἰς ῥώμην δυνάμεως καὶ προφυλακὴν τοῦ μή ποτ' ἐξαιφνίδιον ἐπιπεσεῖν παροξυσμὸν συγκοπτικὸν ἡ φυλακὴ τῆς εὐκρασίας ἐστί. πρῶτον μὲν τῶν τριῶν ἀρχῶν, ἔπειτα δὲ καὶ τῶν ἄλλων μορίων, ὅσα τὰς ἀρχὰς εἰς συμπάθειαν ἐπισπᾶται ῥᾳδίως, οἷόν περ ἐστὶ καὶ τὸ τῆς γαστρὸς στόμα τῷ περιττῷ τῆς αἰσθήσεως, ἄλλα τε πολλὰ συμπτώματα καὶ συγκοπὰς ἐπιφέρον. ἡ μὲν οὖν προειρημένη διάθεσις τῶν ὠμῶν χυμῶν, εἰ μὲν καὶ τῷ πλήθει βαρύνοιεν οὗτοι τὴν δύναμιν, ἐμφράττοιέν τε διὰ πλῆθος καὶ πάχος τοῦ ζώου τοὺς πόρους κατὰ πολλὰς προφάσεις, ὀλέθριός τέ ἐστι καὶ συγκοπτική. καὶ τῷ μὴ τρέφεσθαι τὸ ζῶον, καὶ τῷ καταπνίγεσθαι καὶ ἀλλοιοῦσθαι, καὶ διαφθείρεσθαι τῆς κράσεως τὴν συμμετρίαν. οἱ μὲν γὰρ ὠμοὶ τρέφειν οὐ δύνανται πρὶν πεφθῆναι. οἱ δὲ πολλοὶ, βαρύνουσιν. εἰ δ' ἐμφράττουσι τὰς διαπνοὰς, σβεννύουσί τε τὸ θερμόν. εἰ δὲ μήτ' ἐμφράττοιεν μήτε βαρύνοιεν, οὐ συγκοπὰς οὗτοί γε φέρουσιν, ἀλλὰ τὰς καλουμένας λειποψυχίας. ἐκλύονται γὰρ εἰ μὴ τρέφοι τὸ συνεχέστερον οἱ τοιοῦτοι. διδόναι δὲ οὐ χρὴ πλῆθος εἰς ἅπαξ αὐτοῖς, οὐ μὴν οὐδὲ παχείας ἢ ψυχρὰς τὴν δύναμιν τροφὰς, ἀλλ' ὡς εἴρηται πρόσθεν ἐκ τοῦ γένους τῶν λεπτυνουσῶν τε καὶ θερμαινουσῶν. οὕτω δὲ αὐτοῖς καὶ τὰ φάρμακα δοτέον. ὅσα γε λαβεῖν δύναται πυρέττων ἄνθρωπος φάρμακα. λεπτύνοντα καὶ θερμαίνοντα. τούτοις ὁ ὑδατώδης οἶνος εὐθέως ἐξ ἀρχῆς ἐπιτήδειος, εἰ μὴ σφοδρῶς πυρέττοιεν, ὅπερ οὐ πάνυ τι συμβαίνει κατὰ τὴν εἰρημένην διάθεσιν. ἔτι δὲ μᾶλλον εἰ πρεσβῦται τύχοιεν ὄντες, οἶνον αὐτοῖς δοτέον ἐφ' ἑκάστῃ τροφῇ. καὶ μᾶλλον εἰ τὰ διαλείμματα εἴη μέτρια. παροξύνονται δὲ ἐπὶ τοῖς τοιούτοις χυμοῖς καθ' ἑκάστην ἡμέραν, καὶ μᾶλλον εἰς ἑσπέραν τε καὶ νύκτωρ. οὐχ ἕωθεν δὲ οὐδ' ἄχρι μεσημβρίας. περὶ μὲν δὴ τούτων, καὶ ταῦθ' ἱκανά ἐστι. μεταβῶμεν δὲ ἐπὶ τοὺς ἐναντίαν μὲν ἔχοντας αὐτοῖς τὴν διάθεσιν, ὁμοίως δὲ τούτοις συγκοπτομένους, ἂν μὴ προσέχῃ τις ἀκριβῶς αὐτοῖς. εἰσὶ δ' οὗτοι λεπτοὺς ἱκανῶς ἔχοντες τοὺς χυμοὺς ὡς διαφορεῖσθαι τάχιστα. καὶ δὴ καὶ θεραπευτέον αὐτοὺς, ἐναντίως τοῖς προειρημένοις. ἐκείνους μὲν γὰρ ἐκενοῦμεν κατὰ βραχὺ συνεχῶς διὰ τὸ μὴ φέρειν ἀθρόαν τὴν κένωσιν. τοὺς δ' οὕτως ἔχοντας, θρέψομεν κατὰ βραχὺ συνεχῶς. εἰ δὲ ἐξ ἀρχῆς παραλάβοιμεν ἔτι τῆς δυνάμεως ἐρρωμένης, οὐδὲ κατὰ βραχύ. δύνανται γὰρ

οἱ τοιοῦτοι καὶ πλέονος εἰς ἅπαξ δοθείσης περιγίγνεσθαι τροφῆς. ὥσπερ δὲ τοὺς ἐκ πλήθους ὠμῶν χυμῶν κινδυνεύοντας συγκοπῆναι, παντάπασιν ἐλέγομεν ὀλεθρίως ἔχειν, ὅταν τὸ ἧπαρ αὐτῶν ἢ ἡ κοιλία φλεγμαίνῃ, κατὰ τὸν αὐτὸν τρόπον καὶ τοὺς νῦν ὑποκειμένους ἐν τῷ λόγῳ νομιστέον ἀνιάτως ἔχειν, ἢν φλεγμήνῃ τι τούτων σπλάγχνον καμνούσης ἤδη τῆς δυνάμεως. οὔτε γὰρ οἶνον καὶ τρέφειν αὐτοὺς συνεχῶς, ἀλλ' ἐν ταῖς παρακμαῖς μόνον, οὔτε μὴ τρέφοντας οἷόν τε διασώζειν αὐτούς ἐστιν. σημεῖα μὲν τῶν τοιούτων διαθέσεων, ἡ νεκρώδης ἐν τῷ προσώπῳ κατάστασις ἐν τάχει γίνεται. ῥὶς ὀξεῖα. ὀφθαλμοὶ κοῖλοι, καὶ τἆλλα ὅσα τούτοις ἐφεξῆς λέλεκται. ἐάν τε γὰρ ἐκκρίνωσι πλέον, ἐάν τε ἀγρυπνήσωσιν, ἢ λυπηθῶσιν, ἢ μὴ θᾶττον τραφῶσιν, αὐτίκα τοιοῦτον ἴσχουσι τὸ πρόσωπον. εἰ μὲν οὖν σύν τινι τούτων, ἤ τισιν ὀφθεῖεν οἱ τοιοῦτοι, μικρότερον εἶναι νόμιζε τὸ κακόν, ἢ εἰ χωρὶς τούτων ἐλεπτύνθησαν. εἰ δ' ἄνευ τούτων, ὀλέθριον. ἔτι δὲ μᾶλλον, εἰ κατ' ἀρχὰς τοῦ νοσήματος οὕτως ἔχοιεν. οὐδὲ γὰρ ἐξαρκέσουσιν εἰς τὴν πέψιν αὐτοῦ. ταῦτ' ἄρα καὶ ὁ Ἱπποκράτης ἔφη. καὶ ἢν μέν τι τουτέων ὁμολογῇ, ἧττον νομίζειν δεινὸν εἶναι. κατ' ἀρχὴν μὲν γὰρ τοῦ νοσήματος ὡς προεῖπον εἰ καὶ μετά τινος τῶν προειρημένων οὕτως ἔχοιεν, οὐκ ἀγαθόν. ἧττον μέντοι δεινόν, ἢ εἰ καὶ μὴ δὲ μετὰ τούτων τινός. ἀλλὰ τὸ διαφορεῖσθαι ῥαδίως χαλεπόν. οὐ μόνον δὲ ἀπολεπτυνθέντος οὕτω τοῦ τε πνεύματος αὐτοῖς καὶ τοῦ αἵματος ἡ διαφόρησις εἴωθε γίνεσθαι πολλάκις, ἀλλὰ καὶ τῆς ἀποκριτικῆς δυνάμεως τῆς καθ' ὅλον τὸν ὄγκον ἀμετρότερον κινηθείσης. ὅπερ εἴωθε μάλιστα γίνεσθαι διὰ τὴν ἀμετρίαν τῆς καθεκτικῆς. τὸ μὲν δὴ τρέφειν, ἀναγκαῖον ὅτι περ ἂν ᾖ τούτων, ἀναγκαῖον δὲ καὶ τὸ πυκνοῦν τὴν ἐπιφάνειαν, ὥσπερ τῶν προτέρων ἀραιοῦν. ἐκ διαμέτρου γὰρ ἀλλήλαις αἱ διαθέσεις ὑπάρχουσαι, καὶ τῆς τῶν βοηθημάτων ἰδέας ἐναντιωτάτης δέονται. ψυχρὸν οὖν ἐπὶ τούτων τὸν ἀέρα καὶ στύφοντα ποιητέον. εἴρηται δὲ ἔμπροσθεν, ὅπως χρὴ ταῦτα πράττειν. ἀλειπτέον δὲ αὐτοὺς ὁμοίως τοῖς στύφουσιν ἀλείμμασι. καὶ τροφὰς δοτέον οὐ πάνυ τι διαρρεούσας ἑτοίμως. οὔτε μελίκρατον, οὔτε χυλὸν πτισάνης, ἀλλ' ἄρτους καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα. καὶ ὀπώρας αὐστηρὰς καὶ δυσφθάρτους. αὐτάς τε καθ' ἑαυτὰς καὶ μετ' ἄρτου καὶ χόνδρου δι' ὕδατος ἑψημένου. δοτέον δὲ τούτοις ἐστὶν ὅτε καὶ ὠά. καὶ μᾶλλον τὰς λεκύθους αὐτῶν. δύσπεπτον γὰρ τὸ λευκόν. ἀλεκτρυόνων τε τῶν γάλακτι τεθραμμένων τοὺς ὄρχεις. δοτέον δὲ καὶ τοὺς ἐγκεφάλους τοὺς ὑείους, ἤτοι γ' ὀπτηθέντας ἀκριβῶς. ἔναιμοι γὰρ δοθέντες, ἐσχάτως βλάπτουσιν. ἢ διὰ τοῦ λευκοῦ ζωμοῦ καλῶς ἑψημένους ἐμβεβλημένου πράσου καὶ ἀνήθου. καὶ ὅλως ἅπαντα πρακτέον ὑπὲρ τοῦ παχυτέραν μὲν ἐργάσασθαι τὴν ὕλην τῶν χυμῶν, πυκνῶσαι δὲ τὸ δέρμα, καὶ διακωλῦσαι τὰς διαπνοάς. ἀναγκαῖος δὲ τούτοις ὁ ὑδατώδης οἶνος ἐστίν, εὐθὺς ἐπὶ τοῖς σιτίοις ἐξ ἀρχῆς λαμβανόμενος. εἰ δ' ὡς ἐλπίζομεν ἅπαντα γίγνοιτο καὶ κρεώδους τροφῆς ἐπιδιδῶμεν αὐτοῖς τι, καὶ μάλιστα μετὰ τὴν τετάρτην ἡμέραν, ἤδη τῶν τοὺς πυρετοὺς γεννώντων χυμῶν, εἰς πέψιν ἡκόντων. ἐν τοιαύτῃ διαθέσει γενομένου νεανίσκου κατὰ τὸν δέκατον ἐμνήσθην λόγον, ὃν ἐτρέφομεν ὡς εἶπον ἑκάστης ἡμέρας. καὶ μάλιστά γε πρὸ τοῦ παροξυσμοῦ. καὶ ὡς ἐξεπίτηδες ἅπαξ μου μὴ διδόντος αὐτῷ τροφήν, ἡ εἰσβολὴ τοῦ παροξυσμοῦ μετὰ συγκοπῆς ἐγένετο. κατὰ τὰς τοιαύτας οὖν θεραπείας ἁπάσας, ἤδη μὲν συγκοπτομένου τοῦ κάμνοντος ὁ πρὸς τὸ σύμπτωμα κρατεῖ σκοπός. οὐδέπω δὲ εἰς τοῦθ' ἥκοντος, ἀμφοτέρων στοχαζόμεθα, τοῦ τε μὴ γενέσθαι τὸ σύμπτωμα, καὶ τοῦ κατὰ βραχὺ λύειν τὸ νόσημα. θᾶττον δ' ἂν ἐλύσαμεν αὐτό, μὴ δεδιότες τὸ σύμπτωμα. τὸν μὲν γὰρ ὑπὸ τοῦ πλήθους τῶν ὠμῶν χυμῶν βαρυνόμενον, ἅπαξ ἂν οἶμαι κενώσαντες, ἀπηλλάξαμεν τῆς διαθέσεως. εἴπερ οἷός τε ἦν ἐνεγκεῖν ἀθρόαν κένωσιν. καὶ μηδεὶς φόβος ἐφεδρεύει συγκοπῆς. τὸν δ' εὐδιαφόρητον οὐκ ἂν πρὸ τοῦ παροξυσμοῦ τρέφειν ἀναγκαζόμενοι, μακρότερον ἐργαζόμεθα τὸ νόσημα. περὶ μὲν δὴ τούτων, ἀρκείτω τὰ λελεγμένα. τῶν δ' ἄλλων προφάσεων ἐφ' αἷς συγκόπτονται, μνημονεύσωμεν ἐφεξῆς. εἰσὶ δὲ τέσσαρες. ἄλγημά τε σφοδρόν, καὶ ἀγρυπνία, καὶ κένωσις ἄμετρος γαστρός. ἐπὶ δὲ τῶν παραπαιόντων καὶ ἡ κίνησις ἐστὶν ὅτε. καὶ εἰ βούλει καὶ πέμπτην προστίθει τὴν δυσκρασίαν τῶν ἀρχῶν. ὑπὲρ ἧς ἐπὶ τελευτῇ τοῦ λόγου διαλεξόμεθα. καὶ μάλισθ' ὅτι διττῶς γίγνεται. ἤτοι κατὰ ψιλὰς τὰς ποιότητας ἀλλοιουμένων τῶν μορίων, ἢ κακοχυμίας τινὸς ἐν αὐτοῖς παραλαμβανομένης. ἑξῆς οὖν ὑπὲρ ἁπάντων ῥητέον τῶν διῃρημένων, ἀρξαμένους ἀπὸ τῶν ἀλγημάτων. εἰ μὲν οὖν δυναίμεθα τὴν αἰτίαν αὐτὴν ἐκκόψαι δι' ἣν ἀλγοῦσιν οὕτως ἂν οὐ πρὸς σύμπτωμα εἴημεν ἐνεργοῦντες, ἀλλ' ἰώμενοι τὸν κάμνοντα. κωλυόμενοι δὲ διά τινα πρόφασιν ἐπὶ τὴν διάθεσιν ἰέναι, πραΰνομεν τὸ τῶν ἀλγημάτων σφοδρόν. ἐπεὶ δ' οὔτε ἀναιρεῖν οἷόν τε ἐστὶ τὰς τῶν ἀλγημάτων αἰτίας, οὔτ' ἀμβλύνειν τὰς σφοδρότητας ἄνευ τοῦ γνῶναι τουτὶ τὸ ἄλγημα τὸ περὶ τὸν κάμνοντα συνεστηκός, ὑπό τινος αἰτίας γίγνεται, προεσκέφθαι χρὴ δηλονότι τὰς αἰτίας, καὶ τὰ σημεῖα δι' ὧν ἄν τις αὐτὰς γνωρίσειεν. ὡς τὰ πολλά γ' ἀδήλους ταῖς αἰσθήσεσιν ὑπαρχούσας, γεγυμνασμένου δέονται περὶ τὴν τοιαύτην θεωρίαν ἀνδρός. εἴρηται μὲν οὖν ἡμῖν οὐκ ὀλίγα δι' ἑτέρων πραγματειῶν ὑπὲρ ἀλγημάτων γενέσεως, ἁπάντων δὲ αὐτῶν τοῦ καιροῦ νῦν ἥκοντος, ἀναγκαῖον εἶναι νομίζω διελθεῖν ἐπὶ κεφαλαίων ὅλον τὸν λόγον. ἐπεὶ τοίνυν ἐν τῷ τοῦ ζώου σώματι κατὰ πάσας τὰς αἱρέσεις οὐ πάντα ἐστὶν αἰσθητικὰ τὰ μόρια, δῆλον ὡς οὐκ ὀδυνήσεται τὰ τελέως ἀναίσθητα. μόνοις οὖν τοῖς αἰσθητοῖς τῆς ὀδύνης ὑπαρχούσης, ἐφεξῆς σκεπτέον. ἆρά γε διὰ παντὸς ὀδυνηθήσεται τὰ τοιαῦτα τῶν σωμάτων, ἢ καθ' ἕνα τινὰ χρόνον ἐγγινομένης αὐτοῖς διαθέσεως ὀδυνηρᾶς. ἀλλ' εἴπερ αὐτὰ τὰ φαινόμενα ἐναργῶς ἡμᾶς διδάσκει πολὺν εἶναι χρόνον, ἐν ᾧ μηδόλως ὀδυνώμεθα, δῆλον ὡς κατά τινα χρόνον ἐγγινομένης ἑκάστῳ τῶν ὀδυνωμένων ὀδυνηρᾶς διαθέσεως, ἀναγκαῖον ἀλγεῖν ἐστίν. ἐὰν οὖν εὕρωμεν ἥτις ποτ' ἐστὶν ἡ τοῖς αἰσθητοῖς σώμασιν ἐγγινομένη διάθεσις, καθ' ἣν ἀνιᾶται τὸ ζῶον, ἑαλωκὸς ἂν εἴη ἡμῖν τὸ ζητούμενον. ἐνταῦθ' οὖν ἀπὸ τῶν κατὰ φύσιν ἐννοιῶν αἳ δὴ καὶ κοιναὶ πᾶσιν ἡμῖν εἰσιν, ἰέναι χρὴ μεθόδῳ πρὸς τὸ σκέμμα. διδάσκει δὲ ἡ κατὰ φύσιν ἔννοια, τὸ πάθος χρῆναι τοῦ σώματος, ὃ μέλλει πονήσειν, ἤτοι συνεχείας λύσιν, ἢ ἀλλοίωσιν εἶναί τινα. διὸ καὶ καλῶς ἔλεγον τοῖς ἐξ ἀτόμων ἢ ἀναισθήτων ἢ ἀνάρμων στοιχείων συντεθεῖσι τὸ σῶμα, παντάπασιν ἄπορον εἶναι διάθεσιν εὑρεῖν, ὑφ' ἧς ὀδύνη γίνεται. φαίνεται γοῦν οὐδὲν τῶν ἁπλῶς ψαυόντων ὀδυνηρόν. ἁπλῶς δὲ ἀλλήλων ψαύει τὰ τοιαῦτα σώματα. κἂν εἰ μὴ ψαύοι

δὲ μόνον, ἀλλὰ καὶ θραύοι κατὰ τὴν πρόσπτωσιν ἄλληλα, πλέον οὐδὲν εἰς ἀλγήματος γένεσιν, ἀναισθήτων ὑποκειμένων τῶν θραυομένων. εἰ μή τι καὶ τοὺς λίθους ὀδυνᾶσθαι φήσομεν διαιρουμένους. ἀλλὰ περὶ μὲν τούτων, ἐπὶ πλέον ἐν ἄλλοις τέ τισι, κἂν τῷ πέμπτῳ περὶ τῶν ἀσκληπιάδου δογμάτων διεσκεψάμεθα. νυνὶ δὲ ἀρχὴν ὁμολογουμένην λαμβάνοντες ὡς ἀναγκαῖον ἤτοι διαίρεσιν εἶναι τὴν διάθεσιν τῆς ὀδύνης, ἢ ἀλλοίωσιν, ἀναμνησθῶμεν αὖθις ὡς οὐδ' ἡ ἀλλοίωσις ἡ κατὰ βραχὺ γινομένη, δύναιτ' ἂν ποτε ὀδυνῆσαι τὸ ζῶον, ἀλλ' ἀναγκαῖον ἀθρόαν τε ἅμα καὶ βιαίαν γίνεσθαι τὴν μεταβολήν, εἰ μέλλει τις ὀδύνη γενήσεσθαι. φαίνεται γοῦν οὐ μόνον εἰς τὸ παρὰ φύσιν ἀθρόως ἀγόμενα τὰ σώματα λυπηρὰν ἴσχειν τὴν μεταβολήν, ἀλλὰ καὶ τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον αὐτήν, εἰ μὴ κατὰ βραχὺ λαμβάνοι, κἂν τούτῳ πονοῦντα. τοὺς γοῦν ὁδοιπορήσαντας ἐν σφοδρῷ κρύει θερμαινομένους ἀθρόως, ἴσμεν ἀλγοῦντας οὕτως ἰσχυρῶς τὰ περὶ τὰς ῥίζας τῶν ὀνύχων, ὡς μὴ δύνασθαι φέρειν. εἰ μὲν οὖν καὶ αὐτὸ τὸ σφοδρῶς θερμαίνεσθαι, ἢ ψύχεσθαι διαίρεσίν τινα τῆς συνεχείας ἐργάζεται, πλείονος ἴσως δεῖται λόγου. καὶ δέδεικται καὶ τοῦτο ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασιν. ἀλλ' εἴς γε τὰ παρόντα τί ποιοῦν τὸ θερμαῖνον ἰσχυρῶς, ἢ ψῦχον σφοδρῶς ὀδύνην ἐργάζεται, ζητεῖν οὐκ ἀναγκαῖον. εἴτε γὰρ ὡς τέμνον τὸ συνεχὲς τῆς οὐσίας τῶν αἰσθητῶν, εἴθ' ὡς ἀλλοιοῦν αὐτὴν ἀθρόως, οὐδὲν διαφέρει πρὸς τὴν εὕρεσιν τῶν ἰασομένων τὰς ὀδύνας. ἐάν γε μόνον εἰδῶμεν ὡς τὸ θερμαῖνον ἢ ψῦχον βιαίως ὀδυνηρὸν γίνεται τοῖς αἰσθανομένοις σώμασιν, ἐπεὶ γοῦν ἄρχεσθαι μὲν ἀπὸ τῶν ἐναργῶν δεῖ, φαίνεται δὲ ἐναργῶς ταῦτα μόνα τῶν πλησιαζόντων ἡμῖν ὀδυνηρά, τά τ' ἰσχυρῶς θερμαίνοντά τε καὶ ψύχοντα, καὶ τὰ διαιροῦντα τὸ συνεχὲς τῆς οὐσίας ἅπερ ἐν τοῖς θλῶσί τε καὶ τέμνουσι καὶ τείνουσι περιέχεται, ζητήσωμεν εὑρεῖν τὴν ἴασιν αὐτῶν ὁδῷ τινι προϊόντες, ἀπὸ τῆς τῶν ζητουμένων φύσεως, ὅπερ ὀνομάζεται μέθοδος. ἄνωθεν οὖν αὖθις ἀρξάμενοι, λέγωμεν. ἐπειδὴ ζητοῦμεν ὅπως ἐν νόσοις ὀδυνώμεθα μηδενὸς ἡμῖν ἔξωθεν ὀδυνηροῦ πλησιάζοντος, ἀναγκαῖον ἐν τῷ σώματι ζητῆσαί τι τῶν τοιούτων αἴτιον, ὃ θερμαῖνον σφοδρῶς ἢ ψῦχον ἢ διαιροῦν τὴν οὐσίαν ἑνός γέ τινος αἰσθητοῦ σώματος, ἀνιαρὸν ἡμῖν γίνεται. καὶ πρότερόν γε θεασώμεθα τίνος εἶναι χρὴ φύσεως ὃ διαιρήσει τὴν συνέχειαν. ἀναγκαῖον οὖν ἤτοι ῥῆξιν, ἢ θλάσιν, ἢ διάβρωσιν εἶναι τὴν διάθεσιν ἐν τῷ διαιρεῖσθαι τὸ συνεχές. ἀλλ' ἡ μὲν ῥῆξις, ἐκ τάσεώς τινος. ἡ δὲ θλάσις, ἐκ βάρους. ἡ δὲ διάβρωσις, ἐκ δακνώδους γίνεται ποιότητος. ὅταν οὖν ἔξωθεν μὲν μηδὲν ᾖ τὸ τεῖνον, ἢ βαρῦνον, ἢ δάκνον, ἐξ ἑαυτοῦ δέ τι πάσχῃ τούτων τὸ σῶμα, παντί που δῆλον. ὡς ἡ μὲν τάσις, ὑπό τινος ἔνδον οὐσίας πολλῆς, διατεινούσης τὸ περιέχον αὐτὴν σῶμα γίνοιτ' ἂν ἢ ἀμέτρου ξηρότητος. ἡ δὲ θλάσις, ἔξωθεν ἐπιπεπτωκυίας οὐσίας σκληρᾶς ἢ μεγάλης ἢ βαρείας ἢ συναμφοτέρων. ἡ δὲ δῆξις, ὑπὸ χυμοῦ δακνώδους φύσιν ἔχοντος. ἐπισκεπτέον οὖν ἡμῖν ἐν ταῖς σφοδραῖς ὀδύναις ἤτοι χυμὸν πολύν, ἢ πνεῦμα διέξοδον οὐκ ἔχον, ἢ βαρὺν ὄγκον, ἢ δακνῶδες ὑγρόν. ἢ διάθεσιν ξηράν. ἔτι δὲ πρὸς τούτοις, ὡς ἐν ἀρχῇ διήρηται, τὸ θερμαῖνον ἰσχυρῶς ἢ ψῦχον, ὧν πάλιν αὐτῶν τὰς αἰτίας ἢ ἐν τῷ πνεύματι θετέον, ἢ ἐν τοῖς ὑγροῖς, ἢ ἐν τοῖς στερεοῖς. ὅ,τι γὰρ ἂν αὐτῶν ἰσχυρῶς ψυχθὲν ἢ ὑπερθερμανθὲν ψαύῃ τῶν πλησιαζόντων, ὀδυνηρὸν αὐτοῖς γίγνεται. πῶς μὲν οὖν χρὴ διαγινώσκειν ἕκαστον τῶν εἰρημένων, καὶ ὡς οὐχ ἁπάντων ἔχομεν ἐναργῆ σημεῖα, καὶ ὡς εἴπερ τι ἄλλο, καὶ ἡ διάγνωσις τῶν ἀδήλων πρὸς αἴσθησιν αἰτιῶν τε καὶ διαθέσεων, ἐκ πολλῆς μὲν γυμνασίας, ἐπιμελοῦς δ' ἁπάντων περισκέψεως ἡμῖν περιγίνεται, δι' ἑτέρων δεδήλωται. νυνὶ δὲ οὐ τοῦτο πρόκειται σκοπεῖν, ἀλλ' αὐτὴν μόνην διέρχεσθαι τὴν θεραπευτικὴν μέθοδον. ἐξ ἧς ἐπιστημονικῶς διαγνωσθείσης, ἡλίκη βοήθεια καὶ ὠφέλεια γίνεται τοῖς ἰατροῖς, οὐ μόνον εἰς βοηθημάτων τε καὶ ἰαμάτων εὐπορίαν, ἀλλ' ἔστιν ὅτε καὶ εἰς τὴν τῆς διαθέσεως γνῶσιν ἐναργῶς ὑμῖν ἔδειξα πολλάκις ἐπ' αὐτῶν τῶν καμνόντων ὧν ἤδη μνημονεύσω, δυοῖν ἢ τριῶν οὐ πρὸ πολλοῦ θεραπευθέντων. ὁ μέν γε τεσσαρακοντούτης ἦν, ὡς οἶσθα, κωλικὸς εἶναι νομιζόμενος. οὐ μόνον οὐδὲν ὀνινάμενος ὑπὸ καταντλήσεων, καὶ πυρίας, καὶ καταπλασμάτων, καὶ κλυσμάτων, οἷς συνήθως εἰώθασιν ἐπὶ τῶν τοιούτων χρῆσθαι διαθέσεων, ἀλλὰ καὶ παροξυνόμενος ὑπὸ τῶν πλείστων. ἐπὶ γοῦν ἐλαίῳ πηγανίνῳ, διὰ τῆς ἕδρας ἐνεθέντι, χείρων ἐγένετο. καὶ αὖθις ἐπὶ καστορίῳ. καὶ μέντοι καὶ μέλι ποτὲ προσενηνεγμένος ἑφθὸν ἔχον πέπερι, ἐσχάτως ὠδυνήθη. καὶ τὸν χυλὸν δὲ τῆς ἑφθῆς τήλεως ἅμα μέλιτι λαβὼν, ἱκανῶς παρωξύνθη. στοχασάμενος οὖν ἐγὼ χυμοὺς δακνώδεις ἐν αὐτοῖς τοῖς χιτῶσι τῶν ἐντέρων ἀναπεπῶσθαι συνδιαφθείροντας ἑαυτοῖς τά τε κάτωθεν ἐνιέμενα, καὶ τὰ διὰ τοῦ στόματος λαμβανόμενα, δύσφθαρτον αὐτῷ τροφὴν δοὺς, εἶτ' ἰδὼν ἧττον ὀδυνώμενον, ἔγνων χρῆναι τὴν κακοχυμίαν ἐκκαθαίρειν. ὄντος δ' ἀρίστου πρὸς τὰς τοιαύτας κακοχυμίας φαρμάκου τοῦ διὰ τῆς ἀλόης, ὃ καλοῦσιν ἤδη συνήθως πικράν, ἀθρόως μὲν οὐκ ἐτόλμησα καθαίρειν αὐτὸν τὸν ἄνθρωπον ὑπό τε τῆς ὀδύνης καὶ τῆς ἐνδείας καθῃρημένον ἤδη που δυοῖν μηνῶν, ἐκ διαστημάτων δέ τινων συμμέτρων τοῦτ' ἐργαζόμενος, ἡμέρας, ὡς οἶσθα, που πεντεκαίδεκα, τελέως ἰασάμην αὐτόν, οὐδὲν οὐκέτι αὐτῷ προσαγαγὼν ἄλλο βοήθημα. οὗτος μὲν οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ πρῶτον οὕτως ἠνωχλεῖτο μηδέπω πρότερον ἀλγήσας ἔντερα. νεανίσκος δέ τις ἐγγὺς ἐκείνου τὴν ἡλικίαν, οὐκ ὀλιγάκις ἔμπροσθεν ἠνοχλούμενος ὑπὸ κωλικῶν ἀλγημάτων, ἐκαθάρθη λαβὼν σκαμμωνίας ὀπόν. ἀξιολόγου δὲ τῆς καθάρσεως γενομένης, ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν λουσάμενος εἰς ἑσπέραν, καὶ λαβὼν πτισάνης χυλὸν πρῶτον, εἶτ' ἐπιφαγὼν ἰχθύας, ἤμεσε τὰ ληφθέντα διὰ νυκτός. ἐν δὲ τῇ δευτέρᾳ λουσάμενος, ἔφαγε. πρότερον μὲν θριδακίνης. εἶτα κρεῶν ὀρνιθείων ἑψομένων ἐν λευκῷ ζωμῷ. κἄπειτα προσενέγκατο χόνδρον, ἐξ ὕδατος ἐπιβαλὼν οἶνον αὐστηρόν. μετρίως δὲ διάγειν δόξας ἐπ' αὐτοῖς, διῃτήθη μὲν καὶ τῇ τρίτῃ τῶν ἡμερῶν παραπλησίως. ἐξέδωκε δὲ ἡ γαστὴρ αὐτοῦ μετὰ τοῦ διηχθῆναι πλείω τῆς τῶν ἐδεσμάτων ἀναλογίας. εἶτα κατὰ τὴν τετάρτην ἡμέραν ἔτι καὶ μᾶλλον ὠδυνήθη τὰ κατὰ τὴν γαστέρα. καὶ δόξας ἐν τῷ βαλανείῳ που λεληθότως ἐψύχθαι πηγάνινον ἔλαιον ἐνεθείς, ὠδυνήθη τε σφοδρότερον, καὶ μετὰ ταῦτα ἐξέκρινεν ὑγρὸν διαχώρημα πάμπολυ, σαφῶς ἐνδεικνύμενος ὡς κἂν τοῦ σώματος ὅλου τι φέρεται πρὸς τὰ κατὰ τὴν γαστέρα χωρία. κἄπειτ' ἐφεξῆς, ἐκ περιόδων ὁμοίως ἠνωχλεῖτο. πειθόμενοι δ' ἡμεῖς αὐτῷ τὰ συμπτώματα, τὴν βλάβην ἐκ τῆς σκαμμωνίας ἔγνωμεν ἐν ἐκείνοις μάλιστα γεγονέναι τοῖς ἐντέροις, ἃ καὶ

πρότερον

πρότερον ἦν ἀσθενῆ. ὥσθ' οἷον ῥευματικήν τινα συνίστασθαι διάθεσιν. οἶδ' οὖν ὅπως ἰασάμην καὶ τοῦτον ἀπορρίψαι μὲν κελεύσας τὰ κωλικὰ βοηθήματα, τραφῆναι δὲ χόνδρῳ θερμῷ δι' ὕδατος ἑψημένῳ, κόκκους ῥοιᾶς ἐμβαλὼν αὐτῷ. κοιμηθεὶς δ' ὅλῃ τῇ νυκτὶ χωρὶς ὀδύνης, ἐθαύμασε δή που τὸ παράδοξον τῆς βοηθείας. ἠρώτα δ' ὅ,τι χρὴ πίνειν. ἐδώκαμεν οὖν αὐτῷ πίνειν ὑδαρῆ ῥοῦ χυλόν. ὅπως εἴτε τις ἐπιπολῆς εἴη γεγενημένη περὶ τὸ ἔντερον ἑλκώδης διάθεσις, ἀποσύψειεν. εἴτε καὶ ῥέοι τι κατὰ τὸ σύνηθες ἐκ τῶν ἄνω χωρίων εἰς τὸ πεπονθός, ἀναστείλειεν. ἀρίστῳ τε αὐτῷ χρήσασθαι προσετάξαμεν οὕτως, εἶτ' εἰς ἑσπέραν δειπνεῖν οἴνων † τινὰ τῶν αὐστηρῶν μὲν φύσει, παλαιῶν δὲ διαβραχέντος ἄρτου καθαροῦ. συνεχωρήσαμεν δὲ καὶ τῶν αὐστηρῶν ὀπωρῶν λαβεῖν, ἧς ἂν αὐτὸς ἐθέλει, μήλων, ἢ ἀπίων, ἢ ῥοιᾶς. ὁμοίως δὲ καὶ τῇ τρίτῃ τῶν ἡμερῶν διαιτηθείς, ἐν τῇ τετάρτῃ πιὼν τῆς θηριακῆς, ὑγιὴς τελέως ἐγένετο. καὶ τοῦ λοιποῦ τοῖς συνήθεσι χρώμενος, οὐδὲν ἐβλάπτετο. παραπλησίως δὲ ἕτερόν τινα διακείμενον ὥρᾳ θέρους, ἐπειδὴ διψώδης ἱκανῶς ὑπῆρχε πρὸς τοῖς ἄλλοις τοῖς εἰρημένοις, καὶ ψυχρῷ ποτῷ συνεχώρησα χρῆσθαι. μὴ τοίνυν ζήτει σημεῖα τοιαῦτα καθ' ἑκάστην διάθεσιν, οἷα πλευρίτιδός ἐστιν ἢ δυσεντερίας. ἐπιστημονικὴ μὲν γὰρ ἡ τῶν τοιούτων νοσημάτων διάγνωσις, ὡρισμένοις σημείοις γνωριζομένη. στοχαστικὴ δέ, ἡ τῶν ἀρτίως εἰρημένων. καὶ μόνοις τοῖς ἀκριβῶς ἐπισταμένοις ἑκάστου νοσήματος τὴν οἰκείαν θεραπείαν εὑρίσκεσθαι δυναμένη. ὥστ' ἐπεὶ περὶ ταύτης πρόκειται νῦν λέγειν, αὐτὴ καθ' ἑαυτὴν περαινέσθω, μὴ προσαπτομένων ἡμῶν τῆς διαγνώσεως τῶν διαθέσεων, καὶ μάλιστα ὅταν ἐκ στοχαστικῶν ἀρχομένη σημείων, συνάπτηται τῇ τῶν ὠφελούντων ἢ βλαπτόντων διαγνώσει. τὴν γὰρ ἐν τούτοις μέθοδόν τε καὶ γυμνασίαν ἐν ταῖς τῶν νοσημάτων διαγνώσεσιν ἰδίᾳ ποιούμεθα καθ' ἑαυτήν. ἵνα τεχνωθείς τις εὑρίσκῃ καθ' ἕκαστον ἄρρωστον, ὥσπερ καὶ ἡμεῖς τά τε πεπονθότα μόρια, καὶ τὰς διαθέσεις αὐτῶν. ἐπανέλθωμεν οὖν αὖθις ἐπὶ τὰς τὴν ὀδύνην ἐργαζομένας διαθέσεις. εἰ μὲν γὰρ αἵματος πλῆθος εἴη τὸ διατεῖνον, ὥσπερ ἀμέλει καὶ ἐν τοῖς φλεγμαίνουσι γίγνεται, φλεβοτομητέον αὐτίκα, τῆς δυνάμεως ἰσχυρᾶς οὔσης. εἰ δ' ἤτοι φοβοῖτο τὴν φλεβοτομίαν ὁ ἄνθρωπος, ἢ ἀρρωστότερος εἴη τὴν δύναμιν, ἀντισπαστέον τε καὶ παροχετευτέον. εἴρηται δὲ ἔμπροσθεν ὅπως χρὴ ταῦτα ποιεῖν. εἰ δὲ καὶ τούτων γενομένων ἔτι μένοι τὸ ἄλγημα, δῆλον μὲν δή που κατὰ τὸ πεπονθὸς μόριον ἐσφηνῶσθαι τὸ λυποῦν. δύσκολος δὲ καὶ ἡ θεραπεία τοῖς διαφορητικοῖς γινομένη φαρμάκοις. ὡσαύτως δὲ καὶ τὰς διὰ φυσῶδες πνεῦμα γινομένας ὀδύνας ἰασόμεθα προσβοηθοῦντες ἐπ' αὐτῶν μᾶλλον τοῖς λεπτύνουσι, ἐδέσμασί τε καὶ πόμασιν, ἐνέμασί τε καὶ καταπλάσμασιν, αἰονήσεσί τε καὶ πυριάμασιν. εἰ δ' ὄγκος βαρυνόντων ἢ θλώντων ὀδύνην ἐργάζοιτο, τὸν ὄγκον ἰατέον. εἰ δὲ δακνῶδες ὑγρόν, ἐναντιώτατα τούτοις ἐστί, τὰ λεπτύνοντα καὶ θερμαίνοντα. χρῄζει γὰρ ἡ τοιαύτη διάθεσις, εἰ μὲν ἰαθήσεσθαι μέλλει, τῆς κενώσεως τῶν λυπούντων. εἰ δ' εἴη τοῦτο ποιεῖν ἀδύνατον, τῆς ἐπικράσεως. εἰ δὲ καὶ τοῦτο ἀδύνατον, διὰ τῆς τῶν ναρκωτικῶν φαρμάκων προσφορᾶς. ἥτις ἐστὶ μὲν κοινή, βλάπτει δὲ ἥκιστα τῶν ἄλλων τὰς τοιαύτας διαθέσεις. λεπτὰ γὰρ ὑπάρχει ταῖς συστάσεσι, καὶ θερμὰ ταῖς δυνάμεσι τὰ πλεῖστα τῶν τοιούτων ὑγρῶν. ὅσα δὲ δι' ὀπίου καὶ ὑοσκυάμου καὶ τῶν οὕτως ψυχόντων σκευάζεται φάρμακα, ψύχει τε ἅμα καὶ ξηραίνει πάντως. διὰ τοῦτο γοῦν οὐ μόνον ὡς αἰσθήσεως ναρκωτικὰ χρήσιμα καθέστηκεν, ἀλλὰ καὶ ὡς συνιστάντα καὶ παχύνοντα τὴν τῶν ὑγρῶν λεπτότητα. καὶ προσέτι καὶ τὴν θερμότητα σφοδρὰν ὑπάρχουσαν, ἐμψύχοντα. παχέων δὲ ὑγρῶν ἢ γλίσχρων ἐπικρατούντων, ἐναντιώτατα ὑπάρχει τὰ ναρκωτικὰ φάρμακα. καὶ πάνυ χρὴ φυλάττεσθαι τὴν χρῆσιν αὐτῶν ἐπὶ ταῖς τοιαύταις διαθέσεσιν. οὐ μὴν οὐδ' ὀδύνη τις ἕπεται σφοδρὰ τοῖς τοιούτοις χυμοῖς μόνοις οὖσιν. εἰ δέ ποτε συμπλακείη κατά τι συμβεβηκὸς ἀτμῶδες πνεῦμα τῶν περιεχόντων ἑαυτὸ σωμάτων ἀδυνατοῦν διεξιέναι, σφοδρότατα πάντως οἱ οὕτως ἔχοντες ὀδυνῶνται. ἕπεται δ' αὐτοῖς τοῦτο κατὰ διττὴν αἰτίαν. ἤτοι γὰρ ἔμφραξιν, ἢ θερμασίαν. ἥ τε γὰρ ἔμφραξις ἴσχει τὸ πνεῦμα, καὶ κωλύει διεξιέναι. θερμαινόμενά τε τὰ παχέα καὶ γλίσχρα, φυσῶδες πνεῦμα γεννᾶν πέφυκε. τοιαῦται μάλιστα γίνονται διαθέσεις τοῖς ἐμπεπλησμένοις ἐδεσμάτων ψυχρῶν μὲν ταῖς κράσεσι, παχέων δὲ καὶ γλίσχρων ταῖς συστάσεσιν, ὅταν ἐν αὐτοῖς περιέχηται τοῖς χιτῶσι τῶν ἐντέρων τὸ φυσῶδες πνεῦμα. δυοῖν γὰρ ὄντοιν αὐτῶν, ἐπειδὰν ἐν τῇ μεταξὺ χώρᾳ τοιοῦτός τις ἀθροισθῇ χυμός, εἰς φυσῶδες μεταβάλλει πνεῦμα. παχὺ δὲ δή που τοῦτ' ἐστὶ καὶ ψυχρόν, καὶ βραδύπορον. ὅταν οὖν ἴσχηταί τε καὶ διατείνῃ τοὺς χιτῶνας, ὅ, τε χυμὸς ἐξ οὗ τὴν γένεσιν ἔχει, ψύχει σφοδρῶς τὰ ψαύοντα μόρια τῶν ἐντέρων, κατὰ δύο προφάσεις οἱ οὕτω κάμνοντες ὀδυνῶνται. τὸ μὲν οὖν παραυτίκα, τελέως ἀνώδυνοι γίνονται, πιόντες τι τῶν ναρκωτικῶν φαρμάκων. αὐξάνεται δὲ ἡ διάθεσις αὐτοῖς παντοίως. οἵ τε γὰρ χιτῶνες τῶν ἐντέρων, πυκνότεροι καὶ δυσδιαπνευστότεροι γίγνονται τῇ ψυχρότητι τῶν φαρμάκων, ὅ, τε χυμὸς παχύτερος καὶ δυσκινητότερος. ὥστε καὶ χρόνου πλείονος ἀναγκαῖον ἔσται δεηθῆναι τὸν κάμνοντα, καὶ τοῦ θεραπεύοντος εἰς ἄκρον γεγυμνασμένου κατὰ τὴν τέχνην. εἰ γὰρ ὡς ἔτυχεν αὖθις ἐγχειρήσειε τῇ θεραπείᾳ, κίνδυνος ἐκ δευτέρου πνευματωθέντας τοὺς χυμούς, τὴν αὐτὴν ὀδύνην ἐργάσασθαι, εἶτ' ἐκ δευτέρου δηλονότι δεηθῆναί τι τῶν ναρκωτικῶν φαρμάκων δεῖ, τῆς αὐτῆς ἀνάγκης καταλαβούσης. ὡσαύτως δὲ κἀκ τρίτου καὶ τετάρτου, καὶ πολλάκις ἐφεξῆς, ἄχρις ἂν ὁ ἄνθρωπος ἀνίατος γενόμενος, εἰς καχεξίαν τε τοῦ παντὸς σώματος ἀφίκηται, καὶ πολλῷ χρόνῳ κακοπαθήσας, ἀποθάνῃ. πῶς οὖν χρὴ τὰς διὰ τοὺς ψυχροὺς χυμοὺς ἐν τοῖς μεταξὺ τῶν ἐντέρων ἠθροισμένους ὀδύνας ἰᾶσθαι, οὐ θερμαίνοντες σφοδρῶς αἰονήσεσιν, ἢ καταπλάσμασιν. ὑπὸ γὰρ τῶν θερμαινόντων, εἰ μὴ καὶ διαφορηθεῖεν ἱκανῶς, χέονται καὶ πνευματοῦνται πάντες οἱ γλίσχροι καὶ παχεῖς καὶ ψυχροὶ χυμοί. προσήκει τοίνυν αὐτοὺς τέμνειν τε ἅμα καὶ πέττειν, ὅπερ ἐκ τῶν λεπτυνόντων γίνεται φαρμάκων. καὶ μάλιστα ὅταν μὴ θερμαίνωσι σφοδρῶς. ὅτι δὲ καὶ τούτων αὐτῶν ὅσα ταῖς δυνάμεσίν ἐστιν ἀφυσότερα καὶ ξηραντικώτερα, ταῦτ' αἱρεῖσθαι χρὴ μᾶλλον, εὔδηλον παντί. καὶ πολλῶν ἰδιωτῶν ἐστιν ἀκοῦσαι πολλάκις, ἧττον ἀλγεῖν φασκόντων τὸ κῶλον ὅταν μήτε καταπλάττωνταί τινι, μήτε καταντλῶνται δι' ἐλαίου, μήτε κλύζωνται. καὶ ὅσοι γενναῖοί εἰσι καὶ ἰσχυροὶ μετρίως διαιτηθέντες, ἐν χρόνῳ πλείονι † σωζομώτερον ἐκ θεραπεύονται

† τινὲς

† al. ἀκινδυνώτερον

τῶν βιαιοτέρως ὡς εἴρηται θερμαινόντων. οὐδὲν γοῦν οὕτω χρὴ δεδιέναι ἐπὶ τοὺς τοιούτους χυμοὺς ὡς θερμότητα, χέουσαν μὲν καὶ πνευματοῦσαν αὐτούς, διαφορεῖν δ' ἀδυνατοῦσαν. ἐθεασάμην γοῦν τινα τῶν κατ' ἀγρὸν ἐργατῶν, ὃς ἐπειδὰν ἥλω κωλικῆς ὀδύνης, ἐζώννυτο μὲν αὐτίκα, πρότερον οὐ ζωννύμενος. ἤσθιε δὲ μετ' ἄρτου σκόροδα, μηδὲ μίαν ἐκλείπων συνήθη πρᾶξιν. ἔπινε δὲ δι' ὅλης μὲν ἡμέρας, οὐδέν. εἰς ἑσπέραν δέ, ἀκρατέστερον. εἶτα κοιμώμενος δι' ὅλης νυκτός, ἕωθεν ἀνίστατο παντάπασιν ἀνώδυνος. ἔστι γὰρ ἀμέλει καὶ τὰ σκόροδα τῶν ἀφύσων καὶ ἀδίψων βρωμάτων. ἔνιοι δὲ ἀπείρως ἔχοντες αὐτῶν, ὑπολαμβάνουσι κρομμύων εἶναι διψωδέστερα, τοῦ παντὸς ἁμαρτάνοντες. οὐ μόνον γὰρ οὐκ ἔστι διψωδέστερα κρομμύων, ἀλλ' οὐδὲ διψώδη τὴν ἀρχήν. ἀφυσότατά τε πάντων βρωμάτων. ὥστ' ἔγωγε τῶν ἀγροίκων θηριακὴν ὀνομάζω τὸ βρῶμα. καὶ εἴτις ἢ θρᾶκας ἢ κελτοὺς ἢ ὅλως τοὺς ψυχρὰν γῆν οἰκοῦντας εἴργειν ἐσθίειν σκορόδων, οὐ σμικρὰ βλάψει τοὺς ἀνθρώπους. ὅσοι μὲν οὖν ἄνευ πυρετῶν ἀλγοῦσι σφοδρῶς ἔντερα διὰ τὴν εἰρημένην αἰτίαν, καὶ σκορόδων ἐγχωρεῖ τούτους ἐσθίειν, καὶ τῆς διὰ τῶν ἐχιδνῶν πίνειν ὠφελούσης ἄκρως τὰς τοιαύτας διαθέσεις. ἐν πυρετοῖς δέ, εἴποτε γένοιτο, πειρατέον μὲν πρῶτον εἰ προσίενται τὴν διὰ τῶν κέγχρων πυρίαν ξηράν. εἰ δὲ ὑπὸ τῆσδε μὴ παύσαιντο, τῶν ἀφύσων τι σπερμάτων ἑψήσαντας ἐν ἐλαίῳ λεπτομερεῖ, κἄπειτα δι' ὀθόνης διηθήσαντας, ὡς καθαρὸν γενέσθαι τοὔλαιον, εἶτ' ἐν αὐτῷ τήξαντας στέαρ χηνός, ἐνιέναι. μὴ παρόντος δὲ τοῦ χηνείου στέατος, ὀρνιθείῳ χρῆσθαι. πρὸ παντὸς δὲ ἔστω τὸ καλούμενον ἄναλον. ἔστω δὲ μὴ πάνυ παλαιόν. ἐγχωρεῖ δὲ καὶ προσφάτῳ χρῆσθαι. καὶ μάλιστα τῷ χηνείῳ. εἰ δὲ μὴ δ' ὑπὸ τούτῳ καθίσαιντο, δεύτερον αὖθις ἐνιέναι ταυτό, βραχὺ προσεπεμβάλλοντας καστορίου καὶ ὀπίου. μέγεθος δὲ ἑκατέρου, μὴ μεῖζον κυάμου. τὸ δὲ τοῦ ἐλαίου πλῆθος, ἔστω κοτύλη. ἀναλαμβάνεται δὲ ἐκ τούτου τοῦ φαρμάκου καὶ κροκυδίς. χρὴ δὲ διαψαύσαντας αὐτὴν ἰσχυροῦ νοσήματος ἐπὶ πλεῖστον εἴσω, ἐπὶ τὸ ἀπευθυσμένον ἔντερον ἐντιθέναι, πρὸς τῷ καὶ ῥαδίως ὅτε βούλει κομίζεσθαι. καὶ τὴν ὠφέλειαν ἐναργῆ παρέχεσθαι. ἐπὶ δὲ τὸν αὐτὸν τρόπον, καὶ τὰ τῶν ὀφθαλμῶν, καὶ τὰ τῶν ὤτων ἀλγήματα διὰ τοιοῦτον χυμόν, ἢ πνεῦμα φυσῶδες ἐν πυρετοῖς γινόμενα, πραΰνειν προσήκει. τῇ τε διὰ τῶν κέγχρων πυρίᾳ χρωμένους. ἐπειδὴ καὶ κουφότατόν ἐστιν ἁπάντων τούτων καὶ ξηραντικώτατον, ἀλύπους τε τὰς ἀρρώστους ἔχει καὶ ἀδήκτους. ἐγχέοντά τε τοῖς ὠσί, τὸ διὰ καστορίου καὶ ὀπίου φάρμακον, ᾧ συνήθως χρώμεθα πρὸς τὰ τοιαῦτα. τὸ δὲ ὑγρὸν ᾧ ἀναδεύεται ταῦτα, τὸ παρ' ἡμῖν καλούμενον ἕψημα ἐστίν. οἱ πλεῖστοι δὲ τῶν ἰατρῶν, ὀνομάζουσιν αὐτὸ σίραιον. εἰ δὲ καὶ καταπλάττειν ποτὲ δεήσει, κωδύας ἐν ὕδατι καθεψοῦντας δι' ἀλεύρου τήλεως, ἢ κριθῶν, ἢ λινοσπέρμου, ἐμβαλλομένων τῷ ὕδατι, τὸ κατάπλασμα συνθετέον. εἰδέναι δὲ χρὴ τὸ διὰ καστορίου φάρμακον, οὐ μόνον ὤτων ἄλγημα πραΰνειν, ἀλλὰ καὶ ὀφθαλμῶν καὶ ὀδόντων, ἐνσταζόμενον τοῖς ὠσίν. ἴσασι δὲ δή που πάντες ἤδη καὶ τὰ δι' ὀπίου κολλύρια σφοδροτάτας ὀδύνας ὀφθαλμῶν πραΰνοντα. χρηστέον δ' αὐτοῖς, ὡς εἴρηται, μεγίστης ἀνάγκης καταλαβούσης, εἰδότα μὲν ὅτι βλαβήσεταί τι τὰ μόρια, καὶ ἀσθενέστερα πρὸς τὸ λοιπὸν τοῦ βίου γενήσεται ψυχθέντα. τὸ δὲ σωθῆναι τὸν ἄνθρωπον ἐν τῷ παραχρῆμα τῆς εἰς ὕστερον ἀκολουθούσης βλάβης προαιρούμενον. ἐπεί τοι γ' ὅτι πολλοὶ τῶν χρησαμένων αὐτοῖς ἐγγὺς ἧκον, οἱ μὲν τοῦ μὴ δ' ὅλως ὁρᾶν, οἱ δέ, τοῦ κωφωθῆναι, γινώσκεται πᾶσιν. ὅθεν ἡμεῖς εἴποτε ἀναγκασθείημεν αὐτοῖς χρήσασθαι μετὰ ταῦτα ἐπὶ τὸν τῆς ὑγείας καιρόν, ἐκθερμαίνομεν τὰ μόρια. τοῖς μὲν ὠσίν, ἐγχέοντες τὸ διὰ μόνου τοῦ καστορίου. τοῖς δ' ὀφθαλμοῖς, τὰ θερμαίνοντα κολλύρια μόνα. μάλιστα δὲ ἐπαινοῦμεν εἰς ταῦτα τὸ διὰ κινναμώμου. περὶ μὲν οὖν ὀδύνης τῆς ὑπὸ παχέσιν ἢ γλίσχροις ἢ ψυχροῖς χυμοῖς ἢ φυσώδει πνεύματι, καὶ ταῦθ' ἱκανά. παραπλησία γὰρ ἁπάντων αὐτῶν ἐστὶν ἡ θεραπεία διὰ τῶν εἰρημένων ὑλῶν περαινομένη. πλήν γε διὰ πνεῦμα φυσῶδες, ἐξαίρετον ἴαμα κέκτηται, τὴν σικύαν πολλάκις προστιθεμένην, ἅμα δαψιλεῖ φλογί. καὶ δόξειεν τὸ βοήθημα τοῦτο μαγείᾳ τινὶ παραπλήσιον ἐργάζεσθαι ἐπὶ τὰς τοιαύτας διαθέσεις. εἴτε κατά τι τῶν ἐντέρων, εἴτε κατ' ἄλλο τι τοῦ σώματος γένοιτο μόριον. αὐτίκα γοῦν ἀνώδυνοί τε ἅμα καὶ εἰς τέλος ὑγιεῖς, οἱ διὰ πνεῦμα φυσῶδες ὀδυνώμενοι γίγνονται, προσβληθείσης σικύας. εἰ δὲ μὴ μόνον εἴη πνεῦμα φυσῶδες, ἀλλὰ καὶ χυμὸς ἐξ οὗ τοῦτο γεννᾶται, παραχρῆμα μὲν ἀνώδυνοι γίνονται. πάλιν δ' αὖθις ἤτοι διὰ τῆς ἐπιούσης νυκτός, ἢ ἐπὶ τὴν ὑστεραίαν ἡμέραν, ἢ καὶ διὰ τρίτης, ὅμοιαι συμβαίνουσιν ὀδύναι. καὶ μάλισθ' ὅταν ἐξαμαρτάνωσί τι περὶ τὴν δίαιταν, ἢ φιλοτιμότερον ἐκθερμαίνουσι τὰ μόρια. σοὶ δὲ καὶ τοῦτο μὲν αὐτὸ μέγιστον ἔστω γνώρισμα τῆς διαθέσεως. ἑπέσθω δὲ καὶ ἡ θεραπεία προσήκουσα. μὴ θερμαίνοντα μὲν ἐπιφανῶς τὸ μόριον. ἀγωγῇ δὲ ἐπιμελείας χρωμένῳ λεπτυνούσῃ. εἰ δὲ καὶ ἐπὶ γαστέρα τῶν τοιούτων τι συμβαίνει, θαυμαστῶς ὑπὸ κλυσμάτων ὀνίνανται δριμέων. χρὴ δὲ πρῶτον μὲν αὐτῶν ἰᾶσθαι τὸν παροξυσμὸν τῆς ὀδύνης προσβάλλοντα σικύαν ὑπὲρ τοῦ διαπνεῦσαι τὸ φυσῶδες πνεῦμα. μετὰ ταῦτα δὲ ἐκκενοῦν τὸν χυμόν, ἐνιέντα τῶν τοιούτων τι φαρμάκων. ἐγὼ δὲ εἴωθα χρῆσθαι τῶν λεπτομερῶν ἐλαίων τινὶ πήγανον ἐναφεψῶν. ἔνιοι δὲ τῶν ὑπὸ τὴν τοιαύτην θεραπείαν ἀχθέντων ὅταν παραδέξωνται τοὔλαιον, ὀδυνῶνται σφοδρότατα. κἄπειτ' ὀλίγον ὕστερον ἐκκρίνουσιν ὑαλώδη χυμόν. ἐφ' ᾧ παραχρῆμα τήν τ' ὀδύνην ἅμα καὶ τὴν διάθεσιν ἐκθεραπεύονται. κενωθέντος γάρ τοι τοῦ τὸ φυσῶδες πνεῦμα γεννῶντος αἰτίου, πάντα παύεται. τούτοις χυμοῖς ἐναντιωτάτην μὲν ἔχουσι φύσιν, οἱ λεπτοὶ καὶ δριμεῖς, ὁμοίαν δὲ τὴν ὀδύνην. ἐνίοτε δὲ καὶ σπασμοὺς συντόνους ἐπιφέρουσιν ἐν τῷ στόματι τῆς γαστρὸς ἀθροισθέντες. ὥσπερ καὶ πρώην τῷ μικρὸν ὕστερον ἐμέσαντι τὸν ἰώδη χυμόν. ἄμεινον δὲ οὐκ ἰώδη λέγειν αὐτόν, ἀλλ' ἀκριβέστατον ἰόν. ἦν γὰρ δὴ τοιοῦτος, οἷος ὁ κάλλιστος ἰός. ἀλλὰ τούτῳ γε τῷ νεανίσκῳ μετὰ τοῦ σπᾶσθαι καὶ συγκόπτεσθαι, καί τινες ἐγίνοντο νοτίδες ψυχραί. καὶ ὁ σφυγμὸς ἐσχάτως μικρὸς ἦν. ἐξ ὧν περ καὶ τεκμηράμενος ἐν τῷ στόματι τῆς γαστρός, ὃ συνήθως ὀνομάζομεν στόμαχον, εἶναί τινα δακνώδη χυμόν, ἔδωκα πιεῖν αὐτῷ ὕδατος χλιαροῦ. μεθ' ὃ παραχρῆμα τοιοῦτον ἤμεσεν, οἷόν περ εἰ καὶ σὺ βουληθείης ἐργάσασθαι μίξας ὕδατι τὸν ἐξανθήσαντα ἰόν. ὅταν μὲν οὖν ἐν τῇ γαστρὶ συνίσταται τοιοῦτος χυμός, ἐμέτοις ἐκκαθαίρειν αὐτόν. ὅταν δὲ ἐν τοῖς ἐντέροις, ἐνιέναι διὰ τῆς ἕδρας ἐπιτήδειόν τι, τὸ τοιούτους χυμοὺς κατακλύζειν δυνάμενον. εἶναι δὲ χρὴ τοῦτο, ῥυπτικὸν μὲν πάν-

μὲν πάντως. ἀλλ' ἐπειδὴ τὰ πλεῖστα τῶν τοιούτων δάκνει, κάλλιστα ἂν εἴη τῶν ἀδήκτων τι ῥυπτικὸν ἐκλέγεσθαι. τοιοῦτον δέ ἐστιν ἐν τοῖς μάλιστα πτισάνης χυλός. ἐδέσματα δὲ αὐτοῖς εὔχυμά τε καὶ δύσφθαρτα δοτέον, ὧν εἴρηται καὶ παραδείγματα κατὰ τὸν ἔμπροσθεν λόγον. ἐπεὶ δὲ καὶ τῶν διὰ ξηρότητα σφοδρὰν τεινομένων τε ἅμα καὶ ὀδυνωμένων ἐμνημόνευσα, προσθεῖναί τι καὶ περὶ τούτων ἄμεινον. εἰδέναι γὰρ χρὴ τὴν τοιαύτην διάθεσιν ἐνδεικνυμένην μὲν, εἰ μέλλει θεραπεύειν τις αὐτὴν, ὑγρότητα. χαλεπὴν δ' οὖσαν ἢ καὶ παντάπασιν ἀδύνατον ἐκθεραπεύεσθαι λόγῳ πυρετοῦ γινομένην. ἕπεται δὲ μάλιστα ταῖς ὀλεθρίαις φρενίτισι. καὶ σωθέντα τινὰ τῶν οὕτω παθόντων, οὔτ' αὐτὸς εἶδον, οὔτ' ἄλλου λέγοντος ἤκουσα. τὰ πολλὰ γὰρ οἱ σπασμοὶ γίγνονται, διά τε πλήρωσιν τῶν νευρωδῶν μορίων, ᾧ λόγῳ καὶ τοῖς φλεγμαίνουσιν ἰσχυρῶς ἕπονται. καὶ προσέτι καὶ διὰ δακνώδη χυμὸν λεπτὸν ἀναβιβρώσκοντα τὰ νευρώδη μόρια, καὶ ψύξιν ἰσχυρὰν ὅμοιόν τι πήξει δρῶσαν. οὗτοι μὲν οἱ εἰρημένοι τρεῖς σπασμοὶ θεραπεύονται πολλάκις. ἀνίατος δὲ ὁ διὰ ξηρότητα τῶν νευρωδῶν μορίων γιγνόμενος. ἐδείχθη γάρ μοι κἂν τῷ περὶ μαρασμοῦ λόγῳ παντάπασιν ἀθεράπευτος ἡ τῶν στερεῶν σωμάτων ξηρότης. ὥστ' οὐδὲν ἔτι χρὴ περί γε τῶν τοιούτων λέγειν συμπτωμάτων. οὐ μὴν οὐδὲ περὶ τῶν διὰ κένωσιν ἀμέτρων, ἤτοι διὰ γαστρὸς, ἢ δι' ἐμέτου, ἢ δι' αἱμορραγίας. εἴρηται γὰρ ὑπὲρ αὐτῶν ἤδη μετρίως ἐν τοῖς ἔμπροσθεν. αὖθίς τε διελθεῖν ἀναγκαῖον ἔσται. καὶ μάλιστα ὅταν ὁ λόγος μοι γίγνηται περὶ τῶν παρὰ φύσιν ὄγκων. καταπαύσω τοιγαροῦν ἤδη τὸν ἐνεστῶτα λόγον ἐπειδὴ περὶ τῶν ἀναγκαιοτάτων συμπτωμάτων καὶ μάλιστα τῶν συνεζευγμένων αὐταῖς ταῖς διαθέσεσι τῶν πυρετῶν, αὐτάρκως διῆλθον.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

ΔΥΟ μὲν ἤδη γένη νοσημάτων ὅπως ἄν τις ἰῷτο μεθόδῳ, δεδήλωται. τὸ μὲν ἕτερον, ἡ δυσκρασία, παλαιὰν ἔχουσα προσηγορίαν. τὸ δ' ἕτερον, ὑφ' ἡμῶν ὠνομασμένον, ἡ τῆς συνεχείας λύσις. ὑπὲρ ἧς πρώτης γράψαντες ἐν τῷ τρίτῳ καὶ τετάρτῳ καὶ πέμπτῳ καὶ ἕκτῳ τῶνδε τῶν ὑπομνημάτων, ἐφεξῆς αὐτῇ τὰ κατὰ δυσκρασίαν γιγνόμενα μέχρι τοῦ δωδεκάτου διήλθομεν. ἐν δὲ τῷδε τῷ τρισκαιδεκάτῳ τῆς ὅλης πραγματείας ὄντι, περὶ τῶν παρὰ φύσιν ὄγκων ἀρξόμεθα λέγειν ἐν οἷς δηλονότι κατὰ μέγεθος ἐξίσταται τὰ μέλη τοῦ κατὰ φύσιν. ὑγείαν δὲ καλεῖν ἢ κατὰ φύσιν, οὐ διοίσει πρός γε τὰ παρόντα. πολλῶν δὲ κατ' εἶδος ὄντων ἐν αὐτοῖς παθῶν, περὶ πρώτης ἐροῦμεν τῆς φλεγμονῆς. ἄμεινον γὰρ ἀπὸ ταύτης ἄρξασθαι, διά τε τὸ συνεχέστατα γίγνεσθαι, καὶ πυρετούς τε καὶ ἄλλα συμπτώματα ἐργάζεσθαι σφαλερώτατα. λεγόντων δὲ πολλάκις τῶν παλαιῶν φλεγμονὴν τὴν φλόγωσιν, ἴστεον νῦν ἡμᾶς οὐ περὶ ταύτης διέρχεσθαι τῆς φλεγμονῆς, ἀλλ' ἥτις ἅμα τῇ φλογώσει, καὶ τάσιν ἔχει περὶ τὸ μόριον, ἡμῖν θ' ἁπτομένοις φαινομένην, αὐτῷ τε τῷ κάμνοντι διὰ τῆς ἰδίως ὀνομαζομένης συναισθήσεως. οὐδὲν δ' ἧττον τῆς τάσεως ἀντίτυπόν ἐστι τὸ φλεγμαῖνον μόριον, ἐν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν. ὀδύνη δ' αὐτῷ σύνεστιν ἤτοι γ' ἐλάττων ἢ μείζων. ἐνίοτε δὲ καὶ μετὰ σφυγμοῦ συναισθήσεως, ὅταν ἐπὶ πλέον αὐξηθῇ τὸ νόσημα. καὶ μάλιστα ἡνίκα ἐκπυΐσκεται. οὕτω δὲ καὶ τὸ καλούμενον ἔρευθος ἤτοι γ' ἧττον ἢ μᾶλλον. ἀεὶ δὲ πάντα ἐστὶν ἐν τῷ τοῖς φλεγμαίνουσι μορίοις. ὥστε κἂν ἐν τῷ τοῦ ποδὸς ἴχνει, κἂν κατὰ τὸ τῆς χειρὸς ἔνδον γένηται μεγάλη φλεγμονή, καὶ ταῦτα φαίνεσθαί πως ἑαυτῶν ἐνίοτε ἐρυθρότερα. δέδεικται γάρ τοι πᾶσα φλεγμονὴ δι' ἐπιρροὴν αἵματος γιγνομένη. τισὶ μὲν εὐθέως θερμοῦ πλέον ἢ κατὰ φύσιν ἦν θερμόν. ἅπασι δ' οὖν ἐν τῷ φλεγμαίνοντι μορίῳ θερμοτέρου γιγνομένου. καὶ τοῦτο κοινὸν ἁπάσαις ταῖς αἱρέσεσιν ἐστίν. εἴτε σφήνωσιν μόνην αἰτιῶνται κατὰ τὰ πέρατα τῶν ἀγγείων, εἴτε παρέμπτωσιν τοῦ αἵματος ἐν μόναις ταῖς ἀρτηρίαις, εἴτ' ἔμφραξίν τινα, εἴτε ἔνστασιν εὐλόγῳ θεωρητοῖς ἀραιώμασιν. ὥστε καὶ ὁ τῆς ἰάσεως σκοπὸς ἁπάσαις κοινός. ἡ κένωσις τοῦ πλεονάζοντος αἵματος ἐν τῷ φλεγμαίνοντι μορίῳ. γιγνομένης δ' ἔτι τῆς φλεγμονῆς, διττὸς ὁ σκοπὸς ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων ἐδείχθη νοσημάτων, ὅσα τὴν γένεσιν ἐνεστῶσαν ἔτι καὶ μήπω συμπεπληρωμένην ἔχοι. τὸ μὲν γὰρ γεγονὸς αὐτῶν ἤδη, τῷ θεραπευτικῷ μέρει τῆς ἰατρικῆς ὑποπέπτωκε. τὸ δ' ἔτι γιγνόμενον, τῷ προφυλακτικῷ. καὶ διὰ τοῦτο ἔφαμεν οὐχ ἁπλῆν, ἀλλὰ σύνθετον εἶναι τὴν ὅλην ἐπιμέλειαν τῶν ἔτι γιγνομένων παθῶν, ἔκ τε προφυλακτικῆς, τε καὶ θεραπευτικῆς, ὥσπερ γε καὶ εἰ μηδ' ὅλως ἄρχοιτο φλεγμαίνειν μηδέπω. φαίνοιτο δὲ τὸ τῶν γεννῆσαι δυναμένων αἰτίων εἶδος ἤδη κατὰ τὸ σῶμα, σκοπὸς κἀπὶ τούτων ἁπάντων ἡ προφυλακὴ μόνη. μὴ δέ πω δ' αἰτίας μηδὲ μιᾶς ὑποτρεφομένης ἐν τῷ σώματι, τὸ καλούμενον ὑγιεινὸν μέρος τῆς τέχνης προνοεῖται καὶ οὕτως ἐχόντων. ὅσα τοίνυν αἴτια τὴν φλεγμονὴν ὁρᾶται γεννῶντα, ταῦτα ὅταν μὲν ἤδη πως ᾖ κατὰ τὸ σῶμα μικρά τ' ἔτι καὶ ἀρχόμενα, κωλύειν αὐτὰ δεῖ μείζω γενέσθαι, καὶ τοῦτ' ἐστὶν ἡ προφυλακὴ τῆς φλεγμονῆς. εἰ δὲ τηλικοῦτον ἔχει τὸ μέγεθος ὡς ἤδη ποιεῖν φλεγμονήν, ἐκκόπτειν μὲν χρὴ ταῦτα, τὸ δὲ ἤδη γεγονὸς αὐτῆς ἰᾶσθαι. γένεσις μὲν οὖν κοινὴ πάσαις ταῖς φλεγμοναῖς, ἐξ αἵματος ἐπιρροῆς ἐστι πλείονος ἢ ὅσου δεῖται τὸ μέρος, ὡς ἔν τε τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων ἐδείχθη, καὶ τῷ τῆς ἀνωμάλου δυσκρασίας. ἐπιρρεῖ δὲ πλέον ἐνίοτε μὲν ἑτέρου τινὸς ἢ ἑτέρων τινῶν μορίων εἰς αὐτὸ πεμπόντων. ὑποδεχομένου δὲ τοῦ φλεγμαίνειν ἀρχομένου, ποτὲ δὲ ἕλκοντος ἐφ' ἑαυτὸ τοῦ πάσχοντος. τὰ μὲν οὖν πέμποντα, ποτὲ μὲν ὡς τῷ πλήθει περιττὸν, ἢ ἀνιαρὸν τῇ ποιότητι, διωθεῖται τὸν χυμόν. ἐνίοτε δὲ καὶ δι' ἄμφω. τὰ δὲ ἕλκοντα διὰ θερμότητα νοσώδη. κατὰ δὲ τὰς ὀδύνας, ἄρχεται μὲν ἐκ τοῦ τὴν ὀδύνην ἔχοντος ἡ αἰτία. τὰ δ' ὑπερκείμενα, τὸ σύμπαν ἐργάζεται τῆς φλεγμονῆς. τὸ μὲν οὖν ὑπὸ τοῦ θερμαινομένου, ἤτοι γ' ἕλκεσθαι τοὺς πλησιάζοντας χυμοὺς, ὡς ἡμεῖς φαμὲν, ἢ ὡς Ἀσκληπιάδης ἐνόμιζε ῥεῖν, ἐναργῶς φαίνεται, καὶ φυλάττεσθαι

τῷ λόγῳ κἀνταῦθα τὸ ἀληθὲς ἐξ αὐτοῦ τοῦ βλέπεσθαι. τά γε μὴν ὀδυνώμενα, φαίνεται μὲν καὶ ταῦτα φλεγμαίνοντα διὰ τὴν ὀδύνην. ἡ δ' αἰτία, τισὶ μὲν οὐδ' ὅλως εἴρηται. τισὶ δ' οὐδαμῶς πιθανή. καθ' ἡμᾶς δ' ἐστὶ τοιάδε. δέδεικται δὲ κατὰ τὴν πραγματείαν ἣν περὶ τῶν φυσικῶν δυνάμεων ἐποιησάμεθα, μία καὶ ἥδε τῆς φύσεως δύναμις, ἣν ἀποκριτικὴν ὀνομάζομεν. ἐνεργεῖ δ' αὕτη κατ' ἐκείνους τοὺς καιροὺς ἐν οἷς ἂν αἴσθηται λυποῦντός τινος. ἓν δέ τι τῶν λυπούντων αὐτήν ἐστι, καὶ τὸ τὴν ὀδύνην ἐργαζόμενον αἴτιον, ὅ, τί ποτ' ἂν ᾖ. τοῦτ' οὖν ἀποτρίψασθαι σπεύδουσα, φλεγμονὴν ἐστιν ὅτε κατὰ τὸ μέρος ἐργάζεται. ὅταν γὰρ ταῖς πρώταις ἑαυτῆς κινήσεσι μηδὲν ἀνύσῃ, τηνικαῦτ' ἤδη σφοδρότερον ἐπιχειροῦσα τὸ λυποῦν ἀποτρίψασθαι, συνεκθλίβει τι πρὸς τὸ μέρος ἐκ τῶν ὑπερκειμένων αἷμα καὶ πνεῦμα, κἀντεῦθεν ἐπὶ ταῖς ὀδύναις εἰς ὄγκον αἴρεται τὸ μέρος, ἀνάλογον τῷ πρὸς αὐτὸ ῥυέντι χυμῷ, καὶ μέν τοι καὶ πάντων τῶν παρὰ φύσιν ὄγκων ἡ ποικιλία τῆς διαφορᾶς ἕπεται τῇ τῶν ἐπιρρεόντων φύσει. πνευματωδέστεροι μὲν γὰρ, ὅταν ἡ πνευματώδης οὐσία πλείων ἀφίκηται, γίνονται. φλεγμονωδέστεροι δὲ, ὅταν ἡ τοῦ αἵματος. ἐρυσιπελατώδεις δὲ, ὅταν ὁ τῆς ξανθῆς χολῆς χυμός. οἰδηματώδεις δὲ, ὅταν ὁ τοῦ φλέγματος. ὥσπερ γε καὶ σκιρρώδεις ὅταν ἤτοι παχὺς ἢ καὶ γλίσχρος ἱκανῶς ὁ κατασκήψας εἰς τὸ μόριον ᾖ χυμός. ὁ μὲν οὖν παχὺς ἤδη πως ἐστὶ μελαγχολικός. καὶ ἤτοι γε ἧττον ἢ μᾶλλον. ὁ δὲ γλίσχρος, ἔκ τε γλίσχρων ἐδεσμάτων γίγνεται, καί ποτε καὶ αὐτῶν τῶν νευρωδῶν μορίων περίττωμα πολὺ γεννησάντων. ἀλλὰ περὶ μὲν τῶν ἄλλων ὄγκων, ἐφεξῆς εἰρήσεται. περὶ δὲ τῆς φλεγμονῆς, τὰ κοινὰ πάντων λαβόντες εἰς τὸν λόγον, οὕτως αὐτοῖς προσθῶμεν, ὅσα μόνης αὐτῆς ἐστιν ἴδια. ὅταν οὖν ἄρχηταί τι φλεγμαίνειν μόριον, ἐπισκεπτέον εἴτε διὰ θερμασίαν τινὰ παρὰ φύσιν ἐν αὐτῷ γενομένην, εἴτε δι' ὀδύνην, ἤτοι γ' οἰκείαν, ἤ τινα τῶν πλησιαζόντων εἰς τοῦθ' ἥκει. ἵνα τοῦτο παύοντι τὴν αἰτίαν, ἡ φλεγμονὴ μηκέτ' αὐξάνηται. μετὰ δὲ τήνδε τὴν ἐπίσκεψιν, ἐφεξῆς θέασαι μή τι τῶν πλησιαζόντων μορίων ἐπιπέμπει πλέον αἷμα τῷ φλεγμαίνοντι. καὶ μετὰ τοῦτο, μὴ καὶ σύμπαν τὸ σῶμα πληθωρικῶς διάκειται. μεμνῆσθαι δ' οἶμαί σε, καὶ τούτου τοῦ δεδειγμένου πολλάκις, ὡς ἐκ τῶν ἰσχυροτέρων μορίων ἀθροιζόμενα τὰ περιττὰ κατὰ πλῆθος, ἢ ποιότητα, τοῖς ἀσθενεστέροις ἐγκατασκήπτει. καὶ διὰ τοῦτό γε καὶ οἱ ἀδένες, ἑτοίμως δέχονται τὸ ῥεῦμα. καὶ μάλισθ' ὅσοι μανότεροι φύσει. σφοδρότερος μὲν γὰρ ὁ τῶν ἀρτηριῶν καὶ φλεβῶν καὶ νεύρων καὶ μυῶν ἐστι τόνος. ἀσθενέστερος δὲ καὶ ἴσος οὐδ' ὅλως, ὁ τῶν ἀδενωδῶν σωμάτων. οὕτως οὖν καὶ δι' ἕλκος ἐν δακτύλῳ γενόμενον, ἤτοι ποδὸς, ἢ χειρὸς, οἱ κατὰ τὸν βουβῶνα καὶ τὴν μασχάλην ἀδένες ἐξαίρονταί τε καὶ φλεγμαίνουσι, τοῦ καταρρέοντος ἐπ' ἄκρον τὸ κῶλον αἵματος ἀπολαβόντες πρῶτοι. καὶ κατὰ τράχηλον δὲ καὶ παρ' ὦτα πολλάκις ἐξήρθησαν ἀδένες ἑλκῶν γενομένων ἤτοι κατὰ τὴν κεφαλὴν ἢ τὸν τράχηλον, ἤ τι τῶν πλησίων μορίων. ὀνομάζουσι δὲ τοὺς οὕτως ἐξαρθέντας ἀδένας, βουβῶνας. εἰ δὲ σκιρρωδεστέρα ποτ' αὐτῶν ἡ φλεγμονὴ γένοιτο, δυσίατός τέ ἐστι, καὶ καλεῖται χοιράς. ἥτις μὲν οὖν ἐστιν ἡ τῶν χοιράδων ἴασις ἰδία, κατὰ τὸν ἑξῆς λόγον εἰρήσεται. νυνὶ δὲ περὶ τῶν φλεγμονῶν ἐπειδὴ περὶ τούτων πρόκειται διελθεῖν, ἀναλαβόντες περὶ τούτων αὖθις λέγωμεν. ὡς τὸ κωλύειν αὐτὰς ἀρχομένας, ἐκκοπτόντων τὴν γεννῶσαν αἰτίαν γίγνεται. καὶ πρῶτόν γε περὶ τῶν ἐφ' ἕλκεσι φλεγμονῶν εἴπωμεν. ἐπειδὰν γὰρ ἐγγὺς ἀρτηρίας μεγάλης ἢ φλεβὸς ἕλκος γένηται, τάχιστα μὲν οἱ βουβῶνες ἀνίστανται. φαίνεται δ' ἐνίοτε καὶ ἡ φλὲψ αὐτὴ καθ' ὅλον τὸ κῶλον ἐρυθρά τε καὶ θερμὴ καὶ τεταμένη. καὶ εἰ θίγοις αὐτῆς, ὀδυνωμένη. πληθωρικοῦ μὲν οὖν ὄντος ἢ κακοχύμου τοῦ παντὸς σώματος, ἡ θεραπεία δύσκολος γίνεται. ὑγιεινοῦ δ' ἀκριβῶς, ῥᾳδία. θερμαίνειν τε γὰρ καὶ ὑγραίνειν χρὴ μετρίως ὅλον τὸ κῶλον ὅπως ἀνώδυνον γένοιτο. γινώσκεις δὲ δήπου τὴν τῶν τοιούτων ὕλην. αὐτῷ μὲν οὖν τῷ ἕλκει τῆς τετραφαρμάκου δυνάμεως ἐπιτιθεμένης ἐν μοτῷ. λύεται δὲ ῥοδίνῳ μὲν μάλιστα. μὴ παρόντος δὲ αὐτοῦ, τῶν χαλαστικῶν ἐλαίῳ τινί. τῷ δὲ ὅλῳ κώλῳ περιελιττομένου πιλήματος ἐλαίῳ θερμῷ βεβρεγμένου. καὶ μέν τοι καὶ αὐτῷ τῷ ἕλκει τὸ φάρμακον ἐπιτιθέναι χρὴ θερμόν. ἔξωθέν τε καταπλάττειν αὐτὸ θερμῷ καταπλάσματι. τὸ μὲν ἄλευρον ἤτοι κρίθινον ἢ πύρινον ἢ μικτὸν ἐξ ἀμφοῖν ἔχοντι. τὸ δὲ ὑγρὸν, ὕδωρ μετ' ἐλαίου βραχέος. οὕτω δὲ καὶ αὐτῷ τῷ ἀδένι τῷ φλεγμαίνειν ἠργμένῳ, παρηγορικῶς χρὴ προσφέρεσθαι, τήν γε πρώτην ἡμέραν ἐξ ἐλαίου θερμοῦ διάβροχον ἔριον ἐπιτιθέντας. οὐχ ὥς τινες εὐθέως μεθ' ἁλῶν. ὕστερον γὰρ ἐκείνοις χρησόμεθα, τοῦ τε καθ' ὅλον ὄγκου παρηγορηθέντος, ἀνωδύνου τε τοῦ ἕλκους γενομένου. καὶ μέν τοι καὶ τὸ μακεδονικὸν καλούμενον φάρμακον, ὡσαύτως τῇ τετραφαρμάκῳ δυνάμει κατὰ τῶν ἑλκῶν ἐπιφέρειν προσήκει καὶ γὰρ καὶ παραπλήσιά πως ἀλλήλοις ἐστὶ μόνῳ τῷ λιβανωτῷ πλεονεκτοῦντος τοῦ μακεδονικοῦ. πληθωρικοῦ δ' ὄντος ἢ κακοχύμου τοῦ σώματος, ἡ διὰ τῶν οὕτω θερμαινόντων ἀγωγὴ, ῥευματίζει τὸ κῶλον. οὐ μὴν οὐδ' ἄλλῃ τινὶ χρῆσθαι δυνατόν. ἀναγκαζόμεθα τοιγαροῦν ἐνίοτε κενοῦν αἵματος. ἤτοι φλέβα τέμνοντες, ἢ ἀποσχάζοντες τὰ μὴ πεπονθότα κῶλα. χειρὸς μὲν γὰρ κακῶς ἐχούσης, τὰ σκέλη. τοῦ δ' ἑτέρου τῶν σκελῶν πεπονθότος, τὸ λοιπόν. ταύτας γὰρ τὰς κενώσεις, ἐνδείκνυται τὸ πλῆθος. ὥσπερ γε ἡ κακοχυμία τὴν τοῦ πλεονάζοντος χυμοῦ κάθαρσιν. ὡς τὰ πολλὰ μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις βοηθήμασι παύεται τῶν ἀδένων ἡ φλεγμονή. πολλάκις δ' ἤτοι τοῦ θεραπεύοντος βραδύνοντος περὶ τὴν τοῦ παντὸς σώματος κένωσιν, ἢ αὐτοῦ τοῦ κάμνοντος ὑπὸ μαλακίας αὐτὴν οὐ προσιεμένου, μείζων ἡ φλεγμονὴ γίνεται τῶν ἀδένων, ὡς εἰς ἐκπύησιν ἔρχεσθαι. καὶ μέν τοι καὶ τὰ καλούμενα φύματα, κατ' αὐτοὺς τοὺς ἀδένας συμβαίνει, διὰ ῥεῦμα κατασκῆψαν ἄνευ τῆς ἐξ ἕλκους προφάσεως. ὅταν οὖν ποτε διατείνονται σφοδρῶς ἀδένες, ἢ ἁπλῶς ὁτιοῦν μόριον ἄλλο φλεγμαῖνον, ἀναγκαζόμεθα προκενώσαντες τὸ ὅλον, ἀποσχάζειν αὐτό. κενοῦμεν δὲ τὸ ὅλον, ὡς κἂν τῷ περὶ πλήθους ἐδείξαμεν, οὐ μόνον ἐν πληθωρικῇ διαθέσει γιγνόμενον, ἀλλὰ καὶ διὰ μέγεθος τοῦ πάθους ἐν συμμετρίᾳ χυμῶν καθεστηκότος τοῦ παντὸς σώματος. ἡ γὰρ ὀδύνη καὶ ἡ θερμασία τοῦ φλεγμαίνοντος μέλους, αἰτίαι ῥεύματος γίνονται, κἂν ἀπέριττον ᾖ τὸ σύμπαν σῶμα. χρὴ τοίνυν ἐνδεέστερον αὐτὸ ποιεῖν τηνικαῦτα κενοῦντα κένωσιν, ἥτις ἂν ἁρμόττειν φαίνηται μάλιστα, τῇ θ' ἡλικίᾳ καὶ τῇ φύσει τοῦ κάμνοντος, ἐπισκοποῦντα καὶ τὴν ὥραν, καὶ τὴν χώραν, καὶ τὰ ἔθη τοῦ νοσοῦντος. ὑπὲρ ὧν ἤδη πολλάκις ἐν πολλοῖς εἴπομεν. ὥστε κἂν μὴ προσκέηταί ποτε τῷ λόγῳ,

συμπαθεῖν

συνυπακούειν αὐτὰ χρή. ὅταν τὸ οἷον ζέον τῆς φλεγμονῆς παύσηται, τῶν παρηγορικῶν ἀποχωροῦντα καταπλασμάτων, ἐπὶ τὰ διαφορητικὰ χρὴ μεταβαίνειν κατὰ βραχύ. πρῶτον μὲν τοῖς παρηγορικοῖς μιγνύντα μέλιτος ὀλίγον. εἶτ' ἀφαιροῦντα μὲν ὅλον τὸ πύρινον ἄλευρον. ἀρκούμενον δὲ τῷ κριθίνῳ μετὰ τοῦ καὶ τὸ μέλι προσαύξειν. εἶθ' ἑξῆς ἐπί τι τῶν διαφορούντων ἰέναι φαρμάκων ὅσα ταῖς συστάσεσιν ἤτοι γ' ὑγρὰ τοῖς ἐμμότοις ὁμοίως ἐστὶν, ἢ κηρωτοειδῆ. ἀφίστασθαι δὲ τῶν σκληρῶν οἷα πολλὰ τῶν ἐμπλάστρων ἐστί. συντείνει τε γὰρ τὰ λείψανα τῶν φλεγμονῶν. αὖθίς τε φλεγμαίνειν ἀναγκάζει τὰ πεπονθότα μόρια. κἂν ἔμπυον δέ τι κατὰ τὸ διαπυῆσαν ἀξιόλογον ᾖ περιεχόμενον, οὐ χρὴ τέμνειν αὐτίκα καθάπερ ἔνιοι πράττουσιν, ἀλλὰ διαφορεῖν ἐπιχειρεῖν τοῖς τοῦτο δρᾶν πεφυκόσι φαρμάκοις. ὧν ἡ χρῆσις ἐστοχάσθω τῆς διαθέσεως. ὅταν μὲν γὰρ ἔτι φλεγμονῶδές τι κατὰ τὸ μόριον ᾖ, τὰ δριμέα τῶν φαρμάκων ἐρεθίζει μᾶλλον ἢ διαφορεῖ. ὅταν δὲ φαίνηταί σοι τὸ τῆς φλεγμονῆς λείψανον σκιρρῶδες γινόμενον, θαρρεῖν ἤδη τοῖς ἰσχυροῖς φαρμάκοις, ἐπιβλέποντα δὶς τῆς ἡμέρας ὁποῖόν τι δρᾷ. κατὰ μὲν τὴν ἕω, τὸ πρότερον. εἰς τὴν ἑσπέραν δὲ, τὸ δεύτερον. εἰ δὲ καὶ βαλανείῳ χρῷτο, καὶ κατὰ τὸν ἐκείνου καιρόν. ὅταν οὖν ἴδῃς ποτὲ διὰ τὴν τοῦ φαρμάκου δριμύτητα τὸ πεπονθὸς μέρος ἠρεθισμένον ὡς ὀγκωδέστερον ἢ ἐρυθρότερον ἢ ὀδυνωδέστερον γεγονέναι, παρηγόρει μεταξὺ τῇ διὰ τῶν σπόγγων πυρίᾳ. καὶ αὕτη δέ σοι ποτὲ μὲν ἐξ ὕδατος ἔστω ποτίμου. ποτὲ δ' ἅλων ἐχούσης τι κατὰ τὰς σκιρρωδεστέρας δηλονότι φλεγμονάς. εἰ δὲ καὶ κινηθείη ποτὲ τὰ φάρμακα πρὸς τοῦ πλήθους τοῦ πύου, καὶ φαίνοιτο μὴ δυνάμενα διαφορῆσαι πᾶν αὐτό, τέμνειν χρὴ τὸ οὕτως ἀφιστάμενον ἔνθα μάλιστα ἐστὶν ὑψηλότατον ἑαυτοῦ. καὶ γὰρ λεπτότατον εὑρήσεις ἐνταῦθα τὸ δέρμα. μέμνησο δὲ καὶ θατέρου σκοποῦ τοῦ τῆς ὑπορρύσεως ἐν τῇ τομῇ. καὶ πρὸς ἀμφότερα ἀποβλέπων, οὕτως χάλα τὸ διαπυῆσαν. ἐπιτίθει τε φάρμακον ἐφεξῆς τῶν ξηραινόντων ἀδήκτως. εἰ δὲ καὶ σεσηπέναι φαίνοιτό τινα τοῦ διαπυήσαντος, ἐκκόπτειν ἀναγκαῖον αὐτά. τινὲς δ' ἐπὶ τῶν κατὰ μασχάλην καὶ βουβῶνα διαπυϊσκόντων, ἀεὶ κελεύουσι μυρσινοειδῶς ἐκτέμνειν τοῦ δέρματος, ἐπειδὴ φύσει χαλαρὸν ἐν αὐτοῖς ἐστι, καὶ διὰ τοῦτο δεχόμενον ἑτοίμως πᾶν τὸ παραγινόμενον ἐπ' αὐτό. καὶ φλεγμαίνουσι ῥᾳδίως ἐπὶ σμικραῖς προφάσεσι. καὶ μεγίστας γ' ἔνιοι τὰς περιτομὰς εἰώθασι ποιεῖσθαι, δι' ἃς αἴσχιστόν τε τὸ μέρος εἰς οὐλὴν ἀχθὲν γίνεται. καὶ προσέτι καὶ ἀσθενέστερον, ἐμποδίζει τε πολλάκις εἰς τὰς κινήσεις. ταῦτ' οὖν ἡμεῖς φυλαττόμενοι, τὰ μὲν πλεῖστα μόνῃ τῇ τομῇ, μετὰ φαρμάκων ξηραινόντων ἱκανῶς ἰασάμεθα τὰς τοιαύτας διαθέσεις. εἰ δέ ποτε καὶ περιτέμνειν ἐδέησε διὰ τὸ πλῆθος, οὐ τοῦ πύου μόνον, ἀλλὰ καὶ τῶν ἐφθαρμένων σωμάτων, ἤρκεσεν ἡμῖν οὐ πάνυ μεγάλη μυρσινοειδὴς περιαίρεσις. ἐχούσης δὲ τῆς τοιαύτης τὸ μῆκος μεῖζον τοῦ πλάτους, ἐγκάρσιον ἔστω τὸ μῆκος ἐπὶ τοῦ βουβῶνος, οὐ κατ' εὐθὺ τοῦ κώλου. καὶ γὰρ κατὰ φύσιν οὕτως ἐπιπτύσσεται τὸ δέρμα ἑαυτῷ καμπτόντων τὸ κῶλον. ἐπὶ δὲ τῇ περιαιρέσει, πληροῦν χρὴ τὸ πεπονθὸς μόριον τῇ καλουμένῃ μάννῃ. ἔστι δὲ ὑπόσεισμα λιβανωτοῦ τὸ φάρμακον τοῦτο, στύψεώς τε μετέχον ὀλίγου. καὶ κατὰ τοῦτο καὶ αὐτοῦ τοῦ λιβανωτοῦ πρὸς ἔνια βέλτιον. ἐκεῖνος γὰρ ἐκ τῆς πυητικῆς δυνάμεώς ἐστι μόνης, ὡς ἂν μὴ μετέχων στύψεως. καὶ μᾶλλον ὁ λιπαρώτερος ἐν αὐτῷ, καὶ τῇ χροιᾷ λευκότερος. ὥσπερ γε ὁ τοῦ δὲ ξανθότερος, ξηραντικώτερός ἐστι. τῇ δὲ μάννῃ καὶ φλοιοῦ τι λιβανωτοῦ μέμικται σμικρόν, ἀφ' οὗ τὸ στύφον ἔχει. τοῦτο δ' αὐτὸ τὸ φάρμακον ὁ φλοιὸς τοῦ λιβανωτοῦ, καὶ στύφει, καὶ ξηραίνει γενναίως. διὸ καὶ πρὸς τὰς μετριωτέρας αἱμορραγίας, αὐτῷ χρώμεθα μόνῳ. καθάπερ γε καὶ πρὸς τὰς σφοδροτέρας καυθέντι μόνῳ καὶ τῷ τε δευμένῳ δηλονότι, καὶ χνοώδει γεγονότι. καὶ μὲν δὴ καὶ παρηγορῆσαι χρὴ πρότερον τὸ τμηθὲν, ὡς εἴρηται, μέρος εἰς ὅσον ἂν φαίνηται δεόμενον. ἐπιβροχῆς μὲν πρῶτον, εἶτα καταπλάσματος. εἶτα τῶν ὑγραινόντων τινὸς φαρμάκων, ἢ μὴ ξηραινόντων, ἔξωθεν ἐπιτιθεμένων δηλονότι τούτων. κατ' αὐτοῦ γὰρ τοῦ ἡλκωμένου τήν τε μάνναν, ὡς εἴρηται, καὶ τῶν ἐμμότων φαρμάκων τὰ διαπυΐσκοντα μὲν πρῶτον, εἶτ' ἀνακαθαίροντα θετέον ἐστίν. ἐφ' οἷς εἰ μὲν εἴη κοιλότης ἔτι, τὰ σαρκοῦντα προσφέρειν. εἰ δ' οὐκ εἴη, τὰ συνουλωτικά τε καὶ ἐπουλωτικὰ καλούμενα. καθάπερ καὶ τὸ διὰ τῆς καδμίας. ἐπεὶ δὲ καὶ κατὰ τὴν τούτων χρῆσιν οὐ σμικρόν τι παρορᾶται τοῖς πλείστοις τῶν ἰατρῶν, ἄμεινον ἂν εἴη καὶ περὶ τούτων δηλῶσαι. τηνικαῦτα γὰρ εἰς οὐλὴν ἄγειν ἄρχονται τὰ ἕλκη, τοῖς ἐπουλωτικοῖς χρώμενοι φαρμάκοις, ὁπόταν ἀκριβῶς ἀναπληρωθῇ, καὶ μηδὲν ἔτ' ἔχῃ κοῖλον, εἶτ' αὐτοῖς συμβαίνει τὰς οὐλὰς ἐργάζεσθαι τοῦ πέριξ δέρματος ὑψηλοτέρας. ὅπως οὖν ἐκείνῳ γίγνοιντο ἴσαι, τοῖς τοιούτοις φαρμάκοις χρῆσθαι προσήκει πρὶν ἀκριβῶς ὁμαλὲς ἀποδειχθῆναι τὸ ἕλκος. ἐπὶ μὲν τὰ χείλη διὰ μήλης πυρῆνος ἐπιτιθέντας τῶν ξηρῶν τι φαρμάκων, ὧν ἐν τῇ τῶν ἑλκῶν ἐμνημονεύσαμεν θεραπείᾳ. τῷ δ' ἄλλῳ μοτῷ σκέποντας, κεχρισμένῳ τῶν ἐπουλωτικῶν τινὶ φαρμάκων ὑγρῶν τῇ συστάσει. προκοπτούσης δ' ἔτι τῆς θεραπείας, καὶ τοῦτο ἀφαιρήσεις ὕστερον, μόνῳ τῷ ξηρῷ φαρμάκῳ χρώμενος ἐφ' ὅλου τοῦ ἕλκους, ἐπικυλιομένου τοῦ τῆς σπαθομήλης πυρῆνος. ἔξωθεν δ' ἀρκεῖ μοτὸς ἤτοι ξηρὸς, ἢ ἐξ οἴνου. καὶ μᾶλλον ὁ ἐκ τῶν μαλακῶν ἐλλυχνίων, οἷά περ ἐστὶ τὰ ταρσικά. καὶ γὰρ καὶ αὐτὰ ἔχει τι καθαιρετικὸν τῶν ὑπερσαρκούντων ἑλκῶν. ταῦτα μὲν οὖν εἴρηται τῇ κοινωνίᾳ τῶν πραγμάτων ἀκολουθησάντος μου. πάλιν δ' ἐπὶ τὸν περὶ τῆς φλεγμονῆς λόγον ἀφικόμενοι, λέγομεν, ὡς κοινὸς μὲν ἁπασῶν σκοπὸς, ἡ κένωσις. ὅσαι δ' ἔτι γίγνονται, πρότερον τοῦ κενοῦν ἐστι κωλῦσαι τὸ αἷμα ῥεῖν ἐπὶ τὸ φλεγμαῖνον. ἔσται δὲ τοῦτο καλῶς, εἰ τὴν τοῦ ῥεύματος αἰτίαν εὕροιμεν. ἔστι δὲ καὶ αὕτη διττή. ποτὲ μὲν ἐξ αὐτοῦ τοῦ φλεγμαίνοντος ὡρμωμένη μορίου, ποτὲ δὲ ἐξ ἄλλου τινὸς ἢ ἄλλων. ἐξ αὐτοῦ μὲν ὅταν ἤτοι θερμότερον ἢ ὀδυνώμενον γένηται, καθότι καὶ πρόσθεν εἴρηται. οὐκ ἐξ αὐτοῦ δὲ, ὅταν ἤτοι γ' ἐξ ἑτέρου τινὸς ἢ ἑτέρων αὐτῷ πέμπηται τὸ περιττὸν, ἢ καὶ τῆς καθ' ὅλον τὸ σῶμα διαθέσεως. θερμότερον μὲν οὖν γίνεται, διὰ κίνησιν ἀμετροτέραν, ἤ τινα θάλψιν ἐξ ἡλίου καὶ πυρὸς, ἢ διὰ δριμὺ φάρμακον. ὀδυνᾶται δὲ διά τε δυσκρασίαν καὶ τραῦμα καὶ θλάσμα καὶ στρέμμα καὶ τάσιν. ἔτι τ' ἔμφραξίν τινα καὶ πνεῦμα φυσῶδες. ἡ δυσκρασία δὲ, ποτὲ μὲν ἔξωθεν αὐτῷ γίγνεται. ποτὲ δὲ, ἐκ τῶν κατὰ τὸ σῶμα χυμῶν. ἔξωθεν μὲν ἐπί τινι τῶν ἰοβόλων ὀνομαζομένων ζῴων, ἢ φαρμάκῳ, θερμαίνοντι σφοδρῶς ἢ ψύχοντι. κἀκ τοῦ περιέχοντος ἐνίοτε. διὰ δὲ τὸ σῶμα τοῦ κάμνοντος αὐτὸ, μοχθηροῦ

ἀθροῖσαν χυμοὺς ἀνομοίους ταῖς δυνάμεσι. ταῦτ᾽ οὖν ἅπαντα διασκεψάμενος, ὅσαι μὲν ἐπιγίγνονται φλεγμοναί, τὰς αἰτίας αὐτῶν ἐκκόπτε πρότερον. ὅσαι δ᾽ ἤδη γεγόνασιν, αὐτὰς μόνας θεράπευε. πῶς οὖν χρὴ σε τοῦ παντὸς σώματος ἐπιμελεῖσθαι μοχθηρῶς διακειμένου. λέλεκται μὲν οὖν οὐκ ὀλίγα, καὶ διὰ τῶν ἔμπροσθεν. εἴρηται δὲ, κἀν τῷ περὶ πλήθους γράμματι. καὶ νῦν δ᾽ εἰρήσεται τὰ κεφάλαια τῶν λόγων. ὅταν μὲν γὰρ ὁμοτίμως ἀλλήλοις αὐξηθῶσιν οἱ χυμοί, πλῆθος τοῦτο καὶ πληθώραν ὀνομάζουσιν. ὅταν δ᾽ ἤδη ξανθῆς χολῆς ἢ μελαίνης ἢ φλέγματος ἢ τῶν ὀρρωδῶν ὑγρῶν μεστὸν γένηται τὸ σῶμα, κακοχυμίαν οὐ πληθώραν καλοῦσι τὴν τοιαύτην διάθεσιν. ἡ μὲν οὖν πληθώρα, διά τε τῆς τοῦ αἵματος ἀφαιρέσεως θεραπεύεται, καὶ διὰ λουτρῶν πλειόνων, καὶ γυμνασίων, καὶ τρίψεων. ἔτι δὲ φαρμάκων διαφορούντων. καὶ πρὸς τούτοις ἅπασιν, ἀσιτίας. ὑπὲρ ὧν ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασιν εἴρηται τελέως. ἡ κακοχυμία δέ, διὰ τῆς οἰκείας ἑκάστου τῶν πλεοναζόντων χυμῶν καθάρσεως. εἴρηται δὲ καὶ περὶ ταύτης ἐν τῷ προφυλακτικῷ μέρει τῆς ὑγιεινῆς πραγματείας. ἐκεῖθεν οὖν αὐτὰ μεταφέρειν ἐνταῦθα σκοπούμενον, ὅτῳ βέλτιον ἐξ ἑαυτῶν χρῆσθαι. πυρέττοντος γὰρ ἤδη τοῦ κάμνοντος οὔτε γυμνασίοις ἔτι δυνατὸν ἐκκενῶσαι τὸ πλῆθος, οὔτε θερμαίνουσι χρίσμασιν, οὔτε τρίψει πολλῇ, καθάπερ οὔτε τοῖς λουτροῖς. ἀφαιρέσει δ᾽ αἵματος ἅμα ταῖς ἀσιτίαις, ἢ καθάρσει τινί. μηδέπω δὲ πυρέττοντος, ἅπασι τοῖς εἰρημένοις χρῆσθαι, τὸ βέλτιον εἰς τὰ παρόντα προαιρούμενον. εὔδηλον γοῦν δήπου κἂν ἐγὼ μὴ λέγω, περὶ μὲν τῆς ἐν σκέλει φλεγμονῆς ὡς οὐ προσήκει διὰ περιπάτων ἢ δρόμων γυμνάζειν. ἀλλ᾽ οὐδ᾽ ἑστάναι τούτῳ κάλλιον. ἄμεινον δὲ κατακείμενον ἐπὶ πολὺ τρίψασθαι, κἄπειτα διὰ τῆς τῶν χειρῶν κινήσεως γυμνάσασθαι. τῷ δ᾽ ἐν τοῖς ἄνω μέρεσιν ἔχοντι τὸ φλεγμαῖνον ἀρχόμενον, ἡ διὰ περιπάτων ἢ δρόμων κίνησις ὠφέλιμος. οὕτω δὲ καὶ ἡ τρίψις. τούτοις μὲν ἡ τῶν σκελῶν μᾶλλον. οἷς δ᾽ ἐν σκέλεσι τὸ φλεγμαῖνον, ἡ τῶν ἄνω. τό γε μὴν τῆς ἀντισπάσεως παράγγελμα, κοινὸν ἐπὶ τοῖς τοιούτοις ἅπασιν. οὔκουν οὐδ᾽ ὅταν ἤτοι κατὰ τὴν ἕδραν ἤ τι τῶν πλησίον μορίων ἀρχὴ φλεγμονῆς γίγνηται, γαστέρα λαπάξεις. ὥσπερ οὐδ᾽ εἰ κατὰ κύστιν ἢ αἰδοῖον ἢ νεφρούς, οὐρητικὰ φάρμακα καταπίνειν κελεύσεις. οὐδ᾽ εἰ γυναικὶ κατὰ μήτραν ἢ αἰδοῖον, ἔμμηνα κινήσεις, ἀλλ᾽ ἐπὶ τὰ πορρώτατα, τὴν ἀντίσπασιν ἀεὶ ποιήσεις. προσέχων δηλονότι καὶ τῷ τῆς φλεγμονῆς μεγέθει, καὶ τῇ τοῦ παντὸς σώματος διαθέσει. παμπόλλου μὲν γὰρ ὄντος τοῦ πλήθους, οὔτε γυμνασίοις, οὔτε λουτροῖς ἀκίνδυνον χρῆσθαι. βραχέος δ᾽ ὑπάρχοντος, ἐγχωρεῖ καὶ διὰ τούτων κενοῦν. ἀλλ᾽ ὅπερ ἔφην, ἔν τε τῷ προφυλακτικῷ μέρει τῆς ὑγιεινῆς πραγματείας γέγραπται ταῦτα, κἀν τῷ περὶ πλήθους γράμματι, κἀν τοῖς περὶ φλεβοτομίας. ἔτι κἀν τῷ περὶ τῆς τῶν καθαιρόντων δυνάμεως. ὅθεν δ᾽ ἀναμνῆσαι μόνον αὐτῶν, αὐτάρκως εἴρηται καὶ νῦν. ἐπὶ τοὺς ἰδίους οὖν μόνης τῆς φλεγμονῆς ἀφικώμεθα λόγους. ὧν εἰσὶν εἰκότως πρῶτοι, γιγνομένης αὐτῆς διὰ τὴν ἐν αὐτῷ τῷ φλεγμαίνοντι μορίῳ διάθεσιν. εὔδηλον γοῦν ὡς ἐκείνην μὲν εἶναι πρότερον θεραπευτέον. ἐφεξῆς δὲ αὐτὸ τὸ γεγενημένον ἤδη τῆς φλεγμονῆς. ἐνίοτε δὲ διὰ τῶν αὐτῶν, ἀμφοτέρων καθισταμένων. οἷον ὅταν ἐπὶ φυσώδει πνεύματι καὶ πυκνώσει τοῦ μορίου γένηταί τις ὀδύνη. τηνικαῦτα γὰρ ἡ τῶν θερμαινόντων μετρίως, ἃ δὴ καὶ χαλαστικὰ προσαγορεύομεν, ἁρμόττει χρῆσις. ἅμα μὲν ἀραιοῦντα τὰ μεμυκότα τοῦ σώματος. ἅμα δὲ λεπτύνοντα τὸ φυσῶδες πνεῦμα, καὶ διαφοροῦντα τὸ γεγενημένον ἤδη τῆς φλεγμονῆς. οὕτω δὲ κἂν τοῦ ψυχροῦ κρατοῦντος ἡ δυσκρασία γίγνηται. θερμαίνων γὰρ καὶ τό τε τὴν δυσκρασίαν ἅμα καὶ τὴν φλεγμονὴν ἐκθεραπεύσεις. ὥσπερ γε καὶ εἰ διὰ θερμασίαν πλείονα, τοῖς ψύχουσιν ἰάμασιν ἄμφω καταστήσεις. ἡ μὲν γὰρ δυσκρασία, τῶν ἐναντίων ἀεὶ δεῖται. κενοῦται δὲ τὸ περιπληρούμενον οὐ μόνον τοῖς διαφορητικοῖς φαρμάκοις, ἀλλὰ καὶ τοῖς στύφουσι καὶ τοῖς ψύχουσι. καὶ μᾶλλόν γ᾽ ἐπὶ τῶν ἀρχομένων φλεγμονῶν τοῖς ψύχουσι καὶ στύφουσι χρηστέον, ἤπερ τοῖς διαφοροῦσιν. ἔτι δὲ μᾶλλον ὅταν μὴ παχὺ τὸ ἐπιρρέον ᾖ. σφοδρᾶς δὲ τῆς ἐν αὐτῷ φλεγμαίνοντι μορίῳ σφηνώσεως γεγονυίας, οὐκ ἔθ᾽ οἷόν τε τοῖς ἀποκρουομένοις χρῆσθαι, ἀλλ᾽ ἐπὶ τὸ διαφορεῖν ἥκειν καιρός. ὅταν δὲ ἐπὶ θηρίῳ νύξαντί πως ἢ δάκνοντι τὴν ὀδύνην γίνεσθαι συμβαίνῃ, διττὸς τῆς ἀνωδυνίας ὁ σκοπός. ἢ κενῶσαι τὸν ἰόν, ἢ ἀλλοιῶσαι τὸ τὴν ὀδύνην ἐργαζόμενον. κενοῦται μὲν οὖν, διὰ τῶν σφοδρῶς ἑλκόντων φαρμάκων. ἀλλοιοῦται δέ, διὰ τῶν ἐναντίων, ἤτοι κατὰ τὰς ποιότητας, ἢ καθ᾽ ὅλην τὴν οὐσίαν. ἐδείχθη γὰρ ἐν τοῖς περὶ φαρμάκων ἔνια μὲν ὅλαις ταῖς οὐσίαις ἀλλήλοις ἐναντία. τινὰ δέ, ταῖς ποιότησι μόναις. ἐδείχθη δὲ καὶ ὡς ἐπὶ μὲν τῶν ἐναντίων κατὰ ποιότητα, μέθοδός τίς ἐστιν. ἐπὶ δὲ τῶν κατὰ τὴν οὐσίαν, οὐκ ἔστιν, ἀλλ᾽ ἐκ πείρας εὕρηται πάντα. καὶ σὺ τοίνυν ὅσα μὲν ἐκ μεθόδου θεραπευτικῆς, ἐντεῦθεν μάνθανε. τὰ δ᾽ ἐκ μόνης τῆς πείρας ἐγνωσμένα, κατὰ τὰς περὶ τῶν φαρμάκων πραγματείας ἔχεις ἠθροισμένα. μίαν μὲν τὴν περὶ τῆς δυνάμεως αὐτῶν. ἑτέραν δέ, τὴν περὶ τῆς συνθέσεως. καὶ τρίτην, τὴν περὶ τῶν εὐπορίστων ὀνομαζομένων. ἐν αἷς ἐπιδέδεικταί μοι, τίνα μὲν ἐκ μόνης τῆς πείρας εὕρηται φάρμακα. τίνα δὲ ἐκ μόνου τοῦ λόγου. τίνα δ᾽ ἐξ ἀμφοτέρων. ἡ τοίνυν μέθοδος ὑπὲρ ἧς ἐν τῇδε τῇ πραγματείᾳ πρόκειται λέγειν ἐπὶ ταῖς ὀδύναις ἁπάσαις, ὅσαις διὰ θηρίων ἢ φαρμάκων γίνονται, διττὸν ἔχει τὸν σκοπόν, κένωσίν τε καὶ ἀλλοίωσιν τοῦ τὴν ὀδύνην ἐργαζομένου. κενοῖ μὲν οὖν τὰ θερμαίνοντα πάντα, καὶ τὰ χωρὶς τοῦ θερμαίνειν ἕλκοντα σφοδρῶς, ὥσπερ αἵ τε σικύαι καί τινα τῶν κοίλων κεράτων, οἷς ὡς σικύαις ἔνιοι χρῶνται. τινὲς δὲ καὶ δι᾽ αὐτοῦ τοῦ στόματος ἕλκουσι τὸν ἰόν, αὐτοὶ προσαπτόμενοι τῷ πεπονθότι μορίῳ, καὶ περιλαμβάνοντες αὐτὸ τοῖς χείλεσιν. ἔχεται γε μὴν καὶ τοῦ προειρημένου σκοποῦ τὸ καυτήριον, ὅσα τε φάρμακα παραπλησίως τοῖς καυτηρίοις ἐσχάραν ἐργάζεται. ταῦτα μὲν οὖν ἐκκενοῖ πάντα τὴν οὐσίαν ὅλην τοῦ λυποῦντος. ἕτερον δὲ γένος ἐστὶ βοηθημάτων ἀλλοιούντων τὴν ποιότητα, διὰ τῶν ἐναντίων. εἰ μὲν θερμασίας ὁ κάμνων αἰσθάνοιτο σφοδρᾶς. ἤτοι κατ᾽ αὐτὸ τὸ δεδηγμένον, ἢ καθ᾽ ὅλον τὸ σῶμα, τὰ ψύχοντα φάρμακα προσφερόντων ἡμῶν. εἰ δὲ ψύξεως, τὰ θερμαίνοντα. μεμάθηκας δὲ ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις ἑκάτερα. τοιαῦτα μὲν οὖν αἱ κοιναὶ πάσης φλεγμονῆς ἰάσεις. ὑπαλλάττονται δὲ κατὰ τὰ πεπονθότα μόρια. δέδεικται γὰρ ἤδη κἀν τῇ τῶν ἑλκῶν θεραπείᾳ, τοῦτο, καὶ πολλῶν οὐ δεῖ λόγων τῷ μεμνημένῳ τῶν ἐν ἐκείνοις εἰρημένων. ἀλλ᾽ ἀρκέσει διὰ

βραχέων

βραχέων ἐπελθεῖν αὐτά. μία μὲν οὖν ἔνδειξις ἐκ τῶν ὁμοιομερῶν καλουμένων γίνεται μορίων τοῦ σώματος. ἑτέρα δὲ, ἐκ τῶν ὀργανικῶν. ἡ μὲν οὖν ἐκ τῶν ὁμοιομερῶν, τὸ ποσὸν τοῦ θερμαίνειν ἢ ψύχειν ἢ ξηραίνειν ἢ ὑγραίνειν διορίζει. ἡ δ' ἐκ τῶν ὀργανικῶν, τὸν τόπον δι' οὗ χρὴ κενῶσαι, καὶ προσέτι τὸν τρόπον τῆς κενώσεως. ἔτι τε πρὸς τούτοις, τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τῇ τῶν ὁμοειδῶν φαρμάκων χρήσει. περὶ μὲν οὖν τῆς ἀπὸ τῶν ὁμοιομερῶν ἐνδείξεως, λέλεκται πρόσθεν ἐν τῇ τῶν ἑλκῶν ἰάσει. περὶ δὲ τῆς τῶν ὀργανικῶν, ἐν τῷδε λεχθήσεται. τῆς γάρ τοι φλεγμονῆς κατὰ διττὸν τρόπον ἐξεστώσης τοῦ κατὰ φύσιν, ὅτι τε πεπλήρωται τὸ μόριον αἵματος πολλοῦ, καὶ ὅτι θερμότερόν ἐστιν. ὁ τῆς κενώσεως σκοπὸς ἐπικρατεῖ μᾶλλον τοῦ τῆς ἐμψύξεως, οὐχ ὡς ἐν τοῖς ἐρυσιπέλασιν. ἐπ' ἐκείνων γὰρ ὁ τῆς ἐμψύξεως ἐπείγει περὶ τοῦ τῆς κενώσεως. καίτοι τό γε κεφάλαιον τῆς θεραπείας ἀμφοτέρων τῶν παθῶν, κοινόν ἐστιν ἡ κένωσις τοῦ λυποῦντος χυμοῦ. καὶ διὰ τοῦτο μετὰ τὴν ἔμψυξιν τῶν ἐρυσιπελάτων ἐπὶ τὰ διαφορητικὰ παραγινόμεθα φάρμακα. ἐπὶ τοίνυν τῆς φλεγμονῆς εἰς τοσοῦτον ψυκτέον ἐστὶν, εἰς ὅσον ἐκκόψαι τε καὶ κωλῦσαι τὴν αὔξησιν αὐτῆς συμφέρει. καὶ γὰρ ὀδυνώσης τῆς πλέονος θερμασίας, καί τι καὶ πρὸς τὸ πεπονθὸς ἑλκούσης, ἐξ ἀμφοῖν αὐξάνεσθαι συμβαίνει τὴν φλεγμονήν. ὅσον μὲν οὖν ὡς θερμῷ νοσήματι τῇ φλεγμονῇ τῆς ψύξεως ἁρμόττει, τοσοῦτον κωλυτικόν ἐστι τῆς αὐξήσεως. ὡσαύτως δὲ καὶ καθ' ὅσον ἀναστέλλει τὸ ἐπιῤῥέον. ὅσον δὲ τοῦ περιεχομένου κατὰ τὸ φλεγμαῖνον ἀποκρουστικὸν εἰς τὰ πλησιάζοντα μόρια, θεραπευτικὸν τοῦτ' ἐστι τῆς οὔσης ἤδη φλεγμονῆς. ὡσαύτως δὲ καὶ τὰ θερμαίνοντα μετρίως, ἐνίοτε κατ' ἀμφοτέρους τοὺς τρόπους ὀνίνησιν ὅταν τὴν ὀδύνην παύῃ, καὶ διαφορῇ τὸ περιεχόμενον ἐν τοῖς πεπονθόσι μορίοις. ἐν μὲν γὰρ τῷ παύειν τὴν ὀδύνην, κωλύει τὴν αὔξησιν. ἐν δὲ τῷ διαφορεῖν, ἰᾶται τὸ γεγονὸς ἤδη τῆς φλεγμονῆς. ἐπεὶ τοίνυν τὸ κῦρος ἅπαν ἐστὶ τῆς τῶν φλεγμαινόντων θεραπείας, ἐν τῷ κενῶσαι τὸ περιττὸν αἷμα τοῦ φλεγμαίνοντος μορίου. κένωσις δὲ ἐπινοεῖται διττὴ τῶν οὕτως ἐχόντων, ἢ μεθισταμένου πρὸς ἕτερα χωρία τοῦ περιεχομένου κατὰ τὸ φλεγμαῖνον αἵματος, ἢ ἔξωθεν τοῦ σώματος ἐκκενουμένου, βέλτιόν ἐστιν ἀμφοτέροις χρῆσθαι προσέχοντα τὸν νοῦν μή τι κατὰ συμβεβηκὸς ἕπηταί τις βλάβη. διττῆς τοίνυν ἑκατέρας τῶν εἰρημένων κενώσεως οὔσης, εἰς τέσσαρας τὰς πάσας ἡ τομὴ γίνεται τῶν κενωτικῶν ἁπάντων βοηθημάτων. τῆς μὲν εἰς τὰ ἄλλα μόρια μεταῤῥήσεως τοῦ αἵματος. ἡ μὲν ἑτέρα, διωθουμένων αὐτὸ τῶν φλεγμαινόντων μορίων. ἡ δ' ἑτέρα, τῶν ἀπαθῶν ἑλκόντων γίνεται. τῆς δὲ ἔξω τοῦ σώματος κενώσεως, ἡ μία μὲν αἰσθηταῖς ἐκροαῖς. ἡ δὲ ἑτέρα, λόγῳ θεωρηταῖς ἐπιτελεῖται. καὶ τῆς αἰσθηταῖς ἐκροαῖς γινομένης, ἡ μὲν ἑτέρα, δι' αὐτοῦ τοῦ φλεγμαίνοντος. ἡ δ' ἑτέρα, διὰ τῶν συναναστομουμένων αὐτῷ. διὸ καὶ χρεία τῆς ἀνατομῆς ἐστιν εἰς διάγνωσιν τῆς τοιαύτης κοινωνίας. αὗται μὲν οὖν ἀπὸ τῆς φύσεως τῶν μορίων ἐνδείξεις προέρχονται τὴν θεραπείαν ὑπαλλάττουσαι τῶν φλεγμαινόντων. ἔτι τε πρὸς ταύταις, ἡ ἐκ τῆς θέσεώς τε καὶ διαπλάσεως, ἃς ὡς ὀργανικὸν ἐνδείκνυται τὸ πεπονθὸς, οὐχ ὡς ὁμοιομερές. ἔτι δ' ἄλλαι κοιναὶ τῶν τ' ὀργανικῶν εἰσι καὶ τῶν ὁμοιομερῶν, ὅταν ἐπισκεπτόμεθα τήν τ' ἐνέργειαν αὐτῶν. καὶ εἰ ἀραιὸν ἢ πυκνὸν, ἢ ἀναίσθητον ἢ δυσαίσθητόν ἐστιν ἢ εὐαίσθητον. εἰς ἃς ἁπάσας ἀποβλέπειν χρὴ τὸν ἐπιχειροῦντα θεραπεύειν ὀρθῶς. ἐπεὶ δὲ ὡς ἀεὶ λέγομεν, οὐχ ἱκανόν ἐστιν αὐτὰ μόνον γινώσκειν τὰ καθόλου χωρὶς τοῦ γεγυμνάσθαι περὶ τὰ κατὰ μέρος, οὕτω καὶ νῦν πράξομεν. οὐ διὰ πάντων τῶν κατὰ μέρος ἰόντες, ἀλλ' ὅσα περ ἂν ἡμῖν ἱκανὰ δόξῃ τοῖς ἀναγνωσομένοις αὐτὰ γενήσεσθαι.

Ὑποκείσθω τοίνυν ἧπαρ ἀρχόμενον φλεγμαίνειν, καὶ ζητείσθω τίς ἀρίστη θεραπεία γενήσεται τοῦ πάθους. ἐπισκέπτου δὴ πρῶτον μὲν ἁπάντων ἀφ' ὧν εἶπον ὡρμώμενος, εἰ δεῖται κενώσεως τὸ πᾶν σῶμα κἂν εὕροις δεόμενον, ἐφεξῆς σκέπτου τὴν ῥώμην τοῦ κάμνοντος, εἰ δύναται κένωσιν ἀθρόαν ἐνεγκεῖν. ἔστω δὴ πρότερον ἐῤῥῶσθαι τὴν δύναμιν. ἐφεξῆς σκέπτου τὴν ἡλικίαν. εἰ γὰρ παιδίον εἴη, τὴν διὰ φλεβοτομίας οὐκ οἴσει κένωσιν, ὡς ἔμπροσθεν ἐδείχθη. κατὰ μὲν τὸν τῆς ἥβης καιρὸν, οἱ παῖδες ἤδη φέρουσι τὴν διὰ τῆς φλεβοτομίας κένωσιν. ἀντισπαστέον οὖν ἅμα καὶ κενωτέον τὸ φερόμενον ἐπὶ τὸ ἧπαρ αἷμα τῇ φλεβοτομίᾳ κατὰ τὸν δεξιὸν ἀγκῶνα, τὴν ἔνδον φλέβα τέμνοντας, ἐπεὶ κατ' εὐθὺ καὶ δι' εὐρείας ὁδοῦ τῇ κοίλῃ καλουμένῃ κοινωνεῖ. μὴ φαινομένης δὲ ταύτης, τὴν μέσην τέμνειν. εἰ δὲ μήτ' αὐτὴ φαίνοιτο, τὴν λοιπὴν καὶ τρίτην. τὸ δὲ ποσὸν τῆς κενώσεως, ἔκ τε τῆς κατὰ τὸ πλῆθος εὑρήσεις ποσότητος. ὅσα τ' ἄλλα κατὰ τὸν ἔμπροσθεν εἴρηται λόγον, ἡλικία τε καὶ φύσις, ὥρα τε καὶ χώρα, καὶ ἔθος. ἔτι τε πρὸ τούτων καὶ ἡ δύναμις τοῦ κάμνοντος. ἐφ' ἁπάντων γὰρ ταῦτα κοινά. τὸ δ' ἤτοι τὴν ἔνδον ἢ τὴν μέσην ἢ τὴν ὠμιαίαν φλέβα τέμνειν, ἢ τὴν παρὰ τὸ σφυρὸν, ἢ τὴν ἐν ἰγνύϊ παρὰ τοῦ πεπονθότος μορίου τὴν ἔνδειξιν ἔχει. καὶ διώρισται μὲν ἤδη κἂν τοῖς περὶ φλεβοτομίας ὑπὲρ τῶν τοιούτων ἁπασῶν κενώσεων. εἰρήσεται δὲ καὶ νῦν, ὅσον εἰς τὰ παρόντα χρήσιμον, αὐτό τε τοῦτο πρῶτον ὡς οὐκ ἀρκεῖ μόνον ὅτι κενωτέον ἐστὶν ἐξευρεῖν, ὡς ἂν φαῖεν οἱ τὴν ἀμέθοδον αἵρεσιν μετιόντες, οὐδὲν φροντίζοντες τῆς διαφορᾶς τῶν πεπονθότων μορίων. οὐ γὰρ ὁ λόγος μόνον, ἀλλὰ καὶ ἡ πεῖρα δείκνυσιν, ἄλλην ἄλλῳ μορίῳ κένωσιν ἁρμόττουσαν. ἐθεάσω γοῦν ἐνίους τῶν ἀρξαμένων φλεγμαίνειν ὀφθαλμοὺς, αὐτῷ μόνῳ τῷ καθαρθῆναι διὰ τῆς κάτω γαστρὸς, ἡμέρᾳ μιᾷ θεραπευθέντας. ὅπερ ἐὰν ἐφ' ἥπατος ἀρχομένου φλεγμαίνειν ἐπιχειρήσῃ τις πρᾶξαι, μεγίστην ἐργάζεται τὴν φλεγμονήν. ὥσπερ γε κᾂν εἰ τῶν νεφρῶν ἢ τῆς κύστεως φλεγμαίνειν ἀρξαμένων οὐρητικὰ ποτίζοι φάρμακα, καταμήνιά τε κινοῖ, μήτρας φλεγμαινούσης. ἀντισπᾶν γὰρ χρὴ τῶν ἀρχομένων ῥευματίζεσθαι ποῤῥωτάτω τὸ περιττὸν, οὐχ ἕλκειν ἐπ' αὐτά. κατὰ τοῦτον οὖν τὸν λόγον οὐδὲ γαστρὸς οὐδ' ἐντέρων ἀρξαμένων φλεγμαίνειν, ὑπηλάτῳ χρῆσθαι προσήκει. τὴν δ' αὐτὴν ἔνδειξιν ἔχει, τούτοις μὲν μήτρα. τοῖς δ' οὐρητικοῖς ὀργάνοις, αἰδοῖα. τό γε μὴν ἐμέτοις χρῆσθαι τῶν αἰδοίων πεπονθότων, ἀντισπαστικόν ἐστι βοήθημα. κατὰ δὲ τὸν αὐτὸν λόγον, ἐπὶ μὲν τοῖς κατὰ τὴν κεφαλὴν ἅπασιν, ὑπήλατον φάρμακον. ὅσα δὲ κατὰ τὸν φάρυγγα καὶ οὐρανίσκον, ἢ τὴν ὑπερῴαν, ἢ τὴν γλῶτταν, ἢ ὅλως κατὰ τὸ στόμα φλεγμαίνειν ἄρχεται, φυλακτέον ἐπὶ τούτων ἁπάντων τοὺς καλουμένους ἀποφλεγματισμούς. ὅμοιον γὰρ τοῦτ' ἐστι τῷ καθαίρειν κάτω, τῶν ἐντέρων πεπονθότων. καὶ τῷ οὖρα κινεῖν, τῶν κατὰ τοὺς νεφροὺς

ἢ κύστιν ἐχόντων κακῶς. ἢ ἐμέτους, τῶν περὶ τὸν στόμαχον. ἄμεινον οὖν ἐπὶ τὴν ῥῖνα παροχετεύειν, ἀρχομένων τῶν περὶ τὸ στόμα μορίων φλεγμαίνειν. οὕτω δὲ καὶ φλέβα τέμνειν, εἰ μὲν ταῦτα ἐπεπόνθοι τὴν ὠμιαίαν ἐν χειρί. καὶ ταύτης μὴ φαινομένης, τὴν μέσην. εἰ δ' ἧπαρ ἢ θώραξ ἢ πνεύμων ἢ καρδία, τὴν ἔνδον. ἐπὶ δὲ συνάγχης πρώτας μὲν τὰς ἐν χερσὶ δευτέρας δέ, τὰς ὑπὸ τὴν γλῶτταν. τῶν δὲ κατ' ἰνίον πασχόντων, καὶ τὴν ἐν ἀγκῶνι μὲν οὐχ ἥκιστα δὲ καὶ τὴν ἐν τῷ μετώπῳ. ἐπὶ δὲ νεφρῶν καὶ κύστεως, αἰδοίου τε καὶ μήτρας, τὰς ἐν τοῖς σκέλεσι μάλιστα μὲν τὰς περὶ τὴν ἰγνύαν. εἰ δὲ μὴ τὰς παρὰ σφυρῶν. ἀεὶ δ' ἐπὶ πάντων, τὰς κατ' εὐθύ. τοῦ μὲν ἥπατος ἀρχομένου φλεγμαίνειν, τὰς ἐν τῇ δεξιᾷ χειρί. τοῦ δὲ σπληνός, ἔμπαλιν. ὥστ' εὐθὺς ἡ διαφορὰ τῶν κενώσεων, πρῶτον κατὰ τὴν τῶν μορίων διαφορὰν ὑπαλλάττεται. καὶ δηλονότι τὸ κοινὸν τῆς ἐνδείξεως οὐ μᾶλλον ὠφελείας ἢ βλάβης αἴτιον. ὅτι μὲν γὰρ κενωτέον, ἔνδειξις κοινή. τὸ δ' ὅθεν ἢ ὅπως οἱ πεπονθότες τόποι διδάσκουσιν. οὕτω γοῦν καὶ οἱ τῶν κώλων ἐπενοήθησαν δεσμοί, θώρακος ἢ γαστρός, ἢ τῶν περὶ τὸν τράχηλον, ἢ τὴν κεφαλὴν μορίων φλεγμαινόντων. οὐ γὰρ δὴ τὸ φλεγμαῖνόν γε αὐτὸ δήσεις κῶλον. ἀλλ' ἐπὶ μὲν σκελῶν, τὰς χεῖρας ἐπὶ χειρῶν δέ, τὰ σκέλη. καὶ μὴν καὶ τὸ ψύχειν καὶ στύφειν ἐν ἀρχῇ τὰ φλεγμαίνοντα, χωρὶς τῆς παρὰ τῶν πεπονθότων ἐνδείξεως, οὐ μᾶλλον ὠφελείας ἢ βλάβης αἴτιον. ἐπὶ μὲν γὰρ τῶν περὶ τὸ κῶλον μορίων, ἀρκεῖ καὶ σπόγγον ἐπιθεῖναι βρέξαντας ἤτοι γε ὕδατι ψυχρῷ μικρὸν ὄξους μιγνῦντας, ἢ ὕδατι μόνῳ. καθάπερ γε καὶ οἴνῳ τινὶ τῶν αὐστηρῶν. ἥπατος δ' ἀρξαμένου φλεγμαίνειν, οὐδεὶς ἂν χρήσαιτο τούτων οὐδενὶ νοῦν ἔχων ἄνθρωπος. ἀλλ' οὐδ' εἰ μήλινον ἐπιβρέξαις, ἢ μύρσινον, ἢ μαστίχινον, ἢ νάρδινον, ἢ σχίνινον, ἢ τι τῶν στυφόντων ἐλαίων, ἢ καὶ τῶν ἄλλων, ἐναφεψήσας ἀψίνθιον, οὐδὲ τούτων οὐδὲν ἁρμόττει ψυχρόν. ὥσπερ οὐδὲ κατάπλασμα ψυχρὸν οὐδέν. ἀλλὰ μῆλα μὲν ἐναφεψῶν οἴνῳ καὶ μάλιστα κυδώνια, κατάπλασμα σκευάσοις δι' αὐτοῦ φλεγμονῆς ἥπατος ἔτ' ἀρχομένης. ψυχρὸν δ' οὐδὲ τοῦτο προσοίσοις. ὥσπερ οὐδὲ τὸ ἔλαιον ἐσκευασμένον, ὡς εἴρηται, τοῖς ὀφθαλμοῖς ἢ τοῖς ἐν τῷ στόματι μορίοις ἀρχομένοις φλεγμαίνειν. ἐπεὶ δὲ κἂν ὄξος ἐγχέῃς μετὰ ῥοδίνου βλάψεις οὐδέν. ἀλλ' οὐκ ὀφθαλμοῖς γε φλεγμαίνουσιν, ἀγαθὸν τοῦτο. καθάπερ οὐδὲ τὸ διὰ μόρων φάρμακον, ἢ τι τῶν στοματικῶν ὀνομαζομένων ἄλλο. πάντα γὰρ ἀνιαρὰ τὰ τοιαῦτα τοῖς ὀφθαλμοῖς. καίτοι περὶ τὸ γένος ὄντα τῆς ἐνδείξεως. ἀδένων δὲ φλεγμαίνειν ἀρχομένων, ἤρκεσε πολλάκις ἔλαιον μόνον θερμόν, ἀλλὰ καὶ ἡ ἄλλη δίαιτα, τοῖς μὲν ἀδένας, ἢ τι τῶν περὶ τὰ κῶλα μορίων ἔχουσι φλεγμαῖνον, ἕνα μόνον λαμβάνει σκοπὸν ὡς τοσαῦτα καὶ τοιαῦτα προσφέρεσθαι δεῖν, ὅσα δὴ καὶ οἷα πεφθήσεται ῥᾷστα. διαφέρει δ' οὐδέν, ἢ χόνδρον, ἢ πτισάνην, ἢ μελίκρατον, ἢ ῥόαν, ἢ μῆλον, ἢ τι τούτων προσενέγκασθαι. φλεγμαίνοντος δὲ ἥπατος, ἀκριβεστάτης διαίτης ἐστὶ χρεία, καθάπερ γε καὶ γαστρός. τὸ γὰρ ἔργον αὐτῶν ἅπαντι τῷ ζώῳ κοινόν ἐστι. καὶ μὴ πεφθείσης καλῶς τῆς τροφῆς ἢ μὴ προσηκόντως αἱματωθείσης ἅπασι τοῖς τοῦ ζώου μέλεσι, μεγίστη βλάβη προσγίνεται. τὰ δὲ τῶν κώλων μόρια, τοσοῦτον λαμβάνει τῆς τροφῆς, ὅσον τρέφεσθαι πέφυκε. διὸ κἂν ἐκ μήλου καλῶς, ἐν τῇ γαστρὶ πεφθέντος ἀφίκηται πρὸς αὐτὰ τροφή, κἂν ἐκ χόνδρου, κἂν ἐκ πτισάνης, οὐ μέγα διαφέρει. περὶ δὲ τὸ ἧπαρ ὁπόσον ἡ διαφορὰ τῶν τροφῶν δύναται, καὶ ὡς μέγιστον ἐφ' ἑκάτερα, πάρεστί σοι μανθάνειν. ἐκκενοῦσθαι μὲν δή που χρὴ τοῦ ἥπατος ὅσον ἀθροίζεται κατ' αὐτό, τοῦ τε πικροχόλου χυμοῦ, καὶ τῶν ἐκ τῆς φλεγμονῆς ἰχώρων. τοῦτο δ' οὐκ ἂν γένοιτο, χωρὶς τοῦ διαρρύπτεσθαι μὲν τὰ περὶ τὸ σπλάγχνον ἀγγεῖα, τὸν δ' εἰς τὴν νῆστιν καθήκοντα πόρον ἀναστομοῦσθαι. χόνδρος οὖν ἐμπλάττων μὲν τοῦτον, ἐμπλάττων δὲ τὰ περὶ τὸ ἧπαρ ἀγγεῖα, καὶ μάλιστα τὰ πέρατ' αὐτῶν, κωλύει τήν τε χολὴν εἰς τὸ ἔντερον ὑπιέναι, καὶ τὴν τροφὴν εἰς ὅλον ἀναδίδοσθαι τὸ σῶμα. χρεία τοίνυν ἐστὶ τῶν ἐκφραττόντων ἐδεσμάτων τε καὶ φαρμάκων, αὐτῷ τε τῷ ἥπατι καὶ τῷ τοῦ χοληδόχου πόρου στόματι. τὰ δὲ τοιαῦτα πάντα γλίσχρα μὲν ἥκιστ' ἐστί. λεπτὰ δὲ ταῖς συστάσεσι καὶ δακνώδη ταῖς ποιότησιν. ἀλλὰ πάλιν ὑπὸ τούτων δακνόμενα τὰ φλεγμαίνοντα, παροξύνεται καὶ διὰ τοῦτο δεόμεθα τῆς ἄνευ τοῦ δάκνειν αὐτὰ ῥυπτόντων. οἷόν περ ἐστὶ καὶ τὸ μελίκρατον. ἀλλ' ἴσμεν ὅτι τὰ γλυκέα πάντα καὶ σπλῆνα καὶ ἧπαρ ἐπὶ πλεῖστον ἐξαίρει. λοιπὴ τοίνυν ἄμεμπτος, ὡς ἐν ἐδέσματι μὲν ἡ πτισάνη. χωρὶς γὰρ τοῦ δάκνειν ῥύπτει, ὡς ἐν φαρμάκοις δ' ὀξύμελι μεθ' ὕδατος κεραννύμενον. καὶ γὰρ καὶ ἡ ῥόα καὶ τὸ μῆλον, ὅσα τ' ἄλλα στύφει συνάγοντα τοῦ χοληδόχου πόρου τὸ στόμα, κωλύει τὴν χολὴν ἐκκρίνεσθαι. καὶ διὰ τοῦτο βλάπτει φλεγμονὰς ἥπατος. καὶ μάλισθ' ὅταν ἐν τοῖς σιμοῖς ὦσι μέρεσι τοῦ σπλάγχνου. πρὸς γὰρ τῇ διὰ φλεγμονὴν στενοχωρίᾳ, καὶ ἡ ἐκ τῶν στυφόντων τε καὶ γλίσχρων ἐδεσμάτων προσέρχεται. καὶ τὰ δάκνοντα δὲ μᾶλλον, βλάπτει τὰς ἐν τοῖς σιμοῖς φλεγμονάς. ὅσαι γὰρ ἐν τοῖς κυρτοῖς αὐτοῦ μέρεσι γίγνονται, φθάνει μεταβεβλημένα πρὸς αὐτὰς ἀφικνεῖσθαι τὰ ληφθέντα. καὶ μήτε τὸ στύφον ἔτι στύφειν ὁμοίως, μήτε τὸ δάκνον δάκνειν, μήτε τὸ διὰ γλισχρότητα τοῖς στενοῖς ἀγγείοις ἐμπλαττόμενον, ἔτι μένειν ὁμοίως γλίσχρον. ἡ μεταβολὴ δ' ἡ μεταβολὴ δ' αὐτοῖς διττή, τῷ τε προπεπέφθαι, καὶ διότι τῷ προϋπάρχοντι κατὰ τὸ σπλάγχνον αἵματι μίγνυται. τοῦ δέ γε σιμοῦ μέρους ἐν ἥπατι φλεγμαίνοντος, εὐθὺς μὲν ἀναγκαῖον ἐστὶ καὶ τὰς ἐν τῷ μεσεντερίῳ συμφλεγμαίνειν φλέβας. αὗται γὰρ τῆς ἐπὶ πύλας, ἅπασαι πεφύκασιν. εὐθὺς δὲ καὶ τὰ προσπίπτοντα τοῖς στόμασιν αὐτῶν, ἐπιδείκνυται τὴν ἑαυτῶν δύναμιν. ἆρά σοι δοκεῖ σμικρὰ διαφορὰ προσέρχεσθαι τῇ κοινῇ τῶν φλεγμονῶν θεραπείᾳ παρὰ τῶν μορίων; ἐμοὶ μὲν γὰρ μεγίστη φαίνεται κἂν εἰ τὴν θεσσάλειον ἀναισθησίαν ζηλοῦντες, οἴονται τὴν κοινὴν ἔνδειξιν ἀρκεῖν μόνην. ἀναμνῆσαί σε δὲ βούλομαι καὶ τῆς καλῆς αὐτῶν θεραπείας, ἣν ἐπὶ Θεαγένους ἐποιήσαντο τοῦ κυνικοῦ φιλοσόφου. ταύτην γὰρ ἔγνωσαν οὐκ ὀλίγοι διὰ δόξαν τ' ἀνθρώπου δημοσίᾳ διαλεγομένου κατὰ τὸ τοῦ Τραϊανοῦ γυμνάσιον ἑκάστης ἡμέρας. ὁ μὲν οὖν θεραπεύων αὐτόν, ἦν εἷς τῶν Σωρανοῦ μαθητῶν Ἄτταλος τοὔνομα. κατέπλαττε δὲ ἑκάστης ἡμέρας τὸ ἧπαρ ἀρτομέλιτι, μὴ γινώσκων ὅτι στύφεσθαι μετρίως δεῖται τὸ σπλάγχνον τοῦτο, διότι τῆς θρεπτικῆς δυνάμεως ἀρχὴ τοῖς ζώοις ἐστί, καὶ τὸ φλεβῶδες γένος ἀπ' αὐτοῦ πέφυκεν. οὕτως οὖν ἐθεράπευσε τὸ σπλάγχνον, ὡς τοὺς βουβῶνας ἀμίκτῳ καὶ μόνῃ διὰ τῶν χαλώντων ἀγωγῇ καταπλάττων μὲν ἀρτομέλιτι, προσκαταιονῶν δὲ ἐλαίῳ θερμῷ, καὶ τρέφων ἐκ χόνδρου ῥοφήματι.

ῥοφήματι. ταῦτα γὰρ ἀρκεῖ τὰ τρία σχεδὸν ἅπασι τοῖς νῦν ἀμεθόδοις Θεσσαλείοις, εἰς τὴν τῶν ὀξέων ἴασιν. ἐδόκει δέ μοι καὶ μόνας εἰπεῖν τῷ Ἀττάλῳ προσμιγνῦναί τι τῶν στυφόντων, καὶ μὴ ψιλῇ χρῆσθαι τῇ διὰ τῶν χαλαστικῶν ἀγωγῇ. περὶ μὲν οὖν τῆς τοῦ σπλάγχνου φύσεως, οὐκ ἔμελλον ἐρεῖν αὐτῷ. περιττὸν γὰρ ἦν οὕτως ὄνῳ μῦθον λέγειν. ὁ δ' ᾤμην εἰπὼν πείσειν αὐτόν, ᾧ καὶ πάντας ἀνθρώπους ὁρῶ τάχιστα πειθομένους, περὶ δ' ἦλθον μόνον. ὡς ἡ μακρὰ πεῖρα ἐδίδαξε τοὺς ἰατροὺς θεραπεύειν ἧπαρ ὕλῃ φαρμάκων μικτῇ. γεγραμμένην δ' αὐτὴν εὑρήσεις ἐν τοῖς θεραπευτικοῖς γράμμασι τῶν ἰατρῶν. ἐὰν οὖν σοι δοκῇ, μῖξον ἔφην ἀψινθίου τι, τῆς κόμης μέν, ἀκριβῶς κεκομμένης τῷ καταπλάσματι. τῆς πόας δ' ὅλης, τῷ ἐλαίῳ. καθάπερ ὁρᾷς ἄλλους ἐναφέψοντας αὐτῷ μετρίως. τῷ καταπλάσματι δὲ μυροβαλάνου πίσμα, καὶ ἶριν, καὶ σχίνου τὸ ἄνθος, ἢ τῆς ναρδίτιδος βοτάνης τὴν ῥίζαν. ἢ κυπέρου μῖξον. οὐ χεῖρον καὶ δι' οἴνου ποτ' αὐτὰ κατασκευάσαι, καὶ μῖξαι ποτὲ τῆς ἰλύος αὐτοῦ, καί τι τῶν στυφόντων ἀναφεψῆσαι μήλων, ὁποῖα τὰ κυδώνιά τε καὶ στρούθια καλούμενα. καὶ ταῦτα δὴ τὰ πλεονάζοντα κατὰ τὴν ῥωμαίων πόλιν, ἃ προσαγορεύουσι κεστιανά. τὸ δ' ἔλαιον, ὁρῶ γάρ σε καὶ τοῦτο μιγνῦντα, μὴ τὸ τυχὸν ἔστω. ἀλλ' ἤτοι τὸ ἀπὸ τῆς ἱσπανίας. ἢ τὸ ἰστρικόν. ἢ τὸ ὀμφάκινον. ἢ σχίνινον, ἢ μύρτινον. ἢ μήλινον. ἢ νάρδινον μύρον. πολλὴν δὲ καὶ ἄλλην ἔφην ὕλην ἄφθονον εἶναι τῶν ἀναφεψῆσθαι δυναμένων, καὶ γὰρ σχίνου τοὺς ἁπαλοὺς κλῶνας, καὶ μυρσίνης, καὶ βάτου, καὶ ἀμπέλου, καὶ μᾶλλον τῆς ἀγρίας, ἀφ' ἧς καὶ τὴν οἰνάνθην καλουμένην λαμβάνομεν. οὐ χεῖρον δ' ἂν εἴη καὶ τὸ ἀττικὸν ὕσσωπον τῷ τε καταπλάσματι καὶ ταῖς κηρωταῖς μιγνῦναι. καὶ γὰρ καὶ κηρωτάς τινας ἐξ ὕλης τοιαύτης αὐτῷ συνεβούλευον ἐπιτιθέναι μετὰ τὸ κατάπλασμα. καὶ συνάπτειν γ' ἐπειρώμην ἐφεξῆς αὐτῷ τὴν ὅλην ἀγωγήν. ἵνα καὶ τὰ καλούμενα πρὸς τῶν ἰατρῶν ἐπιθέματα διὰ μικτῆς ὕλης σκευάζῃ. βέλτιον γὰρ ἔφην εἶναι ἀρθέντος τοῦ καταπλάσματος, ἐπικεῖσθαί τι τῷ σπλάγχνῳ. καὶ ὁ Ἄτταλος ὑποτεμνόμενός μου τὸν λόγον, εἰ μὴ σφόδρα σ' ἐτίμων ἔφη, τούτων οὐδενὸς ἂν ἠνεσχόμην. ἐν οἷς γὰρ ἐναυάγησαν οἱ πρόσθεν ἰατροὶ πρὶν τὴν ὄντως ἰατρικὴν ὑπὸ τῶν ἡμετέρων εὑρεθῆναι, ταῦτά μοι συμβουλεύεις ὥσπερ οὐκ εἰδότι. τρεῖς οὖν ἡμέρας ἢ τέσσαρας ἔφη συγχώρησόν μοι προνοήσασθαι τοῦ Θεαγένους ὡς ἐγὼ βούλομαι. καὶ θεάσῃ τελείως αὐτὸν ὑγιαίνοντα. τί οὖν ἔφην, ἐὰν ἐξαίφνης ἱδρώτων ὀλίγων καὶ τούτων γλίσχρων ἐπιφανέντων ἀποθάνῃ, μνημονεύσεις ὧν ὑπέσχου καὶ μεταθῇ τοῦ λοιποῦ. καταγελῶν ἐπὶ τούτοις ὁ Ἄτταλος, ἐχωρίσθη μηκέτ' ἀποκρινόμενος μηδέν. ὥστ' οὐδὲ περὶ τοῦ χόνδρου τι συμβουλεῦσαί μοι συνεχώρησεν. οὐδ' ὅτι δεήσει τῶν οὐρητικῶν φαρμάκων μιγνῦναι τῷ ὕδατι μικρὸν ὕστερον. ἐπειδὴ τὰ κυρτὰ τοῦ ἥπατος ἐπεπόνθει. καθάπερ γὰρ τὰ σιμὰ διὰ τῆς γαστρὸς ἐκκενωτέον ἐστίν, ὡς ὀλίγον ἔμπροσθεν εἶπον, οὕτω τὰ κυρτὰ διὰ τῶν μετρίως οὐρητικῶν φαρμάκων, οἷόν ἐστι τὸ σέλινον. ἐν δὲ τῷ χρόνῳ προϊόντι, πεττομένης ἤδη τῆς φλεγμονῆς, καὶ τοῖς ἰσχυροτέροις ἐγχωρεῖ χρήσασθαι, τῷ ἀσάρῳ καὶ τῇ κελτικῇ νάρδῳ. καὶ τῷ καλουμένῳ φοῦ. καὶ πετροσελίνῳ. καὶ σμυρνίῳ, καὶ μήῳ. καθάπερ γε καὶ διὰ τῆς γαστρὸς κενοῦν εἰ τὰ σιμὰ πεπόνθασι, κνῆκον μιγνῦντα τοῖς ἐδέσμασι, καὶ ἀκαλήφην, καὶ λινόζωστιν. ἐπίθυμόν τε καὶ πολυπόδιον. καὶ πάνθ' ὅσα μετρίως ὑπάγει. ἔτι δὲ μᾶλλον ἐν ταῖς παρακμαῖς, αὐτοῖς τε τούτοις χρῆσθαι θαρσαλεώτερον ἢ πρόσθεν. ὅσα τε τούτων ἐστὶ σφοδρότερα. τὰ μὲν ἐναφέψοντας τῇ πτισάνῃ. τὰ δέ, κόψαντας. ὡς χνοώδη γενέσθαι. διδόναι δὲ καὶ ταῦτα διὰ πτισάνης ἢ μεθ' ὕδατος. ἐγὼ γοῦν καὶ πολυποδίου ποτὲ συνέψησα τῇ πτισάνῃ, καὶ μέλανος ἐλλεβόρου φλοιόν. καὶ διὰ τῶν κλυσμάτων δὲ κενοῦν αὐτοὺς προσήκειν. ἐν ἀρχῇ μὲν ἀρκουμένους, ἁλσίν, ἢ νίτρῳ, ἢ ἀφρονίτρῳ μεμιγμένοις τῷ μελικράτῳ. κατὰ δὲ τὰς παρακμὰς καὶ μάλιστα ἐὰν σκιρρῶδές τι καταλείπηται τῆς φλεγμονῆς, ἰσχυρότερα μιγνῦντας φάρμακα. τὸ γοῦν ὕσσωπον ἐναφεψόμενον τῷ ὕδατι, τηνικαῦτα καὶ τὴν ὀρίγανον, καὶ τὴν κολοκυνθίδα, καὶ τὸ λεπτὸν κενταύρειον. ἐπιτηδειότατα γάρ ἐστι σκιρρωθῆναι τὰ δύο σπλάγχνα, τό θ' ἧπαρ, καὶ ὁ σπλήν, ἐὰν ἀμελήσῃ τις αὐτῶν, ἢ τοῖς γλίσχροις ἐδέσμασι χρήσηται. καθάπερ καὶ ὁ Ἄτταλος ἐπὶ τοῦ Θεαγένους ἑκάστης ἡμέρας χόνδρον προσφέρων. καὶ μηδὲν διδοὺς τῶν ἐκφραττόντων τε καὶ ῥυπτόντων. ἀλλὰ τό γε συμβὰν τῷ Θεαγένει, μᾶλλον δὲ τῷ Ἀττάλῳ, καιρὸς εἰπεῖν. ὡς γὰρ ὑπέσχετό μοι μετὰ τρεῖς ἡμέρας ἐπιδείξειν τὸν ἄνδρα τῆς φλεγμονῆς τοῦ ἥπατος ἀπηλλαγμένον, ὁ μὲν ἔτι δὴ καὶ μᾶλλον ἐπὶ πλεῖστόν τε κατήντλει τὸ σπλάγχνον ἐλαίῳ θερμῷ. κατέπλαττέ τε συνεχέστερον ἐκ τῆς ἐπιμελείας ἐλπίζων αὐτῷ προχωρήσειν τὰ τῆς θεραπείας ἄμεινον, ἀπεκρίνατό τε πυνθανομένοις γαυριῶν ὑπὲρ τοῦ Θεαγένους τὰ βελτίω. ἀλλὰ συνέβη γε καθ' ὃν ἐγὼ τρόπον εἶπον, ἐξαίφνης ἀποθανεῖν αὐτόν. καὶ τὸ πάντων γελοιότατον, ὁ μὲν Ἄτταλος ἦγέ τινας τῶν ἠρωτηκότων φίλων, ὅπως διάγοι δεῖξαι βουλόμενος αὐτὸν οὕτως ἔχοντα καλῶς, ὡς λούεσθαι μέλλειν. ἀγαλλόμενός τε μετὰ πολλῶν, εἰσῆλθεν εἰς τὸν οἶκον ἐν ᾧ κατέκειτο. τὸν Θεαγένη δὲ τεθνεῶτα, λούειν ἐνεχείρουν ἔνιοι τῶν φίλων. ταῦτα δὴ τὰ νενομισμένα, κυνικοί τέ τινες ὄντες, καὶ ἄλλως φιλόσοφοι. διὸ καὶ μέχρι τοῦ νεκροῦ παραγενέσθαι συνέβη τῷ Ἀττάλῳ μετὰ τοῦ χοροῦ τῶν θεατῶν. ἅτε μηδενὸς ἔνδον οἰμώζοντος. οὔτε γὰρ οἰκέτης, οὔτε παιδίον, οὔτε γυνὴ τῷ Θεαγένει ἦν, ἀλλ' οἱ φιλοσοφοῦντες μόνοι παρῆσαν αὐτῷ φίλοι. τὰ μὲν ἐπὶ τοῖς τεθνεῶσι νομιζόμενα πράττοντες, οὐ μὴν οἰμώζειν γε μέλλοντες. οὕτω μὲν ὁ Θεσσάλειος ὄνος εὐδοκίμησεν, ἐπὶ πολλῶν θεατῶν ἐπιδείξας ἀπηλλαγμένον τῆς φλεγμονῆς ἐντὸς τῶν τεττάρων ἡμερῶν ὡς ὑπέσχετο τὸν ἄνθρωπον. οἱ δ' ἄλλοι μεθοδικοὶ μυρίους ἀποκτείνουσιν, ὁσημέραι τῆς ἀγωγῆς τῆς θεραπείας οὐδέπω καὶ νῦν ὑπαλλάξαι τολμῶσιν. οὐδὲ πειραθῆναί ποτε κἂν ἅπαξ τῆς τοῖς ἄλλοις ἰατροῖς, οἷς ὄντως ἐσπουδάσθη τὰ τῆς τέχνης ἔργα, γεγραμμένης. οὕτω δυσοποιόν τι πρᾶγμα ἐστὶν ἀμαθία σφοδρά. καὶ μᾶλλον ὅταν ἀλαζονείᾳ μιχθῇ. τοιοῦτοι μὲν οὖν ἐν ἅπασιν οἱ Θεσσάλειοι. χρὴ δ' ἡμᾶς φεύγοντας τὰ τοιαῦτα ἁμαρτήματα, κἂν εἰ μηδὲν ἄλλο, ἀλλ' οὖν τῇ ἐμπειρίᾳ πιστεύειν. ὅπερ ἀεὶ παραινῶ τοῖς ἀγυμνάστοις περὶ τὸν λόγον. ἄμεινον γὰρ αὐτοῖς ἐστὶ μηδὲν ὅλως ἐξ ἀναλογισμοῦ τι λαμβάνειν, ὅταν ἀμαθεῖς τε ἅμα καὶ ἀγύμναστοι τῶν λογικῶν ὦσι μεθόδων, ἃς νῦν ἡμεῖς γράφομεν. ἡ γάρ τοι τοῦ ἥπατος οὐσία, ῥᾷστα σκίρροις ἁλίσκεσθαι πέφυκεν, ἔχουσά τι καὶ φύσει

πυλάδες, ὥς παίζων τις ἔλεγεν ἰατρὸς τῶν καθ' ἡμᾶς. ὁ δὲ τοῦ σπληνὸς, ἀραιότερα μέν ἐστι τοῦ ἥπατος, ἁλίσκεται δὲ συνεχέστερον ἐκείνου τῷ σκιρρώδει παθήματι. διὰ τὴν τῆς τροφῆς ἰδέαν ᾗ χρῆται. δέδεικται γὰρ ὑπὸ τοῦ παχέος αἵματος τρεφόμενος, ὃ καθάπερ τις ἰλύς ἐστι τοῦ καθαρωτέρου. καὶ ῥᾷστα γίγνεται μέλαινα χολή. διὸ καὶ μελαγχολικὸν αὐτὸ καλοῦμεν περίττωμα. ταῦτα μὲν οὖν τὰ δύο σπλάγχνα, καὶ ἡ ἐμπειρία δείκνυσιν ἐναργῶς ἁλισκόμενα τοῖς σκιρρώδεσιν ὄγκοις. οἱ νεφροὶ δὲ διὰ τὸ κατακεκρύφθαι λανθάνουσι τὴν ἁφήν. ὅ γε μὴν λόγος ἡμᾶς διδάσκει καὶ τούτους ἑτοίμως ἁλίσκεσθαι σκίρροις. καὶ διὰ τοῦτο τὰς μὲν ἀλύτους τὸ πάμπαν εἶναι νεφρίτιδας. τὰς δὲ, δυσλύτους. ἄμφω γὰρ ἔχουσιν οἱ νεφροὶ τὰ λελεγμένα τῶν προειρημένων σπλάγχνων ὑπάρχειν ἑκατέρῳ, τήν τε τῆς οὐσίας ποιότητα, καὶ τὴν τῶν διερχομένων ἐν αὐτοῖς περιττωμάτων φαυλότητα. διὸ καὶ οἱ τὰ παχύχυμα τῶν ἐδεσμάτων ἐσθίοντες, ἁλίσκονται τῷ τῆς λιθιάσεως πάθει. προορᾶσθαι τοιγαροῦν χρὴ τοσούτῳ μᾶλλον, ὅσῳ δυσιατώτεραι τῶν ἄλλων τούτων εἰσὶ σπλάγχνων αἱ σκιρρώδεις διαθέσεις, ὅπως μήτις αὐταῖς περιπέσῃ. μάλιστα δ' ὡς εἴρηται περιπίπτουσιν, οἱ φλεγμηνάντων αὐτῶν ἐδέσμασι χρώμενοι, παχεῖς ἢ γλίσχρους χυμοὺς γεννῶσι. καὶ μέν τοι καὶ τὰ ἰάματα τῶν τοιούτων παθῶν ὁμολογοῦνται πᾶσιν εἶναι τὰ τέμνοντα καὶ διαλύοντα καὶ θρύπτοντα. τοῦ γένους μὲν ὄντα δηλονότι τοῦ τῶν ἐκφραττόντων καὶ ῥυπτόντων. ἰσχυρότερά γε μὴν ταῖς δυνάμεσι. μεμάθηκας δ' ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ τήν τε δύναμιν αὐτῶν, καὶ τὴν ὕλην. διὸ καὶ νῦν ὁ λόγος μοι γενήσεται σύντομος ἀρκουμένῳ ταῖς καθόλου δυνάμεσι, καὶ μόνῃ τῇ μεθόδῳ μετὰ παραδειγμάτων ὀλίγων. ὅπου γὰρ ἥ θ' ὕλη τῶν δυνάμεων ἤδη προπαρεσκεύασταί σοι, καὶ τὰ συνενδεικνύμενα τὴν θεραπείαν ἔμπροσθεν εἴρηται, καταλείπεται νῦν οὐδὲν ἄλλο, πλὴν τῶν οἰκείων ἑκάστου νοσήματος ἐνδείξεων ὑπομνῆσθαι. τὰ συνενδεικνύμενα δὴ λέγω, δηλονότι δύναμιν, καὶ φύσιν, καὶ ἡλικίαν, καὶ ὥραν, καὶ χώραν, καὶ ἔθος, ὅσα τ' ἄλλα τοιαῦτα. καὶ τοίνυν περὶ τῆς ἀπὸ τῶν μορίων ἐνδείξεως ἐφεξῆς ἐρῶ, τὴν ἀρχὴν ἀπὸ τῶν περὶ τὸ ἧπαρ ποιησάμενος. ἐνδείκνυται γὰρ τοῦτο τὰ μὲν ἔξωθεν ἐπιτιθέμενα ἐπὶ τὰς φλεγμονὰς αὐτοῦ, μικτῆς εἶναι χρῆναι δυνάμεως. οὐ μόνον ἐν γενέσει τῆς φλεγμονῆς οὔσης. τοῦτο μὲν γὰρ κοινὸν ἁπασῶν φλεγμονῶν. ὁπότε γε καὶ μόνοις τοῖς ἀποκρουστικοῖς βοηθήμασιν ἐπὶ τὸν χρόνον ἐκεῖνον οὐκ ἄν τις ἁμάρτοι χρώμενος. ἀλλὰ κἀπειδὰν μήτ' ἐπιρρέῃ μηδὲν ἔτι, μήτε ἀπώσασθαι δυνατὸν ᾖ τὸ ἐν τῷ φλεγμαίνοντι μορίῳ περιεχόμενον. γίγνεται γὰρ καὶ τοῦτο διὰ πλείους αἰτίας. ἐν ἀρχῇ μὲν οὖν ὀλίγον τε τὸ ἐπιρρέον ἐστὶ καὶ λεπτότερον ὡς τὸ πολύ. ἐνίοτε δὲ καὶ ἡ κατ' αὐτὸ τὸ δεχόμενον μόριον ἰσχυροτέρα δύναμις, ὡς ἂν μηδέπω κεκμηκυῖα, καὶ τὸ περιεχόμενον αὐτὸ ἐπὶ τὸ φλεγμαῖνον, οὐδέπω βιαίως ἐσφηνωμένον. ἀκμαζούσης δὲ τῆς φλεγμονῆς, τό, τε περιεχόμενον αἷμα πολὺ καὶ πολλάκις παχύτερον, ἐσφηνωμένον τε σφοδρῶς. ἥ τε τοῦ μορίου δύναμις ἀσθενεστέρα. δεόμεθα δὲ καὶ ταύτης ἰσχυούσης, ὡς ὠθεῖν δύνασθαι τὸ περιττὸν ἀφ' ἑαυτῆς. ἐπειδὴ τῶν στυφόντων φαρμάκων ἡ δύναμις οὐχ ἱκανὴ τηνικαῦτα τὸ πᾶν ἐργάσασθαι μόνη, συνάγουσι μὲν γὰρ καὶ σφίγγουσι καὶ οἱονεὶ πιλοῦσι καὶ θλίβουσι τὰ σώματα, δύναται τὰ λεπτότερα ταῖς συστάσεσιν ὑγρὰ πρὸς τοὺς περικειμένους ἀποπέμπειν τόπους οὐ μὴν ἄνευ γε τοῦ συνεπιγεῖν τι. καὶ τὴν ἐν τῷ πάσχοντι μορίῳ δύναμιν ἀξιόλογον αὐτοῖς γίνεσθαι τοὔργον. τηνικαῦτα γοῦν ἡ μὲν ἀπὸ τῆς φλεγμονῆς ἔνδειξις, τῶν ποιητέων ἐστὶ μία. καλοῦσι δ' αὐτὴν διαφόρησιν ἐκκενοῦσαν λόγῳ θεωρητοῖς πόροις τὸν ἐν τῷ φλεγμαίνοντι μορίῳ χυμόν. ἡ δ' ἐπ' αὐτοῦ τοῦ μορίου, πρὸς τοὐναντίον ἀντισπᾷ, κελεύουσα φυλάττειν αὐτοῦ τὸν τόνον. ἐπιπλεκομένων οὖν ἀλλήλαις ἐναντίων ἐνδείξεων, ἐπιπεπλέχθαι χρὴ καὶ τὸ φάρμακον. μηροῦ δὲ φλεγμαίνοντος, ἢ κνήμης, ἢ πήχεος, ἢ βραχίονος, ἢ καὶ τῶν ἐν αὐτοῖς ἀδένων, οὐ δεόμεθα φυλάττειν τὸν τόνον. οὗτος ὁ σκοπὸς ἔστω σοι κοινὸς ἐπὶ πάντων τῶν μορίων ὧν ἔργον τι τοιοῦτον ἐστίν, ὡς ὅλῳ τῷ σώματι χρήσιμον ὑπάρχειν. οὔκουν οὐδὲ τὸν σπλῆνα παντάπασι χαλᾶν χρή. καὶ γὰρ καὶ οὗτος ἐκκαθαίρει τοῦ ἥπατος ὅσον ἰλυῶδές τε ἐστὶ, καὶ μελαγχολικόν. ἐπεὶ δ' ὑπὸ τοιούτου τρέφεται, καὶ διὰ τοῦθ' ὅταν ἔμφραξίς τις ἢ φλεγμονὴ κατ' αὐτὸν γένηται, καὶ μάλιστα ὅταν ᾖ ἐσκιρρωμένος τῶν ἐκφραττόντων καὶ τεμνόντων ἰσχυροτέρων δεῖται. οἷον γάρ ἐστι φάρμακον ἥπατι τὸ ἀψίνθιον, τοιοῦτον τῷ σπληνὶ καππάρεως φλοιός. ὁποῖον δ' ἥπατι τὸ καλούμενον εὐπατόριον, τοιοῦτον τῷ σπληνὶ τὸ σκολοπένδριον. ὁμοίων μὲν γὰρ δεῖται φαρμάκων κατὰ τὸ γένος ἀμφότερα τὰ σπλάγχνα. τοσούτῳ δ' ἰσχυροτέρων ὁ σπλὴν, ὅσῳ παχυτέρᾳ χρῆται τροφῇ. σκιρρουμένοις οὖν αὐτοῖς αἱ προσήκουσαι τροφαί, κοιναὶ μὲν τῷ γένει. διαφέρουσαι δὲ τῷ μᾶλλόν τε καὶ ἧττον εἰσίν. ὅθεν εἰ καὶ δι' ὀξυμέλιτος ἡ κάππαρις ἐσθίοιτο, χρησίμη μὲν ἀμφοτέροις ἐστὶ τοῖς σπλάγχνοις. ἀλλ' οὔτ' ἴση τὸ πλῆθος, οὔθ' ὁμοίως κεκραμένον ἔχουσα τὸ ὀξύμελι. πλείων τε γὰρ αὕτη, καὶ δι' ἀκρατεστέρου τοῦ ὀξυμέλιτος ἐπὶ τοῦ σπληνὸς, ὠφελιμωτέρα γίγνοιτ' ἄν. αὕτη μὲν οὖν ἡ διαφορὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. τῶν δὲ ὁμοίων κατὰ γένος ἢ εἶδος, ἢ ὡς ἄν τις ἐθέλοι ὀνομάζειν βοηθημάτων, ἔκ τε τῆς ἐνεργείας αὐτῶν εἴληπται, καὶ διαπλάσεως. ἀπὸ δὲ τῆς εἰς τὰ παρακείμενα κοινωνίας, ὅπερ ἐστὶ ταυτὸν τῇ θέσει, τὸ τὰ μὲν κυρτὰ τοῦ ἥπατος ἐκκαθαίρεσθαι διὰ νεφρῶν. τὰ δὲ σιμὰ, διὰ τῆς κάτω γαστρός. ἐπὶ δὲ σπληνὸς, τὴν ἑτέραν μόνην εἶναι κένωσιν τῶν περιττῶν. ἡ γὰρ ἐπὶ τοὺς νεφροὺς, οὐκ ἔστι τούτῳ τῷ σπλάγχνῳ. διὰ τοῦτ' οὖν ὅταν φλεγμαίνῃ τοῖς κατωτερικοῖς ὀνομαζομένοις φαρμάκοις ἐρεθίζομέν τε καὶ διαρρύπτομεν αὐτὸν, ὅπως μεθίῃ καὶ χαλάσῃ τὰ περιττά. διττὸς δ' ὁ τρόπος ἐστὶ τῆς τῶν τοιούτων φαρμάκων χρήσεως. ἐπὶ μὲν τῶν ἀνωτέρω κειμένων, διὰ τῶν μὲν ἐσθιομένων καὶ πινομένων. ἐπὶ δὲ τῶν κατωτέρω, διὰ κλυστῆρος ἐνιεμένων. ἐπειδὴ τῶν μὲν ἐσθιομένων καὶ πινομένων ἡ δύναμις, ἐκλύεται πρὶν ἐπὶ τὰ κάτω μέρη προχωρῆσαι. τὰ δ' ἐνιέμενα, τὴν ἀρχὴν οὐδ' ἐπαναβῆναι δύνανται πρὸς τὴν νῆστιν. ἀλλ' εἰ καὶ πάνυ σφόδρα βιάζοιο, τάχ' ἂν ἅψαιο τῶν λεπτῶν ἐντέρων μόνων. καὶ τοῦτ' οὖν αὐτὸ παρὰ τῆς τῶν μορίων θέσεως ἐδιδάχθημεν. ἐνιέναι μέν τοι τοῖς κατωτέρω κειμένοις ἐντέροις. ἄνωθεν δὲ διδόναι τοῖς τ' ἀνωτέρω, καὶ αὐτῇ τῇ γαστρὶ, καὶ σπληνὶ, καὶ στομάχῳ. λέγω δὲ νῦν στόμαχον, ὅνπερ δὴ καὶ κυρίως ὀνομάζουσιν. ἐνίοτε γὰρ οὕτω καλοῦσι καὶ τὸ στόμα τῆς γαστρός.

ὥσπερ

ὥσπερ ὅταν ἅπασι συγκόπτεσθαί τινας στομαχικῶς. ἀλλ' ἐπί γε τοῦ κυρίως ὀνομαζομένου στομάχου, καὶ τὰ καταπλάσματα κατὰ τῆς ῥάχεως ἐπιτίθεμεν, οὐκ ἔμπροσθεν, ὥσπερ ὅταν τὸ στόμα τῆς γαστρὸς φλεγμαίνῃ. κατὰ γάρ τοι τῆς ῥάχεως ὁ στόμαχος ἐπίκειται, διά τε τοῦ τραχήλου καὶ τοῦ θώρακος φερόμενος κάτω μέχρι τῆς γαστρός. οὔτ' οὖν ταῦτα γινώσκουσιν οἱ Θεσσάλειοι, καὶ διὰ τοῦτο πάντας ὁμοίως θεραπεύουσιν. οὐδ' ὅτι πᾶν τὸ φλεγμαῖνον μέλος, ἐὰν μὴ στεγνὸν ἔχῃ τὸ περικείμενον ἑαυτῷ δέρμα, χαλᾷ τι καὶ μεθίησιν ἔξω τῶν λεπτομερῶν ἰχώρων. καὶ διὰ τοῦτ' ἔκ τε τῶν κατὰ τὸ στόμα καὶ τὴν φάρυγγα καὶ στόμαχον, ἔντερά τε καὶ γαστέρα καὶ τὰ σπλάγχνα πάντα ῥεῖ τι πρὸς τοὐκτός. οὕτω δὲ καὶ κατὰ τὴν ἔνδον ἐπιφάνειαν τοῦ θώρακος ἐκκρίνεταί τις ἰχὼρ ὅταν φλεγμαίνῃ. καθάπερ οὖν ὁ μὲν σπλὴν καὶ τὰ σιμὰ τοῦ ἥπατος ἐκκαθαίρεται διὰ τῶν ἐντέρων, οἱ νεφροὶ δὲ καὶ κυρτὰ τοῦ ἥπατος διὰ τῶν οὔρων, οὕτως ὁ θώραξ ὅταν γε τὰ ἔνδον αὐτοῦ φλεγμαίνῃ, κατὰ τὸν ὑπεζωκότα μεθίησί τι πρὸς τὴν μεταξὺ χώραν ἑαυτοῦ καὶ τοῦ πνεύμονος. ἐκκαθαρθῆναι δὲ τοῦτο δεήσεται, διὰ τῶν αὐτῶν ὁδῶν τῷ πνεύμονι, δώσομεν οὖν τοῖς οὕτω κάμνουσι φάρμακα τῆς λεπτυνούσης δυνάμεως. ὅπως ἀναστομῶνται μὲν αἱ ὁδοί. τέμνωνται δὲ τὰ δι' αὐτῶν ὁδοιπορήσειν μέλλοντα. καὶ μάλισθ' ὅταν ᾖ παχέα ταῖς συστάσεσιν ἢ γλίσχρα. καθάπερ ἐπὶ τῶν ἐμπύων ἐστίν. ἐκλεξώμεθα δὲ καὶ τούτων ὅσα μὲν μετρία φλεγμαινόντων ἐστὶ τῶν πεπονθότων μελῶν. ὅσα δὲ ἰσχυρότερα, κατὰ τὰς ἀκριβεῖς παρακμὰς τῶν φλεγμονῶν. ἢ καὶ τελέως μὲν αὐτῶν πεπαυμένων, ἐκκριθῆναι δὲ τῶν περιττῶν δεομένων. μέτριον μὲν οὖν ἐν τοῖς τοιούτοις ἐστίν, ὅ, τε τῆς πτισάνης χυλός, καὶ τὸ μελίκρατον. ἰσχυρότερον δὲ τὸ τῆς ἀκαλήφης σπέρμα. καὶ ὅταν ἐμβληθῇ βραχύ τι τῷ μελικράτῳ τῶν δριμέων βοτανῶν. οἷον ὀριγάνου, καὶ ὑσσώπου, καὶ καλαμίνθης, καὶ γλήχωνος. ἴρεώς τε τῆς Ἰλλυρίδος ἡ ῥίζα. πλεῖον δ' εἰ μίξαις τούτων, ἢ καὶ τὴν ἶριν, οὕτω κόψαις καὶ σήσαις ὡς χνοώδη ποιῆσαι, κἄπειτα ἐπιβάλλοις τῷ μελικράτῳ, τμητικώτατον ἕξεις φάρμακον. οὕτω δὲ καὶ τὸ διὰ πρασίου σκευαζόμενον, ὀξύμελί τε, καὶ ἄλλα τοιαῦτα, τέμνειν ἱκανῶς πέφυκε τὰ παχύτερα τῶν ἐν θώρακι καὶ πνεύμονι περιττῶν. καὶ πάντων αὐτῶν τὴν εὐπορίαν ἔχεις ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις. οὐ μόνον δὲ τὴν εἰρημένην τῶν βοηθημάτων διαφορὰν ἐκ τῶν πεπονθότων ἐμάθομεν τόπων, ἀλλὰ καὶ τὸ τὰ μὲν ἐπιπολῆς φλεγμαίνοντα, τοῖς τῆς φλεγμονῆς ἰδίοις βοηθήμασιν ἰᾶσθαι. τὰ δ' ἐν τῷ βάθει, μετὰ τοῦ μιγνύναι τι καὶ τῶν δριμυτέρων. ἐκλύεται γὰρ ἡ δύναμις εἰς τὸ βάθος αὐτῶν διαδιδομένων. οὕτω δὲ καὶ ἡ σικύα, βοήθημα γενναῖον εὕρηται. τῆς τ' ἔξω φορᾶς τῶν ἐν τῷ βάθει, καὶ τῆς οἱονεὶ μοχλείας τῶν ἤδη σκιῤῥουμένων. ἀλλ' οὐ χρηστὸν ἐστὶ σικύα κατ' ἀρχὰς ἐπὶ μορίου φλεγμαίνοντος. ἀλλ' ἐπειδὰν ὅλον τὸ σῶμα κενώσῃς, καὶ χρεία τις γίνηται κενῶσαί τι καὶ ἐκμοχλεῦσαι τῶν κατὰ τὸ φλεγμαῖνον, ἢ πρὸς τοὐκτὸς ἀνασπάσασθαι. γινομένων δ' ἔτι τῶν παθῶν, οὐκ αὐτοῖς τοῖς ἀρχομένοις κάμνειν μέλεσιν, ἀλλὰ τοῖς συνεχέσιν αὐτῶν ἐπιβάλλειν τὴν σικύαν ἀντισπάσεως ἕνεκεν. οὕτω γοῦν καὶ μήτρας αἱμοῤῥαγούσης πρὸς τοὺς τιτθοὺς ἐπιβάλλομεν σικύαν, ἐπ' αὐτῶν ἐρείδοντες μάλιστα τῶν κοινῶν ἀγγείων, θώρακός τε καὶ μήτρας, τὸ τῆς σικύας στόμα. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱμοῤῥαγίας διὰ ῥινῶν γιγνομένης, ἐπιβάλλομεν τοῖς ὑποχονδρίοις μεγίστας σικύας. οὕτω δὲ καὶ πᾶσαν ἄλλην αἱμοῤῥαγίαν ἀντισπῶμεν ἐπὶ τἀναντία διὰ τῶν κοινῶν φλεβῶν. ὥσπερ αὖ πάλιν ἕλκομεν, εἰ τούτου δεοίμεθα. κατὰ γοῦν ἐφηβαίου τε καὶ βουβῶνος ἐπιτίθεμεν σικύαν, ἔμμηνα κινῆσαι βουλόμενοι. καὶ κατ' ἰνίου δὲ σικύα τιθεμένη, γενναῖον ἐστὶ βοήθημα ῥεύματος ὀφθαλμῶν. χρὴ δὲ προκεκενῶσθαι τὸ σύμπαν σῶμα. πληθωρικοῦ γὰρ ὄντος αὐτοῦ καθότι περ ἂν ἐρείσῃς μέρος τῆς κεφαλῆς τὴν σικύαν, ὅλην αὐτὴν πληρώσεις. οὗτος οὖν ὁ κοινὸς σκοπὸς ἁπάσης φλεγμονῆς, οὐχ ὡσαύτως ἐφ' ἑκάστου τῶν μορίων ἐπιτελεῖται, προσέρχεται δ' ἅπασι τοῖς εἰρημένοις οὐ σμικρὰ μοῖρα, καὶ ἡ τοῦ προσενεχθησομένου φαρμάκου φύσις. οὐ γὰρ ἁπλῶς εἰ στύψαι δεοίμεθα τὴν ἀρχομένην φλεγμονήν, ἅπαν τὸ στῦφον προσοίσομεν ἐπὶ τῶν καταπίνεσθαι μελλόντων, ἀλλ' ὅσοις ἂν αὐτῶν οὐδεμία μέμικται δύναμις φθαρτική, χάλκανθος γοῦν ἐν τοῖς μάλιστα στύφει. καθάπερ γε καὶ τὸ μίσυ, καὶ σῶρι. καὶ χαλκῖτις. καὶ διφρυγές. ὅ, τε κεκαυμένος χαλκός. ἥ τε λεπὶς αὐτοῦ, καὶ τὸ ἄνθος. ἀλλ' ἐστὶ βλαβερὰ τὰ φάρμακα ταῦτα καταπινόμενα. διόπερ οὐδὲ τοῖς στοματικοῖς ἀσφαλῶς μιγνύνται. παραῤῥεῖ γὰρ ἐνίοτε αὐτῶν τι μέχρι τῆς γαστρός. οὐ μὴν οὐδ' ἀλόη καλῶς ἂν μιχθείη τοῖς καταπίνεσθαι μέλλουσι φαρμάκοις ἕνεκα φλεγμονῆς τῶν ἔνδον. ἐπειδὴ καὶ ταύτῃ μέμικταί τις δύναμις καθαρτική. παρηκμακυίας μέντοι τελέως τῆς φλεγμονῆς, εἴ τις μικρὸν ἀλόης μίξειεν ἕνεκα τοῦ τὴν γαστέρα κινῆσαι, μὴ διακεχωρηκυῖαν τελέως, οὐδὲν βλάψει. βέλτιον δὲ διὰ λινοζώστιδος ἢ ἀκαλήφης ἢ κνίκου, ἢ τινὸς τῶν τοιούτων ὑπάγειν τὴν γαστέρα τῶν οὕτω καμνόντων, ὅλως δ' ἂν τις ἀφέλῃ τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν, οὐδὲν κωλύει τὴν ἰατρικήν, οὐχ ἓξ μησίν, ἀλλ' ἓξ ἡμέραις ὅλην ἐκμαθεῖν. οὐ μὴν οὐδὲ προσελθόντος τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν ἔχοιμεν ἂν ἤδη τὸ πᾶν εἰς τὴν θεραπείαν ἄνευ τοῦ τὰς περὶ τῶν φαρμάκων ἐκμαθεῖν μεθόδους. ἐπ' ἐκείνας οὖν ἰτέον ἐστὶ τῷ μέλλοντι τελέως ἰᾶσθαι τὰ νοσήματα. νυνὶ γὰρ ὡς πολλάκις εἶπον, εἰ καί τινος ἐμνημόνευσα φαρμάκου παραδείγματος ἕνεκα, τοῦτ' ἔπραξα. προσθῶμεν οὖν ἔτι τῆς ἀπὸ τῶν μορίων ἐνδείξεως ὅσα μήπω λέλεκται καταβάλλοντες προφανέστατα τὴν τῶν Θεσσαλείων αἵρεσιν, οἱ μήτε ἀνατομῆς ἁπτόμενοι, μήτ' ἐνεργείας ἢ χρείας εἰδότες, ὅταν ἴδωσί τινα κροκυδίζοντα καὶ καρφολογοῦντα, τολμῶσιν ὀξυροδίνῳ καταβρέχειν τὴν κεφαλήν, ἡμῖν ἑπόμενοι. διὰ τί γὰρ οὐ τὸν θώρακα μᾶλλον εἴπερ ἐνδεικτικῶς μὲν εὑρίσκουσι τὰ βοηθήματα, δυνατὸν δ' ἐστὶ καὶ τῆς καρδίας πασχούσης φρενιτικὸν γίνεσθαι τὸν ἄνθρωπον. ὁ μὲν γὰρ ἐμπειρικός, ἐκ τῆς πείρας φησὶ τὴν τῶν τοιούτων βοηθημάτων εὕρεσιν ἐσχηκέναι. τῷ δὲ καὶ ταύτην ἀτιμάσαντι, καὶ τὴν τῶν ἐνεργειῶν ζήτησιν φυγόντι, πόθεν ἐπῆλθεν ἀντὶ τοῦ θώρακος ἑλέσθαι τὴν κεφαλὴν ἐπὶ τῶν φρενιτικῶν ἐπιβρέχειν. ἀλλὰ τοῦτό γε τὸ ὀξυρόδινον ὃ τῇ κεφαλῇ προσφέρομεν ἐπὶ τῶν φρενιτικῶν, ὥσπερ ἧς ἔλεγε τῶν ἑτέρων, οὐ μόνον τοὺς ἀμεθόδους Θεσσαλείους, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας, ἐξελέγχει φανερῶς ὅσοι κατὰ τὴν καρδίαν ἡγοῦνται τὸ ψυχῆς ἡγεμονικὸν ὑπάρχειν. ἰδὼν γοῦν ποτε τῶν ἀπ' Ἀθηναίου

τινὰ τὴν κεφαλὴν αἰονοῦντα ῥοδίνῳ καὶ ὄξει μεμιγμένοις, ἐκώλυον ἀξιῶν ἐπιφέρειν τῷ θώρακι τὸ βοήθημα. βεβλάφθαι μὲν γὰρ τῷ παραφρονοῦντι τὸ ἡγεμονικόν. εἶναι δ' ἐν καρδίᾳ τοῦτο κατὰ τὸν Ἀθήναιον, οὔκουν ὀρθῶς αὐτὸν ποιεῖν ἀφεστῶτα τοῦ θώρακος, ἐνοχλεῖν τῇ κεφαλῇ, καὶ πράγματα παρέχειν ἀπαθεῖ μορίῳ. νυνὶ μὲν ὄξυ ῥοδίνῳ καταντλοῦντα. νυνὶ δὲ, ἀρκεῖ ἐῶντα. καὶ σφονδύλιον ἢ ἑρπύλλον ἤ τι τοιοῦτον προσφέροντα. καὶ εἰ χρονίζοι τὸ πάθημα, καὶ τὸ καστόρειον. ἢ καὶ νὴ Δία σικύαν. ὅμοιον γὰρ εἶναι τοῦτο τῷ φλεγμαίνοντος μηροῦ τῇ πτέρνῃ προσάγειν τὸ βοήθημα. καὶ μὲν δὴ κἀπὶ τῶν ληθαργικῶν οὐδείς ἐστιν ὃς οὐ προσφέρει τῇ κεφαλῇ τὰ βοηθήματα. καὶ τοῦτο γὰρ τὸ πάθος ἐναντίον μέν πως ἐστὶ κατὰ τὴν ἰδέαν τῇ φρενίτιδι. γίνεται δ' ἐγκεφάλου πάσχοντος, ἐν ᾧ τῆς ψυχῆς ἐστι τὸ ἡγεμονικόν. ὅταν μὲν οὖν ὁ πλεονάζων ἐν ἐγκεφάλῳ ψυχρὸς ᾖ χυμὸς, ἀναισθησία τε καὶ ἀκινησία καταλαμβάνει τὸν ἄνθρωπον. ὅταν δὲ θερμὸς, εὐκινησία μᾶλλον, ὡς ἂν εἴποι τις, ἅμα τῇ τοῦ λογισμοῦ βλάβῃ. συμβαίνει γὰρ ὡς ἐν τοῖς περὶ τούτων δέδεικται λόγοις. διὰ μὲν τὴν ψύξιν, ἡ ἀργία. διὰ δὲ τὴν θερμασίαν, ἡ ἄμετρος κίνησις. ἐκ δὲ τῆς τῶν χυμῶν μοχθηρίας, ἡ ἄνοια. φλεβοτομητέον οὖν ἐστιν ἐπὶ τῶν τοιούτων παθῶν, κατ' ἀρχὰς εὐθὺς. ἰσχυρᾶς μὲν οὔσης εἰς τοσοῦτον τῆς δυνάμεως, ὡς ἐνεγκεῖν ἀλύπως τὴν φλεβοτομίαν. ἑτέρου δὲ μηδενὸς κωλύοντος, ὧν ἐν τοῖς περὶ φλεβοτομίας εἴπομεν, οἷον, ἤτοι πλήθους ὠμῶν χυμῶν, ἢ παιδικῆς ἡλικίας, ἢ ὥρας, ἢ χώρας ἐσχάτως θερμῆς ἢ ψυχρᾶς. τοῦτο μὲν οὖν κοινὸν ἀμφοτέροις τοῖς νοσήμασιν, ὅσα τε μετὰ καταφορᾶς, καὶ ὅσα μετ' ἀγρυπνίας γίνεται. κοινὸν δὲ καὶ τὸ κατὰ τὴν ἀρχὴν ὀξυρόδινον προσφέρειν. ἀπώσασθαι γὰρ χρὴ τῆς κεφαλῆς τὸν χυμὸν ὁποῖος ἂν εἴη. τὰ δ' ἐφεξῆς ἐναντία, πραΰνειν μὲν γὰρ προσήκει, τὰ μετὰ τῶν ἀγρυπνιῶν. ἐπεγείρειν δὲ, τὰ μετὰ τῆς ἀκινησίας. εἰκότως οὖν ἀκμαζόντων αὐτῶν, τοῖς μὲν ἀγρυπνητικοῖς καὶ παραφρενιτικοῖς νοσήμασι, τὰς διὰ μήκωνος κωδύων ἐπιβροχὰς προσοίσομεν, ὀσφρανοῦμέν τε καὶ διαχρίσομεν ἤτοι τὰ πτερύγια τῆς ῥινὸς ἐκ τῶν ἔνδοθεν μερῶν, ἢ τὸ μέτωπον ὁμοίοις φαρμάκοις. καρῶσαι γὰρ χρὴ καὶ ναρκῶσαι ποιῆσαι τὸ ἡγεμονικὸν, ἐμψύχοντα δηλονότι τὸν ὑπερτεθερμασμένον ἐγκέφαλον. ἐπὶ δὲ τῶν ἐναντίων παθῶν, ἐπεγεῖραι καὶ τεμεῖν καὶ θερμῆναι προσήκει τὸ πάχος τοῦ λυποῦντος χυμοῦ, ὅστις αὐτὸν μὲν τοῦ σώματος καταφορᾶς βαθείας ἐργάζεται, χωρὶς πυρετῶν, ἃς ὀνομάζουσιν ἀποπληξίας καὶ κάρους καὶ κατοχάς. εἰ δὲ καὶ σὺν πυρετῷ ποτε, μετὰ πυρετοῦ γίνεται τὰ τοιαῦτα, καὶ καλεῖται τὸ τοιοῦτο νόσημα λήθαργος. ἐναφεψῶντες οὖν ὄξει θύμον καὶ γλήχωνα καὶ ὀρίγανον, ὅσα τ' ἄλλα τοιαῦτα τῇ ῥινὶ τῶν οὕτω διακειμένων προσοίσομεν, ὅπως ὁ ἀτμὸς ἐπὶ τὸν ἐγκέφαλον ἀναφερόμενος τέμνει τὸ πάχος τοῦ χυμοῦ. μετὰ δὲ ταῦτα, καὶ τὸν οὐρανίσκον ἰσχυροῖς καὶ δριμέσι φαρμάκοις χρίσομεν. ἑξῆς δὲ τούτων, καὶ πταρμικοῖς χρησόμεθα. καὶ κατὰ τῆς κεφαλῆς ἐπιθήσομεν ὁμοίας δυνάμεις φαρμάκων ἄχρι καὶ τοῦ νάπυος, ἐπιτείνοντες ἀεὶ τὸ σφοδρὸν αὐτῶν εἰ χρονίζει τὸ πάθος. ἀλλὰ καὶ ταῖς σικύαις ἐπ' ἀμφοτέρων χρονιζόντων χρησόμεθα, καὶ τῷ καστορίῳ. πρέπει γὰρ αὐτὸ καλῶς ἐπὶ προήκοντι τῷ χρόνῳ παραληφθέν. ὥστε κἀνταῦθα πάλιν εἰς κοινὴν θεραπείαν ἄγεσθαι λήθαργόν τε καὶ φρενίτιδα ἐπὶ τῆς παρακμῆς. ἐν μὲν δὴ τοῖς τοιούτοις πάθεσιν, ἐξελέγχονται προφανῶς οἵ τε ἀπὸ τοῦ Θεσσαλοῦ πάντες, οἵ τ' ἐν τῇ καρδίᾳ τὸ ἡγεμονικὸν τῆς ψυχῆς μέρος εἰπόντες ἰατροί. μὴ γὰρ ὅτι τῶν εἰρημένων τινὸς εὐπορῆσαι βοηθημάτων αὐτοῖς ἐστι δυνατὸν, ἀλλὰ μηδὲ ὅτῳ μορίῳ προσφέρειν δεῖ τὰ βοηθήματα. οὐ γὰρ δὴ ὥσπερ ἐπ' ὀφθαλμίας ἢ πλευρίτιδος ἢ συνάγχης αὐτός τε ὁ κάμνων αἰσθάνεσθαι τοῦ πεπονθότος μορίου, ἡμῖν τε διὰ τῆς ἁφῆς καὶ τῆς ὄψεως εἰς γνῶσιν ἥκει, κατὰ τὸν αὐτὸν τρόπον ἐπί τε ληθάργου καὶ φρενίτιδος. ἐπιληψίας τε καὶ ἀποπληξίας, καὶ σπασμῶν καὶ τετάνων. ἔτι τε τῆς καλουμένης ἰδίως κατοχῆς. ἐφ' ὧν ἁπάντων ἡ μὲν ἰδέα τῶν βοηθημάτων, ἐκ τῆς τοῦ πάθους φύσεως εὑρίσκεται. τὸ δὲ χωρίον, ᾧ μάλιστα χρὴ προσφέρειν αὐτὰ, διὰ τοῦ προεγνῶσθαι τὰς ἐνεργείας τε καὶ χρείας τῶν μορίων. ὅτι δ' ἀεὶ μεμνῆσθαι χρὴ τῶν συναποδεικνυμένων ἁπάντων, κἂν παραληφθῇ ποτε ἐπὶ τῷ λόγῳ, πολλάκις εἴρηται πρόσθεν. ἀλλὰ νῦν γε τὸ ἀπὸ τῶν μορίων ἔνδειξιν μόνην πρόκειται διελθεῖν. οἷον εὐθὺς ἐπὶ τῶν κατὰ τὴν κεφαλὴν, εἰ καὶ μηδὲν ἄλλο, τοῦτο γοῦν ἐνεστιν ἅπαντι νοῆσαι προχείρως ὅτι πρόκειται τοῦ ἐγκεφάλου, πρῶτον μὲν ἡ παχεῖα μῆνιγξ ἐοικυῖα ταῖς ἐκτὸς ταύταις βύρσαις. ἐπ' αὐτῇ δ' ἐστὶ τὸ κρανίον. ἀναγκαῖον ἐκλύεσθαι τῶν ἐπιτιθεμένων φαρμάκων τὴν δύναμιν ἐν τοῖς προβλήμασι πυκνοῖς καὶ σκληροῖς οὖσι. καὶ εἰ μὴ ῥαφαὶ κατὰ τὸ τῆς κεφαλῆς ὀστοῦν ὑπὸ τῆς φύσεως ἐγεγόνεισαν, οὐδὲν ἂν μέγα τῶν φαρμάκων οὐδὲν ἤνυσεν ἔξωθεν ἐπιτιθέμενον. ἐπεὶ δὲ καὶ αἱ ῥαφαὶ, καὶ μάλιστα ἡ στεφανιαία παρίησιν ἔσω ῥᾳδίως, οὐ τὰς ποιότητας μόνας τῶν ἐπιτιθεμένων φαρμάκων, ἀλλὰ καὶ τὰς οὐσίας ὅταν γε ᾖ λεπτομερὴς, εἰκότως πολλὰ τῶν κατὰ τὸν ἐγκέφαλον ὠφελεῖται παθῶν ὑπὸ τῆς τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων δυνάμεως. ἐγὼ γοῦν ἀπ' ἐμαυτοῦ πειραθεὶς, οἶδα καταντληθέντος ῥοδίνου ψυχροῦ, ταχίστης τε καὶ σαφεστάτης εἴσω διαδύσεως αἰσθανόμενος, ἐν τῷ κατὰ τὸ βρέγμα τόπῳ. καὶ μέντοι καὶ διαφορὰ παμπόλλη τοῖς ἀνθρώποις ὁρᾶται πρὸς ἀλλήλους ἐναργῶς, ἐπὶ τῆς ῥαφῆς τῆσδε, καὶ περὶ τῆς ἀναβάσεως. ἐθεασάμεθα γοῦν τινῶν ἐξηρημένων ἔτι ἐν τῷ μασᾶσθαι, σαφεστάτην κίνησιν τῆς συναρθρώσεως τῶν κατὰ τὴν στεφανιαίαν ῥαφὴν ὀστῶν, ὡς εἶναι πρόδηλον, ὅτι χαλαρὰ τοῖς ἀνθρώποις ἐκείνοις ἡ σύνθεσις ἦν τῶν ὀστῶν τῆς κεφαλῆς. εἰκότως οὖν κατὰ τοῦτο μάλιστα τὸ χωρίον ἐπιφέρουσιν ἅπαντες ἰατροὶ, τὰς ἐπιβροχὰς τῇ κεφαλῇ. κατὰ διαδοχὴν μὲν ἀπὸ τῶν πρώτως εὑρόντων ἐπὶ τοὔργον ἐρχόμενοι. θεώμενοι δὲ καὶ αὐτοὶ ὅσοι γε προσέχουσι τὸν νοῦν οὐκ ἀργῶς τοῖς γινομένοις ὅπως μὲν ἡ ῥαφὴ φαίνεται κινουμένη σαφῶς, ὅπως δ' αἰσθάνονται κατὰ τοῦτο τὸ μέρος οἱ ἄνθρωποι τάχιστα θερμαινόμενοί τε καὶ ψυχόμενοι διὰ τῶν ἔξωθεν αὐτοῖς ὁμιλούντων. πρὸς γὰρ αὖ τοῖς ἄλλοις, καὶ λεπτότατόν ἐστιν ἐν τούτῳ τῷ μέρει τὸ κρανίον, καὶ ἀραιότατον. ὅταν οὖν τινὸς εἴσω διικνεῖσθαι φαρμάκου τὴν δύναμιν ἰσχυρῶς ἐθελήσῃς, κατὰ τοῦτο μάλιστα τὸ χωρίον ἐπιτίθει. κάλλιον δὲ καὶ μετὰ ἀναξύσεως αὐτὸ πράττειν, ἀποκείραντα τῶν τριχῶν, ἢ ξυρῶντα τελέως. εἰ δ' ὑγρὸν εἴη τὸ προσφερόμενον ἐξ ὑψηλοτέρου βάλλοντα καὶ οἷον καταχρουνίζοντα. διικνεῖται γὰρ εἴσω μᾶλλον ὑπὸ τῆς βολῆς ὠθούμενον. ὥσπερ δ' ἐνταῦθα τὸ σφοδρότερον τῆς βολῆς συμφέρον ἐστὶν, οὕτως ἐπ' ὀφθαλμῶν ἀλυσιτελές. ἐν κεφαλῇ

μὲν γὰρ

μὲν γὰρ ὀστοῦν ἐστι τὸ πληττόμενον. ἐπὶ ὀφθαλμοῦ δὲ, ὑμενώδη τινὰ καὶ ἀδενώδη σώματα. καὶ ἐπὶ μὲν τὴν κεφαλὴν, ἕτερον μέν ἐστι τὸ πληττόμενον, ἄλλο δὲ τὸ θεραπευόμενον, ὃ τῆς μὲν πληγῆς, οὐκ αἰσθάνεται. τῆς δὲ διὰ τὴν βολὴν ἀφικνουμένης εἰς αὐτὸ δυνάμεως, ἀπολαύσει. κατὰ δὲ τὸν ὀφθαλμὸν, οὐκ ἄλλο μέν τοι τὸ πληττόμενον, ἄλλο δὲ τὸ θεραπευόμενόν ἐστιν. ἀλλ' ὅπερ χρὴ θεραπευθῆναι. τοῦτο καὶ πλήττεται σφοδρῶς. ἔτι τε πρὸς τούτοις, τὸ μὲν ὀστοῦν τῆς κεφαλῆς, ἀναίσθητόν ἐστιν. αἰσθητικώτερον δὲ μόριον ὁ ὀφθαλμός. ἐγχεῖν οὖν αὐτῷ τὰ φάρμακα, πρῶτον μὲν ἐπαίροντας τὸ ἄνω βλέφαρον ὡς ὅτι μαλακώτατα. δεύτερον δὲ, μὴ καταράσσοντα καθάπερ ἐπὶ τῆς κεφαλῆς. ἐξευρίσκειν δὲ καὶ αὐτὰ τὰ ἐγχεόμενα μετὰ τῶν φαρμάκων ὑγρὰ, φύσεως ἀδηκτοτάτης. καί μοι δοκοῦσιν οἱ παλαιοὶ μετὰ πολλῆς περισκέψεως ἐπὶ τὸ τῶν ὠῶν ὑγρὸν ἀφίκεσθαι, τό, τε ἀδηκτότατον αὐτοῦ, καὶ τὸ γλίσχρον ἑλόμενοι. διὰ μὲν γὰρ τὸ δάκνειν, ὁ προειρημένος αὐτοῖς ἐπληροῦτο σκοπός. διὰ δὲ τὸ γλίσχρον, συντέλειά τις εἰς ἀνωδυνίαν ἐγίγνετο. λεαίνειν γὰρ πέφυκε τὰ τοιαῦτα τῶν ὑγρῶν ἁπάσας τὰς τραχύτητας, ὅσαι διὰ ῥεῦμα γίγνονται δριμύ. καὶ προσέτι μονιμώτερα τῶν ὑδατωδῶν τε καὶ λεπτῶν ὑγρῶν ἐστι τὰ παχέα μετρίως καὶ γλίσχρα. ὅτι μὲν οὖν τὸ χωρὶς τοῦ δάκνειν γλίσχρον ὅταν καὶ μετρίως ᾖ θερμὸν ἀνωδυνώτατόν ἐστιν, ἔμαθες δή που κἀπὶ τῶν κατὰ τὴν γαστέρα δακνωδῶν διαχωρημάτων, ἐφ' ὧν ἐνιέμενον στέαρ, εὐθέως πραΰνει τὴν ὀδύνην. ὅτι δὲ καὶ διαμένειν ἄμεινόν ἐστι τὸ τοιοῦτον ὑγρὸν ἐν τῷ πεπονθότι μορίῳ, πρόδηλον. ἐπὶ μὲν γὰρ τῶν κατὰ τὴν γαστέρα, τὸ κλύζειν συνεχῶς ἀνιαρόν. ἐπὶ δὲ τῶν κατὰ τὸν ὀφθαλμὸν, ἀνατείνειν τὸ βλέφαρον. ἥ γε μὴν εὐαισθησία τοῦ μορίου καὶ τὸ λεῖον αἱρεῖσθαι πάντως τὸ μέλλον ἐνίεσθαι, καὶ μηδὲν ἐν αὐτῷ ἔχειν τραχὺ καὶ ψαμμῶδες, ἐνδείκνυται. διὰ τοῦτ' οὖν ἐπενοήθη καλῶς, ἥ τ' ἐκ τῶν ὠῶν ὑγρότης, καὶ τὸ λελειῶσθαι χρῆναι σφόδρα ἀκριβῶς, ὅσα γε τῶν γεωδῶν σωμάτων ἀναμίγνυται τοῖς ὀφθαλμικοῖς φαρμάκοις. ὅταν γε μὴν ὀδύναι γίγνωνται σφοδραὶ κατ' αὐτοὺς, ἀναμνησθεὶς ὅσα περὶ γενέσεως ἁπασῶν ὀδυνῶν ἔμαθες, ἐπισκέπτου κατὰ τίνα διάθεσιν ἐξ αὐτῶν ὀδυνᾶσθαι συμβαίνει τὸν ὀφθαλμὸν ἐν ταῖς φλεγμοναῖς ὑπὲρ ὧν νῦν ὁ λόγος ἐστίν. ἤτοι γὰρ ἐπὶ τὸ δάκνεσθαι σφοδρῶς ἐκ τῆς τῶν ἐπιρρεόντων δριμύτητος, ἢ διὰ τὸ τείνεσθαι πεπληρωμένους τοὺς χιτῶνας αὐτῶν, ἢ δι' ἔντασίν τινα παχέων ὑγρῶν, ἢ πνευμάτων φυσωδῶν, ὀδύναι γίνονται σφοδραὶ κατ' αὐτούς. τὰς μὲν οὖν δήξεις, διά τε τῶν καθαιρόντων φαρμάκων ἀντισπῶντας κάτω καὶ κενοῦντας θεραπεύειν προσήκει, καὶ αὐτῷ τῷ μορίῳ τοῦ ᾠοῦ τὸ ὑγρὸν ἐγχέοντας, ὅπως ἀλύπως ἐκκλύζηται σὺν αὐτῷ τὸ δριμὺ ῥεῦμα. προπεπεμμένης δὲ τῆς φλεγμονῆς ἤδη, καὶ κενοῦ τοῦ σώματος ὄντος, ἐπιτηδειότατα τούτοις ἐστὶ λουτρά. καὶ γὰρ ἀνώδυνοι παραχρῆμα γίνονται, καὶ παύεται τὸ ἐπιρρέον ὑγρὸν τοῖς ὀφθαλμοῖς. ἐκκριθέντος μὲν τοῦ πλείστου δι' ὅλου τοῦ σώματος ἐν τοῖς λουτροῖς, ἐπικρατηθέντος δὲ τοῦ λοιποῦ. τὰς δ' ἐπὶ τῇ πληρώσει τάσεις, διά τε κενώσεως αἵματος, καὶ γαστρὸς ὑπαγωγῆς, καὶ τρίψεως τῶν κάτω μορίων, ἰᾶσθαι προσήκει. εἰ δ' ἀναγκαζοίμεθά ποτε, καὶ δεσμοῖς τῶν κώλων ἔπειτα πυριάσεσιν αὐτοῦ τοῦ φλεγμαίνοντος μορίου, δι' ὕδατος ποτίμου θερμοῦ συμμέτρως. τὰς δ' ἐντάσεις προκενώσαντα κἀπὶ τούτων τὸ πᾶν σῶμα, καὶ μέν τοι καὶ ἀντισπάσαντα κάτω τὴν ῥοπὴν τῶν χυμῶν, ἑξῆς αὐτοῖς τοῖς ὀπικοῖς ὀνομαζομένοις βοηθήμασι θεραπεύειν, οὐ τοῖς ἀποκρουομένοις καὶ ἀναστέλλουσι φαρμάκοις χρώμενον, ἀλλὰ τοῖς διαφοροῦσι. πυριατέον οὖν αὐτοὺς, ὡς ἀρτίως εἴρηται, καὶ τὸ τῆς τήλεως ἐγχυτέον ἀφέψημα, προπλύνοντας ἐπιμελῶς τὴν τῆλιν ὅπως μηδὲν αὐτῇ προσιζηκὸς ἤτοι κόνεως ἢ ψάμμου λάθῃ. διαφορητικὸν γὰρ ἀλύπως ἐστὶ τὸ φάρμακον τοῦτο, πάντων μάλιστα τῶν ὀφθαλμοῖς προσφερομένων. μεμνῆσθαι δὲ χρὴ τῶν κοινῶν παραγγελμάτων ἐπὶ πάντων τῶν κατὰ μέρος. ὧν ἓν καὶ τόδ' ἐστὶν, ὡς τὰ διαφορητικὰ φάρμακα, πλήθους ὄντος ἐν ὅλῳ σώματι μορίοις τισὶ προσφερόμενα, πληροῖ μᾶλλον ἢ κενοῖ. ταῦτά τε οὖν καὶ τὰ ἄλλα θεραπεύων νοσήματα, καὶ τὰς φλεγμονὰς ὑπὲρ ὧν νῦν ὁ λόγος ἐστὶ μηδενὶ θαρρήσῃς τῶν διαφορητικῶν ὀνομαζομένων βοηθημάτων, πρὶν τῇ τοῦ σώματος ὅλου χρήσασθαι κενώσει. πρόσεχε δὲ κἀκείνῳ τὸν νοῦν ἐπὶ πάντων παθῶν, οὐ μόνον φλεγμονῶν, ὡς ἐνίοτε τὸ μὲν ὅλον σῶμα, μετρίως διάκειται κατά τε ποιότητα καὶ συμμετρίαν χυμῶν. ἓν δέ τι τῶν ὑπερκειμένων ἢ δύο τῷ κάμνοντι μορίῳ τὴν ἑαυτοῦ περιουσίαν ἐκπέμπει. καθάπερ ἀμέλει κἀπὶ τῶν ὀφθαλμῶν, οὐ σπανιάκις, ἀλλὰ καὶ πάνυ πολλάκις ἰδεῖν ἐστι γιγνόμενον, ἐπιπεμπούσης αὐτοῖς τῆς κεφαλῆς τὸ ῥεῦμα. πρόδηλον οὖν οἶμαι κἀπὶ τούτων ἐστὶν ὡς χρὴ τὴν κεφαλὴν ἰάσασθαι πρότερον, εὑρόντα τὴν διάθεσιν αὐτῆς, ᾗ τῶν περιττωμάτων ἡ γένεσις ἕπεται. καὶ τά γε χρονίζοντα τῶν ὀφθαλμῶν ῥεύματα θεραπεύομεν, ἀφιστάμενοι μὲν αὐτῶν τῶν ὀφθαλμῶν. ἐπὶ δὲ τὴν τῆς κεφαλῆς ἀφικνούμενοι πρόνοιαν, ἐκ μὲν τοῦ γένους τῶν δυσκρασιῶν οὖσαν. ἐνδεικνυμένην δὲ θεραπείαν ἐναντίαν ἑαυτῇ καθὸ δέδεικται πρόσθεν. ὡς τὰ πολλὰ μὲν οὖν ἤτοι ψυχρὰ δυσκρασία γίγνεται περὶ τὴν κεφαλὴν, ἢ ὑγρά. καὶ δηλονότι καὶ ἀμφότεραι συνέρχονται. σπανιώτεραι δὲ εἰσὶν αἱ διὰ θερμότητα δριμὺ ῥεῦμα τοῖς ὀφθαλμοῖς ἐπιπέμπουσαι, καθ' ἃς οὐ προσήκει τοῖς διὰ θαψίας καὶ τοῦ νάπυος χρῆσθαι φαρμάκοις, ἀλλὰ τοὐναντίον ἅπαν ἐλαίῳ μὲν ὀμφακίνῳ τε καὶ ἰσπανῷ, καὶ ῥοδίνῳ λουτροῖς δὲ ποτίμων ὑδάτων πλείοσιν. ἐνίοτε μὲν οὖν ὁ ἐγκέφαλος ἐπιπέμπει τὸ ῥεῦμα. καὶ χρὴ τούτου μὲν τὴν κρᾶσιν ἐπανορθοῦσθαι τοῖς ὅλης τῆς κεφαλῆς ἐπιθέμασιν. ἐνίοτε δὲ τῶν ἀγγείων ἐστὶ τὸ πάθος, ἤτοι τῶν φλεβῶν, ἢ τῶν ἀρτηριῶν ἀτονωτέρων ὑπαρχουσῶν, ὡς δέχεσθαι τὴν τῶν ἄλλων ἀγγείων περιουσίαν. ἐνίοτε ἐκτέμνοντές τι μέρος αὐτῶν, ἢ καὶ διατέμνοντες ὅλα μέχρι πολλοῦ βάθους, διαλαμβάνομεν οὐλῇ σκληρᾷ τὰ μεταξὺ διορίζοντες μόρια τοῦ τμηθέντος, ὡς μηκέτ' εἶναι συνεχῆ, μηδ' ἐπιρρεῖν ἐκ τοῦ ἑτέρου πρὸς τὸ ἕτερον. ἀλλ' ὅταν γε τῶν ἐν τῷ βάθει κειμένων ἀγγείων τῶν ἄνωθεν ἡκόντων ἅμα τοῖς νεύροις ἐπὶ τοὺς ὀφθαλμοὺς ᾖ τὸ πάθημα, τούτων οὐδὲν οἷόν τ' ἐστὶ πρᾶξαι. διὸ καὶ δυσίατα πάντη τὰ τοιαῦτα ῥεύματα γίγνεται. τὰ δ' ἔξωθεν ἀγγεῖα καὶ χωρὶς χειρουργίας ἔνεστι ῥῶσαι, φαρμάκοις καταχρίοντα τονωτικοῖς. ἐνίοτε δὲ καὶ θερμὸν αἷμα καὶ ἀτμῶν μεστὸν ἐπὶ τὴν κεφαλὴν ἀναφέρεται, καὶ πληθύνει μάλιστα κατὰ τὰς ἀρτηρίας. ἐφ' οὗ χρησιμώτατον

εὕρηται βοήθημα τοῖς ἰατροῖς ἡ ἀρτηριοτομία. χρὴ δὲ ξυρήσαντα τὴν κεφαλὴν ἐπιμελῶς, ἅπτεσθαι τῶν τ' ὄπισθεν καθ' ἑκάτερον οὖς ἀρτηριῶν, καὶ τῶν ἐν τῷ μετώπῳ τε καὶ κατὰ τοὺς κροτάφους. ὅσαι δ' αὐτῶν θερμότεραί σοι φαίνονται τῶν ἄλλων ἢ καὶ μᾶλλον σφύζειν, ἐκείνας τέμνειν. ὅσαι δὲ μικραί τε εἰσὶ καὶ ὑπὸ τῷ δέρματι, κἂν μέρος αὐτῶν ἐκτέμνῃς, ὥσπερ ἐν τοῖς σκέλεσιν ἐπὶ τῶν κιρσῶν εἰώθαμεν πράττειν, ἄμεινον ἐργάσῃ. καὶ τῶν καθ' ἡμᾶς γέ τις ὀφθαλμικῶν, οὐχ ὁ φαυλότατος, ἐξέκοπτε τῶν ἐποχουμένων τοῖς κροταφίταις μυσὶν ἀρτηριῶν οὐκ ὀλιγίστην μοῖραν. ὡς τὰ πολλὰ μὲν οὖν ἀνασπᾶται τῆς ἐκτμηθείσης ἀρτηρίας τὰ καταλειπόμενα μόρια, πρὸς τὸ συνεχὲς ἀμφοτέρων. καὶ μᾶλλον γίνεται τοῦτ' ἐπί τε τῶν μικρῶν ἀγγείων, καὶ ἧττον σφυζόντων. εἰ δ' ἐν τῷ γυμνοῦν φαίνοιτό σοι μέγα τὸ ἀγγεῖον, ἢ μεγάλως σφύζοι, ἀσφαλέστερον αὐτῷ βρόχον περιβάλλοντα πρότερον, οὕτως ἐκκόπτειν τὸ μεταξύ. γιγνέσθωσαν δ' οἱ τοιοῦτοι τῶν βρόχων ἐξ ὕλης δυσσήπτου. τοιαύτη δ' ἐστὶν ἐν Ῥώμῃ μὲν ἡ τῶν γαιτανῶν ὀνομαζομένων. ἐκ μὲν τῆς τῶν Κελτῶν χώρας κομιζομένων. πιπρασκομένων δὲ μάλιστα κατὰ τὴν ἱερὰν ὁδόν, ἥτις ἐκ τοῦ τῆς Ῥώμης ἱεροῦ κατάγει πρὸς τὰς ἀγοράς. τούτων μὲν οὖν ἐν Ῥώμῃ ῥᾷστον εὐπορῆσαι. καὶ γὰρ εὐωνότατα πιπράσκεται. κατ' ἄλλην δὲ πόλιν ἰατρεύοντί σοι, παρασκευάσθω τῶν νημάτων τι τῶν σηρικῶν ὀνομαζομένων. ἔχουσι γὰρ αἱ πλούσιαι γυναῖκες αὐτά, πολλαχόθι τῆς ὑπὸ Ῥωμαίων ἀρχῆς. καὶ μάλιστα ἐν μεγάλαις πόλεσιν, ἐν αἷς εἰσι πολλαὶ τῶν τοιούτων γυναικῶν. εἰ δὲ μὴ παρείη σοι τῶν κατ' ἐκείνην τὴν χώραν, ἐν ᾗπερ ἂν ὢν τυγχάνῃς, ἐκλέγου τὴν ἀσηπτοτέραν ὕλην, οἵα πέρ ἐστιν ἡ τῶν ἰσχνῶν χορδῶν. αἱ μὲν γὰρ εὔσηπτοι, ταχέως ἀποπίπτουσι τοῦ ἀγγείου. ἡμεῖς δὲ βουλόμεθα περισαρκωθέντων αὐτῶν ἀποπίπτειν τὸν βρόχον. ἡ γὰρ ἐπιτρεφομένη τοῖς ἀποτετμημένοις μέρεσι τῶν ἀγγείων σάρξ, ἐπίθεμα γίγνεται, καὶ μύει τὸ στόμιον αὐτῶν. ἐπειδὰν δὲ φθάσῃ γενέσθαι, καιρὸς ἤδη τοῖς βρόχοις ἀκινδύνως ἀπορρυῆναι. τὰς μέντοι φλέβας ὅτ' ἂν ποτὲ ἐκτέμνεις τι μόριον αὐτῶν, οὐκ ἀναγκαῖον οὕτως ἀσήπτοις ὕλαις διαδεῖν, ἀλλ' ἀρκεῖ καὶ τῶν ἄλλων τις. ἐπὶ μὲν γὰρ τῶν ἀρτηριῶν ἡ διηνεκὴς κίνησις, ἀνοίγνυσι τὰ στόματα τῶν τετμημένων ἀγγείων. ἐπὶ δὲ τῶν φλεβῶν ὅταν ἅπαξ μύσῃ καθ' ὀντινοῦν τρόπον, ἤτοι πιληθέντα δι' ἐπιδέσεως, ἢ στυφθέντα διὰ φαρμάκων, ἐπιτρέπει τῇ πέριξ σαρκὶ περιφύεσθαι. καὶ μάλιστα ὅταν ἀκίνητον ἔχῃ τὸ μέρος ὁ χειρουργηθεὶς ἄνθρωπος. ἔτι δὲ μᾶλλον ἐὰν καὶ ἀνάρροπον ἔχῃ ἐπὶ κενῷ τῷ σύμπαντι σώματι. καὶ γάρ τι καὶ τοὺς κιρσοὺς οὕτω θεραπεύομεν. ὀνομάζεται δὲ κιρσὸς ἡ ἀνευρυσμένη φλέψ. ἀνευρύνεται δ' ἐν ὄρχεσί τε καὶ σκέλεσι τοὔπιπαν. ἐπεὶ δὲ γραφομένων ἔτι τῶνδε τῶν ὑπομνημάτων, ἠξίωσαν οὐκ ὀλίγοι τῶν ἑταίρων ἐπὶ τῇ τελευτῇ τῆς ὅλης πραγματείας ἁπάντων ἐφεξῆς μετὰ τῶν κατὰ χειρουργίαν μνημονεῦσαι, διὰ τοῦτο καὶ νῦν ὁ περὶ τῶν κιρσῶν ἀναβεβλήσθω λόγος. ὄντων δ' οὐκ ὀλίγων, κατὰ μέρος ἐν ὀφθαλμοῖς παθῶν ἰδικωτέρας θεραπείας δεομένων, οὐδ' ὑπὲρ ἐκείνων ἔτι λέγειν ἐνταυθοῖ προσήκει. τῷ μὲν γὰρ ἐπιμελῶς ἀνεγνωκότι τὰ πρόσθεν εἰρημένα καὶ φύσει συνετῷ, ῥᾷστόν ἐστι κατὰ τὴν ἀκολουθίαν ἐξευρίσκειν ἅπαντα. τοῖς δὲ μὴ τοιούτοις, ἄμεινον ἰδίᾳ γράψαι θεραπευτικὴν πραγματείαν ἁπάντων τῶν ἐν ὀφθαλμοῖς παθῶν. ἐπεὶ καὶ πολλοὶ τῶν ἑταίρων οὕτως ἀξιοῦσιν.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

ΠΕΡΙ μὲν τῶν παρὰ φύσιν ὄγκων, πόσοι μέν εἰσι καὶ ὁποῖοι, γέγραπται πρόσθεν ἰδίᾳ καθ' ἓν βιβλίον. ὡς δ' ἄν τις αὐτοὺς θεραπεύοι μεθόδῳ, τῆς προκειμένης πραγματείας ἴδιον ὄν, ἐν τῷ τρισκαιδεκάτῳ τῶνδε τῶν ὑπομνημάτων ἠρξάμεθα λέγειν. ἐπεὶ δ' ἐν τοῖς ἔμπροσθεν ὑπὲρ ἁπάντων πυρετῶν ὁ λόγος ἐγεγόνει, βέλτιον ἔδοξέ μοι περὶ πρώτης φλεγμονῆς διελθεῖν, ὡς ἂν συνεχεστάτης τε γινομένης, καὶ πυρετοὺς ἐπιφερούσης πολλάκις. εἴρηται μὲν οὖν τι κἀν τῇ τῶν πυρετῶν θεραπείᾳ περὶ φλεγμονῆς, ἅμα ταῖς ἄλλαις αὐτῶν αἰτίαις. ἀλλ' ὁ τέλειός τε καὶ ἴδιος αὐτῆς λόγος, ἐν τῷ πρὸ τούτου βιβλίῳ γέγραπται, τὴν μέθοδον τῆς θεραπείας ὁποία τίς ἐστι διερχομένων ἡμῶν, οὐ τὴν τῶν βοηθημάτων ὕλην, ὅτι μὴ παραδείγματος ἕνεκεν, ὡς κἀπὶ τῶν ἔμπροσθεν ἐποιησάμεθα. οὐ πόρρω δὲ τῆς φλεγμονῆς ἕτερον νόσημα ἐστὶν ἐρυσίπελας ὀνομαζόμενον, ἐπὶ χολώδει χυμῷ συνιστάμενον, ὡς ἐδείχθη. βέλτιον δ' ἴσως αὐτὸ μακροτέρῳ λόγῳ διορίσαι τῆς φλεγμονῆς. κοινὰ μὲν οὖν ἀμφοῖν, ὅ, τε παρὰ φύσιν ὄγκος ἐστί, καὶ ἡ θερμασία. διαφέρει δὲ πρῶτα μὲν καὶ μάλιστα, τῇ χροιᾷ. ἐρυθρᾶς μὲν γὰρ οὔσης αὐτῆς, φλεγμονὴν τὸ πάθος ὀνομάζουσιν. ὠχρᾶς δ' ἢ ξανθῆς, ἢ ὥσπερ ἐξ ὠχροῦ καὶ ξανθοῦ χρώματος μικτῆς, ἐρυσίπελας. ἀτὰρ οὖν καὶ ὁ σφυγμός, ἴδιον σύμπτωμά ἐστι τῆς μεγάλης φλεγμονῆς, καὶ γὰρ καὶ διὰ βάθους γίνεται μᾶλλον, ὥσπερ γε τὸ ἐρυσίπελας ἐν τῷ δέρματι μᾶλλον, ἢ ἐν τῷ βάθει. λεπτὸς γὰρ κατὰ τὴν σύστασιν ὁ τῆς ὠχρᾶς χολῆς χυμός, ὥστε διαρρεῖ ῥᾳδίως ἐπὶ τὸ δέρμα, τὰ σαρκώδη καὶ ἀραιὰ μόρια διερχόμενος. ἡ δὲ τοῦ δέρματος πυκνότης, οὐκέθ' ὁμοίως εὔπορος τῇδε τῇ χολῇ. πλὴν εἰ πάνυ λεπτὴ καὶ ὑδατώδης εἴη, τοιαύτη γὰρ μάλιστα καὶ ἡ καθ' ἑκάστην ἡμέραν ἐστὶ συναπερχομένη τοῖς ἱδρῶσι. καὶ πολλῶν ὄψει κατὰ τὰ βαλανεῖα ταῖς στλεγγίσιν ἀποξυόντων τὸν ἱδρῶτα τοιοῦτον τὴν χρόαν, οἷόν περ καὶ τὸ οὖρόν ἐστι τοῖς ἐπὶ πλέον ἀσιτήσασιν. οἶσθα γὰρ ὡς χρονιζόντων ἡμῶν ἐν ταῖς ἀσιτίαις, ὠχρότερον ἐξ ὑδατώδους γίγνεται τὸ οὖρον. ὕστερον δέ ποτε καὶ ξανθόν, εἰ μὴ φθάσειέ τις ἐπιτέγξαι τὸν αὐχμὸν τοῦ σώματος, ὑγραινούσῃ τε τροφῇ καὶ ποτῷ. κατὰ φύσιν μὲν οὖν διοικουμένου τοῦ σώματος, ὁ πικρόχολος χυμὸς ἀδήλως διαπνεῖται. παρὰ φύσιν δέ, κατ' ἄλλα τε πάθη πλεονάζων φαίνεται, περὶ ὧν αὖθις εἰρήσεται, καὶ μέντοι καὶ κατὰ τουτὶ τὸ νῦν ἡμῖν προκείμενον, ὃ καλοῦσιν ἐρυσίπελας. ὅταν γὰρ ἤτοι πολὺ πλέων τοῦ κατὰ φύσιν, ἢ παχύτερος γενόμενος, ἀθρόως ἐξενεχθῇ πρὸς τὸ δέρμα, διακαίει τε τοῦτο καὶ εἰς ὄγκον αἴρει. κρεῖττον δ' ἐστίν, ὥσπερ ἀεὶ λέγομέν τε καὶ πράττομεν, οὕτω καὶ νῦν ἡμᾶς ἀπὸ τῶν πραγμάτων,

οὐ τῶν

οὐ τῶν ὀνομάτων ἄρξασθαι, δευτέραν ἀμείνω τὴν πρόσθεν ἀρχῆς τοῦ λόγου τὴν δὲ θέμενος ὅταν αἵματος πολλοῦ κατασκήψαντος εἴς τι μόριον ὡς μὴ στέγεσθαι πρὸς τῶν ἀγγείων τῶν κατ᾽ αὐτὸ, διεκπίπτῃ τι δροσοειδῶς ἐκ τῶν ἀγγείων εἰς τὰς τῶν μυῶν χώρας, ἃς ἔχουσι μεταξὺ τῶν συντιθέντων αὐτοὺς ὁμοιομερῶν σωμάτων, ὄγκος μὲν γίγνεται διὰ τὸ πλῆθος. ἕπεται δὲ αὐτῷ τάσις μὲν τοῦ δέρματος. ὀδύνη δ᾽ ἐν τῷ βάθει. καὶ πόνος μετὰ σφυγμοῦ καὶ ἁπτομένοις ἀντιτυπία τις. ἔρευθός τε καὶ θερμότης. ὡς ἂν καὶ τοῦ δέρματος ἀπολαύοντος, ὧν πάσχουσιν αἱ ὑπ᾽ αὐτὸ σάρκες. ἀνάλογον τε τοῖς νῦν εἰρημένοις, καὶ περὶ τὰ σπλάγχνα γίνεται διάθεσις. ἔστι γὰρ δὴ κἀν τούτοις ἰδία σάρξ. ἣν ἔνιοι παρέγχυμα προσαγορεύουσιν, εἰς ἣν ἀτμοειδῶς ἐκ τῶν πεπληρωμένων ἀγγείων ἐκκρινόμενον τὸ αἷμα, τὰ προειρημένα συμπτώματα ἐργάζεται. μία μὲν οὖν ἥδε διάθεσις αἱματώδους ἔκγονος ῥεύματος ἐν σαρκοειδέσι σώμασι μάλιστα γινομένη. δευτέρα δ᾽ ἑτέρα χολώδους, περὶ τὸ δέρμα συνισταμένη μάλιστα τό, τ᾽ ἐκτὸς τοῦτο τὸ κοινὸν ἁπάντων σκέπασμα τῶν μορίων καὶ τὸ καθ᾽ ἕκαστον τῶν ἐντὸς περιτεταμένον ὑμενῶδές τε καὶ λεπτόν. ὥσπερ οὖν ἡ προτέρα συνεπιλαμβάνει τι καὶ τοῦ δέρματος. οὕτω καὶ ἥδε τῆς ὑποκειμένης αὐτῷ σαρκός. εἰ δὲ καὶ παχύτερος ὁ χυμὸς εἴη καὶ δριμύτερος, ἀποδέρει τὴν ἐπιδερμίδα καί ποτ᾽ ἐν τῷ χρόνῳ πρὸς τὸ βάθος ἀφικνεῖται τοῦ δέρματος ἡ ἕλκωσις. αὕτη μὲν οὖν ἡ διάθεσις ἐρυσίπελας ὀνομαζέσθω διττὴν δὲ ἔχον ὡς εἴρηται διαφορὰν, ἤτοι χωρὶς ἑλκώσεως, ἢ σὺν ταύτῃ γιγνόμενον. ἡ προτέρα δὲ μονοειδὴς ἐστὶ, καὶ καλείσθω φλεγμονή. ὅταν οὖν μήτε ἀκριβῶς ᾖ χολῶδες τὸ ῥεῦμα, μήθ᾽ αἱματῶδες, ἀλλ᾽ ἐξ ἀμφοῖν μικτὸν, ἀπὸ μὲν τοῦ κρατοῦντος ἐν τῇ μίξει, τοὔνομα αὐτῷ τιθέσθω. κατηγορείσθω δὲ τοῦτο τὸ κρατούμενον, ὡς ἤτοι φλεγμονὴν ἐρυσιπελατώδη καλεῖν ἡμᾶς ἢ ἐρυσίπελας φλεγμονῶδες. εἰ δὲ μηδ᾽ ἑτέρου ἐπικρατοίη, μέσον ἐρυσιπέλατός τε καὶ φλεγμονῆς ὀνομαζέσθω τὸ πάθος. ἡ δὲ τῆς θεραπείας μέθοδος, ὡς ἐπὶ τῶν ἄλλων συνθέτων, οὕτω καὶ νῦν γιγνέσθω τὴν ἀρχὴν ἀπὸ τῶν ἁπλῶν ποιησαμένοις. κοινὸς μὲν οὖν σκοπὸς ἅπασι τοῖς οὕτω παρὰ φύσιν, ὄγκοις. ἡ κένωσις. οὕτω δ᾽ εἶπον, ἀναμιμνήσκων τοῦ πλήθους τῶν ἐργαζομένων αὐτοὺς χυμῶν. εἰ γάρ τις τούτους κενώσειε, τὴν κατὰ φύσιν ἕξιν ἀναλήψεται τὸ μόριον. ἀλλὰ καὶ ἡ κένωσις ὁμοίως ἅπασι διττή. μία μὲν οὖν, ἀπωθουμένων ἡμῶν αὐτοὺς εἰς ἕτερα μόρια. δευτέρα δὲ, διαφορούντων ἔξω κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν. ἐπεὶ δ᾽ οὐ κατὰ ποσὸν μόνον ἀνιᾷ τὸ ἐρυσίπελας, ἀλλὰ καὶ κατὰ ποιὸν, σφοδρὰν ἔχον τὴν φλόγωσιν, ἐμψύξεως δεήσεται περιττοτέρας ἢ κατὰ τὴν φλεγμονήν. οὐ μὴν ἀκίνδυνός γε ἡ τοιαύτη θεραπεία κατὰ παντὶ σώματι, διὰ τὸ φέρεσθαι τὴν χολὴν ἐνίοτε πρός τι τῶν ἐπικαίρων μορίων. ὅπου γε οὐδ᾽ ὅταν αἷμα ψύχηται πλεονάζον, ἀκίνδυνον ἐκ τῶν ἀκύρων μερῶν ἀπωθεῖσθαι τὸ ῥεῦμα. καθάπερ οὖν ἐπ᾽ ἐκείνου μετὰ τῆς τοῦ παντὸς σώματος κενώσεως τοῖς ἀποκρουστικοῖς ὀνομαζομένοις ἐχρώμεθα βοηθήμασιν οὕτω καὶ νῦν πράξομεν. ἀντὶ μὲν φλεβοτομίας, χολαγωγῷ φαρμάκῳ καθαίροντες. αὐτὸ δὲ τὸ πεπονθὸς μέρος ἐμψύχοντες. ὅρος δ᾽ ἔστω, τοῦ ψύχειν ἡ τῆς χρόας μεταβολή. καὶ γὰρ τό γε ἀκριβὲς ἐρυσίπελας, εὐθὺς ἅμα ταύτῃ παύεται. τὸ δ᾽ οὐκ ἀκριβὲς ἀλλ᾽ ἤδη πως φλεγμονῶδες, πελιδνὸν ἀποφαίνει τὸ δέρμα ψυχόντων ἐπὶ πλέον. εἰ δὲ μηδ᾽ οὕτως τις παύοιτο, μελαίνεται. καὶ μάλιστα ἐπὶ τῶν πρεσβυτικῶν σωμάτων. ὥστ᾽ ἔνια τῶν οὕτω ψυχθέντων, οὐδὲ τοῖς διαφορητικοῖς φαρμάκοις ἐκθεραπεύεται τελέως, ἀλλ᾽ ὑπολείπει τινὰ περὶ τὸ μόριον ὄγκον σκιρρώδη. μεταβαίνειν οὖν ἄμεινον ἀπὸ τῶν ψυχόντων, τε καὶ στυφόντων, ἐπὶ τἀναντία καθ᾽ ὃν ἂν καιρὸν ἴδῃς ἀλλοιωμένον τὸ χρῶμα τοῦ πάσχοντος μορίου, πρὶν ἤτοι πελιδνὸν, ἢ καὶ παντάπασι μέλαν γενέσθαι. λέλεκται δ᾽ ἐν ταῖς περὶ φαρμάκων πραγματείαις, ἡ τῶν ψυχόντων ὕλη, τὸ στρύχνον καὶ τὸ ἀείζωον ἥτ᾽ ἀνδράχνη καὶ ἡ κοτυληδών. καὶ τὸ ψύλλιον. ὅ, θ᾽ ὑοσκύαμος, καὶ ἡ θριδακίνη. καὶ ἡ σέρις. ὅ, τε ἀπὸ τῶν τελμάτων φακός. αἵ τε δι᾽ ὕδατος πάνυ ψυχροῦ κηρωταί. καὶ τἄλλα ὅσα τοιαῦτα μετὰ πεσούσης δὲ τῆς φλογώσεως τοῦ πεπονθότος μορίου καταπλάττειν αὐτὸ πρὶν πελιδνὸν γενέσθαι δι᾽ ὠμῆς λύσεως. ὀνομάζουσι δ᾽ οὕτω τὸ κρίθινον ἄλευρον. εἰ δὲ καὶ πελιδνὸν γενέσθαι φθάσειεν ἀποχαλῶντα καταπλάττειν. αἰονᾶν τε, τὰ μὲν πλεῖστα, δι᾽ ὕδατος θερμοῦ. καὶ θάλασσα δὲ καὶ ἅλμη ποτὲ συνοίσει. καὶ αὐτῷ δὲ τῷ καταπλάσματι μίγνυται τοιοῦτον ὕδωρ, ἢ ὄξος, ἢ ὀξάλμη. ἐν τούτῳ δὲ τῷ καιρῷ καὶ κοριάνου μετ᾽ ἀλφίτων ἔνιοι πειραθέντες ἔγραψαν ὡς ἀγαθὸν εἴη φάρμακον ἐρυσιπελάτων εἶτ᾽ αὖθις ἕτεροι κατ᾽ ἀρχὰς χρησάμενοι μεγάλης βλάβης τῷ κάμνοντι κατέστησαν αἴτιοι. καὶ ἡ διὰ τοῦ ῥοδίνου δὲ κηρωτὴ λαμβάνουσα τῆς τιτάνου, κατὰ τὸν αὐτὸν τρόπον ἐνίοις γέγραπται βοηθεῖν ἐρυσιπέλασι, καὶ ἄλλα τινὰ τοιαῦτα τῶν θερμαινόντων ἱκανῶς ὧν οὐδὲν ἐστὶν ἐρυσιπέλατος ἴαμα πρὶν μεταπεσὸν αὐτὸ παύσασθαι μὲν ὅπερ ἦν ἐξ ἀρχῆς, ἕτερον δ᾽ ἐναντίον ἐκείνῳ γενέσθαι. πῶς γὰρ οὐκ ἐναντίον ἔσται τῷ θερμῷ πάθει τὸ ψυχρὸν ἢ τῷ ξανθῷ τὴν χρόαν. ἢ ὠχρῷ τὸ πελιδνὸν, ἢ μέλαν. ὥσπερ δὲ πολλάκις ἐπιμίγνυται φλεγμονῇ τὸ ἐρυσίπελας, οὕτως ἐνίοτε τῷ οἰδήματι. καὶ καλείσθω τηνικαῦτα τὸ μικτὸν ἐξ ἀμφοῖν, ἐρυσίπελας οἰδηματῶδες. ὥσπερ γε κἀπειδὰν ψυχόμενον σκληρόν τε καὶ δύσλυτον γένηται κληθήσεται σκιρρῶδες ἐρυσίπελας. καὶ τοίνυν καὶ ἡ θεραπεία καθάπερ ἐν ἅπασι τοῖς συνθέτοις οὕτω κἀπὶ τούτων σοι γιγνέσθω. καὶ μάλιστα μὲν ἀνθισταμένῳ πρὸς τὸ κρατοῦν. οὐκ ἐπιλελησμένῳ δ᾽ οὐδὲ τῆς ἀρχῆς τοῦ μιχθέντος ἐνδείξεως. ὥσπερ γὰρ ἐπὶ χολώδει ῥεύματι τὸ ἐρυσίπελας, οὕτως ἐπὶ φλέγματι τὸ οἴδημα γίγνεται χαῦνός τις ὄγκος ἀνώδυνος. ἴσμεν δὲ δή που καὶ ἄλλως οἰδήματα γινόμενα περὶ τοὺς πόδας, ἐν ὑδερικαῖς διαθέσεσι καὶ φθόαις καὶ καχεξίαις ἑτέραις ἰσχυραῖς ἐπ᾽ ἐκείνων μὲν οὖν σύμπτωμά ἐστι τὸ οἴδημα τοῦ κατέχοντος πάθους τὸν ἄνθρωπον, οὐδὲ μιᾶς ἰδίας ἐξαιρέτου θεραπείας δεόμενον ἀρκεῖ γὰρ εἴπερ ἄρα τηνικαῦτα ἀνατρίβειν τὰ σκέλη ποτὲ μὲν δι᾽ ὀξυροδίνου, ποτὲ δὲ δι᾽ ἐλαίου καὶ ἁλῶν ἢ καὶ αὐτῷ τῷ ὀξυροδίνῳ τὸν ἁλῶν ἐπεμβάλλοντα. διὰ δὲ τὸν φλεγματώδη χυμὸν ὑπερρυέντα μορίῳ συνιστάντος οἰδήματος, ἱκανὸς ἐνίοτε καὶ σπόγγος μόνος ὕδατι βεβρεγμένος ὀλίγον ὄξους ἔχοντι. γενέσθω δ᾽ ἡ κρᾶσις ἤτοι γ᾽ ὡς ἂν καὶ πίοι τις ἢ οὐ πολλῷ γε τούτου πλέον ἔχουσα τὸ ὄξος. ἐπιδεῖν δὲ χρὴ τὸν σπόγγον ἐκ τῶν κάτω μερῶν ἀρχόμενον, καὶ ἄνω τελευτῶντα. καινὸς δ᾽ ἔστω

πάντως εἰ μέλλοι τι χρηστὸν ἐργάσασθαι. μὴ παρόντος δὲ τοῦ καινοῦ, διαῤῥύπτειν χρὴ καὶ καθαίρειν τὸν ἐπιτυχόντα. νίτρῳ τε καὶ ἀφρονίτρῳ, καὶ τῇ καλουμένῃ κονίᾳ στακτῇ. μὴ καταστάντος δὲ ἐπὶ τοῖς δὲ τοῦ οἰδήματος ἐπειδὰν αὖθις ἐπιδέῃς, ἐπεμβάλλειν καὶ βραχὺ τῆς στυπτηρίας, καὶ σπόγγον καινὸν προσοιστέον. εἰ δ' οὐκ ἔχοις καινόν, ἄμεινον χρῆσθαι τούτῳ δὴ τῷ καλουμένῳ πρὸς τῶν πολλῶν ἐλλυχνίῳ. μαλακὸν δ' ἔστω πρὸ πάντων ὁποῖον τὸ ταρσικόν. εἰ δ' ἐκείνου τις εὐποροίη, θαῤῥῶν χρήσθω. βέλτιον γὰρ ἐνεργήσει τοῦ σπόγγου. δευέσθω δὲ δηλονότι διὰ τὴν στυπτηρίαν ἔχοντι ὀξυκράτῳ, καὶ ἐπιδείσθω καθότι προείρηται κάτωθεν ἄνω. σφίγγειν δ' οὕτω συμμέτρως ὡς ἐν κατάγματι. καὶ μᾶλλον μὲν τὰ κάτω πρῶτα. ἐπὶ βραχὺ δ' ἐκλύειν τὴν σφίγξιν. οὐ μὴν εἰς τοσοῦτόν γε ὡς χαλαρὸν γενέσθαι τι μέρος τῆς ἐπιδέσεως. ἀγαθὸν δὲ φάρμακον εἰς ταῦτα, καὶ τὸ γλαύκιον αὐτό τε καθ' ἑαυτὸ δι' ὀξυκράτου λυθέν. ἔτι τε μᾶλλον τὸ δι' αὐτοῦ συντιθέμενον ἡμέτερον φάρμακον, οὗ τὴν σύνθεσιν ἔχεις ἐν τῇ περὶ τῶν φαρμάκων πραγματείᾳ λεγομένῃ. ἦσαν δέ μοι μέχρι δεῦρο, τρεῖς. ἥ τε περὶ τῶν ἁπλῶν. καὶ μετὰ ταύτην, ἡ περὶ τῆς συνθέσεως αὐτῶν. εἶθ' ἡ περὶ τῶν εὐπορίστων. ἔοικα δὲ καὶ τετάρτην ἄλλην ποιήσειν, ἐπειδὴ καὶ πολλοὶ τῶν ἑταίρων οὕτως ἀξιοῦσιν, ἐν ᾗ περὶ τῶν κοινῶν καὶ ἰδίων ἑκάστου μορίου καὶ πάθους φαρμάκων ὁ λόγος ἐστί μοι. ἀλλὰ τοῦτό γε τὸ διὰ τοῦ γλαυκίου φάρμακον, οὐκ οἰδήματα μόνον, ἀλλὰ καὶ πολὺ δὴ μᾶλλον αὐτῶν, ἐρυσιπέλατά τε καὶ φλεγμονὰς ἀρχομένας ἰᾶται, καὶ μάλιστα τὰς θερμάς. εὔδηλον δὲ ὅτι καὶ τὰς ἐρυσιπελατώδεις φλεγμονάς. ἐρυσιπέλατά τε τὰ φλεγμονώδη θεραπεύσεις ταὐτῷ τούτῳ τῷ φαρμάκῳ, οὐ μὴν τάς γε σκιῤῥουμένας ἤδη τῶν φλεγμονῶν, ἢ τὰ ψυχθέντα τῶν ἐρυσιπελάτων, οὐθ' ὅλως οὐδεμίαν διάθεσιν σκιῤῥώδη. περὶ ὧν εἴρηται μέν τοι κἀν τῷ πέμπτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. εἰρήσεται δὲ καὶ νῦν. ὁ μὲν γὰρ χυμὸς ὁ τὸ τοιοῦτον πάθος ἐργαζόμενος, ἤτοι γλίσχρος ἐστίν, ἢ παχύς, ἢ ἀμφότερα. τῆς θεραπείας δὲ αὐτοῦ κοινὸς ὁ σκοπός, ἐκκενῶσαι τὸ περιεχόμενον ἐν τῷ μορίῳ παρὰ φύσιν ἅπαν. ἴδιος δ' ὁ τρόπος τῆς κενώσεως. ἀποῤῥύψαι γὰρ αὐτὸν χρὴ δυσλύτως ἐμπεπλασμένον. ἐὰν οὖν ἀθρόως ἕλκουσί τε καὶ διαφοροῦσι φαρμάκοις ἐγχειρῇ τις κενοῦν ἄνευ τοῦ μαλάττειν τε καὶ χεῖν τοῖς ὑγραίνουσι καὶ θερμαίνουσιν, ἐν ὀλίγαις μὲν ἡμέραις ταῖς πρώταις, ἀξιόλογον ἐπίδοσιν δόξει λαμβάνειν ἡ θεραπεία, τό γε μὴν ὑπόλοιπον τῆς διαθέσεως ἀνίατον ἔσται. διαφορηθέντος γὰρ ἅπαντος τοῦ λεπτομεροῦς κατ' αὐτήν, ὅμοιόν τι πώρῳ λιθῶδες τὸ λοιπὸν λείψεται. καὶ γὰρ οὖν καὶ τῶν ἐν ταῖς ἀρθρίτισι πώρων ἡ γένεσις, ἐξ ὑγροῦ παχέος ἐστὶ καὶ γλίσχρου, μὴ ἐπὶ βραχὺ διαφορηθέντος, ἀλλ' ἀθρόως ξηρανθέντος ὑπὸ βιαίων φαρμάκων. οὕτω δὲ κἀν τοῖς νεφροῖς οἱ λίθοι γεννῶνται, κατοπτηθέντος ἐν αὐτοῖς χυμοῦ παχέος καὶ γλίσχρου. διὰ τοῦτ' οὖν ἐπὶ τῶν σκιῤῥωδῶν διαθέσεων, οὐδὲν τῶν ἰσχυρῶς θερμαινόντων ἢ ξηραινόντων φαρμάκων, ἁρμόττει. μόνα δ' ὅσα μετὰ τοῦ μαλάττειν, ἱκανὰ διαφορεῖν ἐστίν. οἷον ὁ ἐλάφειος μυελός. καὶ μόσχειος. καὶ στέαρ αἴγειόν τε καὶ ταύρειον. καὶ λεόντειον. ἔτι τε πρὸς τούτοις, ἀμμωνιακὸν θυμίαμα. καὶ βδέλλιον ἑκάτερον, καὶ μᾶλλον τὸ σκυθικὸν σῳ περ ὑγρότερόν ἐστιν. ὡσαύτως δὲ καὶ ὁ στύραξ ὁ ὑγρότερος, ἀμείνων τοῦ ξηροῦ. τούτοις οὖν προσέχων τοῖς σκοποῖς, καὶ τὰς ἐπιπεπλεγμένας διαθέσεις ἰᾶσθαι δυνήσῃ, κατὰ τὴν εἰρημένην ἤδη πολλάκις ἐπὶ πάντων τῶν συνθέτων παθῶν μέθοδον. ἐμοὶ δὲ καιρὸς ἂν εἴη περὶ τῆς τῶν παχόντων μορίων ἀναμνῆσαι διαφορᾶς, ἧς ἀεὶ μνημονεύειν ἠξίουν, ἐπὶ πάντων τῶν νοσημάτων τε καὶ συμπτωμάτων. εἴρηται δ' οὐκ ὀλίγα καὶ ἐπὶ τὸ πρὸ τούτου γράμμα, περὶ τῆς ἀπ' αὐτῶν ἐνδείξεως. ὁ μὲν γὰρ πρῶτος σκοπὸς τῆς ἰάσεως ἁπάντων τῶν παρὰ φύσιν ὄγκων ἐν οἷς οὐδέπω γεγόνασι πῶροι, κένωσίς ἐστιν. ἡ δὲ τῶν σκιῤῥουμένων μορίων κένωσις, ὑπὸ τῶν προειρημένων οὐ γίγνεται φαρμάκων, ἃ καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς, μαλακτικά. τῶν δ' ὄντων τῶν μορίων τὰ μὲν ἀραιότερα φύσει. τὰ δὲ, πυκνότερα, καὶ τὴν κένωσιν ἑτέρων δεῖσθαι κατ' εἶδος βοηθημάτων ἀναγκαῖόν ἐστι. Διὰ τοῦτ' οὖν ἐπὶ τενόντων τε καὶ συνδέσμων ἔδοξέ μοι βέλτιον εἶναι παραμιγνύναι τι τῇ διὰ τῶν μαλαττόντων φαρμάκων ἀγωγῇ τῆς τμητικῆς ὀνομαζομένης, ὧν ἐν τοῖς μάλιστα ὄξος ἐστὶ τοιοῦτον. ἐνίοτε μὲν οὖν αὐτῷ χρώμεθα, κἀπὶ τῶν ἄλλων μορίων σκιῤῥωθέντων, ὡς ἐρῶ μικρὸν ὕστερον. ἐπὶ δὲ τενόντων τε καὶ συνδέσμων ὧδε πως. ὄξει δριμυτάτῳ σβέννυμι λίθον διάπυρον. εἰ μὲν οὖν οἷόν τε τὸν πυρίτην λίθον καλούμενον. ὃς οὐδ' αὐτὸς ἐστὶ σπάνιος ἐν ταῖς μεγάλαις πόλεσι. μὴ παρόντος δὲ τούτου, τὸν μυλίτην. ὀνομάζουσι δὲ οὕτως, ἐξ οὗ τὰς μύλας ἐφ' ὧν ἀλοῦσι κατασκευάζουσιν. εἶτα ἀναφερομένου τινὸς ἀτμοῦ θερμοῦ μετὰ τὸ καταχυθῆναι τοῦ λίθου τὸ ὄξος, ἐν ἐκείνῳ τὸν ἐσκιῤῥωμένον σύνδεσμον, ἢ τένοντα διακινεῖν ἀναγκάζω. καὶ μετὰ τοῦτο πάλιν ἐπιτίθημι τὸ μαλακτικὸν φάρμακον. ἐλαίῳ γε μὴν ἀπ' ἀρχῆς τῆς θεραπείας οὐχ ὕδατι καταντλῶ τὸ πεπονθὸς μόριον ἄχρι παντὸς ἑκάστης ἡμέρας. ἐχέτω δὲ τοῦτο μηδὲ μίαν στύψιν, ἀλλ' ἀκριβῶς ἔστω λεπτομερές, οἷόν περ ἐστὶ τὸ σαβῖνον. ἐναφέψω δ' ἐνίοτε τῷ ἐλαίῳ καὶ τῆς ἀλθαίας τὴν ῥίζαν, ἀγρίου τε συκίου. καὶ εἴ τις ἄλλη τοιαύτη. καὶ τούτῳ χρῶμαι καθ' ἑκάστην ἡμέραν ὡς εἶπον. ἡ δὲ δι' ὄξους θεραπεία, χρήσιμός ἐστιν ἐπὶ προσήκοντι τῷ πάθει, προπαρεσκευασμένου τοῦ μέρους ὑπὸ τῶν μαλακτικῶν. ἐπενόησα δέ τινα καὶ σύνθετα φάρμακα δι' ὄξους, ἃ μεταξὺ τῶν μαλακτικῶν ἐπιτίθημι πρὸς μίαν ἡμέραν. ἡ γάρ τοι τοῦ ὄξους δύναμις, ἐάν τις αὐτῇ μετρίως τε καὶ κατὰ τὸν προσήκοντα καιρὸν χρήσηται, ὠφελεῖ τὰς τοιαύτας διαθέσεις, τέμνουσα καὶ διαλύουσα τοὺς παχεῖς χυμούς. εἰ δὲ ἀμετρότερον ἢ οὐκ ἐν καιρῷ τῷ προσήκοντι τὸ λεπτότερον ἐξαρπάζουσα, τὸ καταλεῖπον ἐᾷ λιθοῦσθαι. καὶ μέν τοι καὶ μέχρι πλείονος, εἴ τις αὐτῷ χρῷτο τῆς οὐσίας ἅπτεται τῶν νεύρων. διὰ τοῦτ' οὖν οὔτε πολλάκις, οὔτε κατ' ἀρχάς, οὔτ' ἐν χρόνῳ πολλῷ χρηστέον ἐστὶ τοῖς δι' ὄξους φαρμάκοις ἐπὶ συνδέσμων τε καὶ τενόντων. Ἐπὶ μέν τοι σπληνὸς ἢ τῶν σαρκωδῶν μερῶν τοῦ μυὸς ἐσκιῤῥωμένων, ἀκίνδυνος ἡ χρῆσις. ἀραιά τε γὰρ ταῦτα φύσει καὶ φόβος οὐδείς ἐστι πληγῆναί τι νεῦρον ὑπὸ τῆς δυνάμεως αὐτοῦ. τῷ μὲν οὖν ἀμμωνιακῷ θυμιάματι μετ' ὄξους πολλοὶ καὶ ἄλλοι χρῶνται ἐπὶ τοῦ σπληνὸς ἐπιτιθέντες. πηλώδες τῷ πάχει τὸ μικτὸν ἐξ ἀμφοῖν ἐργαζόμενοι. καὶ πολλάκις γε τοῦτο μόνον ἤρκεσεν εἰς τὴν θεραπείαν αὐτοῦ. ἐπὶ δὲ τῶν μυῶν, ἄλλον μὲν οὐκ εἶδον, ἐγὼ δ' ἐχρησάμην

πολλάκις

πολλάκις ἐν τῷ μεταξὺ τῶν μαλακτικῶν. ἐπ' ἐκείνοις μὲν οὖν οὐδεμία σαφὴς ὠφέλεια γίγνεται. προμαλαχθέντος δ' ὑπ' αὐτῶν τοῦ σκιρρώδους ὄγκου, μεγίστην ὠφέλειαν ἐργάζεται τὸ δι' ὄξους λυθὲν ἀμμωνιακόν. ἀπόχρη δὲ καὶ τοῦτο κατὰ μίαν ἢ καὶ δευτέραν ἡμέραν χρησαμένους, ἐπανελθεῖν αὖθις ἐπὶ τὰ μαλακτικά. πάλιν δ' ἐκείνοις, χρησαμένους ἡμέραις πλείοσιν, ἀφικνεῖσθαι πάλιν ἐπὶ τὸ δι' ὄξους φάρμακον. εἴτ' οὖν ἀμμωνιακόν, εἴτε καὶ τῶν ἄλλων τι τῶν μαλακτικῶν, ὅσα μικρὸν ἔμπροσθεν εἶπον. οὐ γὰρ δὴ ἄλλο γέ τι δεῖ προσφέρειν, οἷα τὰ πολλὰ τῶν ξηρῶν ὀνομαζομένων ἐστὶ φαρμάκων. εὐδοκιμήσει μὲν γὰρ ἐν ἀρχῇ τὸ φάρμακον. ἀνίατον δ' ἐργάσεται τὸ λείψανον τῆς διαθέσεως. διὰ τοῦτο γοῦν ἐγὼ πολλάκις ἐν τῷ μεταξὺ καὶ καταπλάσματι τῷ διὰ ἀλθαίας ἐχρησάμην. ὀνομάζουσι δὲ αὐτὴν ἀναδενδρομαλάχην οἱ πολλοί. ταύτης οὖν ἡ ῥίζα λυομένη μετὰ στέατος, ἀγαθὸν εἰς τὰ τοιαῦτα φάρμακα. ἔστω δὲ τὸ στέαρ, εἰ μὲν οἷόν τ' εἴη, χήνειον. εἰ δὲ μὴ παρείη τοῦτο, ὀρνίθειον. εἰ δὲ μηδὲ τοῦτο, τῷ τῶν ὑῶν χρηστέον. ἀλλὰ καὶ τῆς ἀγρίας μαλάχης, ἥτις πανταχόθεν φύεται τὰ φύλλα λειωθέντα μετά τινος τῶν εἰρημένων, ὀνήσει. ἀμείνω δὲ τῶν ὠμῶν ἐστι, τὰ προαφεψημένα μετρίως. τὰ μὲν δὴ τοιαῦτα βοηθήματα, καὶ τὸ ποικίλον, ὡς εἴρηται, τὴν θεραπείαν ἁπάντων μορίων, ἐστὶ κοινὰ ὅσα περ ἂν ἄλλῳ πάθει σκιρρώδει, καθάπερ γε καὶ ἡ τῶν οἰδημάτων ἴασις ἣν ὀλίγον ἔμπροσθεν εἶπον, ἐξαλλάττεται κατὰ τὰ μόρια ταῖς εἰρημέναις διαφοραῖς. αὐτίκα γέ τοι τοῖς καθ' ὑποχόνδριον οἰδήμασιν, οὐκ ἄν τις ψυχρὸν ἐπιθείη σπόγγον ἐξ ὀξυκράτου, καθάπερ οὐδὲ τοῖς ἄλλοις ὄγκοις τοῖς κατ' αὐτό. τίς δ' ἀψίνθιον ἐναποζέσας ἐλαίῳ κατήντλησέ ποτε τὸ γόνυ. τίς δὲ ὀφθαλμὸν, ἤ τι τῶν ἔνδον τοῦ σώματος ὁπωσοῦν πάσχον; ἀλλ' ἥπατί τε κακοπραγοῦντι καὶ σπληνὶ προσφέρεται πολλάκις ὠφελιμώτατα. μαρτυρεῖ δ' αὐτοῖς καὶ ἡ πεῖρα δεικνῦσα τὴν δύναμιν ἐναργῶς, οὐδὲν ἧττον τοῦ λόγου. νυνὶ δ' ἡμεῖς μόνην ἐν τῇδε τῇ πραγματείᾳ τὴν κατὰ μέθοδον εὕρεσιν τῶν ἰαμάτων ὁποία τίς ἐστι διερχόμεθα. κατὰ μέντοι τὰς περὶ φαρμάκων ἀμφοτέρας ἐμίξαμεν, ἅπαντα γινώσκειν ἀξιοῦντες τὸν ἰατρὸν, ὅσα τ' ἐκ πείρας εὕρηται μόνης, ὅσα τ' ἐκ λόγου μόνου. καὶ τρίτα γε πρὸς αὐτοῖς, ὅσα συντελούντων ἀμφοτέρων εἰς τὴν εὕρεσιν. ἅπασι δ' οὖν αὐτοῖς ὀρθῶς χρήσεται μόνος ὁ γεγυμνασμένος ἐν τῇδε τῇ μεθόδῳ. περὶ μὲν οὖν φλεγμονῆς καὶ σκίρρου καὶ οἰδήματος, ἀρκείτω τὰ εἰρημένα. μεμνημένων ἡμῶν, ὡς σκίρρον ὀνομάζομεν, ὄγκον σκληρὸν, ἀνώδυνον, οὐ μὴν ἀναίσθητόν γε πάντως. ὁ γὰρ τοιοῦτος, ἀνίατος. οἱ δ' ἄλλοι πάντες ὥσπερ ἀναισθητότερόν τε καὶ δυσαισθητότερον ἀποφαίνουσι τὸ πάσχον μόριον, οὕτως οὐ παντελῶς ἀναίσθητον, ὅταν γ' αἰσθητικὸν ᾖ φύσει. τοὺς γὰρ συνδέσμους, ἴσμεν ἀναισθήτους ὄντας. εἰ δέ τις ἐκείνους μόνους τῶν παρὰ φύσιν ὄγκων ὀνομάζειν ἀξιοῖ σκίρρους, ὅσοι παντάπασιν εἰσὶν ἀναίσθητοι, τοὺς δὲ ἄλλους, οὐ σκίρρους, ἀλλ' ὄγκους σκιρρώδεις, ὑπὲρ ὀνόματος ἴσως ζυγομαχῶν. καὶ καλέσωμεν οὕτω καὶ ἡμεῖς τὸ πάθος, ὅταν ἐκείνῳ διαλεγώμεθα. καὶ γὰρ καὶ ἔθος ἡμῖν ἐστιν οἷς ἄν τις ὀνόμασι χαίρῃ, τούτοις αὐτῷ διαλέγεσθαι. καιρὸς οὖν ἤδη περὶ τῶν ἐμφυσημάτων διελθεῖν, οὐ τὴν αὐτὴν ἐχόντων θεραπείαν τοῖς οἰδήμασιν. ἐκεῖνα μὲν γὰρ, ὡς ἔφην, ὑπὸ φλεγματώδους γίνεται χυμοῦ. καὶ διὰ τοῦτο θλιβόντων ἥκει μέχρι βάθους ἱκανοῦ, τῶν δακτύλων ἐγκαταβαινόντων. εἰς αὐτὰ δὲ τὰ φυσήματα, φυσώδους πνεύματος ἀθροιζομένου γίγνεται. ποτὲ μὲν ὑπὸ τῷ δέρματι. ποτὲ δὲ, ὑπὸ τοῖς περιοστέοις ὑμέσιν. ἢ τοῖς τοὺς μῦς περιέχουσιν. ἤ τι τῶν σπλάγχνων. ἀθροίζεται δ' οὐκ ὀλίγον ἐνίοτε καὶ κατὰ τὴν γαστέρα καὶ τὰ ἔντερα, κἂν τῷ μεταξὺ τούτων τε καὶ τοῦ περιτοναίου. καὶ διαφέρει γε τῶν οἰδημάτων τῷ μὴ βοθροῦσθαι πιεζόμενα, καὶ ψοφεῖν, ὥσπερ τύμπανον. ἔτι τε καὶ τῷ περιέχεσθαι πολλάκις ἐν αἰσθητῇ κοιλότητι, καὶ ταύτῃ γ' ἐστὶν ὅτε μεγίστῃ. σκοπὸς δ' ἔστω καὶ ἐπὶ τούτων, ὁ μὲν ἁπάντων αὐτῶν κοινὸς, ἐκκενῶσαι τὸ παρὰ φύσιν, ἐν ὅτῳ περ ἂν εἴη περιεχόμενον. ὁ δ' ἴδιος ἐπὶ τοῦ κοινοῦ, τὸ διὰ τῶν λεπτομερεστάτων τε καὶ θερμοτέρων ταῖς δυνάμεσι φαρμάκων. ἐπὶ μὲν οὖν τῶν κατὰ τὴν γαστέρα τε καὶ σπλάγχνα, λεπτομερὲς ἔλαιον ἐργάζεται τοῦτο, πήγανον ἐναπεζεσμένον ἔχον, ἤ τι τῶν θερμαινόντων σπερμάτων, οἷόν περ ἐστὶ τό, τε τοῦ κυμίνου, καὶ τὸ τοῦ σελίνου τε καὶ πετροσελίνου. καί ποτε καὶ σικύα μεγάλη χωρὶς ἀμυχῶν δὶς ἢ τρὶς ἐπιβαλλομένη κατὰ μέσην τὴν γαστέρα. περιλήψεται δὲ δηλονότι τὸν ὀμφαλὸν, ἡ τηλικαύτη τε καὶ οὕτω τιθεμένη. ἐπὶ δὲ τὰ κῶλα καὶ τοὺς ὑπὸ τῷ δέρματι μῦς, ἤ τινας τῶν περιοστέων ὑμένων ἐμφυσήματος γενομένου, χωρὶς μὲν ὀδύνης ὑγρόν τι τῶν λεπτομερεστάτων, ἱκανόν. οἷόν περ ἐστὶ τὸ τῆς στακτῆς ὀνομαζομένης κονίας, ἀναλαμβανομένης σπόγγῳ καινῷ. συνούσης δὲ ὀδύνης, ὑπαλείφειν τὸ μόριον ἐλαίῳ χαλαστικῷ. γίνονται δὲ ἐκ πληγῶν αἱ τοιαῦται διαθέσεις. ἐν αἷς ἤτοι μῦς τις, ἢ περιόστεος ὑμὴν θλᾶται. ἐπὶ μὲν οὖν τοῦ περιοστέου, τὸν εἰρημένον ἐπιτιθέναι σπόγγον. ἐπὶ δὲ τῶν μυῶν, ὀδυνῶνται γὰρ ἐνίοτε, παρηγορικωτέρου χρεία φαρμάκου. διόπερ οὐ μόνῃ τῇ κονίᾳ χρώμεθα ἐπὶ τούτων, ἀλλὰ μιγνύντες αὐτῇ τὸ καλούμενον ἕψημα μετ' ἐλαίου βραχέος. ἄμεινον δὲ μὴ δ' ὅλως κατ' ἀρχὰς τό τε μιγνύναι τὴν κονίαν, ἀλλὰ τῷ ἑψήματι χρῆσθαι μετὰ οἴνου καὶ ὄξους βραχέος, ἔλαιον ἐπιχέοντα συμμέτρως. ἐπειδὰν δὲ μίξῃς αὐτὰ θερμήνας, συμμέτρως ἐπιτίθει βρέχων ἔριον ἄπλυτον, ὃ καλοῦσιν οἰσυπηρόν. εἰ δὲ μὴ τοῦτο ἔχεις, ἀλλὰ τὴν οἴσυπον ἐκείνου ἐπεμβάλλειν τῷ μιχθέντι διὰ τῶν εἰρημένων. ὅτι δ' ἀμείνων ὁ Ἀττικὸς οἴσυπος ἁπάντων ἄλλων, κἂν ἐγὼ μὴ λέγω, γινώσκεις. καὶ τοίνυν καὶ ἡ δι' αὐτοῦ κηρωτὴ, τῶν ἅπασι γινωσκομένων ἐστὶ φαρμάκων. καὶ χρῶνταί γε πάμπολλοι κατὰ τὰς ἐν ὑποχονδρίῳ φλεγμονὰς ταύτῃ. καὶ ταύταις οὖν ἐμβάλλων ὅταν οἴσυπος μὴ παρῇ, τὸ δέον ἐργάζῃ. χρὴ γὰρ τοὺς τεθλασμένους μῦς παρηγορῆσαι διὰ φαρμάκου μικτὴν ἔχοντος δύναμιν, ὡς καὶ πέττειν ἅμα καὶ διαφορεῖν καὶ στύφειν μετρίως. ὡς ὅταν γε μηδὲν ἔχῃ στύψεως, αὐξάνει τὰς φλεγμονὰς ἐνίοτε. καὶ μάλιστα ἐπὶ τῶν πληθωρικῶν σωμάτων. μεμνημένος οὖν τῶν εἰρημένων τριῶν σκοπῶν ἐπὶ τῶν ἐμπεφυσημένων διὰ πληγήν τινα μυῶν, εἰ μὲν ὀδύνη μείζων εἴη, τῷ παρηγορικωτέρῳ χρῶ τρόπῳ. μὴ παρούσης δὲ ταύτης, ἀγωνιστικωτέρῳ. καλεῖν δ' οὕτως εἴωθα τοὺς διὰ συντόμων ὁδῶν ἐπὶ τὸ τέλος ἰόντας. αἱ σύντομοι δ' ὁδοὶ, διὰ τῶν ἰσχυρὰν δύναμιν ἐχόντων γίνονται φαρμάκων. ἰσχυρὰ δὲ δύναμίς ἐστι, μάλιστα μὲν ἐν τῇ κονίᾳ τε καὶ τῷ ὄξει. δεύτερον δ' ἐν οἴνῳ. τούτων οὖν πλέον

μίξεις, ὅταν τοῦ περιγορεῖσθαι καταφρονήσῃς. αὐτῶν δὲ τούτων πάλιν ἀποχρήσασθαι μὲν βουλόμενος, οἴνου ἐμβάλλῃς πλείονα. κάλλιστος δ' εἰς ταῦτα μέλας αὐστηρός. διαφορῆσαι δὲ προαιρούμενος, τὴν κονίαν. ὄξος δ' αὐτῇ μιγνύμενον, εἰς ἄμφω συνεργεῖ. διότι καὶ μικτὴν δύναμιν ἔχειν ἐδείχθη. ἀνωδύνου δὲ γινομένου τοῦ μυός, ἔξεστί σοι μὴ παρούσης τῆς κονίας, ἀντ' αὐτῆς ἐμβάλλειν ἀφρόνιτρον. ἔστω δὲ τοῦτο μὴ λιθῶδες, ἀλλ' ἀφρῶδες μᾶλλον. ἔστι δὲ τὸ μὲν λιθῶδες, σκληρὸν καὶ πυκνόν, καὶ δυσκόλως διαχεόμενον ἐν τῷ μίγνυσθαι τοῖς εἰρημένοις ὑγροῖς. τὸ δὲ ἀφρῶδες, μαλακόν καὶ χαῦνον. ἔτι τε λευκότερον τοῦ λιθώδους. τοῦτ' οὖν καὶ λύεται τάχιστα πρὸς τῆς ὑγρότητος. ὀνίνησί τε μάλιστα λεπτομερὲς ὑπάρχον. ὅσα δὲ τῶν τοιούτων ἐμφυσημάτων ἀμεληθέντα χρονίζει, πρῶτον μὲν ἐπ' αὐτῶν, τῷ διὰ τῆς κονίας, ὡς εἴρηται χρήσαιο. δεύτερον δέ, τῶν ἐμπλαστῶν τινί. παράδειγμα δ' ἐρῶ καὶ τῶνδε. γλοιὸν ἀναζέσας δίηθησον πρῶτον, ὡς γενέσθαι καθαρόν. εἶτ' αὖθις ἐμβαλὼν τῇ κακάβῃ τίτανον ἄσβεστον λίαν ὡς ἄλευρον, ἔμπλαττε μέχρι πηλώδους συστάσεως. ἀγαθὸν δ' ἐπὶ τούτοις ἐστί, καὶ τὸ διὰ τοῦ συκομόρου φάρμακον. ὅσα τ' ἄλλα τοιαῦτα. νυνὶ γὰρ ὡς εἴρηται πολλάκις ἤδη παραδείγματα μόνα γράφω τῶν φαρμάκων, ὧν ἡ καθόλου δύναμις ὑπὸ τῆς θεραπευτικῆς εὑρίσκεται μεθόδου. ὥσπερ δὲ τῶν φαρμάκων τῆς χρήσεως ἐνταυθοῖ παραδείγματα γράφεται, χάριν τοῦ νοῆσαί τε σαφέστερον ὅλην τὴν μέθοδον, εὐπορώτερόν τε γίνεσθαι περὶ τὴν εὕρεσιν τῆς ὕλης, οὕτω καὶ τῶν πεπονθότων μορίων τοῦ σώματος. αὐτίκα γέ τοι πάθος ἐστὶ τὸ καλούμενον ὑπὸ τῶν νεωτέρων, πριαπισμός, ἐπειδὴ τὸ αἰδοῖον ἀκουσίως ἐξαίρεται τῶν οὕτω διακειμένων. ὁ θεασάμενός τις τῶν ἐν τοῖσδε τοῖς ὑπομνήμασι προγεγυμνασμένων, ἑτοίμως γνωριεῖ τοῦ τῶν ἐμφυσημάτων ὑπάρχον γένους, ἀναμνησθεὶς τά τε περὶ τὴν ἀνατομὴν φαινόμενα τοῦ μορίου καὶ τὰ περὶ τοὺς φυσικοὺς ὑπὲρ τῆς ἐνεργείας αὐτοῦ καὶ τῆς χρείας λόγους, οὐ χαλεπῶς ἐννοήσει τὸ πληρούμενον ἀτμώδους πνεύματος, τὸ σηραγγῶδες νεῦρον, ὃ τὴν ἰδίαν οὐσίαν συνίστησι τοῦ αἰδοίου, τὸ πάθος ἐργάζεζεται τοῦτο. πνεῦμα δ' ἀτμῶδες ἐν τοῖς τῶν ζώων σώμασιν ἐμάθομεν ἐκ χυμῶν θερμαινομένων ἠρέμα γίγνεσθαι. ἔνθα μὲν γὰρ ἰσχυρόν τ' ἐστὶ τὸ ἔμφυτον θερμόν, ἥ θ' ὑγρότης τοῦ μορίου κατειργασμένη τελέως εἰς ἀτμοὺς λεπτομερεῖς λυομένη κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοὴν εἰς τὸ περιέχον ἀποῤῥεῖ. ἔνθα δ' ἤτοι τὸ σύμφυτον θερμὸν ἀσθενέστερον ἐστίν, ἢ τὸ παρὰ φύσιν ὑγρόν, ἡμίπεπτον τε καὶ παχὺ καὶ γλίσχρον, ἐνταῦθα παχύτερος ὁ ἀτμὸς ἢ ὡς διαπνεῖσθαι γεννᾶται. καὶ μάλισθ' ὅταν καὶ τὸ μόριον αὐτὸ πυκνωθῇ ποτέ. πολλάκις δὲ τὸ μὲν ἐν τῷ μορίῳ περιεχόμενον ὑγρόν, ὑπόψυχρόν τ' ἐστί, καὶ παχύ, καὶ γλίσχρον. αὐξηθεῖσα δὲ ἡ θερμότης, εἰς ἀτμοὺς αὐτὸ διαλύει παχεῖς. ὅπερ καὶ μάλιστά σοι σκεπτέον ἐστὶ καὶ διοριστέον ὡς πρὸς τὴν θεραπείαν. ἡ μὲν γὰρ ἀρχὴ κοινὴ τῶν διαθέσεων ἀμφοτέρων προκενῶσαι τὸν ὅλον ὄγκον, ἂν οἷόν τ' εἴη δέξασθαι κένωσιν. εἴρηται δὲ πολλάκις ὑπὲρ τῆς ἐν τοῖς κενωτικοῖς βοηθήμασι δυνάμεως, ἅπερ ἐστὶ φλεβοτομία καὶ κάθαρσις. ἥ τε διὰ τῶν ὑπηλάτων φαρμάκων, καὶ ἡ διὰ τῶν ἀνωτερικῶν ἢ ἐμετικῶν ὀνομαζομένων. ἔτι τε τρῖψις πολλὴ καὶ κίνησις πᾶσα, καὶ λουτρά. καὶ μάλισθ' ὅσα διαφορητικῶν ὑδάτων ἐστί. οὕτω δὲ καὶ τὰ δριμέα φάρμακα χριόμενα διαφορεῖ. καὶ πάνθ' ἁπλῶς ὅσα θερμαίνουσί τε καὶ ξηραίνουσι. κατὰ συμβεβηκὸς δέ τι καὶ ἡ ἀσιτία δέδεικται κενοῦν. καὶ μάλισθ' ὅταν ᾖ τὸ περιέχον θερμόν. ὅπερ ἂν οὖν ἐκ τούτων τῶν βοηθημάτων ὁ κάμνων ἐπιτηδειότατος ᾖ προσίεσθαι, τούτῳ κενωτέον αὐτὸν ἐπιτιθέντα τῷ μορίῳ φάρμακον. εἰ μὲν θερμότερον εἴη γεγονὸς τῶν ψυχόντων, ἀνάλογον τῇ πλεονεξίᾳ τῆς θερμασίας. εἰ δὲ μή, κατ' ἀρχὰς μὲν πάντως μετρίως ψύχον, ὕστερον δ' οὐκ ἀναγκαῖον. οὕτω δὲ καὶ τὰ κατὰ τὴν ὀσφὺν ἅπαντα μόρια περιαληπτέον ἐστὶ φαρμάκῳ, τὴν αὐτὴν δύναμιν ἔχοντι. καὶ τὴν ἄλλην δίαιταν ἄφυσόν τε καὶ ξηραντικὴν παραληπτέον. γίνεται δέ, οὐ πολλοῖς μὲν τὸ πάθος τοῦτο. νεανίαις γε μὴν μᾶλλον, ἢ κατ' ἄλλην ἡλικίαν. ὥστε καὶ ἡ φλεβοτομία μάλιστα αὐτοὺς ὀνίνησιν, ὡς ἂν καὶ τῆς ἡλικίας οὐκ ἀρνουμένης αὐτῶν. οἶδα γοῦν ἐγώ τινα τῶν ὑπ' ἐμοῦ θεραπευθέντων, ἐν τρισὶν ἡμέραις εἰς τὸ κατὰ φύσιν ἐπανελθόντα, διά τε φλεβοτομίας, καὶ φαρμάκου τοιοῦδε. κηρωτὴν διὰ ῥοδίνου τοῦ ἁπλοῦ ποιήσας ὑγρὰν οὕτως, ὡς ἐπὶ τῶν καταγμάτων χρώμεθα μεθ' ὕδατος ψυχροῦ. καὶ γὰρ θέρους ἦν ἀρχή, δεύσας τε καὶ ἀναφυράσας, ἐπέθηκα τῷ αἰδοίῳ. καὶ ταῖς ψόαις ὀνομαζομέναις. οὗτος μὲν οὕτως ἐθεραπεύθη. τούτου δ' οὐχ ἧττον ἄλλος ἐπὶ τῇ φλεβοτομίᾳ, τῷ διὰ τοῦ χαμαιμήλου χρησάμενος ὑγρῷ φαρμάκῳ. δίδωμι δ' αὐτοῖς καὶ τῆς νυμφαίας πίνειν τό γε κατ' ἀρχάς. ἐφεξῆς δὲ τῆς ἄγνου τὸ σπέρμα. καὶ εἰ ἐπιχρονίζοι, πηγάνου δαψιλὲς ἐσθίειν. ἔστι γὰρ καὶ τοῦτο τὸ παράγγελμα κοινὸν ἐπὶ πάντων σχεδὸν τῶν διὰ μοχθηροὺς χυμοὺς συστάντων νοσημάτων, ὡς ἐπὶ τῇ τελευτῇ, τοῖς θερμαίνουσι καὶ ξηραίνουσι χρῆσθαι. τελέως γὰρ ἐκκόπτει ταῦτα τὸ καταλειπόμενον τοῦ χυμοῦ. γλῶτταν γε μὴν οὕτως ἐξαρθεῖσαν εἴδομεν, ὡς μὴ χωρεῖσθαι πρὸς τοῦ στόματος τοῦ ἀνθρώπου, μήτε πεφλεβοτομημένου ποτὲ καὶ τὴν ἡλικίαν ἐξηκοντούτου. δεκάτη δέ που σχεδὸν ὥρα τῆς ἡμέρας ἦν, ἡνίκα τὸ πρῶτον εἶδον αὐτόν. καί μοι καθαρτέος ἔδοξεν εἶναι τοῖς συνήθεσι καταποτίοις, ἃ διὰ τῆς ἀλόης καὶ σκαμμωνίας καὶ κολοκυνθίδος συντίθεμεν, εἰς ἑσπέραν δοθέντος τοῦ φαρμάκου. ἐπ' αὐτὸ μέντοι τὸ πεπονθὸς μέρος, ἐπιθεῖναί τι συνεβούλευσα τῶν ψυχόντων τήν γε πρώτην. ὕστερον γὰρ ἔφην ἁρμοσόμεθα πρὸς τὸ ἀποβαῖνον. ἀλλ' ἑνί γέ τινι τῶν ἰατρῶν οὐκ ἐδόκει. καὶ διὰ τοῦτο τῶν μὲν καταποτίων ἔλαβεν. ἀνεβλήθη δ' ἡ περὶ τοῦ τοπικοῦ φαρμάκου σκέψις εἰς τὴν ὑστεραίαν, ἡνίκα καὶ μᾶλλον ἀνύσειν τι τὸ δοκιμασθὲν ἤλπιζον. προκεκενωμένου δὲ τοῦ παντὸς σώματος, ἀντισπάσεώς τε πρὸς τὰ κάτω γεγενημένης. ἀλλὰ διά γε τῆς νυκτὸς ἐναργέστατα ὄναρ αὐτῷ γενόμενον ἐπῄνεσέ τε τὴν ἐμὴν συμβουλήν, ὥρισέ τε τοῦ φαρμάκου τὴν ὕλην, θριδακίνης χυλῷ διακλύζεσθαι κελεῦσαν. ᾧ δὴ καὶ μόνῳ χρησάμενος ὁ ἄνθρωπος ὤνητο τελέως, ὡς μηκέτ' ἄλλου δεηθῆναι. τό γε μὴν ἐπὶ τοῦ πριαπισμοῦ μᾶλλον ἐμετικοῖς φαρμάκοις χρῆσθαι τῶν ὑπηλάτων. ἐπὶ δὲ τῆς γλώττης ἔμπαλιν, εὔδηλον ὡς ἐκ τῆς τοῦ μορίου θέσεως ἔχει τὴν ἔνδειξιν. ἡ γὰρ ὑφ' Ἱπποκράτους ἀντίσπασις ὀνομαζομένη, τὴν εὕρεσιν, οὐκ ἀπὸ τῆς οὐσίας, ἀλλ' ἀπὸ τῆς θέσεως τοῦ θεραπευομένου λαμβάνει μορίου. Καιρὸς οὖν ἤδη μεταβαίνειν ἐφ' ἕτερον ὄγκου γένος,

ἀπὸ τοῦ πράγματος ἀρξαμένους μᾶλλον, ἢ τῆς προσηγορίας. αὕτη γὰρ ἀναμφισβήτητός τ' ἐστὶ, καὶ ὄντως ἐπιστημονικὴ διδασκαλία. τὸ μὲν οὖν ὑπάρχειν τινὰ χυμὸν ἅπασι τοῖς τοιούτοις ὄγκοις, ἐν τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων ἐπιδέδεικται γράμματι. τὸ δὲ μὴ τὸν αὐτὸν ἐν ἅπασιν εἶναι, διὰ τῆς αἰσθήσεως ἐναργῶς φαίνεται. διαφερόντων γε τῶν ὄγκων, οὐ τῇ χρόᾳ μόνον, ἀλλὰ καὶ ταῖς κατὰ θερμότητα, καὶ ψυχρότητα, καὶ σκληρότητα, καὶ μαλακότητα διαφοραῖς. ὁ μὲν οὖν ἐρυθρὸς ὄγκος, ἐναργῶς ἐνδείκνυται τὸν χυμὸν ὑπάρχειν αἷμα. καθάπερ γε καὶ ὁ ξανθὸς καὶ ὠχρὸς τὴν τοιαύτην χολήν. ὁ δ' ὑπόλευκός τε καὶ χαῦνος, τὸ φλέγμα. γίνονται δέ τινες ὄγκοι παρὰ τούσδε. τῇ μὲν χρόᾳ μεταξὺ τῶν ἐρυθρῶν τε καὶ μελάνων, οἷόν περ τὸ φαιόν ἐστι χρῶμα. καλοῦσι δ' αὐτὸ πολλάκις ἐν τοῖς τοῦ σώματος μέρεσι γινόμενον οἱ πλεῖστοι τῶν ἰατρῶν, πελιδνόν. ἡ δ' ἀντιτυπία, καὶ τούτοις τοῖς ὄγκοις ἱκανή. καὶ εἰ φλέβας ἀξιολόγους ἔχοι τὸ μόριον, ἐξαιρουμένας ἰδεῖν ἐστιν αὐτὰς ὑπὸ παχέος τε καὶ μελαντέρου τοῦ αἵματος. οἷόν περ ἐνίοτε καὶ κατὰ γαστέρα πολλοῖς τῶν ἡπατικῶν ἐκκρίνεται. καί τινες τῶν ἰατρῶν οὐ κακῶς μοι δοκοῦσιν εἰκάζειν αὐτὸ τῇ τοῖς οἴνοις ὑφιζανούσῃ τρυγί. ἐπὶ πλέον δ' οὖν ὁ χυμὸς οὗτος ἐκθερμανθεὶς, ἤτοι διὰ σῆψιν ἢ πυρετὸν φλεγμονώδη, τὴν μέλαιναν ἐργάζεται χολήν, ἧς οὔτε ζῶόν τι γεύεται μέχρι καὶ τῶν μυιῶν, ἥ τε γῆ ξύεται πρὸς αὐτῆς. ἕκαστόν τε τῶν ἀποξυθέντων μερῶν εἰς ὕψος αἴρεται. καὶ καλεῖται τὸ γιγνόμενον ὥσπερ καὶ Πλάτων ἔφη, ζέσις τε καὶ ζύμωσις. ἔστι γὰρ ὁ τοιοῦτος χυμὸς οἷόν περ τὸ ὄξος ἐδείξαμεν ὑπάρχειν, ὑφ' οὗ καὶ αὐτοῦ κατὰ γῆς ἐκχυθέντος, ταὐτὸ γίνεται σύμπτωμα. διὸ καὶ καλοῦσιν οἱ παλαιοὶ τὸν χυμὸν τὸν τοιοῦτον ὀξύν, καθάπερ τὸν τῆς ὠχρᾶς χολῆς, πικρόν. οὐχ ἥκιστα δὲ καὶ κατὰ τοὺς ἐμέτους φαίνεται τοιοῦτος. ὥσπερ δ' ὀλίγον ἔμπροσθεν ἔλεγον, ἓν μέν τοι πάθος ἀκριβῆ σκίρρον ὑπάρχειν, ᾧ πρὸς τοῖς ἄλλοις ἀναισθησία σύνεστι. τοὺς δ' ἄλλους ὄγκους ὅσοι μηδέ πω παντάπασιν εἰσὶν ἀναίσθητοι, διχῶς ὀνομάζεσθαι πρὸς τῶν ἰατρῶν ἤτοι σκίρρους, ἐπειδή του γένους εἰσὶ τῶν σκίρρων, ἢ σκιρρώδεις ὄγκους, οὕτω κἀπὶ τῶν χυμῶν. ἡ μὲν ἀναμφισβήτως μέλαινα χολή, τοιαύτη τίς ἐστιν, οἵαν ἄρτι διῆλθον, ὀξεῖα καὶ ζυμοῦσα τὴν γῆν, ἀηδής τε πᾶσι τοῖς ζώοις. ἡ δ' ἐπιτηδεία γενέσθαι τοιαύτη, καλεῖται διχῶς. ἤτοι μελαγχολικὸς χυμός, ἢ μέλαινα χολή. τῶν οὕτως ὀνομαζόντων αὐτήν, ἐρούντων ἂν ἑτέραν μὲν εἶναι μέλαιναν ἐν τῷ κατὰ φύσιν ἔχειν τῷ ζώῳ ἑκάστης ἡμέρας γινομένην, ἑτέραν δὲ τὴν ἐκ συγκαύσεως καὶ οἷον κατοπτήσεως ἀποτελουμένην. ὅπερ δ' ἀεὶ παρακελεύομαι καταφρονεῖν μὲν ὀνομάτων, ἐπιστήμην δ' ἀσκεῖν ἀκριβῆ τῆς τῶν πραγμάτων φύσεως, οὕτω καὶ νῦν ποιητέον. ὀνομάζοντας μὲν ὡς ἂν ἐθέλῃ. λόγῳ δ' ἑρμηνεύοντας, ὡς γίνονταί τινες ὄγκοι παρὰ φύσιν ὑπὸ τοῦ τοιούτου χυμοῦ τὴν φύσιν, οἷά περ ἐστὶν ἐν οἴνῳ μὲν ἡ τρύξ, ἐν ἐλαίῳ δ' ἀμόργη. καὶ ὡς οὗτοι τῷ χρόνῳ προϊόντι σηπομένου τοῦ χυμοῦ διὰ τὴν ἐν τοῖς ἀγγείοις σφήνωσιν ἑλκοῦνται. ὥσπερ οὖν τἆλλα πάθη πάντα παμπόλλην ἔχει διαφορὰν κατὰ τὸ μέρος ἐν τῷ μᾶλλόν τε καὶ ἧττον, οὕτω καὶ τοῦτο. τῆς γάρ τοι φλεγμονῆς ἡ μὲν, ἐξέρυθρός ἐστιν, ἡ δ' ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν ἐρυθροτέρα. τὸ δ' οὖν εἶδος ἢ γένος, ἢ ὅπως ἂν ἐθέλοις ὀνομάζειν, ἀμφοτέραις ταὐτόν. ἐρυθρότεραί τε γάρ εἰσι τοῦ κατὰ φύσιν. ὀδύνη τε πάντως αὐταῖς σύνεστι, παμπόλλην ἔχουσα καὶ ἥδε διαφορὰν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. οὕτω δὲ καὶ ἡ ἀντιτυπία καὶ ἡ τάσις τοῦ δέρματος, οὐκ ἴση πάσαις, ἀλλὰ κοινόν γ' ἐπ' αὐτῶν ἀντιτυπώτερον εἶναι τὸ μέρος, ἢ πρόσθεν ἦν, ὅτ' εἶχε κατὰ φύσιν, ἐξήρθη τε εἰς ὄγκον τινὰ συνεκτεινομένου τε καὶ παρατεινομένου τοῦ δέρματος εἰς ὅσον ἂν ὁ ὄγκος αἴρηται. οὕτως οὖν καὶ τὸ νῦν ἡμῖν ἑρμηνευόμενον πάθος, ἐνίοτε μὲν ἀμυδρὰ καὶ σμικρὰ τὰ συμπτώματα, καὶ λαθεῖν πως δυνάμενα τοὺς πολλούς, ἐπιφέρει. πολλάκις δ' οὕτως ἰσχυρὰ καὶ μεγάλα καὶ σαφῆ πᾶσιν, ὡς μηδὲ παῖδα λαθεῖν. ἀλλὰ τό γε κοινὸν ἐν ἅπασι τοῖς κατὰ μέρος ἐφ' ἑαυτὰ καλοῦν τὴν νόησιν, ἕν γε νόσημα τὸ τοιοῦτον ἐνδείκνυται, καὶ προσηγορίαν μίαν ἐπ' αὐτῷ ἀναγκάζει τίθεσθαι. μεγάλων μὲν οὖν ἁπάντων ὄντων, οὐδεὶς ἀμφισβητεῖ τῆς προσηγορίας, ἀλλ' ὀνομάζουσι συμφώνως τὸ τοιοῦτον πάθημα καρκίνον. ἀρχόμενον δ' ἔτι λανθάνειν, εἰκός ἐστι τοὺς πολλοὺς ὥσπερ ἀμέλει καὶ τὰ τῆς γῆς ἀνίσχοντα φυτά. καὶ γὰρ καὶ ταῦτα μόνοις τοῖς ἀγαθοῖς γεωργοῖς διαγινώσκεται. τίς οὖν ἥ τε κοινὴ καὶ ἰδία τῆς θεραπείας ἔνδειξις ἐπὶ καρκίνου, καιρὸς ἤδη λέγειν. ἡ μὲν κοινή, κενῶσαι μὲν ἐν τῷ παραχρῆμα τὸν γεννῶντα τὸ πάθος χυμόν, ὁμοίῳ γένει κενώσεως τῇ τῶν ἄλλων ὄγκων ἔμπροσθεν εἰρημένῃ. κωλῦσαι δὲ τοῦ λοιποῦ μάλιστα μὲν οἷόν τε μηδ' ἀθροίζεσθαι κατὰ τὰς φλέβας τοιοῦτον χυμόν. εἰ δὲ μή, ἀλλὰ κενοῦντι πάντως αὐτὸν ἐκ διαλειμμάτων ἅμα καὶ τῷ ῥωννύειν τὸ μόριον ἵνα μηδὲν φέρηται πρὸς αὐτὸ τῆς τῶν χυμῶν περιουσίας. ὥσπερ οὖν τὸν πικρόχολον χυμὸν ἐκκενοῦμεν καθαίροντες φαρμάκῳ τοιοῦτον ἕλκειν ἐπιτηδείῳ χυμόν, οὕτω καὶ τὸν μελαγχολικὸν ἐκκενώσομεν. ἢ διὰ τῶν ἁπλῶν τινὸς οἷόν ἐστι τὸ ἐπίθυμον, οὗ πλῆθος δραχμῶν τεττάρων ἐν ὀρρῷ γάλακτος, ἢ μελικράτῳ δίδομεν, ἢ τινὸς τῶν συνθέτων οἷόν περ ἐστὶ καὶ τὸ ἡμέτερον συγκείμενον ἐκ δυοῖν καὶ τριάκοντα ἁπλῶν φαρμάκων. ἀλλὰ τὴν μὲν τούτων ὕλην, ἐν ἑτέροις ἔχεις γεγραμμένην. ἐνταῦθα δέ, τὰ τῆς μεθόδου λεγέσθω. μετὰ γὰρ οὖν τὴν κάθαρσιν ἐπὶ πάντων τούτων ἐρρέθη πρόσθεν, ὡς ἤτοι γ' ὀπίσω χρὴ διώσασθαι τὸν κατασκήψαντα χυμὸν εἴς τι μόριον, ἢ διαφορῆσαι. καὶ ὡς κατ' ἀρχὰς μὲν ἔν τε τῷ τῆς καθάρσεως καιρῷ, καὶ πρὸ αὐτῆς ἀπωθεῖσαι, διαφορεῖν δὲ προκαθάραντα ἀκριβῶς ὅλον τὸ σῶμα. μετρίας μὲν οὖν γε τῆς καθάρσεως γενομένης, μικτὸν εἶναι χρὴ τὸ προσφερόμενον φάρμακον, ἐκ διαφορούσης τε καὶ ἀποκρουομένης δυνάμεως. ἑκάτεραι δ' εἰσὶν ἄπρακτοι περὶ τὸν παχὺν χυμόν. αἱ μὲν γὰρ ἀσθενεῖς αὐτῷ, τῷ μηδὲν ἐργάζεσθαι μέγα. αἱ δ' ἰσχυραί, τῷ σφοδρῶς μὲν ἤτοι διαφορεῖν, ἢ ἀπωθεῖσθαι τὸ λεπτότερον ἐν τῷ κατὰ τὰς φλέβας αἵματι. τὸ δὲ παχὺ καὶ μελαγχολικόν, ὃ τῇ τρυγὶ προσεικάζομεν, οὔτ' ἐκκενοῦν, οὔτ' ἀποκρούεσθαι. τούτοις οὖν χρωμένῳ κατ' ἀρχὰς μὲν ἧττον ὁ ὄγκος ἐπίδηλος ἔσται, τὸ λείψανον δ' αὐτοῦ δύσλυτον ἀπεργασθήσεται. διὸ τῶν συμμέτρων ταῖς δυνάμεσι φαρμάκων ἐστὶ χρεία. μήτε νικωμένων διὰ τὴν ἀσθένειαν, μήτε παχυνόντων ἰσχυρῶς τὸ αἷμα, διὰ τὸ σφοδρὸν τῆς ἐνεργείας, ἔτι δὲ πρὸς τούτοις ἀδήκτων παντάπασιν. ἡ γὰρ κακοήθεια τοῦ πάθους, ὑπὸ τῶν δακνόντων παροξύνεται, καὶ ὥσπερ εἰώθασι λέγειν, ἀγριοῦται. διὰ τοῦτ' οὖν ὅσα σύμμετρα μέν ἐστι, ταῖς δυνά-

μεσιν. ἄδηκτα δὲ, ταῖς ποιότησιν, ἁρμόττει τοῖς τοιούτοις πάθεσιν. εὐπορία δὲ τῆς ὕλης αὐτῶν, ὡς ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν ἐδείχθη, διὰ τῶν κεκαυμένων καὶ πεπλυμένων μεταλλικῶν ἐστι. τὰ μὲν γὰρ διὰ τούτων συγκείμενα φάρμακα, μεγάλως τοὺς ἀρχομένους καρκίνους ἅμα ταῖς καθάρσεσιν ἰᾶσθαι δύναται. τοὺς μείζονας δ' ἱκανὸν αὐτοῖς ἐστι κωλύειν αὐξηθῆναι. τούς γε μὴν ἰαθέντας, ὅπως μηκέτι γεννηθῶσι προφυλάξασθαι, τῆς ὑγιεινῆς ἐστι πραγματείας ἔργον, ἧς μόριόν ἐστι καὶ ἡ περὶ τῶν ἐδεσμάτων. εἴ γε μὴν ἐγχειρήσεις ποτὲ διὰ χειρουργίας ἰᾶσθαι καρκίνον, ἄρξαι μὲν κἀνταῦθα ἀπὸ καθάρσεως τοῦ μελαγχολικοῦ χυμοῦ. περικόψας δὲ πᾶν ἀκριβῶς τὸ πεπονθὸς ὡς μηδὲ μίαν ἀπολείπεσθαι ῥίζαν, ἔασον ἐκχυθῆναι τὸ αἷμα, καὶ μὴ ταχέως ἐπίσχῃς, ἀλλὰ καὶ θλίβε τὰς πέριξ φλέβας ἐκπιέζων αὐτῶν τὸ παχὺ τοῦ αἵματος. εἶτα θεράπευε τοῖς ἄλλοις ἕλκεσι παραπλησίως. ἔστι γε μὴν καὶ ἄλλο πάθος ὑπὸ χυμοῦ παχέος τε καὶ ζέοντος γινόμενον. ἄρχεται δὲ τὰ πολλὰ μὲν ἀπὸ φλυκταίνης. ἐνίοτε δὲ, καὶ χωρὶς ταύτης. ἀλλὰ κνᾶταί γε πάντως ἐν ἀρχῇ τὸ μόριον. εἶτ' ἀνίσταται φλυκταινάτις, ἧς ῥηγνυμένης, ἕλκος ἐσχαρῶδες γίνεται. πολλάκις δ' οὐ μία φλύκταινα γεννᾶται κνησαμένων, ἀλλὰ πολλαὶ μικραὶ, καθάπερ τινὲς κέγχροι, καταπυκνοῦσαι τὸ μέρος. ὧν ἐκρηγνυμένων ὁμοίως, ἐσχαρῶδες ἕλκος γεννᾶται. κατὰ δὲ τοὺς ἐπιδημήσαντας ἄνθρακας ἐν ἀσίᾳ, καὶ χωρὶς φλυκταίνων ἐνίοις εὐθέως ἀπεδάρη τὸ δέρμα. ἅπασιν οὖν, ὡς ἔφην, ἕλκος ἐσχαρῶδες γίνεται. ποτὲ μὲν τεφρώδους ἐσχάρας. ποτὲ δὲ, μελαίνης. ἥ τε πέριξ ἅπασα αὐτοῖς σὰρξ εἰς ἐσχάτην ἀφικνεῖται φλόγωσιν. οὐ μὴν τῇ χρόᾳ γ' ἔοικεν ἐρυσιπέλατι, ἀλλ' ἔτι καὶ τῆς φλεγμονῆς ἐπ' αὐτῷ γίνεται τὸ χρῶμα μελάντερον, ὡς εἰ καὶ μίξαις ἐρυθρῷ πλέονι τοῦ μέλανος ἔλαττον. ὅτι δὲ πυρέττουσιν οἱ οὕτως ἔχοντες ἐξ ἀνάγκης, οὐδὲν ἧττον, ἀλλ' ἔτι καὶ μᾶλλον ἐκείνων οἷς ἐρυσιπελατώδης ἐστὶν ἡ φλεγμονὴ, πρόδηλον παντί. καὶ μὲν δὴ καὶ ὡς ἀπὸ φλεβοτομίας ἀρκτέον ἐστὶ τῆς ἰάσεως, οὐδὲ δῆλον εἶναι νομίζω τοῖς μεμνημένοις ὅσα περὶ φλεβοτομίας εἴρηται κατὰ τὴν τῶν πυρετῶν θεραπείαν. οὐκ ἄδηλον δ' οὐδ' ὅτι μέχρι λειποθυμίας ἐπ' αὐτῶν ἡ κένωσις γινομένη, μειζόνως ὠφελήσει, πλὴν εἰ μή τι τῶν ἄλλων τι παρείη τῶν κωλυόντων φλεβοτομεῖν. ἐπὶ δὲ τοῦ πεπονθότος μέρους ὅσον μὲν ἐπὶ τῇ φλογώσει τῶν χυμῶν, τῶν ψυχόντων ἐστὶ χρεία. διὰ δὲ τὸ πάχος τοῦ χυμοῦ, καὶ μέντοι καὶ τὴν κακοήθειαν, οὔτ' ἀποτρέψεις ποτὲ τὸ ῥεῦμα. καὶ εἰ τοῦτο ποτὲ τύχοις, ἕτερόν τι ἐν τῷ βάθει βλάψεις. οὐ μὴν οὐδ' ἐπιρρεῖν αὐτῷ συγχωρητέον ἐστὶν, ἀλλ' εὑρίσκειν φάρμακα μετὰ τοῦ μετρίως ἀποκρούεσθαι καὶ διαφορεῖν δυνάμενα. τοιοῦτον δ' ἐστὶ τό, τε δι' ἀρνογλώσσου κατάπλασμα, καὶ τὸ δι' ἑφθῆς φακῆς ἄρτου κλιβανίτου, μιγνυόντων ἡμῶν αὐτοῖς ὅσον ἁπαλόν. ἔστω δὲ καὶ πάνυ καθαρὸς, ὥσπερ οὐδὲ ῥυπαρός γε ἄγαν. ὁ μὲν γὰρ ἀκριβῶς καθαρὸς, ἐμπλαστικωτέρας οὐσίας ἐστίν. ὁ δὲ πιτυρίας, ἁδρομερεστέρας. κατ' αὐτοῦ δὲ τοῦ ἕλκους ἐπιτιθεμένου τινὸς τῶν ἰσχυρῶν φαρμάκων, οἷόν ἐστι τὸ Ἀνδρώνος, ἢ Πασίωνος, ἢ Πολυείδου, λύοντα μετά τινος τῶν γλυκέων οἴνων αὐτὰ, μέχρι γλοιώδους συστάσεως. κάλλιστοι δὲ οἴνων εἰς τοῦτο, θηραῖός τε καὶ σκυβελίτης ἐστίν. ὧν μὴ παρόντων, σιραίῳ χρηστέον, ὃ καλεῖται παρ' ἡμῖν, ἕψημα. τὰ δὲ τοῖς ἄλλοις ἕλκεσι προσφερόμενα φάρμακα, πέττοντά τε καὶ διαπυΐσκοντα, ταῦτα οὐ χρὴ νῦν προσφέρειν. αὐξήσεις γὰρ τὴν σηπεδόνα τοῦ μορίου. καὶ μὴν καὶ ἀποχαράζειν τοὺς τοιούτους ὄγκους, ὅταν γε προφλεβοτομήσῃς οὐκ ἀνεπιτήδειον. ἔστωσαν δὲ βαθύτεραι τῶν συμμέτρων αἱ ἀμυχαὶ, διὰ τὸ πάχος τοῦ λυποῦντος χυμοῦ. παυσαμένης δὲ τῆς φλογώσεως, ὁμοίως τοῖς ἄλλοις ἕλκεσιν εἰς οὐλὴν ἄξεις τὸ ἕλκος. ἀρκεῖν ἡγοῦμαι καὶ περὶ τῶν ἀνθράκων εἰρῆσθαι τοσαῦτα. τῶν δ' ἄλλων ὄγκων ἐφεξῆς μνημονεύσω. καὶ πρῶτόν γε τῶν καλουμένων χοιράδων. γίνονται δ' αὗται, σκιρρουμένων ἀδένων. καὶ ἡ θεραπεία γ' αὐτῶν, ὅσον μὲν ἐπὶ τῷ πάθει, κοινὴ τοῖς ἐν ἄλλῳ τινὶ μέρει γινομένοις σκίρροις. ὅσον δ' ἐπὶ τῇ φύσει τοῦ μορίου κατά τινας ἀδένας, ἑτέρους προσλαμβάνει σκοποὺς διττούς. ἄμεινον δ' ἴσως κἀνταῦθα διαστείλασθαί τι περὶ τῶν ὀνομάτων, ἕνεκα σαφοῦς διδασκαλίας. ἔνιοι μὲν γὰρ ἀδένες ἀγγείων σχιζομένων ἀναπληροῦσι τὸ ἐν μέσῳ στήριγμα γινόμενοι τῆς σχίσεως αὐτῶν, οὐ μεγάλη τούτων ἡ χρεία τοῖς ζώοις ἐστίν, ἀλλ' ἐκ περιττῆς μὲν προνοίας, ὥσπερ ἄλλα πολλά, τοὺς τοιούτους ἀδένας ἡ φύσις ἐδημιούργησε. τῶν δ' ἤτοι σίελον ἢ γάλα παρασκευαζόντων, ἢ σπέρμα, καὶ μέντοι καὶ ἔνιοι φλεγματώδη τινὰ γεννῶσιν ὑγρότητα, κατὰ μεσεντέριον ἢ φάρυγγα καὶ λάρυγγα μείζων ἡ χρεία. καί τινες οὐδὲ ἀδένας ὀνομάζουσι τοὺς τοιούτους, ἀλλ' ἀδενώδη σώματα, πολὺ τῶν ἄλλων ἀδένων ἀραιότερά τε καὶ σπογγοειδέστερα τὴν οὐσίαν ὄντα. καὶ μέντοι καὶ καθήκουσιν εἰς τοὺς τοιούτους ἀδένας, ἀρτηρίαι τε καὶ φλέβες αἰσθηταί. σκιρρωθέντας τε θεραπευτέον αὐτοὺς ὡσαύτως τοῖς ἄλλοις ἅπασι μορίοις. ἔνιοι δ' ἐν ταῖς μεταξὺ χώραις τῶν ἀγγείων εἰσὶν, ἕτερος ἐν τούτοις προσέρχεται σκοπὸς τῆς ἰάσεως. ἐν ᾧ συναιρεῖται τῷ πάθει τὸ μέρος. ἔστι δὲ καὶ αὐτὸς οὗτος, διττός. ἤτοι γ' ἐκκοπτόντων ἡμῶν σμίλῃ τὸ πεπονθὸς ὅλον, ὡς ἐπὶ τῶν καρκίνων. ἢ σηπόντων φαρμάκοις. ἥτις δ' ἐστὶν ἡ τῶν τοιούτων φαρμάκων ὕλη, κατὰ τὰς περὶ τῶν φαρμάκων πραγματείας ἔχεις. Ἐμοὶ δ' ἤδη καιρὸς ὑπὲρ τῶν ἄλλων ὄγκων εἰπεῖν, ὧν πρῶτός ἐστι τὸ καλούμενον ἀπόστημα. διττὸν δὲ καὶ τούτου τὸ γένος. ἐν μὲν ὅταν ἐκπυησάσης φλεγμονῆς ἀθροισθῇ τὸ πῦον, οἷον ἐν κόλπῳ τινί. τὸ δ' ἕτερον ἄνευ φλεγμονῆς προηγησαμένης ὑγροῦ τινὸς εὐθὺς ἐξ ἀρχῆς, ἄλλοτε μὲν ἄλλου κατ' εἶδος. ἀλλὰ πάντως γε μὴν δριμέος ἀθροιζομένου κατά τι μόριον. ὑποδέρει δὲ τοῦτο τὰ περικείμενα σώματα. χώραν δὲ αὑτῷ παρασκευάζων ἤτοι μεταξὺ δυοῖν χιτώνων, ἢ ὑπό τισιν ὑμέσιν. ὑποδέρει δὲ πάντως μὲν τῷ πλήθει διατείνων. ἔστι δ' ὅτε ἐν τῷ χρόνῳ δριμύτητά τινα σηπεδονώδη προσλαμβάνων. εὑρίσκονται δὲ διαιρουμένων σμίλῃ τῶν τοιούτων ἀποστημάτων ἰδιότητες, οὐχ ὑγρῶν μόνων, ἀλλὰ καὶ στερεῶν τινῶν σωμάτων οὐκ ὀλίγαι. καὶ γὰρ ὀνύχων καὶ ὀστῶν καὶ ὀστράκων καὶ λίθων καὶ πώρων θραύσμασιν εὑρέθη τινὰ σώματα παραπλήσια. καὶ μέν τοι καὶ τῶν ὑγρῶν αὐτῶν, τὸ μὲν οἷον βόρβορος. ἢ πηλὸς ἢ ἐλαίου τὶς ἰλὺς, ἢ οἴνου τρύξ. τὸ δ' οὕτω δυσῶδες, ὡς δυσχεραίνειν ἅπαντας. ἀλλὰ ταῦτα μὲν ἐστὶ σπανιώτερα. συνηθέστατα δὲ γιγνόμενα τοῦ γένους τοῦδε τῶν νοσημάτων εἴδη ἐστὶ τρία, προσηγορίας ἕκαστον αὐτῶν ἰδίας τετυχηκὸς, ἀθέρωμα καὶ μελικηρὶς καὶ στεάτωμα ἀπὸ τῆς ὁμοιότητος τῶν περιεχομένων οὐσιῶν κατὰ

περὶ τοὺς ὄγκους. ἔστι γὰρ αὐτῶν ἡ μέν τις οἷόν περ τὸ στέαρ. ἡ δὲ οἷον μέλι. καί τις ἀθέρῃ παραπλήσιος. οἱ σκοποὶ δὲ τῆς θεραπείας κοινοὶ διαφορῆσαι τὸ περιεχόμενον, ἢ σῆψαι πᾶν, ἢ ἐκτεμεῖν. ἔνιοι μὲν οὖν ὄγκοι τοῖς τρισὶν ὑποπίπτουσι σκοποῖς, ὅσοι λεπτότερον ὑγρὸν ἔχουσιν ὡς ἡ μελικηρίς. ἔνιοι δὲ τοῖς δύο μόνοις, ὥσπερ τὸ ἀθέρωμα. καὶ γὰρ ἐκτεμεῖν, καὶ σῆψαι οἷόν τε τοῦτο. τὸ δὲ στεάτωμα διὰ χειρουργίας μόνης θεραπεύεται, μήτε σαπῆναι μήτε διαφορηθῆναι δυνάμενον. ἐπὶ δὲ τῶν ἐν βάθει συνισταμένων ἀποστημάτων, καὶ μάλιστα περὶ τὰ σπλάγχνα, τὰ διὰ τῶν ἀρωμάτων φάρμακα λυσιτελέστατά εἰσιν, ὧν ἡ δύναμις, εἰς ἀτμούς τε λῦσαι καὶ διαφορῆσαι τὸ συνιστάμενον ὑγρόν. ἔστι δὲ καὶ ἄλλα πολλὰ μὲν τοιαῦτα. μάλιστα δὲ αὐτῶν εὐδόκιμα, τό, τε διὰ τῶν ἐχιδνῶν, ὅπερ ὀνομάζουσι θηριακὴν ἀντίδοτον ἥτ' ἀθανασία καλουμένη, καὶ ἀμβροσία. ταῦτα μὲν οὖν πολυτελῆ. τῶν δ' εὐτελῶν, ἄριστόν ἐστιν τὸ ἡμέτερον, ὃ διὰ τῆς κρητικῆς καλαμίνθης σκευάζομεν. ἅπαντα δὲ τὰ τοιαῦτα κατὰ τὴν περὶ τῶν φαρμάκων πραγματείαν ἀθροιζόμενα ἢ ὀλίγον ἔμπροσθεν ἔφην, ἐπὶ ταῖς τρισὶ ταῖς ἔμπροσθεν, ἄμεινον εἶναι νομίζω προσθεῖναι, χάριν τοῦ λείπεσθαι μηδέν. ἐπεὶ δὲ τῶν κατὰ τὴν χειρουργίαν πραττομένων οἱ σκοποὶ τὸ μέν τι κοινὸν ἔχουσι, τὸ δ' ἴδιον, ἄμεινον εἶναί μοι δοκεῖ, μὴ διασπᾶν αὐτούς, ἀλλ' ἀθρόως ἅπαντας ἐν τοῖς τελευταίοις τῆσδε τῆς πραγματείας εἰπεῖν. νυνὶ δὲ τοσοῦτον ἔτι περὶ τῶν παρὰ φύσιν ὄγκων ῥητέον ἐστίν, ὡς ὅσοι μὲν αὐτῶν ὅλῳ τῷ γένει παρὰ φύσιν εἰσί, ἐνδείκνυνται τὴν ἄρσιν ὑπαγόμενοι κοινοτέρῳ σκοπῷ τῷ κατὰ πάντων ἐκτεταμένῳ τῶν τοιούτων ὅσα ταῖς οὐσίαις ὅλαις ἐξέστηκε τοῦ κατὰ φύσιν, ὥσπερ ἐπὶ τῶν στεατωμάτων καὶ ἀθερωμάτων ἔχει. τούτου δὲ γένους ἐστί, καὶ ἡ καλουμένη μυρμηκία. καὶ ἡ ἀκροχορδών. ὅ, τ' ἐν τῇ κύστει λίθος, ὑπόχυμά τε, καὶ ἡ τῆς μύλης κύησις ἐπὶ γυναικῶν, ὀνομάζουσι δ' οὕτω τὴν ἀδιάπλαστον σάρκα. πάντα γὰρ τὰ τοιαῦτα τελέως ἐκκόψαι σπεύδομεν. ὧν καὶ ὁ πεπονθὼς τόπος, ἕν τι κατὰ φύσιν ἐστὶ μορίων. ὁ μὲν πρῶτος σκοπὸς ἰᾶσθαι τὸ πάθος. ὁ δ' ἐπ' αὐτῷ δεύτερος, ὅταν ἀνίατον ᾖ συνεκκόψαι τῷ πάθει τὸ μέρος, ὡς ἐπὶ καρκίνου τε καὶ τῶν ἀθεραπεύτων ἁπάντων ἑλκῶν. ἔμπαλιν δ' ὡς ἐπὶ τῶν ὑποχυμάτων, ἀποπίπτοντες τοῦ πρώτου σκοποῦ. πρὸς ἕτερον ἄγομεν αὐτὰ τόπον ἀκυρώτερον. ἔνιοι δὲ καὶ ταῦτα κενοῦν ἐπεχείρησαν, ὡς ἐν τοῖς χειρουργουμένοις ἐρῶ. νυνὶ δ' ἀρκέσει τοσοῦτον εἰπεῖν, ὡς τὸ κατὰ τὰς ὑδροκήλας ὑγρὸν ἀλλότριόν ἐστι τῆς τοῦ σώματος οὐσίας ὅλῃ τῇ φύσει. καὶ τὸ κατὰ τοὺς ἀσκίτας ὕδερους ὕδωρ. ὧν ἡ κένωσις, ἤτοι διὰ φαρμάκων γίγνεται διαφορητικῶν, ἢ διὰ χειρουργίας. ἐπὶ μὲν τῆς ὑδροκήλης, διὰ καθέσεως σίφωνος. ἐπὶ δὲ τῶν ὑδέρων, διὰ παρακεντήσεως. συνεκτέμνεται δὲ τῷ πάθει τὸ πεπονθὸς μόριον, ὥσπερ ἐπὶ τῶν ἔμπροσθεν εἰρημένων, οὕτω κἀπὶ τῶν κηλητῶν τοῦ περιτοναίου τι μέρος. ὡσαύτως δὲ καὶ ὁ γαργαρεών, ἐνίοτε τῷ πάθει συνεκτέμνεται. κατά τε τὰ σκέλη καὶ τοὺς ὄρχεις, αἱ φλέβες τοῖς κιρσοῖς. ὅ, τ' ἐν τῇ ῥινὶ χιτών, τῷ πολύπῳ, καὶ ὁ τετρημένος ὀδούς, τῷ τρήματι. ἀλλὰ τούτων μὲν οὐδὲν δυνατόν ἐστιν εἰς τὸ κατὰ φύσιν ἀγαγεῖν. ἐπὶ δὲ τοῦ γαργαρεῶνος, ἐργάζεσθαι χρὴ τοῦτο παντὶ τρόπῳ καὶ μὴ σπεύδειν ἐκτεμεῖν. ὅταν δὲ ἰσχνὸς καὶ ἱμαντώδης γένηταί ποτε τηνικαῦτα ἀφαιρεῖν. τοιοῦτον μὲν οὖν αὐτὸν ἐργάζεται χρόνος μακρότερος. οἷον δ' Ἱπποκράτης ἔγραψε κατὰ τὸ προγνωστικόν, ὀλίγων ἡμερῶν ἀριθμός. οὕτω δὲ καὶ τἄλλα τὰ κατὰ μέγεθος ἐξιστάμενα τοῦ κατὰ φύσιν. ἐν οἷς ἐστι καὶ τὰ ὑπερσαρκοῦντα πάντα, καὶ ἐγκανθίδες. οἵ τε κατὰ τὴν ἕδραν ὀνομαζόμενοι θύμοι. τινὰ δὲ τῶν τοιούτων ἑλκῶν, ἐπαμφοτερίζει ταῖς ἰδέαις. ὥσπερ αἵ τε πολὺ τοῦ πέριξ δέρματος ἐξέχουσαι τῶν οὐλῶν, καὶ τὰ κατὰ τοὺς ὀφθαλμοὺς πτερύγια. τῆς γε μὴν ἰάσεως ἐπ' αὐτῶν ὁ σκοπός, πρόδηλος. ἐκκόπτεσθαι γὰρ δεῖ τὰ τοιαῦτα πάντα. καὶ χρὴ σκοπούμενον ἀεὶ τοὺς τρόπους τῆς ἀναιρέσεως, ἐπὶ τὸν ἄριστον ἐξ αὐτῶν ἰέναι. σκοποὶ δ' εἰσὶ τῆς κρίσεως τῶν ἀρίστων, τρεῖς ἥ τε τοῦ χρόνου τῆς θεραπείας βραχύτης, τό, τ' ἀνωδύνως αὐτὴν ἐργάζεσθαι. καὶ τρίτος ἐπὶ τούτοις, ἡ ἀσφάλεια. καὶ αὐτῆς τῆς ἀσφαλείας, ἴδιοι σκοποὶ τρεῖς. εἷς μὲν καὶ πρῶτος, ὡς τυχεῖν τοῦ τέλους πάντως. ἕτερος δέ, τὸ κἂν ἀποτυγχάνωμέν ποτε τοῦ τέλους, ἀλλὰ μηδέν γε βλάψαι τὸν κάμνοντα. καὶ τρίτος, ὡς μὴ ῥᾳδίως ὑποτροπιάσαι τὸ νόσημα. κατὰ ταῦτά σοι κρίνοντι τὴν ἀρίστην ὁδὸν τῆς ἰάσεως ἐπὶ πάντων τῶν νῦν ἡμῖν προκειμένων, εὑρεθήσεται ποτὲ μὲν ἡ διὰ τῆς χειρουργίας αἱρετωτέρα. ποτὲ δέ, ἡ διὰ τῶν φαρμάκων. ἡ μὲν οὖν διὰ τῆς χειρουργίας, ἔν γε τοῖς νῦν ἡμῖν προκειμένοις ἐπὶ τὴν ἀναίρεσιν αὐτῶν σπεύδει τελέως ἐκκόψαι τοῦ ζώου τὸ παρὰ φύσιν ὅλῳ τῷ γένει προαιρουμένη. τούτου δ' ἀποτυγχάνουσα τοῦ σκοποῦ, δεύτερον ἔχει τὸν τῆς μεταθέσεως ἐπὶ τῶν ὑποχυμάτων. ἡ δὲ διὰ τῶν φαρμάκων, πρώτῳ μὲν χρῆται σκοπῷ κενῶσαί τε καὶ διαφορῆσαι τὸ παρὰ φύσιν. εἰ δ' οὗτος ἀδύνατος εἴη διὰ τὴν τοῦ μορίου φύσιν, ἢ καὶ τὸ τοῦ πάθους ἀνίατον ἐκπυῆσαί τε καὶ διασῆψαι. δεύτερος δ' ἐπ' αὐτῶν σκοπὸς οὗτος. οὕτω γοῦν κἀπὶ τοῦ γαργαρεῶνος ποιοῦμεν, εἰς τὸ κατὰ φύσιν μὲν πρῶτον ἐπανάγοντες αὐτόν. εἰ δ' ἀποτύχοιμεν τούτου, τελέως ἐκκόπτοντες, ἤτοι διὰ χειρουργίας, ἢ διὰ φαρμάκων καυστικῶν ἀλλὰ τὰ μὲν φάρμακα, κάλλιον εἰς τὴν περὶ τῶν φαρμάκων ἀναβάλλεσθαι πραγματείαν, ἐπειδὴ τετάρτην ἄλλην ἄμεινον ἔδοξεν ἐπὶ τρισὶ πραγματεύεσθαι. τὴν δὲ χειρουργίαν ἐπὶ τῇ τελευτῇ τάξαι τῆσδε τῆς πραγματείας. οὐκοῦν ἔτι χρὴ διατρίβειν ἐν τοῖσδε. μεταβῆναι δὲ πρὸς τὰ παραπλήσια ἰάσεως δεόμενα τοῖς εἰρημένοις. ἔστι δὲ ταῦτα. τά θ' ὑπερβάλλοντα τοῦ προσήκοντος ἐν ἀριθμῷ τε καὶ πηλικότητι, καὶ τὰ κατ' ἄμφω ταῦτα ἐνδέοντα. νυνὶ μὲν οὖν ὠνόμασα τοῦ προσήκοντος. εἰ δὲ καὶ τοῦ συμφέροντος, ἢ κατὰ φύσιν, ἢ χρησίμου ποτ' εἴποιμι, τὴν αὐτὴν ἕξει δύναμιν ὁ λόγος. εἴρηται μὲν ἑτέρωθι περὶ τῶνδε μακρότερον. ἀναμνῆσαι δὲ καὶ νῦν ἐπὶ κεφαλαίων ἅπαντα, ἄμεινον εἶναί μοι δοκεῖ. πρῶτον τῶν κατὰ τὸ σῶμα πάντων ἐστὶν οὗ μάλιστα χρῄζομεν, ἡ τῶν μορίων ἀόχλητος ἐνέργεια. ταύτην τε ἔχοντος φύσει, διὰ τοῦτο συνήθως λέγομεν ὀρέγεσθαι τοῦ κατὰ φύσιν ἐνεργεῖν. ἐπεὶ δὲ τοῦτο αὐτὸ συνῆπται τῷ κατὰ φύσιν ἔχειν, εἰκότως οὐδὲν ἡγούμεθα διαφέρειν, ἢ κατὰ φύσιν ἔχειν εἰπεῖν, ἢ κατὰ φύσιν ἐνεργεῖν. ἀλλὰ καὶ χωρὶς προσθήκης ἐνίοτε λέγομεν ἐφίεσθαι τοῦ κατὰ φύσιν, ὑπακουομένου τῇ λέξει τοῦ ἔχειν, ἢ ἐνεργεῖν, ἢ ἀμφοτέρων. αὕτη μὲν ἡ αἰτία, τοῦ καλῶς εἰθίσθαι τοῖς ἰατροῖς τῇ τοῦ κατὰ φύσιν χρῆσθαι φωνῇ περὶ πάντων ὧν αἱρούμεθα κατὰ τὸ σῶμα. μαθεῖν δ' ἐστίν, ὅτι μὴ πρῶτον μὴ δὲ

αὐτὸ τὸ κατὰ φύσιν ἡμῖν ἐστὶν αἱρετέον, ἀλλὰ δευτέρως τε καὶ κατὰ συμβεβηκός, ἐν οἷς ἡ φύσις ἀποτυγχάνει. καὶ γὰρ ἕκτος δάκτυλος, εὐθὺς ἐξ ἀρχῆς συνεγεννήθη τισί, καὶ λείπων πέμπτος ἐγένετο. καί τινα τοιαῦτα ἕτερα. τὰ μὲν ἀριθμῷ. τὰ δὲ, μεγέθει τοῦ προσήκοντος ἐσφαλμένα. καὶ εἴπερ συνεχῶς μὲν ταῦτα, σπάνια δ᾽ ἐγίνετο τὰ κατορθώματα, τοὐναντίον ἂν ἐπὶ τῶν τῆς φύσεως ἔργων ἐπράττομεν, οὐ φυλάττοντες ὥσπερ νῦν, ἀλλ᾽ ἀναιροῦντες αὐτά. οὗτος ὁ λόγος ἀεί σοι μνημονευέσθω, διαφέρων εἰς τὴν τῶν ὀνομάτων χρῆσιν ἐξαπατῆσαι δυναμένων τοὺς ἀσκέπτους. ἐμποιῆσαί τε διαφωνίας φαντασίαν. ἐὰν ὁ μέν τις λέγῃ, τὸ παρὰ φύσιν ἅπαν ἐκκόπτειν δεῖν. ὁ δὲ, τὸ βλάπτον ἢ ἀσύμφορον ἢ λυμαινόμενον ταῖς ἐνεργείαις. αὖθις οὖν ἀναλαβόντες ὑπὲρ τῶν πραγμάτων λέγωμεν. ἐπειδὴ τὰ τῶν ὀνομάτων ἡμῖν διώρισται, τὴν ἀρχὴν τοῦ λόγου τήνδε ποιησάμενοι, παράκειται τοῖς εἰρημένοις νοσήμασι, τὰ κατ᾽ ἀριθμὸν ἢ μέγεθος ἐξεστῶτα τοῦ προσήκοντος. ἐφ᾽ ὧν ἐκκόπτειν μὲν χρὴ, τὸ περιττὸν, ἤτοι κατὰ μέγεθος, ἢ κατ᾽ ἀριθμὸν, ἀνατρέφειν τε καὶ κατασκευάζειν τὸ λεῖπον, ὅταν γε δυνατὸν ᾖ τοῦτο πρᾶξαι. τὸν γάρ τοι πέμπτον δάκτυλον, ἢ τοιοῦτόν τι μόριον ἕτερον, οὐχ οἷόν τε γεννῆσαι τοῖς ἰατροῖς, ἀλλ᾽ ἔστι μόνης τῆς φύσεως ἔργα τὰ τοιαῦτα πάντα. τὸ μέν τοι τελέως ἀφαιρεῖν τὸ κατ᾽ ἀριθμὸν ὑπερβάλλον, ἢ ἀποκόψαι τι τοῦ κατὰ τὸ μέγεθος ὑπεραυξηθέντος, οὐδ᾽ ἡμῖν ἀδύνατον. ἐν γοῦν ἐστι τῶν ἰατρικῶν ἔργων οὐ τὸ φαυλότατον, ὅταν εἰς πολυσαρκίαν ἐκτραπῇ τὸ σῶμα τοσαύτην, ὥστε μὴ δὲ βαδίζειν ἀλύπως δύνασθαι, μὴ δ᾽ ἅψασθαι τῆς ἕδρας, διὰ τὸν ὄγκον τῆς γαστρὸς, ἀλλὰ μὴ δ᾽ ἀναπνεῖν ἀκωλύτως, ἐκτήκειν αὐτὸ καὶ καθαίρειν. ὥσπερ γε κἀπειδὰν ἐν ἀτροφίᾳ γένηται παραπλησίᾳ τοῖς ἐχομένοις φθόῃ, τῆς ἀναθρέψεως αὐτοῦ προνοεῖσθαι. πολλάκις δ᾽ οὐχ ὅλον, ἀλλ᾽ ἔν τι μέρος ἐν ἀτροφίᾳ γίνεται, προηγησαμένης ἤτοι παραλύσεως, ἢ δυσκρασίας μορίου. καί σοι καιρὸς ἤδη περὶ τῆς τούτων θεραπείας ἐπισκέπτεσθαι, τὴν ἀρχὴν ἀπὸ τῶν εἰς τὴν πολυσαρκίαν ἄμετρον ἐκπεσόντων ποιησαμένων. δέδεικται δ᾽ ἐν τοῖς περὶ κράσεων ἡ θερμοτέρα τε καὶ ξηροτέρα κρᾶσις, ἰσχνὸν ἐργαζομένη τὸ σῶμα. τοιαύτην οὖν σοι ποιητέον ἐστὶ τὴν τῶν παχέων σωμάτων, εἰ μέλλοι γενήσεσθαι σύμμετρος. μεμάθηκας δ᾽ ἐν τῷ κατ᾽ ἐκείνην μὲν τὴν πραγματείαν, ἀλλὰ καὶ κατὰ τὴν τῶν ὑγιεινῶν οὐδὲν ἧττον, ὀξέα γυμνάσια. καὶ ἡ λεπτύνουσα δίαιτα. καὶ φάρμακα τοιαῦτα. καὶ τῆς ψυχῆς αἱ φροντίδες, ἀπεργάζονται τήν τε κρᾶσιν ὅλην, θερμοτέραν καὶ ξηροτέραν, καὶ διὰ ταύτην τὸ σῶμα λεπτότερον. ἐν μὲν δὴ τοῖς γυμνασίοις, οἱ ὀξύτατοι δρόμοι μάλιστα ἁρμόζουσιν. ἡ δ᾽ ὕλη τῆς λεπτυνούσης διαίτης, ἰδίᾳ γέγραπται καθ᾽ ἓν ὅλον βιβλίον. εἰ δὲ καὶ φαρμάκων δέοιντο τῶν λεπτυνόντων, εἴρηται μὲν καὶ ταῦτα κατὰ τὰς περὶ τῶν φαρμάκων πραγματείας. εἰρήσεται δὲ καὶ νῦν ὅσα δραστικώτατα τῶν τοιούτων ἐστὶν, οἷς ἀξιῶ σε χρῆσθαι, καθαίρειν ἐπιχειροῦντα πολυσαρκίαν ἄμετρον. οἷς οὖν εἰώθασιν ἕνεκα παθῶν ἀρθριτικῶν ἔνιοι χρῆσθαι τμητικοῖς τὴν δύναμιν ἱκανῶς οὖσι, τούτοις καὶ σὺ χρῶ θεραπεύειν ὑπερβάλλουσαν εὐσαρκίαν πειρώμενος. ἔστι δὲ τοιαῦτα, πηγάνου τὸ σπέρμα, καὶ μᾶλλον τοῦ ἀγρίου σὺν αὐτοῖς τοῖς κορύμβοις. ἀριστολοχία θ᾽ ἡ στρογγύλη, καὶ τὸ λεπτὸν κενταύριον. ἥ τε γεντιανὴ, καὶ τὸ πόλιον. ὅσα τε τῶν οὐρητικῶν ὀνομαζομένων ἰσχυρὰ καθάπερ τὸ πετροσέλινον. ἔτι κασον γὰρ τῶν τοιούτων καὶ αὐτὸ καθ᾽ αὑτὸ καὶ σὺν ἄλλοις, λεπτῦναί τε τοὺς χυμοὺς ἱκανὰ, καὶ κενῶσαι. τὰ μέν τοι δι᾽ οὔρων αἰσθητῶς. τὰ δέ τοι καὶ κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν. ἀλλὰ καὶ οἱ διὰ τῶν κεκαυμένων ἐχιδνῶν ἅλες, ἱκανῶς λεπτύνουσι. καὶ πολλοὶ τῶν ἰσχνοτέρων ἢ μέσως εὐσάρκων, ὑπὸ τῶν τοιούτων φαρμάκων πόσεως ἀπώλοντο, κατοπτηθέντος αὐτοῖς τοῦ αἵματος. ὥρμησαν δ᾽ ἐπ᾽ αὐτὰ, θεασάμενοί τινας ἀπηλλαγμένους ἀρθριτικῶν παθῶν, οὐκ ἐπιλογισάμενοι τὴν κρᾶσιν τῶν ὠφεληθέντων, ὑγροτέραν τε καὶ φλεγματικωτέραν οὖσαν, οἵα πέρ ἐστι καὶ ἡ τῶν παχέων, ἐφ᾽ ὧν ἀκίνδυνος ἡ τῶν τοιούτων χρῆσις φαρμάκων. ἐγὼ γοῦν ἐθεράπευσά τινα νεανίσκον ἐτῶν ἐγγὺς τεσσαράκοντα, παχὺν ἱκανῶς γεγονότα, τῇ τε πρὸς τοὺς ἀρθριτικοὺς ἀντιδότῳ, καὶ τοῖς ἁλσὶ τῆς θηριακῆς, αὐτῇ τε τῇ θηριακῇ, μετὰ τοῦ καὶ τῇ ἄλλῃ διαίτῃ τῇ λεπτυνούσῃ χρῆσθαι. καὶ γυμνασίων δρόμοις ὠκέσι. παρεσκεύαζον δ᾽ αὐτὸν ἐπὶ τὸν δρόμον ἀνατρίβων μὲν πρῶτον ὠμολίνοις τραχέσιν, ἄχρι τοῦ φοινίξαι τὸ δέρμα. τρίβων ἐφεξῆς τρίψει δι᾽ ἐλαίου τῶν διαφορητικῶν τι φαρμάκων ἔχοντος, ᾧ καὶ μετὰ δρόμον ἐχρώμην αὖθις. ἔστι δὲ ταῦτα σικύου ῥίζα τοῦ ἀγρίου. καὶ ἡ ἀλθαία. καὶ ἡ γεντιανή. καὶ ἡ ἀριστολοχία. καὶ ἡ τοῦ πάνακος ῥίζα. καὶ τὸ πόλιον. καὶ τὸ κενταύριον. ἐν δὲ τῷ χειμῶνι, καὶ μετὰ τὸ λουτρὸν ἐπαλείφειν συμφέρει τῷ εἰρημένῳ ἐλαίῳ. οὐκ εὐθὺς δὲ τὴν τροφὴν ἐπὶ τοῖς λουτροῖς διδόναι προσήκει, ἀλλὰ κοιμᾶσθαι πρότερον. ἐπιτρέπειν δ᾽ εἰ βούλοιντο καὶ αὖθις λούσασθαι πρὶν ἢ τραφῆναι. κάλλιον δ᾽ ἐστὶ καὶ τὸ ὕδωρ τῶν διαφορητικῶν. εἰ μὲν οὖν αὐτοφυὲς ἔχοιμεν, ἐκείνῳ χρωμένους, ὁποῖόν ἐστι καὶ τὸ κατὰ τὴν Λέσβον ἀπὸ τεσσαράκοντα σταδίων τῆς Μιτυλήνης. εἰ δὲ μὴ, κατασκευάζοντας αὐτοὺς παραπλήσιον. ἔστι δὲ τὸ κατὰ τὴν Μιτυλήνην, καὶ χρόᾳ καὶ δυνάμει τοιοῦτον, ὁποῖον ἂν γένοιτο μιχθέντος ἁλὸς ἄνθους ὕδατι θαλάσσης. τουτὶ γὰρ τὸ ὕδωρ καὶ τοῖς ὑδεριῶσι, καὶ τοῖς ἄλλοις οἰδαλέοις ἐπιτήδειόν ἐστιν ἰσχυρῶς ξηραῖνον. ὡσαύτως δὲ δὴ καὶ τοῖς πολυσάρκοις, καὶ μάλιστα ὅταν αὐτοὺς ἀναγκάζοντες ἐν αὐτῷ κολυμβᾶν ὀξύτατα. καὶ λουσαμένους πλέον, μὴ παραχρῆμα πίνειν ἢ ἐσθίειν. ἀλλ᾽ ἤτοι κοιμᾶσθαι πρότερον, ἢ πάντως γε ἡσυχάζειν. εἰδέναι δὲ χρὴ καὶ προλέγειν τῷ θεραπευομένῳ τὴν πολυσαρκίαν, ὡς ἔσθ᾽ ὅτε διὰ κίνησιν ἀθροωτέραν, εἰκός ἐστι καὶ πυρέξαι αὐτόν. ὅτι τε μηθ᾽ ὁ πυρετὸς ἀνάρμοσος εἰς τὰ παρόντα γενήσεται, τοῦ ἰατροῦ καλῶς ἅπαντα πράττοντος. εὔδηλον γὰρ ὡς ὅταν ἐπὶ κόπων πυρέξωσιν, καὶ οἱ οὕτω θεραπευόμενοι καταστήσαντες αὐτῶν τὸν πυρετὸν, αὖθις ἐπὶ τὴν αὐτὴν ἰδέαν τῆς ὅλης θεραπείας ἀφιξόμεθα. φεύγειν δ᾽ ἐπ᾽ αὐτῶν χρὴ καὶ τοὺς τροφίμους οἴνους, οἷοί πέρ εἰσιν οἱ παχεῖς. τοῖς δὲ ὑδατώδεσι χρῆσθαι, τουτέστι τοῖς λευκοῖς μὲν τῇ χρόᾳ. λεπτοῖς δὲ, κατὰ τὴν σύστασιν. ἢ τοῖς τε θαλαττωμένοις. ὅσους δ᾽ ἀνατρέφειν βουλόμεθα καταλελεπτυσμένους, οἶνον μὲν δώσομεν τὸν παχύν. ἐδέσματα δὲ τὰ παχύχυμα, καὶ γυμνάσια τὰ βραχέα. καὶ τρῖψιν τὴν μετρίαν. καὶ ἁπλῶς εἰπεῖν, ἅπαντα τοῖς εἰρημένοις ἐναντία πράξομεν. ἐπιτήδειον δ᾽ αὖθις ἐστι, καὶ τὸ

πιλεῖσθαι

ἐπιτίθεσθαι διὰ ἡμερῶν ἤτοι τριῶν, ἢ τεττάρων. κάλλιστον γὰρ τοῦτο φάρμακον, εἰς σάρκωσιν. ὥστ' εἰ καί τι μόριον ἔν ποτε πάθῃ, διὰ τούτου τοῦ βοηθήματος ἀνατρέφειν αὐτό. καὶ ἡμῖν ἤρκεσεν ἐπὶ πάντων σχεδόν, μόνον τοῦτο. καὶ γὰρ καὶ θερμαίνει, καὶ ὑγραίνει, πλῆθος αἵματος ἐπισπώμενον. οὔτ' οὖν συνεχῶς χρὴ προσφέρειν αὐτὸ τοῖς κάμνουσι σώμασιν, οὔθ' ὅτε χρὴ καταχεῖν πολλάκις. ἀλλ' ἐν μὲν χειμῶνι, δίς. ἐν θέρει δ' ἅπαξ ἀρκεῖ. τοῖς δ' ἐκ γενετῆς ἔχουσιν ἰσχνότερά τινα μόρια, καὶ οἱ ἀνδραποδοκάπηλοι βοηθοῦσι διὰ τοῦ βοηθήματος τοῦδε, μετὰ τῆς καλουμένης ἐπικρούσεως. ἔστι δὲ κἀκείνοις συμμετρία τις ὡς μὴ μᾶλλον τοῦ δέοντος γίγνοιτο, μήτ' ἔλαττον, οὔσης τοιᾶσδε. ναρθήκια λεῖα μετρίως ἀληλειμμένα, κατὰ τῶν ἰσχνῶν μορίων ἐπιρραπίζουσιν ἄχρι περ ἂν ἐξαρθῇ μετρίως. ἐν τούτῳ γὰρ τὸ ὅλον ἐστίν, ὡς καὶ Ἱπποκράτης ἔλεγεν, ἐπὶ καταντλήσεως ὕδατος σφοδροῦ. τὸ μὲν πρῶτον, αἴρεται. ἔπειτα δ' ἰσχναίνεται. πάντ' οὖν εὐσαρκῶσαι βουλόμεθα μόρια, καὶ τρίβειν χρὴ καὶ καταντλεῖν καὶ παίειν καὶ πιττοῦν ἄχρι περ ἂν ἐξαρθῇ. γενομένου δὲ τούτου, παραχρῆμα παύεσθαι χρὴ πρὶν ἄρξασθαι διαφορεῖσθαι. τὰ γάρ τοι θερμαίνοντα πάντα, καθάπερ ἕλκειν πέφυκεν, οὕτω καὶ διαφορεῖν. ἐὰν οὖν ἀναμείνῃς διαφορηθῆναι τὸ ἑλχθέν, οὐδὲν ἕξεις πλέον. οὕτω καὶ πυγάς τις ἀνδραποδοκάπηλος ἔναγχος ηὔξησεν ἐν ὀλίγῳ χρόνῳ, παιδὸς ὑπολέπτου συμμέτρως μὲν τῇ κατακρούσει χρώμενος ἑκάστης ἡμέρας ἢ παρὰ μίαν. συμμέτρως δὲ πιττῶν. ἀλλὰ τοῖς γε τὸ σύμπαν σῶμα λεπτοῖς, καὶ λούεσθαι μετὰ τροφὴν ἐπιτήδειον. ὥσπερ δὲ τοῖς λεπτύνουσι βοηθήμασι κίνδυνος ἦν ἀκολουθῆσαι πυρετὸν ὑπερθερμανθέντος ἀμέτρως τοῦ σώματος, οὕτω καὶ τοῖς λουομένοις ἐπὶ τροφαῖς κίνδυνός ἐστι κατὰ τὸ ἧπαρ ἔμφραξιν γενέσθαι, καὶ μάλιστα διὰ τὸ τῶν ἐδεσμάτων εἶδος. ἐμφράττει γὰρ καὶ ἄλλως τὰ παχύχυμα χρωμένων ἐπὶ πλέον αὐτοῖς. ὅπου δὲ καὶ ἄλλως τοῦτο δρᾶν πέφυκε, πολὺ δὴ μᾶλλον ἐπὶ βαλανείοις ἅμα τροφῇ τοῦτο δράσει. γίνεται γε μὴν καὶ λίθων ἐν νεφροῖς σύστασις ἐπὶ τῇ τοιαύτῃ διαίτῃ χρονιζούσῃ. διατί δὲ οὐ πᾶσι γίνεται, πρόδηλον. ἐνίους μὲν γὰρ εἰκός ἐστιν ἤτοι πυκνοὺς ἔχειν τοὺς νεφρούς, ἢ στενὰς τὰς ἀναστομώσεις τῶν ἐν ἥπατι φλεβῶν. ἐνίους δὲ τἀναντία. καὶ τούτων διάγνωσις οὐδεμία σαφής ἐστιν. ἀλλ' ἐπερωτᾶν χρὴ τὸν διαιτώμενον, ὡς εἴρηται συνεχῶς, εἴτις αὐτῷ βάρους αἴσθησις ἐν ὑποχονδρίῳ δεξιῷ, καὶ περὶ τοὺς ψόας γίγνεται. κἂν αἴσθηταί ποτε τοιούτου τινός, αὐτίκα διὰ ὀξυμέλιτος διδόναι κάππαριν ἐν ἀρχῇ τῆς τροφῆς, ἄχρι περ ἂν καταστῇ τὸ βάρος. ἐπὶ δὲ τῶν δυσκόλως ἀνατρεφομένων μορίων, καὶ πλέον ἤδη κατεψυγμένων, ἐχρησάμην ἐνίοτε καὶ θαψίᾳ. ποτὲ μὲν μετὰ μέλιτος ἐπιχρίων τὸ μόριον. ἔστι δ' ὅτε καὶ διὰ κηρωτῆς. ἐπισπᾶται γὰρ καὶ αὕτη τοῖς μορίοις οἷς ἂν ἐπιτεθῇ πλῆθος αἵματος. ἐφ' ὧν δὲ ὀλίγον ἐνδεῖ τῷ δέρματι τοῦ αἰδοίου πρὸς τὸ κατὰ φύσιν, ἐπὶ τούτων ἄνευ θαψίας πολλάκις μόνῃ τῇ τάσει τὸ δέον εἰργασάμην, ἶνα χάρτου μαλακὴν καὶ εὔτονον ἐν κύκλῳ περιελίττων ὑποκεχρισμένῳ τῷ δέρματι κόμμεως. εὔδηλον δὲ δήπουθεν ὅτι καὶ τὸ τῆς ἰνὸς πέρας ἐπικολλᾶν χρὴ διὰ κόμμεως τῷ ὑποβεβλημένῳ ἄνω μέρει τῆς ἰνός. ἔν τάχει τε γὰρ ξηραίνεται, καὶ ἀλύπως σφίγγει. περιυποτιθέναι δὲ χρὴ τοῦ δέρματος τῆς πόσθης ἐκ τῶν ἔνδον μερῶν στρογγύλον τι σύμμετρον, ὃ καὶ μετὰ τὸ κολλῆσαι τὴν ἶνα, ῥαδίως ἐξαιρήσεις. ἔνιοι δὲ τῶν διὰ θαψίας ἐπαγόντων τὴν πόσθην, τὸ στρογγύλον τοῦτο, μολύβδινον ἐποίησαν, ὥσπερ τι σωληνάριον. εἶτ' ἔξωθεν αὐτὸ περιτείνοντες τὸ δέρμα τῆς πόσθης, καταδοῦσιν ἱμάντι μαλακῷ. καὶ γένοιτ' ἂν ποτε καὶ τοῦτο χρήσιμον, ἐφ' ὧν ἐνδεῖ πολὺ τοῦ δέρματος. εἰ δ' ὀλίγον εἴη τὸ λεῖπον, ἀρκεῖ μόνον, ὡς εἴρηται, τὸ χαρτίον ἐν κύκλῳ περιελιττόμενον. ἐν αὐτῷ δὲ τῷ περιβάλλειν τε τῷ δέρματι καὶ κατακολλᾶν αὐτό, περιυποκεῖσθαι χρὴ τὸ σωληνάριον. ἐγὼ δὲ εἴωθα, εἰ καὶ μηδὲν τούτων παρῇ, τοῦ χάρτου σύμμετρον ἑλίττων, ἐνθεῖναι στήριγμα τοῦ περιβλήματος. ἵν' ὕστερον ὅταν ἀκριβῶς παγῇ τὸ περιελιττόμενον ἔξωθεν ἐξαρθέντος τοῦ στηρίγματος, εὐκόλως οὐρεῖν ὑπάρχῃ τῷ θεραπευομένῳ. πρόδηλον δ' ὅτι καὶ τοῦτο τὸ πάθημα τοῦ γένους τῶν νοσημάτων ἐστίν, ὃ περὶ πηλικότητα τοῦ παρὰ φύσιν ἐξέστηκεν. ἐνίοτε μὲν ἀποσπασθείσης τῆς πόσθης γινόμενον. ἐνίοτε δὲ ἐξ ἀρχῆς ἔλαττον συγγενόμενον. ὑπάγεται δὲ καὶ χειρουργίας τρόπῳ διττῷ. ποτὲ μὲν ἄνω κατὰ τὴν ἀρχὴν τοῦ αἰδοίου τὸ δέρμα τεμνόντων κυκλοτερῶς, ἕνεκα τῆς λυθείσης αὐτοῦ τῆς συνεχείας, ἕλκεσθαι κάτω μέχρι τοῦ σκεπάσαι τὴν καλουμένην βάλανον ὅλην. ἐνίοτε δὲ ὑποδερόντων σμίλῃ κατὰ τὸ ἔνδον, ἀπὸ τῆς κατὰ τὴν βάλανον ῥίζης. εἶθ' ἑλκόντων κάτω. κἄπειτα δεσμευόντων, ὡς εἴρηται, μαλακῷ τινί. λεχθήσεται δὲ περὶ τῶν τοιούτων τρόπων, ἐπὶ προσήκοντι λόγῳ. καθάπερ γε καὶ περὶ κολοβωμάτων. οὕτως γὰρ ὀνομάζουσι τὰ κατὰ χεῖλος ἢ πτερύγιον ῥινὸς ἢ οὖς ἐλλείποντα. μεθοδεύεται γάρ πως καὶ ταῦτα. πρῶτον μὲν ὑποδερόντων ἑκατέρωθεν τὸ δέρμα. μετὰ δὲ τοῦτο, ἐπαγόντων καὶ συναγόντων ἀλλήλοις τὰ χείλη τῶν δερμάτων. ἀφαιρούντων τε τὸ τετυλωμένον ἑκατέρου. κἄπειτα ῥαπτόντων τε καὶ κολλώντων. ἐκ ταὐτοῦ δὲ τοῦ γένους εἰσὶ καὶ αἱ κατὰ τὸν μέγαν κανθὸν ῥυάδες, ἢ μειωθέντος ἐπὶ πλέον, ἢ τελέως ἀπολλυμένου τοῦ κανθοῦ. τελέως μὲν οὖν ἀπολλυμένου, παντάπασιν ἀνίατον γίνεται τὸ νόσημα. μειωθέντος δέ, διὰ τῶν μετρίως στυφόντων θεραπεύεται, μετὰ τοῦ προκαθαίρειν πρῶτον μὲν ὅλον τὸ σῶμα. δεύτερον δέ, τὴν κεφαλήν. ἔστι δὲ μετρίως στύφοντα φάρμακα τά τε διὰ γλαυκίου, καὶ κρόκου, καὶ τὰ νάρδινα καλούμενα. καὶ μάλισθ' ὅσα δι' οἴνου σκευάζεται. συνελόντι δ' εἰπεῖν ἐπὶ πάντων ἐν οἷς ἀπώλετό τις οὐσία, μάλιστα μὲν αὐτὴν ὁμοιοτάτην πειρᾶσθαι χρὴ κατασκευάζειν. εἰ δ' ἀδύνατον εἴη τοῦτο, τῆς γε αὐτῆς χρείας ἐστοχασμένων ἡμῶν. ἔσται δὲ καὶ αὕτη κατὰ τοῦθ' ὁμοία. τοῦ γοῦν τῆς κνήμης ὀστοῦ πολλάκις ἀναγκασθέντες ἐκκόψαι συχνόν, εἰς τὴν χώραν αὐτοῦ φῦσαι τινὰ ἑτέραν οὐσίαν, τὴν φύσιν προκαλούμεθα διὰ τῶν σαρκωτικῶν φαρμάκων. ἥτις ἐν ἀρχῇ μέν, οἵα περ σκληρὰ σάρξ ἐστιν. ὕστερον δὲ πώρου σκληροτέρου λαμβάνει σύστασιν. καὶ τῷ χρόνῳ κρατυνθεῖσα, πρὸς τὰς βαδίσεις αὐτοῦ γίνεται ἐπιτηδεία. καὶ σκυταλίδας δὲ δακτύλων ἐκκόπτοντας, ὁρῶμεν ἐν τῇ χώρᾳ τῶν ἐκκοπεισῶν ἑτέραν οὐσίαν, οἵαν περ εἴρηκα γεννωμένην. ὅτι δὲ καὶ φλέβας αἰσθητὰς ἐνίοτε γεννωμένας εἴδομεν, εἴρηται πρόσθεν. αὗται μὲν οὖν οὐχ ὅμοιαι ταῖς ἀπολωλυίαις, ἀλλ' αἱ αὐταὶ γίγνεσθαι λέγοιτ' ἄν, ὥσπερ γε καὶ ἡ ἐν τοῖς κοίλοις

ἕλκεσι σάρξ. ἡ δ' ἐν τῷ τυλοῦσθαι ταύτην οὐλὴ γιγνομένη, δέρματι μὲν ἐστὶν ὁμοιοτάτη, δέρμα δ' οὐκ ἔστι. πυκνοτέρα γοῦν αὐτοῦ φαίνεται διά τε τῆς ὄψεως, καὶ τῆς ἁφῆς. καὶ μέντοι καὶ τῷ λογισμῷ τεκμαιρομένοις ἐκ τοῦ μὴ φύειν τρίχας. ταῦτ' οὖν ἔχων ἀεὶ πρόχειρα, πρὸς τὰς θεραπείας εὐπορήσεις ὧν σε χρὴ πράττειν. ἐμοὶ δ' ἤδη καιρὸς ἐπ' ἄλλα προϊέναι νοσημάτων εἴδη, κοινωνοῦντα τοῖς προειρημένοις. ὁ μὲν οὖν ἕρπης ὀνομαζόμενος, ἐκ τοῦ αὐτοῦ γένους ἐστὶ τοῖς ἑλκωμένοις ἐρυσιπέλασιν. ἡ σαρκοκήλη δὲ, τοῖς σκίρροις. ὀφίασις δὲ καὶ ἀλωπεκία, καὶ ἡ πτίλωσις, ἐκ τοῦ γένους ἐστὶ τῶν νοσημάτων ἐν οἷς ἀπόλωλέ τι τῶν κατὰ φύσιν. ὥσπερ γε καὶ ἡ μυρμηκία τῷ ὅλῳ γένει παρὰ φύσιν ἐστί. τρίτη δ' ἁπάντων αὐτῶν ἡ διαφορά. τινὰ μὲν γὰρ ἐκ μεταβολῆς γίνεται τῶν στερεῶν σωμάτων, ὡς ἡ μυρμηκία, καὶ ἡ λεύκη, καὶ ὁ ἀλφὸς, ἐλέφας τε, καὶ ψώρα, καὶ λέπρα. τινὰ δ' οὐδ' ὅλως ὄντα πρότερον, ὕστερα γίνεται. καθάπερ καὶ ἡ μελικηρίς. ἀθερώματά τε καὶ στεατώματα. καὶ καθ' ἕτερον τρόπον, ἕλμινθες. καὶ ἀσκαρίδες. καὶ κειρία. καλοῦσι γὰρ οὕτω μὲν μακρὰν καὶ πλατεῖαν ἕλμινθα. καὶ πάντα τὰ πρόσθεν εἰρημένα, ἃ κατά τινα τῶν ἀποστημάτων εὑρίσκεται, πώροις, ἢ λίθοις, ἢ ὀστοῖς, ἢ θριξὶν, ἢ τισὶν ἑτέροις τῶν τοιούτων ἐοικότα. προσέχειν οὖν ἀεὶ χρὴ τὸν νοῦν ἐπὶ πάντων τῶν παρὰ φύσιν ἀκριβῶς ἐπισκοπούμενον ἐκ τίνος γένους ἐστὶν, εἴπερ γε τὴν πρώτην ἔνδειξιν ὁρμητήριον ἐσομένην ἁπασῶν τῶν ἐφεξῆς ὀρθῶς εἴπομεν, ἐκ τοῦ γένους λαμβάνεσθαι. τὸν γοῦν ἕρπητα, χολώδης γεννᾷ χυμός. ὥστε κατά γε τοῦτο ταὐτοῦ γένους ὑπάρχειν ἐρυσιπέλατι. καὶ τοῦτο γ' αὐτοῦ μᾶλλον ἔτι τὸ ἡλκωμένον. διαφέρει δὲ τῇ λεπτότητι τοῦ χυμοῦ. πάνυ γὰρ ἐστὶ λεπτὸς ὁ τὸν ἕρπητα γεννῶν, ὡς μὴ μόνον διὰ πάντων διέρχεσθαι τῶν ἔνδον μορίων, ὁπόσα σαρκώδη τὴν οὐσίαν ἐστὶν, ἀλλὰ καὶ δι' αὐτοῦ τοῦ δέρματος ἄχρι τῆς ἐπιδερμίδος, ἣν μόνην ἀναβιβρώσκει τε καὶ διεσθίει τῷ στέγεσθαί τι πρὸς αὐτῆς. ὡς εἴγε καὶ ταύτην διεξῄει τοῖς ἱδρῶσιν ὁμοίως, οὐκ ἂν ἕλκος εἰργάσατο. κοινὸν γὰρ δὴ τοῦτο τοῖς γιγνομένοις ἐκ χυμοῦ δακνώδους ἕλκεσιν, ἅπερ αὐτόματα ἕλκη προσαγορεύουσιν, ἴσχεσθαί τε καὶ βραδύνειν ἐν τῇ διεξόδῳ τὸν ἐργαζόμενον αὐτὰ χυμόν. τῷ δ' ἧττον ἢ μᾶλλον ἕτερον ἑτέρου χυμὸν, ἤτοι λεπτὸν, ἢ παχὺν ὑπάρχειν, αἱ κατὰ τὸ βάθος ἐν τοῖς ἕλκεσιν γίνονται διαφοραί. τούτου τοῦ γένους ἐστὶ καὶ ἡ φαγέδαινα, καὶ οἱ ἑλκώμενοι τῶν καρκίνων. ἐφ' ὧν ἁπάντων, ἡ μὲν κοινὴ θεραπεία, κωλύσαντα τὸν ἐπιρρέοντα χυμὸν, ἰᾶσθαι τὸ ἕλκος. ἡ δ' ἰδία καθ' ἕκαστον, ἔκ τε τῆς τοῦ μορίου φύσεως εὑρίσκεται, καὶ τῆς ἰδέας τε καὶ ποσότητος τοῦ χυμοῦ. λεπτότατος μὲν οὖν ἐν τοῖς τοιούτοις χυμοῖς ἐστὶν, ὁ τὸν ἑλκώμενον ἕρπητα γεννῶν. παχύτατος δὲ, ὁ τὸν καρκῖνον. ἐφεξῆς δὲ τούτων, κατά γε τὸ πάθος, ὁ τὰς φαγεδαίνας ὀνομαζομένας. ὧν ἰδέαι τινές εἰσι, τά τε χειρώνια, καὶ τηλέφια καλούμενα. καὶ ἤδη τινὲς ἄλλαι τοιαίδε προσηγορίαι γεγόνασιν ἄχρηστοί τε καὶ περίεργοι. πρὸς γάρ τοι τὴν θεραπείαν, ἐπίστασθαι χρὴ τό, τε πλῆθος τοῦ χυμοῦ, καὶ τὴν δύναμιν, καὶ τὴν σύστασιν. οἷον εὐθέως ἐπὶ τῶν ἑρπήτων, ἐπειδὴ λεπτός ἐστι ὁ χυμὸς, ἐκ τοῦ γένους ὢν δηλονότι τῆς ξανθῆς χολῆς, ὅταν ἀναδέρῃ τὴν ἐπιδερμίδα διαφορηθεὶς, ἐπιτρέπει συνουλωθῆναι τῷ ἕλκει. ἐὰν μὴ οὖν φθάσῃ τις ἐκκαθάρας τὸ σύμπαν σῶμα, μετὰ τοῦ τοῖς ἀνασέλλουσί τε καὶ ἀποκρουομένοις τοὺς ἐπιρρέοντας χυμοὺς, χρήσασθαι φαρμάκοις, ἰάσατο τὸν ἕρπητα. μηδέτερον δὲ ἐργασάμενος τούτων, ἀλλὰ μόνοις ἀρκεσθεὶς τοῖς ἐπουλοῦσι, τὴν ἑλκωμένην ἐπιδερμίδα ταύτην μὴ ἰάσατο. τὴν συνεχῆ δ' αὐτῆς παθεῖν οὐκ ἐκώλυσεν. εἶτ' αὖθις πάλιν ἐκείνης ἐπουλουμένης, ἡ συνεχὴς ἀναδέρεται. καὶ τοῦτ' ἐπὶ πλεῖστον γίγνεται, καθάπερ ἕρποντος τοῦ πάθους, ἄχρι περ ἂν ὁ ἐργαζόμενος αὐτὰ χυμὸς ἐκκενωθῇ. γυνὴ γοῦν τις ἐν Ῥώμῃ τῶν ἐπιφανῶν, ἕρπητα κατὰ τὸν σφυρὸν ἔχουσα, πρῶτον μὲν ἐχρήσατο τῷ διὰ φύκους φαρμάκῳ. τάχιστα δὲ ἐπουλωθέντος αὐτοῦ, τὸ συνεχὲς εὐθὺς ἐπιπολῆς ἀνεδάρει δέρμα, καθάπερ ὑπὸ ἀποσύρματος. ᾧ πάλιν ἐπιτεθέντος τοῦ φαρμάκου, τὸ συνεχὲς αὖθις ἡλκώθη. καὶ τοῦτ' οὐκ ἐπαύετο γιγνόμενον, ἀλλ' ἧκεν ὕστερον ἡ ἕλκωσις ἐπὶ τὸ γόνυ. πάντα μᾶλλον αὐτῆς παθεῖν ἑτοίμης οὔσης, ἢ καθαρθῆναι χολαγωγῷ φαρμάκῳ. καὶ τοίνυν ὅπερ εἴωθεν ἐν τοῖς τοιούτοις γίγνεσθαι, διὰ τὸ τοὺς πλείστους αἰτιᾶσθαι τὰ ἀναίτια, καταγνοῦσα τοῦ διὰ φύκους φαρμάκου, τῶν ἄλλων τι προσφέρειν ἐκέλευσεν. ἐχρώμεθα οὖν ἐφεξῆς τῷ διὰ σανδίκος. ὡς δὲ καὶ τοῦτο τὸ μὲν ἡλκωμένον ἐπούλου, τὸ δ' ἑλκούμενον οὐκ ἐκώλυεν, ἀνελήλυθε δὲ τὸ πάθος ἐγγὺς ἤδη τοῦ βουβῶνος, ὑπὸ τῆς ἀνάγκης βιασθεῖσα, γάλακτος ὀρρὸν ὑπέσχετο λήψεσθαι. παρεμβαλόντων οὖν ἡμῶν αὐτῷ λάθρα σκαμμωνίας ἐλάχιστον, ἅπασαν αὐτὴν ἐκκαθάραντες, ἐθεραπεύσαμεν. οὗπερ οὖν ἕνεκα ταῦτα λέγεται, πάλιν ἀναμνήσω τὸν κοινὸν σκοπὸν ἐπὶ τῶν ὑπὸ ταὐτὸ γένος ἁπάντων νοσημάτων ἐπειδὰν λάβῃς, οὐκ ἀναιρήσεις μὲν αὐτὸν, ἐν τοῖς κατὰ μέρος. εἰς διαφορὰν δ' ἄξεις ἑκάστου πρέπουσαν ταῖς τε διαθέσεσι καὶ ταῖς ἐργαζομέναις αὐτὰς αἰτίαις, ὥσπερ ἐπὶ τῶν αὐτομάτων ἑλκῶν ἐδείχθη. κενώσεις γὰρ δηλονότι τὸν πλεονάζοντα χυμὸν, ἐνίοτε μὲν τῷ τὴν ὠχρὰν χολὴν ἐκκαθαίροντι φαρμάκῳ. πολλάκις δὲ τῷ τὴν μέλαιναν. ἔστι δ' ὅτε μικτῷ, χολήν τε ἅμα καὶ φλέγμα κενοῦντι, ὥσπερ ἐπὶ θατέρου τῶν ἑρπήτων, ὃν ἀπὸ τῆς πρὸς τὰς κέγχρους ὁμοιότητος, ὀνομάζουσι κεγχρίαν. οὗτος γὰρ οὐκ εὐθέως ἕλκος ἐργάζεται καθάπερ ὁ ἕτερος, ἀλλὰ μικρὰς πάνυ φλυκταίνας, ὥσπερ κέγχρους. αἳ καὶ αὗται τοῦ χρόνου προϊόντος, εἰς ἕλκος τελευτῶσι. καί τισιν οὐκ ἀλόγως ἔδοξεν ἐπιμεμῖχθαι τῇ χολῇ φλέγματος, ἐν τῷ τοιούτῳ πάθει. γίγνεται δέ ποτε καὶ χωρὶς τῆς τοῦ παντὸς σώματος ἰσχυρᾶς κακοχυμίας ἐν μέρει ἕλκη, ἃ θεραπεύομεν ῥᾳδίως ὑπὸ φαρμάκων, μικτὴν ἐχόντων δύναμιν, ἀποκρουστικήν τε καὶ διαφορητικήν. ἀποκρούεται μὲν οὖν τά τε στύφοντα, καὶ τὰ χωρὶς τοῦ στύφειν ψύχοντα. διαφορεῖ δὲ, τὰ θερμαίνοντα. καὶ δῆλον ὅτι κατὰ μὲν τὴν γένεσιν τῶν ἑλκῶν ἐπικρατεῖν χρὴ τὰ τὴν ἀποκρουστικὴν δύναμιν ἔχοντα. μηκέτι δ' ἐπιρρέοντος τοῦ χυμοῦ τοῦ μοχθηροῦ τῷ μορίῳ, τὴν διαφορητικήν. τὴν μὲν γὰρ ὀλίγην κακοχυμίαν κἂν ἀπώσηταί τις αὐτὴν, ἐπί τε τὰ σπλάγχνα καὶ τὰς μεγάλας φλέβας, οὐδὲν ἐργάσηται κακὸν αἰσθητόν. εἰ δὲ ἀξιόλογος ᾖ, εἴς τι κύριον ἐνίοτε κατασκήπτει μόριον, ὅταν γε μὴ διὰ ῥώμην τῆς φύσεως ἐκκαθαιρούσης τὸ σῶμα, κενωθῆναι φθάσῃ διὰ τῶν διαχωρημάτων, ἢ τῶν οὔρων, ἢ καὶ διὰ τοῦ

περιέχον-

περιέχοντος ὅλον τὸ σῶμα δέρματος. ἐπὶ μὲν οὖν τῆς ὠχρᾶς χολῆς αἱ κενώσεις ἑτοιμότεραι. τὸ δὲ φλέγμα, καὶ μάλισθ' ὅσον αὐτοῦ παχύτερόν τε καὶ γλισχρόν ἐστιν, ὡσαύτως δὲ καὶ ἡ μέλαινα χολὴ δυσκόλως ἐκκενοῦται. καὶ διὰ τοῦτο δεόμεθα καθαίροντος φαρμάκου. ἐπὶ δὲ τοὺς ἕρπητας, ἐπειδὴ λεπτός ἐστιν ὁ τὸ πάθος ἐργαζόμενος χυμός, ἀρκεῖ καὶ λαπάξαι γαστέρα διὰ τῶν ἐπιτυχόντων. ἢ οὖρα κινῆσαι διὰ τῶν μετρίως οὐρητικῶν. ἀλλ' ἐπειδὴ περὶ φαρμάκων μεθόδου γέγραπταί τι κἀν τοῖς ἔμπροσθεν, οὐκ ὀλίγα δὲ καὶ κατὰ τὰς ἰδίας αὐτῶν εἴρηται πραγματείας, ἔμφρον ἂν εἴη μηκέτ' ἐκτείνειν τὸν λόγον. ἱκανὰ γὰρ καὶ ταῦτα τῷ γε προσέχοντι τὸν νοῦν. οὐδὲ γὰρ ἡμεῖς αὐτὰ παρὰ τῶν μουσῶν ἐμάθομεν, ἀλλ' ἡ τῶν πραγμάτων φύσις, ἀνδρὶ συνετῷ καὶ φιλοπόνῳ καὶ γεγυμνασμένῳ τὸν νοῦν, ὑπαγορεύει τὸ ποιητέον. ὅταν δὲ καὶ τὰς ὁδοὺς τῆς εὑρέσεως τις ὑφ' ἑτέρου διδαχθείσας ἔχῃ, ῥᾷστον αὐτῷ προσέρχεσθαι κατ' αὐτάς. ἱκανὸν δέ σοι μαρτύριον ἔστω τὸ τοὺς τοιούτους ἄνδρας ἔργοις μεγίστοις κοσμῆσαι τὴν τέχνην. ὅσοι δ' ἀσύνετοι, μηδὲν εὑρίσκεσθαι πλέον αὐτοῖς, εἰ καὶ δι' ὅλου τοῦ βίου μυρίων ἔργων ἰατρικῶν αὐτόπται γίγνοιντο. πάμπολλα γοῦν ἐπινοεῖται μέχρι τήμερον, οὐδέπω τοῖς ἔμπροσθεν εὑρημένα. καθάπερ νῦν ἐπὶ Ῥώμης ἐπενόησέ τις ἰᾶσθαι διὰ στόματος ἀκροχορδόνας τε καὶ μυρμηκίας. ἀλλ' ἐπὶ μὲν τῶν ἀκροχορδόνων, ὡς ἂν ἐξεχουσῶν τοῦ δέρματος, οὐδὲν θαυμαστόν. τὸ δὲ τῶν μυρμηκιῶν καὶ μάλισθ' ὅσαι τελέως εἰσὶν ἰσόπεδοι τῷ δέρματι, θαυμαστὸν ἐδόκει. ἀλλ' ὅμως καὶ ταύτας πρῶτον μὲν τῇ θέσει τῶν χειλῶν ὥσπερ βδάλλων ἐπεσπᾶτό τε, κἀκ τῆς ῥίζης ἐμόχλευεν. εἶτα τοῖς προσθίοις ὀδοῦσι παραλαμβάνων, ἀθρόως ἐξέσπα. καὶ μὴν καὶ διὰ μυρσίνης σμίλης, καὶ διὰ τοῦ καλουμένου σκολοπομαχαιρίου γεγυμνασμένος ταῖς χερσί, ῥᾳδίως ἄν τις ἐκκόψειεν αὐτὰς ἰδίαν ἐχούσας περιγραφὴν ᾗ χωρίζονται τοῦ πέριξ δέρματος. ὡσαύτως δὲ καὶ διά τινος ἰσχυροῦ πτεροῦ περιτιθεμένου κυκλοτερῶς τῇ μυρμηκίᾳ, ποιούμεθα τὴν ἄρσιν αὐτῆς. χρὴ δὲ σύμμετρον ἔχειν δηλονότι τὴν ἑαυτοῦ κενὴν σύριγγα τὸ πτερὸν τῷ πάχει μυρμηκίας, ἵνα τε πανταχόθεν αὐτὴν ἀκριβῶς σφίγγῃ. κἄπειτα περιστρέψαι μετὰ τοῦ κάτω βιάζεσθαι. τάχιστά τε γὰρ ἂν οὕτω καὶ σὺν αὐτῇ τῇ ῥίζῃ τὴν μυρμηκίαν ὅλην ἐκβάλλεις. εὔδηλον δὲ καὶ ὅτι τὸ πέρας τοῦ περιγλύφοντος αὐτὴν πτεροῦ λεπτόν τε ἅμα καὶ ὀξὺ καὶ ἰσχυρὸν εἶναι χρή. διό τά τε τῶν παλαιῶν ἀλεκτρυόνων εἰς τοῦτο χρήσιμα. καὶ μᾶλλον ἔτι τὰ τῶν ἀετῶν. ἀποτέμνειν δ' αὐτῶν χρὴ περὶ τῇ ῥίζῃ τοσοῦτον, ὡς περιλαβεῖν ἱκανῶς τὴν μυρμηκίαν. εὐθὺς δὲ ἀπὸ τῆς ἀποτομῆς, εἰ καλῶς γίγνοιτο, καὶ τὴν ὀξύτητα παρέξεις αὐτῷ. καὶ τοῦτ' οὖν ὁ λογισμὸς εὗρεν, οὐ περίπτωσις. ὅτι δὲ διὰ τῶν ἑλκόντων σφοδρῶς φαρμάκων ἀνασπασθήσεται, καὶ ὅτι διὰ τῶν σηπόντων νεκρωθήσεται, τῷ λογισμῷ μέν τις εὗρε. θαρρήσας δὲ χρῆσθαι πρὸς τῆς πείρας ἐμαρτυρήθη. τινὰ μὲν γὰρ ἄντικρυς ἐστὶ καὶ πρὸ τῆς πείρας πιστά, καθάπερ εἰ τύχοι τὸν ἀρτίως ἐμπεπαρμένον ἐξελεῖν σκόλοπα, καὶ τὸ βέλος, ὅσα τε τοῖς ὀφθαλμοῖς ἐμπίπτει ψαμμία. τινὰ δὲ ἐπινοεῖται μὲν ὑπὸ τοῦ λογισμοῦ, βεβαιοῦται δὲ ὑπὸ τῆς πείρας. ἕνεκα δὲ τοῦ ῥᾷον εὑρίσκειν σε καὶ κατὰ σαυτὸν ὁδοὺς τοιαύτας εἰς εὐπορίαν ἰαμάτων, οὐκ ὀκνήσω προσθεῖναί τι παράδειγμα τῶν ἐκ τοῦ προκειμένου γένους. ὀνομάζομεν δὲ αὐτὸ κατὰ τὸν ἀριθμὸν τῶν μορίων. ἐπειδὴ γὰρ ἔνια μὲν ἐλλείπει καθάπερ ὀδούς, ἢ δάκτυλος, ἢ ῥινὸς πτερύγιον, ἢ ὠτός τι μόριον, ἢ αἰδοίου δέρμα. τινὰ δὲ πλεονάζει, καθάπερ ἕκτος δάκτυλος, αἵ τ' ἐξοστώσεις καλούμεναι, καὶ τῶν ὀδόντων οἱ παραφυόμενοι τοῖς κατὰ φύσιν. ἐξελεῖν μέν τοι τὸ περιττόν, οὐδὲν χαλεπόν. ἕτερον δὲ γεννῆσαι τῷ μηκέτ' ὄντι παραπλήσιον, ἐπὶ τινῶν μὲν ῥᾴδιον, ἐπὶ τινῶν δὲ, χαλεπόν, ἐπὶ τινῶν, ἀδύνατον. ἐὰν μὲν δὴ σαρκῶδες ᾖ τὸ λεῖπον, οὐ χαλεπῶς ἄν τις αὐτὸ γεννήσειεν. εἴρηται δ' ἔμπροσθεν ἡ μέθοδος ἐπὶ τῶν κοίλων ἑλκῶν. ἐὰν δὲ ὀστοῦν ᾖ, αὐτὸ μὲν ἀδύνατον, ἀντ' αὐτοῦ δὲ ἕτερόν τι σκληρόν, οὐκ ἀδύνατον ἐργάζεσθαι. λέλεκται δέ τι καὶ περὶ τῆς τῶν φλεβῶν γενέσεως ἔμπροσθεν. ὡς ἐνίοτε μὲν αἰσθητῶς εἴδομεν ἑτέρας νέας γεννηθείσας. ἐνίοτε δ' ἅπαντα μηχανωμένων οὐκ ἔφυσαν. εἰ δὲ δάκτυλος ὁ λείπων ἢ τι τοιοῦτον εἴη, παντάπασιν ἀδύνατος ἡ γένεσις αὐτοῦ. λέλεκται δέ τι καὶ περὶ ποσθῆς ἔμπροσθεν, ὅπως ἄν τις αὐτὴν ἐργάσηται. τὰ δ' ἐπὶ ῥινὸς ἢ ὠτὸς ἢ χείλους ἐλλείποντα, γεννῆσαι μὲν ἀδύνατον. εὐπρεπῆ δ' ἐργάσασθαι δυνατόν, ἐὰν ὑποδείρας τις ἑκατέρωθεν τὸ δέρμα, κἄπειτα συναγαγὼν κολλῆσαι δυνηθῇ. καθ' ἕτερον δὲ τρόπον, ἐκ τούτου τοῦ γένους ἐστὶ τῶν νοσημάτων, ἀθερώματά τε καὶ στεατώματα. καὶ μελικηρίδες. ἀσκαρίδες τε, καὶ κειρία, καὶ ἕλμινθες. οἵ τε κατ' ἄρθρα καὶ πνεύμονα πῶροι. καὶ οἱ κατὰ νεφρούς, καὶ κύστιν λίθοι. κοινὸν γὰρ ἐπὶ πάντων αὐτῶν, ἡ τῆς οὐσίας γένεσις, οὐκ οὔσης πρότερον. ἔμπαλιν δὲ κατὰ τὰς ἀλωπεκίας, καὶ τὰς ὀφιάσεις, καὶ τὰς πτιλώσεις, ἔτι τε τὴν φαλάκρωσιν, ἀπώλεια μορίου τινός ἐστι χρησίμως γεγονότος. ὥσπερ οὖν ἐπὶ πάντων τῶν ἄλλων ἐν οἷς γεννηθῆναί τι βουλόμεθα, τὰς κινήσεις τῆς φύσεως ἀκωλύτους ἐργαζόμεθα, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν ἀπολλυμένων τριχῶν. ἔργον γὰρ τῆς φύσεως ἐστίν, ὥσπερ ἡ τῆς σαρκὸς γένεσις ἐν τοῖς κοίλοις ἕλκεσιν, οὕτω καὶ ἡ τῶν τριχῶν ἐπί τε τῆς κεφαλῆς, καὶ τῶν βλεφάρων. ἀναμνησθεὶς οὖν ὧν ἔμαθες ἐν τοῖς φυσικοῖς λόγοις, περὶ τριχῶν γενέσεως, ἐξ ἐκείνων εὑρήσεις τὰς τῆς ἀπωλείας αὐτῶν αἰτίας. ἐδείχθη δ' ὅτι τῶν διαπνεομένων χυμῶν, ὅσον ἰλυῶδές ἐστιν, ἐξ ἀρχῆς τε ἐν θέσεως, τὰς θρίχας ἐγέννησε, καὶ τοῦ λοιποῦ καθ' ὑπὸ φύσιν αὐξάνει. τοῦτ' οὖν ὅταν ἤτοι γ' ἀπόλληται παντάπασιν, ἢ μοχθηρὸν γεννηθῇ, φθείρεσθαι τὰς τρίχας ἀναγκαῖόν ἐστι. καὶ γὰρ οὖν καὶ τὰ φυτὰ κατὰ διττὴν αἰτίαν ἀπόλλυται. ποτὲ μὲν ἀπορροῦντα τῆς πρεπούσης ὑγρότητος. ἔστι δ' ὅτε οὐκ οἰκείᾳ χρώμενα. τελέως μὲν ἀπολλυμένου τοῦ τρέφοντος χυμοῦ τὰς τρίχας, ἡ φαλάκρωσις γίνεται. μοχθηροῦ δ' ἀποτελεσθέντος, αἵ τ' ὀφιάσεις καλούμεναι, καὶ αἱ ἀλωπεκίαι. πρῶτον μὲν οὖν εὑρήσεις ἐκ τῆς κατὰ φύσιν αὐτῶν διοικήσεως, τὴν παρὰ φύσιν αἰτίαν. ἐφεξῆς δὲ τῆς θεραπείας εὐπορήσεις, ἐνδεικτικῶς ὑπὸ τῶν κοινῶν ἀγομένης σκοπῶν, ἅπασι τοῖς προειρημένοις. ἐφ' ὧν ἐκ κακοχυμίας, ἤτοι γ' ἄλλο τι πάθος ἢ ἕλκος γίνεται. κωλῦσαι μὲν γὰρ χρή, τὸ ἐπιρρέον. ἐκδαπανῆσαι δέ, καὶ διαφορῆσαι τὸ φθάσαν ἐν τῷ πεπονθότι μορίῳ περιέχεσθαι. καθάπερ οὖν ἐπ' ἐκείνων ἑλκῶν καθάρσεις τοῦ λυποῦντος χυμοῦ πρῶτον ἐγίγνοντό σοι, τὸν αὐτὸν τρόπον ἐπὶ τῶν τριχῶν αὐτῶν. ἀπ' αὐτῶν δ' ἄρξῃ τῆς

θεραπείας ἀπεσκεψάμενος ἀκριβῶς ὁποία τίς ἡ χρόα γέγονε τοῦ δέρματος, ἐξ οὗ τὰς τρίχας ὁρᾷς ἀπολλυμένας. εἰ μὲν γὰρ λευκοτέρα τοῦ κατὰ φύσιν, ἐπὶ τὴν τῶν φλεγματωδῶν χυμῶν ἀφικνοῦ κάθαρσιν. εἰ δ' ὠχροτέρα πως, ἐπὶ τὴν τῆς τοιαύτης χολῆς, ὥσπερ γε καὶ εἰ μελαντέρα τὰ τῶν μελάνων ἀγωγὰ δώσεις φάρμακα. πρὸς δὲ τὴν ἀκριβεστέραν τῆς κακοχυμίας διάγνωσιν, οὐ μικρὰ κἀκ τῆς προηγησαμένης διαίτης ὠφεληθήσῃ, μεμαθηκώς γε τίνα μὲν τῶν ἐδεσμάτων, τὸν μελαγχολικὸν ἀθροίζει χυμόν. τίνα δὲ, τὸν τῆς ὠχρᾶς χολῆς καὶ τοῦ φλέγματος. ὅταν οὖν ἤδη θαῤῥήσῃς, ὡς ἐπὶ καθαρωτάτῳ σώματι, τὸν ἐν τῷ πεπονθότι δέρματι περιεχόμενον χυμὸν ἐκδαπανήσεις τοῖς διαφορητικοῖς φαρμάκοις, φυλαττόμενος ἐν αὐτοῖς, οὕτω θερμὰ καὶ δριμέα προσάγειν φάρμακα ὡς ἑλκῶσαι τὸ δέρμα. τὰ μέν τοι καὶ τὰ ξηραίνοντα σφοδρῶς φυλάττεσθαι χρὴ, μή πως ἅμα τῷ μοχθηρῷ χυμῷ συνεκδαπανήσῃς καὶ τὸν ὑπάρχοντα χρηστὸν, ὅπερ ἐπὶ τῇ φαλακρώσει γίνεται. ταῦτ' οὖν ἐννοήσας ἐγὼ, πρῶτον ἔμιξα τοῖς τὰς ἀλωπεκίας θεραπεύουσι φαρμάκοις, βραχύ τι θαψίας. εἶτα προσέχων καθ' ἑκάστην ἡμέραν, ὅπως ἡ τοῦ κάμνοντος φύσις ὑπ' αὐτοῦ διατίθεται. κἀπειδὰν ἤτοι γε οἰδισκόμενον ἐπὶ πλέον, ἢ ἀναδερόμενόν πως ἴδω, τοῦ φαρμάκου μὲν ἀφίσταμαι κατ' ἐκείνην τὴν ἡμέραν. ἐπαλείφω δὲ τετηκότι στέατι τὸ μόριον, ἤτοι γ' ὄρνιθος, ἢ χηνὸς, ἐπειδὴ λεπτομερέστερα ταῦτα ἐστὶ, καὶ κατὰ βάθος εἰσδύεται. κἄπειτα κατὰ τὴν ὑστεραίαν, εἰ μὲν ἐπιμένοι τι τῶν εἰρημένων, ὁμοίως ἐπαλείφω. μὴ μενόντων δὲ, τῷ φαρμάκῳ χρῶμαι. ὅπως δ' εἰς βάθος δύοιτο, προσανατρίβω τὸ δέρμα τῇ σινδόνι μέχρι τοῦ σαφῶς ἐρυθρὸν γενέσθαι. εἰ γε μὴν μετὰ τὸ λουτρὸν χρῆσθαι βούλοιο τῷ τοιούτῳ φαρμάκῳ, παρὰ τοῦ βαλανείου, τὸ τ' ἐξῆς γινόμενον ὁ πρόσθεν ὑπὸ τῆς ἀνατρίψεως. καὶ τὰς ἀπολλυμένας δὲ τὰς ἐκ τῶν βλεφάρων τρίχας, οὓς ὀνομάζουσι πτίλους, ὁμοίοις μὲν τῷ γένει θεραπεύσεις φαρμάκοις. ἐκλέξῃ δ' ὕλην ἐπιτήδειον τοῖς ὀφθαλμοῖς, μετὰ τοῦ φροντίζειν δηλονότι καὶ τοῦ μὴ παραῤῥεῖν ἔσω τὸ φάρμακον εἰς τοὺς χιτῶνας αὐτῶν. ὅθεν ἀμείνω τὰ ξηρά. περὶ ὧν ὥσπερ καὶ τῶν ἄλλων ἐν ταῖς ἡμετέραις τῶν φαρμάκων πραγματείαις λέλεκται. νυνὶ γὰρ, ὅπερ ἔφην, ἀρκεῖ μόνα τὰ γένη διεξέρχεσθαι τῶν φαρμάκων, ἄνευ τῶν κατὰ μέρος ὑλῶν, ὅπως μὴ πολλάκις ἀναγκαζοίμην ὑπὲρ αὐτῶν λέγειν. ὅσα μὲν τοίνυν ἀλλότρια τῆς κατὰ φύσιν ἐστὶ διοικήσεως, ἐξαίρειν ὅλα αὐτὰ προσήκει. ὅσα δ' οἰκεῖα μὲν ἀλλὰ διέφθαρταί πως, ἀνασώζειν αὐτὰ καθόσον ἐνδέχεται. λέλεκται δ' ἔμπροσθεν ὡς ἐπαμφοτερίζειν τινά. λέλεκται δὲ ὡς καὶ τῶν ἀλλοτρίων ἔνια, ταῖς οὐσίαις ὅλαις ἐστὶν ἀλλότρια, λογικῆς ζητήσεως οὐκ εἰς τὴν θεραπείαν χρησίμης οὔσης κατὰ τοῦτον τὸν τόπον ἐπ' ἐνίων παθῶν. τὸ γάρ τοι πτερύγιον, ὅτι μὲν ἀλλότριόν ἐστι τῆς ὑγιεινῆς καταστάσεως, εὔδηλον εἶναι νομίζω πᾶσιν. οὐ μὴν ἀλλότριόν γε κατὰ τὴν οὐσίαν ἐστὶν, ὥσπερ ἀθέρωμα καὶ μελικηρίς. ἴασις δὲ καὶ τούτου μικροῦ μὲν ὄντος ἔτι καὶ μαλακοῦ διὰ τῶν ῥυπτόντων φαρμάκων, οἷά περ ἐστὶ καὶ τὰ τραχωματικὰ καλούμενα. μεγάλου δὲ καὶ σκληροῦ γενομένου διὰ χειρουργίας. ὁμοίως δὲ καὶ τῶν ὑδατίδων τὰς μεγάλας θεραπευτέον. τὰς μικρὰς δὲ, τὰ ξηραντικὰ τῶν φαρμάκων ὀνίνησι. τὸ δὲ χαλάζιον, ἔστι γὰρ ἕν τι καὶ τοῦτο τῶν ἐν ὀφθαλμοῖς γινομένων ὅλῳ τῷ γένει παρὰ φύσιν ὑπάρχον, ἐκκόπτεσθαι δεῖται. οὕτω δὲ καὶ τὸ πῦον ὑπὸ τῶν ὑποπύων ὀνομαζομένων ὀφθαλμῶν. ἀλλὰ τοῦτο μὲν ὡς τὰ πολλὰ διαφορεῖται φαρμάκοις. ὑπόχυμα δὲ ἀρχόμενον μὲν διαφορεῖται. σύστασιν δ' ἱκανὴν λαβὸν, οὐκέτι. τῶν καθ' ἡμᾶς δέ τις ὀφθαλμικῶν Ἰοῦστος ὄνομα, καὶ διὰ κατασείσεως τῆς κεφαλῆς πολλοὺς τῶν ὑποπύων ἐθεράπευσε. καθίζων μὲν αὐτοὺς ὀρθίους ἐπὶ δίφρου. περιλαμβάνων δὲ τὴν κεφαλὴν ἑκατέρωθεν ἐκ τῶν πλαγίων. εἶτα διασείων οὕτως ὥσθ' ὁρᾶν ἡμᾶς ἐναργῶς κάτω χωροῦν τὸ πῦον. ἔμενε δὲ κάτω. καί τοι τῶν ὑποχυμάτων μὴ μενόντων, εἰ μὴ πάνυ τις ἀκριβῶς αὐτὰ σφηνώσειε, διὰ τὸ βαρὺ τῆς οὐσίας. κουφότερον γάρ ἐστιν ὡς ἂν εἴποι τις εἰκάζων, ἢ νεφελωδέστερον τὸ ὑπόχυμα τοῦ πύου. πλὴν ὅσα καὶ τούτων αὐτῶν ἔνια, λέγω δὴ τῶν ὑποχυμάτων, ὀῤῥωδεστέρας ὑγρότητος ἐστίν. ἃ δὴ καὶ περικεντούντων, διαλύεται μὲν ἐν τῷ παραυτίκα. χρόνῳ δ' ὕστερον οὐ μακρῷ, καθάπερ τις ἰλὺς ὑποχωρεῖ κάτω. τὸ δ' ἐν τοῖς ὀφθαλμοῖς πῦον ὅταν διαφορῆσαι βουλώμεθα, τοῖς διὰ σμύρνης μάλιστα κολλυρίοις χρηστέον. ἃ δὴ καὶ καλοῦσιν ἰδίως διάσμυρνα. τούτων δ' ἧττον, ἄμεινον δὲ τῶν ἄλλων ἐνεργεῖ τὰ διὰ λιβάνου. τὰ δ' ἱκανῶς ξηραίνοντα, παραχρῆμα μὲν ἱκανῶς ἐκκενοῖ. τὸ ὑπόλοιπον πήγνυσι δυσλύτως, ὡς ἐπὶ τῶν σκιῤῥουμένων ἔμπροσθεν εἴρηται. πολλάκις δὲ πῦον ἀθρόως ἐκκενώσαμεν διελόντες τὸν κερατοειδῆ μικρὸν ὑποκάτω τοῦ χωρίου, καθ' ὃ συμφύονται πρὸς ἀλλήλους ἅπαντες οἱ χιτῶνες. ὀνομάζουσι δὲ ἔνιοι μὲν ἶριν, ἔνιοι δὲ, στεφάνην τὸ χωρίον. ὥστε καὶ τοῦτο τὸ πάθημα τοῖς τρισὶν ὑποπίπτειν τρόποις τῆς κενώσεως. καὶ διὰ χειρουργίας ἀθρόως ἐκκενούσης, καὶ διὰ φαρμάκου κατὰ βραχὺ, καὶ πρὸς ἀκυρότερον ἀπαγόμενον τρόπον, ὡς ἐν ταῖς κατασείσεσι. τοῦ γένους δ' εἰσὶν, ὡς ἔφην, τῶν ὅλαις ταῖς οὐσίαις παρὰ φύσιν ἐχόντων, καὶ αἱ ἀσκαρίδες. αἵ θ' ἕλμινθες, εἴθ' οὖν στρογγύλαι τινὲς εἰσὶν, εἴτε καὶ πλατεῖαι. διὸ καὶ τελέως αὐτὰς ἐξαίρειν χρὴ τοῦ σώματος. ἐξαιρήσεις δὲ, ἀποκτείνας. ἀποκτενεῖς δὲ, τοῖς πικροῖς φαρμάκοις. ζῶσαι μὲν γὰρ, ἀντέχονται τῶν ἐντέρων. ἀποθανοῦσαι δὲ, συνεκκενοῦνται τῇ κόπρῳ. συνεκκενοῦνται δὲ μὲν ζῶσαι καὶ ἔτι σκοτωθεῖσαι, καὶ ὡς ἂν εἴποι τις ἡμιθνῆτες γινόμεναι. τὰς μὲν οὖν στρογγύλας ἕλμινθας, ἱκανὸν ἀποκτεῖναι ἀψίνθιον. ἡ πλατεῖα δὲ, ἰσχυροτέρων δεῖται φαρμάκων, ὁποῖόν ἐστι καὶ ἡ πτερίς. ἔστι δὲ καὶ ἡ καλουμένη ἀσκαρίς, ἀλλὰ περὶ μὲν τῆς τῶν φαρμάκων εὐπορίας, οὐ νῦν πρόκειται λέγειν. ἐνταῦθα οὖν ἤδη τελευτάτω καὶ οὗτος ὁ λόγος. Τέλος.

ΓΑΛΗΝΟΥ ΤΩΝ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΘΕΡΑΠΕΥΤΙΚΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΟΤΙ μὲν οὐ τὴν κοινὴν μόνον ἁπάντων ἀνθρώπων φύσιν ὦ Γλαύκων ἐπίστασθαι χρὴ τὸν ἰατρὸν, ἀλλὰ καὶ τὴν ἰδίαν ἑκάστου, πάλαι τε πρὸς Ἱπποκράτους ὀρθῶς εἴρηται, καὶ ἡμῖν δὲ ἐπ' αὐτῶν, ὡς οἶσθα τῶν ἔργων τῆς τέχνης ἱκανῶς ἐπιδέδεικται. οὐ μὴν γράφειν γε δυνατὸν ὥσπερ τὴν κοινὴν, οὕτω καὶ τὴν ἰδίαν ἑκάστου, ἀλλ' ὑπεναντίως ἔχει τὰ γράμματα πρὸς τὰς πράξεις, ἄλλοθί τε πολλαχόθι καὶ οὐχ ἥκιστα ἐν τοῖς νῦν ὑπ' ἐμοῦ προκειμένοις. ἠξίωσας μὲν γάρ ἡμᾶς ἰαμάτων τινά σοι καθόλου μέθοδον ὑποτυπώσασθαι. περαίνεται δὲ αὕτη διά τε ποιότητος καὶ ποσότητος ἑκάστου τῶν βοηθημάτων, καὶ τοῦ τρόπου τῆς χρήσεως αὐτῶν, καὶ τοῦ πάντων τούτων χαλεπωτάτου διαγνωσθῆναι καιροῦ. περὶ ὃν ὀξὺν ἱκανῶς ὄντα, καθάπερ που καὶ τὴν φύσιν ὁ πάντων ἡμῖν τῶν καλῶν ἡγεμὼν Ἱπποκράτης, σφαλλομένους πολλάκις ὁρᾷς οὐ τοὺς τυχόντας μόνον, ἀλλὰ δὴ καὶ τοὺς ἀρίστους ἰατρούς. καὶ μὲν δὴ καὶ ὅτι μέγα τὸ ποσὸν δυσόχως συναρμοσθὲν εἰς δύναμιν, ὁ αὐτὸς ἀνὴρ ἔγραψεν. ὅταν οὖν εἰς μὲν τὸ καλῶς ἰᾶσθαι μέγας συντελεῖν φαίνοιτο ὅ, τε καιρὸς καὶ ἡ ποσότης τῶν βοηθημάτων, ἴδια δὲ ταῦτα καθ' ἕκαστον τῶν νοσούντων εὑρήσεις, καὶ μηδὲν ἴδιον ἑρμηνεύεσθαι δύναται διὰ λόγου, τὸ κοινὸν οὕτως ἀναγκαζόμεθα γράφειν, κἂν τῇ χρείᾳ δεύτερον ᾖ. καὶ γὰρ οὖν καὶ ἐπισκοπούμεθα τινὰς ἀρρώστους πολλάκις, οἷς ἔμπροσθεν ὑγιαίνουσιν, οὐκ ἐνετύχομεν. οὔκουν οὐδὲ ὅπως εἶχον χροιᾶς, ἢ ἕξεως ἢ τῆς κατὰ φύσιν θερμασίας, ἢ τῆς τῶν ἀρτηριῶν κινήσεως† γινώσκοντες, ἵν' εἰδότες ἱκανοὶ κριταὶ γενοίμεθ' ἄν ποτε τῶν νοσημάτων τοῦ μεγέθους. εἰς ὅσον γὰρ ἐξίσταται τῆς φύσεως ἕκαστον, εἰς τοσοῦτον καὶ μεγέθους ἥκει. τὸ δ' ὅσον ἐξίσταται, γνῶναι δυνατὸν μόνῳ τῷ τὴν κατὰ φύσιν ἀκριβῶς ἐπισταμένῳ. τοῦτ' οὖν ἀγνοοῦντες ἐπ' αὐτῶν, ἵνα μὴ παντάπασιν ἀπορῶμεν, ἐπὶ τὸ κοινὸν ἀφικνούμεθα. πλέον δέ τι κἀν τούτῳ τῶν ἀτέχνων ὁ τεχνίτης ἔχει. καὶ τί τὸ πλέον; Ἱπποκράτης μὲν καὶ τοῦτο πρῶτος ἁπάντων ὧν ἴσμεν, γέγραφεν. † ὑπεμνήσαντο δὲ ἐπὶ πλέον τῶν μετ' αὐτὸν ὅσοι τῶν ἐκείνου συνῆκαν γραμμάτων, ὧν εἷς ἦν καὶ Μνησίθεος ὁ Ἀθηναῖος, ἀνὴρ τά τε ἄλλα ἱκανὸς πάντα τὰ τῆς τέχνης, καὶ εἰς ὅσον χρὴ μεθόδῳ τὴν ἰατρικὴν τέχνην ἀσκεῖν, οὐδενὸς ἐπιγνῶναι δεύτερος. οὗτος ὁ Μνησίθεος, ἀπὸ τῶν πρώτων καὶ ἀνωτάτω γενῶν ἀρξάμενος, ἀξιοῖ τέμνειν αὐτὰ κατ' εἴδη τε καὶ γένη καὶ διαφοράς. εἶτ' αὖθις τὰ τεμνόμενα τέμνειν ὁμοίως. τἀκεῖνα πάλιν ὡσαύτως ἔστ' ἂν ἐπί τι τοιοῦτον εἶδος ἀφικώμεθα μεθ' ὃ, τέμνοντες ἄχρις οὗ τὸ τεμνόμενον, εἰς ἓν τῷ ἀριθμῷ, καὶ ἄτομον ἤδη τελευτήσωμεν. ταῦτ' ἀρκεῖ μοι πρός γε σὲ διὰ βραχέων, ἃ βούλομαι δεδηλῶσθαι. καὶ γὰρ ἂν εἴην γελοῖος, εἰ σὲ διδάσκοιμι τὰ σὰ, ὥσπερ οὐχὶ παρὰ Πλάτωνος αὐτὰ πάλαι μεμαθηκότα. οὐ δὲ γὰρ ὥστε διδάξαι σέ τι πῶς περὶ τῆς κατὰ τὴν τοιαύτην διαίρεσιν μεθόδου τὴν ὑπόμνησιν ἐποιησάμην, ἀλλ' ὅτι μοι πρὸς τὸν ἐφεξῆς λόγον ἅπαντα χρήσιμον αὐτὴν ἔσεσθαι νομίζω. καὶ τὴν αἰτίαν ὧν ἑκάστοτε σφαλλομένους ὁρᾷς τοὺς πλείους τῶν ἰατρῶν, ἄξιόν τί σοι μαθεῖν, οὐκ ἐνὸν ἄλλως ἐνδείξασθαι. καὶ γὰρ καὶ τὰ κατὰ τὰς ἄλλας αἱρέσεις σφάλματα, καὶ ὅσα νῦν ἐπὶ τῶν νοσούντων οἱ πολλοὶ τῶν ἰατρῶν ἁμαρτάνουσι, πρώτην καὶ μεγίστην αἰτίαν ἔχει, τὸ μοχθηρὸν τῆς διαιρέσεως. οἱ μὲν γὰρ ἐπὶ τῶν πρώτων καὶ ἀνωτάτω γενῶν μένουσιν, ἀρκούμενοι ταῖς ἀπὸ τούτων ἐνδείξεσιν. οἱ δὲ, μέχρι μέν τινος ἔτεμον, οὐ μὴν πρός γε τὸ τέλος ἐξίκοντο. πολλοὶ δὲ καὶ μοχθηραῖς ἐχρήσαντο διαιρέσεσιν. ὅστις δὲ καὶ τὰ κατὰ φύσιν ἅπαντα καὶ τὰ παρὰ φύσιν εἰς τὴν τοιαύτην ἀνάγων μέθοδον, ἐξ ἁπάντων τούτων τῶν κατὰ τὴν διαίρεσιν ἀνενδεῆ λαμβάνοι τὴν ἔνδειξιν μόνος ἂν οὗτος εἰς ἀνθρωπίνην δύναμιν ἀναμάρτητος εἴη περὶ τὰς ἰάσεις. καὶ τούς τε γινωσκομένους ἄμεινον τῶν ἄλλων ἰῷτο, καὶ τοὺς ἀγνοουμένους εἰς ὅσον οἷόν τε καὶ τούτους ἐγγυτάτω τῶν γινωσκομένων. εἰ γοῦν διορίσαιτό τις πρῶτον μὲν τὴν κατὰ τὰς ἡλικίας διαφορὰν, ἐφεξῆς δὲ τὴν κατὰ τὰς κράσεις, καὶ τὰς δυνάμεις, καὶ τἄλλα τὰ τοῖς ἀνθρώποις ὑπάρχοντα, χροιὰς λέγω καὶ θερμασίας, καὶ ἕξεις, καὶ σφυγμῶν κινήσεις καὶ ἔθη, καὶ ἐπιτηδεύματα. καὶ τὰ τῆς ψυχῆς ἤθη. προσθεὶς δὲ τούτοις, καὶ τὴν ὡς ἄρρενος πρὸς θῆλυ διαφορὰν ὅσα τε κατὰ τὰς χώρας καὶ τὰς ὥρας τοῦ ἔτους, καὶ τὰς ἄλλας τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσεις ὡς χρὴ διορίσασθαι, πλησίον ἂν ἥκοι τῆς ἰδίας τοῦ κάμνοντος φύσεως. ἀλλὰ πάντων τούτων τὰ μὲν, ἐν τοῖς περὶ σφυγμῶν. τὰ δὲ, ἐν τοῖς περὶ κράσεων διώρισαι. ὥσπερ γε καὶ τῶν παρὰ φύσιν ἁπάντων ὅσαι κατ' εἴδη τε καὶ γένη διαφοραὶ τυγχάνουσιν οὖσαι, πάσας ἐν τῷ περὶ παθῶν διοριζόμεθα λόγῳ. νυνὶ δὲ ὁ μὲν λόγος ἡμῖν ἅπας, ἔσται περὶ τῶν τοιούτων ἀρρώστων, ὧν τὴν φύσιν ἀκριβῶς ἐπιστάμεθα πρὸ τῆς νόσου. συνεπινοηθήσονται δὲ αὐτοῖς καὶ οἱ λοιποὶ πάντες ὧν ἠγνοοῦμεν. οὐδὲν γοῦν ἦν χαλεπὸν ἀπὸ τοῦ τελέως διωρισμένου, καὶ τὸ μὴ τοιοῦτον ἐξευρίσκειν. ἀρξώμεθα οὖν ἀπὸ τῶν πυρετῶν, ἐπειδὴ καὶ σὺ τῆς τούτων ἰάσεως μάλιστα ἠξίου σοι τὴν μέθοδον λεχθῆναι. καὶ πρῶτον εἴπωμεν περὶ τῶν ἁπλουστάτων, οὓς Ἱπποκράτης ἐφημέρους καλεῖ. οὗτοι δέ εἰσιν οἵ τε διὰ κόπους γινόμενοι, καὶ μέθας, καὶ ὀργὰς, καὶ λύπας, καὶ θυμοὺς, καὶ τὰς ἄλλας φροντίδας τῆς ψυχῆς τὰς συντόνους. καὶ οἱ ἐπὶ βουβῶσι δὲ πυρετοὶ τούτου τοῦ γένους εἰσὶ, πλὴν εἰ μὴ χωρὶς ἕλκους φανεροῦ γένοιτο. τηνικαῦτα γὰρ ὕποπτοί τε εἰσὶ, καὶ οὐδαμῶς ἐπιεικεῖς. καὶ ἀγρυπνία δὲ πολλάκις ἤνεγκεν ἁπλοῦν πυρετὸν ὥσπερ οὖν, καὶ ψύξις ποτὲ, καὶ ἔγκαυσις. οὗτοι πάντες οἱ πυρετοὶ ῥᾷστοι λυθῆναι δύνανται. χρὴ γοῦν ἐπί τε λουτρὰ ταχέως ἄγειν αὐτοὺς, καὶ τὴν ἄλλην τὴν συνήθη δίαιταν. ὡς ὅσοι γε τὴν πολυθρύλλητον διάτριτον ἐπὶ πάντων τῶν τοιούτων ἐκδέχονται, δριμυτέρους πολλάκις εἰργάσαντο τοὺς πυρετοὺς, καί τι καὶ ἄλλο προσεξαμαρτάνοντες. ὥσπερ οὖν ὁρᾷς τοὺς πολλοὺς αὐτῶν καθ' ἑκάστην εἴσοδον ἁμαρτάνοντας, ὡς καὶ χειροποίητα ὄντως ἐργάζεσθαι νοσήματα. τὰ μὲν δὴ τῆς θεραπείας, τοῖς

†al. omittuntur

†al. ἐζητήσαντο

τοιούτοις πυρετοῖς πρόχειρα. τὰ δὲ τῆς διαγνώσεως, ἀκριβείας πλείονος δεῖται, καὶ οὐδεὶς πρόγε ἡμῶν ἔγραψεν αὐτὰ εἰς ὅσον ἐχρῆν. ὥστ᾽ οὐδὲν θαυμαστὸν εἰς τοσοῦτον ἁμαρτάνειν τοὺς πολλοὺς ἐν ταῖς ἰάσεσιν, εἰς ὅσον καὶ ταῖς διαγνώσεσι σφάλλονται. πολλάκις γοῦν ἤρξαντο τινὲς νοσημάτων χαλεπῶν κατά τινα συντυχίαν, οἷον οἰνωθέντες, ἢ ἐγκαυθέντες, ἢ ψυχθέντες, ἢ κοπωθέντες, ἢ ἀγρυπνήσαντες, ἢ θυμωθέντες, ἢ ὁπωσοῦν ἄλλως αἰτίᾳ τινὶ συγχυθέντες τῶν καθ᾽ αὑτὰ βλάπτειν πεφυκότων. εἶτα οἰηθέντες τὸ πᾶν διὰ τὸ προηγησάμενον αἴτιον, οὐδ᾽ ἄλλην τινὰ γεγονέναι διάθεσιν, ἀφυλακτότερον διαιτηθέντες, ἔλαθον ἑαυτοὺς εἰς ἀνίατον, ἢ καὶ δεινῶς δυσίατον ἐμβάλλοντες νόσημα. τοῦτ᾽ οὖν χρὴ περὶ παντὸς πρόνοιαν πεποιῆσθαι καθόλου καὶ Ἱπποκράτης παραινεῖ προγινώσκειν, οὐ τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ τὰ προγεγονότα καὶ τὰ παρόντα. καὶ γὰρ οὖν καὶ τὸ νῦν προκείμενον, ἐκείνου τοῦ μέρους τῆς τέχνης ἐστὶ, καὶ ἡμεῖς αὐτὸ καθόσον οἷόν τε σαφῶς γράψομεν. οὐ σμικρὰ γὰρ ἡ διαφορὰ λούειν ἤδη τὸν κάμνοντα, καὶ θαρρεῖν κελεύειν, ἢ διὰ πάσης φυλακῆς τε καὶ ἀσφαλείας ἄγειν. εἰσελθόντας οὖν χρὴ πρὸς τὸν ἀσθενοῦντα, πρῶτον μὲν ἀπὸ τῶν μεγίστων σκοπεῖσθαι τὰ κατ᾽ αὐτόν. ἔπειτα δὲ καὶ ἀπὸ τῶν ἄλλων, μὴ δὲ ὡς οἷόν τε μηδὲ τῶν ἐλαχίστων παραλείποντας. τὸ γὰρ μᾶλλον ἢ ἧττον, τῇ παρὰ τῶν μεγίστων ἐνδείξει πιστεύειν, ἐκ τῆς τῶν ἄλλων προσθήκης γίνεται. μέγιστα μὲν δὴ τοῖς πυρέσσουσιν ἅπασιν, ἔν τε τοῖς σφυγμοῖς ἐστὶ καὶ τοῖς οὔροις γνωρίσματα. προστιθέναι δὲ χρὴ τούτοις, καὶ τἆλλα σύμπαντα τά τε περὶ τὸ πρόσωπον παρ᾽ Ἱπποκράτους εἰρημένα, καὶ τὰ τῶν κατακλίσεών τε καὶ τὰ τῆς ἀναπνοῆς. καὶ ὅσα κάτω τε καὶ ἄνω κενοῦται. καὶ μὲν δὴ καὶ ἔτι σύμπτωμα περὶ ὁτιοῦν μόριον τοῦ σώματος ἢ ἐνέργειαν αὐτοῦ συνιστάμενον βλέποις, οἷα δὴ μυρία ἐπὶ μυρίοις ἐκεῖνος ἔγραψε, μὴ δὲ τούτων ῥαθύμως μηδὲν παρέρχεσθαι. ταῦτα μὲν δὴ ἐπὶ πάντων κοινὰ τῶν πυρετῶν. ὥς τε κἀν τοῖς ἁπλουστάτοις ὑπὲρ ὧν ὁ ἐνεστηκὼς λόγος, οὐδὲν οὐδὲ τούτων χρὴ παραλιπεῖν. ἀλλ᾽ ἐπειδὰν σοι τά τε τῶν σφυγμῶν, καὶ τὰ τῶν οὔρων ἐνδείξηται τὸ ἦθος τοῦ πυρετοῦ, τῶν μὲν σφυγμῶν, μήτε τὸ τῆς φλεγμονῆς σημεῖον ἐχόντων, μήθ᾽ ὅλως τὸ κατὰ μίαν προσβολὴν τῆς ἀρτηρίας ἀνώμαλον. εἰ δὲ καὶ ἔχοιεν, τοῦτο μὲν παντάπασιν ἀμυδρὸν ἐχόντων, τῶν οὔρων δὲ, ἢ πάντη τῇ κατὰ φύσιν ἐοικότων ἢ μὴ πολὺ τῆς φύσεως ἐξισταμένων, τόθ᾽ ἥκειν χρὴ καὶ ἐπὶ τἆλλα σύμπαντα τὰ πρόσθεν εἰρημένα. κἄπειδὰν ὥσπερ χορὸς συμφώνως ἅπαντα φθέγγονται, θαρρεῖν τε ἤδη χρὴ, καὶ εἰ βούλοιο προσανερέσθαι, μή τι προηγήσατο φανερὸν αἴτιον. εἰ γοῦν τι καὶ τοιοῦτον ὁμολογήσει ὁ νοσῶν, ἀναμείνας τὴν πρώτην λύσιν τοῦ πυρετοῦ λούειν αὐτίκα, πιστοτέρας σοι τῆς διαγνώσεως καὶ κατ᾽ αὐτὸ τὸ τῆς λύσεως εἶδος γινομένης, ἥ τε γὰρ τῶν ἀρτηριῶν κίνησις, ἐν τῷδε κατὰ πᾶν ἐξομοιοῦται τῇ τῶν ὑγιαινόντων, οὐδενὸς τῶν ἄλλων πυρετῶν εἰς τὸ κατὰ φύσιν ἐπανιόντος, οὐδ᾽ εἰ πάμπολυς ὁ μεταξὺ χρόνος τῆς τε προτέρας τελευτῆς, καὶ τῆς δευτέρας ἀρχῆς εἴη. καθάπερ ἐν τριταίοις τε καὶ τεταρταίοις. ἐν ἐκείνοις μὲν γὰρ ἀεὶ παραμένει τὸ τοῦ πυρετοῦ σημεῖον. ἐν δὲ τοῖς ἐφημέροις συνεξαλείφεται πᾶν τοῦ † παροξυσμοῦ παυομένου. τοῖς πλείστοις, δὲ αὐτῶν καὶ νοτίδες. ἔστι δ᾽ οἷς καὶ ἱδρῶτες ἐπιφαίνονται χρηστοί. ἢ πάντως γε οἷον ἀτμός τις πολὺς ἐκ τοῦ βάθους ἀναφέρεται. ἀλλὰ καὶ τὰ οὖρα πολὺ βελτίω νῦν, ἢ κατὰ τὴν ἀρχὴν τοῦ πυρετοῦ φανεῖταί σοι. καὶ εἰ κεφαλῆς, ἢ τινὸς ἄλλου μέρους ἄλγημα συνεισέβαλεν, οὐδὲ τοῦτ᾽ ἂν ἔτι μένοι. καὶ ἡ τοῦ κάμνοντος εὐφορία, μέγιστόν τι καὶ αὐτὴ σημεῖον οὖσα, καθάπερ τις σφραγὶς ἐπὶ πᾶσι τοῖς ἄλλοις, ἐνδείξεταί σοι τὴν ἐπιείκειαν τοῦ πυρετοῦ. καὶ εἰ λουομένοις δὲ αὐτοῖς μήτε φρίκη ἀήθης ἐνοχλοίη, μήτ᾽ ἄλλη τις ἀηδία καὶ εἰ μετὰ τὸ λουτρὸν ἐφεξῆς ἐν εὐφορίᾳ μένοι, θαρρῶν ἤδη τρέφοις ἂν αὐτούς. καὶ οἴνου παρέχοις ἀδεῶς πίνειν. ὅσον τοῖς παροῦσι μέτριον. ἡμεῖς δὲ, ὡς οἶσθα, πειρώμεθα λέγειν αὐτοῖς τὸ προηγησάμενον αἴτιον, οὐ περιμείναντες ἐρέσθαι τὸν κάμνοντα. καὶ ἔστι μέγιστον σημεῖον εἰς τὸ μηδὲν σφάλλεσθαι, τὸ τοιαύτην τινὰ πεπορίσθαι δύναμιν. εἰ μέν τοι μενόντων ἔτι τῶν τῆς ψυχῆς παθῶν ἡ ἐπίσκεψις γίγνοιτο, διὰ τῶν σφυγμῶν μάλιστα πειρᾶσθαι διαγινώσκειν, ὡς ἐν τοῖς περὶ σφυγμῶν γέγραπται. μετὰ τούτοις δὲ καὶ τὴν ἀπὸ τῶν ἄλλων ἀπάγειν διάγνωσιν. εἰ δ᾽ αὐτὰ μὲν εἴη πεπαυμένα μένοι δὲ ἡ διάθεσις ἀμυδρὸν μέν τι καὶ κατὰ τοὺς σφυγμοὺς εὑρήσεις γνώρισμα τῶν ποιησάντων τὸν πυρετὸν παθῶν, ἀρκέσει δέ σοι καὶ χωρὶς τῶν σφυγμῶν τὰ λοιπά. κοινῶς μὲν γὰρ ἅπασι τὰ οὖρα, πυρρά. πρόσεστι δὲ, τοῖς μὲν διὰ λύπην, δριμύτης μᾶλλον ἢ πλῆθος θερμασίας. ὡς τοῖς γε διὰ θυμὸν ἔμπαλιν. ἀλλὰ καὶ ἡ ἰσχνότης τοῦ σώματος ἐπιδηλοτέρα τοῖς λυπηθεῖσιν ἢ φροντίσασι. καὶ ἡ τῶν ὀφθαλμῶν κοιλότης. καί τις ἀήθης ἀχροια. ταῦτα μὲν δὴ καὶ τῶν ἄλλως ὁπωσοῦν φροντισάντων κοινά. μάλιστα δὲ τοῖς ὀφθαλμοῖς διορίζειν χρή. ἔνεστι γὰρ ἐκ τούτων τεκμαίρεσθαι, κἂν τοῖς ὑγιαίνουσι μὲν τὸ τῆς ψυχῆς ἦθος, καὶ νοσούντων δὲ, σαφέστερα τὰ σημεῖα τῷ γε δυναμένῳ συνορᾶν ἀκριβῶς. οὕτω μὲν οὖν τοὺς διὰ μαθήματα καὶ θεωρίαν τινὰ φροντίσαντας, τῶν λυπηθέντων διακρίνειν προσήκει. τοὺς δὲ ἐπ᾽ ἀγρυπνίαις, διορίζει μὲν καὶ τὸ τῆς ἀχροίας εἶδος. ὑποίδουν γάρ ἐστιν αὐτοῖς τὸ πρόσωπον. καὶ ἡ τῶν ὀφθαλμῶν δὲ κίνησις, δήλη. μόλις γοῦν ἐπαίρουσι τὰ βλέφαρα. καὶ ἡ ὑγρότης δὲ ἐν τοῖς βλεφάροις. ξηροὶ γὰρ γίνονται τοῖς λυπηθεῖσιν, ἢ φροντίσασιν. ἡ κοιλότης δὲ κοινὸν ἁπάντων σύμπτωμα, λύπης. ἀγρυπνίας. φροντίδος. οὐ μὴν ἤδη γε καὶ θυμοῦ. τούτων γὰρ οὔτε τὰ κοιλότητος τῶν ὀφθαλμῶν, οὔτε τὰ τῆς ἀχροίας ἐπίδηλα. καὶ ἡ θερμασία πλείων τε καὶ ὠκέως ἐκ τοῦ βάθους ἀναφερομένη, καὶ τὸ μέγεθος τῶν σφυγμῶν οὐ καθαιρεῖται, καθάπερ ἐπ᾽ ἀγρυπνίας τε καὶ λύπης, καὶ φροντίδος. ὥστε θυμοῦ μὲν, καὶ πάνυ σαφῶς αὐτὰ διοριεῖς. ἀλλήλων δ᾽ ἐκεῖνα καθότι προείρηται. τῶν δ᾽ ἐπὶ κόποις πυρετῶν, τὸ δέρμα ξηρότερον, ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν. ἀλλὰ τοῦτο μὲν ἅπασι τοῖς ἐπὶ κόπῳ πυρέξασι κοινόν, ἔν γε τῷ μέχρι τῆς ἀκμῆς τοῦ παροξυσμοῦ χρόνῳ. τὸ δ᾽ ἀπὸ τοῦδε, τοῖς πλείστοις μὲν ὅσοι γε μὴ ὑπερεπόνησαν ἰκμάδες τινὲς ἢ ἀτμὸς θερμὸς ἐκ τοῦ βάθους ἀναφέρεται. τισὶ δὲ κἂν τοῖς μετὰ τὴν ἀκμὴν χρόνοις ἡ ξηρότης παραμένει. γίνεται δὲ τοῦτο μάλιστα τοῖς ὑπερπονήσασιν, ἢ ψυχθεῖσιν, ἢ ἐγκαυθεῖσιν ἅμα τῷ κόπῳ. καὶ μὲν δὴ καὶ τὰ τῶν σφυγμῶν, οὐχ ὡσαύτως ἐν ἀμφοτέροις ἔχει. μικροὶ μὲν γοῦν τοῖς ὑπερπονήσασι. μεγάλοι δ᾽ εἰσὶ τοῖς ἄλλοις. οἱ δ᾽ ἐπὶ πυκνώσει τοῦ δέρματος γινόμενοι πυρετοί, πυκνοῦται δὲ τοῦτο, ἢ ψυχομένου, ἢ ποιότητος αὐτῷ στρυφνῆς ἀθρόως προσπεσούσης, οἷόν τι καὶ ποτε λουσαμένῳ ἐν ὕδατι ποτε στυπτηριώδει ἐγένετο. οὗτοι μόνοι πάντων τῶν πυρετῶν, στεγνόν εἰσι πάθος, ἔνεστι δὲ αὐτοὺς τῇ ἁφῇ διαγινώσκειν, ὥσπερ καὶ τοὺς αὐχμώδεις τῶν πυρετῶν, καὶ

† al. περὶ προξυσμῷ παυομένῳ

† al. πυρεττόντων

τοὺς ἐπὶ

τοὺς ἐπὶ τοῖς κόποις, καὶ τοὺς ἐπ᾽ ἐγκαύσεσιν. οὐδὲ γὰρ ἂν ἡ τούτων πύκνωσις ἀφὴν γεγυμνασμένην διαλάθοι. ἀτὰρ οὖν καὶ ἡ τῆς θερμασίας κίνησις, ἐπαναδιδοῦσα πώς ἐστι. πραεῖα μὲν, κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς χειρὸς φαινομένη. δριμεῖα δὲ, εἰ χρονίσειας ἐπιπλεῖον γιγνομένη. οὐ μὴν οὐδὲ τὰ οὖρα πυῤῥὰ, τοῖς τοιούτοις, οὐδὲ ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν. οὔκουν οὐδὲ οἱ ὀφθαλμοὶ κοῖλοι καὶ ξηροὶ γίνονται. ἀλλ᾽ ἔστιν οἷς ὑγρότεροί τε καὶ προπετέστεροι δόξουσιν εἶναι τῶν κατὰ φύσιν. οὐδ᾽ οἱ σφυγμοὶ μικρότεροι καθάπερ ἐπὶ λύπης, ἢ φροντίδος, ἢ ἀγρυπνίας, καὶ τοῖς ἄγαν ἀμέτροις γυμνασίοις χρωμένοις. Τοῖς δ᾽ ἐπὶ βουβῶσι πυρετοῖς ἐφημέροις, οἱ σφυγμοὶ μέγιστοι γίνονται, καὶ πυκνοὶ, καὶ ὠκεῖς, καὶ ἡ θερμασία πολλή. καὶ μετὰ τὴν ἀκμὴν εὐθὺς ἐκ τοῦ βάθους ἀναφέρεταί τις ἰκμάς. θερμὴ μὲν, ἀλλ᾽ ἡδεῖα. τὸ γοῦν δριμὺ, καὶ τὸ δάκνον ἥκιστα πυρετῶν πάντων τοῖς τοιούτοις ὑπάρχει. καὶ τὸ πρόσωπον ἐρυθρὸν αὐτοῖς γίνεται τοὐπίπαν, καὶ ἐν ὄγκῳ μείζονι, καὶ τὰ οὖρα ὑπόλευκα. κοινὸν δὲ τοῖς τοιούτοις ἅπασι πυρετοῖς τοῖς ἐφημέροις, ἡ ὁμαλότης τοῦ σφυγμοῦ. παντελῶς γὰρ ἐξ αὐτῶν, ὀλίγοι, τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν ἐμφαίνουσιν. ἀλλ᾽ οὐδ᾽ οὗτοι πάνυ σαφῶς, οὐδὲ ἐναργῶς. τοιαῦτα μὲν αὐτῶν τὰ γνωρίσματα. θεραπεύειν δὲ χρὴ λουτρῷ μὲν ἅπαντας. ἀλλὰ τοὺς μὲν ἐπὶ πυκνώσει τοῦ δέρματος, ἢ ἐπὶ βουβῶσιν, οὐδ᾽ εἰ ἐν τῷ ἀέρι τοῦ βαλανείου χρονίσαι κελεύσειας, οὐδὲν βλάψεις. τοὺς δ᾽ ἄλλους ἅπαντας, ὅτι τάχιστα τοῦ ἀέρος ἀπάγειν. ἐν δὲ τῷ ὕδατι κἂν ἐπὶ πλεῖστον ἐθέλοιεν διατρίβειν, ἐπιτρέπειν. ἐλαίῳ δὲ χλιαρῷ καὶ πολλῷ, καὶ μαλακαῖς χερσὶν ἀνατρίβειν ἐπιπλέον. μάλιστα μὲν τοὺς κοπωθέντας. ἐφεξῆς δ᾽ αὐτῶν, τοὺς στεγνωθέντας. καὶ τρίτους τοὺς ἐπὶ βουβῶσι πυρέξαντας καὶ λούειν δὲ πολλάκις, εἰς ὅσον ἐγχωρεῖ τοὺς τοιούτους. ἐσθίειν δὲ, τοὺς μὲν ἐπὶ τοῖς κόποις ἐνδέχεται πολλά. οὐ μὴν οὔτε τοὺς στεγνωθέντας, οὔτε τοὺς ἐπὶ βουβῶσι πυρέξαντας. ἀλλὰ τούτοις ἀμφοτέροις, ἡ λεπτὴ δίαιτα χρηστή. τοὺς δ᾽ ἐπὶ τοῖς κόποις ὅσα καλῶς πέψαι δύνανται κελεύειν ἐσθίειν ἀπεψίαν μόνον φυλαττομένους. ἀλλὰ καὶ οἶνον πίνειν, εἰς ὅσον ἂν καὶ τούτου κρατεῖν δύνωνται. σκοποὶ δ᾽ ἂν εἶεν τοῦ μέτρου, οἵπερ δὴ καὶ τῶν ἄλλων ἁπάντων, ἥτε δύναμις, καὶ ἡ ἡλικία τοῦ νοσοῦντος καὶ ἡ φυσικὴ κρᾶσις, ἔθη τε καὶ ὧραι, καὶ χῶραι, καὶ τὰ ἄλλα τὰ τοιαῦτα. τοὺς δ᾽ ἐπὶ βουβῶσι πυρέξαντας, εἴργειν οἴνου, πρὶν ἢ τοὺς βουβῶνας λυθῆναι. τῶν δὲ στεγνωθέντων ἢ ψυχθέντων, τοὺς μὲν ἐπ᾽ ὀλίγον τοῦτο παθόντας, ἥκιστά τε πληθωρικοὺς, οὐ χρὴ κωλύειν οἶνον προσφέρεσθαι, τοὺς δὲ ἐπὶ πλέον ψυχθέντας ἢ πληθωρικοὺς, κωλύειν συμφέρει. τοὺς, δ᾽ ἐπ᾽ ἀγρυπνίαις ἢ τινὶ πάθει ψυχῆς πυρέξαντας, ἐπὰν λούσῃς, ὑγραίνουσί τε καὶ εὐχύμῳ τροφῇ διαιτᾶν. οἶνον δὲ μάλιστα μὲν τοῖς ἀγρυπνήσασιν ἀδεῶς διδόναι πᾶσι, πλὴν εἰ μὴ κεφαλὴν ἀλγοῖεν, ἢ οἱ κρόταφοι σφύζοιεν. ὃ δηλονότι καὶ ἐν τοῖς ἄλλοις φυλακτέον, ἀλλὰ καὶ τοῖς ὀργισθεῖσιν, ἢ λυπηθεῖσιν, ἢ φροντίσασιν οἶνον διδόναι. τοῖς θυμωθεῖσι δὲ ἡνίκα ἔξω παντελῶς τοῦ πάθους ὦσι, πρότερον δ᾽ οὐκ ἀσφαλὲς οἴνῳ χρῆσθαι. πειρᾶσθαι δὲ καὶ τὸ ἐναντίον ἀντεισάγειν ἀεὶ τῷ λυπήσαντι. κόπῳ μὲν, ἀνάπαυσιν. ἀγρυπνίᾳ δὲ, ὕπνον. ὀργῇ δὲ καὶ λύπῃ καὶ θυμῷ, τὴν ἐν λόγοις τε καὶ πράξεσι, καὶ θεάμασι, καὶ διηγήμασι θυμηδίαν, οὕτω δὲ καὶ ὁ φροντίσας ἐπ᾽ αὐτῷ τελέως ἀναπαυσάτω τὸν λογισμόν. καὶ ὁ διὰ βουβῶνα πυρέξας, αὐτόν τε τοῦτον ἐξιάσθω, καὶ πολὺ πρότερον αὐτοῦ τὸ ἕλκος ἐφ᾽ ᾧ συνέστη. ταῦτά σοι πυρετῶν ἐφημέρων ἔστω γνωρίσματά τε ἱκανὰ καὶ ἰάματα. τῶν δ᾽ ἄλλων πυρετῶν οἱ μὲν, ἐπὶ φλεγμοναῖς, οἱ δ᾽ ἐπὶ χυμοῖς ἀνάπτονται. καὶ εἰσὶν οἱ μὲν ἐπὶ ταῖς φλεγμοναῖς, οἷον συμπτώματά τινα τῶν φλεγμαινόντων μορίων. καὶ τοὔνομά γε τῷ νοσήματι παρωνύμως τὰ πολλὰ ἀπὸ τοῦ πάσχοντος ὀργάνου, φρενῖτις, ἢ περιπνευμονία, ἢ πλευρῖτις, ἢ τι τοιοῦτον ἄλλο. περὶ μὲν δὴ τῶν τοιούτων ὕστερον ἐροῦμεν. οἱ δ᾽ ἐπὶ χυμοῖς ἀναπτόμενοι πυρετοὶ καλοῦνται τὸ αὐτὸ τοῦτο πυρετοί, καὶ εἰσὶν οὐ συμπτώματα νοσημάτων, ἀλλ᾽ αὐτοὶ νοσήματα. τούτων δὲ, τινὲς μὲν, ἄνευ συμπτωμάτων, οἵπερ δὴ καὶ ἐπιεικέστατοί εἰσι. τινὲς δ᾽ ἅμα συμπτώμασιν ἐνοχλοῦσιν. εἰρήσεται δ᾽ ἡμῖν περὶ προτέρων τῶν ἄνευ συμπτωμάτων πυρετῶν. ἐν οἷς μάλιστα μὲν εἰ οἷόν τε κατὰ τὴν πρώτην ἡμέραν διαγνωστέον, οἷός τίς ἐστιν ὁ πυρετὸς, ἆρά γε χρόνιος, ἢ ὀξύς. καὶ πότερον, τῶν διαλειπόντων, καλουμένων ἢ τῶν συνεχῶν. εἰ δὲ μὴ οἷόν τε περὶ τὴν ἡμέραν τὴν πρώτην. ἀλλὰ τῇ δευτέρᾳ γε πειρατέον ἐξευρεῖν τὴν ἰδέαν τοῦ πυρετοῦ. μηδενὸς δὲ μηδ᾽ ἐν ταύτῃ βεβαίως διαγνωσθέντος, ἐν γοῦν τῇ τρίτῃ, πάντως φανήσεταί σοι σαφέστερόν τι. παντελῶς γὰρ ὀλίγοι πυρετοὶ τῆς τε τετάρτης ἡμέρας δέονται πρὸς ἀκριβῆ διάγνωσιν. ἐρῶ δέ σοι καθόσον οἷόν τε διὰ βραχέων σημεῖα, δι᾽ ὧν ἐπιγνώσῃ τὸ εἶδος τοῦ πυρετοῦ. μακρότερον δὲ καὶ σαφέστερον ἑτέρωθι πάντα λέλεκται. τοὺς μὲν οὖν μετὰ ῥίγους εἰσβάλλοντας, οὐκ ἂν ἀπὸ τρόπου τῶν κατὰ περίοδον ἐνοχλούντων ὑπολάβοις εἶναι. τριταῖοι γὰρ καὶ τεταρταῖοι μετὰ ῥίγους τοὐπίπαν παροξύνουσιν. ἀλλ᾽ οἱ μὲν τριταῖοι, εὐθὺς ἐν τῇ πρώτῃ καταβολῇ πολλάκις μετὰ σφοδροῦ τοῦ ῥίγους ὑπήρξαντο. τεταρταῖον δ᾽ οὐκ οἴδαμεν μετὰ σφοδροῦ ῥίγους ἀρξάμενον, ἀλλ᾽ ἐν τῷ χρόνῳ τὸ μέγεθος αὐτῷ προσγίνεται σὺν τῷ μὴ δὲ εὐθὺς ἀπ᾽ ἀρχῆς τὰ πολλὰ τὸν πυρετὸν τοῦτον εἰσβάλλειν, ἀλλ᾽ ἑτέρων προηγησαμένων συμπίπτειν. ὁ μὲν οὖν τεταρταῖος τοῖς καλουμένοις πλάνησί τε καὶ πλανήταις ἐπιγίνεται πυρετοῖς διὰ φλέγμα. ὁ δ᾽ ἀμφημερινὸς, οὐδὲ χωρὶς τοῦ τὸ στόμα τῆς γαστρὸς πεπονθέναι, τὰ πολλὰ συνίσταται καθάπερ ὁ τεταρταῖος περὶ σπλῆνι κακοπραγοῦντι. † ὁ δὲ τριταῖος περὶ ἥπατι. τὸν μὲν δὴ μετὰ σφοδροῦ τοῦ ῥίγους ἀρξάμενον εἰκὸς μᾶλλον τριταῖον, ἢ τῶν ἄλλων τινὰ εἶναι πυρετῶν. εἰ δὲ καὶ τἄλλα τὰ ἐφεξῆς εἰρησόμενα μαρτυροίη, τοῦτον μὲν ἂν ἐναργῶς εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν διαγινώσκοις εἶναι τριταῖον. εἰ δὲ μετὰ βραχέος ἄρξεται ῥίγους, τότε δεῖ καὶ μᾶλλον τοῖς ἄλλοις γνωρίσμασι τὸν νοῦν προσέχειν, ὡς οὐκ ἀμφημερινοῦ καὶ τεταρταίου μόνον, ἀλλὰ καὶ ἡμιτριταίου καὶ ἄλλου τινὸς τῶν συνεχῶν εἶναι δυναμένου. τὰ δ᾽ ἄλλα γνωρίσματα τό τε τῆς θερμασίας ἐστὶ ποιὸν καὶ ποσόν. καὶ ἡ τῶν ἀρτηριῶν κίνησις. αὐτό τε τοῦ ῥίγους τὸ εἶδος αἰσθανομένου. ὥρα τε καὶ χώρα καὶ κατάστασις, καὶ ἡ φύσις τοῦ νοσοῦντος, καὶ ἡ ἡλικία, καὶ τὰ προηγησάμενα, καὶ τὰ παρακολουθοῦντα. τὴν μὲν γὰρ θερμασίαν, πολλὴν καὶ δριμεῖαν εἶναι χρή, τοὺς δὲ σφυγμοὺς. μεγάλους καὶ θερμοὺς, καὶ σφοδροὺς, καὶ ταχεῖς καὶ πυκνοὺς, καὶ χωρὶς πάσης ἀνωμαλίας, πλὴν τῆς πυρετικῆς. τὸ δὲ ῥῖγος οἷον νυττομένου τοῦ χρωτὸς, ὡς ὑπό τινος ὀξέος μᾶλλον ἢ ψυχροῦ, τῶν ἐν τεταρταίοις τε καὶ ἀμφημερινοῖς ψυχροῦ τοῦ ῥίγους αἰσθανομένων. τὴν δ᾽ ὥραν

† al. omittuntur

θερινήν. ὥσπερ οὖν καὶ τὸ χωρίον, θερμόν. καὶ τήν γε παροῦσαν κατάστασιν. ἔστω δὲ καὶ ἡ φύσις τοῦ κάμνοντος θερμοτέρα τε καὶ χολωδεστέρα. καὶ ἡ ἡλικία νεανίσκου. καὶ γυμνασία μᾶλλον, ἢ ἀργία προηγείσθω. καὶ ἔγκαυσις μᾶλλον, ἢ ψύξις. καὶ ἔνδεια μᾶλλον, ἢ πλησμονή. καὶ ἀγρυπνίαι δὲ, καὶ λῦπαι, καὶ κόποι, καὶ σύντονοι φροντίδες εἰς ταὐτὸν συνελθοῦσιν. εἰ δὲ καὶ πολλοῖς ἄλλοις τῶν νοσούντων ἐν ἐκείνῳ τῷ χρόνῳ τριταίοις ἁλῶναι συμβαίη, καὶ τοῦτ' ἂν εἴη πρὸς τοῖς εἰρημένοις μέγιστον γνώρισμα. εἰ δὲ τούτων ἁπάντων ὑπαρχόντων, ἢ τῶν μεγίστων τε καὶ ἐπικαιροτάτων, δίψος τε αὐτοὺς ἔχει σφοδρὸν, ἔμετός τε χολῆς, ἢ ἱδρὼς ἐπιγένηται, ἢ ἀμφότερα, νῦν μὲν ἂν καὶ σαφῶς εἴη δῆλος. εἰ δὲ καὶ παύσαιτο μὲν πυρέττων ἐπὶ τοῖσδε ὁ ἄνθρωπος, τοῦτον δὴ τὸν φανερὸν ἅπασι καὶ ἐν κινήσει πυρετὸν ὑπολείποιτο δ' αὐτῷ κατὰ τὴν τῶν ἀρτηριῶν κίνησιν, ἡ ἴδιος ἀνωμαλία τῶν πυρετῶν, βεβαίως ἂν οὕτως ἀποφαίνοις τριταῖον ὑπάρχειν αὐτὸν ὡς εἰ καὶ διὰ τρίτης ἤδη παροξυνόμενον ἑώρας. ὁ δὲ τεταρταῖος, χρὴ γὰρ καὶ τούτου τὰ γνωρίσματά σοι γράψαι, τὸ μὲν ἐναργέστατον ἑαυτοῦ τεκμήριον ἐνδείκνυται κατὰ τὴν ἀρχὴν τῶν παροξυσμῶν, ἡνίκα ῥιγῶσιν ἔτι οἱ νοσοῦντες, ἱκανῶς γὰρ ἀραιοὶ καὶ βραδεῖς αὐτῶν οἱ σφυγμοὶ γίγνονται. κατὰ δὲ τὰς ἀκμὰς, ἢ καὶ αὐξανομένων ἔτι, ταχεῖς μὲν ἀνάγκη καὶ πυκνοὺς εἶναι. σώζεται δ' ὅμως καὶ τότε ἡ ἴδιος αὐτῶν βραδυτής τε καὶ ἀραιότης, εἰ τὸ προσγεγονὸς τάχος καὶ τῆς πυκνότητος τῶν παροξυσμῶν λογίσαιο. καὶ γὰρ οὖν καὶ εἰ παραβάλλοις τὴν ἀκμὴν τοῦ τεταρταίου πυρετοῦ τῇ τοῦ τριταίου ἀκμῇ, πολλῷ τινί σοι δόξουσι θᾶττόν τε καὶ πυκνότερον ἐν τοῖς τριταίοις αἱ ἀρτηρίαι σφύζειν. καὶ αὐτῆς δὲ τῆς μιᾶς κινήσεως, ἐν τῷ τεταρταίῳ πυρετῷ τὸ ἀνώμαλον ἐνδείκνυται τὴν ἰδέαν αὐτοῦ. τὴν γὰρ κοινὴν ἁπάντων τῶν πυρετῶν ἐν μιᾷ προσβολῇ τῆς ἀρτηρίας, ἀνωμαλίαν ἐναργεστάτην ἔστιν εὑρεῖν ἐν τούτῳ. πολλῷ γάρ τινι τήν τε ἀρχὴν τῆς κινήσεως, καὶ τὸ τέλος ὠκύτερον εὑρήσεις τοῦ μέσου. οὐ μὴν τε ἐπὶ τῶν τριταίων ὧδ' ἔχει. βραχεῖα γοῦν ἐν αὐτοῖς ἡ ὑπεροχὴ τοῦ τάχους ἐστὶ, καὶ μάλιστα κατὰ τὰς ἀκμάς. ἀλλὰ καὶ τὰ τῆς θερμασίας γνωρίσματα, διαφερόντως αὐτοῖς ἔχει. τὸ γοῦν θερμὸν, καὶ τὸ διακαὲς, καὶ τὸ οἷον ζέον τῶν τριταίων πυρετῶν, οὐκ ἂν εὕροις ἐν τεταρταίοις. ταυτὶ μὲν οὖν τὰ μέγιστα σημεῖα. τὰ δ' ἄλλα τὰ ἔξωθεν, οὐδὲ γοῦν χρὴ ταῦτα παραλιπεῖν, ἀλλὰ τήν τε φύσιν ἐπισκοπεῖσθαι τοῦ νοσοῦντος εἰ μελαγχολικωτέρα. καὶ τὸν καιρὸν τοῦ ἔτους, εἰ φθινόπωρον. καὶ τὴν παροῦσαν κατάστασιν εἰ ἀνώμαλος. οὕτω δὲ καὶ τοῦ χωρίου τὴν φύσιν, καὶ τῶν ἐπιδημούντων νοσημάτων. καὶ εἰ σπλὴν μέγας εἴη, καὶ ἄτακτοι πυρετοὶ προηγήσαντο. καὶ ἡ ἡλικία τῆς ἀκμῆς ἐπέκεινα, καὶ εἰ μεθ' ἱδρῶτος παύοιντο. χολῆς δὲ ξανθῆς ἔμετον ἐν τούτοις τοῖς πυρετοῖς μὴ προσδόκα, ὥσπερ οὐδ' ἐν τοῖς ἀμφημερινοῖς. ἴδιον γὰρ τῶν τριταίων τοῦτο. παυσαμένου δὲ τοῦ πυρέττειν, εἰ τὸ τοῦ πυρετοῦ σημεῖον ἔτι παραμένοι, καὶ οἱ σφυγμοὶ τῶν κατὰ φύσιν ἀραιότεροί τε καὶ βραδύτεροι γίγνονται, τεταρταῖος ἂν εἴη σαφῶς ὁ τοιοῦτος πυρετός. Ἀμφημερινὸν δὲ πυρετὸν τοῖσδ' ἂν μάλιστα γνωρίσαις, ὑγροτέραν γὰρ εἶναι χρὴ τὴν θερμασίαν, αὐτοῦ μετρίως τινὸς δριμύτητος, οὐ κατὰ τὴν πρώτην ἐπιβολὴν εὐθὺς ὑποπιπτούσης, ἀλλ' ἐγχρονιζούσης τῆς χειρός. καπνώδη γάρ τινα θερμασίαν ἀτμῷ πολλῷ συμμιγῆ δόξαις ἀνιέναι. καταπνιγομένου μᾶλλον, ἐν ὑγρότητι τοῦ πυρὸς πολλῇ, ἢ αὐτοῦ τῆς ὕλης κρατοῦντος. ἀλλὰ καὶ οἱ σφυγμοὶ τούτοις μικρότεροι τῶν ἐν τεταρταίοις εἰσὶ πλέον, ἢ ἐκεῖνοι τῶν ἐν τριταίοις. ἀραιότεροι δ' αὖ πάλιν οἱ ἐν τοῖς ἀμφημερινοῖς τῶν ἐν τριταίοις τοσοῦτον, ὅσον τούτων οἱ ἐν τοῖς τεταρταίοις. βραδυτῆτος δ' ὡσαύτως ἐν ἀμφοῖν ἔχουσιν. ἧττον δὲ διψώδης ὁ πυρετὸς οὗτος. † λείπεται οὖν τεταρταίου τοσοῦτον, ὅσον ἐκεῖνος τριταίου.

† al. omittuntur

καὶ ἡ γλῶσσα, καὶ τὸ σύμπαν σῶμα ξηρότατον μὲν ἐν τριταίοις, ὑγρότατον δ' ἐν τούτοις ἐστὶ τοῖς πυρετοῖς. καὶ οἱ ἔμετοι φλεγματώδεις. καὶ ὅσα διὰ γαστρὸς ἐκκρίνεται, ψυχρότερα καὶ ὑγρότερα, καὶ ὠμότερα, καὶ ὑδατωδέστερα, καὶ φλεγματωδέστερα. καὶ τὸ σύμπαν, ἀπέπτων χυμῶν ἀνάπλεων ἐν τούτοις τοῖς πυρετοῖς εὑρήσεις τὸ σῶμα. καὶ γοῦν οὖν καὶ ἡλικίαις καὶ φύσεσι, † καὶ χώραις, καὶ ὥραις ἔτους, καὶ κράσεσιν, ὑγροτέραις συμπίπτουσι.

† al. additur

νεανίσκον μέν γε χολώδη καὶ ξηρὸν τῇ κράσει οὐκ εἶδον οὐδὲ πώποτε ἁλόντα τούτῳ τῷ πυρετῷ. παῖδες δὲ καὶ μάλιστα οἱ μικρότεροι, καὶ ὅσοι τῶν τελείων φλεγματικώτεροί τε εἰσὶ, καὶ τὴν ἕξιν τοῦ σώματος παχεῖς, καὶ ἀργὸν τὸν βίον ἔχοντες, ἐν πλησμοναῖς, καὶ μέθαις, καὶ λουτροῖς συνεχέσι, καὶ μάλιστα τοῖς ἐπὶ τροφῇ, ἀμφημερινοῖς εὐάλωτοι. ἀτὰρ οὖν καὶ χωρία τὰ ὑγρότερα καὶ τῶν ὡρῶν τοῦ ἔτους ὁ χειμὼν, καὶ τῶν καταστάσεων αἱ ὑγρότεραι μάλιστα φέρουσι τὸν πυρετὸν τοῦτον. εἰ δὲ καὶ ἐπιδημοίη τηνικαῦτα, καὶ τοῦτό σοι πρὸς τὴν διάγνωσιν ἐπὶ τοῖς εἰρημένοις, οὐ μικρὰ συντελέσει. οὐ μὴν οὐδὲ παύουσι τὰς † παρακμὰς τούτων τῶν πυρετῶν οἱ ἱδρῶτες, ὥσπερ ἐν τριταίοις καὶ τεταρταίοις, ὅθεν οὐδ' εἰς ἀπυρεξίαν ἔρχονται σαφῆ, πλὴν ὀλίγων δή τινων.

† al. καταβολὰς

τὰ δ' οὖρα τὰ μὲν ἐπὶ προήκουσιν αὐτοῖς γιγνόμενα, τοὺς καιροὺς τῆς ὅλης νόσου διδάσκει. τὰ δ' ἐν ἀρχαῖς, ἐνδείξεταί σοι καὶ αὐτὸ τὸ εἶδος τοῦ πυρετοῦ. τοῖς μὲν γὰρ ἀμφημερινοῖς, ἢ λευκὰ, ἢ λεπτὰ, ἢ παχέα καὶ θολερὰ, ἢ ἐρυθρά. τοῖς δὲ τριταίοις ἢ ὑπυρρὰ, ἢ ὑπόπυρρα. τοῖς δὲ τεταρταίοις, πολυειδῆ μὲν, ἀλλ' ἄπεπτα πάντα. καὶ ταῦτα. καὶ μὲν τῶν διαλειπόντων πυρετῶν ἐστι γνωρίσματα.

Τοὺς συνεχεῖς δ' ἂν γνωρίζοις. μάλιστα μὲν ἐκ τοῦ μηδὲν αὐτοῖς παρεῖναι σημεῖον ὧν εἴπομεν ὑπάρχειν χρῆναι τοῖς διαλείπουσι. καὶ εἰ μὴ παύοιτο δὲ τῶν τεττάρων καὶ εἴκοσιν ὡρῶν ἐντὸς ὁ πυρετός. εἰ δὲ καὶ ἀνώμαλον ποιήσαιτο τὴν αὔξησιν, οὗτος μέν γε καὶ πρὸς τοῖς ἄλλοις γνωρίσμασι καὶ χρόνον ὑποσημαίνει πλείονα. καὶ μὲν δὴ καὶ εἰ τὸ ἴδιον τῶν πυρετῶν σημεῖον ἐν τοῖς σφυγμοῖς ἐναργὲς ἔχοιεν. εἰ δὲ καὶ ἀταξία τις ἢ ἀνωμαλία προσείη αὐτοῖς, ἢ ἀρρυθμία, καὶ τοῦθ' ἂν εἴη σημεῖον τοῦ μεγέθους ἅμα καὶ ὡς οὐκ εἰσὶ τῶν διαλειπόντων. εἰ δὲ τοιοῦτοι μείναντες ἐν τῇ τρίτῃ τῶν ἡμερῶν, μείζονα τὸν παροξυσμὸν ἐνδείξαιντο. ἢ εἰ καὶ τὰ διαχωρήματα καὶ τὰ οὖρα παντάπασιν ἄπεπτα φαίνοιτο, τοὺς τοιούτους πυρετοὺς οὐκ ἐνδέχεται πρὸ τῆς ἑβδόμης κριθῆναι. εἰ δὲ καὶ ἡ τετάρτη τῶν ἡμερῶν ὁμοία φαίνοιτο τῇ τρίτῃ, καὶ ὁ πυρετὸς οἷον σμυχόμενος εἴη, καὶ τὸ πρόσωπον, ἥ τε πᾶσα ἕξις τοῦ σώματος ἀσύμπτωτος, ὁ τοιοῦτος εἰς πλείονα χρόνον ἐκτείνεσθαι φιλεῖ. τοιαῦται μέν τινες αἱ διαφοραὶ τῶν ἄνευ συμπτωμάτων πυρετῶν. ἡ θεραπεία δὲ, καθ' ἕκαστον αὐτῶν ἐφεξῆς γεγράψεται. πρῶτον μὲν τῶν διαλειπόντων. δεύτερον δὲ, τῶν συνεχῶν λεγομένων. ἐπὶ μὲν οὖν τοῖς διαλείπουσιν, ὀξύτατός τε ἅμα καὶ ἐπιεικέστατος ὁ τριταῖός ἐστι. μακρότατος δὲ, καὶ ἀκίνδυνος, ὅσον ἐφ' ἑαυτῷ ὁ τεταρταῖος. ὁ δ' ἀμφημερινὸς, μακρὸς καὶ οὐκ ἀκίν-

ἀκίνδυνος· ὥστε καὶ τὴν δίαιταν εὐθὺς ἐξ ἀρχῆς καθίστασθαι προσήκει πρὸς τὸν ξύμπαντα χρόνον τοῦ νοσήματος ἀποβλέποντα. τὰ μὲν γὰρ ὀξέα καὶ ταχέως ἀκμάζοντα, κἂν εἰ πάνυ λεπτῶς θέλοις τις διαιτᾶν, οὐκ ἄν τι μέγα βλάψεις. ὅσα δὲ χρονιώτερα, ταῦτ' εἰ μὴ κατ' ἀρχὰς ἁδρότερον διαιτήσειας, ἢ συναναιρήσεις τῷ νοσήματι τὸν ἄνθρωπον, ἢ οὐκ ἐν καιρῷ τὴν δίαιταν ὑπαλλάξεις. οὐ γὰρ χρὴ προσιούσης τῆς ἀκμῆς ἁδρότερον, ἢ πρόσθεν διαιτᾶν, ἀλλὰ τοὐναντίον τῆς ὅλης τοῦ πάθους διαίτης τὸ λεπτότατον, εἰς τὴν ἀκμὴν ἀποτίθεσθαι χρή. τοῦτο μὲν οὖν κοινὸν ἁπάντων. πρὸς αὐτῷ δὲ δεῖ καὶ τὰ ἴδια τῶν διαλειπόντων ἐπισκοπεῖσθαι. οἷον εὐθὺς ἐν τοῖς τριταίοις, οὐδὲν γὰρ χεῖρον ἐντεῦθεν ἄρξασθαι, διοριζέσθω σοι κατ' ἀρχὰς εἰ ἀκριβής ἐστι, καὶ ὡς ἄν τις εἴποι γνήσιος, ἢ οὐκ ἀκριβὴς, ἀλλ' οἷον νόθος τίς. ὁ μὲν γὰρ ἀκριβὴς τριταῖος, τὸ μακρότατον ἐν ἑπτὰ περιόδοις κρίνεται πρὸς τῷ καὶ ἀκινδυνότατος εἶναι. τὸν ἕτερον δὲ τὸν οὐκ ἀκριβῆ, οἶδά ποτε φθινοπώρου μὲν ἀρξάμενον, ἦρος δὲ παυσάμενον. εἶτα οἷα εἰκὸς ἐν τοσούτῳ χρόνῳ, τὸ μέν τι καὶ αὐτοῦ τοῦ νοσοῦντος οὐ πάνυ τι πειθομένου τοῖς τῶν ἰατρῶν προστάγμασιν, ἀλλὰ καὶ ἁμαρτάνοντός τι. τὸ δέ τι καὶ ὑπὸ τῆς αἰτίας τοῦ χειμῶνος βλαπτομένου, σπλήν τε μέγιστος ἐξήρθη, καὶ ὑποχόνδρια διεφυσᾶτο, καί τις ἤδη καὶ ὕποιδος ἦν ἀχροία περί τε τὸ πρόσωπον, καὶ οὐχ ἥκιστα τοῖς σκέλεσιν. ὥστε δεῖσαι τε ἡμᾶς ἀμφὶ τῷ μειρακίῳ, καὶ δεηθῆναι μειζόνων βοηθημάτων, οὕτως οὐδὲν ὅμοιον ἔχει ὁ τοιοῦτος τριταῖος τῷ ἀκριβεῖ. διὰ τοῦτο οὖν φημὶ χρῆναι περὶ τὰς ἀρχὰς αὐτοὺς διορίζειν. εἰς ὅσον γὰρ τῇ φύσει διαφέρουσιν, εἰς τοσοῦτον εὔλογόν ἐστι καὶ τὸν τῆς διαίτης τρόπον ὑπαλλάττεσθαι. πῶς οὖν ἄριστα διορισθεῖεν, ἀρκεῖ μοι τὰ τῷ μειρακίῳ συμπεσόντα γράψαι, παράδειγμά τε ἅμα τῶν οὐκ ἀκριβῶν τριταίων καὶ ὑπομνήματά σοι γενησόμενα. Ἦν μὲν δὴ τοῦ ἔτους τὸ μεταξὺ πλειάδων τε δύσεως, καὶ τῆς προγεγενημένης ἰσημερίας. ἤρξατο δὲ μετὰ φρίκης ὁ πυρετὸς τῷ μειρακίῳ, περὶ αὐτὴν σχεδὸν τὴν ἕω. ὥστε μήτε τῇ θερμασίᾳ τριταίῳ τι δόξαι ἐοικέναι, μήτε τοῖς σφυγμοῖς. ἀλλ' οὐδὲ χολῆς ἔμετος ἠκολούθησεν, οὔτε ἱδρὼς ἱκανός. ἀλλὰ μόνον ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν ὥρᾳ που τρίτῃ, βραχεῖαι νοτίδες † ἐγίγνοντο ἐφ' αἷς διεπνεῖτο μὲν ὁ πυρετὸς, ἀτρέμα οὕτως, ὥστε περὶ τὴν ἑσπέραν μόγις ἀπύρετον εἶναι δοκεῖν. ἔμενε δὲ δηλαδὴ περὶ τοὺς σφυγμοὺς τό τε τοῦ πυρετοῦ σημεῖον αὐτῷ σαφὲς ἱκανῶς. ἀλλὰ τἄλλα γε καὶ πάνυ εὐφόρως εἶχε περὶ τὴν ἑσπέραν, καὶ δι' ὅλης τῆς νυκτός. αὖθις δὲ περὶ τὴν ἕω τῆς τρίτης ἡμέρας, δευτέρα καταβολὴ γίνεται τὰ πάντα τῇ πρώτῃ παραπλησία, πλὴν τοῦ χρόνου. τῆς γὰρ ἐπιούσης νυκτὸς ὀλίγον πρὸ τῆς ἡμέρας, νοτίδες ἐγίγνοντο, καὶ ὁ πυρετὸς ἐπαύετο περὶ τὴν ἕω τῆς τετάρτης ἡμέρας. καὶ τοῦ λοιποῦ δὲ παντὸς φθινοπώρου καὶ χειμῶνος, ἐν ᾧ διεγνώσκετε τά τ' ἄλλα πάντα. καὶ ὁ χρόνος τῆς μεταβολῆς, καὶ τῆς λύσεως τοῦ πυρετοῦ περὶ ταυτὰ διέμενον. ἦν δὲ τὸ μειράκιον ἡλικίᾳ μὲν ἀμφὶ τὰ ὀκτωκαίδεκα ἔτη. λευκὸν δ' ἰδέσθαι καὶ πίον. ἀργότερον τῷ βίῳ. καὶ πολλάκις ἔμπροσθεν ἐν μέθαις τε καὶ λουτροῖς συνεχέσι καὶ πλησμοναῖς γε γενημένον. ὥστ' οὐδὲ χρηστῶς ἔπεττε τὰ σιτία. συνεισέβαλε δ' αὐτῷ καὶ σκληρὸς σφυγμός. ἐν μὲν τῇ πρώτῃ καὶ δευτέρᾳ τῶν ἡμερῶν, μετρίως. ἐν δὲ τῇ τρίτῃ καὶ τετάρτῃ καὶ ταῖς ἐφεξῆς μέχρι τῆς ἑβδόμης, εἰς τοσοῦτον ἧκε σκληρότητος, ὡς ἄντινα δόξαι τῷ σφυγμῷ μόνῳ πιστεύσαντα, πολλῶν εἶναι τὸ νόσημα μηνῶν. καὶ τοιοῦτος παρέμενεν, ἄχρι τῆς περὶ τὸ ἔαρ ἰσημερίας, ἐν ᾗ πρῶτον ἤρξατο μαλάττεσθαι. καὶ αὖθις ὕστερον ἡμέραις τεσσαράκοντα τελέως ἀπαλλάττεται τοῦ τριταίου. περὶ βραχὺ τότε σφυγμοῦ μαλαχθέντος, καὶ τοῦ παροξυσμοῦ μικροτέρου γιγνομένου, καὶ τῶν οὔρων ὑπόστασιν χρηστὴν ἐχόντων. καὶ γὰρ οὖν καὶ ταῦτα κἂν τῷ πρόσθεν χρόνῳ, πάντα δεινῶς ἦν ἄπεπτα. τοιοῦτος μὲν δὴ ὁ ἐναντιώτατος τῷ ἀκριβεῖ τριταίῳ. τοὺς δ' ἄλλους τοὺς μεταξὺ παμπόλλους ὄντας, ἐκ τῶν ἄκρων ἀφωρισμένων, οὐ χαλεπῶς ἂν εὑρήσεις. ἃ γὰρ ἐν ἀρχῇ τοῦ λόγου τριταίων πυρετῶν ἔγραψα γνωρίσματα, ταῦτα σύμπαντα εἰ παρείη, τὸν ἀκριβῆ τριταῖον ἐργάζεται, ᾧ πάντως καὶ ὁ τοῦ παροξυσμοῦ χρόνος βραχὺς ὡρῶν τεττάρων, ἢ πέντε, ἢ ἕξ, ἢ τὸ μήκιστον, ἐνδεκάπου, ἢ δώδεκα. Καὶ μὲν δὴ καὶ τὰ οὖρα τῶν τοιούτων ἐν τῇ τρίτῃ τῶν ἡμερῶν, ἢ πάντως γε τῇ τετάρτῃ, φέρει τι σημεῖον πέψεως. οὕτω μὲν οὖν ἀκριβῆ τε καὶ οὐκ ἀκριβῆ γνωρίζοις τριταῖον, ἀνάλογον δὲ καὶ τεταρταῖον καὶ ἀμφημερινόν. ᾧ μὲν γὰρ ὑπάρχει πάντ' ὅσα πρόσθεν ἔγραψα τεταρταίων πυρετῶν γνωρίσματα, γνήσιός τε καὶ ἀκριβὴς τεταρταῖος. ᾧ δὲ μὴ, νόθος τις ἐκεῖνος καὶ οὐκ ἀκριβής. καὶ ἀμφημερινῶν δὲ, ὅτῳ μὲν πάνθ' ὅσα γέγραπται πάρεστιν ἀκριβής. ᾧ δὲ μὴ, ὁ τοιοῦτος οὐκ ἀκριβής. οὐκ οὖν οὐδὲ χρόνιοι ὁμοίως τεταρταίων καὶ ἀμφημερινῶν, οἱ οὐκ ἀκριβεῖς. ἀλλ' ὥσπερ τριταῖος ὀξὺς ὁ ἀκριβὴς, οὕτω τεταρταῖός τε καὶ ἀμφημερινὸς, χρόνιοι. ταῦτα μὲν ἐν τοῖς περὶ περίοδόν τινα πυρέττουσι σκοπεῖσθαι. τῶν δ' ἄλλων πυρεττόντων, οὖρά τε καὶ διαχωρήματα, καὶ τὴν ὅλην ἕξιν τοῦ σώματος ὁρᾶν. καὶ τὴν θερμασίαν, καὶ τὴν τῶν ἀρτηριῶν κίνησιν. ὅσα τἄλλα πρὸς τούτοις ὁ Ἱπποκράτης τε καὶ ἡ μακρὰ πεῖρα κελεύει σκοπεῖσθαι χώρας, καὶ ὥρας, καὶ καταστάσεις καὶ ἡλικίας καὶ κράσεις σωμάτων. ἔθη τε καὶ τὰ προηγησάμενα τῶν αἰτίων, καὶ τὰ συνεισβάλλοντα τοῖς νοσήμασι, καὶ ὅσα μεταξὺ ἐπιφαίνεται. παρεῖνται μὲν οὖν ὡς ἄν τινι δόξῃ τὸ πᾶν, οὐ μὴν πρός γε τὴν ἀλήθειαν ὧδ' ἔχει. τὸ γάρ τοι μέγιστον μὲν ἁπάντων τούτων, ῥηθῆναι δὲ μικρότατον, οὐδέπω γέγραπται. τί δ' ἐστὶ τοῦτο; ποσότης νοσήματος, καὶ δυνάμεως. πρᾶγμα πρὸς μὲν τὴν δήλωσιν, ἑνὸς ὀνόματος δεόμενον. εἰς δὲ τὴν χρείαν, μέγιστον. οὐδὲ γὰρ οἷόν τε προγνῶναι καλῶς, ἄνευ τοῦ τὸ ποσὸν ἑκάστου τῶν εἰρημένων ἀκριβῶς ἐκλογίζεσθαι. καὶ γὰρ εἴτ' ὀλέθριον ἐστὶ τὸ νόσημα, εἴτε μὴ, καὶ ὁπηνίκα μᾶλλον δυνατὸν ἢ τεθνήξεσθαι τὸν ἄνθρωπον, ἢ ἀπαλλαγήσεσθαι τοῦ πάθους, εἰ μὴ πάντων τῶν προειρημένων τὸ ποσὸν ἀκριβῶς διασκεψάμενος ἀνάγοις εἰς δύο κεφάλαια, τήν τε νόσον αὐτὴν, καὶ τοῦ νοσοῦντος τὴν δύναμιν, οὐκ ἂν οἷός τ' εἴης προγνῶναι καλῶς. τῆς μὲν γὰρ δυνάμεως οὕτως ἰσχυρᾶς οὔσης ὡς περιγίγνεσθαι τοῦ νοσήματος, ἀνάγκη σωθῆναι τὸν ἄνθρωπον. εἰ δὲ τοὔμπαλιν εἴη, πάντως τεθνήξεται. μὴ τοίνυν ὁποῖόν τι τὴν ἰδέαν ἐστὶ τὸ νόσημα σκόπει μόνον, ἀλλὰ καὶ πηλίκον. οὐ μικρᾶς δὲ τοῦτό γε δεῖται τριβῆς, τά τ' ἄλλα καὶ τῷ μήτε γραφῆναι, μήθ' ὅλως διδαχθῆναι, λόγῳ δύνασθαι τὸ ποσὸν ἑκάστου. καὶ ἔτι ἄρα τὸ ἡμέτερον ἐστὶν, οὐχ ὑπ' ἄλλου τινὸς εἰς τοσοῦτον ἀκριβείας ἥκει, ἢ ἐκ τοῦ μάλιστα ἠσκῆσθαι περὶ τὸν τῆς ποσότητος στοχασμόν. τοῦτο μὲν δὴ καὶ ἐπ' αὐτῶν τῶν ἔργων καὶ μαθεῖν, καὶ διδάξαι δυνατόν. ὅσα δ' ἐν τῇ ποιότητι τὸν διορι-

† αλ. ἐφαίνοντο

σμὸν ἔχει, ταῦτα γράψωμεν ἀκριβῶς τε ἅμα καὶ σαφῶς εἰς ὅσον ἐγχωρεῖ διὰ βραχέων. τὸν μὲν οὖν ἀκριβῆ τριταῖον, ὡς ἂν ὑπὸ τῆς ξανθῆς χολῆς κινουμένης δυναστευόμενον, ὑγραίνειν τε καὶ ψύχειν εἰς τοσοῦτον, εἰς ὅσον ἂν οἷόν τε μάλιστα. τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματά ἐστι. κολάζοντα μὲν, τὸ ὑπερβάλλον. ἀντεισάγοντα δὲ, τὸ λεῖπον. ὁ δὲ τῆς ξανθῆς χολῆς χυμὸς, ἁπάντων τῶν ἐν τῷ σώματι χυμῶν θερμότατος καὶ ξηρότατός ἐστι. προτρέπειν οὖν χρὴ τὸν μὲν εἰς τὴν γαστέρα συῤῥέοντα, κενοῦσθαι δι' ἐμέτων. τὸν δὲ κάτω ὑπιόντα, ὡσαύτως διὰ τῆς κάτω ἐκκρίσεως. τοῦτο μὲν δὴ καὶ αὐτόματον ἐν τοῖς ἀκριβέσι γίνεται τριταίοις. καὶ τοῖς οὔροις δὲ καὶ τοῖς ἱδρῶσι ποδηγεῖν. ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν κάτω τῆς χολῆς κάθαρσις. ἀλλὰ τὴν μὲν γαστέρα, μαλακοῖς κλύσμασι κενοῦν. τὰ οὖρα δὲ, προτρέπειν σελίνου τε καὶ ἀνήθου τοῖς πόμασιν ἐναποβρέχοντα. καὶ ἢν σοι πέψεως σημεῖα προφαίνηται, θαῤῥῶν ἤδη καὶ τοῦ ἀψινθίου διδόναι. τοῦτο μὲν δὴ καὶ ἄλλως μέγιστον ἴαμα τοῦ στομάχου διὰ χολῆς δῆξιν, καὶ μᾶλλον εἰ τῆς κόμης αὐτοῦ λαμβάνων ὅσον αὔταρκες ἐναποβρέχοις μελικράτῳ. λουτρὰ δὲ θερμὰ, δι' ὕδατος ποτίμου. τὸ μέν τι κενοῖ τῆς χολῆς ἀπάγοντα. τὸ δέ τι καὶ τῇ ποιότητι μεγάλως ὀνίνησιν. ὑγραίνει γὰρ καὶ ψύχει κατὰ δύναμιν, ὅσα τοιαῦτα λουτρά. τὰ δὲ θαλάττια, καὶ ἁλμώδη, καὶ νιτρώδη, καὶ θειώδη, πλεῖον μὲν ἀπάγει τῆς χολῆς. πολὺ δ' ἧττον ὠφελεῖ τῶν ποτίμων. ἄμεινον δ' εἰπεῖν οὐδ' ὠφελεῖν αὐτὰ μειζόνως βλάπτοντα ταῖς ποιότησιν, ἢ βοηθοῦντα ταῖς κενώσεσιν. ἀτὰρ οὖν καὶ οἶδά τινα κιβδήλῳ λογισμῷ τοιοῖσδε χρήσασθαι λουτροῖς ἀναπεισθέντα. εἶτα ξηρανθέντα τὴν ἕξιν τοῦ σώματος, εἰς τοσοῦτόν τε διαφθαρέντα, ὥστε μαρανθεὶς ἀπέθανεν. ἐπέτεινε δ' αὐτῷ καὶ ἡ ἄλλη πᾶσα δίαιτα πρὸς τὴν κένωσιν τῆς χολῆς. ἀεὶ δὲ χρὴ ποιότητας ἐναντίας τῇ κρατούσῃ παρὰ φύσιν ἀντεισάγειν. καὶ ὡς πολὺ τὸ βέλτιον τοῦτο τοῦ κενοῦν ὁπωσοῦν. ὅπερ οὐθ' αὐτὸς ἐγίνωσκεν, οὐθ' ἑτέρων ἐμάνθανε λεγόντων. ἔν τε οὖν τοῖς λουτροῖς, οὗτος ὁ σκοπὸς γιγνέσθω, διαβρέξαι τε καὶ ὑγρᾶναι τὸ σῶμα. καὶ διὰ τοῦτο, μήτε νίτρου, μήθ' ἁλῶν, μήτε νάπυος προσπάττειν, οἷα δὴ τοὺς πλείστους ἔστιν ἰδεῖν, λυμαινομένους τοῖς ἀῤῥώστοις. ἀλλ' ὅτι μάλιστα θερμὸν ἔλαιον περιχέοντας, ἐμβιβάζειν τε τῷ ὕδατι καὶ διαβρέχεσθαι, καὶ ἐὰν ἐθέλοιεν νήχεσθαι ἐν αὐτῷ συγχωρεῖν αὐτοῖς εἰς ὅσον δύνανται. τοὺς δὲ φιλολουτροῦντας, οὐδ' εἰ δὶς τῆς ἡμέρας λούειν ἐθέλοις ἁμαρτάνοις. ἀλλ' ἐν καιρῷ μάλιστά σοι τοῦτο μνημονευέσθω. εἰ δὲ καὶ πέψεως τῆς νόσου σημεῖα φαίνοιτο, κἂν εἰ πλεονάκις λούοις, οὐκ ἂν ἁμάρτοις. οἴνου δὲ πρὶν μὲν πεφθῆναι τὸ νόσημα παντάπασιν εἴργειν, ἀρξαμένου δὲ πέττεσθαι λεπτὸν, καὶ ὑδαρῆ, καὶ ὀλίγον τὴν πρώτην διδόναι. πλησίον δ' ἤδη τοῦ λύεσθαι γενομένου πλείονα. σιτία δὲ ὅσα ὑγραίνει τε καὶ ψύχει, πάντα χρήσιμα τριταίοις ἀκριβέσι. τὸ δὲ ποσὸν ἐν αὐτοῖς τοσοῦτον, ὅσον πλεῖστον καλῶς πέψαι δύνανται. λαχάνων μὲν ἀνδράφαξίς τε, καὶ βλίτον, καὶ λάπαθον, καὶ μαλάχη, καὶ θριδακίνη, καὶ κολοκύνθη. τῶν δ' ἄλλων, ὅ, τε τῆς πτισάνης χυλὸς, καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα. καὶ ἰχθύων οἱ πετραῖοι. καὶ τῶν πτηνῶν τὰ μαλακόσαρκα. καὶ τῶν μὴ τοιούτων, τὰ πτερά. καὶ μὲν δὴ καὶ ἀλεκτρυόνων τοὺς ὄρχεις διδόναι. καὶ τῶν συῶν τοὺς πόδας τε καὶ τοὺς ἐγκεφάλους. τῶν μικροτέρων δὲ εἰ καὶ τῆς σαρκὸς δοίης τακερᾶς, οὐδὲν βλάψειας. ἀλλὰ καὶ ὠὰ συγχωρεῖν ῥοφεῖν. καὶ μάλιστα τὰς λεκίθους. ῥᾷον γὰρ αὗται πέττονται τοῦ λευκοῦ. καὶ τῶν ὀπωρῶν δέ γε συγχωρεῖν γεύεσθαι, τῶν γε μὴ παντάπασι δυσπέπτων. ἀπέχειν δὲ μέλιτός τε καὶ νάπυος, καὶ ταρίχου. καὶ τῶν δριμέων ἁπάντων. καὶ οἴνων δὲ τῶν παλαιῶν ἱκανῶς, καὶ ὅσοι θερμοὶ φύσει. αὕτη μὲν οὖν ἡ δίαιτα τῶν πολλῶν, † ἐσόχασαί σοι. ὅσοι δὲ μὴ τρυφῶσι, διαιτητέον ἐστὶν ὡς οἶσθα κἀμὲ διαιτηθέντα ποτὲ ἐν ἀκριβεῖ τριταίῳ πυρετῷ, κατὰ τὸν Ἱπποκράτειον λόγον ἐν χυλῷ πτισάνης ἄχρι κρίσεως. ταῦτα μὲν ἐν τοῖς ἀκριβέσι τριταίοις. ἐν δὲ τοῖς μὴ ἀκριβέσι, προνοεῖσθαι χρὴ μάλιστα καθ' ὅσον οἷόν τε μήτ' αὐξῆσαι τὸ νόσημα, μήτε καταβαλεῖν τοῦ νοσοῦντος τὴν δύναμιν, ἐν χρόνῳ πλείονι ταλαιπωρεῖσθαι μέλλουσαν. ἔστι μὲν οὖν χαλεπὸν ἀμφοῖν κρατεῖν, ὡς ἂν τῶν μὲν ἀσιτιῶν ὅσον εἰς τὴν πέψιν τοῦ νοσήματος ὠφελουσῶν, τοσοῦτον ἢ καὶ ἔτι πλεῖον ἀδικουσῶν τὴν δύναμιν. τῶν δὲ τροφῶν ὅσον εἰς ῥώμην συντελουσῶν τῷ νοσοῦντι, τοσοῦτον ἐμποδιζουσῶν τὰς πέψεις. ἀλλὰ κἀνταῦθά σοι γνωστέον εἰς ὅσον μὲν ἥκει μεγέθους ἡ νόσος, εἰς ὅσον δὲ καὶ ἡ δύναμις αὐτοῦ τοῦ νοσοῦντος. ἵνα πρὸς τὸ μεῖζον ἐπικουρίας δεόμενα ἀποβλέπων, ἀσιτίαις μὲν ἐν ἰσχυροτέρᾳ τῇ δυνάμει καὶ δυσπέπτῳ νοσήματι, θαῤῥαλεώτερον χρήσῃ. τροφαῖς δὲ πλείοσιν, ἐν ἀσθενεστέρᾳ μὲν τῇ δυνάμει, νοσήματι δὲ μὴ πάνυ δυσπέπτῳ. ταῦτα μὲν δὴ κἂν τοῖς ἄλλοις ἅπασι νοσήμασι χρὴ σκοπεῖν. ἐν δὲ τοῖς οὐκ ἀκριβέσι τριταίοις, οὐδὲ λούειν εὐθὺς κατ' ἀρχὰς ἀγαθὸν, ἀλλ' ἡνίκα ἂν φαίνοιτο ἤδη τὰ σημεῖα τῆς πέψεως. οὐδὲ καθ' ἡμέραν τρέφειν, ἀλλ' ἀρκεῖ παρὰ μίαν. ἡσυχία δὲ καὶ θάλψις τῶν καθ' ὑποχόνδριον αὐτοῖς συμφέρει. καὶ ῥοφήματα τὰ εὔπεπτα, καὶ κλύσματα τῆς κάτω γαστρὸς, μὴ πάνυ μαλακά. καὶ εἰ αἵματος ἀφαιρέσεως δέοιντο, μὴ δὲ τοῦτο παραλείπειν, ἀλλ' εὐθὺς κατ' ἀρχὰς διορισάμενος ἐξ ὧν οἶσθα ἀφαιρεῖν αἵματος ὅσον τοῖς πᾶσι μέτριον. ἡ δ' ὅλη τῆς διαίτης κατάστασις, οὐ ψύχουσα καὶ ὑγραίνουσα τὸ σύμπαν σῶμα, ὡς ἐπὶ τῶν ἀκριβῶν ἐστι τριταίων. ἀλλά τι καὶ τοῦ τμητικωτέρου καὶ τοῦ θερμοτέρου τρόπου προσεπιλαμβανέσθω. μάλιστ' οὖν ἁρμόσειεν αὐτοῖς ὁ τῆς πτισάνης χυλὸς, ἐμβαλλομένου πεπέρεως. ἢ καὶ ὑσσώπου ποτὲ καὶ ὀριγάνου, ἢ στάχυος νάρδου ἐμβαλὼν μελικράτῳ καὶ συναφεψῶν, διδόναι πίνειν. καὶ τἆλλα δ' ὅσα οὖρα κινεῖ. πλὴν τῶν ἄκρως θερμαινόντων τε καὶ ξηραινόντων. μάλιστα δὲ τοῦ ἀψινθίου διδόναι συντελέσαντα μετὰ τὴν ἑβδόμην ἡμέραν. καὶ μὲν δὴ καὶ ὀξύμελι πολλοὺς ὤνησε πινόμενον, καί τι τῶν ἐπιεικῶν ὑπηλάτων. οἷς οἶσθα καὶ ἡμᾶς χρωμένους συνεχῶς. ὁ δ' ἐπὶ τοῖς ἀσιτίοις ἔμετος, εἰς τοσοῦτον ἄρα τοῖς ἐν τῷδε τῷ πυρετῷ χρονίζουσι χρήσιμος, ὥστε πολλοὺς οἶδα τελέως ἀπαλλαγέντας εὐθέως ἐπὶ τοῖς ἐμέτοις. ἑξῆς δὲ περὶ τῶν τεταρταίων ἐροῦμεν, οὓς καὶ αὐτοὺς κατ' ἀρχὰς μετρίως τε καὶ πρᾴως ἄγειν χρὴ, μήτε φαρμακόν τι τῶν ἰσχυρῶν μηδὲν προσφέροντας, μήτε κένωσιν, εἰ μή τι ἄρα πάνυ σφόδρα φαίνοιτο πλεονάζον αἷμα. καὶ εἰ διελόντι φλέβα τὸ ῥέον εἴη μέλαν καὶ παχὺ, μάλιστα δ' ἐν τοῖς σπληνώδεσι, τοιοῦτον εὑρίσκεται, θαῤῥεῖν τῇ κενώσει. ξανθοῦ δὲ καὶ λεπτοῦ φανέντος, ἐπέχειν αὐτίκα. τέμνειν δὲ βλέβα, ἤτοι τὴν ἐντὸς, ἢ τὴν μέσην ἀγκῶνος ἀριστεροῦ, καὶ δίαιταν ἐφεξῆς ἄφυσόν τε καὶ χρηστὴν διαιτᾶσθαι μαλάττοντας τὴν γαστέρα, καθ' ὅσον οἷόν τε διὰ τῶν συνήθων

ἄλ. ἐσοχάσθω

συνήθων. εἰ δὲ μηδὲν ἀνύοι ταῦτα, κλύσμασι χρῆσθαι καθ' ἀρχὰς μὲν μαλακοῖς. ὕστερον δὲ καὶ δριμυτέροις. χοιρείων δ' εἴργειν αὐτοὺς κρεῶν. καὶ πάντων ὅσα γλίσχρα καὶ βραδύπορα, καὶ τῶν ψυχόντων καὶ τῶν ὑγραινόντων ἐδεσμάτων ἁπάντων, οἴνῳ δὲ χρῆσθαι λευκῷ τε καὶ λεπτῷ, καὶ συμμέτρως θερμῷ, καὶ πτηνῶν τοῖς εὐχύμοις καὶ οὐχ ἑλείοις, καὶ ἰχθύων τοῖς εὐπέπτοις τε καὶ μαλακοσάρκοις καὶ μηδὲν γλίσχρον ἔχουσι. καὶ ταρίχει δὲ χρῆσθαι, καὶ νάπυϊ, καὶ διὰ ἡμερῶν τινῶν τοῦ διὰ τριῶν πεπέρεων προσλαμβάνειν, ἢ τοῦ διοσπολιτικοῦ φαρμάκου. καὶ εἰ πεπέρεως μόνου σὺν ὕδατι καθ' ἑκάστην ἡμέραν λαμβάνοιεν, ὀρθῶς ἂν ποιοῖεν. τρίψεων δὲ καὶ περιπάτων, καὶ λουτρῶν, καὶ τῶν ἄλλων τῶν συνήθων, μὴ παντελῶς εἴργειν. εἰ δὲ καὶ παντάπασιν ἀπέχεσθαι λουτρῶν δύναιτο, ταῖς τρίψεσιν ἀρκούμενοι, μάλιστ' ἂν ὀνίναιντο. καὶ εἰ ἡ βραχὺς εἴη καὶ μὴ πάνυ βίαιος ὁ τεταρταῖος πυρετὸς ἐν ταῖς μέσαις τῶν ἡμερῶν, οὐδὲν χεῖρον ἅπτεσθαι τῶν συνήθων γυμνασίων. ταῦτα μὲν δὴ περὶ τὰς ἀρχὰς καὶ μέχρι τῆς ἀκμῆς πρακτέον. εἰ δ' ἐν ἀκμῇ μάλιστά που δοκοίη τοῦ νοσήματος εἶναι ὁ κάμνων, τότε χρὴ διαιτᾶν μὲν λεπτότερον, ἢ πρόσθεν τε καὶ ὄπισθεν. εὐθὺς δὲ καὶ ἡσυχάζειν εἰς μακρὸν κελεύειν. καὶ τῶν σπλάγχνων προνοεῖσθαι, καταιονοῦντά τε καὶ καταπλάττοντα, τοῖς μαλάττειν τε καὶ χαλᾶν δυναμένοις. ἐφεξῆς δὲ τοῖς διουρητικοῖς καλουμένοις χρῆσθαι φαρμάκοις. καὶ εἰ τὰ τῆς πέψεως τοῦ νοσήματος σημεῖα φαίνοιντο, καθαίρειν τηνικαῦτα τοῖς τοὺς μέλανας χυμοὺς κενοῦσι φαρμάκοις χρή, οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ πολλάκις ἢν οὕτως δέῃ. χρῆσθαι δὲ καὶ τοῖς ἀπὸ τῶν σιτίων ἐμέτοις τηνικαῦτα συνεχῶς, καὶ μηδενὸς κωλύοντος, ἐλλέβορον λευκὸν διδόναι τὴν πρώτην ἐπιμιγνῦντα ῥαφανίσιν. εἰ δὲ μηδὲν ἀνύει, καὶ αὐτὸν τὸν ἐλλέβορον. οἷς δ' ἐμεῖν ἀδύνατον, τούτους σφοδρότερον καθήραντας κάτω, τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου πίνειν διδόναι, καὶ τῶν ἄλλων ὅσα πρὸς τοὺς τοιούτους ἐπαινεῖται πυρετούς. ἐν οἷς ἐστι καὶ τὸ συνῆθες ἡμῖν ἁπάντων δοκιμώτατον, ὅπερ τοῦ κυρηναϊκοῦ λαμβάνον. ὅσοι δὲ κατ' ἀρχὰς τῶν τοιούτων τι φαρμάκων ἔδοσαν, ἢ ὅλως πρὸ τῆς ἀκμῆς, ἁπλοῦν μὲν ὄντα τὸν τεταρταῖον, διπλοῦν πολλάκις † ἐπέφηναν, ἢ πάντως μείζονά τε καὶ χαλεπώτερον εἰργάσαντο. διπλοῦν δ' ὄντα, τριπλοῦν ἐποίησαν. ἢ πάντως γε τοὺς δύο χαλεπωτέρους τε καὶ μείζονας. οἶδα δέ τινα ἰατρὸν ὅστις ἐτόλμησεν ὑπὸ τριῶν ἐχομένῳ τεταρταίων δοῦναι τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου, οὔπω τοῦ νοσήματος ἀκμάζοντος εἶτα οἷα εἰκὸς αὐξηθέντων ἁπάντων, συνεχὴς διαδεξάμενος πυρετὸς, ἀπέκτεινε τὸν ἄνθρωπον. ἀμφημερινὸν δὲ θεραπεύων, ὀξυμέλιτί τε χρῶ μετὰ τὰς πρώτας ἡμέρας, καὶ τοῖς οὖρα καλῶς προτρέπειν δυναμένοις, καὶ τὸ σύμπαν σοι τῆς διαίτης κεφάλαιον τμητικώτερον ἔστω. περὶ δὲ τὴν ἀκμὴν, προνοεῖσθαι χρὴ τῆς γαστρὸς, μάλιστα δὲ τοῦ στόματος αὐτῆς. κἄπειτ' ἐμεῖν ἀπό τε ῥαφανίδων καὶ σιτίων κελεύειν, καὶ τοῖς φλέγμα κενοῦσιν ὑπηλάτοις χρῆσθαι. τὰ δ' ἄλλα τῆς διαίτης, πρὸς τοὺς κοινοὺς ἀποβλέπων σκοποὺς ἐξευρήσεις.

Τοὺς δὲ συνεχεῖς πυρετοὺς. οἷς μὲν ἡ ἀκμὴ τοῦ νοσήματος οὐ † πόῤῥωτέρω τῆς ἑβδόμης ἔσεσθαι μέλλοι, καὶ ἔστιν ἡ δύναμις ἰσχυρὰ, καὶ τὰ τῆς ἡλικίας ὁμολογεῖ, τούτους μὲν ἀκριβῶς τε πάνυ διαιτᾶν, καὶ λεπτῶς. ὅσοις δ' ἤτοι ποῤῥωτέρω τῆς ἑβδόμης ἡ ἀκμὴ τοῦ ὅλου νοσήματος, ἢ τὰ τῆς δυνάμεως οὐκ ἔῤῥωσα, κατ' ἀρχὰς μὲν, ἁδρότερον. ἐγγὺς δὲ τῆς ἀκμῆς, λεπτότερον. ἀκμαζόντων δ' ἤδη, λεπτοτάτην διαιτᾶν. εἶτ' αὖθις ἁδρότερον ἀεί. καὶ μᾶλλον ὁμοίαν τὴν αὔξησιν ποιούμενον τῇ πρὸ τῆς ἀκμῆς μειώσει. αἵματος δὲ † ἀφαίρεσις, διά τε τὸ μέγεθος τοῦ νοσήματος, καὶ οἷς πολὺ πλέον ἔρευθός ἐστι τοῦ κατὰ φύσιν, καί τις ὄγκος ἀήθης ὅλου τοῦ σώματος. μετέωροί τε καὶ τεταμέναι φλέβες τούτων ἀφαιρεῖν, ἢν μή σε τὰ τῆς δυνάμεως, ἢ τὰ τῆς ἡλικίας, ἢ τι τῶν ἄλλων ὧν κατ' ἀρχὰς εἶπον, ἀπείργῃ. ὑγρὰ δὲ δίαιτα ὅτι τοῖς ὀξέσι πυρετοῖς ἅπασι συμφέρουσιν, ὀρθῶς εἴρηται πάλαι. πτισάνης τε οὖν χυλὸν, οἷς οὐκ ὀξύνεται διδόναι. καὶ μελίκρατον, οἷς οὐκ ἐκχολοῦται. καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα. καὶ ἄρτον δι' ὕδατος ὅσα τ' ἄλλα τῆς αὐτῆς, παραπλησίας ἐστὶ δυνάμεως, τοῖς δ' ἰσχυρῶς θερμοῖς καὶ καυσώδεσιν, ὅταν πρῶτον ἴδοις τὰ τῆς πέψεως σημεῖα, θαῤῥῶν ὕδατος ἤδη ψυχροῦ διδόναι πίνειν, τῆς δόσεως τὸ πλῆθος μετρῶν, ὥρᾳ τε καὶ χώρᾳ καὶ ἡλικίᾳ, καὶ φύσει, καὶ ἔθει. τοιαύτη μέν τις ἐν τῷ καθόλου φάναι τῶν ἄνευ συμπτωμάτων πυρετῶν ἐπιμέλεια. τῶν δὲ μετὰ συμπτωμάτων πυρετῶν, οὐκ ἔθ' ἁπλῶς οὕτως, ἀλλὰ μετρῆσαι χρὴ καθ' ὅσον οἷόν τε πηλίκος μὲν ὁ πυρετὸς, πηλίκον δὲ τὸ σύμπτωμα τὸ τὸν κίνδυνον ἐπιφέρον. καὶ πρὸς τὸ σφοδρότερον ἐν αὐτοῖς καὶ χαλεπώτερον ἵστασθαι, μὴ μέντοι θατέρου παντάπασιν ἀμελοῦντας. φέρε γὰρ εἴ τις πυρέττοι μὴ τῆς καλουμένης πληθωρικῆς διαθέσεως παρούσης, ἀλλ' ἐξ ἀπεψιῶν τε προσφάτων εἴη, καὶ δάκνοιτο, καὶ θλίβοιτο τὸ στόμα τῆς γαστρὸς, ἢ καὶ χυμόν τινα μοχθηρὸν ἐμεμηκὼς εἴη, καὶ τῇ τούτου διόδῳ μεγάλως βεβλαμμένος, ὥστε καὶ δυσφορεῖν καὶ ἀλύειν. ἆρ' ἐνταῦθα πρὸς τὸν πυρετὸν ἀποβλέψαντες, μόνον κενοῦν ἐπιχειρήσομεν τὸ πλῆθος ὅπερ ἄλλως ἂν ἀλύπως ἐπράξαμεν, ἢ πρότερον τοῦ στόματος τῆς γαστρὸς προνοησόμεθα, κἄπειθ' οὕτως ἐπειδὰν ἡμῖν καλῶς ἔχῃ τοῦτο, τὴν ἐνδεχομένην τοῦ παντὸς σώματος κένωσιν ποιησώμεθα; ἐμοὶ μὲν οὖν οὕτω δοκεῖ. πολλάκις γοῦν εἶδον πολλοὺς τῶν τοιούτων. τοὺς μὲν, ἀπολλυμένους. τοὺς δ' εἰς ἔσχατον ἀφικομένους κινδύνου, ἐπιχειρησάντων αὐτοὺς κενοῦν τῶν ἰατρῶν πρὶν ῥῶσαι τὸν στόμαχον. ἀλλ' οὐδὲ εἰ μετὰ διαῤῥοίας ὁ πυρετὸς εἴη, χρῄζει τινὸς ἄλλης κενώσεως, ἀλλ' αὐτάρκης αὕτη, κἂν μὴ κατὰ λόγον ᾖ τοῦ πλήθους. ὅσοι γὰρ τῶν τοιούτων ὡς πλείονος χρῃζόντων ἀφαιρέσεως, ἤ τι τοῦ αἵματος ἀπάγειν ἐτόλμησαν, ἢ τὴν γαστέρα κινεῖν, ἔτι μᾶλλον ὀξεῖς κινδύνους ἐπήνεγκαν. ἀλλ' οὐδ' εἰ σπώμενός τις ἅμα καὶ κενώσεως αἵματος εἴη χρῄζων οὐδὲ τούτῳ τοσοῦτον ἀφαιρεῖν προσήκει εἰς ἅπαξ, ὅσου δεῖται τὸ πάθος. ἀλλά τι καὶ τῷ συμπτώματι καταλειπτέον, ἱδρῶτάς τε πολλάκις † κενοῦντι, καὶ ἀγρυπνίας προσφέροντι, καὶ τὴν ἰσχὺν καταβάλλοντι τοῦ νοσοῦντος. οὕτω δὲ καὶ ἡ ἀγρυπνία σφοδρὰ, καὶ εἰ ἄλγημα σύντονον ἐνοχλοίη τὸν νοσοῦντα, φυλακτέον ἀθρόας τε καὶ πολλὰς κενώσεις. οἷον δέ τι σύμπτωμα, καὶ τὴν τοῦ περιέχοντος ἀέρος ὑπολογιστέον κρᾶσιν, ὅταν γε † ἀκριβῶς ᾖ θερμὴ καὶ ξηρά. καθάπερ ἐν τῷ μεταξὺ κυνὸς ἐπιτολῆς καὶ ἀρκτούρου. καὶ διὰ τοῦτο πάντες ἀπέθανον, ὧν οἱ μὴ δ' ὅλως ταῖς ὥραις προσέχοντες ἰατροὶ, τὰς φλέβας τεμεῖν ἐθάῤῥησαν. οὕτω δὲ καὶ εἰ ψυχρά τις εἴη πάνυ σφόδρα, καὶ γὰρ οὖν καὶ τότε φυλακτέον ἀπάγειν τι τοῦ αἵματος, εἰδότας οὐ μικροὺς ἐν τοῖς τοιούτοις ἀκολουθεῖν κιν-

† al. ἐποίησαν
† al. πόῤῥω
† al. ἀφαιρήσεως
† al. πολλοῖς additur, & scribitur mox κινοῦντι
† al. ἄκρως

δυνοῦς. ἀπόλλυνται δ' οἱ μὲν ἐν ταῖς θερμαῖς πάνυ καταστάσεσιν οὐκ ὀρθῶς κενωθέντες, ὑπὸ τῆς καλουμένης συγκοπῆς τε καὶ διαφορήσεως. οἱ δ' ἐν ταῖς ψυχραῖς, ἐν ἀρχαῖς τῶν παροξυσμῶν καταψυχθέντες σφοδρῶς, οὐκέτ' ἀναφέρουσι. ταῦτ' ἄρα καὶ τῶν χωρίων, οὔτ' ἐν τοῖς θερμοῖς ἄγαν, οὔτ' ἐν τοῖς ψυχροῖς αἵματος ἀφαιρέσει θαρροῦμεν. ἀλλ' ἐὰν μὲν ὁμολογῇ τὰ τῆς ὥρας τῷ χωρίῳ, παντάπασιν ἀπεχόμεθα. μὴ ὁμολογούντων δὲ, κενοῦμεν μὲν, ἀλλ' ἔλαττον πολὺ, † ἢ ὡς εἰ μηδὲ ἕτερον ἐκώλυεν. οἷον δέ τι σύμπτωμα καὶ τὸ τοῦ νοσοῦντος δυσπαθὲς ὑφορᾶσθαι χρή. πολλοὶ γοῦν † οὔτ' ἐκκενώθησάν ποτε, οὔτε κένωσιν ἀθροωτέραν οὐδεμίαν, οὔτ' ἀσιτίαν μακροτέραν φέρουσιν. ἀλλ' οἱ μὲν ἄρρωστοι τὴν πᾶσαν ἰσχὺν τοῦ σώματος, ἐπ' αὐτοῖς γίνονται ῥᾳδίως. οἱ δ' εὐθὺς τὸν στόμαχον φαύλως ἔχουσιν, ὥστε ἀναστρέφεσθαι τὰ σιτία. καὶ εἰ βιασάμενοι λάβοιεν, ἢ μὴ κατέχειν, ἢ μὴ πέττειν καλῶς. ἐν τούτῳ τῷ μέρει τῆς διαγνώσεως, καὶ τὴν κρᾶσιν τοῦ νοσοῦντος † θεωρητέον. ὅσοι γὰρ θερμοὶ καὶ ξηροὶ φύσει τυγχάνουσιν ὄντες, οὗτοι πάντες ὑπὸ τῶν ἀθρόων κενώσεων ῥᾳδίως βλάπτονται, καὶ μὲν δὴ καὶ τὸ ἔθος, οὐ † μικρὰ μοῖρα πρός τε τἆλλα σύμπαντα, καὶ οὐχ ἥκιστα πρὸς τὴν τῆς κενώσεως ἔνδειξιν. οἱ μὲν γὰρ, οὔτ' ἐκκενώθησαν ἔμπροσθεν, οὔτε ποτὲ κένωσιν ἀθρόαν ὑπήνεγκαν. παμπόλλοις τε σιτίοις ἐχρῶντο, τινὲς δ' ἔμπαλιν, οὔτε πολλοῖς χρῶνται σιτίοις, καὶ κενώσεων ἐθάδες εἰσί. τούτους μὲν οὖν ἀδεῶς κενωτέον, ὅταν γε καὶ τἆλλα ὑπαγορεύῃ. τοὺς δ' ἑτέρους, τοὺς ἀήθεις, οὐδ' εἰ τἆλλα σύμπαντα προτρέποιτο. ἐπὶ ταῦτα δὲ καὶ τὰς ἕξεις τοῦ σώματος χρὴ σκοπεῖσθαι. τοῖς μὲν γὰρ πυκνὴν καὶ στερεὰν ἔχουσι τὴν σάρκα, δυσπαθὴς ἡ ἕξις. ὥστ' οὐδὲν χρὴ δεδιέναι κενοῦν αὐτοὺς εἰς ἅπαξ, ἤν γε καὶ τἆλλα κελεύῃ. τοῖς δὲ μαλακήν τε καὶ βρυώδη καὶ διαρρέουσαν ἑτοίμως, εὐπαθὴς ἐστὶ δεινῶς, ὥστε τῶν γε τοιούτων, οὐδ' εἰ πάντα τἆλλα κελεύει τοῦ αἵματος ἀποχεῖν, οὐδὲ τότε τολμητέον. ἀλλὰ καὶ ταῖς ἄλλαις κενώσεσι καθ' ὅσον οἷόν τε μετρίως τε καὶ εὐλαβῶς χρηστέον. ὁμοίως δὲ καὶ ὅσοι παχεῖς ὑπερβαλλόντως ἢ ἰσχνοί, καὶ γὰρ καὶ τούτων τάς τε φλέβας τέμνειν φυλακτέον, καὶ τὰς ἄλλας κενώσεις τὰς ἀθρόας εὐλαβητέον. εἴη δ' ἂν ἐν τούτοις καὶ ἡ ἡλικία, καθάπερ τι σύμπτωμα κωλυτικὸν ἀθρόας κενώσεως. οὔτε γὰρ οἱ παῖδες οὔθ' οἱ γέροντες ἀλύπως αὐτὰς φέρουσι. πάντας οὖν τοὺς εἰρημένους, ὅταν αἱ διαθέσεις κένωσιν ὑπαγορεύωσιν, οὐχ ἅπαξ, οὐδ' ἀθρόως, ἀλλὰ κατὰ βραχὺ κενωτέον, ἀσιτίαις τε συμμέτροις, καὶ τρίψεσι, καὶ κλύσμασι μαλακοῖς, κατωμονήσεσί τε καὶ καταπλάσμασι, καὶ βαλανείοις. ἑκάστου πάλιν τούτων τὴν ἔνδειξιν ἀπὸ τῶν προειρημένων λαμβάνοντας. οὕτω δὲ καὶ εἰ δύο ποτὲ συμπτώματα ἐναντία παρακολουθεῖν, σκέπτεσθαι χρὴ ὁπότερον αὐτῶν ἰσχυρότερόν ἐστιν. ὡσαύτως δὲ καὶ εἰ νοσήματα δύο, περὶ τὸν αὐτὸν ἄνθρωπον εἴη μαχομένας τὰς ἐνδείξεις ποιούμενα. καὶ γὰρ καὶ τότε πρὸς τὸ κατεπεῖγον † ἵστασθαι χρὴ, μὴ δὲ θατέρου παντάπασιν ἀμελοῦντας. τὰς δ' ἀπὸ τῶν συμπτωμάτων τε καὶ νοσημάτων ἐνδείξεις, οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὴν ἐργαζομένην ἕκαστον αἰτίαν χρὴ σκοπεῖν, οἷόν ἐστιν ἡ λειποθυμία καὶ ἡ ἔκλυσις. εἰώθασι γὰρ οἱ ἰατροὶ καθ' ἑνὸς πράγματος ἄμφω ταῦτα τὰ ὀνόματα φέρειν. αὐτὸ μὲν οὖν τὸ πρᾶγμα, ἕν ἐστιν. αἰτίαι δ' αὐτοῦ πολλαί. λειποθυμοῦσι γὰρ ἐπί τε χολέραις, καὶ διαρροίαις, καὶ δυσεντερίαις, καὶ λειεντερίαις, καὶ γυναικείῳ ῥῷ, καὶ τραύμασιν, αἱμορροΐσι τε, καὶ ἀναγωγαῖς αἵματος, καὶ ταῖς διὰ ῥινῶν αἱμορραγίαις, καὶ λοχείαις καθάρσεσιν ἀμέτροις. ἤνεγκε δέ ποτε καὶ ἀπεψία μεγάλη λειποθυμίαν, καὶ μάλιστα ὅταν ἀμετρότερον ὑπαγάγῃ τὴν γαστέρα. καὶ ὁ βούλιμος δὲ καλούμενος οὐδὲν ἄλλο, ἢ λειποθυμία ἐστί. καὶ ὑστερικῆς πνίξεως ἁπάσης, λειποθυμία προηγεῖται. καὶ ταῖς ἀναδρομαῖς τῶν ὑστέρων ἕπεται. καὶ ταῖς παρεγκλίσεσι δὲ καὶ ταῖς φλεγμοναῖς αὐτῶν πολλάκις ἀκολουθεῖ. προηγεῖται δ' ἀποπληξίας τε καὶ κακοήθους ἐπιληψίας, καὶ διαφορήσεων, καὶ τῶν συγκοπῶν, καὶ μαρασμῶν. ἀλλὰ καὶ συνεισβάλλει ποτὲ καταβολαῖς πυρετῶν οὐκ ὀλίγαις. καὶ μάλιστα ὅταν ἄκρως ᾖ ξηρὸν καὶ αὐχμῶδες, ἢ πληθωρικὸν ἀμέτρως τὸ σῶμα. καὶ καυσώδει δὲ καὶ κακοήθει πυρετῷ. συνεισέβαλέ ποτε καὶ τοῖς μεγάλως καταψυχθεῖσι τὰ ἄκρα τοῦ σώματος ἐν ταῖς εἰσβολαῖς τῶν πυρετῶν. καὶ ὅσοι διὰ μέγεθος φλεγμονῆς, ἢ ἥπατος, ἢ κοιλίας, ἢ στομάχου πυρέσσουσι, καὶ οὗτοι λειποθυμοῦσι κατὰ τὰς ἀρχὰς τῶν παροξυσμῶν. μάλιστα δ' οἷς πλῆθος χυμῶν ὠμῶν καὶ ἀπέπτων, καί τις ἔμφραξις ἐπικαίρου μορίου. λειποθυμοῦσι δὲ καὶ ὅσοις τὸ στόμα τῆς γαστρὸς ἄρρωστον, ἢ ὑπὸ μοχθηρίας χυμῶν δάκνεται, ἢ ὑπὸ παχέων, ἢ γλίσχρων, ἢ ὑγρῶν, ἢ ψυχρῶν βαρύνεται. καὶ μὲν δὴ καὶ ψυχικῶν παθῶν ἰσχύϊ λειποθυμοῦσι τινές. μάλιστα δὲ πρεσβῦται πάσχουσιν αὐτὸ, καὶ οἱ ἄλλως ἀσθενεῖς. καὶ γὰρ λυπηθέντες αὐτῶν πολλοὶ, καὶ χαρέντες. καὶ θυμωθέντες ἐλειποθύμησαν. ἀλλὰ καὶ νοτίδες ἔσθ' ὅτε μὴ κατὰ καιρὸν τοῖς οὕτως ἔχουσιν ἐπιφαινόμεναι, λειποθυμίας ἐπιφέρουσιν. ὥσπερ καὶ τοῖς ἰσχυροτέροις, ἱδρῶτες ἄμετροι. καὶ εἰ ἀπόστημά τι ῥαγείη, † βλάπτει τὴν δύναμιν ἰσχυρῶς. καὶ μάλιστα εἰ ῥαγὲν ἀθρόως εἰς κοιλίαν, ἢ εἰς στόμαχον, ἢ εἰς θώρακα συρρέοι. καὶ ἡμεῖς αὐτοὶ τέμνοντες ἀποστήματα, εἰ τὸ πῦον ἀθρόως ἐκκενώσομεν, ἀνάγκη λειποθυμῆσαι. καὶ εἰ καθαίροντες, ἢ κλύζοντες, ἢ ὁπωσοῦν κενοῦντες, ἀθροώτερον αὐτὸ δράσομεν. οὐδὲ γὰρ οὐδὲ τὸ ἐν τοῖς ὑδέροις ὑγρὸν, καίτοι περιττὸν ὂν καὶ παρὰ φύσιν, ἀλύπως ἀνέχεται τὴν ἀθρόαν κένωσιν, ἀλλὰ ἀνάγκη καὶ τότε λειποθυμῆσαι τὸν ἄνθρωπον. ἀλλὰ καὶ διὰ μέγεθος ὀδύνης ἐκλύσεις γίνονται δήξεών τινων, ἢ στρόφων, ἢ εἰλεῶν ἢ κωλικῆς διαθέσεως ἐξαίφνης ἐμπεσούσης. ἀλλὰ καὶ νεῦρον τρωθὲν, καὶ μυὸς κεφαλὴ λειποθυμίαν ἤνεγκε. καὶ τὰ ἐν τοῖς ἄρθροις ἕλκη τὰ κακοήθη, καὶ τὰ γαγγραινώδη, καὶ νομώδη σύμπαντα. καί τις ἄμετρος ψύξις, ἢ θερμασία. καὶ ἡ τοῦ ζωτικοῦ τόνου λύσις. αὗται μὲν αἱ τῆς λειποθυμίας αἰτίαι. καθ' ἕκαστον δὲ αὐτῶν, ἡ θεραπεία ἴδιος. καὶ γράψαι νῦν ὑπὲρ πασῶν οὐκ ἐγχωρεῖ. τὰς γὰρ ἐν τοῖς πάθεσι συνεδρευούσας, οὐχ οἷόν τε χωρὶς ἐκείνων ἰάσασθαι. τοσοῦτον οὖν ἐν τῷ παρόντι λόγῳ ἐροῦμεν περὶ αὐτῶν, εἰς ὅσον ἄν τις μαθὼν, ἱκανὸς εἴη τοῖς ἐξαίφνης ἐμπίπτουσιν ἐνίστασθαι παροξυσμοῖς. οἷον ὅτι τοῖς μὲν ἐπὶ χολέραις καὶ διαρροίαις, καὶ ταῖς ἄλλαις ταῖς πολλαῖς καὶ ἀθρόαις κενώσεσιν ἐκλυομένοις, ὕδωρ τε ψυχρὸν προσραίνειν, καὶ τοὺς μυκτῆρας ἐπιλαμβάνειν, καὶ ἀνατρίβειν τὸ στόμα τῆς γαστρὸς, καὶ κελεύειν ἐμεῖν, ἢ σπαράττειν τὸν στόμαχον, ἤτοι δακτύλων, ἢ πτερῶν καθέσεσιν, ἀλλὰ καὶ χεῖρας † πόδας διαδεῖν. † εἶναι δὲ χρὴ καὶ τοὺς δεσμούς. πλείονας μὲν καὶ σφοδροτέρους ἐν ταῖς χερσίν,

† al. ἤπερ εἰ
† al. omittuntur
† al. θετέον
† al. οὐ μικρὸν συντελεῖ
† al. ἐνίστασθαι
† al. τῶν μὴ πάνυ τὴν δύναμιν ἰσχυρῶν
† al. σκέλη
al. omittuntur

σιν, ὅταν διὰ τῶν κάτω μερῶν αἱ κενώσεις γίγνωνται, καθάπερ ἐν ταῖς αἱμορροΐσι καὶ διαρροίαις. ὅσας τε διὰ τῶν ὑστερῶν αἱ γυναῖκες κενοῦνται. τὸ γὰρ τὰ σκέλη τηνικαῦτα σφοδρῶς διαδεῖν, ἐπισπᾶταί τι κάτω πολλάκις. ἔμπαλιν δ᾽ ἐν ταῖς διά τε ῥινῶν αἱμορραγίαις, καὶ τοῖς ἐμέτοις οἱ δεσμοὶ πλείονές τε καὶ σφοδρότεροι περὶ τὰ σκέλη γιγνέσθωσαν. καὶ μὲν δὴ καὶ ὅσοις ἐπὶ τρώμασιν αἱμορραγοῦσιν, ὡσαύτως ἄνω μὲν ἐπὶ τοῖς κάτω. κάτω δ᾽ ἐπὶ τοῖς ἄνω τὰ δεσμὰ περιβάλλειν. ἐξευρίσκειν δέ τι καὶ ἀνάρροπον σχῆμα τῷ μέρει, μὴ μέντοι πάνυ σφόδρα. τεινόμενον γὰρ ἐν τῷδε καὶ πονοῦν, οὐδὲν ἧττον, ἢ εἰ κατάρροπον ἦν, προξενεῖται. τὸ δὲ σύμπαν ἢ ἐπὶ τὰ κοινὰ ἀντισπᾶν τοῖς πεπονθόσιν, ἢ ἐπὶ τὰ τῆς κενώσεως κατάρξαντα. διὰ τοῦτο τὰς μὲν ἐκ τῶν ὑστερῶν ἀθρόας κενώσεις, αἱ παρὰ τοὺς τιτθοὺς προσβαλλόμεναι σικύαι, τάχιστα παύουσι. τὰς δὲ διὰ τῶν ῥινῶν, ἥπατί τε καὶ σπληνί, περὶ τὴν αἱμορραγοῦσαν ῥῖνα. καὶ εἰ διὰ ἀμφοτέρων ἀθρόον καὶ πολὺ φέροιτο, τοῖς σπλάγχνοις ἀμφοτέροις προσβάλλειν. ἴαται δὲ καὶ οἶνος ὕδατι ψυχρῷ κεκραμένος, τὰς ἐπὶ ταῖς ἀθρόαις κενώσεσιν ἐκλύσεις, καὶ μάλιστα τῶν εἰς τὴν γαστέρα ῥεπόντων ῥευμάτων. ἐπισκοπεῖσθαι δέ, μή τι κωλύῃ τὴν τοιαύτην δόσιν, οἷον εἰ σπλάγχνον τι φλεγμαῖνον, ἢ κεφαλῆς ἄλγημα σφοδρότερον, ἢ παρακρουστικόν τι πάθος, ἢ πυρετὸς καυσώδης ἐν ἀπέπτῳ νοσήματι. μεγάλαι γὰρ ἐν τοῖς τοιούτοις καὶ σχεδὸν ἀνίατοι ταῖς τῶν οἴνων πόσεσιν ἕπονται βλάβαι. μηδενὸς δὲ κωλύοντος, ἐφεξῆς δεῖ διορίζεσθαι τήν τε φύσιν τοῦ νοσοῦντος, καὶ τὸ ἔθος, καὶ τὴν ἡλικίαν, καὶ τὴν τοῦ περιέχοντος ἀέρος κρᾶσιν. εἰς ταῦτα γὰρ ἀποβλέπων, ἢ θερμόν, ἢ ψυχρὸν δώσεις τὸ πόμα. τοὺς μὲν γὰρ ἀήθεις ψυχροῦ πόματος, ἢ καὶ φανερῶς ἢ βλαπτομένους ὑπ᾽ αὐτοῦ, καὶ ὅσοι φύσει ψυχρότεροι, καὶ τοὺς ἐν ἐσχάτῳ γήρᾳ, ἢ καὶ χωρίῳ ψυχροτέρῳ φύσει, ἢ καὶ χειμῶνος εἴργειν τοῦ ψυχροῦ. τοῖς δ᾽ ἐναντίως ἔχουσιν, ἀδεῶς διδόναι πίνειν. ἔστω δὲ καὶ οἶνος, ἐπὶ μὲν τοῖς εἰς τὴν γαστέρα ῥεύμασι, θερμός τε καὶ λεπτὸς οἷος ὁ λέσβιος. ἐπὶ δὲ ταῖς αἱμορραγίαις, παχύς τε καὶ μέλας, καὶ στρυφνός. ἐπὶ δὲ τοὺς τόπους αὐτούς, ἐπιτιθέναι γαστρὶ μὲν καὶ μήτρᾳ καὶ στομάχῳ καὶ θώρακι τὰ τονοῦν πεφυκότα. κεφαλῇ δὲ καὶ μετώπῳ, καὶ ταῦτα, καὶ τὰ ψύχοντα, καὶ ἐφ᾽ ὧν ἐπιπολῆς καὶ περὶ τοὺς μυκτῆρας φλεβῶν εἴη τις ἐρρωγυῖα τῶν ἐπεχόντων φαρμάκων τὸ αἷμα ἐπιτιθέναι. λουτρὰ δὲ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν, ἐπιτηδειότατα. τὰς δ᾽ αἱμορραγίας, δεινῶς παροξύνει. καὶ ὅσοι διὰ πλῆθος ἱδρώτων λειποθυμοῦσι, καὶ τούτοις ἐναντιώτατα. χρὴ γὰρ αὐτῶν στύφειν, τε καὶ ψύχειν, οὐ χαλᾶν τὸ δέρμα. καὶ τὸν οἶνον ψυχρὸν μάλιστα διδόναι τούτοις, καὶ μηδὲν ὅλως προσφέρειν θερμόν. ἀλλὰ μὴ δὲ διαδεῖν τὰ κῶλα, μηδ᾽ ἀναγκάζειν ἐμεῖν, μὴ δὲ κινεῖν ὅλως. καὶ πνευμάτων εἰσόδους ψυχόντων ἐπιτεχνᾶσθαι. καὶ τὸν ἀέρα τοῦ οἴκου τρέπειν εἰς ψυχρότητά τε καὶ στρυφνὴν ποιότητα μυρσίνων τε καὶ ἀμπέλων ἕλιξι καὶ ῥόδοις καταστρωννῦντα τοὔδαφος. τούτων οὐδὲν χρήσιμον τοῖς εἰς τὴν γαστέρα ῥεύμασιν· αὔξεται γὰρ εἰς ὅσον ἂν πυκνωθῇ τὸ δέρμα. τοῖς μὲν οὖν ἐπὶ ταῖς κενώσεσιν ἐκλυομένοις, οὕτω βοηθεῖν ἔν γε τῷ παραχρῆμα. τοῖς δ᾽ ἐπὶ πλήθεσιν, οὐκ ἔθ᾽ ὁμοίως, ἀλλὰ τρίβειν ἐπὶ πλεῖστον ἔτι ἐκείνων τὰ κῶλα, καὶ θερμαίνειν καὶ διαδεῖν. οἴνου δὲ καὶ τροφῆς ἀπέχειν, καὶ λουτρῶν εἰ πυρέττοιεν. ἀρκεῖ δ᾽ αὐτοῖς μελικράτου τε διδόναι πόμα, ἢ θύμου, ἢ ὀριγάνου, ἢ γλήχωνος, ἢ ὑσσώπου ἔχοντος ἐναφεψημένον. ἐπιτήδειον δὲ καὶ ὀξύμελι. καὶ τὰς ἐφ᾽ ὑστέραις δὲ πεπονθυίαις ἐκλυομένας, ὡσαύτως ἰᾶσθαι, πλὴν ὀξυμέλιτος καὶ διαδεῖν καὶ τρίβειν σκέλη μᾶλλον, ἢ χεῖρας. καὶ ὥσπερ ἐπ᾽ ἐκκρίσει πολλῇ παρὰ τοὺς τιτθοὺς σικύας ἐπιτίθεμεν, οὕτως αὖθις ἀντισπάσαι καὶ παρασπάσαι βουβῶσί τε καὶ μηροῖς προσάξομεν. καὶ ταῖς μὲν ῥισίν, ὀσφραντὰ δυσωδέστατα. ταῖς δὲ μήτραις, εὐώδη. καὶ τὰ χαλᾶν καὶ θερμαίνειν δυνάμενα φάρμακα προσοίσομεν. εἰ δ᾽ ἄρρωστος ὁ στόμαχος εἴη καὶ ταύτῃ λειποθυμοῖεν, ἐπιπλάττειν μὲν τοῖς τονοῦν δυναμένοις, οἷα τά τε διὰ τῶν φοινίκων ἐστί, καὶ οἴνου, καὶ ἀλφίτων, καὶ κρόκου, καὶ ἀλόης, καὶ μαστίχης. ἐπιβρέχειν δὲ τοῖς διὰ ἀψινθίου, καὶ μηλίνου, καὶ μαστιχίνου καὶ νάρδου, καὶ οἰνάνθης, καὶ οἴνου. καὶ εἰ ἐκκαίοιντο, μιγνύσθαι τι καὶ τῶν ψυχόντων. οἷον τοῦ τε κολοκύνθης τὸν χυλόν, καὶ τοῦ θριδακίνης, καὶ τοῦ ἀνδράχνης, καὶ τοῦ στρύχνου, καὶ τοῦ σέρεως, καὶ τοῦ ὄμφακος, οὗτος μέν γε οὐ ψύχει μόνον, ἀλλὰ καὶ στύφει. καὶ ψυχρὸν ὕδωρ τοῖς διακαιομένοις τὸν στόμαχον ὤνησε πολλάκις ἐν καιρῷ δοθέν. ἄλλως δέ, μεγάλως βλάπτει. καὶ χρὴ μᾶλλον οἴνου θερμοῦ διδόναι τοῖς ἀρρώστοις τὸν στόμαχον, εἰ μηδὲν ἄλλο κωλύοι. ὤνησε δὲ μεγάλως τοὺς τοιούτους στομάχους καὶ ἡ τῶν † ἀκρωτηρίων τρῖψις. εἰ δ᾽ ἐπὶ τούτοις βελτίους μὴ γένοιντο, τοὺς μὲν ἐκ- † al. ἄκρων
καιομένους, ἐπὶ λουτρὸν ἄγειν τὴν ταχίστην. ὅσοι δὲ ψύξεως τινὸς αἴσθησιν ἔχουσι, τοῦ τε διὰ τριῶν πεπέρεων φαρμάκου, καὶ αὐτοῦ τοῦ πεπέρεως μόνου, καὶ ἀψινθίου πινόντων. ὅσοι δὲ μοχθηρῶν χυμῶν δακνόντων τὸ στόμα τῆς γαστρὸς ἐκλύονται, διδοὺς ὕδωρ θερμὸν ἢ ὑδρέλαιον, ἐμεῖν κελεύειν. εἰ δὲ δυσεμεῖς εἶεν, θάλπειν χρὴ † † al. omittuntur
πρότερον αὐτά τε τὰ περὶ τὸν στόμαχον χωρία, καὶ πόδας, καὶ χεῖρας. εἰ δὲ μηδ᾽ οὕτως δύναιντο, πτερὰ ἢ δακτύλους καθιέντας ἐρεθίζειν. εἰ δὲ μηδ᾽ οὕτως, αὖθις αὐτοῖς ἔλαιον θερμὸν ὅτι κάλλιστον δοτέον. εἴωθε δὲ πολλάκις τοὔλαιον, οὐκ εἰς ἔμετον μόνον ὁρμᾶν, ἀλλὰ καὶ τὴν γαστέρα λαπάττειν. ἔστι δὲ καὶ τοῦτο οὐ μικρὸν ἀγαθὸν τοῖς παροῦσιν. ὥστ᾽ εἰ μὴ γένοιτο αὐτόματον, ἐπιτεχνᾶσθαι χρή. μάλιστα δὲ τοῖς προσθέτοις αὐτὸ πειρᾶσθαι δρᾶν. εἰ δὲ ῥᾷον ἐπὶ τοῖσδε γένοιτο, καὶ ἀψινθίου κόμην ἐναφεψῶν, μελικράτῳ διδόναι πίνειν, καὶ οἶνον ἐφεξῆς. καὶ παντοίως ῥωννύσθαι τὰ μόρια διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων, καὶ τοῦ ἀψινθίου ταῖς πόσεσιν. οὐ μὴν κατ᾽ ἀρχὰς κελεύω σε τοῦτο ποιεῖν οὕτως, ἀλλ᾽ ὕστερον ἡνίκα μὲν ἤδη καθαρὰ τὰ περὶ τὴν κοιλίαν ᾖ. περιεχομένων δέ τι τῶν χυμῶν ἐν αὐτῇ, μηδέπω στύφειν, ἀλλ᾽ ἀρκεῖ θάλπειν μόνον, ὡς ἔμπροσθεν εἴρηται. φλέγματος δὲ πολλοῦ καὶ ψυχροῦ περὶ τὸ στόμα τῆς γαστρὸς ἠθροισμένου, καταντλεῖν μὲν ἐπὶ πλεῖστον, ἐλαίῳ συνεψῶν ἀψίνθιον. ἐφεξῆς δὲ τοῦ μελικράτου διδόναι, ἢ ὑσσώπου, ἢ τι τῶν ὁμοίων ἀποβρέχων, ὀξυμέλιτός τε, καὶ πεπέρεως, καὶ τοῦ διὰ τριῶν πεπέρεων, καὶ τοῦ διοσπολιτικοῦ φαρμάκου. καὶ τὸ σύμπαν σοι τῆς διαίτης κεφάλαιον, τμητικὸν ἔστω. τὰς δ᾽ ἐπὶ ταῖς ἰσχυραῖς ψύξεσιν ἐκλύσεις, ὁμοίως τοῖς βουλίμοις ἰᾶσθαι παντὶ τρόπῳ θερμαίνοντα. τόν τε οὖν οἶνον αὐτοῖς διδόναι θερμῷ κεκραμένον, καὶ ῥοφὰς τὰς θερμαίνειν πεφυκυίας. ἀναζεῖν τε καὶ θάλπειν παρὰ πυρί. τὰς δ᾽ ἐπὶ θερμασίᾳ πλείον, † γινομένας λειποθυμίας, τοῖς ἐμψύχειν τε καὶ τονοῦν δυναμένοις. ἐμπίπτει † al. additur

σι γὰρ αὗται μάλιστα τοῖς ἐν ἀέρι πνιγώδει ἢ βαλανείῳ χρονίσασι. ῥώσεις οὖν αὐτοὺς ἐν μὲν τῷ παραχρῆμα, τό τε ψυχρὸν ὕδωρ προσραίνων, καὶ ῥιπίζων, καὶ πρὸς ἄνεμον τρέπων, καὶ τρίβων τὸ στόμα τῆς κοιλίας, καὶ σπαράττων. ἑξῆς δὲ ἤδη καὶ οἶνον διδοὺς καὶ τροφάς. τοὺς δὲ διὰ μέγεθος φλεγμονῆς, ἢ καὶ κακοήθειαν σφοδροῦ πυρετοῦ λειποθυμοῦντας ἐν ταῖς εἰσβολαῖς καὶ καταψυχομένους, τὰ κῶλα τρίβων ἰσχυρῶς καὶ θάλπων, καὶ διαδῶν σκέλη τε καὶ χεῖρας, ἐγρηγορέναι τε κελεύων, καὶ σιτίου παντὸς ἀπέχεσθαι καὶ πόματος. ἄριστον δ᾽ ἐπὶ τούτων προγνῶναι τὸ μέλλον ἔσεσθαι, καὶ φθάνειν αὐτὰ πράξαντα πρὸ τοῦ παροξυσμοῦ. καὶ τοὺς διὰ ξηρότητα δὲ συγκοπτομένους ἐν ταῖς τῶν παροξυσμῶν ἀρχαῖς ἄριστον προγινώσκειν. εἰ γὰρ ὥραις που δύο ἢ τρισὶν ἔμπροσθεν πρὸ τοῦ παροξυσμοῦ θρέψας, διακρατεῖσθαί τε πόδας καὶ χεῖρας κελεύσειας, οὐκ ἂν ἀπόλοιντο. εἶναι δὲ χρὴ τὰς τροφὰς εὐπέπτους τε καὶ εὐστομάχους. εἰ δὲ καὶ σφοδρὸν τὸν κίνδυνον ὑπονοήσῃς ἔσεσθαι φθάνειν οἴνου διδόναι, καὶ μάλιστ᾽ εἰς χόνδρον ἑφθὸν τὸν οἶνον ἐπιχέας προσφέρειν. εἰ δὲ καὶ ἄρτον ἀντὶ χόνδρου δοίης ἴσον δύναται. μετρίας δὲ τῆς συγκοπῆς† προσδεχομένης, οὐδὲν οἴνου δεῖ, ἀλλ᾽ ἀρκεῖ τηνικαῦτα ῥοιῶν, ἢ ἀπίων, ἢ μήλων, ἢ τινὸς ἄλλης ὀπώρας στυφούσης, ταῖς τροφαῖς μιγνύναι. καὶ εἰ ἐπὶ τοῖς δὲ μετρίως τὸν παροξυσμὸν ἐνέγκοιεν αὖθις τρέφοντας, οὐκ ἀναγκαῖον ὀπώραις χρῆσθαι. ταῦτα μὲν πράττειν εἰ προγνοίης τὸ μέλλον ἔσεσθαι. τοῖς δ᾽ ἐξαίφνης εἰς τὸν κίνδυνον ἐμπιπτοῦσιν, οἴνου τε διδόναι θερμοῦ, καὶ ἄρτου, καὶ χόνδρου σὺν αὐτῷ θερμοῦ παντελῶς ὀλίγον. εἰ γὰρ τούτοις πλεῖον δοίης, ἢ δυσπεπτότερα σιτία τοῖς οὕτως ἔχουσιν, οὐ συγκοπήσονται μόνον, ἀλλὰ καὶ πνιγήσονται τελέως. τοῖς δὲ δι᾽ ἔμφραξιν ἐπικαίρου μορίου λειποθυμοῦσιν, ὀξύμελί τε διδόναι, καὶ τὸ δι᾽ ὑσσώπου, καὶ ὀριγάνου, καὶ γλήχωνος, καὶ μέλιτος πόμα. καὶ τροφὰς τοῦ τμητικωτέρου τρόπου. τὰ γὰρ παχέα καὶ γλίσχρα, μεγάλας ἐν τοῖς τοιούτοις ἐργάζεται βλάβας. ἀλλὰ καὶ τὰ κῶλα τρίβειν τε καὶ διαδεῖν, οὐδὲν χεῖρον. ἀγαθὸν δὲ καὶ τοῖς οὖρα ἄγουσι χρῆσθαι πόμασιν, οἷα τά τε δι᾽ ἀνήθου, καὶ μαράθρου, καὶ σελίνου, καὶ πετροσελίνου, καὶ ἄμεως ἢ δαύκου, καὶ νάρδου στάχυος. ἐφ᾽ οἷς φανερᾶς οὔσης ἤδη τῆς ὠφελείας, οἴνῳ χρῆσθαι, λευκῷ καὶ λεπτῷ, μὴ πάνυ παλαιῷ. γνωριεῖς δὲ τὰς τοιαύτας ἐμφράξεις, ταῖς τ᾽ ἄλλαις ἀνωμαλίαις τῶν σφυγμῶν, καὶ μάλιστα ὅσαι κατὰ μέγεθός τε καὶ μικρότητα, καὶ σφοδρότητα καὶ ἀμυδρότητα γίνονται. μὴ παρούσης τῆς καλουμένης πληθωρικῆς συνδρομῆς. εἰσὶ γὰρ κἀκείνης κοιναί. γίγνονται δὲ καὶ διαλείποντες ἐπὶ ταῖς μεγάλαις τῶν τοιούτων διαθέσεων οἱ σφυγμοί. ταῦτα μὲν οὖν ἐπὶ πλέον ἐν τοῖς περὶ σφυγμῶν λέγεται. νυνὶ δὲ μεταβῶμεν ἐπὶ τὸν περὶ τῶν ὑπολοίπων ἐκλύσεων λόγον. οἷον ὅσαι τε διὰ ῥῆξιν ἀποστήματος, ἢ τομὴν γίγνονται, καὶ ὅσαι διὰ κένωσιν ἀθρόαν ἐν ὑδέροις. ἀπόχρη δὲ τούτοις ἐν μὲν τῷ παραυτίκα, τοῖς ὀσφραντικοῖς ἀνακτήσασθαι. μικρὸν δ᾽ ὕστερον, ῥοφήμασιν εὐπέπτοις χρῆσθαι. εἰ δὲ καὶ διὰ λύπην, ἢ χαράν, ἢ φόβον, ἢ θυμόν, ἢ ἔκπληξιν ἐκλυθεῖεν, ὀσφραντικοῖς τε καὶ ταῖς τῶν ῥινῶν καταλήψεσιν ἀνακτησάμενον, ἐμεῖν ἀναγκάζειν. ὡσαύτως δὲ καὶ τοὺς ἐπὶ τραύμασιν, ἢ καθάρσεσιν, ἢ ἀλγήμασι, τοῖς κατὰ τὰ ἄρθρα, καὶ νεῦρα, καὶ τῶν μυῶν τοὺς τένοντας, ἔν γε τῷ παραχρῆμα δεῖ ἀνακτᾶσθαι. μετὰ δὲ ταῦτα, τὴν προσήκουσαν ποιεῖσθαι τοῦ παθήματος θεραπείαν. αἱ δ᾽ ἐπὶ τοῖς κωλικοῖς πάθεσιν, ἢ τοῖς εἰλεοῖς, ἢ τινὶ τῶν οὕτω μεγάλας ἐπιφερόντων ὀδύνας ἑπόμεναι λειποθυμίαι, ταῖς τε τῶν πεπονθότων μορίων ἀλέαις μάλιστα καθίστανται, καὶ ταῖς τῶν ἄκρων τρίψεσιν. τὰς δὲ δι᾽ ἀρρωστίαν οἰκείαν τῶν διοικουσῶν τὸ σῶμα δυνάμεων ἐκλύσεις, ἐπὶ δυσκρασίᾳ τῶν μορίων ἐκείνων γιγνομένας, ὅθεν αἱ δυνάμεις ὁρμῶνται, ταῖς ἐναντίαις δυσκρασίαις ἰᾶσθαι προσήκει. θερμαίνοντας μὲν τὰς ψυχράς, ψύχοντας δέ, τὰς θερμάς. ἐπί τε τῶν ἄλλων ἀνάλογον. ἡ μὲν οὖν ζωτικὴ καλουμένη δύναμις, ἣν ἐκ καρδίας ὁρμωμένην ἐδείξαμεν, ἐκ τῶν ἀμυδρῶν σφυγμῶν γνωρίζεται. ἡ δ᾽ ἐξ ἥπατος μὲν ὁρμωμένη, θρεπτικὴ δ᾽ ὀνομαζομένη, ταῖς αἱματώδεσι διαχωρήσεσι, κατ᾽ ἀρχὰς μὲν ὑδατώδεσί τε καὶ λεπταῖς γιγνομέναις. ὕστερον δὲ παχείαις, οἷάπερ ἡ ἀμοργή. τὴν δ᾽ ἀπ᾽ ἐγκεφάλου μὲν ὁρμωμένην δύναμιν, ἐξαιρέτως δ᾽ ὑπό τινων ὀνομαζομένην ψυχικήν, τῇ ἐπὶ τὰς προαιρετικὰς κινήσεις ἀρρωστίᾳ γνωρίζομεν. ἀλλὰ περὶ μὲν τῶν τοιούτων διαθέσεων ἰδίᾳ σοι γράψομεν ἐν ἑτέρῳ γράμματι. πάμπολλα γάρ ἐστιν ἐν αὐτοῖς παρορώμενα τοῖς ἰατροῖς. ἐπεὶ δὲ τὸν περὶ τῶν συμπτωμάτων λόγον πεποιήμεθα μέχρι δεῦρο, πάλιν ἐπανίωμεν πρὸς τὰ ἐξ ἀρχῆς ἕνα κοινὸν ἐπὶ πάντων ἔχοντες σκοπόν, ἐπισκέπτεσθαι τὴν ἐργαζομένην ἕκαστον αὐτῶν αἰτίαν. αὕτη γὰρ ἐνδείξεταί σοι τὴν προσήκουσαν ἴασιν. οἷον εἴ τις ἀλγεῖ τὴν κεφαλήν, εἰ μὲν ἀσώδης εἴη καὶ καρδιώττοι, κελεύειν ἐμεῖν. ἐμεῖται γὰρ ἢ χολήν, ἢ φλέγμα, ἢ ἄμφω. μηδενὸς δ᾽ ἐπισήμου κατὰ τὴν γαστέρα παθήματος ὑποφαινομένου σκοπεῖσθαι, πότερον πλῆθός ἐστιν, ἢ ἔμφραξις, ἢ φλεγμονή τινος τῶν ἐν τῇ κεφαλῇ μορίων. εὑρήσεις δὲ πρῶτον μέν, εἰ δι᾽ ὅλης αὐτῆς ἐκτέταται τὸ ἄλγημα πυνθανόμενος, ἢ κατά τινα τῶν μορίων ἐρείδει σφοδρότερον. ἔπειτα δὲ πότερον μετὰ βάρους, ἢ τάσεως, ἢ δήξεως, ἢ σφυγμοῦ. τὰ γὰρ μετὰ βάρους ἀλγήματα, πλῆθος δηλοῖ. τὰ δὲ μετὰ δήξεως, ἢ ἀτμῶν ἢ χυμῶν, δριμύτητα. τὰ δὲ μετὰ σφυγμοῦ, φλεγμονήν, τὰ δὲ μετὰ τάσεως, εἰ μὲν ἄνευ βάρους, καὶ σφυγμοῦ, καὶ πνεύματος ἀπέπτου, καὶ φυσώδους, πλῆθος. εἰ δὲ μετὰ σφυγμοῦ, καὶ φλεγμονὴν ὑμενώδους σώματος. εἰ δὲ μετὰ βάρους, πλῆθος ἐντὸς τῶν ὑμένων ἐνισχόμενον. ὅταν οὖν παντάπασι ταῦτα διορισθείη τὴν ἐργαζομένην ἕκαστον αὐτῶν αἰτίαν σκοπεῖν χρή. ἐκείνη γὰρ ἐνδείξεταί σοι τὴν θεραπείαν. οἷον εἰ πλῆθος εἴη περιεχόμενον ἀτμῶν, ἢ χυμῶν, ἐπισκοπεῖσθαι πότερον διὰ μέγεθος πυρετῶν οἱ χυμοὶ χυθέντες τε καὶ οἱονεὶ ζέσαντες ἐπὶ τὴν κεφαλὴν ὥρμησαν, ἢ διὰ τὴν τοῦ μέρους ἀρρωστίαν, ἢ διὰ τὴν ἐν παντὶ τῷ σώματι πλησμονήν. ταύτην μὲν γὰρ οὐκ ἂν χαλεπῶς ἰάσαιο, ταῖς τοῦ ὅλου κενώσεσι. τὴν δ᾽ ἐπ᾽ ἀσθενείᾳ τοῦ μορίου, τὸ μέν τι, πάντῃ τοῦ σώματος ἀντισπῶν. τὸ δέ τι, ταῖς τοῦ μέρους ἰάσεσιν. ἀντισπάσεις μὲν οὖν κλύσμασί τε δριμέσι καὶ δεσμοῖς καὶ τρίψεσι τῶν κάτω πολλαῖς. καὶ ἢν οὕτω δέῃ καὶ τοῦ αἵματος ἀπάγων τι. τὸ δὲ μόριον ἐξιάσῃ καθ᾽ ὃν μὲν καιρὸν ἀντισπᾷς εἰς τὸ ὅλον σῶμα, ταῖς ἀπωθεῖσθαί τι τῆς κεφαλῆς δυναμέναις ἐπιθέ-

† al. προσδοκωμένης

ἐπιβροχαῖς. μετὰ δὲ ταῦτα, ταῖς κηρώσαις. εἰς ὕστερον δὲ ταῖς τονώσαις. ἀπωθεῖται μὲν οὖν ἔλαιον τὸ καλούμενον ὠμοτριβές, ἢ ἄλλο τι τῶν ποιούντων παραπλήσιον, οἷον ὀξυρόδινόν τε καὶ ῥόδινον αὐτὸ καθ' αὑτό, καὶ ὅσα διὰ τοῦ μήκωνος κωδίων καὶ θαλλῶν ἐλαίας τῶν ἁπαλῶν, καὶ κισσοῦ τῶν κορύμβων, ἢ ἡδυόσμου τε τοῦ χλωροῦ, καὶ σισυμβρίου σκευάζεται, χρῆσθαι δ' αὐτοῖς ἐπὶ μὲν ὠμοτέρου τε καὶ ψυχροτέρου πλήθους, χλιαροῖς. ἐπὶ δὲ θερμοτέρου καὶ χολωδεστέρου, ψυχροῖς. κενοῖ δὲ καὶ διαφορεῖ τὸ θερμὸν ἔλαιον, αὐτό τε καθ' αὑτό, καὶ μᾶλλον εἰ παλαιὸν ἢ σικυώνιον εἴη, ἢ καὶ ἄνηθον ἐναφεψημένον ἔχοι. τὸ γὰρ μὴ πάνυ παχύ, μήτε γλίσχρων χυμῶν πλῆθος ἱκανῶς διὰ τῶν τοιούτων κενώσεις. ἀλλὰ καὶ ἢν σφονδύλιον ἢ ἕρπυλλον ἐναφεψοις, ἢ γλήχωνος κόμην, ἢ καλαμίνθης, ἢ ἡδυόσμου τε καὶ σισυμβρίου, κενώσεις οὕτω καὶ τὸ παχύτερον. αὐτὰ δὲ ταῦτα, καὶ τόνον τινὰ δίδωσι τοῖς μορίοις καὶ ῥώννυσι τὰ ἠτονηκότα. χρηστέον οὖν αὐτοῖς ἐφεξῆς, μέχρι παντελοῦς ἰάσεως. καὶ εἰ δεήσειε διά τε ῥινῶν καὶ ὑπερῴας καθαίρειν, καὶ πταρμοὺς κινεῖν. καὶ ἢν ἐπὶ λουτρὸν ἀγάγῃς τὸν ἄνθρωπον, ἀνατρίβειν τε ξηραῖς σινδόσι τὴν κεφαλήν. καὶ χωρὶς ἐλαίου διαπλάττειν ἁλί τε καὶ νίτρῳ, καὶ νάπυϊ. ταῦτα μὲν δὴ τῆς ἐπ' ἀρρωστίας τοῦ μορίου κεφαλαλγίας ἰάματα. τῆς δ' ἐπὶ μεγέθει πυρετῶν, τῆς μὲν ἰαμάτων δεομένης, αἱ ψυχραὶ ποιότητες καὶ δυνάμεις δι' ὑδρελαίου τε καὶ ὀξυροδίνου καὶ μήκωνος κωδίων ἐπιβροχαὶ συγκείμεναι ἁρμόζουσι. τῆς δὲ κρίσιμον αἱμορραγίαν ἢ ἔμετον δηλούσης, ἰάματα μὲν οὐχὶ ζητεῖν. οὐδὲ γὰρ σύμπτωμά τι τήν γε τοιαύτην νομιστέον, ἀλλὰ μᾶλλον ἀγαθὸν σημεῖον, ὥσπερ καὶ τἆλλα τὰ πρὸ τῶν κρίσεων. ἃ τοὺς μὲν πολλοὺς ἐκφοβεῖ, χρηστὸν δέ τι δηλοῖ. κάλλιστον δὲ δύνασθαι γνωρίζειν σῶμα ταραττόμενον ὑπὸ φύσεως παρασκευαζομένης ἐπί τε τὰς ἄλλας ἐκκρίσεις, καὶ οὐχ ἥκιστα τὰς δι' ἐμέτων τε καὶ αἱμορραγίας ὧν ἀχώριστον ἐστι σημεῖον ἡ κεφαλαλγία. λέγεται δ' ἐπὶ πλέον μὲν ἑτέρωθι πάντα. τὸ δὲ νῦν εἰδέναι καθ' ὅσον ἐγχωρεῖ, τὴν ἐξ ἀρχῆς φυλάττοντα προαίρεσιν, διὰ συντόμων εἰπεῖν τι περὶ αὐτῶν εἰρήσεται. Σκεπτέον οὖν πρῶτον μὲν τὸ τῶν πυρετῶν εἶδος εἰ θερμοὶ καὶ διακαεῖς. ἐκκρίσεσι γὰρ οἱ τοιοῦτοι φιλοῦσι κρίνεσθαι. καθάπερ οἱ μαλακώτεροί τε καὶ οἷον σμυχόμενοι, χρονίζουσί τε καὶ εἰς ἀποστάσεις ὁρμῶσι τὰ πολλά. δεύτερον δὲ εἰ σωτήριόν ἐστι τὸ νόσημα. τίς γὰρ ἀγαθὴ κρίσις ἐν τῷ ὀλεθρίῳ νοσήματι ὃ ἐλπισθείη; τρίτον ἐπὶ τοῖσδε τὸν καιρὸν τῆς ὅλης νόσου σκοπεῖν. εἰ γὰρ ἀρχῆς ἢ ἐπιδόσεως ἐστι σημεῖον, μηδέπω δ' ἀκμῆς, μὴ δὲ πέψεως γνωρίσματα δι' οὔρων, ἢ πτυσμάτων, ἢ ἀποστημάτων, οὐκ ἐνδέχεται κρίσιν ἀγαθὴν γενέσθαι. ταῦτα μέν ἐστιν ἐξ ὧν ἄν τις ἐλπίσειε δι' ἐκκρίσεως κριθήσεσθαι τὸ νόσημα. τοῦ δὲ νῦν ἤδη καὶ μηκέτι μέλλοντος σημεῖα τάδε, δυσφορία προηγεῖται κρίσεως ἁπάσης. καὶ εἰ μὲν ἐν ἡμέρᾳ μέλλοι κριθήσεσθαι τὸ νόσημα, νύκτωρ. εἰ δ' ἐν νυκτί, δι' ἡμέρας. εἰ οὖν τοιοῦτόν τι βλέποις, ἐπισκοπεῖσθαι δεῖ πόστην ἄγει τὴν ἀπὸ τοῦ νοσεῖν ἡμέραν ὁ ἄνθρωπος. εἰσὶ γὰρ καὶ αἳ κρίνειν πεφύκασι κἂν βραχείας ὁρμῆς τῆς φύσεως λάβωνται. πολλοὶ δ' ἐν μὲν ταῖς σφοδραῖς κινήσεσιν ὅλως οὐ δύνανται τὸ μέγεθος συνορᾶν, τῆς ταραχῆς εἰ κατὰ φύσιν ἐστὶ τῆς ἡμέρας. ἡ μὲν γὰρ ἑβδόμη ἡμέρα, καὶ κατὰ τὰς βραχείας παρασκευὰς τῆς φύσεως ὁρμᾷ πρὸς τὴν διὰ κενώσεως κρίσιν. ἡ δ' ἕκτη, μεγάλης τε δεῖται τῆς παρασκευῆς. καὶ πολλάκις μὲν οὐδ' ἔκρινεν. εἰ δέ γε ἐκρίνοιεν οὔτε χωρὶς κινδύνου, οὔτε πιστῶς. οὕτω δὲ καὶ τῶν ἄλλων ἡμερῶν ἑκάστης ἐστί τις ἴδιος φύσις. ἣν ἐν τοῖς περὶ κρισίμων διοριζόμεθα. φέρε δὴ καὶ τὴν ἡμέραν εἶναι κατὰ τὸ τῆς ταραχῆς μέγεθος. εἶτ' ἐφεξῆς σκοπεῖν, ὁποία τίς ἡ κρίσις ἔσται. περὶ μὲν οὖν τῶν ἄλλων, οὐδὲν δεόμεθα, λέγειν νῦν. εἰ δ' ἔμετος, ἢ αἵματος ἔκκρισις διὰ ῥινῶν ἔσεσθαι μέλλοι, ταύταις γοῦν ἐλέγομεν ταῖς ἐκκρίσεσιν ἕν τι τῶν σημείων εἶναι τὴν κεφαλαλγίαν, ἐκ τῶν δὲ μάλιστα διορίζεσθαι. πρῶτον μέν, εἰ μὴ κατ' ἀρχὰς εὐθὺς εἰσέβαλεν, οἷον σύμπτωμά τι τοῦ νοσήματος, ἀλλ' ἐν τῇ πρὸ τῆς κρίσεως ταραχῇ. δεύτερον δ' εἰ καὶ ὁ τράχηλος συναλγοίη, καὶ ὑποχόνδριον ἀνασπώμενον εἴη. καὶ εἰ δύσπνοιά τις αἰφνίδιος, οἱονεὶ στενοχωρουμένου τοῦ θώρακος. εἰ γὰρ ἐπὶ τούτοις ἅπασιν ἐξαίφνης ὀγκούμενοι οἱ σφυγμοὶ μὴ καταπίπτοιεν εἰς μικρότητα, μὴ δ' ἀμυδροὶ γίγνοιντο παραχρῆμα τὴν κρίσιν ἐλπίζειν. εἰ δὲ πρὸς τῷ μὴ καταπίπτειν εἰς ὕψος ἀρθεῖεν. καὶ σφοδρότητα προσλάβοιεν. ἐπιβλέπειν ἤδη χρὴ τὸ πρόσωπον τοῦ νοσοῦντος. εἰ γὰρ καὶ πάλλοιτό τι τῶν ἐν αὐτῷ μορίων, ἢ σφύζοιεν, αἱ ἐν τοῖς κροτάφοις φλέβες, ἢ μῆλον, ἢ ῥίς, ἢ ὀφθαλμός, ἐρυθρότερα γίγνοιντο, τὴν κρίσιν μᾶλλον ἐλπίζειν. εἰ δὲ καὶ δακρύουσιν ἄκοντες, ἢ μαρμαρυγὰς ὁρᾶν φαντάζοιντο, καὶ τὰς χεῖρας ἐπὶ τὰς ῥῖνας φέροιεν ὡς κνώμενοι, τηνικαῦτα μέν, οὐκέτι μέλλον, ἀλλ' ἤδη ῥέον ὄψει τὸ αἷμα. κνησαμένων γοῦν αὐτῶν ἅπαξ που καὶ δίς, εὐθὺς ἐκρήγνυται, μὴ καταπλαγῇς δ' ἐν τούτοις, ἢν παραχρονοῦντα τὸν ἄνθρωπον, καὶ ἀναπηδῶντα θεάσαιο. καὶ γοῦν καὶ ταῦτα τῆς ἄνω φορᾶς τῶν χυμῶν γνωρίσματα, καθάπερ ἥ τε δύσπνοια, καὶ τὸ ὑποχόνδριον ἀνασπώμενον, ὅ, τε ῥάχηλος ἅμα τῇ κεφαλῇ βαρυνόμενος. ἀλλά σοι σὺν τούτοις ἕν τι σημεῖον ἔστω καὶ ἡ παραφροσύνη. καὶ ταῦτα μὲν οὖν ἱκανὰ γνωρίσματα. προσέρχεται δ' αὐτοῖς πολλάκις. ἥ τε τοῦ νοσοῦντος ἡλικία τε καὶ φύσις βεβαιοῦσα τὴν ἐλπίδα. καὶ προσέτι † τούτοις ὁ καιρός, ἥ τε παροῦσα κατάστασις. εἰ γοῦν μειράκιον εἴη τὸ νοσοῦν, ἢ ἄλλως φύσει θερμόν, ἢ πολύαιμον ἔτι μᾶλλον ἐλπίσεις. εἰ δὲ καὶ πρόσθεν αὐτῷ πολλάκις αἷμα διὰ ῥινῶν ἐπεφάνη νοσοῦντί τε καὶ ὑγιαίνοντι, τοῦτο μὲν καὶ μόνον ἱκανὸν αἱμορραγίας ἐλπίδα παρασχεῖν. εἰ δὲ καὶ τὸν καιρὸν τοῦ ἔτους ὁρῴης θέρος, ἢ οὐ θέρος μέν, ἄλλως δὲ θερμὴν τὴν παροῦσαν κατάστασιν, ἆρ' οὐκ ἄντικρυς καὶ παρὰ τούτων ἔνδειξιν λάβοις. εἰ δὲ καὶ πολλοὶ κατ' ἐκεῖνον τὸν καιρὸν αἱμορραγίαις εἶεν κεκριμένοι, καὶ τοῦτ' ἂν αὐξήσειέ σου τὴν ἐλπίδα. καὶ εἰ πληθωρικὸν εἴη τὸ σῶμα. καὶ εἰ συνήθων ἐκκρίσεων ἐπίσχεσις. ἐμοὶ μὲν οὐδ' ὅλως χαλεπὸν εἶναι δοκεῖ τοσαῦτα καὶ τοιαῦτα γνωρίσματα μελλούσης αἱμορραγίας ἔχοντα δύνασθαι προγινώσκειν, ἀλλ' ἄτοπόν τε καὶ δεινῶς ἀμαθές, τὸ μὴ προγνῶναι. τῇ δ' ὀλιγωρίᾳ τῶν νῦν ἰατρῶν, θαυμάζεται τὰ μὴ θαυμαστά. καὶ γοῦν εἴθ' ἐξ ἀριστεροῦ μυκτῆρος εἴτ' ἐκ δεξιοῦ ῥυήσεται τὸ αἷμα, χαλεπὸν μὲν οὐδὲν ἐκ τῶν εἰρημένων προγινώσκειν. τοῖς πολλοῖς δὲ τῶν ἰατρῶν, οὐ μόνον χαλεπὸν ἀλλ' οὐδὲ δυνατὸν ὅλως εἶναι δοκεῖ. καίτοι καὶ ταύτας καὶ τὰς ἄλλας ἐκκρίσεις ἁπάσας ἔνεστι προγνῶναι, δύο ταῦτα σκοπουμένῳ. τό, τε ὅθεν ἡ ὁρμὴ τῆς φύσεως, καὶ τὸ ποῦ. καὶ γὰρ συνεργήσομεν ταῖς ἐλλείψεσι, καὶ κωλύσομεν τὰς ἀμέτρους γινομένας φοράς, εἰ ταῦτα γινώσκοιμεν. οἷον αὐτίκα τὰς ἀπὸ σπληνὸς αἱμορραγίας, αἳ κατὰ τὸ ἀρι-

†al. τοῦ ἔτους

τερὸν ὑποχόνδριον ὑποτιθέμεναι μεγάλαι σικύαι ῥᾳδίως ἀντισπῶσι. τὰς δ' ἀπὸ τοῦ ἥπατος, αἱ κατὰ τὸ δεξιόν. κἀπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος. ἐξ ἑνὸς γὰρ περὶ πάντων δυνήσῃ συλλογίζεσθαι τόν γε καθόλου σκοπὸν μεμνημένος. ὥστε κἀγὼ τῇδε καταπαύσω τὸν παρόντα λόγον. ἐφεξῆς δὲ περί τε τῶν ἐπὶ ταῖς φλεγμοναῖς ἀναπτομένων πυρετῶν δίειμί σοι, καὶ τῶν ἄλλων παθῶν, ὅσα καθ' ἕκαστον τῶν τοῦ σώματος μορίων συνίσταται. φλεγμονὰς δ' οἱ μὲν παλαιοί, τὰς οἷον φλογώσεις ὠνόμαζον. οἱ δὲ νεώτεροι οὐ πάσας, οὔτε γοῦν τὸν ἕρπητα, οὔτε τὸ ἐρυσίπελας, οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων ταῖς φλεγμοναῖς συναριθμοῦσιν, ἀλλ' ἑνὶ μόνῳ τῶν θερμῶν παθημάτων ἐπιφέρουσι τοῦτο τὸ ὄνομα, τῷ μετ' οἰδήματος σκληροῦ καὶ ὀδυνώδους φλεγματώδους. οὐ μὴν τούτῳ γε μόνῳ πυρετοὺς καὶ πόνους ἑπομένους ὁρῶμεν, ἀλλ' ἅπασιν ἁπλῶς τοῖς θερμοῖς, καὶ οἷον ζέουσι πάθεσι. περί τε οὖν τούτων καὶ τῶν ἄλλων ὅσα τοιαῦτα νοσήματα τὸν ἑξῆς ποιησόμεθα λόγον.

ΓΑΛΗΝΟΥ ΤΩΝ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ

ΘΕΡΑΠΕΥΤΙΚΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

Περὶ δὲ τῶν καθ' ἕκαστον μέρος τοῦ σώματος παθῶν ὦ Γλαύκων, ἑξῆς ἐροῦμεν ἀπὸ φλεγμονῆς ἀρξάμενοι. καὶ γὰρ πλειστάκις αὕτη γίνεται, καὶ πλείστας ἔχει διαφοράς. καὶ πάσαις αὐταῖς πυρετοὶ πεφύκασιν ἕπεσθαι. κοινὸν μὲν οὖν ἁπάσαις ἡ ἄμετρος ἐστὶ θερμασία, καὶ οἷον φλόγωσις, ὅθεν περ καὶ τὸ τῆς φλεγμονῆς ὄνομα, κατ' αὐτῶν ἐπιφέρειν ἔθος ἦν τοῖς παλαιοῖς. ἰδίαν δὲ καθ' ἑκάστην εὕροις ἄν τινα διαφοράν, ἐξ ἧς τό, τε εἶδος αὐτῶν γνωριεῖς, καὶ τῆς προσηκούσης εὐπορήσεις ἰάσεως. ἑτέρως μὲν γὰρ ἕρπητας, ἑτέρως δ' ἐρυσιπέλατα, ἑτέρως δὲ φύγεθλα, καὶ τἄλλα τῶν φλεγμονῶν εἴδη θεραπεύσεις. ὥστε πάλιν ἡγεῖσθαι κἀνταῦθα διαγινώσκειν ὀρθῶς τὰ πάθη δύνασθαι. καί σοι πειράσομαι τοῦτο πρῶτον γράψαι διελόμενος ἐξ ἀρχῆς περὶ τῶν κατὰ τὰς φλεγμονὰς πάσας διαφορῶν. πρώτη μὲν οὖν διαφορὰ φλεγμονῆς ἐστι, καθ' ἣν τὴν μὲν † αὐτῆς, ὑγράν. τὴν δὲ ξηρὰν εἶναι συμβέβηκεν. ὑγρὰν μέν, ἥτις ἂν ἐκ ῥεύματος θερμοῦ τὸ μόριον καταλαμβάνοντος, γίγνηται. ξηρὰν δ' ὅταν μηδενὸς ἐπιρρυέντος τὴν σύμφυτον θερμασίαν ἐκπυρωθῆναι συμβῇ. τοῦτο δὲ μέχρι μέν τινος οἷον πυρετός ἐστι τοῦ μορίου. ἐπειδὰν δὲ εἰς ἄμετρον ἤδη θερμότητα καὶ ξηρότητα προήκῃ, φθορὰ καὶ νέκρωσις παντελὴς γίγνεται. ὅθεν οὐδ' εἰς πλείω τέμνεσθαι πέφυκεν, ὥσπερ ἡ ἑτέρα διαφορά, καθ' ἣν ἐπιρρεῖν τινὰς χυμοὺς ἐλέγομεν τῷ μέρει. πολλὰ γὰρ τὰ ταύτης εἴδη. αἵματος μὲν γὰρ ἐπιρρυέντος, ἕτερον. χολῆς δὲ ξανθῆς, ἕτερον. ἀμφοῖν δ' ἅμα, τρίτον ἄλλο. καὶ μὲν δὴ καὶ καθ' ἕκαστον αὐτῶν, ἢ σεσηπός ἐστιν ἤδη τὸ ἐπιρρέον, ἢ ἐν τῷ μορίῳ σφηνούμενον σήπεται. καὶ ἤτοι παχὺ τὴν σύστασιν, ἢ λεπτόν, ἢ χρηστόν, ἢ δριμύ. αἵματος μὲν οὖν χρηστοῦ καὶ συμμέτρου τῷ πάχει ῥυέντος εἴς τι μόριον ἀθρόως, καὶ διὰ τὸ πλῆθος σφηνωθέντος, ὀδύνη σφοδρὰ καταλαμβάνει τὸν ἄνθρωπον, ἤν γε μὴ παντελῶς δυσαίσθητον ᾖ τὸ μόριον. καὶ σφυγμὸς ἀνιαρὸς ἐν τῷ βάθει, καὶ τείνεσθαι πάντῃ νομίζει καὶ θλᾶσθαι τὸ μόριον. καὶ θερμασίας αἰσθάνεσθαι πλέονος, ὡς διακαίεσθαι δοκεῖν. καὶ ἀναψύχεσθαι ποθεῖν. καὶ ἔρευθος ἐπανθεῖ τοιοῦτον, οἷον τοῖς λελουμένοις, ἢ παρὰ τῷ πυρὶ θαλφθεῖσιν, ἢ πως ἄλλως θερμανθεῖσι. τοῦτο τὸ πάθος, τὴν τοῦ γένους ὅλου προσηγορίαν ἀπηνέγκατο, καὶ καλεῖται φλεγμονή, ἄλλοις παραπλησίως πολλοῖς εἴδεσι λαμβάνουσι, τὸ τοῦ γένους ἐπιφερόμενον ὄνομα. καὶ γίνεται συνεχῶς ἐπὶ πάσῃ σχεδὸν προφάσει. καὶ γοῦν καὶ τρώσεσι, καὶ σπάσμασι, καὶ θλάσμασι, καὶ ῥήγμασι, καὶ τοῖς ἐκ τῶν γυμνασίων καμάτοις ἐξαρθρήμασί τε καὶ κατάγμασι, καὶ τοῖς αὐτομάτοις ἕλκεσιν ἐπιγίγνεται. καὶ χωρὶς δὲ τούτων, ἁπάντων, ὅταν εἰς ἄμετρον χυμῶν πλησμονὴν αἱ φλέβες ἀφίκωνται, τό τε περιττὸν ἀποχέουσιν εἴς τι χωρίον, ὃ ἂν ἐπιτηδειότατον ᾖ τηνικαῦτα δέξασθαι. πάντως δὲ τοῦτο τῶν ἄλλων, ἢ ἀρρωστότερόν ἐστιν, ἢ μανώτερον, ἢ ἕλκειν ἑτοιμότερον, ἢ ἀκινητότερον, ἐξ ἧστινος οὖν αἰτίας εἰς ταύτας ἀχθὲν τὰς διαθέσεις. οὐ γὰρ τοῦτό γε νῦν πρόκειται λέγειν. χολὴ δὲ ξανθή, ἡνίκα μὲν τὴν ἑαυτῆς φύσιν σώζουσα σὺν τῷ αἵματι φέρεται πανταχόσε τοῦ σώματος, ἴκτερος τὸ πάθος καλεῖται. μόνης δ' ἀποκριθείσης, καὶ κατά τι μόριον ἱσταμένης, ἕρπης ὀνομάζεται. εἰ μὲν δὴ παχεῖα τὴν σύστασιν εἴη, πᾶν ἑλκοῖ μέχρι τῆς ὑποκειμένης σαρκὸς τὸ δέρμα, καὶ καλεῖ τούτους Ἱπποκράτης ἕρπητας ἐσθιομένους. εἰ δὲ λεπτοτέρα εἴη, τὸ ἐπιπολῆς μόνον ὥσπερ ἐπικαίει, καὶ τοῦτο τὸ εἶδος ἀπηνέγκατο τὴν τοῦ γένους προσηγορίαν, ἁπλῶς τε καὶ χωρὶς προσθήκης ἕρπης ὀνομασθέν. τῶν γὰρ ἄλλων δυοῖν εἰδῶν, τὸ μὲν ἤδη προειρημένον, ἐσθιόμενος ἕρπης ὀνομάζεται. θάτερον δὲ τὸ λοιπόν, κεγχρίας, ὅτι καὶ τούτῳ συμβέβηκε φλυκταίνας μικρὰς καὶ πολλὰς ἐπιπολῆς τοῦ δέρματος ἐπεγείρειν κέγχροις ἐοικυίας. γίνεται δ' ὁ τοιοῦτος ἕρπης, ὑπὸ χολῆς μὲν καὶ αὐτός, ἀλλ' ἧττον δριμείας καὶ θερμῆς, ἢ οἱ πρόσθεν. εἰ δ' ἐξ αἵματος καὶ ξανθῆς χολῆς θερμοτέρων τοῦ δέοντος μικτὸν εἴη τὸ ῥεῦμα, ἢ ἐξ αἵματος μέν, ζέοντος δὲ καὶ λεπτοτάτου τὴν σύστασιν, ἐρυσίπελας τὸ πάθος καλεῖται, θερμότερον πολλῷ τῆς φλεγμονῆς τοῦτο καὶ ξανθότερον ἰδέσθαι. καὶ εἰ ἅψαιο, ῥᾳδίως ὑποτρέχει τὸ αἷμα. καὶ αὖθις ἐπιρρεῖ λεπτὸν ἀκριβῶς, καὶ ἐρυθρὸν φαινόμενον. οὐ μὴν οὐδ' ὀδυνᾶται ὁμοίως τῇ φλεγμονῇ τοῦτο. καὶ κατ' οὐδὲν δὲ τῶν τῆς φλεγμονῆς εἰδῶν, οὔτε σφυγμόν, οὔτε θλῖψιν οὔτε τάσιν ὁμοίαν ἐπιφέρει. ἀλλ' ἔσθ' ὅτε καὶ πάνυ μετρίως ἐνοχλεῖ καὶ μάλισθ' ὅταν κατὰ μόνου τοῦ δέρματος ἐκχυθῇ, μηδὲν ἀδικοῦν τὴν ὑποκειμένην σάρκα, καὶ μὲν δὴ καὶ γίνεται τοιοῦτον ὡς τὰ πολλά. καὶ τοῦτό ἐστι τὸ ἀκριβὲς ἐρυσίπελας. ὡς τό γε καὶ τῆς ὑποκειμένης ἁπτόμενον σαρκός, οὔτ' ἐξ ἀκριβῶς λεπτοῦ γίνεται τοῦ ῥεύματος, οὔτ' ἐρυσίπελας ἐστὶ μόνον, ἀλλ' ἤδη μικτὴ διάθεσις ἐξ ἐρυσιπέλατός τε καὶ φλεγμονῆς, ἐπικρατεῖ δ' ἐν αὐτῇ ποτὲ μέν, τὰ τοῦ ἐρυσιπέλατος ἴδια συμπτώματα, καὶ καλεῖται τὸ τοιοῦτον πάθος ὑπὸ τῶν νεωτέρων ἰατρῶν, ἐρυσίπελας φλεγμονῶδες. ποτὲ δὲ τὰ τῆς φλεγμονῆς, καὶ ὀνομάζουσιν αὐτὸ τηνικαῦτα φλεγμονὴν ἐρυσιπελατώδη. εἰ δὲ τὰ μηδετέρου ἐπικρατοίη σαφῶς ἀλλ' ἴσα φαίνοιτο φλε-

† al. omittuntur

φλεγμονὴ καὶ ἐρυσίπελας, μεμίχθαι λέγεται). τὸ μὲν οὖν ἀκριβὲς ἐρυσίπελας, αὐτοῦ τοῦ δέρματος μόνου πάθος ἐστίν. οὐ μὴν ἥγε φλεγμονὴ μόνων τῶν ὑποκειμένων τῷ δέρματι μορίων, ἀλλὰ μάλιστα μὲν τούτων, ἐνίοτε δὲ καὶ τοῦ δέρματος. καὶ ἔστιν αὕτη τὰ ἄλλα μὲν ὀδυνηρά, τῆς ἑτέρας οὐδὲν ἧττον. ἄπεστι δ' αὐτῆς ὁ σφυγμός. ὅταν δὲ τὸ ἐπιῤῥέον αἷμα θερμὸν ἱκανῶς ᾖ καὶ παχύ, καθότι ἂν μόριον ἀθρόον ἐπιῤῥυῇ, ὥσπερ καῦσαν ἕλκος ἐσχάραν ἔχον εἰργάσατο. τὸ πέριξ δ' αὐτοῦ πᾶν εἰς φλεγμονὴν ἐξαίρει, ζέουσάν τε καὶ δεινῶς ἐπώδυνον. ὀνομάζεται δὲ τὸ τοιοῦτον πάθος ἄνθραξ. ὅταν δὲ τὸ ἐπιῤῥέον αἷμα μέλαν ᾖ, καὶ παχύ, καὶ ἰλυῶδες, καὶ ζέον, οἷόνπερ τὸ προειρημένον, ἅμα δὲ καὶ ἰχῶρας τινὰς λεπτοὺς μεμιγμένους ἔχῃ, φλυκταίνας ἐπιπολῆς τοῦ δέρματος ἀνίστησιν ὁμοίας ταῖς ἀπὸ πυρός, ὧν ἐκρηγνυμένων, τὸ ἐσχαρῶδες ὑπ' αὐταῖς ἕλκος εὑρίσκεται), καὶ ἔστιν ἄνθραξ ἤδη καὶ οὗτος. τὰ μὲν οὖν τῆς φλεγμονῆς εἴδη τοσαῦτα, κατά γε τὴν φύσιν αὐτὴν τοῦ πάθους διαιρούμενα. πολλὰ δ' ἂν ἴσως δόξειέ τις παραλελεῖφθαι τῷ πλήθει τῶν ὀνομάτων ἐξαπατώμενος, οἷον βουβῶνας τε καὶ φύματα, καὶ φύγεθλα, καὶ ὀφθαλμίας, καὶ περιπνευμονίας καὶ πλευρίτιδας, καὶ ἄλλα πολλὰ τῶν ὁμοίως ὀνομαζομένων. ἅπαντα γὰρ ταῦτα, φλεγμοναὶ μέν τινές εἰσιν, ἐν οἷς πρόσθεν εἶπον εἴδεσι περιεχόμενα. διαφόρου δ' αὐτῶν ἕκαστον ἔτυχε προσηγορίας, τῶν πρώτως θεμένων αὐτὰς συνθέτου νόησιν, αὐτοῦ τε τοῦ πάθους, καὶ τοῦ δεδεγμένου ἅμα μέρους αὐτό, δι' ἑνὸς ἑρμηνεῦσαι βουληθέντων ὀνόματος. ἔστι γὰρ ὁ μὲν βουβὼν καὶ τὸ φῦμα, καὶ τὸ φύγεθλον, ἀδένων παθήματα. βουβὼν μέν, ἡ φλεγμονή. φῦμα δέ, τὸ ταχέως αὐξόμενον, καὶ πρὸς ἐκπύησιν ἐπειγόμενον. φύγεθλον δέ, τὸ λεγόμενον φλεγμονῶδες ἐρυσίπελας ἢ ἐρυσιπελατώδης φλεγμονή. οὕτω δὲ καὶ ὀφθαλμία μέν, ἡ τοῦ πεφυκότος ὑμένος τῷ κερατοειδεῖ φλεγμονή. πλευρῖτις δ' ἡ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος. συνάγχη δέ, φάρυγγος. ἡ περιπνευμονία δέ, τοῦ πνεύμονος. ἑκάστου τε τῶν ἄλλων ἀνάλογον. τὰς μὲν οὖν ἐν τοῖς φαινομένοις μέρεσι τοῦ σώματος φλεγμονάς, ἕτοιμον γνωρίζειν. τὰς δ' ἐν τοῖς ἀφανέσιν, αἳ καὶ τοὺς πυρετοὺς ἐπιφέρουσι πάντως, οὐκέθ' ὁμοίως. ἀλλ' ἐμοὶ μὲν δοκεῖ γνώμης τε πάνυ λεπτῆς ἡ τοιαύτη δεῖσθαι διάγνωσις, ἐμπειρίας τε τῆς φύσεως τῶν μορίων, ἣν ἐξ ἀνατομῆς τε ἅμα καὶ ἀκριβοῦς ἐπιστήμης ἐνεργειῶν τε καὶ χρειῶν πορίζομεθα. περὶ μὲν δὴ τούτων, ἐν ἑτέραις εἴρηται πραγματείαις. νῦν δ' οὐκέτ' ἐγχωρεῖ προσθεῖναι τὸν περὶ τούτων λόγον, ἐξαίφνης σοι προσπεσούσης ἀναγκαίας ἀποδημίας. ὅπως δ' ἄν τις τὰς ἐν τοῖς φαινομένοις μορίοις συνισταμένας φλεγμονὰς κάλλιστα ἰῷτο, τοῦτό σοι πρῶτον δίειμι τὴν ἀρχὴν ἀπὸ τοῦ πολλάκις τε γιγνομένου πάθους, καὶ δι' αὐτὸ ὥσπερ ὅλου τοῦ γένους τὴν προσηγορίαν ἀπενεγκαμένου ποιησάμενος. ἐφ' οὗ ὥσπερ πρώτου ἁπάντων φημὶ χρῆναι σκοπεῖν, ὅπερ κἀν τοῖς ἄλλοις ἅπασι μεγίστην ἔχει δύναμιν, ἐξευρεῖν τὴν πρόφασιν τοῦ νοσήματος. ἔστι γοῦν μία τις πρόφασις τῶν φαινομένων φλεγμονῶν, οὐ πάνυ τι λανθάνουσα τὸ καλούμενον ῥεῦμα, πλὴν εἴποτε συνδράμοι ταῖς δι' ἄλλην τινὰ πρόδηλον αἰτίαν δοκούσαις γεγονέναι. ἡνίκα μὲν γὰρ οὐδεμιᾶς ἐκείνων προηγησαμένης ἐξαίφνης ἐφλέγμηνε τὸ μόριον, ἡ μὲν ἐργασαμένη τὸ πάθος αἰτία, ῥεῦμα καλεῖται. τὸ πάθος δ' αὐτό, ῥευματικὴ διάθεσις. καὶ χρὴ μάλιστ' ἐπὶ τῶν τοιούτων φλεγμονῶν τὰς ἀρχὰς τῶν ἰάσεων χρηστὰς εἶναι. τὰ γὰρ ἐν αὐταῖς ἁμαρτήματα, δυσιάτους ἢ καὶ παντάπασιν ἀνιάτους ἐργάζεται τὰς διαθέσεις. μέγιστα δ' ἁμαρτήματα δύο ταῦτα, τό, τε μηδεμίαν ὅλου τοῦ σώματος πρόνοιαν ποιεῖσθαι, καὶ τὸ θερμαίνειν μὲν καὶ ὑγραίνειν ἔτι τὸ μέρος. ἄμφω δ' οἱ πολλοὶ τῶν ἰατρῶν ἁμαρτάνουσι. τινὲς μὲν γὰρ ἐκ τῆς μεθοδικῆς αἱρέσεως ἀναπεπεισμένοι, καὶ τὰς φλεγμονὰς ἁπάσας, στεγνὰ πάθη νομίζοντες. καὶ χαλᾶν αὐτὰς ἡγούμενοι δεῖν. εἰσὶ δ' οἳ καὶ ἀλόγως τε καὶ ἀσκέπτως ἐκείνοις ἕπονται, μίαν ἀπολογίαν τοῦ κακῶς ποιεῖν ἔχοντες, τὸ σὺν πολλοῖς ἁμαρτάνειν. ἀλλ' οὔτε τῶν δογματικῶν ἰατρῶν τις, οὔτε τῶν ἐμπειρικῶν οὕτως ἐγίγνωσκεν. ἀλλ' ὅπερ ὅ, τε λόγος ὑπαγορεύει καὶ ἡ πεῖρα, τὸ μὲν ὅλον σῶμα κενοῦν ταῖς ἐνδεχομέναις κενώσεσι συμβουλεύουσιν αὐτὸ δὲ τὸ φλεγμαῖνον μέρος, ἐπιβρέχειν τε καὶ καταπλάττειν τοῖς ἀπωθεῖσθαι μὲν τὸ ἐπιῤῥέον δυναμένοις, κενοῦν δὲ τὸ ἤδη περιεχόμενον ἐν τῷ πεπονθότι τόπῳ. τόνον δὲ καὶ ῥώμην ἐντιθέναι τοῖς ἤδη πεπονηκόσι μορίοις. εἰς ἃ δὲ χρὴ βλέποντας κενοῦν, εἴρηται μὲν ἤδη καὶ πρόσθεν, ἀλλὰ καὶ νῦν ἔτι δι' ὀλίγων ὑπομνήσομεν. ὥστε κἂν τοῖς ἑξῆς ἅπασι μεμνημένον σε, μηκέτι δεῖσθαι καθ' ἕκαστον πάθος ἀκούειν τοὺς ἐνδεικνυμένους σκοποὺς τὰς κενώσεις. ἡλικίαν μὲν οὖν καὶ ὥραν, καὶ χώραν, καὶ τὴν παροῦσαν κατάστασιν, καὶ τὴν ῥώμην τοῦ κάμνοντος, καὶ τὴν ἕξιν, καὶ τὸ ἔθος, καὶ αὐτὴν τὴν τοῦ νοσήματος ὑπόθεσιν ἐπιβλέπειν ἐφάσκομεν δεῖν. ἐκ τούτων γάρ, ὅτε χρὴ κενοῦν ἢ μὴ κενοῦν, καὶ ὅθεν, καὶ ὅπως εὑρεθήσεται, οἷον ἐπὶ τῆς προκειμένης διαθέσεως, εἰς γόνυ φερέσθω τὸ ῥεῦμα. καὶ τοῦτ' ἐπὶ πλεῖστον ἀθρόως ἐξαιρέσθω. φαινέσθω δέ σοι καὶ τὸ σύμπαν σῶμα, μεστὸν αἵματος καὶ ἡ δύναμις τοῦ νοσοῦντος, ἰσχυρὰ καὶ ὁ καιρὸς τοῦ ἔτους, ἔαρ ἔστω, καὶ τὸ χωρίον, εὔκρατον. καὶ ὁ νοσῶν, μειράκιον, ἢ νεανίσκος. οὗτος αἵματος κενώσεως τῆς ἐκ τῶν ἄνω χωρίων δεῖται. καὶ χρὴ τεμεῖν αὐτοῦ τῶν ἐν ἀγκῶνι φλεβῶν, ἤτοι τὴν ἐντός, ἢ τὴν μέσην. εἰ δὲ τῶν ἄνωθέν τι ἐπεπόνθει, κάτωθεν ἀπάγειν τοῦ αἵματος. ἀεὶ γὰρ εἰς τοὐναντίον τὴν τοῦ ῥεύματος ὁρμὴν ἀντισπᾶν ξυμφέρει. καταπλάττειν δὲ τῷ διὰ τοῦ ἀειζώου καὶ λεπισμάτων ῥοιᾶς ἑφθῶν ἐν οἴνῳ, καὶ ῥοῦ, καὶ ἀλφίτων συγκειμένῳ. κάλλιστον γὰρ ὥσπερ γ' ἔν τε τοῖς τοιούτοις, καὶ πάνθ' ὅσων δεόμεθα δρᾶν δυνάμενον. ἀποκρούεται γὰρ τὸ ἐπιῤῥέον, καὶ ξηραίνει τὸ περιεχόμενον, καὶ ῥώννυσι τὰ πέριξ μόρια. καὶ ἄλλα δὲ μυρία φάρμακα, κατὰ τὸν αὐτὸν τρόπον ἔνεστί σοι συντιθέναι. ὧν τὴν μέθοδον τῆς συνθέσεως ἐν τοῖς περὶ φαρμάκων μεμάθηκας. ὅθεν κἀγὼ καθ' ἕκαστον ἕν τί σοι παραγράψω, καὶ ὑπόμνημά τε ἅμα καὶ παράδειγμα, τῶν ἄλλων δυνάμεων ἐσόμενον. Εἰ μὲν δὴ μὴ σφοδρῶς ὀδυνῷντο τοῖς τοιούτοις χρῆσθαι, σὺν ὀδύνῃ δὲ μείζονι τοῦ ῥεύματος ἐμπεσόντος, οὐ χρὴ μὲν οὐδ' οὕτως, οὔθ' ὕδωρ θερμόν, οὔθ' ἔλαιον, οὔτε τὰ διὰ τῶν πυρίνων ἀλεύρων προσφέρειν καταπλάσματα. πολέμια γὰρ ἅπαντα τὰ τοιαῦτα ταῖς ῥευματικαῖς διαθέσεσι, κἂν εἰ παραχρῆμα δόξειε ῥᾳστώνην τινὰ φέρειν. ἀρκεῖ δὲ τῶν τοιούτων τινὶ παραμυθήσασθαι τὸ σφοδρὸν τῆς ὀδύνης, ὅσα διὰ γλυκέος τε καὶ ῥοδίνου, καὶ κηροῦ βραχέος ἐν ἀμφοῖν τετηκότος σύγκειται. χρὴ δὲ καὶ ταῦτ' ἀναλαμβάνειν ἐρίοις ῥυπαροῖς, οἴσυπον ὡς πλεῖστον ἔχουσι. καὶ θέρους μέν, ψυχρά. χειμῶνος δέ, χλιαρὰ προσφέρειν. οὕτω δὲ καὶ τὰ καταπλάσματα, διὰ ἀρνογλώσσου, καὶ φακῆς.

καὶ ἄρτου, καὶ ῥοδίνου. μικρὸν δ' ὑπορράνω τῶν πεπονθότων χωρίων ἐπιτιθέναι σπόγγον, οἴνῳ στρυφνῷ βεβρεγμένον, ἢ ὕδατι ψυχρῷ. κάλλιον δ' εἰ καὶ ὄξους ὀλίγον ἔχοι. καὶ εἰ μὲν ἐπὶ τούτοις ἀξιόλογός τις ὠφέλεια γίνοιτο, καὶ μηδαμοῦ πῦον ὑποφαίνοιτο, τοῖς πρὸς τὰ ῥεύματα μαλθακοῖς ἐμπλάστροις δεῖ χρῆσθαι. κάλλιστα δ' αὐτῶν, ὅσα ξηραίνειν τε ἅμα καὶ ἀπωθεῖσθαι δύναται τὸ ἐπιῤῥέον αἷμα χωρὶς ὀδύνης. ὥστε τά γε συντείνοντα σφοδρῶς, καὶ διὰ τοῦτο ὀδυνῶντα πλεῖον ἀδικεῖ τοῖς ἀλγήμασιν, ἢ ὠφελεῖ ξηραίνοντα, τοιοῦτον οὖν εἶναι χρὴ τὸ φάρμακον, οἷόν ἐστι τὸ συνήθες ἡμῖν, τὸ διὰ τῆς χαλκίτεως ἀνιέμενον ῥοδίνῳ. εἰ δὲ καὶ καθαρὸν ἔριον οἴνῳ στρυφνῷ βρέχων ἔξωθεν ἐπιβάλλοις αὐτῷ, πλέον ὀνήσεις. ὑποφαινομένου δὲ ἤδη τὸ μόριον πύου, καταπλάττειν μὲν ἀναγκαῖον ἅπαξ ἢ δίς που. καὶ ἄμεινον εἰς τὰ παρόντα τὸ ἐκ τῶν κριθῶν ἄλευρον. παραπλέκειν δ' ὁμοίως τι καὶ τούτοις, ἢ ὄξους, ἢ οἴνου. καὶ διελόντα καὶ κενώσαντα τὸ πῦον, φυλάττεσθαι μὲν τοῦ λοιποῦ προσφέρειν ἔλαιον ἢ ὕδωρ. καὶ εἰ ἀπονίψαι ποτὲ δέοι τὸ τραῦμα, μελικράτῳ, τε ἢ ὀξυκράτῳ καὶ οἴνῳ, καὶ οἰνομέλιτι χρηστέον. ἐπιτιθέναι δ' εἰ μὲν ἔτι φλεγμαίνοι, τὸ διὰ τῆς φακῆς κατάπλασμα. μὴ φλεγμαίνοντος δὲ, τῶν τ' ἄλλων φαρμάκων τι τῶν ἐμπλαστῶν, οἷς ἐπὶ ταῖς τοιαύταις τομαῖς χρώμεθα, καὶ οὐχ ἥκιστά γε τοῦ διὰ τῆς χαλκίτεως. ἐπιτιθέναι δὲ κατ' αὐτῶν ἔξωθεν, σπόγγον, ἢ ἔριον οἴνῳ βρέχοντας στρυφνῷ. μὴ παρόντος δὲ τοῦ στρυφνοῦ, τῷ ὕδατι μίξαντας ὄξους τοσοῦτον, ὡς πίνειν δύνασθαι, τούτῳ βρέχειν. ἐπιτήδειοι δ' εἰς ταῦτα καὶ ὅσοι θαλάττης ἔχουσιν οἶνοι, καὶ αὐτὸς δ' ἂν ἐπὶ τοῦ καιροῦ τεχνήσαιο, μιγνύων ἁλῶν τῷ παρόντι. τῷδε τραύματι μηδὲν τῶν λιπαινόντων φαρμάκων προσφέρειν, οἷον τό, τε μακεδονικόν ἐστι, καὶ τὸ τετραφάρμακον καλούμενον. ἀκριβῶς γὰρ δεῖται ξηραίνεσθαι. οὕτω μὲν ἰᾶσθαι δεῖ τὰς ἐπὶ ῥεύματι φλεγμονάς. τὰς δ' ἐπί τινι τῶν ἄλλων αἰτίων, ὑγραίνειν τε καὶ θερμαίνειν οὐδὲν κωλύει. καὶ εἰ ἐκπυῆσαι βουληθείης αὐτὰς, καταπλάττειν ἀλεύρῳ πυρίνῳ, δι' ἐλαίου τε καὶ ὕδατος ἑψημένῳ. καὶ εἴποτε καὶ ἀμυχάζειν δεήσειεν, οὐδὲ τοῦτο χρὴ δεδιέναι. τὰς δ' ἐπὶ τοῖς ῥεύμασιν εἰ ἀμυχάσαις, μέγα τι κακὸν ἐργάσῃ, καὶ μάλιστ' εἰ κατ' ἀρχάς. ὅσαι γὰρ αὐτῶν χρόνου πλείονος οὖσαι, μετά γε τὴν τοῦ παντὸς σώματος κένωσιν, καὶ τὴν ἄλλην τὴν προσήκουσαν ἴασιν, σκληρότητάς τινας ἢ μελανότητας ἐν τοῖς μέρεσιν ὑπολειπομένας ἔχουσι. τούτων ἀπάγειν τοῦ αἵματος, οὐδὲν ἄτοπον. οὔτε γὰρ φλεγμονὰς τάς γε τοιαύτας ἔτι νομιστέον. ὥσπερ οὐδὲ ἐρυσίπελας ἔτι τὸ ἤδη πελιδνόν.

Ερυσι-πελας

καὶ γὰρ οὖν καὶ τοῦτο ἤδη τὰς ἀρχὰς μὲν ψύχειν χρή. καὶ μάλισθ' ὅταν ἄνευ φανερᾶς γένηται προφάσεως. ἡνίκα δ' ἤδη τὸ ζέον ἄπεισιν αὐτοῦ, καὶ χάσαι συμφέρει, καὶ καταπλάσαι θερμῷ τῷ κριθίνῳ, καὶ κηρωτὴν, καὶ ἄλλο τι φάρμακον ἐντιθέναι τῶν διαφορούντων. οὐ μὴν ἀπό γε φλεβὸς αἷμα, τῶν γε τοιούτων κενοῦν ἀναγκαῖον, ἀλλ' αἱ διὰ τῆς κοιλίας ὑποκαθάρσεις ἀρκοῦσι. διδόναι δὲ φάρμακον, ὃ χολὴν ξανθὴν ἄγει. μικροῦ δ' ὄντος τοῦ παθήματος, οὐδὲ τοῦτ' ἀναγκαῖον, ἀλλ' ἀρκεῖ κλύσαι δριμεῖ. τὰ δ' ἐφ' ἕλκεσιν ἐρυσιπέλατα, καὶ ὅσα οὕτω φανερὰς ἔχει τὰς αἰτίας, οὐδ' εἰ παραχρῆμα βούλοιο καταπλάττειν ἀλεύρῳ κριθίνῳ. καὶ μάλιστα καὶ προαποχάσας, οὐδὲν βλάψεις. τὰς δὲ φλεγμονὰς τὰς ἐρυσιπελατώδεις, καὶ τὰ φλεγμονώδη τῶν ἐρυσιπελάτων ἰᾶσθαι. μικτὴν μὲν ὡς οἷόν τε ποιούμενον τὴν ἐπιμέλειαν. ἐναντιούμενον δ' ἀεὶ τῷ μᾶλλον κρατοῦντι. καὶ βουβώνων δὲ καὶ φυμάτων καὶ φυγέθλων, παραπλησίαν ταῖς ἐν τοῖς ἄλλοις μέρεσι γιγνομέναις ὁμοίαις διαθέσεσι τὴν ἐπιμέλειαν ποιεῖσθαι, πλὴν ὅσα δριμυτέρων φαρμάκων ἐπὶ τοῖς αὐτοῖς παθήμασιν ἀνέχεσθαι πεφύκασιν, ὡς ἀδένες. τοὺς δ' ἕρπητας, τὰ μὲν περὶ τὴν τοῦ σώματος ὅλου κένωσιν ὁμοίως τοῖς ἐρυσιπέλασιν, ἰᾶσθαι προσήκει. τὰ δὲ περὶ τὴν αὐτοῦ τοῦ πεπονθότος μέρους, οὐκ ἔθ' ὁμοίως † ἅπαντας. οἱ γὰρ ἀναβιβρωσκόμενοι, ψύχεσθαι μὲν ἐθέλουσιν, ὡσαύτως τοῖς ἄλλοις ἕρπησί τε καὶ ἐρυσιπέλασιν. οὐ μὴν ὅσα γε σὺν τῷ ψύχειν καὶ ὑγραίνειν φάρμακα πέφυκε, ταῦτα γ' ἔτι φέρουσιν, ἀλλὰ μόνον τῶν ψυχόντων προσίενται, τὰ ξηραίνειν μάλιστα δυνάμενα. μὴ τοίνυν μήτε θριδακίνην αὐτοῖς, μήτε πολύγονον, μήτε τὸν ἀπὸ τῶν τελμάτων φακὸν, ἢ τὸν ἔλειον λωτὸν, ἢ ἀνθύλλιον, ἢ ψύλλιον, ἢ ἀνδράχνην, ἢ σέριν, ἢ ἀείζωον, ἢ τι τῶν οὕτως ὑγραίνειν τε καὶ ψύχειν δυναμένων προσφέρειν, ἃ τοῖς ἐρυσιπέλασιν ἦν οἰκεῖα. ἀλλὰ μήτε σπόγγῳ ποτὲ θαῤῥήσῃς ὕδατι ψυχρῷ βεβρεγμένῳ, μήτε στρύχνῳ. καίτοι καὶ τοῦτο ξηραίνειν τε καὶ ψύχειν πέφυκεν, ἀλλὰ μετρίως. οἱ δ' ἄρα σφοδροτέρας ἢ κατὰ τὸν στρύχνον δέονται ξηρότητος, ἐπιπλάττειν οὖν αὐτοῖς χρὴ κατ' ἀρχὰς μὲν, ἕλικας ἀμπέλου, καὶ βάτου, καὶ κυνοσβάτου, καὶ ἀρνογλώσσου. μετὰ δὲ ταῦτα, τήν τε φακὴν μιγνύειν δεῖ, καὶ μέλιτός ποτε καὶ ἀλφίτων, καὶ τὸ προγεγραμμένον πρὸς τὰς ἐκ ῥεύματος φλεγμονὰς κατάπλασμα, περιελὼν αὐτοῦ τὸ ἀείζωον. αὐτὰ δὲ τὰ ἡλκωμένα, κατάχριε φαρμάκοις τοῖς πρὸς ἕρπητας ἐπιγεγραμμένοις ἐν ταῖς φαρμακίτισι βίβλοις. πολλὰ δ' ἐστὶ ταῦτα παρὰ πᾶσι, καὶ εἰς κυκλίσκους ἀναπλάττεται τὰ πλεῖστα, καὶ δεῖται χρωμένους ἀνίεσθαι γλυκεῖ. μὴ παρόντος δὲ γλυκέος, οἴνῳ λεπτῷ τε, καὶ λευκῷ, καὶ ὑποστύφοντι. οἷός ὅ, τε φαλερῖνος, καὶ ὁ μασσαλιώτης, καὶ ὁ σαβῖνος, καὶ ἀδριανὸς, καὶ ἀρσύϊνος. μηδέπω μηδὲν ἐν τῇ γεύσει δριμὺ διὰ παλαιότητα κεκτημένοι. καὶ ὀξυκράτῳ δ' ὑδαρεῖ ποτε χρησάμενος ἀντὶ τούτων, οὐδὲν ἧττον ἂν ἔχοις. ἤδη δὲ καὶ χρονιζομένων τῶν ἑλκῶν, μήτε γλυκεῖ λύειν τοὺς κυκλίσκους, μήτε ὑδαρὲς ἔτι τὸ ὀξύκρατον ἔσω. καὶ τῶν οἴνων δ' ὅσοι στύφουσιν, ἱκανῶς ἀγαθοί. μάλιστα μὲν οἱ μέλανες. εἰ δ' ἀποροῦμεν αὐτῶν, λευκοί. φάρμακα δ' ἐν τῷδε τῷ καιρῷ μάλιστα μὲν ἁρμόσει αὐτοῖς, τό, τε τοῦ Πολυΐδου, καὶ Πασίωνος, καὶ τὸ Μούσα, καὶ τὸ Ἀνδρωνος. ὅσα τ' ἄλλα τούτοις ἔοικε. τοὺς δὲ τὰ ἐπιπολῆς μόνον ἑλκοῦντας ἕρπητας, εἰ μὴ πάνυ τι κεχρονικότες εἶεν, οὐδὲν χρὴ καταχρίειν τούτων. καὶ δάκνει γὰρ ἰσχυρῶς, καὶ ξηραίνει σφοδρῶς. ἀλλ' ἀρκεῖ τοῖς τοιούτοις ἕρπησιν, ὅσα κατὰ γλαυκίου δύναμιν ἐστὶ φάρμακα. λύεσθαι δὲ μάλιστα μὲν ὕδατι. μηδὲν δ' ἀνύοντος αὐτοῦ, καὶ ὄξους παραπλέκειν. εἰ δὲ καὶ στρύχνου δεύσειας χυλῷ, ἢ ἀρνογλώσσου μειζόνως ὠφελήσεις. ἐν δὲ τῷ καθόλου, τοῦτό σε γιγνώσκειν χρὴ παντὸς ἕλκους. εἴτ' αὐτομάτως, εἴτ' ἀπὸ συμπτώματος, εἴτε καὶ τρωθεῖσιν εἴη γεγενημένον, ὡς ξηραίνεσθαι μὲν ἀεὶ βούλεται. φαρμάκῳ δ' ὡς Ἱπποκράτης φησὶ μὴ περισκελεῖ τουτέστι μὴ δάκνοντι, μὴ δ' ἐρεθίζοντι σφοδρῶς. † πλὴν ἢ κακοήθες τε καὶ μετὰ σήψεως εἴη. τὰ γοῦν τοιαῦτα, δριμυτάτων δεῖται φαρμάκων, καὶ πυρὶ τὴν δύναμιν ἐοικότων,

† al. ἅπαντες γὰρ οἱ

† al. πλὴν εἰ μὴ

οἷον

οἷόν ἐστι τό, τε μίσυ, καὶ ἡ χαλκῖτις, καὶ ἀρσενικόν, καὶ τίτανος, καὶ σανδαράχη. καὶ γὰρ οὖν καὶ καίει παραπλησίως τῷ πυρὶ τὰ τοιαῦτα φάρμακα. πολλάκις δὲ καὶ τούτων νικωμένων, αὐτῷ τῷ πυρὶ χρώμεθα. τοῦθ' ἄρα καὶ τοῖς καλουμένοις ἄνθραξι καθ' αὑτῆς τῆς ἐσχάρας, ἔνθα μάλιστα σήπεται τὸ μόριον, ἡ τῶν τοιούτων φαρμάκων ἰδέα πρόσφορος. οὐ μὴν τῷ πέριξ χωρίῳ, λύσεις γοῦν αὐτὸ ἑλκώσας αὐτὰ εἰς μηδὲν δέον, ἀλλὰ τοῖς προειρημένοις κυκλίσκοις χριστέον, οἷος ὁ ἀνδρώνιος. εἰ δέ ποτε θρόμβος ἐπικρατοίη καὶ πολλὴ φλόγωσις, ἀνιέναι χρὴ γλυκεῖ τὸ φάρμακον, ἢ ἀρνογλώσσου χυλῷ. εἰ δ' ὄγκου μέγεθος ὑπάρχει, οἴνῳ μὲν στρυφνῷ τὸ πρῶτον, ἔπειτα δὲ καὶ ὄξει. καταπλάττειν δὲ τῷ τῶν ὀρόβων ἀλεύρῳ δι' ὀξυμέλιτος. καὶ πρὸ τούτων ἁπάντων εὐθύς, κατ' ἀρχὰς ἀφαιρεῖν αἵματος ἱκανόν, ἤν γε μηδὲν κωλύῃ. τοιαῦται μέν τινες αἱ τῶν τοιούτων παθῶν ἰάσεις κατὰ γένος. ἐξαλλάττονται δὲ παρὰ τὰς τῶν πεπονθότων ὀργάνων φύσεις. τέτταρες δὲ ἀπὸ τούτων ἐνδείξεις εἰσὶν ἐκ τῆς κράσεως αὐτῶν, ἐκ τῆς διαπλάσεως, ἐκ τῆς θέσεως, ἐκ τῆς δυνάμεως. Ἐκ μὲν τῆς κράσεως, εἰ τὰ μὲν αὐτῶν, ξηρότερα φύσει. τὰ δ' ὑγρότερα. τὰ δέ, ψυχρότερα. τὰ δὲ θερμότερα γέγονε. καὶ κατὰ συζυγίαν ἢ ὑγρότερα καὶ θερμότερα, ἢ ὑγρότερα, καὶ ψυχρότερα. ἢ ξηρότερα καὶ θερμότερα, ἢ ξηρότερα καὶ ψυχρότερα, ἢ κατὰ πᾶν εὔκρατα. καὶ χρὴ σκοπὸν εἶναί σοι ἐν ταῖς θεραπείαις, τὴν φύσιν τοῦ μορίου. τὸ γοῦν μέχρι πόσου ψυκτέον, ἢ ξηραντέον, αὕτη διδάσκει. τὰ γοῦν σαρκώδη φλεγμαίνοντα, βραχέως δεῖται ξηραίνεσθαι. καὶ μὲν δή, καὶ ὅσα φλεβώδη, κἂν ᾖ μᾶλλον τῶν σαρκωδῶν ξηρότερα, ἀλλ' οὐδ' αὐτά γε ἱκανῶς. ὅσα δ' ἀρτηριώδη τὴν φύσιν ἐστὶ μόρια, μᾶλλον ἔτι τῶν φλεβωδῶν. καὶ τούτων ἔτι μᾶλλον, τὰ νευρώδη. καὶ πολὺ δὴ μᾶλλον τούτων, ὅσα χονδρώδη καὶ ὀστώδη. πρὶν γὰρ εἰς τὴν οἰκείαν ἐπανέλθοι φύσιν τὸ μέρος, οὐδέπω τέλος ἡγητέον ἔχειν τὴν ἴασιν. ἐπανάγει δ' εἰς τὴν ξηροτέραν μὲν κρᾶσιν, ὅσα φύσει ξηρότατα. εἰς δὲ τὴν ψυχροτέραν, ὅσα φύσει ψυχρότατα. καὶ κατὰ τὰς ἄλλας δὲ δύο ποιότητας ὁμοίως, εἰς δὲ τὸ μέτριον, ἐν ἑκάστῃ τὰ μέτρια. οὕτω μὲν αἱ κράσεις τῶν μορίων ποικίλλουσι τὰς τῶν παθῶν θεραπείας. αἱ δὲ διαπλάσεις ὧδε. τὰ μὲν γὰρ ἔνδον αὐτῶν, εὐρύτητας ἔχει. τὰ δ' ἔξωθεν, τὰ δ' ἑκατέρωθεν. τὰ δ' οὐδετέρωθεν. οἷον τῶν μὲν ἁπλῶν, αἱ ἀρτηρίαι, καὶ αἱ φλέβες, καὶ νεῦρα. αἱ μὲν ἐν τοῖς κώλοις, ἔνδον αὐτῶν. αἱ δ' ἐντὸς περιτοναίου, καθ' ἑκάτερα. νεῦρα δὲ τὰ μέν, ἐν τοῖς κώλοις καθ' οὐδέτερον. ὅσα δ' ἐντὸς περιτοναίου κατὰ θάτερον. τοῖς δὲ σπλάγχνοις σχεδὸν ἅπασιν ἔνδοθέν τε καὶ ἔξωθεν εἰσὶν εὐρυχωρίαι μεγάλαι. καὶ προσέτι καὶ ἡ σὰρξ αὐτή. ἡ μὲν τοῦ πνεύμονος, μανή. ἔμπαλιν δ' ἡ τῶν φρενῶν, πυκνοτάτη, καὶ μετὰ ταύτην, ἡ τοῦ ἥπατος. ἡ δὲ τοῦ σπληνός, εἰς ὅσον πυκνοτέρα τῆς τοῦ πνεύμονος, εἰς τοσοῦτον μανοτέρα τῆς τοῦ ἥπατος. ἐν ἅπασιν οὖν τούτοις, ὅσα μὲν οὐδετέρωθεν ἔχει κοιλότητας ἐκδεχομένας τὸ περιττὸν τοῦ ῥεύματος, ἰσχυρῶς δεῖται ξηραίνεσθαι, κἂν, μὴ πάνυ ξηρὰ τὴν φύσιν ᾖ, καθάπερ τὰ νεῦρα. καὶ μάλιστα τὰ ἐν τοῖς κώλοις. ὅσα δ' ἔξω τε καὶ εἴσω δύναται χαλάσαι τι τῆς φλεγμονῆς, οὐδὲν δεῖται τά γε τοιαῦτα τῶν ἱκανῶς ξηραινόντων. καὶ μάλισθ' εἰ χαύνην ἔχοι τὴν σάρκα, καθάπερ ὁ πνεύμων. ἡ δ' ἀπὸ τῆς θέσεως ἔνδειξις, οὐδ' αὐτὴ παρόπτεα. δι' ὧν τε γὰρ χρὴ κενοῦν, καὶ ὅπως† αὐτὴ μάλιστα διδάσκει. τῶν μὲν οὖν ἔτι ἐπιρρεόντων, ἡ ἀντίσπασις, οὕτω γὰρ ὁ Ἱπποκράτης ὀνομάζει. τῶν δ' ἤδη κατειληφότων τὸ μόριον ῥευμάτων, ἡ παροχέτευσις ἴαμα. ἄμφω δὲ τὰ εἴδη τῆς κενώσεως, διὰ τῶν κοινῶν ποιεῖσθαι κελεύει φλεβῶν. οἷον τὰς ἐπὶ μητρῶν ἀντισπάσεις, εἰ τὴν ἐν ἀγκῶνι τέμνοις φλέβα, ἢ παρὰ τοὺς τιτθοὺς σικύας προσβάλλοις. ἢ εἰ τὰς χεῖρας θερμαίνοις τε καὶ ἀνατρίψαις καὶ διαδήσαις.. παροχετεύσεις δὲ τὰς ἐν ἰγνύαις ἢ σφυροῖς διαιρῶν. καὶ σικύας μηροῖς προσβάλλων, καὶ θερμαίνων, καὶ ἀνατρίβων, καὶ διαδῶν τὰ σκέλη. καὶ εἰ μὲν ἡ δεξιὰ μήτρα πεπόνθοι, ἐκ δεξιᾶς χειρὸς καὶ σκέλους ἀπάγων τὸ αἷμα. τῆς δ' ἀριστερᾶς πεπονθυίας, ἐκ τῶν ἐν ἐκείνῃ κατ' εὐθὺ κώλων. τὸ γὰρ καθ' ἶξιν ὑπ' αὐτοῦ λεγόμενον, αὐτὸ τοῦτ' ἐστὶ τὸ κατ' ἰσότητα. τέμνειν δὲ τὰς ἔνδον φλέβας,† τοῦ Ἱπποκράτους. αὗται γὰρ ἐγγυτέρω τε τῶν πεπονθότων μορίων, καὶ μᾶλλον κατ' εὐθύ. καὶ γὰρ εἰ σπληνὸς φλεγμαίνοντος κενοῦν αἵματος ἐθέλοις, τῆς ἀριστερᾶς χειρὸς τὰς ἔνδον φλέβας τέμνειν. καὶ εἰ ἥπατος, τῆς δεξιᾶς ὡσαύτως. εἰ δέ τι τῶν ἄνωθεν εἴη φλεγμαῖνον, ὡς ἐν συνάγχαις τε καὶ ὀφθαλμίαις, καὶ ὅσα περὶ κεφαλήν, τὰς ἔξωθέν τε καὶ κατ' εὐθύ. τῶν κώλων δ' αὐτῶν πεπονθότων, ἀπὸ τῶν ὁμοζύγων ἡ κένωσις, εἴθ' ἀντισπᾶν, εἴτε παροχετεύειν ἐθέλοις. πλὴν εἰ μὴ χρόνιον εἴη τὸ πάθημα. τηνικαῦτα γὰρ ἀπ' αὐτοῦ τοῦ πεπονθότος. οὕτως οὖν κἀπὶ τῶν συναγχικῶν τὰς ὑπὸ τὴν γλῶτταν φλέβας τέμνομεν, ὅταν ἡμῖν τὸ μὲν ὅλον ἤδη σῶμα κενὸν ᾖ. χρονίζῃ δὲ τὸ πάθος. οὕτω δὲ καὶ σπληνὶ καὶ ἥπατι σικύας προσβάλλομεν. οὕτω δὲ καὶ ἄλλο τι καὶ ἄλλο μέρος πεπονθὸς ἀποσχάζομεν, οὐκ ἐπιρρεόντων ἔτι τῶν χυμῶν. ἐρεθιεῖς γὰρ αὐτοὺς ἐν τῷδε μᾶλλον, καὶ διπλάσιον ἐργάσῃ τὸ κακόν. ἀλλ' ὅταν ἤδη τὸ μὲν ὅλον ἀπέριττον ᾖ σῶμα, μηδὲν δ' ἐπιρρέῃ νῦν, ἴσχηται δ' ἔτι τοῦ παλαιοῦ ῥεύματος ἐν τῷ μορίῳ. καὶ μὴν καὶ ὅτι τὰ μὲν ἐν τοῖς κυρτοῖς τοῦ ἥπατος ἐπ' οὖρα χρὴ προτρέπειν. τὰ δ' ἐν τοῖς σιμοῖς, ἐπὶ τὴν κάτω διαχώρησιν, ἡ θέσις ἐδίδαξε τοῦ σπλάγχνου. καὶ ὅτι θώρακα μὲν καὶ πνεύμονα διὰ βηχῶν ἐκκαθαίρειν. γαστέρα δὲ καὶ στόμαχον, δι' ἐμέτων. ἔντερα δέ, ταῖς κάτω διαχωρήσεσιν. ὥσπερ οὖν καὶ σπλῆνα καὶ νεφροὺς μέν, ταῖς δι' οὔρων. μήτραν δέ, ταῖς διὰ τῶν καταμηνίων. ἐγκέφαλον δὲ καὶ μήνιγγας, ταῖς δι' ὑπερῴας, καὶ γαργαρεῶνος, καὶ ῥινῶν, καὶ ὤτων. ἀλλὰ καὶ ὅτι τοῖς μὲν ἐπιπολῆς μορίοις τοιοῦτον εἶδος χρὴ φαρμάκων προσφέρειν, οἵου δεῖται τὸ πάθος. τοῖς δ' ἐν τῷ βάθει καὶ διὰ πολλῶν τῶν μεταξὺ μέλλουσιν ὁμιλήσειν ταῖς δυνάμεσιν αὐτῶν, οὐχ οἷον νῦν ἐστιν, ἀλλ' οἷον ἔσεσθαι μέλλει παρὰ τῆς θέσεως τῶν μορίων ἐμάθομεν. ὥστ' εἴτε τῶν ἔξωθεν ἐπιτιθεμένων, εἴτε τῶν ἐσθιομένων ἢ πινομένων εἴη τὸ φάρμακον, οὐ τὴν παροῦσαν αὐτοῦ δύναμιν ἐπισκεπτέον, ἀλλ' οἵαν ἕξει πλησιάζον τῷ πεπονθότι μορίῳ. ταῦτ' ἄρα ταῖς τοῦ πνεύμονος φλεγμοναῖς ὅσα προσφέρουσιν ἔξωθεν ἐπιπλάσματα, τῷ θώρακι περιβάλλοντες, ἰσχυρότερα πολὺ καὶ δριμύτερα τὴν φύσιν ἐστίν. ἢ εἰ τῷ αὐτῷ τῷ σπλάγχνῳ προσεφέρετο. διὰ πολλῶν γὰρ τῶν μεταξὺ σωμάτων, τὸ ἐντυγχάνειν μέλλον τῷ πεπονθότι μορίῳ παροδεῦον, πάντως ἂν ἐξελύθη τε, καὶ ἠμαυρώθη τὴν δύναμιν, εἰ ἐξ ἀρχῆς ἦν ἀσθενές. τοσοῦτον οὖν αὐτοῖς ἐπικτήτου ἰσχύος διδόναι προσήκειν, ὁπόσον ἡ ὁδὸς ἀφαιρεῖται. ὥστε ἴσον καθίστασθαι τὸ λειπόμενον, τῷ διὰ τοῦ ψαύειν ἀφε

† al. additur καὶ ὅθεν

† al. omittuntur, sed turbatus uidetur uerborum ordo & sic legendus hic locus καθ' ἶξιν ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους λεγόμ.

λοῦνται. ταῦτ' ἄρα καὶ αὐτοῦ τοῦ θώρακος, τοῖς μὲν ἐπιπολῆς φλεγμαίνουσιν, ἱκανὰ τὰ χαλᾶν μόνον δυνάμενα. τοῖς δ' ἔνδον ὥσπερ καὶ τῷ ὑμένι τῷ ὑπεζωκότι, δριμυτέρων δεῖ. καὶ περὶ σπληνὸς δὲ καὶ ἥπατος, καὶ πάντων τῶν ἔνδον τοῦ περιτοναίου μορίων, ὁ αὐτὸς λόγος. ἕλκεται γὰρ πολλάκις ὑπὸ τῶν ἐπιτιθεμένων φαρμάκων τὸ δέρμα, καίτοι πολὺ σκληρότερόν τε καὶ δυσπαθέστερον ὑπάρχον τῶν σπλάγχνων. καὶ εἰ δυνατὸν ἦν αὐτοῖς τοῖς σπλάγχνοις ἐπιβάλλειν, ὧν ἑκάστοτε δέονται, τοσούτων μαλακωτέρων φαρμάκων ἂν ἐδεήθησαν, ὅσῳ καὶ ἡ φύσις αὐτῶν ἐστιν εὐπαθεστέρα. νῦν δὲ δὴ καὶ ὅσα κελεύουσιν ἐσθίειν καὶ πίνειν φάρμακα τοῖς τῶν σπλάγχνων παθήμασιν ἀρωγὰ, καὶ ταῦτα πολὺ δριμύτερά τε ἰσχυρότερά ἐστι ταῖς δυνάμεσιν, ἢ οἵων δεῖται τὰ πάσχοντα μόρια, πλὴν τῶν γαστρὶ καὶ στομάχῳ συμφερόντων. ταῦτα γὰρ μόνα τοιαῦτα δίδοασιν, οἵων χρήζει τὰ πάθη. τὰ δ' ἄλλα πάντα, δριμύτερα καὶ ἰσχυρότερα ταῖς δυνάμεσιν ἐστί. καὶ μάλισθ' ὅσα νεφρῶν ἢ πνεύμονος ἕνεκα δίδονται. σκοπεῖν οὖν ὅσον ἀριθμὸν μορίων διεξέρχεται τὸ μέλλον εἰς πνεύμονα φέρεσθαι. πρῶτον μὲν στόμα, καὶ φάρυγγα, καὶ στόμαχον. ἔπειτα δ' αὐτὴν τὴν γαστέρα, καί τινα τῶν λεπτῶν ἐντέρων. εἶτα τὰς ἐν τῷ μεσεντερίῳ φλέβας. εἶτα τὰς ἐν τοῖς σιμοῖς τοῦ ἥπατος. ἐξ ὧν εἰς τὰς ἐν τοῖς κυρτοῖς μεταληφθὲν ἐντεῦθεν εἰς τὴν κοίλην φλέβα ἔρχεται, μεθ' ἣν εἰς καρδίαν. ἔπειθ' οὕτως εἰς πνεύμονα. καὶ οὐκ ἔστιν εἰπεῖν ὡς οὐ καθ' ἕκαστον τούτων τῶν μορίων χυμοῖς τέ τισιν ἀναμίγνυται, καί τινα μεταβολὴν καὶ ἀλλοίωσιν οἰκείαν τῇ φύσει τοῦ σπλάγχνου δέχεται. ὥστε τὸ καταλειπόμενον αὐτοῦ τῆς δυνάμεως, παντελῶς ἐστι μικρὸν καὶ ἀμυδρὸν, ἢ ὅσον αὔταρκες εἰς τὴν ὠφέλειαν τοῦ πεπονθότος. ἡ μὲν οὖν παρὰ τῆς θέσεως τῶν μορίων ἔνδειξις, εἰς τοσοῦτον ἄρα τὴν θεραπείαν ὑπαλλάττει. ἡ δὲ παρὰ τῆς δυνάμεως, εἰς ὅσον νῦν ἐρῶ. ἐπειδὴ τῶν μορίων τοῦ σώματος. τὰ μὲν, ἐπιρρύτοις διοικεῖται δυνάμεσι. τὰ δὲ, καὶ συμφύτοις. τούτων δ' αὐτῶν. τὰ μὲν ἑαυτοῖς μόνοις. τὰ δὲ, καὶ ἄλλοις ἀρχαὶ δυνάμεών εἰσι, καὶ τῶν μὲν, ἴδιον τοὔργον ἐστὶ, τῶν δὲ, κοινὸν, ἀναγκαῖον ὑπαλλάττεσθαι τὸ τῆς θεραπείας εἶδος ἐν ἑκάστῃ τῶν εἰρημένων διαφορῶν. πολλὰ γὰρ τῶν † προειρημένων [† al. omittuntur] βοηθημάτων, λύει μὲν, τὰ πάθη, βλάπτει δὲ, τὰς συμφύτους τῶν μορίων δυνάμεις. ὡς δὲ ἡ βλάβη παντὶ τῷ σώματι διαφέρει, διττῶς τούτου γιγνομένου, παρ' ὅσον ἤτοι δυνάμεώς ἐστιν ἀρχὴ τὸ σπλάγχνον ἅπασι τοῖς μέρεσι κοινὴ, ἢ τοὔργον αὐτοῦ παντὶ τῷ σώματι χρήσιμον. ἧπαρ μὲν γὰρ, καὶ καρδία καὶ ἐγκέφαλος, καὶ ὄρχεις, ἀρχαὶ δυνάμεών εἰσι κοιναὶ ὅλῳ τῷ σώματι. γαστρὶ δὲ καὶ μήτρᾳ, ἔμφυτοι μὲν αἱ δυνάμεις, καὶ οὐδενὸς ἄλλου κοιναί. τό γε μὴν ἔργον, τὸ μὲν τῆς γαστρὸς, ἅπαντι τῷ σώματι χρήσιμον. τὸ δὲ τῶν μητρῶν, οὐκέτι. βλάπτει δὲ πολλάκις ἡ τοῦ πάθους ἴασις τὴν δύναμιν τοῦ μέρους. τά τε γὰρ ἀμέτρως χαλῶντα, λύει τὸν τόνον, ὥστε καὶ τὴν δύναμιν τοῦ μέρους. τὰ δ' ὑπερβαλλόντως ψύχοντα, σβεννύουσι τὸ ἔμφυτον θερμόν. ὃ τάχα μὲν, ὥστισιν ἔδοξε τῶν ἀρίστων ἰατρῶν τε καὶ φιλοσόφων, ἡ οὐσία τῶν δυνάμεών ἐστιν. εἰ δὲ μὴ, ἀλλὰ τό γε πρῶτόν τε καὶ ἀναγκαιότατον αὐτῶν ὄργανον. ἤδη δὲ καὶ ποιότητές τινες ἄτοποι, καταλυτικαὶ τῶν δυνάμεών εἰσιν. οὐδὲν οὖν τούτων χρὴ παρέρχεσθαι κατὰ τὰς ἰάσεις, ἵνα μή ποτε λάθωμεν ἡμᾶς αὐτοὺς εἰπόντας, τὸ μὲν πάθος, ἐθεραπεύθη, ὁ δὲ ἄνθρωπος, ἀπέθανεν. ὅπερ ὁσημέραι γιγνόμενον ὁρᾷς ὑπὸ τῶν πλείστων, ὅσοι τήν τε ἄλογον τριβὴν πρεσβεύουσι, καὶ τὴν ἅπασι τοῖς τῆς τέχνης καλοῖς λυμηναμένην αἵρεσιν μεθοδικὴν, ἢ τινὰς λόγους μεταδιώκουσι, δογματικοὶ μὲν, ἀλλὰ καὶ πολλῶν ἁμαρτημάτων ἀνάπλεως ἐν τῇ παρὰ τῆς δυνάμεως ἐνδείξει τῶν μορίων, εἴη δ' ἂν καὶ τὸ δυσαίσθητον, ἢ εὐαίσθητον ὑπάρχειν αὐτό. τὰ γὰρ εὐαίσθητα, δριμέων οὐκ ἀνέχεται φαρμάκων, ὥσπερ οὐδὲ χυμῶν. ἐν γοῦν τῷ στόματι τῆς κοιλίας, δριμέος τινὸς χυμοῦ περιεχομένου συγκόπτονται πολλάκις. εἰ δὲ τὰ μετριώτατα πάσχοιεν, ἀλύουσί τε καὶ ναυτιῶσι. ποτὲ μὲν ἐμοῦντες τὸν λυποῦντα χυμόν. ἔσθ' ὅτε δὲ μάτην ἀπαραττόμενοι. καὶ γίνεται τοῦτο κατ' ἐκείνας μάλιστα τὰς διαθέσεις, ἐν αἷς εἰς τὸ στόμα τῆς γαστρὸς ὁ μοχθηρὸς ἀναπίνεται χυμός. ὁμοίως δὲ καὶ τοῖς ὀφθαλμοῖς ἐπιρρέων ὁ τοιοῦτος χυμὸς, ὀδυνηρότατός ἐστι, καὶ φλυκταίνας ἑλκώδεις τε καὶ δυσιάτους ἐργάζεται. ὡσαύτως οὖν οὐδὲ τῆς τῶν δριμέων φαρμάκων ὁμιλίας ὀφθαλμὸς ἀνέχεται διὰ τὴν εὐαισθησίαν, ὥσπερ οὐδὲ τὸ στόμα τῆς γαστρός. οὐ μὴν οὐδ' ἐπικειμένου τινὸς ἔξωθεν βαρύνοντος ἀνέχεται ταῦτα τὰ μόρια. καὶ μᾶλλόν γε τῆς γαστρὸς ὁ ὀφθαλμός. ὅπου γ' ἐνίοτε καὶ πρὸς τῶν ἐπιχριομένων φαρμάκων βαρύνεται. τὰ δ' ἀναισθητότερα μόρια, καὶ καταπλασμάτων ἀνέχεται βαρέων, καὶ φαρμάκων δακνόντων. εἰ γοῦν πέμπτην τις ἐθέλοι πρὸς ταῖς εἰρημέναις τέτταρσι τὴν ἀπὸ τῆς εὐαισθησίας ἔνδειξιν ἀριθμεῖν, εἴτ' οὖν περιλαβεῖν τὴν κατὰ δύναμιν, οὐδὲν ὡς πρὸς τὸ καλῶς ἰᾶσθαι διαφέρει. τούτων οὖν ἀεὶ χρὴ μεμνῆσθαι τῶν ἐνδείξεων ἐπὶ παντὸς μορίου πάσχοντος ὁτιοῦν πάθος. ἥτε γὰρ κρᾶσις αὐτοῦ, καὶ ἡ διάπλασις, ἥτε θέσις, καὶ ἡ δύναμις, ὑπαλλάξει τὰς κατὰ μέρος ἡμῶν ἐνεργείας, φυλαττομένου τοῦ κοινοῦ σκοποῦ. τοῦτον γὰρ ἔφαμεν ἐκ τοῦ πάθους ἀεὶ δεῖν λαμβάνεσθαι. τὰ μὲν οὖν κατὰ ψιλὴν καὶ μόνην δυσκρασίαν γιγνόμενα νοσήματα, διὰ τῶν ἐναντίων ποιοτήτων θεραπεύεται. θερμὴ μὲν δυσκρασία, διὰ τῶν ψυχόντων, εἴθ' οὖν πρώτως, εἴτε καὶ κατὰ συμβεβηκὸς εἴη ταῦτα ψύχοντα. ψυχρὰ δὲ, διὰ τῶν θερμαινόντων. οὕτω δὲ καὶ ξηρὰ μὲν, διὰ τῶν ὑγραινόντων. ὑγρὰ δὲ, διὰ τῶν ξηραινόντων. περὶ δὲ τοῦ πρώτως θερμαίνοντος, ἢ κατὰ συμβεβηκὸς ἐπὶ πλεῖστον, ὡς οἶσθα, ἐν τῇ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐπεσκεψάμεθα πραγματείᾳ, ἐπιδεικνῦντες ἐνίοτε καὶ τὸ πρώτως ψυχρὸν, θερμαίνειν κατά τι συμβεβηκός. ὥσπερ καὶ τὴν τοῦ ψυχροῦ κατάχυσιν ὕδατος, ὅταν ἐπανάκλησιν θέρμης ποιῆται. καὶ τὴν τοῦ θερμοῦ ψῦξιν, ὅταν ἀραιώσαν τὸ σῶμα, διαφορήσῃ τὴν ἐν αὐτῷ θερμασίαν. αἱ μὲν οὖν κατὰ μόνας τὰς δραστικὰς ποιότητας ἀλλοιώσεις τῶν σωμάτων, ὑπὸ μόνης τῆς διὰ τῶν θερμαινόντων τε καὶ ψυχόντων, ὑγραινόντων τε καὶ ξηραινόντων δυνάμεως, εἰς τὸ κατὰ φύσιν ἄγονται, μὴ δεόμεναι κενώσεως αἰσθητῆς. αἱ δὲ δι' ἐπιρροὴν ὕλης εὐκράτου μὲν οὔσης αὐτῆς, κενώσεως χρήζουσι μόνης. δυσκράτου δὲ, κενώσεώς τε ἅμα, καὶ τῆς διὰ τῶν ἐναντίων ποιοτήτων ἀλλοιώσεως. κενώσεως μὲν, ὥσπερ αἱ ῥευματικαὶ καλούμεναι, περὶ ὧν ἐν ἡμῖν, ὡς οἶσθα, γέγραπται βιβλίον. ἐν ᾧ καὶ τοῦτ' εὐθέως κατ' ἀρχὰς ἐδείχθη, τὸ τῆς θρεπτικῆς δυνάμεως ὅλου τοῦ σώματος ἀρρωστούσης γίγνεσθαι τὰς διαθέσεις ταύτας, ῥεούσης τῆς ἀθροιζομένης † περιουσίας [† al. κακοχυμίας]

εἰς τὰ

ἐς τὰ πάντων ἀτονώτατα μόρια. τῶν μὲν τοι ῥεόντων, αἵματος εἰς τὰ τοιαῦτα μόρια κατὰ τὰς ῥευματικὰς διαθέσεις ἔχοντος τινὰ κακοχυμίαν, ἡ διάθεσις γίνεται μικτή. ὃ γίγνοιτ' ἂν ἴσως τοῦτο σπανιώτατα. διὰ παντὸς γὰρ ὤφθη μοι χωρὶς φλέγματος, ἢ ξανθῆς χολῆς, ἢ μελαίνης, αἷμα τῇ συστάσει λεπτὸν ἐπιῤῥέον. ἐξ ἄλλης δέ τινος αἰτίας εἰς ὄγκον ἀρθέντος τοῦ μορίου, σκοπεῖν εἴτε φλεγμονὴ τὸ πάθος ἐστὶν, εἴτε σκίῤῥος, εἴτε οἴδημα. φλεγμονὴν ὀνομαζόντων ἡμῶν ἅπασαν τὴν θερμὴν, καὶ οἷον φλογώδη διάθεσιν, ἧς τὰς διαφορὰς ὀλίγον ἔμπροσθεν εἴπομεν. ὥρα τοίνυν ἤδη περὶ τῶν οἰδημάτων ὑποθέσθαι σοι διὰ βραχέων, ἀναμνήσεως ἕνεκεν ὧν κατὰ διέξοδον ἤκουσας ἡμῶν λεγόντων. ὀνομάζομεν οὖν οἴδημα, τὸν ἀνώδυνον μὲν καὶ χαῦνον ὄγκον. ἐπιδέδεικται δ' οὗτος ἐκ φλεγματώδους οὐσίας γιγνόμενος, ἢ πνεύματος ἀτμώδους, ὁποῖόν τι καὶ κατὰ τὰ νεκρὰ γίνεται σώματα, καὶ κατὰ τοὺς πόδας τε καὶ σκέλη πολλάκις ἐν ὑδερικαῖς διαθέσεσι, καὶ φθόαις, καὶ καχεξίαις ἑτέραις. ἀλλ' ἐπεὶ ἐκείνων μὲν σύμπτωμά ἐστι τὸ τοιοῦτον οἴδημα διαθέσεων ἐπισφαλῶν, οὐδὲ μιᾶς ἰδίας ἐξαιρέτου θεραπείας δεόμενον αὐτό. καὶ γὰρ ἀνάτριψις μόνη διὰ ὀξυῤῥοδίνου, καί ποτε διὰ ἁλῶν καὶ ἐλαίου, ἢ καὶ τῶν ἁλῶν ἐμβληθέντων τῷ ὀξυῤῥοδίνῳ κατέστησεν αὐτὸ, καὶ ἄλλα πολλὰ τοιαῦτα. διὰ δὲ τὸν φλεγματικὸν χυμὸν ἐπιῤῥυέντα, μορίῳ ἐπιγινομένου τοῦ πάθους, ἐνίοτε μὲν σπόγγοις ὕδατι βεβρεγμένοις ὀλίγον ὄξους ἔχοντι κατέστησε τὸ πάθος. εἰ δὲ μὴ καταστήσει, βραχὺ πλεῖον ἐπιβλητέον τοῦ ὄξους. ὥστε τὸ μὲν σύμμετρον τοιοῦτον εἶναι κατὰ τὴν κρᾶσιν, ὡς δύνασθαί τινα καὶ πίνειν αὐτοῦ. τούτου δὲ τὸ μὲν ὑδαρέστερον, ἐν ἀρχῇ παραληπτέον ἐπὶ μαλακῶν μάλιστα σωμάτων. τὸ δ' ἰσχυρότερον, ἐπί τε γενναίων καὶ σκληρὸν ἐχόντων δέρμα, καὶ πρὸς τὰς πρώτας ἐπιθέσεις τοῦ σπόγγου μηδὲν ὠφεληθέντων. εἶναι δὲ χρὴ τὸν σπόγγον πάντως καινόν. εἰ δὲ μὴ παρείη τοιοῦτος, ἔσω ἀκριβῶς ἐκπεπλυμένος, ἀφρονίτρῳ τε καὶ νίτρῳ, καὶ τῇ καλουμένῃ κονίᾳ στακτῇ. μὴ παυσαμένου δὲ μηδ' ἐπὶ τούτοις τοῦ οἰδήματος, ἐπεμβάλλειν χρὴ βραχὺ στυπτηρίας καὶ τὸν σπόγγον πάντως ἐπιτιθέναι καινόν. εἰ δὲ καὶ κατά τι τῶν κώλων τὸ τοιοῦτον οἴδημα γένοιτο, τῆς ἐπιδέσεως ἐκ τῶν κάτω μερῶν ἀρχόμενον ἄνω τελευτᾶν, τὴν ἐπιβολὴν καὶ τὴν πίεσιν, καὶ τὴν σύμπασαν νομὴν, ὡς ἐπὶ καταγμάτων ποιούμενον. ὁ γάρ τοι σκοπὸς τῆς θεραπείας ἐπὶ τῶν τοιούτων παθῶν μικτός ἐστι. τὸ μέν τι διαφορεῖν τῆς οὐσίας αὐτῶν, τὸ δέ τι συνάγειν καὶ σφίγγειν. εἰ τοίνυν ἐπὶ τοῖς προειρημένοις μὴ καθίσταιτο, τότε τῶν ἰσχυροτέρων φαρμάκων, ἃ μικτὴν ἔχει τὴν κρᾶσιν, ἐκ τῶν εἰρημένων δυνάμεων ἐπιβάλλειν, ἐγὼ δ' ἐπὶ κεχρονικότος οἰδηματώδους ὄγκου προϋπαλείψας ἐλαίῳ τὸ μόριον, εἶτ' ἐπιθεὶς σπόγγον ἐκ κονίας, καὶ σφίγξας βιαιότερον, οἶδα τελέως ἐκθεραπευθὲν τὸ πάθος, οὐκέτι δηλονότι τῆς τοιαύτης ἀγωγῆς σκοπὸν ἐχούσης, τὸ μικτὸν τῶν δυνάμεων. ἀλλ' ἐπὶ τὸ διαφορητικόν τε καὶ τμητικὸν ἀποκλινάσης, ὅπερ ἐπὶ τῶν χρονιζόντων σχεδὸν ἁπάντων ἴσμεν εὐδοκιμοῦν. ἐπεὶ δὲ καὶ περὶ τῶν οἰδημάτων αὐτάρκως εἴρηται πρός γε σὲ, περὶ τῶν σκιῤῥωδῶν ὄγκων ἐφεξῆς ἂν εἴη ῥητέον. ὁ μὲν οὖν ἀκριβὴς σκίῤῥος, ὄγκος ἐστὶ παρὰ φύσιν, ἀναίσθητός τε καὶ σκληρός. ὁ δ' οὐκ ἀκριβὴς, οὐκ ἀναίσθητος μὲν παντάπασι, δυσαίσθητος γε μὴν ἐστὶ πάντως. ὁ μὲν οὖν ἀναίσθητος σκίῤῥος, ἀνίατος. ὁ δὲ δυσαίσθητος, οὐκ ἀνίατος μὲν, οὐ μὴν εὐίατος. γίνεται γὰρ ἐκ γλίσχρου καὶ παχέος χυμοῦ, δυσλύτως ἐμπλαττομένου τοῖς σκιῤῥουμένοις μορίοις. ἐνίοτε μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς κατὰ βραχὺ συνίσταταί τε καὶ αὐξάνεται. τὰ πολλὰ δ' ὑπὸ τῶν ἰατρῶν κατασκευάζεται, στυψάντων καὶ ψυξάντων σφοδρῶς, ἐρυσιπέλατά τε καὶ φλεγμονάς. ἐὰν μὲν οὖν τις τὰ ἰσχυρῶς διαφοροῦντα τοῖς σκιῤῥουμένοις σώμασι προσφέρῃ φάρμακα, καὶ σαφῆ μείωσιν ἐργασάμενος τοῦ σκίῤῥου, χρόνῳ βραχεῖ θαῤῥήσει περὶ τῆς παντελοῦς θεραπείας, οὐκ ἀληθῶς ἀγνοῶν ὅτι τῷ τοιούτῳ τρόπῳ τῆς θεραπείας, τὸ λείψανον τοῦ πάθους ἀνίατον γίνεται. διαφορηθείσης γὰρ ἐξ αὐτοῦ τῆς λεπτομεροῦς ὑγρότητος, ἡ λοιπὴ ξηρανθεῖσα, λιθώδης ἀποτελεῖται. οὔκουν χρὴ σφοδρῶς ξηραίνοντι τὰ σκιῤῥούμενα μόρια θεραπεύειν φαρμάκῳ, ἀλλὰ θερμασίαν μὲν ἔχειν χλιαρὰν, ὑγρότητα δ' οὔτε πολλὴν, οὔ παντάπασιν ἐλαχίστην. τὸ μὲν γὰρ ὑπερβαλλόντως ὑγρὸν, οὐδ' ὅλως διαφορεῖ. τὸ δ' ὀλιγοστὴν ἔχον ἰκμάδα, ξηραίνει σφοδρότερον, ἢ προσήκει. χρὴ τοίνυν ὑπὸ τοῦ μέλλοντος ὀνήσειν φαρμάκου τὸ σκιῤῥούμενον σῶμα, τοῖς ἐν ἡλίῳ χεομένοις ὅμοιόν τι πάσχειν. ὀνομάζεται δὲ τὰ τοιαῦτα φάρμακα, μαλακτικά. καὶ λέλεκται περὶ αὐτῶν ἐπὶ πλέον, ἐν τῷ πέμπτῳ τῆς περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείας. καὶ τὰ παραδείγματα αὐτῶν εἴρηται, τά γε ἁπλᾶ, μυελοί τε σύμπαντες καὶ στέατα. πρωτεύει δὲ τῶν μὲν μυελῶν πάντων ὁ ἐλάφειος. εἶτα ὁ μόσχειος. στεάτων δ' ἐν μὲν τοῖς πτηνοῖς ζώοις, τὸ χήνειον. ἐν δὲ τοῖς πεζοῖς, τὸ λεόντειον. ἐφεξῆς δὲ χηνείῳ μὲν, τὸ τῆς ἀλεκτορίδος. λεοντείῳ δὲ, τὸ τῶν παρδαλέων, καὶ τὸ τῶν ἄρκτων. εἶτα τὸ τῶν ταύρων. τὸ δὲ τῶν αἰγῶν, παχύτερόν τε τούτων ἐστὶ, καὶ ξηρότερον. ἔτι δὲ μᾶλλον αὐτοῦ, τὸ τῶν τράγων. ὅτι δ' οὐ δεῖται τῶν ἰσχυρῶς ξηραινόντων φαρμάκων τὸ πάθος τοῦτο, προείρηται. περὶ δὲ τῆς κατὰ λεπτομέρειάν τε καὶ παχυμέρειαν αὐτῶν διαφορᾶς, ἐνδεικτικῶς μὲν εἴρηται, σαφῶς δ' οὐδέπω. διὸ νῦν ἀναμνῆσαί σε προσήκει τῶν ῥηθέντων ἡμῖν πρὸς ἀλλήλους, ὅτε τὸ τοῦ Κερκυλλίου παιδάριον ἐθεράπευον, ἐξ ἐρυσιπέλατος σφοδρῶς στυφθέντος τε καὶ ψυχθέντος, ὄγκον σκιῤῥώδη ἔχοντος ἐν ὅλῳ τῷ μηρῷ. λεπτομερῆ γὰρ ἡμῖν ἐφαίνετο δεῖν εἶναι τὰ μέλλοντα θεραπεύειν αὐτὸ φάρμακα, διὸ κατήντλουν ἐλαίῳ τὸν μηρὸν, ἐν σκάφῃ καθίζων βαθείᾳ τὸ παιδάριον, ἐχούσῃ πλῆθος ἐλαίου τοῦ σαβίνου, διότι λεπτομερέστατον ἔλαιον ἴσμεν ἁπάντων αὐτό. λουτροῦ δ' ἀπεῖχον, ὅτι μὴ διὰ πλειόνων ἡμερῶν ἕνεκα τῆς τοῦ παντὸς ἐπιμελείας σώματος. μετὰ δὲ τὴν εἰρημένην κατάντλησιν, τὰ διὰ τῶν εἰρημένων μυελῶν τε καὶ στεάτων φάρμακα προσέφερον, ἐνίοτε δὲ καὶ βδελλίου τοῦ σκυθικοῦ μιγνύς, καὶ μαστίχης αἰγυπτίας, καὶ ἀμμωνιακοῦ θυμιάματος τοῦ λιπαροῦ τε καὶ μὴ παλαιοῦ. καὶ χαλβάνης ὡσαύτως. καὶ ἐπειδὴ διὰ τούτων προπαρεσκεύαστο, λύσας ἀμμωνιακὸν τὸ λιπαρότατον ὄξει δριμυτάτῳ κατέχρισα τὸν μηρὸν ὅλον ἐν κύκλῳ. κἄπειτα διὰ ἡμερῶν αὖθις, ὁποπάνακος ἔμιξα τὸ λιπαρώτατον, ὄξει δριμυτάτῳ ἐκλύων, καὶ τοῦτο δηλονότι τὸν πρόσφατον. οὐ γὰρ ἂν ἄλλως ἔτι διαμένοι λιπαρός. ὥσπερ οὐδὲ τὸ βδέλλιον, οὐδὲ τὸ ἀμμωνιακὸν, οὐδὲ ἡ χαλβάνη. καὶ ἀσκωλιάζειν δὲ κατὰ θατέρου σκέλους ἐποίουν τὸ παιδάριον

ὅπως ἐπ' ἐκεῖνο φέροιτο τὸ πλέον τῆς τροφῆς. ὕστερον δ' ὡς ἤδη προσέσταλτο μὲν ὁ σκιρρώδης ὄγκος, ἐσθ δείλω δὲ μή τι λείψανον αὐτῷ μένοι, τοὐναντίον † ἐργαζομένῳ, ἐπιχρίων τινὶ τῶν πιττωτῶν φαρμάκων τὸν μηρόν. ἐφαίνετο δὲ σαφῶς, ἐπὶ μὲν τοῖς δι' ὄξους ἐπιχρίσμασιν, ἀξιολόγως καθαιρούμενος ὁ σκιρρώδης ὄγκος. ἐπὶ δὲ τοῖς χαλαστικοῖς, μαλακυνόμενος μὲν, ἐλάττων δ' οὐ γινόμενος. ἀλλ' ἡ μετὰ μέτρου τοῦ προσήκοντος ἐναλλὰξ αὐτῶν χρῆσις, ἐθεράπευσε τὸ παιδάριον. ὡς εἴγε διὰ θατέρου γένους μόνου τῶν φαρμάκων ἐποιεῖτό τις τὴν θεραπείαν αὐτοῦ, οὐκ ἂν ἔλυσε τὸν σκίρρον. ἐπὶ δὲ τῶν τενόντων, ὀνομάζω δ' οὕτω δηλονότι τὰς ἀπονευρώσεις τῶν μυῶν, ἐπὶ τῇ λεγομένῃ χρήσει τῶν φαρμάκων, ἐναργεστάτην ὠφέλειαν ἔστιν ἰδεῖν, εἴ τις καλῶς χρήσαιτο τῇ διὰ τοῦ πυρίτου λίθου θεραπείᾳ. χρὴ δὲ διάπυρον αὐτὸν ἐργασάμενον, ὄξει δριμυτάτῳ καταρραίνειν. εἶτα διακινεῖν τὸ πεπονθὸς μόριον ὑπὲρ τὸν λίθον, ὡς ἂν ὑπὸ τῆς ἀναφερομένης ἀτμίδος ὁ σκίρρος λύοιτο. πολλὰ γὰρ ἤδη τελέως ἠγκυλωμένα τε καὶ κεκυλλωμένα διὰ τούτου τοῦ τρόπου τῆς θεραπείας, ἐν αὐτῷ τῷ διακινεῖν ἐθεραπεύθη τελέως, ὡς τὸ πρᾶγμα παραπλήσιον εἶναι μαγείᾳ. χρὴ δὲ προπαρασκευάσθαι μεμαλαγμένον τὸ σκιρρῶδες μόριον, ὑφ' ὧν εἴρηκα βοηθημάτων. ἀλλὰ καὶ μετὰ ταύτην τὴν διὰ τοῦ πυρίτου λίθου θεραπείαν προκαταντλῆσθαι πολλάκις ἐλαίῳ δαψιλῶς θερμῷ ὥστε βίνῳ, ἢ ἄλλῳ τινὶ τῶν λεπτομερῶν, οὐ χεῖρον δὲ καὶ ἀνήθου τὴν κόμην ἐναφεψήσασθαι, καὶ μᾶλλον εἰ χλωρὸν εἴη καὶ πρόσφατον. εἰ δὲ μὴ παρείη πυρίτης, τῷ μυλίτῃ χρηστέον. ὀνομάζουσι δ' οὕτως ἐκεῖνον τὸν λίθον, ἐξ οὗ τὰς μύλας κατασκευάζουσιν, ἐφ' ὧν ἀλήθουσι τὸν σῖτον. σπλῆνα μέντοι σκιρρούμενον, οὐ μόνον ἔξωθεν ἰσχυροῖς φαρμάκοις θεραπευτέον προσήκει, ἀλλὰ καὶ διὰ πομάτων ἰσχυροτάτων. ἀνέχεται γὰρ καὶ τούτων ἀλύπως. ἄριστα δ' ἐξ αὐτῶν καππάρεως ῥίζης φλοιός, καὶ σκολοπενδρίου, καὶ μυρίκης. αἵ τε ῥίζαι, καὶ οἱ ἀκρέμονες, ἕψειν δὲ τὰ τοιαῦτα πάντα προσήκει, ἐν ὄξει τε καὶ ὀξυμέλιτι. πολλάκις δ' ἁπτομένῳ φαίνεται μὲν ἀντίτυπος ὁ σπλὴν, οὐ μὴν σκιρρώδης ἐστὶν ὁ ὄγκος, ἀλλὰ πνευματώδης μᾶλλον. ἐφ' οὗ προαποβρέξαντα διὰ ἀψινθίου φάρμακον, ἐμπλαστὸν ἐπιτιθέναι χρὴ μικτῆς δυνάμεως, ὁποῖόν ἐστι τὸ διὰ θείου τε καὶ στυπτηρίας. ἔστι δ' ἀμέλει τὰ πλεῖστα τῶν ἐν ταῖς φαρμακίτισι βιβλίοις γεγραμμένων φαρμάκων τοιαῦτα. πρόσεχε δὲ οὐχ ἁπλῶς τῇ δυνάμει τῶν μεμιγμένων φαρμάκων, ἀλλὰ καὶ τῷ ποσῷ τῆς μίξεως. ἐπὶ γὰρ τῶν πνευματώδη τὸν ὄγκον ἐχόντων σπληνῶν, καὶ μᾶλλον ἐπὶ τῶν οἰδημάτων, κἂν πολὺ τῆς στυπτηρίας ἐμβάλλῃς, οὐδὲν βλάψεις. ἐπὶ δὲ τῶν σκιρρωδῶν, προσήκει ἐπικρατεῖν τὴν διαφορητικὴν δύναμιν, ὀλίγον δ' αὐτῇ μεμῖχθαι τῆς στυφούσης. ἐν γοῦν τῶν ἁπλῶν τε καὶ αὐτοφυῶν φαρμάκων τοιοῦτον ὑπάρχον, ἅλος ἄνθος, ἰᾶται σκιρρουμένους σπλῆνας ἐπιτιθὲν ἔξωθεν αὐτοῖς ἐν κύστει. ἥπατος δὲ σκίρρον ἀρχόμενον μὲν, ἰασάμεθα πολλάκις. ἐκταθέντα δ' εἰς πλείους ἡμέρας, οὔτ' αὐτὸς ἠδυνήθην ἰάσασθαι, οὔτ' ἄλλον τινὰ εἶδον ἰάσασθαι δυνηθέντα. πᾶσι μὲν οὖν τοῖς οὕτω παθοῦσιν, † ἐξ ἅπαντος ὕδερος ἕπεται. [† al. omittuntur] διαφθείρονται δ' οἱ πλεῖστοι ἐν χρόνῳ μακροτέρῳ. τινὲς δ' ἰσόρροπα καὶ διὰ ταχέων ἀπολλυμένους, οἷς ἡ γαστὴρ διεχώρει πολλά. πρόδηλον οὖν ὅτι τούτοις ἱκανῶς ἐστένωτο τὰ στόματα τῶν μεταλαμβανόντων τὴν τροφὴν ἀγγείων, ἐκ τῶν σιμῶν τοῦ ἥπατος, εἰς τὰ κυρτά. τοὺς δ' οὖν θεραπευθέντας ἐξ αὐτῶν, ἡ προειρημένη τῶν ἐν τοῖς μυώδεσι σκίρρων ἀγωγὴ, διέσωσεν. οὐ γὰρ φέρει τὸ σπλάγχνον τοῦτο τὰ σφοδρὰ φάρμακα, καθάπερ ὁ σπλήν. ἐπιτείνειν οὖν χρὴ τὰ διὰ φλεγμονὴν αὐτῷ προσαγόμενα, τῇ μίξει τῶν μαλακτικῶν. ἦν δ' ἐκεῖνα τὰ διὰ ἀψινθίου κόμης καὶ μυροβαλάνου πιέσματος. καὶ νάρδων ἀμφοτέρων, ἰνδικῆς, ἰνδικῆς τε καὶ κελτικῆς. ἔτι δὲ κρόκου, καὶ οἰνάνθης, καὶ μαστίχης χίας, καὶ μύρων, τῶν διὰ ναρδοστάχυος σκευαζομένων. ἔτι δὲ μαστιχίνου †, καὶ μηλίνου, καὶ οἰνανθίνου. [† al. additur καὶ σχοινίνου] τούτοις οὖν ἀμμωνιακόν τε θυμίαμα, καὶ βδέλλιον, οἵ τ' εἰρημένοι μυελοί, καὶ τὰ στέατα μιγνύμενα, καὶ τὰ τέμνειν δυνάμενα, τὸν γεννώμενον ἐν ἥπατι σκίρρον ἰάσαντο μετὰ τῆς προσηκούσης δηλονότι διαίτης, καὶ τῶν ἅμα αὐτῇ πινομένων φαρμάκων, σκοπὸν ἐχόντων ἐκφράξαι τε καὶ διαρρῦψαι τὸν χυμὸν τὸν ἐν τῷ σπλάγχνῳ. ἔστι δὲ ταῦτα πάντα καὶ τῶν ἐν νεφροῖς λίθων θρυπτικά. καὶ γέγραπται πολλοῖς ἰατροῖς περὶ τῆς ὕλης αὐτῶν. ἐπιμιγνύσθαι δὲ χρὴ τοῖς τοιούτοις, καὶ τῶν οὐρητικῶν τι. παμπόλλη δ' ἐστὶ καὶ τούτων ἡ ὕλη. γεγραμμένη μὲν ὑπὸ πολλῶν, εἰρημένη δὲ, καὶ πρὸς ἡμῶν ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις. διὸ καὶ νῦν ἀρκείτω καὶ πρὸς σὲ τὰ εἰρημένα. μεταβῆναι γὰρ ἤδη καιρὸς ἐφ' ἕτερον ὄγκου γένος, οὗ τῆς γενέσεως ἡ ὕλη πνεῦμα φυσῶδές ἐστι, ὀνομάζεται δ' οὐ μόνον φυσῶδες, ἀλλὰ καὶ φῦσα τὸ τοιοῦτον πνεῦμα παχὺ καὶ ἀτμῶδες ὑπάρχον, οὐκ αἰθερῶδες τὴν οὐσίαν, οὐδὲ λεπτόν. ἐννόησον δ' αὐτοῦ τὴν φύσιν, ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ἀναμνησθεὶς, ὁποῖος μὲν ἐν νοτίοις καταστάσεσιν, ὁποῖος δ' ἐν βορείοις γίνεται. τῷ μὲν γὰρ ἐν νοτίοις καταστάσεσιν, ἔοικε τὸ φυσῶδες. τῷ δ' ἐν βορείοις, τὸ κατὰ φύσιν ἐν ἡμῖν πνεῦμα. συμβάλλεται δ' εἰς τὸ μὴ διαπνεῖσθαι τὸ τοιοῦτον πνεῦμα καὶ ἡ τῶν σωμάτων πύκνωσις. ὥστε καὶ ἡ ἴασις τοῦ πάθους τούτου, τὸν σκοπὸν ἕνα καὶ κοινὸν ἀμφοῖν ἕξει τὴν τῶν πεπυκνωμένων σωμάτων ἀραίωσιν, καὶ τὴν τῶν πεπαχυσμένων πνευμάτων λέπτυνσιν. θερμαινόντων γὰρ ἱκανῶς ἄμφω διὰ οὐσίας λεπτομεροῦς. ἀραιώσεις μὲν, τὸ πεπυκνωμένον. λεπτυνεῖς δὲ, τὸ πεπαχυσμένον. ἡ δὲ, τῶν πασχόντων μορίων φύσις, συνενδείξεταί σοι τὴν τ' ἐπιτήδειον ὕλην τῶν βοηθημάτων, καὶ τὸ μᾶλλον τε καὶ ἧττον ἐν αὐτῇ. τὸ γάρ τοι πνεῦμα τοῦτο τὸ παχὺ καὶ ἀτμῶδες, ἔσθ' ὅτε μὲν ὑπὸ τοῖς † περιτοναίοις [† al. περιοστέοις] ὑμέσιν ἀθροιζόμενον ἴσχεται. ποτὲ δ' ὑπὸ τῷ περιτοναίῳ. ποτὲ δ' ἐντὸς τῶν ἐντέρων, ἢ τῆς γαστρός. ἴσχεται δ' ἔστι ποτε καὶ ὑπὸ τῶν τοὺς μῦς περιεχόντων ὑμένων ἔνδον. ὥσπερ γε καὶ ὑπὸ τῶν ὑμενωδῶν τενόντων. ἴσχεται δὲ καὶ κατὰ τὰς λόγῳ θεωρητὰς χώρας, ἔν τε τοῖς μυσὶ καὶ τοῖς ἄλλοις σώμασιν. ὧν χωρίων τὴν φύσιν, ἐν ταῖς ἀνατομικαῖς ἔμαθες ἐγχειρήσεσιν. οὕτω γοῦν καὶ αὐτὸς ὁ μῦς ἐμφυσᾶται. καὶ κατὰ τὸ τῆς γαστρὸς ἢ τὸ τῶν ἐντέρων σῶμα, κατακλείεται πνεῦμα φυσῶδες. ὅτε δὲ καὶ ψυχρὸν ἱκανῶς ἦ τοῦτο, μεγίστην ὀδύνην παρέχει. θεραπεία δὲ κοινὴ μὲν ἁπάντων, ὡς εἴρηται, διὰ λεπτομεροῦς οὐσίας. καὶ ὅταν γε μετ' ὀδύνης ᾖ τὸ πάθημα τοιαύτης τὴν φύσιν, ὡς πραΰνειν τὰ ἀλγήματα δύνασθαι. κατὰ δὲ τὰς τῶν πασχόντων μορίων διαφορὰς, ἥ θ' ὕλη τῆς θεραπείας ὑπαλλάττεται, καὶ ἡ δύναμις ἐπιτείνεται καὶ ἀμβλύνεται. διὰ τοιοῦτον οὖν πνεῦμα τῆς ὀδύνης γιγνομένης ἐν τῇ κάτω γαστρί, τὸ

[† al. additur ἅπαν]

ρεῖ, τὸ λεπτομερὲς ἔλαιον ἐνιεὶς ἅμα τοῖς ἐναφεψημένοις αὐτῷ φαρμάκοις, αὐτίκα παύσεις αὐτήν. τὰ δ' ἐναφεψόμενα τῷ ἐλαίῳ φάρμακα θερμαίνοντα μετὰ λεπτομερείας, ἔστω κύμινόν τε τὸ παρ' ἡμῖν καὶ μᾶλλον αὐτοῦ τὸ καλούμενον αἰθιοπικόν. καὶ σελίνου καὶ πετροσελίνου σπέρμα, καὶ μαράθρου. καὶ σίνωνος. καὶ ἀνίσου τε καὶ λιβυστικοῦ καὶ σεσέλεως, καὶ δαύκου καὶ σπονδυλίου, καὶ εἰ τεκμαίροιο ψυχρὰν εἶναι τὴν διάθεσιν τῶν ὀδυνωμένων μορίων, καὶ πήγανον, καὶ μάραθρον, καὶ δαφνίδας ἀναφεψήσεις, καὶ μίξεις ἄσφαλτόν τε καὶ αὐτὸ τὸ δάφνινον, ὅσα τ' ἄλλα τῶν οὕτω θερμαινόντων ἐστίν. εἰ δὲ καὶ φλεγμονὴν μεμῖχθαι ταῖς τοιαύταις ὀδύναις ὑπολάβοις, ἀφαιρήσεις μὲν τὰ δριμέα πάνυ καὶ θερμαίνοντα σφοδρῶς. ἐπὶ δὲ τὰ μετρίως τοιαῦτα μεταβήσῃ, χαλαστικὴν ἔχοντα δύναμιν. ἐναφεψήσεις οὖν τῷ ἐλαίῳ τὸ ἄνηθον, οὐ τὸ πήγανον. καὶ μίξεις στέαρ χήνειον, ἢ ἀλεκτορίδος. ἀλλὰ ταῦτα μὲν ἐπὶ μεγάλοις ἀλγήμασι. τὰ δὲ μέτρια, καὶ ἡ ἔξωθεν ὤνησε πυρία. μάλιστα μὲν διὰ κέγχρων. ἡ γὰρ κουφότης αὐτῶν, ἀλυποτάτη τοῖς ὀδυνωμένοις ἐστί. τούτων δὲ μὴ παρουσῶν, ἢ δι' ἁλῶν θερμανθέντων ἢ δι' ὠμολίνου, ἢ ὁπωσοῦν ἄλλως. καὶ σικύα δὲ μεγάλη μετὰ φλογὸς δαψιλοῦς ἄνευ τοῦ χάσαι τὸ δέρμα, πολλάκις ἀνωδύνους διὰ ταχέων εἰργάσατο. χρὴ δὲ περιλαμβάνειν αὐτὴν τὸν ὀμφαλόν. εἰ δ' ἐπὶ τούτοις ἐπιμένοιεν αἱ ὀδύναι, τολμήσεις χρήσασθαι τοῖς δι' ὀπίου φαρμάκοις. ὁποῖόν ἐστι καὶ τὸ τοῦ Ταρσέως Φίλωνος ἅπασι τοῖς ἰατροῖς γινωσκόμενον. εἰδὼς μὲν ἐξ ἀνάγκης τινὰ βλάβην τοῖς πεπονθόσι μορίοις ἐκ τῶν τοιούτων φαρμάκων ἐσομένην, ἀλλὰ πρὸς τὸ κατεπεῖγον ἐνιστάμενος, αἱρήσει μετὰ μικρᾶς βλάβης σῶσαι τὸν ἄνθρωπον, ὑπὸ τοῦ τῆς ὀδύνης μεγέθους συγκοπτόμενον. ἐξέσται γάρ σοι ταῖς ἑξῆς ἡμέραις ἐπανορθώσασθαι τὴν γεγενημένην βλάβην ὑπὸ τοῦ φαρμάκου. καλεῖται μὲν οὖν ἀνώδυνα φάρμακα τὰ τοιαῦτα, διὰ τὸ παύειν τὰς ὀδύνας. ἐργάζεται δὲ τὴν ἀνάπαυλαν αὐτῶν, οὐ τὰς διαθέσεις θεραπεύοντα τελέως, ἀλλὰ τὴν αἰσθητικὴν δύναμιν ναρκοῦντα. χρῆσθαι δὲ προσήκει τῷ φιλωνείῳ φαρμάκῳ, καὶ πᾶσι τοῖς δι' ὀπίου σκευαζομένοις οὐκ εὐθέως, ἀλλὰ μετὰ χρόνον τῆς συνθέσεως ἐνιαύσιον. ἢ πάντας γε μῆνας ἕξ. μάλιστα μὲν οὖν καὶ τάχιστα διὰ τῶν πινομένων φαρμάκων οἱ κάμνοντες ἀνώδυνοι γίγνονται, πεπονθότων αὐτοῖς τῶν λεπτῶν ἐντέρων. ὥσπερ γε καὶ διὰ τῶν ἐντιθεμένων τῇ ἕδρᾳ ταχέως ὠφελοῦνται τὰ τῶν παχέων ἐντέρων παθήματα. γίνεται δὲ οὐ σμικρὰ τῆς δυνάμεως διάδοσις κἀκ τῶν πινομένων τοῖς κάτω πεπονθόσι, κἀκ τῶν ἐντιθεμένων τῇ ἕδρᾳ τοῖς τὰ ἄνω πάσχουσιν. ἥγε μὴν ἐν τοῖς σαρκώδεσι μέρεσι τοῦ φυσώδους πνεύματος ἄθροισίς ἐστιν, ὅτε παντάπασιν ἀνώδυνος γίνεται, καὶ χρόνῳ παραμένει πλείονι, καὶ μάλιστα ὅταν ἐγγὺς ᾖ διαρθρώσεως. ἐνταῦθα γάρ τοι καὶ οἱ μῦες αὐτοὶ νευρωδέστεροί τε, καὶ πυκνότεροι καὶ σαρκωδέστεροί τε καὶ ἀραιότεροι περὶ τὰ μέσα σφῶν αὐτῶν. ἐθεράπευσα δέ, ὡς οἶσθα, τὰς τοιαύτας διαθέσεις, τοῖς διὰ πίττης, καὶ ῥητίνης, καὶ τερεβινθίνης, καὶ στέατος λεοντείου καὶ ταυρείου φαρμάκοις. ἁρμόζει δ' ἐπ' αὐτῶν καὶ τὸ διὰ γλοιοῦ καὶ τιτάνου, καὶ τὸ διὰ τοῦ συκομόρου. καὶ συνελόντι φάναι, τὰ λεπτομερῆ γενναίως, ἐπιμιγνυμένων αὐτοῖς τῶν μαλακτικῶν. ἐπειδὴ δὲ καὶ περὶ τούτων ἱκανῶς εἴρηται, μεταβαίνειν καιρὸς ἐπὶ τὸν περὶ τῶν ἀποστημάτων λόγον. ὀνομάζουσι δ' οὕτω τὰς διαθέσεις ἐκείνας, ἐν αἷς ἀλλήλων ἀφίσταται τὰ πρότερον ἀλλήλων ψαύοντα σώματα. χώραν οὖν ἀναγκαῖον ἐν τῷ μεταξὺ γενέσθαι κενήν, ἥτις ἤτοι πνευματώδη τινὰ οὐσίαν, ὑγράν, ἢ ἐξ ἀμφοῖν σύνθετον περιέξει. μεθίστανται δ' εἰς αὐτό, καὶ τῶν φλεγμονῶν ἔνιαι. καὶ τῶν ἐρυσιπελατωδῶν δὲ καὶ τῶν φλεγμονωδῶν οὐκ ὀλίγαι. συνίσταται δὲ καὶ χωρὶς τούτων, ἡ τῶν ἀποστημάτων διάθεσις ἐκ περιουσίας μέν τινων ὑγρῶν, ἢ πνευμάτων ἀτμωδῶν. ἤτοι δ' ἐν αὐτοῖς τοῖς πάσχουσι σώμασιν †ἐν μέσῳ γενομένων ἢ ἐξ ἑτέρων, ἐπιρρεόντων λόγῳ τῶν καλουμένων ἀποσκημμάτων. ὀνομάζουσι δ' οὕτω τὰς διαθέσεις ἐκείνας, ὅταν χυμοί τινες ἐνοχλοῦντες πρότερον ἑτέρῳ μορίῳ, καταλιπόντες ἐκεῖνο, εἰς ἕτερον μεταστῶσιν. ὅτῳ δ' ἂν τρόπῳ γένηται διάθεσις ἀποστήματος, ἡ μεταξὺ χώρα τῶν ἀφισταμένων σωμάτων πληροῦται τῶν ἐργαζομένων αὐτὴν ὑγρῶν. ἅπερ ἐνίοτε χρονίζοντα, πολυειδῶς ἀλλοιώσεις ἴσχει. καὶ γὰρ λίθοις καὶ ψάμμοις, καὶ ὀστράκοις τε καὶ ξύλοις, ἄνθραξί τε καὶ πηλῷ καὶ γλοιῷ, καὶ ἀμόργῃ, καὶ τρυγί, καὶ πολλοῖς ἄλλοις τοιούτοις εὕρηται πολλάκις ἐν ἀποστήμασιν ὅμοια περιεχόμενα σώματα. τῶν μὲν οὖν ἐπιπολῆς ὑπὸ τῷ δέρματι συνισταμένων, ἥ τε διάγνωσις ῥᾴστη, καὶ ἡ ἴασις οὐ χαλεπή. διαγιγνώσκεται μὲν γὰρ ἑτοίμως, τῇ τῆς ἀφῆς ἰδιότητι. θεραπεύεται δέ, διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων, διὸ οὐ δεόμεθα τῶν πινομένων, ὥσπερ ὅσα διὰ βάθους, καὶ μάλιστα περὶ σπλάγχνα συνίσταται. περὶ μὲν οὖν τὰς διαγνώσεις, εἴκει τοῖς ἐπερειδομένοις δακτύλοις τὰ ἐκπυΐσκοντα τὴν ἀντιτυπίαν οὐκ ἔχοντα τῶν φλεγμαινόντων μορίων. τὴν διάγνωσιν οὖν παρέχει σαφῆ. ἰδιότης δὲ τῆς εἴξεως ἑτέρα μέν ἐστιν ἐπὶ λεπτοῖς ὑγροῖς. ἑτέρα δ' ἐπὶ παχέσι. καθάπερ γε καὶ ἐπὶ γλίσχρῳ καὶ μυξώδει χυμῷ. πολλάκις δ' ἡμῖν ὑποπίπτει μετὰ τάσεως πνευματώδους ἀφεστώς τι μόριον, οὗ διαιρεθέντος, εὑρέθη θρόμβος αἵματος. ὥστε καὶ ὅστις ἐθεάσατο δὶς ἢ τρὶς που τοιαύτην διάθεσιν, ἐὰν φιλόπονος ᾖ καὶ μνήμων, ἱκανὸς ἔσται διαγινώσκειν ἐν τοῖς τοιούτοις ὄγκοις περιεχόμενον θρόμβον, ἐκ τοῦ παραθέσθαι τῇ μνήμῃ τὴν ἰδιότητα τῆς τάσεως καὶ † τῆς εἴξεως. ἴσως δ' ἄμεινόν ἐστιν, οὐκ ἰδιότητα λέγειν, ἀλλὰ ποσότητα τάσεώς τε καὶ εἴξεως. ἡ θεραπεία δὲ τῶν ἐπιπολῆς φλεγμονῶν ἀφισταμένων, ἀρχομένης μὲν ἔτι τῆς ἀποστάσεως, διὰ τῆς ἀνωδύνου τε καὶ χαλαστικῆς ἀγωγῆς, ἤδη δὲ περιηκούσης ἐπὶ τὴν πεπτικήν τε καὶ διαπυητικὴν ἰδίως ὀνομαζομένην, μεταβαινόντων γίνεται. λέλεκται δὲ περὶ αὐτῆς, ὥσπερ οὖν καὶ περὶ τῶν ἄλλων τοιούτων, ἐν τῷ πέμπτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως συντάγματι. ὕδατί τε οὖν ἐπὶ πλεῖον καταντλεῖν προσήκει, καταχέοντας ἔλαιον θερμὸν τοῦ φλεγμαίνοντος μορίου, καὶ καταπλάττειν διὰ τῶν πυρῶν ἀλεύρῳ, δι' ὕδατος καὶ ἐλαίου συμμέτρως ἕψοντας. θᾶττον γὰρ ἄγει πρὸς διαπύησιν αὐτό, τοῦ δι' ἄρτου καταπλάσματος. ἐκεῖνο μὲν γὰρ διαφορητικώτατόν ἐστιν, ὡς ἂν ἅλας τε καὶ ζύμης ἔχον ὠπτημένον τε καλῶς. οὐδὲν δ' ὑπάρχει τούτων διὰ τοῦ ἀλεύρου πυρίνου. καὶ ὅταν γε τὴν ἀρχομένην ἐκπυΐσκεσθαι φλεγμονὴν θεραπεύων ἐλπίσῃς κωλῦσαι τὴν ἐκπύησιν, ἐπὶ πλεῖστον ἕψε τὸν ἄρτον ἐλαίῳ δηλονότι καὶ ὕδατι φυράσας. πολλαπλάσιον δ' ἔστω τὸ ὕδωρ τοῦ ἐλαίου. μᾶλλον δ' ἔτι τοῦτο κωλύει τὴν ἐκπύησιν, τὸ τῶν

† al. omittuntur

† al. ἕξεως

κριθῶν ἄλευρον ὁμοίως σκευαζόμενον. τὸ δ' ἐν τῇ θεραπείᾳ ταύτῃ καταντλούμενον ὕδωρ, ἑψημένην ἐχέτω
μετ' αὐτοῦ ῥίζαν ἀλθαίας. εἰ δὲ τάσις εἴη τοῦ περὶ τὸ φλεγμαῖνον μόριον δέρματος ἰσχυρὰ, χάζειν αὐτὸ διὰ
πολλάκις ἐπιπολαίας ἀμυχαῖς. καὶ μετὰ ταῦτα τὸ κρίθινον ἄλευρον ἕψοντας, ὡς εἴρηται, καταπλάττειν. ἐπεὶ
†ἄλ. πολλῶν ῥάθην δὲ πολλάκις ἐπιπολῆς τε καὶ πάνυ † λεπτῶν ἀμυχῶν. ἔμπαλιν δὲ ταύτοις διὰ βάθους ἑτέρων μεγάλων.
καὶ τρίτων ἄλλων μεταξὺ τῶν εἰρημένων, ἐν μήκει τε καὶ βάθει. αἱ μὲν οὖν ἐπιπολῆς, ἀσθενῆ τὴν βοήθειαν
ἔχουσιν. αἱ δὲ βαθεῖαι τε καὶ μακραὶ, πλεῖστον μὲν ἐκχέουσι τοῦ αἵματος, ὡς ἐγγὺς ἀφικνεῖσθαι λειποθυμίας. αὗται
δὲ πάλιν ἰδίας ἐδέοντο θεραπείας, ὥσπερ τραύματα. τὰς διὰ μέσου δ' αὐτῶν ἀμφοτέρων, ἔξω τῶν εἰρημένων
ἀτόπων καθεστηκυίας εὗρον ἀεί. καὶ διὰ τοῦτο χρῆσθαι μᾶλλον. εἰλόμην αὐταῖς πρὸ τῶν ἄλλων. ἐφ' ὧν μέντοι
δυσεκπύητός τε καὶ δυσδιαφόρητος ὁ ὄγκος ἐστὶ, τοὺς ἐσφηνωμένους χυμοὺς ἡγητέον εἶναι παχυτέρους τε καὶ
γλισχροτέρους. ἐν δὲ ταῖς τοιαύταις διαθέσεσι μόναις, ἐπιτήδειος ἐστὶν ἡ διὰ τῶν βαθέων ἀμυχῶν ἴασις, ἐπιτή-
δειον δὲ καὶ τὸ διὰ τῶν ἑψημένων ἰσχάδων κατάπλασμα. χρὴ δ' οὐκ αὐτὰς ἰσχάδας λαμβάνειν, ἀλλὰ τὸ ὕδωρ
ἐν ᾧ διετάκησαν ἑψημέναι. προσήκει δὲ δηλονότι γλυκείας τε καὶ λιπαρὰς τὰς ἰσχάδας, εἶναι ὡς ἐν αὐταῖς ἔχειν
ὑγρότητα παραπλησίαν μέλιτι. καὶ εἰ τοιαύτας λαβὼν ἑψήσειας, ἄχρι πλείστου τὸ ἀφέψημα μέλιτι λεπτῷ
κατὰ τὴν σύστασιν ἔσται παραπλήσιον. τούτῳ τοιγαροῦν τῷ ὕδατι, ποτὲ μὲν κρίθινον ἄλευρον ἀναδεύειν προσ-
ήκει, ποτὲ δ' ἄρτον συγκομιστὸν, ὀνομάζουσι δ' οὕτω τὸν μέσον τοῦ τε ἀκριβῶς καθαροῦ, καὶ τοῦ πιτυρίτου καλου-
μένου. προσαγορεύουσι δ' ἔνιοι τὸν τοιοῦτον ἄρτον, αὐτόπυρον. ἐπειδὴ τοῦ μὲν καθαροῦ τὸ ἄλευρον, οὐχ οἷόν περ
ἐστὶ τῇ φύσει τοιοῦτον, εἰς τὴν ἀρτοποιίαν λαμβάνουσιν, ἀλλὰ προδιαττῶντες, ἀποκρίνουσι τὸ πίτυρον. ἔμπαλιν
δὲ τοῦ πιτυρίτου, προαφαιροῦσι τὸ καθαρώτατον. ὁ δ' αὐτόπυρος ἄρτος, οἷον περιέχει τὸ ἄλευρον ὁ πυρὸς αὐ-
τοφυῶς, τοιοῦτον φυλάττει. χρὴ δὲ καὶ τὸν πυρὸν αὐτὸν, ἐξ οὗπερ τὸ ἄλευρον λαμβάνεται τῶν εὐγενῶν ὀνομα-
ζομένων εἶναι. τινὲς μὲν γὰρ πυροὶ πλεῖστον ἐν ἑαυτοῖς ἔχουσι τὸ πίτυρον, οὓς δὴ καὶ ἀγενεῖς ὀνομάζουσιν. ἔνιοι 2
δὲ τὴν σεμίδαλιν, οὓς, ὡς ἔφην, εὐγενεῖς προσαγορεύουσιν. οὐκοῦν χρὴ πιτυρίαν εἶναι τὸν πυρὸν, ἐξ οὗπερ χρή-
σιμον εἰς τὸ κατάπλασμα λαμβάνομεν ἄλευρον. ἀλλ' ὡς εἴρηται τῶν πολλὴν ἐχόντων σεμίδαλιν. εἰ δ' ἐξ
ἀγενοῦς σίτου λαμβάνοις τὸ ἄλευρον, ἀποκρίνειν αὐτοῦ χρὴ μέρος τι τοῦ πιτύρου, καὶ οὕτω τὸν μέσον ἄρτον ἐρ-
γάζεσθαι. τοῦ τοιούτου τοίνυν ἄρτου τὸ μέσον καὶ ἁπαλὸν, εἰς τὰ καταπλάσματα μιγνύναι, ὅταν ὡς ἔφην ἐν τῷ
μέσῳ κατὰ δύναμιν ἀλεύρου κριθίνου τε καὶ πυρίνου βουληθῇς ποιῆσαι τὸ κατάπλασμα. τὸ μὲν γὰρ πύρινον
ἄλευρον, ἐκπυητικώτατόν ἐστι καὶ πεπτικώτατον. τὸ δὲ κρίθινον, διαφορητικώτατον. ὁ δ' εἰρημένος ἄρτος,
†ἄλ. omittitur ἐν τῷ μεταξὺ τούτων. ὥσπερ γε καὶ τὸ ἄλευρον αὐτοῦ, τῶν εἰρημένων ἀλεύρων † πυρίνων μεταξύ. πρὸς ταῦτ'
οὖν ἀποβλέπων, καὶ τῷ τῶν ἰσχάδων ἀφεψήματι μίγνυε ὅ, τί περ ἂν ἁρμόττειν σοι δοκῇ τῶν ἀλεύρων ἢ τῶν ἄρ-
των. εἰ δὲ διαφοροῖτο μὲν ὁ ὄγκος, ἐλλιπέστερον δ' ἢ προσῆκε, συνέψειν χρὴ ταῖς ἰσχάσιν, ὕσσωπον, ἢ ὀρίγανον.
εἰ δ' ἰσχυρότερον ποτὲ ξηρᾶναι βουληθείης τὸν ὄγκον, ἅλας ἐπιβάλλειν τῷ ἀφεψήματι. κἄπειθ' οὕτως ἀναδεύ- 3
†ἄλ. αὐτῷ additur σαντας, † τὸ τῶν κριθῶν ἄλευρον. ἀφαιρήσαντας δὲ καὶ τούτων τὸ πιτυρῶδες πᾶν, οὕτω καταπλάττειν ἐπὶ πλέ-
ον ἕψοντας. ἐπεί γε μὴν τῶν δυσφορήτων ὄγκων, εὐλαβητέον ἐστὶ τὸ λείψανον αὐτῶν γενέσθαι σκιρρῶδες.
ὥστε καὶ προσέχειν χρὴ τὸν νοῦν ἀκριβῶς ἐφ' ἑκάστης λύσεως, ἐφ' ὅτι μεθίσταται τῶν θεραπευομένων ὄγκων ἕκα-
στος. ἡ γὰρ διὰ τῶν ξηραινόντων ἰσχυρῶς ἀγωγὴ, σκιρρῶδες αὐτῶν τὸ κατάλοιπον ἐξεργάζεται. γνώσῃ δὲ τοῦτο
καθ' ἑκάστην λύσιν, ἁπτόμενος τοῦ πεπονθότος μορίου, καὶ παραβάλλων τῷ πρόσθεν ὄντι, τὸ νῦν φαινόμενον.
ἐὰν οὖν ποτε τοιαύτην ὑποψίαν ἔχοις, ἐναφεψεῖν τῷ ὕδατι σικύου ἀγρίου ῥίζαν, ἢ βρυωνίας, ἢ ἀσάρου. πολλά-
κις μὲν καὶ αὐτῶν μόνων. ἐνίοτε δὲ καὶ τῶν λιπαρῶν ἰσχάδων ἐπεμβάλλων. εἶτα τῷ ὕδατι μιγνύειν τὸ ἄλευ-
ρον, ἀναμιγνύντα τι καὶ στέατος αὐτῷ χηνὸς μάλιστα, ἢ ἀλεκτορίδος. εἰ δ' οὐκ ἔχεις ταῦτα, τοῦ γε τῶν συῶν.
καὶ αὗται δὲ αἱ ῥίζαι τῶν προειρημένων βοτάνων, καὶ πρὸς αὐταῖς, ἡ τῆς ἀλθαίας, μετὰ τὴν σύμμετρον ἀφέψη-
σιν λειούμεναι σὺν ἄρτῳ τε καὶ στέατι, τοὺς τοιούτους ὄγκους διαφοροῦσιν. ἰσχυροτέρα δὲ τούτων ἐστὶν ἡ τοῦ δρακον- 4
τίου. καὶ εἴποτε βουληθείης χρῆσθαι αὐτῇ λεπτομερεστέρᾳ τε πολὺ τῶν εἰρημένων οὔσῃ καὶ διαφορητικωτέρᾳ, μίγνυε
πάντως τὸ στέαρ. εἰ μὴ γὰρ ὑγραίνοις τε καὶ μαλάττοις τοὺς σκιρρουμένους ὄγκους, ἀλλὰ διαφοροίης μόνον, ἰσχυρο-
τέροις φαρμάκοις, ἐν μὲν ταῖς πρώταις ἡμέραις ἀξιολόγως αὐτοὺς καθαιρήσεις, ἅμα δὲ σκληρύνειν τὸ καταλει-
πόμενον. αὐτὸ δὲ τοῦτο σκληρυνθὲν, ἔσται δύσλυτον. ἄμεινον οὖν ὡς ἔφην, τοῖς διαφοροῦσιν ἰσχυρῶς φαρμά-
κοις, ἀναμιγνύναι τὰ μαλάττοντα τὴν εἰς σκίρρον μετάπτωσιν αὐτῶν εὐλαβούμενον. καὶ αὐτῶν δὲ τῶν σκιρρου-
μένων, ἤδη τῆς θεραπείας τὸν τρόπον ἔμπροσθεν ἤκουσας. αὖθις οὖν ἐπὶ τοὺς ἐκπυϊσκομένους ὄγκους ἴωμεν. οὓς ὅ-
ταν ἀπογνῷς διαφορῆσαι, τοῖς διὰ τοῦ πυρίνου ἀλεύρου καταπλάσμασι χρῶ. συλλαμβάνουσι γὰρ ἱκανῶς, τῷ τά-
χει τῆς ἐκπυήσεως. ἔπειτα στομώσας, ἐὰν μὲν ἀκριβῶς ᾖ τὰ περὶξ τῆς τομῆς ἀφλέγμαντα, τοῖς ἐμπλάστοις φαρ-
μάκοις θεράπευε. ξηραντικὴ δ' αὐτῶν ἡ δύναμις καὶ ἄδηκτος ἔστω, μὴ διὰ τῶν στυφόντων συγκειμένη φαρμά-
κων, ἀλλ' ἤτοι τῶν ἀλύπως διαφορούντων μόνον, ἢ καί τι βραχὺ στύψεως ἐχόντων. ἐχρησάμην δ' ἐγὼ πολλά- 5
κις ἐπὶ τῶν τοιούτων, τῷ διὰ τῆς ζύμης καὶ τῶν κεκαυμένων ὀστρέων. εἰ δέ τι τῶν περὶξ τῆς τομῆς φλεγμαίνοι, τῷ
διὰ τῆς χαλκίτεως, ἐλαίῳ τήξας, ὅταν ἀτρέμα ψυχθῇ, κατακεράσας εἰς θυείαν, μαλάττων τε ταῖς χερσὶ, καὶ
οἶνον παραχέων, ὡς οἶσθα, πολυχρηστότατον δ' ἐστὶ τοῦτό μοι τὸ φάρμακον, ὡς ἐν τοῖς περὶ συνθέσεως φαρμά-
κων ὑπομνήμασι λέλεκται. γενήσεται δ' ἂν θεὸς ἐθέλῃ, καὶ περὶ τῶν κατὰ τὰ μόρια παθῶν πραγματεία. καθ'
ἣν τάς τε δυνάμεις ἁπάντων τῶν συνήθων μοι φαρμάκων ἀκριβῶς ἐξηγήσασθαι πειράσομαι, καὶ τὴν ἐπιτή-
δειον ὑφηγήσασθαι χρῆσιν. ἀλλὰ σύ γε τούτων ἤδη τῶν φαρμάκων ὧν ἐμνημόνευσα κατὰ τὸ βιβλίον τοῦτο,
τὰς συμμετρίας τε καὶ σκευασίας ἔχεις παρ' ἡμῶν λαβών. ὅταν γε μὴν ἐπὶ πλέον ἐκτακῇ τὸ δέρμα κα-
τὰ τὰς ἐκπυήσεις, ὡς ῥακῶδες γενέσθαι, δυσκόλλητον ἀποτελεῖται τοῖς ὑποκειμένοις σώμασιν, ὥστ' ἀναγ-
καῖον εἶναι τῇ καλουμένῃ καταπλάσματος ἀγωγῇ, θεραπεύεσθαι τὸ ἕλκος. Ὅταν δ' ἐπὶ πλέον ἀκόλ-

λητον ἢ τὸ δέρμα τοῖς ὑποκειμένοις σώμασι, κόλπον ὀνομάζουσι τὸ τοιοῦτον πάθος. ἐφεξῆς δ' ἀναμνήσω σε καὶ τῆς τούτου θεραπείας, ἣν ἐθεάσω με πολλάκις ἐπὶ πολλῶν ποιησάμενον. οὔσης οὖν τοιαύτης διαθέσεως, βέλτιον μὲν αὐλίσκον εὐθύτρητον, ἢ ἐκ χαλκοῦ πεποιημένον, ἢ ἐκ κέρατος ἡτοιμάσθαί σοι. μὴ παρόντος δ' ἐκείνου, τῶν καλουμένων πυουλκῶν, ὅστις ἂν εὐρύτατον ἔχοι τρῆμα. καὶ τό γε διὰ χάρτου κεκαυμένου συντιθέμενον ἡμέτερον φάρμακον, οἶδάς με πολλάκις ὀλίγον πολλῷ ῥοδίνῳ μιγνύντα, καὶ διὰ τοῦ τοιούτου πυουλκοῦ τοῖς κόλποις ἐνιέντα. κἄπειτα μοτῷ πιλτῷ μύοντα τὸ στόμιον. ὅσα δ' ἔμπλαστα φάρμακα τήκοντες ῥοδίνῳ τοῖς τοιούτοις ἐνίεμεν, οὐ διεξέρχεται τὸν πυουλκόν, ἀλλ' ἐπὶ τούτων κύστιν προσήκει λαβόντα χοιρείαν, προσθεῖναι τὸν εὐθύτρητον αὐλίσκον. εἶναι δὲ χρὴ τὰ τηκόμενα φάρμακα, δριμύτερα τῶν ἐμμότων ὀνομαζομένων. ὁποῖα ταῦτ' ἐστὶ τὰ συνήθη πᾶσι χλωρὰ τῇ χροιᾷ. προσήκει μὲν γὰρ αὐτὰ τοῦ ῥοδίνου ἐπὶ τὴν τῆξιν, οὐκ ὀλίγον ἔχειν, ὥστ' ἐνίεσθαι τῷ κόλπῳ δύνασθαι. καταλύεται δὲ τῶν ἐμμότων ἡ δύναμις, ἐν ταῖς τοιαύταις μίξεσιν. ὅσα τοίνυν ἔμπλαστα φάρμακα τελέως ὄντα, καθάπερ τό, τε τοῦ Μαχαιρίωνος, τὸ καὶ τοῦ Ἐπιγόνου, καὶ τὸ προσαγορευόμενον Ἶσις, εἰς τὴν τῶν ἐμμότων χρῆσιν ἀγόμενα, κηρωτῆς μιγνυμένης δεῖται, ταῦτα γὰρ ἐπιτήδεια τοῖς κόλποις ἐστί. διὸ γὰρ αὐτοῖς ἡ κηρωτὴ μίγνυται, διὰ τοῦτο καὶ νῦν ἐστιν ἐπιτήδεια. μίγνυται δέ, διότι δακνώδη ταῖς δυνάμεσιν ἐστίν, εἰ τακείη μόνα αὐτὰ καθ' αὑτά, μὴ μιχθείσης αὐτοῖς τῆς κηρωτῆς. ἀλλ' ὅταν γε τὸ μὲν ἔλαιον ἢ ῥόδινον πολύ, τὸ δ' ἐν αὐτῷ τηκόμενον φάρμακον ὀλίγον, οὐκ ἔτι μένει δριμέα. συμμέτρως δ' ὑποσαρκωθέντος τοῦ κόλπου, τῶν κολλητικῶν τι φαρμάκων ἐπιθήσεις. ὡς εἰ καὶ πρόσφατον ἔναιμον ἐθεράπευες τραῦμα. πολλὰ δὲ τοιαῦτα ἐστί. τὰ μέν, δι' ἀσφάλτου σκευαζόμενα. καὶ καλοῦσιν οὐκ οἶδ' ὅπως αὐτὰ βαρβάρους ἐμπλάστρους. ἕτερα δὲ φάρμακα κιῤῥά, ἢ φαιά, τὰ διὰ λιθαργύρου τε καὶ ἰοῦ μέχρι πλείονος ἑψηθέντα. γίνεται γὰρ οὕτως ὁ ἰός, κιῤῥός. ὁ δ' ἐπ' ὀλίγον ἑψηθείς, τὰς μηλινὰς ὀνομαζομένας ἐμπλάστρους ἐργάζεται. γιγνώσκειν δ' ὅτι πάντα τὰ μεταλλικὰ φάρμακα, λεπτομερέστερά τε, καὶ ξηραντικώτερα γίνεται μέχρι πλείονος ἑψόμενα. τοῖς γε μὴν ἐν τῷ παραυτίκα κιῤῥοῖς φαρμάκοις ἀρτιθεῖσιν, ἐπίπαγός τις ἔξωθεν ἐπιπήγνυται φαιός, ὑφ' οὗ τὸ βάθος τοῦ φαρμάκου κιῤῥότερον ἢ ἐξ ἀρχῆς φαίνεται. καὶ διὰ τοῦτο τινὲς μέν, διχρώμους ὀνομάζουσι τὰς τοιαύτας ἐμπλάστρους, ἔνιοι δὲ διπροσώπους. ὅσῳ δ' ἂν ὦσι λεπτομερέστεραί τε καὶ ξηραντικώτεραι, τοσούτῳ μᾶλλον ἐνεργήσουσιν ἐπὶ τὸν κόλπον. εἰς βάθος γὰρ αὐτῶν χρὴ διικνεῖσθαι τὴν δύναμιν, εἰ τοῦ προκειμένου σκοποῦ τυγχάνειν μέλλοιεν. αἱ δὲ τὰ πρόσφατα καὶ ἔναιμα τραύματα κολλῶσαι, κἂν ἧττον τούτων ξηραίνωσι, κολλῶσι τὰ χείλη τῶν τραυμάτων. ἐὰν μὲν γὰρ εἴη βραχέα τε καὶ ἀβαθῆ, δι' αὐτὸ τοῦτο ῥᾷόν τε καὶ θᾶττον ἀνύουσι τὸ δέον. ἐὰν δὲ εἰς βάθος διήκῃ τὸ τραῦμα τὸ πρόσφατον, καὶ ῥαφαῖς καὶ ἀγκτῆρσιν εἰώθαμεν αὐτὰ συνάγειν. οἱ μὲν οὖν κόλποι πάντες, οὐχ ἁπλαῖ διαιρέσεις εἰσίν, ἀλλ' ἀναδέδαρται συχνὸν ἐν αὐτοῖς ἄλλο τε κατ' ἄλλο μέρος, ὅπερ οὐδ' αὐτὸ χρὴ λανθάνειν σε. πρὸς μὲν γὰρ τὴν ἄνω χώραν ἀνατεταμένου τοῦ κόλπου, ῥᾳδίως ἐκρεῖ διὰ τοῦ στόματος ὁ ἰχώρ. κατάντους δ' ὄντος αὐτοῦ, μένων ἔνδον, ἀναβιβρώσκει τι τῶν συνεχῶν. ἐπὶ μὲν δὴ τῶν τοιούτων κόλπων, εἰ μὴ πρότερον εἰς ὑπόῤῥυσιν τινὰ ποιήσῃς τομήν, οὐδὲν ἀνύσεις. οὔτ' ἐν τῷ σαρκοῦν αὐτούς, οὔθ' ἐν τῷ κολλᾶν. ἐπὶ δὲ τῶν ἄλλων, οὐ δεήσει διαιρέσεως. ἐάν γε μόνον φυλάττῃς τὸ προσῆκον σχῆμα τῷ πεπονθότι μορίῳ, διὸ σχῆμα δυνήσῃ ποτὲ καὶ τὸν ἀνάῤῥοπον κόλπον ἐργάσασθαι κατάῤῥοπον, καὶ τὸν κατάῤῥοπον, ἀνάῤῥοπον. εἶδες γοῦν ἐμέ ποτε τὸν ἐν τῷ πήχει κόλπον, οὗ τὸ στόμιον ἦν ἐγγὺς τοῦ ἀγκῶνος, ἀναῤῥόπῳ σχήματι θεραπεύσαντα χωρὶς ἀντιδιαιρέσεως. καὶ ἐπὶ μηρὸν δὲ ὁμοίως τοῦ καταῤῥόπου, κόλπου πρὸς μὲν τῷ γόνατι τὸ πέρας ἔχοντος, ὑψηλὸν δὲ τὸ στόμα τῆς μέσης ἐπὶ τὸν μηρὸν χώρας ἀνωτέρω, χωρὶς ἀντιδιαιρέσεως ἐθεάσω τὴν θεραπείαν γινομένην, ὑποτιθέντος μου ἐπὶ τὴν ἰγνύαν ὑπαυχένιον μαλακόν, ὡς ταπεινοτέραν ἔχειν τὴν θέσιν τὸν βουβῶνα τοῦ γόνατος. ἤρκεσε δὲ καὶ ἐπὶ τούτου τοῦ κόλπου καὶ ἑτέρων μειζόνων μελίκρατον μόνον ἐνεθὲν ἐπιτήδειον εἰς κόλλησιν παρασχεῖν ἅπαν τὸ βάθος αὐτοῦ. τινὲς μὲν δὴ κονίαν στακτὴν προσενίασιν ἐξελέγχοντες ἑαυτούς, ἐφ' οἷς ἐνίεσαν ἔμπροσθεν φαρμάκοις, ὑποσαρκοῦντες τὸν κόλπον. οὐ γὰρ οἷόν τε σάρκα νεωτέραν ἐπιτραφῆναι τῇ πρότερον οὔσῃ, ῥύπου περικειμένου. πῶς οὖν αὐτάρκως σεσαρκωμένου τοῦ κόλπου, τὸ κολλητικὸν ἐπιφέρουσι φάρμακον, εἴπερ ὡς ἱκανῶς ὄντα ῥυπαρὸν ἐπιχειροῦσι διαῤῥύπτειν τῇ κονίᾳ τῆς καθαρᾶς σαρκός, οὐδὲ τὸ δριμὺ μελίκρατον φερούσης; ἐπὶ ταύτης μὲν οὖν ἀρκεῖ τὸ τοιοῦτον ἐνιέμενον, ὡς ἂν καὶ πίνοι τὶς ἡδέως αὐτό. καὶ μετά γε τὸ μελίκρατον, ἐφεξῆς εἴωθα πρὶν ἐπιθεῖναι τὸ κολλητικὸν φάρμακον ἐκκλύζειν τὸν κόλπον. ποτὲ μέν, οἴνῳ μόνῳ. ποτὲ δέ, οἰνομέλιτι. πρὸς μὲν γὰρ τὸ περιῤῥύψαι τε καὶ ἀποκαθῆραι τοὺς περὶ αὐτὸν ἰχῶρας, ἄμεινον τὸ μελίκρατον. εἰς δὲ τὴν μέλλουσαν κόλλησιν, ὁ οἶνος. ἔστω δὲ μέσος γλυκύτητός τε καὶ στύψεως. καὶ μέντοι καὶ μετὰ τὴν ἐπίθεσιν τοῦ κολλῶντος φαρμάκου, σπόγγος καινὸς ἐξ οἰνομέλιτος μόνος περιβαλλέσθω μαλακὸς ὡς ἔνι μάλιστα. καὶ ἡ ἐπίδεσις ἀπὸ μὲν τοῦ πυθμένος, ἀρχέσθω τοῦ κόλπου. τελευτάτω δέ, ἐπὶ τὸ στόμιον. αἱ δὲ περιβολαὶ τῶν ὀθονίων, σφιγγέτωσαν μὲν ἀνωδύνως τὸν πυθμένα τοῦ κόλπου. ἐπὶ βραχὺ δ' ἐκλυέσθω ἄχρι τοῦ στομίου. καὶ διὰ τοῦτο δ' αὐτὸ χαλαρὰν ἐπίδοσιν ἐχέτω τοῦ φαρμάκου τῆς περιβαλλομένης ἔξωθεν ἐμπλάστρου τῷ κόλπῳ διεψαλισμένης ἐπὶ τὸ τοῦ κόλπου στόμιον, ὡς ἐκρεῖν δύνασθαι εἴ τις ἰχὼρ ἐκκρίνοιτο διὰ τοῦ κόλπου, μικροῦ τινος ἄλλου κατ' αὐτοῦ ἐπιτιθεμένου ἐμπλάστρου, μέχρι τῆς ἐπιλύσεως, ἣν διὰ τρίτης ποιησάμενος, ἀφαιρήσεις αὐτὸ τοῦτο τὸ οἷον ἐπίθεμα περικείμενον, ἐάσας τὸ καθόλου τοῦ κόλπου περιβεβλημένον φάρμακον. ἔστω δέ σοι διάγνωσις εἰ κεκόλληται τὸ βάθος τοῦ κόλπου καλῶς, ἐκ τοῦ ῥέοντος ἰχῶρος, εἰ πολὺς ἢ ὀλίγος ἐστίν, ἢ πεπεμμένος, ἢ ἄπεπτος. ἔτι δὲ καὶ κατ' αὐτὸν τὸν κόλπον, εἰ μήτ' ὀδύνη τὶ αἰσθητική, μήτ' ὄγκος, ἀλλὰ προσέσταλται τὸ χωρίον ἅπαν, καὶ ξηρὸν καὶ ἀνώδυνον ἐστίν. ἐὰν δὲ καὶ πῦον† οὐ πέπτον ἐπὶ τοῦ στόματος ἴδῃς ὀλίγον, ἔτι μᾶλλον τὰς ἐλπίδας ἀγαθὰς ἕξεις περὶ τοῦ κεκολλῆσθαι τὸν κόλπον. ἐπιθείς τε τὸν σπόγγον αὖθις, ἐπιδήσας τε πάλιν, ὡς εἴρηται, λῦε ἐπὶ τὴν ὑστεραίαν, ἢ διατρίτης, ὑπαλλάττων ἀεὶ τὸ ἐπὶ τοῦ κόλπου στομίου ἐπικείμενον ὀθόνιον, ἐκ τῆς αὐτῆς ἐμπλάστρου κεχρισμένον, ὃ περιλήψεται σύμπαν ἐν κύκλῳ τὸ στόμι-

† al. ἐν ζόφῳ

ον. ἐπιδεῖν δ᾽ αὐτὸ χρὴ, μὴ πάνυ προσεστυπωμένον, ἀλλ᾽ ὥστε δύνασθαι τὸν ἰχῶρα τοῦ κόλπου πάντα κενοῦσθαι δι᾽ αὐτοῦ. ἐπὶ μὲν οὖν τὴν πρώτην τε καὶ δευτέραν ἡμέραν, ἐὰν ἐκκρίνηταί τις ἰχὼρ λεπτὸς ἐκ τοῦ κόλπου, μὴ πάνυ τῆς κολλήσεως ἀπελπίζε. πολλάκις γὰρ ἡ τοῦ περιβαλλομένου φαρμάκου τῷ πεπονθότι μορίῳ δύναμις, ἐκθλίβει σφοδρῶς ἔκ τε τοῦ δέρματος αὐτοῦ, καὶ τῆς ὑποκειμένης σαρκὸς αὐτῷ ὑγρότητα λεπτὴν, ὅταν γε οὕτως ἔχῃ διαθέσεως τὸ τοῦ θεραπευομένου σῶμα, διὰ φυσικὴν κρᾶσιν, ἢ μοχθηρὰν δίαιταν. ἧς ἐκθλιβείσης, συμμέτρως ξηρὰ γιγνόμενα τὰ χωρία κολλᾶται. ἐπὶ δὲ τὴν τρίτην ἡμέραν ἢ τετάρτην ἀπὸ τῆς ἀρχῆς, ἐὰν ἄπεπτος ἰχὼρ φαίνηται διὰ τοῦ στόματος, γίνωσκε μὴ κεκολλῆσθαι τὸν κόλπον. ἔστω δὲ πρὸ πάντων καὶ τὸ περιβαλλόμενον τῷ πεπονθότι μορίῳ φάρμακον, ἰσχυρῶς μὲν ξηραῖνον, ὅτε δὲ δάκνον, ὅτε στῦφον. οἷόν ἐστι τὸ ἡμέτερον κιῤῥὸν, ὃ χοίρειον κηροῦ σκευάζεται διὰ μεταλλικῶν φαρμάκων ἑψημένων, καὶ ἐλαίου κικίου, καὶ ὄξους, ἐναίμων τε τραυμάτων, κολλητικὸν, ἀλύπως καὶ ξηραντικὸν κόλπων. εἶδες δ᾽ αὐτῷ καὶ σύριγγα θεραπευθεῖσαν, ἐφ᾽ ἧς στενῆς τ᾽ οὔσης ὁ πῆς, † καὶ μηδέπω μοι φαινομένης ἔχειν ἔνδον ἐν αὐτῇ τύλον, ἀλλὰ μόνον ῥύπον, † ἐν ᾗ καὶ πρότερον ἔκλυσα τὴν κονίαν, εἶτ᾽ ἐπιχωρῶν ἐν τῇ σύριγγι μεῖναι τοσοῦτον χρόνον, ἐν ὅσῳ τὸν ῥύπον ἤλπισα τελέως ἐκπεσεῖν ἅπαντα, μετὰ ταῦτ᾽ ἐπέθηκα τὸ φάρμακον. οὕτω δὲ καὶ σοὶ ὑπ᾽ αὐτῷ τῷ δέρματι μόνῳ κόλπους σαρκώσεως μὲν οὐ δεομένους, ἀμαθῶς δὲ θεραπευομένους ὑπό τινων, ἅμα τῷ παραλαβεῖν ἐκόλλησα τῷ φαρμάκῳ τῷδε προεκκλύσας τῇ κονίᾳ, διὰ τὸ μηδενὶ τῶν καθαιρόντων ἕλκους φαρμάκων χρῆσθαι τοὺς θεραπεύοντας. ὅταν γε μὴν τῶν εἰς ἀπόστασιν ἀφικνουμένων ὄγκων ἡ τομὴ γένηται βραδέως, ἢ δι᾽ ἀμαθείαν τῶν θεραπευόντων, ἢ διὰ δειλίαν τῶν θεραπευομένων, οὐκ ἐπιτρεπόντων τεμεῖν, ἀλλὰ περιμενάντων ἐν χρόνῳ πλείονι διαβρωθῆναι τὸ δέρμα πρὸς τοῦ πύου, συμβαίνει πολλάκις ἅπαν τὸ περὶ τῷ ἐπὶ τὴν ἀπόστασιν ἀθροισθέντι πύῳ δέρμα λεπτὸν ἱκανῶς γίγνεσθαι, καθάπερ τι ῥάκος. ὅθεν ἡγοῦμαι καὶ τοὔνομα αὐτῷ, πρὸς τῶν ἰατρῶν τεθεῖσθαι τὸ ῥακῶδες. ἔστιν οὖν τὰ τοιαῦτα δέρματα δυσκόλλητα. καὶ μάλιστα ὅτ᾽ ἄν τις αὐτοῖς ἐπιβάλῃ ξηρὸν ἐπὶ τὴν σύστασιν φάρμακον. ὑπὸ τούτων γὰρ ἔτι μᾶλλον γίνεται ῥακῶδες τε καὶ ξηρὸν τὸ δέρμα, παραπλήσιον ταῖς τριβακαῖς διφθέραις. ἔδοξεν οὖν μοι προσηκόντως ἄν τις χρήσασθαι πρὸς τὴν κόλλησιν αὐτοῦ, τῇ συστάσει μὲν ὑγρῷ, φαρμάκῳ, τῇ δυνάμει δὲ ξηρῷ, λέλεκται δ᾽ ἐν τοῖς περὶ φαρμάκων, ὅτι δυνάμει ξηρὰ φάρμακα καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ὅσα ξηραίνειν πέφυκε. κάλλιστον δὲ πάντων τῶν ὑγρῶν μὲν τῇ συστάσει, ξηρῶν δὲ τῇ δυνάμει, τὸ συντεθὲν ὑπ᾽ ἐμοῦ φάρμακον ἐστὶ, τὸ διὰ λιθαργύρου, καὶ στέατος χοιρείου παλαιοῦ, καὶ χαλκίτεως ἐχόντων ἔλαιον παλαιότατον, ἄμεινον δ᾽ ἐνεργοῦντος ἐπειράθην αὐτοῦ ἐπὶ τὰς τοιαύτας διαθέσεις, ὅταν μὴ πάνυ τι σκληρὸν ᾖ, μὴ δ᾽ ἀκριβῶς ἀμόλυντον. ἀλλὰ κἂν τοιοῦτον σκευασθῇ, καὶ τῶν ἐναίμων μὲν ἐστὶ τραυμάτων κολλητικὸν καὶ πάντων δὲ τῶν ἑλκῶν ἐπουλωτικὸν, ἀνιέμενον τῷ ἐλαίῳ, κἄπειτα μετ᾽ οἴνου μετρίως παλαιοῦ φυρόμενον, εἶτ᾽ ἐπιτιθέμενον ἐν κύκλῳ ταῖς τοιαύταις διαθέσεσιν, ἀλύπως αὐτὰς ἐκόλλησε πολλάκις. ἁρμόττει δ᾽ ὡς εἴρηται ἐπὶ τῶν ῥακωδῶν δερμάτων, οὐχ ἥκιστα καὶ τὸ μέλι μέχρι συστάσεως ἐμπλαστρώδους ἑψηθέν. ἔστι δ᾽ ἡ συμμετρία τῆς ἑψήσεως αὐτοῦ δυσκατόρθωτος, τῷ μὴ τεθεαμένῳ. χρὴ γὰρ αὐτὸ, μήθ᾽ οὕτω, γενέσθαι σκληρὸν, ὡς δυσπερίπλαστον εἶναι, μήθ᾽ οὕτως ὑγρὸν, ὡς περιῤῥεῖν. τὸ μὲν γὰρ σκληρὸν, εἰς τὴν τοιαύτην ἀτοπίαν ἀφικνεῖται ταῖς σκληραῖς ἐμπλάστροις. τὸ δ᾽ ὑγρὸν ὡσανεὶ ἐπικείμενον θερμῷ σώματι, περιῤῥεῖ κύκλῳ, καὶ ξηρὰν ἀπολείπει τὴν ὀθόνην. ἥτις οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ πρὸς κακοῦ γίνεται τῷ κολληθησομένῳ δέρματι. συμμέτρως γε μὴν ἑψηθὲν τὸ μέλι, κάλλιστον ἐστὶ φάρμακον ἐπὶ τῶν τοιούτων κόλπων. ἐπεὶ δ᾽ ἡ συμμετρία τῆς ἑψήσεως αὐτοῦ δυσέκμαρτός ἐστιν, ἄμεινον ἔδοξέ μοι καταπλάττειν αὐτῷ χνοώδη σμύρναν, ἢ ἀλόην, ἢ λιβανωτὸν, ἢ τινὰ τούτων, ἢ πάντα ὁμοῦ. καὶ μάλιστα ὅταν ἐπὶ τῆς ὀθόνης ἐγχρισθὲν, ὑγρότερον φαίνηται. καταπλάττειν δὲ αὐτὰ διὰ κοσκίνου μετέωρον κρατουμένου ἐπὶ τοῦ μέλιτος. ἀρκεῖ δ᾽ ἅπαξ ἢ δὶς κροῦσαι αὐτὸ πρὸς τὴν συμμετρίαν τῆς διεκπτώσεως. ἐνίοτε δὲ καὶ κατ᾽ αὐτὴν τὴν ἕψησιν ἐμπάττω τι τῷ μέλιτι τῶν εἰρημένων φαρμάκων. καὶ μάλιστα ὅταν ὁ κόλπος ᾖ μείζων τε καὶ βαθύτερος. ἐπειράθην δὲ καὶ τοῦ λεπτοῦ κενταυρίου, θαυμαστοῦ φαρμάκου πρὸς τὴν τοιαύτην χρείαν. ἐφεξῆς δ᾽ αὐτῷ σύμφυτον ἐπιτήδειόν ἐστι καὶ μετ᾽ αὐτὸ τῆς ἰλλυρίδος ἴρεως ἡ ῥίζα, μεθ᾽ ἣν καὶ τὸ τῶν ὀρόβων ἄλευρον. δῆλον ὅτι κεκόφθαι τε καὶ διηθῆσθαι λεπτῷ κοσκίνῳ, καὶ μετὰ ταῦτα γε λελειῶσθαι τὰ τοιαῦτα πάντα προσήκει. μιγνύσθω δὲ τῷ μέλιτι κατ᾽ ἐκεῖνον τὸν καιρὸν, ἡνίκ᾽ ἂν ἀπὸ τοῦ πυρὸς ἐξαίρεσθαι μέλλῃ. τοσοῦτον ἡμῶν ἐπιδιαψαύντων, ὡς ἑνωθῆναι καλῶς αὐτὰ τῷ προεψημένῳ μέλιτι. κάλλιον δὲ καὶ καθαιροῦντα τὴν κατάβασιν ἀπὸ τοῦ πυρὸς, ἐμπάττειν ἅπαντα τὰ τοιαῦτα, κἄπειτα κινεῖν ἐπιμελῶς ἄχρις ἂν οὕτω γένηται τὸ μέλι χλιαρὸν, ὡς ἐπιτεθῆναι δύνασθαι τῷ θεραπευομένῳ σώματι. Ἐφεξῆς δ᾽ ἂν εἴη τοῖς εἰρημένοις εἰπεῖν τι, καὶ περὶ τῶν γαγγραινουμένων φλεγμονῶν. ὀνομάζουσι δ᾽ ὡς οἶσθα γαγγραίνας τὰς διὰ μέγεθος φλεγμονῆς νεκρώσεις οὐκ ἤδη γεγενημένας ἀλλὰ γενομένας ἔτι. τελέως μὲν γὰρ νεκρωθὲν μόριον ὡς νυττόμενον, ἢ τεμνόμενον, ἢ καιόμενον ἀναίσθητον ὑπάρχειν, ὧν πάσχει, τάχιστα χρὴ περικόπτειν καθ᾽ ὃ ψαύει τοῦ πλησιάζοντος ὑγιοῦς. ἀλλὰ τὸ μὲν οὕτω διατεθὲν, μέλαν γίνεται. τὸ δ᾽ ἐν τῷ μεταξὺ καθεστηκὸς ὡς ὁδοιπορεῖν ἐπὶ τὴν νέκρωσιν, γάγγραινα ὀνομάζεται. θεραπεία δ᾽ αὐτοῦ γίνεται, κενωσάντων ἡμῶν ὅσον οἷόν τε πλεῖστον τοῦ ἐπὶ τὸ πάσχον μόριον αἵματος ἐσφηνωμένου, δι᾽ ὃ καὶ ἡ νέκρωσις γίνεται, μὴ δυναμένων τῶν ἀρτηριῶν ὑπὸ στενοχωρίας διαστέλλεσθαι. τῷ δ᾽ ὑπολοίπῳ διαπνοὰς παρεχόντων, ἢ ἐκείνην ὅλον τὸ δέρμα πολλαῖς βαθείαις τομαῖς διαιρεῖν χρὴ τέμνοντας ἅμα αὐτῷ τὴν ὑποκειμένην οὐσίαν, ἢ πολλαῖς ἀμυχαῖς βαθείαις ἀποσχάζειν, ἐάσαντα δ᾽ ἀποῤῥυῆναι τὸ αἷμα, τῶν φαρμάκων ἐπιτιθέναι τι τῶν πρὸς τὰ σηπόμενα χρησίμων. ἔστι δὲ τοιαῦτα δι᾽ ὀξυμέλιτος καὶ ἀλεύρου ὀρόβων, ἢ αἰρῶν. ἢ εἰ μὴ ταῦτα παρείη, τὸ τῶν κυάμων. αὐτό τε μόνον τὸ ὀξύμελι. σφοδροτέρῳ δὲ αὐτῷ χρῆσθαι βουλόμενος, ἅλων ἐπεμβάλλειν, ἢ τῶν κυκλίσκων τινὰ λειοῦν ἀκριβῶς, οἷος ὁ Ἀνδρώνειος ἐστὶ, καὶ ὁ Πολυείδου, καὶ ὁ Πασίωνος. ἀλλὰ καὶ τὸ τοῦ Μούσα φάρμακον ἐπιτηδειότατόν ἐστιν εἰς ταῦτα. ὃ ἐπὶ τὸν Ἥρα γέγραπται τόμον. χρῶ δὲ τούτοις, καὶ οἷς προείρηκα προσέχων τὸν νοῦν τῷ σώματι τοῦ κάμνοντος. ἀγροίκου μὲν γὰρ ὄντος αὐτοῦ καὶ σκληροῦ φύσει, τῶν ἰσχυροτάτων δεῖται φαρμά-

† al. καὶ μακρᾶς additur

† al. sic ἐνῆκα πρότερον τὸν χοῦν.

του φαρμάκων τὸ σῶμα. γυναῖκες δὲ ἁπαλόσαρκοι, τῶν ἀσθενεστέρων. οὕτω δὲ καὶ τῶν ἀνδρῶν, ὅσοι λευκοί τε καὶ ἁπαλόσαρκοι, καὶ φιλόλουτροι, καὶ ἀγύμναστοι, μαλακῶν δέονται φαρμάκων. δῆλον δ' ὅτι καὶ τὰ παιδία. κἂν ἐκτέμοις δέ ποτε τὸ σεσηπὸς καὶ νενεκρωμένον μέρος ἀσφαλείας ἕνεκα, τοῖς εἰρημένοις ἄρτι χρῶ φαρμάκοις, ἀποβλέπων εἰς τὰς τῶν † νοσημάτων φύσεις, ἅμα δὲ καὶ τὴν αὐτοῦ τοῦ πεπονθότος μορίου φύσιν ἐπισκοπεῖν, ἵνα γὰρ τάχιστα σήπεται. καὶ βέλτιον ἀσφαλείας ἕνεκα, ὅταν ἐκτέμῃς ἢ περιτέμῃς τὸ σεσηπὸς, τὴν οἷον ῥίζαν αὐτοῦ συνημμένην τοῖς ἀπαθέσι καίειν, ὡς ἐπὶ τῶν αἰδοίων εἰώθαμεν ἐργάζεσθαι πολλάκις. ἐνίοτε μὲν αὐτοῖς τοῖς πεπονθόσι μορίοις τὰ καυτήρια προσφέροντες. ἐνίοτε δὲ καὶ προϋποβάλλοντες μοτόν. μετά γε μὴν τὴν καῦσιν, εἰώθαμεν, ὡς οἶσθα, χυλῷ πράσου χρῆσθαι. μὴ παρόντος δὲ τούτου, τοῖς προειρημένοις ὀλίγον ἔμπροσθεν. ὅταν δὲ φαίνηταί σοι τούτων γινομένων πεπαῦσθαι τὸ σηπόμενον ὅπως ἀποπέσῃ θᾶττον ἡ ἐσχάρα, τῷ κεφαλικῷ καλουμένῳ φαρμάκῳ μετὰ μέλιτος χρῶ. κάλλιον δὲ καὶ καταπλάττειν ἔξωθεν, ἢ δι' ὑδρελαίου τὸν ἄρτον ἕψοντας, ἢ κρίθινον ἄλευρον οὕτω σκευάζοντας, ἢ μετὰ αὐτοῦ μίξαι πύρινον. καὶ μὴν καὶ τὸ τετραφάρμακον ὀνομαζόμενον, ἔτι τε τὸ μακεδονικὸν, ἐπιτήδεια πρὸς τὰς διαπυήσεις τε καὶ ἀποπτώσεις τῶν ἐσχαρῶν, ὁμοίως δὲ καὶ πάντα ὅσα διαπυΐσκει. καὶ ἄρτος δὲ μετὰ σελίνου λειωθεὶς, ἢ ὠκίμου, περιῤῥήσσει καὶ χωρίζει τὰς ἐσχάρας ἀπὸ τῶν ὑγιεινῶν. τῶν δ' ἁπλῶν φαρμάκων μετὰ μέλιτος ἶρις, ἢ ῥίζα πάνακος, ἢ ἀριστολοχίας, ἢ ἀκόρου. ἐπὶ δὲ τῶν μαλακῶν σωμάτων, ἀρκεῖ καὶ τὸ τῶν ὀρόβων ἄλευρον μετὰ μέλιτος, ἢ λιβανωτοῦ. ὁμοίως δὲ ἀφαιρεῖ τὰς ἐσχάρας καὶ τὸ τοῦ Μαχαιρίωνος φάρμακον, καὶ ἡ Ἶσις † ἔμμοτα. ὅταν δὲ ἐκπέσωσιν αἱ ἐσχάραι, καὶ διὰ τῶν ἐπιτυχόντων φαρμάκων σαρκοῦνται τὰ τοιαῦτα τῶν ἑλκῶν. Ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται μετρίως, περὶ τῶν καρκινωδῶν ἑξῆς ἂν εἴη ὄγκων εἰπεῖν, γινομένων ἐν ἅπασι τοῖς μορίοις, μάλιστα δὲ τοῖς τιτθοῖς τῶν γυναικῶν, ὅσαι μηκέτι καθαίρονται τὴν κατὰ φύσιν κάθαρσιν. ἥτις, ὅταν ὡς χρὴ γένηται, τελέως ἄνοσος ἡ γυνὴ διατελεῖ. πάντες οὖν οἱ τοιοῦτοι παρὰ φύσιν ὄγκοι, τὴν γένεσιν ἐκ μελαγχολικοῦ περιττώματος ἴσχουσι, ὑπὲρ οὗ λέλεκται καὶ ἐν τοῖς περὶ φυσικῶν δυνάμεων ὑπομνήμασι. γεννᾶσθαι μὲν ἡμῶν δειξάντων ἐν ἥπατι κατὰ τὴν ἐξαιμάτωσιν, ἀνάλογον τῇ κατὰ τὸν οἶνον τρυγί. καθαίρεσθαι δὲ διὰ τοῦ σπληνός. ἐκ γὰρ τοῦ τοιούτου χυμοῦ, τρέφεσθαι πέφυκεν. ὅταν οὖν ἡ φυσικὴ κρᾶσις τοῦ ζώου τὸν χυμὸν τοῦτον ὀλίγον ἢ γεννῶσα, καὶ ἡ δίαιτα συντελῇ, καὶ ὁ σπλὴν ἀξιολόγως ἕλκῃ τὸ γεννώμενον εἰς ἑαυτὸν, οὐδὲν ἀθροίζεται κατὰ τὰς φλέβας τοιοῦτον περίττωμα. ὅταν δὲ τἀναντία ᾖ, ἀθροίζεται πολὺ κατὰ τὰς φλέβας καὶ ἐργάζεται τὰ λεχθησόμενα νοσήματα. λέγω δ' ἐναντία τοῖς εἰρημένοις, τὸ μὲν ἧπαρ εἰς γένεσιν ἐπιτήδειον τοῦ τοιούτου περιττώματος. τὴν δίαιταν δὲ διὰ τῶν τοιούτων ἐδεσμάτων γινομένην, ἃ πέφυκε γεννᾶν αἷμα παχὺ καὶ ἰλυῶδες. ἀσθενέστερον δὲ τὸν σπλῆνα φύσει, καὶ ἀδυνατώτερον ἕλκειν ἐφ' ἑαυτὸν ἅπαν τὸ γεννώμενον. ἐν δὲ τῷ τοιούτῳ σώματι, θολοῦται καὶ παχύνεται τὸ κατὰ τὰς φλέβας αἷμα. καὶ ποτὲ μὲν ὑπ' αὐτῶν τῶν φλεβῶν ἐχουσῶν γε καὶ αὐτῶν ἀποκριτικὴν τῶν ἀλλοτρίων δύναμιν, ὥσπερ καὶ τἄλλα πάντα, δι' αἱμοῤῥοΐδος ἐκκρίνεται. πολλάκις δὲ εἰς κιρσοὺς κατασκήπτει, καί ποτε εἰς τὸ δέρμα πᾶν ὠθεῖται. καὶ τοῦτό ἐστι γένεσις τοῦ πάθους, ὃ καλοῦσιν ἐλέφαντα. γίνεται γε μὴν ἐνίοτε καὶ εἰς ἄλλα μόρια τοῦ σώματος, ἅπερ ἂν ᾖ πάντων ἀσθενέστατα, φορὰ τοῦ τοιούτου χυμοῦ. καὶ φαίνονταί γε σαφῶς αἱ κατὰ τὸ μόριον ἐκεῖνο φλέβες, μεσταὶ αἵματος μέλανός τε καὶ παχέος. καὶ ὅσον δ' ἂν ᾖ παχύτερον, τε καὶ μελάντερον, τοσούτῳ χεῖρον ἐστὶ τὸ πάθος. ἐπὶ δὲ τῶν τιτθῶν, εἴδομεν πολλάκις ἀκριβῶς ὄγκον ὅμοιον καρκίνῳ ζώῳ. καθάπερ γὰρ ἐπ' ἐκείνου πόδες ἑκατέρωθέν εἰσι τοῦ σώματος, οὕτω καὶ ἐπὶ τοῦδε τοῦ πάθους αἱ φλέβες ἀποτεταμέναι τοῦ παρὰ φύσιν ὄγκου τὸ σχῆμα καρκίνῳ παραπλήσιον ἐργάζονται. τοῦτο τὸ πάθος ἀρχόμενον μὲν, ἰασάμεθα. πολλάκις. εἰς μέγεθος δὲ ἀξιόλογον ἀρθὲν, ἄνευ χειρουργίας οὐδεὶς ἰάσατο. πάσης μὲν οὖν χειρουργίας ἐκκοπτούσης ὄγκον παρὰ φύσιν, ὁ σκοπός ἐστιν ἐν κύκλῳ πάντα τὸν ὄγκον περικόψαι, καθ' ἃ δὲ τῷ κατὰ φύσιν ἔχοντι πλησιάζει. διὰ δὲ τὸ μέγεθος τῶν ἀγγείων, καὶ μάλιστα ὅταν ἀρτηρίαι τύχωσιν οὖσαι, παραχρῆμα τε κίνδυνος αἱμοῤῥαγίας γίνεται, βρόχοις τε διαλαμβανόντων αὐτὰς, συμπάθειαι ἕπονται. ἐὰν δὲ καὶ καῦσαι τὰς ῥίζας αὐτοῦ πάθους προελώμεθα, καὶ κατὰ τοῦτο κίνδυνος οὐ μικρὸς, ὅταν ἐγγὺς καιρίων μορίων ἡ καῦσις γένηται. ἀλλ' ἀρχόμενον γεννᾶσθαι, καθάπερ ἔφην, ἰασάμεθα πολλάκις τὸ πάθος τοῦτο, καὶ μάλιστα ὅταν ὁ μελαγχολικὸς χυμὸς φαίνηται, μὴ πάνυ παχὺς ὑπάρχων. ὑπακούει γὰρ οὗτος τοῖς καθαίρουσι φαρμάκοις ἑτοίμως. δι' ὧν ἡ θεραπεία γίνεται. πρόδηλον δ' ὅτι μελάνων εἶναι χρὴ κενωτικὰ τὰ διδόμενα φάρμακα καὶ τοῦτο συνεχῶς ποιητέον, ἄχρις ἂν εἰς τὸ κατὰ φύσιν ἀκριβῶς ἐπανέλθοι τὸ μόριον, οὔσης καὶ τῆς διαίτης εὐχύμου. κατὰ γοῦν τὴν Ἀλεξάνδρειαν, ἐλεφαντιῶσι πάμπολλοι, διά τε τὴν δίαιταν καὶ τὴν θερμότητα τοῦ χωρίου. κατὰ δὲ τὰς Γερμανίας τε καὶ Μυσίας, σπανιώτατα τοῦτο τὸ πάθος ὦπται γινόμενον. καὶ παρά γε τοῖς γαλακτοπόταις σκύθαις, σχεδὸν οὐδέ ποτε φαίνεται γινόμενον. ἀλλ' ἐν Ἀλεξανδρείᾳ πάμπολλυ ἡ γένεσις αὐτοῦ διὰ τὴν δίαιταν ἐστίν. ἀθάραν γὰρ ἐσθίουσι, καὶ φακὴν, καὶ κοχλίας, καὶ ταρίχη πολλά. τινὲς δὲ καὶ ὄνεια κρέα, καὶ ἄλλα τοιαῦτα, παχὺν καὶ μελαγχολικὸν γεννῶντα χυμόν. ἅτε δὲ θερμοῦ τοῦ περιέχοντος ὄντος, καὶ ἡ ῥοπὴ τῆς φορᾶς αὐτῶν πρὸς τὸ δέρμα γίνεται. τούτῳ μὲν οὖν τῷ πάθει, συμφέρουσιν αἱ εἰρημέναι καθάρσεις. ἐὰν δὲ τὰ τῆς ἡλικίας καὶ τὰ τῆς δυνάμεως ἐπιτρέπῃ, φλεβοτομεῖν πρότερον. ἐπὶ δὲ τῶν καρκίνων, οὐκ ἀνάρμοστον μὲν οὐδ' ἐπὶ τούτων, ἢν μηδὲν κωλύει φλεβοτομεῖν. ἐφεξῆς δὲ καθαίρειν. καὶ εἰ μὲν γυναῖκες εἶεν, ἔμμηνα κινεῖν αὐταῖς. ἐάν γε δηλονότι μηδέπω πεντηκοστὸν ἔτος ἄγωσι. κατὰ δὲ τοῦ πεπονθότος μορίου, χυλὸς ἐπικείσθω στρύχνου. κάλλιστον γὰρ τοῦτο φάρμακον εἰς τὰ τοιαῦτα. μὴ βουλομένου δὲ τοῦ θεραπευομένου φάρμακον οὕτως ὑγρὸν ἐπιβάλλεσθαι, καὶ μάλιστα ὅταν προέρχεσθαί τε τῆς οἰκίας, καὶ τὰς συνήθεις πράττειν ἀναγκάζηται, τὸ διὰ πομφόλυγος ἐπιβλητέον. ᾧ καὶ πρὸς τοὺς ἡλκωμένους καρκίνους οἶσθα χρώμενόν με. καὶ τούτου μὴ παρόντος, τῷ διὰ χαλκίτεως ἡμετέρῳ φαρμάκῳ. κατὰ δὲ τὴν δίαιταν, ἐν χυλῷ πτισάνης πλεοναστέον. καὶ γάλακτος ὀῤῥῷ. καὶ λαχάνοις μαλάχῃ, καὶ ἀτραφάξυ, καὶ βλίτῳ. καὶ κατὰ καιρὸν ἐν ᾧ εἰσὶν αἱ κολοκύνθαι.

† al. σωμάτων

† al. μετὰ μόλιτος

καὶ ταύταις χρηστέον. ἰχθύων δὲ, τοῖς πετραίοις, καὶ ὄρνισι πᾶσι, πλὴν ἑλείων. Ἐπὶ δὲ τῶν ἐλεφαντιώντων, ἡ τῶν ἐχιδνῶν ἐδωδὴ θαυμάσιόν ἐστι φάρμακον. χρὴ δὲ ἐσθίειν αὐτὰς οὕτω σκευάζοντας, ὡς τοὺς θηριοτρόφους καὶ ἀσπιδοτρόφους Μάρσους ἐθεάσω. πρότερον μὲν, ἀποκοπτομένης τῆς οὐρᾶς καὶ τῆς κεφαλῆς, ἄχρι δακτύλων τεττάρων. εἶτα τῶν ἔνδον ἁπάντων ἀφαιρεθέντων, καὶ τοῦ δέρματος δηλονότι. εἶθ᾽ ὕδατι τοῦ σώματος αὐτῶν περιπλυθέντος. ἀλλὰ μέχρι μὲν τοῦδε, κἀπειδὰν τὴν θηριακὴν ἀντίδοτον καλουμένην σκευάζωμεν, οὕτω πράττομεν. ἐφεξῆς δὲ διαφερόντως ἕψομεν. ἐπὶ μὲν τῆς θηριακῆς ἐν ὕδατι προσεπεμβάλλοντες ἀνήθου καὶ βραχέων ἁλῶν. ἐπὶ δὲ τῶν ἐλεφαντιώντων, ἐν λοπάσι παραπλησίως ταῖς ἐγχέλυσι σκευάζοντες, διὰ λευκοῦ ζωμοῦ. γίνεται δὲ οὕτως. ὕδατος μὲν δαψιλοῦς ἐμβληθέντος, καὶ ἐλαίου βραχέος, καὶ σὺν αὐτῷ, πράσου καὶ ἀνήθου. πρόδηλον δ᾽ ὅτι μέχρι τοσούτου τὰς σάρκας τῶν ἐχιδνῶν ἀφεψεῖν προσήκει, μέχρις ἂν ἀκριβῶς γενηθῶσι μαλακαί. καὶ αὐτὸ δὲ τὸ δι᾽ αὐτῶν σκευαζόμενον φάρμακον, ὃ καλοῦσι θηριακὴν ἀντίδοτον, ἐπιτήδειόν ἐστι πίνεσθαι τοῖς οὕτω κάμνουσι. καὶ εἰ βούλοιτό τις αὐτοῦ καὶ τὸ δέρμα χρίεσθαι. ταῦτα γοῦν ἅπαντα ποιούντων, ἔσθ᾽ ὅτε λεπὶς ἀφίσταται τοῦ δέρματος, ὁποῖον ἐπὶ τῶν ὄφεων τὸ καλούμενον γῆρας. τῶν δ᾽ ἄλλων ὄγκων τῶν παρὰ φύσιν, οὐδενὸς μὲν ἠξίωσά σοι γράψαι χειρουργίαν. ἔλαβες γὰρ δοκιμώτατα τῶν παρ᾽ ἡμῖν φαρμάκων. ἐπὶ μὲν χοιράδων, τά τε προστέλλειν καὶ ξηραίνειν δυνάμενα καὶ διαπυΐσκειν. ἐπὶ δὲ μελικηρίδων, ὅσα καὶ ταῦτα διαφορεῖ, καὶ πύου διαφορητικὰ φάρμακα, καὶ ὕδατος ἐν ὀσχέῳ τε καὶ κατ᾽ ἐπιγάστριον ἔλαβον, ὡς κἀπὶ τῶν ὑδερικῶν κεχρῆσθαι. διττὸς γὰρ καὶ τούτων ὁ σκοπὸς ἰᾶσθαί τε τοῦ σπλάγχνου τὸν σκίρρον καὶ διαφορῆσαι, τὸ συνειλεγμένον ὑγρόν. εἴρηται δ᾽ ἔμπροσθεν ἡ τῶν σκιρρουμένων σπλάγχνων θεραπεία. ὥστε καὶ ἡ τῶν ὑδέρων ἴασις, εἰς τρεῖς τούτους ἀνάγεται σκοπούς, ἰᾶσθαι τοῦ σκιρρουμένου σπλάγχνου τὸν σκίρρον, ἐπιθέμασί τε καὶ διαφοροῦσι τὴν ὑγρότητα χρῆσθαι. φάρμακά τε πίνειν διουρητικά. ταῦτα μὲν οὖν εἰς ἀποδημίαν σοι μακρὰν στελλομένῳ, νομίζω συμμέτρως ἔχειν. ἐὰν δὲ ὡς προῄρηται καὶ τὴν ἐπὶ τῶν κατὰ γένος καὶ τόπους πεπονθότας φαρμάκων πραγματείαν ποιήσωμαι, κἀκείνην ἕξεις ἐπανελθὼν ἐκ τῆς ἀποδημίας. ἔστι δὲ καὶ ἄλλη μεγάλη πραγματεία τῶν ἑταίρων ἀξιωσάντων ἁπάσης τῆς θεραπευτικῆς μεθόδου. κατεχομένῳ δ᾽ ἐπὶ πλέον ἔξω σοι, πέμπειν οὐκ ὀκνήσω τῶν γραφομένων ἡμῖν ὑπομνημάτων ἕκαστον.

ΓΑΛΗΝΟΥ ΥΓΙΕΙ
ΝΩΝ ΛΟΓΟΣ. Α.

ΗΣ περὶ τὸ σῶμα τἀνθρώπου τέχνης μιᾶς οὔσης, ὡς ἐν ἑτέροις δέδεικται γράμμασι, δύο ἐστὸν τὰ πρῶτά τε καὶ μέγιστα μόρια. καλεῖται δὲ τὸ μὲν ἕτερον αὐτῶν ὑγιεινόν, τὸ δὲ ἕτερον θεραπευτικόν, ἔμπαλιν ἔχοντα πρὸς ἄλληλα τῇ ἐνεργείᾳ. εἴ γε τῷ μὲν φυλάξαι, τῷ δὲ ἀλλοιῶσαι πρόκειται τὴν περὶ τὸ σῶμα κατάστασιν, ἐπεὶ δὲ καὶ ἀξιώματι καὶ χρόνῳ πρότερον. ἐστὶν ὑγεία νόσου, χρὴ δήπου καὶ ἡμᾶς ὅπως ἄν τις ταύτην φυλάξειεν, ἐπισκέψαι πρότερον. ἐφεξῆς δὲ καὶ ὡς ἄν τις ἄριστα τὰς νόσους ἰῷτο. κοινὴ δ᾽ ἀμφοτέροις ὁδὸς τῆς εὑρέσεως, εἰ γνοίημεν ὁποῖα τίς ἐστι διάθεσις τοῦ σώματος, ἣν ὑγείαν ὀνομάζομεν. οὐ γάρ τοι οὔτε φυλάττειν αὐτὴν παροῦσαν, οὔτ᾽ ἀνακτᾶσθαι διαφθειρομένην, οἷοί τ᾽ ἂν ὦμεν ἀγνοοῦντες τὸ παράπαν, ἥτις ποτ᾽ ἐστί. γέγραπται δὲ ἡμῖν ἑτέρωθι καὶ περὶ τοῦδε, καὶ δέδεικται τῶν μὲν ὁμοιομερῶν ὀνομαζομένων ἡ ὑγίεια, θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ συμμετρία τις ὑπάρχουσα. τῶν δ᾽ ὀργανικῶν ἐκ τῆς τῶν ὁμοιομερῶν συνθέσεώς τε καὶ ποσότητος καὶ πηλικότητος. καὶ διαπλάσεως ἀποτελουμένη. ὥστε καὶ ὅστις ἂν ἱκανὸς ᾖ φυλάττειν ταῦτα, φύλαξ οὗτος ἀγαθὸς ὑγιείας ἔσται. φυλάξει δὲ, πρότερον ἐξευρὼν ἅπαντας τοὺς τρόπους καθ᾽ οὓς διαφθείρεται. ὥσπερ γοῦν εἰ καὶ παντάπασιν ἀπαθὲς ἦν ἡμῶν τὸ σῶμα, τῆς προηγουμένης αὐτοῦ τέχνης, οὐκ ἂν ἐδεήθημεν, οὕτω νῦν ἐπειδὴ πάσχει πολυειδῶς, ἀναγκαῖον ἔσται προσήκουσάν τινα τέχνην, τὰς ἁπάσας αὐτοῦ τὰς βλάβας γινώσκουσάν τε καὶ φυλάττεσθαι δυναμένην. εἰσὶ δὲ βλάβαι τε καὶ διαφθοραὶ τοῦ σώματος ἡμῶν διτταὶ κατὰ γένος. αἱ μὲν γὰρ αὐτῶν, ἀναγκαῖαί τ᾽ εἰσὶ καὶ σύμφυτοι, τὴν οἷον ῥίζαν ἔχουσαι τὰς ἀρχὰς τῆς γενέσεως. ἔνιαι δὲ οὐκ ἀναγκαῖαι μὲν, οὐ δὲ ἐξ ἡμῶν αὐτῶν ὁρμώμεναι, διαφθείρουσι δ᾽ οὐδὲν ἧττον ἐκείνων τὸ σῶμα. διαιρήσομεν ἤδη χωρὶς ἑκατέρας. αἷμα καὶ σπέρμα τῆς γενέσεως ἡμῶν εἰσιν ἀρχαί, τὸ μὲν οἷον ὕλη τις εὔρυθμός τε καὶ εὐπειθὸς εἰς ἅπαν τῷ δημιουργῷ, τὸ σπέρμα δὲ τὸν τοῦ δημιουργοῦ λόγον ἔχει. κέκραται δὲ ἑκάτερον μὲν, ἐκ τῶν αὐτῶν στοιχείων κατὰ γένος ὑγροῦ καὶ ξηροῦ, καὶ ψυχροῦ καὶ θερμοῦ. ἢ εἴπερ ἐθέλει τις οὐκ ἀπὸ τῶν ποιοτήτων, ἀλλὰ κατὰ τὰς οὐσίας ὀνομάζειν αὐτά, γῆς καὶ ὕδατος ἀέρος καὶ πυρός. οὕτως γὰρ ἡμῖν ἐν τῷ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων ἀποδέδεικται. διαφέρουσι δὲ τῷ ποσῷ τῆς μίξεως, τῷ μὲν γὰρ σπέρματι, πλέον ὑπάρχει πυρώδους τε καὶ ἀερώδους οὐσίας, τῷ δὲ αἵματι, γεώδους τε καὶ ὑδατώδους. ἐπικρατεῖ μὴν ἐπὶ κἀν τούτῳ, τὸ μὲν θερμὸν τοῦ ψυχροῦ, τὸ δὲ ὑγρὸν, τοῦ ξηροῦ. καὶ διὰ τὴν ἐπικράτειαν ταύτην, οὐ ξηρὸν ὥσπερ ὀστοῦν καὶ θρὶξ, ἀλλ᾽ ὑγρὸν ἑκάτερον λέγεται. τὸ δὲ σπέρμα ξηρότερον μὲν ἐστιν, ἢ κατὰ τὸ αἷμα, ῥυτὸν μὴν ἔτι καὶ ὑγρὸν ὑπάρχει καὶ αὐτόν, καὶ οὕτως ἑκατέρωθεν ἡμῖν ἡ ἀρχὴ τῆς γενέσεως, ἐξ ὑγρᾶς οὐσίας ἐστίν, ἣν οὐχ ὑγρὰν δήπου φυλάττεσθαι προσῆκεν μέλλουσάν γε νεῦρα καὶ φλέβας καὶ ἀρτηρίας γε καὶ ὀστᾶ καὶ χόνδρους, καὶ ὑμένας, καὶ ὅσα τ᾽ ἄλλα τοιαῦτα γεννήσεσθαι, συγκαταβεβλῆσθαι τοίνυν ἀναγκαῖον ἐστιν εὐθὺς ἀπὸ τῆς πρώτης γενέσεως, ἰσχυρότερον ἐν τῇ κράσει τὸ ξηραντικὸν στοιχεῖον. ἔστι δὲ τὸ τοιοῦτον τῇ φύσει, μάλιστα μὲν τὸ πῦρ. ἤδη δὲ καὶ ἡ γῆ. ξηρὸν γάρ τι χρῆμα καὶ ἥδε. ἀλλὰ τῆς μὲν γῆς, οὐκ οἷόν τε ἦν μίγνυσθαι, πλειόνων ὑγρῶν εἶναι δεομένων τῶν ἀρχῶν, τοῦ πυρὸς δ᾽ οὔτι κωλύει

πλέον

πλέον μιχθῆναι, καὶ κέκραται τοσούτῳ πλέον ἐν ἀμφοῖν, ὡς μή τε φρύγειν ἤδη καὶ καίειν, αὐτάρκως τε ξηραίνειν. καὶ γὰρ αὖ καὶ τὴν πρὸς τὰς κινήσεις ἑτοιμότατον τοσοῦτον ὑπάρχον τὸ θερμὸν ἱκανὸν ἂν ἦν παρασχεῖν. ὑπὸ τούτου δή, τὰ μὲν πρῶτα συνίσταταί τε καὶ βραχεῖαν πῆξιν λαμβάνει τὸ κύημα. μετὰ δὲ ταῦτα ἐπὶ μᾶλλον ἤδη ξηραινόμενον, οἷον ὑπογραφάς τινας ἴσχει, καὶ τύπους ἀμυδροὺς ἑκάστου τῶν μορίων. εἶτ' ἐπὶ πλέον ξηρανθέν, οὐχ ὑπογραφὰς μόνον, οὐδ' ἀμυδροὺς τοὺς τύπους, ἀλλ' ἀκριβὲς ἑκάστου τὸ εἶδος ἴσχει. καὶ δὴ καὶ ἀποκυηθέν, ἀεὶ καὶ μᾶλλον ἑαυτοῦ γίνεται ξηρότερόν τε καὶ ῥωμαλεώτερον, ἄχρι περ ἂν εἰς ἀκμὴν ἀφίκηται. τηνικαῦτα δὲ τά τε τῆς αὐξήσεως ἵσταται, μηκέτι ἐπιδιδόντων τῶν ὀστῶν διὰ σκληρότητα, καὶ τῶν ἀγγείων δὲ ἕκαστον, εἰς εὖρος διαφυσᾶται, καὶ σύμπανθ' οὕτως τὰ μόρια κρατύνεταί τε, καὶ εἰς τὴν ἀκροτάτην αὐτῶν ἰσχὺν ἀφικνεῖται. τὸ δὲ ἐντεῦθεν δέ, περαιτέρω τοῦ προσήκοντος ἤδη ξηροτέρων ἁπάντων τῶν ὀργάνων γιγνομένων, αἵ τε ἐνέργειαι χεῖρον ἐπιτελοῦνται, καὶ ἀσαρκότερόν τε καὶ ἰσχνότερον ἑαυτοῦ γίνεται τὸ ζῶον. ἐπὶ πλέον δὲ ἀναξηραινόμενον, οὐκ ἀσαρκότερόν τε μόνον, ἀλλὰ καὶ ῥυσσὸν ἀποτελεῖται. καὶ τὸ κῶλον ἀκρατὲς καὶ σφαλερὸν ἐν ταῖς κινήσεσι. καὶ καλεῖται μὲν ἡ τοιαύτη διάθεσις, γῆρας. ἀνάλογον δ' ἐστὶ τῇ τῶν φυτῶν αὐάνσει. καὶ γὰρ αὖ κἀκείνη, γῆράς ἐστι φυτοῦ, δι' ὑπερβάλλουσαν ξηρότητα γινομένη. μία μὲν οὖν ἥδε σύμφυτος ἀνάγκη φθορᾶς ἅπαντι τῷ γεννητῷ σώματι, δευτέρα δὲ τοῖς ζώοις μάλιστα ὑπάρχουσα, τῆς ὅλης αὐτῶν οὐσίας ἡ ῥύσις, ἐκ τῆς ἐμφύτου θερμότητος ἀποτελουμένη. ταύτας μὲν οὖν τὰς βλάβας οὐδενὶ γεννητῷ σώματι φυγεῖν ἐγχωρεῖ, τὰς δ' ἄλλας βλάβας ὅσαι ταύταις ἕπονται, δυνατὸν φυλάξασθαι προμηθούμενον. ἡ γένεσις δὲ κἀκείνων, ἐκ τοῦ τὰς ἀναγκαίας βλάβας ἐπανορθοῦσθαι πειρᾶσθαι. ῥεούσης γοῦν τῆς συστάσεως ἁπάντων τῶν ζώων, εἰ μή τις ἑτέρας ὁμοίας ἀντεισάγει τῶν ἀπορρεόντων, διαφορηθήσεταί τε καὶ σκεδασθήσεται σύμπαν οὕτως τὸ σῶμα. καὶ διὰ τοῦτο οἶμαι τὴν φύσιν οὐ μόνον τοῖς ζώοις, ἀλλὰ καὶ φυτοῖς εὐθὺς ἐξ ἀρχῆς συμφύτους δοῦναι δυνάμεις ἐφιεμένας τῶν ἀεὶ ἐλλειπόντων, οὔτε γὰρ ἐσθίειν, οὔτε πίνειν οὔτε τὸ ἀναπνεῖν διδασκόμεθα πρός τινος, ἀλλ' ἐξ ἀρχῆς ἔχον τῶν ἁπάντων, τούτων ἐν ἡμῖν τὰς δυνάμεις ἄνευ διδαχῆς ἐπιτελούσας ἅπαντα. διὰ μὲν οὖν τῆς ἐδωδῆς, ἀναπληροῦμεν ὅσον ἀπορρεῖ τῆς ξηροτέρας οὐσίας, διὰ δὲ τοῦ πόματος, τῆς ὑγροτέρας ἀντεισάγομεν εἰς τὴν ἀρχαίαν ἐπανάγοντες ἄμφω συμμετρίαν. οὕτω δὲ καὶ τῆς ἀερώδους τε καὶ πυρώδους οὐσίας τὴν συμμετρίαν, ἀναπνοαῖς τε καὶ σφυγμοῖς διασώζομεν. ἀποδέδεικται δὲ καὶ περὶ τούτων ἁπάντων ἰδίᾳ καθ' ἕκαστον, ἐν ἑτέροις γράμμασι, καὶ προσήκειν ἡγοῦμαι τῷ λόγῳ τῷ νῦν ὅσα δέδεικται δι' ἐκείνων ὑποθέσεως ποιησαμένης πρὸς τὴν ὑγιεινὴν πραγματείαν οὕτως ἔχεσθαι τῆς ἑξῆς. ἐπειδὴ γὰρ ἀπορρεῖ μὲν ἁπάντων τῶν ζώων ὁσημέραι πολὺ μέρος τῆς οὐσίας διὰ τὴν ἔμφυτον θερμότητα, δεόμεθα ὑπὲρ τοῦ τὴν συμμετρίαν αὐτῆς διαφυλάττεσθαι, σιτίων τε καὶ πομάτων ἀναπνοῆς τε καὶ σφυγμῶν, ἐξ ἀνάγκης ἀκολουθήσει τοῖς δὲ περιττωμάτων γένεσις. εἰ μὲν γὰρ οἷόν περ ἦν τὸ κενωθὲν ἕτερον, ἀκριβῶς τοιοῦτον εἴχομεν αὐτῷ προσφῦσαι δι' ὅλου, κάλλιστον ἂν ἦν τοῦτο καὶ ὑγιεινότατον. ἐπεὶ δὲ τὸ μὲν ἀπορρέον ἑκάστου τῶν μορίων, τοιοῦτον τὴν φύσιν ἐστίν, οἷόν περ αὐτὸ τὸ μόριον, οὐδὲν δὲ τῶν ἐσθιομένων, ἢ πινομένων ἀκριβῶς ἐστι τοιοῦτον, ἀναγκαῖον ἐγγενέσθαι τῇ φύσει, προμεταβάλλειν τε καὶ πέττειν αὐτά. καὶ ὡς ἔνι μάλιστα προπαρασκευάζειν, ὅμοια τῷ θρεψαμένῳ σώματι. κἂν τούτῳ τὸ μὴ κατεργασθὲν ἀκριβῶς μηδ' ἐξομοιωθέν, οὔτε προσφύεται τῷ σώματι, καὶ ὡς περιττὸν ἀλᾶται κατὰ τὰς ἔνδον εὐρυχωρίας, ὅθεν περ αὐτῷ καὶ τοὔνομα πρὸς τῶν ἔμπροσθεν ὀρθῶς ἐτέθη περίττωμα. ἐπειδὴ οὖν τὸ μὲν ἐσθίειν καὶ πίνειν ἀναγκαῖα τοῖς ζώοις ὑπάρχει, ἠκολούθει δὲ τούτοις ἡ τῶν περιττωμάτων γένεσις, ὄργανά τε πρὸς τὴν ἀπόκρισιν αὐτῶν ἡ φύσις παρεσκεύασεν, καὶ δυνάμεις αὐτοῖς ἐνέθηκε, δι' ὧν κινούμενα τὰ μέν, ἕλκει, τὰ δὲ ἐκπαραπέμπει, τὰ δὲ ἐκκρίνει τὰ περιττώματα. καὶ χρὴ δήπου καὶ ταῦτα, μήτ' ἐμφράττεσθαι κατά τι, μήτε ἀρρωστεῖν κατὰ τὰς ἐνεργείας, ὑπὲρ τοῦ καθαρὸν ἀεὶ καὶ ἀπέριττον φυλάττεσθαι τὸ σῶμα. καὶ οἱ δύο μὲν ἤδη σκοποὺς οὗτοι δὲ κατὰ δίαιταν ὑγιεινὴν ὁ λόγος ὑφηγήσατο. τὸν μὲν ἕτερον ἀναπλήρωσιν τῶν κενουμένων. τὸν δ' ἕτερον, ἀπόκρισιν τῶν περιττωμάτων, ὁ γὰρ δὴ τρίτος ὁ περὶ τοῦ μὴ ταχύγηρον γίνεσθαι τὸ ζῶον, ἐξ ἀνάγκης ἕπεται τοῖς εἰρημένοις. εἰ γὰρ μηδὲν ἁμαρτάνοιτο μή τε ἐν τῷ τὸ κενούμενον ἀναπληροῦσθαι, μή τε ἐν τῷ τὰ περιττώματα μένειν ἔνδον, ὑγιαίνοιτ' ἂν ἐν τῷδε τὸ ζῶον, ἀκμάζοι τε μέχρι παμπόλλου. περὶ μὲν δὴ τοῦδε καὶ αὖθις εἰρήσεται τοῦ λόγου προϊόντος. τὸ δ' ὑπόλοιπον, ὧν ἐξ ἀρχῆς διελέσθαι προὐθέμεθα, καταθῶμεν, ὑπὲρ τοῦ διωρίσθαι σαφῶς, ἤδη τοὺς ὑγιεινοὺς σκοποὺς ὁποῖοί γέ εἰσι καὶ ὁπόσοι. ἔφαμεν γὰρ ὡς εἰ μὲν ἀπαθὲς ἦν ἡμῶν τὸ σῶμα καθάπερ ἀδάμας ἤ τι τοιοῦτον, οὐδεμιᾶς ἂν ἐδεήθη τέχνης ἐπιστατούσης αὐτῷ. ἐπεὶ δὲ διττὰς ἔχει τῆς φθορᾶς αἰτίας. τὰς μὲν, ἔνδοθέν τε καὶ ἐξ αὐτοῦ. τὰς δὲ ἐκ τῶν ἔξωθεν προσπιπτόντων. ἀναγκαῖον αὐτὸν δεῖσθαι προνοίας οὐ μικρᾶς. ἐξ ἑαυτοῦ μὲν ἐδείχθη κατὰ διττὸν τὸν πρῶτον τρόπον φθειρόμενον, ἢ διὰ γῆρας ἐπὶ θάνατον προϊόν, ἢ διὰ τὸ ῥεῖν ἀεὶ τὴν οὐσίαν αὐτοῦ. καθ' ἕτερον δέ, τὸν ἑπόμενον οἷς ἐσθίει τε καὶ πίνει τῶν ἐκ τῆς τῶν περιττωμάτων γενέσεως. ἐξ αὐτοῦ μὲν οὖν ὧδέ πως φθείρεται, τῶν δὲ ἔξωθεν αὐτῷ προσπιπτόντων ἓν μὲν ἀχώριστόν τέ ἐστι, καὶ διαπαντὸς ὑπάρχει αὐτῷ, καὶ ὡς ἂν εἴποι τις σύμφυτον, ὁ περιέχων ἀήρ. τὰ δ' οὔτ' ἀναγκαῖα καὶ κατὰ χρόνους τινὰς ἀτάκτως ὁμιλοῦντα. ὁ μὲν περιέχων ἀήρ, ἢ τῷ θερμαίνειν ἀμέτρως, ἢ τῷ ψύχειν, ἢ τῷ ξηραίνειν, ἢ τῷ ὑγραίνειν βλάπτοντα. τὰ δέ, τῷ θλᾶν, ἢ διασπᾶν, ἢ τιτρώσκειν ἢ ἐξάρθρον τι ποιεῖν. ἔστι μὲν οὖν τις ἐνταῦθα λογικὴ ζήτησις εἰς ἑκάτερον ἐπιχειρεῖσθαι δυναμένη. τινῶν μὲν, τῆς περὶ τὸ σῶμα τέχνης, ἁπάντων τὴν φυλακὴν εἶναι λεγόντων. τινῶν δέ, τῶν θερμαινόντων τε καὶ ψυχόντων, ὑγραινόντων καὶ ξηραινόντων μόνον. εἰ γάρ τι θλῶν, ἢ τιτρώσκον, ἤ τι τοιοῦθ' ἕτερον ἐργαζόμενον ἐξίστησι τῆς κατὰ φύσιν ἡμᾶς, οὐδεμιᾶς εἶναι τέχνης, οὔτε γινώσκειν, οὔτε φυλάττειν τὰ τοιαῦτα. ἐμοὶ δὲ περὶ μὲν τοιούτων προβλημάτων οὐ πρόκειται νῦν διαιρεῖν. ὅπερ δ' ὁμολογούμενον ἐστὶ παρ' ἀμφοῖν ἐξ ἑτοίμου λαβών, ἐπὶ τὸ προκείμενον ἄπειμι. τὸ μὲν γὰρ ἅπαντα τοῖς ἀνθρώποις γινώσκεσθαι, τὰ τῷ τιτρώσκειν, ἢ θλᾶν, ἤ τι τοιοῦτον ἕτερον ἐργάζεσθαι, βλάπτοντά τε καὶ διαφθείροντα τὴν ὑγείαν, οὐχ ἅπασι δὲ ὅσα τῷ θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν, ὡμολόγηται παρ' ἀμφοῖν. οὐκοῦν οὐδ' ἡμεῖς αὐτοῖς παρὰ μέρος τι πράττειν δόξομεν, εἰ τὰ γινωσκόμενα ἅπασι ὑπερβάντες, ἐπὶ τὰ μὴ γινωσκόμενα τὸν λόγον ἄγοιμεν. οὐ γάρ μοι πρόκειται τό γε

νῦν εἶναι σοφιστικὰ ζητήματα διελθεῖν. ἀλλ' ὡς ἄν τις ἥκιστα νοσοίη ὑφηγεῖσθαι. πάλιν οὖν ἐπὶ τὴν οἰκείαν ἀρχὴν ἐπαναγάγωμεν τὸν λόγον, ἀναμνήσαντες ἀκριβέστερον ἔτι τῶν ὑποθέσεων αὐτῶν. τό τε γὰρ εἶναι τὴν ὑγίειαν οὐχ ἁπλῶς εὐκρασίαν ἢ συμμετρίαν τῶν στοιχείων, ἐξ ὧν ἐγενόμεθα, καθάπερ οἱ πρὸ ἡμῶν ὀλίγου δεῖν ἅπαντες ἐνόμιζον, ἀλλὰ μόνην τὴν τῶν ὁμοιομερῶν σωμάτων, ἀποδεδειγμένον ἡμῖν ἐν ἑτέροις, ὑπόθεσις ἔστω πρὸς τὰ παρόντα. τό, τε τῶν ὀργανικῶν σωμάτων τὴν ὑγίειαν ἐν διαπλάσει, καὶ ἀριθμῷ, καὶ πηλικότητι, καὶ συνθέσει τῶν ὁμοιομερῶν συνίστασθαι, καὶ τοῦθ' ὡσαύτως ὑποκείσθω προαποδεδειγμένον ἑτέρωθι. καὶ μὴν καὶ ὅτι ταῖς κατὰ φύσιν ἐνεργείαις ἡ ὑγιεινὴ κατασκευὴ κρίνεται, καὶ ὅτι τῆς ὑγιείας, ἡ μὲν, ἀρίστη τίς ἐστι. καὶ ὡς ἂν οὕτως τις εἴποι, τελεία τε καὶ ἄκρα. ἡ δ' οἷον ἐλλιπής τε καὶ οὐκ ἀκριβὴς οὐδὲ τελεία, ἥν περ δὴ καὶ πλάτος ἔχειν πάμπολυ φαμέν, ὑποκείσθω καὶ ταῦθ' ἡμῖν, ἐν τῷδε, δι' ἑτέρων τε ἤδη προαποδεδειγμένα. καὶ νῦν οὐχ ἥκιστα δειχθησόμενα. μάλιστα δ' ἀνεγνωκέναι βούλομαι τὸν ὁμιλήσαντα τοῖσδε τοῖς γράμμασι, τὸ βιβλίον ἐν ᾧ σκέπτομαι, τίνος ἐστὶ τέχνης μέρος τὸ ὑγιεινόν, ἐπιγράφεται δὲ Θρασύβουλος, ἔτι δὲ καὶ τὸ περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος ἡμῶν. ἔτι δὲ τὸ περὶ τῆς εὐεξίας ἐστὶ ἄμφω μικρὰ βιβλίδια, ἃ εἰ προαναγνοὺς τις ἐπὶ τόνδε τὸν λόγον ἀφίκοιτο, ῥᾷστα ἂν ἀκολουθήσειε τοῖς νῦν λεγομένοις. ὅτι δὲ καὶ τὴν περὶ τῶν καθ' Ἱπποκράτους στοιχείων ἀναγκαῖον ἐστὶν εἰς τὰ παρόντα, πρότερον εἴρηται. καὶ γὰρ δὴ καὶ ἕπεται ἐκείνῳ τὸ περὶ τῆς ἀρίστης κατασκευῆς, καὶ τὸ περὶ τῆς εὐεξίας. ἐπὶ τούτοις ὑποκειμένοις ἐνθένδε ποθὲν ἀρκτέον ἂν εἴη τῆς ὑγιεινῆς πραγματείας. ἐπειδὴ συμμετρία τίς ἐστιν ἡ ὑγεία, συμμετρία δὲ πᾶσα κατὰ διττὸν τρόπον ἀποτελεῖταί τε καὶ λέγεται, ποτὲ μὲν εἰς ἄκρον ἥκουσα καὶ ὄντως οὖσα συμμετρία ποτὲ δὲ ἀπολειπομένη βραχύ τι τῆς ἀκριβείας, εἴη ἂν καὶ ὑγιεινὴ συμμετρία διττή τις. ἡ μὲν γὰρ ἀκριβής τε καὶ ἀρίστη καὶ τελεία καὶ ἄκρα. ἡ δέ, ἀπολειπομένη μὲν ταύτης, οὐ μὴν ἤδη γέ πω τοσοῦτο, ὡς λυπεῖσθαι τὸ ζῷον. ἔτι δὲ κἀνταῦθα λογική τις μᾶλλον, ἢ κατὰ τὴν χρείαν τῆς τέχνης, ζήτησις. οὐ συγχωρούντων ἐνίων ἕτερον ἑτέρου μᾶλλον ὑγιαίνειν, οὐδ' εἶναι πλάτος ἱκανὸν ἐν τῇ διαθέσει τοῦ σώματος, ἣν ὑγίειαν ὀνομάζομεν, ἀλλ' ἄν τι καὶ ἀπηκριβωμένον οὖσαν αὐτὴν ἄτμητον εἰς τὸ μᾶλλόν τε καὶ ἧττον ὑπάρχειν. ἐμοὶ δὲ ὥσπερ τὸ λευκὸν σῶμα. τὸ μὲν, ἧττον λευκὸν εἶναι φαίνεται. τὸ δέ, μᾶλλον, οὕτως καὶ τὸ ὑγιαῖνον, ἧττόν τε καὶ μᾶλλον εἶναι δοκεῖ τοιοῦτον. διττὴ δὲ ἀπόδειξις τοῦ λόγου. μία μέν, ἐκ τῆς κατὰ τὰς ἡλικίας μεταπτώσεως, ἀφ' οὗ γὰρ ἂν ἀποκυηθῇ τὸ ζῷον, ἀεὶ μεταβάλλειν ἀναγκαῖον αὐτοῦ τὴν κρᾶσιν ὡς ἔμπροσθεν ἐδείκνυμεν. ὥστ' εἴπερ ἐν μὲν τῷ ποιῷ τῆς κράσεως ἡ ὑγεία. τὸ ποιὸν δ' οὐ μένει ταὐτόν, οὐδὲ τὴν ὑγίειαν ἐγχωρεῖ τὴν αὐτὴν φυλάττεσθαι. δευτέρα δ' ἀπόδειξις ἐκ τῆς κατὰ τὰς ἐνεργείας διαφορᾶς. οὔτε γὰρ τοῖς ὀφθαλμοῖς ὡσαύτως ἅπαντες οἱ ὑγιαίνοντες ὁρῶσιν, ἀλλ' οἱ μὲν, μᾶλλον. οἱ δ' ἧττον, οὔτε τοῖς ὠσὶν ὁμοίως ἀκούουσιν, ἀλλὰ κἀνταῦθα πάμπολυ τὸ μᾶλλόν τε καὶ ἧττον. οὐ μὴν οὐδὲ τοῖς σκέλεσιν ὡσαύτως θέουσιν, οὐδὲ ἀντιλαμβάνονται ταῖς χερσίν. οὐδὲ τοῖς ἄλλοις ἅπασιν ὀργάνοις ὡσαύτως ἐνεργοῦσιν, ἀλλ' ὁ μὲν τις βέλτιον, ὁ δέ, χεῖρον. εἴπερ οὖν αἱ διαφοραὶ τῶν ἐνεργειῶν ταῖς τῶν κράσεων διαφοραῖς ἀκολουθοῦσιν, ἀνάγκη τοσαύτας εἶναι τὰς τῶν κράσεων διαφοράς, ὅσαι περ καὶ αἱ τῶν ἐνεργειῶν. εἰ δὲ μὴ κράσεων ἐθέλει τις λέγειν, ἀλλὰ κατασκευῶν, ἵν' ἐπὶ πάσαις ταῖς αἱρέσεσιν ὁ λόγος ἐκτείνοιτο, περαίνοιτ' ἂν ὡσαύτως. συμμετρία γὰρ δή τις ἡ ὑγίεια κατὰ πάσας ἐστὶ τὰς αἱρέσεις, ἀλλὰ καθ' ἡμᾶς μὲν ὑγροῦ καὶ ξηροῦ, καὶ θερμοῦ καὶ ψυχροῦ. κατ' ἄλλους δὲ ὄγκων καὶ πόρων. κατ' ἄλλους δὲ ἀτόμων, ἢ ἀνάρμων, ἢ ἀμερῶν, ἢ ὁμοιομερῶν, ἢ ὁτουδὴ τῶν πρώτων στοιχείων. ἀλλὰ κατὰ πάντας γε διὰ τὴν συμμετρίαν αὐτῶν ἐνεργοῦμεν τοῖς μορίοις. εἴπερ οὖν διαφόρως ἐνεργοῦμεν, διάφορός ἐστι καὶ ἡ καθ' ἕκαστον συμμετρία τῶν στοιχείων, ὅπερ ἦν ἡ ὑγίεια. καὶ μὴν καὶ χωρὶς τοῦ στοιχείου μνημονεύειν, ὧδ' ἂν ὁ λόγος ἐρωτηθείη. εἴπερ ταῖς κατασκευαῖς τῶν μορίων ἀκολουθοῦσιν αἱ ἐνέργειαι, ὅσαι περ ἂν ὦσιν ἐν ταῖς ἐνεργείαις αἱ διαφοραί, τοσαῦται καὶ αἱ κατασκευαὶ ἔσονται. ἀλλὰ μὴν ἀκολουθοῦσιν ταῖς κατασκευαῖς αἱ ἐνέργειαι, ἀναγκαῖον ἄρα τοσαύτας εἶναι τῶν κατασκευῶν διαφοράς, ὅσαι περ καὶ αἱ τῶν ἐνεργειῶν. εἰσὶ δὲ τῶν ἐνεργειῶν πάμπολλαί τινες, ἄρα καὶ τῶν κατασκευῶν εἰσίν. εἴπερ οὖν ἐν ἅπασι τοῖς ὑγιαίνουσι αἱ κατασκευαὶ τῶν μορίων ὑπάρχουσι σύμμετροι, διάφοροι δὲ εἰσὶν αἱ κατασκευαί, διότι αἱ ἐνέργειαι διάφοροι, πάμπολλαί τινες συμμετρίαι τῶν κατασκευῶν ἔσονται, ὥστε καὶ ὑγίειαι πάμπολλαι. καὶ μὴν εἰ διαφέρουσιν ἀλλήλων αἱ κατὰ μέρος ὑγίειαι, ἤτοι κατὰ τὸ κοινὸν ἁπάσαις εἶδος ἀφ' οὗπερ ὑγίειαι λέγονται διοίσουσιν, ἢ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διαφέρουσιν. ὥσπερ γὰρ ἡ ἐν τῇ χιόνι λευκότης τῆς ἐν τῷ γάλακτι λευκότητος, ᾗ μὲν λευκόν ἐστιν, οὐ διαφέρει, τῷ μᾶλλον δὲ διαφέρει, κατὰ τὸν αὐτὸν τρόπον, ἡ ἐν τῷ Ἀχιλλεῖ φέρε εἰπεῖν ὑγίεια τῆς ἐν τῷ Θερσίτῃ ὑγιείας, καθ' ὅσον μὲν ὑγίεια, ταυτόν ἐστιν, ἑτέρῳ δέ τινι διαφέρει. καὶ τοῦτο τὸ ἕτερον οὐδέν, ἄλλο ἐστὶν ἢ τὸ μᾶλλόν τε καὶ ἧττον. οὔτε γὰρ ὡς οὐ διαφερόντως ἐνεργοῦμεν ἅπαντες ἔνεστιν εἰπεῖν, οὔθ' ὡς δι' ἄλλο τι τὴν ἀνισότητα ταύτην ἔχομεν, ἢ τὴν κατασκευὴν ἐφ' ἧς ἐνεργοῦμεν. εἴ τις δὲ φήσει μόνους μὲν τοὺς ἅπασι τοῖς μορίοις ἄκρως ἐνεργοῦντας ὑγιαίνειν, ἡμᾶς δὲ τοὺς ἄλλους, ὅσοι χεῖρον ἐκείνων ἔχομεν οὐχ ὑγιαίνειν, ἴσω συμπάσης οὗτος τῆς ὑγιεινῆς πραγματείας ἀνατρέπων τὴν ὑπόθεσιν. εἰ γὰρ δὴ τὸ φυλάττειν ἣν παρελάβομεν ὑγίειαν ὁ σκοπὸς αὐτῆς ἐστιν, οὐδεὶς δὲ ἡμῶν ὑγιαίνει, πρόδηλον ὡς ἐπ' οὐδενὸς ἐνεργοῦσαν ἕξομεν, ἣν νῦν συστῆσαι βουλόμεθα τέχνην ὑγιεινήν, οὐκοῦν οὐδὲ ζητητέον αὐτὴν ἀλλὰ σιωπητέον, καὶ παυστέον ἤδη τὸν λόγον. ἁπάσας οὖν ἐκκόπτει τὰς τοιαύτας ἀπορίας, ἡ τῆς ἀληθείας γνῶσις, οὐ γὰρ ἡ τελεία μόνον ἥτις ἐστὶν ἄτμητος ὑγίεια λέγεταί τε καὶ ἐστίν, ἀλλὰ καὶ ἡ τῆσδε μὲν ἀποδέουσα, μή δέ πω δὲ τῆς χρείας ἐκπεπτωκυῖα. χρῄζομεν γὰρ ἅπαντες ἄνθρωποι τῆς ὑγιείας, εἴς τε τὰς κατὰ τὸν βίον ἐνεργείας, ἃς ἐμποδίζουσί τε ἢ διακόπτουσι καὶ καταπαύουσιν αἱ νόσοι καὶ προσέτι τῆς ἀνοχλησίας ἕνεκεν. ὀχλούμεθα γὰρ ἐν ταῖς ὀδύναις οὐ σμικρά. τὴν δὲ τοιαύτην κατάστασιν ἐν ᾗ μήτε ὀδυνώμεθα, μήτε ἐν ταῖς κατὰ τὸν βίον ἐνεργείαις ἐμποδιζόμεθα, καλοῦμεν ὑγίειαν, ἣν εἴ τις ἑτέρῳ προσαγορεύειν ὀνόματι βούλεται, πλέον οὐδὲν ἐκ τούτων χρήσει. καθάπερ οὐδ' οἱ τὴν ἀπάθειαν εἰσάγοντες. εἰ μὲν γὰρ διὰ τοῦτ' εἰσῆγον αὐτὴν ὅτι πᾶν σῶμα γεννητόν, ὥσπερ τὰς τῆς γενέσεως αἰτίας, οὕτω καὶ τὰς

τῆς φθο

τῆς φθορᾶς ἔχει σύμφυτος ἐξ ἀρχῆς, ὡς ἡμεῖς ἔμπροσθεν ἐπεδείξαμεν, ἐπῃνοῦμεν ἂν αὐτοὺς ὡς ἀληθῆ τε καὶ ἅμα καὶ παλαιὰ πρεσβεύοντας δόγματα. ἐπειδὴ δὲ ὁμοειδῆ τὴν τῶν ὑγιαινόντων σωμάτων κατάστασιν εἶναι βούλονται ταῖς τῶν νοσούντων, οὐκέτ' ἐπαινοῦμεν, οὐδὲ ἀποδεχόμεθα τὸ δόγμα. βέλτιον γὰρ ἦν μακρῷ, πλάτος ὑποθέσθαι † συνεχὸν ἔχειν τὴν ὑγίειαν, ἤπερ ἅπαντας ἡμᾶς ἀπαύστων νοσημάτων συνέχεσθαι. καὶ γὰρ τὰ σπέρματα πασῶν τῶν νόσων ἐνυπάρχειν ἡμῖν φασιν. ἀλλά τοι συγχωροῦσί τε καὶ αὐτοί, διὰ τὴν σμικρότητα, τὴν αἴσθησιν ἡμῶν ἐκφεύγειν αὐτά. ἔστω τοίνυν εἰ βούλονται ὀδυνηρά τις ἐν ἡμῖν διάθεσις, ἀλλ' οὕτω σμικρὰ καὶ ἀναίσθητος, ὡς μὴ λυπεῖν τοὺς ἔχοντας. ἔστωσαν εἰ βούλονται καὶ πυρετοί, ἀλλ' οὕτω σμικροί, ὡς μήτ' αἴσθησιν ἡμῖν ἀπ' αὐτῶν γίνεσθαι μηδὲ μίαν. ἐξεῖναί τε καὶ πολιτεύεσθαι, καὶ λοῦσθαι καὶ πίνειν, ἐσθίειν τε καὶ τἄλλα πράττειν ὧν δεόμεθα. τὸ γὰρ τῆς χρείας ἀπαραπόδιστον, ὁρίζει μᾶλλον τὴν ὑγίειαν, οὐ γὰρ ἡ τῶν ἐνεργειῶν ἀσθένεια νόσου γνώρισμά ἐστιν, ἁπλῶς οὕτως εἰποῦσιν, ἀλλ' ἡ παρὰ τὴν ἑκάστου φύσιν. ὡς ἅπαντές τε κακῶς ὁρῶμεν, εἰ τοῖς ἀετοῖς τε καὶ λυγκεῖ παραβαλλοίμεθα. καὶ ἀκούομεν οὐκ ὀρθῶς, εἰ μελάμποδι, καὶ δὴ καὶ τοῖς ποσὶν ἀρρωστοῦμεν, εἴ τις ἡμᾶς ἰφίκλῳ παραβάλλοι. καὶ ταῖς χερσὶν εἰ μίλωνι. καὶ καθ' ἕκαστον δὴ μόριον, ἐγγὺς ἂν ἥκειν νομισθείημεν πηρώσεως, εἰ τοῖς πρωτεύουσι κατὰ τοῦτο παραβαλλοίμεθα. τίς γ' οὖν ἡμῶν φαύλως ἔχειν οἴεται τὸν ὀφθαλμόν, εἰ μὴ βλέπει τοὺς ἀπὸ δυοῖν σταδίων μύρμηκας, ἤ τις τῶν ὤτων εἰ μὴ κατακούοι τῶν ἀφ' ἑξήκοντα σταδίων. ἀλλ' εἰ ταῦτα τὰ γράμματα τὰ κατὰ τουτὶ τὸ βιβλίον ἐγγεγραμμένα μὴ βλέποι τις ὀρθῶς, οὕτως ἤδη μέμψεται τὰς ὄψεις, οὐ μὴν οὐδ' εἰ ταῦτα τέσσαρας πήχεις ἀποστὰς εἰ μὴ βλέποι, δικαίως ἂν μέμφοιτο. πλὴν εἰ τῶν οὕτως τις ὀξυωπεστάτων εἴη τὴν φύσιν, ὡς καὶ ταῦτα βλέπειν. οὕτως γὰρ οἶμαι καὶ μέμψεται, καὶ φήσει δικαίως, ὅνπερ ἅπαντες ἄνθρωποι λέγουσιν, ὡς τὸ δεῖνα κατὰ τὸν ἔμπροσθεν χρόνον ἐνεργῶν, εἶτα νῦν οὐκ ἐνεργεῖ, τὸν μὲν γὰρ τοιοῦτον, εἰ νόσῳ τινὶ φήσομεν ὑπάρχειν. εἴπερ μηδὲ διὰ γῆρας τοῦτο πάσχει, καίτοι καὶ τοῦτο νόσον ἤδη λέγουσιν ἔνιοι, τοὺς δ' ἄλλους ἅπαντας οἷς φύσει μηδ' ὀξὺ βλέπειν, ἢ ἀκούειν ὑπάρχει, μήτε θεῖν ὠκέως, ἤ τι τοιοῦτον ἕτερον ἐνεργεῖν ἰσχυρῶς, οὔτε νοσεῖν, οὔθ' ὅλως παρὰ φύσιν ἔχειν ὑποληψόμεθα. πᾶσαι μὲν γὰρ αἱ νόσοι παρὰ φύσιν· οὐκ ἔχουσι δ' οἱ τοιοῦτοι παρὰ φύσιν, ὥσπερ οὐδ' οἱ γέροντες. οὐκοῦν ἁπλῶς τε τῇ τῶν ἐνεργειῶν εὐρωστίᾳ, τε καὶ ἀρρωστίᾳ κριτέον ἐστὶ τοὺς ὑγιαίνοντάς τε καὶ νοσοῦντας, ἀλλὰ τὸ κατὰ φύσιν μὲν, τοῖς ὑγιαίνουσι. τὸ παρὰ φύσιν δὲ, τοῖς νοσοῦσι προσθετέον. ὡς εἶναι τὴν μὲν ὑγίειαν, διάθεσιν κατὰ φύσιν ποιητικὴν ἐνεργείας. τὴν δὲ νόσον, διάθεσιν παρὰ φύσιν ἐνεργείας βλαπτικήν. οὔτε γὰρ εἰ κατὰ φύσιν ἡ διάθεσις ἤδη καὶ ὑγίεια. διάθεσις γάρ τις ἐστὶ κατὰ φύσιν. ἥτε τῶν αἰγυπτίων μελανότης. ἥτε τῶν κελτῶν λευκότης. ἥτε τῶν σκυθῶν πυρρότης. ἀλλ' οὐδὲν τῶν τοιούτων ὑγίεια. διότι μηδ' ἐν χρώμασιν ὅλως ἡ ὑγίεια. οὔτ' εἰ παρὰ φύσιν ἤδη καὶ νόσος. ὡς εἴη τ' ἂν οὕτω, καὶ νόσος ἥτ' ἐξ ἡλίου μελανότης, ἥ τ' ἐκ μακρᾶς σκιατροφίας λευκότης. ἀλλὰ προσθεῖναι χρὴ τῇ μὲν τῆς ὑγιείας ἐννοίᾳ, τὸ, λόγον αἰτίας ἔχειν αὐτὴν πρὸς τὴν ἐνέργειαν. τῇ δὲ τῆς νόσου, τὸ καὶ ταύτην ἐνέργειαν βλάπτειν. ἀλλὰ περὶ μὲν τούτων, ἐν ἑτέροις εἴρηται διὰ πλειόνων. εἰς δὲ τὰ παρόντα τοσοῦτον ἀρκέσει μόνον ἐξ αὐτῶν εἰλῆφθαι, τὸ πλάτος ἱκανὸν εἶναι τῆς ὑγιείας, καὶ μὴ πᾶσιν ἡμῖν ὑπάρχειν ἴσον ἀκριβῶς. εἰ δέ τῳ δοκεῖ βίαιον εἶναι καὶ τὴν μὴ παντάπασιν ἀπηκριβωμένην εὐκρασίαν ὅμως ἔτι καὶ αὐτὴν ὀνομάζεσθαι, οὗτος ἀναμνησθήτω τῶν κατὰ τὸν βίον ἁπάντων ὀνομάτων. εὔκρατον οὖν τι καὶ πόμα φαμὲν εἶναι καὶ βαλανεῖον, οὐ μόνον ὅτι τὸ μὲν ἄλλῳ, τὸ δὲ, ἄλλῳ τοιοῦτον ἐστίν. ἀλλὰ καὶ ὅτι πρὸς τὸν αὐτὸν ἄνθρωπον ἐν πλάτει, τοιοῦτον ὑπάρχειν. ἀποστραφέντος οὖν τοῦ πίνοντος, ἐμβαλὼν εἰς τὸ ποτήριον ἢ θερμόν, ἢ ψυχρόν, βραχύ, λάθοις ἂν εὔκρατον ποιήσας. καίτοι γ' εἴπερ ἦν οὕτως ἀπηκριβωμένον, τὸ εὔκρατον, ὡς ἓν εἶναι καὶ ἄτμητον οὐκ ἂν ἐπιβαλόντος θερμὸν ἢ ψυχρόν, ἔτ' εὔκρατον ἐφαίνετο. κατὰ δὲ τὸν τρόπον, οὐδ' εἰ βραχύ τις εἰς τὴν εὔκρατον κολυμβήθραν ἐμβάλλει ψυχρόν, διαφθείρει παραχρῆμα τὴν χρείαν αὐτῆς. οὕτω δὲ τὸ περιέχον εὔκρατον εἶναι φαμὲν, εἰ καὶ βραχείας ἐφ' ἑκάτερα τροπὰς λαμβάνει. καὶ τί θαυμαστὸν εἰ τὴν εὐκρασίαν εἰς ἱκανὸν ἐκτείνουσι πλάτος ἅπαντες, ὅπου γε καὶ ἐν αὐταῖς λύραις εὐαρμοστίαν, τὴν μὲν ἀκριβεστάτην δήπου μίαν καὶ ἄτμητον ὑπάρχειν εἰκός. ἡ μέντοι γ' εἰς χρείαν ἰοῦσα, πλάτος ἔχει. πολλάκις γ' οὖν ἡρμόσθαι δοκοῦσαν ἄριστα λύραν, ἕτερος μουσικὸς ἀκριβῶς ἐφηρμόσατο. πανταχοῦ γὰρ ἡ αἴσθησις ἡμῖν ἐστι κριτήριον, ὡς πρὸς τὰς ἐν τῷ βίῳ χρείας, ὥστε καὶ τὴν εὐκρασίαν, καὶ τὴν δυσκρασίαν αἰσθήσει κρινοῦμεν, ὡσαύτως δὲ καὶ τὴν τῆς ἐνεργείας βλάβην ἑκάστου τῶν βεβλαμμένων παρὰ τὸ κατὰ φύσιν, ὅταν εἰς αἰσθητὸν ἥκῃ μέγεθος, ἤδη νόσον ἡμῖν εἶναι νομιστέον. οὐδὲν ὡς πρὸς τὰ παρόντα διαφέροντος, οὐδ' ἐνταῦθα, πότερον αὐτὰς τὰς βεβλαμμένας ἐνεργείας τὸ νόσημα εἶναι λέγει τις, ἢ τὰς διαθέσεις, ὑφ' ὧν βλάπτονται. ὥσπερ οὐδ' εἰ διαθέσεις τις ἢ κατασκευὰς ὀνομάζειν ἐθέλει. διῄρηται γὰρ ἡμῖν ἑτέρωθι καὶ περὶ τῶνδε, καὶ δέδεικται κατὰ τὰς διαθέσεις τε καὶ κατασκευὰς τοῦ σώματος ἥθ' ὑγεία καὶ νόσος, οὐ κατὰ τὰς ἐνεργείας τε καὶ τὰς βλάβας αὐτῶν συνιστάμεναι, ἀλλὰ πρός γε τὸ φυλάττειν ὑγείαν, ἢ ἰᾶσθαι τὰς νόσους. οὐδὲν ἐκ τῆς τούτων ἀκριβείας ὀνινάμεθα. μόνον γὰρ ἀρκεῖ διαγινώσκειν, ὡς ἡ μὲν κατασκευὴ τοῦ σώματος, αἰτίας ἔχουσα λόγον ὡς πρὸς τὴν ἐνέργειαν, ὁ σκοπὸς τῆς ὑγιεινῆς τε καὶ θεραπευτικῆς τέχνης ἐστί, ταύτην γὰρ ἡμῖν φυλάττειν μὲν ὑπάρχουσαν πρόκειται, δημιουργεῖν δ' ἀπολλυμένην. αἱ δὲ ἐνέργειαι κατ' ἀνάγκην ἕπονται, ταῖς μὲν χρησταῖς κατασκευαῖς, ἄμεμπτοι, ταῖς δ' οὐ τοιαύταις, μοχθηραί. ὥστ' ἐπειδή περ ὃ φυλάττομεν καὶ δημιουργοῦμεν αὐτοί, διάθεσίς τίς ἐστι, καὶ κατασκευὴ τοῦ σώματος, ἕπεται δ' ἐξ ἀνάγκης αὐτῇ ἡ τῶν ἐνεργειῶν, οὐδὲν ἔτι χρὴ πρὸς τὰ παρόντα, πότερον ἐν τῷ τῶν ἐνεργειῶν, ἢ τῷ τῶν κατασκευῶν γένει θετέα ἐστὶν ὑγίειαν τε καὶ νόσον, ἐπισκοπεῖσθαι, λαβόντας δ' ἐξ ὑποθέσεως δέον εἶναι φυλάττειν τῆς κατὰ φύσιν τοῦ σώματος ἡμῶν κατασκευῆς ἐκεῖνα δι' ὧν ἐνεργοῦμεν, ἀναμνήσαντάς τε πάλιν ὡς ἡ τῶν ὁμοιομερῶν εὐκρασία τε καὶ διάπλασις καὶ θέσις ἀριθμός τε καὶ πηλικότης, τῶν ἐνεργειῶν ἐστὶν αἰτία, καὶ ὡς ἐν πλάτει ταῦτα πάντα ἐστί, καὶ ὡς καθ' ἕκαστον ἄνθρωπον ἴδια, τῶν ἐφεξῆς ἔχεσθαι. μεγάλην δ' εἰς αὐτὰ χρείαν ἡ γνῶσις τοῦ πλάτους αὐτῶν παρέχεται. τῆς γὰρ εὐκρασίας διττῆς οὔσης, τῆς μὲν, ὡς πρὸς ἐπίνοιαν μαλ-

† αλ. συνέχον τὴν ὑγ. ἤπερ ἅπ. ἡμ. ὑπὸ ἀπαύσων.

λον ἢ μόνιμον ὑπάρξειν ὡς γ' ἐν ζώου σώματι, τῆς δὲ ὑπαρχούσης τε καὶ φαινομένης, ἐν ἅπασι τοῖς ὑγιαίνουσιν, αὐτὴν πάλιν ἡμᾶς χρὴ τέμνειν τὴν φαινομένην. εὑρεθήσεται γὰρ οὐ μικρὰ τῶν ἐν αὐτῇ διαφορά. Μάθοις δ' ἂν ὡς ἔστιν ἀληθὲς τὸ λεγόμενον, ἐκ τῶν ἡλικιῶν μάλιστα. τῆς γὰρ τῶν μειρακίων ἡλικίας ἀρίστης οὔσης ὡς πρὸς τὰς καθ' ὁρμὴν ἐνεργείας, ἡ δὲ τῶν βρεφῶν διὰ ὑγρότητα χείρων ἐστίν, ἡ δὲ τῶν γερόντων, διὰ ξηρότητά τε καὶ ψύξιν, ἐν μέντοι ταῖς ἄλλαις ἐνεργείαις ταῖς φυσικαῖς ὀνομαζομέναις οἷον αὐξήσεσί τε, καὶ πέψεσι, καὶ ἀναδόσεσι καὶ θρέψεσι, τὰ βρέφη τῶν κατὰ τὰς ἄλλας ἡλικίας ἁπάσας ἀμείνω. ἀλλ' ὅμως οὐδὲν κωλύονται πάντες οἱ κατὰ πάσας τὰς ἡλικίας ὑγιαίνειν, ὡς οὖν ἐπὶ τῶν ἡλικιῶν ἔχει, κατὰ τὸν αὐτὸν τρόπον εὑρήσεις, καὶ ἐπὶ τῶν φύσεων αὐτῶν, ἀμήχανον οὖσαν τὴν διαφορὰν ἐν ταῖς κράσεσιν. ὥστε εἰ οὕτως ἔτυχε δυοῖν παίδοιν τὴν αὐτὴν ἡλικίαν ἀγόντων, τὸν μὲν ὑγρότερον εἶναι θατέρου πολλῷ, τὸν δὲ, ξηρότερον, ὡσαύτως δὲ τὸν μὲν θερμότερον, τὸν δὲ ψυχρότερον. ἐν ὅσοις δὴ τοῖς σώμασιν ὑπάρχει τὸ πολλῷ τοῦ προσήκοντος, ἤτοι θερμοτέροις, ἢ ψυχροτέροις, ἢ ξηροτέροις εἶναι, ἐν τούτοις οὐκ ἔστιν ἄμεμπτος ἡ κρᾶσις ἐν ὅσοις δὲ ὑπάρχει τις διαφορὰ τοῦ κάλλιστον κεκραμένου, οὐ μὴν αἰσθητὴ διὰ σμικρότητα, τούτων ὡς πρὸς τὴν χρείαν, ἐν ἴσῃ χώρᾳ τιθέμεθα τοῖς ἀρίστοις, ὥστε εἶναι τῆς κατὰ πλάτος ὑγείας, τὴν μὲν εὔκρατόν τε καὶ ἄμεμπτον, ὡς πρὸς αἴσθησιν, τὴν δ' οἷον δύσκρατόν τε καὶ μεμπτήν. ἐναργέστατα δὲ τῶν λεγομένων γνωρίσματα περιέχουσιν, αἱ κατ' ἰσχνότητα καὶ πολυσαρκίαν διαφοραὶ τῶν σωμάτων. ἀναγκαῖον γάρ που τὰς ἐναντίας ἕξεις, ἐναντίαις ἕπεσθαι κράσεσιν. ὥσπερ οὖν οὐκ ἐπαινοῦμεν οὔτε τὸ ἄγαν ἰσχνὸν, οὔτε τὸ πάνυ παχὺ σῶμα κατὰ τὸν αὐτὸν τρόπον, οὔτε τὰς κράσεις αὐτῶν ἐπαινέσομεν. εἰ καὶ ὅτι μάλιστα βλέπομεν ἀμφοτέρους ὑγιαίνοντας. αἱ δ' ἐν τῷ μέσῳ τούτων ἕξεις τῶν εὐσάρκων ὀνομαζομένων, ὥσπερ αὗται σύμμετροί τε καὶ ἄμεμπτοι τὴν ἰδέαν εἰσί, ἕπονται συμμέτροις τε καὶ ἀμέμπτοις κράσεσι. τὰς τοίνυν τοιαύτας φύσεις ὡς μὲν πρὸς τὴν ἀκριβεστάτην ἀλήθειαν, οὐδ' αὐτὰς εὐκράτους ἄν τις εἴποι, κατά γε τὴν ἁπλῆν καὶ τελέαν εὐκρασίαν. ὡς μέντοι πρὸς τὴν αἴσθησίν τε καὶ πρὸς τὴν χρείαν, ἀμέμπτους τε καὶ ἀρίστους χρὴ τίθεσθαι. τεκμήριον δὲ ἐναργέστατον ὅτι μὴ δι' αὐτὰ τὴν ἀκριβεστάτην ἔχουσιν εὐκρασίαν, ἐκ τοῦ μηδέποτε μένειν αὐτὰς ὡσαύτως ἐχούσας. ἀλλὰ πρῶτον μὲν δέχεσθαι τὴν καθ' ἡλικίαν μεταβολὴν, οὐδέποτε ἐν ταυτῷ μενούσης οὐδὲ μιᾶς ἡλικίας, ἀλλ' ἀεὶ πρὸς τὸ γηραίτερον ἰούσης. δευτέραν δὲ τὴν καθ' ὕπνον τε καὶ ἐγρήγορσιν, ἡσυχίαν τε καὶ κίνησιν, αὐτῶν τε τῶν κινήσεων τὰς διαφοράς. ἔτι τε πρὸς ταύταις, τὴν τοῦ πεινᾶν, ἢ διψῆν, ἢ ἐσθίειν, ἢ πίνειν, ἢ ἐμπεπλῆσθαι σιτίων, ἢ πόματος προσδεῖσθαι. καὶ πρὸς τούτοις ἔτι καὶ λουτρὰ καὶ θυμοὶ καὶ φροντίδες καὶ λῦπαι καὶ πάνθ' ὅσα τοιαῦτα, μονονουχὶ καθ' ἑκάστην ῥοπὴν ὑπαλλάττοντα τὴν κρᾶσιν. οὔκουν χρὴ ζητεῖν ἐν τοσαύτῃ μεταβολῇ, τὴν ἀκριβῶς ἀρίστην κρᾶσιν. εἰ γοῦν καὶ συνέπεσέ ποτε καθ' ἥν τινα οὖν ἀρίστην φύσιν, ἀλλ' οὐκ ἔμεινέ γε οὐδ' ἀκαρῆ. ὥστε γέ μοι καὶ θαυμάζειν ἐπέρχεται τὴν δόξαν τῶν ἀνδρῶν, οὗτοι τὴν ὑγίειαν τε καὶ εὐκρασίαν ἀπλατῆ τε καὶ μίαν εἶναι νομίζουσιν. εἰ δέ τι παρὰ ταύτην ἐστὶν, οὐδ' ὑγείαν εἶναι φασίν, τήν τε ἀπάθειαν ἐσφέροντες, οὐκ αἰσθάνονται, περὶ πράγματος ἢ μηδέ ποτε γεγονότος ἐν ζώου σώματι ποιούμενοι τὸν λόγον, ἢ μὴ δι' ἐλάχιστον ὑπομένοντος, εἰ καί ποτε γένοιτο. τούτοις μὲν οὖν ἣν ὀνειρώττουσιν ὑγίειαν, ἀπολείπομεν φυλάττειν, ἡμεῖς δ' ἐπὶ τὰς φαινομένας ἀφικόμεθα. καὶ διττὴν θέμενοι τὴν οὐσίαν ἣν δὴ νῦν πέπαυμαι λέγων, ἴδιον ἑκατέρας σκοπὸν ἀποδῶμεν. ἐπὶ μὲν τῆς ἀμέμπτου, τὴν ἀκριβῆ φυλακὴν, ὡς πρὸς αἴσθησιν. ἐπὶ δὲ τῆς μεμπτῆς, τὴν οὐκ ἀκριβῆ. πειρᾶσθαι γὰρ χρὴ τὰς ὑγιεινὰς δυσκρασίας, ἐπανορθοῦσθαι. τὰς μὲν ξηροτέρας τοῦ δέοντος φύσεις, ὑγροτέρας ἐργαζομένους. ὅσαι δὲ ὑγρότεραι ξηραίνοντας, οὕτω δὲ καὶ τῶν μὲν θερμοτέρων, καθαιροῦντας τὴν ὑπερβολὴν, τῶν δὲ ψυχροτέρων καὶ τούτων κολάζοντας τὴν ἀμετρίαν. ὁποίοις δ' ἄν τις ὑγιεινοῖς διαιτήμασιν ἐργάζοιτο ταῦτα, προϊὼν ὁ λόγος δείξει. πρότερον γάρ με χρὴ διελθεῖν ὅπως ἄν τις τῆς ἀρίστης φύσεως διαφυλάττοι τὴν ὑγίειαν, ἔτι δὲ τούτου πρότερον, ἥτις ποτὲ ἐστὶν ἡ ἀρίστη κατασκευὴ τοῦ σώματος, ἀναμνήσωμεν. ἔστι δὲ δή που κατὰ μὲν τὴν οὐσίαν αὐτὴν τοῦ πράγματος ἐξηγουμένοις, ἡ εὐκρατοτάτη τε ἅμα καὶ τὴν διάπλασιν τῶν μορίων ἀκριβῶς ἁρμόττουσαν ταῖς ἐνεργείαις αὐτῶν ἔχουσα. καὶ πρὸς τούτοις ἔτι τὸν ἀριθμὸν ἅπαντα καὶ τὰ μεγέθη καὶ τὴν πρὸς ἄλληλα σύνταξιν ἁπάντων αὐτῶν χρηστὴν, ταῖς ἐνεργείαις παρεχομένη. κατὰ δὲ τὰ γνωρίσματα τὸ ἀκριβῶς εὔσαρκον σῶμα, τοιοῦτόν ἐστιν, ὃ μέσον ἔφην ὑπάρχειν, ἰσχνοῦ τε καὶ πολυσάρκου, πολύσαρκον, ἢ παχὺ λέγειν οὐ διοίσει. οὕτω δὲ καὶ τῶν ἄλλων ὑπερβολῶν, ἀκριβῶς μέσον ἐστὶ τὸ τοιοῦτον. ὥστε μήτε λάσιον αὐτὸ δύνασθαι εἰπεῖν τινὰ, μήτε ψιλὸν τριχῶν, ἀλλὰ μὴν μαλακὸν μήτε σκληρὸν ἢ λευκὸν, ἢ μέλαν, ἢ ἄφλεβον, ἢ θυμικὸν, ἢ ἄθυμον ἢ ὑπνῶδες, ἢ ἀγρυπνητικὸν, ἢ ἀμβλὺ τὴν διάνοιαν ὁ πανοῦργον, ἢ ἀφροδισιαστικὸν, ἢ τοὐναντίον. εἰ δὲ καὶ πᾶσιν, ἢ τοῖς μέρεσιν ἀκριβῶς μέσον τῶν ὑπερβολῶν ἁπασῶν, ἔστι μὲν δή που καὶ κάλλιστον ὀφθῆναι τὸ τοιοῦτον, ὡς ἂν σύμμετρον ὑπάρχον εἰς ἅπαντάς τε τοὺς πόνους ἐπιτήδειον. ἕξει δὲ καὶ τὰ ἄλλα πάντα γνωρίσματα, τῆς καθ' ἕκαστον μόριον εὐκρασίας, ἅπερ ἐν τῷ δευτέρῳ περὶ κράσεων εἴρηται γράμματι. πολλὰ γοῦν τῶν σωμάτων εὔκρατα μὲν εἰ τύχῃ ταῖς κεφαλαῖς ἐστι, δύσκρατα δὲ θώραξι, ἢ τοῖς κατὰ γαστέρα τε καὶ τὰ γεννητικὰ μόρια. τινῶν δὲ ἐν τοῖς κώλοις ἐστὶν ἡ δυσκρασία, καὶ πολλοῖς καθ' ἕν τι τῶν σπλάγχνων, ἢ τι μόριον ἕτερον ἕν, ἢ πλείω, καθάπερ οὖν καὶ περί τινα πλείω τῶν σπλάγχνων, ἐνίοις ἐστὶν ἡ δυσκρασία, πολλοῖς δὲ ἐφώρασα, καὶ κατά τι τῶν ὀργανικῶν μορίων δύο κράσεις ὑπαρχούσας. ὥστε εἰ τύχῃ τὸ μὲν ἄλλο κύτος τῆς γαστρὸς ἅπαν, ἑτέρας εἶναι κράσεως ἤτοι χρηστῆς, μοχθηρᾶς. ἑτέρας δὲ, μόνον αὐτῆς τὸ στόμα. περὶ μὲν δὴ τούτων, ἐν ταῖς μοχθηραῖς τῶν σωμάτων κατασκευαῖς εἰρήσεται, περὶ δὲ τῆς ἀρίστης ἤδη λέγωμεν, ἧς ἕκαστον μόριον ἄμεμπτον ἔχει τὴν σύμπασαν οὐσίαν. ὁ δὴ τοιοῦτος ἄνθρωπος, ὑπὸ τὴν ὑγιεινὴν ἀγόμενος τέχνην, εὐτυχὴς μὲν ἂν εἴη τις, εἰ μετὰ τὴν πρώτην ἀποκύησιν ἐπισταῖτο πρὸς αὐτοῦ. οὕτω γὰρ ἄν τι καὶ εἰς τὴν ψυχικὴν ὀνίναιτο τῆς χρηστῆς διαίτης ἤθη χρηστὰ παρασκευαζούσης. οὐ μὴν ἀλλὰ καὶ εἰ κατά τινα τῶν ἑξῆς ἡλικιῶν, εἰς χρείαν τῆς τέχνης ἀφίκοιτο, καὶ οὕτως ὀνήσεται τὰ μέγιστα. εἰρήσεται δὲ πρῶτον μὲν, ὡς ἄν τις ἐξ ἀρχῆς παραλαβὼν ἄνθρωπον τοιοῦτον, ὑγιαίνοντα διὰ παντὸς ἀποδείξειε τοῦ βίου. πλὴν εἰ μή τι τῶν ἔξωθεν αὐτῷ συμπίπτει βίαιον. οὐδὲν γὰρ τοῦτό γε πρὸς τὸν τῆς ὑγιεινῆς τέχνης ἐπιστήμονα. δεύτερον δὲ ὅπως ἄν τις εἰ καὶ μὴ νεογενὴς εἴη τὸ παιδίον, ἀλλ' ἤδη παιδεύεσθαι δυνάμενον, ἐπισταίη αὐτοῦ. καὶ οὕτως

καθ'

καθ' ἑκάστην τῶν ἄλλων ἡλικιῶν. τὸ τοίνυν νεογνὲς παιδίον τοῦτο δὴ τὸ ἀμέμπτον ἁπάσῃ τῇ κατασκευῇ, πρῶτον μὲν σπαργανούσθω συμμέτροις ἅλσιν περιπαττόμενον, ὅπως αὐτῷ πυκνότερον καὶ στερρότερον εἴη τὸ δέρμα τῶν ἔνδον μορίων. ἐν γὰρ τῷ κυΐσκεσθαι, πάνθ' ὁμοίως ἦν μαλακὰ, μήτε ψαύσαντος αὐτοῦ τινὸς ἔξωθεν σκληροτέρου σώματος, μήτ' ἀέρος ψυχροῦ προσπεσόντος, ὑφ' ὧν συναγόμενόν τε καὶ πιλούμενον, γένοιτ' ἂν αὐτοῦ τε καὶ τῶν ἄλλων μορίων σκληρότερόν τε καὶ πυκνότερον. ἐπειδὰν δ' ἀποκυηθῇ ἐξ ἀνάγκης ὁμιλεῖν, μέλλει, καὶ κρύει καὶ θάλπει, καὶ πολλοῖς σκληροτέροις ἑαυτοῦ σώμασι, προσήκει διὰ ταῦτα, τὸ σύμφυτον ἑαυτῷ σκέπασμα παρασκευασθῆναι πῶς ὑφ' ἡμῶν ἄριστον εἰς δυσπάθειαν. ἱκανὴ δὲ ἡ διὰ μόνων τῶν ἁλῶν παρασκευὴ, τοῖς γε κατὰ φύσιν ἔχουσι βρέφεσι. ὅσα γὰρ ἤτοι μυρσίνης φύλλων ξηρῶν περιπαττομένων, ἢ τινὸς ἑτέρου τοιούτου δεῖται, μοχθηρῶς δή που διάκειται. πρόκειται δ' ἡμῖν τό γε νῦν εἶναι, περὶ τῶν ἄριστα κατασκευασμένων τὸν λόγον ποιεῖσθαι. ταῦθ' οὖν ὡς εἴρηται σπαργανωθέντα, γάλακτί τε χρήσθω τροφῇ, καὶ λουτροῖς ὑδάτων. ὑγρᾶς γὰρ χρῄζει τῆς συμπάσης διαίτης, ἅτε καὶ τὴν κρᾶσιν ὑγροτέραν ἔχοντα, τῶν ἐν ταῖς ἄλλαις ἡλικίαις. ἔοικε δὲ τοῦτο πρῶτον εὐθὺς ἥκειν σκέμμα τῶν ἀναγκαίων, εἰς δίαιταν ὑγιεινήν. εἰσὶ γοῦν οἱ νομίζουσιν ἀεὶ δεῖσθαι ξηραίνεσθαι τὰς ὑγροτέρας φύσεις. ὥσπερ γε καὶ θερμαίνεσθαι μὲν, τὰς ψυχροτέρας. ὑγραίνεσθαι δὲ τὰς ξηροτέρας. ψύχεσθαι δὲ τὰς θερμοτέρας. ὑπὸ γὰρ τῶν ὁμοίων ἑκάστην τῶν ἀμετριῶν αὐξάνεσθαι, κολάζεσθαι δὲ καὶ καθαιρεῖσθαι πρὸς τῶν ἐναντίων. ἑνὶ δὲ λόγῳ τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα. ἐχρῆν δὲ αὐτοὺς μὴ τοῦτο μόνον Ἱπποκράτους ἀνεγνωκέναι τε καὶ μνημονεύειν, ὡς τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα, ἀλλὰ κἀκεῖνα δι' ὧν φησιν αἱ ὑγραὶ πᾶσαι δίαιται τοῖς πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι. καὶ τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι. φαίνεται γὰρ ἐνταῦθα παράλληλα θεὶς ἐφεξῆς τρία, νόσημά τε, καὶ ἡλικίαν, καὶ ἔθος. ἀπὸ μὲν οὖν τοῦ νοσήματος τὴν ἔνδειξιν λαμβάνει τῶν ἐναντίων. ἀπὸ δὲ τῆς ἡλικίας τε καὶ τοῦ ἔθους, τῶν ὁμοίων. τῷ μὲν γὰρ πυρετῷ, νοσήματι δὲ ὄντι τοῦτο θερμῷ καὶ αὐχμώδει, αἱ ὑγραὶ δίαιται χρησταί. τοῖς δὲ παιδίοις, οὐ γὰρ νόσημα τούτοις γε, ἀλλὰ κατὰ φύσιν ἡ ἡλικία, τὸ ὁμοιότατον ὠφελιμώτατον.

Οὕτω δὲ, καὶ τοῖς ἔθεσιν, ὡς ἂν καὶ αὐτοῖς ἐπικτήτους τινὰς ἐν τοῖς σώμασι φύσεις ἐργαζομένοις, ἡ τῶν ἐναντίων προσφορὰ βλαβερωτάτη. καὶ δεόντως τοῖς μὲν κατὰ φύσιν ἔχουσι σώμασι φυλάττεσθαι χρὴ τὴν οἰκείαν ἕξιν. τοῖς δὲ νοσοῦσιν, ἀλλιοῦσθαί τε καὶ πρὸς τοὐναντίον ἐπάγεσθαι. φυλάττεται μὲν οὖν ἕκαστον, ὑπὸ τῶν ὁμοίων, ἀλλοιοῦται δὲ ὑπὸ τῶν ἐναντίων. οὔκουν ξηραίνειν χρὴ τοὺς παῖδας, ὅτι μὴ παρὰ φύσιν αὐτοῖς ἡ ὑγρότης, ὥσπερ ἐν βράγχοις τε καὶ κορύζαις καὶ καταῤῥοις. ἀλλ' ἐν τοῖς φύσει διαιτᾶν ὑγραίνοντά τε λουτροῖς ποτίμων ὑδάτων. ὅσα γοῦν ἐμφαίνει τινὰ φαρμακώδη ποιότητα ξηραίνει πάντα, καθάπερ τὰ θειώδη καὶ ἀσφαλτώδη, καὶ στυπτηριώδη, καὶ τροφὴν καὶ ποτὰ παρέχοντα, ὅτι μάλιστα τὰ κράσεως ὑγροτάτης. οὕτω καὶ ἡ φύσις αὐτὴ προὐνοήσατο τῶν παίδων τροφὴν ὑγρὰν αὐτῶν παρασκευάσασα τὸ γάλα τῆς μητρός. ἄριστον μὲν οὖν ἴσως καὶ τοῖς ἄλλοις ἅπασι βρέφεσι τὸ τῆς μητρός ἐστι γάλα, πλὴν εἰ μὴ τύχῃ νοσοῦσα. οὐχ ἥκιστα δὲ καὶ τῷ τῆς ἀρίστης κράσεως, ὑπὲρ οὗ νῦν ὁ λόγος ἐστί. εἰκὸς γάρ που τῆς τούτου μητρὸς, ἀμέμπτον εἶναι τό, τε σύμπαν σῶμα καὶ τὸ γάλα. ἐξ αἵματος μὲν οὖν, ἔτι κυουμένοις ἡμῖν ἡ τροφή. ἐξ αἵματος δὲ, καὶ ἡ τοῦ γάλακτος γένεσις, ὀλιγίστην μεταβολὴν ἐν μαστοῖς προσλαβόντος. ὥσθ' ὅσα παιδία τῷ τῆς μητρὸς γάλακτι τρέφεται, συνηθεστάτῃ τε ἅμα καὶ οἰκειοτάτῃ χρῆται τροφῇ. φαίνεται δὲ οὐ μόνον παρασκευάσασα τὴν τοιαύτην τροφὴν ἡ φύσις τοῖς βρέφεσιν, ἀλλὰ καὶ δυνάμεις αὐτοῖς εὐθὺς ἐξ ἀρχῆς συμφύτους παρασχοῦσα τῆς χρήσεως αὐτοῦ. καὶ γὰρ καὶ γεννηθεῖσιν εἴ τις ἐνθείη παραχρῆμα τῷ στόματι τὴν θηλὴν τοῦ μαστοῦ, βδάλλει τε τὸ γάλα καὶ καταπίνει προθυμότατα. καὶ ἢν ἀνιώμενά τε καὶ κλαυθμυριζόμενα τύχῃ τῆς λύπης αὐτῷ, οὐκ ἐλάχιστον ἴαμα, ὁ τιτθὸς τῆς τρεφούσης ἐστὶν ἐντιθέμενος τῷ στόματι.

Τρία γοῦν οὖν δὴ ταῦτα ταῖς τροφαῖς ἐξεύρηται, τοῖς παιδίοις τῆς λύπης ἰάματα τῇ πείρᾳ διδαχθείσαις. ἓν μὲν, τὸ νῦν δὴ λεγόμενον. ἕτερα δὲ δύο, κίνησίς τε μετρία, καὶ φωνῆς ἐμμέλειά τις οἷς χρώμεναι διαπαντὸς, οὐ κατὰ πραΰνουσι μόνον, ἀλλὰ καὶ εἰς ὕπνον αὐτὰ ἀπάγουσι. δηλούσης ἂν κἀν τῷ δὲ τῆς φύσεως, ὅτι πρὸς μουσικὴν καὶ γυμναστικὴν, οἰκείως διάκειν[ται]. καὶ ὅς τις ἱκανός ἐστι καλῶς χρῆσθαι ταῖς τέχναις ταύταις, οὗτος καὶ σῶμα καὶ ψυχὴν παιδεύσει κάλλιστα. ταῖς γοῦν τροφοῖς αἱ τῶν παιδίων κινήσεις, ἔν τε λίκνοις, καὶ σκίμποσι, καὶ ταῖς σφῶν αὐτῶν ἀγκάλαις ἐξεύρηνται. καὶ πῶς τοῦθ' ἕτερον ἡμῖν ἥκει σκέμμα, πρὸς ὑγιείας τήρησιν ἀναγκαιότατον. Ἀσκληπιάδης μὲν ἄντικρυς κἀκ τοῦ φανερωτάτου κατεγνωκὼς γυμνασίων. Ἐρασιστράτου δὲ μετ' ἀτολμοτέρου ἀποφηνάμενου, τὴν δ' αὐτὴν Ἀσκληπιάδῃ γνώμην ἐνδεικνυμένου, τῶν δ' ἄλλων σχεδὸν ἁπάντων ἰατρῶν ἐπαινούντων οὐ πρὸς εὐεξίαν μόνον, ἀλλὰ καὶ πρὸς ὑγίειαν αὐτά. τριττὰ δ' ἐστὶ γένη τά γε πρῶτα τῶν γυμνασίων, ὅσαι περ καὶ αἱ τῶν κινήσεων διαφοραί. ἢ γὰρ ἐξ ἑαυτῶν, ἢ ὑφ' ἑτέρων, ἢ διὰ φαρμάκων κινούμεθα. τὸ μὲν δὴ τρίτον εἶδος τῆς κινήσεως οὐδαμῶς ὑγιαίνουσι πρέπον. ἡ δ' ὑφ' ἑτέρου κίνησις, ἔν τῷ πλεῖν, καὶ ἱππεύειν, καὶ ὀχεῖσθαι. καὶ ὡς ἀρτίως λέλεκται διά τε λίκνων, καὶ σκιμπόδων, καὶ ἀγκαλῶν γίνεται. τοῖς μὲν νεογνέσι παιδίοις οὕτω δὴ κινήσεως τηλικαύτης, ἡλίκη διά τε τῶν ὀχημάτων καὶ τῶν πλοίων, καὶ τοῖς ἱππαζομένοις γίνεται. τοῖς δ' ἤδη τὸ τρίτον ἢ τὸ τέταρτον ἔτος ἀπὸ τῆς πρώτης γενέσεως ἄγουσιν ἐγχωρεῖ καὶ δι' ὀχημάτων καὶ πλοίων κινεῖσθαι τὰ μέτρια. ἑπταετῆ δὲ γινόμενα τὰ παιδία, καὶ τῶν ἰσχυροτέρων ἀνέχεται κινήσεων, ὥστε καὶ ἱππεύειν ἐθίζεσθαι. δι' ἑαυτῶν δὲ κινεῖσθαι τὰ παιδία τηνικαῦτα δύναται πρῶτον, ὅταν ἕρπειν ἀπάρξεται, καὶ μᾶλλον ἐπειδὰν βαδίζειν. μὴ βιάζεσθαι δὲ αὐτὰ πρὸ τοῦ δέοντος, ὅπως μὴ διαστραφείη τὰ κῶλα. δηλοῖ μὲν κἀν τῷ δὲ τῆς ἡλικίας, εἰς ὅσον ἡ φύσις ἡμῖν ᾠκείωται γυμνασίοις. οὐ γὰρ ἂν οὐδ' εἰ κατακλείσαις παιδία. οἷός τε εἴης κωλύειν διαθέειν τε καὶ σκιρτᾶν, ὥσαύτως γε τοῖς πώλοις τε καὶ τοῖς μόσχοις. ἱκανὴ γὰρ ἡ φύσις ἐν ἅπασι τοῖς ζώοις, ὁρμὰς οἰκείας ἐνθεῖναι, πρός ὑγίειάν τε καὶ σωτηρίαν. ἀλλ' οἱ περὶ τὸν Ἀσκληπιάδην οὐδὲν τούτων ἐννοήσαντες, ὑπὸ πολλῆς σχολῆς, σοφίσματα πλέκουσιν. ἐπιδεικνῦναι πειρώμενοι, τὰ γυμνάσια μηδὲν εἰς ὑγίειαν συντελοῦντα. πρὸς ἐκείνους μὲν δὴ καὶ αὖθις εἰρήσεται τὰ εἰκότα, ὡς τῆς ἀθλητικῆς ὑπὸ τέλους εἰρημένης. πρόκειται γάρ μοι νῦν οὐ τὸ τῶν ἀρίστων ἀθλε-

χίας ἐλέγχειν, ἀλλ᾽ αὐτὸ τὸ χρήσιμον εἰς ὑγίειαν ἐκδιδάσκειν. περὶ δὲ τοὺς παῖδας ἐπανίημι τοὺς ἄριστα κατεσκευασμένους τὰ σώματα. τούτους δὲ εἰκὸς εἶναί πως καὶ τὸ τῆς ψυχῆς ἦθος ἀμέμπτους. ὡς ὅσοι γε θυμικώτεροι τοῦ δέοντός εἰσιν, ἢ ἀθυμότεροι ἢ δυσαισθητότεροι, ἢ ἀναισθητότεροί τινες, ἢ λιχνότεροι τοῦ προσήκοντος, ἀνάγκη τούτους οὐκ ὀρθῶς κεκρᾶσθαι τοῖς μορίοις ἐκείνοις τοῦ σώματος, οἷς ἐνεργοῦμεν ἕκαστα τῶν εἰρημένων. γέγραπται δ᾽ ὑπὲρ αὐτῶν ἐπὶ πλέον ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ὑπομνήμασιν. ἀλλ᾽ ὅ γε νῦν ἡμῖν προκείμενος ἐν τῷδε λόγῳ παῖς, ἄριστός ἐστι τὰ πάντα. τούτου τοίνυν ἐπανορθοῦσθαι μὲν οὐδὲν χρὴ τῶν ἠθῶν τῆς ψυχῆς, φυλάττειν δ᾽ ὅπως μὴ διαφθαρῇ. φυλάττεται δὲ ἅπαν ὑπὸ τῶν αὐτῶν καθ᾽ γένος, ὑφ᾽ ὧν περ καὶ διαφθείρεται. διαφθείρεται δὲ, τὸ τῆς ψυχῆς ἦθος ὑπὸ μοχθηρῶν ἐθισμῶν, ἔν ἐδέσμασί τε καὶ πόμασι, καὶ γυμνασίοις, καὶ θεάμασι, καὶ ἀκούσμασι, καὶ τῇ συμπάσῃ μουσικῇ. τούτων τοίνυν ἁπάντων ἔμπειρον εἶναι χρὴ τὸν τὴν ὑγιεινὴν μετιόντα, καὶ μὴ νομίζειν, ὡς φιλοσόφῳ μόνῳ προσήκει πλάττειν ἦθος ψυχῆς. ἐκείνῳ μὲν γὰρ δι᾽ ἕτερόν τι μεῖζον τὴν αὐτῆς τῆς ψυχῆς ὑγίειαν. ἰατρῷ δὲ ὑπὲρ τοῦ μὴ ῥᾳδίως εἰς νόσους ὑποφέρεσθαι τὸ σῶμα. καὶ γὰρ θυμὸς καὶ κλαυθμὸς, καὶ ὀργὴ, καὶ λύπη, καὶ πλείων τοῦ δέοντος φροντὶς, ἀγρυπνία τε πολλὴ ἐπ᾽ αὐτοῖς γινομένη, πυρετοὺς ἀνάπτουσι, καὶ νοσημάτων μεγάλων ἀρχαὶ καθίστανται. ὥσπερ καὶ τοὐναντίον ἀργία διανοίας καὶ ἄνοια, καὶ ψυχὴ παντάπασι ῥάθυμος, ἀχροίας τε καὶ ἀτροφίας ἐργάζεται πολλὰς, ἀρρωστίᾳ τῆς ἐμφύτου θερμότητος. χρὴ μὲν γὰρ φυλάττειν παντὸς μᾶλλον ἐν ὅροις ὑγιεινοῖς τὴν σύμφυτον ἡμῖν θερμότητα. φυλάττεται δ᾽ ὑπὸ τῶν συμμέτρων γυμνασιῶν, οὐ κατὰ τὸ σῶμα μόνον, ἀλλὰ καὶ κατὰ τὴν ψυχὴν γιγνομένων. αἱ δ᾽ ἄμετροι κινήσεις ἐν ἐπιθυμίαις τε καὶ διαλογισμοῖς, καὶ θυμοῖς. αἱ μὲν ὑπερβάλλουσαι, χολωδέστερον ἀποφαίνουσι τὸ ζῶον. αἱ δ᾽ ἐλλείπουσαι, φλεγματικώτερον καὶ ψυχρότερον. καὶ δὴ καὶ ταῖς μὲν προτέραις ἕπεσιν, οἵ τε πυρετοὶ καὶ ὅσα θερμότερα παθήματα. ταῖς δ᾽ ἑτέραις, ἐμφράξεις καθ᾽ ἧπάρ τε καὶ σπλάγχνα, ἐπιληψίαι τε καὶ ἀποπληξίαι, καὶ συνελόντι φάναι, τὰ καταρροϊκά τε καὶ ῥευματικὰ νοσήματα, συμπίπτει πάντα. οὐκ ὀλίγους ἡμεῖς ἀνθρώπους νοσοῦντας ὅσα ἔτη, διὰ τὸ τῆς ψυχῆς ἦθος, ὑγιεινοὺς ἀπεδείξαμεν, ἐπανορθωσάμενοι τὴν ἀμετρίαν τῶν κινήσεων. οὐ σμικρὸς δὲ τοῦ λόγου μάρτυς, καὶ ὁ πάτριος θεὸς ἡμῶν Ἀσκληπιός. οὐκ ὀλίγας μὲν ᾠδάς τε γράφεσθαι, καὶ μίμους γελοίων, καὶ μέλη τινὰ ποιεῖν ἐπιτάξας, οἷς αἱ τοῦ θυμοειδοῦς κινήσεις σφοδρότεραι γινόμεναι, θερμοτέραν τοῦ δέοντος ἀπειργάζοντο τὴν κρᾶσιν τοῦ σώματος. ἑτέροις δέ τισιν οὐκ ὀλίγοις, οὐδὲ τούτοις κυνηγετεῖν καὶ ἱππάζεσθαι καὶ ὁπλομαχεῖν, εὐθὺς δὲ τούτοις διωρίσατο, τό τε τῶν κινήσεων εἶδος, οἷς ταῦτα προσέταξε. καὶ τὸ τῆς ὁπλίσεως, οἷς διὰ ὅπλων ἐκέλευσε τὰ γυμνάσια ποιεῖσθαι. οὐ γὰρ μόνον ἐπεγείρειν αὐτὸν τὸ θυμοειδὲς ἐβουλήθη ἀρρωστότερον ὑπάρχον, ἀλλὰ καὶ μέτρον ὥρισατο τῇ τῶν γυμνασίων ἰδέᾳ. οὐ γὰρ ὡσαύτως θήγεται τὸ θυμοειδὲς εἰς ἀγρίους σῦς, ἢ ἄρκτους, ἢ ταύρους, ἢ τι τῶν οὕτως ἀλκίμων θηρίων, ἢ ἐπὶ λαγωοὺς, ἢ δορκάδας, ἢ τι τῶν οὕτως δειλῶν. οὐδ᾽ ὡσαύτως ἐπί τε τῆς κούφης ὁπλίσεως καὶ τῆς βαρείας. ὥσπερ οὐδὲ ἐν τῷ θεῖν ὠκέως, ἢ μετρίως κινεῖσθαι. καὶ μετὰ τοῦ φιλονεικεῖν ἑτέροις, ἢ καθ᾽ ἑαυτὸν, οὕτως καὶ τὸ μὲν κεκραγότων τῶν ἐγκελευομένων τε καὶ προσφωνούντων ἐπὶ τοὺς πόνους, ἢ σιωπώντων, οὐκ ὀλίγον διαφέρει. ἀλλὰ περὶ μὲν τούτων, ἐν τοῖς ἔπειτα λόγοις ἐπὶ πλέον εἰρήσεται. τὰ δὲ σμικρὰ παιδία τὰ τὴν ἀρίστην ἔχοντα κρᾶσιν, ὑπὲρ τούτων γὰρ ὁ λόγος ἦν, οὐκ ὀλίγης ἐπιμελείας δεῖται πρὸς τὸ μηδὲ μίαν ἐν αὐτοῖς τῆς ψυχῆς ἄμετρον γίνεσθαι κίνησιν. ἅ τε γὰρ οὐδέπω λόγῳ χρώμενα, τῷ κλαίειν τε καὶ κεκραγέναι, καὶ θυμοῦσθαι καὶ κινεῖν ἀτάκτως ἑαυτὰ, διασημαίνει τὴν ἀνίαν. ἡμᾶς οὖν χρὴ στοχαζομένους ὅτου δεῖται, παρέχειν ἑκάστοτε τοῦτον, πρὶν αὐξηθῆναι αὐτῶν τὴν λύπην, εἰς σφοδροτέραν τε καὶ ἄτακτον κίνησιν ὅλην ἐμβαλεῖν τὴν ψυχὴν ἅμα τῷ σώματι. ἤτοι γὰρ ὀδαξώμενα, ἢ πρός τινος ἔξωθεν ἀνιώμενα, ἢ ἀποπατεῖν, ἢ οὐρεῖν, ἢ ἐσθίειν, ἢ πίνειν ἐθέλοντα, καὶ εἴ τι καὶ κινεῖται πλημμελῶς, ὥσπερ σφαδάζοντα, γένοιτο δ᾽ ἄν ποτε καὶ θάλπους ἐπιθυμεῖν αὐτὰ κρύει ταλαιπωρούμενα, καὶ ἀναψύξεώς τινος, ὑπὸ θάλπους ἀμέτρου δι᾽ ὀχλούμενα, καί ποτε μὴ φέροντα τὸ πλῆθος τῶν ἐπιβεβλημένων ἱματίων, ἀνιᾷ γὰρ δὴ καὶ ταῦτα πολλὰ, οὐ σμικρὰ, καὶ μάλιστα, κατὰ τὰς ἐπιστροφὰς ὅλου τοῦ σώματος, ἢ τὰς τῶν κώλων κινήσεις, ἀλλὰ καὶ αὐτὸ τὸ ἡσυχάζειν ἐπὶ πλέον, οὐ σμικρῶς λυπηρόν. οὐδενὸς γὰρ ἀμετρίᾳ χαίρει ζῶον οὐδέν. ἀλλ᾽ ἀεὶ τοῦ συμμέτρου χρῄζει. σύμμετρον δὲ οὐχ ἓν, ἅπασι. ἀλλ᾽ ἐν τῷ πρός τι πᾶσα συμμετρία. διὸ χρὴ τὸν ἐπιμελούμενον ἀνατροφῆς παιδίων στοχαστικὸν ἀκριβῶς ὑπάρχοντα, τοῦ συμμέτρου τε καὶ οἰκείου, παρέχειν ἑκάστοτε τοῦτο, πρὶν αὐξηθεῖσαν αὐτῷ τὴν λύπην, εἰς ἀμετρίαν κινήσεως ἐμβαλεῖν τε τὸ σῶμα καὶ τὴν ψυχήν. εἰ δ᾽ ἄρα ποτὲ καὶ λάθοι τὸ λυποῦν αὐξηθὲν, ἐπανορθοῦσθαι πειρᾶσθαι τὴν λύπην. αὐτῷ τε τῷ παρέχειν αὐτίκα τὸ ἐπιθυμηθὲν, ἢ ἐκκόπτειν τὸ ἀνιῶν. ἔτι τε τῇ κινήσει τῇ διὰ τῶν ἀγκαλῶν καὶ τοῖς μέλεσι τῆς φωνῆς, οἷς εἰώθασιν αἱ σοφώτεραι τῶν τροφῶν χρῆσθαι. ἔγωγ᾽ οὖν ποτε δι᾽ ὅλης ἡμέρας παιδίου κλαίοντός τε καὶ θυμουμένου, καὶ σφοδρῶς καὶ ἀτάκτως ἑαυτὸ μεταβάλλοντος, ἐξευρὸν τὸ λυποῦν ἀπορουμένης τῆς τροφοῦ. ὡς γὰρ οὔτε πρὸς τὸν τιτθὸν ἐντεθειμένον, οὔτε περιαγομένης αὐτὸ τῆς τρεφούσης, ἢ ἀποπατεῖν, ἢ οὐρεῖν ἐθέλει, καθίστατο, παρηγορεῖτο δ᾽ οὐδὲν, οὐδ᾽ ὁπόταν ἐν ταῖς ἀγκάλαις ἐνθεμένη κατακλίνειν ἐπιχειρήσειεν, ἐθεασάμην δὲ τὴν στρωμνὴν αὐτοῦ καὶ τὰ περιβλήματά τε καὶ ἀμφιάσματα ῥυπαρώτερα, καὶ αὐτὸ τὸ παιδίον ἤδη ῥυπῶν τε καὶ ἄλουτον, ἐκέλευσα λοῦσαι τε καὶ ἀπορρύψαι, καὶ τὴν στρωμνὴν ὑπαλλάξαι, καὶ πᾶσαν τὴν ἐσθῆτα τὴν καθαρωτέραν ἐργάζεσθαι, καὶ τούτων γινομένων, αὐτίκα μὲν ἐπαύσατο τῶν ἀμέτρων κινήσεων, αὐτίκα δὲ καθύπνωσεν ἥδιστόν τε καὶ μακρότατον ὕπνον. εἰς δὲ τὸ καλῶς ἐστοχάσθαι πάντων τῶν ἀνιώντων τὸ παιδίον οὐκ ἀγχινοίας μόνον, ἀλλὰ καὶ τῆς περὶ τὸ τρεφόμενον αὐτῷ συνεχοῦς ἐμπειρίας ἐστὶ χρεία.

Ταῦτ᾽ οὖν ἅπαντα περὶ τὸ παιδίον εἰς τρίτον ἔτος ἀπὸ τῆς πρώτης γενέσεως ἀξιῶ πραγματεύεσθαι. καὶ πρὸ τούτων ἔτι, τῆς τρεφούσης αὐτὸ οὐ σμικρὰν ποιεῖσθαι πρόνοιαν ἐδεσμάτων τε περὶ καὶ πομάτων, ὕπνων τε καὶ ἀφροδισίων καὶ γυμνασιῶν, ὡς ἄριστον εἴη τὴν κρᾶσιν τὸ γάλα, γένοιτο δὲ τοιοῦτον, εἰ τὸ αἷμα χρηστότατον εἴη. ἔστι δὲ χρηστότατον, τὸ μήτε πικρόχολον, μήτε μελαγχολικὸν, μήτε φλεγματῶδες, μήθ᾽ ὀρρώδει τινὶ μήθ᾽ ὑδατώδει συμμιγὲς ὑγρότητι. γίνεται δὲ τοιοῦτον, ἐπί τε τοῖς συμμέτροις γυμνασίοις καὶ τροφαῖς εὐχύμοις δ᾽ ἅμα καὶ κατὰ

καιρὸν τὸν προσήκοντα καὶ μετὰ μέτρα τὰ δέοντα λαμβανομέναις, ὥσπερ οὖν καὶ ἐν πόμασιν ἐστὶν εὐκαίροις τε καὶ μετρίοις. ὑπὲρ ὧν ἁπάντων ἐν τοῖς ἔπειτα λόγοις ἀκριβῶς διορισθήσεται. ἀφροδισίων τε παντάπασιν ἀπέχεσθαι κελεύω τὰς θηλαζούσας παιδία γυναῖκας. αἵ τε γὰρ ἐπιμήνιοι καθάρσεις ἐρεθίζονται μιγνυμέναις ἀνδράσι καὶ οὐκ εὐῶδες ἔτι μένει τὸ γάλα. καί τινες αὐτῶν ἐν γαστρὶ λαμβάνουσιν, οὗ βλαβερώτατον οὐδὲν ἂν εἴη παιδίῳ γάλακτι τρεφομένῳ. δαπανᾶται γὰρ ἐν τῷδε, τὸ χρηστότατον τοῦ αἵματος εἰς τὸ κυούμενον. ἅτε γὰρ ἀρχὴν ζωῆς ἐν ἑαυτῷ ἰδίαν περιέχον, ὑπὸ ταύτης τε διοικεῖται καὶ διὰ παντὸς ἐπισπᾶται τὴν οἰκείαν τροφήν, ὥσανεὶ ἐρριζωμένον τε τῇ μήτρᾳ καὶ ἀχώριστον ὑπάρχον ἀεί, νύκτωρ τε ἅμα καὶ μεθ' ἡμέραν. ἔλαττόν τε εἰκότως ἐν τῷδε καὶ φαυλότερον ἀποτελεῖται τὸ τῆς κυούσης αἷμα. καὶ διὰ τοῦτο καὶ τὸ γάλα μοχθηρότερόν τε καὶ ὀλίγον ἐν τοῖς τιτθοῖς ἀθροίζεται. ὥστε ἔγωγε συμβουλεύσαιμι ἂν εἰς κυῆσαι ἡ θηλάζουσα τὸ παιδίον, ἑτέραν ἐξευρίσκειν τροφόν, ἐπισκεπτομένους τε καὶ δοκιμάζοντας αὐτῆς ἀκριβῶς τὸ γάλα, γεύσει καὶ ὄψει καὶ ὀσφρήσει. καὶ γὰρ γευομένοις καὶ ὀσμωμένοις ἡδύ, λευκόν τε ὁμαλὸν καὶ μέσως ἔχον ὑγρότητός τε καὶ πάχους, ὀφθήσεται τὸ ἄριστον γάλα. τὸ δὲ μοχθηρὸν ἤτοι παχὺ καὶ τυρωδέστατον, ἢ ὑγρόν, καὶ ὀρρῶδες, καὶ πελιγνόν, καὶ ἀνώμαλον ἐν συστάσει καὶ χροιᾷ, καὶ γευομένοις πικρότερον, καὶ ἅλμης ἤ τινος ἑτέρας ἀλλοκότου ποιότητος ἔμφασιν ἕξει. τὸ δὲ τοιοῦτον, οὐδὲ πρὸς τὴν ὀσμὴν ἡδύ. ταῦτα μὲν ἔστω σοι γνωρίσματα, μοχθηροῦ τε καὶ χρηστοῦ γάλακτος, οἷς τεκμαιρόμενος ὅταν ἤτοι κύησις ἢ καὶ νόσημά τι ᾖ περὶ τὴν μητέρα γινόμενον, ἐφ' ἑτέραν τροφὸν ἰέναι τὴν κρίσιν τε καὶ τὴν αἵρεσιν ποιεῖσθαι. τρέφειν τε τὸ παιδίον γάλακτι μόνῳ. ἐπειδὰν δὲ φύσῃ τοὺς ἔμπροσθεν ὀδόντας, ἐθίζειν ἤδη πως αὐτὸ καὶ τῆς παχυτέρας ἀνέχεσθαι τροφῆς. ὥσπερ οὖν καὶ τοῦτο αὐτὸ τῇ πείρᾳ διδαχθεῖσαι ποιοῦσιν αἱ γυναῖκες. ἄρτου μέν τοι πρῶτον. ἐφεξῆς δ' ὀσπρίων τε καὶ κρεῶν ὅσα τ' ἄλλα τοιαῦτα προμασώμεναι καὶ ἐντιθεῖσαι τοῖς στόμασι τῶν παιδίων. ἀνατρίβειν δὲ χρὴ τὸ σῶμα τῶν βρεφῶν, ἐλαίῳ γλυκεῖ. καθάπερ τοῦτο ποιοῦσιν ἐπιτηδείως αἱ πλεῖσται τῶν τροφῶν, εὐθὺς ῥυθμίζουσί τε καὶ διαπλάττουσι τὰ μόρια. ἀλλ' ἐπεί γε τοῦ νῦν περὶ τὸν λόγον ὑποκειμένου παιδίου τὴν κατασκευὴν τοῦ σώματος ἀμέμπτως ἔχοντος, οὐδὲν χρὴ περιεργάζεσθαι τὴν τροφόν. εἴς γε τὴν τῶν μελῶν εὐρυθμίαν. ἀλλ' ἀνατρίβειν τε τὰ μέτρια καὶ λούειν ὁσημέραι καθόσον οἷόν τε. μὴ περιεχομένου γάλακτος ἀπέπτου περὶ τὴν γαστέρα. κίνδυνος γὰρ ἀναληφθῆναι τοῦτο, πρὶν πεφθῆναι καλῶς εἰς ὅλον τὸ σῶμα τοῦ παιδίου. πολὺ δὲ δὴ μᾶλλον εἰ καὶ τὴν γαστέρα τις αὐτὴν ἀνατρίβει γάλακτος μεστήν, ἐμπλήσειεν τε τὸ σῶμα τροφῆς ἀπέπτου, πληρώσει τε τὴν κεφαλήν. διὸ χρὴ πολλὴν πρόνοιαν πεποιῆσθαι, τοῦ μὴ λαμβάνειν τὴν τροφὴν τὸ παιδίον, μήτε πρὸ λουτρῶν μήτε πρὸ ἀνατρίψεων. γίγνοιτο δ' ἂν τοῦτο παραφυλαττούσης τῆς τροφοῦ, τὸν ἐπὶ τοῖς μακροτέροις ὕπνοις καιρόν. ἐν τούτῳ γὰρ μάλιστα τὴν κοιλίαν ἤτοι παντάπασιν κενὴν ἢ πεπεμμένην ἤδη τὴν τροφὴν περιέχουσαν, εὑρεῖν ἐστίν. εἰ δ' ὥσπερ νῦν ποιοῦσι βλάπτουσι. ἔνιαι μὲν τῶν τροφῶν, ἔνια τινὰ χρόνον ἀφορίζουσαι τῆς ἡμέρας, ἔνιαι δ' ὅταν σχολάσωσι τοῦ τηνικαῦτα πονούμεναι, διότι πολλάκις καὶ ἀναγκαῖον ἐστὶ βλάπτεσθαι τὰ παιδία ἤπερ ὠφελεῖσθαι. ὁ γὰρ ὑφ' ἡμῶν ἀφοριζόμενος καιρός, ἄλλοτε εἰς ἄλλον ἐμπίπτει χρόνον. ἤτοι τῆς ἡμέρας, ἢ τῆς νυκτός. ἐπὶ μέν τοι τῶν μειζόνων παιδίων, ὅσα καὶ πληγαῖς καὶ ἀπειλαῖς ἐπιπλήξεσί τε καὶ νουθετήσεσι πείθεται, καιρὸς ἂν εἴη διττός, εἰς ἀνάτριψίν τε καὶ λουτρόν. ὁ μὲν πρότερός τε καὶ ἄριστος ἐπειδὰν ἐξαναστάντα τὸν ἑωθινὸν ὕπνον, εἶτα παίξαντα, τροφὴν αἰτεῖ. τότε γὰρ ἐπιτίθεσθαι μάλιστα αὐτοῖς χρὴ τὸ μὲν σῶμα, πρὸς ὑγίειαν τε ἅμα καὶ εὐεξίαν ἀσκοῦντα. τὴν δὲ ψυχὴν εἰς εὐπείθειάν τε καὶ σωφροσύνην, οὐκ ἄλλως παρέξειν αὐτοῖς τὴν τροφὴν φάσκοντά σε, εἰ μὴ προθύμως ἐπακούσαιεν εἰς ὅσα ἂν ἐθέλωμεν ἡμεῖς ἀνατρίψει τε καὶ λουτροῖς. οὗτος μὲν οὖν ἄριστος καιρός. εἰ δέ τις ἀσχολία τὸν τρέφοντα τὸ παιδίον ἀπάγει, μέτριον ἄρτου δόντα, παίζειν ἐπιτρέπειν, εἰς ὅσον ἂν βούληται κἄπειτ' αὖθις αἰτῆσαν αὐτό, τηνικαῦτα τρίβειν τε αὐτό, καὶ λούειν. οὐ μὴν πίνειν γε ἐπιτρεπτέον ποτὲ αὐτούς, πρὸ τῶν λουτρῶν ἐπὶ τῆς σιτίας, ἀθροωτέρα γὰρ ἂν οὕτως ἡ ἀνάδοσις, εἰς τὸ σῶμα τῶν ἐν τῇ γαστρὶ περιεχομένων γίγνοιτο. χρὴ δὲ ἐπὶ τῶν ἀμέμπτως ὑγιαινόντων σωμάτων, φυλάττεσθαι τοῦτο. μεμπταὶ γὰρ αἱ τοιαῦται διαθέσεις τε καὶ κατασκευαὶ τῶν σωμάτων εἰσὶν ἐφ' ὧν ἄμεινον ἐστί, πρὸ τῶν λουτρῶν διδόναι σιτία. καὶ διορισθήσεται περὶ αὐτῶν ἐν τοῖς ἔπειτα λόγοις. ἀλλὰ νῦν γε τῆς ὑποθέσεως μνημονευτέον ἐστίν, ὡς τὸν ἄριστα σώματος ἔχοντα παῖδα, διαιτῶμεν ὅπως ἡμῖν φυλάττοιτο τοιοῦτος. ἐφ' οὗ βέλτιον ἐστὶν ἡγεῖσθαι τὰ λουτρὰ τῶν σιτίων. καὶ διορισθήσεται περὶ αὐτῶν ἐν τοῖς ἔπειτα λόγοις. εἰ δ' ἐν τοιούτῳ χωρίῳ τρέφοιτο ὁ παῖς, ἐν ᾧ βαλανεῖον οὐκ ἔνεστιν, ἴσως μὲν οὖν, οὐδ' ὁμιλήσουσι τοῖς δὲ τοῖς γράμμασιν οἱ τοιοίδε. λούουσι μὲν ἐν σκάφαις αἱ τροφοὶ κἀνταῦθα τοὺς παῖδας. ἕως ἂν οὖν τὸ δεύτερον ἢ καὶ εἰς τὸ τρίτον ἔτος ἀπὸ γενετῆς ἵκωνται. μείζονας δὲ γενομένους εἰ καὶ μὴ καθ' ἑκάστην ἡμέραν, ἀλλὰ καὶ διὰ τριῶν γέ που καὶ τεττάρων ἀλείφουσί τε καὶ ἀνατρίβουσιν, εἰ δὲ μὴ κωλύει τὰ τῆς ὥρας, αἱ λίμναι τε καὶ οἱ ποταμοί. λουτρὰ αὐτοῖς εἰσίν, οἷόνπερ ἡμῖν τὸ βαλανεῖον. παρὰ μέν γε τοῖς Γερμανοῖς οὐδαμῶς τρέφεται τὰ παιδία. ἀλλ' ἡμεῖς νῦν γε, οὔτε Γερμανοῖς οὔτε ἄλλοις τισὶν ἀγρίοις, ἢ βαρβάροις ἀνθρώποις, ταῦτα γράφομεν, οὐ μᾶλλον, ἢ ἄρκτοις, ἢ κάπροις, ἢ λέουσι, ἤ τινι τῶν ἄλλων θηρίων, ἀλλ' Ἕλλησι. καὶ ὅσοι τῷ γένει μὲν ἔφυσαν βάρβαροι, ζηλοῦσι δὲ τὰ τῶν Ἑλλήνων ἐπιτηδεύματα. τίς γὰρ ἂν ἡμῶν ὑπομείνειε τῶν παρ' ἡμῖν ἀνθρώπων, εὐθὺς ἅμα τῷ γεννηθῆναι, ἔτι θερμὸν τὸ βρέφος, ἐπὶ τὰ τῶν ποταμῶν φέρειν ῥεύματα. κἀνταῦθα καθάπερ φασί, τοὺς Γερμανοὺς ἅμα πειρᾶν αὐτοῦ τῆς φύσεως ἅμα τε καὶ κρατύνειν τὰ σώματα, βάπτοντας εἰς τὸ ψυχρὸν ὕδωρ, ὥσπερ τὸν διάπυρον σίδηρον. ὅτι μὲν γὰρ ἐὰν ὑπομείνῃ τε καὶ μὴ βλαβῇ, καὶ τὴν ἐκ τῆς οἰκείας φύσεως ἐπεδείξατο ῥώμην, καὶ τὴν ἐκ τῆς πρὸς τὸ ψυχρὸν ὁμιλίας ἐπεκτήσατο, πρόδηλον παντί, ὅτι δ' εἰ νικηθείη πρὸς τῆς ἔξωθεν ψύξεως, ἡ ἔμφυτος αὐτοῦ θερμότης, ἀναγκαῖον αὐτίκα τεθνάναι. καὶ τοῦτ' οὐδεὶς ἀγνοεῖ. τίς οὖν ἂν ἕλοιτο νοῦν ἔχων καὶ μὴ παντάπασιν ἄγριος ὢν καὶ Σκύθης, εἰς τὴν τοιαύτην πεῖραν ἀγαγεῖν αὐτοῦ τὸ παιδίον, ἐν ᾗ θάνατός ἐστιν ἡ ἀτυχία. καὶ ταῦτα μηδὲν μέγα τι μέλλων ἐκ τῆς πείρας κερδαίνειν. ὄνῳ μὲν γὰρ ἴσως, ἤ τινι τῶν ἀλόγων ζώων, ἀγαθὸν ἂν εἴη μέγιστον οὕτω πυκνὸν καὶ σκληρὸν δέρμα ἔχειν, ὡς ἀλύπως φέρειν τὸ κρύος. ἀνθρώπῳ δὲ λογικῷ ζώῳ τί ἂν εἴη μέγα τὸ τοιοῦτον. οὐ δὲ γὰρ εἰς ὑγιείαν ἁπλῶς

οὑτωσὶ λέγων ἄν τις, ἐπιτήδειον ὑπάρχειν τὸ πυκνότατον καὶ σκληρότατον δέρμα, δεόντως ἂν εἴποι. διττῆς γὰρ οὔσης βλάβης τοῖς τῶν ζώων σώμασιν, ἑτέρας μὲν, ἐκ τῶν ἔξωθεν αἰτίων, ἑτέρας δὲ ἐκ τῶν ἔνδοθεν, δυσάλωτόν ἐστι τοῖς μὲν ἔξωθεν ἅπασιν, ὧν μὲν μαλακόν ἐστι καὶ ἀραιὸν τὸ δέρμα. τοῖς δὲ ἔνδοθεν, ὧν πυκνόν τε καὶ σκληρόν. καὶ διὰ τοῦθ' Ἱπποκράτης περὶ τῶν ἀπὸ τροφῆς ἐν ἡμῖν ἐπ' ὠφελείᾳ τε καὶ βλάβῃ γινομένων διδάσκων, ἐπ' ἄλλοις πολλοῖς καὶ τοῦτ' ἔγραψεν. ἀραιότης σώματος εἰς διαπνοὴν, οἷς πλεῖστον ἀφαιρέεται, ὑγιεινότερον, οἷς δ' ἔλασσον, νοσωδέστερον. βέλτιον οὖν ἑκατέρας πεφυλάχθαι τὰς ὑπερβολάς. καὶ μήτ' εἰς τοσοῦτον πυκνὸν τὸ δέρμα παρασκευάζειν, ὡς κωλύειν διαπνεῖσθαι καλῶς. μήθ' οὕτως ἀραιὸν, ὡς ὑπὸ παντὸς τοῦ αἰτίου τοῦ ἔξωθεν αὐτῷ προσπιπτόντων, βλάπτεσθαι ἑτοίμως, τοιοῦτον δὲ καὶ φύσει ἐστὶ τὸ σῶμα, τοῦ νῦν ἡμῖν προκειμένου κατὰ λόγον παιδίου. μέσον ἁπασῶν τῶν ὑπερβολῶν. οὕτως οὖν αὐτὸ διαιτητέον, ὡς φυλάττειν ἀεὶ τῆς κατασκευῆς τὴν ἀρετήν. φυλαχθήσεται δὲ κατὰ μὲν τὴν πρώτην ἡλικίαν ἐν γάλακτι τρεφομένου, καὶ λουτροῖς γλυκέων ὑδάτων θερμῶν λουομένου, ὅπως ὅτι μάλιστα μέχρι πλείστου μαλακὸν αὐτῷ διαμένον τὸ σῶμα, πλείω ἐπίδοσιν εἰς τὴν αὔξησιν ποιεῖτο. μετὰ δὲ ταῦτα καθ' ὃν ἂν ἤδη χρόνον εἰς διδασκάλους δύναιτο φοιτᾶν, οὐκ ἀναγκαῖον ἔτι λουτροῖς χρῆσθαι συνεχέσι, ἀλλ' ἀρκεῖ διαπαλαίειν μανθάνοντα σύμμετρά τε πονεῖν ἐν ταῦτα πρὸ τῶν σιτίων, ἀλουτεῖν τε ἤδη τὰ πλείω. τὸ δ' ὑπερπονεῖν ὥσπερ ἔνιοι τῶν παιδοτριβῶν ἀναγκάζουσι τοὺς παῖδας, οὐδαμῶς ἀγαθόν, ἀναυξῆ γὰρ ὑπὸ τῆς παρὰ καιρὸν σκληρότητος, ἀποτελεῖται τὰ σώματα, κἂν πλείστην ὁρμὴν ἐκ φύσεως εἰς τὴν αὔξησιν ἔχῃ.

Οἴνου δὲ τὸν οὕτω πεφυκότα παῖδα, μέχρι πλείστου μηδ' ὅλως γεύειν, ὑγραίνει τε γὰρ ἱκανῶς καὶ θερμαίνει τὸ σῶμα πινόμενος οἶνος. ἐμπίπλησί τε τὴν κεφαλὴν ἀτμῶν, ἐν ταῖς ὑγραῖς καὶ θερμαῖς κράσεσι, οἵα περ ἐστὶ καὶ ἡ τῶν τοιούτων παιδίων. ἀλλ' οὔτε ἐμπιπλᾶσθαι καλὸν αὐτοῖς τὴν κεφαλὴν, οὔτε ὑγραίνεσθαι καὶ θερμαίνεσθαι περαιτέρω τοῦ προσήκοντος. εἰς τοσοῦτον γὰρ ἥκουσιν ὑγρότητός τε καὶ θερμότητος, ὡς εἰ καὶ βραχὺ παραυξήσειέ τις ὁπότερον αὐτῶν, ἐν ἀμετρίᾳ καθίσταται. οὐσῶν δὲ πασῶν τῶν ἀμετριῶν φευκτῶν, ἡ τοιαύτη μάλιστ' ἂν εἴη φευκτή, καθ' ἣν οὐκ εἰς τὸ σῶμα μόνον ἀλλὰ καὶ εἰς τὴν ψυχὴν ἡ βλάβη διικνεῖται. διόπερ οὐδὲ τοῖς ἤδη τελείοις ἄνευ τοῦ προσήκοντος μέτρου πινόμενος οἶνος, ἀγαθός. εἰς θυμούς τε γὰρ ἐκκαλεῖται προπετεῖς, καὶ ὕβρεις ἀσελγεῖς, καὶ τὸ λογιζόμενον τῆς ψυχῆς ἀμβλύ τε καὶ τεθολωμένον ἐργάζεται. ἀλλὰ τούτοις μὲν, ἑτοίμως εἰς τὴν τῶν χολωδῶν περιττωμάτων, ἐπίκρασίν τε ἅμα καὶ κένωσιν ἐπιτήδειος. οὐχ ἥκιστα δὲ καὶ εἰς τὴν ἐν αὐτοῖς τοῖς στερεοῖς ὀργάνοις τοῦ ζώου γινομένην ξηρότητα διά τε πόνους ὑπερβάλλοντας, ἐστὶν ὅτε καὶ διὰ τὴν οἰκείαν τῆς ἡλικίας κρᾶσιν, ἐπιτήδειος οἶνος. ὑγραίνων μὲν καὶ ἀνατρέφων, ὅσ' ἀμέτρως ἐξήρανται, πραΰνων δὲ τὸ δριμὺ τοῦ πικροῦ χυμοῦ, καὶ δι' ἱδρώτων τε καὶ οὔρων ἐκκενῶν. οἱ δὲ παῖδες ἅτε μήτε τὸν τοιοῦτον ἀθροίζοντες χυμὸν, οἰκείαν τε παμπόλλην ἔχοντες ὑγρότητα, τῶν μὲν ἐξ οἴνου γινομένων ἀγαθῶν, οὐδενὸς προσδέονται. μόνης δὲ ἀπολαύουσιν αὐτοῦ τῆς βλάβης. οὐκοῦν νοῦν ἔχων οὐδεὶς, ἐπιτρέψει τοιούτῳ χρῆσθαι πόματι τοὺς παῖδας. ὃ πρὸς τῷ μηδὲν ἀγαθὸν ἐργάζεσθαι, βλάβην ἐξαίσιον ἐφεδρεύουσαν ἔχει. οὐ μὴν οὐδὲ ψυχροῦ πόματος εἰς τὸ παντελὲς εἴργειν κελεύω τοὺς τοιούτους παῖδας, ὥσπερ ἔνιοι ποιοῦσιν. ἀλλ' ἐπί γε σιτίοις τὰ πολλὰ, καὶ κατὰ τὰς θερμοτάτας ὥρας, ὅτε ἴσχουσιν αὐτοὶ πρὸς τὸ ψυχρὸν ἐπιτρέπω χρῆσθαι. μάλιστα μὲν εἰ οἷόν τε, πηγαίῳ προσφάτῳ, μηδὲ μίαν ἐπίκτητον ἐχούσῃ μοχθηρὰν ποιότητα. μὴ παρόντος δὲ τοῦ τοιούτου, τοῖς ἄλλοις. φυλάττεσθαι δὲ τὰ λιμναῖα καὶ θολερὰ καὶ δυσώδη καὶ ἁλικὰ, καὶ ἁπλῶς εἰπεῖν ὅσα τινὰ ποιότητα κατὰ τὴν γεῦσιν ἐνδείκνυται. χρὴ γὰρ αὐτοῖς ἀποιότατον φαίνεσθαι τὸ κάλλιστον ὕδωρ, οὐ πρὸς τὴν γεῦσιν μόνον, ἀλλὰ καὶ πρὸς τὴν ὀσμήν. εἴη δ' ἂν τὸ τοιοῦτον ἥδιστόν τε ἅμα πινόμενον καὶ ἀκριβῶς καθαρόν. εἰ δὲ καὶ ταχέως ὑποχωρεῖ τῶν ὑποχονδρίων, μηδὲν ζητεῖν ἕτερόν τι βέλτιον. ὡς ὅσα γε καθαρὰ μέν ἐστι καὶ λαμπρὰ καὶ οὐκ ἀηδῆ πινόμενα, παραμένει δὲ ἐπὶ πλέον ἐν τοῖς ὑποχονδρίοις, ἡμιμόχθηρα νομιστέον. ἀπέχεσθαι δὲ τούτων κελεύω τῶν πάμπαν ψυχρῶν. οὐ μὴν θερμοῖς γε χρῆσθαι κωλύω. ἀσφαλέστατον μὲν οὖν κεκρίσθαι τῇ πείρᾳ τὸ τοιοῦτον ὕδωρ. εἰ δὲ καὶ διὰ γνωρισμάτων τις ἐθέλοι προγινώσκειν αὐτοῦ τὴν δύναμιν, ὅθεν αἱ πηγαὶ πρὸς ἄρκτον ἐρρυήκασιν ἐκ πετρῶν θλιβόμεναι, τὸν ἥλιον ἀπεστραμμένον ἔχουσαι, ἀτέραμνά τε καὶ βραδύπορα τὰ τοιαῦτα χρὴ νομίζειν ἅπαντα. εὐθὺς δ' αὐτοῖς ὑπάρχει καὶ τὸ θερμαίνεσθαί τε καὶ ψύχεσθαι βραδέως. ὡς ὅσων γε πρός τε τὰς ἀνατολὰς ἐρρώγασιν αἱ πηγαὶ, καὶ διὰ πόρου τινὸς ἢ γῆς διηθεῖται καθαρᾶς, θερμαίνεταί τε καὶ ψύχεται τάχιστα, ταῦτα ἐλπίζειν εἶναι κάλλιστα πάσαις ταῖς ἡλικίαις. οὐ γὰρ δὴ καθάπερ οἴνων τε καὶ σιτίων καὶ γυμνασίων ἐγρηγόρσεώς τε καὶ ὕπνων, καὶ ἀφροδισίων ἄλλος ἄλλων ἀπολαύειν προσήκει κατὰ τὰς διαφερούσας ἡλικίας, οὕτω καὶ ὕδατος. ἀλλ' ὅπερ ἄριστον εἴρηται νῦν, τούτῳ χρῆσθαι καὶ παῖδα καὶ νεανίσκον καὶ πρεσβύτην. ὥσπερ γε ἀέρα τὸν ἄριστον, εἰσπνεῖν ἐν ἅπασιν ὁμοίως χρηστόν. ἄριστον δὲ ἀέρα λέγω, τὸν ἀκριβῶς καθαρόν. εἴη δ' ἂν τοιοῦτος ὁ μήτε λίμνην μήτε ἑλῶν ἀναθυμιάσεως ἐπιθολούμενος, μήτε ἐκ βαράθρου δηλητήριον αὔραν ἀναπνέοντος. ὁποῖα περί τε σάρδεις ἐστὶ, καὶ ἱερὰν πόλιν, ἑτέρωθί τε πολλαχόθι τῆς γῆς. οὕτως δὲ καὶ ὅστις ἔκ τινος ὀχετοῦ, τῶν καθαιρόντων, ἢ μεγάλην τινὰ πόλιν, ἢ πολυάνθρωπον στρατόπεδον ἐπιθολοῦται, μοχθηρὸς ἱκανῶς ἐστι. μοχθηρὸς δὲ καὶ ὃς ἂν ἔκ τινος σηπεδόνος, ἢ ζώων, ἢ λαχάνων, ἢ ὀσπρείων, ἢ κόπρου μιαίνηται. καὶ μὴν καὶ ὅστις ὁμιχλώδης ἐστὶ διὰ ποταμὸν ἢ λίμνην γειτνιῶσαν οὐκ ἀγαθός. ὥσπερ γε καὶ ὅστις ἂν ἐν κοίλῳ χωρίῳ πανταχόθι ὑψηλοῖς ὄρεσι περιεχόμενος, μηδὲ μίαν πνοὴν δέχεται, πνιγώδης γὰρ ὅδε, καὶ σηπεδονώδης ἐστί. ἀνάλογον τοῖς ἀποκεκλεισμένοις ἐν οἴκοις τισίν. ἐν οἷς εὐρὼς ὑπὸ σηπεδόνος τε καὶ ἀπνοίας ἀθροίζεται. οἱ μὲν δὴ τοιοῦτοι, ἁπάσαις ταῖς ἡλικίαις, λυμαίνονται. ὥσπερ γε καὶ ὁ καθαρὸς ἀκριβῶς, ἁπάσαις ταῖς ἡλικίαις, ἀγαθός. ἡ δὲ κατὰ θερμότητα καὶ ψυχρότητα, καὶ προσέτι ξηρότητα καὶ ὑγρότητα διαφορὰ τῶν ἀέρων οὐχ ὁμοίως ἔχει πρὸς ἅπαντας. ἀλλὰ τοῖς μὲν εὐκράτοις σώμασιν, ὁ εὔκρατος ἄριστος. ὅσα δ' ἂν ὑπό τινος ἐξεχούσης ποιότητος δυναστεύηται, τούτοις ἄριστος ὁ ἐναντιώτατος τῇ κρατούσῃ. ψυχρὸς μὲν τῇ θερμῇ, θερμὸς δὲ τῇ ψυχρᾷ. καὶ δὴ καὶ τῇ μὲν ὑγροτέρᾳ, ξηρός. τῇ δὲ αὐχμηροτέρᾳ, τῶν προσηκόντων, εἰς τοσοῦτον ὑγρότερος, εἰς ὅσον κἀκείνη τοῦ συμμέτρου ξηροτέρα. ταυτὶ μὲν ἐν τῷδε τῷ λόγῳ γινώσκειν ἱκανά.

ἱκανά. ὥσπερ δ' ἄν τις ἐπανορθοίη τὰς ἐκ τῶν μοχθηρῶν ὑδάτων τε καὶ ἀέρων βλάβας, ἐν ἑτέρῳ βιβλίῳ ῥηθήσεται. νυνὶ γὰρ οἷον σκοπόν τινα καὶ κανόνα, τὴν ἀρίστην κατασκευὴν τοῦ σώματος ἐπὶ τοῖς ἀρίστοις διαιτήμασι διελθεῖν ἔγνωκα. τὰς δὲ τῶν ἡμαρτημένων κατά τι σωμάτων ἅμα καὶ διαιτημάτων ὑπαλλάξεις ἐν τοῖς μετὰ ταῦτα γράμμασιν ἁπάσας διαιρήσωμεν. πάλιν οὖν ὁ λόγος ἐπὶ τὸν ἄριστα κατεσκευασμένον παῖδα ἐπανελθὼν, τὴν ἀπὸ τῆς πρώτης ἑβδομάδος ἡλικίαν αὐτοῦ, μέχρι τῆς δευτέρας ἐκδιηγείσθω. κατά τε τὴν κρᾶσιν, ὁποία τίς ἐστι καὶ ὧν τινων χρῄζει διαιτημάτων. ἡ μὲν δὴ κρᾶσις, ὡς κἀν τοῖς περὶ κράσεων ὑπομνήμασι δέδεικται, θερμὴ μέν ἐστιν ὁμοίως, ὑγρὰ δὲ οὐχ ὁμοίως. ἀεὶ γὰρ ἀπὸ τῆς πρώτης γενέσεως ἅπαν ζῷον ὁσημέραι γίνεται ξηρότερον. οὐ μὴν θερμότερόν γε ἢ ψυχρότερον, ὡσαύτως ἐπὶ πάσας ἡλικίας ἀλλ' ὅσα μὲν ἄριστα κατεσκεύασται σώματα, παραπλησία πως ἡ θερμότης ἐπὶ τούτων, ἄχρι τῆς ἀκμῆς παραμένει. ὅσα δὲ ὑγρότερα καὶ ψυχρότερα τῶν ἀρίστων ἐστὶν, αὐξάνεται τούτων ἡ θερμότης. ἀλλ' ὅ γε νῦν λόγος οὐχ ὑπὲρ ἐκείνων ἐστίν. ὁ δὲ ἄριστα κατεσκευασμένος παῖς, ἄχρι τῆς τεσσαρεσκαιδεκαετίδος ἡλικίας, ἐν τῇ προειρημένῃ διαίτῃ φυλαττέσθω. γυμναζόμενός γε μήτε πάνυ πολλὰ, μήτε βίαια, μήπως αὐτοῦ τὴν αὔξησιν ἐπισχῶμεν. καὶ λουόμενος ἐν θερμοῖς μᾶλλον ἢ ψυχροῖς λουτροῖς, οὔπω γὰρ οὐδὲ τούτων ἀλύπως ἀνέχεσθαι δύναται. πλαττέσθω δὲ καὶ τὴν ψυχὴν ἐν τῷδε δὲ τῆς ἡλικίας καὶ μάλιστα δι' ἐθισμῶν, καὶ σεμνῶν, καὶ μαθημάτων, ὅσα μάλιστα ψυχὴν ἐργάσεσθαι κοσμίαν ἱκανά, πρὸς γὰρ τὰ μέλλοντα, κατὰ τὴν ἑξῆς ἡλικίαν, αὐτοῦ περὶ τὸ σῶμα πραχθήσεσθαι, μέγιστον ἐφόδιόν ἐστιν, ἡ εὐκοσμία τε καὶ εὐπείθεια. μετὰ δὲ τὴν δευτέραν ἑβδομάδα μέχρι τῆς τρίτης, εἰ μὲν εἰς τὴν ἄκραν εὐεξίαν ἄγειν αὐτὸν ἐθέλοις. ἤτοι στρατιώτην τινα γενναῖον, ἢ παλαιστικὸν, ἢ ὁπωσοῦν ἰσχυρὸν ἀπεργάσασθαι βουλόμενος, ἧττον τῶν τῆς ψυχῆς ἀγαθῶν, ὅσα γε εἰς ἐπιστήμην τινὰ καὶ σοφίαν ἄγει, προνοήσεις. τὰ μὲν γὰρ εἰς ἦθος, ἐν τῷδε δὲ μάλιστα τῆς ἡλικίας ἀκριβωθῆναι προσήκει. εἰ δὲ τὰ μὲν κατὰ τὸ σῶμα μέχρι τοῦ κρατηθῆναι τὰ μόρια, καὶ περιποιῆσαι τινὰ ἕξιν ὑγιεινὴν, καὶ αὐξῆσαι προχειροῖο, τὸ δὲ λογικὸν τῆς ψυχῆς τοῦ μειρακίου κοσμῆσαι σπουδάσεις, οὐ τῆς αὐτῆς ἐπ' ἀμφοῖν διαίτης δεήσῃ. καίτοι καὶ τρίτον καὶ τέταρτον εἶδος βίου εὑρεθείη ποτὲ, τῶν μὲν, ἐπί τινα βάναυσον ἀφιγμένων τέχνην, καὶ ταύτην ἤτοι γυμνάζουσαν ἢ ἀγύμναστον φυλάττουσαν τὸ σῶμα. τῶν δὲ ἐπὶ γεωργίαις, ἢ ἐμπορείαις, ἤ τι τοιοῦτον ἕτερον. ὥστε καὶ χαλεπὸν εἶναι δοκεῖ, ἀριθμῷ τινὶ περιλαβεῖν πάσας τῶν βίων τὰς ἰδέας. τῆς μέντοι γ' ὑγιεινῆς τέχνης ἐπάγγελμά ἐστιν ἅπασιν αὐτοῖς, ὑποθήκας διδόναι πρὸς ὑγίειαν, ἤτοι καθ' ἕκαστον ἰδίας ἢ κοινῇ σύμπασιν ἁρμοττούσας, ἢ τὰς μέν τινας ἰδίας αὐτῶν, τὰς δὲ κοινάς. οὐ μὴν ἐγχωρεῖ περὶ πάντων ἅμα διελθεῖν. ἀλλὰ πρῶτον μὲν, ὡς ἄν τις ἐπὶ μήκιστον ἐκτείνοι τὴν ζωὴν, ὑγιαίνῃ τὰ πάντα. χρὴ δ' οἶμαι τὸν τοιοῦτον βίον, ἁπάσης ἀναγκαίας πράξεως ἀποκεχωρηκέναι, μόνῳ σχολάζοντα τῷ σώματι, δεύτερον δὲ, μεθ' ὑποθέσεως, ἢ τέχνης, ἢ πράξεως, ἢ ἐπιτηδεύματος, ἢ ὑπηρεσίας τινὸς, ἤτοι πολιτικῆς, ἢ ἰδιωτικῆς, ἢ ὅλως ἀναγκαίας ἀσχολίας. οὐ δὴ γὰρ ἄλλως ἢ σαφὴς ὁ λόγος, οὔτ' εὐμνημόνευτος, οὔτε μεθόδῳ περαινόμενος ἡμῖν γίνοιτο, χωρὶς τῆς εἰρημένης ἄρτι τάξεως. ἐπὶ δὲ τὴν πρώτην ἀνέλθωμεν ὑπόθεσιν.

Ἐπιδείξωμέν τε ὅπως ἄν τις ἀρίστης τυχὼν κατασκευῆς σώματος ἀποχωρήσας ἁπάντων τῶν κατὰ τὸν βίον εἰς τὸ κοινὸν συντελούντων, ἑαυτῷ μόνῳ ζήσει. μήτε νοσήσας, μηδέ ποτε καθόσον οἷόν τε, μήτε ἀποθανὼν ἔμπροσθεν τοῦ μηκίστου χρόνου τῆς ζωῆς. ἄφθαρτον μὲν γὰρ ποιῆσαι, τὸ γεννητὸν, οὐχ οἷόν τε, κἂν ὅτι μάλιστα τῶν καθ' ἡμᾶς νῦν τις ἀνὴρ φιλόσοφος, ἐπειρᾶτο δεικνύναι τοῦτο διὰ τοῦ θαυμασίου τούτου συγγράμματος ἐν ᾧ διδάσκει τὴν ὁδὸν τῆς ἀθανασίας, ἐπὶ πλεῖστον δὲ χρόνον προσῆκον ἐγχωρεῖ ποιῆσαι τὸ σῶμα, καὶ μάλιστα τοῦ κάλλιστα πεφυκότος. ἔνια γοῦν οὕτως εὐθὺς ἐξ ἀρχῆς κατεσκεύασται κακῶς, ὡς μηδ' εἰς ἑξηκοστὸν ἔτος ἀφικέσθαι δύνασθαι κἂν αὐτὸν αὐτοῖς ἐπιστήσῃς τὸν Ἀσκληπιόν, ἀλλ' οὐ νῦν περὶ ἐκείνων ὁ λόγος. ἐπὶ δὲ τὸν κατεσκευασμένον ἄριστα, πάλιν ἐπανελθεῖν ἀναμνήσωμεν ὧν ἐν ἀρχαῖς ἀπεδείξαμεν ὡς ἐσθίειν μὲν καὶ πίνειν ἀναγκαῖον ἡμῖν, ἐπειδὴ διαπαντὸς ἀπορρεῖ τι τοῦ σώματος. ἐπεὶ δὲ ἐσθίομέν τε καὶ πίνομεν, ἀναγκαῖον αὖθις ἐστὶν, τῆς τῶν περιττωμάτων προνοεῖσθαι κενώσεως. ἐπεὶ δὲ τούτων ἐστὶν εἴδη πολλὰ, τὰ μὲν, τῆς ἐν τῇ γαστρὶ πεττομένης τροφῆς. τὰ δὲ, τῆς ἐν ἥπατι καὶ ἀρτηρίαις καὶ φλεψί. τὰ δὲ, τῆς καθ' ἕκαστον μόριόν ἐστι περιττώματα, χρὴ δή που καὶ τὴν κένωσιν αὐτῶν, ἰδίαν εἶναι, καθ' ἕκαστον. ὥσπερ γε καὶ ἡ φύσις αὐτὴ, φαίνεται τοῦτ' ἐξ ἀρχῆς ἐργαζομένη. παρεσκεύασεν γὰρ τοῖς ζῴοις ὄργανα πολλά. τὰ μὲν, ἐκκαθαίροντά τε καὶ διακρίνοντα ταυτὶ τὰ περιττώματα, τὰ δὲ, παράγοντα, τὰ δὲ ἀθροίζοντα, τὰ δὲ ἐκκρίνοντα. καὶ λέλεκται μὲν ὑπὲρ ἁπάντων ἐπὶ πλέον ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι. κἀν τοῖς περὶ χρείας μορίων. ἐν δὲ τῷ παρόντι ἔσται καὶ ταῦθ' ἡμῖν, ὑπόθεσις τῶν λόγων. τὸ μὲν γὰρ πρῶτον περίττωμα, διακρίνεταί τε καὶ προπέμπεται κατὰ βραχὺ διὰ πάντων τῶν ἐντέρων ἄχρι τῆς κατὰ τὸ καλούμενον ἀπευθυσμένον ἀξιολόγου κοιλότητος, ἧς κατὰ τὸ πέρας ἐπίκεινται μύες εἴργοντές τε καὶ κατέχοντες ἔνδον αὐτὸ, καὶ κωλύοντες ἀκαίρως ἐκρεῖν. ἐπειδὰν δ' ἱκανῶς ἀθροισθὲν ἀνιαρὸν ᾖ τῷ ζῴῳ, τηνικαῦτα παρίασιν ἔξω φέρεσθαι συντελούντων πρὸς τὸ τάχος τῆς ἀφόδου, τῶν κατ' ἐπιγάστριον μυῶν ἅμα τῷ διαφράγματι. τὸ δ' ἐν ἥπατι περίττωμα. τὸ μὲν, οἷόν περ τὸ καλούμενον ἄνθος ἐν τοῖς οἴνοις ἐστὶ, τὸ δ' οἷόν περ ἡ τρύξ. ἕλκεται δὲ τὸ μὲν ἕτερον ὑπὸ τῆς ὑποκειμένης τῷ σπλάγχνῳ κύστεως, τὸ δ' ἕτερον ὑπὸ τοῦ σπληνός. ἀθροισθέντα δὲ ἐν τούτοις, ἐκκρίνεται. τὸ μὲν, εἰς τὴν ἀρχὴν τῶν λεπτῶν ἐντέρων. τὸ δ' εἰς αὐτὴν τὴν γαστέρα. καὶ ἀπὸ τούτων ἤδη διὰ πάντων τῶν ἐντέρων, ἅμα τῷ ξηροτέρῳ περιττώματι τῆς τροφῆς διεξέρχεται. τὸ δὲ ἐν φλεψὶ καὶ ἀρτηρίαις περίττωμα, τοιοῦτόν ἐστιν, οἷον ὀρρὸς ἐν τῷ πηγνυμένῳ γάλακτι, καθήραντες δὲ καὶ τοῦτο οἱ νεφροὶ, τῇ κύστει παραπέμπουσιν. εἰ δ' ἀθροίζοι, τρόπον ὁμοιότατον τῷ πρόσθεν εἰρημένῳ περὶ τοῦ ξηροῦ περιττώματος (ἐπίκειται γάρ τις καὶ τῇδε κατὰ τὸν ἔκρουν, ἐπικάρσιος μῦς, κλείων οὕτως ἀκριβῶς τὸ στόμιον, ὡς μηδὲν ἔξω παραρρεῖν) ἐπειδὰν δὴ καὶ τοῦθ' ἱκανῶς ἤδη γινόμενον ἀνιᾷ τὸ ζῷον, ἀφίσταται μὲν ὅμως τῆς φρουρᾶς, ἀνιείς τε καὶ χαλῶν ἑαυτὸν, ἐκκρίνει δὲ τὸ περιττὸν ἅπαν ἡ κύστις συμβοηθούντων αὖ καὶ τῇδε πρὸς τὸ τάχος τῆς τῶν ξηρῶν περιττωμάτων ἐξόδου μυῶν, τῶν κατὰ τὸ ἐπιγάστριον. τὸ δ' ὑπόλοιπον γένος τῶν περιττωμάτων, γίνεται μὲν ἐν ἑκάστῳ μορίῳ τοῦ τρέφοντος αὐτὰ χυμοῦ. τὸ μὲν, οἷον ἡμίπεπτόν τι λείψανον ἀδυνατῆσαν ἐξομοιωθῆναι τῷ τρεφομένῳ. τὸ δ' ὅπερ ἦν ἔμπροσθεν ἀναδόσεως ὄχημα, πληρῶσαν τὴν χρείαν, ὑγρὸν καὶ λεπτὸν ὄν, οἷόν περ τὸ

περιειρημένον ὀῤῥῶδες ἐκ τῶν ἀγγείων εἰς τὴν κύστιν περιῤῥεῖ. τούτῳ γὰρ τῷ περιττώματι πόρος μὲν οὐδείς ἐστιν ἀποτεταγμένος ὑπὸ τῆς φύσεως, ἐκκρίνεται δὲ διά τε τῶν μαλακῶν σωμάτων φερόμενον, εἰκόντων αὐτοῦ τῇ ῥύμῃ, καὶ μάλιστα ὅταν ὑπὸ πνεύματος ἀθροωτέρου ὁρμήσαντος ὠθεῖται. καὶ μέντοι, καὶ διὰ τῶν σμικρῶν ἁπάντων πόρων, ὧν ἐστὶ πλῆρες ὅλον τε τὸ σῶμα καὶ σύμπαν τὸ δέρμα. λέγεται δ' ὑπὲρ τῆς γενέσεως αὐτῶν ἐν τῇ περὶ κράσεων. τὸ μὲν δὴ λεπτότατον περίττωμα ῥᾳδίως ἐκκρίνεται, πρός τε τῆς ἐμφύτου θερμότητος εἰς ἰδέαν ἀτμοῦ λυόμενον, ὑπό τε βιαίας κινήσεως ἀθρόως ἐκρηγνύμενον. ὀνομάζεται δὲ τὸ μὲν οὕτως ἐκκριθὲν, ἱδρώς. τὸ δὲ ἕτερον, οὐδὲν ἔχον ὄνομα, ὅτι οὐδὲ γινώσκεται τοῖς πολλοῖς, ἅτε τὴν ὄψιν ἐκφεῦγον ὑπὸ λεπτότητος ἄδηλος αἰσθήσει διαπνοὴ κέκληται πρὸς αὐτῶν τῶν φωρασάντων αὐτὸ διὰ λογισμῷ. κατὰ τὴν δὲ τὴν ἄδηλον αἰσθήσει διαπνοὴν. ἐκκρίνεταί τι καὶ τοῦ παχυτέρου περιττώματος. ἰσχυροτέρας δὲ δεῖ τῷδε καὶ τῆς ἀγούσης θερμότητος καὶ τῆς ὠθούσης ῥύμης, ἢ κίνδυνος αὐτῷ στῆναι κατά γε τὸ δέρμα πρὶν ἀφικέσθαι πρὸς τὸ πέρας. ἐκ τούτου τοῦ περιττώματος, ἥ τε τῶν τριχῶν ἐδείκνυτο γένεσις, οὐχ ἥκιστα δὲ καὶ ὁ περὶ τοῖς δέρμασιν ἀθροιζόμενος ἅπασι ῥύπος. Εἴρηταί μοι σχεδὸν τὰ ἀναγκαῖα ἅπαντα τοῦ λόγου κεφάλαια τῆς τῶν περιττωμάτων γενέσεώς τε ἅμα καὶ κενώσεως. ἀποδεδειγμένα μὲν ἐν ἑτέραις πραγματείαις, ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα, μελλήσοντα δ' ὑποθέσεις ἀναγκαῖαι γενήσεσθαι τοῖς νῦν ἐνεστηκόσι λόγοις. ἐπειδὴ γὰρ ἐκκενοῦσθαι χρὴ ταῦτα μοχθηρὰ ταῖς ποιότησιν ὑπάρχοντα, κἂν Ἀσκληπιάδης μὴ βούληται, χρὴ πρῶτον μὲν ἐπίστασθαι τὰς αἰτίας αὐτῶν τῆς ἐπισχέσεως. ἐφεξῆς δὲ πειρᾶσθαι μή τι περιπίπτειν αὐταῖς. εἰ δὲ καὶ περιπέσοιμέν ποτε, διὰ ταχέων ἐπανορθοῦσθαι τὸ σφάλμα πειρᾶσθαι. τὸ μὲν δὴ μὴ περιπίπτειν ἐκ τοῦ γινώσκειν πότερον αὐτάρκως ἀποκρίνεται, ἢ μή, περιγίνεται. τὸ δ' ἐπανορθοῦσθαι μεθόδου τινὸς ἑτέρας προσδεῖται. λεγέσθω δὴ πρῶτον μὲν, ὑφ' ὧν ἴσχεται τῶν εἰρημένων ἐκκρίσεων ἑκάστη. δεύτερον δὲ ὅπως ἄν τις ἐπεσχημένην αὐτὴν, προτρέψει. ἡ μὲν δὴ τῶν περὶ τὴν γαστέρα περιττωμάτων ἐπίσχεσις, ἤτοι διὰ τὰ λαμβανόμενα σιτία τε καὶ ποτὰ γίγνοιτ' ἄν, διὰ τὴν γαστέρα μετὰ τῶν ἐντέρων. διὰ τὰ μὲν σιτία καὶ ποτὰ, παρά τε τὴν ποιότητα καὶ ποσότητα τῶν ληφθέντων, ἔτι τε πρὸς τούτοις τάξιν τε καὶ τὸν τρόπον τῆς χρήσεως. περὶ μὲν τὴν ποιότητα, στρυφνῶν ἢ αὐστηρῶν ταῖς συστάσεσιν ὑπαρχόντων, περὶ δὲ τὴν ποσότητα τοῦ προσήκοντος πλειόνων ἢ ἐλαττόνων. παρὰ δὲ τὴν τάξιν, εἰ τὰ μὲν ξηρὰ καὶ στύφοντα πρότερον, τὰ δὲ ὑγρὰ καὶ λιπαρὰ καὶ γλυκέα, δεύτερα προσενέγκαιτο. παρὰ δὲ τὸν τρόπον τῆς χρήσεως, εἰ δέον δὶς σιτεῖσθαι, πᾶσαν εἰς ἅπαξ προσενέγκαιτο τὴν τροφήν. ἡ δὲ περὶ τὴν γαστέρα, τε καὶ τὰ ἔντερα τῆς ἐπισχέσεως τῶν περιττωμάτων αἰτία, διά τε τὴν φύσιν αὐτῶν, καὶ διὰ τὴν ἐπίκτητον γίνεται διάθεσιν. αἱ μὲν δὴ περὶ τὴν φύσιν αὐτῶν αἰτίαι, μοχθηρῶν εἰσὶ τοῦ σώματος κατασκευῶν, ὡς ἐν τῷ περὶ ἐκείνων εἰρήσεται λόγῳ. περὶ δὲ τῶν ἐπικτήτων ἐν τῷδε ῥητέον. ὀκτὼ διαφοραὶ τῆς γαστρὸς τῶν προσφάτων εἰσὶ διαθέσεων, ἅπασαι δυσκρασίαι κατὰ γένος ὑπάρχουσαι, τέσσαρες μὲν ἁπλαῖ θερμότης, ψυχρότης, ξηρότης, καὶ ὑγρότης. τέσσαρες δὲ ἄλλαι σύνθετοι. θερμότης τε ἅμα καὶ ξηρότης. καὶ θερμότης ἅμα ὑγρότητι. καὶ ψυχρότης ἅμα καὶ ξηρότης, καὶ ψυχρότης ἅμα ὑγρότητι. χρὴ δὲ εἰς τοσοῦτον ἥκειν μεγέθους ἑκάστην τῶν δυσκρασιῶν, ὡς ἀσθενῆ φανερῶς ἐργάζεσθαι τὴν προωστικὴν δύναμιν, ἤτοι τῆς γαστρὸς μόνης, ἢ τῶν λεπτῶν ἐντέρων, ἢ τῶν παχέων, ἢ καὶ συμπάντων ἅμα τῶν εἰρημένων, ἢ τινῶν ἐν αὐτοῖς. συνίστανται δ' αἱ τοιαῦται δυσκρασίαι, ποτὲ μὲν ἀπὸ τῶν εἴσω τοῦ σώματος λαμβανομένων. ἔστι δ' ὅταν καὶ ἀπὸ τῶν ἔξωθεν προσπιπτόντων. ἀπὸ μὲν εἴσω τοῦ σώματος, ὁπόθ' ἐν ταῖς τροφαῖς, ἢ τοῖς σώμασι φαρμακωδεστέρα τις ἡ δύναμις, ἢ θερμαινόντων, ἢ ψυχόντων, ἢ ξηραινόντων, ἢ ὑγραινόντων, ἢ θερμαινόντων, τε ἅμα καὶ ξηραινόντων, ἢ καὶ κατ' ἄλλην τινὰ συζυγίαν ἐνεργούντων. ἀπὸ δὲ τῶν ἔξωθεν προσπιπτόντων, ἤτοι τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἀμέτρως θερμαίνοντος, ἢ ξηραίνοντος ἢ ὑγραίνοντος, ἢ κατὰ συζυγίαν τινὰ τούτων ἐνεργοῦντος, ἢ ἀπό τινος ὕδατος ἐν ᾧ τις ἔτυχε λουσάμενος, ἢ ἀλείμματός τινος, ἢ ἁπλῶς ὁτουδὴ τινος ἑτέρου προσπεσόντος ἔξωθεν τῇ γαστρὶ θερμαίνειν ἢ ψύχειν ἢ ξηραίνειν, ἢ ὑγραίνειν ἀμέτρως δυναμένου, διὰ ταύτας μὲν δὴ τὰς αἰτίας, ἐπέχεται γαστήρ. τὸ δὲ πικρόχολον περίττωμα διά τε τὴν ἀῤῥωστίαν τῆς ἑλκούσης, ἢ ἐκκρινούσης αὐτὸ δυνάμεως, καὶ διὰ στενοχωρίαν τῶν παραγόντων τε καὶ ἐκκρινόντων ὀργάνων. ἀλλ' ἡ μὲν ἀῤῥωστία τῆς τε κύστεως ὅλης τῆς ἐπὶ τῷ ἥπατι, καὶ τῶν ἀπ' αὐτῆς εἰς τὸ σπλάγχνον ἀγόντων στομάτων, καὶ τῶν εἰς τὸ ἔντερον ἐξερευγομένων πόρων, ἐπὶ προσφάτῳ δυσκρασίᾳ γίγνοιτ' ἄν, ἐφ' ἧς πρόσθεν καὶ ἡ προωστικὴ δύναμις ἐλέγετο βλάπτεσθαι, τῶν ἐντέρων τε καὶ τῆς γαστρός, ἡ δὲ στενοχωρία, ἢ σκίῤῥον, ἢ ἔμφραξιν, ἢ τὴν ἐκ τῶν περιεχόντων αὐτὰ θλίψιν, ἢ μύσιν τῶν στομάτων. αὗται δ' αἱ θλίψεις, ἐκ τῶν περιεχόντων, ἢ διὰ πλῆθος ἄμετρον τῶν ἐν αὐτοῖς περιεχομένων, ἢ διὰ φλεγμονὴν, ἢ σκίῤῥον, ὥσπερ γε καὶ ἡ μύσις, διά τι τούτων ἢ ξηρότητα τῆς ξηρότητος δ' αὐτῆς αἰτίαι, τά τε στύφοντα σφοδρῶς ἐστὶ καὶ τὰ θερμαίνοντα μετὰ τοῦ ξηραίνειν, τὰ μὲν γὰρ ἐκθλίβοντά τε τὴν ὑγρότητα, καὶ αὐτὰ τὰ πεφυκότα συνάγοντά τε καὶ σφίγγοντα, καὶ πιλοῦντα. τὰ δὲ διαφοροῦντα τὰς ὑγρότητας τὴν ξηρότητα ἐργάζεται. φλεγμονὴ γὰρ καὶ σκίῤῥος, ἤδη γε νοσήματα φανερῶς ἐστίν. ὥστ' ἐκπέπτωκεν τῆς ὑγιεινῆς πραγματείας. τε περὶ αὐτῶν εὐκαιρότερον εἰρήσεται, κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδὲ τὸν μελαγχολικὸν ἐκκαθαρήσεταί ποτε περίττωμα, τοῦ μὲν σπληνὸς ἀνάλογον ἔχοντος τῇ χοληδόχῳ κύστει. τῆς δ' εἰς αὐτὸν τεταγμένης φλεβὸς, ἀπὸ πυλῶν τοῦ ἥπατος, τοῖς ἕλκουσιν ἀγγείοις τὸ χολῶδες περίττωμα. τῆς δ' ἐκ τοῦ σπληνὸς εἰς τὴν γαστέρα φερομένης φλεβὸς, κατὰ τὴν χολὴν ἐξερευγομένῳ πόρῳ, τὸ δὲ καθ' ἕκαστον τῶν τρεφομένων τοῦ ζώου μορίων περίττωμα, διά τε πλῆθος καὶ πάχος αὐτοῦ καὶ πρὸς ἔτι γλισχρότερον, ἢ δι' ἀῤῥωστίαν τῆς λυούσης αὐτὸ θερμότητος, καὶ διὰ στενοχωρίαν τῆς διεξόδου κωλυθήσεται. πλῆθος μὲν δὴ καὶ πάχος καὶ γλισχρότης, ἤτοι γε ἐκ τῆς τῶν πομάτων τε καὶ ἐδεσμάτων γίνεται φύσεως, ἢ ἐκ προσφάτου τινὸς ἀῤῥωστίας τῆς ἀλλοιωτικῆς ἐν τῷ τρεφομένῳ δυνάμεως. ἡ δ' ἀσθένεια τῆς λυούσης αὐτὸ θερμότητος, ἀγυμνασίας ἔκγονος ὑπάρχει. καὶ ἡ στενοχωρία δὲ τῆς διεξόδου διὰ σκίῤῥον καὶ φλεγμονὴν ἔμφραξίν τε καὶ θλίψιν καὶ μύσιν γίνεται. τούτων δὲ ἑκάστου τὴν γένεσιν, ὀλίγῳ πρόσθεν εἰρήκαμεν. Ἔνια δὲ μέντοι μόρια πρὸς τοῖς ἀδήλοις τούτοις πόροις, ἑτέρους τινὰς

ρους τινὰς ἔχει σαφεῖς καὶ αἰσθητούς, ὥσπερ ἐγκέφαλός τε καὶ ὀφθαλμός. καὶ τοῦτο γίνεται πρὸς τῆς φύσεως, ἢ διὰ τὸ κύριον τοῦ μέρους, ἢ διὰ τὴν ἀκρίβειαν τῆς ἐνεργείας, ἢ διὰ πυκνότητα τῶν περιεχόντων σωμάτων. ὁ μὲν γὰρ ἐγκέφαλος, οἶκος τίς ἐστιν τῆς λογικῆς ψυχῆς, καὶ στεγανῷ περιλαμβανόμενος ὀστῷ, διὰ μεγίστων τε καὶ πλείστων ὀχετῶν ἐκκαθαίρεται. πρῶτον μὲν, τῶν κατὰ τὰς ῥῖνας τε καὶ τὴν ὑπερῴαν. δεύτερον δὲ τῶν καθ' ἑκάτερον οὖς. καὶ τρίτον, τῶν κατὰ τὰς τοῦ κρανίου ῥαφάς. οὐκ ἀπεικὸς δὲ καὶ εἰς τοὺς ὀφθαλμοὺς τι συρρεῖν, ἐξ αὐτοῦ. ὁ δὲ ὀφθαλμὸς οὐχ ὡς κύριος ἔτι οὕτως γε, ἀλλ' ὡς ἀκριβῶς καθαρὸς εἶναι δεόμενος, εἰς τὴν τῆς ἐνεργείας ἀκρίβειαν, αἰσθητοῖς τε ἐκκενοῦται πόροις, ἅπαν ὅσον ἐν αὐτῷ περίττωμα γεννᾶται, κατά τε τὴν ῥῖνα καὶ κατὰ βλέφαρα. Τὰ μὲν οὖν τῶν περιττωμάτων αἴτια τε καὶ ὄργανα λέλεκται. ὅπως δ' ἄν τις ταῦτα κατεχόμενα κενώσῃ, ἐφεξῆς λεκτέον, ἀρξαμένους αὖθις ἀπὸ τῶν κατὰ τὴν γαστέρα. κοινὸν μὲν οὖν ἐπὶ πάντων παράγγελμα, τὴν ἐναντίαν τῇ τὴν βλάβην ἐργασαμένῃ προσάγειν. ἴδιον δὲ καθ' ἑκάστην, εἰ μὲν ὀλιγώτερα καὶ ξηρότερα προσαράμενος ἐπισχεθῇ τὴν γαστέρα, πλείω τε ἅμα προσφέρειν καὶ ὑγρότερα. εἰ δὲ ξηρότερα, πλείω μὲν μὴ προσφέρειν ὑγρότερα δέ. εἰ δ' αὖ στυφὰ καὶ στρυφνὰ, γλυκέσι τε καὶ λιπαροῖς οὐδιωκεῖν. εἰ δὲ τῇ τάξει πλημμελῶς, εἰς τὸ δέον ἐπανάγειν. εἰ δὲ ἅπαξ ἀντὶ τοῦ δίς, οὐ μόνον δίς, ἀλλὰ καὶ πολλάκις προσφέρειν. κατὰ δὲ τὸν αὐτὸν τρόπον τὰς προσφάτους δυσκρασίας ἐξιᾶσθαι τοῖς ἐναντίοις. ὑγραίνοντα μὲν, εἰ ξηρανθείη. θερμαίνοντα δὲ εἰ ψυχθείη κἀπὶ τῶν ἄλλων ποιοτήτων ἀναλόγως. αἱ δ' ὗλαι τούτων ἐν ταῖς περὶ τῶν φαρμάκων ἡμῖν γεγραμμέναις πραγματείαις εἴρηνται.

Ἐπισχεθείσης δὲ τῆς ξανθῆς χολῆς, ἐπὶ μὲν ἐμφράξει, τῇ λεπτυνούσῃ διαίτῃ χρηστέον. εἴρηται δ' ἡ ὕλη τῆς τοιαύτης διαίτης, ἑτέρωθι δι' ἑνὸς γράμματος. ἐπὶ δὲ θλίψεσι, ταῖς μὲν διὰ τὴν τῶν ὁμιλούντων τοῖς χολοδόχοις πόροις σωμάτων, ἄμετρον πλήρωσιν, εἰ μὲν διὰ πάχος χυμῶν, τῇ λεπτυνούσῃ διαίτῃ χρηστέον. εἰ δὲ διὰ πλῆθος, τῇ κενώσει. εἰ δὲ διὰ φλεγμονὴν ἢ σκίρρον, ἐκπέπτωκεν ἤδη τὰ τοιαῦτα τῆς ὑγιεινῆς πραγματείας. εἰ δὲ διὰ δυσκρασίαν ὑπόγυιον ἀντεισάγοντα τὴν ἡττημένην ποιότητα. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἰᾶσθαι χρὴ τὴν μύσιν τῶν στομίων. ἐπὶ μὲν τοῖς αὐστηροῖς γινομένην, τὰ λιπαρὰ καὶ γλυκέα κελεύοντα λαμβάνειν, ἐπὶ δὲ τοῖς θερμαίνουσι καὶ ξηραίνουσιν, ὅσα ψύχει καὶ ὑγραίνει. λεχθήσεται δ' ἡ τῶν τοιούτων ὕλη, ἐν τοῖς ἑξῆς ὑπομνήμασιν. Ὁ αὐτὸς δὲ τρόπος ἐστὶ τῆς καθάρσεως, ἐπισχεθείσαις κατὰ τρίτῳ γένει τῶν περιττωμάτων, ὃ καθ' ἕκαστον τοῦ ζώου μόριον ἔφαμεν συνίστασθαι. εἰ μὲν γὰρ μύσει τὰ στόματα τῶν πόρων, ἐπανορθοῦσθαι χρὴ διὰ τῶν ἐναντίων τοῖς βλάψασι. τὰς μὲν ἐπὶ τοῖς ψύχουσιν αἰτίοις στεγνώσεις, ἐκθερμαίνοντα, καθάπερ ὅσαι πυκνωθέντων ἡμῶν ὑπὸ κρύους γίνονται. τὰς δὲ ἐπὶ θερμότητι καὶ ξηρότητι ἐμψύχοντά τε καὶ ἀνυγραίνοντα, καθάπερ ὅσαι δι' ἐγκαύσεις, οὕτω δὲ καὶ ὅσαι διά τε τῶν στυφόντων προσέπεσον, ὥσπερ ὅσα τῶν ὑδάτων ἐστὶ στυπτηριώδη, λιπαραῖς τε καὶ μαλακαῖς τρίψεσιν ἅμα τοῖς τῶν γλυκέων ὑδάτων λουτροῖς. εἰ δὲ ἐμφραχθεῖεν οἱ πόροι διὰ πάχος ἢ πλῆθος ἢ γλισχρότητα περιττωμάτων, ἡ λεπτύνουσα δίαιτα τούτοις ἁρμόσει, καὶ ὅσα τέμνει καὶ θερμαίνει φάρμακα, τὰ μὲν, εἴσω τοῦ σώματος λαμβανόμενα, τὰ δὲ, ἔξωθεν ἐπιτιθέμενα, καὶ πρὸ τούτων ἁπάντων γυμνάσια, καὶ γὰρ καὶ ταῦτα λύειν τε δύναται τὰ περιττώματα, καὶ διὰ τῶν πόρων ἐκκενοῦν. καὶ τοσούτῳ πλεονεκτεῖν τῶν λεπτυνόντων ἐδεσμάτων τε καὶ φαρμάκων, ὅσῳ βέλτιόν ἐστι μηδὲν βλαπτομένου εἰς τὴν τῶν σωμάτων ἕξιν ἐκκενοῦσθαι τὰ περιττὰ τοῦ σώματος, τοῦ σὺν τῷ τάς τε σάρκας συντήκεσθαι καὶ ἰσχνοῦσθαι τὰ στερεά. αὗται μὲν γὰρ αἱ βλάβαι τοῖς θερμοῖς τε καὶ λεπτύνουσιν ἐφεδρεύουσι φαρμάκοις. ἐπὶ δὲ τοῖς γυμνασίοις οὐ μόνον οὐδὲν τοιοῦτον, ἀλλὰ καὶ ῥώμη τοῖς ὀργάνοις ἐγγίνεται, τῆς θερμότητος ἀναζωπυρουμένης αὐτῆς, κἀκ τῆς πρὸς ἄλληλα τῶν σωμάτων παρατρίψεως, σκληρότητός τε τινὸς καὶ δυσπαθείας ἐγγιγνομένης. ὡς δ' ἄν τις ἐν καιρῷ γυμνάζοιτο, καὶ μέτρῳ τῷ προσήκοντι χρῷτο, καὶ τάξει καὶ ποιότητι τῶν κατὰ μέρος ἐνεργειῶν τῇ δεούσῃ, νυνὶ μὲν οὐ πρόκειται λέγειν. ὥσπερ οὐδὲ περὶ τροφῆς καὶ καιροῦ καὶ μέτρου καὶ τάξεως καὶ ποιότητος. οὐδὲ περὶ τῶν λεπτυνόντων ἐδεσμάτων, καὶ πομάτων, οὐδὲ περὶ τῶν ἀλλοιούντων κατὰ ποιότητα φαρμάκων. οὐδενὸς γὰρ αὐτῶν οὐδέπω, τὴν κατὰ μέρος εἴπομεν χρῆσιν. ἀλλ' ἠρκέσθημεν ἐπὶ κεφαλαίων μόνον διελθεῖν. ἐν δὲ τοῖς ἑξῆς ὑπομνήμασιν, ὑπὲρ ἁπάντων ἐπὶ πλέον εἰρήσεται. νυνὶ μὲν γὰρ εἰς σύνοψιν ἀγαγεῖν ἠβουλήθην ἅπασαν τὴν πραγματείαν. ὡς μηδὲ μίαν ὕλην λαθεῖν, ἧς ἔμπειρον εἶναι χρὴ τὸν ὑγιεινόν. οὐδὲν γὰρ χεῖρον, ὑγιεινὸν ὀνομάσαι τὸν ἐπιστήμονα τῆς ὑγιεινῆς ἁπάσης τέχνης, ὥσπερ τὸν μόνης τῆς περὶ τὰ γυμνάσια γυμναστήν. αὐτὰρ οὖν καὶ ὠνόμασεν Ἐρασίστρατος οὕτως αὐτόν. ἐν δὲ τοῖς ἑξῆς ὑπομνήμασιν, ἑκάστης τῶν εἰρημένων ὑλῶν ἐπισκεψόμεθα, τόν τε καιρὸν καὶ τὴν ποιότητα καὶ τὸν τρόπον τῆς χρήσεως. ὡς μηκέτι ὕλην μόνον, ἀλλ' ὑγιεινὸν αἴτιον γίνεσθαι. ἐν τρισὶ γὰρ τούτοις γένεσι πρώτοις, ἐστὶν ἡ ὑγιεινὴ πραγματεία, καθάπερ καὶ ἡ θεραπευτική. σώμασί τε καὶ αἰτίοις καὶ σημείοις. σώμασι μὲν, αὐτοῖς τοῖς ὑγιαίνουσι, ἃ χρὴ φυλάττεσθαι τοιαῦτα. σημείοις δὲ, τοῖς συμβεβηκόσιν αὐτοῖς, ἐξ ὧν διαγινώσκεται. αἰτίοις δὲ ὑφ' ὧν ἡ φυλακὴ τῆς ὑγιείας γίγνεται. τέτταρες δὲ τῆς τούτων ὕλης τὰς διαφορὰς, οἱ δοκιμώτατοι τῶν νεωτέρων ἰατρῶν ἔθεντο προσφερόμενα, ποιούμενα, κενούμενα, καὶ ἔξωθεν προσπίπτοντα. προσφερόμενα μὲν ἐδέσματά τε καὶ πόματα καὶ εἴδη τινὰ τῶν φαρμάκων ἔσω τοῦ σώματος λαμβανόμενα, καὶ τὸν εἰσπνεόμενον ἀέρα. ποιούμενα δὲ, τρίψεις τε καὶ περιπάτους, καὶ ὀχήσεις, καὶ ἱππασίαν, καὶ κίνησιν σύμπασαν. εἰ δ' οὐ πᾶσα κίνησις ἐστὶ γυμνάσιον, ἀλλ' ἡ σφοδροτέρα μόνον, προσκείσθω ὧδε τῇ κινήσει, τὸ γυμνάσιον, ὡς εἶναι τὰ ποιούμενα, κινήσεις τε καὶ γυμνάσια. συγκαταριθμοῦνται δὲ τῷ γένει τῶν αἰτίων τούτων δὲ καὶ ἐγρηγόρσεις, καὶ ὕπνοι, καὶ ἀφροδίσια. τὰ δὲ ἔξωθεν προσπίπτοντα πρῶτος μὲν ὁ περιέχων ἀήρ, ἔπειθ' ὅσα λουομένοις, ἢ ἀλειφομένοις προσπίπτει τῷ δέρματι, καὶ εἴ τι φάρμακόν ἐστιν, οὐκ ἐκβαῖνον ὅρους ὑγιεινοῦ, ὥσπερ ἅλες, ἢ μύρα. ἢ νίτρον, ἢ ἀφρόνιτρον, ἤ τι τῶν αὐτοφυῶν ὑδάτων θερμῶν. ἡ δὲ τῶν κενουμένων ὕλη, προείρηται μὲν ὀλίγον ἔμπροσθεν. εἰ δ' ὀρθῶς ἀντιδιῄρηται τοῖς προειρημένοις τρισὶ γένεσι τῶν αἰτίων, οὐ ῥᾴδιον ἀποφήνασθαι. τάχα γὰρ ἦν βέλτιον, ὑπὸ μὲν τῶν προσφερομένων καὶ ποιουμένων καὶ προσπιπτόντων ἔξωθεν, ἀλλοιοῦσθαί τε καὶ μετακοσμεῖσθαι φάναι, τὰ κατὰ τὸ σῶμα. τὸ μεταβολὴν δὲ αὐτῶν γίνεσθαι κατά τε τὸ ποιόν, καὶ κατὰ τὸ ποσόν, καὶ κατὰ μὲν τὸ ποιόν, ἐν τῷ θερμαίνεσθαι

καὶ ψύχεσθαι, καὶ ξηραίνεσθαι, καὶ ὑγραίνεσθαι, κατὰ δὲ τὸ ποσὸν, ἐν τῷ τρέφεσθαι, καὶ κενοῦσθαι. καὶ αὐτήν γε τὴν κένωσιν εἶναι διττὴν, ἑτέραν μὲν, τῶν περιττωμάτων, ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν ἐλέγομεν, ἑτέραν δὲ, τὴν αὐτῆς οἰκείας οὐσίας ἡμῶν φύσεως ἀπορρεούσης, ἥτις ἀντίκειται τῇ θρέψει. ἐπισημήνασθαι δὲ κἀνταῦθα χρὴ, τὴν ὁμωνυμίαν ἣν Ἱπποκράτης ἐν τῷ περὶ τροφῆς συγγράμματι διείλετο φάμενος ὧδε. τροφὴ δὲ καὶ τρέφον, τροφὴ δὲ καὶ τὸ οἷον, τροφὴ καὶ τὸ μέλλον. τὸ μὲν γὰρ κατὰ τὸ πρῶτον σημαινόμενον, τροφῇ τε καὶ πέψει, τὴν ἀπόρροιαν τῆς οὐσίας ἀντιδιαιρεῖσθαι χρὴ, τῇ δὲ κατὰ τὸ δεύτερον, αἱμορραγίαν τε καὶ ἁπλῶς εἰπεῖν αἵματος ἅπασαν κένωσιν, τῇ δὲ κατὰ τὸ τρίτον, ἔμετόν τε καὶ λειεντερίαν. ἀλλὰ περὶ μὲν τῶν τοιούτων διαιρέσεων, ὅπως ἄν τις ἐθέλοι, τιθέσθω. τῶν δ' ὑλῶν ἁπασῶν τῶν ὑγιεινῶν ἐπίστασθαι ἀναγκαῖον τὰς δυνάμεις, τὸν τὴν ὑγιεινὴν τέχνην μετιόντα. καὶ γὰρ ἡ ἐπιδέξιος αὐτῶν χρῆσις ἐντεῦθεν ὥρμηται. γίνεται δ' ἡ ἐπιδέξιος αὐτῶν χρῆσις, ἐὰν τόν τε καιρὸν ἑκάστου καὶ τὸ μέτρον εὕρωμεν, ὥστε ἐπὶ ταύτην χρὴ προτρέψαι μᾶλλον, οὐ τὰς μοχθηρὰς αἱρέσεις ἐξελέγχειν, ἀλλὰ καὶ ἐπειδὴ μέγεθος ἱκανὸν, ὁ πρῶτος ἤδη μοι λόγος ἔχει, τοῦτον μὲν ἐνταῦθα καταπαύσω, τὰ δ' ὑπόλοιπα τῆς πραγματείας, ἐν τοῖς ἑξῆς δίειμι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΥΓΙΕΙΝΩΝ ΛΟΓΟΣ Β'

Τὰ μὲν δὴ κεφάλαια, καὶ τοὺς σκοποὺς τῆς ὑγιεινῆς τέχνης, ὁ πρόσθεν λόγος εἴρηκεν, τὰ δὲ κατὰ μέρος ἅπαντα, πειρᾶσθαι χρὴ διελθεῖν. ἀρξαμένους αὖθις ἀπ' ἐκείνων, εἰς ἅπερ ἐτελεύτησε τὸ πρῶτον γράμμα. Ὑποκείσθω δή τις ἡμῖν τοῦ λόγου παῖς ὑγιεινότατος φύσει, τῆς τρίτης ἑβδομάδος ἐτῶν ἀρχόμενος, ἐφ' οὗ πλάττειν τε καὶ κοσμεῖν τὸ σῶμα προκείσθω. καθ' ὅσον οἷόν τε κάλλιστα, καὶ πρῶτον τοῦτ' αὐτὸ διοριστέον, τί ποτε βούλεται τοῦ λόγου. τὸ κάλλιστα προσκείμενον. βούλεται δὲ τόδε, ὥσπερ αὐτῶν τῶν σωμάτων ἐδείχθη παμπόλλη τις οὖσα διαφορὰ, κατὰ τὸν αὐτὸν τρόπον, καὶ τῶν βίων οὓς βιοῦμεν, εἴδη πάμπολλά ἐστιν. οὔκουν ἐγχωρεῖ τὴν ἀρίστην τοῦ σώματος ἐπιμέλειαν ἐν ἅπαντι τῷ προχειρισθέντι βίῳ συστήσασθαι, ἀλλὰ τὴν μὲν ἑκάστῳ βελτίστην, οἷόν τε, τὴν δ' ἁπλῶς ἀρίστην οὐκ ἐγχωρεῖ κατὰ πάντας τοὺς βίους ποιήσασθαι. πολλοῖς γὰρ τῶν ἀνθρώπων μετὰ περιστάσεως πραγμάτων, ὁ βίος ἐστί. καὶ βλάπτεσθαι μὲν ἀναγκαῖον ἐστὶν αὐτοῖς, ἐξ ὧν πράττουσιν. ἀποστῆναι δ' ἀδύνατον. ἔνιοι μὲν γὰρ, ὑπὸ πτωχείας εἰς τοὺς τοιούτους ἐμπίπτουσι βίους, ἔνιοι δ' ὑπὸ δουλείας, ἤτοι πατρόθεν εἰς αὐτοὺς καθηκούσης, ἢ αἰχμαλώτοις ληφθεῖσιν, ἢ ἁρπαχθεῖσιν, ἅσπερ καὶ μόνας δουλείας ὀνομάζουσιν οἱ πολλοὶ τῶν ἀνθρώπων. ἐμοὶ δὲ δοκοῦσι, καὶ ὅσοι διὰ φιλοτιμίαν, ἢ δι' ἐπιθυμίαν ἡντιναοῦν, εἵλοντο βίον ἐν περιστάσεσι πραγμάτων, ὡς ὀλίγιστα δύνασθαι σχολάζειν, τῇ τοῦ σώματος ἐπιμελείᾳ, καὶ οὗτοι δουλεύειν ἑκόντες, οὐκ ἀγαθαῖς δεσποίναις. ὥστε τούτοις μὲν, οὐκ ἐγχωρεῖ γράψαι τὴν ἁπλῶς ἀρίστην ἐπιμέλειαν τοῦ σώματος. ὅστις δὲ ἀκριβῶς ἐλεύθερος ὑπάρχει καὶ τύχῃ καὶ προαιρέσει, δυνατὸν ὑποθέσθαι τῷδε, ὡς ἂν ὑγιαίνῃ μάλιστα καὶ ἥκιστα νοσήσει καὶ γηράσειεν ἄριστα. καὶ μέν γε καὶ ἡ μέθοδος ὑγιεινὴ, καθάπερ οὖν καὶ ἄλλη πᾶσα μέθοδος, ἀρχὴν διδασκαλίας τοιαύτην ἐπιζητεῖ. τὸ γὰρ ἁπλοῦν καὶ ἄμεμπτον ἐν ἑκάστῳ γένει, καθάπερ τις κανὼν, ἁπάντων ἐθέλει προτετάχθαι τῶν οὐχ ἁπλῶν, οὐδ' ἀμέμπτων. ἁπλοῦν δὲ καὶ ἄμεμπτον ἐν μὲν τοῖς σώμασι, τὸ κατεσκευασμένον ἄριστά ἐστιν. ἐν δὲ τοῖς βίοις τὸ ἀκριβῶς ἐλεύθερον. ταῦτ' οὖν ἄμφω, πρῶτα συζευγνύσθω, κατὰ τόνδε τὸν λόγον εἶτ' ἐφεξῆς ἑκάστῃ κατασκευῇ σώματος μοχθηρᾷ, βίος ἐλεύθερος μιγνύσθω. κἄπειθ' ἑξῆς ἀρίστῃ κατασκευῇ σώματος, ἕκαστος τῶν ἐν δουλείᾳ τινὶ βίων. ἐπὶ δὲ τοῖσδε, τὰς μοχθηρὰς τῶν σωμάτων κατασκευὰς, ἐπαλλάξωμεν τοῖς μοχθηροῖς βίοις, εἰ μέλλει τέλειος ἡμῖν ὁ λόγος ἔσεσθαι. τίνα ποτ' οὖν ἀρχὴν τίθεσθαι προσήκει τῆς ὑγιεινῆς πραγματείας, τῷ κάλλιστά τε κατεσκευασμένῳ τὸ σῶμα, καὶ τρίτης ἑβδομάδος ἐτῶν ἀρχομένῳ καὶ μόνῃ σχολάζοντι τῇ τοῦ σώματος ἐπιμελείᾳ, τὰ δ' ἄλλα πάντα πάρεργα τιθεμένῳ; ἐμοὶ μὲν δοκεῖ τὴν ὑφ' Ἱπποκράτους εἰρημένην, ἔν τε τοῖς ἀφορισμοῖς ἔνθα γράφει. Πόνοι σιτίων ἡγείσθωσαν. ἔν τε τῷ ἐπιδημιῶν ἕκτῳ κατὰ τήνδε τὴν ῥῆσιν. πόνοι, σιτία, ποτὰ, ὕπνοι, ἀφροδίσια πάντα μέτρια, καὶ γὰρ καὶ τὸ ποσὸν ἀφώρισεν ἅπασι, προσθεὶς τὸ κατὰ τὸ τέλος τῆς ῥήσεως ὄνομα, τὸ, μέτρια. καὶ τὸν καιρὸν ἐδίδαξε, τῇ τάξει τοῦ λόγου. εἰς γὰρ τὴν τῆς ὑγιείας φυλακὴν, ἄρχειν μὲν χρὴ, τοὺς πόνους. ἕπεσθαι δὲ σιτία καὶ ποτά. εἶθ' ἑξῆς ὕπνους. εἶτα ἀφροδίσια τοῖς γε μέλλουσιν ἀφροδισίοις χρῆσθαι, τὰ μὲν γὰρ ἄλλα πάντα, κοινὰ πάσης ἡλικίας ἐστὶ, τὰ δ' ἀφροδίσια, μόνης τῆς τῶν ἀκμαζόντων, ἡνίκα περ αὐτῶν ἡ χρεία, ὡς ταῖς γε πρόσθεν τε καὶ ὄπισθεν ἡλικίαις, ἢ οὐδ' ὅλως σπερμαίνειν, ἢ οὐ γόνιμον σπερμαίνειν, ἢ μοχθηρὸν γόνιμον ὑπάρχειν. ἀλλὰ γὰρ ὁ μὲν περὶ ἀφροδισίων λόγος, εἰς τὴν οἰκείαν ἀναβεβλήσθω τάξιν. Ἀπὸ δὲ τῶν πόνων ἀρκτέον, αὐτὸ τοῦτο πρότερον ἐν αὐτοῖς διελομένοις, εἴτε ταὐτόν ἐστι πόνος τε καὶ γυμνάσιον, εἴτε πόνος μὲν καὶ κίνησις ταὐτὸν, ἕτερον δέ τι τὸ γυμνάσιον, εἴτε κίνησις μὲν ἕτερον. οὐδὲν δ' ὁ πόνος τοῦ γυμνασίου διαφέρει. ἐμοὶ μὲν δὴ δοκεῖ, μὴ πᾶσα κίνησις εἶναι γυμνάσιον, ἀλλ' ἡ σφοδροτέρα μόνη. ἐπεὶ δ' ἐν τῷ πρός τι τὸ σφοδρόν. εἴη ἂν ἡ αὐτὴ κίνησις, ἑτέρῳ μὲν γυμνάσιον, ἑτέρῳ δ' οὐ γυμνάσιον. ὅρος δὲ τῆς σφοδρότητος ἡ τῆς ἀναπνοῆς ἀλλοίωσις ὡς ὅσαι γε κινήσεις οὐκ ἀλλοιοῦσι τὴν ἀναπνοὴν, οὔπω ταύτας ὀνομάζουσι γυμνάσια. εἰ δ' ἤτοι μεῖζον, ἢ ἔλαττον, ἢ πυκνότερον ἀναγκασθείη τις ἀναπνεῖν ἐπὶ κινήσει τινὶ, γυμνάσιον, ἡ τηλικαύτη κίνησις ἐκείνῳ γενήσεται. τοῦτο μὲν δὴ κοινὸν γυμνάσιον ὀνομάζεται, ἰδίᾳ δὲ, ἀφ' οὗπερ καὶ τὰ γυμνάσια προσαγορεύουσιν ἅπαντες, ἔν τινι κοινῷ τῆς πόλεως οἰκοδομησάμενοι χωρίῳ. εἰς ὅπερ καὶ ἀλειψόμενοί τε καὶ διατριψόμενοι καὶ διαπαλαίσοντες, ἢ δισκεύσοντες, ἤ τι τοιοῦτον ἄλλο πράξοντες, ἥκουσιν. ἡ δὲ τοῦ πόνου προσηγορία, ταὐτόν μοι δοκεῖ σημαίνειν θατέρῳ τῶν ὑπὸ τοῦ γυμνασίου ὀνόματος εἰρημένων δηλοῦσθαι τῷ κοινῷ. καὶ γὰρ οἱ σκάπτοντες, καὶ οἱ θερίζοντες, καὶ ἱππαζόμενοι, πονοῦσί τε καὶ γυμνάζονται κατὰ τὸ κοινὸν τοῦ γυμνασίου σημαινόμενον

νόμενον

νόμενον. ἐμοὶ μὲν οὕτω διῃρήσθω περὶ τῶν ὀνομάτων. καὶ ἐπὶ ταῦτα τὰ σημαινόμενα, πᾶς ὁ ἐφεξῆς λόγος ἀκουέσθω. εἰ δέ τις ἑτέρως βούλοιτο χρῆσθαι, συγχωρῶ. οὐδὲ γὰρ ὑπὲρ ὀνομάτων ὀρθότητος, ἥκω σκεψόμενος. ἀλλ᾽ ὡς ἄν τις ὑγιαίνῃ μάλιστα, καὶ πρὸς τοῦτ᾽ αὐτὸ χρήσιμον ὑπάρχον μοι περί τε τῶν γυμνασίων καὶ πόνων καὶ ξυλλήβδην εἰπεῖν ἁπάσης κινήσεως διελέσθαι, τὰ σημαινόμενα τῶν ὀνομάτων, ἠναγκάσθην ἀφορίσασθαι. αἱ μὲν δὴ τῶν γυμνασίων χρεῖαι, καὶ διὰ τοῦ πρώτου μὲν εἴρηνται λόγου. βέλτιον δ᾽ ἂν εἴη καὶ νῦν ἐπανελθεῖν αὐτὰς διὰ βραχέων. ἐπειδὴ σκοπός τε ἅμα καὶ κριτήριον αὗται τυγχάνουσιν οὖσαι, πάντων τῶν κατὰ μέρος ἐν τῇ περὶ τὰ γυμνάσια τέχνῃ πραττομένων. εἰσὶ δὲ ὡς οἶμαι διτταὶ κατὰ γένος. αἱ μέν τινες, εἰς τὴν τῶν περιττωμάτων κένωσιν. αἱ δέ, εἰς αὐτὴν τῶν στερεῶν σωμάτων τὴν εὐεξίαν διαφέρουσαι. ἐπειδὴ γάρ ἐστι κίνησις σφοδρὰ τὸ γυμνάσιον, ἀνάγκη τρία μόνον ταῦτα γίνεσθαι πρὸς αὐτῆς κατὰ τὸ γυμναζόμενον σῶμα. τήν τε σκληρότητα τῶν ὀργάνων ἀλλήλοις παρατριβομένων, τήν τε τῆς ἐμφύτου θερμότητος αὔξησιν, τήν τε τοῦ πνεύματος κίνησιν βιαιοτέραν. ἕπεται δὲ τούτοις ἄλλα σύμπαντα κατὰ μέρος ἀγαθὰ τοῖς σώμασιν, ἐκ γυμνασίων γινόμενα. διὰ μὲν τὴν σκληρότητα τῶν ὀργάνων τήν τε δυσπάθειαν αὐτῶν, καὶ πρὸς ἐνεργείας εὐτονίαν. διὰ δὲ τὴν θερμότητα τήν τε τῶν ἀναδιδομένων ὁλκὴν ἰσχυράν, καὶ τὴν ἀλλοίωσιν ἑτοιμοτέραν, καὶ τὴν θρέψιν βελτίονα, καὶ χύσιν ἁπάντων τῶν σωμάτων, ἐφ᾽ ἧς χύσει, τὰ μὲν στερεὰ μαλάττεσθαι, τὰ καὶ ὑγρὰ λεπτύνεσθαι, τοὺς πόρους δ᾽ εὐρεῖς γίνεσθαι συμβαίνει. διὰ δὲ τὴν τοῦ πνεύματος ἰσχυρὰν κίνησιν, ἐκκαθαίρεσθαι τοὺς πόρους ἀναγκαῖόν ἐστι, καὶ κενοῦσθαι τὰ περιττώματα. ἀλλ᾽ ἐπείπερ ταῦτα ποιεῖ τὸ γυμνάσιον, οὐ χαλεπὸν ἔτι τὸν καιρὸν τῆς χρήσεως ἐξευρεῖν. διότι μὲν γάρ, ἀναδόσεσι συνεργεῖ, οὐ χρὴ πλῆθος ὠμῶν καὶ ἀπέπτων, οὔτε σιτίων, οὔτε χυμῶν, ἢ κατὰ τὴν κοιλίαν, ἢ ἐν τοῖς ἀγγείοις περιέχεσθαι. κίνδυνος γὰρ αὐτοῖς ἑλχθῆναι πρὸς ἅπαντα τοῦ ζώου τὰ μόρια, πρὶν χρηστοῖς γενέσθαι πεφθεῖσι χολή. διότι δὲ ἐκκαθαίρει τοὺς πόρους καὶ κενοῖ τὰ περιττώματα, κάλλιον αὐτὸ πρὸ τῶν σιτίων ἀναλαμβάνεσθαι.

Τὰ μὲν γοῦν μὴ καθαρὰ σώματα, ὅσῳ ἂν τρέφῃς, μᾶλλον βλάψεις ὥστε ἐκ τῶν εἰρημένων εὔδηλον, ὡς οὗτος ἄριστός ἐστι γυμνασίων καιρός, ἡνίκα ἡ μὲν χθιζινὴ τροφὴ τελέως ἢ κατειργασμένη τε καὶ πεπεμμένη τὰς δύο πέψεις, τήν τε ἐν τῇ γαστρί, καὶ τὴν ἐν τοῖς ἀγγείοις. ἑτέρας δ᾽ ἐφεδρεύει τροφῆς καιρός. εἰ δ᾽ ἢ τοῦ πρόσθεν ἢ ὄπισθεν γυμνάζοις, ἢ χυμῶν ἀπέπτων ἐμπλήσεις τὸ ζῷον, ἢ τὴν ὠχρὰν χολὴν ἐπιθρέψεις γεννηθῆναι πλείονα. Γνωρίσματα δὲ τοῦ τοιούτου καιροῦ, τῶν οὔρων ἡ χροιά. τὸ μὲν οὖν ὑδατῶδες, ἄπεπτον ἔτι σημαίνει τὸ ἐκ τῆς γαστρὸς ἀναδιδόμενον χυμὸν ἐν τοῖς ἀγγείοις περιέχεσθαι. τὸ δὲ πυρρὸν καὶ χολῶδες, ἐκ πολλοῦ κατειργάσθαι. τὸ δὲ μετρίως ὠχρὸν ἄρτι τῆς δευτέρας πέψεως γενομένης ἐστὶ σημεῖον. ὅταν γὰρ μηδέπω χρώζηται τῇ χολῇ τὸ οὖρον, ὑδατῶδές τε καὶ λευκὸν φαίνεται. ὅταν δὲ πλέον ἀναδέξηται τοῦ προσήκοντος, πυρρόν. ἐπειδὰν γοῦν συμμέτρως ᾖ πυρρόν, ἢ μετρίως ὠχρόν, τηνικαῦτα ἄγειν ἐπὶ τὰ γυμνάσια, προαποθέμενον ὅσον ἂν ἐν τῇ κύστει καὶ τοῖς ἐντέροις τοῖς κάτω, περιεχόμενον ᾖ περίττωμα, κίνδυνος γὰρ κἀκ τῶν τοιούτων εἰς τὴν ἕξιν τοῦ σώματος ἐνεχθῆναί τι, τῇ ῥώμῃ τῆς ἐν τοῖς γυμνασίοις θερμότητος ἀναρπασθέν. εἰ μὲν οὖν εὐθέως ἀποδυσάμενός τις, ἐπὶ τὰς ἰσχυροτέρας ἔρχοιτο κινήσεις, πρὶν μαλάξαι σύμπαν τὸ σῶμα καὶ λεπτῦναι τὰ περιττώματα, καὶ τοὺς πόρους εὐρῦναι, κίνδυνος μὲν καὶ ῥῆξαί τι καὶ σπάσαι τῶν στερεῶν σωμάτων. κίνδυνος δὲ καὶ τὰ περιττώματα τῇ τοῦ πνεύματος, ῥύμῃ κινήσαντος, τοὺς πόρους ἐμφράξαι. εἰ δὲ κατὰ μικρὸν προθερμήνας, προμαλάξειε μὲν τὰ στερεά, προλεπτύνειε δὲ τὰ ὑγρά, καὶ τοὺς πόρους εὐρύνειε, κίνδυνος οὐδείς, οὔτε τοῦ ῥῆξαί τι μόριον, οὔτε τοῦ τοὺς πόρους ἐμφράξαι, καταλάβοι τὸν γυμναζόμενον. ὅπως οὖν ταῦτα γένοιτο, χρὴ προθερμῆναί τε μετρίως ἀνατρίψαντά τε σινδόνι τὸ σύμπαν σῶμα, κἄπειτα δι᾽ ἐλαίου τρίβειν. οὐ γὰρ δὴ εὐθέως τὸ χρῆσθαι τῷ λίπει συμβουλεύω, πρὶν θερμανθῆναί τε τὸ δέρμα, καὶ τοὺς πόρους εὐρυνθῆναι, καὶ συλλήβδην εἰπεῖν εὐτρεπισθῆναι τὸ σῶμα πρὸς τὸ καταδέξασθαι τὸ ἔλαιον, ἱκαναὶ δ᾽ εἰς τοῦτο παντάπασιν ὀλίγαι περιαγωγαὶ τῶν χειρῶν ἀλιποί τε καὶ μετρίως ταχεῖαι, σκοπὸν ἔχουσαι θερμῆναι τὸ σῶμα, χωρὶς τοῦ θλίψαι, καὶ γὰρ ἂν καὶ φανεῖταί σοι τούτων γιγνομένων, ἔρευθος εὐανθὲς ἐπιτρέχον ἅπαντι τῷ δέρματι. τότ᾽ οὖν ἤδη τὸ λίπος ἐπάγειν αὐτῷ. καὶ τρίβειν γυμναῖς ταῖς χερσὶ συμμέτρως ἐχούσαις σκληρότητός τε καὶ μαλακότητος, ὅπως μήτε συνάγηται καὶ σφίγγηται τὸ σῶμα, μήτε ἐκλύηται, καὶ χαλᾶται, περαιτέρω τοῦ δέοντος, ἀλλ᾽ ἐν τῇ φύσει φυλάττηται. τρίβειν δὲ κατὰ μὲν τὰς πρώτας ἐπιβολὰς ἀτρέμα. τοὐντεῦθεν δ᾽ ἤδη κατὰ βραχὺ παραύξαντα, καὶ μέχρι γε τοσούτου τὴν τρῖψιν ἐπὶ τὸ ῥωμαλεώτερον ἄγειν, ὡς θλίβεσθαι μὲν ἤδη σαφῶς τὴν σάρκα, μὴ θλᾶσθαι δέ. μὴ πολλῷ δὲ χρόνῳ τὴν οὕτως ἰσχυρὰν τρῖψιν ἐπάγειν, ἀλλ᾽ ἅπαξ ἢ δὶς ἐφ᾽ ἑκάστου μέρους. οὐ γὰρ ὥστε σκληρῦναι τὸ σῶμα τοῦ παιδὸς οὕτω τρίβομεν, ἤδη τοῖς πόνοις προσάγομεν, ἀλλ᾽ ὑπὲρ τοῦ προτρέψαι τε εἰς τὰς ἐνεργείας καὶ συστρέψαι τὸν τόνον καὶ τὴν ἐκ μαλακῆς τρίψεως ἀραιότητα σφίγξαι. σύμμετρον γὰρ αὐτοῦ τὸ σῶμα φυλάττεσθαι χρὴ καὶ οὐδαμῶς, οὔτε σκληρὸν οὐδὲ ξηρὸν ἀποτελεῖσθαι. μήπως ἐπισχῶμέν τι τῆς κατὰ φύσιν αὐξήσεως. τοῦ δὲ χρόνου προϊόντος ὅταν ἤδη μειράκιον ἡμῖν γίγνηται, τότε καὶ τῇ σκληροτέρᾳ τρίψει χρησόμεθα, καὶ ταῖς μετὰ τὰ γυμνάσια ψυχρολουσίαις. ἀλλὰ περὶ μὲν τούτων αὖθις εἰρήσεται. τῇ δὲ παρασκευαζούσῃ πρὸς τὰ γυμνάσια τρίψει, σκοπὸν ἐχούσῃ μαλάξαι τὰ σώματα, τὴν μέσην σκληρᾶς καὶ μαλακῆς ἐπικρατεῖν χρὴ ποιότητα, καὶ κατ᾽ ἐκείνην τυποῦσθαι τὸ σύμπαν. πολυειδεῖς δὲ ταῖς ἐπιβολαῖς τε καὶ περιαγωγαῖς τῶν χειρῶν αἱ ἀνατρίψεις γιγνέσθωσαν, οὐκ ἄνωθεν κάτω μόνον ἢ κάτωθεν ἄνω φερομένων αὐτῶν, ἀλλὰ καὶ πλαγίων καὶ λοξῶν, ἐγκαρσίων τε καὶ σιμῶν. καλῶ δὲ ἐγκάρσιον μέν, τὸ ἐναντίον τῷ εὐθεῖ. σιμὸν δέ, τὸ βραχὺ τούτου παρεγκλῖνον ἐφ᾽ ἑκάτερα. καθάπερ γε καὶ τὸ τῆς εὐθύτητος ἑκατέρωσε πρὸς ὀλίγον ἐκτρεπόμενον, ὀνομάζω πλάγιον. ὅσον δ᾽ ἀκριβῶς μέσον ἐστὶν εὐθείας τε καὶ ἐγκαρσίας φορᾶς, λοξὸν τοῦτο προσαγορεύω. καὶ μὲν δὴ καὶ τρῖψιν τε καὶ ἀνάτριψιν, οὐ διοίσει λέγειν, εἰδότας ὅτι τὸ τῆς ἀνατρίψεως ὄνομα, συνηθέστερον τοῖς παλαιοῖς ἐστι. τὸ δὲ τῆς τρίψεως, τοῖς νέοις. πολυειδεῖς δὲ κελεύω γίνεσθαι τὰς ἐπιβολάς τε καὶ περιαγωγὰς τῶν χειρῶν ἕνεκα τοῦ συμπάσας ὡς οἷόν τε τῶν μυῶν τὰς ἶνας, ἐκ παντὸς μέρους ἀνατρίβεσθαι. τὸ γοῦν οἴεσθαι τὴν μὲν ἐγκάρσιον ἀνάτριψιν, ἣν δὴ καὶ στρογγύλην ὀνομάζουσιν ἔνιοι, σκληρύνειν καὶ πυκνοῦν καὶ σφίγγειν καὶ συνδεῖν τὰ σώματα, τὴν δὲ εὐθεῖαν

ἀραιοῦν τε καὶ χαλᾶν, καὶ μαλάττειν καὶ λύειν, ἐκ τῆς αὐτῆς ἐστὶν ἀγνοίας τῆς ὥσπερ καὶ τὰ ἄλλα ἃ περὶ τῆς τρίψεως εἴρηται τοῖς πλείστοις τῶν γυμναστῶν. πλεῖον γὰρ οὐδὲν οὐδεὶς ἔχει περὶ δυνάμεων τρίψεως εἰπεῖν, ὧν Ἱπποκράτης ἔγραψεν ἐν τῷ κατ' ἰητρεῖον, ὑπὸ μὲν τῆς σκληρᾶς, δεῖσθαι τὸ σῶμα λέγων, ὑπὸ δὲ τῆς μαλακῆς λύεσθαι, καὶ ὑπὸ μὲν τῆς πολλῆς, ἰσχναίνεσθαι. σαρκοῦσθαι δὲ ὑπὸ τῆς μετρίας. ἔχει δὲ ἡ ῥῆσις ὧδε. ἀνάτριψις δύναται λῦσαι, σαρκῶσαι, μινυθῆσαι, ἡ σκληρὰ, δῆσαι, ἡ μαλακὴ, λῦσαι, ἡ πολλὴ μινυθῆσαι, ἡ μετρίη σαρκῶσαι. τέτταρες γὰρ αὗται διαφοραὶ κατὰ γένος, ἐπὶ τέσσαρσι δυνάμεσί τε καὶ χρείαις ἁπασῶν τρίψεων εἰσίν. εἰ δὲ καὶ τὰς μικτὰς αὐτῶν προσλογιζοίμεθα συνεμφαινομένας ταῖς εἰρημέναις, ἐξ αἱ ἅπασαι διαφοραὶ γίνονται. πόθεν οὖν ἐπῆλθε τοῖς πλείστοις τῶν νεωτέρων γυμναστῶν οὕτω πολλὰς διαφορὰς γράψαι τρίψεων, ὡς μηδὲ ἀριθμῆσαι ῥᾳδίως αὐτὰς δύνασθαι, πόθεν ἄλλοθεν; ἢ ὅτι λογικῆς θεωρίας παντάπασιν ἀγύμναστοι ὄντες, οὐ συνεῖδον, ἅμα ταῖς οἰκείαις τῆς τρίψεως διαφοραῖς, ἐνίοτε μὲν, καὶ τῶν ἔξωθέν τινος μνημονεύοντες, ἐνίοτε δὲ καὶ τὰς ἀπεργαζομένας ἑκάστην τρῖψιν αἰτίας ἀναγράφοντες, ἔστιν ὅτε δὲ καὶ πρὸς ἄλληλα ἐπιπλέκοντες αὐτάς τε τὰς γνησίας διαφορὰς καὶ ὅσας οὐκ ὀρθῶς αὐταῖς προσέθεσαν. ὅταν μὲν γὰρ λέγωσι τὰς τρίψεις ἀλλήλων διαφέρειν, τῷ τὰς μὲν, ἐν ὑπαιθρίῳ γίγνεσθαι, τὰς δὲ ἐν κατάστεγῳ, τὰς δὲ ἐν ὑποσυμμιγεῖ σκιᾷ, καὶ τὰς μὲν ἐν ἀνεμώδει χωρίῳ, τὰς δὲ ἐν γαλήνῃ, καὶ τὰς μὲν ἐν θερμῷ, τὰς δὲ ἐν ψυχρῷ, τὰς μὲν ἐν ἡλίῳ, τὰς δὲ ἐν βαλανείῳ, τὰς δὲ πρὸ βαλανείου, τὰς δὲ ἐν παλαίστρᾳ, καὶ τοιοῦτόν τινα ποιοῦντες κατάλογον, οὐκ οἰκείας διαφορὰς τρίψεων λέγουσιν, ἀλλ' ὧν οὐκ ἄνευ τινὸς, ὁ τριβόμενος ἐστίν. ἀνάγκη γὰρ πάντως αὐτὸν ἔν τινι χωρίῳ τῶν κατὰ τὴν οἰκουμένην ὑπάρχειν, καὶ πρός γε τῷ χωρίῳ, χειμῶνος, ἢ θέρους, ἢ κατά τινα τῶν ἄλλων ὡρῶν. ἐπειδὰν δὲ τὰς μὲν, τῷ μετὰ πλείονος ἐλαίου, τὰς δὲ, τῷ μετ' ἐλάττονος ἢ παντάπασιν ἐλαίου χωρὶς, ἤτοι διὰ τῶν χειρῶν μόνον, ἢ μετὰ κόνεως, ἢ διὰ σινδόνων, καὶ τούτων ἤτοι σκληρῶν, ἢ μαλακῶν γίγνεσθαι, διαφέρειν ἀλλήλων λέγουσι τὰς τρίψεις, αἰτίων καταρίθμησιν ποιοῦνται τῶν ἤτοι σκληρὰν ἢ μαλακὴν ἀπεργαζομένων τὴν τρῖψιν. τοῦ δ' αὐτοῦ γένους τῶν αἰτίων ἐστὶν, καὶ τὸ τὰς χεῖρας τῶν τριβόντων ἤτοι σκληρὰς ἢ μαλακὰς εἶναι, καὶ ἤτοι πιέζειν σφοδρῶς ἢ πράως ἐφάπτεσθαι. τὸ δὲ τρίτον εἶδος ἐστὶ, τῶν πολλὰς τῆς τρίψεως οἰομένων εἶναι διαφορὰς ἐκ τοῦ κατὰ συζυγίας τινὰς ἐπιπλέκειν ἀλλήλοις ἅπαντα τὰ νῦν εἰρημένα. ὅσοι μὲν οὖν αὐτῶν, ἢ τὰς ἔξω περιστάσεις τῶν πραγμάτων ἢ τὰς αἰτίας τῶν οἰκείων διαφορῶν ἀλλήλαις ἐπιπλέκουσιν, ἀσαφέστεροι γίνονται, μὴ γινώσκοντες ὀρθῶς. ὅσοι δὲ κατὰ τὰς οἰκείας διαφορὰς ποιοῦνται τὰς συζυγίας, ἧττον οὗτοι γνωρίζονται σφαλλόμενοι. εἰσὶ δὲ καὶ οἱ οἷον σοφίας δόξαν ἀπενήνεγκαν, καὶ δοκοῦσιν πλέον εὑρηκέναι τῶν ὑφ' Ἱπποκράτους εἰρημένων. ὧνπερ οὖν καὶ Θέων ὁ γυμναστής ἐστιν, ὅστις ἔδοξε βέλτιον Ἱπποκράτους ἐγνωκέναι περὶ τρίψεως. ἀφορισαμένου γὰρ ἐκείνου κατὰ τὴν προγεγραμμένην ῥῆσιν, ἐν μὲν τῇ κατὰ ποιότητα διαφορᾷ, τήν τε μαλακὴν καὶ σκληρὰν, ἐν δὲ τῇ κατὰ ποσότητα τήν τε πολλὴν καὶ τὴν μετρίαν, ὁ Θέων οὐκ ἀξιοῖ μνημονεύειν οὔτε ποιότητος οὔτε ποσότητος ἴδια, γράφων ἐν ἄλλοις τέ τισι καὶ τῷ τρίτῳ τῶν γυμναστικῶν ὧδε·

Ἀρέσκει περὶ τρίψεως παραγγέλλοντας, δεῖν ἀεὶ συναρμόττειν ταῖς ποιότησι τὰς ποσότητας. καθ' ἑαυτὰς μὲν γὰρ ἀτελεῖς εἶναι πρὸς τὴν ἐν τοῖς ἔργοις κατόρθωσιν. τὴν γοῦν μαλακὴν τρῖψιν, παρὰ τὴν ποσότητα, τριῶν ἀποτελεσμάτων ποιητικὴν γίγνεσθαι. τὴν μὲν γὰρ ὀλίγην, ἀνιέναι πως τὴν σάρκα, καὶ εὐαφῆ ποιεῖν. τὴν δὲ πολλὴν διαφορεῖν καὶ τήκειν. τὴν δ' αὐτάρκη, σαρκοῦν τὸ σῶμα πλαδαρᾷ καὶ κεχυμένῃ σαρκί. ὁμοίως δὲ καὶ τὴν σκληρὰν τρῖψιν παρὰ τὴν ποσότητα τὸν ἴσον ἀριθμὸν ἀποτελεσμάτων ποιεῖν. πολλὴν γὰρ προσαχθεῖσαν, σφίγγειν τὰ σώματα, καὶ συνδεῖν καὶ φλεγμονῇ τι παραπλήσιον ἀπεργάζεσθαι. τὴν δ' αὐτάρκη σαρκοῦν μεμυωμένῃ καὶ εὐπεριγράπτῳ σαρκί. τὴν μέντοι γε ὀλίγην ἐνερευθῆ πρὸς ὀλίγον χρόνον τὴν ἐπιφάνειαν ποιεῖν. οὐκ ἀξιοῖ δὲ περὶ τῆς σκληρᾶς τρίψεως ἴδια καθ' ἑαυτὴν οὐδὲν παραγγέλλειν τὸν γυμναστὴν ἀλλὰ συναρμόζειν αὐτῇ τὸ ποσόν. εἴπερ τι μέλλοι τότε κατόρθωμα πλέον ἐν τοῖς ἔργοις τῆς τέχνης ἔσεσθαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδὲ περὶ τῆς μαλακῆς ἴδια καθ' ἑαυτὴν οὐδὲν ἡγεῖται νῦν ὑποτίθεσθαι. μὴ γὰρ δύνασθαί ποτε γενέσθαι μαλακὴν τρῖψιν αὐτὴν καθ' ἑαυτὴν μόνην, ἄνευ τοῦ πολλὴν ἢ ὀλίγην ἢ σύμμετρον ὑπάρχειν. εἶθ' ἑξῆς διηγεῖται κατὰ συζυγίαν ὅσα περὶ τοῖς σώμασιν ἡμῶν ἐργάζεσθαι πεφύκασιν. τὴν μὲν ὀλίγην τε ἅμα, καὶ μαλακὴν ἀνιέναι πως τὴν σάρκα καὶ εὐαφῆ ποιεῖν. ἀποφαινόμενος οὐδὲν, ἢ τοι λῦσαι, πρὸς Ἱπποκράτους εἰρημένον ἑτέροις ὀνόμασιν ἑρμηνεύων. τὸ γὰρ ἀνιέναι τὴν σάρκα καὶ εὐαφῆ ποιεῖν, τί ἄλλο ἢ λύειν ἐστὶ τὰ συνδεδεμένα καὶ συνηγμένα. προσέθηκε δὲ τῷ λόγῳ τὸ πως, οὐ τὸ γένος τῆς ἐνεργείας ὑπαλλάττων, ἀλλὰ τὸ ποσὸν ἐν αὐτῷ διορίζων. μαλάττει γοῦν ἐπ' ὀλίγον ἡ τοιαύτη τρῖψις, ὡς εἴγ' ἐπὶ πλεῖον γένοιτο, μαλάξει μὲν ἔτι καὶ νῦν, ἀλλὰ μειζόνως, ἢ πρόσθεν ὅτι τοίνυν οὐ μεγάλως οὐδ' ἱκανῶς ἀλλὰ καὶ βραχέως ἡ ὀλίγη καὶ μαλακὴ τρῖψις ἀνίησί τε καὶ μαλάττει τὰ σώματα, διὰ τῆς τοῦ πως προσθήκης ἐδήλωσεν. οὐδέπω κατά γε τοῦτο τῶν ὑφ' Ἱπποκράτους εἰρημένων, διδάσκων περιττότερον. ὥσπερ οὐδ' ἐν τῷ φάναι τὴν αὐτάρκη καὶ μαλακὴν σαρκοῦν τὸ σῶμα πλαδαρᾷ καὶ κεχυμένῃ σαρκί. διότι μὲν γὰρ αὐτάρκης, σαρκώσει, διότι δὲ μαλακὴ, λύσει, τουτέστι μαλάξει, ὅπερ ἴσον ἐστὶ, τῷ πλαδαρὰν καὶ κεχυμένην ἐργάσασθαι τὴν σάρκα. ἐχρῆν δ' αὐτὸν ὥσπερ ὑπὲρ τούτων εἶπεν ὀρθῶς, οὕτως καὶ ὁπότε περὶ τῆς πολλῆς τε ἅμα καὶ μαλακῆς διαλέγεται, μὴ τοῦτο μόνον εἰπεῖν ὅτι διαφορεῖν καὶ τήκειν πέφυκεν, ἀλλὰ καὶ ὁποίαν τινὰ τὴν ὑπόλοιπον ἐργάζεται σάρκα. οὐ γὰρ δὴ πᾶσαν τὴν οὐσίαν διαφορεῖ καὶ τήκει καθάπερ τὸ πῦρ, ἀλλά τι καὶ καταλείπει. πάντως τοῦτο οὖν τὸ καταλειπόμενον ὁποῖόν τι, τὴν ἰδέαν ἐστὶν, ἐχρῆν οἶμαι προσκεῖσθαι τῷ λόγῳ, καὶ μὴ μόνον τὸ τῆς πολλῆς τρίψεως ἴδιον ἔργον εἰπόντα, τὸ τῆς μαλακῆς παραλιπεῖν. ὅτι μὲν ἡ πολλὴ διαφορεῖ, καὶ πρὸς Ἱπποκράτους εἴρηται πρόσθεν, ἀλλ' οὐχ ἁπλῶς ὑπὲρ τῆς πολλῆς ἐνεστήσατο τὸν λόγον ὁ Θέων, ἀλλὰ κατὰ συζυγίαν ἠξίωσε διδάσκειν ἀπὸ τῆς πρώτης μὲν ἀρξάμενος τῆς τε ὀλίγης τε ἅμα καὶ μαλακῆς. ἐπὶ δευτέραν δὲ μεταβὰς τὴν μαλακήν τε ἅμα καὶ πολλήν. εἶθ' ἑξῆς τρίτης μνημονεύσας τῆς μαλακῆς τε ἅμα καὶ συμμέτρου. ὥσπερ οὖν ἐπί τε τῆς πρώτης καὶ τρίτης συζυγίας οὐκ ἐσιώπησε τὸ τῆς ποιότητος ἔργον, οὕτως ἐχρῆν αὐτὸν, οὐδὲ ἐπὶ τῆς δευτέρας παραλιπεῖν, ἀλλὰ κἀνταῦθα φάναι τὴν πολλήν τε ἅμα καὶ μαλακὴν τρῖψιν, διαφορεῖν τε ἅμα καὶ μαλακὴν ἀπεργάζεσθαι τὴν σάρκα πλὴν εἰ τὸ τήκειν ἀντὶ

τοῦ μα-

τοῦ μαλάττειν χρὴ δέξασθαι, καὶ οὕτως ἀληθὲς μένει τὸ εἰρημένον. οὐχ ὅπως δὲ διαβάλλει τὴν Ἱπποκράτους διδασκαλίαν, ἀλλὰ καὶ παντὸς μᾶλλον ὁμολογεῖ αὐτήν. εἴπερ γὰρ ἡ μαλακὴ τρῖψις ἀεὶ μὲν ἁπαλὸν ἐργάζεται τὸ σῶμα, κἂν ὀλίγη κἂν πολλὴ, κἂν σύμμετρος ὑπάρχῃ, προσέρχεται δ' αὐτῇ τι παρὰ τῆς ποσότητος ἕτερον, ἀχώριστον ἔσται τῆς μαλακῆς τρίψεως τὸ μαλάττειν, ὥσπερ οἶμαι καὶ τῆς σκληρᾶς τὸ σκληρύνειν. ἢ συνάγειν ἢ σφίγγειν, ἢ δεῖν, ἢ πυκνοῦν, ἢ δυσαφῆ τὴν σάρκα ποιεῖν, ἢ ὡς ἄν τις ἑτέρως ἑρμηνεύειν ἐθέλοι ταυτὸν πρᾶγμα. πρῶτον μὲν γὰρ καὶ κύριον ὄνομα, τῆς οὕτως διατιθεμένης σαρκός ἐστι τὸ σκληρὸν, ὥσπερ καὶ τῆς ἐναντίας αὐτῆς τὸ μαλακόν. οὐ μὴν ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον, ὡς εἶπον, ἐγχωρεῖ λέγειν. καὶ διὰ τίνα μὲν τὴν αἰτίαν οὕτω πολλοῖς ὀνόμασιν οἷόν τε χρῆσθαι καθ' ἑνὸς πράγματος, ὀλίγον ὕστερον εἰρήσεται. νῦν δὲ ὡμολόγηται γοῦν τοῦτο, τὴν μὲν αἰτίαν αὐτοῦ λέγειν, ἔν γε τῷ παρόντι παραλίπωμεν. ὅτι δ' ἐξ ἀνάγκης ἕπεται τῇ μαλακῇ τρίψει, τὸ μαλακὰ ποιεῖν τὰ σώματα, πρόδηλον ἐκ τῶν εἰρημένων. εἰ γὰρ μὴ πολλὴν, μήτ' ὀλίγην, μήτε σύμμετρον τὴν τοιαύτην τρῖψιν παραλαβὼν σκληρὸν ἐργάσασθαι ποτὲ δυνήσῃ τὸ σῶμα, δῆλον ὡς ἀχώριστον αὐτῆς ἐστι τὸ μαλάττειν, ὥσπερ γε καὶ τῆς σκληρᾶς τὸ συνδεῖν τε καὶ σκληρύνειν. καὶ γὰρ καὶ ταύτην ἄν τ' ὀλίγην, ἄν τε πολλὴν, ἄν τε σύμμετρον παραλάβῃς, οὐδέ ποτε μαλάξεις τὸ σῶμα κατ' οὐδεμίαν ποσότητα. διὰ παντὸς δὲ σκληρὸν ἀπεργάσῃ μᾶλλον ἢ ἧττον. ἐπὶ πλέον μὲν τρίβων, μᾶλλον, ἐπ' ἔλαττον δὲ, ἧττον. εἰ δὲ καὶ παντελῶς ὀλίγας τὰς σκληρὰς ἐπιβολὰς ποιησάμενος ἀρκεσθείης, ἀνάλογον τῇ τούτων βραχύτητι, καὶ σκληρότης ἀπαντήσεται. καθάπερ καὶ ὁ πυρὶ πλησιάζων, ἀεὶ μὲν θερμαίνεται, κἂν ἐπὶ πολλοῦ χρόνου αὐτῷ τύχοι πλησιάζων, κἂν ἐπ' ὀλίγον, ἀλλὰ μᾶλλον μὲν, ὁ πολυχρονίως ὁμιλῶν, ἧττον δὲ, ὁ μέχρι βραχέως, ἐπ' ἐλάχιστον δὲ, ὁ ψαύσας μόνον, οὕτω κἀν ταῖς τρίψεσιν ὁμοιοῦται διαπαντὸς τὸ σῶμα. πρὸς μὲν τῆς μαλακῆς μαλαττόμενον. ὑπὸ δὲ τῆς σκληρᾶς, σκληρυνόμενον. οὐ μὴν ἴσῳ γε τῷ μέτρῳ διαπαντὸς, ἀλλ' ὑπὸ μὲν τῆς πλείονος, μᾶλλον, ὑπὸ δὲ τῆς ἐλάττονος ἧττον. ὥσπερ γε καὶ ὑπὸ μὲν τῆς πλείστης, μάλιστα, ὑπὸ δὲ τῆς ἐλαχίστης, ἥκιστα. τοίνυν ὁ Θέων ὁπότε περὶ τῆς μαλακῆς τε καὶ πολλῆς τρίψεως διαλεγόμενος, διαφορεῖν καὶ τήκειν εἶπεν αὐτήν, εἰ μὲν τὸ κενοῦν διὰ τὸ τήκειν δηλοῖ, πλέον οὐδὲν σημαίνει τοῦ διαφορεῖν. ὥστε δὶς μὲν ἂν εἴη ταυτὸν εἰρηκώς, παραλελοιπὼς δὲ προσθήκην ἀναγκαίαν, τῆς γιγνομένης περὶ τὸ σῶμα διαθέσεως ἐκ τῆς μαλακῆς τρίψεως. εἰ δὲ τὸ μαλάττειν ἢ λύειν, ἢ χαλᾶν ἢ ὅπως ἂν ἑτέρως ὀνομάζειν ἐθέλῃ, παραλείπεται μὲν οὕτως οὐδὲν αὐτῷ. τὰ δ' Ἱπποκράτους λέγων, φωραθήσεται διὰ μοχθηροτέρου τρόπου διδασκαλίας. ὅτι μὲν ὁ τοιοῦτος τρόπος τῆς διδασκαλίας μοχθηρότερός ἐστιν ἧς Ἱπποκράτης ἔγραψεν, ὀλίγον ὕστερον ἐπιδείξομεν. ὅτι δὲ εἴπερ τὸ τήκειν ἀντὶ τοῦ μαλάττειν εἴρηκεν, οὐδὲν τῶν Ἱπποκράτους λέγει περιττότερον, ἄντικρυς δῆλον. εἰπόντος γὰρ ἐκείνου τὴν μὲν μαλακὴν λύειν, τὴν δὲ πολλὴν ἰσχναίνειν, εὔδηλον ἂν εἴη παντί γε τῷ νοῦν ἔχοντι συλλογίσασθαι, τὴν ἐκ τῆς μαλακῆς τε ἅμα καὶ πολλῆς σύνθετον, ἰσχναίνειν τε ἅμα καὶ μαλάττειν. ἀλλ' οὐχ ὁ Θέων ἔοικεν οὕτω γινώσκειν. ἀλλ' ὅπερ ἐν τῷ πρώτῳ τῶν γυμναστικῶν ἰσχναίνειν εἶπε δι' ἑνὸς ῥήματος, τοῦτ' ἐν τῷ τρίτῳ διὰ δυοῖν, τοῦ τε διαφορεῖν καὶ τήκειν. ἔχει γὰρ οὖν δὴ καὶ ἡ ἐν τῷ πρώτῳ ῥῆσις ὧδε. ἐκ δὲ τῶν ἐναντίων τὴν μαλακὴν τρῖψιν, πολλὴν μὲν γινομένην, ἰσχναίνειν τὰ σώματα. αὐτάρκη δὲ, σαρκοῦν τρυφερᾷ καὶ κεχυμένῃ σαρκί. φανερῶς γὰρ ἐνταῦθα τὴν μαλακήν τε ἅμα καὶ πολλὴν τρῖψιν, ἰσχναίνειν ἔφησε τὰ σώματα. ὅτι δ' ἀναγκαῖον ἦν οὐ μόνον τὸ τῆς πολλῆς ἴδιον, ἀλλὰ καὶ τὸ τῆς μαλακῆς εἰπεῖν, καὶ αὐτὸς ὁ Θέων ἐνεδείξατο διὰ τῆς ἑξῆς ῥήσεως. ἐν ᾗ περὶ τῆς σκληρᾶς τρίψεως διδάσκων, τὴν πολλὴν σφίγγειν τὰ σώματα καὶ συνδεῖν καὶ φλεγμονῇ τι παραπλήσιον ἐργάζεσθαι φησίν. ὃ γὰρ εἶχε συμμέτρως ὑπάρχουσα τῇ ποσότητι, τοῦτο πλεονασθεῖσα, μᾶλλον ἐπεκτήσατο. πάντες οὖν ὁμολογοῦσι τὴν σύμμετρον σκληρὰν, σαρκοῦν τὸ σῶμα σκληρᾷ σαρκί, καθάπερ γε καὶ τὴν σύμμετρον μαλακὴν, σαρκοῦν μὲν καὶ αὐτήν, ἀλλὰ μαλακῇ τῇ σαρκί. κινδυνεύει δὲ ὁ Θέων ἡνίκα ὑπὲρ τῆς μαλακῆς τε ἅμα καὶ πολλῆς τρίψεως ὁ λόγος ἦν αὐτῷ, μηδὲν τῆς μαλακῆς ἔργον εἰρηκέναι. ὁπότε δὲ περὶ τῆς σκληρᾶς τε ἅμα καὶ πολλῆς, μηδὲν τῆς πολλῆς. εἰ γοῦν τὸ τήκειν ταυτὸν τῷ κενοῦν καὶ διαφορεῖν ὑπολάβοιμεν, ὑπὲρ μὲν τῆς πολλῆς, ἔσται τι λεγόμενον αὐτῷ, περὶ δὲ τῆς μαλακῆς οὐδέν. ὥσπερ γε κἀν τῷ περὶ τῆς σκληρᾶς τε καὶ πολλῆς, ὑπὲρ μὲν τῆς σκληρᾶς, εἴρηται τὸ σφίγγειν καὶ δεῖν καὶ φλεγμονῇ τι παραπλήσιον ἀπεργάζεσθαι. περὶ δὲ τοῦ πλήθους οὐδέν, καίτοι δίκαιον ἦν τι καὶ περὶ τῆς ποσότητος εἰπεῖν, ἀπεφήνατο γοῦν ὡς εἰ σύμμετρος εἴη τῇ ποσότητι παχύνει. τί ποτ' οὖν ἡ πολλὴ ποιήσει μετὰ τὴν σύμμετρον ὑπάρχουσα; πάντως γοῦν ἤτοι φυλάξει τὸ ταύτης ἔργον, ἢ ἀλλοιώσει. ἀλλ' εἰ μὲν φυλάξει, τὸ πλῆθος τῶν μετὰ τῆς συμμετρίας τῶν τρίψεων, οὐδὲν ἐργάζεται περιττότερον. εἰ δέ τι δράσει πλέον, ἤτοι καθαιρήσει τῆς σαρκώσεως, ἢ προσθήσει. καθαιροῦσα μὲν οὖν λεπτυνεῖ, προστιθεῖσα δὲ σαρκώσει. ἀλλὰ μὴν οὐ σαρκοῖ, λεπτύνειν γοῦν ἀναγκαῖον αὐτήν. οὐ μὴν εἶπέ γε ὁ Θέων οὐδὲν ὑπὲρ τῆς κατὰ τοῦτο διαφορᾶς, ἀλλ' ὅλως ἐσιώπησε, μήτ' εἰ λεπτυνεῖ, μήτ' εἰ παχυνεῖ, μήτ' εἰ φυλάττει τὴν ἐκ τῆς συμμέτρου τρίψεως σάρκωσιν ἡ σκληρὰ πλεονασθεῖσα, μηδὲν ὅλως ἀποφηνάμενος. ἀλλὰ μόνον ὅτι σφίγγει καὶ συνδεῖ παραπλησίως φλεγμονῇ. ἐχρῆν δ' οὐ ταῦτα μόνον εἰπεῖν, ἀλλ' ὅτι καὶ λεπτυνεῖ. φαίνεται τοίνυν ἢ μὴ δυνηθεὶς συνιέναι τῆς Ἱπποκράτους ἐν τοῖς δὲ τέχνης, ἢ μὴ βουληθεὶς ἐπαινεῖν τὸν ἄνδρα διὰ βραχείας οὕτω ῥήσεως, ἁπάσας τε τὰς διαφορὰς τῶν τρίψεων εἰπόντα, καὶ πρὸς ταῖς διαφοραῖς, ἑκάστης αὐτῶν ἐνέργειάν τε καὶ δύναμιν. ὡς μὲν γὰρ ἄν τις οἰηθείη κατὰ τὴν πρόχειρον οὑτωσὶ φαντασίαν, ὑπὲρ τεττάρων εἴρηκε μόνων. ἔχει δὲ οὐχ οὕτω τἀληθές, ἀλλ' ἑτέρας ἐνεδείξατο δύο ταῖς εἰρημέναις ἐξ ἀνάγκης συνεπινοουμένας. ἐν μὲν τῇ κατὰ ποιότητα διαφορᾷ, τὴν μέσην τῆς σκληρᾶς τε καὶ μαλακῆς, ἥπερ δὴ καὶ σύμμετρός ἐστιν. ἐν δὲ τῇ κατὰ ποσότητα, τὴν ὀλίγην. ἀναγκαῖον γὰρ τὴν ὀλίγην ἐναντίαν εἶναί τινα τῇ πολλῇ. τὸ δὲ τῆς παλαιᾶς ἑρμηνείας εἶδος οὕτως ἐστὶ βραχυλόγον, ὡς πολλὰ πολλάκις ὑπερβαίνειν δοκεῖν, τῇ λέξει τῶν ἐξ ἀνάγκης ἑπομένων τοῖς λεγομένοις. καὶ διὰ τοῦτ' οἶμαι γράφομεν αὐτῶν ὑπομνήματα ποδηγοῦντα τοὺς δι' ἀγυμνασίαν ἀδυνάτους ἕπεσθαι τάχει λέξεως παλαιᾶς. καθάπερ κἀν τῷδε τῷ λόγῳ ποιοῦμεν. εἰ γὰρ ἡ μὲν σκληρὰ, δύναται δεῖν, ἡ δὲ μαλακὴ, λύειν, ὅσα μὲν ἐκλύεται πέρα τοῦ μετρίου σώματα, σκληρῶς ἀνατριπτέον, ὅσα δ' ἔσφιγκται, μαλακῶς. εἰ δέ τι συμμέτρως ἔχει, τοῦτ' εὔδηλον

ὡς οὔτε μαλακῶς, οὔτε σκληρῶς. ἀλλ' ὅσον οἷόν τε μάλιστα κατὰ τὰς ὑπερβολὰς ἑκατέρας φυλαττόμενον. ὁ δὲ θαυμάσιος Θέων εὐθὺς τὸ πρῶτον ἔσφαλται, μήτε τὴν δύναμιν εἰπών ποτε τῆς συμμέτρου κατὰ ποιότητα τρίψεως, μήτε χρείαν. ἀλλ' ἀεὶ παρερχόμενος αὐτήν, ὥσπερ οὐκ οὖσαν. περὶ μὲν δὴ τοῦ δέ, καὶ μικρὸν ὕστερον ἐροῦμεν, ὥσπερ δ' ἐν ταῖς κατὰ ποιότητα διαφοραῖς οὐ σκληρὰ καὶ μαλακὴ μόνον ἐστὶν ἀλλὰ καὶ σύμμετρος, οὕτω κἀν ταῖς κατὰ τὸ ποσόν, οὐ πολλὴ καὶ ὀλίγη μόνον, ἀλλὰ καὶ μετρία. τί ποτ' οὖν ἐν μὲν ταῖς κατὰ ποιότητα τὴν μέσην παρέλιπεν ὁ Ἱπποκράτης, ἐν δὲ ταῖς κατὰ ποσότητα τὴν ὀλίγην, ἴσως ἄν τινι δόξειεν ἀλόγως τοῦτο πρᾶξαι. χρῆναι γὰρ ἐν ταῖς βραχυλόγοις διδασκαλίαις ἀφορίζεσθαι μὲν ταῖς ἄκραις ἐναντιότησι τὰ πράγματα, παραλείπεσθαι δὲ τὸ μέσον τε καὶ σύμμετρον ἐν αὐταῖς, ὡς ἐξ ἀνάγκης τοῖς ἄκροις συνεπινοούμενον. ἐγὼ τοίνυν καὶ τοῦτο πειράσομαι διελθεῖν, καὶ σαφηνίσαι τὴν τοῦ παλαιοῦ γνώμην. οὐκ ἀναγκαῖον μὲν ἐνταῦθα, τὰ γὰρ τοιαῦτα ζητήματα, διὰ τῶν ἐξηγητικῶν ὑπομνημάτων εἰθίσμεθα λύειν, ἀλλ' ἐπεὶ ἅπαξ ἐν τῷ δὲ τῷ λόγῳ κατέστην, ὡς ἀπολογεῖσθαι τοῖς ἀγυμνάστοις ὑπὲρ Ἱπποκράτους. ἐν οἷς αὐτοὶ σφαλλόμενοι κατηγοροῦσι τοῦ κατορθοῦντος, οὐκ ὀκνήσω προσθεῖναι καὶ τοῦτο. δυοῖν οὖν ὄντων πραγμάτων ὅλῳ τῷ γένει κεχωρισμένων, ἅ γε δὴ τὸ ποιοῦν τοῦ ποιουμένου τῷ γένει διενήνοχεν, αἱ μὲν τρίψεις ἐκ τῶν ποιούντων εἰσίν. αἱ δ' ὑπ' αὐτῶν ἀποτελούμεναι κατὰ τὰ σώματα ἡμῶν διαθέσεις, ἐκ τῶν ποιουμένων, ὥστε καὶ τὰς ἐναντιότητας ἀναγκαῖον, ἑτέρας μέν, ἐν τῷ τῶν τρίψεων, ἑτέρας δ' ἐν τῷ διαθέσεων γένει ὑπάρχειν. ἐν μὲν τῷ τρίψεων, τήν τε μαλακὴν καὶ τὴν σκληράν, καὶ τὴν πολλήν, καὶ τὴν ὀλίγην. ἐν δὲ τῷ τῶν διαθέσεων, τήν τ' οἷον δέσιν τε καὶ λύσιν τῶν σωμάτων. καὶ τὴν ἰσχνότητα, καὶ σάρκωσιν. ἡ μὲν οὖν προτέρα τῶν διαθέσεων ἐναντίωσις, ὑπὸ τῆς προτέρας κατὰ τὰς τρίψεις ἐναντιώσεως γίγνεται, ἡ δὲ δευτέρα οὐκέτι. συμβαίνει γὰρ ἐπ' αὐτῆς τὴν μὲν ἰσχνότητα, πρὸς τῆς πολλῆς γίγνεσθαι τρίψεως, τὴν δ' ἀνάθρεψιν ὑπὸ τῆς μετρίας. ἡ γὰρ ὀλίγη σαρκοῦν οὐδέπω δυνατή, διότι δεῖται μὲν τὸ σαρκωθησόμενον, αἵματος παραθέσεως συμμέτρου καὶ δυνάμεως εὐρώστου. καὶ ταῦτα ἄμφω καλῶς αὐτῷ πρὸς τῆς συμμέτρου γίνεται τρίψεως, οὐδέτερον δὲ ἱκανῶς, οὐδ' αὐταρκὲς ὑπὸ τῆς ὀλίγης. ἐπεὶ τοίνυν οὐ συνέβαινον εἰς ταυτὸν αἱ τῶν τρίψεων ἐναντιώσεις ταῖς τῶν διαθέσεων, ἠνάγκαζε δ' αὐτὸν ἡ τῆς βραχυλόγου διδασκαλίας ἰδέα, δι' ἐναντιώσεων ἀφορίσασθαι τὸν λόγον, ἐπὶ τὴν χρησιμωτέραν ἐναντίωσιν ἀφικόμενος ὑπερεῖδε τῆς ἀχρηστοτέρας. χρησιμωτέρα δὲ ἐστὶν ἡ κατὰ τὰς διαθέσεις, τῆς κατὰ τὰς τρίψεις. ἑνὶ μὲν τῷ πρώτῳ λόγῳ, τῷ κατὰ τὸ τέλος τῆς τέχνης. ἐστοχασμέναι γάρ εἰσιν αἱ τρίψεις, τῆς τοῦ σώματος αἱ διαθέσεως, ὡς τέλους. ἀεὶ γὰρ τὸ τέλος τοῦ πρὸ αὐτοῦ κυριώτερον. ὅσῳ γὰρ τοῦ διατί γιγνομένου, τὸ διὸ γίγνεται. δευτέρῳ δὲ λόγῳ ἕνεκεν τῆς σαφηνείας. ἐκ μὲν γὰρ τοῦ μαθεῖν ἡμᾶς τὰ τῆς πολλῆς καὶ τὰ τῆς μετρίας ἀνατρίψεως ἔργα, ῥᾴδιόν ἐστιν ἐπινοῆσαι τὰ τῆς ὀλίγης. οὐ μὴν θ' ὁμοίως εὐσύνοπτος ἡ τῆς συμμέτρου τρίψεως δύναμις. οὐ μὴν ἀλλὰ καὶ τρίτον τῷ δὲ τῷ λόγῳ κάλλιστ' ἂν ὁ Ἱπποκράτης εὑρίσκοιτο διδάσκων περὶ τρίψεως. ἡγεῖσθαι μὲν γὰρ χρὴ τὴν τῶν ἐναργῶς ἀποτελουμένων διδασκαλίαν, ἕπεσθαι δὲ τὴν τῶν ἀμυδρῶς. εἴτε γράφει τις αὐτῶν ῥητῶς, εἴτε τοῖς ἀναγινώσκουσιν ἐπινοεῖν ἀπολείποι. ἔστι δ' ἐναργὲς μὲν τὸ τῆς μετρίας τρίψεως ἔργον, ἡ σάρκωσις τοῦ σώματος. οὐκ ἐναργὲς δέ, τὸ τῆς ὀλίγης. οὔτε γὰρ σαρκοῦν οὔτ' ἰσχναίνειν, οὐθ' ὅλως οὐδὲν ἐναργὲς φαίνεται ποιεῖν, ὅτι μὴ θερμαίνειν μόνον ἐπὶ βραχύ. κοινὸν δ' ἦν ἁπάσης τρίψεως τὸ θερμαίνειν. ὥστ' ἐπεὶ μήτ' ἐναργὲς ἀποτελεῖ μηδέν, καὶ ὅ, τι φαίνεται ποιεῖν, οὐ τοῦτο δὲ ἴδιον αὐτῆς ἐστίν, ἀλλὰ τὸ κοινὸν ἁπάσης τρίψεως, εὐλόγως παρελείφθη. τὸ μὲν οὖν ὅτι κοινὸν ἁπάσης τρίψεως ἔργον ἐστὶ τὸ θερμαίνειν, οὐκ ἄξιον Ἱπποκράτους συγγράμματος. ὁποῖον δέ τι πέφυκεν ἑκάστη τρίψις ἴδιον ἀποτελεῖν, Ἱπποκράτει τε διδάσκειν ἀναγκαῖον ἦν, ἡμῖν τε μανθάνειν χρηστόν. ἀναγαγὼν γὰρ ὥσπερ εἰς στοιχεῖα τινά, τὰς ἁπλᾶς διαφοράς, ἅπαντα τὸν περὶ τῆς τρίψεως λόγον ἐδίδαξεν. ὅπως ἀναθρέψεις ἢ καθαιρήσεις ἢ μαλάξεις ἢ σφίγξεις τὸ σῶμα. τούτοις δ' εὐθέως συνεμφαίνεται, τά τε μέσα τῶν ἔργων, καὶ τὰ κατὰ συζυγίαν ἀποτελούμενα. μέσα μέν, ὅταν ἤτοι μήτε δῆσαι τὸ σῶμα μήτε λῦσαι μήτε σαρκῶσαι μήτε μινυθῆσαι, προαιρώμεθα. κατὰ συζυγίαν δέ, ὅταν εἰ οὕτως ἔτυχε, ἅμα δῆσαι καὶ σαρκῶσαι. τίς γὰρ οὐκ ἂν ἐπινοήσειεν, ὡς ἐπειδὰν σκληρᾷ σαρκὶ σαρκῶσαι σῶμα προαιρώμεθα, τὴν σκληρὰν ἡμῖν τρίψιν ἅμα ποσότητι συμμέτρῳ παραληπτέον ἐστίν. ὥσπερ κἀπειδὰν μαλακῇ, τὴν μαλακήν τε ἅμα καὶ σύμμετρον ἐν τῷ ποσῷ. καὶ κατὰ τὰς ἄλλας συζυγίας ἀνάλογον. ἃς ἔνιοι τῶν γυμναστῶν ὡς ἴδια γράφοντες εὑρήματα μετὰ τοῦ προσεγκαλεῖν Ἱπποκράτει, μεγάλως πλημμελοῦσιν. ὅτι τε τὸν πρῶτον ὑπὲρ αὐτῶν διδάξαντα, δικαίων ἐπαίνων ἀποστεροῦσι, καὶ τὸ τούτου χεῖρον, ὅτι τὴν ἐκείνου γνώμην οὐ συνιέντες καταφρονοῦντες, ἔτι τῷ διαβάλλειν αὐτὸν ἐπιχειροῦσιν. οὐδ' οὖν οὐδὲ καλῶς ἐπαλλάττοντες ἀλλήλαις τὰς ἁπλᾶς διαφοράς. ἐχρῆν γὰρ οἶμαι τό γε κατὰ τρόπον ἐπὶ τὰς ἐν μέρεσι συζυγίας ἔρχεσθαι βουλόμενον, οὔτε τὰς συμπάσας ἓξ ποιεῖν ὥσπερ ὁ Θέων, οὔτε καταλιπεῖν τι κατὰ ταύτας ἔργον, ἢ ποιότητος ἢ ποσότητος ἴδιον. ὥσπερ ἐπὶ μὲν τῆς μαλακῆς τε ἅμα καὶ πολλῆς, τὸ τῆς μαλακῆς. ἐπὶ δὲ τῆς σκληρᾶς τε ἅμα καὶ πολλῆς, τὸ τῆς πολλῆς ἴδιον ἐδείκνυτο παραλελοιπώς. ἀλλὰ τῷ ταῦτα προσιθέναι καὶ τὰς κατὰ μέρος συζυγίας ἐννέα ποιεῖν. αἱ γὰρ τρεῖς διαφοραὶ τῶν κατὰ τὴν ποιότητα τρίψεων ἐπιπλεκόμεναι ταῖς τρισὶ διαφοραῖς τῶν κατὰ ποσότητα τρίψεων, συζυγίας ἀποτελοῦσιν ἐννέα. ἓξ μὲν τὰς ὑπὸ Θέωνος εἰρημένας, ἐν ᾗ παρεθέμην ὀλίγον ἔμπροσθεν ῥήσει, τρεῖς δ' ἄλλας ἃς ἐκεῖνος παρέλειπε, τὴν μέσην σκληρᾶς τε καὶ μαλακῆς ὑπερβάς, καίτοι δ' ἐπινοῆσαι δυνατόν ἐστιν, οὔτε σκληρὰν οὔτε μαλακὴν τρίψιν, ἄνευ τοῦ προσεπινοῆσαι τὸ σύμμετρον. ἢ τὰς τρεῖς διαφορὰς τῆς ποσότητος ἐπέζευξεν, ἐννέα τὰς πάσας ἂν οὕτως ἀπειργάσατο συζυγίας τρίψεων οὐκ ἕξ. ἐκθήσομαι δὲ αὐτὰς ἐπὶ διαγράμματος, ἐν ᾧ τὸ μὲν πρότερον στοῖχον, ἄνωθεν κάτω, ποιοτήτων χρὴ νοεῖν. τὸ δὲ δεύτερον, ποσοτήτων. ποιότητες. ποσότητες σκληρὰ ὀλίγη. σκληρὰ πολλή. σκληρὰ σύμμετρος. μαλακὴ ὀλίγη. μαλακὴ πολλή. μαλακὴ σύμμετρος. σύμμετρος ὀλίγη. σύμμετρος πολλή. σύμμετρος σύμμετρος. τῶν ἐν τούτῳ τῷ διαγράμματι γεγραμμένων ἐννέα συζυγιῶν, ἓξ τὰς πρώτας εἰπὼν ὁ Θέων, οὐκέτ' ἐμνημόνευσε τῶν ὑπολοίπων τριῶν αὐτὸς ἑαυτῷ περιφανῶς μαχόμενος.

τὸ διάγραμμα.

ποιότητες	ποσότητες
σκληρὰ	ὀλίγη
σκληρὰ	πολλή
σκληρὰ	σύμμετρος
μαλακὴ	ὀλίγη
μαλακὴ	πολλή
μαλακὴ	σύμμετρος
σύμμετρος	ὀλίγη
σύμμετρος	πολλή
σύμμετρος	σύμμετρος

μαχόμενος. εἴπερ γὰρ ἐστὶ τῆς ὀλίγης καὶ πολλῆς μέση τρῖψις, ἣν μετρίαν τε καὶ σύμμετρον ὀνομάζομεν, εἴη ἂν δηλονότι καὶ σκληρᾶς καὶ μαλακῆς ἑτέρα τις μέση, σύμμετρός τε καὶ μετρία προσαγορευομένη. μεμνῆσθαι δὲ ἡμᾶς χρὴ παρὰ πάντα τὸν λόγον, ὡς πάντα ταῦτα κατὰ τὸ πρός τι λέγεται. καὶ γὰρ ἡ σκληρὰ τῷδέ τινι μαλακὴ γένοιτ' ἂν ἑτέρῳ τινί, καὶ ἡ σύμμετρος ἀσύμμετρος, ἥ τ' ὀλίγη πολλή, καὶ ἡ πολλὴ τῷδέ τινι, τοῖς ἄλλως πως διακειμένοις, ὀλίγη. ὅπερ μὲν δὴ καὶ ὁ Θέων βούλεται. καὶ οὐκ ἔστιν ὅστις ὑπερβὰς τὴν σύμμετρον ἐν ποιότητι τρῖψιν, οὐ μικρῶς ἁμαρτάνει. καί μοι δοκεῖ περιπεσεῖν ὁ Θέων αὐτῷ, διότι παραλέλειπται κατὰ τὴν Ἱπποκράτους ῥῆσιν. ὥστε κἂν τούτου καταφρονῶν γίγνεσθαι τὸν ἄνδρα, μηδὲν μὲν ἴδιον ὑπὲρ τρίψεως ἐξευρηκότα, τὰ δ' Ἱπποκράτους, οὐκ ὀρθῶς μεταχειριζόμενον. οὐ γὰρ ἀνέγνω τὰ συγγράμματα τοῦ παλαιοῦ, παρὰ διδασκάλοις εὐθὺς ἐκ παίδων ὁρμώμενος. ὁμολογεῖ γοῦν αὐτὸς ἀθλητὴς γενέσθαι τὰ πρῶτα, καταλύσας δὲ τὴν ἄσκησιν ἐπὶ τὴν γυμναστικὴν ἀφίκετο τέχνην. καὶ ταῦτα μὰ τοὺς θεούς, οὐχ ὑπὲρ τοῦ ψέξαι τὸν ἄνδρα προεθέμην εἰπεῖν. ἀποδέχομαι γὰρ αὐτὸν οὐδενὸς ἧττον τῶν ἀρίστων γυμναστῶν, ἀλλ' ὑπὲρ τοῦ † τοὺς ἀναγνωσομένους τήνδε τὴν πραγματείαν, ἐνδείξασθαι τὸ μὴ ῥᾴδιον εἶναι παρακολουθεῖν βιβλίοις παλαιοῖς, ἄνευ τῶν ἐπιμελῶς ἐξηγουμένων αὐτά, διότι μὲν γοῦν ἔπρεπε βραχυλογίᾳ παλαιᾷ, τὴν μέσην σκληρᾶς τε καὶ μαλακῆς ὑπερβῆναι τρῖψιν, ἔν γε τῇ τῆς λέξεως ἑρμηνείᾳ, ἔμπροσθεν εἴρηταί μοι. διότι δ' ἡμᾶς οὐ χρὴ παρορᾶν τά γε τοιαῦτα, καὶ πρόσθεν μὲν ἐπέδειξα, καὶ νῦν οὐδὲν ἧττον ἐπιδείξω. εἴπερ γοῦν ἡ μαλακὴ καὶ ἡ σκληρὰ τρῖψις ἐν τῷ πρός τι τήν θ' ὕπαρξιν ἔχουσι καὶ τὴν νόησιν, ἀνάγκη καὶ τὴν σύμμετρον ἐν τῷ πρός τι συνίστασθαι. τίθεσο δή μοι σῶμα τοιοῦτον οἷον καὶ τὸ τοῦ παιδὸς ὑπεθέμεθα, τοῦ προκειμένου. κατά τι δὲ τὸν λόγον, ἀκριβῶς ὑγιαῖνόν τε καὶ σύμμετρον πάντη, ὡς μήτε μαλακώτερον ἐθέλειν ἡμᾶς αὐτό, μήτε σκληρότερον ἐργάσασθαι, μήτε προσθεῖναί τι τῇ σαρκώσει, μήτ' ἀφελεῖν. ἆρ' οὖν ἐπὶ τοῦ τοιούτου σώματος ἢ τὴν σκληρὰν τρῖψιν, ἢ τὴν μαλακὴν προσάξομεν, ἢ τὴν πολλήν, ἢ τὴν μετρίαν; ἐγὼ μὲν οὐδαμῶς ἡγοῦμαι συμφέρειν. ὑπὸ μὲν γὰρ τῆς σκληρᾶς, σκληρότερον. ὑπὸ δὲ τῆς μαλακῆς, μαλακώτερον. ὥσπερ γε καὶ ὑπὸ μὲν τῆς πολλῆς, ἰσχνότερον. ὑπὸ δὲ τῆς μετρίας παχύτερον ἀπεργασθήσεται τὸ τοιοῦτον σῶμα. χρὴ δ' οὐδὲν τούτων, ἀλλὰ τὴν ἀρχαίαν ἀκριβῶς αὐτῷ φυλάττεσθαι συμμετρίαν, ὥστε οὔτε σκληρῶς, οὔτε μαλακῶς αὐτὸ τρίψομεν, οὔτε πολλαῖς, οὔτε ὀλίγαις, ἀλλὰ μετρίαις ἀνατρίψεσιν αὐτὸ τρίψομεν. οὐδὲν πλέον ἐργαζόμενοι, τοῦ παρασκευάζειν τε πρὸς τὰ γυμνάσια καὶ αὖθις ἀποθεραπεύειν, ἐπειδὰν ἱκανῶς γυμνάσηται. καλείσθω γὰρ οὖν δὴ καὶ ἡμῖν ὥσπερ καὶ τοῖς νεωτέροις γυμνασταῖς ἀποθεραπεία, τὸ μετὰ τὰ γυμνάσια μέρος τῆς τρίψεως. ὁ δέ γε Θέων οὐδὲ μίαν ὧν εἶπε κατὰ τὰς τρίψεις συζυγιῶν ἐφαρμόσαι δύναται τῇ τοιαύτῃ φύσει τοῦ σώματος. ἓξ εἰπὼν τὰς πάσας, τρεῖς μὲν τὰς πρώτας τῆς μαλακῆς, ἑτέρας δὲ τρεῖς, τῆς δευτέρας τῆς σκληρᾶς. οὔτε δὲ τῶν μαλακῶν οὐδὲ μιᾶς τὸ τοιοῦτον σῶμα φαίνεται δεόμενον, οὔτε τῶν σκληρῶν, ἀλλὰ τῆς τούτων ἀμφοτέρων μέσης, ἣν σύμμετρον ὀνομάζειν χρὴ κατὰ ποιότητα. καὶ δῆλον ἤδη γέγονεν ἡλίκον ὁ Θέων ἔσφαλται, τὴν μέσην σκληροτέρας καὶ μαλακῆς ὑπερβὰς τρῖψιν. ἐπὶ γοῦν τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος, οὐδὲ μίαν ὧν εἶπε συζυγιῶν ἐφαρμόσαι δυνατόν. οὔθ' ὑγιαίνοντος ἀκριβῶς, οὔτ' ἐπανορθώσεως δεομένου τοῦ τοιούτου σώματος. εἰ μὲν γοῦν ἀκριβῶς ὑγιαίνει, μόνης τῆς παρασκευαστικῆς δεῖται τρίψεως, ἣν ὀλίγην τε ἅμα καὶ μέσην σκληρᾶς καὶ μαλακῆς ἐδείξαμεν ὑπάρχειν. εἰ δ' ἤτοι τοῦ δέοντος ἰσχνότερον, ἢ παχύτερον γίγνοιτό ποτε, μὴ μέντοι κατὰ ποιότητα τῆς σαρκὸς ὑπαλλαγείη μηδέν, εἰς τὸ μέσον δ' ἀκριβῶς φυλάττοιτο μαλακοῦ τε καὶ σκληροῦ, τηνικαῦτα τὴν πολλὴν μὲν ἅμα καὶ σύμμετρον ἐν ποιότητι προσάξομεν, ἰσχναίνειν βουλόμενοι. τὴν σύμμετρον δὲ κατ' ἀμφότερα τό, τε ποιὸν λέγω καὶ τὸ ποσόν, ἀνατρέφειν προαιρούμενοι. ταύτας τὰς τρεῖς συζυγίας ὑστάτας ἐπὶ ταῖς ἐξ ὀλίγου ἔμπροσθεν ἐξεθέμην ἐν τῷ διαγράμματι, δεικνὺς ὡς ἁπάσας αὐτὰς ὁ Θέων παρέλιπεν. ἐπειδὴ τοίνυν οὐ μόνον ὅτι παρέλιπεν, ἀλλὰ καὶ ὅτι χρησιμωτάτας ὑπαρχούσας ὁ λόγος ἀπέδειξεν, ἑξῆς ἂν εἴη καιρὸς ἐπὶ τὸ ὀλίγον ἔμπροσθεν ἀναβληθέντα ἰέναι. καὶ πρῶτόν γε ὡς ἡ κατὰ τὰ στοιχεῖα τῶν πραγμάτων διδασκαλία, χρησιμωτέρα τῶν ἄλλων ἐστίν. εὐσύνοπτόν τε γὰρ ἐργάζεται τὸ πᾶν πρᾶγμα, καὶ τῇ μνήμῃ παρατιθέμενον, εἰς ἀνάμνησίν τε ῥᾳδίως ἐρχόμενον, ἁπάντων τε τῶν κατὰ μέρος ἐπιδέξιον χρῆσιν ἑτοίμως δεομένων, ὡς ἂν εἰς ὀλίγα καὶ ὡρισμένα στοιχεῖα τῆς ἀναφορᾶς γιγνομένης αὐτῶν. τίς γὰρ οὐκ ἂν ἐξεύροι ῥᾳδίως πάσας τὰς κατὰ μέρος ἐν ταῖς τρίψεσι διαφοράς τε καὶ χρείας καὶ δυνάμεις, εἰ μόνον ἅπαξ ἐκμαθὼν τὴν γνώμην τοῦ παλαιοῦ, μετὰ ταῦτα πρόχειρον ἔχει τῇ μνήμῃ, τὴν ῥῆσιν αὐτοῦ; δι' ἧς ἡμᾶς ἐδίδαξεν, ὡς δῆσαι μὲν ἡ σκληρά, λῦσαι δὲ ἡ μαλακή, μινυθῆσαι δὲ ἡ πολλή, σαρκῶσαι δ' ἡ μετρία δύναται τρῖψις. ἐκ γὰρ τοῦ ταῦτα νοῆσαί τε καὶ μνημονεῦσαι, πρώτας μὲν τὰς ἐν τῇ ῥήσει παραλειφθείσας διαφορὰς εὑρήσομεν. εἶθ' ἑξῆς ἐπιπλέκοντες ἀλλήλαις, ἁπάσας, ἐννέα συζυγίας ἀπεργασόμεθα. τὰς ὀλίγον ἔμπροσθεν ἐπὶ τοῦ διαγράμματος ἐγκειμένας, ἃς οὔθ' εὑρεῖν, οὔτε μνημονεῦσαι δυνατόν, ἄνευ τοῦ προηγήσασθαι τὴν στοιχειώδη διδασκαλίαν, ἣν Ἱπποκράτης ἐποιήσατο. σύμπαντα τὸν περὶ τῆς τρίψεως λόγον, εἰς τὰς πρώτας ἀρχὰς ἀναγαγών, ἐξ ὧν ἀκριβῶς εὑρημένων, οὐ μόνον τὰ νῦν εὑρημένα περιγίγνοιντο ἂν ἡμῖν, ἀλλὰ καὶ τὸ κρίνειν ἁπάσας τὰς μοχθηρὰς διδασκαλίας. ἴδιον γὰρ μάλιστα μεθόδου τοῦτο, τὸ διὰ βραχείας ἀρχῆς στοιχειώδους, ἐπὶ τὰ πάντα δύνασθαι τὰ κατὰ μέρος ἰέναι, καὶ κρίνειν ἅπαντα τὰ μοχθηρῶς εἰρημένα. καθάπερ κανόνι τινὶ τοῖς ἐπιστημονικοῖς θεωρήμασι τὰς οὐκ ὀρθὰς δόξας δοκιμάζοντα. περὶ μὲν δὴ τοῦ μηκέτ' ἄλλον τινὰ περὶ τρίψεως ὀρθῶς ἐγνωκέναι, μήτε τὸν γυμναστὴν Θέωνα, καίτοι τῶν ἄλλων κάλλιον ὑπὲρ αὐτῆς ἀποφηνάμενον, ἀλλ' Ἱπποκράτην τε καὶ ὅσοι τούτῳ κατηκολούθησαν, ἱκανὰ καὶ ταῦτα. λείποιτο δ' ἂν ἔτι τῶν ἀναβληθέντων ὑπὲρ τῶν ὀνομάτων εἰπεῖν ἵνα μή τις ὑπὸ τοῦ πλήθους αὐτῶν ἐξαπατώμενος, ἰσαρίθμους οἰηθῇ τὰς διαθέσεις ὑπάρχειν ταῖς προσηγορίαις. τὸ μὲν γὰρ σκληρὸν ὄνομα κυρίως ἐπιφέρεται, κατά τινος μιᾶς τοῦ σώματος διαθέσεως, ἣν οὐδ' ἐξηγεῖσθαι διὰ πολλῶν ὁποία τίς ἐστι δεόμεθα. πάντων ἀνθρώπων ὑπὸ τῆς φωνῆς ποδηγουμένων ἐπὶ τὸ πρᾶγμα. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὸ μαλακόν. τὸ δ' ἀραιὸν καὶ τὸ πυκνόν, οὐκέθ' ὁμοίως ἐναργῶς σημαίνει τὰς διαθέσεις τοῦ

† al. τοῖς ἀναγνωσομένοις

σώματος. ὅτι διττή τις ἡ τῶν ὀνομάτων χρῆσις ἐγένετο, κυρίως μὲν ὀνομαζόντων ἕτερα, καταχρωμένων δ' ἕτερα. τὸ μὲν οὖν κυρίως ἀραιόν ἐστι, τὸ μεγάλοις διαλαμβανόμενον πόροις, ὥσπερ γε καὶ πυκνόν, τὸ μικροῖς. τὸ δ' ἐκ μεταφορᾶς, ἢ καταχρήσεως, ἢ ὅπως ἂν ἐθέλεις ὀνομάζειν, καὶ κατὰ τοῦ κεχυμένου τε καὶ πεπιλημένου λέγεται. κατὰ τοῦτο γοῦν ἐστιν ὅτε τὸν μὲν ἀέρα καὶ τὸ πῦρ ἀραιά, τὸ δ' ὕδωρ καὶ τὴν γῆν, πυκνὰ λέγομεν. ἐπ' αὐτὰ τὰ στοιχεῖα τὰς εἰρημένας προσηγορίας ἐπιφέροντες, ἡνωμένα τε καὶ ὁμοιομερῆ τὴν φύσιν ὑπάρχοντα, καὶ μηδενὶ διαλαμβανόμενα πόρῳ. πολὺ δὲ δὴ τούτων ἔτι μᾶλλον ἀποκεχώρηκε τοῦ κυρίως ὀνομάζεσθαι τό τε ἐσφιγμένον καὶ τὸ δεδεμένον, ἐκ μεταφορᾶς ἄμφω λεγόμενα, τὸ μὲν ἐσφιγμένον, ἐπί τε τοῦ πυκνοῦ καὶ τοῦ σκληροῦ, ποτὲ μὲν, ἑκατέρου καταμόνας ὑπάρχοντος. ἔστιν ὅτε δ' εἰς ταυτὸν ἀφιγμένου. τὸ δ' αὖ δεδεμένον, ἐπὶ τῶν αὐτῶν μὲν, ἀλλ' οὐκ ἐκ τῆς αὐτῆς μεταφορᾶς. ἐπειδὴ γοῦν ἅπαντα τὰ δεδεμένα, δυσκίνητα εἰσίν, οὕτως ὀνομάζουσι καὶ τὰ διὰ ξηρότητα τινὰ ἢ ψύξιν ἢ φλεγμονὴν ἢ σκίρρον ἢ τάσιν ἢ πλήρωσιν ἢ βάρος ἐν δυσκινησίᾳ καθεστῶτα, διὰ δὲ τὴν αὐτὴν αἰτίαν, καὶ τοῖς ἐναντίοις χρῶνται τῶν ὀνομάτων, ἐπὶ τῶν ἐναντίων διαθέσεων. ἀνεῖσθαι λέγοντες ἢ ἐκλελύσθαι ἢ κεχαλάσθαι. χρὴ δὲ μὴ τῷ πλήθει τῶν ὀνομάτων προσέχειν, ἀλλ' ἡγεῖσθαι διττὰ γένη διαθέσεων ὑπάρχειν τὰ πάντα. τὰ μὲν, ἐν αὐτοῖς τοῖς ὁμοιομερέσι σώμασιν, ὅπερ ἢ τοι σκληρὸν ἢ μαλακόν ἐστι. τὸ δ' ἐν ταῖς τῶν ὀργάνων ποροποιίαις συνιστάμενον, ὅπερ ἤ τοι πυκνὸν ἢ ἀραιόν. αὗται γὰρ ἴδιαι τῶν σωμάτων αὐτῶν εἰσὶν αἱ διαθέσεις, ἐπίκτητοι δὲ καὶ ὡς ἂν εἴποι τις πρόσκαιροι, ποτὲ μὲν ἐμπεπλησμένων τῶν πόρων ὑγρότητος περιττῆς, ἔστιν ὅτε δὲ καὶ καθαρῶν ὑπαρχόντων. καὶ ποτὲ μὲν, ἀναπεπταμένων, ἔστιν ὅτε δὲ μεμυκότων. ἀλλὰ περὶ τῶν διαθέσεων τούτων, ἐν τοῖς ἑξῆς ὑπομνήμασιν ὁ λόγος ἔσται. νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπανιέναι χρή, καὶ πρότερον διορίσασθαι σαφέστερον ἔτι περὶ τρίψεως. ὡς ἐνίοτε μὲν, αὐτὴ καθ' ἑαυτὴν ἐργάζεταί τι περὶ τοῖς σώμασιν ἡμῖν χρηστόν. ἐνίοτε δὲ τοῖς ἐργαζομένοις ὑπηρετεῖ. καθάπερ Ἱπποκράτης ἔλεγε, περὶ ἐπιδέσεως. ὡς ἐπίδεσις τὸ μὲν, αὐτὴ ἰῆται, τὸ δὲ, τοῖς ἰωμένοις ὑπηρετεῖ. αὐτὴ μὲν οὖν ἡ τρίψις, ἐργάζεται τὰ τε ἀραιὰ πυκνὰ ποιοῦσα, καὶ τὰ μαλακὰ πυκνοῦσα. σκληρὰ δὲ εἴη πάντως, ἡ τοιάδε τρίψις. καὶ μὴν δὴ καὶ τὰ σκληρὰ μαλάττουσα, καὶ τὰ πυκνὰ διευρύνουσα. μαλακὴ δέ ἐστιν, ἡ τοιαύτη τρίψις. οὕτω δὲ καὶ ἡ τοῦ σαρκῶσαι χάριν ἢ τοῦ λεπτῦναι παραλαμβανόμενον, καθ' ἑαυτὰς ἐργάζονται τι χρηστὸν ἐν τοῖς σώμασιν. ἡ μέν τοι παρασκευάζουσα πρὸς τὰ γυμνάσια καὶ ἡ μετὰ ταῦτα παραλαμβανομένη τοῖς γυμνασίοις ὑπηρετοῦσιν, ἡ μὲν ἐκ τοῦ θερμῆναι μετρίως, τοὺς πόρους ἀναστομοῦσα, καὶ τὰ κατὰ τὴν σάρκα περιττώματα χέουσα καὶ τὰ στερεὰ μαλάττουσα. καλεῖται δὲ παρασκευαστικὴ τρίψις ἡ τοιαύτη. ἡ δὲ ἑτέρα, προσαγορεύεται μὲν ἀποθεραπευτική. γινομένη δὲ μετὰ ἐλαίου πλέονος, ἐπιτέγγει τε ἅμα τῷ λίπει καὶ μαλάττει τὰ στερεά, καὶ διαφορεῖ τὰ ἐν τοῖς πόροις περιεχόμενα. ἀλλὰ περὶ μὲν ταύτης δὲ, καὶ αὖθις εἴπωμεν ἐφεξῆς τοῖς γυμνασίοις. ἡ μέν τοι παρασκευαστικὴ τρίψις ἐπὶ τῆς ἀρίστης φύσεως, ἕνεκα τοῦ διαθερμῆναι τὰ σώματα παραλαμβανομένη, καθ' ὃν εἴρηται τρόπον ὀλίγον ἔμπροσθεν γιγνέσθω. μαλακὴ μὲν τὰ πρῶτα, προσαγόντων δὲ ἤδη τοῖς πόνοις, σκληρά. οὕτω γὰρ ἂν μάλιστα τό, τε μαλάττειν ἔχει καὶ τὸ πρὸς τὰς ἐνεργείας ἐπεγείρειν, καὶ τὸ διαφυλάττειν ὁποίαν παρέλαβε τὴν φύσιν τοῦ σώματος. εἰ μέν τοι διαμαρτάνοιεν κατά τι πρὸς τὸ σκληρὸν ἐκτρεπέσθω μᾶλλον. αἱ γὰρ ἐπ' ὀλίγον ὑπερβολαὶ τῆς συμμετρίας, ἐν τῷ δέρματι καταπαύονται τῶν ἐντὸς οὐδὲν ἀλλοιοῦσαι. βλάπτοιεν δ' ἂν ἧττον, τὸ δέρμα, πρὸς τὸ σκληρόν τε καὶ πυκνὸν ἐκτρεπόμεναι. οὕτως γὰρ ἂν εἴη δυσπαθέστερον ὡς εἴ γε καὶ διαπνεῖσθαι τὸ τοιοῦτον καλῶς ἠδύνατο, σκληρότατον αὐτὸ καὶ πυκνότατον ἀπειργαζόμεθα. νυνὶ δὲ ἐπειδὴ πρὸς ἄμφω χρὴ παρασκευασθῆναι καλῶς αὐτὸ καὶ πρὸς τὴν τῶν ἔνδοθεν περιττωμάτων διαπνοήν, καὶ τὴν τῶν ἔξωθεν ὁμιλούντων βίαν, ἄριστον ἂν εἴη τὸ μέσον ἑκατέρων τῶν ὑπερβολῶν. εἰ δ' ἄρα ποτὲ μὴ φυλάττοιτο τοῦτο, βέλτιον τὸ σκληρότερόν τε καὶ πυκνότερον, τοῦ μαλακωτέρου καὶ ἀραιοτέρου. τὸ μὲν γὰρ τῆς διαπνοῆς ἐλλιπές, ἐπανορθοῦσθαι γυμνασίοις οἷόν τε. τὸ δὲ τῆς ἑτέρας διαθέσεως εὐπηρέαστον ὑπὸ τῶν ἔξωθεν αἰτίων, οὔτ' ἐπανόρθωσιν τινα ἑτέραν ἑτοίμην ἔχει, καὶ πρόσεστιν αὐτῷ βλάβη τις οὐ σμικρά, διαφορουμένων πολλάκις οὐ τῶν περιττωμάτων μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς τροφῆς. ἐν μὲν δὴ ταῖς κατὰ ποιότητα διαφοραῖς, ἐπὶ τὸ σκληρότερον ἁμαρτάνειν χρὴ μᾶλλον, ἤπερ ἐπὶ τὸ μαλακώτερον. ἐν μέν τοι ταῖς κατὰ ποσότητα, πρὸς τὸ ἔλαττον ἐπὶ τῆς προκειμένης δηλονότι φύσεώς τε καὶ ἡλικίας. ἀεὶ γοῦν χρὴ τούτου μεμνῆσθαι κατὰ τὸν ἐνεστῶτα λόγον. αὐξάνεσθαί τε γὰρ ἔτι βουλόμεθα τὸ τοιοῦτον σῶμα καὶ ἥκιστα ξηραίνεσθαι. τίνας μέν τοι χρὴ φύσεις σωμάτων κατά τινας διαθέσεις ἐπὶ πλέον τρίβειν, αὖθις εἰρήσεται. νυνὶ δὲ ἐπὶ τὴν ἐνεστῶσαν ὑπόθεσιν ἐπανελθόντες, ὑπὲρ τοῦ μέτρου τῆς τρίψεως ἐπισκεψόμεθα, τὸν αὐτὸν τρόπον, ὅνπερ ἀρτίως ἐπισκεψόμεθα περὶ τῆς ποιότητος. ἔοικε δὲ κἀνταῦθα πρὶν ὁρίζειν τὸ μέτρον, ἑτέρου τινὸς ἐπιμνησθήσεσθαι σκέμματος, οὗ χωρὶς οὐδὲ τὸ μέτρον ὀρθῶς οὔτε ὁρισθῆναι δυνατὸν, οὔτε γνωρισθῆναι. τὸ δὲ δὴ σκέμμα τοῦ περιέχοντος ἀέρος τὸν τριψόμενον ἡ κρᾶσις ἐστίν, ἣν δεῖξαι μὲν ἐπὶ ἔργον ἐγχωρεῖ, διελθεῖν δὲ τῷ λόγῳ σαφῶς οὕτως, ὡς μηδὲν ἀπολείπεσθαι τὴν ἑρμηνείαν ἐναργοῦς ἐνδείξεως ἀμήχανον ἐστι, καὶ ἀδύνατον παντάπασιν. ἀλλ' εἰ μὴ πολὺ λείποι τοῦ δείξεως ἐναργοῦς ὁ λόγος, ἱκανὸν καὶ τοῦτο. προηγεῖται δὴ καὶ τῶνδε πάλιν ἑτέρα τις ὑπόθεσις, ἐν τίνι μὲν ὥρᾳ τοῦ ἔτους, ἐν τίνι δὲ χώρᾳ τῆς οἰκουμένης, ὁ γυμνασόμενος ἔσται. μόνα γὰρ ἐπ' αὐτῷ διώρισαι, τό, τε τῆς κατασκευῆς τοῦ σώματος, καὶ τὸ τῆς ἡλικίας. οὔτε δὲ ἐν ᾧ τινι τέθραπται μέρει τῆς γῆς οὔτε ἐν ᾧ μέλλει γυμνάζεσθαι νῦν, οὔτε καθ' ἥντινα τοῦ ἔτους τὴν ὥραν ἢ καὶ τῆς ἡμέρας προσδιώρισαι. καί τοι παρὰ ταῦτα τὸ μέσον τῆς τρίψεως ὑπαλλάττεται. προσδιοριστέον οὖν αὐτὰ πάλιν, εἰρημένα μὲν ἤδη δυνάμει κατὰ τὴν ἀρχὴν τοῦδε τοῦ γράμματος, οὐ μὴν τῇ ἑρμηνείᾳ σαφῶς δεδηλωμένα. λέγοντες γὰρ οἷον κανόνα τινὰ πρῶτον ἐκτίθεσθαι πάντων τῶν ἐφεξῆς εἰρησομένων τὸν ἄμεμπτον τῇ κατασκευῇ τοῦ σώματος ἄνθρωπον, εὐθέως ἐν τούτῳ καὶ τὴν χώραν αὐτοῦ διορισόμεθα δυνάμει. οὔτε γὰρ εὐκρατότατον οὔτε ἀμεμπτότατον τῇ κατασκευῇ γίνεσθαι σῶμα δυνατὸν ἐν τοῖς ἀμέτρως κεκραμένοις χωρίοις, ὥστε ὅ, τε λόγος ὑπαγορεύει καὶ ἡ πεῖρα δείκνυσι. ξηροὶ μὲν γὰρ καὶ ἰσχνοὶ καὶ οἷον ἐσκελετευμένοι γίνονται, κατὰ τὰς θερμὰς χώρας οἱ ἄνθρωποι. ἀνώμαλοι δὲ ταῖς κράσεσιν, ὡς τὰ μὲν ἔξω, ψυχρά, τὰ δὲ ἔνδον τε καὶ κατὰ τὰ σπλάγχνα θερμά.

περαιτέρω

περαιτέρω τοῦ προσήκοντος ἔχειν, οἱ τῶν ψυχρῶν χωρίων οἰκήτορες. τὸ δ' ἄριστον σῶμα περὶ οὗ νῦν ὁ λόγος, ὥσπερ ὁ πολυκλήτου κανών ἐστιν. ὃ κατὰ μὲν τὴν ἡμετέραν χώραν ὡς ἂν εὔκρατον ὑπάρχουσαν, ὦπται πολλὰ παραπλήσια σώματα, παρὰ δὲ κελτοῖς ἢ σκύθαις ἢ αἰγυπτίοις ἢ ἄραψιν, οὐδ' ὄναρ ἰδεῖν ἐστι τοιοῦτον σῶμα. καὶ αὐτῆς δὲ τῆς ἡμετέρας χώρας ἱκανὸν ἐχούσης πλάτος, εὐκρατότατόν ἐστι τὸ μεσαίτατον. οἷόν περ ὑπάρχει κατὰ τὴν Ἱπποκράτους πατρίδα. καὶ γὰρ χειμὼν αὐτῇ καὶ θέρους ἐστὶν εὔκρατος. ἔτι δὲ δὴ μᾶλλον ἦρός τε καὶ φθινοπώρου. τοιαύτην οὖν τινὰ χώραν ὑποθέμενοι τῷ προκειμένῳ σώματι, τὴν μὲν ὥραν τοῦ ἔτους αὐτῷ προσυποθώμεθα τὸ μεσαίτατον τοῦ ἦρος. ἔστω δὲ τῆς ἡμέρας ἐκείνης ἐν ᾗ μέλλει πρὸς ἡμῶν γυμνάζεσθαι τὸ πρῶτον, ὡς οἷόν τε τὸ μεσαίτατον. ἵνα κατὰ μηδένα ὑπὸ τοῦ περιέχοντος ἐξαλλαχθῇ πως ἡ φυσικὴ δύναμις τῆς κράσεως αὐτοῦ. διὰ δὲ τὸν αὐτὸν λογισμόν, οὐδὲ τὸν οἶκον, ἐν ᾧ γυμνάζεσθαι μέλλει, θερμότερον ἢ ψυχρότερον εἶναι προσήκει, κατά γε τὴν ἡμέραν ἐκείνην, τοῦ κοινοῦ τῆς πόλεως ὅλης ἀέρος. ἐν μέντοι χειμῶνι καὶ θέρει, τοιοῦτον αὐτῷ προσθετέον. ἐν μὲν χειμῶνι θερμότητα, ἐν δὲ τῷ θέρει ψυχρότητα. ὡς εὔκρατον ἀκριβῶς ἀποτελεσθῆναι τὸ σῶμα, κατὰ τὸν τῆς τρίψεως καιρόν. εἰ γὰρ ἤτοι θερμότερος ἢ ψυχρότερος εἴη περαιτέρω τοῦ προσήκοντος, ἐν μὲν τῷ θερμοτέρῳ, φθάσειεν ἂν ἱδρῶσαι, πρὶν αὐτάρκως μαλαχθῆναι. κατὰ δὲ τὸν ψυχρότερον, οὐδ' ἂν ἐκθερμανθείη τὴν ἀρχήν. οὐδὲ μαλαχθείη ποτὲ καλῶς. οὐδ' ἐπανθήσειεν ἐρύθημα εὐανθές. οὐδ' εἰς ὄγκον ἀρθείη τὸ σῶμα. ταῦτα γὰρ δὴ τὰ γνωρίσματα συμμέτρου τρίψεώς ἐστιν ἐν ἀέρι συμμέτρῳ περὶ τὴν εὔκρατον ἕξιν τοῦ σώματος, ἔρευθός τε καὶ ὄγκος. ὥσπερ γὰρ ἐν τῷ καταχεῖν ὕδωρ θερμόν, εἰς ὄγκον μὲν πρῶτον ἐξαίρεται τὰ σώματα, πλεοναζόντων δὲ καθίσταται, καὶ διὰ τοῦθ' Ἱπποκράτης ἐπ' αὐτῶν εἶπε. τὸ μὲν γὰρ πρῶτον ἀείρεται, ἔπειτα δ' ἰσχναίνεται οὕτως καὶ ἡ τρίψις, ἐξαίρει μὲν πρῶτον, αὖθις δὲ συστέλλει τε καὶ καθαίρει τὸ σῶμα. τοὺς μὲν δὴ σαρκώσεως ἕνεκα τριβομένους, τηνικαῦτα παύεσθαι προσήκει ὅταν τὸ σῶμα πλησίον ἥκῃ τοῦ καθίστασθαι. τοὺς δ' εἰς τὰ γυμνάσια παρασκευαζομένους οὐχὶ τοῦτον ἀναμένειν τὸν καιρόν, ἀλλὰ πολὺ πρόσθεν παύεσθαι. καὶ μάλισθ' ὅταν ἄριστοι τὴν κρᾶσιν ὦσι καὶ παῖδες ἔτι τὴν ἡλικίαν. ὑγρὰ γὰρ δὴ τούτων τὰ σώματα, καὶ μαλακά, καὶ βραχείαις τρίψεσι μαλαττόμενα, σκοπὸς δέ ἐστι καὶ τέλος τῆς παρασκευαστικῆς τρίψεως, τὸ μαλαχθῆναι μὲν τὰ στερεά, λυθῆναι δὲ τὰ ὑγρά. τοὺς πόρους δ' εὐρυνθῆναι. ὁ πόσον δέ τι τὸ πλῆθος ἔσται τῆς ἀνατρίψεως, οὐχ οἷόν τε λόγῳ δηλῶσαι. ἀλλὰ χρὴ τὸν ἐπιστατοῦντα τρίβωνα τοῦ τοιούτου ὑπάρχοντα, κατὰ μὲν τὴν πρώτην ἡμέραν, οὐκ ἀκριβεῖ στοχασμῷ χρήσασθαι, κατὰ δὲ τὴν ἑξῆς, ἐμπειρίαν ἤδη τινὰ τῆς τοῦ σώματος ἐκείνου φύσεως ἔχοντα, τὸν στοχασμὸν ἀεὶ καὶ μᾶλλον ἐξακριβοῦν. καὶ μὲν δὴ καὶ κατὰ τὰ γυμνάσια, τῇ μὲν πρώτῃ τῶν ἡμερῶν, οὐ δυνατὸν ἀκριβῶσαι τὸ μέτρον. ἐν δὲ ταῖς μετὰ ταύτην δέ, καὶ πάνυ δυνατόν. ἔστω δὴ κἀνταῦθα γνωρίσματα κατὰ μὲν τὴν πρώτην ἡμέραν, ὅταν ἐγκελευομένῳ καὶ παρορμῶντι γυμνάσασθαι, μηκέτ' ὁμοίως ὑπακούῃ, ἀλλὰ βραδυτέρας τε καὶ ἀραιοτέρας καὶ ἀσθενεστέρας καὶ τὸ σύμπαν εἰπεῖν, ἀτονωτέρας ποιεῖται τάς τε λαβὰς τῶν προσπαλαιόντων καὶ τὰς κινήσεις. εἶναι δὲ δηλονότι χρὴ τὸν γυμναζόμενον, οὔτε θυμικὸν ὡς ἔτι προθυμεῖσθαι γυμνάζεσθαι καμνούσης ἤδη τῆς δυνάμεως. οὔτ' ἄθυμον, ὡς ἀπαγορεύειν ἔτι πονεῖν δυνάμενον. ἔστι δὲ δήπου τοιοῦτος οὐ τὸ σῶμα μόνον ἀλλὰ καὶ τὴν ψυχήν, ὁ νῦν ἡμῖν ὑποκείμενος ἄνθρωπος. ὡς ὅσοι γε ψυχροὺς ἔχουσι χυμοὺς ἐν τῇ γαστρὶ περιεχομένους, ἢ κατὰ τὴν ὅλην ἕξιν ἠθροισμένους, ἀργότεροι πρὸς τὰς κινήσεις εἰσίν. ὡσαύτως δὲ καὶ οἱ πληθωρικῶς διακείμενοι. καὶ οἱ προσφάτως κρύει καταπονηθέντες, ἄθυμοί τε εἰσί, καὶ ὀκνηροὶ κινεῖσθαι. καὶ τούτων ἔτι μᾶλλον, ὅσοι φύσει ψυχρότεροι, καὶ πολὺ δὲ δὴ μᾶλλον, εἰ τῇ ψυχρότητι καὶ ὑγρότης προσείη. οὗτοι μὲν γὰρ νοθεύουσι τὰ τοῦ μέτρου τῶν γυμνασίων γνωρίσματα. καθάπερ γε καὶ οἱ θερμότεροι τὴν κρᾶσιν, ἢ διὰ τὴν οἰκείαν φύσιν, ἢ δι' ἐπίκτητόν τινα διάθεσιν, εὔθυμοί τ' εἰσὶ καὶ φιλόνεικοι. καὶ πρὸς τὰς ἐνεργείας ἕτοιμοι περαιτέρω τοῦ δέοντος. ὅσοι δὲ μήτε τὸ σῶμα θερμότερον ἢ ψυχρότερον ἔχουσι, μήτ' ἄθυμοι τὴν ψυχήν εἰσὶ τὸ πάμπαν ἢ φιλόνεικοί τε καὶ φιλότιμοι καὶ θυμικοί, τούτοις ἀκριβεῖ διαφυλάττεται τοῦ μέτρου τῶν γυμνασίων τὰ γνωρίσματα. καὶ κατὰ τὴν πρώτην ἡμέραν εὐθύς, ἀτὰρ οὖν ἔτι δὴ καὶ μᾶλλον ἐπὶ προήκοντι τῷ χρόνῳ. εἰ γάρ τι καὶ παρελάθη κατὰ τὴν ἀρχήν, ἀκριβωθήσεται τοῦτο τῇ πείρᾳ διδαχθέν. οὕτως οὖν εἰς ἀκριβῆ στοχασμὸν ἔρχεται, καὶ τὸ τῶν σιτίων μέτρον, οὐδενὶ τρόπῳ κατ' ἀρχὰς γνωρισθῆναι δυνάμενον. ἀλλ' ἡ καθ' ἑκάστην πεῖρα καὶ μνήμη τοῦ τε ποσοῦ τῶν γυμνασίων καὶ τοῦ ποσοῦ τῶν σιτίων οὐδὲ ἀργῶς ὁρῶντος καὶ τοῦ προεστῶτος, ἀλλ' ἀεὶ μεμνημένου πῶς ἔπεψεν ἐπὶ πόσοις δὴ γυμνασίοις τὰ τοσάδε σιτία, πλησίον ἀκριβοῦς ἐπιστήμης ἄγει τὴν διάγνωσιν ἐν τῷ χρόνῳ. ταυτὶ μὲν οὖν ἤδη πρὸς ἅπαντα κοινά, καὶ ταῖς μοχθηροτέραις ὑπάρχει κατασκευαῖς τοῦ σώματος, ὑπὲρ ὧν οὐδέπω πρόκειται λέγειν. ἡ δ' ἀρίστη φύσις ἡ νῦν ἡμῖν προκειμένη, μέτρα πάντων εὔδηλα κέκτηται. μήτε τοῖς τῆς ψυχῆς ἤθεσι μήτε ταῖς τοῦ σώματος δυσκρασίαις ἐπιβολοῦσά τε καὶ νοθεύουσα τῶν εἰρημένων μηδέν. ἀλλὰ καὶ τρίψεων καὶ γυμνασίων καὶ σιτίων καὶ ὕπνων ἐναργῶς ἐνδεικνυμένη τὰ μέτρα. καὶ τηνικαῦτα πρῶτον ἀπαγορεύουσα πρὸς ἕκαστον, ὅταν μηκέτι δέηται, ὥς τε εἶναι καὶ τοῦτο τῷ προεστῶτι τοιούτου σώματος, οὐ μικρὸν γνώρισμα μετρίου. λέγω δὲ τὴν περὶ ἕκαστον ὧν ἂν πράττῃ προθυμίαν, αὐτῆς τῆς φύσεως ἑαυτῇ τὸ μέτρον εὑρισκούσης ἐν ταῖς ἀρίσταις κατασκευαῖς. καὶ γὰρ ἀνατριβόμενοι τηνικαῦτα πρῶτον ἐξιᾶσιν ἐπὶ τὸ γυμνάσιον οἱ ἄριστα πεφυκότες, ὅταν ἱκανῶς ἔχωσι μαλακότητός τε ἅμα καὶ θερμότητος ἅπαντι τῷ σώματι. καὶ γυμναζόμενοι τό τε πρῶτον ὀκνήσουσιν, ὅταν αὐτάρκως γυμνασθῶσιν. καὶ δὴ καὶ σιτίων καὶ πομάτων ἀφέξονται τό τε πρῶτον, ὅταν ἱκανῶς ἐμπλησθῶσιν, ὡς οὐδεὶς φόβος οὔτε ὑπερπονῆσαι τὸν τοιοῦτον ἄνθρωπον, οὔθ' ὑπερεμπλησθῆναι, ταῖς ὁρμαῖς τῆς φύσεως οἰακιζόμενον. οὔκουν οὐδὲ τοῦ προεστῶτος εἰς ἄκρον ἥκοντος ἐπιστήμης, ὁ τοιοῦτος ἄνθρωπος δεῖται. καθάπερ οἱ μετὰ ταῦτα λεχθησόμενοι πάντες, οἱ μοχθηρῶς κατεσκευασμένοι. αὐτὸ γὰρ ἑαυτῷ πάντ' ἐξευρίσκει τὸ ὑγιεινὸν σῶμα ταῖς τῆς φύσεως ὁρμαῖς ἐπιτροπευόμενον. καὶ μάλιστα εἰ καλῶς εἴη τὰ τῆς ψυχῆς αὐτῷ πεπαιδευμένα. πολλοὶ γὰρ ἔθεσι μοχθηροῖς ἐντραφέντες, ἀκολαστότερον ἢ ἀργότερον διαιτώμενοι, διαφθείρουσι φύσεις χρηστάς. ὥσπερ αὖ πάλιν ἔνιοι μοχθηρῶς φύντες τὸ σῶμα, βίῳ σώφρονι καὶ γυμνασίοις εὐκαίροις, ἐπανορθώσαντο τὰ πολλὰ τῶν ἐ-

λαττωμάτων. ἀλλὰ τούτων μὲν, καὶ ὁ ἔργῳ ὁ μετὰ ταῦτα λόγος ἅπαξ σύγκειται. περὶ δὲ τῶν ἄριστα κατεσκευασμένων τὸ σῶμα καὶ τὸν νοῦν προσεχόντων μόνοις τοῖς ὑγιεινοῖς, ἐν τῷ δὲ τῷ γράμματι πρόκειται διελθεῖν. ὁ μὲν οὖν ἔμπροσθεν λόγος ὑπὲρ αὐτῶν, εἰς τὸ μέτρον ἐτελεύτα τῶν γυμνασίων. ἐφεξῆς δ' ἂν εἴη καιρὸς, ὑπὲρ τῶν εἰδῶν διελθεῖν. εἴδη δὲ γυμνασίων, ὀνομάζω πάλην. παγκράτιον. καὶ πυγμήν. καὶ δρόμον. ὅσα τ' ἄλλα τοιαῦτα. τινὰ μὲν, αὐτὸ τοῦτο γυμνάσια μόνον ὑπάρχοντα. τινὰ δὲ οὐ γυμνάσια μόνον ἀλλὰ καὶ ἔργα. γυμνάσια μὲν αὐτά γε δὴ ταῦτα τὰ εἰρημένα, καὶ προσέτι τὸ πιτυλίζειν. τὸ ἐκπλεθρίζειν. τὸ σκιομαχεῖν. τὸ ἀκροχειρίζεσθαι. τὸ ἅλλεσθαι. τὸ δισκοβολεῖν. καὶ διὰ κωρύκου. καὶ διὰ σφαίρας ἢ μικρᾶς ἢ μεγάλης. καὶ δι' ἁλτήρων ἐκπονῆσαι τὸ σῶμα. γυμνάσια δ' ἅμα καὶ ἔργα. σκάπτειν, ἐρέττειν. κλᾶν ἀμπέλους, ἀχθοφορεῖν, ἀμᾶν, ἱππεύειν, ὁπλομαχεῖν, ὁδοιπορεῖν, κυνηγετεῖν, ἁλιεύειν, ὅσα τἆλλα κατὰ μέρος πράττουσιν ἄνθρωποι τεχνῖται καὶ ἄτεχνοι, τῶν κατὰ τὸν βίον ἕνεκα χρειῶν. ἢ οἰκοδομοῦντες ἢ χαλκεύοντες ἢ ναυπηγοῦντες. ἢ ἀροτρεύοντες, ἢ τι τοιοῦτον ἕτερον πολέμιον, ἢ εἰρηνικὸν ἐργαζόμενοι. τοῖς πλείστοις δὲ τῶν τοιούτων ἔνεστι ποτὲ καὶ ὡς γυμνασίοις μόνον χρήσασθαι. τριττὴ γάρ τις αὐτῶν ἡ σύμπασα χρεία. ποτὲ μὲν γὰρ, ὡς ἔργον μόνον αὐτὸ δὴ τοῦτο παραλαμβανόμενον. ἐνίοτε δὲ ὡς ἀσκημάτων ἕνεκα τῆς τῶν μελλόντων ἔργων χρείας. ἔστιν ὅτε δὲ καὶ ὡς γυμνασίων. κατ' ἀγρὸν γοῦν ποθ' ἡμεῖς ληφθέντες ἐν χειμῶνι, ξύλα τε σχίζειν ἠναγκάσθημεν ἕνεκα τοῦ γυμνάζεσθαι. καὶ κριθὰς ἐμβάλλοντες ὅλμῳ, κόπτειν τε καὶ ἐκλεπίζειν. ἅπερ ἑκάστης ἡμέρας οἱ κατ' ἀγρὸν ἔπραττον ὡς ἔργα. περὶ μὲν δὴ τῆς ὡς ἔργων αὐτῶν χρήσεως, ἐν τῷ μετὰ ταῦτα λόγῳ διαιρήσομαι. ἐν δὲ τῷ παρόντι, περὶ τῆς ὡς γυμνασίων, ἐροῦμεν. ἅπαντα γὰρ τὰ τοιαῦτα γυμνάσια γίγνονται μήτε δι' ὅλης ἡμέρας αὐτὰ πραττόντων, μήτ' ἐν ἄλλῳ καιρῷ τοῦ πρὸ τῶν σιτίων. φυλάττεσθαι δὲ δὴ που προσήκει καὶ τὸ μέτρον ἐπ' αὐτοῖς τῶν γυμνασίων, καὶ τὴν καλουμένην ἀποθεραπείαν, εἰ δὲ καὶ προανατριψάμενός τις αὐτάρκως ἐπ' αὐτὰ παραγίγνοιτο, νῦν μὲν ἂν ἀκριβῶς ἅπαντας ἔχει τοὺς ἀριθμοὺς τῶν γυμνασίων. ὑπέρ τε οὖν τούτων ἁπάντων ἃ δὴ καὶ γυμνασίων εἴδη καλοῦμεν ἐπίστασθαι χρὴ τὸν τὴν ὑγιεινὴν μετιόντα, καλεῖν δ' ἔξεστιν αὐτὸν ὡς ἔμπροσθεν εἶπον, ἢ ὑγιεινὸν ἢ γυμναστὴν. ἢ ἰατρόν. κυριωτάτης μὲν ἑπομένης τῆς πρώτης προσηγορίας. ἐκ καταχρήσεως δὲ, τῶν ἄλλων. εἴπερ γὰρ ἅπαντες οἱ τεχνῖται παρωνύμως ὀνομάζονται τῶν τεχνῶν ἃς μεταχειρίζονται, πρόδηλον ὡς ὁ τὴν ὑγιεινὴν τέχνην μετερχόμενος, ὑγιεινὸς ἂν εὐλόγως προσαγορεύοιτο. καθάπερ καὶ ὁ περὶ τὰ γυμνάσια μόνον γυμναστής. καὶ ὁ περὶ τὰς ἰάσεις ἰατρός. εἰ δέ τις ἢ γυμναστὴν ἰατρὸν ὀνομάζει τὸν ὑγιεινὸν τοῦτον, ἀπὸ μέρους τε προσαγορεύει τὸ σύμπαν καὶ οὐ κυρίως, ἀλλ' ἐκ καταχρήσεως, ἢ μετὰ διστάσεως, ἢ ὅπως ἄν τις ἐθέλοι καλεῖν οὕτω ποιήσεται τὴν προσηγορίαν. αἴτιον δὲ τούτου, τὸ μιᾶς οὔσης τῆς περὶ τὸ σῶμα τέχνης, ἐφ' ὅλης αὐτῆς ὄνομα μηδὲν τετάχθαι κύριον, ὑπὲρ ὧν μετὰ πλεῖον ἐν ἑνὶ βιβλίῳ τὸν λόγον ἐποιησάμην, ὃ Θρασύβουλος ἐπιγράφεται. εἴδη μὲν γυμνασίων τὰ εἰρημένα. ποιότης δὲ ἡ διαφορά. καὶ γὰρ οὖν καὶ ταῦτ' ἔξεστιν ἑκατέρως ὀνομάζειν. ὀξύτης τε κινήσεώς ἐστι καὶ βραδύτης. εὐτονία τε καὶ ὡς ἂν εἴποι τις ἀτονία καὶ πρὸς τούτοις ἔτι σφοδρότης ἔστι καὶ ἀμυδρότης. τρόποι δὲ τῆς χρήσεως ἁπάντων τῶν εἰρημένων εἰδῶν ἅμα ταῖς οἰκείαις διαφοραῖς, οἱ τοιοίδε εἰσιν. ἤτοι συνεχὴς ἡ κίνησις ἐστὶν ἢ διαλείπουσα. καὶ εἰ μὲν συνεχὴς ἤτοι ὁμαλὴ ἢ ἀνώμαλος. εἰ δὲ διαλείπουσα, ἢ τεταγμένη ἢ ἄτακτος. οὗτοι μὲν οὖν οἱ κατ' αὐτὸ τὸ πρᾶγμα τρόποι τῆς χρήσεως. οἱ δ' ἀπὸ τῶν ἔξωθεν αὐτῷ προσιόντες τοιοίδε. ἢ ἐν ὑπαίθρῳ χωρίῳ γίγνεται τὸ γυμνάσιον, ἢ ἐν κατάστεγῳ. ἢ ἐν ὑποσυμμιγεῖ σκιᾷ. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἢ θερμόν ἐστι τὸ χωρίον ἢ ψυχρὸν ἢ εὔκρατον. καὶ ἤτοι ξηρὸν ἀκριβῶς ἢ ὑγρὸν ἢ μέτριον. οὕτω δὲ καὶ τὸ μετὰ κόνεως ἤτοι πλέονος ἢ ἐλάττονος. ἐλαίου τε καὶ κατὰ τὸν αὐτὸν λόγον ἢ πλέονος ἢ ἐλάττονος, ἢ καὶ χωρὶς ἑκατέρου, τρόπος ἐστὶ χρήσεως γυμνασίου. ἐπεὶ τοίνυν διώρισται πάνθ' ἡμῖν ὧν ἔμπειρον εἶναι χρὴ τὸν ὑγιεινὸν, περὶ τὰ τῶν γυμνασίων εἴδη καιρὸς ἰέναι. καὶ πρῶτον μὲν διελέσθαι τί τὸ κοινὸν ἅπασιν ὑπάρχει, καὶ τί καθ' ἕκαστον ἴδιον. ἐφεξῆς δὲ τοὺς καιροὺς τῆς τρίψεως ἀφορίσασθαι. τὸ μὲν δὴ κοινὸν ἁπάντων γυμνασίων ἐστὶ, θερμότητος αὔξησιν ἐξ αὐτῶν τοῖς ζώοις ἐργάζεσθαι. θερμαίνεται γὰρ ἡμῶν τὰ σώματά τε τὰ τῶν βαλανείων, κατὰ θερμῶν ὑδάτων λουτρά. καὶ τὰς θερμὰς ὥρας τοῦ ἔτους ἡλιουμένων τε, καὶ παρὰ πυρὶ θαλπομένων. καὶ θερμοῖς φαρμάκοις ἀνατριβομένων. ἀλλ' ἔξωθεν αἱ τοιαῦται πᾶσαι θερμότητες οὐκ ἔνδοθεν. οὐδ' ἐκ τῆς οἰκείας ἀρχῆς ἀνάπτονται καὶ αὐξάνονται. κατὰ δὲ τὰ γυμνάσια τῆς ἐμφύτου θερμότητος τοῖς ζώοις αὔξησις ἐστὶν ἐξ αὐτῶν τῶν ἰδίων σωμάτων γιγνομένη. καὶ τοῦτο κοινὸν μὲν, ἁπάντων τῶν γυμνασίων. οὐ μὴν ἴδιόν γε ἐστίν. εἴ γε δὴ καὶ τοῖς θυμωθεῖσι, καὶ τοῖς ἀγωνιῶσι καὶ τοῖς αἰδεσθεῖσιν, αὔξησις τῆς ἐμφύτου γίγνεται θερμότητος. ὁ μέν γε θυμὸς, οὐδαμῶς αὔξησις, ἀλλ' οἷον ζέσις κατὰ τὴν καρδίαν θερμοῦ, διὸ καὶ τὴν οὐσίαν αὐτοῦ τῶν φιλοσόφων οἱ δοκιμώτατοι, τοιαύτην εἶναί φασι. συμβεβηκὸς γάρ τι καὶ οὐκ οὐσία τοῦ θυμοῦ ἐστὶν, ἡ τῆς ἀντιτιμωρήσεως ὄρεξις. αὐξάνεται δὲ καὶ τοῖς αἰδεσθεῖσιν ἡ ἔμφυτος θερμότης, εἴσω μὲν τὰ πρῶτα δραμόντος ἅπαντος τοῦ θερμοῦ, μετὰ ταῦτα δὲ ἀθροισθέντος ἐν τῷ βάθει, κἄπειτα αὐξηθέντος, καὶ δι' ἄθροισιν μὲν τὴν ἐνταῦθα, καὶ διὰ τὴν κίνησιν δὲ τὴν συνεχῆ. οὐ γὰρ ἡσυχάζει τὸ πνεῦμα τῶν αἰδουμένων, ἀλλ' ἔνδοθέν τε καὶ περὶ αὐτὸ μετὰ τοῦ σύμπαντος αἵματος κυκᾶται πολυειδῶς, ὥσπερ καὶ τὸ τῶν ἀγωνιώντων. εἰρήσεται δ' ἐπὶ πλέον ὑπὲρ τῶν τοιούτων ἁπάντων παθῶν τῆς ψυχῆς, ἐπὶ προσήκοντι τῷ λόγῳ. νυνὶ μὲν γὰρ διὰ τὸ κοινὸν ἕπεσθαι σύμπτωμα τούτοις δὲ τοῖς πάθεσι καὶ τοῖς γυμνασίοις, ἠναγκάσθην αὐτῶν μνημονεῦσαι, δεικνὺς ὡς ἁπάντων κοινὸν γυμνασίων ἐστὶν, ἡ τῆς ἐμφύτου θερμότητος αὔξησις, ἔνδοθέν τε καὶ ἐξ αὐτῆς, οὐ μὴν ὅτι γε μόνοις ὑπάρχει τοῖς γυμνασίοις, ἀλλὰ καὶ τοῖς εἰρημένοις ἄρτι πάθεσιν. ἤδη δ' ἐπὶ τὰ καθ' ἕκαστα τῶν γυμνασίων ἴδια τὸν λόγον ἄγειν καιρός. ἐπισημηνάμενον γε πρότερον, ὡς καὶ κατὰ ταῦτα, πλείους εἰσὶν αἱ διαφοραί. τὰ μὲν γὰρ ἄλλο τι ἄλλοτι μέρος ἕτερον ἑτέρου μᾶλλον γυμνάζει. καὶ τὰ μὲν εἰλλιωόντων γίγνεται, δὲ ὀξύτατα κινουμένων, καὶ τὰ μὲν, εὐτόνως, τὰ δὲ ἀτόνως. καὶ πρὸς τούτοις γ' ἔτι τὰ μὲν σφοδρῶς, τὰ δὲ ἀμυδρῶς, εὔτονον μὲν γυμνάσιον ὀνομάζω, τὸ βιαίως ἄνευ τάχους διαπονοῦν, σφοδρὸν δὲ, τὸ βιαίως τε καὶ σὺν τάχει. βιαίως δὲ, ἢ ῥωμαλέως λέγειν, οὐ διοίσει. τὸ μὲν οὖν σκάπτειν, εὔτονόν τε καὶ ῥωμαλέον ἐστὶν, οὕτω δὲ καὶ τὸ τέτταρας ἵππους ἅμα κατέχειν ἡνίαις, εὔτονον μὲν ἱκανῶς γυμ

νῶς γυμνάσιον, οὐ μὴν ὠκύ γε. κατὰ τὸν αὐτὸν τρόπον εἴ τις αἰράμενος ὁτιοῦν μέγιστον φορτίον ἢ μένοι κατὰ χώραν ἢ προβαίνοι σμικρά, καὶ οἱ ἄναντες περίπατοι, τούτου τοῦ γένους εἰσίν. ἀναφέρεται γοῦν καὶ ἀναβαστάζεται κατ' αὐτοὺς ὑπὸ τῶν πρώτων κινουμένων ὀργάνων ἅπαντα τὰ λοιπὰ μόρια τοῦ σώματος, ὥσπερ τι φορτίον. οὕτω δὲ καὶ ὅς τις ἀναρριχᾶται διὰ σχοινίου, καθάπερ ἐν παλαίστρᾳ γυμνάζουσι τοὺς παῖδας, εἰς εὐτονίαν παρασκευάζοντες. ὡσαύτως δὲ καὶ ὅς τις ἢ σχοινίου λαβόμενος, ἢ τινὸς ὑψηλοῦ μέχρι πλείστου κατέχει κρεμάμενος ἐξ αὐτοῦ, ῥωμαλέον μέν τοι καὶ ἰσχυρὸν γυμνάζεται γυμνάσιον, οὐ μὴν ὠκύ γε. καὶ ὅς τις προτείνας ἢ ἀνατείνας τὼ χεῖρε πὺξ ἔχων, ἀτρεμίζει μέχρι πλείστου. εἰ δὲ καὶ παραστήσας τινὰ κελεύει καθέλκειν κάτω τὼ χεῖρε μὴ ἐνδιδοὺς αὐτός, ἔτι δὴ μᾶλλον οὕτως, εἰς εὐρωστίαν παρασκευάζει, τούς τε μῦς καὶ τὰ νεῦρα. τούτων γὰρ ἴδια τὰ τοιαῦτα μάλιστα ἅπαντα γυμνάσια. πολὺ δὲ δὴ μᾶλλον εἴ τι βάρος ταῖς χερσὶν ἄκραις περιλαβὼν ἑκατέρα καταμόνας, οἷά περ οἱ κατὰ παλαίστραν εἰσὶν ἁλτῆρες, ἀτρέμας ἔχει προτείνας ἢ ἀνατείνας αὐτάς. εἰ δὲ δὴ καὶ κελεύσειέ τινι καθέλκειν τε καὶ κάμπτειν βιαίως αὐτὸν ἀκίνητόν τε καὶ ἄκαμπτον οὐ ταῖς χερσὶ μόνον, ἀλλὰ καὶ τοῖς σκέλεσι καὶ τῇ ῥάχει διαφυλάττων, οὐ σμικρὸν γυμνάσεται γυμνάσιον, εἰς εὐτονίαν ὀργάνων. οὕτω τοι λόγος ἔχει κἀκεῖνον τὸν Μίλωνα γυμνάζειν ἑαυτόν, ἐνίοτε μὲν ἀποσαλεῦσαί τε καὶ μετακινῆσαι τῆς ἕδρας ἐπιτρέποντα τοῖς βουλομένοις, ἀλλὰ τοῦτο μὲν σκελῶν ἂν εἴη μάλιστα γυμνάσιον. ἐνίοτε δέ, εἰ τὰς χεῖρας γυμνάζειν βούλοιτο, τὴν πυγμὴν διαλύσειν κελεύοντα. αὖθις δ' ἂν ὥς φασιν ἐν ταῖς χερσὶν ἔχων, ῥοιὰν ἤ τι τοιοῦτον ἕτερον, ἀφαιρεῖσθαι τοῖς βουλομένοις παρεῖχε. παντὶ μὲν οὖν τὰ γυμνάσια μεγίστης ἰσχύος ἐπίδειξίν τε ἅμα καὶ ἄσκησιν ἔχει. τόνον δὲ μορίων γυμνάζει τε καὶ ῥώννυσι, κἀπειδὰν ἤτοι διαλαβὼν ἕτερόν τινα μέσον, ἢ διαληφθεὶς αὐτὸς ἐπηλλαγμένων πρὸς ἀλλήλας τῶν χειρῶν τε καὶ τῶν δακτύλων ἤτοι τοῖς κρατουμένοις προστάξει διαλύειν, ἢ αὐτὸς λύει τοῦ κρατοῦντος. οὕτω δὲ κἀπειδὰν ἑτέρου προσνεύσαντος ἐκ πλαγίων αὐτῷ προσελθὼν ἐν κύκλῳ ταῖς λαγόσι περιλαβὼν τὰς χεῖρας ὥσπερ τι φορτίον αἰράμενος ἀναφέροι τε ἅμα καὶ περιφέροι τὸν ἀρθέντα. καὶ μᾶλλον εἰ ἐπινεύοι τε καὶ ἀνανεύοι βαστάζων, ὧδε γὰρ ἂν ἀκριβῶς τις ἅπασαν τὴν ῥάχιν εἰς ῥώμην παρασκευάσειεν. οὕτω δὲ καὶ ὅσοι τὰ στέρνα πρὸς ἀλλήλοις ἀπερεισάμενοι βιαίως ὠθοῦσιν, εἰς τοὐπίσω. καὶ ὅσοι τῶν αὐχένων ἐκκρεμάμενοι κατασπῶσιν, εἰς εὐτονίαν παρασκευάζουσιν. ἀλλὰ τὰ μὲν τοιαῦτα καὶ χωρὶς παλαίστρας ἢ βαθείας κόνεως δύναται γίγνεσθαι, καθ' ὁτιοῦν χωρίον ἐπίκροτον ὀρθῶν ἑστώτων. ὅσα δὲ παλαίοντες εἰς ἀλλήλους δρῶσιν ἀσκοῦντες τὸν τόνον ἤτοι κόνεως βαθείας ἢ παλαίστρας δεῖται. ἔστι δὲ τὰ τοιαῦτα, περιπλέξαντες τοῖς ἑαυτοῦ δυοῖν σκέλεσι τὸ ἕτερον σκέλος τοῦ προσπαλαίοντος, ἔπειθ' ἅψαντες πρὸς ἀλλήλας τὼ χεῖρε, τὴν μὲν ἐπὶ τὸν αὐχένα βιαίως ἐρείδειν, ἢ εἴ τις ἂν ᾖ κατ' εὐθὺ τοῦ κατειλημμένου σκέλους. τὴν δ' ἑτέραν ἐπὶ τὸν βραχίονα. δύναιτο δ' ἂν καὶ περὶ τὴν κεφαλὴν ἄκραν τὸ ἅμμα περιθείς, ἀνακλᾶν εἰς τοὐπίσω βιαζόμενος. τὰ τοιαῦτα γοῦν παλαίσματα, πρὸς εὐτονίαν ἑκατέρου τῶν παλαιόντων ἀρκεῖ. καθάπερ γε καὶ ὅσα ζώσαντος τοῖς σκέλεσι θατέρου τὸ ἕτερον, ἢ κατ' ἀμφοῖν ἄμφω καθέντος γίνεται, καὶ γὰρ καὶ ταῦτ' ἀμφότερα εἰς ῥώμην παρασκευάζει. κυρία δὲ τοιαῦτα ἕτερα κατὰ παλαίστραν ἐστὶν εὔτονα γυμνάσια, περὶ ὧν ἁπάντων, τὴν ἐμπειρίαν τε ἅμα καὶ τριβὴν ὁ παιδοτρίβης ἔχει, ἕτερος δέ τις ὢν ὅδε τοῦ γυμναστοῦ, καθάπερ ὁ μάγειρος τοῦ ἰατροῦ. καί πως ἔοικεν αὖ καὶ τόδ' ἡμῖν ἥκειν εἰς σκέμμα, περὶ οὗ λέλεκται μὲν ἤδη καὶ κατ' ἐκεῖνο τὸ βιβλίον, ὃ Θρασύβουλον ἐπιγράφομεν, εἰρήσεται δὲ καὶ νῦν ὅσον αὐταρκὲς εἰς τὸν παρόντα, πρότερόν γε διελθόντων ἡμῶν τὰς διαφορὰς τῶν γυμνασίων. ὅσα μὲν οὖν εὔτονα, καὶ δὴ λέλεκται. καταβαίνειν δὲ καιρὸς ἐπὶ τὰ ταχέα, χωρὶς εὐτονίας καὶ βίας. δρόμοι δ' εἰσὶ ταῦτα, καὶ σκιομαχίαι, καὶ ἀκροχειρισμοί, καὶ τὸ διὰ τοῦ κωρύκου τε καὶ τῆς σμικρᾶς σφαίρας γυμνάσιον, ὅταν ἐκ διεστώτων τε καὶ διαθεόντων γίγνεται. τοιοῦτον δέ τι καὶ τὸ ἐκπλεθρίζειν, καὶ τὸ πιτυλίζειν. τὸ δὲ ἐκπλεθρίζειν ἐστίν, ἐπειδάν τις ἐν πλέθρῳ πρόσω τε ἅμα καὶ ὀπίσω διαθέων ἐν μέρει πολλάκις ἐφ' ἑκάτερα χωρὶς καμπῆς, ἀφαιρῇ τοῦ μήκους ἑκάστοτε βραχὺ καὶ τελευτῶν εἰς ἓν καταστῇ βῆμα. τὸ δέ τι πιτυλίζειν, ἐπειδὰν ἐπ' ἄκρων τῶν ποδῶν βεβηκώς, ἀνατείνας τὼ χεῖρε, κινῇ τάχιστα, τὴν μέν, ὀπίσω φέρων, τὴν δέ, πρόσω. μάλιστα δὲ τοίχῳ παριστάμενοι, γυμνάζονται τοῦτο τὸ γυμνάσιον. ἵν' εἰ καί ποτε σφάλλοιτο, προσαπτόμενοι τοῦ τοίχου ῥᾳδίως ὀρθοῦνται, καὶ οὕτω δὲ γυμναζομένων λανθάνει τε τὰ σφάλματα, καὶ ἀσθενέστερον γίνεται τὸ γυμνάσιον. ὠκεῖαι δὲ κινήσεις εἰσίν, οὐ μὴν βίαιοί γε. καὶ ὅσαι κατὰ παλαίστραν ἐπιτελοῦνται κυλινδουμένων ὀξέως καθ' ἑτέρων τε καὶ καταμόνας. ἐγχωρεῖ δὲ καὶ ὀρθοὺς ἐνειλουμένους τε ἅμα καὶ μεταβάλλοντας, ἐν τάχει τοὺς πέλας, ὀξὺ γυμνάσασθαι γυμνάσιον. ἐγχωρεῖ δὲ καὶ διὰ τῶν σκελῶν μόνων ὀρθὸν ἐφ' ἑνὸς χωρίου γυμνάσασθαι γυμνάσιον ὀξύ. πολλάκις μὲν εἰς τοὐπίσω μόνον ἀφαλλόμενον, ἔστιν ὅτε δὲ καὶ εἰς τοὔμπροσθεν ἀναφέροντα τῶν σκελῶν ἑκάτερον ἐν μέρει. καὶ μὴν δὴ καὶ διὰ τῶν χειρῶν ἔστιν ὀξὺ γυμνάσιον ὁμοιότροπον. γυμνάσασθαι, χωρὶς τοῦ κατέχειν ἁλτῆρας. ἐπιταχύνοντα τὰς κινήσεις αὐτῶν εἰς πυκνότητά τε ἅμα καὶ τάχος. εἴτε πὺξ ἐθέλοι τις, εἴτε χωρὶς πυγμῆς ἀνακινήσειεν ἁπλῶς. τοιοῦτον μὲν δὴ καὶ τὸ ταχὺ γυμνάσιον ἐστίν, ἐν οἷς εἴπομεν εἴδεσιν ἀφωρισμένον. ἐπὶ δὲ τὸ σφοδρὸν ἰέναι καιρός. ἔστι δ' ὡς εἴρηται τοῦτο σύνθετον ἐξ εὐτόνου τε καὶ τάχους. ὅσα γὰρ εὔτονα τῶν γυμνασίων εἴρηται, τούτοις ἅπασιν, ὡς σφοδροῖς ἄν τις χρῷτο, κινήσεις ταχείας προστιθείς. οὐχ ἥκιστα δὲ καὶ τὰ τοιαῦτα γυμνάσια σφοδρά σκάψαι, καὶ δισκεῦσαι καὶ κινῆσαι καὶ πηδῆσαι συνεχῶς, ἄνευ τοῦ διαναπαύσασθαι. οὕτω δὲ καὶ τὸ ἀκοντίζειν ὁτιοῦν τῶν βαρέων βελῶν συνείροντα τὴν ἐνέργειαν, ἢ βαρέσιν ὅπλοις ἐσκεπασμένον, ἐνεργεῖν ὀξέως. ἀμέλει καὶ εἰ γυμναζόμενοι διά τινος τῶν τοιούτων ἀναπαύονται κατὰ βραχύ. καί τις ἡ κατὰ τὸ συνεχές τε καὶ διαλεῖπον γυμνάσιον ἤδη πως γινωσκέσθω διαφορά. τὰ γὰρ εἰρημένα νῦν δὴ πάντα διαλείποντες μᾶλλον εἰς χρείαν ἄγουσι, καὶ μάλισθ' ὅσα πόνοι τινὲς εἰσὶ καὶ ἔργα, μὴ μόνον γυμνάσια, καθάπερ τὸ ἐρέσσειν τε καὶ σκάπτειν. ὅσα δ' ἀσθενέστερα τῶν γυμνασίων ἐστὶν ἄνευ τοῦ διαναπαύεσθαι γίνεται μᾶλλον, ὥσπερ δολιχός τε καὶ αἱ ὁδοιπορίαι. ταῦτ' οὖν ἅπαντα γυμνασίων ἐστὶν εἴδη, τάς τε νῦν εἰρημένας ἔχοντα διαφοράς. καὶ πρὸς τα-

τοις ἔτι, τὸ τὰ μὲν, ὀσφὺν μᾶλλον ἢ χεῖρας ἢ σκέλη διαπονεῖν. τὰ δὲ τὴν ῥάχιν ὅλην, ἢ τὸν θώρακα μόνον, ἢ τὸν πνεύμονα μόνον. βάδισις μὲν γε καὶ δρόμος ἴδια σκελῶν γυμνάσια. ἀκροχειρισμοὶ δὲ καὶ σκιομαχία, ἴδια χειρῶν. ὀσφύος δὲ, τὸ ἐπικύπτειν τε καὶ ἀνακύπτειν συνεχῶς, ἢ αἴροντά τι βάρος ἀπὸ τῆς γῆς, ἢ ἐν ταῖν χεροῖν βαστάζοντά τι διαπαντός. ἔνιοι μὲν καταθέντες ἁλτῆρας ἐν τῷ πρόσθεν διεστῶτας ἀλλήλων ὀργυίαν, εἶτ' ἐν μέσῳ ἱστάντες αὐτῶν, ἀναιροῦνται προκύπτοντες, τῇ μὲν δεξιᾷ χειρὶ, τὸν ἐν τοῖς ἀριστεροῖς, τῇ δὲ ἀριστερᾷ, τὸν ἐν τοῖς δεξιοῖς. καὶ αὖθις ἑκάτερον, εἰς τὴν οἰκείαν κατατίθενται χώραν. καὶ τοῦτο δρῶσιν ἐφεξῆς πολλάκις ἀτρεμίζοντες τῇ βάσει. τὰ δὲ πλάγια μέρη τῆς ῥάχεως, ἡ κίνησις ἥδε διαπονεῖ μᾶλλον, ὥσπερ ἡ προειρημένη τὰ κατ' εὐθύ. θώρακος δὲ καὶ πνεύμονος αἱ μέγισται τῶν ἀναπνοῶν οἰκεῖα γυμνάσια. καθάπερ καὶ αἱ μέγισται φωναὶ, πρὸς τοῖς εἰρημένοις ἁπάντων τῶν φωνητικῶν ὀργάνων. εἴρηται δ' ὁ κατάλογος αὐτῶν, ἐν τοῖς περὶ φωνῆς ὑπομνήμασι. ἐπεὶ δ' ἐν τούτῳ τοῦ λόγου γεγόναμεν, οὐ χεῖρον ὑπὲρ ἁπάντων διελθεῖν τῶν ζώου τῶν μορίων, ὅσα τε κινήσεις τινὰς ἐναργεῖς ἔχει, καὶ ὅσα βραχείας τε καὶ ἀμαυράς. καὶ τίνα μὲν ἐξ ἑαυτῶν κινεῖται, τίνα δὲ ὑφ' ἑτέρων. ἡ γὰρ τοιαύτη διαίρεσις, οὐ σμικρὰν χρείαν παρέξει τῷ γυμναστῇ, πρὸς τὸ κινεῖν ἅπαντα τοῦ ζώου τὰ μόρια. ποτὲ μὲν ἐξ ἑαυτῶν τε καὶ κατὰ τὰς οἰκείας δυνάμεις. ἔστιν ὅτε δ' ὑφ' ἑτέρων τε καὶ δι' ἑτέρων. αἱ γοῦν κατὰ προαίρεσιν ἐνέργειαι πᾶσαι μυῶν τε καὶ νεύρων, καὶ τενόντων ἴδιαι κινήσεις εἰσίν. εἰ δὲ καὶ σφοδρότεραι γίγνοιντο, τὰ μὲν εἰρημένα μόρια πρῶτα τε καὶ μάλιστα γυμνάζουσι, κατὰ δέ τι συμβεβηκὸς, καὶ τὰς ἀρτηρίας. ὅσα δὲ καὶ φλέβες καὶ σάρκες καὶ σύνδεσμοι, καὶ τὰ ἄλλα σύμπαντα τοῦ ζώου μόρια συγκινοῦνται τοῖς προειρημένοις. αἱ δ' ἄλλαι κινήσεις ἐν τοῖς τῶν ζώων σώμασιν, ὅσαι μὴ κατὰ κοινὴν προαίρεσιν, ἀλλ' ἤτοι φυσικαί τινες ἢ κατὰ τῆς ψυχῆς γίγνονται πάθη, διτταὶ μέν εἰσι κατὰ γένος. αἱ μὲν ἕτεραι, καρδίας καὶ ἀρτηριῶν. αἱ δὲ ἕτεραι φλεβῶν τε καὶ ἥπατος ἐνέργειαι. πρῶτον μὲν τούτων καὶ μάλιστα, δεύτερον δὲ τῶν ἄλλων ἁπάντων μορίων. ἐπειδὴ πάντα τέτταρσι φυσικαῖς διοικεῖται δυνάμεσιν. ἡ μὲν δὴ τῶν ἀρτηριῶν τε καὶ τῆς καρδίας κίνησις οὐκ ἔστιν ὅτ' ἐκλείπει τὸ πάμπαν, ἐπιτείνεται μέν τοι καὶ ἀνίεται κατὰ μέγεθος καὶ σμικρότητα, καὶ τάχος καὶ βραδύτητα καὶ σφοδρότητα, παρὰ πολλὰς αἰτίας, ἃς συμπάσας μὲν ἐν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτιῶν πραγματείᾳ διῆλθον. ἀρκεῖ δ' ἐν τῷ παρόντι τὰ κεφάλαια μόνον αὐτῶν εἰπεῖν τὰ πρῶτα. μία μὲν οὖν τῆς μεταβολῆς τῶν σφυγμῶν ἐστὶν, αὔξησίς τε καὶ μείωσις τῆς ἐμφύτου θερμότητος. ἑτέρα δὲ, ἡ κατὰ τὴν ποσότητα τοῦ ψυχικοῦ πνεύματος ἀλλοίωσις. τρίτη δὲ ἡ κατὰ τὴν τῆς δυνάμεως εὐρωστίαν τε καὶ ἀρρωστίαν. τετάρτη δὲ, ἡ κατὰ τὰ τῶν ὀργάνων πάθη. ἀλλὰ περὶ μὲν ταύτης, οὐ νῦν διδάσκειν καιρὸς, ἤδη γὰρ νοσεῖν ἀνάγκη τὸ ζῶον ἐν τοῖς τοιούτοις πάθεσιν. αἱ δὲ ἄλλαι πᾶσαι τῶν σφυγμῶν ἀλλοιώσεις καὶ ἐν τοῖς ὑγιαίνουσι γίγνονται. παρὰ μὲν τὴν αὔξησίν τε καὶ μείωσιν τῆς ἐμφύτου θερμότητος, ἥ τε παρὰ τὰς ὥρας, καὶ τροφὰς, καὶ πόματα καὶ λουτρὰ καὶ τρίψεις καὶ ὕπνους καὶ ἐγρηγόρσεις, ἔτι τε τὰ ψυχικὰ πάθη, καὶ τὰς κατὰ προαίρεσιν ἐνεργείας. ἡ δὲ παρὰ τὴν τοῦ ψυχικοῦ πνεύματος ἀλλοίωσιν, ἐν ταῖς τῶν καθ' ὁρμὴν κινήσεων διαφοραῖς. ἡ δὲ παρὰ τὴν τῆς δυνάμεως εὐρωστίαν τε καὶ ἀρρωστίαν ἐν ταῖς εὐκρασίαις τε καὶ δυσκρασίαις αὐτοῦ τοῦ σώματος τῆς τε καρδίας καὶ τῶν ἀρτηριῶν. αἱ δὲ τῶν φλεβῶν ἐνέργειαι σὺν καὶ τοῖς ἄλλοις ἅπασιν ὀργάνοις ὅσα περὶ τὴν τῆς τροφῆς οἰκονομίαν ὑπὸ τῆς φύσεως ἐγένετο κατὰ τὰς ἐδωδάς τε καὶ πόσεις, ἀναδόσεις τε καὶ πέψεις, καὶ θρέψεις ἀλλοιοῦνται, μέρος δέ τι ταύταις ἐστὶν κἀν ταῖς ἀρτηρίαις. ὅσαι δὲ τῆς κινήσεως οὐκ εἰσὶν ἐνέργειαι τριττὴ τούτων ἡ διαφορά. τινὲς μὲν γοῦν ἐξ ἑαυτῶν τοῖς ζώοις ἐγγίγνονται. τινὲς δὲ ἔξωθεν προσέρχονται. τινὲς δὲ ὑπὸ φαρμάκων καταναγκάζονται, ἐξ ἑαυτῶν μὲν, ἃς ἔμπροσθεν εἶπον. ἔξωθεν δὲ κατὰ τοὺς πλοῦς, καὶ τὰς ἱππασίας, καὶ τὰς αἰωρήσεις, ὅσαι τε ἐκ τῶν ὀχημάτων γίγνονται, καὶ ὅσαι διὰ σκιμπόδων ἐκκρεμαμένων, ἢ λίκνων σειομένων, ἢ ἐν ταῖς τροφῶν ἀγκάλαις τοῖς βρέφεσιν. ἐκ δὲ τῶν ἔξωθεν κινήσεων, εἴη ἂν καὶ ἡ ἀνάτριψις, εἴθ' οὕτως τις αὐτὴν ὀνομάζειν ὁμοίως τοῖς παλαιοῖς, εἴτε καὶ χωρὶς τῆς ἀνὰ προθέσεως ὡσαύτως τοῖς νεωτέροις, βούλοιτο. διαφέρει γὰρ οὐδὲν εἰς τὰ παρόντα. ἔνιαι μέν τοι κινήσεις εἰσὶ μικταὶ, καθάπερ καὶ ἱππασίαι. οὐ γὰρ ὥσπερ ἐν τοῖς ὀχήμασι καὶ μάλιστα ἐν οἷς κατακλίναντες ἀτρεμίζομεν, οὕτω κἀν τοῖς τῶν ἵππων ὀχήμασι συμπίπτει, σείεσθαι μόνον ὑπὸ τοῦ φέροντος, ἐνεργοῦντα μηδέν. ἀλλὰ τὴν ῥάχιν ὄρθιον ἀπευθύνειν χρὴ, καὶ τοῖς μηροῖς ἀμφοτέροις ἀκριβῶς ἔχεσθαι τῶν πλευρῶν τοῦ ἵππου, καὶ τετάσθαι τὰ σκέλη καὶ προορᾶσθαι τὰ πρόσθεν. ἐν τούτῳ γὰρ καὶ ἡ ὄψις γυμνάζεται, καὶ ὁ τράχηλος πονεῖ. μάλιστα δ' ἐν τῷ τοιούτῳ γυμνασίῳ, σείεται τὰ σπλάγχνα, σείεται μὲν οὐδὲν ἧττον τὰ σπλάγχνα, καὶ τοῖς ἀλλομένοις, ἐν μέν τοι ταῖς τῶν ὀχημάτων αἰωρήσεσιν ἧττον. ὥστε εἴ τις ἐθέλοι τὰ κατὰ φρενῶν σπλάγχνα κινῆσαι βιαιότερον, ἐπί τε τοὺς εἰρημένους ἡκέτω πόνους, καὶ πρὸς τούτοις, ὅσα διὰ τῆς τῶν ἀμμάτων περιθέσεως τρίβουσι, χρὴ δ' ὄπισθεν εἶναι τὸν τρίβοντα. περιφέροντα τὼ χεῖρε, ποτὲ μὲν ἐπ' ἀριστερᾷ, ποτὲ δ' ἐπὶ δεξιᾷ, συνεπικλινόμενα, πρὸς ταῦτα καὶ τριβόμενα, συγκινοῦσι μέν πως τὰ κάτω τῶν φρενῶν σπλάγχνα, καὶ αἱ μέγισται τῶν ἀναπνοῶν τε καὶ φωνῶν, ὥσπερ γε καὶ αἱ ἐκφυσήσεις αἵ τε κατὰ μόνας γιγνόμεναι καὶ αἱ μετὰ καταλήψεως ἐν αὐλήσεσί τε καὶ φωναῖς, καὶ αὐτὴ δ' ἡ κατάληψις τοῦ πνεύματος, γυμνάσιόν ἐστιν, οὐχ ἧττον τῶν κατ' ἐπιγάστριον, ἢ τῶν κατὰ θώρακα μυῶν. ἀλλὰ περὶ μὲν ταύτης αὖθις εἰρήσεται. πρὸς γὰρ ταῖς εἰρημέναις ἄρτι, καὶ ἄλλην οὐ σμικρὰν χρείαν ἔχει, ἧς ἕνεκεν ἐπὶ τελευτῇ τῶν γυμνασίων αὐτὴν παραλαμβάνομεν. ἐπὶ δὲ τὸ προκείμενον ἐπανιτέον, ὡς πολλαὶ τῶν ἐγγινομένων κινήσεων τοῖς τοῦ ζώου μορίοις, οὔτ' ἐνέργειαι τῶν μορίων αὐτῶν εἰσὶν, οὔτ' ἐνεργείαις ἀκολουθοῦσιν, ἀλλ' ὑφ' ἑτέρων τε καὶ δι' ἑτέρων ἀποτελοῦνται. ὡς ἐπὶ τῶν ὀχουμένων γίγνονται καὶ πλεόντων ἢ τριβομένων καὶ καθαιρομένων ὑπὸ φαρμάκων, ἐμετηρίων τε καὶ ὑπηλάτων. ἀλλ' ἡ τοιαύτη κίνησις, οὐκ ἔστιν τῆς ὑγιεινῆς πραγματείας. αἱ δ' ἄλλαι πᾶσαι καὶ μάλιστα ἡ διὰ τρίψεως ἀναγκαιοτάτη γινώσκεσθαι τοῖς ὑγιεινοῖς. τῆς γὰρ τούτων τέχνης ἐστὶν ἁπασῶν τῶν κινήσεων ἐπίστασθαι τὰς δυνάμεις, ὥσπερ οἶμαι τῶν τεχνικῶν αὐτῶν ἁπάσας τὰς κατὰ μέρος, ἐκεῖνοι μὲν γοῦν τῆς κατὰ τὴν ὕλην ποικιλίας, ὁ γυμναστὴς δὲ τῆς δυνάμεως αὐτῶν ἔχει τὴν γνῶσιν. εἰ γοῦν τις με κελεύσειεν ὁπλομαχικὰς κινήσεις ἢ ἕτερον διδάσκειν, ἢ αὐτὸν εὐρύθμως κινεῖσθαι, οὐκ ἂν δυναίμην καλῶς ἐνεργῆσαι, μίαν

ἐξ αὐτῶν τὴν ἐπιτυχοῦσαν. εἰ μέντοι παρείη τινὶ τῶν ὁπλομαχικῶν ἐνεργοῦντι, καὶ τίνα δύναμιν ἑκάστη τῶν ἐνεργειῶν ἔχει καὶ τί μάλιστα μόριον ἐκπονεῖ, πάντων ἂν ἐκείνων ἀκριβέστερον εἰδείη. μᾶλλον δ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὁ μὲν ὁπλομαχικὸς, οὐδὲν ἂν εἴποι περὶ δυνάμεως αὐτῶν, ὁ δὲ περὶ τὰ γυμνάσια τέχνην ἐπιστάμενος ἀκριβῶς, ἁπάσας διαγνώσεται, πρὸς ὡρισμένους σκοποὺς ἀναφέρων, ἢ γὰρ βίαιοί τινές εἰσι καὶ βαρεῖαι καὶ εὔτονοι, ἢ κοῦφαι καὶ ταχεῖαι, καὶ σύντονοι, ἢ βίαιοί τε ἅμα καὶ ὀξεῖαι. ταῦτα οὖν γνωρίσεις ῥᾳδίως ἐν αὐτῷ τῷ θεάσασθαι γινόμενα, καὶ πρὸς τούτοις ἔτι τίνες μὲν ἐνέργειαι, σκέλη μᾶλλον ἢ χεῖρας ἢ θώρακα. τίνες δ' ὀσφὺν ἢ κεφαλὴν ἢ ῥάχιν, ἢ γαστέρα. τίνες δ' ὁτιοῦν ἄλλο μέρος ὑπὲρ τἆλλα διαπονοῦσιν. ὁ μὲν γὰρ ὁπλομαχικὸς εὐρύθμως μὲν, ἐνεργήσει κινήσεις, ταχείας, εἰ οὕτως ἔτυχεν εὐτόνους τε ἅμα καὶ βαρείας. οὐ μὴν ὅτι τε πυκνοῦσι καὶ ἰσχναίνουσιν αἱ τοιαῦται κινήσεις, οἶδεν. ὥσπερ οὐδ' ὅτι σαρκοῦσί τε καὶ ἀραιοῦσιν αἱ βραδύτεραι. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐνεργήσει μέν ποτε κινήσεις εὐτόνους τε ἅμα καὶ βραδείας, καὶ βαρείας, οὐ μὴν ὅτι γε ῥώμην αὔξουσι καὶ βάρος σώματος κατασκευάζουσιν οἶδεν. οὕτω καὶ ἡνιοχικὸς ἐνεργήσει μὲν ἁπάσας τὰς κατὰ μέρος ἐνεργείας εὐρυθμότατά τε ἅμα καὶ τῇ χρείᾳ συμφορώτατα. ποῖαι δ' αὐτῶν ἤτοι λεπτύνουσιν ἢ σαρκοῦσιν ἢ ῥώμην ἢ συντονίαν ἀποτελοῦσιν, ἢ μαλακὸν ἢ σκληρὸν ἢ πυκνὸν ἢ ἀραιὸν ἐργάζονται τὸ σῶμα παντάπασιν ἀγνοεῖ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ὁ σφαιριστικὸς ἁπάσας μὲν ἐπίσταται τὰς τῆς σφαίρας βολάς τε καὶ λήψεις, οὐ μὴν ἥντινά γε διάθεσιν ἑκάστη τῷ σώματι περιποιεῖ. οὕτω καὶ ὁ παιδοτρίβης ἁπασῶν μὲν τῶν κατὰ παλαίστραν ἐνεργειῶν ἐπιστήμων ἐστίν, ὅτι δὲ ἑκάστη πέφυκε δρᾶν, ἀγνοεῖ, καὶ συλλήβδην εἰπεῖν ἅπαντες ἄνθρωποι τεχνῖταί τε καὶ ἄτεχνοι, διὰ τῶν σωμάτων ἐνεργοῦντες, ἀγνοοῦσι τῶν ἐνεργειῶν τὰς δυνάμεις, ὀρχησταί, ναυτίλοι, τέκτονες, ἁλιεῖς, γεωργοί, χαλκεῖς, οἰκοδόμοι, σκυτοτόμοι, πάντες ἁπλῶς οἱ τι πράττοντες. ἀλλ' ὁ γυμναστικὸς ἀφ' ὧν εἶπον ὀλίγον ἔμπροσθεν ὁρμώμενος, εἰ καὶ νῦν πρῶτος εἴη θεώμενος ἥντινα οὖν ἐνέργειαν, οὐκ ἀγνοήσει τὴν δύναμιν αὐτῆς. οἷον αὐτίκα τῶν ὀρχηστῶν αἱ σύντονοι κινήσεις, ἐν αἷς ἅλλονται μέγιστα, καὶ περιδινοῦνται στρεφόμενοι τάχιστα, καὶ ὀκλάσαντες ἐξανίστανται, καὶ προσύρουσι καὶ διαχίζουσιν ἐπὶ πλεῖστον τὰ σκέλη, καὶ ἁπλῶς εἰπεῖν ἐν αἷς ὀξύτατα κινοῦνται, λεπτὸν καὶ μυῶδες καὶ σκληρὸν καὶ πυκνὸν ἔτι τε σύντονον ἀποτελοῦσι τὸ σῶμα. κατὰ δὲ τὰς ἐκλύτους τε καὶ βραδείας καὶ μαλακὰς κινήσεις, οὐ μόνον οὐκ ἂν γένοιτο τὸ σῶμα τοιοῦτον, οἷον εἴρηται νῦν, ἀλλ' εἰ καὶ φύσει μυῶδές τε καὶ σύντονον ὑπάρχει, τὴν ἐναντίαν ἀμείψει διάθεσιν. ὅπερ οὖν ὀλίγον ἔμπροσθεν ἔλεγον, ὡς ὁ παιδοτρίβης ὑπηρέτης ἐστὶ τοῦ γυμναστοῦ τοιοῦτος οἷός περ ὁ μάγειρος ἰατροῦ, τοῦτο καὶ νῦν ἐπιδέδεικται. σκευάζει γὰρ ὁ μάγειρος ἢ τεῦτλον ἢ φακῆν ἢ πτισάνην, ἀλλοίως, οὔτε τὸ σκευαζόμενον ὁποῖόν τι τὴν δύναμιν ἐστὶν ἐπιστάμενος, οὔθ' ἥτις τῶν σκευασιῶν βελτίστη. ὁ δ' ἰατρὸς, οὐδὲν μὲν τούτων ὁμοίως τῷ μαγείρῳ παρασκευάσαι δυνατός ἐστιν, παντὸς δὲ τοῦ παρασκευασθέντος, ἐπίσταται τὴν δύναμιν. ὁ τοίνυν γυμναστὴς τοῦ προκειμένου ἐν τῷ λόγῳ μειρακίου, τοῦ τὴν ἀρίστην ἔχοντος κατασκευήν, ἐπίσταται μὲν ἁπάντων γυμνασίων τὰς δυνάμεις, ἐκλέγεται δὲ καθ' ἕκαστον εἶδος τὰ σύμμετρά τε καὶ μετὰ τῶν ἀμετρίων ἑκατέρων, οὔτε γὰρ ὀξέως, οὔτε βραδέως ἡ ἀρίστη κατασκευὴ τοῦ σώματος, ἀλλὰ τοῦ μέσου τε καὶ συμμέτρου δεῖται γυμνασίου. κατὰ δὲ τὸν αὐτὸν λόγον, οὔτε βιαίου καὶ σφοδροῦ, οὔτ' ἐκλύτου καὶ ἀμυδροῦ, ἀλλὰ κἀνταῦθα, τὸ σύμμετρον ἄριστον. οὐ γὰρ ὑπαλλάττειν προσήκει τὴν ἀρίστην κατασκευὴν τοῦ σώματος, ἀλλὰ φυλάττειν. εἴτ' οὖν ἐν ὅπλοις ἐθέλοι γυμνάζεσθαι τὸ τοιοῦτον μειράκιον, ὁ γυμναστὴς αὐτοῦ τὸν ἐμπειρότατον τῆς ὕλης τῶν ὁπλομαχικῶν ἐνεργειῶν παραλαβὼν ἁπάσας αὐτῷ, δειχθῆναι κελεύσει, κἄπειτ' αὐτὸς ἐκλέξεται καὶ διακρινεῖ καὶ προστάξει, κατὰ ποίας μὲν αὐτῶν ἐπὶ πλέον χρὴ γυμνάζεσθαι, καὶ κατὰ ποίας δ' ὀλιγάκις, ἢ συμμέτρως ἢ οὐδ' ὅλως, ἢ διαπαντός. οὐ γὰρ δύναται λαθεῖν αὐτὸν οὔθ' ὅτι μόριον ἑκάστη διαπονεῖ μᾶλλον, οὔθ' ἥτις αὐτῆς ἐστιν ἡ ποιότης τε καὶ ἡ δύναμις, εἴτε διὰ σφαίρας ἐπιθυμήσει γυμνάζεσθαι, κἀνταῦθα πάλιν ἐξευρήσει τό, τε εἶδος τῶν ἐνεργειῶν καὶ τὴν ποιότητα καὶ τὸ μέτρον, ὑπηρέτην λαβὼν τὸν σφαιριστικόν, ὑπὲρ τοῦ τὴν ὕλην ἅπασαν θεάσασθαι τῶν ἐνεργειῶν. αὐτῆς μὲν γὰρ τῆς κατὰ μέρος ὕλης ἑκάστης τῶν τεχνῶν ἄπειρός ἐστιν ὁ γυμναστής, ᾗ γυμναστής ἐστιν. εἰ δὲ ἅπαξ αὐτὴν θεάσαιτο τήν τε ποιότητα καὶ τὴν δύναμιν, αὐτίκα γνωριεῖ. μυρίους γοῦν ἡμεῖς ἀσθενέστερα τινὰ μέρη τοῦ σώματος ἔχοντας, ὡς συνεχέστατα τοῖς κατὰ ταῦτα νοσήμασιν ἁλίσκεσθαι, διὰ μόνης γυμναστικῆς ἀνερρώσαμεν, οὐχ ἅπαντας ἀπὸ τῶν οἰκείων γυμνασίων, ἀλλ' εἴθ' ὀρχηστικὸς ἦν ὁ ἄνθρωπος εἴθ' ὁπλομαχικὸς, εἴτε παγκρατιαστικὸς, εἴτε παλαιστρικὸς, εἴθ' ὁτιοῦν ἄλλο, τὰς ἐν ἐκείνῃ τῇ τέχνῃ κινήσεις ἁπάσας αὐτὸν ἐπιτάξαντες ἡμῶν παρόντων κινηθῆναι, κᾆτ' ἐξ αὐτῶν ἐκλεξάμενοι τὰς ἐπιτηδειοτάτας ἅμα καιρῷ τε καὶ μέτρῳ. περὶ μὲν δὴ τῶν τοιούτων ἐπανορθώσεων ἐπὶ προήκοντι τῷ λόγῳ διαλέξομαι, κατ' ἐκεῖνο τὸ μέρος τῆς πραγματείας ἐν ᾧ περὶ τῶν μοχθηρῶν κατασκευῶν τοῦ σώματος δίειμι, νυνὶ δὲ τὸ μὲν ἄριστον σῶμα πρόκειται φυλάττειν ἄριστον, ἐξ ἁπάντων δ' ἐκλεκτέον αὐτῷ, τὸ σύμμετρον ἐκ τρίψεων, ἐκ γυμνασίων, ἐκ λουτρῶν, ἐκ τροφῶν, ἐξ ὕπνων. μήτε μαλακωτέραν αὐτοῦ τὴν ἕξιν τοῦ σώματος ἐργαζομένους, μήτε σκληροτέραν. ἡ μὲν γὰρ εὐκίνητος ὑπὸ τῶν ἔξωθεν αἰτίων, ἡ δὲ τὴν αὔξησιν κωλύει, μήτε πυκνοτέραν ὡς ἴσχεσθαί τι τῶν κατὰ σάρκα περιττωμάτων, μήτε ἀραιοτέραν ὡς ἀπορρεῖν τι καὶ τοῦ χρηστοῦ. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ' ἰσχνότερον ἑαυτοῦ, ποιητέον οὐδὲ παχύτερον εἴπερ ἄριστα διέκειτο. γινώσκοντας ὡς τὸ μὲν ἰσχνότερον, εὐεπηρέαστον ὑπὸ τῶν ἔξωθεν αἰτίων, τὸ δὲ παχύτερον ὑπὸ τῶν ἔνδοθεν ἐξ αὐτοῦ τοῦ σώματος ὁρμωμένων. ἢ τί δεῖ λέγειν, ὡς οὐδὲ θερμότερον αὐτὸ ἢ ψυχρότερον ἢ ξηρότερον ἢ ὑγρότερον ἀποφαντέον, εἴπερ ἀμέμπτως ἐκέκρατο. εἷς οὖν ἐπὶ τοῦ τοιούτου σώματος ὁ σκοπὸς ἐν ἁπάσαις ταῖς ὑγιειναῖς ὕλαις τὸ σύμμετρόν τε καὶ μέτριον, ὅπερ ἀκριβῶς ἐστὶ μέσον ἑκατέρων τῶν ἀμετριῶν. ὡς δ' ἄν τις μάλιστα τοῦ σκοποῦ τυγχάνει. λέλεκται μὲν ἤδη καὶ πρόσθεν, ἀλλ' οὐδὲν χεῖρον ὑπὲρ τῶν ἀναγκαιοτάτων ἀναμιμνήσκειν πολλάκις. ἡ μὲν πρώτη τῶν ἡμερῶν, πλατὺν ἔχει τὸν στοχασμόν, ἡ δὲ δευτέρα καὶ ἡ τρίτη καὶ ἡ τετάρτη καὶ τῶν λοιπῶν ἑκάστη, κατὰ τὸ ἑξῆς ἀκριβέστερον. ἐν γὰρ τῇ πρώτῃ διὰ τῶν εἰρημένων σκοπῶν ἅπαντά τι πραττέσθω. ἀπολυέσθω μὲν ἐπὶ πεπεμμένοις ἀκριβῶς τοῖς οὔροις, ὡς ὁ αἰγίμιος ἐκέλευσεν. ἐφεξῆς δὲ τῆς μὲν ἀνατρίψεως ὁ σκοπὸς ὡς μαλαχθῆναι τὰ μόρια, δηλώσει δὲ τότε ἐπιτρέχον ἄνθος αὐτοῖς καὶ τὸ ῥᾳδίως ἐκμαλάττειν τὰ κῶλα, καὶ τὸ πρὸς τὰς κινήσεις ἁπάσας ἑτοίμως ἔχειν. μετὰ ταῦτα δὲ ἤδη γυμναζέσθω

μέχρις ἂν εἰς ὄγκον αἴρηται τὸ σῶμα, καὶ εὐανθὲς ὑπάρχῃ, καὶ αἱ κινήσεις ἕτοιμοί τε καὶ ὁμαλαὶ καὶ εὔρυθμοι γίγνονται. ἐν τούτῳ δὲ καὶ ἱδρῶτα θεάσῃ θερμῷ ἀτμῷ συμμιγῆ παύσασθαι τηνικαῦτα πρότερον, ἐπειδὰν ἕν τι τῶν εἰρημένων ἀλλοιωθῇ. καὶ γὰρ εἰ φανείη σοι συστελλόμενος ὁ τοῦ σώματος ὄγκος, αὐτίκα παύειν τὸ μειράκιον, εἰ γὰρ ἐπὶ πλέον γυμνάζοις ἐκκενώσεις τι καὶ τῶν χρηστῶν. ὥστ' ἰσχνότερον ἀποδείξεις τὸ σῶμα, καὶ ξηρότερον καὶ ἀναυξέστερον. ὡσαύτως δὲ καὶ εἰ τὸ τῆς χροιᾶς εὐανθὲς μαραίνοιτο, παύεσθαι, καὶ γὰρ καταψύξεις τὸ σῶμα καὶ διαφορήσεις ἐπὶ πλέον εἰ γυμνάζοις ἔτι, καὶ μὲν δὴ καὶ τὸ κινήσεων ἕτοιμον ἢ εὔρυθμον ἢ ὁμαλὲς, ἐπειδὰν ἐνδιδόναι προσφαίνηται καὶ ὀκλάζειν κατά τι, παύειν αὐτίκα, καὶ εἰ περὶ τὸν ἱδρῶτα γίγνοιτό τις, ἢ κατὰ τὸ πλῆθος ἢ κατὰ τὴν ποιότητα μεταβολή. πλείονα γὰρ ἀεὶ καὶ μᾶλλον αὐτὸν γίγνεσθαι χρὴ καὶ θερμότερον, εἰς ὅσον ἂν αἱ κινήσεις ἀνάγονται πρὸς τὸ σφοδρότερον. ὅταν οὖν ἢ ἐλάττων ἢ ψυχρότερος γίγνηται, διαφορεῖται ἤδη τὸ σῶμα καὶ ψύχεται καὶ ξηραίνεται περαιτέρω τοῦ προσήκοντος. ἀκριβῶς οὖν προσέχειν τὸν νοῦν τῷ γυμναζομένῳ σώματι, καὶ διαπαύειν εὐθέως, ἐπειδὰν προσφαίνηταί τι τῶν εἰρημένων σημείων. οὐ μὴν αὐτίκα γε ἀπολύειν λουσόμενον, ἀλλὰ τῆς μὲν ἀκμῆς τῶν γυμνασίων ἀπέχειν, καὶ στῆναι κελεῦσαι. καὶ βουληθεὶς κατοχῇ πνεύματος πληρῶσαι τὸν λαγόνα, περιχέοντα τοὔλαιον ἀποθεραπεύειν τοὐντεῦθεν. οἷον δέ τι πρᾶγμά ἐστιν ἡ ἀποθεραπεία καὶ τίνες ἐν αὐτῇ σκοποὶ καὶ τί τὸ μέτρον ἐξ ὧν τε συμπληροῦται κινήσεών τε καὶ τρίψεων, ἐν τῷ μετὰ ταῦτα λόγῳ δηλωθήσεται. νυνὶ μὲν γάρ μοι δοκῶ καταπαύειν ἤδη τὸν ἐνεστῶτα αὐτάρκες ἔχοντα μέτρον. ἐκεῖνο μόνον ἔτι προσθεὶς, ὡς καὶ τὸ λουτρὸν τὸ ἀκριβῶς εὔκρατον ἐπὶ τῆς προκειμένης ἡλικίας τε καὶ φύσεως ἐκλέγεσθαι προσήκει. πρόκειται δ' ἔτι μεμνήμεθα τρίτη τις ἑβδομὰς ἐτῶν ἀπὸ τῆς γενετῆς, τουτέστιν ἡ μετὰ τεσσαρεσκαιδέκατον ἔτος ἡλικία μέχρι πρώτου καὶ εἰκοστοῦ, καθ' ἣν οὐδέπω κελεύω ψυχρολουτεῖν τὸ μειράκιον, ἵν' ἐπὶ πλεῖστον αὐξοῖτο. τελειωθέντος δὲ κατὰ μέγεθος, ἐπισκεψώμεθά τι καὶ περὶ τῆς ψυχρολουσίας. ὡσαύτως δὲ καὶ περὶ τῶν ἐν κόνει γυμνασίων ἀκριβέστερον ἐπισκεψόμεθα, κατὰ τὸν ἑξῆς λόγον. ἐν δέ γε τῷ παρόντι τοσοῦτον εἰπεῖν ἀρκέσει, τὸ μὴ δὲ κόνεως χρῄζειν τὸ μειράκιον, εἰ τὸν οἶκον ἐν ᾧ γυμνάζεται, καθ' ὃν ἐν ἀρχῇ τρόπον ἐκέλευσα παρασκευασάμενον ἔχοι. εἰ δέ γε θερμότερος εἴη, καὶ κόνει χρηστέον. εἰ μὲν δὴ κονίσεται πάντως λουστέον. εἰ δὲ μὴ κονίσαιτο δυνατὸν καὶ μὴ λούσασθαι καὶ μάλιστα χειμῶνος. ἐφεξῆς δὲ καὶ ὅσα περὶ τροφὴν ἢ ποτὸν ἢ ὕπνον ἢ περίπατον ἐστοχάσθαι χρὴ, τὸν ἐπιστάτην τοῦ μειρακίου, καὶ λεχθήσεται μὲν ἐν τοῖς ἑξῆς. ἀδύνατον δ' ἀκριβῶς ἐπιτυχεῖν αὐτῶν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἀλλὰ κατὰ τὴν δευτέραν ἐπὶ πόσοις γυμνασίοις ὅπως διετέθη γινώσκων, εἰ μὲν ἀκριβῶς φαίνοιτο διαφυλάττων τὴν ἑαυτοῦ φύσιν, ἐν τοῖς αὐτοῖς μέτροις διαιτήσει τε καὶ διαγυμνάσει. μὴ φυλάττοντα δὲ, καθότι ἂν ἐξίστηται τῶν ἀρχαίων ἐπανάγειν πειράσεται μεταβάλλων τὰ μέτρα. καὶ τότε παύσεται ποιῶν ἄχριπερ ἂν ἐπ' ἑκάστῳ τῶν πραττομένων ἀκριβὲς ὁρίσῃ τὸ μέτρον. ὁπόσαι δ' εἰσὶ καὶ τίνες αἱ εἰς τὸ παρὰ φύσιν ἐκτροπαὶ καὶ πῶς ἑκάστην χρὴ διαγινώσκειν τε καὶ θεραπεύειν, ὁ ἐφεξῆς λόγος ἐξηγήσεται.

ΓΑΛΗΝΟΥ ΥΓΙΕΙΝΩΝ
ΛΟΓΟΣ γ'

ΤΩΝ γραψάντων ὑγιεινὰς πραγματείας, ἰατρῶν τε καὶ γυμναστῶν, ἔνιοι μὲν, ἅπασιν αὐτοῖς κοινάς τινας ὑποθήκας ἐποιήσαντο, μηδὲν νοήσαντες ὅλως ὑπὲρ τῆς κατ' εἶδος ἐν τοῖς σώμασιν ἡμῶν διαφορᾶς. ἔνιοι δ' ὅτι μὲν οὐ μικρῷ τινι διαφερόμεθα ἀλλήλων, ἐδήλωσαν. ὡς δ' ἀδύνατον ἁπάσας ἐπελθεῖν τὰς διαφορὰς, ἑκόντες παρέλιπον. ὀλίγοι δέ τινες εἴδεσί τε καὶ γένεσιν ἐπιχειρήσαντες ἀφορίσασθαι, πλείονα διήμαρτον, ὧν κατώρθωσαν. ἡμεῖς δὲ κατὰ τὸ πρῶτον εὐθέως βιβλίον ἐδηλώσαμεν, ὁπόσα τὰ πάντα ἐστὶν εἴδη τῶν ἀνίσων σωμάτων. ἐπηγγειλάμεθά τε καθ' ἕκαστον ἴδια γράφειν ὑποθήκας ὑγιεινάς. ἠρξάμεθα δ' ἀπὸ τοῦ τὴν κατασκευὴν ἄμεμπτον ἔχοντος. ἐπεὶ δὲ καὶ ὁ τοιοῦτος ἀνὴρ ἐν περιστάσεσι πραγμάτων ἐνίοτε γινόμενος, ἢ ἑκὼν ἢ ἄκων ἐμποδίζεται κατὰ τὰ προστάγματα τῆς ὑγιεινῆς τέχνης διαιτᾶσθαι, κάλλιον ἔδοξεν ὑποθέσθαι πρῶτον αὐτὸν ἐλεύθερον ἀκριβῶς, αὐτῇ μόνον τῇ τοῦ σώματος ὑγείᾳ σχολάζοντα. ὅπως μὲν οὖν ἀνατρέφεσθαι χρὴ τὸν τοιοῦτον ἄνθρωπον, ὁ πρῶτος λόγος ἔδειξε, μέχρι τῆς τεσσαρεσκαιδεκαέτιδος ἡλικίας ἐκτείνας αὐτοῦ τὴν ἐπιμέλειαν. ὅπως δ' ἀνδροῦσθαι διὰ τοῦ δευτέρου γράμματος ἐδηλώσαμεν, ἐμηκύνθη δ' ὁ λόγος εἰς κοινὰ κεφάλαια τῆς ὑγιεινῆς πραγματείας ἀφικόμενος ὧν χωρὶς οὐχ οἷόν τ' ἦν οὐδὲ περὶ τῆς ὑποκειμένης ἡλικίας τε καὶ φύσεως ἀκριβῶς διελθεῖν. ἁπάσας γὰρ ἐξηριθμησάμεθα, τάς τε τῶν τρίψεων καὶ τῶν γυμνασίων διαφοράς. οὐ μὰ δία τὰς κατὰ μέρος, ὅτι μὴ πάρεργον ἕνεκα παραδείγματος εἰς χρείαν ἐλθούσας, ἀλλὰ τὰς ἐν εἴδεσί τε καὶ γένεσιν ἀφωρισμένας. ἐν μὲν ταῖς τρίψεσι τήν τε σκληρὰν καὶ τὴν μαλακὴν, καὶ πρὸς τούτοις γε τὴν σύμμετρον, ἥν τινα δύναμιν ἔχουσιν ἐξηγησάμενοι. προσθέντες δ' αὐταῖς τὰς κατὰ τὸ ποσὸν διαφορὰς, τρεῖς οὔσας καὶ αὐτὰς, εἶτα κατὰ συζυγίαν ἐννέα τὰς πάσας ἐπιδείξαντες, ἑκάστης τε τὴν δύναμιν εἰπόντες. ἐν δὲ τοῖς γυμνασίοις, τίνα μὲν ὀξέα τε καὶ ταχέα προσαγορεύομεν, τίνα δ' ἀμβλέα τε καὶ βραδέα, καὶ τίνα τούτων μέσα τε καὶ πρᾶα, κατά γε τὴν φύσιν ὑπάρχοντα. καὶ περὶ τῶν εὐτόνων καὶ μαλακῶν καὶ βαρέων δὴ καὶ κούφων ὁμοίως, ὅσα τε τούτων ἐστὶν ἄμεσα διελθόντες, ἐδείξαμεν ὡς χρὴ τὴν ἀρίστην κατασκευὴν ἐν ἅπασι τοῖς μετρίοις, τε καὶ συμμέτροις, ἃ δὴ καὶ μέσα τῶν ἀμέτρων ἐστὶ διαιτᾶσθαι. κατά τε τρίψεις καὶ γυμνάσια καὶ λουτρὰ καὶ τροφάς. ὅσα τ' ἄλλα συμπληροῖ τὴν ὑγιεινὴν δίαιταν. ὑπεσχόμεθά περ ἐπὶ τρίψεών τε καὶ γυμνασίων ἐποιήσαμεν, εἰς εἴδη τινὰ κοινὰ τὴν θεωρίαν ἀναγαγόντες. ὥστε εὐμνημόνευτόν τε ἅμα καὶ μεθοδικὴν εἶναι τὴν διδασκαλίαν, οὕτω κἀπὶ τῶν ἄλλων ἁπάντων ποιῆσαι. καὶ πρῶτόν γε περὶ τῆς καλουμένης ἀποθεραπείας, ἐπειδὴ ἔμπροσθεν ἐφεξῆς ἐτέτακτο, δηλώσαντες

λύσαντες γὰρ εἰς ὅσον ἐπιτείνειν τε καὶ παραύξειν χρὴ τὰ γυμνάσια καὶ τὸ τέλος ὡς ἐν ὑγιείας λόγῳ, ἀκολουθεῖν ἔφαμεν αὐτοῖς τὴν καλουμένην ἀποθεραπείαν, ὑπὲρ ἧς ἤδη λέγωμεν ἐν μὲν καὶ πρῶτον, ὡς διττὴ κατὰ γένος ἐστίν. ἡ μέν τις ὡς μέρος, ἡ δ' ὡς εἶδος γυμνασίου. περὶ δὴ τῆς ὡς εἶδος ἐξῆς ἐροῦμεν. περὶ δὲ τῆς ὡς μέρος, ἤδη λέγομεν. ἅπαντος γυμνασίου καλῶς ἐπιτελουμένου, τὸ τελευταῖον μέρος ἀποθεραπεία καλεῖται. δύο δ' αὐτῆς οἱ σκοποὶ, κενῶσαί τε τὰ περιττώματα, καὶ ἄκοπον φυλάξαι τὸ σῶμα. κοινὸς μὲν ὁ πρότερος λόγος τῶν γυμνασίων. καὶ γὰρ κἀκείνου δύο τοὺς πάντας ἐλέγομεν εἶναι σκοπούς. ἐπιῤῥῶσαί τε τὰ στερεὰ μόρια τοῦ ζώου, καὶ κενῶσαι τὰ περιττώματα. ὁ δ' ἴδιος τῆς ἀποθεραπείας σκοπὸς, ἐκλῦσαί τε καὶ διακωλῦσαι τοὺς εἰωθότας ἐπιγίγνεσθαι τοῖς ἀμετροτέροις γυμνασίοις κόπους. ἐπὶ μὲν οὖν τῶν ἀθλητῶν οἷον ἤτοι σκαπτόντων ἢ ὁδοιπορούντων ἢ ἐρεσσόντων ἢ τι τοιοῦτον διαπραττομένων ὁτιοῦν ἔργον ἀναγκαῖον ἐν τῷ βίῳ, ἑτοιμότεροι οἱ κόποι συνίστανται. πλὴν εἴ τις ἀποθεραπείᾳ χρῷτο, κατὰ τὸ προκείμενον ἐν τῷ νῦν λόγῳ σῶμα τὸ κάλλιστα κατεσκευασμένον ἀπηλλαγμένον τε δουλείας ἁπάσης ὡς μόνῃ σχολάζειν ὑγείᾳ, σπάνιος ἡ τοῦ κόπου γένεσις. ὥσπερ γὰρ οὐδ' οἱ πλεῖστα πονοῦντες ἀθληταὶ κατ' ἄλλο τι γυμνάσιον ἐφεδρεύοντα κόπον ἔχουσι, πλὴν τὸ καλούμενον ὑπ' αὐτῶν τέλειον, οὕτως οὐδ' οἱ βίον ἐλευθέριον ζῶντες ὑγείας μόνης ἕνεκα γυμναζόμενοι κοπιαθήσονταί ποτε, διὰ τὸ μηδ' εἰς ἀνάγκην ἀφικνεῖσθαι τοῦ τοιούτου γυμνασίου. τοῖς μὲν γὰρ ἀθληταῖς ἀναγκαῖόν ἐστιν, ὡς ἂν παρασκευάζωσι τὰ σώματα πρὸς τοὺς ἐν τοῖς ἄθλοις πόνους ἀμέτρους, ἔσθ' ὅτε καὶ δι' ὅλης ἡμέρας ἐγιγνόμενον γυμνάζεσθαί ποτε τὸ τελεώτατον ἐκεῖνο γυμνάσιον, ὃ δὴ καὶ κατασκευὴν ὀνομάζουσι. τοῖς δ' ὑγείας μόνης ἕνεκα γυμναζομένοις, οὔτ' ἀναγκαῖον οὔτε χρήσιμον ὅλως ἐστὶν, εἰς ὑπερβάλλοντας ἄγεσθαι πόνους. ὥστ' οὐδεὶς φόβος ἁλῶναι κόποις. ἀλλ' ὅμως ἀποθεραπεύειν αὐτῶν χρὴ τὰ σώματα κἂν εἰ μὴ διὰ κόπου προσδοκίας, ἀλλά τοι τοῦ κενῶσαι ἕνεκα τὰ περιττώματα. προσγίνεται δ' ἐξ ἐπιμέτρου τῷδε, καὶ ἡ πρὸς τὸν κόπον ἀσφάλεια. εἰ γὰρ καὶ ὅτι μάλιστα τὸ μέτρον αὐτοῖς τῶν γυμνασίων ἄκοπόν ἐστι, καὶ ὁ τῆς ἐνεργείας τρόπος ἀβίαστος, ἐνδέχεταί ποτε λαθεῖν τὸν γυμναστὴν ἐν ἑκατέρῳ τι σμικρὸν, ὃ παροφθὲν ἐργάζεταί τινα, καὶ εἰ μὴ μέγαν ἀλλὰ βραχύν γε τῷ γυμναζομένῳ τὸν κόπον. οὐ μὴν προσήκει τὸν ἑαυτῷ ζῶντα καὶ μόνῃ σχολάζοντα τῇ τοῦ σώματος ὑγείᾳ, βλάπτεσθαί ποτε οὐδὲ τὸ σμικρότατον. ἀσφαλέστερον οὖν ἀποθεραπείᾳ χρῆσθαι διαπαντός. ὁποίαν δέ τινα ποιητέον αὐτὴν, ἡ τῶν σκοπῶν φύσις ἐνδείξεται. ἐπειδὴ γὰρ πρόκειται τῶν ἐν τοῖς στερεοῖς τοῦ ζώου μέρεσι περιττωμάτων ὅσα θερμανθέντα καὶ λεπτυνθέντα πρὸς τῶν γυμνασίων ἔτι μένει κατὰ τὸ σῶμα, κένωσιν ἀκριβῆ ποιήσασθαι, χρὴ δήπου τάς τε διὰ τῶν ἑτέρων ἀνατρίψεις παραλαμβάνεσθαι, μετὰ τοῦ συντείνειν τὰ τριβόμενα μόρια καὶ πρὸς τούτοις ἔτι τὴν καλουμένην τοῦ πνεύματος κατάληψιν, ἐπεὶ δ' οὔτε τῆς τρίψεως ἓν ἁπασῶν ἐστιν εἶδος οὔτε τῆς τοῦ πνεύματος καταλήψεως, ἄμεινον ἐκλέξασθαι τὸ χρησιμώτατον ἐξ ἑκατέρου. τῶν μὲν δὴ τρίψεων αἱ σκληραὶ συνδεῖν ἐδείκνυντο, τουτέστι πυκνότερόν τε ἅμα καὶ σκληρότερον ἀποφαίνειν τὸ σῶμα, ὥστ' οὐκ ἂν ἁρμόττοιεν αἱ τοιαῦται τοῖς παροῦσιν, εἴ γε δὴ τὸ μὲν πυκνούμενον ἐντὸς ἑαυτοῦ στέγει. τὸ δ' ἀραιούμενον ἐπιτρέπει διαῤῥεῖν τοῖς περιττοῖς. οὕτω δὲ καὶ τὸ μὲν σκληρύνεσθαι τοῖς συντεταμένοις ἐναντιώτατον. αὐξάνει γὰρ αὐτῶν τὴν διάθεσιν. τὸ δὲ μαλάττεσθαι, χρησιμώτατον. εἴπερ οὖν ἅμα τε διαφορεῖν χρὴ τὰ περιττώματα καὶ μαλάττειν τὰ συντεταμένα, τὰς σκληρὰς τῶν τρίψεων φευκτέον. οὐδὲν δ' ἧττον οἶμαι φυλακτέον ἐστὶ, καὶ τὰς βραδείας. ἐπειδὴ γὰρ οὐκέτ' ἐξ αὑτοῦ κινεῖται τὸ σῶμα, κίνδυνος αὐτῷ ψυχθῆναί τε καὶ πυκνωθῆναι, μηδὲν ἐπικούρημα θερμαῖνον ἔξωθεν προσλαβόντι. διὰ τοῦτ' οὖν οὐ μόνον εἰς τάχος χρὴ τρίβειν, ἀλλὰ καὶ πολλαῖς χερσὶν ὡς οἷόν τ' ἐστὶ μάλιστα, ὡς μηδὲν εἶναι μέρος τοῦ τριβομένου γυμνόν. ἀλλ' εἴπερ μήτε βραδεῖαν εἶναι προσήκει τὴν τρίψιν μήτε σκληρὰν, ἔλαιον δαψιλὲς χρὴ περικεχύσθαι τῷ τριβομένῳ σώματι. καὶ γὰρ εἰς τάχος τοῦτο καὶ εἰς μαλακότητα τῇ τρίψει συντελεῖ, καὶ πρόσεστι αὐτῷ τι καὶ ἄλλο μέγιστον ἀγαθόν. ἐκλύει τὰς τάσεις καὶ μαλάττει τὰ πεπονηκότα κατὰ τὰς σφοδροτέρας ἐνεργείας. διὰ ταῦτα μὲν δὴ φευκτέον ἐστὶ τὴν σκληρὰν τρίψιν. δι' ἕτερα δὲ τὴν μαλακήν. οὔτε γὰρ ἐξικνεῖται πρὸς βάθος ἡ τοιαύτη τρίψις, ἀλλ' αὐτόθι πού κατὰ τὸ δέρμα καὶ τὰς πλησίον αὐτοῦ σάρκας ἐκλύεται. οὔτ' ἐκθλίβει τὰ περιεχόμενα κατὰ τοὺς στενοὺς τῶν πόρων περιττώματα. διὸ δὴ τήν τε σύντασιν τῶν τριβομένων παραλαμβάνομεν καὶ τὴν τοῦ πνεύματος κατάληψιν. ἡ μέση τοίνυν μαλακῆς καὶ σκληρᾶς, ἥπερ δὴ καὶ σύμμετρός ἐστι, ἐκπεφευγέναι φαίνεται τό τε τῆς μαλακῆς ἄπρακτον, καὶ τὸ τῆς σκληρᾶς βίαιον, καὶ βλαβερόν. ἐνεργηθήσεται δὲ, τῶν μὲν τοῦ τρίβοντος χειρῶν ἐῤῥωμένως ἐπιβαλλομένων ὡς ἐγγύς πη τὴν ἀπ' αὐτῶν θλίψιν εἶναι τῇ σκληρᾷ τρίψει. διὰ δὲ τὸ πλῆθος τοῦ λίπους, καὶ τὸ τάχος τῆς φορᾶς, ἐκλυομένου τοσοῦτον ὡς ἀκριβῶς γίνεσθαι σύμμετρον. τό, τε γὰρ λίπος οὐ σμικρὸν ἀλεξητήριόν ἐστι βιαίας ἐπιβολῆς. τό τε βραχὺ χρόνιον τῆς ὁμιλίας τοσοῦτον ἀφαιρεῖ τῆς βιαίας, ὅσον καὶ τοῦ χρόνου. τείνειν δ' ἀξιοῦμεν ἐν τούτῳ τὰ τριβόμενα μόρια, χάριν τοῦ πᾶν ὅσον ἐστὶ μεταξὺ τοῦ δέρματος καὶ τῆς ὑποκειμένης σαρκὸς περίττωμα, διὰ τοῦ δέρματος ἐκκενοῦσθαι. χαλαρῶν γὰρ ἀμφοτέρων ὑπαρχόντων, οὐδὲν μᾶλλον εἴσω φέρεσθαι τοῖς περιττώμασιν, ἢ ἔξω συμβήσεται. ταθέντων δὲ τῶν ὑποκειμένων τῷ δέρματι, πάντ' ἐκτὸς ἐκκρίνεται καθάπερ ὑπὸ δυεῖν πιεζόμενα χεροῖν. μιᾶς μὲν αὐτῆς, τῆς ἔξωθεν ἐπιβεβλημένης τοῦ τρίβοντος, ἑτέρας δὲ τῶν τεταμένων ἔνδον μερῶν. δι' αὐτὰ δὲ ταῦτα καὶ ἡ τοῦ πνεύματος κατοχὴ καὶ κατάληψις, οὐ σμικρὸν μέρος ἀποθεραπείας ἐστίν. ὀνομάζεται δὲ οὕτως, ἐπειδὰν ἅπαντας ἐντείναντάς τε καὶ προσείλαντας τοὺς μῦς τοῦ θώρακος οἳ κατὰ τὰς πλευράς εἰσιν, ἐπέχωμεν τὴν ἐκπνοήν. συμβαίνει γὰρ ἡνίκα ταῦτα τὸ θλιβόμενον ὑπὸ τῶν πλευρῶν πνεῦμα κεκωλυμένον ἐκπνεῖσθαι διὰ τὸ κεκλεῖσθαι τὸν λάρυγγα, πᾶν ὠθεῖσθαι κάτω πνεῦμα πρὸς τὸ διάφραγμα. τούτῳ δὲ ὑποκείμενον ἥπατός τε καὶ σπληνὸς, καὶ γαστρὸς καὶ τινῶν ἑτέρων, συνεξαίρεσθαι ταῦτα σύμπαντα τῷ διαφράγματι. χρὴ δ' ἐν τούτῳ συντείνειν ἀτρέμα τοὺς κατ' ἐπιγάστριον μῦς. ἵν' ὑπὸ τούτων τε ἅμα καὶ τοῦ διαφράγματος, ὥσπερ ὑπὸ δυοῖν θλιβόμενα χεροῖν, ὅσα μεταξὺ κεῖται μόρια, τὸ περιεχόμενον ἐν αὐτοῖς περίττωμα πρὸς τοὐκτὸς ὠθῇ. τὰ μὲν οὖν μεταξὺ κείμενα τό, τε ἧπάρ ἐστι καὶ ὁ σπλὴν καὶ ἡ γαστὴρ, καὶ κῶλον τε καὶ λεπτῶν ἐντέρων προὔχοντα χωρία δ' εἰς ὑποδοχὴν ἕτοιμοι τοῖς ἐκθλιβομένοις περιττώμασιν, ἥ τε τῆς γαστρὸς εὐρυχωρία πᾶσα, καὶ τῶν ἐνταῦθα κειμένων

ἐντέρων αἱ κοιλότητες. εἰ δ' ἀργοὺς ἀκριβῶς ἐάσαις τοὺς κατ' ἐπιγάστριον μῦς, οὐδενὸς μὲν τῶν εἰρημένων ἐκκενώσεις τὰ περιττώματα. τὰ δ' ἐν θώρακί τε καὶ πνεύμονι μεταστήσεις κάτω. προσήκει δ' ἐνταῦθα μεθίστασθαι μᾶλλον αὐτοῖς, τοῦ μένειν ἐν ἐκείνοις, ὅσῳ καὶ ἡ κένωσις ἑτοιμοτέρα τῶν ἐν τῇ κοιλίᾳ περιεχομένων, ἤπερ τῶν ἐν πνεύμονί τε καὶ θώρακι. τὰ μὲν γὰρ ἐμεῖταί τε καὶ ἀποπατεῖται ῥᾳδίως. τὰ δὲ μετὰ συντονίας τε καὶ βίας ὑπὸ βηχὸς ἐκβάλλεται. εἰ μέντοι τις ὁμοίως ταῖς φρεσὶν ἐντείνει τοὺς κατ' ἐπιγάστριον μῦς ἐν ταῖς τοῦ πνεύματος καταλήψεσιν, ἀκριβέστερον μὲν ἐκκαθαρθήσεται τὰ κάτω τῶν φρενῶν σπλάγχνα. μεταστήσεται δὲ οὐδὲν ἐκ τῶν τοῦ πνεύματος ὀργάνων εἰς τὰ τῆς τροφῆς. ἀλλ' ἅπαν ἐν θώρακί τε καὶ πνεύμονι μένει τὸ περίττωμα. διὸ δὴ τὴν τοιαύτην κατάληψιν τοῦ πνεύματος, οὐκ ἐπαινῶ νῦν. ἔτι δὲ μᾶλλον ὅταν ἤτοι μηδ' ὅλως τις ἐντείνας τὰς φρένας ἰσχυρῶς καὶ βιαίως περιστέλλῃ τοὺς κατ' ἐπιγάστριον μῦς. ἀνάγκη γὰρ ἐν τῷδε ἐμπιπλᾶσθαι μὲν αἵματός τε καὶ πνεύματος ἅπαντα τὰ περὶ τὸν τράχηλον ἀγγεῖα καὶ μόρια. φέρεσθαι δ' ἄνω τε καὶ πρὸς τὴν κεφαλὴν οὐκ ἐπὶ τὴν γαστέρα καὶ κάτω τὰ περιττώματα. θεάσασθαι γὰρ ἔστι τὸ αὐτὸ κἀπὶ τῶν αὐλούντων ἢ μέγιστον ἢ ὀξύτατα φωνούντων. εὐρύνεται γὰρ αὐτῶν ἅπας ὁ τράχηλος. οἰδίσκεται δὲ τὸ πρόσωπον. ἥ τε κεφαλὴ πληροῦται σφοδρῶς. ὅτι καὶ περὶ τοῦτο τὸ ἔργον οἱ κατ' ἐπιγάστριον ἐκτείνονται μύες, εἴκοντος αὐτοῖς τοῦ διαφράγματος, ἔστι γὰρ δὴ τὸ τοιοῦτον ἔργον ἅπαν, ὡς ἐν τοῖς περὶ φωνῆς ἀποδέδεικται, μικτὸν καὶ σύνθετον ἔκ τε μεγίστης ἐκπνοῆς, καὶ πνεύματος καταλήψεως. ἐν μὲν ταῖς ἀθρόαις ἐκφυσήσεσι, μεγίστης ἐκπνοῆς γινομένης. ἐπὶ σφοδροτάταις ἐντάσεσι τῶν περὶ τὰς πλευρὰς μυῶν ἅμα τοῖς κατ' ἐπιγάστριον. ἐν δὲ ταῖς τοῦ πνεύματος καταλήψεσι, τῆς μὲν αὐτῆς ἐντάσεως γιγνομένης ἑκατέρων τῶν μυῶν, ἐκπνεομένου δ' οὐδενός. ἐπὶ δὲ τῶν αὐλούντων τε καὶ φωνούντων ὀξύ, τῶν μὲν μυῶν, ὡσαύτως τεινομένων, οὔτε δ' ἐπεχομένης ἀκριβῶς τῆς ἐκπνοῆς, οὔτε ἀθρόως ἐπιτελουμένης, ἀλλὰ μέσην ἐχούσης κατάστασιν. ὥστε ταῖς τρισὶν ἐνεργείαις, κοινὴν μὲν εἶναι τὴν τάσιν τῶν μυῶν, ἰδίαν δὲ περὶ μὲν τὰς ἀθρόας ἐκφυσήσεις, τὴν ταχεῖαν ἔξω φορὰν τοῦ πνεύματος. περὶ δὲ τὰς καταλήψεις, τὴν ἐπίσχεσιν. ἐν δὲ ταῖς αὐλήσεσί τε καὶ φωναῖς, σύμμετρον κένωσιν. αἰτία δὲ τῶν τριῶν ἐνεργειῶν, ἡ φάρυγξ. ἀνοιγομένη μὲν ἐπὶ πλεῖστον ἐν ταῖς ἀθρόαις ἐκφυσήσεσιν. ἀκριβῶς δὲ κλειομένη καταλαμβανόντων τὸ πνεῦμα. μέσην δ' ἔχουσα κατάστασιν αὐλούντων τε καὶ φωνούντων, ὀξύ τε ἅμα καὶ μέγα. περὶ μὲν δὴ τούτων ἀνάγκη ποτὲ καὶ αὖθις εἰπεῖν ἐν τοῖς περὶ ἀναφωνήσεως λόγοις. ἡ δ' εἰς τὴν ἀποθεραπείαν ἐπιτήδειος, ἐξαίρετε τὴν γαστέρα, τεινομένων μὲν ἁπάντων τῶν τοῦ θώρακος μυῶν. ἀνιεμένων δὲ τῶν κατ' ἐπιγάστριόν τε καὶ τὰς φρένας. οὕτω γὰρ ἐνεχθήσεται κάτω τὰ περιττώματα. δευτέραν δὲ ἔχει τάξιν, ἡ μετρίως ἐντείνουσα τοὺς κατ' ἐπιγάστριον μῦς ὑπὲρ τοῦ τὰ κάτω τῶν φρενῶν ἀποθεραπεῦσαι σπλάγχνα. τῶν δ' αὐτῶν τούτων ἕνεκα, καὶ αἱ τῶν ἀμμάτων περιφοραὶ γιγνέσθωσαν, ἃς ἐξόπισθεν τῶν τριβομένων, οἱ τρίβοντες ἱστάμενοι ποιοῦνται περὶ τὴν γαστέρα σύμπασαν. ἄλλας δ' ἐκ τῶν πρόσθεν ἱσταμένας τῶν μεταφρένων περιβολὰς ἀμμάτων ποιοῦνται, τὼ χεῖρε περιάγοντες. ἄλλας δὲ ταῖς πλευραῖς, καὶ τῇ ῥάχει καὶ τῷ στέρνῳ συνεκστρεφομένου πως αὐτοῖς τοῦ τριβομένου. περὶ τὴν ὀσφὺν δὲ γιγνέσθωσαν ἀμμάτων ὅμοιαι περιβολαί τε καὶ περιφοραί, συνεντεινομένου μὲν ἁπάσαις αὐταῖς τοῦ τριβομένου. συνεπιστρεφομένου δὲ καὶ οὐχ ἁπάσαις. οὐδὲ γὰρ συνεχεῖς ἐπ' αὐτὸν ἀπὸ τῆς ἀποθεραπείας χρὴ ποιεῖσθαι τὰς κινήσεις, ὥσπερ οὐδὲ σφοδράς. ἀλλὰ ποιοῖσθαι μέν τινας, ἐκ διαλειμμάτων δ' ἐχόντων τρίψεις. αἱ μὲν γὰρ συνεχεῖς τε καὶ σφοδραὶ τρίψεις, ἴδιαι τῶν κατασκευαστικῶν γυμνασίων εἰσίν. αἱ δὲ μήτε συνεχεῖς μήτε σφοδραί, τῆς ἀποθεραπείας οἰκεῖαι. ὥστε πολλάκις μὲν ἐναντλείσθω, πολλάκις δὲ καὶ ἀπωθείσθω, πολλάκις δὲ καὶ μεταβαλλέτω τὸν προσγυμναζόμενον ἐν τούτῳ τῷ καιρῷ. πολλάκις δὲ καὶ περὶ νῶτον γιγνόμενος αὐτὸς ἑκάτερον ἐν μέρει τῶν σκελῶν περιπλέκων τῷ γυμναστῇ, μετ' ἐντάσεως τινὸς οὐκ ἠπειγμένης ὑφ' ἑτέρων εὐκαίρως ἐπαφωμένων τριβέσθω. οὕτω γάρ, καὶ μάλιστα διαφυλάττοι τε τὴν ἐν τοῖς γυμνασίοις ηὐξημένην θερμότητα καὶ συνεκκρίνοι ταῖς ἰδίαις ἐντάσεσί τε καὶ κινήσεσι τὰ περιττώματα. πρὸς ὃ δὲ καὶ ἡ τοῦ πνεύματος κατάληψις, οὐκ ὀλίγον μοι ἔοικεν ἐπιβοηθεῖν. ἐνθούμενοι γὰρ οὗτοι πανταχόθεν εἰς τοὺς λεπτοὺς πόρους, ἀναγκάζεται καταδύεσθαι, καὶ ἣν ἐπὶ πλέον θλίβηταί τε προωθῆται πάντας αὐτοὺς διεξέρχεται. συναποφέρον αὐτῷ τι καὶ τῶν λελεπτυσμένων περιττωμάτων. οὕτω γέ τοι καὶ τρίμματα πολλάκις ὀργάνων λεπτά, τοὺς δημιουργοὺς ἔστιν ἰδεῖν ἐκκαθαίροντας, ἐμφυσήσει σφοδροτέρου πνεύματος. εἰς ὅσον γὰρ οὗτοι φέρεται πρόσω βιαίως ἐπαναγκαζόμενον εἰς τοσοῦτον τὰ μὲν, ὠθεῖται παρ' αὐτοῦ, τὰ δὲ παρασύρεται διεξελθεῖν ἐφιέμενα τὴν ὁδὸν ἅπασαν, ὠθεῖται μὲν τὰ πρόσω, παρασύρεται δὲ τὰ πλάγια τῇ ῥύμῃ τῆς φορᾶς ἄμφω βιαζόμενα. καὶ τοίνυν καὶ τῶν γυμνασίων αὐτῶν μεταξύ, παραλαμβάνουσιν οἱ ἄριστοι γυμνασταὶ κατάληψιν πνεύματος. ὥσπερ γε καὶ τὴν προειρημένην ἀποθεραπευτικὴν τρίψιν. ἅμα μὲν ἀναπαύοντες ὅτ' ἂν ἄρχωνται κάμνειν, ἅμα δὲ διακαθαίροντες κατὰ βραχὺ τοὺς πόρους, ἵν' εὔπνουν τε ἅμα καὶ καθαρὸν ᾖ τὸ σῶμα πρὸς τοὺς ἑξῆς πόνους, ὡς κίνδυνός γε μηδενὸς τοιούτου προνοηθέντος τοῦ γυμναστοῦ, ἐμφράξαι μᾶλλον ἢ καθᾶραι τοὺς πόρους. αἱ γάρ τοι σφοδρότατοι φοραὶ τῶν ὑλῶν τὰ ἐναντία πεφύκασιν ἐργάζεσθαι περὶ διαφέροντας καιροὺς καὶ τρόπους ἐνεργούμεναι. ἐμφράξεις μέν, ὅτ' ἂν ἀθρόον τε ἅμα καὶ παχὺ καὶ πολὺ τὸ φερόμενον ᾖ. καθάρσεις δὲ ἐπειδὰν ὀλίγον τε καὶ λεπτομερὲς ὑπάρχον μὴ πάνυ κατεπείγηταί τε καὶ καταναγκάζηται, πᾶν ἀθρόως ἐκκενοῦσθαι. φαίνεται γὰρ οὕτω ταῦτα γινόμενα κατά τε τῶν ἐκτὸς ἁπάντων ὀργάνων τε καὶ πλοκάμων. ἀποπλύνεται γάρ τι καὶ ἀπορρύπτεται τὸ περιττὸν ἅπαν ἐξ αὐτῶν, οὐχ ὅταν ὑπεξιόντων ἔτι τῶν προτέρων ἕτερα βιαίως ἐπιφέρηται. κίνδυνος γὰρ ἐν τῷδε σφηνωθέντα καὶ διαιρεθέντα πρὸς ἄλληλα τὰ διερχόμενα, φράξαι τὴν ὁδόν. ἀλλ' ὅταν τῶν προτέρων ἤδη καὶ κενωμένων αὖθις ἕτερα κενωθῇ, καὶ τίς δὲ περὶ τῶν μικροτέρων πόρων θαυμάζειεν, ὅπου γε καὶ τῶν θεάτρων ἀθρόως ἐξιόντες πολλοὶ περὶ τὰς διεξόδους ἴσχονται. διὰ ταῦτα μὲν δὴ καὶ τοὺς ἐν μέσοις τοῖς πόνοις ἀποθεραπείᾳ χρωμένους ἐπαινῶ, καὶ μάλιστα ἐπὶ τῶν τοὺς βαρεῖς καλουμένους ἄθλους ἀσκούντων, ἀλλὰ περὶ μὲν τούτων αὖθις. ὁ δὲ νῦν ἡμῖν ὑποκείμενος ἄνθρωπος οὐκ ἀθλητικὴν εὐεξίαν, ἀλλ' ἁπλῶς ὑγίειαν ἔχει τὸν σκοπόν. οὔτ' οὖν πολλῶν αὐτῷ χρεία γυμνασίων ἐστὶν, οὔτε πρὸς ἀνάγκην ἐδωδῆς, ἀλλ' οὐδὲ πλῆθος κρεῶν χοιρείων, οὐδ' ἄρτων τοιούτων οἵους ἐσθίουσιν οἱ βαρεῖς ἀθληταί.

διὰ ταῦτ' οὖν ἅπαντα, περὶ μὲν οὐδεὶς κίνδυνος ἐμφραχθῆναι τοὺς πόρους, εἰ καλῶς προπαρασκευάζονται, τούτοις συντελέσι τε τρίψει καὶ πόνοις, ἐξ ὀλίγου τε καὶ ἐπὶ βραχὺ προϊοῦσι. ἀθλητῇ δὲ βαρεῖ κίνδυνος ἐστὶ διά τε τὴν ποιότητα, καὶ τὸ πλῆθος τῶν ἐδεσμάτων, εἰ μὴ πάντα γίγνοιτο καλῶς, ἐμφραχθῆναι μᾶλλον ἐν τοῖς γυμνασίοις, ἢ καθαρθῆναι τοὺς πόρους. ἅλις μὲν ἤδη μοι τῶν περὶ τῆς ἀποθεραπείας λόγων. ἴωμεν δ' ἑξῆς ἐπὶ τὰ λουτρά. τοσοῦτον οὖν μόνον εἰπόντες ὑπὲρ τῶν προειρημένων, ὡς ὅστις ἂν ἐλάττοσιν ἔπεσιν ἑρμηνεύσῃ ταῦτα, μακρολογίαν ἡμῖν ἐγκαλείτω. εἰ δὲ τῶν ἀναγκαίων τι θεωρημάτων, ἢ τῶν ταῦτα πιστουμένων ἀποδείξεων ὑπερβάς τινας, βραχὺν ἡγεῖτο πεποιηκέναι τὸν λόγον, οὐκ ἀγάλλεσθαι προσήκειν, ἀλλ' αἰσχύνεσθαι μᾶλλον αὐτῷ ταῖς τοιαύταις βραχυλογίαις. ἐγὼ γὰρ καί τοι βιβλίον ὅλον ὑπὲρ τῆς καλουμένης ἀποθεραπείας γράψαι δυνάμενος, οὐκ ἐδικαίωσα ποιεῖν οὕτως, συντέμνειν ὅτι μάλιστα τὸ μῆκος τῆσδε τῆς πραγματείας προῃρημένος. εἰ γὰρ ἐπὶ τὸ διελέγχειν ὅσα κακῶς εἴρηται τοῖς πλείστοις ἐτραπόμην, οὐ μικρὰν, οὐδὲ φαύλην ὕλην εἰς μῆκος λόγου ἔχοιμ' ἄν. ἀλλ' ἐξ ὧν ἀπέδειξα, νομίζω τοῖς ἔχουσι νοῦν ἁπάσας τῆς ἀντιλογίας τὰς ἀφορμὰς παρέχεσθαι. λέγοντος γοῦν Ἀσκληπιάδου τὴν κατάληψιν τοῦ πνεύματος ἐμπιπλάναι τὴν κεφαλὴν ἐξ ὧν ἐγὼ διωρισάμην ὀλίγον ἔμπροσθεν ἐπιδεικνὺς αὐτοῖς τὰς διαφορὰς, ἔνεστι τῷ βουλομένῳ τὴν πρὸς αὐτὸν ἀντιλογίαν ποιεῖσθαι. οὕτω δὲ καὶ ἐπὶ τὸ δεύτερον βιβλίον ἐξῆν δή που κἀμοὶ τὰ κατὰ μέρος ἅπαντα γυμνάσια διηγουμένῳ, μηκῦναι τὸν λόγον, ὥσπερ ἄλλοι γέ τινες ἐποίησαν, ὅ, τε κάλλιστα μεταχειρισάμενος ὅλην τὴν πραγματείαν Θέων ὁ Ἀλεξανδρεύς. τέτταρα γὰρ οὗτος ἔγραψε βιβλία περὶ τῶν κατὰ μέρος γυμνασίων ἅπαντα, κἀμοὶ λέγειν ἐξῆν. ἄμεινον γὰρ ἑρμηνεύειν ἐκείνου δυναμένῳ, καὶ προσέτι καὶ ἄλλων πολλῶν μνημονεύειν γυμνασίων ἔργοις κοινῶν. ἐκεῖνος μὲν γὰρ ὡς ἂν ἀθλητὰς μάλιστα γυμνάζειν ἔργον πεποιημένος ἐν τοῖς ἐπ' ἐκείνων ἐπλεόνασε γυμνασίοις. ἔξεστι δὲ τῷ βουλομένῳ περὶ πάντων τῶν κατὰ πάσας τὰς τέχνας διεξέρχεσθαι. ταῦτα μὲν οὖν μοι λελέχθω πρὸς τοὺς ἀγανακτήσαντας περὶ μήκους τῆς πραγματείας. καιρὸς δ' ἤδη περὶ λουτρῶν διέρχεσθαι. πρῶτον μὲν ὁπόσα γλυκέων ὑδάτων ἐστὶ θερμαινόμενα. ἐπειδὰν τούτων ἡ χρεία πλείων, ἑξῆς δὲ τῶν ψυχρῶν, εἶθ' οὕτως τῶν αὐτοφυῶν ὀνομαζομένων, καὶ αὐτῶν δή που τὰ μὲν εὔκρατα, τὰ δὲ, ζέοντα, τὰ δὲ, χλιαρὰ, τὰ δὲ, ψυχρὰ παντάπασιν ὑπάρχει. ἔστι δὴ τῶν γλυκέων ὑδάτων θερμῶν ἡ δύναμις, εὐκράτων μὲν ὄντων, ὑγρὰ καὶ θερμὰ, χλιαρωτέρων δὲ γινομένων ὑγρὰ καὶ ψυχρὰ, θερμοτέρων δὲ τοῦ δέοντος ἀποτελεσθέντων, θερμὰ μὲν, οὐκέτι δ' ὁμοίως ὑγρά. φρίττειν γὰρ ἀναγκάζει τὰ σώματα καὶ πυκνοῦσθαι τοὺς πόρους αὐτῶν, ὡς μήτ' ἀπολαύειν ἔτι τῆς ἔξωθεν ὑγρότητος, μήτ' ἐκκενοῦσθαί τι τῶν ἔνδον περιττωμάτων. ἀλλὰ γὰρ ἀπὸ τῶν εὐκράτων ἀρκτέον, ἃ διὰ παντὸς ὑγραίνει, καὶ θερμαίνει διὰ παντὸς καθ' ἑαυτά. συμβαίνει δ' αὐτοῖς ἐνίοτε κατά τι συμβεβηκὸς ἤτοι διαφορεῖν τὰς ὑγρότητας, ἢ πληροῦν ῥεύματος περιττοῦ τὰ μόρια τοῦ σώματος, ἢ μαλάττειν, ἢ πέττειν ἢ ῥωννύναι τὴν δύναμιν, ἢ καταλύειν. εἰς ταῦτα μέν γε καὶ ἡ ποσότης αὐτῶν, οὐκ ὀλίγα συντελεῖ. πολλὰ δὲ καὶ ἄλλα τῶν τοῖς εἰρημένοις ἑπομένων ἔνεστι καταλέγειν ἔργα τῶν εὐκράτων ποτίμων λουτρῶν, ὧν τὰ πρέποντα τῇ νῦν ἡμῖν ἐνεστώσῃ πραγματείᾳ, λεχθήσεται καθ' ὅσον ἐγχωρεῖ διὰ βραχέων. ἀναβεβλημένης ἐν τῷ παρόντι τῆς εἰς τὰ νοσήματα χρείας αὐτῶν. εἰς δὲ τὴν ὑγιεινὴν χρῆσιν ὁ προκείμενος ἐν τῷ λόγῳ νεανίσκος, ἡκέτω γεγυμνασμένος ὡς εἴρηται πρόσθεν. ἐπὶ τούτου τοίνυν ὀλίγη μὲν ἡ ἐξ αὐτοῦ ὠφέλεια. πάντα γὰρ ἔχει φθάνων ἐκεῖνος, ἔκ τε τῶν συμμέτρων γυμνασίων καὶ τῆς εἰρημένης ἀποθεραπείας, ὅμως δ' οὖν εἰ καλῶς παραλαμβάνοιντο τὰ λουτρὰ μέρος ἄν γε γένοιτο καὶ αὐτὸ τῆς ἀποθεραπείας. εἴ γε δὴ μαλάττει μὲν τὰ σκληρὰ καὶ τεταμένα μόρια, διαφορεῖ δ' εἴ τι περίττωμα καὶ σύντηγμα πρὸς τοῦ δέρματος ἐντὸς ἴσχοιτο. ἀλλὰ τούτων γε οὐδετέρων χρήζειν ἔοικεν ὁ ὑποκείμενος αὖθις ἐν τῷ λόγῳ. οὔτε σύντηγμα σαρκὸς ἁπαλῆς, ἢ πιμελῆς εἰκὸς αὐτῷ γεγονέναι τι κατὰ τὰ γυμνάσια. ταῖς γὰρ ἀμέτροις τε καὶ σφοδραῖς κινήσεσιν εἵπετο τὰ τοιαῦτα. κεκένωται δὴ πάντ' αὐτῶν τὰ περιττώματα, καὶ μεμάλακται τὰ στερεὰ μόρια κατὰ τὸν τῆς ἀποθεραπείας καιρὸν, ὥστ' ἀποπλύνασθαι τὸν ἱδρῶτα καὶ τὴν κόνιν, εἰ καὶ ταύτῃ ποτὲ χρήσαιτο, δεῖται μᾶλλον ἢ θερμανθῆναι κατὰ τὸ βαλανεῖον. διαβαδίσαι τοι γὰρ οὖν χεόμενον ἄχρι τῆς δεξαμενῆς, οὐκ ἐνδιατρίψαι περὶ βαλανείῳ, καθάπερ † οὖν χωρὶς τοῦ γυμνάσασθαι καθεψῶντες ἑαυτοὺς, οὐ μὴν οὐδ' ἐγχρονί- † al. οἱ ζειν ἐν τῇ κολυμβήθρᾳ δεῖται. περιπλυνάμενος δ' ὡς εἴρηται, πρὸς τὸ ψυχρὸν ὕδωρ ἐπειγέσθω. σύμμετρον δ' ἔστω καὶ τοῦτο, τῇ συμμέτρῳ φύσει τοῦ σώματος. ἐφ' ὅσον γε ἤτοι σφόδρα ψυχροῦ χρεία τοῦ ὕδατος, ἢ μαλακοῦ τε καὶ οἷον εἱληθεροῦς αὖθις εἰρήσεται. τὸ δ' ἄριστα πεφυκὸς σῶμα μέχρι μὲν αὐξάνεται, λέλεκταί που καὶ πρόσθεν, ὡς οὐ χρὴ ψυχρῷ λούειν, ἵνα μή τι τῆς αὐξήσεως αὐτοῦ κωλύσωμεν. ηὐξημένου δ' ἱκανῶς ἐθίζειν ἤδη καὶ τῷδε. κρατύνει τε σάρκας ἅπαν σῶμα, καὶ τὸ δέρμα πυκνὸν καὶ σκληρὸν ἀποτελεῖ. κράτιστον δὲ τοῦτο πρὸς τὴν ἀπὸ τῶν ἔξωθεν βλάβην. ὡς δ' ἄν τις ὑπάρξαιτο λούεσθαι ψυχρῷ, μηδενὸς ἀπὸ τῆς ἐξαιφνιδίας μεταβολῆς ἀπολαύσας βλαβεροῦ, παντὸς μᾶλλον ἐπίστασθαι χρή. πολλοὶ γὰρ κακῶς ἀρξάμενοι διεβλήθησαν οὕτω πρὸς ὅλον τὸ ἐπιτήδευμα τῆς ψυχρολουσίας, ὥστε μὴ δὲ τοῖς ἀσφαλῶς αὐτὸ μεταχειριζομένοις, ὑπομένειν ἑαυτοὺς ποτὲ παρέχειν. ἔστω τοιγαροῦν, ὁ μὲν τοῦ ἔτους καιρὸς, ἀρχομένου θέρους. ἵνα πρὸ τοῦ χειμῶνος ἐν ἅπαντι τῷ μεταξὺ χρόνῳ γένηταί τις ἐθισμὸς ἀξιόλογος. ἔστω δὲ δή που καὶ ἡ ἡμέρα καθ' ἣν ἀρχόμεθα, νήνεμος ὡς ἔνι μάλιστα, καὶ εἰς ὅσον οἷόν τε κατ' ἐκεῖνον τὸν καιρὸν θερμοτάτη. δῆλον δ' ὡς καὶ τῆς ἡμέρας αὐτῆς ἐκλέγεσθαι χρὴ, τὸ θερμότατον, ὥσπερ γε καὶ τὸ γυμνάσιον εὐκρατώτατον. ἡ μὲν ἔξωθεν αὕτη παρασκευή. σῶμα δ' αὐτὸ τὸ μέλλον χρῆσθαι τῷ ψυχρῷ παρασκευάσθω κατὰ τάδε. τῇ μὲν ἡλικίᾳ, ἔστω κατὰ τὴν τετάρτην ἑβδομάδα μεσοῦσαν μάλιστα, μηδὲν ὑπὸ μηδενὸς ἠλλοιωμένον αἰτίου προσφάτου κατ' ἐκείνην τὴν ἡμέραν ἢ τὴν πρὸ αὐτῆς νύκτα. τὴν δ' ὑγιεινὴν κατάστασιν ἣν εἶχεν ἔμπροσθεν ἀκριβῶς διαφυλάττων. ἔστω δὲ καὶ τὴν ψυχὴν εὔθυμός τε καὶ φαιδρὸς ὁ μέλλων χρήσασθαι τῷ ψυχρῷ νεανίσκος, εἴπερ ποτὲ ἄλλοτε καὶ τότε μάλιστα. πρῶτον μὲν οὖν ἀνατριβέσθω σινδόσιν ἐπὶ πλεῖον. ἔστωσαν δὴ καὶ σφοδρότεραι νῦν μᾶλλον, ἢ πρόσθεν ῥίψεις, καὶ διὰ σκληροτέρων ὀθονίων, εἰ δὲ καὶ χειρίδας ῥαπτὰς περιθέμενοι ταῖς χερσὶν οἱ προγυμνασταὶ τρίβοιεν, ὡς ὁμαλωτέραν γενέσθαι τὴν ἐνέργειαν, οὐδὲν ἂν εἴη χεῖρον. ἐφεξῆς δὲ δι'

ἐλαίῳ τριβέσθω, καθότι σύνηθες ἦν αὐτῷ. κἄπειτα γυμναζέσθω τῷ πλήθει μὲν ἴσα γυμνάσια. θᾶττον δὲ νῦν ἢ πρόσθεν, ἔπειθ' οὕτως εἰς τὸ ψυχρὸν ὕδωρ καταβαινέτω μὴ βλακεύων, ἀλλ' ἐπωκύνων τὴν ἐνέργειαν, ἢ ἀθρόως ἐναλλέσθω. σκοπὸν ἐν ἀμφοῖν ἔχων, ὡς μάλιστα, καθ' ἕνα χρόνον ἅπασι τοῖς τοῦ σώματος μέλεσι περιχυθῆναι καὶ τὸ ὕδωρ. τὸ γὰρ ἐπὶ βραχὺ πλησιάζειν αὐτῷ, φρίκης ἐστὶ ποιητικόν. ἔστω δὲ μήτε χλιαρὸν τὸ ὕδωρ, μήτε ἀτέραμνόν τε καὶ παγετῶδες. τὸ μὲν γὰρ, ποιεῖται θερμασίας ἐπανάκλησιν. τὸ δὲ, πλήττει καὶ καταψύχει τοὺς ἀηθεῖς. ὡς ἔν γε τῷ χρόνῳ προϊόντι καὶ τοιούτῳ ποτὲ χρήσαιτ' ἂν ἡμῖν ὁ νεανίσκος, ἀνάγκης καταλαβούσης. ἀλλὰ κατά γε τὴν πρώτην ἡμέραν ἀκριβῶς χρὴ φυλάττεσθαι τὸ λίαν ψυχρόν. ἐξελθόντα δὲ τοῦ ὕδατος, ὑπὸ πλειόνων ἀνατρίβεσθαι προσήκει δι' ἐλαίου, μέχρις ἂν ἐκθερμανθῇ τὸ δέρμα. καὶ μετὰ ταῦτα σιτία μὲν πλείω τῶν εἰωθότων, ἔλαττόν τε προσφερέσθω τὸ πόμα. ταῦτα δ' εἰ καὶ σὺ μὴ κελεύσειας, αὐτὸς ἂν οὕτω ποιήσειεν ὀρθῶς ἁπάντων γινομένων. καὶ γὰρ ὀρέγονται πλειόνων ἐπὶ τῇ ψυχρολουσίᾳ καὶ πέττουσιν ἄμεινον, καὶ διψῶσιν ἧττον. ἀφικνοῦνταί τε ἐπὶ τὴν ὑστεραίαν ἤδη τὰ γυμνάσια σαφῶς εὐεκτικώτεροι. τὸν μὲν τοῦ σώματος ὄγκον, ἴσον ἔχοντες τῷ πρόσθεν ἐσφιγμένον τε καὶ μυωδέστερον, καὶ συντονώτερον, καὶ τὸ δέρμα σκληρότερόν τε καὶ πυκνότερον. ὁμοίως οὖν ἐπ' αὐτοῦ ἐπὶ τῆς δευτέρας ἡμέρας πρακτέον ἅπαντα, καὶ ἐπὶ τὴν τρίτην τε καὶ τετάρτην. εἶθ' οὕτως ἤδη προήκοντι τῷ χρόνῳ, κελεύομεν αὐτὸν ἐμβαίνειν τὸ δεύτερον τῷ ψυχρῷ. μετὰ τὴν ἤδη τῷ προτέρῳ τρῖψιν ὡς εἴρηται πρόσθεν. τὸ δὲ καὶ τρίτον ἔτι τοῦτο ποιεῖν, ὡς ἔνιοι τινὲς ἐκέλευσαν οὐκ ἐπαινῶ. καὶ γὰρ τὸ δεύτερον αὔταρκες εἶναί μοι δοκεῖ δυναμένων γε ἡμῶν εἰς ὅσον ἂν ἐθέλωμεν ἐν αὐτῷ κελεῦσαι διατρίβειν. ὁ δὲ σκοπὸς κἀνταῦθα τοῦ χρόνου τῆς διατριβῆς, ἐκ τῆς καθ' ἑκάστην ἡμέραν λαμβανέσθω πείρας. εἰ μὲν γὰρ ἀνελθὼν ἐκ τοῦ ὕδατος ἤδη ταῖς ἀνατρίψεσιν εὔχρους ἐν τάχει γίγνοιτο, μετρίως ἐν αὐτῷ διατρίψας, εἰ δὲ δυσεκθέρμαντός τε καὶ ἄχρους διαμένει μέχρι πλείονος, ἀμετροτέρῳ ἐχρήσατο τῷ ψυχρῷ. τούτοις οὖν προσέχων τοῖς γνωρίσμασιν ἐξευρήσεις ῥᾳδίως, εἴτε τὸν ἴσον χρόνον αὖθις ἐν τῷ ψυχρῷ διατρίβειν προσήκει, εἴτε καὶ μετακινῆσαί τι πρὸς τὸ ἔλαττον ἢ πλέον, καὶ περὶ μὲν ψυχρολουσίας ὡς πρὸς τὴν ἀρίστην φύσιν, ἱκανὰ καὶ ταῦτα. τὰς δὲ τῶν παρεμπιπτόντων ἁμαρτημάτων ἐπανορθώσεις, ὅπως ἄν τις κάλλιστα ποιοῖτο, διελθεῖν ἤδη καιρός. εἰ γὰρ ὅτι μάλιστα τὴν κατασκευὴν τοῦ σώματος ἄμεμπτον ἔχει τις, ἀπηλλαγμένος τε εἴη, τῶν ἐπὶ τὸν βίον ἁπάντων πραγμάτων καὶ ἑαυτῷ μόνῳ ζῇ, ἀλλὰ τό γε μὴ δέ ποτ' ἁμαρτάνειν μηδὲν, ἢ αὐτὸν ἢ τὸν ἐπιστάτην αὐτοῦ, παντάπασιν ἀδύνατον. εἰκὸς τοίνυν ἐστὶ πρῶτόν τε καὶ μάλιστα καὶ συνεχέστατα περιπίπτειν ἁμαρτήμασι νεανίσκον γυμναστικὸν, ὁ κόπος ἐστίν. ὑπὲρ οὗ πολλάκις μὲν ἤδη πολλοῖς, οὐκ ἰατροῖς μόνον ἢ γυμνασταῖς, ἀλλὰ καὶ φιλοσόφοις εἴρηται. ὥσπερ καὶ Θεοφράστῳ βιβλίον ὅλον ὑπὲρ αὐτοῦ γράψαντι. ἐγὼ δὲ κἀνταῦθα μήκους φειδόμενος, ἃ μὲν εἴρηται καλῶς ὑπὲρ αὐτοῦ τισὶν, ὑπερβῆναι διέγνωκα. τὰ δ' ἀναγκαιότατα τοῖς ὑγιαίνουσιν, ἅμα ταῖς οἰκείαις ἀποδείξεσι διελθεῖν, καὶ πρῶτόν γε περὶ τῆς ἐννοίας αὐτοῦ. δίκαιον γὰρ ἀπὸ ταύτης ἀρξαμένους, οὕτως ἤδη τὴν οὐσίαν μεταβῆναι. ἔννοιαν δ' ἔχουσι κόπου τινὲς μὲν ἐν τῷ πεπρῆσθαί τε καὶ τετρῶσθαι δοκεῖν, ἤτοι πάντα τὰ μέλη τοῦ σώματος, ἢ τὰ πονήσαντα μόνον. τινὲς δ' ἐν τῷ δυσχερῆ τινὰ καὶ ἀνιαρὰν αἴσθησιν ἑαυτῶν ἐπὶ τὰς κινήσεις λαμβάνειν, ἣν τινὲς μὲν ἄρρητον ἔφασαν. ἔνιοι δὲ ἑλκώδη προσηγόρευσαν. ἄλλοι δέ τινες ὅταν ὡς τεθλασμένων τε καὶ φλεγμαινομένων αἰσθανόμεθα τῶν μελῶν. εἰσὶ μὲν οἳ καὶ μιγνύουσιν ἀλλήλαις τὰς ἁπλᾶς ταύτας διαθέσεις, τήν τε τῆς τάσεως καὶ τὴν ἑλκώδη, καὶ τὴν φλεγμονώδη. τινὲς δὲ δύο μιγνύουσιν ἐξ αὐτῶν ἤτοι τὴν ἑλκώδη, τῇ μετὰ τάσεως, ἢ τῇ φλεγμονώδει, μεθ' ἑκατέρας αὐτῶν ἀνὰ μέρος. ὥσθ' ἑπτὰ τὰς πάσας γίγνεσθαι δόξας περὶ τῆς ἐπὶ τὸν κόπον ἐννοίας. ἐκ μέρους μὲν τινὸς ἁπάσας ἀληθεῖς, τὸ σύμπαν δὲ οὐχ ἁπλῶς. ἐάν τε γὰρ ἑλκώδης αἴσθησις γίγνεται κινουμένοις, ἐάν τε φλεγμονώδης, ἐάν τ' ἐμπεπρᾶσθαι καὶ τείνεσθαι δοκῶσιν, ἐάν τε ἐπὶ συζυγίαν τινὰ τούτων, ἂν τ' εἰς ὁμοῦ συνέλθῃ τὰ πάντα, κόπος ὀνομάζεται τῶν εἰρημένων διαθέσεων ἑκάστη. ὥστ' εἶναι διαφορὰς ἑπτὰ τὰς συμπάσας τῶν κόπων. ἁπλᾶς μὲν τρεῖς, συνθέτους δὲ, τέτταρας. ἐπανορθώσεις δὲ τῶν οὕτως ἐχόντων σωμάτων, αἱ μὲν τινὲς ἴδιαι καθ' ἑκάστην εἰσὶ διάθεσιν. αἱ δέ τινες ἁπασῶν κοιναί. λεχθήσεται δ' ἑξῆς ὑπὲρ αὐτῶν, ἐὰν πρότερον ὑπὲρ τῆς παρακειμένης τοῖς κόποις διαθέσεως εἴπωμεν. ἣν ἐξαπατώμενοί τινες ὀνομάζουσι κόπον. ὁποία δ' ἐστὶν αὕτη, καὶ τίνα κέκτηται γνωρίσματα, δηλωθήσεται σαφέστερον, ἂν τὴν οὐσίαν ἑκάστης τῶν κοπωδῶν διαθέσεων εὕρωμεν. ἄχρι μὲν γὰρ τοῦδε, τὰ συμπτώματα μόνον εἴρηται, καὶ γὰρ τὸ πεπρῆσθαί τε καὶ τείνεσθαι δοκεῖν τὰ μόρια, καὶ τῷ κινουμένῳ ἤτοι φλεγμονώδη τινὰ ἢ ἑλκώδη γίγνεσθαι τὴν αἴσθησιν, οὐδὲ διαθέσεις εἰσὶν, ἀλλὰ συμπτώματα. διαθέσεις δέ γε τῶν σωμάτων αὐτῶν ἐφ' οἷς εἴωθε τὰ τοιαῦτα συμπίπτειν, ἁπλαῖ μὲν τρεῖς, σύνθετοι δὲ τέσσαρες. εἰ μὲν οὖν ἑλκώδης διάθεσις, ἤδη πλήθει γίνεται περιττωμάτων λεπτῶν τε ἅμα καὶ δριμέων, ἅπερ ἐν τῷ γυμνάζεσθαι γεννᾶται ἐπὶ διττὴν αἰτίαν, ἤτοι τῶν παχυτέρων περιττωμάτων χυθέντων τε καὶ λεπτυνθέντων, οὐχ ἁπάντων δὲ ἐκκενωθέντων, ἢ τακείσης τινὸς ἤτοι πιμελῆς ἢ σαρκὸς ἁπαλῆς, ἀνάγκη γὰρ ὑπὸ τῶν τοιούτων ὑγρῶν λεπτῶν καὶ δριμέων ὑπαρχόντων κεντεῖσθαί τε καὶ οἷον τιτρώσκεσθαι τό, τε δέρμα καὶ τὰς σάρκας, ὥστε καὶ φρίκην ἐνίοτε γίνεσθαι, καὶ ἢ καὶ ῥῖγος ὅταν ἰσχυρῶς ᾖ δριμέα τε ἅμα καὶ πολλά. τοιοῦτος μὲν δή τις ὁ οἷον ἑλκώδης κόπος. ἐν ᾧ δὲ τείνεσθαι δοκεῖ τὰ μόρια μόνον, ἑλκώδης δ' οὐκ ἔστιν αἴσθησις ἐν τῷδε τῷ κόπῳ, περίττωμα μὲν οὐδὲν ὅ, τι καὶ ἄξιον λόγου περιέχεται τοῖς σώμασιν, ἐπὶ δὲ τοὺς μῦς καὶ τὰ νεῦρα διάθεσίς τις ἤδη ταῖς σφοδροτέραις ἐντάσεσιν ἃς ἐποιήσαντο ἐπὶ τὰ γυμνάσια συνίσταται τοῦ ποιήσαντος αἰτίου τὴν δύναμιν ἐνδεικνυμένη. συμβαίνει γὰρ ταῖς σφοδροτέραις ἐντάσεσιν, ἁπάσας μετὰ τῶν μυῶν τείνεσθαι τὰς ἶνας, οὐχ ὁμοίως δὲ ἁπάσας, κάμνειν. ἀλλ' ὅσαι μάλιστα ἐπὶ τὴν εὐθύτητα τῆς τάσεως εἰσίν. ὡς ὅσαι γε λοξότεραί πως ὑπάρχουσιν ἧττον εὐθύνονται τεινόμεναι. ὥστε ταύταις μὲν οὐδεὶς ἐφεδρεύει κίνδυνος. ἐν ταῖς ἤδη πλέον ἐκτεινομέναις, ὡς ἐγγὺς ἥκειν τοῦ διασπασθῆναι, καταλείπεταί τις διάθεσις ὁμοία τῇ ἐπὶ τὰς ἐνεργείας ἐγγινομένῃ. τείνεσθαι γὰρ ἔτι δοκοῦσι, κἂν μηκέτι τείνωνται. ἡ δὲ δὴ τρίτη τοῦ κόπου διαφορὰ, καθ' ἣν ὥσπερ τεθλασμένων ἢ φλεγμαινόντων αἰσθανόμεθα τῶν μορίων, τηνικαῦτα μάλιστα συμπίπτειν εἴωθεν, ὅταν ἐκθερμανθέντες ἱκανῶς οἱ μῦες ὑπερτάσωνται.

ἡ τῶν

ταί τι τῶν περιεχυμένων ἑαυτοῖς περιττωμάτων. εἰ δὲ καὶ τὰς περὶ τοὺς τένοντας τε καὶ νεῦρα, τὴν αὐτὴν γενέσθαι διάθεσιν συμβαίνῃ, ὃ σοκόπον ὀνομάζουσι τὸ πάθημα τῷ βυθίῳ τῆς αἰσθήσεως, ἐπειδὴ τὰ διὰ βάθους κείμενα μόρια τοὔνομα φέροντες. ἐπιπολῆς μὲν γὰρ τὸ δέρμα, δευτέραν δὲ ἔχουσι θέσεως τάξιν οἱ μύες, ἐν κύκλῳ τοῖς ὀστοῖς περικείμενοι. συμφυεῖς δὲ αἱ οἱ τένοντες ὑπάρχουσι τοῖς ὀστοῖς, ὥστ' εὐλόγως ὅταν οὗτοί τι τῶν εἰρημένων πάσχωσιν, ἐν τῷ βάθει τε καὶ περὶ τοῖς ὀστοῖς αὐτοῖς ἡ διάθεσις εἶναι δοκεῖ. αὗται μὲν αἱ μόναι τρεῖς ἁπλαῖ τῶν κόπων εἰσὶ διαφοραί. σύνθετοι δ' ἐξ αὐτῶν ὡς ἔμπροσθεν εἴρηται, τέτταρες ὑπὲρ ὧν ἑξῆς ἐροῦμεν, ἐὰν πρότερον τὸν περὶ τῶν ἁπλῶν διέλθωμεν λόγον. ἔστι γὰρ δή τις καὶ ἄλλη διάθεσις ἐξαπατῶσα τινὰς ὡς κόπος, ἡ μὲν γένεσις ἐν τῷ ξηρανθῆναι τοὺς μῦς περαιτέρω τοῦ προσήκοντος, ὥστε ἅπαν αὐχμηρὸν καὶ προσεσταλμένον φαίνεσθαι τὸ σῶμα, καὶ πρὸς τὰς κινήσεις ὀκνεῖ ἀτρέμα. ἀλλ' οὐδὲν ὑπάρχει αὐτῷ τῶν ἔμπροσθεν εἰρημένων, οὔτε τῆς οἷον ἕλκους αἴσθησιν ἢ τάσεως, οὔτε πολὺ μᾶλλον τὴν οἷον φλεγμονῆς. ἐναντιωτάτη γὰρ ἡ ὄψις τοῦ τε τοιούτου καὶ τῆς νῦν λεγομένης διαθέσεώς ἐστιν. αὕτη μὲν γὰρ αὐχμώδης, καὶ προσεσταλμένον ἀπεργάζεται τὸ σῶμα· ὁ δὲ φλεγμονώδης κόπος, ἐν ὄγκῳ μείζονι καὶ αὐτοῦ τοῦ κατὰ φύσιν. ὡς εἶναι τὰς πάσας τέτταρας ἁπλᾶς διαθέσεις, ἰδίας ἑκάστην ἐπανορθώσεως δεομένην. ἀρκτέον δ' ἀπὸ τοῦ τὴν ἑλκώδη φέροντος αἴσθησιν. ὃν καὶ διὰ δριμύτητα περιττωμάτων ἐλέγομεν ἀνίστασθαι. οὗτος ὁ κόπος συμπίπτει μάλιστα τοῖς κακοχύμοις τε καὶ περιττωματικοῖς σώμασιν, ἐπιγίγνεται δὲ καὶ ταῖς ὑπογύοις ἀπεψίαις, ὅταν ἤτοι γυμνάσωνται προπετέστερον, ἢ ἐν ἡλίῳ διατρίψωσιν. οὐ μὴν ἀδύνατόν γε αὐτὸν συστῆναί ποτε χωρὶς ἀπεψίας ἐν εὐχύμῳ σώματι, δι' ὑπερβολὴν ἀμέτρων γυμνασίων. εἰώθασι δ' αὐτὸν ὀξεῖαι καὶ πολλαὶ φέρειν κινήσεις. πυκνὸν δὲ καὶ φρικῶδες φαίνεται τῶν ἐν τούτῳ κόπῳ, τὸ δέρμα, καὶ ὁμολογοῦσιν τῷ ἐν κινεῖσθαι καθάπερ ἕλκος ἀλγεῖν, οἱ μὲν τὸ δέρμα μόνον, οἱ δὲ, καὶ τὰς ὑπ' αὐτῷ σάρκας. ἡ δ' ἴασις ἐξ ὑπεναντίου τῇ διαθέσει, διαφορῆσαι γὰρ χρὴ τὰ περιττώματα, καὶ πέπαυται τὸ πάθημα. διαφορηθήσεται δέ, τρίψει πολλῇ καὶ μαλακῇ σὺν ἐλαίῳ μηδὲ μίαν ἔχοντι στύψιν, ὁποῖον μάλιστ' ἐστί, τὸ σαβῖνον. ἐναντιώτατον δὲ τῇ διαθέσει τό τε ἐκ τῆς ἱσπανίας καὶ τὸ ἐκ τῆς ἰβηρίας, ὅπερ ἱσπανὸν ὀνομάζουσι, τό τε καλούμενον ὀμφάκινον, ἢ ὠμοτριβές, ἐν ᾗ δὲ λόγῳ τὸ αὐστηρὸν ἅπαν οὐκ ἐπιτήδειον. ὡς ἔνεστί σοι γευομένῳ διαγινώσκειν τὴν δύναμιν αὐτῶν, κἂν μὴ πρότερον ᾖς πεπειραμένος. οὕτω γοῦν καὶ ἡμεῖς ἐν μακεδονίᾳ ποτὲ γευσάμενοι τοῦ κατὰ τὸν αὐλῶνα τὸν περὶ τῷ στρυμόνι γινομένου ἐλαίου τῆς αὐτῆς εἶναι δυνάμεως ἐγνωρίκαμεν αὐτὸ τῷ καλουμένῳ ἱσπανῷ. καὶ μὲν δὴ καὶ τῶν ἄλλων ἐλαίων ἁπάντων οὕτω γνωρίσεις τὴν δύναμιν. ὅσα τε κατασκευαστικῶς ὀνομάζεται, καὶ ὅσα σκευάζεται διὰ ἀνθῶν, ἢ ῥιζῶν, ἢ βοτανῶν, ἢ βλαστῶν, ἢ φύλλων, ἢ καρπῶν. εἴρηται δ' αὐταρκῶς μὲν ὑπὲρ ἁπάντων αὐτῶν, ἐν ταῖς περὶ φαρμάκων πραγματείαις. λεχθήσεται δὲ καὶ κατὰ τὸν ἐνεστῶτα λόγον ἐν οἰκείῳ καιρῷ. νῦν δὲ τοῦτ' ἀρκεῖ μόνον εἰπεῖν ὡς ὅπερ ἂν ᾖ γλυκύτατον ἔλαιον, ἐπιτηδειότατόν ἐστιν εἰς τὰ παρόντα. τούτῳ τοίνυν χρῆσθαι δαψιλεῖ μετὰ τρίψεως πολλῆς. ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ὑπὲρ τοῦ μηδ' ὅλως γενέσθαι τὸν ὑποπτευόμενον ἔσεσθαι κόπον, ἐν τῇ δευτέρᾳ δὲ, χάριν τοῦ λῦσαι τὸν ἤδη γεγονότα. λύει δ' αὐτόν, τὸ καλούμενον ἀποθεραπευτικὸν γυμνάσιον, ἐν ᾧ καὶ κινήσεις ἔνεστι ποιεῖσθαι συμμέτρους μὲν τῇ ποσότητι, βραδυτέρας δὲ τῇ ποιότητι μετὰ πολλῶν τῶν μεταξὺ διαναπαύσεων ἐν αἷς χρὴ τρίβειν τὸν ἄνδρα, ἐφαπτομένων ὁμοῦ πλειόνων, ὅπως μή τι καταψύχοιτό τι μέρος αὐτοῦ, καὶ τάχιστα διαφοροῖτο τὰ περιττώματα. πλεονάζειν δὲ χρὴ ταῖς μὲν τρίψεσι, κατὰ τὸν ἐν τῷ δέρματί τε καὶ ὑπὸ τῷ δέρματι τὸ πλῆθος τῶν περιττωμάτων ἔχοντα. ταῖς δ' ἐξ αὐτοῦ κινήσεσι, κατὰ τὸν ἕτερον κόπον ᾧ τὸ πλέον ἐν τοῖς μυσὶν ἤθροισται. τὰ γὰρ ἐν τούτοις περιττώματα, τρίψις μόνη διαφορεῖν οὐχ ἱκανή. δεῖται γὰρ οὐκ ἔξωθεν μόνον ἕλκεσθαι πρός τινος, ἀλλὰ καὶ συναπωθεῖσθαι πρὸς ἑτέρου τινὸς ἔσωθεν. ἀπωθεῖ δ' αὐτά, τό τε ἀναπτόμενον θερμὸν ἐν ταῖς κινήσεσι, καὶ τὸ συνεκκρινόμενον πνεῦμα, καὶ ἡ αὐτῶν τῶν μυῶν ἔντασις. ἐξ ἐπιμέτρου δέ, καὶ ἡ καθ' ἕκαστον μόριον ἀποκριτικὴ τῶν ἀλλοτρίων δύναμις. ὁ δὲ ἕτερος κόπος, ἐφ' οὗ συντάσεως αἰσθάνονται, τὸν σκοπὸν τῆς ἰάσεως ἔχει τὴν πρὸς ἱπποκράτους ὀνομαζομένην χάλασιν, ἐναντίων γὰρ τὸ τῇ συντάσει, καθάπερ τῇ σκληρότητι μάλαξις. ἔλεγε γοῦν ὧδε. δέρματος σκληροῦ, μάλαξις, συντεταμένου χάλασις. ὡς ἐναντίον ὑπάρχον, τῷ μὲν σκληρῷ τὸ μαλακόν, τῷ δὲ συντεταμένῳ, τὸ χαλαρόν. χαλᾶται δὲ τὸ συντεταμένον ἐν μὲν ταῖς ἄλλαις διαθέσεσιν ἃς ἐν τῷ πέμπτῳ, περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως εἴπομεν ἑτέρως. ἐπὶ δὲ τῇ διὰ τὰ γυμνάσια, ῥίψει μὲν ὀλίγῃ τε ἅμα καὶ μαλακῇ, δι' ἐλαίου γλυκέος ἐλευθέρους. ἀναπαύσει δὲ ὅλως, ἢ καὶ ἡσυχίᾳ, καὶ λουτροῖς εὐκράτοις, καὶ διατριβῇ πλείονι κατὰ τὸ θερμὸν ὕδωρ. ὥστε καὶ εἰ δὶς αὐτὸν ἢ τρὶς λούσαις ὀνήσεις μειζόνως. οὗτοι δὲ καὶ μετὰ τὰ βαλανεῖα ἀλείφεσθαι δέονται, πρὶν ἀμφιέννυσθαι, καὶ εἰ δι' ἱδρῶτα τινὰ τύχοιεν ἀπομάξασθαι τὸ λίπος, αὖθις ἀλείφεσθαι χρήζουσι. καὶ μέντοι καὶ κατὰ τὴν ἑξῆς ἡμέραν ἀναστάντες ἐκ τῆς κοίτης ἀλειφθῆναι δέονται. μηδὲ ποτ' ἄκρως ψυχρῷ, τῷ ἐλαίῳ, μηδὲ σκληρῶς ἀνατριβόμενοι. γίνεται δ' ὁ τοιοῦτος κόπος εὐχύμοις ἀνδράσι πονήσασιν εὔτονα μᾶλλον, ἢ ὀξέα γυμνάσια, καὶ δεινῶς ὀκνηρούς τε καὶ δυσκαμπεῖς ἐργάζεται τοὺς κοπωθέντας. οὐ μὴν πυκνοί τε καὶ φρικώδεις οἱ τοιοῦτοι φαίνονται, καθάπερ οἱ μικρῷ πρόσθεν εἰρημένοι. προσεσταλμένοι δ' οὐδὲν ἧττον ἐκείνων οὗτοι, καὶ αὐχμώδεις ὁρῶνται. καὶ θερμότερος τοῖς ἁπτομένοις εἶναι δοκοῦσιν. οὐ μόνον τῶν τὴν ἑλκώδη διάθεσιν ἐχόντων, ἀλλὰ καὶ σφῶν αὐτῶν ὅθ' ὑγίαινον. ὁ δὲ δὴ τρίτος τῶν κόπων ἐπὶ σφοδροτάταις γίνεται κινήσεσι, καὶ μόνος ἐξαίρει τοὺς μῦς ὑπὲρ τὸ κατὰ φύσιν, ὡς ἐοικέναι φλεγμονῇ τὴν διάθεσιν αὐτῶν. ταῦτά τοι καὶ ψαυόντων ὀδυνῶνται, καὶ θερμότεροι φαίνονται. ὀδυνῶνται δὲ καὶ ἢν αὐτοὶ καθ' ἑαυτοὺς ἐπιχειρήσωσι κινεῖσθαι. ἀηθέσι δὲ γυμνασίων αὐτοῖς ὁ τοιοῦτος κόπος ὡς τὰ πολλὰ συμπίπτει, γυμνάζεσθαι δ' εἰθισμένοις, ὀλιγάκις ἐγένετο κατὰ τὰς σφοδροτάτας τε ἅμα καὶ παμπόλλας κινήσεις. ἡ δὲ ἴασις αὐτοῦ τρεῖς ἔχει τοὺς σκοπούς. ὥσπερ σχεδόν τι καὶ τὰ φλεγμαίνοντα σύμπαντα, κένωσιν τοῦ περιττοῦ, καὶ ἀνάπαυσιν τοῦ συντεταμένου, καὶ ἀνάψυξιν τοῦ φλογώδους. ἔλαιόν τε οὖν πολὺ χλιαρόν, αἵ τε ῥίψεις μαλακώταται, καὶ ἡ ἐν τοῖς εὐκράτοις ὕδασι διατριβὴ πολυχρονιωτάτη, τοὺς τοιούτους ἰᾶται κόπους. εἰ δὲ καὶ βραχύ τι χλιαρώτερον εἴη τὸ ὕδωρ, ὀνήσει μᾶλλον. οὕτω δὲ καὶ ἡσυχία πολλή, καὶ ἀλείμματα συνεχῆ καὶ πάνθ'

ὄντα, τὸ μὲν κεκμηκὸς ἀναπαύει τε ἅμα καὶ παρηγορεῖ, τὸ δὲ περιττὸν διαφορεῖ. τάχα δ' ἄν τις οἰηθείη, τὸν τοιοῦτον κόπον οὐχ ἁπλοῦν οὐδὲ τρίτον εἶναι τοῖς ἔμπροσθεν εἰρημένοις δύο, σύνθετον δ' ὑπάρχειν ἐξ αὐτῶν οὐδὲν ἔχοντα πλέον τῆς τάσεως τῶν νευρωδῶν σωμάτων, καὶ τῆς ἑλκώδους αἰσθήσεως. τὴν γὰρ θερμότητα τοῖς τοιούτοις κόποις, ἄλλοις ἂν ὑπάρχειν φύσει, καθάπερ καὶ τῶν προειρημένων ἑκατέρων, οὐ μὴν συμπληρωτικήν γε τῆς ἐννοίας, ἢ τῆς οὐσίας εἶναι, ἀλλά τοι τό γε τοῦ παρὰ φύσιν ὄγκου τούτῳ τῷ κόπῳ μόνῳ παρὰ τοῖς ἄλλοις ἐξαίρετον ὑπάρχει, καὶ τὸ τῆς ἀλγεινῆς αἰσθήσεως οὐχ ὅμοιον. ἔν τε τῷ τονώδει κόπῳ, καὶ τῷδε. τείνεσθαι μὲν γὰρ ἐν ἐκείνῳ, τεθλάσθαι δὲ τὰ νεῦρα σύμπαντα μέχρι καὶ τῶν ὀστῶν, οἱ τούτῳ τῷ κόπῳ κατεχόμενοι νομίζουσι. ὥστε κατά γε ταῦτα διαφοράν τινα ἐξαίρετον ἔχει παρὰ τοὺς ἄλλους δύο κόπους, οὐχὶ σύνθετος μόνον ἐστί. αὗται μὲν δὴ τρεῖς, εἴτε καταστάσεις σωμάτων εἴτε διαθέσεις, εἴθ' ὅτι βούλεταί τις ὀνομάζειν. ἄλλη δ' ἐπ' αὐταῖς τετάρτη παραπλησία μὲν ὑπάρχουσα κόπῳ, κόπος δ' οὐκ οὖσα τῷ μήτε τὴν ἑλκώδη, μήτε τὴν τονώδη, μήτε τὴν φλεγμονώδη διάθεσιν ἔχειν, ἀλλὰ μηδὲ φρίκην τινὰ μηδ' ἄλγημα, μηδὲ τὸν πρὸς τὰς κινήσεις ὄκνον ὅμοιον τοῖς κόποις ἐπιφέρειν, ἰσχνοτάτην δὲ μόνην, ἅμα ξηροτάτην. γίνεται μὲν οὖν ἐν εὐχύμοις τε ἅμα καὶ γυμναστικοῖς σώμασιν, ὅταν ἄμετρον γυμνασθέντα μὴ καλῶς ἀποθεραπευθῇ, διαφορεῖται γὰρ οὕτω τὰ περιττώματα, καὶ χαλᾶται τὰ τεταμένα, καὶ οὐδὲν ἄλλο ὑπολείπεται περὶ τὸ σῶμα, πλὴν ξηρότητος, ἣν ἐκ τῆς ἀμετροτέρας κινήσεως ἔσχον. δεῖται δὲ περὶ μὲν τὴν πρώτην ἡμέραν, οὐδενὸς ἐξηλλαγμένου παρὰ τὰ πρόσθεν. ὅτι μὴ θερμοτέρου τοῦ ὕδατος, ὡς συναγαγεῖν ἀτρέμα καὶ θερμᾶναι καὶ τονῶσαι τὸ δέρμα. περὶ δὲ τὴν δευτέραν, ἀποθεραπευτικοῦ γυμνασίου, βραχέος τε ἅμα καὶ μαλακοῦ, καὶ βραδέος. ἔν τε κινήσεσι καὶ τρίψεσι, καὶ τῆς δεξαμενῆς ὁμοίως θερμῆς. ἐκπηδάτωσαν δ' εὐθέως εἰς τὴν ψυχράν, ὑπὲρ τοῦ μένειν αὐτοῖς τὸν ἐν τῷ δέρματι τόνον ἅμα θερμότητι, καὶ γὰρ ἧττον ἐν τῷ μετὰ ταῦτα χρόνῳ διαφοροῦνται, καὶ ῥᾳδίως εἴς τε τὰς σάρκας καὶ τὸ δέρμα τὴν τροφὴν ἀναλαμβάνουσιν, οὗ μεῖζον ἀγαθὸν οὐδὲν ἐξεύροις ἂν αὐτοῖς οὐ δὲ μίαν διάθεσιν ἐξαίρετον ἔχουσι παρὰ τὴν τῆς σαρκὸς ἰσχνότητα καὶ ξηρότητα. δεῖται γὰρ οἶμαι τό γε τοιοῦτον ἀνατραφῆναι τε ἅμα καὶ ὑγρανθῆναι, καὶ ταῦτ' ἄμφω κάλλιστ' αὐτῷ γίνεσθαι πέφυκεν ἐκ τῆς ὑγραινούσης τροφῆς. ἐπειδὴ δὲ ἅπαξ ἐμνημόνευσα τῆς ἐπὶ τοῖς λουτροῖς διαίτης, οὐ χεῖρον ἂν εἴη, καὶ τὰ περὶ τῆς κοπώδους διαθέσεως ἐπεξελθεῖν. ὁ μὲν οὖν ἑλκώδης κόπος εἰ μὲν ἱκανῶς ἀποθεραπευθείη, τῆς συνήθους δεῖται τροφῆς, ἤ τι βραχὺ μείονος. ἔτι δ' ὑγροτέρας τε ἅμα καὶ ἐλάττονος. εἰ δὲ περὶ τὴν ἀποθεραπείαν εἰς τὴν τετάρτην μεταπέσοι διάθεσιν, εἴωθε γὰρ οὕτω γίνεσθαι τὰ πολλά, κατ' ἐκείνην καὶ λουέσθω καὶ τρεφέσθω. ὁ δὲ τονώδης ἔτι δὴ καὶ μᾶλλον ὀλιγωτέρας δεῖται τῆς τροφῆς. ὁ δὲ φλεγμονώδης, ὑπὲρ ἅπαντας ὑγροτάτης τε καὶ βραχυτάτης, καί τι καὶ ψῦχος ἐχούσης. εὐχύμου δ' ὁμοίως ἅπαντες οἱ κεκοπωμένοι δέονται τροφῆς. ὁποίᾳ δηλονότι καὶ ὑγιαίνων ὁ ὑποκείμενος ἐν τῷ λόγῳ νεανίσκος ἐχρῆτο. φυλάττεσθαι δὲ προσήκει τὸ γλίσχρον ἐν αὐτῇ κατά τε τὸν φλεγμονώδη καὶ τὸν ἑλκώδη κόπον, ὡς ἂν κωλῦον διαφορεῖσθαι τὰ περιττώματα. περὶ μέν τοι τὸν τονώδη, καὶ τὰ τοιαῦτα σιτία δοτέον ἀφαιροῦντα τοῦ πλήθους αὐτῶν. οὐδὲν οὖν θαυμαστὸν ἐναντιολογίαν εἶναι παμπόλλην οὐκ ἰδιώτους μόνον ἐν ἀλλήλοις, ἀλλὰ καὶ τεχνίτους πρὸς ἑαυτούς τε καὶ τοὺς ἰδιώτας. οὔτε περὶ γυμνασίων, οὔτε περὶ τρίψεων, οὔτε περὶ λουτρῶν, οὔτε περὶ διαιτημάτων ὁμολογοῦσιν ὑπὲρ τῶν κοπωθέντων. ἀκοῦσαι γοῦν ἐστι τῶν μὲν φασκόντων, ὡς κόπῳ χρὴ λύειν τὸν κόπον. ἑτέρων δὲ ὡς ἀνάπαυσις ἰᾶται τὸν κάματον, καὶ τῶν μέν, ὡς ἐνδεῶς χρὴ διαιτᾶσθαι τοὺς κοπωθέντας. ἄλλων δέ, ὡς οὐ μόνον ἀφαιρεῖν προσήκει τῶν εἰθισμένων, ἀλλὰ καὶ τοσούτῳ πλείω προσφέρειν, ὅσῳπερ ἔτυχε πλείω γυμνασάμενοι, ἀνάλογον γὰρ χρῆναι τοῖς πόνοις προσαίρεσθαι τὰς τροφάς. ἄλλων δ' ἐνίων, ὡς οὔτε προσθεῖναι χρὴ ταῖς τροφαῖς, οὔτ' ἀφαιρεῖν. οὕτω δὲ καὶ λούουσιν, οἱ μέν, εὐκράτοις ὕδασιν, οἱ δέ, θερμοτέροις, οἱ δὲ χλιαρωτέροις. ἥ τε γὰρ ἐμπειρία πρὸς ἐκεῖνο μόνον ἕκαστον ἀπάγει, πρὸς ὅπερ ἔτυχε θεασάμενος πολλάκις. ὅ, τε λόγος ὡς ἂν καὶ τέλειος ὑπάρχων ἑκάστῳ καθάπερ ἐδείκνυτο πρόσθεν. ἀλλὰ μίαν τινὰ διάθεσιν ἐκδιδάσκων κοπώδη, τὰς δ' ἄλλας ὥσπερ οὐκ οὔσας ὑπερβαίνων, ἐκείνης μόνης ἐκδιδάσκει τὴν ἐπανόρθωσιν, ἧς ἔγνω μόνης. ἀληθὲς γοῦν ἐστι καὶ τό, κόπῳ λύεσθαι τὸν κόπον, ὅταν γε δὴ φαίνηταί ποτε δέον εἶναι τοῖς ἐν τῇ προτεραίᾳ γυμνασίοις, ἴσα περὶ τὴν ὑστεραίαν γυμνάζεσθαι. καὶ τὸ τὴν ἴασιν κόπων, ἡσυχίαν ὑπάρχειν. τούτων γὰρ τὸ μέν, ἐν τοῖς περιττωματικοῖς κόποις, καὶ μάλισθ' ὅσοι περὶ τοὺς μῦς ἔχουσι τὰ περιττώματα. τὸ δ' ἐν τοῖς τονώδεσί τε καὶ φλεγμονώδεσι φαίνεται συμφέρον. ἀληθὲς δὲ καὶ τὸ χρῆναι τοὺς κοπωθέντας, ἐνδεῶς διαιτᾶσθαι. τοῦτο γοῦν ὁρᾶται τοὺς φλεγμονώδεις ὠφελοῦν. ἀληθὲς δὴ καὶ τὸ τὰ συνήθη διδόναι, τοῦτο γὰρ ἐπὶ τῶν ἑλκωδῶν ὅταν ἀποθεραπευθῶσιν ὀρθῶς τετήρηται γιγνόμενον. ὥσπερ γε καὶ τὸ πλείω λαμβάνειν, ἐπὶ τῆς ὁμοιουμένης τοῖς κόποις διαθέσεως, εἰς ἣν κἀκ τῆς ἑλκώδους ἔνιοι μεταπίπτουσιν οὕτω. δὲ καὶ τὸ λούειν εὐκράτοις ὕδασιν, ἀληθὲς ἐπὶ τοῖς περιττωματικοῖς κόποις. ἀληθὲς δὲ καὶ τὸ μὴ λούειν τοιούτοις ἐπί τε φλεγμονωδῶν, χλιαρωτέρων γὰρ οὗτοι δέονται, κἀπὶ τῆς ὁμοίας κόπῳ διαθέσεως, οὗτοι γὰρ οὐ χρῄζουσι θερμοτέρων. οἴονται δ' ἔνιοι καὶ τὴν τοιαύτην διάθεσιν εἶναι κόπον. ἕτεροι δέ τινες ὁποία μέν τις ἐστὶν ἡ διάθεσις οὐκ εἶπον, ὑφ' ὧν δ' ἂν ὑποψία τις ᾖ γεγενημένου κόπου, συμβουλεύουσι θερμοτέρῳ χρῆσθαι τῷ κατὰ τὸ λουτρὸν ὕδατι, καὶ προστιθέασι δὲ τὴν αἰτίαν, ὡς ἡμεῖς ἔμπροσθεν ἔφαμεν. οἱ μὲν ἀναδόσει φάσκοντες, οἱ δὲ θρέψει συντελεῖν τὸ τοιοῦτον λουτρόν, οὐ μὴν καθ' ὅν γέ τινα λόγον οἷά τε κωλύειν ἐστὶ κόπον, ἀναδόσεις καὶ θρέψεις ἐκδιδάσκουσιν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ὁποία τίς ἐστιν ἡ τοῦ κόπου διάθεσις, οὐ δὲ τοῦτο γράφουσιν. οἱ γοῦν πλείους αὐτῶν οὐδὲν εἶπον. ἔνιοι δὲ τολμήσαντες εἰπεῖν, ἀπεφήναντο ξηρότητα. τὸ μὲν οὖν ὑπὸ τροφῆς θεραπεύεσθαι ξηρότητα. καὶ μάλιστα τῆς ὑγραινούσης, ὅπερ οὐδ' αὐτὸ προστιθέασιν οἱ πλείους αὐτῶν, ἀληθέστατον. οὐ μὴν οὔτ' ἴαμα κόπων ἐστίν, οὔτε προφυλακὴ τὸ τοιοῦτον. ἀλλ' ὅταν ὡς εἴρηται ξηρότερα μὲν ἀπεργασθῇ τὰ μόρια, μήτε δὲ τάσις ἡ κατ' αὐτὰ μηδὲ μία, μήτε περιττώματα λεπτὰ καὶ δριμέα, μήτε φλεγμονώδης διάθεσις, ἀνατρέφειν δήπου προσήκει τὰ διὰ τὴν κένωσιν ἐξηραμμένα, τροφαῖς ὑγραινούσαις. ὡς εἴ γε μὴ ἀναθρέψας αὐτά πως, ἰσχνότερον καὶ ξηρότερον ὄψει περὶ τὴν ἑξῆς ἡμέραν ἑαυτοῦ τὸ σῶμα, καὶ ταύτην τὴν διάθεσιν ἔνιοι κόπον ὑπο-

λαβόντες

λαβόντες ὑπάρχειν, οἴονται θερμοτέρῳ λουτρῷ καὶ τροφῇ δαψιλεῖ κεκωλυκέναι τὴν γένεσιν αὐτῶν. ἀλλ᾽ ἐκεῖνο θαυμάζειν ἐνίων ἄξιον, ὥσπερ καὶ Θέωνος, εἰ τὸν ἤδη γεγενημένον κόπον οὐκ ἀξιοῦσιν ὁμοίως ἰᾶσθαι. εἴτε γοῦν τὴν νῦν εἰρημένην διάθεσιν ὑπολαμβάνει τις εἶναι κόπον, ἀναθρέψαι χρὴ λύειν αὐτὸν καὶ κωλύειν γίνεσθαι. εἴτε τῶν ἄλλων τινὰ τῶν ὄντως κόπων. ἐνδεέστερον δὲ ἐπὶ πάντων χρὴ τρέφεσθαι τὸν ἄνθρωπον, ἔτι τε προσδοκωμένων καὶ ἤδη γεγονότων. οὐ δὲ γὰρ τοῦτ᾽ ἔστιν εἰπεῖν ὡς ἥ τε τοιαύτη διάθεσις ἡ παρακειμένη τοῖς κόποις, εἰ μὴ κατὰ τὴν πρώτην ἡμέραν ἐπανορθωθείη δι᾽ εὐτροφίας, εἰς ἕνα τῶν τριῶν μεταπίπτειν ἔοικεν. εἰ μὲν γοῦν αὐτὸ τοῦτο μόνον εἴη κατ᾽ αὐτὴν ἡ ξηρότης, ἰσχνότητος οὐδὲν ἀκολουθήσει πλέον. εἰ δὲ καὶ θερμότητός τι ξυνείη, πυρέξαι κίνδυνος. οὐ μὴν ταὐτόν γ᾽ ἐστὶ κόπος καὶ πυρετός, εἰ καὶ ὅτι μάλιστα τῶν κοπωθέντων ἐπύρεξαν ἔνιοι. θαυμάζειν γοῦν ἐπέρχεταί μοι Θέωνος, ἐν τῷ τετάρτῳ τῶν κατὰ μέρος γυμνασίων, ἐν οἷς περὶ τοῦ τελείου γυμνασίου διεξέρχεται, τάδε γράφοντος. καὶ κόπου τινὸς τοῖς οὕτω γυμνασθεῖσιν, ὡς τὸ πολὺ τῇ ἑξῆς ἡμέρᾳ παρακολουθοῦντος, ἡ ζεσολουσία παραιτεῖται τὴν πρὸς τὸν κόπον ἐπιτηδειότητα, πυροῦσα τὴν ἐπιφάνειαν. ἵνα αὕτη σικύας τρόπον τὴν λαμβανομένην τροφὴν ἐπισπωμένη, τοῖς κεκμηκόσι ἀντιδιέληται νεύροις. οὗτος μὲν γὰρ πρὸς τοῖς ἄλλοις ὥσπερ αἴνιγμά τι τὸ ἀντιδιέληται ῥῆμα παρέλαβεν ἐν τῷ λόγῳ. δύναται μὲν γάρ τις ἀκούειν ἐπιφάνεια σικύας τρόπον ἐπισπωμένη τὴν τροφὴν μέρος ἐξ αὐτῆς τι καὶ τοῖς νεύροις παρέχει. δύναται δὲ καὶ τοὐναντίον, ἵνα ἡ ἐπιφάνεια σικύας τρόπον, ἐφ᾽ ἑαυτὴν ἀντισπῶσα τὴν ἐπὶ τὰ νεῦρα φερομένην τροφήν, μερίζηται. ὥς τε κατὰ μὲν τὸν πρότερον λόγον, εἰς εὐτροφίαν τοῖς νεύροις ἐπιτηδεύεσθαι θερμανθὲν τὸ δέρμα. τοῦτο γὰρ ἡγοῦμαι λέγειν αὐτὸν ἐπιφάνειαν. κατὰ δὲ τὸν δεύτερον, εἰς ὀλιγοτροφίαν. ὅσον μὲν οὖν ἐπ᾽ αὐτῇ τῇ ῥήσει τὴν γνώμην τοῦ Θέωνος, οὐκ ἄν τις ἐξεύροι. ἐξ ὧν δ᾽ ἐν ἄλλοις τε λέγει κἀν τῷ ιϛ. τῶν γυμναστικῶν ἐλάττονα τροφὴν βούλεται δίδοσθαι μετὰ τὸ τέλειον γυμνάσιον. καίτοι γ᾽ οὐδ᾽ αὐτὸ τοῦτο διεσάφησε τινὶ ποτὲ λογισμῷ συμβουλεύει. δίδοται γὰρ ἐλάττων τροφὴ τῆς συνήθους ἢ τῷ μὴ δεῖσθαι τῆς ἴσης, ἢ τῷ μὴ δύνασθαι πέψαι. τὸ μὲν οὖν πρότερον, οὐκ ἀληθὲς ἐπὶ τῶν πολλὰ γυμνασαμένων. τὸ δὲ δεύτερον ἔστιν ὅτε μὲν ἀληθές ἐστιν ὅτε δὲ ψευδές. εἰ μὲν γὰρ ἀρρωστοτέραν ἔχει τὴν πεπτικὴν δύναμιν, ἀληθές, εἰ δὲ μὴ ταύτην, ἀλλ᾽ ἑτέραν τινά, ψευδές. ἀκούειν δὲ χρὴ πεπτικὴν δύναμιν οὐ τὴν ἐν γαστρὶ μόνον, ἢ φλεψίν, ἢ καθ᾽ ἧπαρ, ἀλλὰ καὶ τὴν καθ᾽ ἕκαστον μόριον, ὥσπερ ἐν τοῖς πᾶσι, τὴν ἐν τοῖς μυσίν. ἐν οἷς δὴ καὶ μάλιστα ἐστὶν ἡ διάθεσις, ὑπὲρ ἧς διαλέγομαι. διαφορηθέντες γὰρ ἐπὶ πλέον ἐν τοῖς γυμνασίοις ἰσχνότεροί τε καὶ ξηρότεροι γίνονται. εἰ μὲν οὖν ἐπ᾽ ὀλίγον αὐτοῖς ταῦτα συμβαίνει, κατεργάζεσθαι δύνανται τροφὴν ὥσπερ δέονται. εἰ δ᾽ ἔτι πολὺ τοῦ κατὰ φύσιν ἀποκεχωρήκασιν, ἀδυνατοῦσιν. ὧν οὐδὲν ὁ Θέων ὅλως οὔτ᾽ ἐγνωκὼς ἔοικεν, οὔτε διωρίσατο. τὴν ἀρχὴν γάρ, οὐδ᾽ ἐκ λόγου τινός, ἀλλ᾽ ἐξ ἐμπειρίας, ὡς καὶ αὐτὸς ὁμολογεῖ, τὸ θερμότερον ὕδωρ, ἐπὶ τῷ τελείῳ γυμνασίῳ χρήσιμον ὑπάρχον ἐτήρησαν. οὕτως οὖν ἐφεξῆς γράφει. τοῦτο δὲ εἰ μὲν καὶ τὸν λόγον ἔχει παρακείμενον, εὐτυχήματος ἔργον. εἰ δὲ μή γε, τὸ πρὸς τῶν ἀποτελεσμάτων ἐπιμαρτυρούμενον οὐ παραδεκτέον, εἰ μὴ καὶ τὸν λόγον ἐξ ἄκρου ἔχει συμπεριπίπτοντα. εἰ μὲν οὖν ἀκριβῶς ἐξευρὼν τὴν διάθεσιν ἐφ᾽ ἧς τὸ θερμὸν ὕδωρ ἐπαινεῖ, τὴν αἰτίαν ἀγνοεῖν ὁμολογεῖ συγγνωστὸς ἂν ἦν εἰκότως. ἐπεὶ δ᾽ ἁπλῶς εἶπεν ἐπὶ τῶν τελείων γυμνασίων ἁρμόττειν τὰς ζεσολουσίας, οὕτω γοῦν αὐτὴν καὶ ὀνομάζει, δύνανται δὲ πολλαὶ διαθέσεις ἀκολουθῆσαι τῷ τοιούτῳ γυμνασίῳ, μέμψαιτ᾽ ἄν τις αὐτῷ μὴ διορισαμένῳ περὶ πασῶν ἐφεξῆς. αὐτὸς γοῦν οἶδε καὶ τὸν φλεγμονώδη κόπον ἀκολουθοῦντα τῷ τοιούτῳ γυμνασίῳ καθ᾽ ὃν εἰς ὄγκον μείζονα τοῦ κατὰ φύσιν ἐξαίρεται τὰ πεπονηκότα. καὶ τὸν ἕτερον ὃν ἔνια γράφει τῷ κοινῷ συμπτώματι προσέχων τὸν νοῦν, ὅπερ ἀντίκειται τῷ παρὰ φύσιν ὄγκῳ. λεπτότεροι μὲν γὰρ ἐν τοῖς ἄλλοις δύο κόποις ἀποτελοῦνται, καὶ πρός ἔτι γε τῇ δὲ διαθέσει, περὶ ἧς ὁ λόγος συνέστηκεν. ἀλλ᾽ οὐχ ὥσπερ ἐν κοινὸν συμπτωμάτων τριῶν διαθέσεων ἐστὶν οὕτω καὶ ἡ διάθεσις μία. κατὰ μὲν οὖν τὴν ὑπὸ τῇ τάσει τῶν νευρωδῶν σωμάτων, οὐ χρὴ λούειν θερμοτέρῳ τοῦ συνήθους. οὕτω δέ, οὐδὲ κατὰ τὴν ἐπὶ τοῖς πληρώμασι. κατὰ δὲ τὴν ἄνευ τούτων ἰσχνότητα, συμφέρει λούειν θερμοτέρῳ, τοῦ συμμέτρου. γίνεται γοῦν ἡ διάθεσις αὕτη διαφορηθέντων ἐπὶ πλέον ἐν τοῖς γυμνασίοις τῶν σωμάτων οὕτως, ὡς ἐν ταῖς μακροτέραις ἀσιτίαις εἴωθε συμβαίνειν, ὥς τε καὶ ἡ ὑπανόρθωσις αὐτῶν, προσθέσει τε καὶ ἀναπληρώσει τοῦ κενωθέντος ἐστίν. οὐ δύναται δὲ αὕτη γενέσθαι, τοῦ δέρματος ἀραιουμένου, συναγαγεῖν οὖν αὐτὸν χρὴ καὶ πυκνῶσαι καὶ σφίγξαι πρότερον. εἰ μέλλοι τι τῆς δαψιλοῦς τροφῆς ὄφελος ἔσεσθαι. συνάγει δὲ καὶ στέγει, τό, τε ψυχρὸν ὕδωρ καὶ τὸ ζεστόν. ἀλλ᾽ ὑπὸ μὲν τοῦ ψυχροῦ, κίνδυνος βλαβῆναι τὸν ἄνθρωπον, ἀραιότερόν τε ἅμα καὶ κενὸν ἐπὶ τῷ πλήθει τῶν γυμνασίων γεγενημένον. ὑπὸ δὲ τοῦ ζέοντος βλάβη μὲν οὐδὲ μία, πυκνότης δ᾽ ἀσφαλὴς ἐγγίνεται τῷ δέρματι, συνεπιλαμβανούσης καὶ τῆς ἐγκαταλειπομένης αὐτῷ θερμότητος. ὅθεν οὐδὲ χρονίζειν ἐπὶ πλέον ἐν τῷ ψυχρῷ προσήκει τὸν οὕτως λουσάμενον. ἀλλ᾽ ὥσπερ αὐτὸς ὁ Θέων τοῦτό γε παρετήρησεν ὀρθῶς, φυλακτέον ἐστὶ τὴν ἐν τῷ ψυχρῷ διατριβήν, ὡς τὴν ἐκ τῆς ζεσολουσίας ἀναλύουσαν ὠφέλειαν. ἡ δὲ αἰτία τοῦ σφαλῆναι τὸν Θέωνα τὸ μιᾷ διαθέσει συμφέρον ὡς πάσαις ἁρμόττον γράφοντα, τῶν γυμναζομένων ὑπ᾽ αὐτῶν σωμάτων, ἡ ἕξις ἐστίν. ἀθλητὰς γὰρ ἐγύμναζε τοὺς μετὰ τὸ τέλειον γυμνάσιον εἰς μὲν τὴν τετάρτην διάθεσιν ἑτοίμως ἐμπίπτοντας, εἰς δὲ τὴν τρίτην, σπανιάκις. ὥσπερ οὖν ἐθεάσατο πολλάκις, ὡς διηνεκὲς ἔγραψεν. εἰ δὲ καὶ κακοχύμους ἢ καχέκτας, ἢ ἀήθεις γυμνασίων, ἢ ἀσθενεῖς, ἢ μὴ νεανίσκους ἐγύμναζε, σπανιάκις μὲν εἰς τὴν τοιαύτην διάθεσιν ἐμπίπτοντας ἐθεάσατο, μυριάκις δ᾽ εἰς τὰς ἄλλας. ἢ τοῦτο μὲν καὶ λέγειν ἴσως περιττόν, αὐτὸς γὰρ ὁμολογεῖ μετὰ τὰ κατασκευαστικὰ γυμνάσια χρῆσθαι τῇ ζεσολουσίᾳ, τὰ δὲ τοιαῦτα γυμνάσια μόνοις ἀθληταῖς ἐπιτηδεύεται. καίτοι φησί τις ὡς ἐκείνοις μὲν ἔχουσι καὶ κατὰ περίοδον, ἄλλοις δὲ πολλοῖς, ἢ δι᾽ ἀνάγκην, ἢ φιλονεικίαν, ἔτι τοιοῦτον ἕτερον. ἀλλ᾽ ἐπί γε τῶν τοιούτων, ἐπὶ τοῖς ἀμέτροις γυμνασίοις, ἀνάγκη πρότερον, ἢ καὶ μίαν, ἢ καὶ πλείους συστῆναι κόπων διαθέσεις. ὥς τε μόνοις τοῖς εὐεκτικοῖς σώμασιν ἡ τετάρτη γίγνεται διάθεσις, οἵαπερ ἐστὶ τά τε τῶν καλῶς ἀγομένων ἀθλητῶν καὶ τοῦ νῦν ἡμῖν ἐν τῷ λόγῳ προκειμένου νεανίσκου. εἴ τις ἁπλῶς ἀποφαίνοιτο μετὰ σφοδρότατα γυμνάσια τὴν τοῦ θερμοτέρου λουτροῦ χρῆσιν ἐπιτήδειον ὑπάρχειν, ἐπὶ μιᾶς μὲν ἀληθεύσει καταστάσεως, ἐπὶ τριῶν δὲ ψεύσεται. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα

καθ' ὅλην τὴν ὑγιεινὴν πραγματείαν ἰατροῖς τε καὶ γυμνασταῖς γέγραπται ψευδῆ. κεφάλαιον δ' αὐτῶν ἐστι, τὸ περὶ τηρήσεως ἀδιόριστον ὅταν ὅπερ ἐπὶ μιᾶς ἕκαστος ἐθεάσατο διαθέσεως, ἐπὶ πολλῶν ἀναγράφῃ. καὶ μὲν δὴ καὶ ἔτι τίς ἐστι διάθεσις ἐγγύς τι ταῖς προειρημέναις. ἣν ὀνομάζω στέγνωσιν, ὑπὲρ ἧς ἐπειδὰν συμπεραίνω μὲν τὸν ἐπὶ τοῖς κόποις λόγον ἐφεξῆς ἐρῶ. αἱ μὲν γὰρ ἁπλαῖ διαφοραὶ, τρεῖς αὐτῶν εἰσιν, ὑπὲρ ὧν ἤδη μοι λέλεκται. κατὰ συζυγίαν δύο λαμβανομένων, ἄλλαι γίνονται τρεῖς. ἑβδόμη δ' ἐπὶ πάσαις ἐστὶν, ἡ τῶν τριῶν ἅμα συνερχομένων. ἡ μὲν διάγνωσις αὐτῶν ἐστιν, ἀκριβῶς τὸ συνδυάζεσθαι τὰ γνωρίσματα. σκοπὸς δὲ τῆς ἐπανορθώσεως, ὁ μὲν κοινὸς ἁπασῶν, ἀποβλέποντα πρὸς τὸ ἐπικρατοῦν, μὴ δὲ τῶν λοιπῶν παντάπασιν ἀμελεῖν. ὁ δ' ἴδιος ἐπὶ τῷ κοινῷ κατὰ τὰς ἐν μέρει διαθέσεις λαμβάνεται. πάσας μὲν οὖν ἐπέρχεσθαι τὰς συζυγίας μακρὸν, ἕνεκα δὲ σαφηνείας ἐπὶ μόνου παραδείγματος ὁ λόγος περανθήσεται. ἐὰν τοίνυν ὄγκος τε ἅμα περὶ τοὺς μῦς ὑπάρχῃ καὶ τεθλᾶσθαι δοκῶσιν αὐτοὺς, καὶ ἡ ἑλκώδης αἴσθησις ἢ τονώδης κόπος ἅμα τῷ πληθωρικῷ κατείληφε τὸν ἄνθρωπον, ἡ θεραπεία γενήσεται στοχαζομένη μὲν ἀμφοῖν, ἀλλὰ μᾶλλον τοῦ μείζονος. οὐχ ἁπλῆ δ' ἐν ἅπασι τοῖς οὖσιν ἡ τοῦ μείζονος φύσις ἀλλ' ἡ μὲν, κατὰ δύναμίν τε καὶ τὸ οἷον ἀξίωμα τοῦ πράγματος. ἡ δὲ, κατὰ τὴν οἰκείαν οὐσίαν. ἀξιώματι μὲν οὖν καὶ δυνάμει μείζων ἐστὶν, ὁ φλεγμονώδης κόπος τοῦ πληθωρικοῦ. κατὰ δὲ τὴν οἰκείαν οὐσίαν ἑκάτερος αὐτῶν οὕτω δύναται γίνεσθαι, μέγας τε καὶ μικρὸς, ὡς εἰ καὶ κατὰ μόνας ἑκάτερος ἦν. εἰ μὲν οὖν ἴσον ἐξέστηκε τοῦ κατὰ φύσιν ἑκάτερος, ὁ φλεγμονώδης, ἐφ' ἑαυτὸν ἐπισπάσεται τὸ κῦρος τῆς θεραπείας, ἐπικρατῶν γε κατὰ δύναμιν. ἂν δ' ὀλίγον μὲν ὁ φλεγμονώδης πλεῖστον δ' ὁ ἑλκώδης ἀποκεχώρηκε τοῦ κατὰ φύσιν, ἐπισκεπτέον εἴτε τοσοῦτον ὑπερέχει κατὰ τὸ μέγεθος ὁ ἑλκώδης, ὅσον ὁ φλεγμονώδης κατὰ δύναμιν. εἴτ' ἔλαττον, εἴτε μεῖζον, καὶ οὕτως ἐξευρίσκειν τὸν ἐπικρατοῦντα, κἂν ἰσοσθενεῖς δέ ποτε φαίνωνται, πρὸς ἀμφοτέρους ὁμοίως ἀποβλεπτέον. αὕτη μὲν οὖν ἡ μέθοδος ἔστω σοι κοινὴ πασῶν τῶν ἐπιπεπλεγμένων διαθέσεων. ὥσπερ δ' οἱ κόποι τρεῖς ὄντες εἶτ' ἀλλήλοις ἐπιπλεκόμενοι τέτταρας ποιοῦσι τὰς συζυγίας. οὕτως εἰ καὶ τὴν τετάρτην αὐτοῖς ἐπιπλέξειέ τις διάθεσιν, αἱ συζυγίαι πολλῷ πλείους γενήσονται. μάθοις δ' ἂν ἐναργῶς, ὃ λέγομεν ἐπὶ διαγράμματος. ἔστω δ' ἐν αὐτῷ πρώτη μὲν διάθεσις, ἡ ἑλκώδης. δευτέρα δὲ, ἡ τονώδης. τρίτη, ἡ φλεγμονώδης. τετάρτη, ἡ τῆς ἰσχνότητος. ἢ τοίνυν ἡ πρώτη μετὰ τῆς δευτέρας συστήσεται διαθέσεως, ἢ μετὰ τῆς τρίτης, ἢ μετὰ τῆς τετάρτης. ἢ πάλιν ἡ δευτέρα μετὰ τῆς τρίτης, ἢ τῆς τετάρτης. ἢ πάλιν ἡ τρίτη μετὰ τῆς τετάρτης, ὥστ' εἶναι τὰς πάσας ἓξ συζυγίας, ἀνὰ δύο λαμβανομένων τῶν διαθέσεων. ἄλλας δ' αὖ τέτταρας, ὅταν ἅμα τρεῖς ἐπιπλέκωνται διαθέσεις ἀλλήλαις, ἢ τοι γὰρ ἡ πρώτη μετὰ τῆς δευτέρας καὶ τρίτης, ἢ μετὰ τῆς δευτέρας καὶ τετάρτης, ἢ μετὰ τῆς τρίτης τε καὶ τετάρτης πάλιν. ὑστάτη δὲ πασῶν ἐπιπεπλεγμένη διάθεσις ἔσται τῶν τεττάρων ἅμα διαθέσεων ἀλλήλαις μιγνυμένων. ὥστ' εἶναι τὰς πάσας ἕνδεκα τὸν ἀριθμόν. ἦσαν δέ γε καὶ αἱ τῶν ἁπλῶν τέτταρες. γενήσονται τοίνυν αἱ σύμπασαι πεντεκαίδεκα, πρώτη ἑλκώδης, δευτέρα τονώδης, τρίτη φλεγμονώδης, τετάρτη ἰσχνότης. ᾱβ̄. ᾱγ̄. ᾱδ̄. β̄γ̄. β̄δ̄. γ̄δ̄. ᾱβ̄γ̄. ᾱβ̄δ̄. ᾱγ̄δ̄. β̄γ̄δ̄. ᾱβ̄γ̄δ̄. εἰ δὲ καὶ τὰς τῆς στεγνώσεως διαφορὰς ἐπιπλέκοις ἀλλήλαις τε καὶ ταῖς πεντεκαίδεκα, παμπληθεῖς ἑτέρας ἐργάσῃ συζυγίας. εἰ καὶ τὰς τῆς ἀπεψίας αὐτοῖς, ἢ τὰς ἐπὶ τοῖς ἀφροδισίοις, ἢ ταῖς ἐγκαύσεσιν, ἢ ταῖς ἀγρυπνίαις, ἢ ταῖς λύπαις ἐπιπλέξειας καταστάσεις τοῦ σώματος, οὐδ' ἀριθμηθῆναι ῥᾳδίως ἅπασαι δυνήσονται, καὶ οὔπω λέγω τὰς τῆς πληθώρας, ἢ κακοχυμίας, ἢ ἐπισχέσεως γαστρὸς, ἢ διαρροίας, ἢ ἐμέτων, ἢ βάρους κεφαλῆς, ἢ τινὸς ἄλλου μέρους, ἢ ὅλως ὅσαι κατά τι σύμπτωμα συνίστανται. λεχθήσεται μὲν αὖθις ὑπὲρ τῶν τοιούτων ἁπάντων, ἀλλὰ νῦν γε τούτου χάριν ἐπεμνήσθην αὐτῶν, ὑπὲρ τοῦ δεῖξαι τὸ πλῆθος τῶν ἐπιπλοκῶν ὁπόσον ἐστί. θαυμάσαι γὰρ οἷόν τινα τοὺς ἐπὶ τοῖς ἀθροίσμασιν αὐτῶν ἃς ὀνομάζουσι συνδρομὴν, ἢ τοι θεραπείαν, ἢ πρόγνωσιν τῶν ἀποβησομένων ἐπαγγελλομένους τετηρηκέναι. καθ' ἕνα γὰρ τρόπον οἷόν τ' ἐστὶ καὶ προγνῶναι καὶ θεραπεῦσαι δεόντως ὡς Ἱπποκράτης ἐδίδαξεν ἑκάστου τῶν ἁπλῶν πραγμάτων. ἀξιῶν ἐπίστασθαι τὴν δύναμιν, ὡς ἐγὼ νῦν ἐπέδειξα περὶ τεττάρων διαθέσεων. εἰ μὲν γὰρ ἑκάστη καθ' ἑαυτὴν συσταίη, τὴν ἐπανόρθωσιν ἁπλῆν ἐνδείξεται. μιχθεῖσα δ' ἑτέρᾳ κατὰ τὴν ὀλίγον ἔμπροσθεν εἰρημένην μέθοδον, ὑπὲρ ἁπασῶν τῶν ἐπιπεπλεγμένων διαθέσεων. ὁ πότ' οὖν οὕτω φαίνεται τότ' ἐστὶν ἴτεον ἐπὶ τὰς ἁπλᾶς διαθέσεις. ὧν ἐφεξῆς ταῖς εἰρημέναις ἦσαν αἱ κατὰ στέγνωσιν. οὕτω δ' ὀνομάζω τὴν βλάβην τῶν πόρων, ἐφ' ᾗ κωλύεται διαφορεῖσθαι τὰ περιττώματα. γίνεται δ' αὕτη δι' ἔμφραξιν ἢ πύκνωσιν, ἣν δὴ καὶ μύσιν ὀνομάζουσι τῶν πόρων. ἔμφραξις μὲν οὖν, ὑπὸ γλίσχρων ἢ παχέων γίνεται περιττωμάτων ἀθροώτερον ὁρμησάντων ἐπὶ τὸ δέρμα. πύκνωσις δὲ, ὑπό τε τῶν στυφόντων καὶ ψυχόντων. ἀλλ' ἐμφράξει μὲν ἁλῶναι τὸ προκείμενον ἐν τῷ λόγῳ σῶμα κατὰ τὴν εἰρημένην ἐπιμέλειαν ἀγόμενον, οὐκ ἐγχωρεῖ. πυκνωθῆναι δὲ δύναταί ποτε διά τε κρύος καρτερὸν καὶ λουτρὸν στυπτηριῶδες. ἐγχωρεῖ δέ ποτε καὶ μετὰ βαλανεῖον, ἢ ἱδρῶτα, καὶ ἄλλως ἀραιοῦ τοῦ δέρματος ἔκ τινος ἑτέρας αἰτίας γενομένου καταπνεύσασαν αὔραν, ἔμφραξίν τέ τινα καὶ πύκνωσιν ἀποτελέσαι. διαγινώσκεται μὲν οὖν ἡ εἰρημένη διάθεσις, εὐθὺς μὲν ἀποδυόντων ἀχροίᾳ τε λευκῇ, καὶ σκληρότητι, καὶ πυκνότητι τοῦ δέρματος. κατὰ δὲ τὸ γυμνάζεσθαι, τῷ δυσεκθερμάντῳ, οὔτε γὰρ ἱδροῦσιν ὁμοίως ὡς πρόσθεν, οὔτ' εὐχροοῦσιν. ἀλλ' εἰ καὶ βιάσαιτο τῇ εὐτονίᾳ τῶν γυμνασίων ἱδρῶτός τι προσκαλέσασθαι, καὶ μείων οὗτος γίνεται τοῦ συνήθους καὶ ψυχρότερος, καὶ ἧττον ἀτμώδης. ἡ δ' ἴασις τῆς τοιαύτης διαθέσεως, θέρμανσίς ἐστιν. ἐναντίον γὰρ τοῦτο τῇ ψύξει. συντονωτέροις τε γυμνασίοις χρηστέον ἐστὶ, καὶ βαλανείοις θερμοτέροις, ἄμεινον δὲ καὶ καλινδεῖσθαι κατὰ τὸν πρῶτον οἶκον ἐπὶ ἐλαίου λιπαρῶς. ἔστω δὲ καὶ τὸ ἔλαιον τῶν χαλαστικῶν, οἷόν περ ἐστὶν ἐν Ἰταλίᾳ τὸ Σαβῖνον. ἄμεινον δ' ἐπὶ τῶν τοιούτων διαθέσεων ἐτῶν εἶναι δύο ἢ τριῶν αὐτό, καὶ γὰρ λεπτομερέστερον τοῦτο καὶ θερμότερον. ἡ δὲ ἐν τῇ ψυχρᾷ κολυμβήθρᾳ διατριβὴ, μὴ πολυχρόνιος γινέσθω, μηδ' αὐτὸ τὸ ὕδωρ ἔστω ψυχρόν. ἐνδύεσθαι δὲ μέλλοντες, ἀλειφέσθωσάν τινι τῶν μετρίως θαλπόντων, ἐλαίων μὲν ὅσα γε κατ' Αἴγυπτόν εἰσι. κικίνῳ τε καὶ ῥαφανίνῳ. κατὰ δὲ τὴν ἄλλην οἰκουμένην τῷ γλυκεῖ καὶ λεπτομερεῖ καὶ μετρίως παλαιῷ. μύροις δὲ σουσίνῳ τε καὶ γλευκίνῳ καὶ ἰρίνῳ, καὶ ἀμαρακίνῳ καὶ

ῥακίνῳ καὶ κομμακίνῳ. τὸ μὲν δὴ γλεύκινον ἀκριβῶς ἐστὶν ἄκοπον καὶ χαλαστικόν, ὥστε καὶ τοῖς ἰσχυρῶς κοπωθεῖσιν ἐπιτήδειον ὑπάρχει. βραχὺ δὲ αὐτοῦ τὸ σούσινον θερμότερον ὄν, καὶ χαλαστικώτερον. ἴρινον δὲ καὶ ἀμαράκινον, καὶ κομμακινὸν ἱκανώτερον τούτου θερμαίνει. ὥστε καὶ ταῖς καλουμέναις ἰδίως ψύξεσιν χρήσιμα τετύχηκεν ὄντα. τὰς μέντοι πυκνώσεις τοῦ δέρματος αὐτάρκως ἰᾶται, καὶ τὸ ἀνήθινον ἔλαιον, καὶ μάλιστ' εἰ χλωρὸν εἴη τὸ ἄνηθον. ἁρμόττει δὲ ταῖς τοιαύταις διαθέσεσιν, ὥσπερ οὖν καὶ τοῖς ἰσχυροῖς κόποις. τὸ διὰ τοῦ σπέρματος τῆς ἐλάτης ἄκοπον. εἰρήσεται δὲ ἐν τοῖς ἑξῆς ὅπως χρὴ σκευάζειν αὐτό, νυνὶ μὲν γάρ μοι δοκῶ καὶ ταῦτα περαιτέρω τῆς ὑποθέσεως εἰρηκέναι. τῷ γὰρ ἄριστα κατεσκευασμένῳ, τὸ σῶμα καὶ βίον ἐλεύθερον ἐπανῃρημένῳ καὶ μηδὲν αὐτῷ πλημμελοῦντι καὶ τὸν ἐπιστατοῦντα τῆς ὑγείας ἄριστον ἔχοντι, τὰς νοσωδεστέρας διαθέσεις οὐ πάνυ τι συμπίπτειν εἰκός. ἐπανέλθωμεν οὖν αὖθις ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, καὶ παραλείποντες ἐγκαύσεις καὶ ψύξεις καὶ ἀπεψίας καὶ διαῤῥοίας ὅσα τ' ἄλλα τοιαῦτα, βέλτιον γὰρ εἰς ἕνα λόγον ἀναβάλλεσθαι σύμπαντα ταῦτα, τὸν περὶ τῶν νοσωδῶν συμπτωμάτων ἐπιγραφησόμενον, ἐν τῷ παρόντι περὶ τῶν ἐπὶ ἀφροδισίοις γυμνασίων ἐπισκεψώμεθα. καὶ γὰρ διαπεφώνηταί πως ὑπὲρ αὐτῶν. ἐνίων μὲν οἰομένων οὕτω χρῆναι γυμνάζειν ἐπ' αὐτοῖς ὡς τὸ καλούμενον ἀποθεραπευτικόν, ἐνίων δὲ ὡς κατὰ τὸ παρασκευαστικόν, ἔσω δὲ δή που τὸ παρασκευαστικόν, γυμνάσιον οὐδὲ τῇ ποσότητι τῶν κινήσεων, ἔλαττον τοῦ συμμέτρου, κατὰ δὲ τὴν ποιότητα, συντονώτερόν τε καὶ ὀξύτερον. οἱ μὲν οὖν ἀποθεραπεύειν ἀξιοῦντες ὥσπερ τοὺς ἀπὸ καμάτου, τήν τε κατάλυσιν τῆς δυνάμεως ὑφορῶνται, καὶ τὴν ξηρότητα τοῦ σώματος. ἄμφω γὰρ ταῦτα πάσχομεν ἐπ' ἀφροδισίων τε καὶ πλήθει τῶν γυμνασίων. οἱ δὲ τῷ παρασκευαστικῷ χρῆσθαι γυμνασίῳ, τὴν ἀραιότητα καὶ τὸ εὐίδρωτον. ὥσπερ ἐπιτείνεσθαι μὲν ὑπὸ τῶν ἀποθεραπευτικῶν, ἐπανορθοῦσθαι δ' ὑπὸ τῶν παρασκευαστικῶν. ἐγὼ δ' ἑκατέρους ἐπαινέσας ὡς ἑωρακότας ἐκ μέρους τὸ ἀληθές. εἰς ταυτὸν συνθήσω τὰς δόξας αὐτῶν. ὅτι μὲν γὰρ ἀῤῥωστῆσαί τε χρὴ τὴν δύναμιν καὶ σφίγξαι τὴν ἀραιότητα, καὶ μὴ παραυξῆσαι τὴν ξηρότητα, συγχωροῦσιν ἑκάτεροι. λείπει δ' αὖ εἰς διορισμὸς ἀμφοτέροις. ὥσπερ ἐν ταῖς ἐπιπλεγμέναις ἁπάσαις διαθέσεσιν ὑφ' ἡμῶν ἔμπροσθεν εἴρηται), ῥηθήσεται δὲ καὶ νῦν οὐδὲν ἧττον. ἐπειδάν γε εἰς ταυτὸν συναχθῶσι πλείους διαθέσεις, εἰ μὲν ἕνα τρόπον ἐνδεικνύμενα θεραπείας, ἐπιτείνεσθαι χρὴ τὸν τρόπον. εἴπερ εἰ κατὰ μόνας ἑκάστη τῶν διαθέσεων ἦν. εἰ δ' ἐναντιούμενα, τὰ κατὰ τὴν ἐπικρατοῦσαν διάθεσιν ἐπανορθωτέον ἐστὶ πρότερον, οὐ δὲ τῶν ἄλλων ἀμελοῦντας τὸ πάμπαν. ὅσοι μὲν οὖν ἤτοι δι' ἡλικίαν, ἢ καὶ ἄλλως ἀσθενεῖς ὑπάρχοντες ἀφροδισίοις ἐχρήσαντο, τούτοις μὲν ἀναγκαῖον ἐστὶν ἐπικρατεῖν τὴν ἀῤῥωστίαν τῆς δυνάμεως. ὅσοι δὲ ἰσχυρότεροί τε καὶ νέοι, καθάπερ ὁ νῦν ἡμῖν ὑποκείμενος ἐν τῷ λόγῳ νεανίσκος, ἐν τούτοις ἡ τοῦ σώματος ἕξις εἰς ἀραιότητα πλέον ἤπερ ἡ δύναμις εἰς ἀῤῥωστίαν ἀναλλοιοῦται. καὶ τοίνυν ἡ ἐπανόρθωσις οὐ διὰ τῶν ἀραιούντων, οἷόν περ ἐστὶ καὶ τὸ ἀποθεραπευτικὸν γυμνάσιον, ἀλλὰ διὰ τῶν συναγόντων τε καὶ σφιγγόντων, ὁποῖον ἐστὶ καὶ τὸ παρασκευαστικόν, ἐν τοῖς τοιούτοις γίνεται σώμασι, καὶ κατὰ τοῦτ' ἂν εἴη τῷ παρασκευαστικῷ γυμνασίῳ χρηστέον. ἐπεγείρει γὰρ ἐκεῖνο τὴν θερμότητα τῷ τε τῆς κινήσεως ὀξεῖ καὶ τῷ τόνῳ, καὶ τῷ συνάγειν καὶ σφίγγειν τὴν ἕξιν. ὅτι δὲ καὶ τὴν ἀραιότητα μόνον τοῦτο τῶν γυμνασίων ἰᾶται, πρὸς ἁπάντων ὁμολογεῖται τῶν γυμναστῶν ὑπὸ τῆς πείρας δεδιδαγμένων. ὥστ' οὐδὲν ἂν εἴη βέλτιον εἰς τὰ παρόντα, τοῦ τοιούτου γυμνασίου. τῆς δὲ ὥρας τοῦ ἔτους ἐπιτρεπούσης, οὐδὲ τῆς ψυχρολουσίας ἀφεκτέον ἐστίν. ἐδέσματα δ' ἔσω, πλῆθος μὲν ἐλάττω, τῇ ποιότητι δὲ ὑγρότερα δοτέον, ἵνα καὶ πεφθῇ καλῶς αὐτά, καὶ τὴν ἐκ τῶν ἀφροδισίων ἐπανορθώσηται ξηρότητα. χρὴ δ' οὐ δὲ ψυχρότερα τὴν κρᾶσιν, ἀλλ' ἤτοι τῆς μέσης ἰδέας, ἢ τῶν θερμοτέρων ὑπάρχειν αὐτά, διότι γε ἐξ ἀφροδισίων ἀραιότερόν τε καὶ ψυχρότερον ἅμα καὶ ἀσθενέστερον καὶ ξηρότερον ἀποτελεῖται τὸ σῶμα. χρὴ δή που τὰ πυκνοῦντα καὶ θερμαίνοντα, καὶ τὴν δύναμιν ἀναῤῥωννῦντα προσφέρεσθαι, καὶ τούτους εἶναι τοὺς σκοποὺς ἐπ' αὐτοῖς. ὅτι δὲ αὕτη δύναμις ἐστὶν ἀφροδισίων, οὐ τοῦ νῦν ἐνεστῶτος λόγου. πρόκειται γὰρ ἐν αὐτῷ διελθεῖν, ὅπως ἂν κάλλιστα τὸ προκείμενον σῶμα γυμνάζοιτο μετὰ τὴν τῶν ἀφροδισίων χρῆσιν. ὅπερ οὐκ ἠδύνατο περανθῆναι καλῶς ἄνευ τοῦ προλαβεῖν ἐξ ὑποθέσεως, ὁποία τίς ἐστιν ἡ ἐν τῷ σώματι γινομένη διάθεσις ἐπὶ τοῖς ἀφροδισίοις. ἀλλὰ νῦν μὲν ἐξ ὑποθέσεως, αὖθις δὲ μετὰ ἀποδείξεως εἰρήσεται, τίς τε ἡ δύναμις αὐτῶν ἐστι, καὶ εἰ χρηστέον ὅλως ἢ μή, καὶ τίνες αὐτῶν ὠφέλειαι καὶ βλάβαι, κατά τε τὰς τοῦ σώματος διαθέσεις εἰσί, καὶ τὰς ὥρας τοῦ ἔτους, καὶ τὰς χώρας, ὅσα τ' ἄλλα τοιαῦτα χρὴ προσδιορίζεσθαι. μετὰ μὲν δὴ τὴν τῶν ἀφροδισίων χρῆσιν, εἶδος ἔσω γυμνασίου τὸ παρασκευαστικὸν ὀνομαζόμενον. ἀγρυπνίας δὲ προσγενομένης ἢ λύπης ἢ ἀμφοτέρων, τὸ ἀποθεραπευτικόν. ὅταν τε χωρὶς ἀπεψίας γεννηθῶσιν. ἐπὶ γὰρ ταῖς ἀπεψίαις οὐδ' ὅλως γυμναστέον. ὅ τε δὲ τὸ ἀποθεραπευτικὸν γυμνάσιον ἐπὶ λύπαις τε καὶ ἀγρυπνίαις ἁρμόττει, δηλοῖ μὲν καὶ ἡ πεῖρα. φαίνονται γὰρ ὑπὸ τῶν ἄλλων γυμνασίων βλαπτόμενοι, πρὸς τῷ μηδ' ἀνέχεσθαι τῶν ἐπιταττόντων εἰ τύχοι ἔτι λυπούμενοι. δηλοῖ δ' οὐχ ἧττον τῆς πείρας καὶ ὁ λόγος, ἐπειδὴ γὰρ ἐπ' ἀγρυπνίαις τε καὶ λύπαις ὁρῶνται λεπτότεροί τε καὶ αὐχμηρότεροι καὶ δύσχροοι γινόμενοι, ξηρότερον ἡγητέον αὐτοῖς εἶναι τὸ σῶμα. τὰς δὲ τοιαύτας διαθέσεις, αἵ τε μαλακώτεραι τρίψεις ἐξιῶνται σὺν ἐλαίῳ πλείονι γιγνόμεναι, καὶ λουτροῖς εὐκράτοις. αἵ τε κινήσεις αἱ βραδύτεραί τε καὶ χωρὶς ἰσχυροτέρας τάσεως, ἀναπαύσεσι πλείοσι διειλημμέναι. τρόπος δ' οὗτος ἦν ἀποθεραπευτικοῦ γυμνασίου. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τὰς ἐπὶ θυμοῖς, ἢ δι' ἔνδειαν ποτοῦ ξηρότητας ἐπανορθωτέον ἐστίν. ἐναντίως δὲ τοῖς εἰρημένοις ἐπανορθοῦσθαι χρὴ τὰς κατὰ ταύτην ὑγρότητας. εἴτε διὰ πόμα πλέον, εἴτε δι' ἄλλην τινὰ πρόφασιν ἐγένοντο. σκοπὸς γοῦν δὴ καὶ τῶν τοιούτων διαθέσεων ἡ ξήρανσις. ἀλλὰ τοῦτο μὲν ἁπασῶν κοινόν, ἴδιον δ' ἑκάστης ἐν ταῖς κατὰ μέρος διαφοραῖς. εἰ μὲν οὖν ἐπ' ἀργίᾳ πλείονι καὶ ταῖς τῶν ὑγραινόντων ἐδεσμάτων ἀμέτροις τε καὶ ἀκαίροις χρήσεσιν ὑγρότης ἐγένετο, μακροτέρας δεῖται τῆς ἐπανορθώσεως. εἰ δ' ἐπὶ ποτῷ πλείονι κατὰ τὴν προτεραίαν ἡμέραν γεγονότι, χωρὶς τοῦ πεπονθέναι τὴν κεφαλὴν ἢ τὸ στόμα τῆς κοιλίας, ἐν μιᾷ δυνατὸν ἡμέρᾳ τελέως ἐξιάσασθαι. πλεονάσαντας μὲν ἐν ταῖς ξηραῖς τρίψεσι, γυμνάσαντας δ' ὀξύτερον, ἔλαττον δὲ ποτῷ χρησαμένους, ἐδέσμασί τε ξηραντικωτέροις. ὡς ὅσαι γε μετὰ τοῦ τὴν κεφαλὴν ἢ τὸν στόμαχον ἀπολαῦσαί τι, τῆς

ἐξ οἴνου βλάβης ὑγρότητές εἰσι περιτταί, τοῦ νῦν ἐνεστῶτος οὐ δέοντα λόγου. ῥηθήσεται γὰρ ὑπὲρ αὐτῶν, ἐν τοῖς τῶν νοσωδῶν συμπτωμάτων. αἱ δ' ἐπ' ἀργίᾳ πάνυ μακροτέραι. τὴν ἀρχὴν, οὐδ' ἂν γένοιντό ποτε κατὰ τὴν προκειμένην διάθεσιν, ὥσπερ οὐδ' αἱ διὰ πλῆθος ἐδεσμάτων ὑγρῶν τῇ φύσει. οἷαίπερ αἱ πλεῖσται τῶν ὀπωρῶν εἰσὶ, καὶ τῶν λαχάνων ὅσα μὴ δριμέα. γενομένας δ' αὐτὰς, ἀθρόως μὲν οὐχ οἷόν τε θεραπεύειν. εἰ γὰρ εἰς τοσοῦτον πονήσειεν ὁ ἄνθρωπος, ὡς αὐτάρκως ξηρᾶναι τὴν ἕξιν. ἁλώσεται κόπῳ, καὶ πυρέξει πυρετὸν μὲν ἐφήμερον πάντως. ἂν δὲ καὶ μοχθηραὶ τύχωσιν ὑγρότητες ὑπάρχουσαι πλειόνων ἡμερῶν. ἐν χρόνῳ δ' ἂν ἐπανορθεῖεν ὡς ὕστερον εἰρήσεται κατ' ἐκεῖνον τὸν λόγον, ἐν ᾧ τὰς μοχθηρὰς κράσεις ἐπὶ τὸ βέλτιον ἀλλοιοῦμεν. ὁμοία γὰρ ἡ πρόνοια τῶν ἐπικτήτων θέσεων ἐστὶ, καὶ τῶν φυσικῶν δυσκρασιῶν. ὥστ' οὐδὲν χρὴ τὸ νῦν ἔτι περὶ αὐτῶν διεξέρχεσθαι. λείπεται οὖν ἔτι περὶ τῶν ἑωθινῶν τε καὶ μετὰ τὴν ἑσπέραν τρίψεων διελθεῖν. οὐ μὰ δί' οὕτως φασὶν ἀποκρίνασθαι κόϊντον ἐρωμένῳ τινὶ γυμναστῇ τίνα δύναμιν ἔχει τὸ ἀποσυγκρίνεσθαι φάμενον ἀφανίζειν τὰ ἱμάτια. τούτοις γὰρ τοῖς ὀνόμασιν οἷς ἐγὼ νῦν ἐχρησάμην ἐρέσθαι τε λέγουσι τὸν, γυμναστὴν ἀποκρίνασθαί τε τὸν κόϊντον. ὅμοιόν τι τοῦ κοΐντου περιφέρον τ' ἀπόφθεγμα, τό, τε περὶ τῶν οὔρων, ὡς γναφέως ἐστὶ καταμανθάνειν αὐτά, καὶ τὸ περὶ τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, διότι βαλανείων ἐστὶ τὰ τοιαῦτα τῶν ὀνομάτων, ἃ ἐγὼ μὲν οὐκ ἂν δοίημι, μὴ ὅτι κόϊντον, ἀλλ' οὐδὲ τῶν ἀπὸ θεσσαλοῦ τινὰ φθέγξασθαι. βωμολοχικὰ γὰρ ἅπαντ' ἐστὶ τὰ τοιαῦτα κομψεύματα, καὶ οὐδαμῶς ἀνδρὶ προσήκοντα σεμνῆς οὕτω τέχνης ἐπιστήμονι. βέλτιον οὖν ὑπὲρ μὲν τῆς ἑωθινῆς ἀνατρίψεως ὧδ' ἐπισκοπεῖσθαι, κατά γε τὸ προκείμενον ἐν τῷ νῦν ἐνεστῶτι λόγῳ σῶμα. τοῦτο γὰρ ἤτοι παντάπασιν ἄμεμπτόν ἐστι μετὰ τοὺς ὕπνους, ἤ τινι τῶν κοπωδῶν ἐνέχεται διαθέσεων, ἢ καὶ τῶν ἄλλων τινὶ περὶ ὧν ἐφεξῆς ἐν ταῖς κοπώδεσιν ὀλίγον ἔμπροσθεν ἄχρι τοῦδε διῆλθον. εἰ μὲν οὖν ἄμεμπτον ὑπάρχει, περίεργόν ἐστιν ἀνατρίβειν, ἢ ἀλείφειν αὐτὸ, πλὴν εἴποτ' ἀναγκαῖον εἴη, συνεχεσθῆναι κρύει καρτερῷ. τηνικαῦτα γοῦν ὡς τοὺς μέλλοντας ψυχρολουτρεῖν, οὕτω καὶ τούτους τῇ τρίψει παρασκευάσομεν. εἰ δέ τις αἴσθησις εἴη κόπου, λέλεκται καὶ πρόσθεν ὡς ἀλείφειν τε χρὴ τηνικαῦτα καὶ ἀνατρίβειν μαλακῶς. οὕτω δὲ καὶ εἰ ξηρότερον τ' εἴη, πλείω τοῦ δέοντος, ἀλειπτέον μὲν ἐλαίῳ γλυκεῖ, τέγγει γὰρ οὗτος τὸν ξηρὸν χρῶτα, τριπτέον δ' ἐλάχιστα μὲν, ἀλλὰ μήτε σκληρᾷ τρίψει, μήτε μαλακῇ. περιτρέψαι γοῦν μόνον δεόμεθα τὴν ἀνάδοσιν, οὔτε δ' ἀλλοιῶσαι τοῦ δέρματος, ἢ τῆς σαρκὸς τὴν ἕξιν, οὔτε διαφορῆσαί τι τῶν περιεχομένων ἐν αὐτοῖς. ἐργάζεται δὲ ἄμφω μὲν ἡ μαλακὴ, θάτερον δὲ ἡ σκληρὰ τρίψις εἴ γε διὰ πυκνοῖ μὲν αὕτη καὶ σκληρύνει τὸ δέρμα. διαφορεῖ δ' ἡ μαλακὴ, καὶ ἀραιὸν, καὶ μαλακὸν ἀπεργάζεται τὸ σῶμα. πύκνωσιν μέντοι τοῦ δέρματος ἐπανορθώσασθαι βουλόμενοι, τὴν μὲν ἐπὶ ταῖς σκληραῖς ἀνατρίψεσι, καὶ βλάβαις, καὶ σφοδροῖς γυμνασίοις καὶ κόνει πολλῇ γεγενημένην, ἐλαίῳ δαψιλεῖ καὶ γλυκεῖ χρώμενοι μαλακῶς ἀνατρίψωμεν. τὴν δ' ἐπὶ τῇ ψύξει, πρῶτον μὲν, ταῖς ξηραῖς τε ἅμα καὶ ταχείαις ἀνατρίψεσι, δεύτερον δὲ ταῖς δι' ἐλαίου θερμαίνοντες, εἰς τὸ κατὰ φύσιν ἐπανάξομεν. ἀραιότητα δὲ, τὴν ἐπί τε λουτροῖς πλείοσι, καὶ τρίψεσι μαλακαῖς, ἀφροδισίων τε χρήσεσι γεγενημένην, ὀλίγαις μὲν, ταῖς ξηραῖς ἀνατρίψεσιν. ὀλίγαις δ' ἐφεξῆς αὐτῶν ταῖς σὺν ἐλαίῳ τινὶ τῶν στυφόντων ἰασόμεθα. τὰς δ' ἐπὶ πλείοσι ποτοῖς ὑγρότητας, αἱ ξηραὶ μόναι θεραπεύουσι, διά τε σινδόνων ἢ χειρίδων ἐπιτελούμεναι. καὶ αὐτῶν μόνων ἐνίοτε τῶν χειρῶν, ἢ χωρὶς λίπους παντὸς, ἢ σὺν ἐλαχίστῳ τινί· ἔσω δὲ τὸ ἔλαιον οὐ γλυκὺ, ἵν' ᾖ διαφορητικὸν, ἁπάσης ἀπηλλαγμένον στυφούσης ποιότητος. ὧδε μὲν ἔχει περὶ τῆς ἑωθινῆς ἀνατρίψεως. ἡ δ' εἰς ἑσπέραν ἤτοι κοπώδεσιν ἱκανῶς ὑπάρχουσιν, ἢ κατεξηραμμένοις, ἢ ἀτροφοῦσιν ἐπιτήδειος. ἀλλὰ τὸ μὲν τῆς ἀτροφίας σύμπτωμα, τό γε νῦν ἐξαιρείσθω τοῦ λόγου, μετὰ τῶν ἄλλων ἁπάντων νοσωδῶν συμπτωμάτων ἐξῆς προχειρισθησόμενον, ἐπὶ δὲ τῆς ὑποκειμένης φύσεως, ὅταν, ἢ τις κόπος ἰσχυρὸς, ἢ ξηρότης τις ἄμετρος ὑπάρχει, κατὰ τὸ σῶμα, τὸ μὲν ἄριστον, ἔλαττον γιγνέσθω. πλείων δ' ὁ μεταξὺ χρόνος ἄχρι τοῦ δείπνου. τὰ πολλὰ δ' ἐφ' ἡσυχίας, ὀλίγον δέ τι καὶ περιπατείτωσαν, ὡς ὑποκαταβῆναι τὰ σιτία ταῖς ὀρθίαις κινήσεσι κατασεισθέντα. βέλτιον δὲ καὶ εἰ ἀποπατῆσαι δυνηθεῖεν. τούτων γοῦν ἁπάντων καλῶς γενομένων ἀκίνδυνον ἀνατρίβειν ἐλαίῳ γλυκεῖ, μὴ πάνυ τῆς γαστρὸς ἐφαπτομένους. εἰ δὲ μὴ, κίνδυνος αὐτά τε τὰ σιτία πεφθῆναι χεῖρον ἀναδοθῆναί τέ τινα χυμὸν ἐξ αὐτῶν ἡμίπεπτον. ἐπιθολωθῆναί τε τὰς κεφαλὰς, ἀνατραπῆναί τε τὸν στόμαχον. ἄριστον μὲν οὖν ἐστι, τὸ μὴ δι' ὅλως ἅπτεσθαι τῆς γαστρὸς, ἢν δέ ποτε τῶν ἀμφ' αὐτὴν μυῶν ἤτοι κοπώδης τις αἴσθησις, ἢ πλείων φαίνοιτο ξηρότης, ἀλείφειν τὰ μέτρια πράως ἐφαπτομένους. εἰ καὶ δὲ τὰς αἰτίας τις ἀκοῦσαι ποθεῖ τῶν εἰρημένων, τοῦ ἑξῆς ἀναμενέτω λόγου, ἐν ᾧ περὶ τῶν νοσωδῶν συμπτωμάτων διερχόμεθα. νυνὶ μὲν γοῦν ἤδη μοι δοκῶ μέχρι τοῦδ' αὐτάρκως ἔχειν τὰ ἐνεστῶτα.

ΓΑΛΗΝΟΥ ΥΓΙΕΙΝΩΝ

ΛΟΓΟΣ δʹ

Οὐχ ὡς οἱ πλεῖστοι τῶν νεωτέρων ἰατρῶν ἐν τοῖς ὁριστικοῖς ζητήμασι κατατρίψαντες τὸν χρόνον, ἤτοι διὰ βραχέων ἐπιτρέχουσι τὸν περὶ τῶν ἀναγκαιοτάτων λόγον, ἢ καὶ παντάπασι παραλείπουσιν, οὕτω καὶ ἡμεῖς ποιήσομεν. ἀλλ' ὅπερ ἀπ' ἀρχῆς ἐνεστησάμεθα, τὸ χρήσιμον αὐτὸ διερχόμενοι, τὰ λογικωτέραν ἔχοντα τὴν ἐπίσκεψιν, εἰς ἕτερον ἀναβαλούμεθα καιρόν. αὐτίκα γέ τοι περὶ τῶν νοσωδῶν συμπτωμάτων ὑπὲρ ὧν ἐν τῷδε τῷ λόγῳ πρόκειται διελθεῖν, οὐ μικρὰ ζήτησίς ἐστι πότερον ἐκ τῆς ὑγιεινῆς ὑπάρχει πραγματείας, ἢ ἐκ τῆς θεραπευτικῆς. ἢ τούτων μὲν οὐδετέρας, ἄλλης δέ τινος ἀμφοῖν τρίτης, ἣν οὖν καὶ μέσην ὑγείας τε καὶ νόσου τίθενταί τινες οὐδετέραν ὀνομάζοντες. ἐγὼ δ' ἐπιστάμενος μὲν ὡς ἐν τοῖς ὑγιεινοῖς τις ἔτι ἐν τοῖς θεραπευτικοῖς αὐτῶν μνημονεύσειεν, ὁμοίως ὑπὸ τῶν σοφιστῶν ἐπηρεασθήσεται, γινώσκων δ' οὐδὲν ἧττον ὡς εἰ καὶ τρίτην τις αὐτοῖς ἀναθείη γενέσθαι πραγματείας. ὑπὲρ τῶν οὐδετέρων διαθέσεων ἐπιγράψας, ἔτι δὲ μᾶλλον ἐπιγελάσονται καὶ τωθάσουσι καὶ ἐρήσονται περὶ τῶν ἀρρενικῶν καὶ θηλυκῶν ἐν ποίᾳ πραγματείᾳ διδάσκομεν, εἱλόμην ἐν τῷ νῦν ἐνεστῶτι λόγῳ διελθεῖν ὑπὲρ αὐτῶν. εἰ γὰρ ἀδύνατον μέν ἐστιν ἐκφυγεῖν τὴν τῶν ἐριστῶν τὴν γλωσσαλγίαν, ἔλαττον δ' ἐπηρεάσουσιν οὕτω πραξάντων, ἄμεινον ἴσως ἐστὶν οὕτω ποιεῖν. ἔτι δὲ μᾶλλον ἄν τις ἐξ αὐτῆς τῆς θεωρίας ἐπιγνώσῃ τὴν κοινωνίαν τῆς διδασκαλίας, εἰ προσέχοι τὸν νοῦν ἀκριβῶς τοῖς λεχθησομένοις, ὧν ἀρκτέον ἐνθένδε. τῆς ὑγιεινῆς ἐπιστήμης οὐ φαυλότατόν ἐστι μόριον ἡ περὶ τὰ γυμνάσια τέχνη. ταύτης δ' αὐτῆς οὐ σμικρὰ μοῖρα τὸ φυλάξασθαι κόπους. ἐδείχθη δ' ἐν τοῖς ἔμπροσθεν ὡς ὁμοία τίς ἐστιν ἥ τε προφυλακὴ τῶν ἐσομένων κόπων, καὶ ἡ ἐπανόρθωσις τῶν ἤδη γεγονότων. οὔκουν ἑτέρωθι μὲν ἐχρῆν ἐκδιδάσκειν ὅπως χρὴ φυλάττεσθαι κόπους, ἑτέρωθι δ' ὅπως εἰς τὸ κατὰ φύσιν ἐπανάγειν προσήκει τοὺς ἤδη γεγονότας. διὰ ταῦτα μὲν οὖν ἐν τῷ πρὸ τούτου γράμματι τρίτῳ τῆς ὅλης πραγματείας ὄντι, περὶ τῶν ἐπὶ γυμνασίων κόπων ὁ λόγος ἡμῖν ἐγένετο. μετὰ καὶ τοῦ τῶν ὁμοίων αὐτοῖς ἐπιμνησθῆναι διαθέσεων, ὧν ἔνιαί τινες ἐπὶ γυμνασίοις ἐγίγνοντο μάλιστα. νυνὶ δὲ πρῶτον μὲν ὑπὲρ αὐτῶν ἐροῦμεν, ἐπειδὰν ἄνευ γυμνασίων γίγνονται. δεύτερον δὲ, καὶ περὶ τῶν ὁμοειδῶν αὐτοῖς. ὁ μὲν οὖν ἐπὶ γυμνασίοις ἀμέτροις γιγνόμενος κόπος, ὑγιεινόν τε σύμπτωμά ἐστιν. ὁ δὲ τούτων χωρὶς, νοσῶδες. ὥστε καὶ Ἱπποκράτην δοκεῖν κάλλιστα εἰρῆσθαι. κόποι αὐτόματοι φράζουσι νούσους. ἡ μὲν οὖν ἑλκώδης αἴσθησις, σύμπτωμά ἐστι κοπῶδες. ἡ δ' αἰτία δι' ἣν αὕτη γίγνεται, διάθεσίς ἐστι κοπώδης. ἡ δὲ καὶ ταύτης αὐτῆς αἰτία, διττὴν ἔχει τὴν διαφοράν. ἤτοι κατ' αὐτὸ τοῦ ζώου τὸ σῶμα περιεχόμενον, καὶ ὀνομάζεται τηνικαῦτα προηγούμενον αἴτιον, ἢ μὴ δι' ὅλως ἐνυπάρχουσα, καὶ καλεῖται προκαταρκτικὸν αἴτιον. ὥστ' εἶναι μὲν τρία τὰ σύμπαντα γένη περὶ ὧν ἡμῖν ἐνέστηκε λόγος. τό τε σύμπτωμα τὸ κοπῶδες, καὶ τὴν διάθεσιν τὴν κοπώδη, καὶ τὴν αἰτίαν αὐτῆς. ἑκάστου δ' αὐτῶν ἰδίας τινὰς ὑπάρχειν διαφοράς. ἐν μὲν ταῖς αἰτίαις ὡς εἴρηται νῦν δὴ τὴν προηγουμένην καὶ τὴν προκατάρχουσαν. ἐν δὲ ταῖς διαθέσεσιν ὡς ἐν τῷ πρὸ τούτου λόγῳ δέδεικται, τὴν ἑλκώδη καὶ τὴν τονώδη καὶ τὴν φλεγμονώδη. καὶ μέντοι κἀν τοῖς συμπτώμασι τρεῖς τὰς αὐτὰς, ὀνομάζειν οὖν ἔξεστιν, εἰ βούλοιτό τις ἑτέρως. ὅτι δὲ πλείω τῶν εἰρημένων λέγειν τε καὶ ποιεῖν ἔξεστιν, ἀληθεύειν γε βουλομένοις, ὅτι πλείους διαφορὰς τῶν λελεγμένων. ὁ μὲν οὖν ἑλκώδης κόπος, ἀρκτέον γὰρ ἀπὸ τοῦδε, κινουμένοις αἴσθησιν ἀνιαρὰν, ὡς ἑλκουμένου φέρει τοῦ σώματος, ἤτοι ἢ κατὰ τὸ δέρμα μόνον ὅταν ᾖ μετριώτερον, ἢ κατὰ τὰς ὑποκειμένας αὐτῷ σάρκας, ὅταν γένηται σφοδρότερον, κατὰ τὸ συναμφότερον, ἐπειδὰν ἰσχυρότερον ᾖ. καὶ τοῦτο μέν ἐστι τὸ κοπῶδες σύμπτωμα. διάθεσις δὲ κοπώδης ἐφ' ᾗ γίνεται τὸ σύμπτωμα, δριμύτης ὑγρῶν ἐστι λεπτῶν καὶ θερμῶν, ὡς διαβιβρώσκειν τε καὶ κεντεῖν καὶ νύττειν τὰ σώματα. γίνεται δ' αὕτη ποτὲ μὲν, ἐπὶ ταῖς ἀμέτροις κινήσεσιν ὡς ἐν τῷ πρὸ τούτου δέδεικται λόγῳ. ποτὲ δ' ἐπὶ κακοχυμίᾳ τινὶ λεληθότως ὑποτραφείσῃ. καὶ τοὺς τοιούτους κόπους αὐτομάτους Ἱπποκράτης ὀνομάζει. τὸ δ' ἕτερον γένος τοῦ κόπου τὸ τονῶδες ὅταν αὐτόματον συνίσταται, ταῖς καλουμέναις πληθώραις ἕπεται. διατείνεται γὰρ ἐν ταύταις τὰ στερεὰ τοῦ ζώου μόρια, καὶ μάλιστα ἐν οἷς οἱ χυμοὶ περιέχονται. τὸ δὲ τρίτον τοῦ κόπου γένος τὸ φλεγμονῶδες ἐπὶ πληθώρᾳ τε ἅμα καὶ τῇ προειρημένῃ γίνεται κακοχυμίᾳ. οὐ γὰρ δὴ πᾶν εἶδος κακοχυμίας, ἀλλ' ἐκεῖνο μόνον ἐν ᾧ δριμύτης ἐστὶ δακνώδης, ἐργάζεται τὸν ἑλκώδη κόπον. οὐδ' οὖν οὐδ' αὐτὸ κατὰ τὰς φλέβας ἀναμεμιγμένη τῷ αἵματι. λανθάνει γὰρ αὐτῆς ἡ δύναμις τηνικαῦτα διαρρεούσης τε ἅμα καὶ νικωμένης ὑπὸ τῆς τοῦ αἵματος χρηστότητος. ἀλλ' ὅταν εἴς τε τὰς σάρκας καὶ τὸ δέρμα μεταληφθεῖσα μόνη στηριχθείη. τὴν ἑλκώδη διάθεσίν τε καὶ αἴσθησιν ἐπιφέρει. ὅσοι δὲ πλῆθος ἔκγονον ὑπάρχειν οἴονται τὸν κόπον τοῦτον, ὅτι γὰρ τοῦ τοιούτου πλήθους, ὃ δὴ καὶ πληθώδης αἴραν ὀνομάζουσι, τὸν τονώδη γὰρ κόπον ἐκεῖνον ἐργάζεται, ὅτι τοῦ τὴν δύναμιν βαρύνοντος. οὐ γὰρ δῆξις οὐδ' ἑλκώδης αἴσθησις, ἀλλ' ἤτοι βάρος τε καὶ δυσκινησία τοῦ τοιούτου πλήθους ἐστὶ συμπτώματα, τὴν ψυχικὴν βαρύνοντος δύναμιν, ὅταν ὡς πρὸς ταύτην ὑπάρχῃ πλέον. ἢ κακοσφυξίαι τινὲς, ὅταν πρὸς τὴν ζωτικήν. εἴρηται δ' ὑπὲρ αὐτῶν αὐτάρκως ἐν τῷ περὶ σφυγμῶν, ὥσπερ γε κἀν τῷ περὶ πλήθους βιβλίῳ τὰ γνωρίσματα τῆς φυσικῆς δυνάμεως εἴρηται βαρυνομένης ἅμα ταῖς τῶν ἄλλων ἀμφοτέρων. οὔκουν τὸ πλῆθος αἴτιόν ἐστι τοῦ τὴν ἑλκώδη φέροντος αἴσθησιν κόπου, ἀλλ' ἡ τῶν ἐν τῷ δέρματι καὶ τῇ σαρκὶ περιεχομένων ὑγρῶν δριμύτης. αὕτη γὰρ ἐπειδὰν μὲν ἡσυχάζουσα περιέχηται διαλανθάνει τὴν αἴσθησιν, εἰς κίνησιν δ' ἀφικομένη, παραχρῆμα γνωρίζεται. κίνησις δ' αὐτῇ πρώτη μὲν καὶ μάλιστ' ἐγγίνεται κατά τινας οἰκείους λόγους οὓς ἐξῆς ἐροῦμεν. ἑτέρα δὲ, κατὰ συμβεβηκός. ἐπειδὰν ἡμεῖς αὐτοὶ προελόμενοι κινῆσαι τι μέρος, ἢ καὶ σύμπαν τὸ σῶμα, σὺν ἐκείνῳ καὶ τὰς περιεχομένας ἐν αὐτῷ κινήσωμεν ὑγρότητας. ἀλλ' ἡ μὲν τοιαύτη κίνησις ἐλαχίστη ἐστὶ, καὶ τὴν κοπώδη μόνην αἴσθησιν ἐπιφέρει. ἡ δὲ σφοδροτέρα, ῥίγους ἐστὶν αἰτία. ἡ μέση δ' ἀμφοῖν φρίκης. ὅτι δ' οὐδὲν κωλύει κἂν θερμὸν ὑπάρχῃ τὸ αἴτιον, ῥῖγός τε καὶ φρίκην αὐτὸ ποιεῖν, ἐν

ταῖς τῶν συμπτωμάτων αἰτίαις ἀποδέδεικται. νυνὶ δ' ἀρκεῖ μόνον αὐτὰ τὰ κεφάλαια τῶν ἐν ἐκείνῳ τῷ λόγῳ δεδειγμένων, ὑπόθεσιν ποιήσασθαι τοῖς παροῦσιν. ὅτι ἐν τοῖς ἀθλητικοῖς σώμασιν ὑπογραφῇ περιττώματα δάκνοντα, κατὰ διττὸν τρόπον εἰς κίνησιν ἀφικνεῖται. καθ' ἕνα μὲν ὑπ' αὐτῶν τῶν αἰσθητικῶν σωμάτων ὠθούμενα, δύναμιν ἐχόντων ἀποκριτικὴν τῶν ἀλλοτρίων. καθ' ἕτερον δὲ ὑπὸ κινήσεως σφοδροτέρας, ἣν ἔκ τε τῶν γυμνασίων ἐπικτᾶται. τὰ μὲν οὖν ὑπόθερμά τε καὶ σηπεδονώδη περιττώματα κινηθέντα σφοδρότερον, οὐ φρίκην μόνον ἢ ῥῖγος ἐπιφέρει, ἀλλὰ καὶ πυρετὸν ἐξάπτει. τὰ δὲ ψυχρά τε ἅμα καὶ λεπτομερῆ, φρίκην μὲν καὶ ῥῖγος ἐπιφέρει, πυρετὸν δὲ οὐκ ἐξάπτει. προσεῖναι δέ τι καὶ πλῆθος ἀξιόλογον ἑκατέροις ἀναγκαῖον, εἰ μέλλοι ταῦτα ποιῆσαι, ὅσα δ' ἤτοι παντάπασιν ὀλίγα περιττώματα δάκνοντα τοῖς ἀθλητικοῖς ἐγγίνεται σώμασιν, ἢ πλείω μὲν ἐστίν, οὔπω δ' ἀκριβῶς δακνώδη, τὸν ἑλκώδη κόπον ἐργάζεται, καὶ δὴ καὶ λεκτέον ἡμῖν ὑπὲρ τούτων ἐστὶν ἐν τῷ παρόντι λόγῳ. τὰ γὰρ τοὺς πυρετοὺς ἐπιφέροντα, τῆς θεραπευτικῆς ἐστὶ πραγματείας, ἡ ἴασις δὲ ἡ μέν τις, εἰς κοινοὺς ἀμφοτέροις ἀνάγεται σκοπούς, ἡ δ' ἐστὶν ἑκατέρων ἴδιος, εἰρήσεται δὲ πρότερον ἡ κοινή. χρὴ τοίνυν εἴτε θερμὸν εἴτε ψυχρὸν εἴη τὸ περίττωμα, κινεῖν ἢ ἀλλοιοῦν αὐτό, δέχεται δ' οὐ πᾶν περίττωμα τὴν ἐκ τῆς φύσεως ἀλλοίωσιν, ὥσπερ οὐδὲ πᾶν ἔδεσμα πᾶσι τοῖς ζώοις, τὴν ἐν τῇ γαστρὶ πέψιν, ἀλλ' εἶναι χρὴ τινὰ συγγένειαν τῷ πεττομένῳ πρὸς τὸ πέττον. ὅταν οὖν ἀλλότριον ᾖ παντάπασιν, οὐδεμία μηχανὴ τοῦτο τὸν ἐκ τῆς φύσεως ἐπιδέξασθαι κόσμον, ἀλλὰ χρὴ κενοῦν αὐτὸ πειρᾶσθαι διὰ ταχέων, ὥσπερ γε καὶ τὰ κατὰ τὴν γαστέρα διαφθαρέντα τελέως, ἢ ἐμέσεσιν ἢ διαχωρήσεσιν ἐκκενοῦσθαι κράτιστον. οὐ μὴν ἐνδέχεται τὴν ἐν τῇ σαρκὶ καὶ τοῖς ἄλλοις σώμασιν ἀναπεπομένην κακοχυμίαν ἑτοίμως οὕτως ἐκκενοῦν, ὡς τὴν ἐν ταῖς αἰσθηταῖς εὐρυχωρίαις περιεχομένην. ἐνίοτε δὲ καὶ ἡ φύσις αὐτὴ τοῦ κάμνοντος οὐ προσίεται βοήθημα ταχέως ἐκκενῶσαι δυνάμενον. οὕτω δὲ καὶ ἄλλη τίς ἐστιν ὅτε διάθεσις ἐνθίσταται καὶ ἀπαγορεύει τὸν τοιοῦτον τρόπον τῆς κενώσεως, ὑπὲρ ὧν ἐφεξῆς εἰρήσεται. πρότερόν γε τὸ λεῖπον ἐν τῇ πρώτῃ διαιρέσει, προσθέντων ἡμῶν. οἱ μὲν γὰρ κοινοὶ σκοποὶ τῆς τῶν περιττωμάτων ἰάσεως εἴρηνται, κένωσίς τε καὶ ἀλλοίωσις. ἰδίως δ' ἑκατέρων προσθέντων ἡμῶν, οἱ μὲν γὰρ κοινοὶ σκοποὶ τῶν περιττωμάτων ἰάσεως εἴρηνται, κένωσίς τε καὶ ἀλλοίωσις. ἰδίως δ' ἑκατέρων προσθέντων ἡμῶν, οὐ γὰρ ἑνὶ τρόπῳ κενωτέον, οὐδὲ ἀλλοιωτέον, ἀλλὰ τὸν οἰκεῖον ἀεὶ τοῦ λοιποῦ ζητητέον. οἰκεῖος δὲ συλλήβδην εἰπεῖν ὁ διὰ τῶν ἐναντίων ἐστίν, ἐν μέρει δὲ καθ' ἕκαστον ἐναντίων. τὰ μὲν κεφάλαια τοῦ λόγου ταῦτα. χρὴ δ' ἐξηγήσασθαι πλατύτερον αὐτὰ καὶ τὴν οἰκείαν ἀπόδειξιν ἑκάστῳ προσθεῖναι, τὴν ἀρχὴν ἀπὸ τῆς ἑλκώδους διαθέσεως ποιησαμένους. ἐπεὶ τοίνυν ἐπὶ κακοχυμίᾳ δριμέων περιττωμάτων ὁ τοιοῦτος ἐγίγνετο κόπος, ἐπισκεπτέον πρότερον, εἴτ' ἐν τοῖς στερεοῖς μόνοις σώμασιν, εἴτε κἀν ταῖς κοιλίαις τῶν φλεβῶν ἡ κακοχυμία περιέχεται. γνώρισμα δ' οὐδὲν ἔχομεν ἐναργές, οὐδὲ σαφὲς ὑπὲρ τῶν ἐν ταῖς φλεψὶ περιττωμάτων, ὅτι μὴ κατὰ τὰ οὖρα μόνον, ἀλλὰ στοχάζεσθαι χρὴ διὰ τῶνδε. πρῶτον μὲν ἐπισκεπτώμεθα, εἴ τινι κέχρηται διαίτῃ τὸ κάμνον σῶμα. δεύτερον δ' εἰ καὶ φύσει κακοχυμίαν ἦν ἔθος ἀθροίζειν αὐτό. καὶ πρὸς τούτοις, εἰ αἱ συνήθεις ἐκκρίσεις ἐπέχονται αἱ φυσικαί, τέταρτον ἐπὶ τούτοις, εἰ γυμνασίοις, ἢ καθάρσεσιν, ἢ ἐμέσεσιν, ἢ αἰωρήσεσιν, ἢ χρήσεσιν αὐτοφυῶν ὑδάτων εἰθισμένον ἐκκενοῦν τὰ περιττά, ὠλιγώρησεν. ἐν μὲν οὖν τῇ διαίτῃ σκεπτέον εἰ ἀπεψίαι προηγήσαντο πολὺ πλείους τε, καὶ μείζους τῶν συνήθων, ἢ καὶ κακοχύμων ἐδεσμάτων ἐνεφορήσατο πλῆθος, ἢ οἶνον ἀντὶ μὲν παλαιοῦ γλεύκινον, ἀντὶ δὲ λεπτοῦ, παχύν, ἢ τεθαλαττωμένον ἔπιεν, ἢ καὶ παντάπασιν εἰς ὕδατος πόσιν ἐξ οἴνου μετῆλθεν, οὐχ ἅπαξ ἢ δὶς ἐφ' ἑκάστου τῶν εἰρημένων πλημμελήσας, ἀλλὰ συνεχῶς τε ἅμα καὶ χρόνῳ πολλῷ. δεύτερον ἐπισκεπτέον ὡς εἴρηται μή τις τῶν φύσει κακοχυμίαν ἑτοίμως ἀθροιζόντων ἐστὶν ὁ κάμνων ἄνθρωπος. ἐξευρήσεις δὲ τοῦτο πυνθανόμενος, εἰ ψωρώδης διάθεσίς ποτε, ἢ λεπρώδης, ἢ ἀλφώδης, ἢ κνισμώδης ἐπὶ πλέον αὐτῷ συνέπεσεν, ἢ ἐρυσίπελας, ἢ ἕρπης, ἢ ἐλέφας, ἢ ὀφίασις, ἢ ἀλωπεκίασις, ἢ φλύκταιναι πλείους, ἢ ἑλκώδης ἐξ ἀνάγκης, ἢ ἐπινυκτίδες, ἢ ὅλως ὁτιοῦν τῶν ἐπὶ κακοχυμίᾳ γεννωμένων τε καὶ αὐξανομένων συμπτωμάτων. ἐπὶ δὲ τούτοις ἐλέγομεν χρῆναι σκοπεῖσθαι, μὴ συνήθης τις ἔκκρισις ἐπίσχηται δι' ἐμέτων, ἢ δι' αἱμορροΐδος, ἢ σύριγγός τινος, ἢ γυναικείων καταμηνίων. εἶθ' ἑξῆς δὲ αὐτὸς ἐπιτηδεύων ἐκκαθαίρειν ἑαυτὸν ἀεί, πέπαυται νῦν. ἔνιοι μὲν γὰρ ὑπηλάτοις φαρμάκοις. ἔνιοι δέ, ἐμετηρίοις, ἢ οὐρητικοῖς, ἢ ἱδρωτικοῖς, ἢ χρήσεσι ὑδάτων αὐτοφυῶν, ἤτοι θειωδῶν, ἢ ἀσφαλτωδῶν, ἢ νιτρωδῶν ἐκκενοῦντες ἑαυτῶν τὰ περιττώματα, καθ' ἕκαστον ἔαρ, ἢ φθινόπωρον ὀλιγωροῦσιν ἐνίοτε. πολλοὶ δὲ ὡς εἴρηται καὶ γυμνασίων ἔθους ἀπέστησαν. ἔνιοι δὲ καὶ τρίψεως ἁπάσης, ἢ λουτρῶν, ἢ τῶν μετὰ τὸ βαλανεῖον ἐμέτων ἐπ' οἴνῳ γλυκεῖ, πρόδηλον δέ ἐστιν ὡς ὁ λόγος, οὐ μόνον τῶν τὴν ἀρίστην ἐχόντων κατασκευὴν ἐμνημόνευσεν, ἀλλ' ὑπὲρ τοῦ μηδὲν λείπειν τῷ καταλόγῳ τῶν τῆς κακοχυμίας αἰτιῶν, ἐφήψατο, καὶ τῶν ἀθροιζόντων φύσει κακοχυμίαν σωμάτων. ὑπὲρ ὧν ἐν ταῖς μοχθηραῖς κατασκευαῖς τοῦ σώματος ἐν τοῖς ἑξῆς ὑπομνήμασιν ἐπὶ πλέον ἐροῦμεν. ἐκ τούτων μὲν οὖν στοχάζεσθαι χρή, τοῦ ποσοῦ τῆς κακοχυμίας. ἴασιν δὲ τῷ μέτρῳ τῆς ποσότητος ἐξευρίσκειν ἀνάλογον. εἰ μὲν ὀλίγη παντάπασιν ὑπάρχει, καὶ κατ' αὐτὸ μόνον ἠθροισμένη τὸ δέρμα, μετριοτέραν. εἰ δὲ μείζων καὶ διὰ βάθους, ἰσχυροτέραν. εἰρήσεται δὲ προτέρα μέν, ἡ τῆς ἐπιεικοῦς τε καὶ παρὰ τῷ δέρματι μόνον. ἑξῆς δὲ καὶ ἡ τῶν σαρκῶν ἐμπεπλησμένων, καὶ τρίτη πρὸς αὐταῖς, ὅταν ὅλον ἀκάθαρτόν τε καὶ περιττωματικὸν ὑπάρχῃ τὸ αἷμα. ἔστω δή μοι πρῶτον μὲν ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν ἀνελθών, εὔχυμόν τινα φύσει νεανίσκον, ἔμπροσθεν μὲν ὑγιεινῶς διαιτώμενον κατὰ πάντα, νῦν δὲ διά τινα χρείαν ἀναγκαίαν, ἐν ὁδοιπορίᾳ πλέονι χρόνῳ διατετριφότα, μήτε γυμνάσασθαι τὰ συνήθη, μήτε λούσασθαι, κεχρῆσθαι δὲ καὶ πόμασι μοχθηροῖς, καὶ μετὰ τὸ ἄριστον, ἢ τὸ δεῖπνον, ἢ καὶ δι' ὅλης τῆς ἡμέρας ἐπ' ὀχήματος ἐνηνέχθαι, μηδ' ὕπνου τὰ πολλὰ καλῶς ἀπολαύσαντα. προκείσθω δὲ μηδὲν αὐτῷ, πεπλημμελῆσθαι περὶ τὴν ποσότητα τῶν προσενηνεγμένων, καὶ διὰ τοῦτο μὴ δι' ἀπεψίας τινὶ πεπτωκέναι τονδί. τὸν γὰρ τοιοῦτον ἄνθρωπον, οὐκ ἐνδέχεται κακοχυμίαν ἠθροικέναι πολλήν, οὔκουν οὐδὲ τῆς ἐπανορθώσεως δεῖται μακρᾶς, ἀλλὰ χρὴ γυμνάσιον ἀποθεραπευτικόν, οἷον ἐν τῷ πρὸ τούτου γράμματι δεδήλωμεν, εἴρηται δὲ καὶ περὶ τῆς ἀκολούθου διαίτης ἐν αὐτῷ. καὶ νῦν οὐδὲν ἔτι χρὴ μηκύνειν, ἀλλ' ανα

μνή-

μνῆσαι μόνον, ὡς ὁ σκοπὸς τῶν οὕτω διακειμένων σωμάτων κένωσίς ἐστι τῶν κατὰ τὸ δέρμα περιττωμάτων, ὡς ἂν καὶ τῆς διαθέσεως ἐν τούτῳ μόνῳ γεγενημένης. ὑποκείσθω δὴ πάλιν ὁ αὐτὸς ἄνθρωπος ἐπὶ τοῖς ἄλλοις τοῖς αὐτοῖς, ἀπεψίαις πλείοσι περιπεπτωκώς. ὑποκείσθω δὲ καὶ ἡ ἑλκώδης αἴσθησις αὐτῷ μὴ κατὰ τὸ δέρμα μόνον, ἀλλὰ καὶ διὰ βάθους, ὡς ὑπονοεῖν ὅλον ἐμπεπλῆσθαι τὸ σῶμα τῆς κακοχυμίας. οὐκέτι τὸν τοιοῦτον. οὔτ᾽ ἐπὶ γυμνάσιον ἄξομεν, οὔτ᾽ ἐπὶ κίνησιν ὅλως οὐδὲ μίαν. ἡσυχάσαι δὲ καὶ ὑπνῶσαι κελεύσαντες, ἐν ἀσιτίᾳ φυλάξομεν ὅλην τὴν ἡμέραν. εἶτ᾽ εἰς ἑσπέραν ἀλείψαντές τε λιπαρῶς καὶ λούσαντες εὐκράτῳ θερμῷ τροφὴν εὔχυμον καὶ ῥοφηματώδη δώσομεν ὀλιγίστην. οὐκ ἀφεξόμεθα δ᾽ αὐτὸν οὐδ᾽ οἴνου, συμπέττει γὰρ καὶ τοὺς ἡμιπέπτους χυμοὺς ὁ οἶνος εἴπερ τι καὶ ἄλλο, καὶ ἱδρῶτας καὶ οὖρα προτρέπει, καὶ ὕπνῳ συντελεῖ. δεόμεθά δ᾽ ἐπὶ τῶν οὕτως ἐχόντων, ὅσον μὲν ἤδη ἀκριβῶς μοχθηρόν ἐστι τῆς κακοχυμίας πεφθῆναι μηκέτι δυναμένης, ἱδρῶσί τε καὶ οὔροις ἐκκενῶσαι, τὸ δ᾽ οἷον ἡμίπεπτον ἔτι συμπέψαί τε καὶ χρηστὸν ἀπεργάσασθαι. τοῦτο δὲ κάλλιστα δι᾽ ἡσυχίας καὶ ὕπνου ἀποτελεῖται. εἰ μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις κατασταίη τὸ σύμπτωμα, πρὸς τὰ συνήθη κατ᾽ ὀλίγον ἐπαναγαγεῖν χρὴ τὸν ἄνθρωπον. εἰ δὲ καὶ κατὰ τὴν ἑξῆς ἡμέραν ἔτι παραμένοι, σκεπτέον ἤδη περὶ βοηθήματος ἰσχυροτέρου. καὶ μάλιστα εἰ διὰ τῆς νυκτὸς ἤτοι κοπώδης ἐπὶ μᾶλλον, ἢ ἀσώδης, ἢ ἄγρυπνος, ἢ ἐν ὕπνοις καὶ φαντασιώδεσι καὶ ταραχώδεσι γένοιτο. τοὺς γὰρ τοιούτους, σὺν μὲν ἰσχυρᾷ τῇ δυνάμει, δυοῖν θάτερον, ἢ φλεβοτομεῖν, ἢ καθαίρειν προσήκει, διορισαμένους, ὁποτέρου δεῖ μᾶλλον, ὡς ἐφεξῆς ἐρῶ. σὺν ἀσθενεῖ δὲ φλεβοτομεῖν μὲν οὐδαμῶς, ὑποκαθαίρειν δὲ μετρίως. ὁποῖαι δ᾽ εἰσὶν αἱ μέτριαι καθάρσεις, ἐν τοῖς ἑξῆς εἰρήσεται. πρότερον γε διορισαμένων ἡμῶν τὰ πρότερον. τῆς γὰρ δυνάμεως ἰσχυρᾶς οὔσης καὶ τοῦ κόπου παραμένοντος, ἐπισκεπτέον εἴτε μετὰ πλήθους αἵματος. ἢ ὠμῶν καὶ ἀπέπτων χυμῶν. εἴτε αὐτὴ καθ᾽ ἑαυτὴν μόνη γέγονεν ἡ τοῦ κόπου ἐργαζομένη κακοχυμία. εἰ μὲν γὰρ μετὰ πλήθους αἵματος, ἢ τοι φλεβοτομητέον, ἤ τι τῶν ἀναλόγων τῷδε πρακτέον. ἀνάλογα δέ ἐστι τά δέ, τοῖς μὲν αἱμορροΐδας ἐπεσχημένοις ἐκείνας ἀναστομῶσαι, ταῖς δὲ γυναιξί, τὰς διὰ μήτρας ἐκκρίσεις κινῆσαι. ὥσπερ γε καὶ οἷς τούτων οὐδέν ἐστιν, ἀποσχάσαι τὰ σφυρά. κἄπειθ᾽ οὕτως ὑποκαθαίρειν φαρμάκῳ, ὃ μάλιστα οἰκεῖον τῇ κακοχυμίᾳ. μόνης δὲ συστάσης τῆς κακοχυμίας ἄνευ πλήθους αἵματος, ἐπὶ τὴν οἰκείαν τῷ λυποῦντι περιττώματι κάθαρσιν ἔρχεσθαι χρή. λυπεῖ δὲ ποτὲ μὲν ἤτοι πικρόχολον, ἢ μελαγχολικόν, ἔστι δ᾽ ὅτε φλεγματῶδες, ἢ ἁλυκόν, ἢ ὀξύ. καὶ τούτων ἕκαστον ἢ ὀῤῥωδέστερον, ἢ παχύτερον, ἢ μέσον πως κατὰ τὴν σύστασιν. ὑπὲρ ὧν τῆς διαγνώσεως ἤδη λέγωμεν. εἰ μὲν ἅμα τισὶν ἐξανθήμασιν ἡ κοπώδης γένηται διάθεσις ἐξ ἐκείνων ἕτοιμον εὑρίσκειν, ὁποῖον τι τὸ εἶδος ἐστὶ τοῦ περιττώματος. εἰ δὲ τούτων χωρίς, ἐπὶ μὲν εὐχύμου φύσεως ἔκ τε τῶν προηγησαμένων ἐδεσμάτων καὶ τῶν ἄλλων ἁπάντων ὁπόσα συνέπεσεν αὐτῷ. κακοχύμου δ᾽ ὄντος φύσει, κἀντεῦθέν τι ληπτέον. εἰρήσεται δ᾽ ἐπὶ πλέον αὖθις ὑπὲρ τοιούτων κράσεων. νυνὶ δὲ περὶ τῶν ἄλλων λεκτέον. ἐξ ὧν καὶ αὐτῶν ἔνεστι τεκμήρασθαι. τὸ τῆς κακοχυμίας εἶδος. ἀργότερον μὲν γὰρ διῃτημένος φλεγματωδέστερος ἀθροίζεται θυμὸς ἐν πόνοις δὲ πλείοσιν, ἢ τοι πικρόχολος ἢ μελαγχολικός, ἐν θέρει μέν, πικρόχολος. ἐν φθινοπώρῳ δέ, μελαγχολικός. ἀλλὰ καὶ τῶν πόνων τὸ μῆκος ἐπισκεπτέον. ὅσῳ γὰρ ἂν ὦσι πολυχρονιώτεροι, τοσούτῳ μᾶλλον ἐπὶ τὸ μελαγχολικὸν ἐκτρέπονται. καὶ τοίνυν ὅσοι μὲν ἅμα πολλοῖς ἱδρῶσιν ἐγένοντο, παχύτερον ἐργάζονται τὸ περίττωμα. λεπτότερον δὲ οἱ χωρὶς ἱδρῶτος. ὥσπερ οἱ ἐν χειμῶνι, καὶ ὅλως ταῖς ψυχαῖς καταστάσεσι. συνεπισκεπτέον δ᾽ ἐν τῷδε δέ, καὶ περὶ τῶν οὔρων τι τοῦ πλήθους, ὥσπερ τε καὶ περὶ τῆς τῶν ἱδρώτων ποιότητος. οἱ μὲν γὰρ ὀξώδεις, οἱ δέ, ἁλμυρόν, οἱ δὲ οἷον βορβόρου τινὸς ἢ βρόμου σαφῶς ὄζουσιν. ἔνεστι δὲ τοῦτο καὶ διὰ τῆς στλεγγίδος ὁπότε λούοντα σκοπεῖσθαι, πολλάκις γοῦν ἐφάνη πικρόχολος ἀκριβῶς, οἷος ἐπὶ τῶν ἰκτεριώντων ἀποκρίνεται. διάγνωσις δ᾽ αὐτὴ ἡ ῥᾳδία, καὶ περὶ τῆς γεύσεως ἐστίν, ἐκ μόνης τῆς χροιᾶς. ὠχρὰ γὰρ ὁμοίως τῇ τοιαύτῃ χολῇ φαίνεται. πολλάκις γε μὴν ἐπὶ πόνοις ἰσχυροτάτοις καὶ καύμασι σφοδροτάτοις ἀκριβῶς ξανθὴ ὤφθη. καὶ μὲν δὴ καὶ μέσος ποτὲ καὶ μικτὸς ἐξ ἀμφοῖν. οἷον ὑπόξανθός τις, ὥσπερ καὶ ὁ τῆς χολῆς χυμός. ἔστι γὰρ καὶ τοῦτον ἰδεῖν ἐμέτοις τε καὶ διαχωρήμασιν, ἤ τοι γ᾽ ὠχρόν, ἢ ξανθόν, ἢ ἐξ ἀμφοῖν σύνθετον. ὁποῖος δ᾽ ἂν οὗτος ἐν τῷ σώματι περιέχηται, τοιοῦτον ἀναγκαῖον αὐτοῦ φαίνεσθαι καὶ τὸν ὀῤῥόν. ὁ μὲν οὖν ἱδρὼς τῶν καθ᾽ ὅλον τὸ σῶμα πλεοναζόντων χυμῶν ἐστι γνώρισμα. τὸ δ᾽ οὖρον ἐκείνων μόνον, ὅσοι περ ἂν ἐν τοῖς ἀγγείοις περιέχωνται. μηδὲν οὖν παραλείπειν ὅλως, ἀλλὰ καὶ τοὺς ἱδρῶτας ἐπισκεπτέον ὡς εἴρηται. νυνὶ δὲ καὶ ποτ᾽ αὐτὸν τὸν κάμνοντα κελεύειν αὐτοῦ ἀπογεύεσθαι πρὸς ἀκριβεστέραν διάγνωσιν. ὅπερ εἴωθεν ἔστιν ὅτε καὶ αὐτόματον γίνεσθαι παραῤῥυέντος εἰς τὸ στόμα τοῦ καταφερομένου πολλάκις, ἔκ τε τοῦ μετώπου καὶ τῶν τούτου μορίων. ἐπισκεπτέον δὲ καὶ τῶν οὔρων τήν τε σύστασιν ἅμα καὶ τὴν χρόαν. οὐ παραλειπτέον δέ, οὐδὲ τὰ ἐναιωρούμενα, οὐδὲ τὰ ὑφιστάμενα ἀνεπίσκεπτα τὰ τοιαῦτα σύμπαντα. δηλοῖ γὰρ ἀκριβῶς ὁποῖόν τι ἐν ἀγγείοις ἐστὶν αἷμα. χολώδους μὲν οὖν ὄντος, ἀναγκαῖον ἐστι καὶ τὸν ὀῤῥὸν αὐτοῦ χολώδη φαίνεσθαι καθ᾽ ἑκατέραν τῆς χολῆς ἰδέαν. ὁμοίως δ᾽ ἔτι καὶ φλεγματώδους ὑπάρχοντος. ὅταν μὲν οὖν ἀκριβῶς ἄπεπτον ὑπάρχῃ, λεπτὸν καὶ ὑδατῶδές ἐστι τὸ οὖρον, οὐθ᾽ ὑπόστασιν ἔχον, οὔτε ἐναιώρημά τι. ὑποπεπτομένου δέ, ταῦτα φαίνεται. καί τινες ἄνωθεν ἐφίστανται νεφέλαι λεπταί. καθάπερ καὶ ἡ καλουμένη γραῦς, καὶ ἐπίπαγος ἐπὶ τῶν ἀποψυχομένων ζωμῶν. εἰ δὲ θολερὸν οἷον καὶ τὸ τῶν ὑποζυγίων φαίνοιτο, δηλώσει μὲν ἐμπεπλῆσθαι τῶν καλουμένων ὠμῶν χυμῶν τὰς φλέβας, οὐ μὴν ἡσυχάζειν γε περὶ αὐτοὺς τὴν φύσιν ἀλλὰ πέττειν ἐῤῥωμένως. εἰ δὲ καὶ διακρίνοιτο ταχέως, τὸ ὑφιστάμενον λευκόν τε εἴη, καὶ λεῖον καὶ ὁμαλές, ὅσον οὔπω φήσει κρατήσειν ἁπάντων αὐτῶν τὴν φύσιν. εἰ δ᾽ οὐρησάντων μὲν εἴη καθαρόν, ἀναθολωθείη δ᾽ εὐθέως, ἐπιχειρεῖν τῇ πέψει τῶν ὠμῶν χυμῶν ἐνδείκνυται τὴν φύσιν. εἰ δὲ μετὰ πλείονα χρόνον, οὐκ εὐθύς, ἀλλ᾽ ὕστερον ἐπιχειρῆσαι. κοινὸν δ᾽ ἐπὶ πάντων οὔρων, θολερῶν ἔστω τοῦτο γνώρισμα, ἡ διάκρισις ἢ τοι ταχέως ἢ βραδέως ἢ μηδόλως γιγνομένη. εἰ μὲν οὖν ταχέως γίγνοιτο, καὶ τὸ ὑφιστάμενον εἴη λευκὸν καὶ λεῖον καὶ ὁμαλὲς ἰσχυροτέραν ἐνδείκνυται μακρῷ τὴν φύσιν ὧν πέττει χυμῶν. εἰ δ᾽ ἀγαθὴ μὲν ἡ ὑπόστασις, ἐν χρόνῳ δὲ γίγνοιτο πλείονι, καὶ τὴν φύσιν ἐν χρόνῳ πλείονι κρατήσειν τῶν χυμῶν ἐπαγγέλλεται. εἰ δ᾽ ἤτοι μὴ διακρίνοιτο παντάπασιν, ἢ σὺν μοχθηραῖς ὑποστάσεσιν, ἀσθενὴς ἡ φύσις ἐστί, καὶ δεῖται βοηθείας τινὸς εἰς τὸ πέψαι τοὺς χυμούς.

ὥσπερ δὲ τὰ οὖρα τὴν ἐν τοῖς ἀγγείοις χυμῶν ἐνδείκνυται διάθεσιν, οὕτως οἱ ἱδρῶτες καὶ τὰ ἄλλα τὰ περὶ τὴν σύμπασαν ἕξιν τοῦ ζώου φαινόμενα τῶν κατ᾽ ἐκείνην ἐστὶ δηλωτικά. θερμοτάτη μὲν γὰρ αἴσθησις σύνηθης ἐν αὐτῇ γίνεται τῶν θερμῶν ἐπικρατούντων χυμῶν. ψυχροτάτη δὲ, τῶν ψυχρῶν. καὶ λευκότεροι μὲν, ἐπὶ ταῖς τοῦ φλέγματος. ὠχρότεροι δὲ, ἐπὶ ταῖς τῆς χολῆς φαίνονται πλεονεξίαις. εἰ δὲ καὶ ἀκρατεστέρα ποτ᾽ εἴη, ξανθότεροι. τὸ γὰρ χρῶμα τῶν χυμῶν ἐστὶν, οὐ τῶν στερεῶν τοῦ ζώου μορίων, ὅταν γε μὴ ὑποχωρήσωσιν εἰς βάθος οἱ χυμοί, συμβαίνει δ᾽ αὐτοῖς τοῦτο, διὰ κρύος ἢ ῥῖγος ἢ πάθος ψυχικόν, οἷον φόβον ἢ λύπην ἰσχυρὰν, ἢ ἀρχομένην αἰδῶ. μηδενὸς δὲ τούτων παρόντος, οὐκ ἄν ποθ᾽ ὑπονοστήσειεν εἰς τὸ βάθος οἱ χυμοί. ὥσπερ οὐδ᾽ ἐπικλύσαιεν ἄν ποτε τὸ δέρμα βιαιότερον ὁρμήσαντες ἐπ᾽ αὐτὸ χωρὶς τοῦ παθεῖν τι τὴν ψυχὴν, ἢ θάλπος ἄμετρον ἔξωθεν περιστῆναι τὸ ζῶον. ὀργισθέντων οὖν ποτ᾽ ἰσχυρῶς ἢ θυμωθέντων ἢ τὴν ἐκ τῆς αἰδοῦς οἷον ἄμπωτιν τὴν τῶν χυμῶν ἀναφερομένην, μὴ προσέχειν τὸν νοῦν τῇ χρόᾳ. χωρὶς δὲ τοῦ βιάζεσθαι τὸ περιστάμενον ἔξωθεν ἤτοι ψυχρὸν ἢ θερμὸν ἤ τι πάθος, ὧν ἀρτίως εἴρηται γεγενημένον, ἀψευδής ἐστιν ἡ ἐκ τῆς χροιᾶς τοῦ ζώου διάγνωσις τῶν χυμῶν, ὡς οὖν τὸ μὲν λευκότερον ἑαυτοῦ γεγονὸς σῶμα τὸν φλεγματικὸν ἐπικρατεῖν ἐνδείκνυται χυμὸν, τὸ δ᾽ ὠχρότερον ἢ ξανθότερον τὸν χολώδη, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἐπὶ τὸ ἐρυθρότερον ἐκτροπὴ τοῦ κατὰ φύσιν, αἷμα πλεονάζειν. ἡ δὲ ἐπὶ τὸ μελάντερον τὴν μέλαιναν χολὴν δηλοῖ. δόξειε δ᾽ ἄν σοι ποτὲ καὶ οἷον μολίβδου τὴν χρόαν ἔχειν, καὶ αὖθις οἷον τις μίξις ἐοικέναι, λευκοῦ τε ἅμα καὶ πελιδνοῦ, καί ποτε τὸ πελιδνὸν αὐτὸ μόνον ἐπικρατεῖν, ἄνευ τοῦ λευκοῦ. τὰ τοιαῦτα οὖν χρώματα, τὸν ὠμὸν ἐπικρατεῖν ἐνδείκνυται χυμόν. ἐν εἴδει μὲν ὑπάρχοντα φλέγματος, ἧττον δ᾽ ὑγρὸν ὄντα τοῦ συνήθους ὀνομαζομένου φλέγματος, ὡς τὰ πολλὰ δὲ, ὅτε γλισχρότης αὐτῷ πρόσεστιν, ὡς εἴ γε προσήκει. τὸν τοιοῦτον χυμὸν ὁ Πραξαγόρας ὑαλώδη καλεῖ, ψυχρὸν μὲν ἱκανῶς ὑπάρχοντα παχύτερον, δ᾽ ἧττον ὄντα, τοῦ κατ᾽ ἐξοχὴν ὠμοῦ προσαγορευομένου. κοινοὶ μὲν γὰρ οἱ τοιοῦτοι χυμοὶ λευκοί τε καὶ ὠμοὶ πάντες εἰσί, προσαγορεύεται δ᾽ αὐτῶν ἄλλος ἄλλῃ προσηγορίᾳ. καὶ οὐ τοῦ νῦν ἐνεστῶτος καιροῦ διορίσασθαι πάντας αὐτούς. μόνου γὰρ εἰς τὰ παρόντα τοῦ κοινῇ πᾶσι συμβεβηκότος δεόμεθα, τοῦ μηδέπω κατειργάσθαι τελέως αὐτοὺς ὑπὸ τῆς φύσεως, ἀλλ᾽ ἔθ᾽ ὑπάρχειν ὠμούς. ἐν μεθορίῳ γάρ ἐστι τὸ αἷμα τῶν γε χολωδῶν χυμῶν, καὶ τούτων, ὧν τὸ γένος ἑνὶ προσρήματι καλεῖν ἔξεστι, ἢ ὠμὸν χυμὸν ἢ φλέγμα. ἐκεῖνοι μὲν γὰρ ὑπὲρ κατεργασθέντος ἀποτελοῦνται τοῦ αἵματος, οὗτοι δ᾽ οὐδέπω γεγονότος. ἐστὶ δ᾽ ἑκατέρων ἄπειρος μὲν ἡ κατὰ μέρος διαφορὰ, διώρισται δέ πω ἤδη πρὸς τῶν περὶ τὰ τοιαῦτα δεινῶν, εἴδεσι † δυσαριθμήτοις, ὧν οὐδ᾽ αὐτῶν ἀναγκαῖόν ἐστι μεμνῆσθαι νῦν ἁπασῶν, ἀλλ᾽ ἀρκεῖ μόνον εἰς ἓν ἀγαγεῖν τὸ κεφάλαιον ὅπερ οἷον σκοπόν τινα ποιήσασθαι προσῆκον τῶν πρακτέων. ἐπειδὴ γὰρ οἱ μέν τινες εἰσὶ περὶ ἀκριβῶς αἱματωθῆναι τὴν τροφὴν οἷον ἡμίπεπτοί τινες, οἱ δ᾽ ἄπεπτοι παντάπασιν, οἱ δ᾽ ὀλίγου δέοντες αἵματος ἰδέας, ἕτεροι δ᾽ ἔσχατοι τῆς αἱματώσεως, ἀμετρίᾳ θερμότητος ἑπόμενοι, καὶ τούτων αὐτῶν οἱ μὲν, ὀλίγου ἀποκεχωρηκότες αἵματος, οἱ δὲ, πλέον, οἱ δὲ, πλεῖστον. ἐπὶ μὲν τῶν ὀλίγου ἀπεχόντων, ἐφ᾽ ἑκατέρῳ θαῤῥοῦντι χρῆσθαι φλεβοτομίᾳ, ἐπὶ δὲ τῶν πλέον, εὐλαβέστερον, ἐπὶ δὲ τῶν πλεῖστον, οὐδ᾽ ὅλως. συνεπισκοπεῖσθαι δὲ πειρᾶσθαι, καὶ τὸ ποσὸν ἐν αὐτοῖς οἷον εἰ οὕτως ἔτυχεν, ἂν μὲν ὀλίγον ὑπάρχῃ τὸ χρηστὸν αἷμα, πλεῖστος δ᾽ ἄλλος τις χυμὸς, ἀφίστασθαι τῆς φλεβοτομίας. ἂν δ᾽ οὗτος μὲν ὀλίγος ᾖ, δαψιλὲς δ᾽ ὑπάρχῃ τὸ αἷμα θαῤῥούντως χρῆσθαι ταῖς φλεβοτομίαις. εἶθ᾽ οὕτως ὡς εἴρηται πρόσθεν ὑπάγειν γαστέρα πρός τε τὸ πλῆθος ἀφορῶντα καὶ τὴν ἰδέαν τοῦ πλεονάζοντος χυμοῦ. εἰ δέ τις ἤτοι δι᾽ ἡλικίαν ἢ διὰ δειλίαν οὐκ ἐθέλοι προσέχειν ἑαυτὸν τῷ ἰατρῷ πρὸς οὐδένα τρόπον αἵματος ἀφαιρέσεως, ἐπὶ κάθαρσιν ἰσχυροτέραν ἄγειν αὐτόν. εἰ δὲ καὶ ταῦτα ὑποπτεύοι, δι᾽ ἑτέρων ἐκκενοῦν τὸ περιττόν, ἐπὶ μὲν οὖν τῆς ὑποκειμένης ἐν τῷ λόγῳ φύσεως οὐδὲν χαλεπὸν ἐξευρεῖν ἑτέρας κενώσεις, ἐπ᾽ ἄλλων δὲ, μετὰ διορισμῶν ἀκριβέστερον ἐξευρίσκειν αὐτὰς προσήκει, ὃς αὖθις ἐροῦμεν, ἐπειδὰν πρότερον ὑπὲρ τῆς εὐχύμου φύσεως εἴπωμεν. ὑποκείσθω γοῦν ὁ τοιοῦτος ἄνθρωπος ἐπὶ μοχθηρᾷ διαίτῃ κοπώδης γεγενημένος, εἶτε ἐξ ὧν εἰρήκαμεν σημείων, ἐν μὲν τῷ φλεβώδει γένει τῶν ἀγγείων ἐμφαινέσθω τὸ πλῆθος αὐτῷ χυμῶν ἡμιπέπτων, ἐν δὲ τῷ περὶ ὅλῳ σώματι τούτων δὴ τῶν δακνωδῶν οἷς ὁ κόπος ἕπεται, συνηυξήσθω δέ πως αὐτῷ, καὶ τὸ αἷμα. μάλιστα μὲν οὖν ὡς εἴρηται ἐχρῆν τοῦ αἵματος ἀφελόντα, καθῆραι τοὐντεῦθεν ἐκεῖνον τὸν χυμὸν, ὃς ἂν ἐπικρατεῖν φαίνηται μὴ προσιεμένου δὲ τὴν τοῦ αἵματος ἀφαίρεσιν, αὐξῆσαι τὴν κάθαρσιν. εἰ δὲ μηδ᾽ ἕτερον ὑπομένοι σκοπεῖσθαι τὴν ἑτέραν ὁδὸν, ἣ μάλιστ᾽ ἄν τις εἰ καὶ μὴ διὰ ταχέων, ἀλλ᾽ ἐν χρόνῳ γε πλέονι πρὸς τὴν ἀρχαίαν τοῦ σώματος ἕξιν ἐπανάγοι τὸν ἄνθρωπον. ἐπεὶ οὖν οἱ πρῶτοι δύο σκοποὶ τῆς ἐπανορθώσεως ἐν ἁπάσαις ταῖς τοιαύταις διαθέσεσιν εἰσὶ πέψις μὲν τῶν ἀπέπτων, ἢ καὶ ἡμιπέπτων χυμῶν, ὁπόσοι πρὸς τοῦ αἵματος γεννῶνται. κένωσις δὲ τῶν δριμέων τε καὶ δακνωδῶν, ὁπόσοι δεύτεροί τ᾽ εἰσὶ καὶ ὕστεροι τοῦ αἵματος, ἀπέχειν μὲν αὐτοὺς χρὴ κινήσεως ἁπάσης ἰσχυρᾶς, ἀτρέμας δ᾽ ἀλείφοντας καὶ ἀνατρίβοντας ἐλαίῳ, λούειν ὅτι μάλιστα προσηνεστάτοις λουτροῖς. εἶτ᾽ ἐφ᾽ ἡσυχίας τε καὶ ἀσιτίας διάγειν. εἰ δ᾽ οἷόν τ᾽ εἴη καὶ ὕπνου. εὖ εἰδότας ὡς οὐδὲν οὕτω πέττει μὲν τὰ πεφθῆναι δυνάμενα, διαφορεῖ δὲ τοὺς μοχθηροὺς χυμοὺς, ὡς ὁ ὕπνος. μετὰ βαλανεῖον ὅταν οὖν ὡς ὀλίγον ἔμπροσθεν εἴρηται τῇ πρώτῃ τῶν ἡμερῶν ἀποδρασθέντες εἰ καθίσταται ὁ κόπος ῥᾳδίως ὁμοίως ἐνοχλούμενον ὁρῶμεν τὸν ἄνθρωπον, ἐπί τε λουτρὸν ἄγειν αὐτόν. καὶ τῇ δευτέρᾳ τῶν ἡμερῶν, ἡσυχάζειν τε καὶ ἀσιτεῖν ἀναγκάζειν. ὡς εἰ καὶ τὸ δεύτερον ἔτι τε καὶ ῥῖγος γνῶντες, λοῦσαι νῆστιν, ἡσυχίᾳ τε καὶ ὕπνῳ τὰ μεταξὺ τῶν βαλανείων διαλαμβάνοντα. συντελεῖ δ᾽ εἰς τὸν ὕπνον οὐχ ἥκιστα καὶ αὐτὸ τὸ βαλανεῖον αὐτοῖς. ὑπνωδέστεροι μὲν οἱ λουσάμενοι γίνονται πάντες, εἰ μηδὲν ἄλλο γε καὶ διακωλύσει μεῖζον. ὥστε σοὶ τὸν ὕπνον αἴτιόν τε καὶ σημεῖον ἀγαθὸν γίγνεσθαι, τῆς ἐλπιζομένης ὠφελείας. ὥσπερ γε καὶ τὸ μὴ δυνηθῆναι καθεύδειν ἐπὶ τοῖς βαλανείοις, οὐκ ἀγαθὸν αἴτιον ἅμα καὶ σημεῖον. ὡς τὰ πολλὰ μέντοι καὶ τῶν πλεοναζόντων χυμῶν ἐξ ὕπνου τε καὶ ἀγρυπνίας ἔνεστι λαβεῖν διάγνωσιν. ἐπὶ μὲν γὰρ τοῖς ψυχροῖς τά τε κώματα καὶ οἱ μακρότεροι τῶν ὕπνων. ἐπὶ δὲ τοῖς θερμοῖς καὶ δακνώδεσιν ἀγρυπνία, καὶ εἰ καθυπνώσειέ γε ποτέ, φαντασιώδεις τε καὶ θορυβώδεις ὕπνοι ὑποπίπτουσιν, ὡς ἐξανίστασθαι ταχέως αὐτούς. ὥσπερ δὲ κατὰ τὴν πρώτην ἡμέραν, οὕτω καὶ κατὰ τὴν δευτέραν ἐλάχιστά τε καὶ ἁπλᾶ ῥοφήματα προσοίσομεν αὐτοῖς. τὸ μὲν γὰρ πλείω διδόναι τοῖς κενώσεως δεομένοις, ἄντικρυς ἐναντίον. τὸ δ᾽ αὖ μηδόλως τρέφειν, ἀσῶδές ἐστι καὶ κακωτικὸν τοῦ στο-

† ἀλ. ἀναρι-θαι.

πάχους, καὶ τῆς δυνάμεως καταβλητικόν, καὶ τῆς κακοχυμίας αὐξητικόν. ἐλάχιστον οὖν αὐτοῖς διδόναι, μάλιστα μὲν εἰ οἷόν τε, χυλὸν πτισάνης ἁπλῶς ἠρτυμένον. εἰ δὲ μή, ἀλλὰ τοῦ χόνδρου τὸν αὐτὸν τρόπον ἠρτυμένον τῇ πτισάνῃ, ὀλίγον ὄξους ἔχοντος, καὶ μάλιστα ὅταν ὠμῶν πλῆθος ὑποπτεύωμεν, ἢ ἐν ταῖς φλεψὶν, ἢ καθ' ὅλον ὑπάρχειν τὸν ὄγκον. εἰ γὰρ μηδὲν ὅλως ὄξους ὁ χόνδρος προσλάβοι, γλισχρότερος ἐστὶν, ἢ πρέπει τοῖς παροῦσιν, ὥστ' ἐμφράξει μᾶλλον, οὐ διαῤῥύψει τοὺς πόρους, οὗ μάλιστα χρῄζουσιν ἐπὶ τοῖς παχέσι καὶ γλίσχροις χυμοῖς, οἷοί περ εἰσὶ τοὐπίπαν οἱ φλεγματώδεις ἅπαντες. εὔχυμος μὲν οὖν ἐστι, καὶ διὰ τοῦτο κακοχυμίας ἐπικρατητικός. ἀλλ' εἰ μὴ κολασθείη τὸ γλίσχρον ἐν αὐτῷ, προσλαβὼν ὄξους τε καὶ πράσου τὸ μέτριον, ἐμφράξει τε καὶ θρέψει μειζόνως, ἢ συμφέρει τοῖς ἐνεστῶσι. διὰ τοῦτ' ἄρα καὶ ὁ τῆς πτισάνης χυλὸς ἀμείνων ἐστὶν εἰς τὰ τοιαῦτα, καὶ συμμέτρως τρέφων καὶ μηδαμόσε ἐπὶ τὰς στενωτέρας ὁδοὺς ἰσχόμενος ἀλλ' αὐτός τε διερχόμενος παραποῤῥύπτων τε καὶ διαῤῥύπτων τοὺς πόρους ἅμα τῷ τέμνειν τε καὶ διαλύειν ὁπόσον ἂν ἐν τοῖς ἡμιπέπτοις τε καὶ ἀπέπτοις χυμοῖς ὑπάρχει παχύ. διὰ ταῦτα δὲ, καὶ τὸ μελίκρατον ἐπιτήδειόν ἐστιν αὐτοῖς, ὀξύμελί τε καὶ ἀπόμελι, καὶ πέπερι, καὶ ζιγγίβερι, καὶ πάνθ' ὅσα τέμνει τε καὶ διαλύει τὰ παχέα, χωρὶς τοῦ κακοχυμίαν ἐργάζεσθαι. λεχθήσεται δὲ ὑπὲρ τῆς ὕλης αὐτῶν ἐπὶ πλέον ἐν τοῖς ἑξῆς. εἰς δὲ τὸν ἐνεστῶτα λόγον ὥσπερ τινὰ παραδείγματα τά τε προειρημένα λελέχθω μοι, καὶ τὰ μέλλοντα λεχθήσεσθαι. ὀσπρίων μὲν γὰρ ἐπιτηδειοτάτη ἡ πτισάνη. λαχάνων δ' ἡ θριδακίνη. τῶν δ' ἰχθύων, οἱ πετραῖοι. καὶ τῶν ἄρτων οἱ κριβανῖται καὶ ζυμῖται, καὶ καθαροὶ συμμέτρως. τῶν δ' ὀρνίθων οἱ ὄρειοι. τῶν δὲ ποτῶν, ὀξύμελι, μελίκρατον, οἶνος λεπτὸς καὶ λευκός. ἁπλῶς δ' εἰπεῖν ὅσα περ εὔχυμά τ' ἐστὶ, καὶ ῥυπτικὰ, καὶ μὴ γλίσχρα, μὴ δὲ παχύχυμα, μὴ δ' ἱκανῶς πολύτροφα. τὰ δ' οὐρητικὰ προσαγορευόμενα ἐπὶ τὸν ἐνεστῶτα καιρὸν οὐκ ἐπαινῶ, καὶ μάλιστα ὅσα σφοδρότερα ἐκθερμαίνει τε καὶ κατατήκει τὸ αἷμα. τῷ γὰρ μέλλοντι καλῶς πεφθήσεσθαι, τοσαύτης ταραχῆς οὐδέπω χρεία. ταῦτα τε οὖν ἅπαντα πρακτέον οὕτως ἐστὶν ἐπὶ τὴν δευτέραν ἡμέραν, οὐχ ἥκιστα δὲ ἐπὶ τὴν τρίτην τε καὶ τὴν τετάρτην. ἔτι τε πρὸς τούτοις, εἰ πραΰνοιτο μὲν ἡ κοπώδης αἴσθησις, εὔχρουν δὲ γίγνοιτο τὸ σῶμα, καὶ ὕπνοι χρηστοὶ, καὶ οὖρα πέπονα, τρίψαι μὲν ἐπὶ πλέον αὐτὸν ἀποτολμήσαντα, γυμνάσαι δ' ὀλίγον. πράξαντος γὰρ οὕτως, εἰ μηκέτι μηδὲ μία κοπώδης αἴσθησις ἐπιγίγνοιτο, πρὸς τὰ συνήθη γυμνάσια διὰ ταχέων ἐπανάγειν. εἰ δ' ἐπιφανείη τι τῶν ἐμποδὼν ἤτοι συμπτωμάτων, ἢ σημείων, αὖθις οὖν καὶ σὺ πρὸς ἐκεῖνο βλέπων, ἐξαλλάττειν πειρῶ τὰ κατὰ μέρος. εἰ μὲν οὖν τῆς κοπώδους αἰσθήσεως ἀνάμνησις γένοιτο μόνης, ἐπὶ τοῖς ἄλλοις ἅπασι σημείοις ἀγαθοῖς διαμένουσιν, ἀποθεραπευτικοῖς ἐπανορθοῦμεν τὸν κόπον. εἰ δὲ ταραχθείη μὲν τὰ σημεῖα καὶ οἷον χυθείη, μὴ παρείη δ' ὁ κόπος, ἐν ἡσυχίᾳ πλέονι διαφυλάττειν τὸν ἄνθρωπον. εἰ δ' ἄμφω συνέλθη, διὰ τῆς αὐτῆς ἐπιμελείας ἄγων, ἢ χρώμενος ἔμπροσθεν εἰς τοσοῦτον προσήγαγες ὠφελείας αὐτὸν, ὡς τολμῆσαί τι καὶ περὶ γυμνασίων. οὕτω μὲν ἐπανορθοῦσθαι προσήκει τὴν εἰρημένην διάθεσιν. εἰ δὲ τὰ ἄλλα μὲν ταῦτα εἴη, κατὰ τὸν αὐτὸν ἄνθρωπον, ὑπάρχει δ' αὐτῷ κοπώδει σώματι, τὸ μὲν αἷμα τὸ χρηστὸν ὀλίγον, οἱ δ' ὠμοὶ πάμπολλοι, μήτε φλεβοτομεῖν, μήτε καθαίρειν μήτε γυμνάζειν, ἀλλὰ μὴ δὲ κινεῖν ὅλως, μὴ δὲ λούειν. αἱ μὲν γὰρ φλεβοτομίαι, τὸ μὲν χρηστὸν ἐκκενοῦσι, τὸ δὲ μοχθηρὸν ὅπερ ἐν ταῖς πρώταις μάλιστα φλεψὶ ταῖς καθ' ἧπάρ τε καὶ μεσάραιον ἀθροίζεται πρὸς ὅλον ἐπισπῶνται τὸ σῶμα. κάθαρσις δὲ ἐπὶ τῶν τοιούτων, στρόφους τε καὶ δήξεις ἐργάζεται, καὶ λειποψυχίας σὺν τῷ μὴ κενοῦν ἀξιολόγως. οἱ γὰρ ὠμοὶ χυμοὶ πάντες ἀργοὶ καὶ δυσκίνητοι διὰ τὸ πάχος τε καὶ τὴν ψυχρότητα. προσεμφράττουσιν οὖν ἁπάσας τὰς στενὰς ὁδοὺς, δι' ὧν χρὴ τὸ κενούμενον ἐν ταῖς καθάρσεσιν ἐπὶ τὴν γαστέρα παραγίνεσθαι, καὶ διὰ ταύτην τὴν αἰτίαν, οὔτ' αὐτοὶ κενοῦνται, καὶ τοὺς ἄλλους ἐμποδίζουσι. τοῦτο μὲν οὖν ὑφ' ἱπποκράτους διὰ βραχυτάτου παρῄνηται ῥήματος εἰπόντος. πέπονα φαρμακεύειν μὴ ὠμά. διὰ δὲ τὴν αὐτὴν αἰτίαν οὐδὲ γυμνάζειν οὐδὲ κινεῖν ὅλως, ἀλλ' οὐδὲ λούειν προσήκει, τοὺς ἐν ταῖς πρώταις φλεψὶ τὸ πλῆθος τῶν ὠμῶν χυμῶν ἔχοντας. ἅπασαι γὰρ αἱ τοιαῦται κινήσεις, εἰς ὅλον τὸ σῶμα περιάγουσι τοὺς χυμούς. φυλακτέον οὖν αὐτοὺς ἐν ἡσυχίᾳ πάσῃ, καὶ δοτέον ἐδέσματά τε καὶ ποτὰ καὶ φάρμακα λεπτύνοντα, καὶ τέμνοντα, καὶ κατεργαζόμενα τὸ πάχος τῶν χυμῶν, ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς. οἱ γὰρ θερμανθέντες ἰσχυρότερον χυμοὶ, πανταχόσε τοῦ σώματος ἴασιν. διαιτᾶν οὖν αὐτοὺς ἐπ' ὀξυμέλιτι μάλιστα βραχύ τι καὶ πτισάνης ἐνίοτε καὶ μελίκρατον διδόντα, καὶ γὰρ φέρουσι τὴν λεπτὴν δίαιταν, εἴπερ τινὲς ἄλλοι, καταχρώμενοι τῷ πλήθει τῶν ὠμῶν χυμῶν εἰς τροφὴν τοῦ σώματος ἐν τῷ κατὰ βραχὺ πέττειν αὐτούς. ἐπεὶ δὲ καὶ τὸ ὑποχόνδριον ἅπασι τοῖς τοιούτοις ἐπήρτηται καὶ διαπεφύσηται, καὶ ῥᾳδίως ὅτι τὴν ἂν προσάρωνται, πνευματοῦται, βέλτιον ἂν εἴη διδόναι σὺν τῇ τροφῇ πεπέρεως μακροῦ, καὶ γὰρ διαλύει τὴν παχύτητα φυσώδους πνεύματος. ἀπωθεῖται δὲ καὶ πρὸς τὴν κάτω γαστέρα τὰ καθ' ὑποχόνδριον ἀργῶς συνεστῶτα, καὶ τῇ πέψει τῶν ληφθέντων συναίρεται κατὰ τὸν αὐτὸν λόγον ἁπάντων πεπέρεων. εἰ δὲ μὴ παρείη τοῦτο, τῷ λευκῷ χρηστέον, ἔστι γὰρ στομάχου τονικώτερον ἀμφοῖν τοῖν ἄλλοιν πεπερέοιν. εἰ δὲ μὴ τοῦτο παρείη, χρῆσθαι τῷ καλλίστῳ μέλανι, τοῦτο δὲ, τὸ βαρύσταθμον. ἄμεινον δὲ καὶ τῷ διοσπολιτικῷ προσαγορευομένῳ χρῆσθαι φαρμάκῳ. συντίθεται δὲ διττῶς, ἐνίοτε μὲν ἐξ ἁπάντων ἴσων κυμίνου τε καὶ πεπέρεως, καὶ πηγάνου, καὶ νίτρου, καὶ ἔστιν οὕτω μᾶλλον ὑπακτικώτερον γαστρός. ἐνίοτε τῶν μὲν ἄλλων ἴσον ἐκ τούτου μίγνυται, τοῦ νίτρου δ' ἥμισυ. κάλλιον, δὲ κύμινον μὲν ἐμβάλλεσθαι τὸ καλούμενον αἰθιοπικὸν, πεπέρεως δὲ ἤτοι τὸ μακρὸν, ἢ τὸ λευκόν. ἐμβρέχεσθαι δὲ τὸ κύμινον ὄξει δριμυτάτῳ. κἄπειτ' εὐθέως τριβέσθω, ἢ πρότερον φρυγέσθω μετρίως ἐν ἀγγείῳ κεραμέῳ, τελέως ὠπτημένῳ κατὰ τὴν κάμινον. ὅσα γὰρ ἐνδεῶς ἐξηράνθη, πηλώδη μᾶλλον ἐστὶν ἢ κεράμεια, καὶ τοῖς φαρμάκοις τι προστρίβεται τῆς ἑαυτῶν ποιότητος. ἔστω δὲ τὰ τοῦ πηγάνου φύλλα προανεξηραμμένα συμμέτρως, εἰ μὲν γὰρ ἐπὶ πλέον ἀναξηρανθείη, δριμέα τε γίνεται καὶ πικρὰ, καὶ περαίτερον τοῦ προσήκοντος θερμὰ, μηδόλως δὲ προξηρανθέντα, περιέχει τινὰ περιττωματικὴν ὑγρότητα, μηδέπω κατειργασμένην ἀκριβῶς, δι' ἣν οὐ γίνεται παντάπασιν ἄριστα. τούτοις τέσσαρσιν ἐνίοτε μὲν ἀναμίγνυται μέλι προαπηφρισμένον, ἐνίοτε δ' οὐδὲν, ἀλλὰ μόνα χωρὶς τοῦ μέλιτος ἀποτίθενται καὶ πτισάνης ἐμβάλλεται χυλῷ, καὶ οὕτω περ ἂν ἄλλῳ τῶν ἐδεσμάτων, μάλιστα πρέπειν δοκεῖ. λαμβάνεται δὲ καὶ καθ' ἑαυτὸ τὸ φάρμακον τοῦτο, πρὸ τροφῆς τε καὶ μετὰ τροφήν. καὶ ἐστὶ κάλλιστον ἐν τῇ τοιαύτῃ χρήσει τὸ

μέλι μεμιγμένον ἀκριβῶς ἀπηφρισμένον, τοῦτο γοῦν ἀφυσότατόν ἐστιν. ἔστω δὲ δηλονότι καὶ αὐτὸ τὸ μέλι κάλλιστον, εἴπερ ἀφυσότατόν τε καὶ τμητικώτατον ἔσεσθαι μέλλοι τὸ φάρμακον. ἐπιτήδειον δὲ τοῖς οὕτω διακειμένοις ἐστὶ, καὶ τὸ διὰ τριῶν πεπέρεων, ὅταν μὴ πάνυ φαρμακῶδές τε καὶ ποικίλως σκευασθῇ. καθάπερ οἱ πολλοὶ τῶν ἰατρῶν συντιθέασιν αὐτὸ, δίκην καρυκείας τινὸς, ἢ σύος ἀγρίου πρὸς δὴ τούτων τῶν θαυμασίων ὀψοποιῶν ἐσκευασμένον. ὥστ' ἔργον οὐ σμικρὸν ὑπάρχει τοῖς ἰατροῖς ἢ τοῖς προσαιρουμένοις αὐτὸ τὸ ἐπεμβεβλημένον φάρμακον καταπέψαι τὸ ἄμι, καὶ τὸ σέσελι, καὶ τὸ λιβυστικὸν, ὅσα τ' ἄλλα τοιαῦτα. διαγινώσκεται γοῦν λαμβανόντων ὠμὰ καὶ ἀμετάβλητα μέχρι πλείστου κατὰ τὴν γαστέρα μένοντα. ταῦτά γε οὖν ἀφελεῖν χρὴ τοῦ φαρμάκου, καὶ προσέτι τὸ ἐλένιόν τε, καὶ τὸν τῆς νάρδου στάχυν. ὡς δὲ ἔνιοι συντιθέασι καὶ τὴν κασίαν. ἔχειν δ' ἐσκευασμένον ἤτοι μὲν διττὸν, ὡς ἡμεῖς εἰώθαμεν. ἁπλοῦν μὲν τὸ ἕτερον ὅπερ ἐπί τε τῶν ἀπεπτηκότων χρὴ διδόναι, καὶ τῶν πρόσφατον ψύξιν ἐχόντων κατὰ γαστέρα, καὶ φλεγματώδη χυμόν. ἕτερον δὲ φαρμακῶδες, ᾧ μάλιστα ἐπὶ τῶν ἀπὸ τῆς κεφαλῆς εἰς τὸν θώρακα ῥευμάτων χρώμεθα. ἀλλὰ τοῦτο μὲν, ὅπως χρὴ σκευάζειν αὖθις εἰρήσεται. τὸ δ' ἁπλοῦν, ᾧ καὶ πρὸς τὸ πλῆθος τῶν ὠμῶν τῶν κατὰ τὰς πρώτας φλέβας χρώμεθα, τοιόνδ' ἐστίν. εἰς πεντήκοντα δραχμὰς ἑκάστου τῶν τριῶν πεπέρεων, ἀρκεῖ μιγνύειν, ἀνίσου τε καὶ θύμου, καὶ ζιγγιβέρεως ἑκάστου δραχμὰς ὀκτώ. τὸ μὲν ἁπλούστατον τοῦτο, καὶ τούτου μᾶλλον ἔτι τὸ χωρὶς ζιγγιβέρεως. ἕτερον δὲ τὸ διὰ τῶν αὐτῶν συγκείμενον, ἀλλ' εἰς τὰς πεντήκοντα δραχμὰς ἑκάστου τῶν τριῶν πεπέρεων ἑκκαίδεκα δραχμῶν ἐμβαλλομένων, ἑκάστου τριῶν ἀνίσου τε καὶ θύμου, καὶ ζιγγιβέρεως, ᾧ καὶ μάλιστα χρώμεθα πρὸς τὰ προσόντα. χρὴ δ' εἴπερ οἷόν τ' εἴη, τὸ μὲν ἄνισον εἶναι κρητικόν. ἀττικὰ δὲ τὰ θύμα, ἢ πάντως γε ἐκ χωρίων ὑψηλῶν τε καὶ ξηρῶν. ἐμβάλλειν δ' αὐτῶν τὴν κόμην ἅμα τοῖς ἄνθεσιν ἀποκρίνοντα τὸ ξυλῶδες. ἔστω δὲ καὶ τὸ πέπερι τὸ μὲν μακρὸν ἄτρυτόν τε καὶ ὑγιὲς, ὥσπερ οὖν καὶ τὸ ζιγγίβερι. τάχιστα γὰρ ἀμφότερα τιτρᾶται, καὶ πρὸς τῷ μὴ τετρῆσθαι δηλονότι τὸ ἀληθινὸν αὐτὸ πέπερι τὸ ἀπὸ τῆς Βαρβάρου κομιζόμενον ἔστω. δῆλον γὰρ ἐνταῦθα πανουργεῖται, σκευαζομένου μὲν τὸ ἕτερον ἐπὶ τῆς Ἀλεξανδρείας, μάλιστα, βοτάνης δέ τινος ἐκβλάστημα θάτερον ὑπάρχει. ὡς δ' ἄν τις μάλιστα γνωρίζοι τὸ πεπανουργημένον, ἐγὼ διηγήσομαι τοσοῦτον πρότερον εἰπὼν ὑπὲρ τοῦ μὴ θαυμάζειν τινὰ, μηδὲ ζητεῖν τὴν αἰτίαν, δι' ἣν ἤτοι συνθέσεως φαρμάκων, ἢ δοκιμασίας ἐπῆλθέ μοι γράφειν ἐνταῦθα. μὴ πάνυ τι τοῦτο πράττειν εἰθισμένῳ κατὰ τὴν θεραπευτικὴν πραγματείαν, ἐν ἐκείνῃ μὲν γὰρ αὐτοῖς μόνοις διαλέγομαι τοῖς ἰατροῖς, ἐνταυθοῖ δὲ καὶ τοῖς ἄλλοις ἅπασιν, οὓς ὀνόματι κοινῷ προσαγορεύουσιν ἔνιοι φιλιάτρους, ἐν τοῖς πρώτοις δηλονότι μαθήμασι γεγονότας, ὡς γεγυμνάσθαι τὴν διάνοιαν. οὔκουν ἀναγκαῖόν ἐστι τοῖς τοιούτοις οὔτ' ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων, οὔτ' ἐν τῇ περὶ συνθέσεως αὐτῶν γεγυμνάσθαι πραγματείᾳ. πολὺ δὲ δὴ μᾶλλον οὐδ' ὡς χρὴ δοκιμάζειν ἕκαστον ἐπίστασθαι. τούτοις οὖν ἄμεινόν ἐστι γράφεσθαι τὰ τοιαῦτα πάντ' ἀκριβῶς, ὥσπερ ἀρτίως τὰ περὶ τοῦ πεπέρεως μακροῦ ἐπεχείρησα διηγεῖσθαι. χρὴ γὰρ ἀπογεύεσθαι μὲν αὐτοῦ πρῶτον ἀκριβῶς ἐπισκοπουμένους, εἰ πεπέρεως ἀποσώζει ποιότητα, μετὰ δὲ τοῦτ' ἐμβαλεῖν ὕδατι. τὸ γὰρ ἐσκευασμένον εἰ βραχείη δι' ὅλης ἡμέρας αὐτίκα διαλύεται τηκόμενον. εἴπερ οὖν ἥ τε ποιότης ἀκριβῶς αὐτῷ πεπέρεως ὑπάρχει, καὶ μὴ διαλύεται βρεχόμενον, ἢ δ' ὡς εἴρηται καὶ ἄτρητον, ἐπιτήδειον εἶναι νόμιζε τὸ τοιοῦτον μακρὸν πέπερι. τὸ δέ γε μέλαν, μήτε μικρὸν ἔστω, μήτε ῥυσσὸν, μήτε παχύφλοιον, ἀλλ' ἐκ τοῦ βαρυσταθμοῦ καλούμενον, τὸ μέγιστόν τε καὶ εὐτραφέστατον ἐκλεγέσθω. καὶ τοῦ λευκοῦ δ' ὁμοίως ἐκλεγέσθω, τὸ μέγιστόν τε καὶ εὐτραφέστατον. εἶτα πάντων ἅμα κοπέντων καὶ λεπτῷ κοσκίνῳ διαττηθέντων, ἀπηφρισμένῳ ἐπιμελῶς μιγνύσθω μέλι τὸ κάλλιστον, εὐῶδες δήπου τοῦτο καὶ ξανθὸν ὑπάρχον γλυκύτατόν τε ἅμα καὶ δριμύτατον, καὶ τῇ συστάσει, μήτε παχὺ, μήθ' ὑγρὸν ὡς ἀποσπᾶσθαι αὐτοῦ τὸ συνεχὲς, ἀλλ' ὥς τε καταθέντα τὸν δάκτυλον εἰς αὐτὸ, κἄπειτα καταστήσαντα μετέωρον ἀπορρεῖν ὁρᾶν αὐτοῦ τὸ μέλι μέχρι πλείστου συνεχὲς ὂν ἑαυτῷ, ἄμεινον δ' ἐπ' ἀνθράκων ἕψειν, ἢ ξύλων ἀκριβῶς ξηρῶν, ἃ δὴ καὶ καλοῦσιν ἄκαπνα. τοῦτό τε οὖν διδόναι χρὴ τὸ φάρμακον, οὐχ ἅπαξ μόνον, ἢ καὶ δὶς, ἀλλὰ καὶ πλεονάκις ἑκάστης ἡμέρας, καὶ γὰρ ἕωθεν καὶ πρὸ τροφῆς καὶ μετὰ τροφὴν, καὶ καθυπνοῦν μελλόντων ἐπιτήδειον ὑπάρχει. τὸ δὲ πλῆθος ἑκάστης δόσεως ἔστω κοχλιαρίου μεστοῦ. μικροῦ μὲν, ἐπὶ τῶν μικρῶν σωμάτων. μεγίστου δὲ ἐπὶ τῶν μεγίστων. ἀνάλογον δ' ἐπὶ τῶν μεταξύ. καὶ μέν τοι καὶ τὸ ζιγγίβερι τὸ κομιζόμενον ἐκ τῆς Βαρβάρου, διάβροχον ὄξει, συμφέρει λαμβάνειν. ἔστι δὲ τοῦτο ῥίζα χλωρᾶς τῆς πόας ἐμβαλλομένη τῷ ὄξει, μετὰ τὴν ἀναίρεσιν εὐθέως. κατασβέννυται γὰρ ἡ τῶν τοιούτων φαρμάκων θερμότης. αὐτόθι περὶ τὰς πρώτας φλέβας, οὐκέτ' ἀναφερομένη πρὸς ὅλον τὸ σῶμα καθάπερ ἑτέρων τινῶν, οἷον καὶ τὸ διὰ τῆς καλαμίνθης, ὑπὲρ οὗ μετ' ὀλίγον ἐπὶ πλέον εἰρήσεται.

Ταῦτ' ἄρα καὶ ὀξύμελι χρησιμώτατον αὐτοῖς ἐστὶν, ὡς καὶ πρότερον εἴρηται. σκευάζειν δὲ καὶ τοῦτο προσήκει κατὰ τάδε. μέλι τὸ κάλλιστον ἐπ' ἀνθράκων ἀπαφρίσαντες, ἐπεμβάλλειν αὐτῷ τοσοῦτον ὄξει, ὡς γευομένῳ μήτ' ἄγαν ὀξὺ φαίνεσθαι, μήτε γλυκύ. καὶ τότ' αὖθις ἕψειν ἐπ' ἀνθράκων, ὡς ἑνωθῆναί τε τὰς ποιότητας αὐτῶν ἀκριβῶς, καὶ μὴ φαίνεσθαι γευομένοις ὠμὸν τὸ ὄξος. εἶτ' ἀποτιθεμένου τούτου μιγνύειν ὕδωρ ἐπὶ τῆς χρήσεως, οὕτως κεραννύντας ὡς οἶνον. εἰ μὲν οὖν ὁ πίνων αὐτὸ μήθ' ὡς ὀξὺ, μήθ' ὡς γλυκὺ μέμφοιτο, χρηστέον ἄχρι παντός. εἰ δὲ μὴ, τότε τὸ λεῖπον ἐπεμβάλλοντας ἀφεψεῖν αὖθις. οὐ γὰρ ἐπαινῶ τοὺς κατὰ μίαν τινὰ συμμετρίαν σκευάζοντας αὐτό. παραπλήσια γάρ μοι δοκοῦσι οἱ τοιοῦτοι ποιεῖν τοῖς ἀξιοῦσιν ἅπαντας τοὺς πίνοντας ὡσαύτως κεραννύναι τὸν οἶνον τῷ ὕδατι, μὴ γινώσκοντες ὡς ἔνιοι μὲν ὑδαρέστερον εἰθισμένοι πίνειν, εὐθέως πλήττονται τὴν κεφαλὴν. εἰ καὶ βραχύ τις αὐτοῖς ἀκρατέστερον κεράσειεν. ἔνιοι δ' ἀκρατεστέρῳ χαίροντες, ἀνατρέπονται τὸν στόμαχον ὑδαρέστερον πίνοντες. ὁπότ' οὖν ἐπὶ οἴνου ταῦτα συμπίπτει συνήθους οὕτω ποτοῦ πολὺ δήπου μᾶλλον ἐπ' ὀξυμέλιτος, ὅσῳ καὶ ἀηδέστερον οἴνου καὶ ἰσχυρότερόν ἐστιν εἰκὸς ἀκολουθήσειν αὐτά. βέλτιον οὖν ἐστι ταῖς τῶν λαμβανόντων αἰσθήσεσι κρίνειν τὸ σύμμετρον αὐταῖς ἢ ἡμετέραις. οἰκειότατον μὲν τῇ φύσει τοῦ λαμβάνοντος εἶναι νομίζοντας τὸ ἥδιστον ὀξύμελι, καὶ διὰ τοῦτο καὶ ὠφέλιμον. ἐναντιώτατον δὲ, τὸ ἀηδέστερον. αὐτὴν δὲ τὴν πρώτην κρᾶσιν αὐτῶν, ὡς ἂν μάλιστα τοῖς πλείστοις ἁρμόσειε, κατὰ τόδε χρὴ ποιεῖσθαι. ὄξους ἑνὶ μέρει διπλασίῳ μιγνύσθω τοῦ τὸν ἀφρὸν ἀφῃρημένου μέλιτος. εἶθ' οὕτως ἐπὶ μαλακοῦ πυρὸς ἑψέσθω,

μέχρις

μέχρις ἂν ἑνωθῶσι αὐτῶν αἱ ποιότητες. οὕτω γοῦν ἄν, οὔτε τὸ ὄξος ὠμὸν ἔτι φαίνοιτο. διὰ ὕδατος δ' εὐθέως οὕτω σκευάζειν ὀξύμελι, τῷ μέλιτι μίγνυσθαι τετραπλάσιον ὕδατος καλλίστου. κἄπειθ' ἑψέσθω μετρίως μέχρις ἂν ὁ ἀφρὸς ἀφίστηται. τὸ μὲν οὖν φαῦλον μέλι πάμπολυ ἐξεργάζεται τὸν ἀφρόν, ὥστε καὶ ἡ ἕψησις αὐτοῦ πολυχρονιωτέρα γίνεται. τὸ δὲ ἄριστον ἐν ἐλαχίστῳ τε χρόνῳ, καὶ βραχύτατον ἀφίησιν, ὅθεν οὐδὲ ἴσον αὐτῷ δεῖται τῆς ἑψήσεως. ἡ δ' οὖν πλείστη τὸ τέταρτον ἀπολείπει μέρος τοῦ κραθέντος ἐξ ἀρχῆς. μίξαντος δ' ὄξους ἥμισυ πάλιν ἑψητέον, ἄχρι τοῦ τὰς ποιότητας ἑαυτῶν ἀκριβῶς ἑνωθῆναι, καὶ μηκέτ' ὠμὸν φαίνεσθαι τὸ ὄξος. σκευάζοντες γὰρ καὶ κατ' ἀρχὴν εὐθέως τῶν τριῶν μιχθέντων. ἔστω δὲ ἓν μὲν ὄξους μέρος. δύο δὲ μέλιτος. ὕδατος δὲ δ'. καὶ ταῦτ' ἑψέσθω μέχρι τοῦ τρίτου μέρους, ἤδη τὸν ἀφρὸν ἀφαιρούντων ἡμῶν. εἰ δὲ ἰσχυρότερον αὐτὸ ποιῆσαι βούλοιο, τοσοῦτον ἐμβαλεῖς ὄξους ὅσον καὶ μέλιτος. ἀπόμελι δὲ κάλλιστον ἐν ὕδατι σκευάζεται, καὶ πίνουσιν αὐτὸ διὰ ὅλου τοῦ θέρους ὡς ἐμψυχον. ἔνεστι δὲ, τῷ βουλομένῳ καὶ πρὸς τὴν ὑποκειμένην ἐν τῷ παρόντι λόγῳ διάθεσιν ὠφελίμως χρῆσθαι, καὶ μάλιστα ὅταν ὀξυνθῇ. πάσχει γὰρ τοῦτο πλειστάκις, τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον. ὡς ἂν διὰ ὕδατος σκευαζόμενον, οὐ τοῦ ὀμβρίου καθάπερ τὸ ὑδρόμελι, ἀλλὰ τοῦ ἐπιτυχόντος. ἔνεστι δ' εἰ βούλοιτό τις καὶ διὰ ὀμβρίου συντιθέναι, καὶ ἐγὼ γ' ἂν τοῦτο ποιεῖν συνεβούλευον, εἰ ἐπῄνουν τὸ ὄμβριον, ἀλλὰ γὰρ οὔτε τοῦτο ἐπαινῶ καὶ οὐδὲν χεῖρον ὀξυνόμενον ἀποτελεῖται, καὶ μάλιστα εἰς τὰ παρόντα. καὶ γὰρ οὖν καὶ μετρίως ὀξύνεται, τό τε μὴ παντάπασιν ἀμελῶς ἐσκευασμένον. ἡ δ' ἐπιμέλεια τῆς σκευασίας ἐστὶν ἐν τῷ τὸ κηρίον μὴ εἶναι πάνυ φαῦλον, ἑψῆσθαί τ' ἐπὶ πλέον ἐν ὕδατι πηγαίῳ, καθαρῷ τε καὶ ἡδεῖ. χρὴ γὰρ ἐκπιέσαντα τῶν κηρίων τὸ μέλι, μέχρι τοσούτου καθεψεῖν ἐν ὕδατι, μέχρις ἂν μηκέτι μηδεὶς ἀφρὸς ἐπανίστηται. τούτῳ τε οὖν χρῆσθαι ποτῷ, καὶ τῶν οἴνων, τοῖς ὀξυσμένοις ἀτρέμα, καὶ τῶν ἐδεσμάτων τοῖς λεπτύνουσιν ἄνευ τοῦ θερμαίνειν, οἷάπερ ἐστὶ καὶ ἡ κάππαρις εἰ διὰ ὀξυμέλιτος, ἢ διὰ ὀξελαίου λαμβάνοιτο. μέχρι δ' ἤπου δυοῖν ἢ τριῶν ἡμερῶν, ὡς εἴρηται διαιτᾶν, εἰ δ' ἐλπίζοις ἱκανῶς ἤδη λελεπτῦνθαι τοὺς ὠμοὺς χυμούς, οἶνον προσφέρειν, λεπτὸν μὲν τῇ συστάσει, κιρρὸν δὲ ἢ λευκόν, τῇ χροιᾷ. ὁ μὲν γὰρ εἰς εὐχυμίαν τε καὶ πέψιν, ὁ δ' εἰς οὔρησιν ἀγαθός. εἰσὶ δ' ἐπὶ μὲν τῆς ἰταλίας ὅ, τε φαλερῖνος καὶ ὁ συρρεντῖνος ἐκ τοῦ προτέρου γένους. ὥσπερ οὖν ἐκ τοῦ δευτέρου ὁ σαβῖνος τε καὶ ὁ ἀλβανὸς καὶ ἀδριανός. ἐπὶ δὲ τῆς ἀσίας, ἐκ μὲν τοῦ προτέρου, λέσβιός τε καὶ ἀριούσιος, ἐκ δὲ τοῦ δευτέρου τιτακαζηνός τε καὶ ἀρσύινος. οὗτοι μὲν ὡς παραδείγματα εἴρηται τῷ λόγῳ. πολλοὶ δὲ καὶ ἄλλοι κατὰ τὴν ἰταλίαν εἰσὶ καὶ τὴν ἀσίαν. οὐχ ἥκιστα δὲ κἂν τοῖς ἄλλοις ἔθνεσιν, ὅμοιοι τοῖς εἰρημένοις, οὓς αὐτῶν ἐκλέγεσθαι, χρὴ πρὸς τοὺς εἰρημένους ἀποβλέποντας σκοπούς, τήν τε χρόαν, καὶ τὴν σύστασιν. ἀποδοκιμάζειν τε τούς τε παχεῖς καὶ τοὺς μέλανας ὡς κακοχύμους τε καὶ βραδυπόρους. εἰ δ' ἐπὶ τοῖσδε βέλτιον ὁ ἄνθρωπος γίγνοιτο, καὶ λούειν ἤδη προσήκει, καὶ ἀλείφειν, καὶ ἀνατρίβειν μαλακῶς. κἀπειδὰν πρῶτον ὑπόστασιν ἴσχῃ τὰ οὖρα, τάς τε ῥίψεις αὐξῆσαι καὶ πρὸς τὰ συνήθη γυμνάσια κατ' ὀλίγον ἐπαναγαγεῖν. ἐν τούτῳ δὲ τῷ καιρῷ καὶ τοῖς διαφορητικοῖς ἀλείμμασι χρηστέον, ὧν καὶ πρόσθεν μὲν ἐμνημονεύσαμεν, καὶ αὖθις δ' ὑπὲρ αὐτῶν ἐρῶ. οὐ μὴν ἐμέτοις χρῆσθαι συμβουλεύω, ἐπὶ τὰς τοιαύτας διαθέσεις, ὥσπερ ἐνίοις ἔδοξεν ἰατροῖς τε καὶ γυμνασταῖς, ἐξαπατηθεῖσιν ὡς οἶμαι πρὸς τῶν ὑπὸ Φιλοτίμου τε καὶ πραξαγόρου γεγραμμένων, ἐπὶ ταῖς τῶν τοιούτων χυμῶν θεραπείαις. οὐ γὰρ ὅταν κοπώδεις διαθέσεις πλεονάζωσιν, ἀλλ' ἐπειδὰν μόνοι λυπῶσιν ἔμετοι αὐτοὺς ἐκκενοῦσιν. οὐδεὶς γὰρ κίνδυνος ἀντισπασθῆναι τηνικαῦτα βιαιότερον ἔσω, τῶν περὶ σάρκα περιττωμάτων. ὥσπερ ὅταν ἄμφω πλεονάζῃ, τὰ μὲν ὠμὰ περὶ τὰς πρώτας φλέβας, ἐν δὲ τοῖς στερεοῖς, τὰ δακνώδη. φυλάττεσθαι γὰρ τῶν τοιούτων ἄμεινόν ἐστιν, ἑκατέρας τὰς ἀντισπάσεις, ἔξω μὲν τὴν τῶν ὠμῶν, ἔσωθεν δέ, τὴν τῶν δακνωδῶν. ὥσπερ οὖν ἐφυλαξάμεθα κατὰ τὸν ἔμπροσθεν λόγον ἔξω τοὺς ὠμοὺς ἐπισπᾶσθαι χυμούς, οὕτω χρὴ φυλάττεσθαι τοὺς δακνώδεις ἀντισπᾶν ἔσω. κεφάλαια δὲ τῆς μὲν ἔξω φορᾶς αὐτῶν εἰσι, γυμνάσια καὶ τρίψεις καὶ λουτρὰ καὶ θάλπος, ἀλείμματά τε θερμαίνοντα. καὶ τῶν ψυχικῶν παθῶν ἡ ὀξυθυμία, καὶ ἁπλῶς εἰπεῖν ἅπανθ' ὅσα τοὺς ἐν τῷ βάθει τοῦ ζώου χυμούς, εἰς τὴν πανταχόθεν κίνησιν ἐξορμᾷ. τῆς δ' εἴσω, τὰ ἀποτρέποντα τῆς ἔξωθεν φορᾶς. ἐστὶ δὲ δή που ταῦτα τῶν ὁμιλούντων τῷ δέρματι, τά τε ψυχρὰ καὶ στύφοντα, καὶ ὅσα πρὸς τούτοις ἐπισπᾶται τοὺς χυμούς, ἢ ἄλλως ὁπωσοῦν ἐπεγείρει, τὴν ἔσω κίνησιν αὐτῶν, ἐξ ὧν ἐστι λύπη καὶ φρίκη, καθ' ἥντινοῦν αἰτίαν γιγνομένη. καὶ γοῦν καὶ ψυχρὸν αἴτιον καὶ θερμὸν ἐδείχθη, φρίκη τε καὶ ῥῖγος γιγνόμενον, καὶ διὰ τῶν ἐμπληττόντων τε καὶ φοβούντων τὴν ψυχήν, ἤ τοι ἀκουσμάτων ἢ θεαμάτων. ἅπαντ' οὖν τὰ τοιαῦτα φυλακτέον ἐστίν, ἐπειδὰν ἅμα τε κοπώδης ὁ αὐτὸς ἄνθρωπος ᾖ, καὶ τὰς φλέβας ἔχῃ μεστὰς ἀπέπτων χυμῶν. οὔτε γὰρ τοὺς ἔξω χυμοὺς ἀντισπᾶν ἔσω καλόν, οὔτε τοὺς ἔνδον, ἔξω. ἀλλὰ τοὺς μὲν ἔξω διαφορεῖν ἀτρέμα. τὰ γὰρ ἰσχυρότερα τοῦτο δρῶντα, καὶ τῶν ἔνδοθεν ἐπισπᾶταί τι. τοὺς δ' ἔνδον λεπτύνειν τε καὶ συμπέττειν. εἰ δ' ἤ τοι διὰ ἐμέτων ἢ διὰ γαστρὸς ὑπαγωγῆς ἐπιχειρήσαις αὐτοὺς ἐκκενῶσαι σφοδρότερον, ἐπισπάσῃ τινὰς ἐκ τῶν ἔξωθεν ἔσω. τοὺς δὲ περὶ τὸν Φιλότιμον, οὐ χρὴ μέμφεσθαι τῇ τοιαύτῃ κενώσει χρωμένους. ὅταν ἐν ταῖς πρώταις φλεψὶ πλῆθος ὠμῶν παράκειται χωρὶς ἑτέρας διαθέσεως. ἀλλὰ μᾶλλον ἡμᾶς αὐτοὺς ἐθιστέον ἀκριβέστερον ἕπεσθαι παλαιοῖς γράμμασιν. εἰς αὐτὸ μὲν οὖν τὸ μελίκρατον ὕσσωπον ἀφεψῶντες, οὐκ εὐθέως μὲν οὐδ' ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἐν δὲ ταῖς ἐχομέναις δώσομεν, ἐφ' ὧν ἅμα τε τὸ πλῆθος τῶν ὠμῶν χυμῶν ἔνδον, ἥ τε κοπώδης αἴσθησις ἔξω. τοὺς δ' ἐμέτους παραιτησόμεθα δεδιότες ὡς εἴρηται τῶν ἔξωθέν τι πῃ, περιττωμάτων εἴσω παλινδρομῆσαι. πραξαγόρας δὲ καὶ Φιλότιμος εὐλόγως ἐμέτου ἐπὶ τοιούτῳ μελικράτῳ παραλαμβάνουσιν, ὠμοὺς χυμοὺς θεραπεύοντες ἄνευ κοπώδους διαθέσεως. ἀλλ' ἐπεὶ καὶ περὶ τούτων, αὐτάρκως εἴρηται, καιρὸς ἂν εἴη τῆς ὑπολοίπου διαθέσεως ὑπάρξασθαι καθ' ἣν ἅμα τῇ ἑλκώδει διαθέσει καὶ τὸ τῶν ὠμῶν πλῆθος, εἰς τὴν ἕξιν ἀνελήφθη. γίνεται δὲ ταῦτα, κατ' ἐκείνας μάλιστα τὰς περιστάσεις τῶν πραγμάτων, ἐν αἷς ἤτοι θάλπος ἢ γυμνάσιον ἄμετρον, ἐκ τῶν φλεβῶν εἰς τὰς σάρκας ἀναρπάζει τοὺς ὠμοὺς χυμοὺς οὐδὲ μίαν ἐν τῷ παρόντι πρόσφατον ἀπεψίαν ἠπεπτηκότων, ὡς εἴ γε καὶ τοῦτο συνέλθοι, σύμπαν οὕτως ἐμπλησθήσεται τῶν ὠμῶν χυμῶν τὸ σῶμα, καὶ λεχθήσεται μὲν ὀλίγον ὕστερον, ὡς χρὴ καὶ τὴν τοιαύτην ἐπανορθοῦσθαι διάθεσιν. ἀλλ' ἐπεὶ τὸ συνθετὸν ὕστερόν τε ἐστὶ καὶ δεύτερον τοῦ ἁπλῶν. ἄμεινον ἂν εἴη περὶ τῆς ὑπολοίπου

διαθέσεως ἁπλῆς διελθόντας, ἐπὶ τοὺς συνθέτους αὖθις ἰέναι. καὶ τὸ γε οὐδὲ ταύτην ἀκριβῶς ἁπλῆν χρὴ νομίζειν, ἀλλ᾽ ὡς ἐν αὐτομάτοις κόποις ἁπλῆν. ὑποκειμένης γὰρ τῆς τὸν κόπον ἐργαζομένης διαθέσεως ἐπιμιγνυμένην αὐτοῖς τὰς ἄλλας. ἀλλ᾽ ὅτι καὶ κατὰ τὴν μίξιν ἐνίοτε μὲν ἁπλῆ καὶ μία μίγνυται διάθεσις, ἐνίοτε δὲ σύνθετος, οὕτως ὠνομάσαμεν ἁπλῆν, ὑπὲρ ἧς ὁ λόγος ἐνέστηκεν. ἔστω δὲ τὸ πλῆθος τῶν ὠμῶν χυμῶν ἐν τοῖς στερεοῖς τοῦ ζώου μέρεσιν, οὐκ ἐν ταῖς φλεψίν, ἅμα τῷ καὶ τὴν ἑλκώδη τοῦ κόπου διάθεσιν ἐν τοῖς αὐτοῖς ὑπάρχειν. ἡ γὰρ ἐξ ἀρχῆς τοῦ λόγου τοιαύτη τις ἦν. ὡς οὖν ἐφ᾽ οἷς κατὰ τὰς φλέβας ἦν καὶ μάλιστα κατὰ τὰς πρώτας τῶν ὠμῶν, ἐφυλαττόμεθα τὰ θερμαίνοντα, δεδιότες εἰς τὴν ἕξιν ἀναληφθῆναι τοὺς τοιούτους χυμούς, οὕτω νῦν οὐδὲν χρὴ δεδιέναι. δοτέον οὖν αὐτοῖς ὅσα μέχρι τοῦ δέρματος ἐκτείνει τὴν θερμότητα, καὶ ἀνατριπτέον ἐπὶ πολὺ ἐλαίῳ χαλαστικῷ, καὶ μάλιστα μετὰ τὸν ὕπνον ἕωθεν ἐξαναστάντας. εἰ γὰρ τοιαύτη τρῖψις, ἅμα τε πέττει τοὺς ὠμοὺς χυμούς, καὶ τρέφει τὸν ὄγκον τοῦ ζώου. χρὴ δ᾽ ἡσυχάσαι μετὰ ταῦτ᾽ ἄχρι πλείονος, εἰ μέλλοι καλῶς γενήσεσθαι ταῦτά. πολὺ δ᾽ ἐναργέστερον ἀνύσειεν, οὗ χάριν γίνεται βραχέα τε σιτία προσενηνεγμένα κατὰ τὴν προτεραίαν τοῦ ἀνθρώπου καὶ μηδὲν ἐπὶ τῷ δείπνῳ πίνειν, πλὴν κιρροῦ καὶ λεπτοῦ οἴνου. γυμνάζεσθαι δὲ συνεχῶς καὶ σφοδρῶς αὐτίκα, μήπη λάθωμεν ἀπέπτων ἔτι χυμῶν ἀναγκάζοντες τρέφεσθαι τὸ σῶμα. βέλτιον οὖν ἕωθεν ἐπὶ πλεῖον ἀνατρῖψαι τε καὶ μετὰ ταῦτα ἡσυχάσαι περιπατῆσαί τε τὰ μέτρια, καὶ αὖθις χρήσασθαι τρίψει πολλῇ, καὶ λουτρῷ συμμέτρῳ θερμῷ, καὶ τροφαῖς εὐχύμοις τε ἅμα καὶ γλίσχροις. εἴρηται δ᾽ ἔμπροσθεν αὐτῶν ἡ ὕλη πληρεστάτη ἐπαινούντων ἡμῶν εἰς τὰ τοιαῦτα, καὶ τοὺς πετραίους ἰχθύας, καὶ τῶν ὀρνίθων τοὺς ὀρείους. ἐπιτήδεια δὲ, καὶ τὰ λεπτύνοντα τῶν ἐδεσμάτων, ὑπὲρ ὧν ἐν ἰδίᾳ γέγραπται βιβλίον. εὐλαβεῖσθαι δὲ χρὴ μηδὲν, εἰ καὶ θερμαίνοι σφοδρῶς, ἀλλὰ καὶ τὸ διὰ τῆς καλαμίνθης φάρμακον ἀδεῶς λαμβάνειν. ἔστι δὲ ἡ σύνθεσις αὐτοῦ τοιαύτη. καλαμίνθης, καὶ γλήχωνος, καὶ πετροσελίνου, καὶ σεσέλεως ἑκάστου ἀνὰ 𐅻 β΄ σελίνου σπέρμα, κορύμβων, θύμου ἀνὰ 𐅻 δ΄ ἑκατέρου καὶ πρὸς τούτοις ἔτι τοῖς ἔτι, λιβυστικοῦ μὲν 𐅻 ἑκκαίδεκα, πεπέρεως δὲ ὀκτὼ καὶ μ΄. πεπέρεως μὲν οὖν ἔστω τὸ βαρύσταθμον ὀνομαζόμενον. σέσελι δὲ, τὸ μασσαλεωτικόν. πετροσέλινον δὲ, τὸ μακεδονικόν, καὶ τούτου μάλιστα τὸ ἀστεωτικόν. ἡ καλαμίνθη δὲ καὶ ἡ γλήχων, μάλιστα μὲν ἐκ κρήτης, εἰ δὲ μή, ἀλλ᾽ ἐκ χωρίων ὑψηλῶν τε καὶ ξηρῶν. ὡσαύτως δὲ καὶ τὰ θύμα τὰ μὲν οὖν ξυλώδη καὶ σκληρὰ τῶν βοτανῶν, ἀπορρίπτειν, λαμβάνειν δ᾽ εἰς τὸ φάρμακον, τὰ φύλλα, καὶ τούτων μάλιστα τὰ λεπτότατά τε καὶ εὐθαλέστατα, καὶ ἐπ᾽ ἄκραις ταῖς βοτάναις, καὶ πρὸς αὐτοῖς, ἄνθη τε καὶ τὰ σὺν αὐτοῖς λεπτότατα κάρφη. κόπτειν δ᾽ ἅμα σύμπαντα καὶ διαττᾶν χρὴ διὰ λεπτοῦ κοσκίνου. μάλιστα γοῦν εἰς ὅλην τὴν ἕξιν τοῦ ζώου τὰ τοιαῦτα φάρμακα ἀναδίδοται, καθάπερ γε τὰ παχύτερα κατὰ τὴν γαστέρα μένει, τοῖς στενοῖς στόμασι τῶν φλεβῶν ἐναρμοσθῆναι μὴ δυνάμενοι, καὶ διὰ τοῦτο καὶ τὸ διοσπολιτικὸν ὀνομαζόμενον φάρμακον, οὗ κατὰ τὸν ἐνεστῶτα λόγον ἔμπροσθεν ἐμνημόνευσα, παχυμερέστερον εἴωθα σκευάζειν, ἐπειδὰν ὑπαχθῆναι τὴν γαστέρα δι᾽ αὐτοῦ δέησω, καί τις οὐκ εἰδὼς τοῦτο, λεπτότατόν τε καὶ χνοωδέστατον ἐργασάμενος αὐτὸ, τὴν μὲν ὑποχώρησιν οὐδ᾽ ἕν τι προὔτρεψεν, οὖρα δ᾽ ἐκίνησεν οὐκ ὀλίγα, καὶ ἡμῖν ἐκινοῦτο θαυμάζων τε ἅμα καὶ ζητῶν τοῦ γεγονότος τὴν ἀληθινὴν αἰτίαν. αὐτὸς μὲν γὰρ ἔφη νομίζειν δι᾽ ἀκρασίαν τινὰ τοῦ ἀνθρώπου, καὶ γοῦν ἐκάλεσεν οὕτως αἰτίαν εἶναι τοῦ συμβεβηκότος, ὥστ᾽ ἔμαθεν ὅτι τὸ τῆς συνθέσεως εἶδος αἴτιον ἴδιον ὑπῆρχεν αὖθις ἑτέρως ἐσκεύασε τυχὼν τοῦ σκοποῦ. τούτου μὲν οὖν τοῦ παραγγέλματος ἐπὶ πάσης συνθέσεως φαρμάκου, ἄμεινον μεμνῆσθαι. τὸ δὲ προκείμενον ἐν τῷ παρόντι λόγῳ φάρμακον, ἀκριβῶς ἅπαντα λεπτὰ λαμβανέτω, χάριν τοῦ ῥᾳδίως ἀναδίδοσθαί τε καὶ φέρεσθαι πάντα. μιγνύσθω δὲ τοῖς οὕτω παρασκευασμένοις, μέλι τὸ κάλλιστον ἀκριβῶς ἀπηφρισμένον. ἡ δὲ χρῆσις αὐτοῦ γιγνέσθω κατὰ τὴν ἑωθινὴν ἀνάτριψιν καὶ πρὸ τῶν γυμνασίων δὲ καὶ λουτρῶν. ἔξεστι δὲ καὶ χωρὶς τοῦ μῖξαι τὸ μέλι ξηρῷ τῷ φαρμάκῳ φυλάξαντα χρῆσθαι παραπλησίως ἁλσὶ τοῖς εἰς ὄψα παρεσκευασμένοις. ἔξεστι δὲ καὶ εἰς πτισάνην ἐμβαλεῖν οἷον ὄξος ἢ τοιοῦτον ἀντὶ πεπέρεως. οὐ μόνον δὲ τὸ ξηρὸν ἁλῶν δίκην ἐστὶ πολὺ χρηστόν, ἀλλὰ καὶ τὸ σὺν τῷ μέλιτι, καὶ γοῦν καὶ τοῦτο δυνατὸν ἀναμιγνύντα τοῖς ἐδέσμασιν, ἀποχεῖσθαι μετά τινος ἐξ αὐτῶν, ὡς ἡδὺ τῷ χρωμένῳ φαίνεσθαι. μηδὲν μέντοι τὴν τροφὴν, μηδέ ποτε λαμβάνειν μήτε τοῦτο. μήτ᾽ ἄλλο τι φάρμακον, ἀνάδοσιν ἰσχυροτέραν ἐργαζόμενον. οὐ γὰρ ἀναδίδοσθαι τηνικαῦτα βέλτιον, ἀλλὰ πέττεσθαι τοῖς ληφθεῖσιν. ἄμεινον οὖν ἐστι τοῖς ἐπικαιρίας τινὸς ἔξωθεν εἰς πέψιν δεομένοις, ἐν τούτῳ τῷ καιρῷ δίδοσθαι φάρμακον, οὗ τὴν σύνθεσιν ἔμπροσθεν ἐδήλωσα. λέγω δὲ τὸ διὰ τριῶν πεπέρεων ἁπλοῦν, καὶ αὐτὸ δὲ τὸ πέπερι μόνον ἐπιπαττόμενον τῷ ποτῷ, χρηστὸν εἰς τὰ παρόντα, καὶ εἴπερ ἄρα μείζων τις εἴη χρεία, καὶ τὸ διὰ χυλοῦ τῶν κυδωνίων μήλων, οὗ τὴν σύνθεσιν ἅπασαν ἐρῶ καὶ τὴν δύναμιν, ἀκριβῶς ἐξηγησάμενος κατὰ τὸν ἑξῆς λόγον, εἰς δὲ τὰ προκείμενα νῦν, ἁπάντων ἄριστον φάρμακον, ὧν ἐγὼ γινώσκω, τὸ διὰ τῆς καλαμίνθης ἐστὶ, καὶ γὰρ λεπτύνει τὰ παχέα καὶ γλίσχρα καὶ διαφορεῖ, καὶ οὔρησιν κινεῖ, καὶ καταμήνια γυναιξίν. ἔστι δὲ καὶ ἥδιστον ἐν τῇ χρήσει, καὶ μάλισθ᾽ ὅταν λάβῃ πλεῖον τοῦ μέλιτος. ἕψεσθαι δ᾽ ἐπὶ πλέον αὐτὸ χρὴ τηνικαῦτα τοῖς δ᾽ ἀπεστραμμένοις τὰ γλυκέα, καὶ φεύγουσι τὸ μέλι, καὶ γὰρ τοιαῦται μέν τινες εὑρίσκονται φύσεις, ὀλίγον ἐν τῇ συνθέσει μιγνύσθω τὸ μέλι. βέλτιον δὲ καὶ μᾶλλον ἕψεσθαι τούτοις, καὶ γὰρ ἧττον οὕτως ἐστὶ γλυκὺ καὶ ἧττον ἀνατρέπει τὸν στόμαχον, ἐπὶ τῶν ἀπεστραμμένων φύσει τὸ μέλι, τὰ μὲν δὴ τοιαῦτα πάντα, καὶ αὐτός τις ἐπινοείτω πρὸς τῆς ἡμετέρας συμβουλῆς, ἕνα κοινὸν ἐν ἅπασι διαφυλάττων σκοπὸν, ἥδιστον γενέσθαι τὸ φάρμακον εἰς ὅσον ἐγχωρεῖ, φυλαττόμενος αὐτῆς τῆς εἰς τὴν ὠφέλειαν δυνάμεως. οὐ γὰρ δὴ ταύτην γε ἐκλῦσαι κελεύω τῆς ἡδονῆς στοχασάμενος. ὅταν οὖν ἐπὶ δύο που τὰς πρώτας ἡμέρας ἢ τρεῖς οὕτως ἡ παρεσκευασμένος ὁ ἄνθρωπος, οὐδὲν ἂν εἴη χεῖρον ἤδη καὶ γυμνάσασθαι διὰ τῆς συνήθους αὐτῷ, τεκμαιρόμενον εὐχροίας τε καὶ τῶν ἄλλων σημείων, ἃ κατὰ τὸν ἔμπροσθεν εἴρηται λόγον. εἰ μὲν γοῦν ἅπαντά σοι χρηστὰ φαίνοιτο τελέως γυμνάζειν αὐτόν. εἰ δὲ μὴ προκαταπαύειν τε τοῦ συμμέτρου, καὶ τοῖς εἰρημένοις πρὶν διαιτήμασί τε καὶ φαρμάκοις φυλάξαντα κατ᾽ ἐκείνην τὴν ἡμέραν, αὖθις ἐπιχειρεῖν τῷ γυμνασίῳ κατὰ τὴν ὑστεραίαν ἐπὶ τοῖς αὐτοῖς σημείοις τε καὶ σκοποῖς. ἵν᾽ ὅταν ἤδη πάντα ἄμεμπτα φαίνηται, πρὸς τὴν αὐτὴν δίαιταν ἐπαναγάγῃς αὐτόν, ἢ καὶ πρὶν ἁλῶναι τῷ κοπώδει συμπτώματι σύνηθες ἦν. ἐπεὶ δὲ

διακαλαμίνθης

καὶ τοῦ

καὶ περὶ τῆς ἐλάτης ἀκόπου φαρμάκου χρῆσθαι συμφέρει, τοῖς κατὰ τὴν σάρκα τε καὶ τὸν ὄγκον ἅπαν τὸ τοῦ ζώου χυμοὺς ἠθροικόσιν, ἤ τι πεφθῆναι δυνάμενον, ἢ διαφορηθῆναι, οὐδὲν ἂν εἴη χεῖρον εἰπεῖν τι καὶ περὶ τῆς ἐκείνου συνθέσεως. ἔστι μὲν οὖν ὡραιότατον αὐτῆς τὸ σπέρμα, περὶ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου. ὅστις καιρὸς ἐν ῥώμῃ μὲν ὁ καλούμενος μήν ἐστι σεπτέμβριος. ἐν περγάμῳ δὲ παρ᾽ ἡμῖν ὑπερβερεταῖος. ἀθήνησι δὲ μυστήρια. ἐλαίῳ δ᾽ ἐμβάλλειν αὐτὸ χρὴ καθ᾽ ἣν ἂν θέλῃ ὥραν τοῦ ἔτους, οὐδὲ μία γὰρ ὅσον ἐπὶ τούτῳ διαφορά. βέλτιον δὲ εἰ καὶ θλάσας ἐμβάλλει αὐτό. θᾶττον γὰρ οὕτω τὸ ἔλαιον ἐμπλησθήσεται τῆς ἰδίας ποιότητός τε καὶ δυνάμεως. εἴη δ᾽ ἂν ὁ χρόνος οὗτος ἐλάχιστος ἡμερῶν μ´. πολλάκις δ᾽ ἡμεῖς καὶ τρεῖς καὶ τέτταρας καὶ πολὺ πλείους μῆνας ἐπιτρέψαμεν ἐμβραχῆναι, κᾄπειθ᾽ οὕτως ἀπερρίψαμεν τὸ σπέρμα, τὸ δ᾽ ὑγρὸν ὀθονίῳ διηθήσαμεν. ἔστω δὲ τὸ μὲν ἔλαιον, ἔν τι τῶν χαλαστικῶν, οἷον περ ἐν ἰταλίᾳ τὸ σαβῖνον. ἐμβαλέσθω δ᾽ εἰς τὰς εἴκοσι καὶ πέντε κοτύλας αὐτοῦ, μόδιος ἰταλικὸς τοῦ σπέρματος τῆς ἐλάτης. ὅσων δὲ καὶ τῶν κοτυλῶν ἰταλῶν ἃς δὴ καὶ λίτρας ὀνομάζουσι. βραχέντος δ᾽ ἐν αὐτῷ τοῦ σπέρματος, πολλῷ δηλονότι μεῖον γίνεται, συμμέτρου δ᾽ ὄντος τοῦ καταλειφθέντι, κηροῦ μὲν λίτρας ἐμβαλεῖν τέσσαρας. ῥητίνης δὲ ἐλατίνης τὸ τρίτον τῆς λίτρας μέρος αἵπερ εἰσὶν ὁλκῆς. <. β´. καὶ λ´ τὸ δ᾽ ἴσον ἐμβαλλέσθω μὲν τῆς στροβιλίου ῥητίνης. εἰ δ᾽ αὗται μὴ παρεῖεν, ἀντ᾽ αὐτῶν τῇ τερεβινθίνῃ χρῆσθαι. ἕψειν δ᾽ ἄμεινον ἐπ᾽ ἀγγείου διπλοῦ. ἢ πάντως γ᾽ ἐπὶ πυρὸς ἀφλόγου, οἷον ἐστὶ τὸ τῶν ἀνθράκων, ἔστωσαν δ᾽ οὖν μὴ δ᾽ οὗτοι πολλοί. τοῦτο τὸ φάρμακον ἐπιτηδειότατόν ἐστιν εἰς ἅπαντας κόπους αὐτομάτους τε καὶ οὐκ αὐτομάτους. ἀγαθὸν δὲ καὶ τὸ διὰ τῆς αἰγείρου τῶν ἀνθῶν συντιθέμενον. ἔστι δὲ καὶ τοῦτο τοιόνδε. τῶν ἀνθῶν τῆς αἰγείρου μεμυκότων ἔτι, μόδιος ἰταλικὸς ἐμβάλλεται λίτραις ἐλαίου σαβίνου πεντεκαίδεκα ἢ εἴκοσι. μὴ παρόντος δὲ τοῦ σαβίνου, τῶν ὁμοίων τι παρασκευαστέον ἐλαίων. εἴρηται δ᾽ ἐν τοῖς ἔμπροσθεν, ὡς ὅμοια πάντ᾽ ἐστὶ τὰ λεπτομερῆ θ᾽ ἅμα καὶ μὴ στύφοντα. κάλλιον δ᾽ εἰ καὶ μετρίως θλασθέν, ἐμβληθείη τῷ ἐλαίῳ τὸ ἄνθος. εἰ δὲ καὶ καθ᾽ ἑκάστην διακινοῖτο, καὶ μάλισθ᾽ ὅταν ἥλιος ἢ θερμὸς ἐν οἰκήματι, τε θερμῷ, τὴν ἀπόθεσιν ἴσχῃ, θᾶττον τε ἂν οὕτω μὲν μᾶλλον ἡ τῆς αἰγείρου ποιότης τε καὶ δύναμις εἰς τοὔλαιον μετέλθῃ. ὥστε σε μετὰ δύο που καὶ τρεῖς μῆνας δύνασθαι ἐκθλίψαντα τὸ ἄνθος αὐτὸ μὲν ἀπορρίψαι, τὸ δ᾽ ἔλαιον ἔχειν ἀδήκτως διαφορητικόν. ὀλίγῳ τι μεῖον τοῦ ἐλατίνου. καὶ μέν τοι καὶ κηρὸν καὶ ῥητίνην ἔξεστιν ἐμβάλλειν αὐτῷ τοσοῦτον, ὅσον ἀρτίως ἐν τῇ συνθέσει τοῦ διὰ τῆς ἐλάτης εἴρηται φαρμάκου. παχύτι δ᾽ εἴποτε γένοιτο τὸ ἐκθλιβόμενον ὑγρόν, ἱκανὸν οὐ μόνον τὸ τέταρτον μέρος, ἀλλὰ καὶ τὸ πέμπτον μιγνύσθαι κηροῦ. ἐγὼ δ᾽ οἶδα ποτὲ καὶ τὸ ἕκτον ἐμβαλών, παχυτέρου τε τοῦ ἐλαίου γινομένου, καὶ τῶν μελλόντων αὐτῷ χρῆσθαι χαιρόντων ὑγροτέρῳ φαρμάκῳ. τινὲς δ᾽ οὐκ ἀναμένοντες ἐν χρόνῳ πλέονι διαβρέχεσθαι τά τε ἄνθη καὶ τὰ σπέρματα, τοῦτο μὲν, ἕψειν αὐτὰ δέονται, τοῦτο δ᾽ ὕδωρ ἐμβάλλειν, ὅσοι γε προμηθέστεροι, χάριν τοῦ μήτε φρυχθῆναι τὰ ἐμβληθέντα, μὴ δὲ κνισῶδες γενέσθαι τοὔλαιον. ὅσοι δ᾽ ἔτι τούτων ἐπιμελέστεροι, τὴν ἕψησιν ἐν ἀγγείοις διπλοῖς ποιοῦνται. καλεῖται δ᾽ οὕτως, ἐπειδὰν περὶ ὑποκειμένου λέβητος ὕδωρ ἔχοντος ζεστόν, ἐνθεῖ τε τι τούτῳ μικρὸν ἀγγεῖον, εἰς ὃ μέλλει τὸ ἔλαιον ἐγχεῖσθαι. τοῦτο μέν γε καὶ ἡμεῖς ποιοῦμεν, ἀλλ᾽ οὐκ εἰς τὴν τῶν σπερμάτων ἢ ἀνθῶν ἕψησιν. οὐδὲν γὰρ ταύτης δεόμεθα πολυχρονίως αὐτὰ ἀποβρέχοντες. ἀλλ᾽ ὁπότ᾽ ἂν διατήκειν ἐν τῷ λέβητι τὰς ῥητίνας καὶ τὸν κηρὸν ἐπιχειρῶμεν ἐν τῇ τοῦ φαρμάκου σκευασίᾳ. καταναγκαζόμενος δέ τις ἐν τάχει σκευάζειν αὐτὰ δεήσεται τε περισαφεψεῖν ὡς εἴρηται, καὶ ὕδατος ἐγχεῖν ἢ οἴνου χάριν τοῦ μὴ φρύγεσθαι. τὸ μὲν οὖν ὕδωρ εἰς τὰ παρόντα, χρησιμώτερον. ὁ δ᾽ οἶνος, εἴς τε τὰς ποδαγρικὰς διαθέσεις καὶ ὅλως ἀρθρίτιδας. ἀρκεῖ δὲ μιγνύναι τοσοῦτον ὕδατος, ὡς ἑψόντων ἐκδαπανηθῆναι πᾶν. εἴη δ᾽ ἂν οὕτως ὀλίγον, ὡς τετραπλάσιον ἢ πενταπλάσιον αὐτὸ τὸ ἔλαιον ὑπάρχειν. ταῦτά τε οὖν τὰ φάρμακα διαφορεῖ τοὺς κατὰ τὰς σάρκας τε καὶ τὸ δέρμα, μὴ πάνυ παχεῖς, μὴ δὲ γλίσχρους χυμούς. καὶ πρὸς τούτοις ἔτι, τὸ ἐκ τοῦ χαμαιμήλου ἔλαιον, αὐτό τε καθ᾽ ἑαυτὸ μόνον, ἐμβληθέντων τε κηροῦ καὶ ῥητίνης αὐτῷ. ἱκανὸν δὲ κἀνταῦθα, τοῦ μὲν κηροῦ τὸ τέταρτον μέρος τῆς δὲ ῥητίνης τὸ ιβ´. εἰ δὲ μηδενὸς τῶν εἰρημένων ἐλαίων εὐποροίη ἀνήθινον ἔλαιον ποιήσασθαί σοι ῥᾷστον. ἔστι δὲ καὶ τοῦτο διαφορητικὸν φάρμακον, εἴτε καταμόνας εἴη, εἴτε σὺν κηρῷ τε καὶ ῥητίνῃ χρῷτο. πειρᾶσθαι δ᾽ ἐπ᾽ ἀγγείου διπλοῦ τὸ ἀνήθινον ἕψειν. ἄμεινον δὲ καὶ χλωρὸν εἶναι τὸ ἄνηθον. ὅταν δὲ ἡ τοῦτο καθ᾽ ὃν χρῄζει καιρόν, ὡραῖον ὑπαρχέτω, καὶ τὸ σαμψύχινον δ᾽ ἔλαιον ἐπιτήδειον ἐν ὥρᾳ χειμερινῇ καὶ χωρίῳ ψυχρῷ, καὶ καταστάσει παραπλησίᾳ. λαμβανέτω δὲ καὶ τοῦτο κηροῦ τε καὶ ῥητίνης, εἰ παραμένειν ἔτι πλέον αὐτό γε βούλει τοῖς ἀλειφομένοις ὑπ᾽ αὐτοῦ σώμασιν. ὁμοίως δὲ καὶ τὴν λιβανωτίδα πόαν ἐναφεψεῖν ἐλαίῳ. καὶ εἰ μὴ δὲ ταύτην ἔχοις, ῥίζαν τοῦ ὑπὸ λευκοῦ, καὶ ἡ τοῦ σικύου ἀγρίου ῥίζα, καὶ ἡ τῆς ἀλθαίας, καὶ ἡ τῆς βρυωνίας ἱκανῶς διαφοροῦσιν ἐναποτιθέμεναι καὶ αὐτῆς τὴν ἑαυτῶν ποιότητά τε καὶ δύναμιν ἐλαίῳ τινὶ τῶν διαφορητικῶν. οὗ ὅ, τι δ᾽ ἂν ἐθέλῃς ἔλαιον οὕτω παρασκευασθὲν ἐμβαλεῖν, ἤτοι κηρὸν μόνον, ἢ καὶ ῥητίνην τινὰ σὺν αὐτῷ, κάλλιστόν γε καὶ παραμόνιμον ἄλειφαν κατασκευάσεις. ἀρκεῖ δὲ τοὐπίπαν ἐμβάλλειν τοῦ μὲν κηροῦ, τὸ τέταρτον μέρος, τῆς δὲ ῥητίνης τὸ δωδέκατον. εἰ δὲ καὶ δύο ῥητίνας ἐμβάλοις ἐλατίνην τε ἅμα καὶ στροβιλίνην, ἢ καὶ τρίτην ἐπ᾽ αὐταῖς τὴν τερμινθίνην, ἢ καὶ μὴ παρουσῶν τούτων τὴν ὑγρὰν πιτυίνην, ἔσται σοι καὶ οὕτω διαφορητικὸν τὸ φάρμακον. ἀρκεῖν δὲ τούτων, ἤ τοι τὴν ἐκ τῶν κεραμίων μιγνύναι πιτυίνην, ἢ καὶ τὴν φρυκτὴν ὀνομαζομένην, οὐδὲ μὲν ὡς ἀπολείπουσιν αὗται τῶν προειρημένων. οὐ μὴν παντάπασιν εἰσὶν ἀπόβλητοι. λοιπῆς δ᾽ οὔσης κοπώδους διαθέσεως ἐν ἢ πρὸς τῷ τῆς αἰσθήσεως ἑλκώδους πλῆθος ὠμῶν ἐν ὅλῳ τῷ σώματι περιέχεται, λεκτέον ἂν εἴη καὶ περὶ τῆσδε. χαλεπὸν δ᾽ οὐδὲν ἐξευρεῖν αὐτῆς τὴν ἐπανόρθωσιν ἀπὸ τῶν εἰρημένων ὁρμώμενον. εἰ γὰρ καὶ πότε μὲν ἐν ταῖς πρώταις φλεψὶ τὸ πλῆθος τῶν ὠμῶν ἐστι, τέμνειν αὐτὰ καὶ πέττειν ἔφαμεν χρῆναι φυλαττομένους τὴν εἰς τὸν ὄγκον ἀνάδοσιν. ὁπότ᾽ ἐν ταῖς ἐσχάταις φλεψὶ καὶ κατὰ τὴν ἕξιν τοῦ ζώου, πέττειν τε ἅμα καὶ διαφορεῖν. ἄμφω μικτέον ἐστὶν ἐφ᾽ ὧν ἄμφω συμβέβηκεν. εἰ μὲν ἰσοσθενῶς ἐνοχλεῖν σοι δόξειεν, ὁμοτίμως ἀμφοτέρων στοχαζόμενον. εἰ δὲ εἴη θάτερον ἐπικρατέστερον, εἰς ἐκεῖνο μὲν ἀναφέρων τῆς ὅλης θεραπείας τὸ κῦδος, ἀμελῶν μὴ δὲ θατέρου τοῦ μικροτέρου. μιχθήσεται μὲν οὖν, ἡ πρὸς ἀμφότερα θεραπεία, κατὰ τόνδε τὸν τρόπον, οὐδὲν γὰρ χεῖρον ἐπὶ παραδειγμάτων ὀλίγον εἰπεῖν τι καὶ περὶ τοῦδε. τῷ διὰ τριῶν πε-

πέρεως ἁπλοῦ φαρμάκου χρῆσθαι συμβουλεύομεν, ἐφ' ὧν ὠμῶν χυμῶν πλῆθος ἐν ταῖς φλεψίν ἐστι καὶ μάλιστα ταῖς πρώταις. εἰ τοίνυν μὴ μόνον ἐν αὐταῖς ἀλλ' ἐν πάσαις ταῖς φλεψὶν εἴη, καὶ ἤδη καὶ κατὰ τὰς σάρκας, ἐν ἀρχῇ μὲν τῆς ἐπιμελείας, τοῦ διὰ τριῶν πεπέρεων φαρμάκου χρηστέον, ἔχον τι καὶ πετροσελίνου τοσοῦτον, ὁπόσον ἂν εἶχεν ἀνίσου τε καὶ θύμου, καὶ ζιγγιβέρεως. μετὰ δὲ τὴν πρώτην ἡμέραν, καὶ μᾶλλον ἔτι τὴν δευτέραν ἐπιμιγνύναι αὐτῷ τοῦ διὰ τῆς καλαμίνθης. εἶθ' ἑξῆς ἴσα μικτέον. εἶτ' ἐπὶ προσήκοντι τῷ χρόνῳ, πλέον τοῦ διὰ τῆς καλαμίνθης. εἶτ' ἐπὶ τελευτῇ καὶ μόνον. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ τῆς ἄλλης ἁπάσης διαίτης, ὅταν ἰσοκρατεῖς αἱ διαθέσεις ὑπάρχωσι, μιγνύναι καὶ αὐτῶν τῆς ἐπανορθώσεως τοὺς σκοπούς. ἀλλ' ἐν ἀρχῇ μὲν ἐπικρατείτω τὰ τῶν ἐν ταῖς πρώταις φλεψὶν ἰάματα. κατὰ δὲ τὴν τελευτὴν, τὰ τῶν ἐν σαρκί. μεσοῦντος δὲ τοῦ χρόνου μιγνύσθω καθ' ἴσον ἀμφότερον. ταῦτά τε οὖν εἴρηταί μοι καὶ ἤδη δῆλον ὅπως ἐπανορθοῦσθαι χρὴ τὰ κατὰ τοὺς χυμοὺς ἁμαρτήματα, πρὶν νοσῆσαι τὸν ἄνθρωπον. ἐξ ὧν γὰρ ἐπὶ τῆς κοπώδους διαθέσεως εἴπομεν, ὅταν ἐπιμίγνυταί τινι κακοχυμίᾳ, πάρεστι συλλογίζεσθαι, καὶ περὶ τῶν ἄλλων ἑκάστης, ἐπειδὰν μόνη ποτὲ συνίσταται. περὶ μὲν οὖν τοῦ τε πρώτου γένους τῶν κόπων, ἐφ' ὧν νυγματώδης ἐστὶ κατὰ πάντα τοῦ ζώου αἴσθησις, ὅσαι τ' ἄλλαι μοχθηρῶν χυμῶν ἐν τῷ σώματι γίγνονται πλεονεξίαι, καθ' ἑαυτάς τε καὶ σὺν κόποις, σχεδὸν ἤδη λέλεκται πάντα. περὶ δὲ τοῦ τονώδους ὑφ' ἡμῶν κληθέντος κόπου, λέγω ἐφεξῆς. ὅτι μὲν οὖν ὁ τοιοῦτος κόπος ὅταν ἄνευ γυμνασίων συνίστηται πλῆθος ἐνδείκνυται διατεῖνον τὰ στερεὰ μόρια τοῦ ζώου, καὶ ἄλλοις μέν τισι τῶν εὐδοκίμων ἰατρῶν ἔδοξεν, οὐχ ἥκιστα δὲ καὶ τοῖς περὶ τὸν Ἐρασίστρατον, ὅτι δ' ὅταν αἵματος ᾖ πλῆθος, ἄριστόν ἐστι φλέβα τέμνειν, ἢ σχάζειν τὰ σφυρά, λέλεκται μέν που καὶ πρόσθεν. ἀναληπτέον δ' ἔτι καὶ νῦν τὸν λόγον, Ἐρασιστράτου χάριν. ὃς οὔτ' ἐπ' ἄλλης ὅλως οὐδεμιᾶς, οὔτ' ἐπὶ τῆσδε τῆς διαθέσεως ἐχρήσατο φλεβοτομίᾳ. ὅτι μὲν οὖν ἐπὶ τῆς ὑγιεινοτάτης φύσεως ὑπὲρ ἧς ὁ λόγος ἐνέστηκεν, ἐγχωρεῖ καὶ κατ' ἄλλον τρόπον ἐκκενοῦν τὸ τοιοῦτον πλῆθος, ἔμπροσθεν εἴρηται. ἐπὶ μὲν γὰρ τὰς μοχθηράς, ἐφ' ὧν τὸ περιττὸν ἐπὶ τὸν ἐγκέφαλον ἢ τὰ τῆς ἀναπνοῆς ὄργανα φέρεται, πηλίκον ἐστὶ κακὸν ἑτέρῳ τρόπῳ κενώσεως χρῆσθαι παραλείποντας φλεβοτομίαν, εἰρήσεται μέν που καὶ διὰ τῶν ἑξῆς ὑπομνημάτων, ὅταν ὑπὲρ τῶν μοχθηρῶν κατασκευῶν ὁ λόγος περαίνηται, λέλεκται δ' ἤδη κἀν τῷ περὶ φλεβοτομίας πρὸς Ἐρασίστρατον. ὅθεν οὐδὲ δεῖ μηκύνειν ἐν τῷδε περὶ αὐτῶν ἀλλ' ἐπὶ τὸν λοιπὸν καὶ τρίτον τῶν κόπων ὅταν αὐτομάτως συνίστηται τὸν λόγον ἄγειν, ὃν ἐν τῷ πρόσθεν ἐκαλέσαμεν φλεγμονώδη. διά τε τὸ τῆς ὀδύνης μέγεθος, καὶ ὅτι μετὰ θερμότητος ἐπιφανοῦς συνίσταται συνεξαίρων εἰς ὄγκον τοὺς μῦς. οὗτος ὁ κόπος, οὐδ' ὀρθῶν ὀλίγον, μή τοι γε δυοῖν ἢ τριῶν ἔχεται ἡμερῶν ἴσον ὄγκον τῆς Ἐρασιστράτου βραδυτῆτος, ἀλλ' αὐτίκα πυρετὸν ἐπιφέρειν σφοδρότατον, ἢ μή τις φθάσας ἀφέλῃ τοῦ αἵματος. καὶ γὰρ οὖν καὶ θερμότατόν ἐστι τὸ τῶν τοιούτων κόπων αἷμα, καὶ πλείστης αὐτοῦ δέονται τῆς κενώσεως ἅπαντες σχεδὸν οἱ καταληφθέντες τῷ κόπῳ, καὶ οἱ πολλοὶ δ' αὐτῶν πυρέττουσι κἂν ἀφέλοις τοῦ αἵματος. ὅθεν οὔτε βλακεύειν, οὔτε ὀλίγον ἀφελεῖν προσήκει, ἀλλὰ διὰ ταχέων ἐκκενοῦν, καὶ μέχρι λειποθυμίας ἄγειν, εἰ μηδὲν ἕτερον κωλύοι. κάλλιον δὲ εἰ ἐγχωρεῖ δὶς ἀφελεῖν ἐν ἡμέρᾳ μιᾷ, τὸ μὲν οὖν πρότερον οὕτω κενοῦντας, ὡς μὴ λειποθυμῆσαι τὸν ἄνθρωπον, τὸ δὲ δεύτερον οὐδὲ τὴν λειποψυχίαν φοβεῖσθαι προσήκει. τῇ μὲν γὰρ προτέρᾳ κενώσει καταλυθεὶς, οὐκ ἂν ὑπομείνῃ τὴν δευτέραν. ἐν ταύτῃ δ' εἴ τι πάθοι τοιοῦτον εὐανακόμιστον γίνεται. μὴ φλεβοτομηθέντες δὲ οἱ οὕτως διακείμενοι, τύχης ἀγαθῆς εἰς τὸ σωθῆναι δέονται, καὶ οὐδὲ σώζονται εἰ μὴ καθ' ἕτερόν τινα τρόπον, ἢ αἱμορραγήσαντες ἐκρίνοντο, ἢ λάβρων ἱδρώτων αὐτοῖς ἐκχυθέντων. ἐπισκοπεῖσθαι δὲ χρὴ μάλιστα μέλλοντας τέμνειν φλέβα, πότερον κατὰ θώρακα καὶ νῶτα καὶ ὀσφὺν ἐρείδουσιν αἱ τάσεις τε καὶ αἱ νυγματώδεις ὀδύναι, ἢ κατὰ κεφαλὴν καὶ τράχηλον μᾶλλον. οὕτως μὲν γὰρ τὴν ὠμιαίαν διαιρήσεις, καὶ μᾶλλον εἰ πλήρους αἰσθάνοιντο καὶ θερμῆς τῆς κεφαλῆς, ἐκείνους δὲ τὴν ἔνδον. εἰ δ' ὅλως ὁμαλῶς ὑπὸ τοῦ κόπου τὸ σῶμα κατέχοιτο, τὴν μέσην ἀμφοῖν. εἰ μὲν οὖν ἐπὶ τῇ φλεβοτομίᾳ πυρέσσειν ἄρξαιντο, τῆς θεραπευτικῆς ἔργον ἤδη μεθόδου προνοήσασθαι τούτων. εἰ δ' ἀπύρετοι διαμένοιεν, ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ἐπὶ τῇ φλεβοτομίᾳ πτισάνης χυλὸν ἢ ἐκ χόνδρου ῥοφήματα διδόναι μόνον, ἐν δὲ τῇ δευτέρᾳ καὶ λούειν ἂν ἤδη δύναιο σὺν ἐλαίῳ δαψιλεῖ, διαιτᾶν δὲ, κἂν λούσῃς μετριώτατα, θριδακίνης εἰ βούλοιτο διδόναι ἢ εἴτε κολοκύνθης, εἰ παρείη, καὶ πτισάνης. ἀγαθὸς δὲ καὶ ὁ χόνδρος, εἶθ' ὡς πτισάνην τις αὐτὸν ἡδύνας ὄξει σκευάζειν, εἴτε χωρὶς ὄξους. εἰ δὲ μὴ παρείη κολοκύνθη μαλάχῃ καὶ τεύτλῳ καὶ λαπάθῳ, καὶ ἀνδράφαξυϊ χρῆσθαι. εἰ δὲ σαρκὸς βούλοιτο γεύσασθαι, τῶν πετραίων ἰχθύων ἢ ὀνίσκων ἐν λευκῷ ζωμῷ καλῶς ἑψήσαντα διδόναι. προσαγορεύω δὲ λευκὸν ζωμὸν, ὅταν ἄνευ σαρκός τε καὶ πολὺ δὴ μᾶλλον τῆς ἄλλης καρυκείας σκευασθῇ, ἀνήθου τε καὶ ἁλῶν ἐμβληθέντων εἰς ὕδωρ σὺν ἐλαίῳ καὶ πράσῳ βραχεῖ. κάλλιον εἰ δὲ καὶ τῇ δευτέρᾳ τῶν ἡμερῶν οἴνου φείσαιτο. τῇ τρίτῃ δὲ, εἰ μὲν εὐπέπτως φέροι τὴν ὑδροποσίαν εἴργειν οἴνου καὶ τότε. μὴ φέροντος δὲ, μάλιστα μὲν ἀπόμελι διδόναι, καὶ γὰρ ἐμψύχει τέ πως ἠρέμα τοῦτο τὸ ποτὸν, οὗ καὶ αὐτοῦ χρήζουσιν οἱ φλεγμονώδεις κόποι. μὴ παρόντος δὲ τούτου, λεπτὸν καὶ λευκὸν οἶνον διδόναι, καὶ τἆλλα κατὰ λόγον ἀνακομίζειν, εὐχύμῳ τε καὶ μηδαμῶς θερμαινούσῃ διαίτῃ χρώμενον. εὐλαβεῖσθαι καὶ μάλιστα πάντων ἀθρόως ἀνατρέφειν, ὅσοι γὰρ ἐπὶ τοιαύταις κενώσεσιν εἰς τὴν ἐξ ἀρχῆς δίαιταν εὐθέως ἐπανῆλθον, ἐμπίπλανται τούτοις ἕξις ἀπέπτων χυμῶν. οὓς ἀναρπάζει πρὶν πεφθῆναι καλῶς ἔν τε γαστρὶ καὶ κατὰ τὰς φλέβας ὁ τοῦ σώματος ὄγκος. αὕτη μὲν ἡ ἀρίστη πρόνοια τοῦ φλεγμονώδους κόπου. διατί δὲ ἐπαφαιρεῖν τε κελεύομεν αἵματος ἐπ' αὐτῶν καὶ μὴ πληροῦν ἀθρόως, ἀρκεῖ μὲν δή που καὶ τὴν ἐμπειρικὴν αἰτίαν εἰπεῖν, ὅτι καὶ μᾶλλον ὀνίνανται κενωθέντες οὕτω, καὶ ὑγιαίνουσιν εἰς μακρὸν ὡς εἴρηται διαγόμενοι. προσθεῖναι δ' οὐκ ἂν χεῖρον ἂν εἴη, καὶ τὴν ἀπὸ τῆς φύσεως τῶν πραγμάτων ἔνδειξιν. ἐπεὶ τοίνυν ἐν τῷ φλεγμονώδει κόπῳ πλῆθος αἵματος ἠθροισμένου θερμοῦ κατὰ τὸν ὄγκον ἐστὶν, ἡ φλεβοτομία δὲ, τοὺς ἐν τοῖς ἀγγείοις ἐκκενοῖ χυμοὺς, ἄμεινον ἐπὶ τῇ προτέρᾳ κενώσει τοσοῦτον χρόνον διαλιπεῖν, ὡς μεταληφθῆναί τι καὶ εἰς τὰς φλέβας ἐκ τῶν κατὰ τὸ σῶμα. τοῦτο δ' οὐκ ἐπιτρεπτέον ἐν αὐταῖς ἀεὶ μένειν, ἡμιμόχθηρον ὑπάρχον, ἀλλ' ἐκκενωτέον αὐτοῦ τὸ πλεῖστον. ταῦτά τοι καὶ κατὰ τὴν δευτέραν ἡμέραν ἐπαφαιροῦμεν αἵματος. ἔνιοι δὲ καὶ κατὰ τὴν τρίτην, ἐπειδὰν

ἀντισπῶντι

ἀντισπῶντι καὶ μετάγειν ἐξ ἑτέρων εἰς ἕτερα συμφέρει δόξει. λέγεται δὲ καὶ περὶ τῶν τοιούτων ἁπάντων διορισμῶν ἀκριβέστερον ἐν τοῖς περὶ φλεβοτομίας, ὧν οὐκ ἐγχωρεῖ μεμνῆσθαι τανῦν, διὰ τὸ τῆς θεραπευτικῆς πραγματείας ἰδιώτερον ὑπάρχειν αὐτά, καὶ μέλλειν που καὶ αὖθις ἴσως ἡμᾶς ἐν τῇδε τῇ πραγματείᾳ περὶ φλεβοτομίας ἐντελέστερον διέρχεσθαι. λοιπὸν οὖν ὅτι ταχέως οὐ χρὴ πληροῦν ἐπὶ φλεβοτομίαις εἰπόντες, ἐνταῦθα καταπαύσομεν τὸν λόγον. ἕξει δὲ καὶ οὗτος εἰς πίστιν ὑπόθεσίν τινα τῶν ἤδη προαποδεδειγμένων, ἐν τῇ περὶ τῶν φυσικῶν δυνάμεων πραγματείᾳ. δέδεικται γοῦν ἐν ἐκείνῳ τῷ λόγῳ πᾶσι τοῖς ὑπὸ φύσεως διοικουμένοις ὑπάρχουσα δύναμις ἔμφυτος ἡ ἑλκτικὴ τῶν ὁμοίων χυμῶν ὑφ' ὧν τρέφεσθαι μέλλει. δέδεικται δὲ καὶ ὡς ἐπειδὰν ἀρχῇ μὲν οἰκείας τε καὶ ἅμα καὶ χρηστῆς τροφῆς, ἐπείγεται καὶ τῶν οὐ χρηστῶν τι συναρπάσαι. τοιοῦτον δ' ἐστί που τὸ μήπω πεφθὲν ἐν κοιλίᾳ τε καὶ φλεψίν. ἀναγκαῖον οὖν ἐπειδὰν πλείω λαμβάνῃ τὰ σιτία παρὰ τὸν καιρὸν ὥσπερ ὁ ἄνθρωπος ἀναρπάζεσθαι πλεῖστον ὠμὸν χυμὸν εἰς τὸν ὄγκον τοῦ ζώου διὰ πολλὰς αἰτίας. ὅτι τε φαυλότερον ἐν τῇ γαστρὶ καὶ ταῖς φλεψὶ πέπτεται τὸ πλέον, ὅτι τε πλέον εἰς τὸν ὄγκον ἀνέρχεται, διὰ τὸ πλέον ὑπάρχειν. ὅτι τε πρωϊαίτερον ἢ χρή, διὰ τὸ συγχωρεῖν μὲν τὴν γαστέρα ταῖς φλεψί, τὰς φλέβας δέ, ἅπασι τοῖς ἄλλοις τοῦ ζώου μορίοις ἐπισπᾶσθαι τὸ μήπω κατειργασμένον. ὅπερ οὐκ ἂν συνεχώρησαν ὁμοίως, εἴπερ ὀλίγον ἦν. ἐπιδέδεικται γὰρ ὡς αὐτὰ πρότερον ἀπολαύει τὰ μόρια τῆς οἰκείας τροφῆς, εἶθ' οὕτως ἑτέροις ἐπιπέμπει. τὸ δὲ δὴ τελευταῖον καὶ μέγιστον αἴτιον τῆς βλάβης τοῖς οὕτω διακειμένοις ἐστί, τὸ πολλὴν καὶ ἡμίπεπτον ἐπισπασάμενα τροφὴν τὰ καθ' ὅλον τὸν ὄγκον τοῦ ζώου μόρια, πλῆθος οὐκ ὀλίγον ἐξ αὐτῆς ἀπογεννᾶν περιττωμάτων. οὐδὲ γοῦν πέττειν αὐτὴν ἅπασαν ὁμοίως τῇ χρηστῇ δυνατὸν αὐτοῖς, οὔτε προσφύειν, οὔθ' ὁμοιοῦν, ἀλλ' ἀτυχεῖν ἐν ἑκάστῳ τῶν οἰκείων ἔργων ἐπὶ τῇ μοχθηρᾷ τε ἅμα καὶ πολλῇ τροφῇ. ὅμοιον γάρ τι συμβαίνειν αὐτοῖς ἀναγκαῖον οἷόν τι καὶ αὐτῇ τῇ γαστρὶ προσενεγκαμένῃ σιτία πολλά, κακῶς παρεσκευασμένα. λέγω δὲ παρεσκευάσθαι κακῶς, ὅσα δεόμενά τινος ἑψήσεως ἢ ὀπτήσεως οὐκ ἀπέλαυσε τελέως αὐτῆς. ἄρτον οὖν ἐλλιπῶς ὠπτημένον ἢ κρέας ἢ ὄσπριον ἀτελῶς ἑψημένον, ἀδύνατόν ἐστι πεφθῆναι χρηστῶς ἐν γαστρί. τὸν αὐτὸν δὲ λόγον ἔχει τὰ κατὰ τὴν γαστέρα μοχθηρῶς κατεργασθέντα πρὸς τὴν δευτέραν τὴν ἐν φλεψὶ πέψιν, δι' ἣν τὰ φαῦλα παρασκευασθέντα σιτία πρὸς τὴν ἐν τῇ γαστρί. καὶ μέντοι τὰ κατὰ τὰς φλέβας οὐκ ὀρθῶς πεφθέντα, τὸν αὐτὸν ἔχει λόγον ὡς πρὸς τὴν ἐν σαρκὶ πέψιν, ὃν εἶχεν τὰ μὲν σιτία πρὸς τὴν ἐν τῇ γαστρί. τὰ δ' ἐκ ταύτης ἀναδιδόμενα, πρὸς τὴν ἐν ταῖς φλεψίν, οὔτ' οὖν ἡ γαστὴρ ἀκριβῶς πέττει τὰ ἔξωθεν, οὔθ' αἱ φλέβες τὰ ἐκ τῆς γαστρός, οὔτ' αἱ σάρκες, τὰ ἐκ τῶν φλεβῶν, ὅταν μὴ καλῶς ᾖ προκατειργασμένον, κἂν τούτῳ πλῆθος ἀναγκαῖον ἐστὶν ἐν τῷ σώματι γεννᾶσθαι περιττωμάτων. ἐμοὶ μὲν οὖν εἴρηται τὸ σύμπαν, ὡς ἐν βραχυτάτῳ διελθεῖν, εἰ δέ τις ἑκάστου τῶν εἰρημένων εἰς τὴν ἀπόδειξιν ἐπιστήμην ἀκριβῆ λαβεῖν βούλεται τούτων, τὰ περὶ τῶν φυσικῶν δυνάμεων ἀναγνωστέον ἐστίν, ἐν οἷς ἀποδέδεικται πρῶτον μὲν ὡς ἡ γαστὴρ ἑαυτῆς ἕνεκα λαμβάνει τὴν τροφήν, ἵνα ἀπολαύσῃ τε καὶ ἀναπληρώσῃ τὸ ἐλλεῖπον ἑαυτῇ, καὶ διὰ τοῦτο περιπτύσσεται πανταχόθεν αὐτῇ καὶ κατέχει σύμπασαν, ἄχρι περ ἂν ἱκανῶς κορεσθῇ. δεύτερον καὶ ὡς ἐπειδὰν μηκέτι δέηται τοῦ τρέφεσθαι, τότ' ἀνοίγνυσι μὲν τὸν πυλωρόν, ἐκθλίβει δὲ καὶ ὠθεῖ κάτω τὰ περιττὰ τῶν σιτίων, οἷον ἄχθος ἀλλότριον. εἶθ' ὡς ἐν τῇ διὰ τῶν ἐντέρων ὁδῷ καὶ μάλιστα τῶν λεπτῶν ἀναρπάζουσιν αἱ καθήκουσαι φλέβες τὴν τροφὴν ἐκ τῆς πρὸς τὴν κοιλίαν ὁμιλίας ἠλλοιωμένην τε καὶ σφαλερωτέραν τῷ ζώῳ γεγενημένην. εἶτα καὶ κατὰ τὰς φλέβας ἐξ ἄλλης εἰς ἄλλην διαδίδονται τὸν ὅμοιον τρόπον, ὃν ἐκ τῆς γαστρὸς εἰς τὰς φλέβας, ἐντεῦθεν δ' ἤδη κατειργασμένην τέλεον, εἰς ἕκαστον ἕλκεται τῶν τοῦ ζώου μορίων. ἵνα πέττεται τὴν τρίτην πέψιν ὁμοιοῦταί τε τῷ τρεφομένῳ. ταῦτ' οὖν ὅστις ἐξ ἐκείνων ἀναλέξεται τῶν γραμμάτων, οὐκέτ' ἀπορήσει τὴν αἰτίαν δι' ἣν πολλοὶ κνωθέντες τὴν ἕξιν, εἰ μὴ μετρίως ἀνατρίφοιντο ἄν, πολλὰ περιττώματα καθ' ὅλην αὐτὴν ἀθροίζουσι καὶ νοσοῦσι ἐξ αὐτῶν οὐκ εἰς μικρόν.

ΓΑΛΗΝΟΥ ΥΓΙΕΙΝΩΝ

ΛΟΓΟΣ Ε'

Πέμπτον ἐνιστάμενος λόγον ὑπὲρ τῆς ὑγιεινῆς πραγματείας, παραμυθήσασθαι βούλομαι πρότερον, εἴ τινες ἄρα δυσχεραίνουσι τῷ μήκει τῆς διδασκαλίας, οὐ γοῦν ἡμέτερον, ἔγκλημα τοῦτό ἐστιν ἀλλὰ τῆς φύσεως αὐτοῦ τοῦ προκειμένου πράγματος ἴδιον. εἰ μὲν γὰρ οἷόν τ' ἐστὶ μακρὰν θεωρίαν ἐν βραχέσι διελθόντα μηδὲν τῶν χρησίμων παραλιπεῖν, ἡμεῖς ἁμαρτάνομεν, † οὐκ ἀνάγκην μηκύνοντες. εἰ δ' οὐκ ἐγχωρεῖ σαφέστερόν τε ἅμα καὶ θᾶττον ὑπὲρ τῶν αὐτῶν εἰπεῖν, οὐχ ἡμῖν μέμφεσθαι προσήκεν, ἀλλὰ τοῖς παραλιποῦσιν οὐκ ὀλίγα τῶν ἀναγκαίων, ἔστι δ' ἐν τοῖς ἀναγκαιοτάτοις τε ἅμα καὶ οἷον στοιχεῖον ἁπάσης τῆς ὑγιεινῆς πραγματείας, ὡς πάμπολλαι φύσεις τῶν ἀνθρώπων εἰσίν, ὅπερ ὡμολόγηται μὲν ἅπασι ἰατροῖς τε καὶ γυμνασταῖς, οὕτω δὲ γράφουσιν οἱ πλείους αὐτῶν ὑπὲρ τῆς ὑγιεινῆς ἀγωγῆς, ὡς ὑπὲρ ἑνὸς ἀνθρώπου διαλεγόμενοι, καὶ ταῦτα μηδὲν ἐπιδειξάμενοι κἂν ἕνα τινὰ πρὸς αὐτῶν ὠφεληθέντα, καίτοι γ' οὐδ' ἕνα δίκαιον ἦν, ἀλλὰ παμπόλλους ἐπιδείξαντας ἔμπροσθεν μὲν νοσοῦντας συνεχῶς, ὕστερον δ' ἀνόσους ἔτεσι παμπόλλοις ὑφ' ἑαυτῶν διαφυλαχθέντας, οὕτως ἐπιχειρεῖν γράφειν. ἀλλ' ἡμεῖς γε τοῖς ἔργοις αὐτοῖς ἐπεδειξάμεθα πρότερον καὶ τοὺς ἔμπροσθεν συνεχῶς νοσοῦντας ἀνόσους φυλάξαντες, ἐκ τοῦ πείθεσθαι τοῖς ὑγιεινοῖς παραγγέλμασιν, οὕτως ἐπεχειρήσαμεν ὑπὲρ αὐτῶν γράφειν, ἐνίους μὲν γοῦν ὅλως ἐκωλύσαμεν γυμνάζεσθαι, ταῦτα δὴ τὰ ἐκ τῶν ἐπιτηδευμάτων γυμνάσια μόναις ταῖς κατὰ τὸν βίον ἐνεργείαις ἀρκεῖσθαι βουλεύσαντες. ἐνίους δὲ τοῦ πλήθους ἀφελεῖν τῶν γυμνασίων ἐκελεύσαμεν, ὡς εἰς ἐλάχιστον συστεῖλαι τὸ πᾶν. ἐνίους δὲ τὰς ποιότητας ὑπαλλάξαι μόνας, ἢ τὴν τάξιν, ἢ τὸν καιρόν. ἐνίους δὲ τὴν σύμπασαν αὐτῶν ἰδέαν μεταβαλεῖν, ὡσαύτως δὲ καὶ περὶ λουτρῶν ὑποθήκας δόντες, ὡς ἤτοι μὴ λοῦσθαι παντάπασιν, ἢ πλείω τῶν ἔμπροσθεν, ἢ ἐλάττω καὶ πρὸ τροφῆς μόνον, ἢ καὶ μετὰ τροφήν, ἢ θερμοτέροις τοῦ πρόσθεν, ἢ χλιαρωτέροις ὕδασιν ἢ ψυχροτέροις, παντάπασιν ἀνόσους ἐφυλάξαμεν ἔτεσι παμπόλλοις, ἀλλ' οὐκ ἂν τούτων οὐδὲν ἐποιήσαμεν, εἰ μὴ

† αἱ. οὐ κατ' ἀναγ.

τε δὴ τὰς φυσικὰς τῶν σωμάτων διαφορὰς ἐπιστάμεθα, μήτε τὴν ἑκάστῳ προσήκουσαν ὑγιεινὴν δίαιταν. ἔνιοι δὲ
τῶν ὑγιεινὰ συγγράμματα γραφόντων, ἢ καὶ χωρὶς γραμμάτων ὑποθήκας διδόντων, οὐδὲ σφᾶς αὐτοὺς ἀνόσους
ἠδυνήθησαν φυλάξαι, κἄπειθ' ὅταν ἐπισκώπτωνται πρός τινων ἄλλα τέ τινα λεγόντων πρὸς αὐτοὺς καὶ προσφερο-
μένων ἐκεῖνο τὸ ἔπος, ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων, οἱ μὲν, εἰς ἀσχολίας δή τινας ἀναφέρουσι τὴν αἰτίαν, οἱ
δὲ, καὶ δι' ἀκολασίαν ὁμολογοῦσι νοσεῖν, ἀλλὰ τούτοις μὲν, ἡ ἀπολογία, πολὺ χείρων ἐστὶ τῆς κατηγορίας, ἐμοὶ γοῦν
κεῖται. τοῖς δ' εἰς τὰ περὶ τὸν βίον αὐτοῖς συμπίπτοντα τὴν αἰτίαν ἀναφέρουσιν, εἰ μὲν ἐφήμερόν τινα πυρετὸν πυ-
ρέξειαν, ἐπ' ἐγκαύσει καὶ ψύξει καὶ κόπῳ, καί τισιν ἑτέροις τοιούτοις, αἰτίοις ἀφίστασθαι χρὴ τῶν ἐγκλημάτων. εἰ δὲ
τινα τῶν ἄλλων, οὐκ ἀφίστασθαι. οὐδὲ γὰρ ἡμεῖς, τὸ πάμπαν ἀπύρετοι διεμείναμεν, ἀλλὰ διὰ κόπους δή τινας ἐπυ-
ρέξαμεν, ἁπάντων τῶν ἄλλων νοσημάτων ἀπαθεῖς διατελοῦντες, ἐτῶν ἤδη παμπόλλων, καὶ μέντοι καὶ πληγέν-
τες τινὰ μέρη τοῦ σώματος, ἐφ' οἷς ἕτεροι φλεγμοναῖς τε ἅμα καὶ βουβῶσι ἁλόντες ἐπύρεξαν, οὔτε βουβῶνα ἔσχο-
μεν, οὔτ' ἐπυρέξαμεν, οὐκ ἄλλοθέν ποθεν, ἢ ἐκ τῆς ὑγιεινῆς θεωρίας, τῶν τηλικούτων ἐπιτυχόντες. καὶ ταῦτα μήτε
κατασκευῆς σώματος ὑγιεινῆς εὐτυχήσαντες ἐξ ἀρχῆς, μήτε βίον ἀκριβῶς ἐλεύθερον ἔχοντες, ἀλλὰ καὶ ταῖς
τῆς τέχνης ὑπηρεσίαις δουλεύοντες, καὶ φίλοις, καὶ συγγενέσι, καὶ πολίταις ὑπουργοῦντες εἰς πολλὰ, καὶ τῶν
νυκτῶν τὸ πλεῖστον ἀγρυπνοῦντες, ἐνίοτε μὲν ἀρρώστων ἕνεκα, διαπαντὸς δὲ τῶν ἐν παιδείᾳ καλῶν, ἀλλ' ὅμως οὐκ
ἐνοσήσαμεν οὐδὲν νόσημα τῶν ἐκ τοῦ σώματος ὁρμωμένων, ἐτῶν ἤδη παμπόλλων, ὅτι μὴ καθάπερ ἔφην ἐφήμερον
ποτὲ πυρετὸν, ἐν τοῖς σπανιώτατα διὰ κόπον γινόμενον, καίτοι κατά γε τὴν τῶν παίδων ἡλικίαν, καὶ πρὸς ἔτι τὴν
ἐφήβων τε καὶ μειρακίων, οὐκ ὀλίγαις οὐδὲ μικραῖς ἑάλωμεν νόσοις, ἀλλὰ μετά γε τὸ εἰκοστὸν ὄγδοον ἔτος ἀπὸ γενε-
τῆς ἐμαυτὸν πείσας ὡς ἐστί τις ὑγιεινὴ τέχνη, τοῖς προστάγμασιν αὐτῆς ἠκολούθησα παρ' ὅλον τὸν ἐξῆς βίον, ὡς
μηκέτι νοσῆσαι νόσημα μηδὲν, ὅτι μὴ σπάνιόν που πυρετὸν ἐφήμερον. ἐστὶ δὲ δή που καὶ τοῦτον αὐτὸν φυλάξα-
σθαι τελέως, ἐλεύθερον βίον ἑλόμενον, ὡς ἔν τε τοῖς ἔμπροσθεν ἤδη γέγονε δῆλον, ἔτι τε μᾶλλον ἐστὶ σαφὲς ἐν
τοῖς ἐφεξῆς εἰρησομένοις, εἰ θέλει τις προσέχειν τὸν νοῦν, ἐγὼ γάρ φημι, μηδὲ βουβῶνα δύνασθαι γενέσθαι, τοῖς ἀκρι-
βῶς παρεσκευασμένοις εἰς ὑγίειαν, εἴτ' ἀπείρατον αὐτοῖς ἐστὶ τὸ σῶμα τοῦ γένους τῶν περιττωμάτων ἑκατέρου, τοῦ
τε περὶ τὸ ποσὸν, καὶ τοῦ περὶ τὸ ποιὸν, πρὸς μὲν δὴ τοὺς νῦν ἐπαγγελλομένους, ἢ λέγειν, ἢ γράφειν ὑγιεινὰ παραγγέλ-
ματα, καὶ ταῦθ' ἱκανά, πρὸς δὲ τοὺς ἔμπροσθεν ὑπὲρ ὧν οὔτε ἐκ τῆς τῶν ἄλλων ἱστορίας ἠκούσαμεν, ὡς ἤτοι σφᾶς
αὐτοὺς ἀνόσους διεφύλαξαν, ἢ τοὺς πεισθησομένους αὐτοῖς. οὔτ' ἐτόλμησαν ἐν τοῖς συγγράμμασιν ἀλαζονεύεσθαί τι
τοιοῦτον. οὐδ' ἀντιλέγειν ἀνάγκη, ἀλλὰ θαυμάζειν μόνον, εἴ τινες αὐτῶν ἐνὶ βιβλίῳ τὴν ὑγιεινὴν ἅπασαν θεωρί-
αν ἐπηγγείλαντο περιλαβεῖν, οὐ μὰ δί' οὕτω γράφοντες ὑπὲρ αὐτῆς ὡς Ἱπποκράτης ἐν τοῖς πρώτοις τε καὶ γενι-
κωτάτοις κεφαλαίοις ἐνδεικνύμενος τὴν μέθοδον, ἀλλ' ἐξεργαζόμενοι πᾶν ἀκριβῶς ὥσπερ ἡμεῖς, ἡ μὲν δὴ τοῦ
μήκους τῶν λόγων αἰτία καὶ δὴ λέλεκται. χρὴ δ' ὅς τι ἐστὶ φιλόκαλός τε ἅμα καὶ φιλόπονος ἐπὶ τοῖς ἀρίστοις, οὐ πρὸς
τὸ μῆκος ἀπαγορεύειν τῆς ὑγιεινῆς τέχνης, ἀλλὰ τοῦ μεγέθους ἄγασθαι τῶν ἐπαγγελμάτων αὐτῆς. πῶς γὰρ οὐ μεγά-
λα καὶ θαυμαστὰ τῆς τέχνης ταῦτ' ἐστὶν ἔργα. γηράσαντα μέχρι πλείστου, ταῖς αἰσθήσεσιν ἀπαθῶς ὑγιαίνοντα διὰ
παντὸς φυλάξαι ἄνοσον, ἀνώδυνον, ὁλόκληρον; εἴ γε μὴν μὴ παντάπασιν ἐξ ἀρχῆς νοσῶδες εἴη τε τυχηκὸς
σῶμα, ἀλλ' ἐγὼ καὶ πάνυ μοι δοκῶ τινὰς ὑγιεινοὺς φύσει θεάσασθαι παμπόλλοις νόσοις ἁλισκομένους, καὶ τελευτῶντας
δὲ, κατά γε τὸ γῆρας ἀνιάτοις περιπεσεῖν πάθεσιν, οὓς ἐνῆν ὅσον ἐπὶ τῇ φυσικῇ τοῦ σώματος ἕξει ταῖς τ' αἰσθήσε-
σιν ἁπάσαις ἀπηρώτους διατελέσαι, μέχρι γήρως ἐσχάτου, καὶ τοῖς ἄλλοις ἅπασι μορίοις τοῦ σώματος ὑγιαίνοντας.
πῶς οὖν οὐκ αἰσχρόν ἐστιν ἀρίστης φύσεως ταῦτα, βαστάζεσθαι μὲν ὑπ' ἄλλων διὰ ποδάγραν. κατατήκεσθαι δὲ ταῖς
ὀδύναις λιθιῶντα, καὶ τὸ κῶλον ἀλγοῦντα, καὶ περὶ κύστιν ἕλκος ἐκ κακοχυμίας ἔχοντα; πῶς δ' οὐκ αἰσχρόν ἐστι διὰ
τὴν θαυμαστὴν ἀρθρῖτιν ἀδυνατοῦντα χρῆσθαι ταῖς ἑαυτοῦ χερσὶν, ἑτέρου δεῖσθαι τοῦ προσφέροντος τὴν τροφὴν τῷ
στόματι καὶ τοῦ τὴν ἕδραν ἀπονίζοντος ἐν τοῖς ἀποπάτοις, ἅμεινον γὰρ ὅστις μὴ παντάπασιν εἴη μαλακὸς, ἑλέσθαι
δὴ μυριάκις τεθνάναι, πρὶν τοιοῦτον ὑπομεῖναι βίον. εἰ δὲ δὴ καὶ τοῦ κατ' αὐτὸν αἴσχους τις ὑποφορὰ δι' ἀναισχυν-
τίαν τε καὶ μαλακίαν, ἀλλὰ τῶν γε πόνων οὐκ ἔχειν ὑποφορὰν, οὓς νύκτωρ τε καὶ μεθ' ἡμέραν ἔχουσιν, ὥσπερ ὑπὸ δη-
μίων στρεβλούμενοι τῶν παθῶν. καίτοι τούτων ἁπάντων, ἢ ἀκολασίαν, ἢ ἄγνοιαν, ἢ ἀμφοτέρας, ἢ ἀναγκαῖον αἰτιᾶσθαι.
ἀλλὰ τὴν μὲν ἀκολασίαν, οὐκ ἦν καιρὸς ἐπανορθοῦσθαι. τὴν δ' ἄγνοιαν ὧν χρὴ ποιεῖσθαι, ἐλπίζω διὰ τῆσδε τῆς πραγματείας
ἰάσασθαι καθ' ἑκάστην φύσιν σώματος, ἰδίαν ὑγιεινὴν ἀγωγὴν θέμενος. ἄρξασθαι δέ μοι που δεικνύειν ἂν ἦν, ἀπὸ τῆς
ἀρίστης, ἧς ὁ σκοπὸς ἐστὶν οὐκ ἐπανόρθωσις, ἀλλὰ φυλακὴ τῶν ὑπαρχόντων, ὅπερ ἡμεῖς ἐποιήσαμεν, εἰπόντες ὑπὲρ
αὐτῆς ἄχρι δεῦρο καθ' ἑκάστην τῶν ἡλικιῶν, πλὴν τῆς παρακμαστικῆς καλουμένης, ἧς τὸ τελευταῖον μέρος ἰδίως ὀνο-
μάζεται γῆρας. ἔχοντός τινα καὶ τούτου θεωρίαν ἰδίαν, ὡς ὕστερον εἰρήσεται κατ' ἐκεῖνο τοῦ λόγου τὸ μέρος, ἔνθα τὸ καλούμενον
τῆς τέχνης γηροκομικὸν μέρος, εἰς διδασκαλίαν ἄξομεν. ἀλλὰ νῦν γε τὰ κυριώτατα τῶν εἰρημένων ἀναλαβόν-
τες ἐπὶ τὰς μοχθηρὰς φύσεις τῶν σωμάτων μεταβησόμεθα, δεικνῦντες ὅπως ἑκάστην αὐτῶν ἐν ὑγείᾳ μάλιστα φυ-
λακτέον ἐστίν. τὸ τοίνυν ἄριστον σῶμα σκοπὸς ἔχει περὶ μὲν τὰς ποσότητας τε καὶ ποιότητας καὶ δυνάμεις. ἐν μὲν
τοῖς γυμνασίοις, τὰ μέτριά τε καὶ σύμμετρα προσαγορευόμενα, μετὰ τοῦ πᾶσιν ὁμοτίμως τοῖς μορίοις τοῦ σώμα-
τος προσάγεσθαι, φυλαττομένων ἡμῶν ἅπασαν ὑπερβολήν. εἰ δὲ ποθ' ἁμαρτηθείη καθ' ὁτιοῦν τῶν εἰρημένων ἐπανορ-
θούντων τὸ σφάλμα. περὶ δὲ τὴν τῶν ἐσθιομένων τε καὶ πινομένων φύσιν ἐν ποσότητι καὶ ποιότητι καὶ δυνά-
μει, σκοπὸς πάλιν ἐστὶ κἀνταῦθα τὸ σύμμετρον, ὡς μήτε πλείω μήτ' ἐλάττω λαμβάνειν, ἀλλ' ἢ ὅσα πεφθέν-
τα καὶ ἀναδοθέντα καὶ θρέψαντα τὸ σῶμα καλῶς, εἰ δέοι καὶ τοῖς ἔτ' αὐξομένοις τι προστεθεῖναι σύμμετρον,
οὐδὲν ἐάσει περιττὸν, οὐδ' ἐνδεές. οὕτω δὲ καὶ περὶ τοὺς ὕπνους τε καὶ τὰς ἐγρηγόρσεις, καὶ τὰ λουτρὰ, καὶ τὰς τῆς
ψυχῆς ἐνεργείας, ὅσα τ' ἄλλα τοιαῦτα τὴν συμμετρίαν δηλονότι προσήκει φυλάττειν. εἰ δὲ ποθ' ἁμάρτοι τις
καθ' ὁτιοῦν τῶν εἰρημένων, ἐπανορθοῦσθαι τὸ σφάλμα. κοινὸς δ' ἔστω σοι σκοπὸς ἁπάσης ἐπανορθώσεως, ἡ τῆς
ἐναντίας ἀμετρίας χρῆσις. εἰ μὲν ἐπὶ πλέον ἐπόνησε τὸ σῶμα τῇ προτεραίᾳ καθαιροῦντι τὸ πλῆθος τῶν γυμ-

νασίων

ὑπεσίων. εἰ δ' ἐνδεέστερον, αὐξάνοντι. οὕτω δὲ εἰ καὶ ὀξυτέραις ἐχρήσατο ταῖς κινήσεσιν, ἀνιέντι μετρίως. εἰ δ' ἐκλελυμέναις, ἐπιτείνοντι. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ μὲν ταῖς εὐτονωτέραις, τὰ μαλακώτερα γυμνάσια παραλαμβάνων, ἐπὶ δὲ ταῖς ἀτονωτέραις, ἰσχυρότερα, καὶ τὰ σφοδρὰ δὴ τοῖς ἀμυδροῖς ἀντεισάγων, καὶ τοῖς σφοδροῖς τἀναντία. καὶ συλλήβδην εἰπεῖν ἁπάσας ἀμετρίας ἐπανορθούμενος, διὰ τῆς ἐναντίας, ἀμετρίας, ὑγιαίνοντα διαφυλάξαι τὸν ἄνθρωπον. εἰς δὲ τὸ μηδὲν ἐν ταῖς ἐπανορθώσεσι σφάλλεσθαι πρῶτον μὲν χρὴ γινώσκειν ἀκριβῶς τὰς διαθέσεις τοῦ σώματος, εἶτα μεμνῆσθαι τῶν ἐν τῇ προτεραίᾳ προγεγενημένων ἁπάντων. αἱ μὲν γὰρ διαθέσεις, ἐνδείξονται τὸ πλημμεληθέν, ἡ μνήμη δὲ τῶν προγεγενημένων εἰς ὅσον χρὴ μετακινῆσαί τι τῶν συνήθων ὑπαγορεύσει. κατὰ μὲν δὴ τὰς διαθέσεις, αἳ τοιαίδε εἰσὶν ἀμετρίαι, ὡς ἰσχνότερον, ἢ εὐογκότερον, ἢ σκληρότερον, ἢ μαλακώτερον, ἢ ξηρότερον, ἢ ὑγρότερον, ἢ ἀραιότερον, ἢ πυκνότερον ἑαυτοῦ φαίνεσθαι τὸ σῶμα, πρὸς τῷ μὴ κατὰ φύσιν ἀκριβῶς ἀποσώζειν εὔχροιαν. ἡ μνήμη δὲ τῶν προγεγονότων, αὐτό τε τὸ ἁμαρτηθὲν ἐνδείξεταί σοι καὶ διδάξει τὴν ἐπανόρθωσιν ἐκ τοῦ παραβάλλεσθαι τοῖς ἐνεστῶσιν. εἰ μὲν γὰρ ἰσχνότερον τὸ σῶμα φαίνοιτο, σκοπεῖσθαι χρὴ καὶ ἀναμιμνήσκεσθαι, πότερον πλείω τοῦ προσήκοντος ἐπόνησεν, ἢ ὀξυτέραις ἐχρήσατο ταῖς κινήσεσιν, ἢ περὶ τὴν τρῖψιν ἐπλεόνασεν, ἢ τὰ λουτρά. καὶ μετὰ ταῦθ' ἑξῆς ἐπισκοπεῖσθαι πότερον ἐφρόντισεν, ἢ ἠγρύπνησεν, ἢ ὑπεξέκρινε κατὰ γαστέρα, πολὺ πλείω τοῦ προσήκοντος. ἐπισκοπεῖσθαι δὲ καὶ εἰ ὁ οἶκος θερμότερος ἐν ᾧ διέτριψεν, ἢ ἔφαγεν ἔλαττον, ἢ ἔπιεν, ἢ ἀφροδισίοις ἐχρήσατο πλείοσιν. εἰ δ' ἐν ὄγκῳ μείζονι τὸ σῶμα φαίνοιτο, μὴ τρῖψις μαλακή, ἢ γυμνάσιον ἔλαττον, ἢ βραδύτερον, ἢ πλείων ὕπνος, ἢ ἐποχὴ γαστρός, ἢ σιτίων πλῆθος ἀμέμπτως πεφθέντων. εἰ δὲ σκληρότερον ἑαυτοῦ φανείη τὸ σῶμα, τρίψεων ἀναμνησθῆναι χρὴ πρῶτον, εἶτα γυμνασίων εὐτόνων μετ' ἀνταγωνιστοῦ σκληροῦ πηλοῦντος, καὶ πρὸς τούτοις εἰ ἐν κόνει καὶ ταύτῃ σκληρᾷ καὶ ψυχρᾷ, καὶ εἰ χωρὶς τῆς καλουμένης ἀποθεραπείας. εἶθ' ἑξῆς λουτρῶν, εἰ ψυχρὰ παντάπασιν, ἢ λίαν θερμά, καὶ ὁ οἶκος ἐν ᾧ διέτριψεν ἐγρηγορώς τε καὶ κοιμώμενος, ψυχρός, ἔτι δὲ σιτίων ξηρότητα καὶ πομάτων ἔνδειαν. εἰ δὲ μαλακώτερος ἑαυτοῦ γένοιτο κατὰ τὴν ὑστεραίαν τὸ σῶμα, πρῶτον μὲν ἀναμιμνήσκεσθαι χρὴ τῆς τρίψεως, εἰ μαλακή τε καὶ σὺν λίπει, καὶ λουτροῖς ἀτρέμα καὶ ἀραιοτέροις ἐγένετο. μετὰ δὲ τὴν τούτων ἐπίσκεψιν εἰ τὰ γυμνάσια βραδέα καὶ ὀλίγα καὶ μετὰ τοῦ συμπαλαίοντος ἀμετρώτερον ἁπαλοῦ, κἄπειτα περὶ πόματος εἰ πλέον, εἶθ' ἑξῆς ἐδεσμάτων ἢ πλειόνων ἢ ὑγροτέρων τὴν φύσιν, εἶθ' ὕπνων, εἰ πλείους. ἐγγὺς δὲ τῆς μαλακῆς τοῦ σώματός ἐστι διαθέσεως, ἡ ὑγρὰ καλουμένη, πλὴν ὅσον ἡ μὲν μαλακή, τῶν σωμάτων αὐτῶν ἐστιν οἰκεία ποιότης ἡ δ' ὑγρά, τῶν ἐν αὐτοῖς ὑγρῶν, διακρίνεται δ' ἁπτομένων, ἡ μὲν γὰρ ὑγρά, σὺν ἰκμάσιν ἐστίν, ἡ δὲ μαλακή, χωρὶς τούτων, ὄντος δὲ δηλονότι καὶ τοῦ μαλακοῦ σώματος ὑγροῦ, τοῖς οἰκείοις μορίοις, ἀλλ' ἕνεκα σαφοῦς διδασκαλίας, μαλακὸν μὲν τοῦτο καλείσθω, τὸ δ' ἕτερον ὑγρόν, ἡ μὲν οὖν ἀμέτρως ξηρὰ διάθεσις, εὐθὺς σκληρύνει τὴν ἕξιν, οὐκ ἐξ ἀνάγκης δὲ μετὰ μαλακότητός ἐστιν ἡ ὑγρά, δύναται μὲν γὰρ ἐσκληρῦνθαι μὲν ἡ σάρξ, ἀναφέρεσθαι δ' ἐκ τοῦ σώματος ἰκμὰς ἢ ἱδρώς, περὶ μὲν οὖν τῶν ὑγροτήτων. ἢ τοι γ' ἀφροδισίων χρῆσιν ἄκαιρον, ἢ ἀπό τινος ἑτέρας αἰτίας ἀρρωστίαν τῆς δυνάμεως, ὑποπτευτέον, ἢ ἀραιότητα τοῦ σώματος περὶ μαλακαῖς ἀμέτρως τρίψεσιν, ἢ λουτροῖς πλείοσιν, ἢ ἀέρι τῷ κατὰ τὸν οἶκον ἐν ᾧ διέτριψε θερμοτέρῳ παρὰ τὸ δέον. ἐπισκεπτέον δὲ καὶ περὶ πομάτων εἰ πλέον, ἢ ὕπνοι πολλῷ πλείους τῶν κατὰ φύσιν, ἢ εἰ τὸ περιέχον ἀθρόως μετέβαλεν εἰς ὑγρότητά τε καὶ θερμότητα, καὶ περὶ τροφῶν δ' ὡσαύτως, ἐπὶ δὲ τῆς ἁπαλότητος, ἢ μαλακότητος, ἑκάτερον γὰρ ὀνομάζειν ἔθος ἐστίν, ὅταν ποτὲ χωρὶς ὑγρότητος ᾖ, πεπέφθαι μὲν τὴν τροφὴν ὀρθῶς καὶ τετράφθαι τὸ σῶμα, γεγυμνάσθαι δὲ ἐνδεέστερον. ἔμπαλιν δὲ ἐπὶ τῆς σκληρότητος, ἢ τετρίφθαι σκληρῶς, ἢ γεγυμνάσθαι πλείω μετὰ τοῦ σκληροῦ σώματος ἐν κόνει. ξηρότης δὲ τῆς ἕξεως, ἔνδειαν πόματος, ἢ τροφῆς, ἢ ἀγρυπνίαν, ἢ μέριμναν βιωτικήν, ἢ πολλὴν τρῖψιν, ἢ γυμνάσιον ἄμετρον ἐνδείκνυται, ταῦτά τε οὖν βίον σκεπτόμενος, ἐπανορθοῦσθαι συνηθείας καθ' ἑκάστην ἡμέραν τὸ σφάλμα, πρὶν αὐξηθὲν δυσίατον γενέσθαι. μέμνησο δ' ἀεὶ τοῦ πᾶσαν ἀμετρίαν εἰς ἐπανόρθωσιν ἄγεσθαι διὰ τῆς ἐναντίας ἀμετρίας, ὁ γάρ τοι σκοπὸς οὗτος, ἁπάντων ἐστὶ κοινὸς τῶν παρὰ φύσιν, ὥς τε χρὴ προσθέντα σε κατὰ δὲ τήν τε τῶν σωμάτων αὐτῶν διάγνωσιν ὧν προνοεῖσθαι μέλλεις. ἑκάστου τε τῶν βοηθημάτων τὴν δύναμιν, ἁπάσης ἐπιστήμονα τῆς περὶ τὸ σῶμα τέχνης γενέσθαι, καθ' ἣν οὐ μόνον τοὺς ὑγιαίνοντας ἐν ὑγείᾳ διαφυλάξεις, ἀλλὰ καὶ τοῖς νοσοῦσιν ἀναλήψῃ τὴν ἀρχαίαν ἕξιν. ὁποῖον μὲν οὖν ἐστι τὸ ἄριστον σῶμα, πρότερον εἴρηται, τὸ ὑπολειπόμενον τοῦ δὲ γινώσκειν μέν σε χρὴ διὰ τρεῖς αἰτίας ἀπολειπόμενον, ἢ ὅτι κακῶς ἐξ ἀρχῆς κατεσκευάσθη κυούμενον, ἢ ὅτι μετὰ ταῦτα πρός τινος αἰτίας εἰς τὴν παρὰ φύσιν ἤχθη διάθεσιν, ἢ κατὰ τὸν τῆς ἡλικίας λόγον. πειρᾶσθαι δ' ἐπανορθοῦσθαι πάντα, διὰ τῆς ἀντικειμένης ἀμετρίας. οἷον αὐτίκα περὶ γήρως, τὸ γῆρας ἐστὶ μὲν ψυχρὸν καὶ ξηρόν, ὡς ἐν τοῖς περὶ κράσεων ἐπιδέδεικται λόγοις. ἐπανόρθωσις δ' αὐτοῦ, διὰ τῶν ὑγραινόντων τε καὶ θερμαινόντων γίνεται. τοιαῦτα δ' ἐστὶ θερμὰ λουτρὰ γλυκέων ὑδάτων καὶ οἴνου πόσις ὅσαι τε τῶν τροφῶν ὑγραίνειν ἅμα τε καὶ θερμαίνειν πεφύκασι. περὶ δὲ γυμνασίων ἢ τρίψεων ἁπάσης τε κινήσεως, ἀπὸ τούτων γοῦν ἄρξασθαι βέλτιον, ἐπειδὴ καλῶς εἴρηται τοὺς πόνους τῶν σιτίων ἡγεῖσθαι, τὰ δὲ χρὴ γινώσκειν, ὡς ἐκ μέρους μέν τινος ὀρθῶς εἶπεν ὁ ποιητής, ἐπὴν λούσαιτο φάγοι τε εὕδοι μὲν μαλακῶς, ἡ γὰρ δίκη, ἐστὶ γερόντων. οὐ μὴν τό γε σύμπαν ἐν τούτῳ τέτακται. δέονται γὰρ οἱ γέροντες οὐδὲν ἧττον τῶν νέων εἰς κίνησιν ἄγειν τὸ σῶμα, κινδυνευούσης αὐτῆς σβεσθῆναι τῆς ἐμφύτου θερμασίας. ἐπί γε τῶν ἀκμαζόντων σωμάτων, εὑρίσκονταί τινες φύσεις, ἡσυχίας δεόμεναι, περὶ ὧν εἴρηταί τε καὶ Ἱπποκράτει, γερόντων δ' οὐδεὶς χρῄζει παντελοῦς ἡσυχίας, ὥσπερ οὐδὲ γυμνασίου σφοδροῦ, ῥιπίζεσθαι μὲν γὰρ αὐτῶν δεῖται τὸ θερμόν, ἐξελέγχεται δὲ κατὰ τὰς σφοδροτέρας κινήσεις, αἱ μὲν οὖν μεγάλαι φλόγες οὐδὲν ἔτι χρῄζουσι τοῦ ῥιπίζοντος, ἀλλ' ἑαυταῖς εἰσὶν ἱκαναί, πρὸς τὸ διασώζεσθαί τε καὶ κρατεῖν τῆς ὕλης. οὔκουν οὐδ' ἀνατρίβεσθαι μετὰ τοὺς ὕπνους ἕωθεν ἅπαντες οἱ κάμνοντες δέονται, καθάπερ οἱ γέροντες, ὁ γάρ τοι σκοπὸς τῆς τοιαύτης ἀνατρίψεως ἅμα λίπει γινομένης, διττός ἐστιν, ἢ κοπώδη διάθεσιν ἰάσασθαι πρὶν αὐξηθεῖσαν ἅψαι πυρετόν, ἢ ἀρρωστοῦσαν ἀνάδοσιν ἐπεγεῖραι. πολλοὺς γὰρ ἀτροφοῦντας ἐκ μακροῦ χρόνου, ῥαδίως ἐν ὀλίγαις ἡμέραις ἐσαρκώσαμεν, ἐπὶ τὴν τοιαύτην ἀνάγοντες τρῖψιν. ἀλλ' ὅπερ ἄλλοις κατὰ πάθος ἐν χρόνῳ τινὶ γίνεται, τοῦτ' ἀεὶ τοῖς γέρου-

σιν ὑπάρχει, καὶ ψυχρὸν γοῦν ὅλον αὐτῶν ἐστὶ τὸ σῶμα, καὶ ἀδύνατον ἕλκειν τὴν τροφὴν ἐφ' ἑαυτὸ, καὶ κατεργάζεσθαι καλῶς καὶ τρέφεσθαι πρὸς αὐτῆς, ἀλλ' ἡ τρῖψις ἐπεγείρουσα τὸν ζωτικὸν τόνον αὐτῶν καὶ θερμαίνουσα τὰ μέτρια, τήν τ' ἀνάδοσιν εὐπετεστέραν ἐργάζεται, καὶ τὴν θρέψιν ἑτοιμοτέραν. οὕτω τοι καὶ διαιτώμενοι, νέοι τε πολλοὶ τῶν ἀτροφούντων ἐσαρκώθησαν, οἵ τε γέροντες ὤναντο πάντες. ἓν μὲν δή σοι τοῦτο καθάπερ τι γυμνάσιον ἔστω τοῖς γέρουσιν ἕωθεν γιγνόμενον, ἡ μετ' ἐλαίου τρῖψις, ἐφεξῆς δὲ περίπατοί τε καὶ αἰωρήσεις ἄκοποι, στοχαζομένῳ τῆς τοῦ γέροντος δυνάμεως, δι' ὅπερ ἡμῖν εἴρηται πρόσθεν, περὶ ἐδεσμάτων τε καὶ πομάτων, οὐκ ὀλίγα. παραδείγματος δ' ἕνεκεν, καὶ νῦν εἰρήσεται περὶ τῶν γυμνασίων, ὑπὲρ ὧν ἐμάθομεν ἔμπροσθεν, ὡς τὰ μὲν ὀξέα, προσαγορεύουσιν δ' οὕτως, ὧν αἱ κινήσεις ταχεῖαι, λεπτύνει τὸ σῶμα, τὰ δ' ἐναντία, παχύνει, καὶ πολλὰ μὲν ξηραίνει, τὰ δὲ μέτρια σαρκοῖ. λέλεκται δὲ καὶ περὶ τῶν ἄλλων ἐν αὐτοῖς διαφορῶν ἁπασῶν, ὥσπερ γε καὶ περὶ τῶν τρίψεων, αἱ δὲ τῶν γυμνασίων ἰδέαι τοῖς γέρουσιν ὅσαι τ' ὠφέλιμοι καὶ ὅσαι βλαβεραὶ, κριθήσονται τῇ τε τοῦ σώματος ὅλου διαθέσει, καὶ τοῖς ἔθεσι, καὶ τοῖς ἐνοχλοῦσι παθήμασι. τῇ μὲν ὅλου τοῦ σώματος διαθέσει, κατὰ τάδε. τὸ μὲν γοῦν ἄριστον τῇ κατασκευῇ σῶμα περὶ οὗ μέχρι δεῦρο πεποίημαι τὸν λόγον ἐξ ἀρχῆς ὥσπερ ἐν νεότητι πρὸς ἅπαντας τοὺς σφοδροτάτους πόνους ἐπιτηδειότατον ἐστὶν, οὕτως ἐν γήρᾳ, πρὸς ἅπαντας τοὺς μετρίους, τὸ δ' ἤτοι παχυσκελὲς, ἢ εὐρύστερνον, ἢ περαιτέρω τοῦ προσήκοντος ἰσχνοσκελὲς, ἢ ὅσοις ὁ θώραξ μικρός ἐστιν, ἢ κομιδῇ ἔσται στενὸς, ἢ τὸ βλαισὸν, ἢ τὸ ῥαιβὸν, ἢ ὁπωσοῦν ἄλλως ἀσύμμετρον, εἰς τὰ πολλὰ τῶν γυμνασίων οὐκ ἂν ἐπιτήδειον. ἐν μὲν γὰρ τοῖς διὰ τῆς φωνῆς γιγνομένοις, ὁ κακῶς παρεσκευασμένος θώραξ, ἐν δὲ τοῖς διὰ τῶν περιπάτων, τὰ σκέλη βλάπτεται, κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐπί τε χειρῶν εἰρῆσθαί μοι νόει, καὶ τραχήλου, καὶ νώτου, καὶ ὀσφύος, ἰσχίων τε καὶ τῆς ῥάχεως ὅλης. ὅτι γὰρ ἂν αὐτῶν ᾖ κακῶς ἐξ ἀρχῆς κατεσκευασμένον, ἐξελέγχεται μᾶλλον, ἢ ῥώννυται γυμναζόμενον, εἰ μὴ ἄρα τις τὰς ἀμέτρους κινήσεις ὀνομάζειν ἐθέλει γυμνάσια σύμμετρα, τοῖς ἀσθενέσι μορίοις. ἀλλ' οὕτως περὶ ὀνόματος μᾶλλον, ἢ πράγματος ἡ ἀμφισβήτησις ἔσται. τὰ δ' εἰς ὑγείαν διαφέροντα τῷ γέροντι γυμνάσια, διὰ τῶν ἰσχυροτέρων χρὴ ποιεῖσθαι μορίων. συγκινεῖται γὰρ ἐκείνοις καὶ γυμνάζεται τὰ λοιπά, καὶ μὴν δὴ καὶ ἔθη μεγίστην ἔχει μοῖραν εἰς αἵρεσιν ἰδέας γυμνασίων. ἄκοποι τε γοῦν αὐτοῖς αἱ εἰθισμέναι γίνονται κινήσεις, ἥδονταί τε κατ' αὐτὰς ἐνεργοῦντες. ὥσπερ αὖ πάλιν ἐν τοῖς ἀήθεσιν ἄχθονταί τε καὶ κοπώδεις γίνονται. τῶν δὲ τεχνικῶν ἐνεργειῶν, οὐδ' ἅψασθαι δυνατόν ἐστι, ἢ αὐλεῖν ἢ σαλπίζειν, ἢ κιθαρίζειν, ὥσπερ γε τῶν κατὰ παλαίστραν, ὅσοι παλαισμάτων ἀμαθεῖς, ἕκαστον οὖν τῶν γερόντων, ἐν τοῖς συνήθεσι γυμνάζειν, ἀνιέντας αὐτῶν τὴν σφοδρότητα. τρίτος δὲ σκοπὸς ἰδέας γυμνασίων ἀπὸ τῶν παθημάτων λαμβάνεται, κοινὸς μὲν ἁπάσης ἡλικίας ὑπάρχων, οὐ μὴν ἴσην γε τὴν δύναμιν ἐν ἁπάσαις ἔχων, ὅτι μὴ δὲ τὴν βλάβην ἴσην ἐργάζεται παροφθείς. ὅσοι μὲν γὰρ ἑτοίμως ἁλίσκονται σκοτώμασιν, ἢ ἐπιληψίαις, ἢ ὀφθαλμίαις σφοδραῖς, ἢ ὠταλγίαις, οὐ χρὴ τούτους ἐπινεύοντας, ἢ κατακύπτοντας, ἢ καλινδουμένους χαμαὶ γυμνάζεσθαι, περιπάτοις δὲ πολλάκις καὶ δρόμοις μετρίοις, αἰωρήσεσί τε ἐπὶ τῶν ὀχημάτων ἀκόπως χρῆσθαι. παραπλησίῳ δὲ τρόπῳ, καὶ ὅσοις παρίσθμια ῥᾳδίως, ἢ ἀντιάδες, ἢ συνάγχαι γίνονται, καὶ τοῖς γαργαρεὼν ἑτοίμως ῥευματίζεται, καὶ ὅσοις οὖλα, καὶ τοῖς ὀδόντες, ἢ ὅλως τι τῶν κατὰ τὸν τράχηλόν τε καὶ τὴν ὅλην κεφαλὴν μορίων, ἡμικρανίᾳ γοῦν ἐνοχλοῦνται πολλοί, καὶ τρίβοντας ἄλλοι συνεχῶς ἀλγοῦσιν, ἐπὶ μικραῖς προφάσεσιν, ὧν οὐδεὶς ἀνέχεται γυμνασίου πληροῦντος κεφαλὴν, ἀλλ' ἐστὶν ἅπασιν αὐτοῖς τὰ διὰ τῶν σκελῶν ὠφέλιμα, καθάπερ γε τοῖς ἀσθενέσι φύσει τὰ σκέλη, βελτίω τὰ διὰ τῶν ἄνω μερῶν γυμνάσια, χειρονομίαι καὶ ἀκροχειρισμοὶ, καὶ δίσκου βολαὶ, καὶ ἁλτήρων χρῆσις, ὅσα τε κατὰ τὴν παλαίστραν γυμνάζεται χαμαὶ πάντα. τοῖς γε μὴν τὰ μέσον μόρια χειρῶν καὶ σκελῶν πάσχουσι ῥᾳδίως, ἅπαν μὲν εἶδος ἐπιτήδειον ἐστὶ γυμνασίων, ἐπεὶ τῶν ἄλλων τις ἀπείργει σκοπῶν. ἤδη δὲ τὰ μὲν κατὰ θώρακα, τοῖς κάτω μᾶλλον χαίρει. τὰ δὲ κατὰ κύστιν ἢ νεφροὺς τοῖς ἄνω. σπλὴν δὲ καὶ γαστὴρ καὶ ἧπαρ ἔντερά τε καὶ κῶλον ὥσπερ ἐν τῷ μέσῳ τῶν κάτω μερῶν ἐστὶν, οὕτω καὶ τοῖς γυμνασίοις ὁμοίως χαίρει. τάς τε μὴν τρίψεις ἐπὶ τῶν ἀσθενῶν μορίων, ἐν οἷς μὲν χρόνοις νοσεῖ, φυλάττεσθαι προσήκει, ἐν οἷς δὲ ὑγιαίνει, προσφέρεσθαι μᾶλλον, ἢ τοῖς ἄλλοις, καὶ μάλιστα τὰς ξηρὰς ἐπὶ πλεῖστον ἀνατρίβοντα διά τε τῶν ὀθονίων καὶ μόναις ταῖς χερσὶ, καὶ μὴν δὴ καὶ ὅσαι κατὰ περίοδον ὀδύναι γίνονται μορίοις τισὶ, οὐ σμικρὸν γίνεται κώλυμα τοῦ γίνεσθαι τοιαύτη ἡ τρῖψις ἐν τῷ μεταξὺ χρόνῳ παραλαμβανομένη, καὶ μάλιστα πρὸ δυοῖν ἢ τριῶν ὡρῶν τοῦ παροξυσμοῦ. ῥώννυται γὰρ ὑπ' αὐτῆς τὰ μόρια, καὶ ἧττον δέχεται τὰ συνήθη κατασκήπτοντα ῥεύματα. ταυτὶ μὲν οὖν ἅπαντα κοινὰ γερόντων ἐστὶ καὶ τῶν ἄλλην ἡλικίαν ἐχόντων ἡντινοῦν, τὸ δὲ μὴ γυμνάζεσθαι τοῖς ἀσθενέσι μορίοις, ἐπὶ γέροντας μόνον συμβουλεύω. τῶν δ' ἄλλων ὅσον τις ἂν ᾖ τοῦ γήρως ἀπωτέρω, τοσούτῳ μᾶλλον αὐτῷ γυμναστέον ἐστὶ τὸ ἀσθενὲς, ὅπερ δὲ καὶ διὰ παραδείγματος ὁ λόγος ᾖ σαφὴς, οὐκ ὀκνήσω διελθεῖν. ὑποκείσθω τι σῶμα τῶν ἔτ' αὐξανομένων ἰσχνὸν τοῖς σκέλεσι, τούτῳ συμφέρει, πιττοῦσθαί τε τὰ σκέλη καὶ τρίβεσθαι μετρίως, καὶ δρόμῳ χρῆσθαι μᾶλλον, ἢ ἄλλῳ τινὶ γυμνασίῳ. χρὴ δ' ἐπιστατεῖν αὐτῷ τινὰ, τὸν σύμμετρον ὁρίζοντα τὴν κίνησιν, ὥστ' μήτε τοῦ προσήκοντος ἐνδεέστερον γυμνάζοιτο, μήθ' ὑπερβάλλοι τοσοῦτον, ὡς ἁλῶναι κόπῳ, τοῦτο δὴ καὶ τὸ δυσγνωστότατον εἶναι δοκοῦν, οὐκ ἐν γυμνασίοις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν ἡμεῖς ἐπεδείξαμεν εὔγνωστον, ἔν γε τοῖς κατὰ τὴν ὑγιεινὴν δίαιταν, οὐ γάρ ἐστιν ἐπ' αὐτοῖς ὀξὺς ὁ καιρὸς ὡς ἐν ταῖς νόσοις, ἀλλ' ἔξεστιν ἄρξασθαι μὲν ἀπὸ τῶν ἀσφαλεστάτων ἐν ἑκάστῳ μέτρῳ, ἐπισκοπουμένους δὲ τὸ ἀποβαῖνον, ἤτοι γ' ἀφαιρεῖν, ἢ προστιθέναι τι, καθ' ἑκάστην ἡμέραν ἐπανορθουμένους τὸ πρόσθεν, οἷον εὐθέως ἐπὶ τῶν ἰσχνοσκελῶν. ἐγὼ ποτὲ παιδάριον ἐτῶν ιγ. παραλαβὼν, εἶτα παντὶ τῷ μετὰ ταῦτα χρόνῳ τῆς αὐξητικῆς ἡλικίας προνοησάμενος αὐτοῦ κατὰ τοὺς προγεγραμμένους σκοποὺς ἀπέφηνα νεανίσκον εὔρυθμόν τε καὶ σύμμετρον. ἐν μὲν γοῦν τῇ πρώτῃ τῶν ἡμερῶν αὐτὸν κατέχρισα τῇ πίττῃ, δὶς ἐφεξῆς ὡς εἴωθα καὶ δραμεῖν ἐκέλευσα μήτ' ὀξέως πολύ. κατὰ δὲ τὴν δευτέραν τρῖψει συμμέτρῳ μὲν κατὰ σκληρότητά τε καὶ μαλακότητα, βραχείᾳ δὲ κατὰ τὸ πλῆθος ἅμα λίπει προμαλάξας, ἐκέλευσα βραχεῖ πλείω δραμεῖν, οὐ μὴν ὀξύτερά γε τοῦ πρόσθεν. ἐπὶ δὲ τῷ δρόμῳ δηλονότι ταῖς ἀποθεραπευτικαῖς ὀνομαζομέναις ἐχρώμην τρίψεσιν. ἐκέλευον δὲ περιπατεῖν αὐτῷ καθ' ἑκάστην ἡμέραν ἀπὸ μετρίων ἀρξαμένῳ εἰς πλείω, κατασκεπτόμενος τά τ' ἄλλα τῶν σκελῶν, καὶ μάλιστα τὰς φλέβας

εἰ μὴ

εἰ μὴ περιττότερον δυσωποῖντο τῆς τῶν σκελῶν ἀτροφίας. χαλεπὸν γὰρ τοῦτο, ῥευματικὸν καὶ βλαισώδη παρὰ χρόνον παρασκευάζον, οὐκ ἄτροφα τὰ κῶλα. τούτῳ τε οὖν προσέχειν σε χρὴ τῷ γνωρίσματι, καὶ εἰ θερμότερα περαιτέρω τοῦ προσήκοντος γίγνοιτο τὰ σκέλη, καὶ εἰ κοπώδη τινὰ αἴσθησιν ἔχοντα. μηδενὸς μὲν γοῦν τούτων τῶν σημείων φανέντων, αὐξάνειν τε χρὴ τὸ πλῆθος τῶν περιπάτων τε καὶ τῶν δρόμων καὶ πλέον διὰ τρίτης. ὀφθέντος δέ τινος αὐτῶν, ἀνάῤῥοπά τε σχηματίζειν ἐν τῇ κοίτῃ τὰ κῶλα, καὶ τὸ πλῆθος ἁπάντων ὧν διῆλθον ἀφαιρεῖν. ἐλάττω μὲν περιπατεῖν, ἐλάττω δὲ τρέχειν κελεύοντα, καὶ τῇ τρίψει κάτωθεν ἄνω. ὅταν δέ σοι ταῦτα πράξαντι κατὰ φύσιν ἀκριβῶς ἔχῃ τὰ σκέλη, πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς χρὴ χρῆσιν τῶν βοηθημάτων ἰέναι βραχυτάταις αὐξήσεσι χρώμενον, ἢ διὰ παντὸς ἐπὶ τῶν αὐτῶν καταμένοντα. παρεμβάλλειν δὲ χρὴ καὶ τὰς στρογγύλας καλουμένας τρίψεις μέσας σκληρότητός τε καὶ μαλακότητος. ἔσθ' ὅτε μὲν, ἄνωθεν, ἐνίοτε δὲ, ἐκ τῶν κάτω μερῶν ἀρχομένους. καί πως κεκονιμένοις τοῖς σκέλεσι παραχέοντας ἔλαιον, οὕτω τρίβειν. ἔστω δὲ κόνις ἡ καλουμένη λιπαρὰ, προσαγορεύουσι δ' οὕτως, ἐν ᾗ μήτε τραχὺ, μήτε δριμὺ, λεπτύνουσι γὰρ μᾶλλον, ἢ σαρκοῦσιν ὅσαι τραχύτητος κισηρώδους, ἢ δριμύτητος νιτρώδους, ἢ ἁλμώδους μετέχουσι. ὅτῳ δὲ παχύτερα μὲν τὰ σκέλη, βραχίονες δὲ καὶ πήχεις ἰσχνοὶ, τούτῳ τὰ μὲν διὰ χειρῶν γυμνάσια πάνθ' ἐπιτηδευτέον ἐστὶ, φυλακτέον δὲ τὰ διὰ τῶν σκελῶν. αἵ γε μὴν τρίψεις καὶ πιλώσεις ὁμοίως γιγνέσθωσαν. ὅσα τ' ἄλλα περὶ τῶν κατὰ τὰ σκέλη λέλεκται γυμνασίων. οὐ γάρ μικρά τίς ἐστιν ἐν αὐτοῖς διαφορὰ, τινῶν μὲν ἐσχάτως ἀῤῥώστων εἰς τὰς κινήσεις ὄντων, εἰ καὶ μηδέπω τύχοιεν ἑβδομηκοντοῦται εἰς τὴν ἡλικίαν ὄντες, ἐνίων δὲ πολὺ ῥωμαλεωτέρων ἢ κατὰ τοὺς δὲ, γεγονότων ἔτη πλείω ἢ π. τοὺς μὲν ἀσθενεστέρους αἰωρεῖν μᾶλλον, ἢ περιπατεῖν † κελεύων κινήσεις. τοὺς δ' ἰσχυροτέρους, δι' ἀμφότερα γυμνάσαντας, ἄξαντάς τε πρὸς τὴν δευτέραν τρίψιν, οὐχ ὁμοίως ἀμφοτέρους, ἀλλ' ἀεὶ τὸν ἀῤῥωστότερον θᾶττον. ἔστω γάρ σοι τοῦτο τῶν κοινοτάτων παραγγελμάτων, ἐπὶ μὲν ἀσθενοῦς δυνάμεως, ἀνατρέφειν τὸ σῶμα πυκναῖς καὶ βραχείαις τροφαῖς. ἐπὶ δὲ ἰσχυρᾶς, ἀραιαῖς καὶ πολλαῖς, εἰπεῖν μὲν οὖν καὶ ταῦτα καὶ τἄλλα ῥᾷστον, ἐπιστῆσαι δὲ γέροντι διαφυλάττοντα τὴν ὑγείαν αὐτοῦ τῶν χαλεπωτάτων, ὥσπερ γε καὶ τῶν ἀνακομιζομένων ἐκ νόσου. καλεῖται δὲ ὑπὸ τῶν νεωτέρων ἰατρῶν τοῦτο μὲν τὸ μέρος τῆς τέχνης ἀναληπτικὸν, τὸ δὲ ἐπὶ τῶν γερόντων, γηροκομικὸν, καὶ δοκοῦσιν αἱ διαθέσεις ἀμφοῖν οὐ κατὰ τὴν ἀκριβεστάτην ὑπάρχειν ὑγείαν. ἀλλ' ἤτοι μέσαι τινὲς εἶναι νόσου τε καὶ ὑγείας, ἢ πάντως γε μὴ τῆς καθ' ἕξιν, ἀλλὰ τῆς κατὰ σχέσιν ὀνομαζομένης ὑπ' αὐτῶν ὑγείας. εἴτ' οὖν νόσον, εἴτ' οὖν νοσώδη διάθεσιν, εἴτε μέσην ὑγείας τε καὶ νόσου διάθεσιν, εἴτε κατὰ σχέσιν ὑγείαν ὀνομάζειν χρὴ τὸ γῆρας, οὐ πάνυ τι τῶν τοιούτων ζητήσεων φροντίζοντας βωμολόχων προσερχομένων. ἐπίστασθαι δὲ χρὴ τὴν κατάστασιν τοῦ τῶν γερόντων σώματος, ὅτι ἐπὶ μικροῖς αἰτίοις εἰς νόσον μεθισταμένη, ὁμοίως τοῖς ἀναλαμβάνουσιν ἐκ νόσου τὴν ἀρχαίαν ὑγείαν, διαιτᾶν χρὴ, διόπερ εἰπεῖν μὲν ῥᾴδιον, ἄμεινον εἶναι χρίεσθαι λίπει μετ' ἀνατρίψεως ἕωθεν τὸν γέροντα. προσηκόντως δὲ ἐργάζεσθαι τοὔργον ἁπάντων χαλεπώτατον, ἥτε γὰρ σκληροτέρα βραχὺ τρίψις, κοπώδης, ἥτ' ἄγαν μαλακὴ, πλέον οὐδὲν ἐργάζεται, καθάπερ οὐδ' ἡ βραχεῖα παντάπασιν, ἡ δέ γε πολλὴ, διαφορεῖ μᾶλλον, ἢ ἀνατρέφει, καὶ μὴν καὶ τὸ χωρίον ἐν ᾧ γυμνοῦται τοῦ γέροντος σῶμα ψυχρότερον μὲν ὂν, μόνον οὐδὲν ἐργάζεται χρηστὸν, ἀλλὰ καὶ πυκνώσει καὶ καταψύξει. θερμότερον δ' εἴπερ εἴη τοῦ δέοντος, ἐν μὲν χειμῶνι πλέον ἢ προσήκει, τὸ σῶμα τοῦ γέροντος ἀραιότερον ἀποτελέσαν, εὔψυκτον ἐργάσεται. θέρους δὲ διαφορήσει τε καὶ καταλύσει τὴν δύναμιν αὐτοῦ. τοῖς μὲν γὰρ καθ' ἕξιν ὑγιαίνουσιν οὐδὲ τῶν ἰσχυρῶν αἰτίων οὐδὲν, ἀλλοιοῖ τὸ σῶμα. τοῖς γέρουσι δὲ, καὶ τὰ σμικρότατα, μεγίστην ἐργάζεται μεταβολήν. οὕτω τοίνυν ἔχει κἀπὶ τῆς τῶν σιτίων ποσότητος, τε καὶ ποιότητος, καὶ γοῦν κἂν τούτοις, ἂν βραχύ τι τοῦ προσήκοντος ὑπερβῶσιν οἱ γέροντες, οὐ σμικρὰ βλάπτονται. τῶν νεανίσκων ἐπὶ μεγίστοις ἁμαρτήμασι βραχέα βλαπτομένων. ἀσφαλέστερον οὖν ἐστι τοῖς ἀσθενέσι γέρουσιν, ὀλίγα διδόναι. τρὶς τῆς ἡμέρας. ὡς Ἀντίοχος ὁ ἰατρὸς ἑαυτὸν διῄτα, γεγονὼς γὰρ ἐτῶν πλείω τῶν π. προϊὼν δὲ καθ' ἑκάστην ἡμέραν εἰς τὴν ἀγορὰν ἐπὶ τὸ χωρίον, ἐν ᾧ τὸ συνέδριον ἦν αὐτῷ τῶν πολιτῶν. ἔστι δ' ὅτε μακρὰν ὁδὸν ἀπιὼν ἐπισκέψεως ἀῤῥώστων ἕνεκα. ἀλλ' εἰς μὲν τὴν ἀγορὰν ἀπὸ τῆς οἰκίας, ἐβάδιζεν ὁδὸν ὡς τριῶν σταδίων, οὕτως δὲ καὶ τοὺς πλησίον ἀῤῥώστους ἑώρα. ποῤῥωτέρω δ' ἄν ποτ' ἦν ἀναγκασθῇ πορευθῆναι, τὸ μὲν ἐν δίφρῳ βασταζόμενος ἐκομίζετο. τὸ δ' ἐπ' ὀχήματι αἰωρούμενος. ἦν δ' αὐτῷ κατὰ τὴν οἰκίαν οἴκημα. ἐκ καμίνου θερμαινόμενον, ἔν γε τῷ χειμῶνι. θέρους δὲ εὔκρατον, ἔχον ἀέρα καὶ χωρὶς τοῦ πυρὸς, ἐν τούτῳ πάντως ἀνετρίβετο, καὶ χειμῶνος καὶ θέρους ἕωθεν, ἀποπατήσας δηλονότι πρότερον. ἐν δὲ τῷ κατὰ τὴν ἀγορὰν χωρίῳ περὶ τρίτην ὥραν, ἢ τὸ μακρότερον περὶ τετάρτην, ἤσθιεν ἄρτον μετὰ μέλιτος ἀττικοῦ πλειστάκις μὲν ἑφθοῦ, σπανιώτερον δ' ὠμοῦ, καὶ μετὰ ταῦτα, τὸ μέν τι συγγιγνόμενος ἑτέροις διὰ λόγων, τὸ δὲ, καθ' ἑαυτὸν ἀναγινώσκων, ἕκτην ὥραν περιέμενεν, μεθ' ἣν ἐτρίβετό τε κατὰ τὸ δημόσιον βαλανεῖον. ἐγυμνάζετό τε τὰ πρέποντα, γέροντι γυμνάσια, περὶ ὧν τῆς ἰδέας ὀλίγον ὕστερον εἰρήσεται. κἄπειτα λουσάμενος, ἠρίστα σύμμετρον. πρῶτα μὲν, ὅσα λαπάττει τὴν γαστέρα προσφερόμενος. ἐφεξῆς δὲ ἰχθύων τὸ πλεῖστον, ὅσοι πετραῖοί τε καὶ πελάγιοι. κἄπειτ' αὖθις ἐπὶ τοῦ δείπνου, τῆς μὲν τῶν ἰχθύων ἐδωδῆς ἀπείχετο. τῶν δ' εὐχυμοτάτων καὶ δυσφθάρτων ἐλάμβανεν, ἤτοι χόνδρον μετ' οἰνομέλιτος, ἢ ὄρνιν ἐξ ἁπλοῦ ζωμοῦ. τούτῳ μὲν οὖν τῷ τρόπῳ γηροκομῶν ἑαυτὸν Ἀντίοχος ἕως ἐσχάτου διετέλεσεν ἀπήρωτος ταῖς αἰσθήσεσι καὶ τοῖς μέλεσιν ἄρτιος ἅπασι. Τήλεφος δὲ ὁ γραμματικὸς ἐπὶ πλείονας μὲν ἐξήκει τοῦ χρόνους Ἀντιόχου, σχεδὸν ἑκατὸν ἔτη βιοὺς, ἐλούετο δὲ τοῦ μηνὸς δὶς μὲν ἐν τῷ χειμῶνι. τετράκις δὲ ἐν τῷ θέρει. τρὶς δὲ ἐν ταῖς μεταξὺ τούτων ὥραις. ἐν αἷς δ' ἡμέραις οὐκ ἐλούετο περὶ τρίτην ὥραν ἠλείφετο μετὰ βραχείας ἀνατρίψεως. εἶτα χόνδρον ἡψημένον ἐν ὕδατι, μέλι μιγνὺς ὠμὸν ὅτι κάλλιστον ἤσθιε, καὶ τοῦτ' ἤρκει μόνον αὐτῷ, τήν γε πρώτην. ἠρίστα δὲ καὶ οὕτως. ἑβδόμης ὥρας, ἢ βραχύ τινι θᾶττον. λάχανα μὲν πρῶτον προσφερόμενος. εἶθ' ἑξῆς ἰχθύων, ἢ ὀρνίθων γευόμενος. εἰς ἑσπέραν δὲ μόνον ἄρτον ἤσθιε, διαβρέχων ἐν οἴνῳ κεκραμένῳ. ὥσπερ δὲ τοῖς παισὶν ὁ οἶνος ἐναντιώτατόν ἐστιν, οὕτω τοῖς γέρουσι χρησιμώτατον. ἔστι δὲ τῆς φύσεως θερμοτέρων ὁποῖοι τῶν ἑλληνικῶν ἀριούσιός ἐστι καὶ ὁ λέσβιος, καὶ ὁ καλούμενος μύσιος, οὐκ ἐκ τὸν περὶ ἴστρον μυσίας, ἀλλ' ἐκ τῆς ἑλλησποντίας ὀνομαζό-

† ἀλ. κελεύσομεν

μένης, ἢ τις ἐστὶν κατὰ τὴν ἡμετέραν ἀσίαν, ὁ μοςῦζα περγάμου. τῶν δ᾽ ἐκ τῆς ἰταλίας, ὅ τε φαλερῖνος καὶ ὁ συρρεντῖνος. ἐφεξῆς δ᾽ αὐτῶν εἰσί, κατὰ μὲν τὴν ἰταλίαν ὅ τε τιβουρτῖνος καὶ ὁ σιγνῖνος ἀμφότεροι παλαιωθέντες, ὡς νέοι γε ὄντες, οὐδ᾽ εἰς ἀνάδοσιν ὁρμῶσιν, οὔτ᾽ οὖρα κινοῦσιν, ἀλλ᾽ ἐπὶ πολὺ κατὰ τὴν γαστέρα μένουσι κλύδωνας ἐργαζόμενοι. δεύτεροι δ᾽ ἐπ᾽ αὐτοῖς, ἀδριανός τε καὶ σαβῖνος καὶ ἀλβανὸς καὶ γαβειανὸς καὶ πριφυλῖνος, ὅσοι τ᾽ ἀμιναῖοι κατὰ τὴν ἰταλίαν γίνονται, περί τε νεάπολιν καὶ κατὰ τὴν θούσκων γῆν. κατὰ μέν γε τὴν τοῦ συρρεντίνου δύναμιν, ὁ μύσιός ἐστι, κατὰ δὲ τὴν τοῦ φαλερίνου, τῶν τμωλιτῶν οἱ κάλλιστοι. σαβίνῳ δὲ καὶ ἀδριανῷ, τιτακαζηνός τε καὶ ἀριούσιος ἐοίκασι. τούτων οὖν μετρίως παλαιωθέντων, πίνειν χρὴ τοὺς πρεσβύτας, ὅσοι μὴ πάνυ γε κεφαλὴν ἰσχυρὰν ἔχουσιν. οἷς δ᾽ ἰσχυρά, τούτοις φαλερῖνός τε καὶ συρρεντῖνος ἀριούσιός τε καὶ λέσβιος, καὶ μύσιος καὶ τμωλίτης ἐπιτήδειοι. δῆλον οὖν ὡς καθ᾽ ἕκαστον ἔθνος, ἐκ τῶν εἰρημένων παραδειγμάτων, αἱρεῖσθαι τὸν ἐπιτηδειότατον ἕκαστος δυνήσεται. σκοπὸς ἔχων ἐπὶ τῇ τῶν γερόντων ἡλικίᾳ ἐν τῇ τῶν οἴνων δοκιμασίᾳ, κατὰ μὲν τὴν σύστασιν, ἀεὶ τὸν λεπτότατον αἱρεῖσθαι. κατὰ δὲ τὴν χρόαν, ὃν ὁ ἱπποκράτης εἴωθε κιῤῥὸν καλεῖν, δύναιτο δ᾽ ἂν καὶ ξανθὸν ὀνομάζειν αὐτόν, ἀγαθὸς δὲ καὶ ὁ ὠχρός, ἐν τῷ μέσῳ καθεστὼς ξανθοῦ τε καὶ λευκοῦ. καὶ γὰρ εἰ βουληθείης μῖξαι τὸν ξανθὸν οἶνον τῷ λευκῷ, μικτὸν ἐξ ἀμφοῖν ὠχρὸν ἐργάσῃ, καὶ κραθεὶς μεθ᾽ ὕδατος, ξανθὸς τοιοῦτος γίνεται. παρὰ δὲ τὸ πλέον ἢ ἔλαττον ὕδωρ ἐπεμβάλλειν, ἐνίοτε μὲν ὠχρός, ἐνίοτε δὲ οἷον ὠχρόλευκος, ἢ ὠχρόξανθος φαίνεται. θερμότατος μὲν οὖν ἐπὶ τῇ χροιᾷ τῶν εἰρημένων οἴνων, ὁ ξανθός, ἥκιστα δὲ θερμὸς ὁ λευκός. οἱ δ᾽ ἐν τῷ μεταξὺ καθ᾽ ὅσον ἂν ἑκατέρῳ πλησιάσουσι, τῆς ἐκείνου μετέχουσι δυνάμεως. ἓν μὲν οὖν τοῦτο μέγιστον ἀγαθὸν ἐξ οἴνου τοῖς γέρουσι περιγίνεται, τὸ θερμαίνεσθαι πάντα αὐτῶν τὰ μόρια. δεύτερον δὲ τὸ δι᾽ οὔρων καθαίρεσθαι τὸν ὀῤῥὸν τοῦ αἵματος. διὸ καὶ κάλλιστος ἐπὶ γερόντων οἶνος, ὃς ἂν ταῦτ᾽ ἐργάζεται μάλιστα, τοιοῦτος δ᾽ ἐστὶν ὁ τῇ συστάσει μὲν λεπτός, οὖρα γὰρ οὗτοι κινοῦσι, τῇ χροιᾷ δὲ ξανθός, ἴδιον γὰρ τούτων τῶν θερμῶν ἱκανῶς οἴνων τὸ χρῶμα. διὸ κἂν πάνυ λευκοὶ τὸ κατ᾽ ἀρχὰς ὦσι, παλαιούμενοι προσλαμβάνουσι τινὰ ξανθότητα, δι᾽ ἣν ὕπωχροι μὲν τὸ πρῶτον. ὕστερον δὲ τελέως ὠχροὶ γίνονται. κἂν ἐπὶ πλεῖστον ἥκουσι χρόνου τελευτῶντες, ὠχρόξανθοι φαίνονται. τελέως γὰρ οὐχ οἷόν τε τοῖς λευκοῖς οἴνοις γενέσθαι ξανθοῖς. ὅσοι δὲ τῶν ὠχρῶν ἢ ξανθῶν οἴνων παχεῖς εἰσιν, αἷμά τε γεννῶσιν οὗτοι καὶ τρέφουσι τὸ σῶμα. διὸ γένοιντ᾽ ἂν ποτὲ καὶ αὐτοὶ χρήσιμοι τοῖς γέρουσι, καθ᾽ ὃν δηλονότι χρόνον οὔτ᾽ ὀῤῥῶδες ὑγρὸν ἔχουσιν ἐν ταῖς φλεψί, καὶ δέονται θρέψεως περιττοτέρας. ὡς ἐπὶ τὸ πολὺ δὲ τῶν οὐρητικῶν οἴνων χρῄζουσιν, οἱ τὴν ἡλικίαν ταύτην ἄγοντες, διὰ τὸ πλεονάζειν καὶ αὐτοῖς ὑδατῶδες περίττωμα. τῶν δ᾽ ἐπὶ πλέον ἐν τῇ γαστρὶ μενόντων οἴνων, οὐδὲ ποτ᾽ οὐδεὶς οἰκεῖος γέρουσι. τοιοῦτοι δ᾽ εἰσὶν οἱ ἀπὸ τῆς βιθυνίας ἀμιναῖοι καὶ τῶν ἀπὸ τῆς ἰταλίας, ὁ μάρσος, καὶ σιγνῖνος, καὶ τιβουρτῖνος, ἔτ᾽ ἂν ὦσι νέοι. ἀλλ᾽ οὗτοι μὲν πάντες λευκοί, μέλανες δὲ ἄλλοι, καὶ παχεῖς ὅσοι στύφουσιν, ἐν τῇ γαστρὶ μένουσι χρόνῳ πολλῷ, καὶ κλύδωνας ἐργάζονται κατ᾽ αὐτήν. ὥσπερ ὁ ἐν κιλικίᾳ μὲν συβάτης. ἐν ἀσίᾳ δὲ αἰγαωσίνης τε καὶ περπερίνιος. ὅσοι δὲ χωρὶς τοῦ στύφειν μέλανές τε εἰσὶ καὶ παχεῖς οἷος καὶ ὁ σκυβελίτης καὶ ὁ θηραῖος, ἧττον μὲν ἐν τῇ γαστρὶ μένουσιν. οὔρησιν δὲ οὐδ᾽ αὐτοὶ κινοῦσιν, ἀλλ᾽ ὑπέρχονται κάτω. διὸ καὶ προπίνουσιν αὐτούς, ἐδωδῆς σιτίων. ἀλλ᾽ οὐδ᾽ οὗτοι χρήσιμοι τοῖς γέρουσιν οὔτε προπίνειν, οὔτε πολὺ μᾶλλον ἐν ἑτέρῳ καιρῷ προσφέρεσθαι, καθ᾽ ὅτι μὴ δ᾽ ἄλλο μηδὲν τῷ γέροντι παχύχυμον. ἐμφράττεται γὰρ ἐξ αὐτῶν ἧπάρ τε καὶ σπλὴν καὶ νεφροί, κἀντεῦθεν οἱ μέν, ὑδεριῶσιν. οἱ δέ, λιθιῶσι τῶν ἐπὶ πλέον αὐτοῖς χρησαμένων γερόντων. εἴπερ οὖν ἐθέλοι μετὰ τὸ λουτρὸν οἴνῳ χρήσασθαι γλυκεῖ τῶν πρεσβυτέρων τις, ἐδεδωκότι μὲν ἕωθεν αὐτῷ, καθότι τὸν ἀντίοχον ἔφην πράττειν, ἄριστος ὁ φαυστιανὸς φαλερῖνος. ἐκείνου δ᾽ ἀπορροῦντι, τῶν ὁμοίων τις, ὅμοιοι δ᾽ ἂν εἶεν οἱ γλυκεῖς τε ἅμα καὶ ὠχροὶ κατὰ χρόαν. ἐφεξῆς δὲ τούτοις ὅ, τε θηραῖος καὶ ὁ κρητικός. οὐ κωλύω δὲ οὐδὲ τοῖς ἐσκευασμένοις διὰ μέλιτος οἴνοις χρήσασθαι, καὶ μάλισθ᾽ ὅσοις τῶν γερόντων ὑποψία τις ἐστὶν ἐν νεφροῖς λίθων γενέσεως, ἢ καὶ ποδάγρα τις, ἢ ἀρθρῖτις ὡς ἐνοχλεῖν. τὸν δ᾽ οἶνον ἐπὶ τῆς τοιαύτης συνθέσεως, ἄριστον εἶναι σαβῖνον ἢ τινὰ τῶν ὁμοίων. ἐπεμβάλλεται δὲ αὐτῷ πετροσέλινον, καὶ μόνον ἀρκεῖ τούτοις τοῖς ἀρθριτικοῖς. ἐπὶ δὲ τῶν λιθιώντων, καὶ τῆς βετονίκης τι πόας μίγνυται, καὶ κέστρου τοῦ παρὰ τοῖς κελτοῖς γινομένου, καλοῦσι δὲ τὴν βοτάνην ταύτην, σαξίφαγον. ἔνιοι δὲ περιεργότερον σκευάζοντες τὸ φάρμακον, ἐπεμβάλλουσι καὶ ναρδοστάχυος. εἰσὶ δὲ καὶ ἄλλα τινά, οὔρησιν κινεῖν δυνάμενα. ἀλλὰ τό γ᾽ ἁπλοῦν πόμα, δι᾽ οἴνου καὶ μέλιτος οἱ πολλοὶ συντιθέασι, πηγάνου τε καὶ πεπέρεως ἔχον ὀλίγον. εἰ δὲ καὶ προεδηδοκὼς εἴη, πρὶν λούσασθαι καὶ ἡ γαστὴρ αὐτοῦ μηδὲ μιᾶς βοηθείας χρῄζει, τῶν λευκῶν καὶ ὀλιγοφόρων οἴνων πίνειν καὶ μετὰ τὸ λουτρόν. ὅσοι δὲ παχεῖς καὶ γλυκεῖς καὶ μέλανες, ὡς ἐμφράττοντας τὰ σπλάγχνα, τοὺς τοιούτους ἅπαντας, φεύγειν προσήκει. ἀλλ᾽ αἱ μὲν ἀπὸ τῶν οἴνων ἐμφράξεις, μέτριαι, τὰ δ᾽ ἀπὸ τῶν ἐδεσμάτων ὅσα γλίσχρον ἢ παχὺν ἐργάζεται χυμόν, οὐ ῥᾴδιον ἰᾶσθαι, διόπερ οὐ χρὴ πλεονάζειν τοὺς γέροντας οὔτε χόνδρων, ἢ πυρῶν, ἢ ᾠῶν, ἢ κοχλιῶν, ἢ βολβῶν, ἢ φακῆς, ἢ χοιρείων κρεῶν ἐδωδῇ, πολὺ δὲ δὴ μᾶλλον ἐν ταῖς τῶν ἐγχελύων, ἢ ὀστρέων, ἢ ὅλως τῶν σκληρὸν καὶ δυσκατέργαστον ἐχόντων τὴν σάρκα. διὰ τοῦτο οὖν οὐδὲ τῶν ὀστρακοδέρμων οὐδέν, ἢ σελαχίων ἢ θυννῶν, ἢ ὅλως τῶν κητωδῶν, ἢ τῶν κρεῶν τῶν ἐλαφείων, ἢ αἰγείων, ἢ βοείων, ἢ ταῦτα μὲν οὐδ᾽ ἄλλῳ τινὶ χρήσιμα. προβάτεια δὲ νέοις μέν ἐστιν οὐ φαῦλον ἔδεσμα, γέρουσι δὲ οὐδὲ ταῦτα, καὶ πολὺ δὴ μᾶλλον τὰ ἔτι τῶν ἀρνῶν, ὑγρὰ γὰρ ἐστι καὶ βλεννώδη καὶ γλίσχρα καὶ φλεγματώδη. τά γε μὴν τῶν ἐρίφων οὐκ ἂν ἐπιτήδεια γέροντι, καὶ τῶν πτηνῶν ὅσα μὴ καθ᾽ ἕλη καὶ ποταμοὺς ἢ λίμνας διαιτᾶται. τὰ δὲ ταριχευθέντα πάντα τῶν προσφάτων ἀμείνω, χρὴ τοίνυν ὥσπερ εἴρηται μάλιστα μὲν ἀπέχεσθαι ἐμφραττόντων ἐδεσμάτων, εἰ δ᾽ ὑπ᾽ ἀνάγκης ποτὲ χρήσασθαι συμβαίη πλείοσιν αὐτοῖς, αὐτίκα προσφέρεσθαι τὸ διὰ τῆς καλαμίνθης φάρμακον, ὑπὲρ οὗ τῆς συνθέσεως ἔμπροσθεν εἴρηκα κατὰ τόδε δὲ τὸ τέταρτον γράμμα. μὴ παρόντος δὲ αὐτοῦ, τῷ διὰ τῶν τριῶν πεπέρεων χρηστέον. εἰ δὲ μηδὲ τοῦτο παρείη, κόπτοντας δὲ καὶ διαττοντας ἀκριβῶς ὡς χνοῶδες γενέσθαι πέπερι λευκόν, ἅμα τε τοῖς ὄψοις ἐσθίειν, ἐπιπάττειν τε τῷ ποτῷ, καὶ κρόμμυα δὲ ἐσθίειν τηνικαῦτα συμφέρει, κἂν εἰ τούτῳ συνήθης εἴη, καὶ σκόροδον, καὶ τὴν διὰ τῶν ἐχιδνῶν ἣν καλοῦσι θηριακὴν ἀντίδοτον, ἐπὶ τῶν γερόντων οὐ κακῶς χρῷτο, καὶ μάλισθ᾽ ὅταν ἐν τοῖς ἐμφράττουσιν ἐδέσμασιν, αὖθις τῶν ἐμφραττόντων φθάσει προσενεχθῆναι. καλλίστη γὰρ ἡ ἀπὸ τοῦ θηριακοῦ φαρ-

μάκου

μάκου βοήθεια τηλικαῦτα γίνεται, καὶ γαστρὸς ἐπὶ τοῖς τοιούτοις ὑπαχθείσης, χρησιμώτατον ἂν εἴη διδόναι τῇ ὑστεραίᾳ τὸ διὰ τῆς ἐχίδνης. οὐδὲν γὰρ ἧττον αὐτὸ τῆς ἀμβροσίαν τε καὶ ἀθανασίαν ὀνομαζομένης, ὅσα τ' ἄλλα διὰ τῶν εἰρημένων ἀρωμάτων σύγκειται φάρμακα, τῷ γε μὴν ἀκριβῶς ἑαυτῷ προσέχοντι γέροντι, φαρμάκου οὐκ ἔσται ἄν ποτε γένηται χρεία τοιούτου. δεηθέντι δὲ ἐνίοτε λεπτυνούσης διαίτης, ἀρκέσει τὰ λελεγμένα δι' ἑτέρου γράμματος ἰδίᾳ, καθὸ περὶ τῆς λεπτυνούσης διαίτης ὁ λόγος ἡμῖν ἐγένετο. πρόδηλον δ' ὅτι καὶ τῶν ἄρτων, τοὺς μήτ' ἐνδεῶς ἔχοντας ἁλῶν ἢ ζύμης, ἢ φυράσεως, ἢ ὀπτήσεως ἐσθίειν χρή, μή τε τὴν ἐπαινουμένην ὑπὸ πάντων σεμίδαλιν, ἢ τὰ δι' αὐτῆς πέμματα, καὶ γὰρ δύσπεπτα πάντα, καὶ κακόχυμα, καὶ σπλάγχνων ἐμφρακτικά, καὶ εἴ γε μὴ διὰ τοῖς διὰ βουτύρου καὶ σεμιδάλεως σκευαζομένοις πλακοῦσιν, ἐμίγνυτο μέλιτος δαψιλές, οὐδὲν ἂν ἦν ἔδεσμα πολεμιώτερον ἀνθρώποις πᾶσιν, οὐ μόνοις τοῖς πρεσβύταις. ἀλλὰ τί δεῖ τοῖς βλαβεροῖς τὸ χρήσιμον μιγνύειν ἐν αὐτῷ μόνῳ χρῆσθαι τῷ μέλιτι, τότε μὲν, ἀφεψῶντα, τότε δὲ σὺν ἄρτῳ λαμβάνοντα πρὶν ἑψηθῆναι, προνοητέον δὲ τῆς περὶ τὸν ἄρτον ἀρετῆς μᾶλλον, ἢ τῆς περὶ τὸ μέλι. βέλτιον μὲν γὰρ ἂν τὸ μέλι τοιοῦτον εἴη τὴν ἰδέαν καὶ τὴν δύναμιν, οἷον τὸ ἀττικόν, εἰ δὲ μὴ τοιοῦτον ἔχοι μὲν, ἀλλὰ παντὶ μέλιτι χρηστέον ἐστί. πλὴν τῶν δυσωδῶν, ἢ ἐν ὅσοις αἰσθητῶς κηροῦ ποιότης ἐμφαίνεται καὶ πολὺ δὴ μᾶλλον εἴ τινος ἑτέρας ἀλλοκότου. τῶν δ' ἄρτων ὁ μὲν τοιοῦτος οἷον ἀρτίως εἶπον, οὐ μόνον οὐδὲν ἀγαθὸν ἐργάζεται περὶ τὸ σῶμα τοῦ γέροντος, ἀλλὰ καὶ βλαβερώτατός ἐστιν καὶ μάλιστα ὅταν ᾖ καθαρώτερος. ὁρῶ δὲ τοῖς ἀθληταῖς αὐτὸν ἐπιτήδειος σκευαζόμενον. ἀλλ' ἐκείνοις μὲν εἰς ὅπερ ἐπιτηδεύουσιν, ἁρμόττει. γέροντι δὲ εἰ μὴ πολὺ μὲν ἁλῶν ἔχοι, πολὺ δὲ ζύμης, ὠπτημένος δ' ἀκριβῶς εἴη παχὺν ἐργάζεται καὶ γλίσχρον χυμόν. ὅσον οὐδ' ἄλλῳ μὲν ἀγαθός ἐστιν ἐπὶ πλέον αὐξανόμενος. ἀτὰρ οὖν οὐ τὰς καθ' ἧπάρ τε καὶ σπλῆνα καὶ νεφροὺς ἐμφράξεις ἐργάζεται, καὶ μάλιστα ὅταν φύσει στενότερα τῶν ἐπὶ τούτοις τοῖς σπλάγχνοις ἀγγείων ἐστὶ τὰ πέρατα. καθάπερ γὰρ ἐπὶ τῶν ἐκτὸς τούτων φλεβῶν, ἃς ἐναργῶς ὁρῶμεν οὐ σμικρὰ διαφορὰ φαίνεται περὶ τὸ εὖρος, ἄλλου τε πρὸς ἄλλον ἄνθρωπον καὶ καθ' ἕκαστον ἐν τοῖς μορίοις, οὕτως εἰκὸς ἔχειν κἀπὶ τῶν ἔνδον. ἀλλ' οὐχ οἷόν τε γνῶναι τὰς διαφορὰς, πρὸ τῆς πείρας. λέγω δὲ πεῖραν, τὴν ἐφ' ἑκάστου τῶν προσφερομένων ἐνέσει ποιεῖσθαι. γέροντα γοῦν τινὰ γεωργικὸν ἔγνωμεν, ἔτη πλείω ρ. βιώσαντα κατ' ἀγρόν, ᾧ τὸ πλεῖον τῆς τροφῆς αἴγειον ἦν γάλα. ποτὲ μὲν αὐτίκα λαμβανόμενος ἄρτου θρυμμάτων ἐν αὐτῷ διαβρεχομένων. ἔστιν ὅτε δὲ καὶ μέλιτος ἐμίγνυε. καί ποτε ἧψει, ἐμβάλλων ἀκρέμονας θύμων ἅμα τοῖς ἄρτοις. ἀλλὰ τοῦτον γέ τις μιμησάμενος ᾤετο γὰρ αἴτιον αὐτῷ τὸ γάλα τῆς πολυχρονίου ζωῆς γεγονέναι, διὰ παντὸς ἐβλάβη καὶ κατὰ πάντα τρόπον προσφορᾶς. ἐβαρύνετο γὰρ αὐτῷ, τὸ στόμα τῆς γαστρὸς, καὶ μετὰ ταῦτα, τὸ δεξιὸν ὑποχόνδριον ἐτείνετο. καί τις ἕτερος ὁμοίως ἐπιχειρήσας χρῆσθαι τῷ γάλακτι τῶν μὲν ἄλλων οὐδὲν ἐμέμφετο, καὶ γὰρ ἔπεττε καλῶς αὐτό, καὶ οὔτε ὀξυρεγμίας τις, ἢ ἐρυγὴ κνισώδης ἢ πνευμάτωσις, ἢ βάρος ἐπεγίνετο καθ' ὑποχόνδριον, τῇ ἡμέρᾳ δ' ἑβδόμῃ μετὰ τὴν ἀρχὴν ἐναργῶς ἔφη τοῦ ἥπατος αἰσθάνεσθαι βαρυνομένου. δοκεῖν γὰρ ἑαυτῷ κατὰ τὸ δεξιὸν ὑποχόνδριον ἐγκεῖσθαί τι, καθάπερ λίθον ὡς κατασπᾶσθαί τε τὰ ὑποκείμενα καὶ μέχρι κλειδὸς ἀνήκειν τὴν τάσιν. εὔδηλον οὖν ὅτι τούτῳ μὲν ἐνεφράττετο τὸ ἧπαρ. ἐπνευματοῦτο δὲ θατέρῳ. καὶ μὴν δὴ καὶ ἐπὶ γάλακτος χρήσει πολυχρονίᾳ λίθον γεννήσαντα κατὰ τοὺς νεφροὺς οἶδα. κατά τινα ἕτερον, ἀπολέσαντα καὶ βλαβέντα ἅπαντας ὀδόντας. τοῦτο μὲν οὖν καὶ ἄλλοις ἐγένετο πολλοῖς τῶν ἐπὶ γάλακτι μακρῶς διαιτηθέντων. ἀλύπως δ' ἕτεροι διαπαντὸς ἐχρήσαντο τῷ γάλακτι, καὶ μετ' ὠφελείας μεγίστης, ἄλλοι δὲ παραπλησίως τῷ κατ' ἀγρὸν βιώσαντι πλείω τῶν ἑκατὸν ἐτῶν ὡς ἔφην. ὅταν γὰρ ἥ τε ποιότης αὐτοῦ τῇ τοῦ χρωμένου φύσει μηδὲν ὑπεναντίον ἔχῃ, τῶν τε σπλάγχνων εὐπετεῖς αἱ διέξοδοι, διὰ τὴν τῶν ἀγγείων εὐρύτητα ὦσι, τῶν μὲν ὠφελίμων ἀπολαύουσιν οὗτοι, μοχθηροῦ δ' οὐδενὸς πειρῶνται. τὰ δ' ἐκ τοῦ γάλακτος ἀγαθὰ, λέλεκται καὶ τοῖς ἔμπροσθεν ἰατροῖς. ὑπαγωγὴ μετρία γαστρὸς εὐχυμία τε καὶ θρέψις. οὐ βραχεῖα συντελούσης εἰς ταῦτα καὶ τῆς νομῆς τῶν ζῴων, ὧν μέλλεις χρῆσθαι τῷ γάλακτι, καίτοι γ' ἀμελοῦσιν ἔνιοι παντάπασιν τῆς νομῆς. ὡς ἤτοι μηδὲν, ἢ βραχύτατον εἰς ἀρετὴν γάλακτος συντελούσης. ἀλλ' ἐναργῶς γε θεώμεθα τὰ νεμηθέντα τῶν ζῴων, ὧν μέλλομεν χρῆσθαι τῷ γάλακτι, ἢ σκαμμωνίαν ἢ τῶν τιθυμάλλων τινὸς καθαρτικὸν ἴσχοντα τὸ γάλα. δῆλον οὖν ὡς καὶ δριμὺ καὶ ὀξὺ καὶ αὐστηρὸν ἐπὶ ταῖς μοχθηραῖς ἔσται νομαῖς, ἐξομοιούμενον ἀεὶ τῇ φύσει τῆς πόας, καὶ διὰ τοῦτο καὶ τοῖς πρὸ ἡμῶν ἰατροῖς ἐκ τῆς πείρας διδαχθεῖσιν, εἴρηνταί τινες ἀγάλακτοι νομαί. προσαγορεύουσιν γὰρ οὕτως αὐτάς, ὑπὲρ ὧν καὶ ἡμεῖς ἑτέρωθι διερχόμεθα. νῦν δ' ἀρκεῖ τό γε τοσοῦτον ἐπίστασθαι περὶ αὐτῶν, ὡς οὔτε δριμείας, οὔτ' ὀξείας, οὔτ' αὐστηρὰς πάνυ χρὴ τὰς τροφὰς εἶναι τῶν ζῴων, ὧν τῷ γάλακτι μελλομένοις εὐχυμοτάτῳ χρῆσθαι. καὶ μὴν καὶ ὅτι κατὰ τὴν ἡλικίαν ἀκμάζον εἶναι χρὴ κατὰ τὴν ἕξιν τοῦ σώματος ἄμεμπτον τὸ ζῷον, εὔδηλον δήπου κἂν ἐγὼ μὴ λέγω. κάλλιόν γε τὸ μὲν, αἰγὸς, τὸ δ' ὄνου εἶναι. χρῆσθαι δὲ τῷ γάλακτι παρὰ μέρος ἑκατέρου. λεπτότερον μὲν γάρ ἐστι καὶ ὀῤῥωδέστερον τὸ τῆς ὄνου, σύμμετρον δὲ τῷ πάχει τὸ τῆς αἰγός. ὥστε τοῦτο μὲν ἀνατρέφειν μᾶλλον εἰ τούτου χρεία. τὸ δ' ὄνειον ἀσφαλέστερον πάντη, καὶ γὰρ εἰ μόνον ποτὲ λαμβάνοιτο χωρὶς ἄρτου, καὶ ὑπέρχεται θᾶττον, καὶ ἥκιστά ἐστι φυσῶδες, οὐ τηρεῖταί τε κατὰ τὴν γαστέρα, καὶ μάλιστα ὅταν ἁλῶν καὶ μέλιτος προσλάβῃ. χρὴ δὲ καὶ τούτου καὶ τῆς ἄλλης ἁπάσης ὕλης τῶν βοηθημάτων τὰς δυνάμεις ἰδίᾳ προμεμαθηκέναι τὸν μέλλοντα χρήσεσθαι καλῶς. ἵνα μὴ πολλάκις ἀναγκαζώμεθα περὶ αὐτῶν λέγειν τὰ αὐτά, καὶ νῦν γέ μοι δοκῶ μακρότερον. ἢ ὡς τοῖς ἐνεστῶσι προσήκει διεληλυθέναι περί τε γάλακτος καὶ οἴνου. ἄμεινον γὰρ ἦν εἰπόντα τὴν ἐξ αὐτῶν ὠφέλειαν τοῖς γέρουσι γινομένην, ἐπὶ τὴν τῆς ὕλης ἐκλογὴν ἀποπέμψαι τὸν ἤδη μεμαθηκότα τάς τε κοινὰς δυνάμεις καθ' ἑκάτερον αὐτῶν, καὶ τὰς ἐν μέρει διαφοράς. ἐπὶ μὲν τῶν οἴνων εἰπόντα τὰς διαφορὰς, τοὺς θερμοτέρους τε καὶ οὐρητικωτέρους ἀμείνους εἶναι τοῖς γέρουσι. ἐπὶ δὲ τοῦ γάλακτος, ὡς οὔτε πᾶσι δοτέον, ἀλλὰ μόνοις, ὅσοι γε πέττουσιν αὐτὸ καλῶς καὶ συμπτώματος οὐδενὸς αἰσθάνονται κατὰ τὸ δεξιὸν ὑποχόνδριον. ἐπεὶ δ' ἐστὶν ὅτε διὰ τὴν τῶν πολλῶν ὀλιγωρίας οὐχ ὑπομενόντων ἀναγινώσκειν τὰ βιβλία, δι' ὧν ἐπὶ πλέον ὑπὲρ τῆς τῶν βοηθημάτων ὕλης λέλεκται μηκύνειν ἀναγκαζόμεθα πολλάκις, εἰκότως ἂν ἡμῖν καὶ νῦν συγγνοίη, τῷ τρόπῳ τῆς διδασκαλίας οὐ κατὰ τὴν ἀκριβῆ βραχυλογίαν ἐπὶ ταῖς καθόλου μεθόδοις προερχομένην.

ἰσχὸν γε μὴν, ὡς ἀδύνατόν ἐστιν, ἀμέμπτως χρῆσθαι ταῖς γραφομέναις ὕλαις ἐκ μόνων τῶν τοιούτων λόγων, οἵους καὶ νῦν εἶπον ὑπὲρ οἴνου τε καὶ γάλακτος. ἀλλὰ χρὴ τὸν ἄριστα μεταχειριούμενον αὐτὰς, ἰδίᾳ πρότερον ὑπὲρ ἑκάστης μεμαθηκέναι τὸν οἰκεῖον λόγον, ἐν ᾧ τήν τε κοινὴν τῆς ὕλης δύναμιν ἐπισκεπτόμεθα, καὶ τὰς κατὰ μέρος ἐν αὐτῇ διαφορὰς ἄχρι τῶν ἐσχάτων εἰδῶν. οὐδὲ περὶ τῶν ἄλλων ἁπάντων ὅσα χρὴ γινώσκεσθαι τῷ μέλλοντι προνοήσασθαι γέροντος, ἄμεινον ἐν τῇδε τῇ πραγματείᾳ διέρχεσθαι μακρῶς. ἀλλ' ἀρκεῖ περὶ μὲν ἐνίων ὅσα μάλιστα ἐστὶ χρήσιμα τοῖς πρεσβύταις, οὕτως εἰπεῖν ὡς νῦν εἴρηται περί γάλακτος καὶ οἴνου. περὶ δὲ ἐνίων, ἔτι βραχύτερον ἢ κατὰ ταῦτα διελθεῖν. ὥσπερ γε καὶ περὶ ἄλλων ὅλως μηδὲν εἰπεῖν, καί τοι τῷ γε μηκύνειν βουλομένῳ δυνατόν ἐστι, ἁπάντων μνημονεῦσαι ὅσα πλεονάζει τοῖς γέρουσιν ὧδέ πως λέγοντι. κάλλιον δὲ καὶ περὶ τῶν ἄλλων διελθεῖν ὅσα τοῖς πλείστοις τῶν γερόντων γίνεται. βράγχοι, καὶ κόρυζαι, καὶ λίθων γενέσεις ἐν νεφροῖς, ἀρθρίτιδές τε καὶ ποδάγραι, καὶ ἄσθματα, καὶ τἆλλα ὅσα τοιαῦτα. πρὸς μὲν οὖν τοὺς βράγχους τε καὶ τὰς κόρυζας, δίαιταν μὲν τήνδε, φάρμακα δὲ τάδε προσφέρεσθαι χρή. πρὸς δὲ τὰς τῶν λίθων γενέσεις ταῦτα. καθ' ἕκαστον, τῶν ἄλλων οὕτως ἐπερχόμενος, ἐπιμελὴς εἶναι τις δόξει, καὶ περιττὸς εἰς ἐπιστήμην γηρωκομικήν. ἀλλ' ὥσπερ οὐδὲν τούτων χρὴ γράφειν ἐν συγγράμματι γηρωκομικῷ, μεταφέρειν γε δυναμένων αὐτὰ τῶν γεγυμνασμένων ἐν ταῖς τῶν νοσημάτων θεραπείαις, οὕτως αὖ πάλιν οὐδ' ἐπὶ μόνοις τοῖς κοινοῖς παύεσθαι. προειπόντα δ' αὐτὰ, προσθεῖναί τινα τῶν κατὰ μέρος, ἃ μάλιστ' ἐστὶν οἰκεῖα τῷ προκειμένῳ σκέμματι, καθάπερ ἡμεῖς ἐποιήσαμεν. ἐπειδὴ γὰρ ἐδείχθη τὸ γῆρας ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν ὁμολογουμένως εἶναι ψυχρὸν, οὐχ ὁμολογουμένως δὲ ξηρὸν, ἐνίων ὑγρὸν αὐτὸ φασκόντων εἶναι, προσήκει δήπου λαβόντας ὑπόθεσιν, εἰς τὸ γηρωκομικὸν μέρος τῆς τέχνης, ὃ νῦν ἡμῖν πρόκειται τὰ δειχθέντα περὶ τῆς κράσεως αὐτοῦ, τὸν μὲν σκοπὸν αὐτῶν τῶν πραγμάτων, ἀπ' ἐκείνης λαβεῖν. ἐπελθεῖν δ' ἔνια τῶν κατὰ μέρος. τὰ μὲν, ἕνεκα τοῦ γυμνάσαι τὸν μαθητήν. τὰ δ' ὡς παραδείγματα πρὸς τὴν τῶν οὐκ εἰρημένων εὕρεσιν γενησόμενα. διὰ τὸ μὴ πάντως οὕτως εἶναι συνετοὺς, ὡς ἐκ μόνου τοῦ καθόλου γνωσθέντος, εὑρίσκειν τὰ κατὰ μέρος, ἀλλὰ τοῦ ποδηγήσαντος ἐπ' αὐτὰ προσδεῖσθαι. γεγυμνασμένος γάρ τις τὸν λογισμὸν, ἀκούσας τὸ τοῦ γέροντος σῶμα κατὰ μὲν αὐτὰ τὰ μόρια ψυχρὸν καὶ ξηρὸν, ἐμπίπλασθαι δὲ ῥᾳδίως ὀρρωδῶν τε καὶ φλεγματωδῶν περιττωμάτων δι' ἀρρωστίαν τῆς δυνάμεως, ἐξοχετεύειν μὲν ταῦτα πειράσεται. τὰ στερεὰ δ' αὐτὰ τοῦ σώματος μόρια θερμαίνειν τε καὶ ὑγραίνειν. ὅσοι δ' ἐκ τοῦ τῶν περιττωμάτων πλήθους ἀπατηθέντες ἀδιορίστως ἀπεφήναντο τὴν τῶν γερόντων κρᾶσιν ὑπάρχειν ὑγρὰν, οὗτοι παρὰ τὸν πρῶτον εὐθέως ἐσφάλησαν σκοπόν. ἡγούμενοι χρῆναι ξηραίνειν τὰ πρεσβυτικὰ σώματα, τῶν τε οὖν ἐδεσμάτων ὅσα ξηραντικὰ διδόασι μᾶλλον. οἷον ἐν μὲν τοῖς λαχάνοις, τὴν κράμβην, πρὸ τῆς μαλάχης καὶ βλίτου καὶ τοῦ λαπάθου, καὶ τῆς ἀτραφάξυος, καὶ τῆς θριδακίνης. ἐν δὲ τοῖς ὀσπρίοις τὴν φακὴν πρὸ πτισάνης, καὶ τὸν κέγχρον, πρὸ τοῦ κυάμου, καὶ τὸν ἔλυμον πρὸ τῆς ζειᾶς. ἐν δὲ τοῖς καρποῖσιν ἀμύγδαλα καὶ τερμίνθου σπέρμα μᾶλλον, ἢ κολοκύνθης τε καὶ σικύων, πέπονα καὶ κοκκύμηλα, καὶ μόρια. κρεῶν δὲ, τὰ τῶν ἀγρίων ζώων μᾶλλον, ἢ τὰ τῶν ἡμέρων, καὶ τὰ ταριχηρὰ τῶν προσφάτων. ἐν ὅλῃ τε τῇ διαίτῃ φεύγουσι μὲν ὡς ἡ δύναμις ὑγρὰ, προαιροῦνται δὲ διδόναι, τὰ ξηραίνοντα. καί τοι γε τοὐναντίον ἅπαν ἐστὶν ἀληθὲς, ὠφελουμένων ἐναργῶς τῶν γερόντων, ἐκ τῶν ὑγραινόντων ἐδεσμάτων. ἐπεὶ δ' ἐξ αὐτῶν ἔνια ψυχρὰ ταῖς κράσεσιν ἐστὶν, καὶ διὰ τοῦτο φλέγμα γεννῶσιν ἐν τῇ γαστρὶ, καὶ κατὰ τὰς πρώτας φλέβας, ἐντεῦθεν οὖν ἔδοξαν εἶναι, βλαβερὰ τοῖς μήτε τὴν ὅλην κρᾶσιν ἐπισταμένοις τῶν γερόντων, μήτε τὸ κεφάλαιον τῆς διαίτης ὁρῶσιν, οὔτε γὰρ ἔλαιον αὐτοὺς, οὔτε λουτρὰ θερμὰ ποτίμων, οὔτ' οἴνου πόσις ὠφελεῖ, μὴ δεομένους ὑγραίνεσθαι, καὶ μὴν καὶ τὸ μέτρια κινεῖσθαι καὶ τὸ χρῄζειν ὕπνων, ἱκανὰ μαρτύρια τοῦ σκοποῦ τῆς διαίτης. ὥστε καὶ εἴποτε φλέγματος γενηθέντος ἐξ ἀνάγκης ἑλοίμεθά τι τῶν τεμνόντων αὐτὸ, μετιέναι χρὴ ταχέως ἐπὶ τὴν ὑγραίνουσαν δίαιταν. οὕτως δὲ κἂν δι' ὑποψίαν ἐμφράξεως ἐπί τι τῶν ἐκφραττόντων ἐδεσμάτων ἢ φαρμάκων ἀφικώμεθα, τότε τὰ θρέψαντα τῶν σιτίων ὑγρᾶς εἶναι κράσεως, οὐ χρὴ παντάπασιν οὐδὲ κατ' ἐκείνην αὐτὴν ἀποστῆναι τὴν ἡμέραν. πολὺ δὲ δὴ μᾶλλον ἐπὶ τῆς ὑδραίας ἔχεσθαι προσήκει τοῦ σκοποῦ τόν τε χόνδρον ἅμα τῷ μέλιτι διδόντας, ἢ ὄξους αὐτῷ μιγνύντας, ὅταν ὡς πτισάνην σκευάζομεν δι' οἰνομέλιτος ἢ οἴνου φαλερίνου προσφέρεσθαι κελεύοντας, ἢ τῷ γάλακτι χρωμένους ὡς προεῖπον, ἢ πτισάνην καλῶς ἑφθὴν πεπέρεως ἀκριβῶς χνοῦς ἐπεμβάλλοντας. οὕτως δὲ καὶ πέπειρα σῦκα πρὸ τῆς ἄλλης ὀπώρας αἱρετέον ἐστὶν καὶ κατὰ τὸν χειμῶνα τὰς ἰσχάδας ἄρτον τε προεσκευασμένον ὡς εἶπον ἢ μετὰ μέλιτος, ἢ μετ' οἰνομέλιτος, ἢ μετά τινος οἴνου τῶν ἐπιτηδείων. ὡς παραδείγματα γὰρ ἕνεκα σαφηνείας λέγεται αὐτὰ τάδε πρός τὸ καὶ τοὺς ἀναγνόντας αὐτὰ, δύνασθαι κρίνειν τὴν ὕλην ὁμοίως ἀποβλέποντας εἰς τὸν καθόλου σκοπὸν, ὃν ἐν τῷ θερμαίνειν τε καὶ ὑγραίνειν ἔφην κεῖσθαι. ὅτι δὲ τά τε φλεγματώδη καὶ ὀρρώδη περιττώματα, κατὰ τὸ τῶν πρεσβυτέρων ἀθροίζεται σῶμα, τήν τε οὔρησιν ἐφ' ἡμέρᾳ προτρέπειν χρὴ, μὴ διὰ τῶν φαρμακωδῶν. ἀλλὰ σελίνῳ, καὶ μέλιτι, καὶ οἴνοις οὐρητικοῖς. ὑπάγειν τε τὴν γαστέρα, δι' ἐλαίου μάλιστα καταρροφοῦντας αὐτὸ πρὸ τῶν σιτίων. εὔδηλον δὲ ὅτι καὶ τὰ λαχανώδη πάντα πρὸ τῶν ἄλλων σιτίων ἐσθίειν χρὴ δι' ἐλαίου τε καὶ γάρου. τὸ μὲν οὖν ἐφ' ἡμέρᾳ διά τε τούτων ἱκανῶς ἐνίοις ἡ γαστὴρ λαπάττεται, καὶ σύκων ὁπότ' εἴη, † καὶ κοκκυμήλων, ὅσα τ' ἄλλα κατὰ θέρος καὶ φθινόπωρον ἀκμάζει. χειμῶνος δὲ, διά τε τῶν ἰσχάδων καὶ τῶν δαμασκηνῶν κοκκυμήλων, ἤτοι γ' ἑψημένων, ἢ ἁπλῶς διαβεβρεγμένων ἐν μελικράτῳ, τὸ πλέον ἔχοντι μέλιτος. ἐστὶ δὲ τούτων καλῶς ἐὰν ἀττικὸν ἢ τὸ μέλι. πολύ γε τῶν δαμασκηνῶν ὑπακτικώτερα τὰ ἐκ τῆς ἰσπανίας ἐστὶ, καὶ τῶν ἐλαιῶν δὲ τῶν ἐκ τῆς ἅλμης ἐγχωρεῖ ποτὲ προλαμβάνειν. οὐ μὴν ἀλόην γε συμβουλεύω προσφέρεσθαι καθάπερ ὁρῶ πολλοὺς τῶν γερόντων, ὅσοις ἡ γαστὴρ ξηρά. τινὰς μὲν ἀναπλάττοντας εἰς καταπότια, καὶ χυλῷ κράμβης. ἔνιοι δὲ καὶ μόνης αὐτῆς λείας ἐπιπάττοντες ὑγρῷ τινὶ, καὶ γὰρ καὶ τοῦτο τισὶ μὲν ὕδωρ ἐστὶ, τισὶ δὲ μελίκρατον. ὅσοι δ' ἐξ αὐτῶν πλούσιοι τὴν μετὰ τοῦ κινναμώμου σκευαζομένην ἀλόην λαμβάνουσιν. ὀνομάζουσι δὲ τὸ φάρμακον, ἔνιοι μὲν, ἱερὰν τὴν δι' ἀλόης. ἔνιοι δὲ πικράν. ἔχουσι δέ τινες ξηρὸν ὡς ἐπιπάττειν τῷ ποτῷ. τινὲς δὲ μετὰ μέλιτος

† ἄλ. πέπειρα

ἀνέφθου μι-

ἀνέφθου μετρίως ἀναλημμένου. ἀλλ' οὐδ' ὀλίγος τούτων ἐστὶ χρεία τοῖς γέρουσιν, ὅτι μὴ μεγάλης ἀνάγκης καταλαβούσης. ὑπακουούσης μὲν γὰρ τοῖς εἰρημένοις τῆς γαστρός, εἰ καὶ μὴ καθ' ἑκάστην ἡμέραν ἀλλὰ παρὰ μίαν, οὐδὲν ὅλως χρὴ φαρμακῶδες προσφέρειν. εἰ δὲ μὴ διὰ τρίτης ὑπέλθοι δυοῖν ἡμερῶν ἐπισχεθεῖσα, τηνικαῦτα καὶ λινοζώστεως αὐτάρκης ἐστί, καὶ ἡ καλουμένη θαλασσοκράμβη καὶ κνῆκος ἐπὶ πτισάνῃ διδόμενος, ὅσα τ' ἄλλα μετρίως φαρμακώδη, καθάπερ οὖν καὶ ἡ τερμινθίνη ῥητίνη, λαμβάνουσι δὲ αὐτῆς ἐνίοτε μὲν, καρύου ποντικοῦ μέγεθος, ἐνίοτε δὲ καὶ δυοῖν ἢ τριῶν, οὐ μόνον γὰρ ἀλύπως λαπάττειν πέφυκεν, ἀλλὰ καὶ τὰ σπλάγχνα πάντα διαῤῥύπτειν, ἧπαρ καὶ σπλῆνα καὶ νεφροὺς, καὶ πνεύμονα. ποικίλως δὲ χρῆσθαι δεῖ τοῖς εἰρημένοις, οὐχ ἓν ἐπιλεξαμένους ἐκεῖνο μόνον προσφέρεσθαι. συνήθης γὰρ ἐν τῷ χρόνῳ τοῦ λαμβάνοντος ἡ φύσις αὐτῶν γινομένη, καταφρονεῖ τῆς τοῦ φαρμάκου δυνάμεως. ὑπαλλάττειν οὖν χρὴ τοῖς εἰρημένοις, καὶ πρὸς αὐτοῖς τὸ διὰ τῶν ἰσχάδων σκευαζόμενον, ἔστωσαν δὲ λιπαραί, καὶ ἀφαιρείσθω τὸ περικείμενον αὐταῖς ἔξω δέρμα. κατὰ τὸν αὐτὸν δὲ τρόπον, καὶ τοὺς κνίκους εἶτ' ἄμφω μιγνύμενα κοπτέσθω. τῷ σταθμῷ δ' ἔστω παραπλήσια τοῦ κνίκου ἡ ἰσχάς. ἔξεστι δὲ κἀνταῦθα πειρωμένους τοῦ φαρμάκου ὡς ἔχει πρὸς τὴν τοῦ λαμβάνοντος φύσιν, ἐνίοτε μὲν ἐλάττω, ἐνίοτε δὲ πλεῖον μιγνύναι, τοῦ κνίκου. λαμβάνειν δὲ τὸ μέγεθος ἰσχάδων δυοῖν ἢ τριῶν. ἐξ αὐτῆς δὲ ὡς εἶπον τῆς πείρας ἑαυτῷ τις εὑρήσει τὸ μέτρον ἐπὶ τῶν τοιούτων ἁπάντων. ἐνίοις μὲν γὰρ μᾶλλον, ἐνίοις δ' ἧττον ὑπακούσει τοῖς φαρμάκοις, ἡ γαστήρ. ἀλλ' ἱκανῶς γε δαψιλὲς οὐδέν ποτε χρὴ τῶν εἰρημένων φαρμάκων. ἐν μὲν γοῦν τῷ παραχρῆμα χαίρουσιν ἔνιοι σφοδρῶς κενωθέντες. ὅσῳ δ' ἂν μᾶλλον κενωθῶσι, τοσούτῳ μᾶλλον αὐτοῖς ἡ γαστὴρ ἴσχεται, κατὰ τὰς ἐφεξῆς ἡμέρας. διὰ τοῦτο δ' ἐγὼ καὶ τοὺς ἐν νόσοις χρονίοις τὴν κοιλίαν ἐπεχομένους, ὁποῖαι μάλιστα κατὰ χειμῶνα γίνονται πολλοῖς, καὶ μετὰ μακρὰν ἀῤῥωστίαν ἐν ταῖς ἀναλήψεσιν ὁμοίως ἐνοχλουμένους, οὐ κλύζω δριμέσι κλύσμασιν, ἀλλ' ἔλαιον ἐνίημι μόνον. ὅπερ οὐδὲν κωλύει καὶ τοῖς ὑγιαίνουσιν ἐγχεῖν ἐνίοτε τῆς γαστρὸς ἐπισχεθείσης, καὶ γὰρ διαβρέχεται τὰ σκληρὰ τῶν περιττωμάτων, καὶ ὡς ὄλισθος ἐν τῇ διόδῳ γίγνεται, καὶ τὸ σῶμα τῶν γερόντων αὐτὸ μαλάττεται, ταῖς σκληραῖς ὁμοίως διφθέραις ἐσκληρυμμένον, ἀλλ' οὐδὲ ταῦτα τοῦ γέροντος ἢ γέρως ἐστὶν ἴδια, καὶ γὰρ καὶ τοῖς ἐκ νοσημάτων μακρῶν ἀνακομιζομένοις συμφέρει. τί τοίνυν ἴδιον ἐστὶ τοῦ γέροντος ἢ γέρον ἐστί; τὸ τῇ κράσει συμφέρον. αὕτη γοῦν ἐστι δι' ἣν καὶ γηρῶμεν ἄλλος ἐν ἄλλῳ χρόνῳ πρωϊαίτερον, ἢ ὀψιαίτερον ὡς ἂν καὶ φύσεως ἔχωμεν ἐξ ἀρχῆς, ἢ ἐπιτηδεύματος, ἢ δίαιταν, ἢ νόσους, ἢ φροντίδας, ἢ τι τοιοῦτον ξηρανθέντες ἀμετρότερον τύχωμεν. ἐστὶ μὲν γὰρ ὅ γε κυρίως ἅπαντες ἄνθρωποι γῆρας ὀνομάζουσι, ἡ ξηρὰ καὶ ψυχρὰ κρᾶσις τοῦ σώματος ἐκ πολυετείας γινομένη. συμβαίνει δέ ποτε καὶ διὰ πυρετῶδες νόσημα, καὶ καλοῦμεν αὐτὸ ἐκ νόσου γῆρας, ὡς ἐν τῷ περὶ μαρασμοῦ λέλεκται γράμματι. μαρασμὸς γάρ τοι καὶ ἡ τοιαύτη διάθεσις ἐστί, οὐκ ἐν ζώοις μόνον, ἀλλὰ καὶ φυτοῖς γιγνομένη. γέγραπται δὲ κατὰ τὸ πρῶτον βιβλίον τῆσδε τῆς πραγματείας, ἡ ἀναγκαία τοῦ γήρως γένεσις ἔκ τε οὖν ἐκείνων κἀξ ὧν ἐν τοῖς περὶ κράσεων εἴρηται καὶ πρὸς τούτοις τοῦ περὶ μαρασμοῦ γράμματος, εὐπορώτερος δῆλος εἰς τὸ γηρωκομικὸν μέρος τῆς τέχνης γενηθείη. σύγκειται γὰρ ἅπασα πρόνοια σωματικῆς διαθέσεως, ἔκ τε τοῦ γινώσκειν αὐτῆς τὴν οἰκείαν οὐσίαν καὶ τὰς τῆς τῶν βοηθημάτων ὕλης τὰς δυνάμεις. οἷον εὐθέως ἐπὶ τοῦ προκειμένου νῦν ἡμῖν τοῦ γήρως ὁ γνοὺς τὴν διάθεσιν ἐπιστημονικῶς, ὅτι ξηρότης ἐστὶ μετὰ ψύξεως, ἐὰν ἐκμάθῃ τὰς ὑγραινούσας ὕλας καὶ θερμασίας τῶν βοηθημάτων, ἀγαθὸς ἂν ἰατρὸς εἴη γερόντων. οὐσῶν δὲ τεττάρων ὑλῶν κατὰ γένος, ἃς ὀνομάζουσι προσφερομένων καὶ ποιουμένων καὶ κενουμένων καὶ προσπιπτόντων ἔξωθεν. ἐκλέγεσθαι προσήκει καθ' ἑκάστην αὐτῶν, τὰ θερμαίνειν τε καὶ ὑγραίνειν δυνάμενα. ἡ δὲ πρὸς τὴν οἰκείαν ἑκάστου χρῆσιν, ἡ ἐπὶ τῶν παραδειγμάτων ἄσκησις ὠφελιμωτάτη. οἶδα δέ ποτε θώρακα παιδὸς ἀπολειπόμενον οὐκ ὀλίγῳ τῆς τῶν ἄλλων συμμετρίας μορίων, αὐξήσας τὸ μέτρον ἐκ τοιαύτης ἰδέας βοηθημάτων. ἐζώννυον μὲν αὐτοῦ τὰ κατὰ τοῦ θώρακος ἅπαντα μέχρι τῶν ἰσχίων, ζώνῃ συμμέτρῳ πλατείᾳ, οὕτω περιβάλλων ὡς ἐρηρεῖσθαι μὲν ἀλύπως, μήτε δὲ χαλαρὸν ἀπολιπεῖν τι, μήτε πεπιέσθαι. γυμνάσια δὲ τά τε διὰ ὅλων τῶν χειρῶν ἐπιτηδευόμενα, καὶ τὰς καλουμένας ὑπὸ τῶν φωνασκῶν ἀναφωνήσεις παρελάμβανον. ἐφ' ἑκατέροις δὲ κατάληψιν πνεύματος ἐκέλευον ποιεῖσθαι, γίγνεται δ' αὕτη σφοδρῶς μὲν θλιβόντων ἡμῶν ἐκ παντὸς μέρους τὸν θώρακα, τὴν δ' ἐκπνοὴν κατεχόντων, ὡς ἐπέχεσθαι πᾶν ἔνδον τὸ πνεῦμα, τὸ διὰ τῆς εἰσπνοῆς φθάνον εἱλκῦσθαι. διὸ καὶ πλεῖον εἰσπνευστέον ἐστὶ τῷ μέλλοντι καλῶς τοῦτο δράσειν. ὅσῳ γοῦν ἂν εἴη πλείων ὁ θλιβόμενος ἀὴρ, τοσούτῳ μᾶλλον ὁ θώραξ εὐρύνεται διατεινόμενος. ὅτι δὲ καὶ τὰς ἀναφωνήσεις ἐν μεγέθει τε καὶ τῇ κατ' ὀξύτητα τάσει τῆς φωνῆς ποιητέον ἐστὶν ἐπὶ τούτων, οὐκ ἄδηλον εἴγε δὴ πρόκειται γυμνάζειν ἰσχυρῶς πάντα τοῦ θώρακος τὰ μόρια. ταῦτα μὲν οὖν ἐπὶ τῶν αὐξανομένων σωμάτων εἰς συμμετρίαν ἄξει τὰ φύσει κακῶς διαπεπλασμένα. μέτρια δὲ καὶ τοὺς ἤδη τελέους ὠφελήσει. οὐ μὴν ἐπί γε τῶν πρεσβυτῶν ἐπιχειρήσεις ἔργῳ τοιούτῳ. βέλτιον γὰρ ἐπ' ἐκείνων ἡσυχάζειν τοῖς ἀσθενέσι μορίοις εἴρηται, βέλτιον δὲ καὶ τὸ διὰ τῶν συνήθων ἐπιτηδευμάτων γυμνάζειν. εἰ καὶ βλαβερὰ μετρίως εἴη τοῖς γε μὴν νέοις ὑπαλλάττειν πειρᾶσθαι τὰ βλάπτοντα, κἂν ἐκ παιδὸς ᾖ συνηθέστατα. δύναται γὰρ ἡ δύναμις αὐτῶν ὑπομεῖναι τὴν μεταβολὴν ἐν μέτρῳ γινομένην, ἐλπίς τ' ἐστὶ τῷ λοιπῷ χρόνῳ τῆς ζωῆς ὀνήσασθαί τι πρὸς τῶν ἀμεινόνων ἐπιτηδευμάτων. ὁ δὲ γέρων εἰ δυνηθείη χρόνῳ συχνῷ κατὰ βραχὺ μεταστῆναι τῶν φαύλων ἐθῶν, οὐδ' ἐν ᾧ χρόνῳ χρήσεται τοῖς βελτίοσιν, ἕξει. συμβήσεται δ' αὐτῷ πονῆσαι μάτην, ὥσπερ εἰ καὶ τέχνην ἄρχοιτο μανθάνειν ὀγδοηκοντούτης τις ὤν. ὥσπερ δὲ τῶν γερόντων αὐτῶν, οὐ σμικρά τις ἐστὶ διαφορὰ πρὸς ἀλλήλους εἴτε κατὰ τὴν ἡλικίαν αὐτὴν, εἴτε κατὰ τὴν διάθεσιν τοῦ σώματος, οὕτω καὶ τῶν φύσει ξηροτέρων τε ἅμα καὶ ψυχροτέρων ὡς πρὸς τὸν σύμμετρον παραβάλλειν, οὐκ ὀλίγον τοὐν μέσῳ τῆς δυσκρασίας ἐστὶ, πρὸς ἀλλήλους τε καὶ τοὺς γέροντας. ὑγραίνειν μὲν οὖν αὐτοὺς δηλονότι καὶ θερμαίνειν προσήκει. θαῤῥαλεώτερον δὲ ταῦτα πράττειν διὰ τὴν ἡλικίαν ἀνεχομένους ἰσχυρῶν γυμνασίων ὡς ἂν ἐῤῥωμένης ἔτι τῆς δυνάμεως. ὁ γάρ τοι πρῶτος σκοπὸς ἀφ' οὗ τὴν ἔνδειξιν τῶν ἰαμάτων λαμβάνομεν, ἡ τοιάδε δυσκρασία τοῦ σώματός ἐστιν, τὸ γῆρας ἢ ὅλως ἡλικία τις. ἀλλ' ἐπειδὴ στοχαστικῶς ἡμῖν τὸ τῶν διαθέσεων μέτρον λαμβάνεται, διὰ τοῦτο καὶ τὴν ἡλικίαν ἐπισκοποῦμεν. ἡ δ' αὐτὴ χρεία καὶ τῆς τῶν ἐθῶν γνώσεώς ἐστι, καὶ τῆς τῶν προκαταρκτικῶν ὀνομαζομένων αἰτίων. εἰς γὰρ τὴν τῆς δια-

θέσεως ἀκριβεστέραν γνῶσιν, ἐκ τῶν τοιούτων ἁπάντων ὠφελούμεθα. τῶν δ' ἰαμάτων ἡ ἔνδειξις οὐκ ἐκ τούτων γίνεται. διά γε μὴν ἐμπειρικῷ μέρος τῆς ὅλης συνδρομῆς ἐστὶ καὶ τὰ τοιαῦτα τετηρημένης ἐπ' αὐτοῖς τῆς θεραπείας, οὐκ ἐνδεικτικῶς εὑρισκομένης. εἰκότως τοιγαροῦν Ἱπποκράτης τὰ πλεῖστα περὶ διαγνώσεων καὶ προγνώσεων ἔγραψε, γυμνάζων ἡμᾶς ἐν τοῖς κατὰ μέρος. οἵ τ' ἄριστοι μετ' αὐτὸν ἰατροὶ ὡσαύτως ἔπραξαν. εὖ εἰδότες ὡς διαγνόντι τὴν διάθεσιν ἀκριβῶς τοῦ σώματος ὃ μεταχειριζόμεθα ὑγιαῖνον, ἢ νοσοῦν, οὐ χαλεπῶς εὑρίσκεται τὰ βοηθήματα. χρὴ γὰρ ὡς εἴρηται πολλάκις, ἄρχεσθαι μὲν ἀπὸ θεραπευτικοῦ παραγγέλματος, τοῦ τὰ ἐναντίων ἰάματα. τῆς δ' ὕλης τῶν βοηθημάτων ἐπιστήμονα γενόμενον ὡς ἐκμάθῃ αὐτῆς τὰς δυνάμεις ἀεὶ προσφέρειν ἅπαντι σώματι τῷ μὴ φαύλως διακειμένῳ τἀναντία, τῷ δ' ἄριστα κατεσκευασμένῳ τὰ παραπλήσια ταῖς δυνάμεσι. καὶ τοίνυν καὶ τὰς δυσκρασίας αὐτὰς ὅσαι κατὰ τὸ τῆς ὑγείας ἔτι πλάτος εἰσὶν ἐπανορθοῦσθαι μὴ βουλόμενος, ὑπεναντίως διαιτήσεις. ὅπερ ἐπὶ πολλῆς γίνεται σχολῆς, ἐν ἀσχολίᾳ δ' οὖσι, διὰ τῶν ὁμοίων ὑπηρετήσεις, καὶ μάλιστα ὅταν οὕτως ὦσιν εἰθισμένοι, συμβαίνει δ' ὡς τὰ πολλὰ θάτερον τούτων μᾶλλον, ὡς ἂν τῶν φύσεων ἀδιαλάκτως αἱρουμένων τὰ οἰκεῖα, καὶ μέχρι γε τοσούτου προσφερόμεθα αὐτά, μέχρι περ ἂν εἰς τὴν ἀρχαίαν ἐπανέλθωσι κατάστασιν. ἡ δέ γ' ἐπανορθουμένη τὴν δυσκρασίαν δίαιτα, περαιτέρω προέρχεται τὰ πολλά. διὸ καὶ τοῖς οἰκείοις νοσήμασιν ἁλισκόμεθα πλείοσι. τῆς μὲν φύσεως θερμοτέρας ῥᾳδίως τὰ θερμὰ νοσήματα νοσοῦντος. τῆς δὲ ψυχροτέρας, τὰ ψυχρά, καὶ τῶν ἄλλων ὡσαύτως. ἐπανορθοῦται τοιγαροῦν θᾶττον εἰς τὴν ἰδίαν φύσιν ἕκαστον τῶν δυσκράτων σωμάτων ἤπερ ἐπὶ τὴν ἀρίστην κρᾶσιν. ἐν μεσαιτάτῳ γὰρ αὕτη πασῶν ἐστι τῶν δυσκρασιῶν, ἐὰν μὲν οἰκείῳ τις ἁλῷ τῇ φύσει νοσήματι, πλέον ἀφέστηκεν. ἐὰν δ' οὐκ οἰκείῳ, βραχύτερον. οὐκοῦν οὐδὲ τὰ ἔθη μεταβλητέον ἐστί, κἂν τῇ μοχθηρᾷ δυσαρεστουμένων ἔτι τῶν σωμάτων. † ἀλλ' ἐν ταῖς ἀκριβεστέραις ὑγείαις, οὐκ ἀεὶ τοῦτο πρακτέον, ἀλλ' ὅταν ἀπὸ τῶν πολιτικῶν πραγμάτων ἄγῃ σχολὴν ὁ μέλλων μεταχθήσεσθαι. ταῦτ' οὖν ὄντα κοινὰ παραγγέλματα πασῶν τῶν κράσεων ὑπαλλάττεται κατὰ μέρος, εἰς ὅσον ἂν ἑκάστη δυσκρασία τῆς ἄκρας εὐκρασίας ἀπολείπηται, καὶ θαυμαστὸν οὐδὲν ἐστι τὰς δυσκράτους φύσεις ἐν τῷ μέσῳ καθεστηκυίας ἀκριβῶς ὑγείας αἰσθητοῦ τε νοσήματος ἐπαμφοτερίζειν καὶ διὰ τρόπων τῆς διαίτης. οὐ μὴν οὐδὲ τὸ φαίνεσθαι τοὺς ἀνθρώπους ὑπὸ τῶν αὐτῶν ὠφελουμένους τε καὶ βλαπτομένους, θαυμαστόν. εἰ μὲν γὰρ ἅπαντες ὁμοίαν ἀλλήλοις εἶχον κατασκευήν, τότ' ἂν ἦν θαυμαστὸν ὑπὸ τῶν ἐναντίων ἐνίους ὠφελεῖσθαι βλαπτομένους ὑπὸ τῶν αὐτῶν. ἐπεὶ δ' ἐναντίαι πολλῶν τῶν ἀνθρώπων εἰσὶν κατασκευαὶ τοῦ σώματος, εὔλογόν ἐστι καὶ τὴν ὠφέλειαν αὐτοῖς ὑπὸ τῶν ἐναντίων γίνεσθαι. διὸ καὶ θαυμάσειεν ἄν τις ἁπάντων τῶν ἰατρῶν, ὅσοι γράφειν ἐπεχείρησαν ὑγιεινὰ συγγράμματα, μὴ διελομένων διὰ λόγου τὰς φύσεις. ὥσπερ γὰρ ἑνὶ καλοποδίῳ πρὸς ἅπαντας ἀνθρώπους ἀδύνατον χρῆσθαι τοῖς σκυτοτόμοις, οὕτω τοῖς ἰατροῖς ἰδέα βίου συμφέρουσα μία. διὰ τοῦτ' οὖν ἐνίοις μὲν ὑγιεινότατον εἶναί φασι τὸ γυμνάζεσθαι καθ' ἑκάστην ἡμέραν ἱκανῶς, ἐνίοις δὲ μηδὲν κωλύειν, εἰ καὶ παντάπασί τις ἐν ἡσυχίᾳ διατρίβει, καὶ λούεσθαι τοῖς μὲν ὑγιεινότατον εἶναι δοκεῖ, τοῖς δ' οὔ. καὶ πίνειν ὕδατος καὶ οἴνου, καὶ περὶ τῶν ἄλλων ὡσαύτως. οὐ μόνον ὑγιεινῶν διαιτημάτων, ἀλλὰ καὶ τῶν τοῖς νοσοῦσι προσφερομένων ἰαμάτων, ἐναντιώτατα γράφουσιν ἀλλήλοις. ὡς σπάνιον εὑρεῖν ὁμολογούμενον ἕν τι πᾶσι αὐτοῖς. ἥ γε μὴν πεῖρα δείκνυσιν ὑπό τε τῶν αὐτῶν ἐνίους βλαπτομένους τε καὶ ὠφελουμένους ὑπό τε τῶν ἐναντίων ὡσαύτως. οἶδα γ' οὖν τινάς, οἳ τρεῖς ἡμέρας ἀγύμναστοι μείναντες, εὐθέως νοσοῦσιν, ἀγυμνάστους δ' ἑτέρους ἀεὶ διατελοῦντας, ὑγιαίνοντας δέ. καὶ τούτων ἐνίους μὲν ἀλούτους, ἐνίους δ' εἰ μὴ λούσαιντο, πυρέττοντας αὐτίκα. καθάπερ ὁ μιτυληναῖος πρημιγένης. ὅτι μὲν οὖν οὕτως φαίνεται ταῦτα γιγνόμενα, καὶ οἱ τῇ πείρᾳ μόνῃ τὴν τέχνην ἀθροίζοντες ἴσασιν. οὐ μὴν ἔγραψέ γέ τις αὐτῶν γνωρίσματα καθάπερ ἐπὶ τῶν νοσημάτων οἷς προσέχοντες εὑρήσομεν ὁποίας ἕκαστος δεῖται διαίτης. ὑπ' ὀλιγίστων γάρ ἐστιν εὑρεῖν τὰς καλουμένας ὑπὸ τῶν ἐμπειρικῶν συνδρομὰς ἠκριβωμένας. ὡς ἐν περιπνευμονίᾳ τε καὶ πλευρίτιδι. τὰ δὲ πλεῖστα νοσήματα, στοχαστικὴν ἔχει διάγνωσιν, ὡς οὐκ ἐξ ἀθροίσματος ὡρισμένων συμπτωμάτων γινωσκόμενα, ἀλλ' ἀνδρὸς δεόμενα ἀκριβῶς ἐπισταμένου τὴν διάθεσιν τοῦ σώματος, εὑρίσκειν δ' ἱκανοῦ τὰ κατὰ μέρος ἁπάντων τὰ τῇ τοιαύτῃ συμφωνοῦντα. τὸ γ' οὖν προκείμενον ἀπὸ τοῦ διὰ λόγου προδιηγηθέντες ἡμεῖς εὕρομεν ἔτι νέοι τὴν ἡλικίαν ὄντες. ᾧ καὶ δῆλον ὡς ἡ μακρὰ πεῖρα χωρὶς λόγου τὰ τοιαῦτα εὑρίσκειν ἀδύνατος. ἐπὶ γ' οὖν τοῦ πρημιγένους ἀκούσας ὅτι πάντως πυρέττοι μὴ λουσάμενος, ἐλογισάμην αὐτῷ καπνώδη περιττώματα γεννᾶσθαι, διαπνεῖσθαι δεόμενα. πυκνοτέρου τοῦ δέρματος ὄντος καὶ ὡς ἐπιτρέπειν αὐτοῖς κενοῦσθαι πᾶσιν ἀθροιζομένοις ὑπὸ τῷ δέρματι θερμασίαν γεννᾶν. διὸ καὶ τὰ λουτρὰ χρησιμώτατα ταῖς τοιαύταις φύσεσιν, οὐ μόνον τῷ κενοῦν τὸ καπνῶδες, ἀλλὰ καὶ τῷ τέγγειν, ὑγρότητι γλυκείᾳ. καταμαθεῖν οὖν ἔδοξέ μοι πλατεῖαν ἐπιβαλόντι τὴν χεῖρα τῷ θώρακι τοῦ πρημιγένους, ὁποία τίς ἐστιν ἡ τῆς θερμασίας ποιότης, ὡς δὲ δριμεῖα καὶ δακνώδης εὑρέθη, παραπλησίως τοῖς κρόμμυα προσενηνεγμένοις δαψιλῆ, πολὺ δὴ μᾶλλον ἔτι τὴν αἰτίαν τοῦ γιγνομένου καλῶς εἰρῆσθαί μοι προσθείς, ἐπυθόμην εἴ τινες ἱδρῶτες αὐτοῦ γίγνοιντο χωρὶς τοῦ λουτροῦ, καὶ φάντος μὴ γίγνεσθαι, βεβαιοτέραν γνῶσιν ἐπείσθην ἔχειν τῆς διαθέσεως αὐτοῦ, καὶ μὴν δή, καὶ τοὺς ἄλλους τινὰς εἶδον ὁμοίως μὲν ἐκείνῳ δακνῶδες ἔχοντας τὸ θερμόν, οὐ μὴν ἐπ' ἀλουσίᾳ γε μιᾷ πυρέττοντας. ἐπειδὴ δι' ἱδρώτων αὐτοῖς ἐκενοῦτο τὰ περιττώματα. τῷ πρημιγένει δὲ πρὸς τῇ φυσικῇ κατασκευῇ καὶ ὁ τρόπος τῆς διαίτης αἴτιος ἦν τοῦ πυρέττειν ἐπ' ἀλουσίᾳ μιᾷ, διατρίβοντι τὸ πλεῖστον ἐπὶ τῆς οἰκίας, ἐν ᾗ γράφων ἢ ἀναγινώσκων διετέλει, διὰ τὸ προσκεῖσθαι θεωρίᾳ περιπατητικῇ. καθ' ἣν οὐδενὸς ἦν δεύτερος τῶν κατ' αὐτόν. ἴσμεν δ' ὅτι καὶ τοῖς μὴ κατὰ φύσιν τοιοῦτον γεννῶσι περίττωμα, φιλοπονία καὶ φροντὶς αἴτιαι γίνονται τῆς γενέσεως αὐτοῦ, διόπερ ἕτερον ἄνθρωπον ὁμοίως ἐκείνῳ τὴν θερμασίαν ἔχοντα δακνώδη, συνέβαινε μὴ πυρέττειν μετὰ μίαν ἡμέραν ἀλουσίας, ἐπειδὴ μήτε φροντιστὴς ἦν, αἵ τε πράξεις αὐτῷ κατὰ τὴν πόλιν ἐγίγνοντο περιπατοῦντι πολλὰ καὶ ὠνουμένῳ, καὶ πιπράσκοντι, καὶ μαχομένῳ πολλάκις ἐν οἷς ἱδροῦν ἠναγκάζετο. διὰ τοῦτο ἕτερόν τινα τῶν νοσούντων καθ' ἕκαστον θέρος ὀξύ, καὶ χολῶδες νόσημα παμπόλλων ἐτῶν ἤδη τελέως ἄνοσον ἐφύλαξα γυμνάζεσθαι κωλύσας. θερμὸς γὰρ ὢν καὶ ξηρὸς τὴν κρᾶσιν ὁμοίως τῷ πρημιγένει, γυμνασίοις τε συντόνοις

† αἱ. ἀλλ' οὐδὲν

ἐχρῆτο

ἐχρῆτο καὶ ἡλίῳ καὶ κόνει. συνέβαινεν οὖν αὐτῷ τὴν μὲν θερμασίαν ἀμετρότερον αὐξάνεσθαι, πυκνοῦσθαι δὲ τὸ δέρμα, καὶ δυσδιάπνευστον γίνεσθαι. συνελθόντων δὲ εἰς ταὐτὸν ἀμφοτέρων ἕτοιμον ἤδη πυρέξαι τῷ ταῦτα πάσχοντι σώματι. ὅπερ οὖν ἐπὶ τῆς ἰατρικῆς τέχνης εἴωθα λέγειν ἀεί, τοῦτο καὶ νῦν ἐρῶ. τάχιστα μὲν ὁ λογισμὸς εὑρίσκει τὰ ζητούμενα, βεβαιοῖ δὲ τὴν πίστιν αὐτῶν ἡ πεῖρα, καὶ τό γε θαυμασιώτερον Ἱπποκράτους εἰρηκότος, ὡς ταῖς θερμαῖς φύσεσιν ἄμεινον ἀργεῖν ἐστὶν ἢ γυμνάζεσθαι, παμπόλλους τῶν ἰατρῶν ἰδεῖν ἐστι, μὴ δὲ γινώσκοντας οἵτινές ποτε εἰσὶν οἱ τοιοῦτοι τῶν ἀνθρώπων, ἀλλ' ἑξῆς ἅπασι γυμνάσια προστάττοντας. ὥσπερ αὖ πάλιν ἄλλους οὐκ ὀλίγους ἰατροὺς οὐδὲν ἐκ γυμνασίων πλέον εἰς ὑγείαν, ἡγουμένους γίνεσθαι. καὶ πρὸς τούτοις γε τρίτους ἄλλους, τοῖς μὲν εἰθισμένοις γυμνάζεσθαι συγχωροῦντας, εἴργοντας δὲ τοὺς ἀήθεις ἀπὸ τῶν γυμνασίων. ἅπαντες μὲν οὖν ἁμαρτάνουσιν, ἀλλ' οἱ τρίτοι ῥηθέντες, ἧττον. οἱ πλείους γὰρ τῶν ἐθιζόντων ὁποιονοῦν ἔθος οἰκεῖον αἱροῦνται τῇ φύσει, διὰ τὸ βλαπτόμενον πολλάκις ὑπὸ τῶν οὐκ οἰκείων, ἀφίστασθαι. τινὲς δ' ἤτοι νικηθέντες ὑφ' ἡδονῆς δι' ὑπερβάλλουσαν ἄνοιαν οὐκ αἰσθανόμενοι τῆς βλάβης ἐμμένουσι τοῖς κακοῖς ἔθεσιν, ἀλλ' οὗτοι μὲν ὀλίγοι, πλείους δέ εἰσιν οἱ μεθιστάμενοι. διὸ καὶ τοὺς ἰατροὺς ἧττον ἁμαρτάνειν εἰκός ἐστιν ὅσοι διαφυλάττειν ἀξιοῦσιν ἅπαν ἔθος. ὅσοι μέντοι νομίζουσι μηδὲν διαφέρειν εἰς ὑγείαν γύμναστον προσαιρεῖσθαι γυμνασθέντα σιτίον, καὶ ὅσοι πάντας ἀξιοῦσι γυμνάζεσθαι, πλείω βλάπτουσι τῶν προειρημένων. αὐτῶν δὲ τούτων ἀλλήλοις παραβαλλομένων, ἧττον βλάπτουσιν, οἱ πρὸ τῶν σιτίων, ἀεὶ γυμνάζεσθαι ἐθέλοντες. οἴονται δ' ἔνιοι καὶ Ἱπποκράτην παραινεῖν, πόνους γὰρ σιτίων ἡγεῖσθαι κατὰ τοὺς ἀφορισμούς, μὴ γινώσκοντες ὡς περὶ τάξεως νῦν ὁ λόγος αὐτῷ ἐστι τῶν γυμνασίων τε καὶ σιτίων. οὐ τοῦτο λέγοντι ὡς ἐπὶ πάντων ἀνθρώπων ἄμφω χρήσιμά ἐστιν, ἀλλ' ὡς ἐφ' ὧν συμφέρει γυμνάσια, προηγεῖσθαι χρὴ τῶν σιτίων. ὅτι δ' οὐ πᾶσι συμφέρει, διά τε τῶν ἐπιδημιῶν ἐδήλωσε σαφῶς. τὰς θερμὰς φύσεις ἀξιῶν ἐλινύειν. ἐν δὲ τοῖς ἀφορισμοῖς δυνάμει, διὰ τοῦ δηλῶσαι καθόλου, τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα. δύναται δέ ποτε καὶ διαφωνίας φαντασία γενέσθαι ἐπὶ τὰ τοιαῦτα παραγγέλματα. ἐνίων μὲν ἅπασαν κίνησιν σύμμετρον τοῦ κινουμένου σώματος, γυμνάσιον ὀνομαζόντων. ἐνίων δὲ τὴν σφοδροτέραν μόνην. ὥστε ἐπὶ μὲν τὸ πρότερον σημαινόμενον, ἅπαντας ἀνθρώπους δεῖσθαι γυμνασίων, καὶ τοῦτο εὔδηλον πάντη. ἐπὶ δὲ τὸ δεύτερον οὐκ ἀληθές. τῶν γὰρ ἐν ταῖς εἱρκταῖς ὑγιαινόντων οὐκ ὀρθῶς μοι δοκοῦσιν ἔνιοι μεμνῆσθαι. διαφθείρονται γοῦν οὗτοι πάντως ἐν τῷ χρόνῳ, κωλυόμενοι παντάπασιν ἀλείφεσθαί τε καὶ λούεσθαι. τὸ δὲ πρὸς ὀλίγας ἡμέρας ἀντέχειν αὐτοὺς τῇ νοσώδει διαίτῃ, θαυμαστὸν οὐδέν. εἴπερ οὖν ἅπασα κίνησις ὑπὸ τῶν τοῦ γυμνασίου προσηγορίαν ἄγοιτο, καὶ ὁ περιπατήσας καὶ ὁ τριψάμενος καὶ ὁ λουσάμενος γεγυμνάσθαι λέγοιτο, ἐὰν συμμέτρως κινηθῇ τῇ παρούσῃ τοῦ σώματος καταστάσει. ἐὰν δὲ καὶ τούτων εἴρξῃς τινά, νοσήσει πάντως. ὁρῶμεν γὰρ νῦν εἰργομένους οὐ μόνον νοσοῦντας, ἀλλὰ καὶ ἀποθνήσκοντας, ἐν ταῖς, εἱρκταῖς, ἐπειδὰν κατακλεισθῶσι πλείονα χρόνον. εἰ δὲ τὰς σφοδρὰς κινήσεις μόνας ὀνομάζοι τις γυμνάσια, γένοιτ' ἂν οὕτως ἀληθές, τὸ μὴ δεῖσθαι πάντας ἀνθρώπους γυμνασίων. εὐθέως μέντοι ὁ Περιγένης ἐκεῖνος, οὐδὲ μιᾶς ἐδεῖτο βιαίας κινήσεως. οὐκ ὀλίγους δὲ πρὸ τοῦ λουτροῦ περιπάτους ἐπὶ τὰς πρὸ τοῦ βαλανείου στοάς. ἀλλὰ καὶ τρίψασθαι μετ' ἐλαίου, καὶ τὸ μετὰ λουτρὸν ἀπομάξασθαι τὸ ὕδωρ αὐτάρκεις εἰσὶ κινήσεις ἀνδρὶ τοιαύτης κράσεως. ὁ δέ, καὶ πρὸ τοῦ δείπνου περιεπάτει τε καὶ διελέγετο τοῖς ἑταίροις, ὥσπερ οὖν καὶ ἐπὶ τὴν οἰκείαν ἐώθει. οὔκουν ἐστί τις ὑπὸ παντελοῦς ἀργίας ὀνινάμενος, ἀλλ' ὅταν ἐλινύειν ταῖς θερμαῖς φύσεσιν ὁ Ἱπποκράτης συμβουλεύῃ, τῶν σφοδρῶν κινήσεων, ἀπέχεσθαι κελεύει. κἀγὼ πολλοὺς ὤνησα ἤδη νοσοῦντας ἐν ἀρχῇ φθινοπώρου, διὰ τὰς ἐπιτηδευομένας αὐτοῖς ἤδη κινήσεις ἐν ὅλῳ τῷ θέρει κωλύσας τοῦτο πράττειν, ὑγιαίνοντας ἀπέφηνα. καθάπερ οὖν ἄλλους εἶρξα τοῦ γυμνάζεσθαι σφοδρῶς, ἑτέρους δ' ἔμπαλιν ἐξ ἀργίας εἰς γυμνάσια μεταστήσας, ἀνόσους διεφύλαξα, νοσοῦντας ἔμπροσθεν οὐκ ὀλιγάκις. εἰσὶ δ' οὗτοι ψυχρότεροι τῶν εὐκράτων τε καὶ συμμέτρων ἐναντίως διακείμενοι τοῖς θερμοτέροις τε καὶ ξηροτέροις. εἴρηται δὲ οὐ μόνον ἐν τῇ περὶ κράσεων πραγματείᾳ τὰ γνωρίσματα τῶν κράσεων, ἀλλὰ καὶ ἐν τῇ τέχνῃ τῇ ἰατρικῇ, τοῦτο γάρ ἐστι τὸ ἐπίγραμμα τοῦ ἡμετέρου ἑνὶ βιβλίων. θαυμάσαι δ' ἔστι τῶν ἰατρῶν ὅσοι μὴ δὲ τὰ διὰ τῆς αἰσθήσεως ἐναργῶς φαινόμενα, γινώσκουσι. τίς γὰρ οὐχ ὁρᾷ τὴν διαφορὰν τῶν ἀνθρώπων ἐπὶ πλεῖστον ἐκτεταμένην; ὥστ' ὑπὸ τῶν αὐτῶν ἐπιτηδευμάτων τε καὶ σιτίων, ἐνίους μὲν ὠφελεῖσθαι, βλάπτεσθαι δ' ἑτέρους, ὥσπερ γε κἀν ταῖς νόσοις, ὥσθ' ὅτι μὲν οὐ χρήζουσι τῶν αὐτῶν, ἅπαντες ἐναργῶς φαινόμενον, ἔχειν αὐτοὺς εἰδέναι. γράφοντας δὲ συγγράμματα, διωρίσασθαί τε καὶ διδάξαι, τίνες ὑπὸ τίνων ὠφελοῦνταί τε καὶ βλάπτονται. τίς οὖν ἡ αἰτία τοῦ παραλείπεσθαι τοὺς διορισμοὺς αὐτοῖς; καί τι γ' ὑφ' Ἱπποκράτους εἰρημένους. ἡ ἐπίτριπτος ἐπιθυμία, τοῦ δόξαν ἔχειν ἐν ἀνθρώποις, αἱρεσιάρχας ὀνομασθέντας, διὰ ταῦτα μὲν γὰρ ἐκεῖνοι μὴ ἐπεχείρησαν αὐτοῖς ἐναργῶς φαινομένοις ἀκολουθεῖν, ἀλλὰ ταῖς δόξαις αἷς ὑπέθεντο. τῶν δὲ εἰς αὐτοὺς ἐμπεσόντων νεωτέρων ἐπείσθησαν οἱ πλεῖστοι, περὶ μήτ' ἄλλο τι μεμαθηκέναι βέλτιον, ἀμαθεῖς τε ὄντες καὶ ἀγύμναστοι παντάπασιν ἀποδείξεως. εἰ γ' ἐποιεῖτό τις ἀποδείξει ῥᾷστα διακρινεῖ, τῶν τ' ἀληθῶν δογμάτων τὰ ψευδῆ. τῶν τε μετὰ διορισμοῦ γεγραμμένων, τὰ μὴ τοιαῦτα. καταγνώσεταί τε πάντων ἀτεχνίας, ὅσοι χωρὶς διορισμοῦ ἔγραψάν τι. πρόσεχε οὖν μοι τὸν νοῦν, ἄνωθεν ἐπερχομένῳ διὰ βραχέων, ὁποίους εἶναι χρὴ τοὺς διορισμούς. ὅσοις μὲν φύσει τὸ θερμὸν δακνῶδές ἐστιν, ὡς καπνώδη γεννᾶν περιττώματα. τούτοις λουτρὰ χρήσιμα, καὶ κινήσεις βραχεῖαί τε καὶ νωθραί, πολλαὶ δὲ καὶ ὀξεῖαι, βλαβερώτεραι. τούτοις οὖν οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δὶς λούεσθαι τῆς ἡμέρας συμφέρει. καὶ μάλιστα θέρους. ἐσθίειν τε τροφὰς εὐχύμους, μηδὲν ἐχούσας δριμύ. πολέμιον δ' αὐτῶν ἐστι, τὸ ἡλιοῦσθαι, καὶ τὸ θυμοῦσθαι, καὶ τὸ φροντίζειν πολλά. τοὺς δ' ἐναντίας ἢ ἐπὶ τούς δε φύσεως, εἰσὶ δ' οὗτοι ψυχροὶ καὶ ὑγροὶ τὴν κρᾶσιν, ἰσχυροτέρων τε κινήσεων χρεία ἔχεσθαι, καὶ διαίτης πλέον ἐχούσης τὸ λεπτόν. εἴρηται δ' ἥτις ἐστὶν ἡ τοιαύτη δι' ἑνὸς ὑπομνήματος. οὐ μὴν οὐδὲν ἡλίῳ γυμναζόμενοι βλάπτονται, καθάπερ οὐδ' ἀλουτοῦντες. μεγίστη μὲν οὖν διαφορὰ ταῖς εἰρημέναις ἐστὶ φύσεσι πρὸς ἀλλήλας. ἐναντιωτάτη γὰρ ἡ ὑγρὰ καὶ ψυχρὰ κρᾶσις τῇ θερμῇ καὶ ξηρᾷ. μεγίστη δέ, ἡ ψυχρὰ τῇ θερμῇ, καὶ ὑγρὰ πρὸς καὶ τὴν ξηράν. ἔστι δὲ ἡ μὲν ψυχρὰ καὶ ξηρὰ τῇ τῶν γερόντων ὁμοία. διὸ καὶ ταχέως γηρᾷ τὰ τοιαῦτα σώματα, καὶ λέλεκται περὶ αὐτῶν

αὐτάρκως ἐμπέφραχθαι. ἡ δ' ὑγρὰ καὶ θερμὰ τοῖς ῥευματικοῖς εὐάλωτος πάθεσι. τό γε μὴν κοινὸν ἐπὶ πασῶν τῶν δυσκράτων φύσεων ἄμεινον ἐστὶ κἀπὶ τῆσδε πράττειν, ἐστὶ δὲ τοῦτο κολάζειν μὲν αὐτὰ διὰ τῶν ἐναντίων, ὅταν πολλῇ χολῇ. φυλάττειν δὲ διὰ τῶν ὁμοίων, ἐπειδὰν ὑπὸ πλειόνων ἀσχολιῶν εἴργηταί τις ἑαυτῷ χολάζειν. περί γε μὴν τῶν ἐν τοῖς τοιούτοις σώμασιν γυμνασίων, ὧδ' ἔχει. πλείω μὲν χρὴ πονεῖν, διὰ τὴν ὑγρότητα τῶν σωμάτων, σύντονα δὲ οὐ χρή, διὰ τὴν θερμότητα. προσέχειν δ' ἀκριβῶς ὅταν ἐξ ἀργοτέρας διαίτης εἰς τὰ γυμνάσια μεταβάλλωσι, παραχρῆμα γὰρ ἁλίσκονται ῥευματικοῖς νοσήμασιν, εἰ μὴ προκενωθέντες ἅπτονται τῶν γυμνασίων. ὅσον γὰρ ἂν ἐν τῷ σώματι συνεστὸς ᾖ, καὶ παχὺ κατὰ τοὺς χυμοὺς, ἢ καὶ μετρίως ψυχρὸν, αὐτίκα τοῦτο πνευματοῦταί τε καὶ χεῖται. ταῦτ' ἄρα καὶ κατὰ τὸ ἔαρ αἱ τοιαῦται φύσεις μάλιστα τοῖς ὑπὸ πλήθους γιγνομένοις ἁλίσκονται νοσήμασι, συνάγχαις, κυνάγχαις, καταῤῥοις, αἱμοῤῥοΐσιν, αἱμοῤῥαγίαις, ἀρθρίτισιν, ὀφθαλμίαις, περιπνευμονίαις, πλευρίτισι, τοῖς τ' ἄλλοις ἅπασιν, ὧν τὸ γένος ἐστὶ φλεγμονή. διὸ καὶ φθάνειν χρὴ κατὰ τὴν ἀρχὴν τοῦ ἦρος αἵματος ἀφαιρεῖν αὐτῶν, ἢ φλέβα τέμνοντα, ἢ ἀσχάζοντα τὰ σφυρά. μὴ βουλομένων δ' οὕτως κενοῦσθαι, καθαρτέον ἐστὶ φαρμάκῳ ποικίλῳ. δυναμένῳ καὶ ξανθῆς χολῆς ἕλκειν τι, καὶ φλέγματος. καὶ τῶν ὀῤῥωδῶν περιττωμάτων. ἃ δ' ἐπὶ τῶν γυμνασίων εἴρηται. ταῦτα κἀπὶ τῶν βαλανείων εἰρῆσθαι χρὴ δοκεῖν. καὶ γὰρ καὶ ταῦτα σφαλερὰ πρὶν κενωθῆναι, κενωθέντα δὲ ὠφελῆσαι, καὶ μάλιστα ὅσων λουτρῶν οὐκέτι πότιμον ὕδωρ, ἀλλ' ἔχει τινὰ διαφορητικὴν δύναμιν. ὅγε μὴν οἶνος, ὅτι μὲν ὠφελιμώτατος ταῖς ψυχραῖς καὶ ξηραῖς φύσεσιν, εἴρηται πρόσθεν. εἰ δέ γε ταῖς θερμαῖς ἁπάσαις οὐκ οἰκεῖος, ἀλλ' ἄμεινον ἐπ' αὐτῶν ἐστὶν ὕδωρ ποτὸν ὡς ἐν ταῖς ἐπιδημίαις γέγραπται, σκεπτέον ἐφεξῆς. ἴσως γάρ τινι δόξει παντάπασιν ἄτοπον εἶναι νεανίσκον ἢ τὸ στρατιωτικὸν, ἢ ἀθλητικὸν, ἤ τινα τῶν σκαπτόντων, ἢ θεριζόντων, ἢ ἀροτριώντων, ἢ ὅλως ὁτιοῦν ἰσχυρὸν ἔργον ἐργαζόμενον, ἐφ' ὕδατος μόνου διαιτᾶσθαι, καὶ ταῦτα σφάλλεσθαι, τὸν Ἱπποκράτην περὶ τῶν θερμῶν κράσεων ἁπλῶς ἀποφηνάμενον, ὡς ὑδροποσίας δεομένων. ἐμοὶ δ' οὐχ ἁπλῶς Ἱπποκράτης, ἀλλὰ περὶ τῆς ἄκρως θερμῆς φύσεως εἰρῆσθαι δοκεῖ τοῦτο κατὰ δυσκρασίαν δηλονότι τοιαύτης οὔσης, οὐ τῷ πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμὸν, ὅπερ αὐτὸς αὐξάνεσθαι φησὶν ἐν τοῖς τῶν ἀθλητῶν ἐπιτηδεύμασι. ἀλλ' ὅγε δύσκρατος θερμὸς, οὔτ' ἀθλητὴς, οὔτε στρατιώτης, οὔτε τῶν κατὰ γεωργίαν, ἢ πολιτείαν ἔργων ἀγαθὸς ἄν ποτε γένοιτο ἐργάτης, ἰσχυρῶν γάρ ἐστιν ἀνδρῶν τὰ τοιαῦτα ἐπιτηδεύματα. τοιοῦτοι δ' οὐκ ἂν εἶεν ἄνευ τοῦ συμμέτρως κεκρᾶσθαι. συμμέτρως δ' αὐτῶν κεκραμένων, πλεῖστον ἂν εἴη τὸ ἔμφυτον θερμὸν, τῇ μὲν οὖν τοιαύτῃ φύσει σύμμετρον δηλονότι δοτέον ἐστὶ τὸν οἶνον, ὥσπερ καὶ αὐτὴ σύμμετρός ἐστι, καὶ μέχρι τοσούτου γε σύμμετρον, ἄχρι περ ἂν ᾖ σύμμετρος. ἀνάγκη γάρ ἐστι καὶ ταύτα οὐκ ἐν τῷ γήρᾳ μόνον, ἀλλὰ καὶ τῷ τῆς παρακμῆς χρόνῳ, τοῦ συμμέτρου γενέσθαι ψυχροτέραν. ἥτις δ' ἄρα ὡς ἐν ὑγιεινῇ δυσκρασίᾳ θερμοτάτη κρᾶσις ᾖ, ταύτῃ συμφέρει μηδ' ὅλως οἶνον διδόναι. τριῶν δ' οὐσῶν κατὰ γένος διαφορῶν τῆς θερμῆς κράσεως. μιᾶς μὲν, καθ' ἣν ἡ ἑτέρα τῶν ἀντιθέσεων ἡ κατὰ τὸ ξηρὸν καὶ ὑγρὸν εὔκρατός ἐστι. δευτέρα δὲ, ᾗ σύνεστιν ἀμετροτέρα τοῦ συμμέτρου ξηρότης. καὶ τρίτη, καθ' ἣν ἅμα τῷ θερμῷ πλεονάζει τὸ ὑγρὸν, ἐν ᾗ μὲν ἡ ἑτέρα τῶν ἀντιθέσεων εὔκρατός ἐστι, οὐκ ἂν γένοιτό ποτε ἄκρως ἄμετρον, ἐπειδὴ τῷ τοιούτῳ, ξηρότης ἐπιγίνεται διὰ ταχέων, αὕτη δὲ οὐχ ὑπόκειται, τῇ ξηρᾷ. ἐν δ' ἐστὶ καὶ ξηρότης ἅμα τῇ θερμότητι, δυνατὸν ἐν αὐτῇ γενέσθαι ποτὲ τὴν παρὰ φύσιν θερμότητα πλείστην, ὡς ἐν ὑγιεινῇ δυσκρασίᾳ μέχρι πλείονος χρόνου. πλείστην δὲ ἐν ὀλίγῳ χρόνῳ, καὶ τὴν μεθ' ὑγρότητος ἄκρως ἄμετρον θερμασίαν, ὡς ἐν ὑγιεινῇ δυσκρασίᾳ δυνατὸν γενέσθαι. τῇ μὲν οὖν πρώτῃ ῥηθείσῃ, τοσοῦτον ἐπιτρέψομεν ὑδατώδους οἴνου προσφέρειν, ὅσον ἀποκεχώρηκε τῆς ἄκρας δυσκρασίας. τῶν δ' ἄλλων οὐδ' ἑτέρᾳ συγχωρήσομεν ἄκρᾳ γε οὔσῃ, καθότι δέδεικται, ταῖς γοῦν μὴ τοιαύταις δυσκρασίαις, οἶνον δώσομεν, ὀλίγον καὶ ὑδατώδη. τοιοῦτος δ' ἐστὶν ὁ λευκὸς μὲν τῇ χροιᾷ, λεπτὸς δὲ τῇ συστάσει. καθάπερ γε καὶ ταῖς ψυχραῖς δυσκρασίαις τοὺς θερμοτέρους τῶν οἴνων προσοίσομεν. ὁ μὲν οὖν ἄκρως θερμὸς οἶνος, ταῖς ἄκρως ψυχραῖς δυσκρασίαις σύμφορος, ἐπὶ δὲ τῶν ἄλλων ὁ ἀνάλογος. οὐ γὰρ μόνον ἁπλῶς χρὴ μεμνῆσθαι τοῦ τἀναντία τῶν ἐναντίων ἰάματα ὑπάρχειν, ἀλλὰ καὶ τοῦ καθ' ἑκάστην ἐναντιώσεως ποσοῦ. καθάπερ οὖν ἐπὶ τῶν φαρμάκων ἐδείξαμεν, ὡς οὐ μόνον χρὴ σκοπεῖν εἰ θερμὸν ἢ ψυχρόν ἐστιν, ἀλλὰ καὶ τίνος δι' αὐτῶν τάξεως, οὕτω κἀπὶ τῶν οἴνων ἐστὶ ποιητέον. οὐ τὸν ὑδατώδη μόνον ἢ τὸν θερμὸν αἱρουμένους, ἀλλὰ καὶ τὸν τὴν ἀντιλογίαν ἔχοντα τῆς ἑαυτοῦ θερμότητος ἢ ψυχρότητος οἰκείαν, ὡς πρὸς τὸ τῆς δυσκρασίας εἶδος. ταῦτα δὲ, περὶ τῶν μέσην ἡλικίαν ἐχόντων τοῦ γήρως εἴρηται. γινωσκόντων ἡμῶν τὸ μὲν πρῶτον αὐτοῦ μέρος, ὃ τῶν ὠμογερόντων ὀνομάζουσι, δυναμένων ἔτι πράττειν τὰ πολιτικά. τὸ δὲ δεύτερον, ἐφ' οὗ τὸ σύμφορον ὄνομα φέρουσιν αὐτὸ τοῦτο εἶναι, καθ' ὃ λέγουσιν, ἐπὴν λούσαιτο φάγοι τε εὕδειν μαλακῶς. οὐ μὴν ἐπί γε τῆς τρίτης, ἐν ᾗ τὸν γραμματικὸν ἔφην Τήλεφον ὄντα, ἐν τῷ μηνὶ δὶς ἢ τρὶς λοῦεσθαι, διὰ γὰρ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως οὐ φέρουσιν οὗτοι τὰ συνεχῆ λουτρά. πρόσεστι δ' αὐτοῖς τὸ μὴ δ' ἀθροίζειν δακνώδη περιττώματα, διὰ τὴν ψύξιν τῆς ἕξεως. ὀνομάζουσι δὲ τὸν κατὰ τὴν ἡλικίαν ταύτην, πέμπελον, ὡς οἱ ταῖς ἐτυμολογίαις χαίροντες φασὶ, παρὰ τὸ ἐκπέμπεσθαι τὴν εἰς ᾅδου δηλονότι πομπήν.

ΓΑΛΗΝΟΥ ΥΓΙΕΙΝΩΝ
ΛΟΓΟΣ ς′

Τῆς ὑποθέσεως ὑγιεινῶν θεωρημάτων, ἀρχὴν ἐν τῷδε δὲ ποιούμενον, ἀναμνῆσαι δέον μετὰ κεφάλαια τῶν ἔμπροσθεν εἰρημένων, ἀναγκαῖα τοῖς λεχθησομένοις ὄντα. πρῶτον μὲν οὖν ἐρρέθη, τί ποτ' ἐστὶν ὑγίεια. δεύτερον δὲ ὑπ' αὐτῇ, καθόλου τις ὑπογραφή. τρίτον δὲ, πῶς ἂν φυλάττοιτο, καὶ πρὸς τούτῳ, ὅτι μεταβάλλει διὰ παντὸς τὰ τῶν ζώων σώματα, καὶ περὶ τοῦτο ἀναγκαῖον εἴη, καὶ τὴν ὑγίειαν αὐτῶν κινδυνεύουσαν φθαρῆναι, τῆς δὲ ἡμῶν ἐπιμελείας δεῖσθαι, πρὸ τοῦ μεγάλην γενέσθαι μεταβολήν, ὡς νοσεῖν ἤδη σαφῶς. ἐπιμέλεια δ' ἐστὶν ἐξ ἐδεσμάτων τε καὶ πομάτων ἀναπληρούντων τὸ ἀεὶ ἀπορρέον τῆς τοῦ σώματος οὐσίας. ἑτέρα δ' ἀβοήθητος ἐδείχθη μεταβολὴ περὶ τὴν τῶν ἡλικιῶν λόγον γιγνομένη. ξηραινομένου τοῦ παντὸς ζώου, μετὰ τὴν πρώτην γένεσιν ἄχρι τῆς τελευτῆς, ἐν τῷ μεταξὺ χρόνῳ παντί. τοὺς δ' ἀγνοοῦντας τὴν ὑγιεινὴν δίαιταν, εἰκός ἐστι θᾶττον, ἢ περὶ τὸν τῆς φύσεως λόγον ἀποθνήσκειν. ἐπεὶ δ' ὡς ἔφην ἀναγκαῖον μὲν ἐστι τρέφεσθαι ζῶον ἅπαν γεννητόν, ἡ δ' οὐσία τῶν ἐδεσμάτων οὐκ ἐστὶν ἅπασα χρήσιμος, καὶ διὰ τοῦτο τὸ περιττὸν αὐτῶν ἀπολείπεταί τι μοχθηρόν, ὃ καλοῦσιν ἰδίως περίττωμα, παρεσκεύασθη τῇ φύσει μόρια τοῦ σώματος εἰς τὴν διάκρισίν τε καὶ κένωσιν αὐτῶν. πολλῆς δὲ οὔσης ἐν τῇ τοῦ σώματος φύσει διαφορᾶς, εὔλογόν ἐστι καὶ τὴν ἑκάστου πρόνοιαν ὑγιεινὴν ἰδίαν ὑπάρχειν ἑκάστῳ. πρῶτον οὖν ὑποθέμενοι τῷδε λόγῳ τὸν ἄριστα κατεσκευασμένον ἄνθρωπον, ὅπως ἄν τις τοῦτον ὑγιαίνοντα διαφυλάττοι, διελθεῖν προὐθέμεθα. πολλῶν δ' αἰτιῶν περὶ πολλοὺς τρόπους διακωλυόντων τὴν ὑγιεινὴν ἀγωγήν, ὑπεθέμεθα τὸν ἄριστα κατεσκευασμένον ἑαυτῷ φυλάττειν. ἐλεύθερον ὄντα πολιτικῆς ἀσχολίας ἁπάσης, καὶ τοῦτον ὅπερ ἄν τι ἀπὸ πρώτης ἡλικίας ἄχρι γήρως ἐσχάτου διαφυλάξειν ὑγιαίνοντα, διελθόντες ἐν τοῖς πρόσθεν ὑπομνήμασι πέντε, μεταβησόμεθα νῦν ἐπί τε τοὺς περὶ περίστασιν πραγμάτων ἀδυνατοῦντας ἐν τοῖς προσήκουσι καιροῖς ἐσθίειν τε καὶ πίνειν καὶ γυμνάζεσθαι, καὶ τοὺς εὐθὺς ἐξ ἀρχῆς νοσώδη κατασκευὴν σώματος ἔχοντας. συντομώτερος δὲ τοῦ πρόσθεν ὁ περὶ τούτων ἐστὶ λόγος, καίτοι γε ὅσον ἐφ' ἑαυτῷ μακρότερος ὤν, διὰ τὸ προειρῆσθαι τῶν πλείστων ὑλῶν τὰς δυνάμεις, αἷς εἰς τὴν ὑγιεινὴν πρόνοιαν χρώμεθα, διά τε γοῦν τρίψεων καὶ λουτρῶν καὶ γυμνασίων ἐδεσμάτων τε καὶ πομάτων, θάλψεών τε καὶ ψύξεων. ἀφροδισίων τε χρήσεως καὶ ἀρχῆς, εἴ τι τοιοῦτον ἐστὶν ἄλλο, τὰς μεταβολὰς τοῦ σώματος ὁρῶμεν γιγνομένας, ὧν ὡς ἔφην εἴρηνται πρόσθεν αἱ δυνάμεις. αἱ μοχθηραὶ δὲ τῶν σωμάτων κατασκευαί, διτταὶ περὶ γένος εἰσίν, ἔνιαι μὲν γοῦν αὐτῶν ὁμαλῶς. ἔνιαι δὲ ἀνωμάλως ἔχουσι κεκραμένα τὰ στοιχειώδη τε καὶ πρῶτα τοῦ σώματος μόρια καλούμενα δ' ὑπ' Ἀριστοτέλους ὁμοιομερῆ. λέγω δ' ὁμαλῶς μὲν, ὅταν ἐπί τινα δυσκρασίαν ἐκτραπῇ πάντα ὁμοίως τὰ τοῦ σώματος μόρια, ψυχρότερα τοῦ προσήκοντος ἢ θερμότερα γιγνόμενα ἢ ξηρότερα ἢ ὑγρότερα. καὶ περὶ συζυγίαν, τινὰ μὲν ἅμα θερμότερά τε καὶ ξηρότερα, τινὰ δὲ, ὑγρότερα καὶ ψυχρότερα γιγνόμενα, καὶ τινὰ μὲν ὑγρότερα καὶ θερμότερα, τινὰ δὲ ψυχρότερα καὶ ξηρότερα, καὶ μέντοι καὶ περὶ τὴν τῶν ὀργανικῶν μορίων σύνθεσιν, ἔνια μὲν, ὁμαλῶς, ἔνια δὲ, ἀνωμάλως σύγκειται. πρότερον μὲν οὖν ἐρῶ καὶ νῦν ὁποῖαι κατασκευαὶ σωμάτων εἰσὶν αἱ νοσωδέσταται, καθάπερ καὶ πρόσθεν ἐδήλωσα τὴν ὑγιεινήν. ἀλλ' αὕτη μὲν μία, τὸ γοῦν ἄριστον ἐν παντὶ γένει πράγματος, ἓν ἐστι. τὰ μοχθηρὰ δὲ δηλονότι, πάμπολλα. διττὴ δ' αὐτῶν ἐστιν ἡ γενική, διαφορά, καθάπερ ἀρτίως εἶπον. ἐνίων μὲν, ἐν ὁμοίᾳ δυσκρασίᾳ ἁπάντων ἐχόντων τὰ μόρια. τινῶν δ' ἐν διαφερούσῃ. τῶν μὲν οὖν ὁμοίαν ἐχόντων δυσκρασίαν, εὔδηλον ὡς χείριστά ἐστι, τὰς σφοδρὰς ἔχοντα ταύτας, καὶ μάλιστα τὰς ψυχρὰς ἅμα καὶ ξηράς. τῶν δ' ἀνωμάλους ἐχόντων κατασκευὰς σωμάτων, οὐδ' ἀριθμῆσαι ῥᾴδιόν ἐστι τὰς ὑπαλλάξεις, ἀλλὰ κἀκεῖνα δὲ ὑπαλλάξειν αὖτις διττοῖς εἴδεσιν, ἢ γένεσιν, ἢ ὅπερ αὖτις ὀνομάζειν ἐθέλοι. νοσωδέστατα μὲν γοῦν αὐτῶν ἐστιν, ὅσα ταῖς ἐναντίαις κράσεσι τὰ κυριώτατα τῶν μορίων ἔχει πλεονεκτούμενα. μετριώτερα δ' ἐν οἷς οὕτω διάκειται τὰ μὴ κύρια. τεθέαμαι γάρ τινας ἤδη ἔχοντας, κοιλίαν μὲν ψυχράν, κεφαλὴν δὲ θερμήν. ὥσπερ ἐνίους ἔμπαλιν ἔχει κεφαλὴν ψυχράν θερμὴν κοιλίαν. ἐθεασάμην δὲ καὶ περὶ συμβεβηκός, οὐ πρῶτον οὐδὲ περὶ τὸν ἴδιον λόγον τῆς κράσεως ἐκχολουμένην γαστέρα συνεχῶς, οὐκ οὖσαν φύσει θερμήν. ὥσπερ γε καὶ ψυχομένην ἑτέραν, καίτοι οὐκ οὖσαν ψυχράν. οὕτως δὲ καὶ κεφαλὴν ἧπάρ τε καὶ σπλῆνα, καὶ ἄλλο μόριον ὁτιοῦν ἀναγκαῖον ἐνίοτε τῆς ἑτέρας δυσκρασίας. ἢ τοι μηδὲν αὐτὸ φύσει βεβλαμμένον εἰς τὴν προσήκουσαν κρᾶσιν, ἢ διακειμένην ἐναντίως αὐτῷ. περὶ πρώτων οὖν ὁ λόγος ἔσται μοι τῶν ὁμαλὴν τὴν δυσκρασίαν ἐχόντων, ἀπὸ τῶν θερμοτέρων ἀρξαμένῳ. λέλεκται δ' ἐν τοῖς περὶ κράσεων ἀδύνατον εἶναι διαμένειν ἐπὶ πολὺ δυσκρασίαν τινὰ μίαν, αὐτὴ γοῦν ἑαυτῇ προσκτᾶται τινὰ ἐξ ἀνάγκης ἑτέραν. διὸ καὶ τοῖς πλείστοις τῶν ἰατρῶν τέτταρες ἔδοξαν εἶναι μόναι δυσκρασίαι σύνθετοι, τὰς δὲ ἁπλᾶς οὐκ εἶναι. τήν τε γὰρ θερμὴν ἐξικμάζουσαν ἀεὶ τὰς ὑγρότητας ἐπικτᾶσθαι ξηρότητα, τήν τε ψυχρὰν ἅτε οὐκ ἐκδαπανῶσαν, ὑποτρέφειν ὑγρότητα. περὶ ταῦτα δὲ καὶ τὴν ξηράν, ἐν μὲν τῷ χρόνῳ τῶν αὐξητικῶν ἡλικιῶν ἑαυτῇ θερμότερον ἀποφαίνειν τὸ ζῶον. ἐν δὲ τῷ τῶν παρακμαστικῶν, ἀποψύχειν. ξηραίνειν μὲν τὰ στερεὰ μόρια τοῦ σώματος. ἀθροίζειν δὲ περιττωμάτων πλῆθος. ὥσπερ γε καὶ τὴν ὑγρὰν ἅμα τε θερμοτάτῳ συμμέτρῳ συστῆ, γίνεσθαί ποτε κατ' ἀμφοτέρας τὰς ἀντιθέσεις εὔκρατον. ἀμφοτέρας δ' ἀντιθέσεις δηλονότι λέγω, τὴν περὶ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὴν περὶ τὸ ξηρὸν καὶ ὑγρόν. ἔσται δ' εὔκρατος ἡ τοιαύτη περὶ τὸν τῆς ἀκμῆς καιρόν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῷ περὶ τὴν παρακμήν, ὡς ἐκείνοις πρέπει. τὴν μὲν γὰρ ἀρίστην κρᾶσιν ἴσχει τὸ σῶμα περὶ τὴν τῶν μειρακίων ἡλικίαν. αἱ δ' ἄλλαι πᾶσαι χείρους ταύτης εἰσὶν ὡς ἐδείχθη. καὶ μέντοι καὶ τοῦτ' ἀναμεμνῆσθω, ἐν τι οὖν αὐτὸ τῶν εἰρημένων διττῶν γοῦν οὐσῶν ἐνεργειῶν περὶ τὰ ζῶα, τὰς μὲν σωματικὰς οἱ παῖδες ἀρίστας ἔχουσι. τὰς δὲ ψυχικὰς ἡ μετὰ τοὺς παῖδας ἡλικία μέχρι τῆς παρακρατικῆς. οὐκ ἔστι δὲ καὶ ἐτῶν ἀριθμῷ περιορίσαι ταύτας, καθάπερ ἔνιοι πεποιήκασι, πλὴν, ἢ περὶ πλάτος. ἡβάσκειν οὖν ἄρχονταί τινες, ἅμα τῷ πληρῶσαι τὸ ι δ. ἔτος. ἔνιοι δὲ μετ' ἐνιαυτὸν ἢ καὶ πλέονα χρόνον. ἀρχήν τε τῆς παρακμῆς ἴσχουσιν, ἔνιοι μὲν εὐθέως μετὰ τὸ λ. ἔτος. ἔνιοι δὲ μετὰ τὸ ε. καὶ λ. τὴν μὲν οὖν ἰσχὺν ἅπαντες ἄνθρωποι καθαιροῦνται μετὰ τὴν ἀκμαστικὴν ἡλικίαν, οὐ μὴν τήν γε ὑγείαν ἀπολλύουσιν. ἀλλ' ἧττον μὲν ἐπαινετὴν, ἔχουσιν ἢ πρόσθεν. ἔχουσι δ' ὅμως οὐ μὴν ἄχρι γήρως ἀρχῆς, ἀλλὰ καὶ κατ' αὐτὸ τὸ γῆρας ὅλον, ὃ δὴ δοκεῖ τισιν εἶναι νόσημα φυσικόν, ὁπότε μήτ' ὀδυνῶνταί τι, μήτε τινὰ τῶν ἐνεργειῶν, αἷς εἰς τὰς περὶ τὸν βίον

πράξεις χρώμεθα, τελέως ἀπολέσωσιν, ἢ μὴ παντάπασιν ἄῤῥωστον ἔχωσιν, ὑγιαίνουσιν ὑγίειαν τὴν οἰκείαν γήρᾳ. μεμνῆσθαι γὰρ δήπου καὶ τῶν περὶ τῆς ὑγιείας ἀποδεδειγμένων, ὡς πάμπολυ τὸ πλάτος αὐτῆς ἐστιν, εἰ δὲ καὶ τρίτη τίς ἐστι διάθεσις σώματος, ἣν οἱ περὶ τὸν Ἡρόφιλον οὐδετέραν ὀνομάζουσι, καὶ τοῖς ἐκ πυρετῶν χαλεπῶν διασωθεῖσιν ὑπάρχουσαν κατὰ τὸν τῆς ἀναλήψεως χρόνον. καὶ τῇ τοῦ γήρως ἡλικίᾳ, τὸ μὲν ἔξω νόσου τοῖς γέρουσιν εἶναι, πάντως ὑπάρξει. τὸ δὲ τὰς ἐνεργείας ἰσχυρὰς ἔχειν ὁμοίως τοῖς ἀκμάζουσιν, οὐχ ὑπάρχει, ἀλλ' ἐὰν εἰς ὅσον γέροντι χρεία βλέπειν τε καὶ ἀκούειν καὶ βαδίζειν καὶ τἄλλα πράττειν δύνασθαι, μηδὲν ἐλλείπῃ τὸ σῶμα, καὶ τοῦτ' ἄν τις εἰκότως ὀνομάζοι γέροντος ὑγίειαν ὅλον τοῦτο λέγων ὑγίειαν γέροντος, οὐχ ἁπλῶς ὑγίειαν. ἐκείνη μὲν γὰρ ἄμεμπτός ἐστι καὶ διὰ τὴν τῶν ἐνεργειῶν ἀρετήν. μεμπτὴ δὲ ἡ τῶν γερόντων. ἔχουσι γὰρ ἁπάσας τὰς ἐνεργείας, οὐδὲ μίαν ἐῤῥωμένην ἔχει. καὶ δὴ καὶ τὸ γηροκομικὸν ὀνομαζόμενον μέρος τῆς ἰατρικῆς σκοπὸν ἔχει τὴν ὑγείαν εἰς ὅσον οἷόν τε διαφυλάττειν. ὅσα δὲ σώματα, νοσώδη κατασκευὴν ἔχοντα εὐθὺς ἐν τῇ πρώτῃ γενέσει, ταῦτα τὴν ἀρχὴν μὲν, οὐδ' ἀφικνεῖταί ποτε εἰς τὸ γῆρας. εἰ δ' ἀφίκοιτο, πάντα ἔν γέ τι νόσημα χρόνιον ἔχει. προὐθέμεθα δ' ἐν τῷ νῦν λόγῳ περὶ τῶν μοχθηρὰν ἐχόντων κατασκευὴν διελθεῖν. σκοποῦντες, ὅπως ἄν τις αὐτὰ φυλάττοι κατὰ τὸ πλεῖστον ὑγιαίνοντα. τὴν ἀρχὴν οὖν ἀπὸ τῶν ὁμαλὴν τὴν δυσκρασίαν ἐν ἅπασι τοῖς μορίοις τοῦ σώματος ἐχόντων ποιησάμενοι, λέγομεν ἤδη περὶ τῆς θερμοτέρας κράσεως. οὐ μὴν ἐν τῇ καθ' ὑγρότητα καὶ ξηρότητα συμμετρίᾳ μεμπτῆς. εὐθὺς μὲν οὖν ἀπ' ἀρχῆς ἡ τοιαύτη φύσις τοῦ σώματος ὑγιεινοτέρα φαίνεται τῶν κατ' ἀμφοτέρας τὰς ἀντιθέσεις δυσκράτων. λέγω δ' ἀμφοτέρας, τήν τε κατὰ θερμότητα καὶ ψυχρότητα, καὶ τὴν καθ' ὑγρότητα καὶ ξηρότητα. καὶ τούς τε ὀδόντας φύσει θᾶττον, καὶ φθέγξεται διηρθρωμένην φωνὴν, καὶ βαδιεῖται θᾶττον, αὐξήσεταί τε κατὰ τὴν ἀναλογίαν ἑκάστοτε τῶν ἐτῶν. ἐπειδὰν δὲ τὴν τῶν μειρακίων ἡλικίαν διεξέλθοι, τὸ μεταξὺ πᾶν ἄχρι τῆς παρακμῆς. σαφῶς πλέον ἤδη φανεῖται θερμὸν, ὡς τοῖς ἀπὸ ξανθῆς χολῆς νοσήμασί τε καὶ συμπτώμασι δυσάλωτον ὑπάρχειν. ἡ γάρ τοι πολλὴ θερμότης ἐκδαπανῶσα τὴν ὑγρότητα ξηροτέραν ἐργάζεται τὴν κρᾶσιν. οὔσης δὲ καὶ τῆς τῶν ἀκμαζόντων ἡλικίας θερμῆς, ἡ συζυγία τῆς κράσεως αὐτῶν ἔσται θερμή τε ἅμα καὶ ξηρὰ, χολὴ δὲ ἐν ταῖς τοιαύταις κράσεσιν, ἥ ὠχρά τε καὶ ξανθὴ καλουμένη πλεονάζει. τοὺς οὖν οὕτως πεφυκότας ἄχρι μὲν τῆς τῶν μειρακίων ἡλικίας ὁμοίως χρὴ τοῖς ἄριστα πεφυκόσι διαιτᾷν, ὑπὲρ ὧν εἴρηται κατὰ τοὺς ἔμπροσθεν λόγους, ἐπειδὰν τέλειον αὐτῶν εἴη τὸ σῶμα, διασκέψασθαι προσήκει πότερον ὑπέρχεται τὸ περιττὸν τῆς χολῆς αὐτοῖς ἅμα τοῖς διαχωρήμασιν, ἢ πρὸς τὴν ἄνω κοιλίαν ὁρμᾷ, κάτω μὲν ὑπιόντος αὐτοῦ, πρόδηλον ὡς χρὴ οὐδὲν περιεργάζεσθαι. πρὸς δὲ τὴν ἄνω γαστέρα φερομένου, δι' ἐμέτων ἐκκενοῦν. μακρὰν χαίρειν εἰπόντας ἐκείνοις τῶν φιλοσόφων, ὅσοι κωλύουσι μετὰ τὰ γυμνάσια πρὸ τῆς τροφῆς, ἀφ' ὕδατος χλιαροῦ ἐμεῖν. οἴνῳ γοῦν οὐδ' ἐγὼ συμβουλεύω τηνικαῦτα χρῆσθαι, πλὴν εἰ δυσχερῶς ἐμοῖεν ἀφ' ὕδατος. εἰσὶ γάρ τινες καὶ τοιαῦται φύσεις σωμάτων, αἷς συγχωρητέον οἴνου γλυκέος προσφέρεσθαι, εἰ προπίνονται αὐτοῦ τὸ ὕδωρ. ἔτι δὲ καὶ μᾶλλον, ὅταν ἡ κρᾶσις ἐξ ἀρχῆς ᾖ θερμοτέρα τε καὶ ξηροτέρα, πρὸς τοὺς μετ' αὐτοὺς ἔρχεσθαι. καὶ γοῦν καὶ μᾶλλον εἰσὶν οὗτοι χολώδεις, ἐπὶ τῆς ἀκμαστικῆς ἡλικίας. καὶ δὴ καὶ γυμνάζεσθαι βέλτιον αὐτοὺς, οὐκ ὀξὺ καὶ σύντονον γυμνάσιον, ἀλλὰ σχολαιότερόν τε καὶ μαλακώτερον, εἰσὶ γὰρ δὴ καὶ ἰσχνότεροι πάντες οἱ τοιοῦτοι. συμπεφώνηται δὲ τοῖς γυμνασταῖς ἅπασι, λεπτύνειν μὲν τὰ ὀξέα γυμνάσια, σαρκοῦν δὲ τὰ βραδέα. τινὲς δὲ καὶ τῶν σφόδρα θερμῶν τὴν κρᾶσιν, οὐδ' ὅλως χρήζουσι γυμνασίων. ἀλλ' ἀρκεῖ περίπατός τε καὶ λουτρὸν αὐτοῖς ἀνατριψαμένοις ἐλαίῳ μαλακαῖς τρίψεσι. δριμὺ γοῦν καὶ θερμὸν δακνῶδες τὸ διαπνεόμενον ἀπ' αὐτῶν ἐστιν, οὐκ ἀτμῶδες οὐδ' ἡδὺ καὶ ἄδηκτον. οὗτοι δὲ καὶ τοῖς μετὰ τροφὴν χαίρουσι λουτροῖς. καί τινες αὐτῶν ἄπιστον ὅπως ἐπαχύνθησαν ἐπὶ τῇ τοιαύτῃ διαίτῃ. παλαιὸς δὲ οἶνος ἐναντίος αὐτοῖς ἐστι, οἰκεῖος δὲ ὁ λευκὸς καὶ λεπτός, ἐπιβλέπειν δὲ ἐπὶ πάντων τῶν μετὰ τροφὴν λουομένων, μή πως κατὰ τὸ δεξιὸν ὑποχόνδριον ἔνθα κεῖται τὸ ἧπαρ, αἰσθάνονται τινὸς ἀλγήματος, ἢ βάρους, ἢ τάσεως. αἱ γὰρ τοιαῦται κατασκευαὶ τῶν σωμάτων, ἡπατικαῖς ἁλίσκονται νόσοις, ἐὰν ἐδηδοκότες λούωνται. κἂν αἰσθάνωνται δέ ποτε τοιούτου τινὸς συμπτώματος αὐτίκα διδόναι τι τῶν ἐκφραττόντων τὸ ἧπαρ, ἀπέχειν τε καὶ τῶν παχυχύμων ἐδεσμάτων, καὶ μάλιστα ὅσα γλίσχρα. λέγεται δὲ περὶ αὐτῶν ἐπὶ πλέον ἐν τοῖς τρισὶν ὑπομνήμασιν, ἃ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων ἔγραψα, καὶ τῷ περὶ τῆς εὐχυμίας τε καὶ κακοχυμίας, ἔτι τε κἂν τῷ τῆς λεπτυνούσης διαίτης. καὶ γὰρ οὖν καὶ χρῆσθαι τοῖς ἀλγήμασι τοῖς καθ' ἧπαρ, ἀναγκαῖόν ἐστι λεπτυνούσῃ διαίτῃ, μέχρι περ ἂν αὐτοῖς ἀνώδυνόν τε καὶ κοῦφον γένηταί πως, τὸ δεξιὸν ὑποχόνδριον. ἀγαθὸν δὲ καὶ τῆς κόμης τοῦ ἀψινθίου τὸ ἀπόβρεγμα προσφέρεσθαι, καὶ τὸ διὰ ταύτης τε καὶ ἀνίσου καὶ πικρῶν ἀμυγδάλων συντιθέμενον. ὃ δι' ὀξυμέλιτος ἄμεινον πίνειν, ἐν τῷ μέσῳ χρόνῳ τοῦ τε ἐκ τῶν ὕπνων ἀναστάσεως καὶ τοῦ λουτροῦ. προκατειργασμένων τε γοῦν τῶν ἀναδιδομένων εἰς ἧπαρ ἐκ τῆς γαστρὸς, ἄμεινον προσφέρεσθαι τὰ τοιαῦτα. τῇ τε ἐξ αὐτῶν ἐνεργείᾳ, χρόνον τινὰ δίδοσθαι πρὸ τῆς τῶν σιτίων προσφορᾶς. ἀγαθὸν δὲ καὶ τὸ διὰ τῆς καλαμίνθου φάρμακον, οὗ τὴν σύνθεσιν ἐν τῷ δ΄. τῶν ὑπομνημάτων ἔγραψα. ἀλλ' ἐπεί γε τῶν χολωδῶν κράσεων φυλάττεσθαι προσήκει τὴν συνεχῆ τοῦ ὄξους χρῆσιν. καὶ μέντοι καὶ ὁπότε τις αὐτῶν χρῆται αὐτῷ, τῆς καθ' ἧπαρ ἐμφράξεως ἕνεκεν, ἄμεινον δι' ὀξυμέλιτος πίνεσθαι. τὸ δὲ τῶν τροφῶν εἶδος, εἰ μὲν ὑπαλλάττειν ἐπὶ τὸ βέλτιον ἐθέλει τὴν κρᾶσιν τῶν οὕτως ἐχόντων, ἐναντίον ἔστω τῇ δυσκρασίᾳ. κατὰ βραχὺ δὲ γίνεται τοῦτο χωρὶς βλάβης, ἐπιστατοῦντος μὲν ἰατροῦ, σχολὴν δ' ἄγοντος αὐτοῦ τοῦ βοηθουμένου τοσαύτην, ὡς ἅπαντα ποιεῖν ἐν τοῖς προσήκουσι καιροῖς. πράττοντι δὲ ἀνθρώπῳ τὰ πολιτικὰ καὶ πολλαῖς ἀσχολίαις δουλεύοντι, κάλλιόν ἐστι, μὴ δ' ἐπιχειρεῖν ὑπαλλάττειν τὴν κρᾶσιν, ἀλλὰ τὰς οἰκείας τροφὰς αὐτοῦ δοτέον. οἰκεῖαι δ' εἰσὶν αἱ μὲν ὑγραὶ, ταῖς ὑγραῖς, αἱ δὲ ξηραὶ, ταῖς ξηραῖς, ἡ γάρ τοι θρέψις ὁμοιουμένου γίνεται τοῦ θρέψαντος, ἐδέσματος τῷ τρεφομένῳ σώματι. θᾶττον δὲ ὁμοιοῦται τὰ μὲν ξηρὰ, ταῖς ξηραῖς, τὰ δ' ὑγρὰ ταῖς ὑγραῖς. ἐπὶ δὲ τῶν ὁμαλὴν τὴν κρᾶσιν ἐχόντων. ὅσον περ ἂν ἥδιον ᾖ τὸ βρῶμα, τοσοῦτον τροφιμώτερον γίγνεται, τῶν δ' ἀνώμαλον ἐχόντων τὴν κρᾶσιν σωμάτων, ὡς ἄλλην μὲν εἶναι τὴν τοῦ ἥπατος, ἄλλην δὲ τὴν τῆς γαστρὸς, ἤ τινος τῶν καθ' ἧπαρ, ἕτερον μέν ἐστι, τὸ κατὰ τὴν προσφορὰν ἴδιον, ἕτερον δὲ τὸ καθ' ἕκαστον μόριον οἰκεῖον. ἐπεὶ δὲ καὶ τὸ καθ' ἕκαστον οἰκεῖον ἐδείχθη διττὸν, ἕτερον μὲν τὸ κατὰ τὰς ἁπλᾶς ποιότητας, ἕτερον δὲ τὸ κατὰ τὴν ὅλην οὐσίαν, ἡ μὲν οὖν κατὰ τὰς ἁπλᾶς ποιότητας οἰκειοτάτη ὁποία τίς ἐστιν, ὀλίγῳ πρόσθεν εἴρηται, μεταβάλλειν τε αὐτὴν βουλομένοις, ἐπὶ χολῆς ὑπηρετεῖν τε ἀναγκαζομένοις, ἐν ἀσχολίᾳ, ἡ δὲ κατὰ τὴν ὅλην οὐσίαν τῇ πείρᾳ μόνῃ γινώσκεται, μεγίστην οὖσα δύναμιν εἰς τὴν τῶν ἐσθιομένων τε καὶ πινομένων κατεργασίαν, οὐ κατὰ τὴν γα-

στέρα μό-

στερὰ μόνον, ἀλλὰ καὶ περὶ τὸ σύμπαν τὸ σῶμα, ἡ περὶ τὴν ὅλην οὐσίαν, οἰκειότητα ἔχει, δι' ἣν αἱ τροφαὶ τοῖς ζώοις ὑπηλλαγμέναι τε καὶ πολὺ διαφέρουσαι ταῖς ἰδέαις εἰσὶν, οὐδὲν ὅμοιον ἔχουσαι ταῖς ἐκ τῶν ἀχύρων τε καὶ πόας, τῇ δ' ἐξ ὀστῶν τε καὶ σαρκῶν, ἢ ταῖς ἐξ ἄρτων, τῇ ἐκ κωνείου τε καὶ ἐλλεβόρου, καὶ γὰρ ταῦτα, ζώοις τισὶν εἰσὶ τροφαὶ, γίνονται δὲ καὶ περὶ τὴν ποιότητα, οἰκειότατα. εἰ μὲν φυλάττειν ἐθέλοις τὰς κράσεις, ταῖς μὲν ὑγραῖς, τῶν ὑγραινόντων ἐδεσμάτων ἁρμοττόντων, ταῖς δὲ ξηραῖς τῶν ξηραινόντων, εἰ δὲ ὑπαλλάττειν, τῶν ἐναντίων. ἐπεὶ δὲ τὰ περὶ τὸ θερμὸν καὶ ψυχρὸν εἰς δυσκρασίαν ἐκ τροπῆς, ἡ τῶν ἐναντίων προσφορὰ διαπαντὸς ἁρμόττει, δραστικώταται γάρ εἰσι, καὶ ὡς ἂν εἴποι τις δυναστικώτεραι τῶν καθ' ὑγρότητα καὶ ξηρότητα δυσκρασιῶν αἱ τοιαῦται, ῥᾳδίως γοῦν ὑπὸ τῶν ὁμοίων τροφῶν εἰς νοσώδη δυσκρασίαν ἀφικνοῦνται, ξηρότερον δ' ἐργασάμενον ὁτιοῦν τῶν μορίων, οὐδὲν τι βλάψαις σαφὲς, ὥσπερ οὐδ' εἰ φυλάττοις ὑγρότερον. ἐναργέστερον δέ σοι τεκμήριον, καὶ ἡλικίαι γινέσθωσαν, αἱ μὲν ἀπὸ τῆς πρώτης γενέσεως ἄχρι τῶν μειρακίων ὑγροτάτην ἔχουσαι τὴν σάρκα, ξηρὰν δ' ἱκανῶς αἱ πρεσβυτικαὶ, μεμνῆσθαι δ' ἐν τοῖς τοιούτοις λόγοις χρὴ τῶν εἰρημένων ἐν τοῖς περὶ κράσεων, ὅπως μή τις ὑπολάβῃ, τοὺς ὑπὸ περιττωμάτων ὑγρῶν βαρυνομένους, ὑγροὺς γίνεσθαι τὴν κρᾶσιν, ὃ καὶ τοὺς οἰηθέντας ὑγρὸν καὶ ψυχρὸν εἶναι τὸ γῆρας, ἐξηπάτησεν. οὐ γὰρ αὐτὰ τὰ μόρια τοῖς γέρουσιν, ὑγρότερα ταῖς κράσεσιν ἐστὶν, ἀλλὰ αἱ μεταξὺ τῶν σωμάτων χῶραι, τῆς περιττῆς ὑγρότητος ἐμπίπλανται γερόντων τε καὶ νοσούντων νόσους ὑγράς, ὁποῖον δέ τι τὸ ξηρὸν νόσημά ἐστιν, ἐπιστημονικὴν ἕξει γνῶσιν, τὸ γεγραμμένον μοι περὶ μαρασμοῦ βιβλίον ἐπιμελῶς ἀναγνοὺς, οὐχ ἅπαξ, ἢ δὶς οὐδὲ παρατρέχων, ἀλλ' ἐφιστὰς καὶ προσέχων τὸν νοῦν, ἑκάστῳ τῶν λεγομένων, προγυμνάσασθαι δὲ χρὴ τὸν μέλλοντα καλῶς ἀναλέξασθαι ταῦτα, τῷ δευτέρῳ περὶ κράσεων ὑπομνήματι, καθ' ὃ δέδεικται τοῦ γέροντος ἡ κρᾶσις ξηρὰ, τὸ δὲ προκείμενον ἐν τῷ νῦν λόγῳ σῶμα θερμότερον τοῦ δέοντος, ἐὰν μὲν ἐν τῇ πρώτῃ συστάσει μέσον ὑγρότητός δὲ καὶ ξηρότητος ᾖ. πάντως τοῦτο περὶ τὴν ἀκμαστικὴν ἡλικίαν γίνεται ξηρὸν, ἔτι δὲ μᾶλλόν τε καὶ θᾶττον. εἰ καὶ φύσει ξηρότερον εἴη, καὶ δὴ καὶ γηράσει τοῦτο θᾶττον, ὅσῳ καὶ θᾶττον εἰς ἀκμὴν ἀφίκοιτο. πάντων γὰρ ἐν τῇ παρακμῇ ξηραινομένων, εὔλογον ἐστὶ τὸ φύσει ξηρότερον εἰς τὴν τῆς γεροντικῆς ἀμετρίας, ξηρότητα ἀφικνεῖσθαι θᾶττον, δέονται τοίνυν οὗτοι μάλιστα περὶ τὴν ἀκμαστικὴν ἡλικίαν ὑγρᾶς διαίτης, ἧς τὸν τύπον ἄρτι ὑπέγραψα, διά τε τῶν ὑγραινόντων ἐδεσμάτων καὶ λουτρῶν, ἀρχῆς τε γυμνασίων συντόνων, καὶ πολλῶν γινομένης, ὥστε θέρους ὥρα καὶ θᾶττον λούεσθαι, καὶ μετὰ τροφὴν αὖθις τὸ δεύτερον, ὀνίνησι τούτους καὶ ἡ τοῦ ψυχροῦ πόσις. ἐναντιώτατα δὲ ταῖς ξηραῖς κράσεσιν εἰσὶν ἀφροδίσια, φείδεσθαι δὲ χρὴ καὶ μάλιστα αὐτοὺς, ἐγκαύσεων καὶ κόπων, καὶ φροντίδων, καὶ ἀγρυπνιῶν, καὶ κινήσεων, ἁπασῶν ὀξειῶν, καὶ οἱ θυμοὶ δὲ μάλιστα τὰς χολώδεις φύσεις ἐκπυροῦντες, ὀξεῖς γεννῶσι πυρετούς. ἅπερ οὖν εἴρηται διαιτήματα τοῖς θερμοῖς τὴν κρᾶσιν ἐπὶ τῆς ἀκμῆς, καὶ σύμμετρον ἐξ ἀρχῆς ἔχουσιν ὑγρότητα, ταῦτα μᾶλλον ἁρμόττει τοῖς φύσει θερμοῖς καὶ ξηροῖς. εὔδηλον δ' ὅτι τὴν ποσότητα τῆς ὑπεροχῆς τοῦ κρατοῦντος στοιχείου, σκεπτέον ἐστὶν ἐν τοῖς μάλιστα, τοσοῦτον γὰρ ἐπιτείνειν τε καὶ ἐκλύειν, ἢ αὐξάνειν χρὴ τὸ τῆς διαίτης εἶδος, ὅσον ὑπὲρ τὸ κατὰ φύσιν ηὔξηταί τε καὶ μεμείωται τὰ τῆς κράσεως στοιχεῖα, διὸ καὶ τοὺς ὑγροτέρους τε καὶ τοὺς φύσει θερμοτέρους, εἰ μὲν ὑπαλλάττειν αὐτῶν ἐθέλοις τὴν κρᾶσιν ἐπὶ τὸ ξηρότερόν τε καὶ ψυχρότερον εἶδος, χρὴ διὰ τῆς ἐναντίας διαίτης ἄγειν. εἰ δὲ φυλάττειν, διὰ τῶν ὁμοίων. αἱ δὲ τοιαῦται φύσεις ἐν τῇ τῶν παίδων ἡλικίᾳ, ῥευματικοῖς τε καὶ πληθωρικοῖς ἁλίσκονται νοσήμασι, καὶ πρὸς τούτοις γε, σηπεδονώδεσι. δέονται τοίνυν γυμνασίων πλειόνων, ἀκριβῶς τε τῆς ἐν τῇ γαστρὶ πέψεως, ὅσα γὰρ ἐν ταύτῃ διαφθείρεται, νοσημάτων σηπεδονωδῶν ὑπόθεσις γίνεται παντὶ τῷ σώματι, διὸ καὶ πρὸ τροφῆς δὶς καὶ τρὶς οὗτοι λουόμενοι καὶ τοῖς αὐτοφυέσι θερμοῖς ὕδασιν οὗτοι χρώμενοι μάλιστα ὠφελοῦνται, σκοπὸς γὰρ ἐπ' αὐτῶν ἐστὶν αὐτὰ μὲν τὰ μόρια τοῦ ζώου, φυλάττειν ὑγρὰ, κοινὸν ὂν τοῦτο πάσης κράσεως, εἴ γε καὶ τοὐναντίον αὐτοῦ θᾶττον ἐπὶ τὸ γῆρας ἄγει τὰ σώματα τῶν ζώων ἁπάντων, αὐτό τε τὸ θνητὸν εἶναι τὸ γεννητὸν σῶμα, τὴν αἰτίαν ἔχει, ὡς εἴ γε δυνατὸν ἦν ἀεὶ διαφυλάττειν ὑγρὰν τὴν κρᾶσιν τοῦ σώματος, ὁ τοῦ Φιλίππου λόγος, ὃν ἐν ἀρχῇ διῆλθον ἀθάνατον ἐπαγγελλόμενος ποιήσειν τὸν αὐτῷ πειθόμενον ἀληθὴς ἦν. ἀλλ' ἐπεὶ τὴν φυσικὴν ὁδὸν τὴν ἐπὶ τὸ ξηραίνεσθαι τὸ σῶμα φυγεῖν οὐκ ἔστιν ὡς ἐδείχθη, διὰ τοῦτο γηρᾶν ἀναγκαῖον ἡμῖν ἐστὶ καὶ φθείρεσθαι. πολυχρονιώτατος δ' ἂν ὁ ἥκιστα ξηραινόμενος γένοιτο, τῆς δ' ὑγρᾶς διαίτης περιττώματά τε καὶ πλῆθος χυμῶν γεννώσης, χαλεπὸν γίνεται κρατῆσαι τῆς συμμετρίας, ὡς μήτε νόσοις ἁλίσκεσθαι μήτε ταχέως γηρᾶν. ὅσον δ' αὖ ἐπὶ τῇ κράσει, πολυχρονιώτατοι πάντων εἰσὶν οἱ ὑγρότατοι, καὶ μέντοι καὶ ὑγιαίνουσιν, ἐπειδὰν κρατυνθῇ τὸ σῶμα τῶν ἄλλων μᾶλλον, ὥσπερ καὶ ἰσχυρότεροι μέχρι γήρως ἐσχάτου, τῶν τὴν αὐτὴν ἡλικίαν ἐχόντων εἰσὶ, καὶ περὶ τούτου ὡμολόγηται σχεδὸν ὑπὸ πάντων ἰατρῶν τε καὶ φιλοσόφων, ὅσοι τὰ στοιχεῖα τοῦ σώματος ἀκριβῶς ἔγνωσαν, ἡ κρᾶσις αὕτη, καὶ μέντοι καὶ διὰ τοῦτο μόνη τισὶν ἔδοξε κατὰ φύσιν εἶναι, κρείττων γὰρ ἐν τῷ χρόνῳ τῶν ἄλλων γίγνεται τό γε κατ' ἀρχὰς, οὖσα χείρων, ὥς τε καὶ τῶν ἐπισυστάντων τῷ τοιούτῳ σώματι, τῶν ἀρρωστιῶν τοῦ προνοεῖσθαι χρὴ, διά τε γυμνασίων ἧς ἔφην καὶ λουτρῶν καὶ τροφῶν πλειόνων, ἐκκρίσεώς τε τῆς δι' οὔρων καὶ γαστρὸς γιγνομένων. οὐδὲν δὲ κωλύει καὶ ἀποφλεγματισμοῖς ποτὲ χρῆσθαι καὶ καθάρσεσιν. εὐχύμοις τε πρὸ πάντων ἐδέσμασιν, οἴνων τε πόσει, τῶν οὔρησιν κινούντων. περὶ μὲν οὖν τῶν θερμῶν κράσεων, αὐτάρκως εἴρηται. περὶ δὲ τῶν ψυχρῶν, ἐφεξῆς ἂν εἴη λεκτέον. εἰσὶ δὲ καὶ τούτων αἱ μέγισται διαφοραὶ, τρεῖς. ἤτοι γὰρ εὔκρατοι κατὰ τὴν ἑτέραν ἀντίθεσιν, ὡς μηδὲν μᾶλλον ὑγροὺς ἢ ξηροὺς ὑπάρχειν, ἢ τὸ ὑγρὸν, ἢ τὸ ψυχρὸν ἐν αὐτοῖς ἐπικρατεῖν. χειρίστη δὲ εἰκότως ἐστὶν, ἡ ξηρὰ κρᾶσις, ὃ γὰρ ἐν τῷ χρόνῳ τοῖς γηρῶσι γίνεσθαι, τοῦτ' εὐθέως ἐξ ἀρχῆς ὑπάρχει τούτοις. ὑγραίνειν τε οὖν αὐτοὺς χρὴ καὶ θερμαίνειν. ἐστὶ δὲ τοῦτο γυμνασίοις συμμέτροις καὶ τροφαῖς ὑγραῖς τε καὶ θερμαῖς, οἴνου τε πόσει τῶν θερμοτέρων, ὕπνοις τε πλείοσι. προνοουμένων ἡμῶν, ὅπως τὰ καθ' ἑκάστην ἡμέραν ἐν τῷ σώματι γεννώμενα περιττώματα τῆς τε τροφῆς καὶ τοῦ πόματος, ἐκκενοῦται πάντα. περὶ δὲ τῶν ἀφροδισίων εἴρηται μὲν καὶ πρόσθεν, ὡς ἅπαντας μὲν τοὺς ξηροτέρους τῇ κράσει βλάπτει, νυνὶ δ' ὅτι τούτων αὐτῶν μάλιστα τοὺς πρὸς τῇ ξηρότητι, καὶ ψυχρούς. ἀβλαβῆ γὰρ ἀφροδίσια μόνοις τοῖς ὑγροῖς καὶ θερμοῖς ἐστὶ, καὶ ὅσοι φύσει πολύσπερμοι. περὶ ὧν ἐν ταῖς ἀνωμάλοις κράσεσιν αὐτίκα λεχθήσεται. μοχθηραὶ δὲ καὶ αἱ μεθ' ὑγρότητος ψυχραὶ κράσεις εἰσὶ, καὶ μάλιστα αὐτοῖς τοῖς ῥευματικοῖς ἁλίσκονται νοσήμασιν, ὀνίνησι δ' αὐτὰς, ἀλουσία τε καὶ γυμνάσια, καὶ δίαιται

λεπτότεραι, καὶ χρίσματα μετρίως θερμαίνοντα, περὶ ὧν τῆς ἰδέας ἔμπροσθεν εἴρηται κατὰ τὸν περὶ τῶν κόπων λόγον. ὅσοι δὲ ψυχρότεροι μέν εἰσι φύσει, συμμέτρως δ᾽ ἔχουσι τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν κράσεως, ἧττον οὗτοι τῶν καὶ κατὰ τὰ ἄλλα δυσκράτων εἰσὶ μοχθηροί, πρὸς ὑγείαν τε καὶ ῥώμην σώματος. ἐπεγείρειν οὖν αὐτῶν χρὴ καὶ ῥωννύναι τὴν θερμασίαν. ἐν δὲ τῇ καθ᾽ ὑγρότητα καὶ ξηρότητα τῆς ὕλης διαίτης ἰδέᾳ τὸ μέσον. ταῦτά μοι σύμπαντα, περὶ τῶν ὁμαλὴν τὴν δυσκρασίαν ἐχόντων εἴρηται, τουτέστιν ὁμοίως ἅπαντα μόρια πρὸς τὸ θερμότερον, ἢ ψυχρότερον, ἢ ὑγρότερον, ἢ ξηρότερον ἐκτετραμμένα. περὶ δὲ τῶν ἀνώμαλον ἐχόντων τὴν κατασκευὴν τοῦ σώματος, οὐκ ἐγχωρεῖ διὰ βραχέων εἰπεῖν. ἐπειδὴ πολλαὶ τῶν τοιούτων ὑπαλλάξεις εἰσίν, ἄλλων ἄλλο μόριον ἐχόντων δύσκρατον. ἀλλὰ καὶ κἂν δύο δύσκρατα ἔχωσί τινες, ὑπαλλάξεις καὶ τούτων γίνονται πολλαί, καὶ διὰ τοῦτο πρότερον εἰπόντες ὅσα περί τε τὴν ἄμεμπτον ἔχοντι κατασκευήν, βιοῦντι δὲ βίον δουλικόν, ἢ πολιτικόν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, ποιητέον ἐστίν, καὶ μετὰ ταῦτα, ὅσα τοῖς ὁμαλὴν τὴν δυσκρασίαν ἐν ὁμοίῳ βίῳ, μεταβησόμεθα τηνικαῦτα πρὸς τοὺς ἀνώμαλον ἔχοντας ἐν τοῖς τοῦ σώματος μέρεσι τὴν κατασκευήν. ἄμεμπτον δὲ κατασκευὴν σώματος, ὡς πολλάκις εἴρηται, κατὰ πλάτος νοητέον ἐστίν, ὥσπερ καὶ αὐτὴν τὴν ὑγίειαν, ὅτι γοῦν ὑγιαίνειν τις ἡμῖν δόξει τὴν γ᾽ ἀκριβῶς ἄμεμπτον ὑγίειαν οὐκ ἔχων, οὔτ᾽ ἀμέμπτως κατασκευάσθαι τὸ σῶμα. λέγουσι δ᾽ ὑγιαίνοντας μέν, ὅσοι μήτ᾽ ὀδυνῶνταί τι μέρος σώματος, εἴς τε τὰς κατὰ τὸν βίον ἐνεργείας ἀπαραπόδιστοι τυγχάνουσιν ὄντες. οὕτω δὲ καὶ κατασκευὴν σώματος ἄμεμπτον ἔχειν, ὅταν μήθ᾽ ὑπὸ τῶν ἔξωθεν αἰτίων ἑτοίμως εἰς νόσον ἄγηται, μήθ᾽ ὑπὸ τῶν ἐξ αὐτῶν, διωρισμένου δηλονότι τοῦ νοσεῖν ἐνίους συνεχῶς, οὐ διὰ τὴν οἰκείαν κατασκευὴν τοῦ σώματος, ἀλλὰ καὶ διὰ μοχθηρὰν δίαιταν, ἤτοι γ᾽ ἀργὸν βίον βιοῦντας, ἢ ὑπερπονοῦντας, ἢ περὶ τὰς τῶν σιτίων ποιότητας, ἢ ποσότητας, ἢ καιροὺς ἁμαρτάνοντας, ἢ τινὰ τῶν ἐπιτηδευμάτων βλαβερῶς ἐπιτηδεύοντας, ἢ περὶ τὴν τῶν ὕπνων ποσότητα σφαλλομένους, ἢ χρῆσιν ἀφροδισίων ἄμετρον, ἢ καὶ συντήκοντας ἑαυτούς, ἐν λύπαις καὶ φροντίσιν οὐκ ἀναγκαίαις. οἶδα γὰρ παμπόλλους διὰ τοιαύτας αἰτίας νοσοῦντας καθ᾽ ἕκαστον ἐνιαυτόν, ἀλλ᾽ οὐ φήσομεν αὐτοὺς κακῶς κατεσκευάσθαι τὸ σῶμα. καθάπερ ἐκείνους, ὅσοι μηδὲν ἁμαρτάνοντες ὧν κατέλεξα, συνεχῶς νοσοῦντας. ὑποκείσθω τοίνυν ἐν λόγῳ πρῶτος, ὁ τὴν κατὰ πλάτος ἄμεμπτον ἔχων κατασκευὴν σώματος, ἐν βίῳ δουλικῷ δι᾽ ὅλης ἡμέρας ὑπηρετῶν ἤτοι τῶν μεγίστων δυνάμεων τισίν, ἢ μονάρχων. χωριζόμενος δὲ τοῦ δεσπότου περὶ τὰ πέρατα τῆς ἡμέρας. ὁρίσαι δὲ πάλιν ἐπὶ τούτου χρὴ τινὰ λέγω πέρατα, παρακολούθησιν γοῦν ὁ λόγος ἐργάσεται τοῖς ἀναλεγομένοις αὐτό, εἰ μὴ τύχοι διορισμοῦ προσήκοντος. ἐὰν γοῦν εἴπω χωρίζεσθαι τηνικαῦτα πρῶτον εἰς τὴν ἐπιμέλειαν τοῦ σώματος ἡνίκα ὁ ἥλιος δύνῃ, μὴ προσθεὶς ὁποίας ἡμέρας λέγω, πότερον τῆς περὶ τὰς θερινὰς τροπὰς ἢ χειμερινὰς ἢ κατά τινα τῶν ἰσημερινῶν, ἢ χρόνον ἑκάτερον ἐν τῷ μεταξὺ τῶν εἰρημένων καιρῶν, ἀδύνατόν ἐστι συμφερούσας ὑποθήκας ποιήσασθαι. κατὰ γοῦν τὴν ῥωμαίων πόλιν αἱ μέγισται μὲν ἡμέραι καὶ νύκτες βραχὺ μείζους ὡρῶν ἰσημερινῶν. ιε. γίγνονται. καθάπερ γε πάλιν αἱ ἐλάχισται, μικρὸν ἀπολείπουσαι τῶν. θ. κατὰ δὲ τὴν μεγάλην ἀλεξάνδρειαν, ιδ. μὲν ὡρῶν, αἱ μέγισται. ι. δέ, αἱ σμικρόταται. ὁ μὲν οὖν ἐν ταῖς σμικροτάταις μὲν ἡμέραις, μεγίσταις δὲ νυξὶν ἀφιστάμενος τῆς ὑπηρεσίας ἡλίου δυομένου, κατατρίψασθαι κατὰ σχολήν, καὶ λούσασθαι δύναται, καὶ κοιμηθῆναι συμμέτρως. οὐδεὶς δ᾽ ἐστὶν ὃς οὐδ᾽ ἐν ταῖς μεγίσταις, οὐδ᾽ ἐν τούτοις οἷός τ᾽ ἐστὶ τι πρᾶξαι μετρίως, οὐ μὴν οὐδ᾽ ἔγνων τινὰ τοιαύτην δυστυχίαν βίου χρησάμενον. ὁ γοῦν ὧν ἴσμεν αὐτοκρατόρων ἑτοιμότατα πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν ἀφικόμενος ἀντωνῖνος, ἐν μὲν ταῖς μακραῖς ἡμέραις ἡλίου δύοντος εἰς τὴν παλαίστραν παρεγίγνετο. κατὰ δὲ τὰς μεγίστας ὥραν. θ. ἢ τὸ πλεῖστον. ι. ὡς ἔξεστι τοῖς παραμένουσιν αὐτῷ κατὰ τὰς ἡμερησίας πράξεις ἀπαλλαγεῖσι, προνοήσασθαι τοῦ σώματος ἐν τῷ λοιπῷ μέρει τῆς ἡμέρας, ὡς ἅμα τῷ δῦναι τὸν ἥλιον εἰς ὕπνον τρέπεσθαι. τῆς γάρ τοι σμικροτάτης νυκτὸς ἴσης οὔσης. θ. ταῖς ἰσημεριναῖς ὥραις, αὐτάρκης ὁ τοσοῦτος χρόνος αὐτοῖς ὕπνου τυχεῖν. ἐπισκεπτέον οὖν εἴτε γυμνάζεσθαι κατὰ τὸν ἔμπροσθεν βίον ὁ τοιοῦτος ὑπηρέτης ἔθος ἔχει, εἴτ᾽ ἀγύμναστος λούεσθαι. τινὲς γάρ, οὐδὲ ἄχρι τοῦ τρίψασθαι προνοοῦντες σφῶν αὐτῶν ἄντικρυς τ᾽ εἰς τὸ βαλανεῖον εἰσίασιν παραχεόμενοι τὸ ἔλαιον. ἢ καὶ στλεγγίδα μόνον λαβόντες, ὡς κατ᾽ αὐτὸ τὸ βαλανεῖον ἀποστλεγγίζεσθαι τὸν ἱδρῶτα. καὶ μέντοι καὶ μετρίως φέρουσι τὸ τοιοῦτον ἔθος ἔνιοι. ὥστε τινὰς αὐτῶν μήτε νοσεῖν συνεχῶς ὅταν ὦσιν εὐδιάπνευστοι, καὶ καλοῦσί γε αὐτούς, ἀραιοσυγκρίτους ἔνιοι τῶν ἰατρῶν τε καὶ γυμναστῶν. εἴρηται δὲ καὶ ὑφ᾽ ἱπποκράτους ὑγιεινοτέρους μὲν εἶναι τοὺς τοιούτους. ἀραιότης γάρ φησι σώματος, ἐν ᾗ διαπνοὴ οἷς πλείω φέρεται ὑγιεινότεροι, ὅσοις δ᾽ ἐλάσσων, νοσερώτεροι, τὴν μὲν δὴ τοιαύτην φύσιν σώματος, οὐ χρὴ μετάγειν, ἐφ᾽ ἔθος, οὐδ᾽ ὅλως οὐδὲ μίαν, ἀλλ᾽ ὅσαι διὰ τοῦ πολλοῦ χρόνου νοσοῦσιν, εἰ δὲ συνεχῶς τις νοσοίη, σκεπτέον ἐπ᾽ αὐτὴν τὴν αἰτίαν, εὑρεθήσεται δὲ τὴν ἀρχὴν τῆς ζητήσεως, ἡμῶν ἀπὸ τῶν τῶν νόσων εἰδῶν ποιησαμένων, ὅσα γὰρ ἐκ τῆς ἐναντίας κακίας νοσεῖ τὸ σῶμα, διττὴν ἔχει τὴν πρόφασιν, ἢ τὸ πλῆθος, ἢ κακοχυμίαν. εἰ μὲν δὴ πληθωρικὰς νόσους νοσεῖν φαίνοιτο, σκοπὸς ἔστω καθόλου εἰς τὴν ὑγιεινὴν δίαιταν αὐτῷ, ὅπως συμμέτρους ἕξει τοὺς χυμούς. εἰ δὲ διὰ κακοχυμίαν, ὅπως ἀρίστους. ἡ δὲ κατὰ μέρος πρόνοια τῆς μὲν ἐν ποσότητι συμμετρίας εἰρήσεται πρότερον, τῆς δ᾽ ἐν ποιότητι, δεύτερον, λέγωμεν οὖν ἤδη περὶ τῆς προτέρας, ἐπ᾽ ἀρχῆς ἀναγαγόντες τὸν λόγον, ὅταν ἐλάττω τὰ διαπνεόμενα τοῦ σώματος ἢ τῶν λαμβανομένων, αἱ πληθωρικαὶ νόσοι γίγνονται. φυλακτέον οὖν ἐστι τὴν συμμετρίαν τῶν ἐσθιομένων τε καὶ πινομένων πρὸς τὰ κενούμενα, σύμμετρα δὲ ἔσται σκεψαμένων ἡμῶν ἐν ἑκατέροις τὴν ποσότητα, τοὺς μὲν γὰρ ἄντικρυς εἰς τὸ βαλανεῖον εἰσιόντας ἔπειτα τρίψει τε κεχρῆσθαι καί τι καὶ βραχὺ κινεῖσθαι πρότερον, ὅτι δ᾽ ἔφθανον ταῦτα ποιεῖν, ἐπ᾽ ὀλίγον μὲν αὐξῆσαι καὶ αὐτὰ ταῦτα συμβουλεύομεν. ἀφαιρεῖν δὲ χρὴ καὶ τῶν τροφῶν, ἤτοι τῆς ποιότητος ἢ τῆς ποσότητος, ἢ καὶ συναμφοτέρων, τοὺς μὲν γὰρ ταχέως ἀθροίζοντας ἀξιόλογον πλῆθος ἑκατέρων, ὅσοι δ᾽ οὐ ταχέως ἢ οὐκ ἀξιόλογον, ἀρκέσει θάτερον ὃ ἂν αὐτὸς ὁ ἄνθρωπος αἱρῆται, τὸ μὲν οὖν τῆς ποσότητος ἀφελεῖν γνώριμον, τὸ δὲ τῆς ποιότητος ἐν τῇ τῶν ὀλιγοτρόφων προσφορᾷ ἐδεσμάτων γίγνεται. πολλοὶ γοῦν ἐπὶ χοιρείοις κρέασι διαιτώμενοι, πλῆθος ἀθροίζουσι τάχιστα, δεομένους τῆς τοιαύτης τροφῆς τρίψεών τε καὶ γυμνασίων ἰσχυρῶν. ἐπὶ λάχανα τοίνυν αὐτοὺς ἀκτέον ἐστὶ μὲν χεδροπὰ τὰ μὴ πολύτροφα, καὶ ἰχθῦς ὁμοίως καὶ ὄρνιθας, ὅσοι μὴ πολύτροφοι, τῶν δὲ κα-

τῶν δὲ κακοχυμίαν ἀθροιζόντων οὐχ ὡσαύτως τοῖς τὸ πλῆθος ἀθροίζουσιν οὐχ εἷς ἐστιν ὁ σκοπὸς, ὅτι μηδὲ τῆς κακοχυμίας ἰδέα μία, τινὲς μὲν γὰρ ψυχροτέραν τε καὶ φλεγματικωτέραν ἀθροίζουσι κακοχυμίαν, τινὲς δὲ θερμοτέραν τε καὶ χολωδεστέραν, ἔνιοι δὲ ὑδατωδεστέραν, ὥσπερ ἄλλοι μελαγχολικωτέραν, ἀφεκτέον οὖν ἐστιν ἑκάστῳ σιτίων τε καὶ ποτῶν, ὅσα πέφυκε γεννᾶν ἑτοίμως τὸν ἀθροιζόμενον αὐτοῖς χυμόν. εἴρηται δὲ περὶ αὐτῶν ἱκανῶς, ἐν τρισὶ μὲν ὑπομνήμασιν, ἃ περὶ τῆς ἐν ταῖς τροφαῖς δυνάμεως ἐπιγέγραπται, καθ' ἕτερον δὲ ἐν ᾧ περὶ εὐχυμίας καὶ κακοχυμίας, ἡ διάθεσις γίγνεται, καὶ τούτων δ' ἔξωθεν ἐστὶ τὸ περὶ τῆς λεπτυνούσης διαίτης, ἥ τις ἐπιτήδειος τοῖς τὸν καλούμενον ὠμὸν χυμὸν ἀθροίζουσι γίγνεται, παχὺν μὲν ὑπάρχοντα πάντως, οὐκ ἀεὶ δὲ καὶ γλίσχρον. ἐπὶ πάντων δὲ τούτων κοινὸν βοήθημα γαστρὸς ὑπαγωγή, καὶ μάλιστα ὅσοις ἐστὶ φύσει σκληροτέρα, κοινὸν δὲ καὶ τὸ τῶν ἀφροδισίων σύμμετρον, ἐπὶ μὲν γε τῶν ἀμέμπτων κατασκευῶν τοῦ σώματος, οὐ χρὴ παντάπασιν ἀφροδισίων ἀπέχεσθαι, καθάπερ ἐπὶ τῶν ξηρῶν ἔμπροσθεν εἴρηται. σκεπτέον δ' ἐν τοῖς μάλιστα πότερον ἅπαξ ἢ δὶς ἐσθίειν αὐτοὺς ἐν τῷ παντὶ τῷ βίῳ συμφέρει. τῆς σκέψεως δ' ἐστὶ κεφάλαιον ἥ τε τοῦ σώματος αὐτῶν φύσις, ἥ τε ἐπὶ ταυτὸν συνήθεια τῆς διαίτης, καὶ βέλτιον ἐπ' αὐτοῖς ἐὰν ᾖ φανῇ, μετακινητέον ἐστὶ τὸ ἔθος, ὅπως αὐτοῦ φέρει τὴν ὑπαλλαγὴν ὁ ἄνθρωπος, ἀεὶ μὲν οὖν τῆς φύσεως, ἢ τοῦ συμφέροντος ἔνδειξις γίνεται, τῶν μὲν ἐκχολουμένης τῆς γαστρὸς, εἴρηται μὲν ἤδη καὶ διὰ τοῦ γ' γράμματος, εἰρήσεται δὲ καὶ νῦν, ἔστω μὲν ἀεὶ τὰ πρῶτα τῶν ἐσθιομένων τε καὶ πινομένων, ὅσα λαπάττει τὴν γαστέρα, τῶν μὲν οἴνων, οἱ γλυκεῖς, ἐδεσμάτων τε τὰ λάχανα, δι' ἐλαίου τε καὶ γάρου τῶν ὑπακτικῶν, οὐ γὰρ ἅπαντες εἰσὶ τοιοῦτοι· φυλακτέον τῶν οἴνων τοὺς αὐστηρούς, ὥσπερ γε καὶ τῶν ἐδεσμάτων τὰ στύφοντα, πλὴν εἰ μετὰ τὴν ἐδωδὴν ἅπασαν ἕνεκα τοῦ τονῶσαι τὸ στόμα τῆς γαστρὸς ἡ προσφορὰ γίγνοιτο. κριτέον δὲ καὶ τοῦτο τῇ πείρᾳ, τισὶ γὰρ οὐ μόνον ἄλυπός ἐστιν ἡ τοιαύτη χρῆσις τῶν στυφόντων, ἀλλὰ καὶ συντελεῖ τι πρὸς ὑπαγωγὴν γαστρὸς, ἐκ τοῦ τονωθῆναι κατὰ τὸ στόμα τὴν κοιλίαν. ἐναργέστατον δὲ ἐπὶ τῶν ἀσθενέστερον ἐχόντων αὐτὴν φαίνεται τοῦτο γιγνόμενον, ὅσοι δὲ τοῖς κατὰ παλαίστραν γυμνασίοις ἐχρῶντο πρὸ τοῦ λουτροῦ, πρὶν ἐμπεσεῖν ἀσχόλῳ βίῳ, τούτοις ἀριστῆσαι μὲν αὐτῶν βλαβερώτατον, ὁμοίως δὲ χρῆσθαι πρὸς τῷ βλαβερῷ καὶ ἀδύνατον. ὅπερ οὖν ἔφην ὀνομάζεσθαι γυμνασίων εἶδος ἀποθεραπευτικὸν, τούτῳ χρηστέον αὐτοῖς ἅμα καὶ τὸ πλῆθος τῶν χοιρείων κρεῶν ἀφαιρεῖς. ἐπεὶ δὲ ὡς ἔφην ἐνίοις ἐσθίειν ἄμεινον ἢ πρὸ τοῦ λουτροῦ, περί τε τῆς ὥρας ἐν ᾗ τοῦτο πρακτέον αὐτοῖς ἐστὶ, καὶ περὶ τῆς ποιότητός τε καὶ ποσότητος ὧν χρὴ προσφέρεσθαι, λεκτέον ἐφεξῆς. ὅπερ οὖν εἴωθε ποιεῖν αὐτὸς ἐγὼ καθ' ἣν ἂν ἡμέραν ὀψιαίτερον ἡγῶμαι λούσασθαι διατρίβων ἐπὶ σκέψεις, ἢ τινὰ πολιτικὴν πρᾶξιν, εἰπεῖν οὐκ ὀκνήσω. ὑποκείσθω μὲν ἡμέρα καθ' ἣν τοῦτο γίγνεται ιγ'. τῶν ἰσημερινῶν ὡρῶν, ἐλπίζεσθαι δὲ περὶ δεκάτην ὥραν ἡ τοῦ σώματος ἐπιμέλεια γενήσεσθαι, κατὰ ταύτην τὴν ὑπόθεσιν, ἔδοξέ μοι περὶ τετάρτην ὥραν προσφέρεσθαι τροφὴν ἁπλουστάτην, ἥ τις ἐστὶ ἄρτος μόνος, ἐγὼ μὲν οὕτω αὐτὸς ἔπραξα, τινὲς δὲ οὐχ ὑπομένουσιν ἄρτον ἐσθίειν μόνον ὄψων χωρὶς, ἀλλ' ἤτοι μετὰ βαλάνων φοινίκων, ἢ ἐλαιῶν, ἢ μέλιτος, ἢ ἁλῶν ἐσθίουσιν, εἶτα καὶ πίνουσιν ἔνιοι τινὲς αὐτῶν, ἐγὼ δὲ οὐκ ἔπιον ποτὲ ἐπὶ τοιαύτῃ τροφῇ, καὶ μόνον ἔφαγον τὸν ἄρτον. ἔστω δ' αὐτῶν πλῆθος ἑκάστου τοσοῦτον, ὅσον ἄχρι τῆς δεκάτης ὥρας ἐν τῇ γαστρὶ πεφθῆναι δύναται, καὶ γὰρ εἰ γυμνάζεσθαι βούλοιντο, μάλιστα ἂν, οὕτως ἀβλαβῶς γυμνάσαιντο. βλάβη γὰρ ἐνίοις οὐ σμικρὰ γίγνεται γυμναζομένοις ἐν τῷ πλήθει σιτίων, ἐνίοις δὲ καὶ ἡ κεφαλὴ πληροῦται, καὶ κατὰ τὸ ἧπαρ αἴσθησις γίγνεται τάσεως, ἢ βάρους, ἢ ἀμφοῖν, ὅταν οὖν τι τοιοῦτον συμβαίνῃ, θεραπευτέον αὐτὸ τὸ πρᾶγμα, τὰς μὲν κατὰ τὸ ἧπαρ ἐμφράξεις, διὰ τῶν ἐκφραττόντων, τὰς δὲ τῆς κεφαλῆς πληρώσεις, διὰ περιπάτων, μάλιστα μὲν πρὸ τροφῆς οὐδὲν μὴν κωλύει, καὶ μετὰ τὴν τροφὴν, ἀλλὰ τούτους μὲν ἐσχάτως βραδεῖς ποιεῖν προσήκει, τοὺς δὲ πρὸ τῆς τροφῆς, συντονωτέρους μὲν τούτων, οὐ μὴν τοιούτους ὁποίους ἐπειγόμενοι πρός τινα πρᾶξιν ἐνεργοῦμεν, ὅσα δ' ἐκφράττει τὸ ἧπαρ ἁρμόζειν ταῦτα ταῖς βραδυπεψίαις, ἄριστα δ' αὐτῶν ἐστιν, ὀξύμελί τε, καὶ τὸ διὰ τριῶν πεπέρεων, ἐν ᾧ μηδὲν μέμικται τῶν ἀνθῶν φαρμάκων, καὶ ἡ λεπτύνουσα δίαιτα, ταῦτα γὰρ βραδυπεψίας ἐπανορθοῦται, καὶ τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις ἰᾶται. διαφθορᾶς δὲ τῶν ἐν τῇ γαστρὶ σιτίων γιγνομένης, οἷς μὲν ὑπέρχεται τὰ διεφθαρμένα μέγιστον ἐφόδιον εἰς ὑγίειαν ἔχουσιν, οἷς δὲ οὐχ ὑπέρχεται διὰ τῶν ἀλύπως ὑπαγόντων, ἐρεθιστέον. ἔστι δὲ ταῦτα τό, τε διοσπολιτικὸν ὀνομαζόμενον φάρμακον, ὅταν ἴσον τοῖς ἄλλοις λάβῃ τὸ νίτρον, τό τε διὰ τῶν ἰσχάδων τε καὶ τοῦ κνίκου, ὅσα τ' ἄλλα διὰ κνίκου, ἢ ἐπιθύμου συντίθεται, τοῖς δ' οὕτω διακειμένοις ἀνθρώποις, συμφέρουσι καὶ οἱ πρὸ τροφῆς ἔμετοι, ἔμετος δι' οἴνου πόσεως γλυκέος γινόμενος. συμβουλεύειν δὲ αὐτοῖς χρὴ μηδὲν κνισσῶδες, ἢ βρομῶδες, ἢ ὅλως εὔφθαρτον ἔδεσμα προσφέρεσθαι, τὰ καλούμενα δὲ ὑπὸ τῶν ἰατρῶν εὔχυμα ταῦτα ἐκλέγεσθαι. γέγραπται δὲ περὶ αὐτῶν ἑτέρωθι, κατὰ τὸ περὶ τῆς εὐχυμίας τε καὶ κακοχυμίας ὑπόμνημα. γέγραπται δὲ ὡς ἔφην ἤδη κἀν τοῖς τρισὶν ἐν ᾧ περὶ τῆς ἐν ταῖς τροφαῖς δυνάμεως, ὁ λόγος ἐστί. ἐπιτήδειον δὲ τοῖς οὕτως ἔχουσιν ἀνθρώποις ἐκ διαλειμμάτων χρόνου συμμέτρου τῆς γαστρὸς ὑπαγωγὴ διὰ τῶν μετρίως καθαιρόντων, ὁποῖόν ἐστι δι' ἀλόης πικρόν, οὕτως γὰρ αὐτὸ καλοῦσι πολλοὶ τῶν ἰατρῶν, ὥσπερ ἔνιοι πικρὰν θηλυκῶς. ἐὰν δ' ἐπιτρέψῃς πολλῷ χρόνῳ τὴν κακοχυμίαν ἀθροίζεσθαι, νόσημά τι χαλεπὸν αὐτοῖς συμβήσεται, καὶ δύνανταί γε τὴν τοιαύτην ἑαυτῶν πρόνοιαν ποιεῖσθαι κατὰ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς ἑορτή τίς ἐστι δημοτελὴς ἐλευθεροῦσα τῆς δουλικῆς ὑπηρεσίας αὐτούς. ἀλλὰ δι' ἀκρασίαν οὐ μόνον οὐδὲν ποιοῦσιν εἰς ἐπανόρθωσιν τῶν κατὰ τὸ σῶμα μοχθηρῶς ἠθροισμένων, ἀλλὰ καὶ προσεπιπληροῦσιν αὐτά, κακῶς διαιτώμενοι κατὰ τὰς ἑορτάς, ἁλίσκονται τοιγαροῦν νοσήμασιν, ἔνιοι μὲν αὐτῶν οὕτως χρονίοις, ὡς ἐν ἁπάσῃ τῇ ζωῇ παραμένειν, ὁποῖόν ἐστι κακὸν, ἥ τε ποδάγρα καὶ ἡ ἀρθρῖτις, καὶ ἡ νεφρῖτις, ἔνιοι δὲ ὀξέσι μὲν, ἀλλ' ἐνοχλοῦσιν αὐτοῖς ἤτοι καθ' ἕκαστον ἔτος, ἢ πάντως γε διὰ δυοῖν, τινὲς δὴ καὶ δὶς, οὕτω νοσοῦσιν καθ' ἓν ἔτος. ἡ δ' ὑγιεινὴ τέχνη τοὺς πειθομένους αὐτῇ διαφυλάττειν ὑγιαίνοντας ἐπαγγέλλεται, τοῖς δ' ἀπειθοῦσιν, ἐν ἴσῳ καθέστηκεν, ὡς εἰ καὶ μηδόλως ἦν. ἀπειθοῦσι δ' ἔνιοι μὲν ὑπὸ τῆς ἐν τῷ παραχρῆμα νικηθέντες ἡδονῆς, οὓς ἀκρατεῖς τε καὶ ἀκολάστους ὀνομάζομεν, ἔνιοι δὲ ὑπὸ φιλοτιμίας ἣν ὀνομάζουσιν οἱ νῦν Ἕλληνες κενοδοξίαν, ὁποῖος ἦν καὶ ὁ πάντα μᾶλλον ὑπομείνας παθεῖν ἢ πιττοῦσθαι συνεχῶς ὅλον τὸ σῶμα, συμβουλευόντων αὐτῷ τῶν ἰατρῶν τὸ βοήθημα τοῦτο, διὰ τὴν ἰσχνότητα, γίγνεται δ' αὕτη τισὶ

μὲν, ἐπὶ τῇ καθ' ὅλον τὸ σῶμα δυσκρασίᾳ κατὰ τὴν ἐπὶ τὸ ξηρόν τε καὶ ψυχρὸν ὑπερβολήν. ἐνίοις δὲ διὰ τὴν ἀναδοτικὴν δύναμιν ἢ θρεπτικήν, ἢ ἀμφοτέρας ἀρρωστοτέρας οὔσας φύσει. πάντας δὲ τοὺς οὕτως ἔχοντας ὀνίνησιν, ὁ καλούμενος ὑπὸ τῶν νῦν Ἑλλήνων, δρώπαξ, καὶ γὰρ ἀναδόσει συντελεῖ καὶ θρέψει, καὶ πολλούς γε τῶν ἰσχνῶν ἔμπροσθεν ὄντων ἰδεῖν παχυνθέντας ἐπὶ τῷδε τῷ βοηθήματι, καὶ μάλιστα ὅσοις ἡ μὲν ἀναδοτικὴ δύναμις ἄρρωστός ἐστιν, ἡ θρεπτικὴ δὲ οὐκ ἄρρωστος μέν, ἀλλὰ δι' ἀπορίαν ὕλης ἐπιτηδείας, τρέφειν αὐτάρκως οὐκ ἐδύνατο, τούτου συμβαίνοντος αὐτῇ δι' ἔνδειαν τῆς ἀναδιδομένης τροφῆς. ἀλλ' ἔνιοι ὡς ἔφην ὑπὸ φιλοτιμίας, ἵνα μὴ δόξωσιν ὁμοίως τοῖς τρυφῶσιν ἢ καλλωπιζομένοις πείθεσθαι, φεύγουσι τὴν δι' αὐτῶν βοήθειαν ἄλλο τι κελεύοντες ἡμᾶς ἐφευρεῖν αὐτοῖς βοήθημα τῆς ἰσχνότητος, ἔστι δὲ οὐδὲν μὲν τῷδε δύναμιν ἔχον ἴσην, ὠφελεῖν μέν τοι δύναται καὶ τὰ τοιαῦτα, πρὸ τοῦ λουτροῦ χερσὶ μὴ πάνυ μαλακαῖς, ὥσπερ αὖ μὴ δὲ τραχείαις ἀνατρίβειν τὸ σῶμα μέχρι περ ἂν ἔρευθος σχῇ, κἄπειτα τρίψει σκληρᾷ, μὴ πολλῇ πιλοῦντας τὸ δέρμα, πυκνὸν καὶ σκληρὸν ἐργάζεσθαι, καὶ μετὰ ταῦτα, γυμνασίοις συμμέτροις χρησάμενον, εἶτα λουσάμενον, ἄνευ τοῦ χρονίσαι κατὰ τὸ βαλανεῖον, ἐκμάττεσθαι παραπλησίως τῇ προειρημένῃ ξηροτριβίᾳ, καὶ μετὰ ταῦτα ἐπαλείφεσθαι ἐλαίῳ βραχεῖ, προσφέρεσθαι τὰ σιτία, σκοπὸς γὰρ τῶν τοιούτων ἐστὶν, εἰς τὸ σαρκῶδες γένος ἑλκύσαντες αἷμα χρηστόν, ἐπεγείρεσθαι τὴν ἐν αὐτοῖς θρεπτικὴν δύναμιν, ὅπως μὴ διαφορηθείη τὸ ἑλχθέν. ῥώννυται μὲν οὖν ἡ θρεπτικὴ δύναμις. ἐκ τοῦ θερμανθῆναι τὰς σάρκας, οὐ διαφορεῖται δὲ τὸ παραγόμενον εἰς αὐτὰς αἷμα, χρισαμένων ἐλαίῳ, δύναμιν ἐμπλαστικὴν ἔχοντι φαρμάκῳ. εἰ δὲ τὰ τῆς ἡλικίας ἐπιτρέπῃ καὶ ψυχρολουσίαις ὁ αὐτὸς ἄνθρωπος χρώμενος ἅμα τοῖς εἰρημένοις, ὀνήσεται μεγάλως. ἔμπαλιν δ' ἐπὶ τῶν ἀμέτρως παχυνθέντων, ἐκλύειν μὲν χρὴ τὴν ἀνάδοσιν, αὐξάνειν δὲ χρὴ τὰς ἀποῤῥοίας τοῦ σώματος, ἡ μὲν οὖν ἀνάδοσις ἐκλύεται συνεχέσιν ὑπαγωγαῖς γαστρός, ἐθισάντων ἡμῶν τὰ τῆς τροφῆς ὄργανα κάτω ταχέως ὠθεῖν ὅσα περιέχεται κατὰ ταῦτα, τὰς δὲ ἀποῤῥοίας τοῦ σώματος αὐξήσομεν, ὀξέσι γυμνασίοις, ὧν ἐστὶ καὶ δρόμος, ἀλείμμασί τε διαφορητικοῖς τρίβοντες, ἐπὶ πλεῖστον, εἶναι δὲ χρὴ τὴν τρίψιν δηλονότι μαλακήν τε καὶ ἀραιωτικήν. ἐγὼ γοῦν τινὰ παχὺν ἱκανῶς, ὀλίγῳ χρόνῳ συμμέτρως εὔσαρκον εἰργασάμην, ὀξεῖ δρόμῳ χρῆσθαι καταναγκάζων, εἶτ' ἀπομάττων μὲν τὸν ἱδρῶτα σινδόσιν ἤτοι λίαν μαλακαῖς ἢ λίαν τραχείαις ἐφεξῆς δὲ τρίβων ἐπὶ πλεῖστον, ἀλείμμασι διαφορητικοῖς, ἃ καλοῦσιν ἤδη συνήθως οἱ νεώτεροι τῶν ἰατρῶν, ἄκοπα, καὶ μετὰ τὴν τοιαύτην τρίψιν ἐπὶ τὸ λουτρὸν ἄγων, ἐφ' ᾧ λουτρῷ, τροφὴν μὲν εὐθέως οὐ προσέφερον, ἡσυχάζειν δὲ μεταξὺ κελεύων, ἢ καί τι τῶν συνήθων αὐτῷ πράττειν, αὖθις ἐπὶ τὸ δεύτερον ἦγον λουτρόν, εἶτ' ὄγκους ἐδεσμάτων ὀλιγοτρόφους ἐδίδουν, ὡς ἐμπιπλᾶσθαι μέν, ὀλίγον δ' ἐξ αὐτῶν εἰς ὅλον ἀναδίδοσθαι τὸ σῶμα. καὶ τὰς ἄλλας δὲ δυσκρασίας ἐν ὅλῳ τῷ σώματι γινομένας, ὁμοίως ἐπανορθοῦσθαι χρὴ πρῶτον μὲν ὧν προσήκει πράττειν, εὑρίσκοντα τὸν σκοπόν, εἶτα τὰς δυναμένας αὐτὰ δρᾶν ὕλας. διὸ καὶ σύντομος ὁ νῦν λόγος ἅπαξ γίγνεται, πρὸς τοὺς μεμνημένους τῶν τε τρίψεων καὶ τῶν γυμνασίων καὶ τῶν λουτρῶν τὰς διαγωγάς, ἔτι τε πρὸς τούτοις, ἐδεσμάτων τε καὶ φαρμάκων. περὶ μὲν οὖν τρίψεων τε καὶ γυμνασίων, ἐν τῇ δὲ τῇ πραγματείᾳ πρόσθεν εἴρηται, περὶ δὲ τῶν τροφῶν, ἑτέρωθι, καθάπερ γε καὶ περὶ τῶν φαρμάκων. ἡ γάρ τοι κατὰ μέθοδον διδασκαλία, τὰ κοινὰ καὶ καθόλου περιλαμβάνουσα, εἰς πολλὰ τῶν κατὰ μέρος, εὐμνημόνευτός τε καὶ σύντομος γίγνεται. ἐγὼ δὲ οὐ μόνα τὰ καθόλου λέγω, ἀλλὰ καὶ τὰ παραδείγματα τῶν κατὰ μέρος αὐτοῖς προστιθείς, τελειοτάτην ἡγοῦμαι ποιεῖσθαι τὴν διδασκαλίαν. καιρὸς οὖν ἤδη μεταβαίνειν ἐπὶ τὰς ἀνωμάλους κατασκευὰς τῶν σωμάτων, αἳ δὴ καὶ νοσώδεις πάντως εἰσίν. ἀνώμαλοι δὲ κατασκευαὶ γίγνονται τριττῶς, διὸ καὶ ἡ τοῦ σώματος ἡμῶν σύνθεσίς ἐστι τριττή, μία μὲν ἡ ἐκ τῶν πρώτων στοιχείων, ἐξ ὧν γέγονε τὰ καλούμενα παρὰ Ἀριστοτέλους ὁμοιομερῆ. δευτέρα δέ, ἡ ἐκ τούτων αὐτῶν τῶν ὁμοιομερῶν, ἃ δὴ καὶ αὐτὰ στοιχεῖα πάλιν ἐστὶν αἰσθητὰ τῶν ὁμοιομερῶν, ὅθεν ἡ τῶν ὀργανικῶν γίγνεται σύνθεσις. ἐπ' αὐτοῖς ἡ τρίτη τοῦ παντὸς σώματος, ἐκ τῶν ὀργανικῶν. εὐκολωτέρα μὲν οὖν ἐστὶν ἡ τρίτη λεγομένη, καὶ διαγνωσθῆναι, καὶ προνοίας τυχεῖν, δυσκολωτέρα δέ, ἡ δευτέρα, χαλεπωτέρα δὲ ἡ πρώτη. βέλτιον οὖν ἀπὸ τῆς τρίτης ἄρξασθαι, ῥᾴονα τήν τε διάγνωσιν ἐχούσης καὶ τὴν πρόνοιαν, οἷον εὐθέως ἐπὶ τῆς κεφαλῆς, οὐδὲν γὰρ χεῖρον ἐντεῦθεν ἄρξασθαι, δυσκράτου φύσει γινομένης, ὡς πολλὰ γεννᾶν περιττώματα, ἐξ ὧν αἱ βλάβαι γίνονται τοῖς ὑποκειμένοις ὀργάνοις, ἐφ' ὅτι ἂν αὐτῶν ῥέπῃ τὸ περιττόν. ἐθιμοτάτη μὲν οὖν ἡ εἰς τὸ στόμα καὶ τὰς ῥῖνας φορά, παραγίγνεται δὲ καὶ εἰς ὀφθαλμούς, ἐνίοις δὲ καὶ εἰς ὦτα. τὴν εἰς δὲ τὸ στόμα φορὰν τῶν περιττωμάτων ὑποδέχεται, στόμαχός τε καὶ ἡ τραχεῖα ἀρτηρία. καλοῦσι δὲ αὐτὴν καὶ βρόγχον, ἧς τὸ συνάπτον τῷ στόματι πέρας ὑψηλόν, ὀνομάζεται δὲ λάρυγξ ὄργανον φωνῆς ὑπάρχον, ὡς ἐν τῷ περὶ φωνῆς ὑπομνήματι δέδεικται. οὕτως τε οὖν αὐτὸς ὁ λάρυγξ ὑπὸ τῶν εἰς αὐτὸν ἐκ τῆς κεφαλῆς καταῤῥεόντων ὑγραινόμενος, ἐν ἀρχῇ μέν, βραγχώδη τὴν φωνὴν ἐργάζεται, προϊόντος δὲ τοῦ χρόνου, μικράν. ἢν δ' ἐπὶ πλέον ἥκῃ τὸ κακόν, ἀπόλλυται πᾶσα, συνδιαβρέχεται γοῦν τῷ λάρυγγι καὶ ἡ ἀρτηρία. δριμέος δὲ τοῦ ῥεύματος ὄντος, οὐκ εἰς φωνὴν μόνην ἡ βλάβη τοῖς εἰρημένοις μορίοις, ἀλλὰ καὶ χαλεπωτάτη τις ἀνάβρωσις προσέρχεται τοιαύτη τὴν φύσιν, οἵας καὶ κατὰ τὸ δέρμα βλέπομεν βλαπτόμενον γιγνομένας πολλάκις, ἄνευ τῆς ἔξωθεν αἰτίας. οὕτως δὲ καὶ πνεύμων αὐτοῖς ἑλκοῦται. καὶ φθόη καλεῖται τὸ πάθος. ἐὰν δὲ εἰς στόμαχόν τε καὶ γαστέρα τρέπηται τὸ ῥεῦμα, ψυχρὸν μὲν ὑπάρχον. εἰς δυσκρασίαν ψυχρὰν ἄγει τὰ σώματα, θερμὸν δέ, εἰς θερμήν, ἑλκοῖ δὲ τοιοῦτον τῷ χρόνῳ. κατ' ἀρχὰς δὲ τάς τε ὀρέξεις βλάπτει καὶ τὰς πέψεις. ἐὰν μὲν οὖν ψυχρὸν ᾖ τὸ ῥεῦμα, βραδυπεψίας τε καὶ ἀπεψίας, καὶ ὀξυρεγμίας ἐργάζεται. ἐὰν δὲ καὶ διεφθαρμένον, εἰς διαφθορὰν ἄγει τὴν τροφήν, ἤτοι κνισώδεις, ἢ ὀξώδεις ἐρυγὰς ἀναπέμπουσα, ἤ τινος ἑτέρας ἀῤῥήτου τε καὶ ῥυπαρᾶς ποιότητος. ὑποκαταβαίνουσα δέ, ἡ βλάβη καὶ τὴν νῆστιν ἀδικεῖ, καὶ τὸ κῶλον. ἅπτεται δὲ καὶ τῶν κατὰ τὸ μεσεντέριον ἀγγείων, δι' ὧν εἰς ἧπαρ ἡ ἀνάδοσις γίγνεται, καὶ τισὶ μὲν ἀνορεξίαι παρακολουθοῦσιν. ἐνίοις δέ, ὀρέξεις παρὰ φύσιν, ἃς ὀνομάζουσι κυνώδεις, ἢ καὶ μοχθηρῶν ἐδεσμάτων ἐπιθυμία, καθάπερ ταῖς κιττώσαις. εὔδηλον δέ, ὅτι καὶ σταφυλή, καὶ παρίσθμια, καὶ παρουλίδες, ἀντιάδες τε καὶ βρώσεις ὀδόντων, ἑλκώσεις τε καὶ σηπεδόνες ἐν τῷ στόματι, τοῖς ἐκ τῆς κεφαλῆς εἰς αὐτὰ καταῤῥέουσιν ἰχῶρσιν ἕπονται. καὶ τό γε πολὺ πλῆθος τῶν ἰατρῶν, ἢ τὸν γαργαρεῶνα τέμνουσιν ἢ φάρμακα διδόασιν, ὅπως ἀναπτύῃ τὰ διὰ τῆς

τραχείας

τραχείας ἀρτηρίας εἰς τὸν πνεύμονα κατενεχθέντα. τῆς γαστρὸς δὲ ἄλλοι πονοῦσιν, καθάπερ ἄλλοι, τῶν ὀδόντων τε καὶ τοῦ στόματος, ἢ καὶ τῶν ἐν τῇ ῥινὶ συνισταμένων. ἵνα τοὺς ὀφθαλμοὺς ἢ τὰ ὦτα παραλίπω, βλαπτομένων οὐκ ὀλίγων εἰς αὐτά. βέλτιον δὲ ἣν οἶμαι, τὸ οἷον πηγὴν τῶν κακῶν ἐκκόψαι, ῥώσαντα τὴν κεφαλήν, ἢ εἴπερ ἀδύνατον εἴη τοῦτο διὰ τὴν σφοδρότητα τῆς φυσικῆς δυσκρασίας, προνοεῖσθαι γοῦν αὐτῆς διὰ παντός, τὴν ἔνδειξιν τῆς προνοίας ἀπὸ τῆς κατ' αὐτὴν ἰδέας ποιούμενον, οὐχ ὡς ἔνιοι τῶν ἰατρῶν, ἁπάσαις ἀεὶ ταῖς κεφαλαῖς, τὰ διὰ θαψίας καὶ νάπυος προσφέρουσιν, οὕτως δὲ καὶ αὐτοὶ πράττοντες, εἰς γὰρ ὑπὸ θερμῆς δυσκρασίας ἡ κεφαλὴ κακὸν ἔχει, βλαβερὰ τὰ τοιαῦτα φάρμακα, χρὴ τοίνυν αὐτοὺς λουτροῖς πολλοῖς ποτίμων ὑδάτων παρηγορεῖν, διαφοροῦντας τε ἅμα τοὺς ἐν τῇ κεφαλῇ γενομένους ἀτμοὺς θερμούς, καὶ τὴν κρᾶσιν ὅλην ἐργαζομένους βελτίω. βλαβερὰ δὲ τούτοις, ἡ τῶν αὐτοφυῶν θερμῶν ὑδάτων χρῆσις. ὅσα μὲν γὰρ αὐτῶν θειώδη τέ ἐστι καὶ ἀσφαλτώδη, ταῦτα θερμαίνειν ἐναντιώτατα ταῖς φύσει θερμαῖς κεφαλαῖς. ὅσα δὲ στυπτηριώδη, ταῦτα στεγνοῖ. μόνοις δ' ἄν, εἴπερ ἄρα, τοῖς γλυκέσι τῶν αὐτοφυῶν ὑδάτων, ἀβλαβῶς χρῶντο. τοῦτο γὰρ ἀσφαλὲς εἰπεῖν, ὡς τό γε καὶ ὠφελεῖσθαι παρ' αὐτῶν, οὐχ ὁμοίως ἀσφαλές. οὐ γὰρ ἐὰν ἦν ἴσως θερμά, μὴ μετέχοντα τινὸς δυνάμεως φαρμακώδους θερμῆς. ἄμεινον δὲ τῇ πείρᾳ κρίνειν τὰ τοιαῦτα τῶν ὑδάτων, καὶ γὰρ καὶ σπανίως εὑρίσκεται, παρ' ἡμῖν ἀπὸ σταδίων τῆς πόλεως οὐ πολὺ πλειόνων ξ. ἐν Προύσῃ δὲ ἐλαττόνων ἢ δέκα. τὸ μὲν οὖν παρ' ἡμῖν ἐν Ἀλλιανοῖς, οὕτως γὰρ ὀνομάζεται τὸ χωρίον, ἑνὸς εἴδους ἐστὶν ὅλον, ἐκ μιᾶς πηγῆς ἀνίσχον. ἐν δὲ τῷ τῆς Προύσης ἑτέρου, καὶ ἄλλη πηγὴ φαρμακώδους ὕδατος, ὥσπερ παρ' ἡμῖν ἐν Λυκέτοις. ὅσοι δὲ σφόδρα θερμὴν καὶ διακαῆ ἔχουσι κεφαλήν, ἄμεινον αὐτοῖς ὥρᾳ θέρους ἀλείφεσθαι ῥοδίνῳ, χωρὶς συμμάτων ἐκ μόνων ῥόδων γεγονότι, καὶ τοῦ τό γε αὐτοῦ, βέλτιόν ἐστιν τὸ καλούμενον ὀμφάκινόν τε καὶ ὠμοτριβὲς ἔλαιον ἐμβεβλημένων τῶν ῥόδων, καὶ πολύ γε βέλτιον εἰ καὶ χωρὶς ἁλῶν ἐσκευασμένον εἴη. τινὲς δὲ κεφαλαὶ διὰ τὴν τῶν ἀρτηριῶν κρᾶσιν ἐν συμπτώμασι γίγνονται, σκοτωματικοῖς, τε καὶ κεφαλαλγικοῖς, ἐφ' ὧν καὶ ταῖς ἀρτηριοτομίαις χρώμεθα τῆς ὑγιεινῆς πραγματείας ἐκπεπτωκυίας. τὰς μὲν συνεχῶς ὀδυνωμένας διὰ τὴν τῶν νεύρων εὐαισθησίαν ὅσα τῆς κεφαλῆς ἐκφυόμενα, τὰ πλεῖστα μὲν ἑαυτῇ μέρει τὸ τῆς γαστρὸς στόμα διαπλέκει. φέρεται δέ τις αὐτῶν μοῖρα, καὶ πρὸς τὴν λοιπὴν γαστέρα, τῆς ὑγιεινῆς τέχνης ἔργον ἰᾶσθαι. μᾶλλον δ' ὅπως μηδ' ὅλως γίγνηται ταῦτα παρασκευάζειν ἀεὶ στοχαζομένης προφυλακῇ προνοουμένων ἡμῶν τὸν χολώδη χυμόν. ἤτοι μηδ' ὅλως συῤῥεῖν εἰς τὴν κοιλίαν, ἢ ὅτι τάχιστα κενοῦσθαι. τοῦ μὲν οὖν μηδ' ὅλως συῤῥεῖν ἡ πρόνοια γίγνεται, διὰ τοῦ θᾶττον ἐσθίειν. ὅταν μὲν γὰρ, ἡ μὲν ὅλου τοῦ σώματος κρᾶσις ἡ χολωδεστέρα, τὰ δὲ κατὰ κοιλίαν ἀτονώτερα, στηρίζεσθαι δεῖται διὰ τροφῆς εὐστομάχου. μὴ γενομένου δὲ τούτου, καταῤῥέουσιν ἰχῶρες εἰς αὐτήν, οὓς ἀθροίζει τὸ σῶμα περιττούς. ἐκ δὲ τῆς τούτων ἀναθυμιάσεως, οὐ μόνον αἱ κεφαλαλγίαι γίνονται τισίν, ἀλλὰ καὶ τὰ τῶν ὑποχεομένων συμπτώματα, καί τισιν αὐτῶν ἐπιληπτικοὶ σπασμοί. τούτοις οὖν ἅπασιν ἡ μὲν ὅλη δίαιτα πρὸς τὸ ψυχρότερον μᾶλλον καὶ ὑγρότερον ὑπαλλαχθείη. κενούσθω δὲ τὰ συῤῥέοντα δι' ἐμέτων τε καὶ γαστρὸς ὑπαγωγῆς. ῥωννύσθω δ' ὁ στόμαχος, ἐδέσμασι μετὰ ἑκάστης ἡμέρας πρὶν ἐκχολωθῆναι, φαρμάκοις δ' ἐκ διαλειμμάτων μακροτέρων, ἀψινθίου τε κόμης, καὶ διὰ τῆς ἀλόης, ἣν καλοῦσι πικράν. ἐκκαθαίρει γὰρ τοῦτο καὶ τὸ διὰ βάθους χολῶδες ἐν τοῖς χιτῶσι τῆς γαστρός, οὐ πάνυ τι τῆς ἀψινθίου δυναμένου ποιεῖν τοῦτο, ῥυπτικαί τε γὰρ αὐτῷ καὶ στυπτικαὶ δυνάμεις εἰσὶ μόναι, ὥστε τὸ μὲν ὡς ἂν εἴποι τις ῥύπτον τῶν χιτώνων τῆς γαστρὸς ἀποσπᾶν, οὐ μὴν ἔτι κατὰ βάθους αὐτὸ ἐστίν, ἕλκειν ἔξω τοῦτο καὶ κενοῦν ὥσπερ ἡ ἀλόη. τὰ δ' ἔξωθεν τοῦ σώματος χρίσματα τῆς γαστρός, ἐπὶ ταύτην ἔστω, μετρίως στύφοντα. μήλινον δὲ ἐστί, καὶ μαστίχινον, καὶ νάρδινον, καὶ τὰ τοιαῦτα θέρους μὲν τὸ μήλινον μᾶλλον. ἐν χειμῶνι δέ, ἡ νάρδος. ἦρος δέ, τὸ μαστίχινον, ἐν τῷ μέσῳ γὰρ τοῦτο ἐστί, μηλίνου τε καὶ ναρδίνου μύρου. θερμαίνοντος μὲν τοῦ ναρδίνου, καὶ μάλιστα ὅταν ἀμώμου πλέον ἔχει, ψύχοντος δὲ τοῦ μηλίνου. ταῖς δὲ πλουσίαις γυναιξὶν ὑπάρχει νάρδου κρεῖττον χρίσμα, φουλιάτον τε καὶ τὰ καλούμενα σπίκατα θερμαίνοντα καὶ ῥωννύντα τὴν γαστέρα, ἐὰν δὲ μὴ μόνον ἡ κεφαλὴ θερμοὺς ἰχῶρας ἐπιπέμπῃ τοῖς κατὰ γαστέρα χωρίοις, ἀλλὰ καὶ αὐτὴν τύχῃ θερμὴν δυσκρασίαν ἔχειν, τοῖς ἐμψύχουσιν ἐδέσμασί τε καὶ πόμασιν ἀεὶ χρῆσθαι προσήκει τὸ μᾶλλον τε καὶ ἧττον ἐν αὐτοῖς ὑπαλλάττοντα κατὰ τὰς ὥρας τοῦ ἔτους οὐ πρὸς τοὐναντίον ἀφικνουμένους, ὥσπερ ἐπὶ τῶν εὐκράτων ἐργαζόμεθα. χειμῶνος μὲν θερμαίνοντες, θέρους δέ, ψύχοντες, ὡσαύτως δὲ εἰ καὶ ἀμφότερα τὰ μόρια τὴν ψυχρὰν ἔχει δυσκρασίαν. ἀεὶ μὲν χρῆσθαι τοῖς θερμοῖς ἐδέσμασί τε καὶ πόμασι καὶ χρίσμασιν. ὑπαλλάττειν δὲ αὐτὰ κατὰ τὴν ὥραν ἐπιτείνοντας καὶ ἀνιέντας. χαλεπὴ δὲ γίνεται μίξις, ὅταν ἤτοι γε εἰς θερμὴν γαστέρα καταῤῥέωσιν ἐκ τῆς κεφαλῆς οἱ ψυχροὶ καὶ φλεγματώδεις ἰχῶρες, εἰς τὴν ψυχρὰν δὲ οἱ θερμοί, καὶ τούτων γ' ἀμφοτέρων ἐπειράθην ἀεὶ δυσμεταχειριστοτέρας οὔσης τῆς ἑτέρας, καθ' ἣν εἰς ψυχρὰν δ' οἱ θερμοί, καὶ τούτων γ' ἀμφοτέρων ἐπειράθην ἀεὶ δυσμεταχειριστοτέρας οὔσης τῆς ἑτέρας, καθ' ἣν εἰς θερμὴν κοιλίαν αἱ φλεγματώδεις τε καὶ ψυχροὶ καταφέρονται χυμοί, χειρίστη δὲ, ὅταν οὕτως ἔχῃ κατασκευῆς τε καὶ φύσεως ὁ ἄνθρωπος δ' μήτ' εὔλυτον ἔχειν γαστέρα, μήτ' ἐμεῖν ἑτοίμως. διαφθείρονται γὰρ οἱ φλεγματώδεις χυμοὶ κατὰ τὴν γαστέρα χρονίζοντες, ὡς δάκνειν ταύτην ἀναπέμπειν τε πρὸς τὴν κεφαλὴν ἀτμοὺς ἔστιν ὅτε μοχθηρούς. ὡς ἐάν γε φλεγματώδεις χυμοὶ ἐκ τῆς κεφαλῆς εἰς ψυχρὰν φύσει γαστέρα καταῤῥέῃ, ῥᾳστα τοῖς τοιούτοις βοήθεια γίγνεται, λαμβάνουσιν ἕωθεν τοῦ διὰ τριῶν πεπέρεων ἁπλοῦ φαρμάκου, καὶ πέπερι δὲ μόνον ἀκριβῶς λεῖον ὕδατι μίξαντα πίνειν ἐγχωρεῖ. κάλλιον δ' ἐστὶ καὶ εὐστομαχώτερον εἰς αὐτὰ τὸ λευκόν. ἀψινθίου δὲ πόσις ἐναντιωτάτη τοῖς οὕτω διακειμένοις. ἐμπλάττει γὰρ αὐτῶν τῇ γαστρὶ τὸν φλεγματώδη χυμόν, ὡς ἂν οὐκ ἔχον ἀξιόλογον ἐν ἑαυτῷ δύναμιν ῥυπτικήν. οὐ μὴν οὐδ' ἀλόη τούτους ὀνίνησιν ἑλκτικὴν δύναμιν ἔχουσα χολώδους χυμοῦ. καὶ διὰ τοῦτ' ἐπενοήθη καλῶς ἡ καλουμένη πικρὰ τῇ τῶν μιγνυμένων δριμύτητι καὶ θερμότητι, τέμνουσα καὶ ῥύπτουσα τοὺς παχεῖς καὶ γλίσχρους χυμούς, ὁποῖόν ἐστι τὸ κιννάμωμον, ἀλλ' οὐχ οἷόν τε τοιούτῳ φαρμάκῳ χρῆσθαι συνεχῶς, ὥσπερ τῷ διὰ τριῶν πεπέρεων, ἢ τῷ διὰ τῆς καλαμίνθης. εἰ γὰρ καὶ καθ' ἑκάστην ἡμέραν χρῷτο τούτοις, ὁ τὴν ψυχρὰν ἔχων γαστέρα βλάβης οὐδὲ μιᾶς πειραθήσεται. τὸ σύμπαν μὲν οὖν εἰς ρ. δραχμὰς τῆς ἀλόης, ἐξ ἑκάστου τῶν ἄλλων μίγνυται, ὄντων καὶ αὐτῶν ἕξ. καὶ αὕτη γ' ἐστὶν ἣν

ἅπαντες ἐν Ῥώμῃ σκευάζουσι πικράν. ἐγὼ δὲ καὶ δύο ἄλλας συντίθημι. ἐπὶ μὲν τῇ ἑτέρᾳ αὐτῶν πλείονα μιγνὺς τὰ θερμαίνοντα, ἐπὶ δὲ τὴν ἑτέραν ἐλάττονα. πλείονα μὲν οὖν τἆλλα ἐμβληθήσεται, τῆς ἀλόης μόνης ἀφελόντων ἡμῶν τοῦ πλήθους, ὡς εἰς π. ἀλόης δραχμάς, ἐμβάλλεσθαι τῶν ἄλλων ἑκάστου τὰς ἕξ. ἐλάττονα δέ, τῆς ἀλόης τὸ πλῆθος αὐξησάντων, κ. δραχμαῖς, καὶ εἰς ρ καὶ κ. τῆς ἀλόης ἑκάστου τῶν ἄλλων ἐμβάλλειν ἕξ. εὔδηλον δὲ ὅτι κινναμώμου τις ἀπορῶν, ἐμβάλλει κασίας τῆς ἀρίστης τὸ διπλάσιον. ἔνιοι γοῦν εἰς τοσοῦτον ἥκουσι τῆς κασίας τῆς ἀρετῆς, ὡς μηδὲν ἀποδεῖν ἀτόνου κινναμώμου. τῆς γὰρ εὐτόνου, καὶ ἡ τοιαύτη κασία, πολλῷ λείπεται. ἀλλ' ὥσπερ ὅταν ἀποροῦμεν ἄρτου καλοῦ τὸν φαυλότατον ἐσθίομεν, οὕτω καὶ κασίας τῇ καλλίστῃ χρησόμεθα ἐπὶ τὴν ἀπορίαν τοῦ κινναμώμου. ἐφ' ὧν μὲν οὖν σωμάτων ἤτε γαστήρ ἐστι ψυχρά, ἤτοι γ' εὔκρατος μέν, ἀλλ' ἐπὶ τὸ ψυχρότερον ῥέπουσα, ἐπιτήδειόν ἐστι τὸ διοσπολιτικὸν καλούμενον φάρμακον. ὃ καὶ αὐτὸ διττῶς εἴωθα συντιθέναι. τοῖς μὲν ἐπεχομένοις τὴν γαστέρα, νίτρου τοῦ βερνικαρίου καλουμένου μιγνὺς ἴσον τῷ τε κυμίνῳ καὶ τῷ πηγάνῳ, καὶ τῷ πεπέρει. τοῖς δ' εὔλυτον ἔχουσιν, ἥμισυ. συμπεφώνηται γὰρ ὑπὸ τούτου τοῦ φαρμάκου, λεπτύνεσθαι μὲν τὸ φλέγμα καὶ φυσώδη πνεύματα ἐκκενοῦσθαι, χαλεπὴ δ' ἐστὶ καὶ δυσμεταχείριστος ἡ ἐπιπλοκὴ τῆς δυσκράτου ἐπὶ θερμοτάτης γαστρὸς τῇ ψυχρᾷ κεφαλῇ. τὸ μὲν γὰρ φλέγμα τὸ καταρρέον εἰς τὴν γαστέρα, χρήζει τοῦ διὰ τῶν τριῶν πεπέρεων τε καὶ καλαμίνθης, ὥσπερ γε καὶ τοῦ προειρημένου διοσπολιτικοῦ. τὸ δὲ στόμα τῆς γαστρὸς ὑπὸ τῶν ἐκπυρούντων βλάπτεται. τέμνειν οὖν τῶν οὕτω διακειμένων καὶ ἀπορρύπτειν τὸ φλέγμα, πειρᾶσθαι χρὴ διὰ τῶν μὴ θερμαινόντων, ὁποῖόν ἐστι καὶ ὀξύμελι. χαλεπὴ δὲ καὶ δυσδιάθετος ἐστὶν ἐπιπλοκή, καὶ ἡ τῶν τοιούτων κατασκευῶν τοῦ σώματος, ἐν αἷς ἄτονον μέν ἐστι καὶ ναυτιῶδες τὸ στόμα τῆς κοιλίας, ὃ δὴ καὶ στόμαχον ὀνομάζουσιν, ἴσχεται δέ, ὅσα γὰρ αὐτὴν προτρέπει, πάντα ἀνατρέπει τὸν στόμαχον, ὡς ἐπιπολάζειν τε αὐτοῦ τὰ σιτία, καὶ ναυτίαν ἐργάζεσθαι πολλάκις, οἷς ἐξ ἀνάγκης ἕπεται τὸ μὴ πέττεσθαι καλῶς τὴν τροφήν. ἐὰν δὲ πάλιν εὐστόμαχα διδῷς αὐτοῖς ἐδέσματα καὶ γ. καὶ δ. ἡμέρας ἡ γαστὴρ ἐπέχεται. τοῖς τοιούτοις οὖν ἓν εἶδος εὗρον διαίτης ἁρμόττειν, ἐν ἀρχῇ προσφερόμενα λάχανά τε δι' ἐλαίου καὶ γάρου, καὶ τἆλλα ὅσα μαλάττειν εἴωθε τὴν γαστέρα, μετὰ δὲ τὴν αὐτάρκη τροφὴν ἐπιλαμβάνουσι τι τῶν τονούντων τὸν στόμαχον, ἔστι δὲ δὴ μῆλόν τε καὶ ἄπιον, καὶ ῥοιά. ἔνια γάρ ἐστι τοιαῦτα γένη χωρὶς ὀξύτητος στύφοντα. αὐτὸς δὲ ὁ ἄνθρωπος ἁπάντων αὐτῶν ἐν μέρει πειρασθείς, ὅπερ ἂν ἀβλαβέστατόν τε καὶ ἥδιστον εὑρίσκει τούτῳ χρήσθω. μὴ † παχὺ δὲ μηδὲ τούτων ἑκάστου

† αλ. παχυ

λαμβάνειν, ἀλλ' ὅσον ὡς ἔφην ἰᾶσθαι τὴν ἀτονίαν τοῦ στομάχου. τῆς γὰρ τοιαύτης αὐτῶν χρήσεως ἐπειράθην εὐλυτοῦν ἐργαζομένης τὴν κοιλίαν, καὶ μᾶλλόν γε τοὐπίπαν οἱ οὕτω διακείμενοι διαχωροῦσιν ἐπιφαγόντες τι τῶν στυφόντων ἢ εἰ μηδ' ὅλως ἐχρήσαντο. τονωθὲν γοῦν αὐτῶν τὸ στόμα τῆς κοιλίας, ὠθεῖ κάτω τὰ ἐπιπολάζοντα, καὶ σὺν αὐτοῖς, τὰ καθ' ὅλην τὴν ἄνω γαστέρα, καὶ τήν γε φορὰν τῶν σιτίων ὑποδεχόμενα, τὰ ἔντερα, διαφυλάττει, προωθοῦντα καὶ αὐτά, τὸ περιγινόμενον ἐκ τῶν ὑπερκειμένων εἰς αὐτά. φαίνεται γὰρ ἡ προωστική τε καὶ ἀποκριτικὴ δύναμις, κἂν ἐκ τῶν περὶ τὴν ἕδραν χωρίων ὁρμήσῃ τι πρὸς τὴν ἄνω φοράν, ἄχρι πλείστου διαφυλάττουσα, καίτοι παρὰ φύσιν οὔσης ἐν ζῴῳ τῆς τοιαύτης ὁδοῦ. ὅτι δὲ ἀληθές ἐστιν ὃ λέγω, πάρεστι μαθεῖν ἑκάστῳ τῶν πολλάκις ἡμῖν συμβαινόντων ἀναμνησθέντι. δακνώδης γοῦν ἐνίοτε χυμὸς εἰς τὰ περὶ τὴν ἕδραν χωρία παραγινόμενος ἐρεθίζει μὲν ἡμᾶς ἐπὶ τὴν ἔκκρισιν αὐτῶν, κατασχεῖν δὲ αὐτῶν ἀναγκασθέντες, ἐπειδὰν ἐν πολιτικαῖς ὦμεν πράξεσιν, ἀπαλλαγέντες αὐτῶν, οὐκέτ' ἀποκρινόμεθα αἰσθανόμεθά τε πολλάκις ἐκ τάχους τῆς κεφαλῆς ὀδυνηρᾶς γινομένης, ἀνατρεπόμενοι. εὐλόγως οὖν εἰ καὶ τοῖς ὑπακτικοῖς σιτίοις ἐπιπολαζομένου στομάχου, τὰ στύφοντα ληφθέντα τόνον, ἐμποιήσαντα τοῖς ἄνω μέρεσι τῆς γαστρός, ἀρχὴν τῆς κάτω φορᾶς ἐργάζεται τοῖς ἐν αὐτῷ περιεχομένοις, ἣν διαδεχόμενα τὰ ἔντερα μέχρι τοῦ κάτω πέρατος εἴωθε φυλάττειν. αὐτάρκως οὖν εἰρημένων τούτων, ὥρα μεταβαίνειν ἐπ' ἄλλην κατασκευὴν ἀνώμαλον, οὐδὲν μιᾶς τῶν πρόσθεν ἀπολειπομένην τῇ κακίᾳ, καθ' ἣν οἱ μὲν νεφροί, λίθους, ἢ πώρους, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλῃς, γεννῶσιν. ἡ δὲ τοῦ σώματος ἅπαντος φύσις ἰσχνὴ τετύχηκεν οὖσα. χρήζουσι μὲν γὰρ οὗτοι φαρμάκων καὶ διαιτημάτων λεπτυνόντων, ἐναντιώτατα δ' ἐστὶ ταῦτα, τοῖς ἰσχνοῖς σώμασιν. ὥστε τις τῶν χρωμένων αὐτοῖς διὰ τοὺς νεφρούς, δυσκινήτων τε καὶ δυσαισθήτων καὶ ὥσπερ ψοφούντων τι καπνηρόν, ὡς αὐτὸς ὠνόμαζεν, αἰσθανόμενος τῶν δακτύλων, ἐκοινώσατο μὲν τὰ πρῶτα τοῖς περὶ τὴν Καμπανίαν ἰατροῖς ἔνθα διέτριβεν, οἱ δὲ ὡς καταχομένου αὐτοῦ ἐπὶ διαθέσει, παράλυσιν ἀπειλούσῃ, τοῖς δι' εὐφορβίου καὶ λιμνήσεως, ἣν ἀδάρκην τε καὶ ἀδάρκιον ὀνομάζουσιν, ἐχρῶντο φαρμάκοις. ὡς δὲ πολὺ χείρων ἡ διάθεσις ἐγένετο, καὶ προσανέβαινεν ἀεὶ τὰ συμπτώματα, τοῖς ὑπερκειμένοις μέρεσι μετὰ τοῦ σφόδρα ὀδυνᾶσθαι, κατὰ τύχην ἐπιδημήσαντί μοι τὴν Καμπανίαν, δηλώσας ὁ κάμνων τὰ συμβάντα παρεκάλει βοηθεῖν. ἐγὼ δὲ ὅτι μὲν ἐκ τῶν φαρμάκων ὧν εἶπον ὑπερξηρανθείς, εἰς τοιαύτην ἥκει διάθεσιν, συνῆκα. ζητῶν δὲ τίνα ἄν τις αὐτῷ δίαιταν εὕροι, καθ' ἣν ἄνευ τοῦ βλάπτεσθαι τοὺς νεφρούς, ἰάσεται τῆς ξηρότητος, πτισάνης τε χυλὸν ἐπενόησα, καὶ τῶν ἰχθύων τοὺς πετραίους τε καὶ πελαγίους, ὅσοι δ' ἄλλοι μηδὲν ἔχουσι γλίσχρον. οὕτω δὲ καὶ τῶν πτηνῶν ζώων, ὅσα παραπλήσιον ἔχει τὴν σάρκα. πολλὰ δ' ἐστὶ τῶν ὀρείων ὀνομαζομένων ὀρνίθων τοιαῦτα ταῖς κράσεσιν. ὅσα γὰρ ἐν ταῖς πόλεσι κατακλείσαντες ὑγραῖς καὶ πολλαῖς τροφαῖς πιαίνουσιν οἱ τὰ τοιαῦτα καπηλεύοντες, ἐναντιώτατα τούτοις ἐστί. ἀρίστη δ' ἡ σὰρξ εἰς τὰς τοιαύτας διαθέσεις ἐστὶν ὡς τῶν ὀρνίθων περδίκων. ἐπ' αὐτὰ δὲ τῶν ἀτταγήνων, καὶ ψάρων, καὶ κοττύφων, καὶ κιχλῶν. ἐὰν δὲ ἀπορῶμεν ὀρείων ὀρνίθων, ἐκ τῶν ἐν τοῖς ἀγροῖς τρεφομένων καί, τῶν περὶ τοὺς πύργους περιστερῶν νομάδων λαμβάνειν προσήκει. καθάπερ γε καὶ τῶν ἐν τοῖς πύργοις νεοττευόντων στρουθίων, οὓς ὀνομάζουσι πυργίτας. ἔστωσαν δὲ ἐν ὑψηλοῖς χωρίοις οἱ τοιοῦτοι τῶν ὑγρῶν, οὕτω γὰρ καὶ ταῖς ἀλεκτορίσι καὶ τοῖς ἀλεκτρυόσι τοῖς ἐπὶ τὰς ἐπαύλεις τρεφομένοις ἔνεστι χρῆσθαι. γάλακτος δὲ τοῦ μὲν τῶν ἄλλων ζώων, εἴργειν τοὺς οὕτω διακειμένους, μόνῳ δ' ἐπιτρέπειν χρῆσθαι τῷ τῶν ὄνων, ἐπειδὴ λεπτομερέστερόν ἐστι τοῦ τῶν ἄλλων. καὶ συνελόντι φάναι μεταξύ, τῆς τε λεπτυνούσης διαίτης, καὶ τῆς παχυνούσης εἶναι χρή. τὴν δὲ τούτοις ἁρμόττουσαν τὴν κατὰ μέρος ὕλην, ἐν τοῖς περὶ τῶν τροφῶν δυνάμεων ὑπομνήμασιν ἔγραψα, καὶ προσέτι τῷ περὶ τῆς εὐχυμίας τε καὶ κακοχυμίας. διὸ καὶ μηκύνειν ἐν τῷ παρόντι περιττόν, ἀρκεῖ γὰρ τοῦτο μόνον εἰπεῖν, ὡς κατὰ τῆς τοῦ ὅλου σώματος ἀνατρέψεως ἐπὶ τῶν τοιούτων προνοεῖσθαι χρή, δι' ἧς ἔμπροσθεν

εἶπον

ἄπορον ἀγωγῆς ἡνίκα ἐμνημονεύομεν τοῦ πάντα μᾶλλον ὑπομένοντος παθεῖν, ἢ πτωχεῦσαι. πάχεος δὲ ὄντος τοῦ λιθιῶντος ἀνθρώπου, θαῤῥῶν ἂν προσφέροιο τῇ λεπτυνούσῃ διαίτῃ. τὰ δ' αὐτὰ νόμιζε καὶ περὶ τῶν ἀρθριτικῶν προειρῆσθαι. πίνοντες γὰρ κἀκεῖνοι τὰς ἀρθριτικάς τε καὶ ποδαγρικὰς ἀντιδότους, οἱ μὲν εὔσαρκοι καὶ παχεῖς καὶ πιμελώδεις, οὐδὲν βλάπτονται. λεπτοὶ δὲ ὑπάρχοντες, ὅλον τε τὸ σῶμα ξηραίνοντες, καὶ πόδας αὐτῶν, ἐνίοτε καὶ τὰς χεῖρας, εἰ πρότερον ἐπεπόνθεσαν, εἰς χαλεπωτάτην ἄγουσι διάθεσιν. εἰδέναι μέντοι χρὴ τὰς ποδαγρικὰς ταύτας ἀντιδότους πολλῷ τῶν νεφριτικῶν διαλλάττειν. οὐ μόνον γὰρ λεπτύνειν τοὺς παχεῖς καὶ γλίσχρους χυμούς, ἀλλὰ καὶ θερμαίνειν τε καὶ ξηραίνειν. ἐπὶ γάρ τοι τῶν νεφριτικῶν, οὐδὲ τὴν ἀρχὴν ὅσα θερμαίνει σφοδρῶς διδόναι χρή. λέλεκται δὲ τελέως δηλονότι περὶ τῶν τοιούτων, ἁπάντων ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ, καὶ ταῖς περὶ τῶν φαρμάκων, διτταῖς οὔσαις καὶ ταύταις, προτέρας μὲν τῇ τάξει τῆς τῶν ἁπλῶν, δευτέρας δὲ τῆς τῶν συνθέτων, ὥστε μηδ' ὅλως, οὔτ' ἐπὶ πλέον μεμνῆσθαι προσήκει, διὰ τὸ καὶ τὰ τοιαῦτα σώματα μεταξὺ τῶν τε ἀκριβῶς ὑγιαινόντων καὶ τῶν ἤδη νοσούντων εἶναι. τὸ γάρ τοι προφυλακτικὸν ὀνομαζόμενον μέρος τῆς ἰατρικῆς τῶν οὕτω διακειμένων προνοεῖται σωμάτων. οὐδένα γοῦν τῶν ἄμεμπτον ἐχόντων τὴν τοῦ σώματος ἕξιν, οὔτ' ἀξιοῦμεν φάρμακα πίνειν οὔτε λεπτυνούσῃ διαίτῃ χρῆσθαι. τοὺς δὲ διὰ φυσικὴν ἀσθένειαν, ἤ τι τοῦ σώματος ἅπαντος ἢ μορίων τινῶν ἑτοίμως βλαπτομένους, εἰς τὴν προφυλακτικὴν ὀνομαζομένην ἀγωγὴν ἀξιοῦμεν ἕλκεσθαι, τῆς ὑπόπτου διαίτης ἀφισταμένους, ὑφ' ἧς οὐδὲν ὁρῶμεν βλαπτομένους ὅσοι καλῶς κατεσκευασμένοι τὰ σώματα φύσει διαπονεῖν οὐκ ὀκνοῦσι τὰ μέτρια. τοῖς μέντοι ῥᾳδίως πάσχουσιν, ὡς καὶ τοῖς μεγάλοις νοσήμασιν ἐμπίπτειν συνεχῶς, οἷον τοῖς ἐπιληπτικοῖς δή, καὶ σκοτωματικοῖς, καὶ κεφαλαλγικοῖς, ἔτι τε τοῖς ἄλλοις ἐφ' ὧν ἡ κεφαλὴ τοῖς ὑποκειμένοις μορίοις αἰτία γίγνεται τῶν συμπτωμάτων, ἐν οἷς εἰσιν ὀδόντες, οὖλά τε καὶ κίων, καὶ συλλήβδην εἰπεῖν, ἅπαντα τὰ περὶ τὸ στόμα, καὶ τὸν φάρυγγα μόρια, καὶ πρὸς αὐτοῖς ὦτα, καὶ ὀφθαλμοί, καὶ στόμαχος, καὶ κοιλία, καὶ τὰ πνευματικὰ μόρια, λάρυγξ, καὶ ἀρτηρία τραχεῖα, καὶ πνεύμων, καὶ θώραξ, ὁ σκοπὸς τῶν διαιτημάτων κοινός, αὐτὴν μὲν καὶ πρώτην καὶ μάλιστα τὴν κεφαλὴν ἐργάζεσθαι δυσπαθῆ. μετὰ ταῦτα δὲ καὶ τῶν βλαπτομένων μορίων προνοεῖσθαι, γινώσκοντας ὡς καὶ τοῦτ' αὐτὸ πάλιν ἑτέρου δεῖται διορισμοῦ. λέγω δὲ τοῦ μὴ πάντα ῥωννύναι τὰ βλαπτόμενα μόρια. ἄριστος δὲ διορισμὸς ὁ εἰς τὴν χρείαν αὐτῶν ἀναγόμενος. ὀφθαλμῶν μὲν γὰρ καὶ ὤτων, ἡ χρεία μεγάλη, καὶ διὰ τοῦτο προσήκει τῶν ἐκ τῆς κεφαλῆς περιττωμάτων εἰς αὐτὰ φερομένων, τὴν ὑφ' Ἱπποκράτους ὀνομαζομένην παροχέτευσιν ἐργάζεσθαι. μάλιστα μέν, ἐπὶ ῥῖνα περισπῶντα τὸ φερόμενον ἐπ' αὐτά. ταύτης δ' οὐχ ὑπακουούσης, εἰς τὸ στόμα διὰ τῶν ἀποφλεγματιζόντων φαρμάκων, ὥσπερ γε καὶ ἐπὶ τὴν ῥῖνα διὰ τῶν πταρμοὺς κινούντων, ὅσα τε πρὸς τὰς ἐμφράξεις αὐτῶν ἁρμόττει. ὀφθαλμοὺς τε τονώσεις, τῷ διὰ τοῦ φρυγίου λίθου χρώμενος ξηρῷ κολλυρίῳ τοῖς βλεφάροις ἐπάγων τὴν μήλην, χωρὶς τοῦ προσάπτεσθαι τοῦ περὶ τὸν ὀφθαλμὸν ἔνδον ὑμένος. οὕτω γοῦν πράττουσιν ὁσημέραι καὶ στιμμιζόμεναι αἱ γυναῖκες. εἰς δὲ τὴν τῶν ὤτων ῥώμην, ἀρκεῖ μὲν καὶ τὸ γλαύκιον μόνον ἀνατριβόμενον ἐπ' ἀκόνης σὺν ὄξει, κἄπειτα διὰ μήλης ἐγχεόμενον ἀτρέμα χλιαρόν, ἢ διὰ τούτου δὴ τοῦ συνήθους ὀργάνου, καλουμένου δὲ ὑπὸ πάντων ὠτεγχύτης. κἄπειτα δὲ ἂν ἤδη τοι δοκῇ τονοῦσθαι καλῶς. ὡς μηδὲν ἐπιῤῥεῖν αὐτοῖς, συνεχῶς ἐνστάζειν ναρδίνου μύρου τοῦ ἀρίστου. πρότερον μὲν ἐν Λαοδικείᾳ μόνῃ τῆς Ἀσίας σκευαζομένου καλλίστου, νυνὶ δὲ καὶ κατ' ἄλλας πόλεις. ἔτι δὲ μᾶλλον, τὸ διὰ γλαυκίου καλούμενον κολλύριον ὀνήσει τε καὶ ῥώσει τὰ ὦτα, καὶ τὸ διὰ ῥόδων, καὶ τὸ κροκῶδες, καὶ τὸ νάρδινον, καὶ τὸ δι' οἴνου, καὶ τῶν μύρων τὰ ἐν Ῥώμῃ σκευαζόμενα ταῖς πλουσίαις γυναιξίν, ἃ φουλιατά τε καὶ σπικᾶτα προσαγορεύουσιν. εἰ δὲ πολὺ συνεχῶς ἐπὶ τὰ ὦτα φέροιτο τὸ ἀπὸ τῆς κεφαλῆς ῥεῦμα, καὶ πῦον, καὶ ἕλκωσις ἤδη γεγονυῖα τύχοι, τὴν μὲν ἕλκωσιν διά τε τοῦ ἀνδρωνίου φαρμάκου καὶ τῶν ὁμοίων ἐκθεραπευτέον. ἐν αὐτῷ ταῦτα πράττειν, ἀντισπαστέον ἐπὶ ῥῖνά τε καὶ στόμα, καὶ μετὰ ταῦτα τοῖς εἰρημένοις χρηστέον. ὥσπερ δὲ ὑπὸ τῶν ἐκ τῆς κεφαλῆς καταῤῥεόντων βλάπτεται πολλάκις πολλὰ τῶν ὑποκειμένων, οὕτω δὲ δι' ἧπαρ, ἢ νεφρούς, ἢ σπλῆνα νόσοι συμβαίνουσιν ἑτέροις μορίοις ἀσθενεστέροις αὐτῶν. ἐδείχθη γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἕκαστον μόριον ἑλκτικὴν τῶν οἰκείων αὐτοῦ χυμῶν ἔχον δύναμιν, ὅταν ἀλλοιοῦσαν, τε κἀξομοιοῦσαν εἰς τροφὴν καταχρῆται, καί τινι πάλιν ἑτέρᾳ δυνάμει τὸ περιττὸν ἀποκρίνειν ἐφιέμενον εἴς τι τῶν πλησίον. κἂν μὲν οὖν αὐτὸ τὸ πεπονθὸς εὔῤῥωστον ἔχῃ τὴν ἕξιν τοῦ σώματος, οὐδ' ἔχεται τὸ πεμπόμενον. ὥστ' ἐν τῷ πρώτῳ παθόντι μόνον ἐκείνῳ τῷ μορίῳ συνεχῶς πάσχοντα τὸν ἄνθρωπον ἀπέδειξεν. ἐὰν δ' ἀσθενέστερον ᾖ κατά τι τοῦ πέμποντος, ἐδέξατο μέν, αὖθις δὲ ὠθεῖ πρός τι καὶ αὐτὸ τῶν ἀσθενεστέρων, κἀκεῖνο πάλιν εἰς ἄλλο, μέχρις ἂν εἴς τι τῶν οὐδὲν ἐχόντων ἀσθενέστερον ἑαυτοῦ κατασκήψει τὸ περιττόν. κατὰ τοῦτον μὲν οὖν τὸν λόγον ἄλλῳ μέρει συνεχῶς ἐνοχλεῖται τῶν ἀμελῶς διαιτωμένων. τοῖς δὲ μηδὲν ἀθροίζουσι περιττόν, ἀβλαβὲς ἀεὶ μένει τὸ ἀσθενές. ἀπόδειξις δὲ τούτου σαφεστάτη τὸ δι' ἑξαμήνων ἢ πλειόνων ἐνίους ἐνοχλεῖσθαι τοῖς ἀσθενέσι μορίοις. εἰ γὰρ αὕτη μόνη ἦν ἀσθένεια τὴν βλάβην διὰ παντὸς ἂν ἔπασχε τὸ ἄῤῥωστον μόριον. ὡς ἄν γε διαπαντὸς ἔχον ἐν αὐτῷ ἐνυπάρχουσαν τοῦ πάσχειν αἰτίαν. ἐπεὶ τοίνυν οὐ πάσχει διὰ παντός, εὔδηλόν ἐστι, καὶ ἄλλο τι προσέρχεσθαι τὸ συμπληροῦν τοῦ παθήματος αὐτοῦ τὴν γένεσιν. ὅπερ οὐδὲν ἕτερόν ἐστι τοῦ περιττεύοντος, ἢ κατὰ τὸ πλῆθος, ἢ κατὰ ποιότητα, καὶ τοῦτό γε αὐτὸ τὸ περιττεῦον ἢ καθ' ὅλον ἀθροίζεται τὸ σῶμα καὶ καλοῦσι πληθώραν τὴν τοιαύτην διάθεσιν, ἢ ἔν τινι τῶν κυρίων μέν, ἀσθενῶν δὲ φύσει μορίων. ὅπερ ἤτοι γε ἐν αὐτῷ μένον, ἢ πρός τι τῶν ἀσθενεστέρων φύσει μορίων ἀποχωροῦν, τὴν βλάβην ἐργάζεται. σκεπτέον οὖν ἐστι καὶ διοριστέον αὐτὸ τοῦτο πρῶτον εἴτε δι' ἑαυτοῦ συνεχῶς νοσεῖ τὸ μόριον, εἴτε δι' ἄλλο τι πρότερον αὐτοῦ πάσχον. ἐνίοτε μὲν οὖν ἔξωθεν, ἡ βλάβη τοῖς ἀσθενέσι γίνεται μορίοις, ἤτοι ψυχθεῖσιν, ἢ θλασθεῖσιν, ἢ πληγεῖσιν, ἢ κοπωθεῖσιν, ὡς τὰ πολλὰ δὲ ἐπὶ τοῖς διαιτήμασι, πλῆθος ἢ κακοχυμίαν ἀθροίζουσι. προσέχειν οὖν χρὴ τῷ μεγέθει τῆς φυσικῆς ἀσθενείας τοῦ μορίου διορισμῷ χρώμενον τοιῷδε. λεπτότερον χρὴ διαιτῆσαι τὸν ἄνθρωπον, ἢ πρόσθεν ἅμα τῷ δηλονότι καὶ τὰ προσήκοντα γυμνάσια γυμνάζεσθαι. φυλάττεσθαι δὲ καὶ τὴν ἀπὸ τῶν ἔξωθεν αἰτίων βλάβην. εἶτ' ἐὰν μὲν ἐπὶ τούτοις, μήτ' ἰσχνὸς γίγνηται, μήτε διοχλῆται τὸ ἄῤῥωστον αὐτοῦ

μόριον, ἐπιμένειν τοῖς διαιτήμασιν. ἐὰν δ᾽ ἤτοι λεπτύνηται πᾶσι τοῖς μέρεσιν, ἢ καί τι παχὺ τὸ φαύλως κατεσκευασμένον, ὑπαλλάττειν τὴν τοιαύτην δίαιταν. ἐὰν μὴ παχύνῃ δυνάμει θάτερον ἐργαζομένους, ἢ τὴν δίαιταν ἐπὶ τὸ λεπτότερον ἄγοντας, ἢ κενώσεσιν ἀραιαῖς χρωμένους. ἐνίοις μὲν οὖν, ἦρος εἰσβάλλοντος αὐτάρκης κένωσις μία καθ᾽ ἕκαστον ἔτος γιγνομένη, τισὶ δ᾽ ἐπιτήδες καὶ δευτέρας φθινοπωρινῆς γίνεται χρεία. πλῆθος μὲν οὖν ἀθροίζοντος τοῦ σώματος αἵματος, ἀφαιρέσει κενοῦν. κακοχυμίαν δὲ διὰ καθαίροντος φαρμάκου τὸν ἐπικρατοῦντα χυμόν. ἐὰν δὲ ἐπὶ τῇ προσηκούσῃ διαίτῃ μηδὲν παχύνῃ τὸ μόριον, ἰσχναίνηται δὲ τὸ σῶμα, τῇ πιττώσει χρηστέον ὡς ἔμπροσθεν εἴπομεν. εἰς ἀνάτρεψιν ἕξεως λεπτυνούσης. μοχθηροτάτη δὲ σώματός ἐστι, καὶ ἡ διὰ δὲ σπέρμα πολὺ καὶ θερμὸν ἔνιοι γεννῶσιν, ἐπείγει γὰρ αὐτοὺς εἰς ἀπόκρισιν, οὗ μετὰ τὴν ἔκκρισιν, ἔκλυτοί τε γίγνονται τῷ στόματι τῆς κοιλίας, ὃ καὶ αὐτὸ καλεῖται στόμαχος, οὐ μόνον ὑπὸ τῶν ἰατρῶν, ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων ἁπάντων ὥσπερ ὑπὸ τῶν παλαιῶν ἐκαλεῖτο καρδία, καὶ τῷ σώματι δὲ παντὶ καταλύονταί τε, καὶ ἀσθενεῖς γίγνονται καὶ ξηροὶ καὶ λεπτοὶ καὶ ὠχροί, καὶ κοιλοφθαλμιῶντες, οἱ οὕτω διακείμενοι. εἰ δὲ ἐκ τοῦ ταῦτα πάσχειν ἐπὶ ταῖς συνουσίαις, ἀπέχοιντο μίξεως ἀφροδισίων, δύσφοροι μὲν τὴν κεφαλὴν δύσφοροι δὲ καὶ τῷ στομάχῳ καὶ ἀσώδεις, οὐδὲν δὲ μέγα διὰ τῆς ἐγκρατείας ὠφελοῦνται. συμβαίνει γὰρ αὐτοῖς ἐξονειρώττουσι παραπλησίας γίνεσθαι βλάβας, ἃς ἔπασχον ἐπὶ ταῖς συνουσίαις. ὡς δέ τις ἐξ αὐτῶν ἔφη μοι δακνώδους τε καὶ θερμοῦ πάνυ τοῦ σπέρματος αἰσθάνεσθαι κατὰ τὴν ἀπόκρισιν. οὐ μόνον ἑαυτόν, ἀλλὰ καὶ τὰς γυναῖκας αἷς ἂν ὁμιλήσῃ. τούτῳ τοίνυν ἐγὼ συνεβούλευσα, βρωμάτων μὲν ἀπέχεσθαι τῶν γεννητικῶν σπέρματος, προσφέρεσθαι δὲ οὐ βρώματα μόνον, ἀλλὰ καὶ φάρμακα τὰ τούτου σβεστικά. λέλεκται δὲ αὐτῶν ἡ ὕλη, κατά τε τὰ περὶ τροφῶν καὶ τὰ τῶν ἁπλῶν φαρμάκων ὑπομνήματα. γυμνάζεσθαι δὲ γυμνάσια, τὰ διὰ τῶν ἄνω μορίων μᾶλλον ὁποῖόν ἐστι, τό τε διὰ τῆς σμικρᾶς σφαίρας, καὶ τὸ διὰ τῆς μεγάλης, καὶ τὸ διὰ τῶν ἁλτήρων. μετὰ δὲ τὸ λουτρόν, ὅλην τὴν ὀσφὺν ἀλείφεσθαι τῶν ψυχόντων τινὶ χρισμάτων. ἔστι δὲ τὰ τοιαῦτα, τό, τε καλούμενον ὠμοτριβὲς καὶ ὀμφάκινον ἔλαιον. ῥόδινόν τε καὶ μήλινον ἐκ τοιούτου γεγονὸς ἐλαίου. συνέθηκα δ᾽ αὐτὸς ἐνίοις καὶ παχύτερα τῇ συστάσει χρίσματα, πρὸς τὸ μὴ ῥᾳδίως ἀπορρεῖν. ἡ δὲ σύνθεσις αὐτῶν ἐστι, διά τε κηροῦ καὶ τινὸς ἄλλου τῶν ψυχόντων γιγνομένη. τὸν πρῶτον δὲ τὸ καλούμενον ὑπὸ τῶν ἰατρῶν κηρέλαιον ποιήσας, εἶτ᾽ ἐν θυίᾳ μαλάξας ταῖς χερσὶν ἱκανῶς, ἐπίχει τὸν ψύχοντα χυλὸν ἐπὶ πλεῖστον ὡς ἑνωθῆναι. τὴν δ᾽ ὕλην τῶν τοιούτων χυλῶν, ἐν τῇ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ, γεγραμμένην ἔχετε. προχειρότατοι δὲ αὐτῶν εἰσὶ ῥᾷστοι πορισθῆναι, οἵ τε τῶν ἀειζώων, καὶ τοῦ στρύχνου, κοτυληδόνος τε καὶ ψυλλίου, καὶ πολυγόνου, καὶ τριβόλου, καὶ ἀνδράχνης. οὐκ ἀνίησι δὲ αὕτη χυλὸν ἐὰν μὴ κοπτομένης ἐν ὅλμῳ προσεγχέηταί τις ἄλλου ὑγροῦ καὶ λεπτοῦ καὶ ὑδατώδους τῆς συστάσεως, καὶ γλίσχρου καὶ πάχεος. ὥσπερ ὁ τῆς καὶ ὄμφακός τε καὶ τῶν ῥόδων, ἀλλ᾽ οὗτοι μὲν, ἐν τῷ θέρει. τῶν δ᾽ ἄλλων πολλοὶ καὶ κατὰ τὰς ἄλλας ὥρας εἰσὶν ὥσπερ αἱ ὁ τῆς θριδακίνης τῶν ψυχόντων καὶ αὐτὸς ὑπάρχων, ἀλλὰ καὶ τὸ λινόσπερμον ἑψόμενον ἐν ὕδατι ψύχοντα χυλὸν ἐργάζεται. γυμναστῶν δέ τινα τῶν ἀθληταῖς ἐπιστατούντων ἐθεασάμην μολυβδίνην λεπίδα ταῖς ψόαις ὑποβάλλοντα τοῦ ἀθλητοῦ. πρὸς τὸ μὴ ἐξονειρώττειν αὐτόν, καί τινι τῶν οὕτω πασχόντων ἰδιωτῶν, ἐδήλωσα, καὶ χαίρειν ἔγνω τῇ χρήσει τοῦ δηλωθέντος. ἕτερος δέ τις ἀσθενεστέραν ἔχων τὴν φύσιν τῆς σαρκός, οὐκ ἠνείχετο τῆς τοῦ μολίβδου σκληρότητος, ᾧ συνεβούλευσα τῶν εἰρημένων ἄρτι βοτανῶν ὑποστρωννύσθαι τινάς. ἀναμιγνύναι δὲ αὐταῖς, καὶ ἄγνου κλῶνας ἁπαλούς, καὶ πηγάνου, ἤσθετό τε παραχρῆμα τῆς ἐξ αὐτῶν ὠφελείας, ὡς χρῆσθαι τοῦ λοιποῦ διαπαντός. ἀλλὰ καὶ συνεχῶς ἐσθίειν τὸ σπέρμα τοῦ ἄγνου συμβουλεύσαντός μου καὶ τούτου χαίρειν εἴδει ἐμοί, καθάπερ καὶ τοῦ πηγάνου. τῶν μὲν οὖν τοιούτων ἡ ὕλη κατά γε τά τε τῶν ἁπλῶν φαρμάκων ὑπομνήματα, καὶ τὰ ἐν τῷ περὶ τῶν τροφαῖς δυνάμεων εἴρηται. νυνὶ δ᾽ ἀναγκαῖον εἶναι μοι δοκεῖ προσθεῖναι τῷ λόγῳ, φυλάττεσθαι τὰ σφοδρῶς ψύχοντα. καθάπερ ὅσα διὰ μήκωνός τε καὶ μανδραγόρου γίνεται χρίσματα. μήτε γὰρ τούτων τι προσφέρειν, μήτε ὅταν ἀκμάζει ὑποστρώννυσθαι τὰ φυτά. καθάπερ γε τοῖς προειρημένοις, οὕτω καὶ τούτοις ἐστὶν ὑποστρώμασι χρῆσθαι, καὶ ῥόδων ἠξίωσά τινα πειραθῆναι, καὶ ὀνήσατο δὲ οὕτως ὑποστρωννὺς αὐτὰ χωρὶς βλαβῆναί τι κατὰ τοὺς νεφρούς. ἐπενόησα δέ τι καὶ ἄλλο τοῖς οὕτω διακειμένοις χρήσιμον ὡς ἐκ τῆς πείρας ἐμαρτυρήθη. ταύτην γὰρ ἀεὶ κριτήριον ἔχειν τῶν ἐπινοηθέντων, καὶ μηδὲν γράφειν ὡς χρήσιμον ὅταν τις αὐτὸ οὐκ ἐπειράθη. πλὴν εἰ παραγράφοιτο τοῦτο αὐτό. πεπειρᾶσθαι † δὲ μή δέ πω. τί οὖν ἐστιν ὃ ἔφην ἐπινοήσαντός μου μεγάλης ὠφελείας φράσω, παραφυλάττειν ἔφην χρῆναι τοὺς τοιαύτῃ κατασκευῇ σώματος ἐνοχλουμένους, ἡνίκα μάλιστα φαίνονται πλῆθος ἠθροικέναι σπέρματος, ἀποκρίσεως δεόμενον, ἐν ἡμέρᾳ τινὶ διαιτηθέντας, εὐχύμως τε καὶ μετρίως, χρῆσθαι μὲν ἐπὶ τῷ δείπνῳ τρεπομένους εἰς ὕπνον τῇ συνουσίᾳ. κατὰ δὲ τὴν ἑξῆς ἡμέραν, ὅταν αὐτάρκως ἔχωσιν ὕπνου, διαναστάντας ἀνατρίψασθαι σινδόνι, μέχρις ἂν ἐρυθρόν τι σχῇ τὸ δέρμα. κἄπειτα τινὶ δι᾽ ἐλαίου τρίψει συμμέτρως χρησαμένους, εἶτα μὴ πολὺ διαλείποντας, ἄρτον εὔζυμον κλιβανίτην καθαρόν, ἐξ οἴνου κεκραμένου προσενηνεγμένους, οὕτως ἐπὶ τὰς συνήθεις ἔρχεσθαι πράξεις. ἐν τῷ μεταξὺ τῆς τε δι᾽ ἐλαίου τρίψεως, καὶ τῆς δι᾽ ἄρτου προσφορᾶς, εἰ χωρίον ἔχει τι πλησίον ἐμπεριπατῆσαι τοῦτο, πλὴν εἰ κρύος εἴη χειμέριον, ἄμεινον γὰρ ἔνδον μένειν τηνικαῦτα. ταύτην μέντοι τὴν διὰ τῆς ἐδωδῆς ῥῶσιν τοῦ στομάχου, καὶ γραμματικῷ τινὶ συνεχῶς ἁλισκομένῳ σπασμοῖς ἐπιληπτικοῖς συνεβούλευσα, καὶ μεγάλως ὤνησε, μάλιστα δ᾽ αὐτὸν ὠφελῆσαι ἤλπισα, πυθόμενος παρ᾽ αὐτοῦ τὸ τῶν σπασμῶν σύμπτωμα, τότε περιπίπτειν, ὅταν ἐπὶ πλεῖον ἄσιτος διαμείνῃ, καὶ μᾶλλον ἐπανιενόντων μεταξὺ λύπης ἢ θυμοῦ, καὶ μέντοι καὶ τὴν ἕξιν αὐτοῦ τοῦ σώματος ἑώρων, ἐρωτώμενός τε συνεχῶς, ἐκχολοῦσθαι τὸν στόμαχον ὡμολόγει. κοινὴν δέ τινα συμβουλὴν ἅπασι τοῖς ταῦτα ἀναγνωσομένοις, ἰδιώταις μὲν τῆς ἰατρικῆς οὐκ ἀγυμνάστοις δέ, τὸν λογισμὸν ὑποτίθεσθαι τοιῶσδε. μὴ καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων, ὡς ἄλογα ζῷα διαιτῶνται, καὶ αὐτοὺς οὕτως ἔχειν, ἀλλὰ καὶ διὰ τῆς πείρας κρίνειν, τινὰ μὲν αὐτοὺς ἐδέσματά τε καὶ πόματα βλάπτει. τίνες δὲ καὶ πόσαι κινήσεις. ὁμοίως δὲ καὶ περὶ χρήσεως ἀφροδισίων ἐπιτηρεῖν, εἴτε ἀβλαβής ἐστιν αὐτοῖς, εἴτε βλαβερά, καὶ διὰ πόσων ἡμερῶν χρωμένοις, ἀβλαβής τε καὶ βλαβερὰ γίγνεται. καθάπερ γὰρ ἱστόρησα μεγάλως βλαπτομένους ἐνίους, οὕτως ἑτέρους ἀβλαβεῖς διαμένοντας, μέχρι γήρως ἐπὶ ταῖς χρήσεσιν αὐτῶν.

† αἰ. δὴ

οὗτοι

οὗτοι μὲν οὖν ἐναντίοι καθ' ἕτερον τὸ γένος, οἵ τε μεγάλως βλαπτόμενοι, καὶ οἱ μηδὲν ἀδικούμενοι. τὸ δὲ μεταξὺ πᾶσιν, ἐν ᾧ μᾶλλον τε καὶ ἧττον εἰς τὸ πολὺ τῶν ἀνθρώπων ἐκτέταται πλῆθος. ὧν τοῖς πεπαιδευμένοις. οὐ γὰρ οἱ τυχόντες γε ταῦτα γνώσονται, συμβουλεύω παραφυλάττειν ὑπὸ τινων ὠφελοῦνται, καὶ βλάπτονται. συμβήσεται γὰρ οὕτως αὐτοῖς εἰς ὀλίγα δεῖσθαι τῶν ἰατρῶν, μέχρι ἂν ὑγιαίνουσιν. τούτων ἤδη γεγραμμένων ἀναγνούς τις τῶν ἑταίρων ὅλον τὸ βιβλίον, ἐν τῷ τῶν πρόσθεν ἀναληφθέντων, ὕστερον δὲ ῥηθησομένων παραλελεῖφθαι μοι τελέως ἔφη τὸ διὰ χυλὸν τῶν μήλων φάρμακον, ἐπιτήδειον εἴς τε τὰς ὀρέξεις τοῖς ἀνορέκτοις, καὶ τὰς πέψεις, τοῖς μὴ καλῶς πέττουσι, καὶ συνελόντι φάναι τὴν γαστέρα ῥωμαλεωτέραν ἐργαζόμενον. ἐπαινέσας οὖν αὐτὸν ἀναμνήσαντα, προσθήσω τῷ λόγῳ τὴν σκευασίαν αὐτοῦ, τοιαύτην οὖσαν τῶν κυδωνίων μήλων τὰ μείζω τε καὶ ἡδίω, καὶ ἧττον στρυφνά, ἃ στρούθια καλοῦσιν οἱ κατὰ τὴν ἡμετέραν ἀσίαν ἕλληνες, ἐκ τούτων τοῦ χυλοῦ λαβόντας ξέστας ῥωμαικοὺς δύο, χρὴ μῖξαι, μέλιτος ὅτι κάλλιστον τὸ ἴσον μέτρον. ὄξους δέ, ξέστην α. καὶ ταῦτα ἐπ' ἀνθράκων διακεκαυμένων προεψήσαντα μετρίως, καὶ προαφεψήσαντα. μῖξαι ζιγγιβέρεως. ℥ γ'. πεπέρεως δὲ τοῦ λευκοῦ δύο, καὶ οὕτως πάλιν ἐπὶ τῶν ὁμοίως διακεκαυμένων ἀνθράκων, ἑψῆσαι μέχρι μελιτώδους συστάσεως, ἐν οἷα καὶ τὰ† στομαχικὰ τῶν φαρμάκων σκευάζεται. τοῦτο τὸ φάρμακον ἐν τοῖς ἄτονον ἔχουσι τὸ ἧπαρ ὠφελιμώτατόν ἐστιν. οὐ δῆλον δὲ ὅτι μάλιστα μὲν αὐτὸ νῆστιν ὄντα προσφέρεσθαι χρή, πλῆθος ὅσον ἂν ἡ μύστρου συμμέτρου τῷ μεγέθει. βλάπτει δὲ οὐδὲν οὐδὲ ἐὰν μετὰ τροφὴν τις αὐτὸ λαμβάνοι. καλῶς δ' ἂν προσφέροιτο, καὶ εἰ προκειστικῶς τις εἴη. εἶτα δειπνεῖν μέλλων, προσλάβοι. κάλλιστος δὲ καιρός, ἡ πρὸ δυοῖν ἢ τριῶν ὡρῶν τῆς τροφῆς. εἰ δὲ ὑπηκτικώτερον αὐτὸ βούλοιο ποιῆσαι, καὶ διὰ τοῦ χυλοῦ τῶν κυδωνίων μήλων σκεύαζε. τοῖς μέν τοι δύσκρατον ἔχουσι κατὰ θερμότητα τὴν γαστέρα, καὶ τοῖς ὁπωσοῦν πληρουμένοις χολῆς, ἀφελὼν τό, τε ζιγγίβερι, καὶ τὸ πέπερι τὸν χυλὸν τῶν μήλων δίδου, μετ' ὄξους τε καὶ μέλιτος ἑψήσας μόνον ἐν τῇ προγεγραμμένῃ συμμετρίᾳ. ὅσαι δὲ μέσαι πέρ εἰσι κατὰ τὴν κρᾶσιν γαστέρες, ὡς μήτε χολῶδες ἀθροίζειν περίττωμα, μήτε φλεγματῶδες, ἥμισυ τῆς προειρημένης συμμετρίας. τοῦ τε ζιγγιβέρεως. ἐμβαλεῖν, καὶ τοῦ πεπέρεος μέν. ℥ α. ζιγγιβέρεως δέ, μίαν καὶ ἡμίσειαν. ὅσαι δὲ δυσκρασίαι κατὰ ψυχρότητα, τέτταρας μὲν τοῦ ζιγγιβέρεως οὐγγίας. τοῦ πεπέρεως δέ, τρεῖς, ἢ δύο καὶ ἡμίσειαν. ἔξεστι δέ σοι καὶ κατὰ τὴν μέσην συμμετρίαν σκευάζοντι, προσβάλλειν ἐπὶ τῆς χρήσεως τοῦ πεπέρεως. οὕτω μὲν οὖν προνοητέον ἐστί, τῶν ἐν διαφέρουσι μορίοις τοῦ σώματος, ἐναντίας ἐχόντων κράσεις. ὅσοι δὲ καθ' ἑνὸς ὁτιοῦν ἤτοι γε ὁμοιομερὲς ἢ ὀργανικὸν ἀνώμαλον ἔχουσι κρᾶσιν, ἕτερος ἐπ' αὐτοῖς εἰρήσεται λόγος.

ΓΑΛΗΝΟΥ ΠΡΟΣ ΘΡΑΣΥΒΟΥΛΟΝ ΠΟΤΕΡΟΝ ΙΑΤΡΙΚΗΣ Η ΓΥΜΝΑΣΤΙΚΗΣ ΕΣΤΙ ΤΟ ΥΓΙΕΙΝΩΝ.

ΟΥΚ ἄλλα μὲν ὦ Θρασύβουλε πρᾶγμα περὶ τοῦ προβληθέντος ὑπὸ σοῦ ζητήματος εἶπον, ἄλλα δὲ συγγράψεσθαι τοῖς ὑπομνήμασιν ἔχω. πάντως γάρ που γινώσκεις, ὡς ἀεί τε τὰ αὐτὰ περὶ τῶν αὐτῶν διεξέρχομαι καὶ ὡς εἰς οὐδὲν ἐπιχειρῶ λέγειν, ὧν οὔτε μέθοδον ἔμαθον, οὔτ' ἐγυμνασάμην πω κατ' αὐτὴν ἀρχὴ τοίνυν εὑρέσεως, οὐ τούτῳ μόνῳ τῷ νῦν προκειμένῳ σκέμματι, τὸ γνῶναι τί ποτ' ἐστὶν τὸ ζητούμενον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν αὐτὸ δὲ δὴ τοῦτο τὸ γνῶναι, διττόν ἐστιν. ἢ γὰρ τὴν ἔννοιαν μόνην τοῦ πράγματος, ἢ καὶ τὴν οὐσίαν γινώσκομεν. ὅπῃ δ' ἀλλήλων ταῦτα διαφέρει, γέγραπται μὲν ἐπὶ πλέον ἐν τοῖς περὶ ἀποδείξεως, ἵνα περ καὶ τὰς ἄλλας ἁπάσας μεθόδους ἐκτιθέμεθα. γένοιτο δ' ἂν καὶ νῦν δῆλον διὰ αὐτῆς τῆς χρήσεως. ὄντος γοῦν τοῦ προβλήματος τοῦ δέ, πότερον ἰατρικῆς ἢ γυμναστικῆς ἐστι τὸ καλούμενον ὑγιεινόν, καὶ σοῦ διὰ ταῦτα ἀξιώσαντος ἀκοῦσαι τὴν ἐμὴν ὑπὲρ αὐτοῦ δόξαν, ὅτι πολλάκις ἰατροῖς τε καὶ γυμνασταῖς ἔφησθα παραγεγονέναι διαμφισβητοῦσιν, ἀποκρίνεσθαί μοι πρότερον ἠξίωσά σε, τίνα ποτὲ τὴν ἔννοιαν ἑκάστου τῶν ὀνομάτων ἔχεις ἰατρικῆς τε καὶ γυμναστικῆς καὶ ὑγιεινοῦ, μή πού σὺ μὲν ὑπὲρ ἄλλων πραγμάτων ἀκούειν ποθεῖς, ἐγὼ δ' ὑπὲρ ἄλλων σοι διαλέγομαι, κἄπειτα πρὸς τοὔνομα μόνον ὁ λόγος ἡμῶν, οὐ πρὸς αὐτὸ γίγνεται τὸ πρᾶγμα. σὺ μὲν οὖν πρὸς τοῦτ' ἀπεσιώπησας, οἰόμενος ἐμὲ χρῆναι λέγειν ὑπὲρ ἁπάντων ἅπαντα. τὸ δ' ἀληθές, οὐχ ὧδ' ἔχει. πολλὰ γὰρ ἂν εἴς οὐχ ἓν προβεβληκώς. πρῶτον μὲν τί ποτ' ἐστὶν ἰατρική, δεύτερον δὲ τί ποτε γυμναστική, καὶ τρίτον ἐπὶ τούτοις τί ποτε τὸ ὑγιεινόν, ἢ τοῦτο δὴ τὸ μάλιστα προβεβλημένον, ὁποτέρας ἂν εἴη, καί σοι τοῦτ' αὐτὸ τὸ τέταρτον, οὐχ ἁπλῶς, ἔφασκον δεῖν οὕτως προβάλλειν, ὁποτέρας εἴη αὐτῶν τῶν τεχνῶν τὸ ὑγιεινόν ἀλλ' εὐθὺς προστιθέντας, εἴτ' ἴδιον, εἴτ' οἰκεῖον, εἴτε μέρος εἴθ' ὁπωσοῦν ἄλλως ἐθέλοι τις. ἔσεσθαι γὰρ ἵνα κἀνταῦθα ἀρχὴν τῆς εὑρέσεως τῶν ζητουμένων. προβληθέντος γοῦν αὐτοῦ τελέως ὧδέ πως, καὶ νὴ δί' ἐρωτηθέντος, ἆρά γε τῆς ἰατρικῆς ἐστὶν ἢ τῆς γυμναστικῆς τὸ ὑγιεινόν, ἐπειδὰν δὲ ἑκάστῳ τῶν τριῶν ἐκείνων ὀνομάτων εἴπω μὲν τὸ σημαινόμενον, ἰατρικῆς τε καὶ γυμναστικῆς καὶ ὑγιεινοῦ, δεήσει τέταρτον ἐπ' αὐτοῖς ἐξηγήσασθαι τὸ οἰκεῖον ὅ, τι σημαίνει, καὶ τίς ὁ κανὼν αὐτοῦ τῆς διαγνώσεως. ἀλλὰ τοῦτο μὲν ἴδιον αὐτοῦ τοῦ προβλήματος ὑπάρχει. τὸ δ' ἰατρικὴν ἐξηγήσασθαι τί ποτ' ἐστὶν καὶ γυμναστικὴν καὶ ὑγιεινόν, οὐκ ἴδιον μὲν τοῦ προβλήματος ὑπάρχει, ὁμολογεῖσθαι δ' ἀναγκαῖον. ὅθεν ἐπειδὴ τοῦθ' ἓν μόνον, ὃ καὶ προὔβαλες σὺ διελθεῖν, ἐβουλήθης τό τε, καί σε κινδυνεύειν ἐν ταῖς ἀποκρίσεσιν ἑώρων ὀκνοῦντα τινὰ τῶν γεγυμνασμένων ἐν λογικῇ θεωρίᾳ φιλοσόφων ἐπιφανέντα πως τοῖς λόγοις κατὰ τύχην ἠξίου ἀποκρίνασθαί μοι. προθύμως δ' ἐκείνου τοῦτο ποιήσαντος, καὶ πάντα ὀρθῶς ἀποκριναμένου, ῥᾳδίως ὡς οἶσθα διεπεράνθη τὸ πρόβλημα, καὶ

μὴν κατάδηλος οἶδα, καὶ τό γε μὴν εὐθὺς, ἱκανῶς χαίρων ἐπὶ τῇ τῶν λόγων μεθόδῳ, καὶ θᾶττον ἢ κατὰ τὴν προσδοκίαν εὑρεθὲν τὸ ζητούμενον, ἐξ ὑστέρου τε προσκείμενος ἀεὶ λιπαρῶς ἐβιάσω τε καὶ κατηνάγκασας οὐ πάνυ μέντοι πρόθυμον ὄντα γράψασθαι τοὺς λόγους. ὅτι γὰρ ἐν τούτῳ τὸ πρόβλημα μόνον ἀκριβῶς ἐρευνηθὲν ὤμην χρῆναι διασώζειν ἐν γράμμασιν, οὐχ ὁμοίως δὲ ἤδη τὰ λοιπὰ πάντα διεξέρχεσθαι σχολὴν ἦγον. ὅθεν ὅπερ αὐτὸς ἐπ᾽ ἐμαυτοῦ πράξας ἔτυχον, ἱκανὸν ὤμην ἔσεσθαι καὶ πρὸς ὑμᾶς τοὺς φίλους δεῖξαι, τὴν ὁδὸν ᾗ χρώμενος ἄν τις, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὰ ἄλλα πάντα διαιρεῖται προβλήματα. τὴν γὰρ λογικὴν ὀνομαζομένην παρὰ τοῖς φιλοσόφοις θεωρίαν, ὅς τις ἂν ἱκανῶς ἀσκήσῃ, πᾶν οὗτος ὁμοίως δυνήσεται μεταχειρίζεσθαι ζήτημα. τὸ δ᾽ ἄνευ ἐκείνης ἀναγινώσκειν ὑπομνήματα προβλημάτων, οὐδὲν ἄλλο, ἢ χρόνον ἀπολλύειν ἐστὶν, ὅτε κρίνειν εἰδότα, τίνα μὲν ἐν αὐτοῖς ἀληθῶς εἴρηται, τίνα δὲ ψευδῆ, οὔτε πάντων τῶν γεγραμμένων μνημονεύειν δυνάμενον. ἀλλ᾽ ἐπειδὴ κατέστην ἅπαξ εἰς τὸ λέγειν περὶ τοῦ προβλήματος, ὅπερ ὀλίγον ἔμπροσθεν ὁ λόγος ἔδειξεν, ἄρχεσθαι δεῖ, καὶ νὴ δί᾽ εἴ τι ἐρωτηθεὶς, ὅ, τι πότ᾽ ἐστὶν ἰατρική, φαίη τέχνην εἶναι θεραπευτικὴν μὲν, νοσούντων, φυλακτικὴν δὲ, ὑγιαινόντων, ἄντικρυς ἂν οὗτος δοκείη τὸ ζητούμενον εἰληφέναι, μέρος αὐτῆς ἀποφαίνων τὸ ὑγιεινόν, ὥσπερ ἂν καὶ ὅς τις ἰατρικὴν μὲν ἀρρωστούντων μόνον εἶναι λέγει τὴν ἰατρικήν, ἑτέρῳ τρόπῳ καὶ οὗτος ἐξ ἑτοίμου λαμβάνει τὸ ζητούμενον, ἀφαιρῶν αὐτῆς τὸ ὑγιεινόν, οὕτω δὲ καὶ τὴν γυμναστικὴν, εἴ τις ὑγείας φυλακτικὴν φήσειεν, ἐκ προχείρου τὸ ζητούμενον λήψεται, ὥσπερ γε καὶ ὃς ἂν εὐεξίας αὐτὴν ἀποφαίνηται δημιουργόν, ἑτέρῳ τρόπῳ καὶ ὅδε τὸ ζητούμενον ὡς ὁμολογούμενον θήσεται. χρὴ γὰρ, εἴθ᾽ ὁρισμόν τις τῆς τέχνης, εἴθ᾽ ὑπογραφὴν ἐγχειρήσειεν ἀποδιδόναι, μήτε τὸ ζητούμενον ἀναποδείκτως τοῦτον ἀναιρεῖν, ἢ τίθεσθαι, ἀλλ᾽ ἑτέρωθεν ποθὲν ἐξ ὁμολογουμένων ἀρξάμενον, ἀποδεικνύναι πειρᾶσθαι, ἆρ᾽ οὖν ἄμεινον ἰατρικὴν μὲν εἶναι λέγειν, ἧς τέλος ἡ ὑγιεία, γυμναστικὴν δὲ, ἧς τέλος εὐεξία, καὶ ταύτας τὰς ὑπογραφὰς, ἀρχὰς τίθεσθαι τῆς ζητήσεως. ἀλλά τοι καὶ οὕτως, ἐκ προχείρου μὲν τῆς γυμναστικῆς ἀφαιρησόμεθα τὸ ὑγιεινόν, ἐπὶ δὲ αὖ τῆς ἰατρικῆς, ἔτ᾽ ἄδηλόν τε καὶ ζητούμενον ἀπολήψομεν. εἰ γὰρ δὴ τέλος ἡ ὑγεία τῆς τέχνης ἐστὶ ταύτης, τάχ᾽ ἂν ἔχοι λαβεῖν ὁ λόγος εἰς διορισμόν, οὐ φυλακὴν τῆς οὔσης, ἀλλὰ ποίησίν τε καὶ γένεσιν τῆς οὐκ οὔσης, τέλος εἶναι τιθέμενος αὐτῆς. εὐπορία γὰρ εἰς ἑκάτερον ἐντεῦθεν ἐπιχειρεῖν ἐπαγωγαῖς χρώμενον, εἰ μὲν τῆς αὐτῆς τέχνης, τό, τε ποιῆσαί τι πρότερον οὐκ ὄν, καὶ τὸ φυλάξαι σῶον, ἐπειδὰν γένηται δεικνύναι βουληθείημεν, οἰκοδομικῆς τε καὶ ναυπηγικῆς καὶ τεκτονικῆς τε καὶ χαλκευτικῆς μνημονεύοντες. εἰ δ᾽ ἄλλης μὲν τὸ δημιουργεῖν, ἄλλης δὲ τὸ διαφυλάττειν σῶον, ὑφαντικῆς τε καὶ ῥαπτικῆς, καὶ πρὸς ταύταις, σκυτοτομίας τε καὶ νευρορραφίας, οὕτω γὰρ ὀνομάζουσιν τὴν τὰ πεπονηκότα τῶν ὑποδημάτων ἐπανορθουμένην. ἄλλου μὲν γὰρ εἶναι δοκεῖ τεχνίτου ποιεῖν ἱμάτιον, ἄλλου δὲ ἠπήσασθαι ῥαγέν, ὥσπερ αὖ καὶ ὑπόδημα δημιουργῆσαι μὲν τοῦ σκυτοτόμου, πονῆσαν δὲ, ἐπανορθώσασθαι τοῦ νευρορράφου. δέδεικται δὲ ἡμῖν ἐν τοῖς περὶ ἀποδείξεως, ὡς οὐ χρηστέον ἐπαγωγαῖς εἰς ἀποδείξεις ἐπιστημονικὰς, ὥσθ᾽ ὅς τις ἐν ἐκείνοις ἐγυμνάσατο καταφρονήσει μὲν τῆς τοιαύτης ὁδοῦ, ζητήσει δ᾽ ἑτέραν βελτίω. ὁ μὴ γυμνασάμενος δὲ, θάτερον τῶν μερῶν ἑλόμενος, ὁπότερον ἂν βουληθῇ, δι᾽ ὅλης ἡμέρας ἐρίζειν ἔχει, καὶ γὰρ αὖ καὶ ζήτημ᾽ ἄλλο πρὸς τοῖς εἰρημένοις οὐ σμικρὸν ἀναφύσεται, τῆς μὲν ἰατρικῆς ὑγιείας ποίησιν οὐ σωτηρίαν τε καὶ φυλακὴν ὑποθεμένοις τὸ τέλος, τῆς γυμναστικῆς δὲ τὴν εὐεξίαν. ἀναγκασθήσεται γάρ τις οἶμαι, καθάπερ ἐπὶ τῆς ὑγείας, οὕτω κἀπὶ τῆς εὐεξίας, ἑτέραν μὲν τὴν φυλακτικὴν αὐτῆς τέχνην ἀποφαίνειν, ἑτέραν δὲ τὴν δημιουργικὴν, ἀλλ᾽ εἰ τοῦτο, δύο ἄλλας τέχνας ἐξ ἀνάγκης ζητήσομεν, ἑτέραν μὲν τῆς ἰατρικῆς, τὴν τῆς ὑγείας φυλακτικὴν, ἑτέραν δὲ τῆς γυμναστικῆς, τὴν τῆς εὐεξίας διασωστικὴν, καὶ μὲν δὴ καὶ διττῆς οὔσης τῆς εὐεξίας, ὡς ἐν ἄλλοις ἀποδέδεικται, ποτέρας αὐτῶν ἡ γυμναστικὴ δημιουργός ἐστιν, χαλεπὸν ἔσται διελεῖν, ἆρά γε τῆς κατὰ φύσιν, ἢ τῆς ἀθλητικῆς, ἢ δῆλον, καὶ δύο ἄλλας ἡμῖν τέχνας ἀναγκαῖον ἐστὶ ζητεῖν, καὶ δὴ, καὶ σύμπασαι τὸν ἀριθμὸν ἓξ γενήσονται, τρεῖς μὲν αἱ δημιουργοῦσαι τὰ τέλη, τρεῖς δὲ αἱ φυλάττουσαι. τριῶν γὰρ ὑποκειμένων τελῶν ὑγιείας, εὐεξίας τῆς κατὰ φύσιν, εὐεξίας τῆς τῶν ἀθλητῶν, εἰς τοσοῦτον ἀνάγκη τὸν ἀριθμὸν ἐξήκειν τὰς τέχνας. καὶ μὴν εἴπερ δὲ διαφέρειν τὰς εὐεξίας ἀλλήλων τε καὶ τῆς ὑγιείας διαφόρων δεήσονται τῶν τεχνῶν, ἀνάγκη πᾶσα, καὶ τῆς ὑγιείας οὔσης διττῆς, ἑτέρας μὲν τῆς καθ᾽ ἕξιν, ἑτέρας δὲ τῆς κατὰ σχέσιν ὀνομαζομένης, διττὰς εἶναι καὶ τὰς τέχνας. οὐ γὰρ δὴ πλέονι μὲν ἡ εὐεξία τῆς καθ᾽ ἕξιν ὑγείας, ἐλάττονι δὲ, τῆς κατὰ σχέσιν ὑπερέχει. γνοίης δ᾽ ἂν ἐναργῶς ἑκάστης αὐτῶν ἐπιμελῶς ἀνασκεψάμενος τὴν φύσιν. ἀνασκέψῃ δὲ τὸν δὲ τὸν τρόπον. ἡκέτω τις εἰς ἔννοιαν σοι νῦν ὧν ἐθεάσω πολλάκις ἀρρώστων, ἰσχυρῶς μὲν διανοσησάντων, ἀπηλλαγμένων δὲ ἄρτι τοῦ νοσεῖν, οὗτος ἰσχνός τε καὶ ἀδύνατος εἰς τὰς κινήσεις ὡς ἑτέρων δεῖσθαι τῶν μετακοσμιόντων, οὗτος ἰάσεως μὲν οὐκ ἔτι χρήσει, μηκέτι γε νοσῶν, ἀνατρέψεως δέ τινος καὶ ῥώμης, ἵν᾽ ἰσχυρός τε ἅμα καὶ πρὸς τὰς κατὰ φύσιν ἐνεργείας γένηται, καὶ φέρειν ἱκανὸς τὰ προσπίπτοντα. δῆλον γὰρ ὡς οὕτω διακείμενος, ὡς διάκειται νῦν ὁπότε πρότερον ἀπήλλακται τοῦ νοσεῖν, οὔτε θάλπος, οὔτε κρύος, οὔτε ἀγρυπνίαν, οὔτ᾽ ἀπεψίαν, οὔτε ἄλλο τῶν πάντων οὐδὲν ἐνεγκεῖν ἱκανός ἐστι, ἀλλ᾽ ἐκ τοῦ ῥᾷστου νοσήσει πάλιν, ὡς ἂν οὐκ ἀσφαλῆ τε καὶ μήπω πεπηγυῖαν κεκτημένος τὴν ὑγιεινὴν κατάστασιν. ἀλλ᾽ εἴπερ δύσλυτος γένοιτο, καὶ καθ᾽ ἕξιν, οὔπω μὲν ἐστὶν εὐεξία. τὸ γὰρ εὖ προσλαβοῦσα, τότ᾽ ἂν εὐεξία γένοιτο, τοῦ μέντοι μεμπτὴ τις εἶναι καὶ ἄχρηστος διάθεσις ἀπήλλακται. τὸ γὰρ μήτε ἐνεργεῖν δύνασθαι κατὰ τὸν βίον ἱκανῶς, ἑτοίμως τε βλάπτεσθαι, μεμπτὴ καὶ ἄχρηστος διάθεσις. εἰ δὲ μήτε εἰς τὰς πράξεις ἐμποδίζοιτο, μήθ᾽ ἑτοίμως βλάπτοιτο, τοιαύτη δ᾽ ἐστὶν ἡ καθ᾽ ἕξιν ὑγίεια, τοῦ μὲν μηκέτ᾽ εἶναι μεμπτὴ καὶ ἄχρηστος, εἰς τὰς κατὰ τὸν βίον ἐνεργείας ἀπήλλακται, τὸ δ᾽ ἐπαινετὸν οὔπω κέκτηται, κτήσαιτο δ᾽ ἂν, εἰ καὶ πρὸς τὸ μηκέτ᾽ ἀσθενῶς ἐνεργεῖν ἔτι, καὶ ῥώμην τινὰ ἀξιόλογον προσλάβοιτο. μέση γὰρ ἡ καθ᾽ ἕξιν ὑγίεια ταῖς ἐνεργείαις ἐστὶ τῆς τε κατὰ σχέσιν ὑγιείας καὶ
† αἱ. ἡ. ἡ. ἡ. τῆς εὐεξίας † εἰ μὲν γὰρ κατὰ σχέσιν, ἀρρώστους ἔχει τὰς ἐνεργείας. † εἰ δὲ εὐεξία, ῥωμαλέας. † εἰ δ᾽ αὖ καθ᾽ ἕξιν, οὔπω μὲν εὐρώστους, ἀρρώστους δ᾽ οὐκ ἔτι. καὶ νῦν δὲ δῆλον, ὡς εἰ καὶ μέση τέτακται πλέον τῆς κατὰ σχέσιν ὑγείας,

χρήσιμος

χρήσιμος εἰς τὰς πάσας τοῦ βίου τὰς πράξεις ἐστὶν ἡ καθ᾽ ἕξιν, οὐ μὴν ἤδη τὸ κατ᾽ ἀρετὴν ἔχουσα. μόνη γὰρ τοῦθ᾽ ὑπάρχει τῇ εὐεξίᾳ. καί μοι νόει κατὰ στίχον τινά, τὸ μὲν βλάβην ἐνεργείας, ὅπερ ἐν τῷ νοσεῖν γίγνεται, ἕτερον δὲ ἔξω μὲν τῆς βλάβης, ἀχρήστου δ᾽ ὑπ᾽ ἀσθενείας ὅπερ ἐν τῷ κατὰ σχέσιν ὑγιαίνειν, ἄλλο δὲ τρίτον ἀσθενείας μὲν ἀπηλλαγμένον, εὐρωστίας δὲ οὔπω κεκτημένον, ὅπερ ἐν τῷ καθ᾽ ἕξιν, ἐφ᾽ ᾧ τέταρτον, οἷον ἀρετή τίς ἐστι τῶν ἐνεργειῶν ἡ εὐεξία. καὶ ἡ ἀκρότης τε καὶ ἡ τελειότης αὐτῶν, ἡ ἐπ᾽ ἄκρον ἐστὶν αὐτῶν εὐεξία. εἰ τοίνυν εἰς ἕξιν ὑγιεινὴν ἄγουσα τέχνη τὸν ἄνθρωπον, ἑτέρα δηλονότι τῆς ἰωμένης αὐτὸν ὑπάρξει, συγκεχωρημένου γε ἅπαξ τοῦ τε τὸ δεῖν ἐπὶ διαφόροις τέλεσι, διαφόρους εἶναι τὰς τέχνας, τοῦ τε τὸ δύο καθ᾽ ἕκαστον, ἑτέραν μὲν τὴν δημιουργοῦσαν, ἑτέραν δὲ τὴν διαφυλάττουσαν, ὃ καὶ δῆλον ὡς ἡ περὶ τέλους ἔννοια περιείληφεν ἅπασαν τὴν νῦν ἡμῖν προκειμένην ζήτησιν, καὶ διὰ τοῦθ᾽ ὅσοι τῶν ὁρισμῶν ἀπὸ τοῦ τέλους τὴν σύστασιν ἔχουσιν, οὐ σμικρὰς γεννῶσιν ἀπορίας. ἴσως οὖν ἄμεινον, ἐπ᾽ αὐτὴν ἀφικομένους τὴν οὐσίαν τῆς τέχνης, ἀρχὴν τῆς ζητήσεως ἐκείνην ποιήσασθαι. τίς οὖν ἐστιν ἰατρική; εἴποι τις ἄν, ἐπιστήμην ὑγιεινῶν τε καὶ νοσερῶν. ἀλλὰ κἂν τούτῳ δόξῃ προχείρως εἰλῆφθαι τὸ ὑγιεινόν, ὡς μέρος δηλονότι τῆς ἰατρικῆς ὑπάρχον. ὅθεν οἶμαι τοὺς τἀναντία τιθεμένους, ἐνίους μόνων τῶν νοσερῶν ἐπιστήμην εἶναι συγχωρήσουσι τὴν ἰατρικήν, ἀλλ᾽ οὗτοί γε πρῶτον μὲν ἀγνοοῦσιν, ὡς ἔστι μία τῶν ἐναντίων ἁπάντων ἐπιστήμη, καὶ ὅς τις γινώσκει τὰ νοσερά, τοῦτον ἀνάγκη πᾶσα μὴ ἀγνοεῖν τὰ ὑγιεινά, τοῦτο μὲν ὡς μεῖζον ἢ κατ᾽ ἐκείνους παρείσθω. λεγέσθω δ᾽ ἤδη τὸ δεύτερον ὧν ἀγνοοῦσιν, ὡς τάχα ἴσως ἀκολουθήσειεν, ὅτι μὴ περιλαμβάνεται κατὰ τὸν ὅρον τῆς ἰατρικῆς ἐξ ἀνάγκης τὸ ζητούμενον. ἔνεστι γὰρ τινὶ διαστειλαμένῳ τὴν ὁμωνυμίαν, εἶτα δείξαντι σωμάτων μὲν τῶν ἐχόντων ὑγείαν, καὶ σημείων τῶν δηλούντων, καὶ αἰτίων τῶν ποιούντων, ἐπιστήμην εἶναι τὴν ἰατρικήν, οὐ μὴν τῶν γε φυλακτικῶν αὐτὴν ἀντιλαμβάνεσθαι κατὰ τἀναντία τοῦ προβλήματος, ἐοίκασιν οὖν οἱ τὰ τοιαῦτα σοφιζόμενοι, μήτε τὸ ζητούμενον ἀκριβῶς ἐπίστασθαι, μήθ᾽ ὅτι καὶ σημεῖον ὑγιεινόν τι λέγομεν, ὃ τοῖς νοσοῦσιν ἐπιφαινόμενον, ὑγείας μελλούσης ἐστὶ γνώρισμα, μήτ᾽ αἴτιον, ὃ τοῖς νοσοῦσι προσαγόμενον ὑγείας ἐστὶ ποιητικόν, ὥσπερ ἀμέλει τὰ βοηθήματα σύμπαντα, μήθ᾽ ὡς καὶ τὸ δεδεγμένον ὑγίειαν σῶμα καλοῦμεν ὑγιεινόν, ὧν πάντων ἐπιστήμην ὁ ἰατρὸς ἔχει, μηδὲ κοινωνούντων τῷ προβλήματι, πλὴν ὀνόματι, καὶ γὰρ εἰ τῆς τῶν ὑγιαινόντων φυλακῆς, ὁ ἰατρὸς ἐπιστάτης ἐστίν, ἢ γυμναστοῦ τὸ τοιοῦτον ἴδιον, ἐξ ἀρχῆς ἡμῖν προὔκειτο ζητεῖν, ὥσπερ ὀλίγον ἔμπροσθεν ἐδείχθη, τὴν κρίσιν ἐν τῇ τοῦ τέλους ἔχειν ζητήσει. πότερον γὰρ ἁπλῶς ὑγεία τὸ τέλος ἐστὶν τῆς ἰατρικῆς, οὐδὲν διαφέρει, εἴτε ποιοῦντός τινος αὐτὴν οὐκ οὖσαν εἴτε φυλάττοντος οὖσαν. ἢ τὸ ποιῆσαι μὲν μόνον ἰατρικῆς ἐστιν, τὸ φυλάξαι δὲ τῆς γυμναστικῆς αὐτῆς. οὕτω καὶ περὶ γυμναστικῆς, ἆρά γε εὐεξία τὸ τέλος ἐστίν, ἢ ὑγίεια, ἢ ποίησις ὁποτέρου τούτων, ἢ φυλακή, κινδυνεύομεν γάρ, ὡς ὁ λόγος ἔδειξεν, ἐὰν ὑπερβῶμεν τὴν μίαν, ἑπτὰ ποιῆσαι περὶ τὸ σῶμα τὰς τέχνας, τὴν μὲν πρώτην καὶ σαφεστάτην καὶ σχεδὸν μόνην ἀναμφισβήτητον, ἰωμένην τὰ νοσήματα, δύο δ᾽ ἄλλας, τὴν μὲν ἐκ τῆς κατὰ σχέσιν ὑγιείας εἰς τὴν καθ᾽ ἕξιν ἄγουσαν, τὴν δὲ ἐν ταύτῃ φυλάττουσαν, καὶ δύο ἄλλας ὁμοίως περὶ τὴν εὐεξίαν, δημιουργικὴν μὲν τὴν ἑτέραν, φυλακτικὴν δὲ τὴν ἑτέραν, ἔτι τε πρὸς ταύτας, ἄλλας δύο περὶ τὴν ἀθλητικὴν εὐεξίαν. ἁπλῶς μὲν γὰρ τὴν ἑτέραν τὴν κατὰ φύσιν ὀνομαζομένην εὐεξίαν οὐχ ἁπλῶς δὲ τὴν οὐ φύσει τὴν ἀθλητικήν, ἀλλ᾽ ἀεὶ μετὰ προσθήκης, ὥσπερ καὶ Ἱπποκράτης, ὅτε μὲν ὧδέ πως λέγων, διαθέσιος ἀθλητικῆς οὐ φύσει, ἕξις ὑγιεινὴ κρείσσων. ὅτε δ᾽ αὖ πάλιν. ἐν τοῖς γυμναστικοῖς αἱ ἐπ᾽ ἄκρον εὐεξίαι, σφαλεραί, ἀλλ᾽ ἐν τοῖς ἀθλητικοῖς τε καὶ γυμναστικοῖς σώμασιν, ἀκούειν γάρ σε χρὴ γυμναστικὰ σώματα λέγεσθαι νῦν, οὐ τὰ τῶν ὁπωσοῦν γυμναζομένων, οἷον ἤτοι σκαπτόντων, ἢ ἐρεσσόντων, ἢ ἀμώντων, ἤ τι τῶν ἄλλων ὅσα κατὰ φύσιν ἀνθρώποις ἔργα πραττόντων, ἀλλ᾽ οἷς αὐτὸ τοῦτ᾽ ἐστὶν ἀγώνισμα τὸ γυμνάζεσθαι κατ᾽ ἀθλητικὴν τῶν ἀντιπάλων ἰσχὺν ἐπασκοῦσιν. διατί μὲν οὖν ἡ τοιαύτη διάθεσις οὐ φύσει, δι᾽ ἑτέρων ἐξηγούμεθα. τὸ δ᾽ οὖν ἐκ τοῦ λόγου χρηστὸν εἰς τὰ παρόντα τοῦτ᾽ ἐστὶν αὐτό, τὸ νῦν εἰρημένον, ὡς ἑπτὰ γίγνονται περὶ τὸ σῶμα τέχναι, ἑτέρα μὲν τῆς ἄκρας εὐεξίας δημιουργός, ἑτέρα δὲ τῆς αὐτῆς ταύτης φυλακτική. περὶ μὲν γὰρ τῆς τῶν γυμναστικῶν εὐεξίας, ὅτι χρὴ φεύγειν τε καὶ δεδιέναι τὴν ἀκρότητα πρὸς Ἱπποκράτους εἴρηται σαφέστατα. τῆς δ᾽ ἁπλῶς λεγομένης εὐεξίας τῆς κατὰ φύσιν, οὐχ ὅπως φυλάττεσθαι προσήκει τὸ ἄκρον, ἀλλὰ καὶ παντὶ τρόπῳ σπουδάζειν. οὕτως αἱ σύμπασαι γένοιντ᾽ ἂν ἐννέα περὶ τὸ σῶμα τέχναι, καὶ τούτων ἑπτὰ μέν, ἃς ἂν καὶ ἐπαινέσειας. αἱ δύο δ᾽ αἱ λοιπαί, κακοτεχνίαι δηλονότι, καθάπερ καὶ ἡ κομμωτική. ταύτας μὲν οὖν εἰ βούλει παραλίπωμεν, ἐπέλθωμεν δ᾽ αὖθις τὰς ἑπτά, τὴν μὲν πρώτην ἁπασῶν ἣν ἰᾶσθαι τὰς νόσους ἐλέγομεν, ἄλλας δ᾽ ἐφεξῆς αὐτῇ, δύο μὲν περὶ τὴν κατ᾽ ἕξιν ὑγίειαν, δύο δὲ περὶ τὴν εὐεξίαν, καὶ δύο ἄλλας περὶ τὴν ἄκραν εὐεξίαν. ἤδη μὲν οὖν καὶ τοῦτο δῆλον, ὡς εἰ καί τις θείη περὶ τὸ σῶμα τέχνην ἓν ἔχουσαν δηλονότι τὸ τέλος, ἀναγκαῖόν ἐστιν αὐτὴν μέχρι τῶν ἑπτὰ προϊέναι, καὶ ὡς οὐδὲν ἄλλο τὸ τέλος τοῦτ᾽ ἐστὶν παρὰ τὴν ὑγίειαν. ἄμεινον δ᾽ ἴσως ἀκριβέστερον ἀπεξελθεῖν τῷ λόγῳ, πρότερον μὲν τοῦτο ἀναμνήσαντας, ὃ μηδεὶς ἀγνοεῖ, τὰς μὲν κακοτεχνίας τὸ φαινόμενον ἀγαθὸν ἐκποριζομένας ἑκάστῳ τῶν ὄντων, τὰς τέχνας δὲ τὸ κατ᾽ ἀλήθειαν ἐν αὐτοῖς ὑπάρχον, ἐφεξῆς δὲ τούτῳ λέγοντας ὡς εἴπερ ἡ κομμωτικὴ καλουμένη νόθου κάλλους ἐστὶ δημιουργός, αὕτη ἂν μὲν εἴη κακοτεχνία τε καὶ κολακεία, τέχνη δέ τις ἑτέρα συστήσεται περὶ τὸ γνήσιόν τε καὶ ὄντως ἀληθινὸν κάλλος, ὅπερ ἐστὶν εὔχροιά τε, καὶ εὐσαρκία, καὶ συμμετρία τῶν μορίων, ἃ τῇ κατὰ φύσιν εὐεξίᾳ συμβέβηκεν. καὶ νὴ Δία ἄλλον μὲν λόγον τῆς γυμναστικῆς διωρισάμεθα, καὶ νῦν δ᾽ ἂν ἴσως ἐπὶ κεφαλαίων. οὐδὲν ἂν εἴη χεῖρον ὑπὲρ αὐτῶν εἰπεῖν, ἀρχὴν τῷ λόγῳ τήνδε ποιησαμένους. ἤτοι γὰρ τὸ κατὰ φύσιν ἐνεργεῖν ἑκάστῳ τῶν μορίων ὑγιαίνειν ἐστίν, ἢ τοῦτο μὲν ἐξ ἀνάγκης ἕπεται τῇ κατὰ φύσιν τοῦ σώματος κατασκευῇ, τὸ δ᾽ ὑγιαίνειν αὐτό, τοῦτ᾽ ἐστὶ τὸ κατὰ φύσιν κατασκευάσθαι, τούτων ὁπότερον ἂν ἐθελήσῃς ὑποθέμενος ὑγίειαν, οὐδὲν γὰρ εἰς παρόντα διαφέρει, τῶν ἑξῆς λόγων οὕτως ἄκουε προσέχων τὸν νοῦν. πότερα τοῦ κατασκευάσθαι κατὰ φύσιν ἕκαστον τῶν μορίων, ἢ τῆς ἐνεργείας αὐτοῦ χρῄζομεν; ἐμοὶ μὲν πάντες δοκοῦσιν, οὐδ᾽ ἂν ὅλως θελῆσαι μόριον ἔχειν οὐδὲν ἀργὸν ἔργου τινός, οὔτ᾽ οὖν ὀφθαλμοὺς μὴ βλέποντας, οὔτε ῥῖνας ὀσμᾶσθαι μὴ δυναμένας, οὔτε σκέλη μὴ βαδίζοντας οὔτ᾽ ἄλλο τῶν πάντων οὐδέν, ἢ μὴ δ᾽ ὅλως ἐνεργοῦν, ἢ κακῶς ἐνεργοῦν. οὐδενὸς γὰρ ἁπάντων ὧν χρῄζομεν ἀτελοῦς χρῄζομεν, οὔτ᾽ οἰκίας, οὔθ᾽ ὑποδήματος, σκίμποδος, οὔθ᾽ ἱματίου, ἀλλ᾽ ἅμα τε χρῄζομεν, καὶ τελείου χρῄζο-

μεν, οὕτως οὖν οὐδὲ τοῦ περιπατεῖν ἀσθενῶς καὶ ἀῤῥώστως, οὐδὲ τοῦ βλέπειν, ἢ ἀκούειν ἀμβλέως, οὔτ' ἄλλου τῶν πάντων οὐδενὸς ἐλλιποῦς ὀρεγόμεθα. τίς γὰρ εὔχροιαν, ἢ εὐσαρκίαν, ἢ κάλλος ἁπλῶς τοῦ σώματος, ἢ ῥώμην ἐλλιπῆ ἔχειν εὔχεται; καὶ μὴν ὥσπερ οὐκ ἐλλιποῦς ἐνεργείας, ἀλλὰ τελείας χρήζομεν, οὐδὲ τῆς κατασκευῆς τοῦ σώματος, ἀφ' ἧς ἐνεργοῦμεν, ἐλλιποῦς δεησόμεθα, τούτων δ' ἦν θάτερον ὑγίεια, δῆλον οὖν ὡς οὐδεὶς ἀτελοῦς ὑγιείας, ἀλλ' ὡς ἔνι μάλιστα τελειοτάτης ἅπαντες χρήζομεν. εἰ μὲν οὖν ἄλλο τι τὴν εὐεξίαν οἴεταί τις εἶναι παρὰ τὴν τελέαν ὑγίειαν, ἄλλην μὲν τέχνην ὑγιείας, ἄλλην δ' εὐεξίας ζητείτω, εἰ δὲ ἓν καὶ ταυτόν ἐστιν ἄμφω, μίαν ἀνάγκη καὶ τέχνην εἶναι. πῶς οὖν ἓν καὶ ταυτόν ἐστιν εὐεξία τε καὶ ἡ παντελὴς ὑγίεια, ἐπειδὴ τὴν ταύτης αἰτίαν κατασκευήν, τὴν αὐτὴν δήπου καὶ τῆς εὐεξίας εἶναι πεπιστεύκαμεν, ἄμφω ταυτὸν ἔσται. δεύτερον δὲ ἐξ αὐτῆς τῆς οὐσίας, εὐεξία μὲν γὰρ οὐδὲν ἄλλ' ἐστίν, ἢ εὖ ἔχουσα ἕξις, ἡ δὲ ἕξις, διάθεσίς ἐστι μόνιμος, ὥστε οὗπερ ἕξις, τοῦτο καὶ εὐεξία. πρός τι δ' ἄμφω. λέγεται δ' οὖν τις ἕξιν ἔχειν ἐν γραμματικῇ, καὶ ἄλλος ἐν ἀριθμητικῇ, καὶ ἄλλος ἐν γεωμετρίᾳ, καὶ ἄλλος ἐν ἀστρονομίᾳ. καὶ καθ' ἕκαστον τῶν ὄντων ὅταν ἡ διάθεσις δύσλυτος ᾖ, ἕξις ὀνομάζεται. διαφερέτω δὲ μηδὲν ἔν γε τῷ παρόντι, διάθεσιν ὀνομάζειν ἢ σχέσιν, ἐπεὶ οὖν οὗπερ ἕξις τοῦτο καὶ εὐεξία, τινὸς δὲ ἡ ἕξις δηλονότι, καὶ ἡ εὐεξία τινος, καὶ τοῦ αὐτοῦ γε οὗ καὶ ἡ ἕξις. ἀλλ' ἡμῖν νῦν οὐ περὶ τῆς γεωμετρικῆς ἕξεως, ἢ μουσικῆς, ἢ γραμματικῆς, ἀλλὰ περὶ τῆς ὑγιεινῆς ὁ λόγος ἐστίν. οὐκ οὖν ὅταν εἴπωμεν εὐεξίαν, οὐ γραμματικήν, ἢ μουσικήν, ἢ γεωμετρικήν, ἀλλ' ὑγιεινὴν λέγομεν, εὐθὺς δὲ αὐτὸ τοῦτο παρορῶσιν οἱ πολλοὶ καὶ νομίζουσιν τὸ τῆς εὐεξίας ὄνομα, τῷ τῆς ὑγιείας ὁμοίως λέγεσθαι, καίτοι τὸ μὲν τῆς ὑγιείας ὄνομα, διαθέσεώς τινος γάρ ἐστιν, τὸ δὲ τῆς εὐεξίας, οὐχ ἁπλῶς τὴν διάθεσιν, ἀλλὰ τὸ κατ' αὐτὴν ἄριστόν τε καὶ μόνιμον ἐνδείκνυται, ἀρίστη ἐστὶ ἕξις ἐκείνης τῆς διαθέσεως, ἣν ὑγίειαν ὀνομάζομεν, ἡ εὐεξίαν. οὐκ οὖν αὖθις γάρ που καὶ αὖθις ἀνάγκη ταυτὸν εἰπεῖν, εἰ μέλλει τις ἐξαιρήσεσθαι τὴν πολλῶν ἄγνοιαν παλαιάν, ὅτι διαθέσεως, ὅτι κατασκευῆς, οὔτ' ἐνεργείας ἐστὶ τὸ τῆς εὐεξίας ὄνομα δηλωτικόν, ὥσπερ οὖν οὐδὲ τὸ τῆς ἕξεως, ἀλλὰ τούτου μὲν αὐτοῦ μόνου τοῦ δυσλύτου τε καὶ μονίμου τῆς διαθέσεως. ἡ δ' εὐεξία πλέον οὐδὲν αὐτῷ προστίθησι, τοῦ εὖ. σύγκειται οὖν ἐκ τοῦ τῆς ἕξεως ὀνόματος, τὸ εὖ προσλαβόντος, ὅπερ εἰώθαμεν ἐπαινοῦντες ἅπασιν ἐπιφέρειν, ὅσα καλῶς καὶ κατὰ τὴν οἰκείαν ἀρετὴν διάκειται. τίνος οὖν ὀρεγόμεθα, καὶ τί τῷ σώματι διὰ παντὸς ὑπάρχειν βουλόμεθα, πότερον διάθεσιν ὑγιεινὴν αὐτὸ τοῦτο μόνον ἴσχειν, ἢ τοῦτό γε παραπλήσιον τὸ ζητεῖν. ἆρά γε οἰκίας μοχθηρᾶς, καὶ μελλούσης ὅσον οὔπω καταπεσεῖν χρήζομεν, ἢ καὶ πρὸς τὴν χρείαν, ἧς ἕνεκα γέγονεν ἄριστα διακειμένης, καὶ ὡς ἔνι μάλιστα πολυχρονιωτάτης. οὐδεὶς γάρ ἐστιν, οὔτ' ἐλλιπῶς, οὔτ' ὀλιγοχρονίως ὑγιαίνειν βουλόμενος. ἀλλ' οὐδ' ἔστι τις ὅλως τέχνη σκοπὸν ἔχουσα τὸ χεῖρον τε καὶ ὀλιγοχρονιώτερον, ἀλλ' ὅπερ ἂν ἐκ τῆς αὐτῆς ὕλης ἄριστόν τε μέλλῃ καὶ πολυχρονιώτατον ἔσεσθαι, τοῦτο ταῖς ποιητικαῖς ἁπάσαις τέχναις ὁ σκοπός. οὐ μὴν οὐδὲ τέλος, ἄλλο τι παρὰ τὴν ἐπιτυχίαν ἐστὶ τοῦ σκοποῦ, καὶ δῆλον ἐκ τῶν εἰρημένων, ὡς καὶ τέλος ἕν ἐστιν τῆς περὶ τὸ σῶμα τέχνης, καὶ σκοπὸς εἷς. εἴτ' οὖν ἀρτιότητα τις ἐθέλει τὸν σκοπὸν τοῦτον ὀνομάζειν, εἴτ' εὐεξίαν, εἴθ' ὑγίειαν, εἴτε τὴν κατὰ φύσιν κατασκευὴν τοῦ σώματος εἴτε τὴν κατὰ φύσιν ἐνέργειαν, εἴτε διάθεσιν, ἢ κατασκευὴν ἀφ' ἧς ἐνεργοῦμεν τελέως ταύτας τὰς κατὰ φύσιν ἐνεργείας οὐδὲν εἴς γε τὰ παρόντα δέομαι διαιρεῖν. ἓν γάρ μοι πρόκειται δεῖξαι τὸ πᾶσαν τέχνην, καὶ σκοποῦ καὶ τέλους ἐφίεσθαι. τέλος δ' ἐν ἑκάστῳ τῶν ὄντων ἕν, ὅπερ οὐδ' ἓν ἄλλ' ἐστιν, ἢ κατ' ἐκείνην τὴν οὐσίαν ἀγαθόν, ἀμπέλου γοῦν οὐκ ἄλλο μὲν τελειότης, ἄλλο δὲ τὸ ἀγαθόν, οὐ μὴν οὐδ' ἄλλο τι παρὰ τοῦτο πρόκειται σκοπεῖσθαι τῇ περὶ τὰς ἀμπέλους τέχνῃ, καθάπερ οὐδὲ τῇ περὶ τὰς ἐλαίας. ἀλλὰ καὶ ἡ δὲ τὴν τελειότητα τῆς ἐλαίας φύσεως ἔχει τὸν σκοπόν. ἓν δή τι τῶν ὄντων ἐστὶ τοῦτ' ἀνθρώπου σῶμα, καὶ τίς ἐστιν, καὶ τοῦ δὲ πάντη τελειότης, ἣν καὶ παροῦσαν φυλάττειν, καὶ ἀποῦσαν ἀνασώζεσθαι πρόκειταί τινι τέχνῃ. ταύτης δ' εἴπερ ἢ κατωτέρω ποιήσομεν ἕτερον τέλος, ὁ προειρημένος ἡμᾶς ἐκδέξεται λόγος. ἔσται γάρ, ἡ μὲν τῆς εὐεξίας, ἡ δὲ ἄκρας εὐεξίας, ἑτέρα δὲ τῆς ὑγιεινῆς ἕξεως, καὶ τετάρτη τις ἄλλη τέχνη, σχέσεως ὑγιεινῆς δημιουργός, ἔξωθεν δὲ τούτων ἄλλη πέμπτη, τῆς ἀθλητικῆς εὐεξίας. εἰ δὲ καὶ δημιουργεῖν μὲν ἄλλαις τὰ τέλη, φυλάττειν δ' ἄλλαις ἐπιτρέψομεν, οὐ ταύτας μόνον, ἀλλὰ καὶ σὺν αὐταῖς ἄλλας τοσαύτας ἐπιζητήσομέν τε καὶ συστησόμεθα περὶ τὸ σῶμα τέχνας, ὡς καὶ δῆλον, ὡς οὔτε πολλὰ τὰ τοῦ σώματος ἀγαθὰ χρὴ ποιεῖν, οὔτ' ἄλλην μέν τινα αὐτοῦ δημιουργόν, ἄλλην δὲ φύλακα. τῷ μὲν δὴ σκοπεῖσθαι δυναμένῳ διὰ κεφαλαίων τὸ σύμπαν, οὐδὲν ἔτι προσδεῖ. τῷ δὲ τοῦτο μὴ δυναμένῳ διελεῖν ἢ καὶ πάντ' ἐξαλεῖψαι τῆς διανοίας, ὅσα τοῖς κακῶς ὑπειλημμένοις ἕπεται δεομένῳ, παμπόλλων ἔθ' ἡγοῦμαι δεῖν. ὅτι τε γάρ, οὐχ ἕν ἐστιν τὸ τοῦ σώματος ἀγαθόν, ἀλλὰ καὶ ὑγίειά τε καὶ ῥώμη καὶ κάλλος. ὅ, τι τε δυνατὸν ἑτέραν μὲν εἶναι δημιουργὸν τούτου τέχνην, ἑτέραν δὲ φυλακτικήν, ὅσα τε ἄλλα τούτοις ἑπόμενα κακῶς ἐγνώκασιν, ἐνίοις διελέγξαι χρή. καὶ πρῶτόν γε, ὅτι τοῦ σώματος ἓν ἀγαθόν ἐστιν διελθεῖν ἄμεινον πρώτως τε καὶ κυρίως λεγόμενον, ἐφ' ὃ πάντα, τὴν ἀναφορὰν ἔχει. τὰ δ' ἄλλα τὰ λεγόμενα σώματος ἀγαθά, τὰ μὲν ὡς μόρια ἐκείνου λέγεται, τὰ δ' ὡς αἴτια, τὰ δ' οἷον καρπός τις, ὥσπερ γὰρ τὸ κάλλος ἥ τ' εὔχροια, καὶ ἡ εὐσαρκία, καὶ ἡ συμμετρία, καθάπερ καὶ ἄλλα τινὰ συμπληροῖ, τί κωλύει καὶ τὸ τοῦ σώματος, ἐξ ὑγείας, καὶ ῥώμης, καὶ κάλλους συμπληροῦσθαι; τί δὲ κωλύει πάλιν αὐτοῦ μὲν τοῦ σώματος ἀγαθὸν εἶναι τὴν ὑγίειαν, οἷον δὲ καρπόν τινα τὸ κάλλος αὐτοῦ, καὶ τὴν ἐνέργειαν ὑπάρχειν; τί δὲ κωλύει, τὴν μὲν ἐνέργειαν εἶναι τὸ πρῶτον ἀγαθὸν τοῦ σώματος, αἰτίαν δ' αὐτοῦ τὴν ὑγίειαν; οὐ γὰρ δὴ ἐξ ἄλλων μέν τινων ὑγιαῖνον ἀκριβῶς ἔσται σῶμα, δι' ἄλλων δ' ἰσχυρόν, ἢ καλὸν αὐτὸ μέλλει ποιήσειν. εὐθὺς δὲ τοῦτο, καὶ ἀκριβῶς ὑγιεινόν, ὥστε καὶ διὰ τοῦτο μία τέχνη περὶ τὸ σῶμα. τὰ γὰρ αὐτὰ πράττοντες, ἰσχυροί τε ἅμα κατὰ τὰς ἐνεργείας ἐσόμεθα, καὶ καλλίους ὀφθῆναι, καὶ ὑγιεινότεροι, καὶ εὐεκτικώτεροι, καθάπερ εἰ καὶ σφαλείημέν τι περὶ τὸ σῶμα καὶ τῶν ἐνεργειῶν τὴν ῥώμην καταλύσομεν, καὶ τῷ κάλλει λυμαινούμεθα, καὶ τὴν εὐεξίαν καθαιρήσομεν, καὶ τὴν ὑγίειαν μειώσομεν. ἅπαντα γὰρ ταῦτα, συναυξάνεταί τε καὶ συμμειοῦται προσηκόντως. ἡ γάρ τοι κατὰ φύσιν ἐνέργεια δεῖται τῆς κατὰ φύσιν τοῦ σώματος κατασκευῆς, ὑφ' ἧς γίνεται, λόγον αἰτίας ἐχούσης πρὸς αὐτήν. ὥστ' οὐκ ἐνδέχεται πρότε-

ρον, τὸ

ρους, τὸ μὲν ἕτερον αὐτῶν εἶναι, τὸ δ' ἕτερον μὴ παρεῖναι, καὶ μὲν δὴ καὶ συναυξάνεται καὶ συμμειοῦται ἀμφότερα. βελτίω μὲν δὴ γινόμενα, τὸ μὲν, εὐεξία, τὸ δὲ ῥώμη, κέκληται. τὸν αὐτὸν γὰρ καὶ ἡ ῥώμη πρὸς τὴν ἐνέργειαν ἔχει λόγον, ὅνπερ ἡ εὐεξία πρὸς τὴν ὑγείαν. ἑκάτερον γὰρ ἑκατέρῳ γίνεται, καὶ ὥσπερ ἡ εὐεξία τινός ἐστιν, οὕτως καὶ ἡ ῥώμη, τῆς μὲν γὰρ κατὰ φύσιν, εἴτε κατασκευῆς, εἴτε διαθέσεως ὀνομάζειν ἐθέλοις, ἀρετή τις ἡ εὐεξία. τῆς δὲ ἐνεργείας ἡ ῥώμη. ταυτὸν δ' ἀρετή τε καὶ τελειότης ἐστὶν, καὶ τὸ καθ' ἕκαστον τῶν ὄντων ἀγαθὸν, ὅπερ αὖ αὐτοῦ πρώτως τε καὶ ἁπλῶς ἀγαθὸν ὀνομάζεται, καὶ μὲν δὴ καὶ χεῖρον γίγνεται διὰ τῶν αὐτῶν ἀμφότερα, καὶ ἡ μὲν ὑγιεινὴ διάθεσις, ὥσπερ ἔμπροσθεν εἴπομεν, εὐεξία προσαγορεύεται. εἰ δ' αὖ τις ἐνεργῶς ἀσθενὴς, ῥώμης ἀῤῥωστία τε καὶ ἀσθένεια, καὶ δὴ καὶ κάλλος μὲν τοῖς προτέροις, αἶσχος δὲ τοῖς δευτέροις, ἐξ ἀνάγκης ἕπεται. πάντ' οὖν ταῦτα, καὶ συναύξεται, καὶ συμμειοῦται, καὶ τελειοῦται καὶ καθαιρεῖται πάνθ' ἅμα, καὶ τὸ βλάπτον ὁτιοῦν ἐξ αὐτῶν, εὐθὺς καὶ τἄλλα σύμπαντα βλάπτει, τό τ' ὠφελοῦν ὡσαύτως ἅπαντα ὠφελεῖ, καὶ δῆλον ὡς καὶ διὰ τοῦτο μίαν ἀνάγκη τέχνην εἶναι περὶ σύμπαντα ταῦτα. τί δὴ τούτων ἐστὶ τὸ πρῶτόν τε καὶ ἁπλῶς ἀγαθὸν τοῦ σώματος, οὐδὲν μὲν ἐγείρει, τό γε νῦν εἶναι, λέγειν. ἵνα δὲ μὴ δὲ τοῦτ' ἐνδέῃ, σώματος ἀγαθὸν ἁπλῶς καὶ πρῶτον, οὗ μάλιστα δεόμεθα τελειότης τῆς ἐνεργείας ἐστὶν, ὅπερ δὴ ῥώμην τε καὶ ἰσχὺν ὀνομάζουσιν, ἐλλειπτικῶς ἑρμηνεύοντες. ἐχρῆν γὰρ αὐτοὺς, οὐ ῥώμην ἁπλῶς, ἀλλ' ἐνεργείας ῥώμην, οὐδ' ἰσχὺν ἁπλῶς, ἀλλ' ἐνεργείας ἰσχὺν εἰπεῖν. ἐφεξῆς δὲ τούτου δεύτερον, οὐχ ἁπλῶς, οὐδὲ καθ' ἑαυτὸ τοῦ σώματος ἀγαθὸν, ἀλλ' ὅτι γε τὸ πρῶτόν τε καὶ καθ' ἑαυτὸ, τοιούτου δεῖται πάντως εἰς γένεσιν. οἷον ἡ τῆς ὑγιείας ἐστὶν εὐεξία, ἣν καὶ αὐτὴν πάλιν ἐλλειπτικῶς ὀνομάζοντες, ἀφορμὴν σοφισμάτων παρέχουσιν, δέον γὰρ εὐεξίαν ὑγείας εἰπεῖν οὐχ οὕτως, ἀλλ' ἁπλῶς εὐεξίαν ὀνομάζουσιν, ἕπεται δ' ἐξ ἀνάγκης τῇ δὲ τὸ κάλλος, ἄλλο τι γένος ἕπεται ἐκείνοις, τρίτον ἀγαθὸν σώματος, ὥστε οὔτε ὁμογενῆ τὰ τοῦ σώματος ἀγαθὰ, καθάπερ οὐδὲ τὰ τῆς ψυχῆς, οὔθ' ὁμοίως λέγεται ἅπαντα. ἀλλὰ τὸ μὲν ὡς πρῶτόν τε καὶ καθ' ἑαυτὸν, τὸ δ' ὡς αἴτιον ἐκείνου, τὸ δ' ὡς ἐξ ἀνάγκης ἑπόμενον. τίνος οὖν τούτων τῶν τριῶν ἡ περὶ τὸ σῶμα τέχνη πρώτως ἐστὶ δημιουργός; ἆρά γε τῆς ὑγιείας, ἢ τῆς ἐνεργείας, ἢ τοῦ κάλλους. ὅτι μὲν γὰρ ἐξ ἀνάγκης ὠφελήσει τε καὶ ποιήσει τὰ τρία, κἂν ἓν ἐξ αὐτῶν ὁτιοῦν ὠφελεῖ, πρόδηλον ἤδη γέγονεν. εἴ τε γοῦν τὴν ἐνέργειαν, ἐξ ἀνάγκης καὶ τὴν ὑγίειαν τε καὶ τὸ κάλλος, ἡ μὲν γὰρ, οὐχ οἵα τε ἐστὶν χωρὶς τῆς ποιούσης αὐτὴν αἰτίας γενέσθαι, τὸ κάλλος δ' ἐξ ἀνάγκης ἕπεται. εἴ τε τὴν ὑγίειαν, εὐθὺς καὶ τὴν ἐνέργειαν καὶ τὸ κάλλος. ἄμφω γοῦν ἦν ταύτης ἔγγονα. καὶ μὴν εἰ τὸ κάλλος ποιεῖ. πάντως τι καὶ τὴν ὑγίειαν προπεποίηκεν. εἰ δὲ τοῦτο, καὶ τὴν ἐνέργειαν, ἀλλὰ τί τὸ πρώτως ἐστὶν ὑπὸ τοῦ τεχνίτου γιγνόμενον, ὁ λόγος ἐπόθει θηρᾶσαι, καὶ δὴ φαίνεται σαφῶς ἤδη διὰ τῶν εἰρημένων, ἡ μὲν τέχνη τὴν ὑγίειαν ἐργαζομένη, ταύτῃ δ' ἐξ ἀνάγκης ἐνέργειά τε καὶ τὸ φυσικὸν κάλλος ἀκολουθεῖ. ὅπου γὰρ πρῶτον ἐνεργοῦν ὁ τεχνίτης ἵσταται, τοῦτ' ἐστὶν αὐτοῦ τὸ τέλος, ἵσταται δὲ ἐν τῷ τὴν κατὰ φύσιν ἐργάσασθαι διάθεσιν, ἀφ' ἧς ἐνεργοῦμεν, ὅπερ ἦν ὑγίεια, ταύτην δ' ἐργασάμενος, οὐδὲν ἔτι πονεῖ περὶ τὴν ἐνέργειαν, ἢ τὸ κάλλος, ἕπεται γὰρ ἐξ ἀνάγκης ἐκεῖνα, κἂν ὁ τεχνίτης μὴ θέλει, καὶ κωλῦσαι γ' αὐτὰ, τῷ τεχνίτῃ παντάπασιν ἀδύνατον, ἅπαξ γε τὴν ὑγίειαν ἐργασαμένῳ; αὐτὴν μέντοι τὴν ὑγίειαν, ἐπ' αὐτῷ κωλύειν ἐστὶν. εἰ δέ γέ πη διαφθείρειεν αὐτὴν, οὐκ ἔστιν ἐπ' αὐτῷ τὴν κατὰ φύσιν ἐνέργειαν, ἢ τὸ κάλλος ἐκπορίσαι τῷ σώματι. τὴν οὖν περὶ τὸ σῶμα τέχνην ἥτις ἂν ᾖ, περὶ μὲν τὴν ὑγίειαν ἁπάντων πρώτην τε καὶ καθ' ἑαυτὴν πραγματεύεσθαι φατέον, ἐφεξῆς δὲ κατά τι συμβεβηκὸς τήν τ' ἐνέργειαν καὶ τὸ κάλλος. οὐ μὴν ἀτελές γέ τι τούτων οὐδὲν, οὐδ' ἐλλιπὲς, ἀλλὰ τέλεια, καὶ πλήρη, καὶ ἄκρα, ὅπως μὲν οὖν ἐστι πολλὰ τοῦ σώματος ἀγαθὰ, καὶ πῶς ἓν, ὅτι τε μὴ πάντων ὡσαύτως ἡ περὶ τὸ σῶμα τέχνη πεφρόντικεν, ἀλλὰ τοῦ μὲν καθ' αὐτὸ, τοῦ δὲ κατὰ συμβεβηκὸς, αὐτάρκως δέδεικται.

Διατί δ' οὐκ ἐνδέχεται κατ' οὐδεμίαν ὕλην, ἄλλην μὲν τέχνην τοῦ τέλους δημιουργὸν, ἑτέραν δ' εἶναι τὴν φυλάττουσαν, ἤδη καὶ ταῦτα πειράσομαι δεικνύναι, καὶ πρῶτον μὲν, ὡς οὐδὲ τὸ παράδειγμα αὐτοῖς ὁμολογεῖ τὸ σφέτερον, ἐπιδείξω, μετὰ ταῦτα δὲ, ὡς οὐδὲ ἡ τῶν πραγμάτων αὐτῶν φύσις, εἴπερ γὰρ ἄλλης μέν ἐστι τέχνης ὑπόδημα ποιήσασθαι τὸ δ' ἠπήσασθαι τοῦτο παθὸν, ἑτέρας, οὕπω τὴν τρίτην ἐνταῦθα τέχνην ἐπέδειξαν ἡμῖν τὴν φυλακτικήν. ὡσαύτως δὲ κἀπὶ τῶν ἱματίων, εἴπερ ἑτέρας μέν ἐστι τέχνης ἠπήσασθαι, δημιουργῆσαι δ' ἑτέρας, ἡ τρίτη κἀνταῦθα τίς ἐστιν ἡ φυλακτικὴ, λέγειν οὐχ ἕξουσιν. ἐπὶ μὲν γὰρ τῶν ἡμετέρων σωμάτων, καὶ ὅλως τῶν ὑπὸ φύσεως διοικουμένων, ἡ μὲν, οἷον δημιουργικὴ, ἡ φύσις ἐστὶν, ἀνάλογον ὑφαντικῇ τε καὶ σκυτοτομικῇ. τὸ πονῆσαν δ' ἐπανορθοῦται, γεωργός τε καὶ ἰατρὸς, ἀνάλογον οὖν καὶ οἱ δὲ τῷ ῥάπτοντι τὰ ἱμάτια, καὶ τῷ τὰ παλαιὰ τῶν ὑποδημάτων ἐπανορθουμένῳ. τὸ δὲ φυλάττειν ἱμάτιον, ἢ ὑπόδημα καταθέμενον ἐπὶ τῆς οἰκείας, ὅπως μὴ κλαπείη πρός τινος, ὑπὸ μυῶν καταβρωθείη, τάχα μὲν, οὐδὲ τέχνης ἐστὶν οὐδεμιᾶς, ἀλλ' ἐπιμελείας μόνης. εἰ δ' ἄρα καὶ τέχνην τινὲς εἶναι βούλονται φυλακτικὴν αὐτῶν, αἱ τοιαῦται τέχναι τοῖς ἀνθρώποις, ἡ στρατηγικὴ, τέ εἰσι καὶ ἡ πολιτικὴ, καὶ πρὸς ταύταις, ἥ τε τῶν θυρωρῶν εἰ βούλει, καὶ τῶν ἄλλων φυλάκων. ἵνα γὰρ μήτε ἐπὶ τοῖς πολεμικοῖς ὦμεν, ἢ ὅλως τοῖς πονηροῖς ἀνθρώποις, μήτ' ἐπὶ τοῖς θηρίοις, οἰκίας τε καὶ πόλεις οἰκοδομησάμεθα, καὶ τείχη περιεβαλλόμεθα, καὶ στρατηγοὺς, καὶ ἄρχοντας ἀπεδείξαμεν, ἀλλ' οὐ τοιαύτην τινὰ ζητοῦμεν τέχνην ὑγιείας φυλακτικὴν, ἀλλ' ἥ τις οἶμαι περὶ τὸ σῶμα τοῦ ἀνθρώπου πραγματευομένη τι. μὴ κατὰ συμβεβηκὸς, ἀλλὰ καθ' αὑτὸ, σῶον αὐτὸ καὶ ὑγιαῖνον ἀποδείκνυσιν. ἑκάστη δὲ τῶν νῦν εἰρημένων οὐκ αὐτὴ καθ' αὑτὴν, ὑγιείας ἐστὶ φύλαξ, ἀλλ' ἐπειδὴ συμβέβηκεν τῷ μὴ σφαγέντι, μήθ' ὑπὸ θηρίου καταβρωθέντι φυλάττεσθαι τὴν ὑγίειαν, ὥσπερ οὖν καὶ ὅλην τὴν ζωὴν, διὰ τοῦτο κατά τι συμβεβηκὸς οὐ πρώτως, οὐδὲ κατὰ τὸν ἴδιον λόγον, ἑκατέρα τῶν τοιούτων τεχνῶν ὑγιείας γίγνεται φύλαξ. ἡ πρώτη οὖν ὑγίειαν φυλάττουσα κατὰ τὸν ἑαυτῆς λόγον, ἐν τίσιν ἕξει τὴν πραγματείαν; ἐμοὶ μὲν δοκεῖ, μήτ' ἐν τοῖς οὐκ ἐξ ἀνάγκης ὁμιλοῦσι τῷ σώματι, μήτε ἐξ ἀνάγκης ἐν τοῖς οὐδὲν διατιθεῖσιν, ἀλλ' ἐν οἷς τε διατρίβει πάντως τὸ σῶμα, κἂν ἡμεῖς μὴ βουλώμεθα, καὶ τούτων τοῖς ὠφελεῖν ἢ βλάπτειν δυναμένοις, ἐν τούτοις τε καὶ περὶ ταῦτα πραγματεύεσθαι. ξίφεσι μὲν οὖν καὶ θηρίοις, καὶ κρημνοῖς καὶ βρόχοις οὐκ ἐξ ἀνάγκης περιπίπτει τὸ σῶμα, ἀλλὰ τῷ περιέχοντι

ἀεὶ κατὰ διττὸν τρόπον ἐξ ἀνάγκης ὁμιλεῖ, καὶ πάντῃ περικεχυμένῳ, καὶ διὰ τῆς εἰσπνοῆς ἑλκομένῳ. καὶ μὴν δὴ καὶ ὕπνος καὶ ἐγρήγορσις, ἡσυχία τε καὶ κίνησις ἐκ τῶν τοιούτων ἐστὶν, ἀνάγκη γὰρ ἢ ὑπνοῦν, ἢ ἐγρηγορέναι, καὶ ἡσυχάζειν ἢ κινεῖσθαι, ὥσπερ οὖν καὶ λιμώττειν, καὶ ἐσθίειν, καὶ διψῆν, ἢ πίνειν, ἤ τινα μεταξὺ τούτων ἔχειν κατάστασιν. αἱ δὲ τῆς κοίτης διαφοραὶ καὶ τῶν ἱματίων, οὐκ ἀναγκαῖαι πᾶσαι, κλίνη γὰρ ἐλεφαντόπους, οὐδὲν οὔτ' ὠφελεῖ τὴν ὑγίειαν, οὔτε βλάπτει, κατὰ ταῦτα δὲ καὶ σκίμπους εὐτελής. καὶ ἱματίοις εὐτελέσιν, ἢ πολυτελέσιν ἢ τοῖς σκεύεσιν ὑαλίνοις, ἢ χρυσοῖς, ἢ ἀργυροῖς, ἢ ξυλίνοις χρῆσθαι, καὶ παῖδας ἔχειν εὐμόρφους, ἢ αἰσχροὺς τοὺς ὑπηρετουμένους, ἢ μηδ' ὅλως ἔχειν, ἀλλ' ἑαυτῷ διακονεῖσθαι. ταῦτα μὲν γὰρ οὐδὲν οὔτ' ὠφελεῖν, οὔτε βλάπτειν ἡμᾶς πέφυκεν, οὔτε καθ' ἑαυτὸ καὶ πρώτως, οὔτε κατὰ συμβεβηκός, ἀὴρ δὲ θερμὸς ἢ ψυχρός, ἐδέσματά τε καὶ πόματα, καὶ ἠρεμία καὶ κίνησις, ἐγρήγορσίς τε καὶ ὕπνος, ἐξ ἀνάγκης ὠφελεῖ καὶ βλάπτει κατὰ τὴν ἑαυτῶν δύναμιν, ἱμάτιον δὲ τρίχινον ἐν χειμῶνι, καὶ βαρὺ καὶ πνιγῶδες ἐν τῷ θέρει, βλάπτει μὲν ἐξ ἀνάγκης ἀλλ' οὐ κατὰ συμβεβηκός, τῷ τε κρύει καὶ θάλπει τιμωρεῖται. ταῦτ' οὖν ὅσα καθ' αὑτὰ δύναμιν ἔχει βλάβης τινός, ἢ τῆς ὠφελείας, ὁ τῆς ὑγείας προνοούμενος, ἐπισκοπεῖται. πῶς καὶ τίνα τρόπον; ἐπειδὰν μὲν ἱκανῶς ἤδη τὸ σῶμα κενώσεως ἔχῃ, καὶ κίνδυνος ἤκοι βλάβης αἰσθητῆς, τρέφεσθαι κελεύων. ἐπειδὰν δὲ ξηραίνηται μᾶλλον τοῦ μετρίου, καὶ κίνδυνος ᾖ, κἀντεῦθεν ἤδη βλαβῆναι, πίνειν ἀξιῶν. οὕτω δὲ καὶ γυμνάζων, ἐπειδὰν ῥῶσαι μὲν βούληται τὴν διοικοῦσαν ἡμᾶς δύναμιν, ἐκκαθᾶραί τε τὰ κατὰ λεπτοὺς πόρους. ἡσυχάζειν δὲ προστάττων, ἐπειδὰν ἤτοι κάμνειν πρὸς τῶν γυμνασίων αἴσθηται, ἢ διαφορεῖσθαι τὸ σῶμα πέρα τοῦ προσήκοντος, ἀλλὰ καὶ τὴν γαστέρα λαπάττων μὲν, ἢν ἴσχηται, κατέχων δὲ, ἢν ἐκταράττηται, καὶ τὰ ἄλλα δὴ πάντα κατὰ τὸν αὐτὸν τρόπον ἕκαστα πραγματευόμενος, ἑνὶ κεφαλαίῳ τῷδε προσέχων τὸν νοῦν. ἐπειδὰν μὲν ἀκριβῶς ἔχῃ καὶ ὑγιῶς τὸ σῶμα, μηδὲν νεωτερίζειν, ἐπειδὰν δὲ κατά τι τῆς ἀκριβοῦς ἐξίσταται συμμετρίας, εὐθὺς ἀντεισάγειν τὸ λεῖπον πρὶν μεγάλην γενέσθαι τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπήν, ὥσπερ ἂν εἰ τὰς κρόκας ἐκρυείσας ἱματίου τινός, οὐχ ἅμα πάσας οὐδ' ἀθρόας, ἀλλὰ καθ' ἑκάστην ἡμέραν, μίαν, ὁ τοῦτ' ἔργον πεποιημένος ἰδίῳ παρεδρεύων, ὡς λανθάνειν τοὺς πολλοὺς τὴν ἐπανόρθωσιν ὑπὸ σμικρότητος. τοιοῦτον γάρ τινα χρὴ καὶ τὸν τοῖς ὑγιαίνουσιν ἐφεστῶτα τεχνίτην εἶναι, σμικρᾶς διαφορᾶς καὶ βλάβης αἰσθητικόν τε ἅμα καὶ ἐπανορθωτικόν, εἰ δέ γ' ἀπαθὲς ἔμενε πάντῃ τὸ σῶμα, καὶ τοιοῦτον, οἷόν περ ὁ ποιήσας αὐτὸ τεχνίτης ἀπέλιπεν, οὐκ ἂν ἐδεῖτο τοῦ διαπαντὸς ἐπανορθουμένου. νυνὶ δ' ἐπειδὴ διαρρεῖται, καὶ φθείρεται, δεῖται τινὸς ἐπιστάτου παρεδρεύοντος, ὃς καὶ γνωριεῖ τὸ κενούμενον ὁποῖόν τ' ἐστὶν, καὶ ὁπόσον, ἰάσεταί τε παραχρῆμα, τοιοῦτόν τε καὶ τοσοῦτον ἕτερον ἀντεισάγων. ἀπορρεῖ τὸ κατὰ φύσιν ὑγρόν. ἐπάρδειν χρὴ τὴν ἴσην ὑγρότητα, πόμα παρέχοντα. διαφορεῖται τὸ θερμόν, ἀντεισάγειν χρὴ τοσοῦτον ἕτερον. ἐκκενοῦται τὸ ξηρόν, ἤδη καιρὸς τρέφειν. ἑνὶ λόγῳ τὸ διαφορούμενον καὶ ἀπολλύμενον, ἐπανορθοῦσθαι κατὰ βραχύ, πρὶν τοῖς πολλοῖς γενέσθαι κατάφωρον. ὥσπερ οὖν οἱ δύο τινὲ πίθω ὄντε τετρημένω πολλαχόθι, μεστὼ μὲν ἄμφω τὰ πρῶτα, κενουμένω δ' ὁμοίως ὑπὸ τῶν ἐκροῶν, εἴη δὲ, τῷ μὲν ἐπιστατῶν τις ἀεὶ προσεδρεύων, ἐπαντλῶν ἴσον ἑκάστοτε τῷ κενουμένῳ, θατέρῳ δὲ πρὶν ἱκανῶς ἐκκενωθῆ μηδεὶς παρείη, τηνικαῦτα δ' ἐξαίφνης ἐπιστάς τις ἀθρόως πληρώσειεν, εὔδηλον ὡς τὸν μὲν ἕτερον τῶν πίθων, οὐδέποτε ἐκκενοῦσθαί τε καὶ πληροῦσθαι, τὸν δ' ἕτερον ἄμφω ταῦτα πάσχειν οἱ πολλοὶ τῶν θεωμένων ἐροῦσιν. οὕτως ἔχει κἀπὶ τῶν ὑγιαινόντων τε καὶ νοσούντων σωμάτων. ἐπανορθοῦται μὲν, ἄμφω ταῦτα μία τέχνη καὶ καθ' ἕνα τρόπον, ἀντεισάγουσα τὸ λεῖπον. ἡ διαφορὰ δὲ, ἐν τῷ ποσῷ τῆς ἐπανορθώσεως, οὐκ ἐν τῷ ποιῷ, καὶ μὴν ἡ κατὰ τὸ ποσὸν ἐν τοῖς γιγνομένοις διαφορά, μιᾶς ἐστι τέχνης. εἰ δέ γ' ἄλλης ἔσεσθαι μέλλοι πάντως χρὴ παραλλάξαι τῷ ποιῷ. εἰ δ' ὅτι τοῦ μὲν ἔφθασεν ἐκρυῆναι πολλά, πρὶν ἀφικέσθαι τὸν τεχνίτην, ὁ δ' ἕτερος, ἀεὶ παρεδρεύοντος εὐτυχήσας αὐτῷ, μεστὸς διαφυλάττεται, τούτου χάριν ἡγῇ διττὸν εἶναι τὸν τρόπον τῆς ἐπανορθώσεως, οὐκ ὀρθῶς ἔγνωκας. οὐ γὰρ ἄλλη μὲν τέχνη μίαν ἀντεισάγειν κρόκην ἐκρυεῖσαν, ἄλλη δὲ τρεῖς, ἢ τέτταρας, ἢ πεντακοσίας, οὐδ' ἄλλη μὲν τέχνη σμικρόν τι τοῦ τοίχου πονήσαν ἐπανορθοῦται, μεῖζον δ' αὐτοῦ πάθος ἑτέραν ἐπιζητεῖ τέχνην. ἐπὶ γὰρ τῷ τρόπῳ γέγονεν ἕκαστον τῶν ὄντων, τούτῳ καὶ φθειρόμενον ἐπανορθοῦται. κρόκαι στήμοσι διαπλακεῖσαι, ποιοῦσιν ἱμάτιον, ἆρ' οὖν ἢ παθεῖν ἔξω τούτων ἱμάτιον, ἢ ἰαθῆναι δυνατόν, δεῖ δὴ πάντως, εἴ γε πάσχει τι πάθος, ἤτοι στήμονα παθεῖν, ἢ κρόκην, ἢ συναμφότερα, ἴασίν τε μίαν εἶναι τὴν κρόκην ἀεὶ διαπλεκομένην τῷ στήμονι, μιμήσει τῆς γενέσεως. ἀλλ' αἱ κατὰ μέρος ἐνέργειαι τοὺς πολλοὺς ἐξαπατῶσιν, οὐ δυναμένους θεάσασθαι τὸ καθόλου. μεθόδου γὰρ ἤδη λογικῆς τὸ τοιοῦτον, ἣν οὔτ' ἔμαθον, οὔτ' ἤσκησαν οἱ τολμῶντες ἑκάστης ἡμέρας εἰς τὰ προβλήματα λέγειν. ἄμεινον γὰρ ἦν εἴπερ ᾔδεσαν ἐκείνην, διδάξαι τοὺς μαθητὰς ἅπαξ, οὐ μυρία προβλήματα διεξέρχεσθαι. ὁ μὲν γὰρ ἐκείνην μαθών, οὐδὲν ἔτι δεῖται τῶν μυρίων, ἑαυτῷ γε πάντα καλῶς διαιρεῖσθαι δυνάμενος. ὁ δ' ἀγνοῶν ἔτι τὴν μέθοδον πρὸς τῷ μὴ γιγνώσκειν εἰ καλῶς εἴρηται τὰ μυρία, παμπόλλων ἔτι προβλημάτων, ὧν οὐκ ἀκήκοεν ἐπιδεής ἐστιν. ἀλλὰ τοῦτο μὲν οἷόν τι πάρεργον ἡμῖν εἰρήσθω, πρός γε τοὺς ἑκάστης ἡμέρας εἰς τὰ προβλήματα λέγοντας τοῖς μαθηταῖς, οὔτε δι' αὐτοὺς εἰδότας ὅτι λέγουσιν, ἔσθ' ἂν ἀμαθεῖς τε ἅμα καὶ ἀγύμναστοι τοῦ κριτηρίου. καὶ γὰρ οὖν κἀνταῦθα πότερον ταῖς κατὰ μέρος ἐνεργείαις ἢ ταῖς καθόλου διακριτέον ἐστὶ τὰς τέχνας ἀπ' ἀλλήλων, ἢ τοῦτο μὲν οὐχί, τοῖς σκοποῖς δὲ καὶ τοῖς τέλεσιν, ἢ μηδὲ τούτοις, ἀλλὰ ταῖς ὕλαις τε καὶ τοῖς ὀργάνοις, καὶ ταῖς ἀρχαῖς, καὶ τῇ θεωρίᾳ μηδ' ὅλως σκεψάμενοι, ληροῦσιν ὑπὲρ ὧν οὐκ ἴσασιν. ἄμεινον οὖν ἴσως ἐστὶ καὶ ἡμᾶς ἐπειδήπερ ἅπαξ ὑπέστημεν ὥσπερ τινὰ ἆθλον τοῦτον ἐκτελέσαι, διελθεῖν τι καὶ περὶ τῶν ῥηθέντων ἁπάντων, ὡς οἷόν τε διὰ βραχυτάτων, ἀρξαμένους αὖθις ἀπὸ τῶν κατὰ μέρος ἐνεργειῶν. ἔστιν οὖν τις ἐνέργεια κατὰ μέρος, ᾗ χρώμενοι, τὰ βλέφαρα τῶν ὀφθαλμῶν ἀναρράπτομεν, ἑτέρα δέ τις ταύτῃ μηδὲν ἐοικυῖα, δι' ἧς ὑποχύματα παράγομεν, ἄλλαι δὲ, τρίτη καὶ τετάρτη, μήτ' ἀλλήλαις τι, μήτε ταῖς δὲ προσεοικυῖαι, καθ' ἃς ὀστοῦν κατεαγός, ἐκ μὲν τῆς κεφαλῆς ἐκκόπτομεν, ἐν ἄλλῳ δὲ μέρει τοῦ σώματος, οἷον βραχίονι καὶ πήχει, κατατείναντές τε καὶ διαπλάσαντες ἐπιδοῦμεν, ὧν ὡς ἁπασῶν ἐνεργειῶν ἀρκεχώρηκε πάμπολλα, κήλης χειρουργία καὶ ταύτης ἡ τῶν κιρσῶν, καὶ πασῶν ὁμοῦ τῶν εἰρημένων, ἡ τοῦ κατὰ τὴν κύστιν λίθου, καὶ τούτων μὲν ἔτι τὰ πλείω, μετὰ,

μετὰ σμίλης ἐνεργοῦμεν. ὑπαλεῖψαι δ' ὀφθαλμόν, ἢ ἄρθρον ἐμβαλεῖν, ἢ καταπλάσαι τι μέρος, ἢ καθετῆρι χρῆσθαι καλῶς ἢ σικύαν κολλῆσαι, γίνεται μὲν ἄνευ σμίλης, ἀποκεχώρηκε δὲ καὶ ἀλλήλων πάμπολλα καὶ τῶν προειρημένων. ὥσπερ γε καὶ τὸ φλέβα τεμεῖν, καὶ ἀρτηρίαν διελεῖν, καὶ ἀποχαράξαι τὸ δέρμα, καὶ παρακεντῆσαι τοὺς ὑδεριῶντας, ἀλλήλων διενήνοχε, καὶ συμπάντων τῶν προειρημένων. καὶ αὗται μὲν ἔτι, καὶ πρὸς ταύταις ἕτεραι μυρίαι χειρουργίαι, τινὲς ἐνεργοῦνται δι' αὐτῶν. τὸ δὲ φαρμακευόντων ὅλως ἕτερον τὸ γένος ἀλλήλων τε καὶ πρὸς ἔτι τῶν κατὰ χειρουργίαν. οὐδὲν γὰρ ἔοικεν ἐλλεβόρου πόσις καὶ ἐδωδὴ σιτίων, οὐδ' ἀσιτία κλυστῆρι, καὶ τρίψις λουτρῷ. τούτων δ' ἐπιπλέον ἀποκεχώρηκεν ἕλκος πλῦναι τε καὶ καθῆραι, καὶ φάρμακον ὑγρὸν ἐπιθεῖναι, καὶ αὖθις ξηρὸν αἰωρηθῆναι τε καὶ περιπατῆσαι, καὶ παλαῖσαι, καὶ σκαμμωνίαν ἢ μελίκρατον πιεῖν, οἷς ἅπασιν οὐδὲν ἔοικεν ἡ τῶν σφυγμῶν τε καὶ τῆς θερμασίας διάγνωσις, καίτοι δι' ἄκρων τῶν χειρῶν ἐνεργουμένη. καθάπερ οἶμαι καὶ ἡ τῶν ἐν τοῖς ἀφισταμένοις μέρεσι περιεχομένων ὑγρῶν, ἢ τῶν ὄγκων τῶν ὑδερικῶν, ἢ γαγγλίων, ἢ ἀθερωμάτων, ἢ μελικηρίδων, ἢ στεατωμάτων. οὐ γὰρ ταῖς αὐταῖς ἐπιβολαῖς τε καὶ κινήσεσι τῶν δακτύλων καὶ μεταγωγαῖς καὶ θλίψεσιν, ἀλλ' ἐνίοτε πάμπολυ διαφερούσαις ἐπὶ τῶν εἰρημένων χρώμεθα. κινδυνεύομεν γοῦν ὅλης τῆς ἡμέρας οὐδὲν ἄλλο λέγειν, ἢ τῶν ἐνεργειῶν τὰς διαφοράς, οὕτω πάμπολυ τὸ πλῆθος αὐτῶν ἐστιν. ἀλλ' ἤδη κἀκ τούτων ἱκανῶς ἄν τις γνωρίζοι πηλίκον ἁμαρτάνουσιν, ὅσοι ταῖς κατὰ μέρος ἐνεργείαις ἡγοῦνται χρῆναι διακρίνειν τὰς τέχνας. οὐδεὶς γοῦν οὕτω ἠλίθιος, οὐδ' ἐμπληκτός ἐστιν, ὃς ἀφαιρήσεται μὲν τῆς ἰατρικῆς τὰς εἰρημένας ἐνεργείας, ἄλλην δέ τινα καθ' ἑκάστην αὐτῶν ἐπιστήσει τέχνην, ἤτοι κηλοτομικήν, ὡς νῦν ὀνομάζουσί τινες ἢ λιθοτομικήν, ἢ παρακεντητικήν, εἰ γὰρ ὅτι μάλιστα τὸν δὲ μέν τινα κηλοτομικὸν εἶναι φασί, παρακεντητικὸν δὲ τὸν δέ, λιθοτόμον δὲ τὸν δέ, πάντας γοῦν ἰατροὺς αὐτοὺς ὀνομάζουσιν, ὥσπερ οἶμαι καὶ τοὺς ἀπὸ μορίων τινῶν ὠνομασμένους, ὧν ἐξαιρέτως προνοοῦνται, καὶ γὰρ οὖν καὶ τούτους ὀφθαλμικούς τε καὶ ὠτικούς, καὶ ὀδοντικοὺς ἰατροὺς ὀνομάζουσιν, ἑτέρους δ' ἀπὸ τῆς ὕλης προσηγόρευσαν, ἤτοι διαιτητικούς, καὶ φαρμακευτικούς, ἢ καὶ νὴ Δία βοτανικούς, εἰσὶ δ' οἳ καὶ οἰνοδότας, καὶ ἐλλεβοροδότας ἰατρούς τινας ἐκάλεσαν, ἐκ τοῦ πολλάκις αὐτοὺς θεάσασθαι τοιαύταις ὕλαις χρωμένους. ἔχουσι γὰρ οἶμαι λογικὰς ἀρχὰς ἅπαντες ἄνθρωποι φύσει, καὶ γιγνώσκουσιν, οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον, ὡς ἔστιν ἕν τι καὶ ταὐτὸν ἐν ταῖς ἐνεργείαις. ἔστι δέ τι καὶ διάφορον, οὗ μὲν οὖν ἕνεκα γίγνονται, ταὐτὸν ὑγεία παρὰ πᾶσιν ὁ σκοπός, ὁ τρόπος δ' οὐχ εἷς ἁπασῶν, ἀλλ' εἰς ἀριθμὸν ἐξήκει πάμπολυν. εἰ μὲν δή τις ὥσπερ καὶ Πλάτων ἑκάστου τὸν τρόπον τε καὶ καθόλου σκοπὸν μίαν ἐπιστήσας τέχνην, εἶτ' εἰς ἤδη τε διαφορὰς τέμνων αὐτήν, αὖθις ἐκείνων τῶν τμημάτων ἕκαστον ὀνομάζει τέχνην, οὕτως καὶ αὐτὸς ἐθελήσειε διαιτητικήν τινα καὶ φαρμακευτικήν, καὶ χειρουργικὴν ὀνομάζειν τέχνην, οὐκ ἂν ἔχοιμι τούτῳ γε οὐδὲν ἐγκαλεῖν. οὕτω δὲ κἂν τῶν εἰρημένων ἕκαστον τέμνων, οἷον τὴν δίαιταν, εἴς τε τὰ προσφερόμενα καὶ κενούμενα, καὶ ποιούμενα, καὶ ἔξωθεν προσπίπτοντα καθ' ἕκαστον αὐτῶν ἰδίαν τινὰ τέχνην ἐπιστήσειεν, οὐδ' ἂν τούτου τι μεμφαίμην, οὐδὲ γὰρ οὐδ' εἰ πάλιν αὐτὰ ταῦτα τέμνοι πολυειδῶς ἄχρι τῶν κατὰ μέρος, οὐκ ἂν κωλύσαιμι λέγειν αὐτόν, ὡς ἐν τοῖς προσφερομένοις, ἄλλη μέν ἐστι τέχνη φαρμάκων, ἄλλη ἐδεσμάτων, ἄλλη δὲ πομάτων, καὶ καθ' ἕκαστον αὐτῶν ἐδέσματος τοῦδε καὶ τοῦδε, καὶ πόματος τοῦδε, καὶ φαρμάκου τοῦδε καὶ τοῦδε, συγχωρήσαιμ' ἂν ἰδίαν εἶναι λέγειν τὴν τέχνην. εἰ δ' οἴεται ταύτας ἀλλήλων διαφέρειν τὰς τέχνας, ὡς ἀριθμητικήν, εἰ τύχοι, ῥητορικῆς, ἢ ταύτην οἰκοδομικῆς τε καὶ τεκτονικῆς, οὐκ ἂν ἔτι συγχωρήσαιμι. ταύταις μὲν γὰρ οὐδείς ἐστι σκοπὸς κοινός, ἐκείναις δὲ ταῖς ὀλίγον ἔμπροσθεν εἰρημέναις, εἷς κοινὸς ἁπάσαις πρόκειται σκοπός, ὑγίεια. ὥσπερ οὖν ἐπὶ τῆς ῥητορικῆς μιᾶς οὔσης τέχνης, ἄλλην μέν τινα προοιμίου, διηγήσεως δ' ἄλλην, καὶ πίστεών γε, καὶ τῶν καλουμένων ἐπιλόγων, ἄλλην εἶναι συγχωρήσω τέχνην, εἴ μοι μόνον ἕν γε τοῦτο φυλάττοιτο μιᾶς εἶναι τέχνης αὐτά, εἴτ' εἴδη βούλει καλεῖν, εἴτε μέρη. κατὰ τὸν αὐτὸν οἶμαι τρόπον ἔχει κἀπὶ τῆς ἰατρικῆς, ἄλλην μέν τινα τέχνην ἐρῶ χειρουργικήν ἄλλην δὲ διαιτητικήν, ἄλλην δὲ φαρμακευτικήν εἰ τοῦθ' ἕν μοι φυλάττοιτο μόνον, ὡς εἷς ταύταις ἁπάσαις σκοπός, δι' ὃν ἀναγκάζονται μιᾶς εἶναι τέχνης μόρια, τὰ γοῦν ἀνομοιότατα συνάγειν οὕτως, φαίνεται καὶ συνδεῖν καὶ ἀναγκάζειν εἰς μίαν ἅπαντα τέχνην συντελεῖν. ἐκκόπτει τις ἢ ἀποκόπτει τὸ σεσηπός, ἄλλος δ' ἀνατρέφει τε καὶ σαρκοῖ τὸ κοῖλον, ἐναντίον μὲν οὕτως καὶ πάντα διαφέροντα δόξει τὰ πράγματα ὑπάρχειν, αἵ τε γὰρ ἐνέργειαι διαφέρουσι πολύ, καὶ τὸ γινόμενον ὑπ' αὐτῶν ἐναντίον. ὁ μὲν γάρ, καὶ τῶν ὄντων ἀφαιρεῖ τι, τοῦ δ' ἔργον, γεννῆσαί τινα οὐσίαν οὐκ οὖσαν. ἀλλ' οὐδ' ἑτέρῳ γε τοῦτ' αὐτὸ πρόκειται καθ' αὐτό, τοῦ μὲν ἐκκόψαι, τοῦ δὲ γεννῆσαι, ὥσπερ οὐδὲ καῦσαί τι καὶ τεμεῖν, οὐδ' ἄλλο τῶν πάντων οὐδὲν αὐτὸ δι' ἑαυτὸ μεταχειρίζεταί τις, ἀλλ' ὡς ἄνευ τούτου τυχεῖν ὑγιείας οὐ δυνάμενος, ἐφ' ἣν ἐπείγονται μὲν ἅπαντες, οὐ μὴν ταῖς αὐταῖς ὁδοῖς χρώμενοι. διὰ μὲν δὴ τὸ κοινὸν τοῦ σκοποῦ πάντες ἰατροὶ καλοῦνται, διὰ δὲ τὸ τῆς ἐνεργείας ἢ τῆς ὕλης ἢ τοῦ μορίου διάφορον, ἤτοι χειρουργός, ἢ φαρμακευτής, ἢ ὀφθαλμικός, χειρουργὸς μέν, ἀπὸ τῆς ἐνεργείας, φαρμακευτὴς δέ, ἀπὸ τῆς ὕλης, ὀφθαλμικὸς δ' ἀπὸ τοῦ μορίου. τῷ γὰρ καὶ τὰ μόρια θεραπευόμενα διαφέρειν ἀλλήλων, οὐκ ὀλίγον αὐτούς τε καὶ τοὺς θεραπεύοντας ἐνεργείαις τε καὶ ὕλαις χρῆσθαι διαφόροις, οἱ μὲν ἀπὸ τῶν ἐνεργειῶν, οἱ δ' ἀπὸ τῶν μορίων, οἱ δ' ἀπὸ τῶν ὑλῶν ὠνομάσθησαν ὀφθαλμικοί τε καὶ χειρουργικοί τε καὶ φαρμακευταί, κοινῇ δ' ἅπαντες ἀπὸ τοῦ τέλους ἰατροί. δέδεικται γὰρ ἔμπροσθεν, ὡς ἅπασα τέχνη περὶ τὸ τῆς ὑποβεβλημένης οὐσίας ἀγαθὸν ἐσπούδακεν, ἔνθ' ἕν τι καθ' ἑκάστην αὐτῶν ἐστι τὸ πρῶτον ἀγαθόν, εἰ δ' ὅτι καλῶς ἀναρράπτων δέ τις τὰ βλέφαρα, κακῶς εἰ τύχοι φαρμακεύει, καί τις ἄριστος ὢν ἐν φαρμακείᾳ, διαιτᾷν ὀρθῶς οὐκ ἐπίσταται καὶ τοῦτ' ἄλλος ἠσκηκώς, οὐκ ἐγυμνάσατο τὰς χεῖρας, ἑτέρας ἀλλήλων πάντη τὰς τέχνας ὑποληψόμεθα, πρῶτον μὲν οὐ τρεῖς μόνον, ἀλλὰ καὶ τριακοσίας οὕτω γε ποιήσομεν, ὁ μὲν γάρ τις καθετῆρι χρῆται καλῶς, ὁ δὲ κλυστῆρι, φλεβοτομεῖ δ' ἄλλος, ἀρτηριοτομεῖ δ' ἕτερος. εἶθ' ὅταν εὑρεθῇ τις ἅπαντα καλῶς ποιῶν, οὕτως αὖ πάλιν ἅπασαι μία γενήσονται. καὶ μὴν ἑκατέρως μοχθηρόν, ἢ διὰ τὴν εὐφυΐαν τῶν τεχνιτῶν εἰς πολλὰς κατακερματίζειν τὴν μίαν, ἢ διὰ τὴν εὐφυΐαν εἰς μίαν ἄγειν τὰς πολλάς, ὁ μὲν γὰρ πρό-

τρίτος λόγος, ὅτι τὴν ῥητορικὴν ἐάσει μίαν εἶναι τέχνην, ὅτι τὴν ἀριθμητικὴν, ἢ γεωμετρίαν, ἢ μουσικὴν οὐδ᾽ ἄλλην τινὰ τῶν ἀξιολόγων ἃς διὰ τὸ μέγεθος οἱ πολλοὶ τῶν μεταχειριζομένων ἀδυνατοῦσιν ὅλας ἐκμανθάνειν. ὁ δὲ δεύτερος, εἰς μίαν ἀνάξει τέχνην ἐνίοτε τὰς μηδαμῶς κοινωνούσας, εἰ γὰρ ὁ αὐτὸς ἄνθρωπος ἀριθμητικός τε ἅμα καὶ γραμματικὸς εἴη καὶ φιλόσοφος, ἐξέσται τινὶ μιᾶς εἶναι νομίσειν ἁπάσας μόρια, μὴ τοίνυν μήτε τῷ πλήθει τῶν ἐργαζομένων τὰς τέχνας, ἀλλὰ τοῖς προκειμένοις σκοποῖς διαιρώμεθα, μήτ᾽ εἰς τὰς κατὰ μέρος ἐνεργείας ἀποβλέπωμεν, ἀλλ᾽ εἰς τὰς καθόλου. κοινὸν γὰρ ἐν ἁπάσαις ταῖς κατὰ μέρος ἐνεργείαις ἑκάστῃ τῶν τεχνῶν εὑρήσεις τι, διὸ καί τι πάμπολυ δοκοῦσαι διαφέρειν, ὅμως οὐ κεκώλυνται μιᾶς εἶναι τέχνης μόρια. τὸ γοῦν ὑφαίνειν ἱμάτιον οὐδὲν ἄλλο ἐστὶν, ἢ κρόκας στήμοσι διαπλέκειν. ἆρ᾽ οὖν ἕτερόν τι τούτου τὸ ῥάπτειν ἐστίν; οὐδαμῶς. ἀλλὰ κἀν τούτῳ διαπλέκονται κρόκαι στήμοσιν, ὡς εἴ γε καὶ κατ᾽ ἀρχὰς εὐθὺς ἐβούλετό τις ἀνὴρ τῆς ὑφαντικῆς ἐνεργείας ἑτέρῳ τρόπῳ διαπλέξαι τὰς κρόκας τοῖς στήμοσιν, ἤτοι καθὸ νῦν ἠπῶνται τὰ ῥαγέντα τῶν ἱματίων, ἢ καθὸ τὰς ταλάρους, ἢ τὰς σπυρίδας, ἢ τὰ δίκτυα πλέκουσι, ἐποίησεν ἂν οὐδὲν ἧττον ἱμάτιον, ἀλλ᾽ ἐν χρόνῳ παμπόλλῳ. στοχαζόμενοι τοίνυν οὐχ ἁπλῶς τοῦ τέλους, ἀλλὰ θᾶττον ἐξικέσθαι πρὸς αὐτὸν, τὴν διὰ τῶν ἱστῶν ἐπενόησαν ὑφαντικὴν, οὐκ ἐν τῷ καθόλου τῶν εἰρημένων διαλλάττουσαν, ἀλλ᾽ ἐν τῷ κατὰ μέρος, οὕτως δὲ κἀπὶ τῆς ἰατρικῆς. ἀνάριθμα μὲν οὖν ὡς οὕτως φάναι τὰ κατὰ μέρος. ἀλλὰ τό γε καθόλου πᾶσιν ἔργον κοινόν. ὅ, τε γὰρ ἀφαιρῶν τι τοῦ σώματος ὡς περιττὸν, ὅ, τε προστιθεὶς ὡς λεῖπον, ἓν ἄμφω ποιοῦσι καθόλου, τὴν κατὰ φύσιν ἐκποριζόντες τῷ σώματι συμμετρίαν, ἥτις ἦν ὑγίεια. οὕτω δὲ καὶ ὁ θερμαίνων, καὶ ὁ ψύχων, καὶ ὁ ξηραίνων, καὶ ὁ ὑγραίνων. ὡς γὰρ εἰ καὶ κατ᾽ ἀρχὰς εὐθὺς οἷόν τ᾽ ἦν ἡμῖν γεννῆσαι ζῶον, οὐκ ἄλλῳ μὲν οὖν ἄν τινι λόγῳ τὴν γένεσιν αὐτοῦ τὴν πρώτην, ἄλλῳ δ᾽ ἂν ἐποιούμεθα τὴν ἐπανόρθωσιν. οὕτως ἐπεὶ μηδέτερον τούτων αὐτὴν πρῶτοι ποιοῦμεν, ἀλλ᾽ ἡ φύσις ἐστὶν, ἡ καὶ δημιουργοῦσα πρώτη τὸ ζῶον, καὶ νῦν ἰωμένη, νοσοῦν οὐκ ἄλλῳ μὲν τρόπῳ τὴν τροφὴν ἐπὶ τῶν κυουμένων, ἄλλῳ δὲ νῦν ἐπίσταται, ἀλλὰ καὶ ταῦθ᾽ ὁμοίως ἐργάζεται, καὶ τρέφει καὶ διακρίνει καὶ ἀποκρίνει καὶ πάνθ᾽ ἁπλῶς εἰπεῖν ὡσαύτως ἐργάζεται, νῦν τε καὶ τότε. ὅτι δ᾽ ὁ ἰατρὸς τῆς φύσεως ἐστὶν ὑπηρέτης, ἡ δὲ οὐδὲ πρώτη τέχνη τις ἐκείνης, καὶ ὅτι καλῶς εἴρηται, φύσις ἐξαρκεῖ παντάπασιν, ἀλλὰ καὶ ὡς τὰς νόσους αὐτῶν κρίνει, καὶ ὡς εἰσὶν αἱ φύσεις τῶν νόσων ἰατροὶ, παλαιοῖς ἀνδράσιν αὐτάρκως εἰρημένα, τί ἂν ἔτι δεόμην ἐγὼ διέρχεσθαι. τὸ γὰρ εἰς τὰ παρόντα χρήσιμον, ἀναμιμνήσκω μόνον, ὡς οὐκ ἄλλης μὲν τέχνης τὸ ποιεῖν, ἄλλης δ᾽ ἐπανορθοῦσθαι τὸ πεπονθὸς, ἀλλὰ τῆς αὐτῆς. εἰ δὲ καὶ μὴ τῆς αὐτῆς, ἀλλὰ τὴν ἰατρικὴν ἐκδείξαμεν ἔμπροσθεν, οὐχ ὥσπερ τὴν ἱματιουργικὴν εἰς οὐσίαν ἄγουσαν, ὃ πρότερον οὐκ ἦν, ἀλλὰ τῇ τὰ πεπονηκότα τῶν ἱματίων ἐπανορθουμένῃ προσεοικυῖαν. ἐδείξαμεν οὖν καὶ ὡς τὸ φυλάττειν ὅτι οὖν διττόν ἐστιν, καὶ ὡς θατέρου αὐτοῦ γένος ἐξ οὗ ἐστι καὶ τὸ προκείμενον ἡμῖν νῦν τὸ ὑγιεινὸν, ἐπανορθοῦται μετὰ βραχὺ τὰ πονοῦντα. καὶ ταῦτα λανθάνει τοὺς πολλοὺς, ὡς ἕτερον ὂν τῷ γένει τοῦ θεραπευτικοῦ. τὸ δ᾽ οἴεσθαι τέλος εἶναί τινι τοῦθ᾽ αὐτὸ τὸ ποιεῖν οἰκίαν, ἢ ἱμάτιον, ἢ σκεῦος, ἢ ὑγίειαν, ἀνθρώπων ἐστὶν μὴ δυναμένων ἀπὸ τοῦ τέλους αὐτοῦ διακρῖναι τὴν τοῦ τέλους ἐνέργειαν. οὐ γὰρ οἰκοδομεῖν οἰκίαν, αὐτὸ δὴ τοῦτο τέλος ἐστὶ τῆς οἰκοδομικῆς, ἀλλ᾽ οἰκία, καθάπερ οὐδ᾽ ὑφαίνειν ἐσθῆτα, καὶ ναῦν συμπήττειν, καὶ σκίμποδα, καὶ τῶν ἄλλων ἕκαστον, ἀλλ᾽ αὐτὸ τὸ δημιουργηθὲν, ὃ δὴ καὶ παυσαμένης τῆς ἐνεργείας τῶν τεχνιτῶν, ἔτι διαμένει. καὶ ταύτῃ γε διήνεγκαν αἱ ποιητικαὶ τέχναι τῶν μόνων πρακτικῶν, ὅτι τῶν μὲν πρακτικῶν, ὅταν ἐνεργοῦσαι παύσονται πέπαυται καὶ τὸ τέλος. οὐδὲν γοῦν ἐστι δεῖξαι τῆς ὀρχηστικῆς, παρ᾽ αὐτὴν τὴν ἐνέργειαν, οἷον τῆς τεκτονικῆς, τὸν σκίμποδα, καὶ τῆς οἰκοδομικῆς τὴν οἰκίαν, καὶ τῆς ἰατρικῆς τὴν ὑγείαν. οὐκ οἰκοδόμησις οὖν ὥσπερ ὄρχησίς ἐστι τὸ τέλος τῆς οἰκοδομικῆς, ἀλλ᾽ οἰκία τῆς ἐνεργείας ἕτερόν τι. κατὰ ταὐτὰ δὲ καὶ τῆς ὑφαντικῆς, οὐδ᾽ ὕφανσις, οὔθ᾽ ὑφαίνειν, οὔτ᾽ ἐσθῆτος ποίησις, ἢ γένεσις, ἀλλ᾽ ἐσθής. ὡσαύτως δὲ οὐδὲ ποίησις ἢ γένεσις, ἢ ἐπανόρθωσις ὑγιείας ἐστὶν τὸ τέλος τῆς ἰατρικῆς, ἀλλὰ ταῦτα μὲν ἐνέργειά τις ἢ γε καθόλου τῆς τέχνης, καθάπερ αἱ κατὰ μέρος ἦσαν ἐν τῷ τέμνειν καὶ καίειν καὶ κατατείνειν ἄρθρα καὶ κῶλα καὶ διαπλάττειν καὶ ἐπιδεῖν, καὶ τούτων ἔτι ἀνωτέρω, καὶ γενικώτεραι, χειρουργεῖν, καὶ φαρμακεύειν καὶ διαιτᾶν, ἀλλ᾽ ὑγεία τέλος ἐστὶν, ὃ καὶ παυσαμένης τῆς ἐνεργείας τοῦ τεχνίτου δεικνύειν ἔχομεν. οὐδ᾽ οὖν οὐδὲ τὸ φυλάττειν ὑγείαν, ἢ ἐπανορθοῦσθαι τέλος, οὐδ᾽ ὅλως τὸ ὑγιάζειν, ἀλλὰ ταῦτα μὲν ἐνέργεια, τέλος δ᾽ ὑγεία. τὴν δὲ κοινὴν καὶ γενικὴν ἐπὶ πάσαις ταῖς κατὰ μέρος ἐνεργείαις, ἄλλος μὲν ἄλλως ὀνομάζει, δηλοῦσι δ᾽ ἅπαντες ἓν καὶ ταὐτὸν, ὅ, θ᾽ ὑγιάζειν λέγων, ὅ, θ᾽ ὑγίειαν ποιεῖν, ὅ, τε ποίησιν ὑγείας, ὅ, τε ὑγίανσιν. ἑτέρῳ δὲ τρόπῳ καὶ οἵδε ταὐτὸν τοῦτό τις λέγουσιν, ὅ, τε τὴν ἴασιν τῶν νοσημάτων εἰπὼν ἢ, τὴν θεραπείαν, ἢ τὴν θεράπευσιν τῶν νοσούντων, ἢ τὸ ἰᾶσθαι νὴ Δία, ἢ τὸ τὰς νόσους ἐκκόπτειν, ἢ τὸ τὴν ὑγείαν ἀντεισάγειν. ὅ, τε πάντα τὰ δέοντα πράττειν, ὅ, τε τὰς νοσοποιοὺς αἰτίας ἐξάγειν. οὐδεὶς γοῦν τούτων τὸ τέλος, ἀλλὰ τὴν πρὸ τοῦ τέλους ἐνέργειαν λέγει. καθάπερ εἰ καὶ πρακτική τις ἦν ἡ τέχνη περὶ τὸ σῶμα παραπλησίως, ὀρχηστικῆς τε καὶ ὑποκριτικῆς. ἐπεὶ τοίνυν πολυειδῶς ἀποδέδεικται τὸ μὴ δεῖν κρίνειν τὰς τέχνας, ταῖς κατὰ μέρος ἐνεργείαις, ἀλλ᾽ εἰς τὰς καθόλου τε καὶ πλησίον τοῦ τέλους ἀνάγειν, εἶτ᾽ αὐτῶν ἐκείνων πειρᾶσθαι διορίζειν τὸ τέλος, ἑξῆς ἴδωμεν εἰ καὶ περὶ τὰς ὕλας αὐτῶν ὁμοίως ἔχει. φαίνεται γοῦν ὕλη τε μία πολλαῖς ὑποβεβλημένη τέχναις, καὶ τέχνη μία, παμπόλλαις ὕλαις χρωμένη, ξύλον μὲν γὰρ ὕλη, κοινὴ καὶ ναυπηγῷ, καὶ τέκτονι, καὶ μηχανοποιῷ, καὶ οἰκοδόμῳ, καὶ ἄλλοις μυρίοις. καὶ πηλὸς δὲ, πολλῶν τεχνῶν ἐστὶν ὕλη, καὶ λίθοι καὶ τἄλλα σύμπαντα. ἰατρικῆς δ᾽ αὖ τέχνης μιᾶς οὔσης, ὗλαι μυρίαι, τό, τε σῶμα αὐτὸ τὸ τὴν ὑγείαν δεχόμενον, ἐδέσματά τε καὶ πόματα, καὶ φάρμακα σύμπαντα καὶ διαιτήματα. ταυτὶ μὲν οὖν αἰτιῶν ὗλαι. τὸ σῶμα δ᾽ ὡς ἐξ οὗ τὸ τέλος, ἢ ἐν ᾧ. δῆλον οὖν ὡς οὐκ ἐκ τῶν ὑλῶν χρὴ κρίνειν τὰς τέχνας. οὐδὲ γὰρ εἴ τις ἑτέρας μὲν τὰς κοινὰς ὕλας, καὶ ὡς ἂν εἴποι τις κατὰ συμβεβηκὸς, ἑτέρας δὲ τὰς οἰκείας τε καὶ προσεχεῖς ὑποθέμενος ἑκάστῃ τῶν τεχνῶν, ἡ μὲν ἐστὶ φυσικὸν σῶμα τὸ ἡμέτερον, ὕλην αὐτὸ φαίη τις φυσικῆς ἐπιστήμης ὑπάρχειν, ἡ δὲ ὑγεία ἐστὶν,

ὑγεία ἐστὶν, τῆς ἰατρικῆς, ἢ δ' εὐεκτικὸν, ἢ εὐεξίας δεκτικὸν, τῆς γυμναστικῆς, οὐ δ' οὕτω ἑτέρῳ τινὶ, πλὴν περὶ τέλει διακρίνῃ τὰς τέχνας. τὸ γὰρ ὑγιεινὸν, τὸ δέ τι λέγειν σῶμα, γιγνώσκοντος ἐστὶν ἤδη τὸ τέλος, οὐ μὴν οὐδ' ἐν τοῖς θεωρήμασι διακρίνει τις τὰς τέχνας, ἑτέρωθί ποθι ἀρχεται τῇ δυνάμει τοῦ τέλους. τὰ γοῦν οἰκεῖα τῶν τεχνῶν ἑκάστης θεωρήματα, τὸ τέλος ὁρίζει τε καὶ κρίνει. ταῦτα γοῦν οἰκεῖα τῆς τέχνης ἐστὶν, ἃ γιγνώσκων τις, εἰς τὸ τέλος ὠφελεῖται, καὶ γραμματικῆς τε καὶ μουσικῆς καὶ τεκτονικῆς καὶ τῶν ἄλλων ἑκάστης. ὅσα μὲν ἂν ἢ αὐτὸ τὸ τέλος ἄντικρυς, ἢ αὐτὸ τὸ βέλτιον, ἢ τὸ θᾶττον ἐν αὐτῷ δύνηται παρέχειν, οἰκεῖα τῆς τέχνης ἐστὶν, ὅσα δ' οὐδὲν ὠφελεῖ πρὸς τὴν τοῦ τέλους ποίησιν, οὐκ οἰκεῖα. πανταχόθεν οὖν ὁ λόγος ἐπὶ τὸ τέλος ἔρχεσθαι κελεύει, καὶ τούτῳ κρίνειν τὰς τέχνας, διὰ τοῦτο γὰρ † ἐν ταῖς ἐνεργείαις καθόλου, καὶ τοῖς οἰκείοις θεωρήμασι, καὶ ταῖς ἀρχαῖς. ἐξαλλάττονται γὰρ οὖν καὶ αὗται καὶ τὰ τέλη τῶν τεχνῶν. ἡ γὰρ ὑγεία τὸ τέλος ἐστὶν, ἐν θερμοῖς δ' αὕτη καὶ ψυχροῖς καὶ ὑγροῖς καὶ ξηροῖς. ἐν τούτοις δηλονότι καὶ ἡ τῆς ὕλης ἀρχὴ καὶ ἡ τῆς θεωρίας ἀρχὴ περὶ τὴν τούτου γνῶσιν. ἀλλ' οὐχ ὡσαύτως, ἰατρῷ τε καὶ φυσικῷ. καὶ τοῦτο δ' αὐτὸ, τὸ οὐχ ὡσαύτως, ἀπὸ τοῦ τέλους τῶν ἐπιστημῶν ἐγνώσθη τε καὶ διεκρίθη, καὶ προσηκόντως ἀεὶ τὸ τέλος ὁ λόγος ἐξευρίσκει, κανόνα τε καὶ κριτήριον ἁπάντων τῶν κατὰ τὰς τέχνας, ἡ γάρ τοι σύστασις ἁπάσης τέχνης, τὴν ἀρχὴν ἐντεῦθεν εἴληφεν. οὔτε γὰρ ἰατρικὴν ἄν τις ἐπενόησεν συστήσασθαι μὴ προεπιποθείσης ὑγείας οὔτε οἰκοδομικὴν, εἰ μὴ κἀνταῦθα οἰκίας ὠρέχθη. οὐδ' ὑφαντικὴν, εἰ μὴ πρότερον ἐσθῆτος. ἀλλὰ μὴν καὶ ἡ τὰς τέχνας ἁπάσας συνιστᾶσα, τὴν ἀρχὴν ἐντεῦθεν εἴληφεν. ἐπιδέδεικται δ' ἑτέρωθι, πῶς ἄν τις ὑποκειμένου τοῦ τέλους, τὴν τέχνην αὐτοῦ κατὰ μέθοδον ἐξευρίσκῃ, καὶ χρὴ πρότερον ἐν ἐκείνῳ γυμνάσασθαι τῷ λόγῳ, τὸν ἀκριβῶς θέλοντα τοῖς ἐνεστῶσιν ἀκολουθεῖν. ἔσται γὰρ ἐναργῶς ὑπὸ μίαν τε καὶ τὴν αὐτὴν θεωρίαν ἄμφω πίπτοντα τὰ μόρια, τό τε ὑγιεινὸν καὶ τὸ θεραπευτικόν. ἐγὼ δ' εἰ ἂν εἰς τὸ δέ τε τὸ πρᾶγμα πάντα μεταφέρων τὰ δι' ἑτέρων ἐπὶ πλεῖστον ἠκριβωμένα, λάθοιμ' ἂν ἐμαυτὸν ὑπὲρ τὰς Μηνεμάχου καὶ Μηνοδότου βίβλους ἀποτείνας αὐτό. ἀλλ' ὅτι μὲν ἡ περὶ τὸ τοῦ σώματος ἀγαθὸν τέχνη μία πάντως ἐστὶν ἔκ τε τῶν εἰρημένων ἔμπροσθεν αὐτάρκως οἶμαι δεδεῖχθαι, κἀκ τῶν ἐξῆς ῥηθησομένων, οὐδὲν ἧττον δειχθήσεται. οὐ μὴν ὅτι γε προσῆκεν ὀνομάζειν αὐτὴν, ἤδη πω πέφανται. τάχα γὰρ οὔτ' ἰατρικὴν, οὔτε γυμναστικὴν, ἀλλ' ἕτερόν τι. τάχα δ' οὐκ ἔστιν ὅλως ὄνομα τῆς τέχνης ἐκείνης, ὥσπερ οὐδ' ἄλλων πολλῶν. ἀλλὰ τοῦτο μὲν ὀλίγον ὕστερον ἐπισκεψώμεθα. τὸ δ' οὖν, ἓν μὲν εἶναι, τὸ τοῦ σώματος ἡμῖν ἀγαθὸν, ὅτιπερ ἂν ᾖ, καθάπερ καὶ τῶν ἄλλων ἁπασῶν οὐσιῶν, εἶναι δὲ καὶ τέχνην αὐτοῦ μίαν, εἴπερ τι καὶ ἄλλο τῶν πάντων ἀληθὲς εἶναι φημὶ, καὶ τὴν αὐτήν γε μέθοδον ἀμφοῖν ὑπάρχει. μιᾶς οὖν οὔσης περὶ τὸ τοῦ σώματος ἀγαθὸν τέχνης, ἤδη σκοπούμεθα σύμπαντ' αὐτῆς τὰ μόρια. πάντως γάρ που κατοψόμεθα καὶ τὸ καλούμενον ὑγιεινὸν, ἥν τινα ἔχει τὴν δύναμιν, ἵνα κἀνταῦθα μεθόδῳ τινὶ ποιώμεθα τὴν τομὴν, ἐπισκεψόμενοι τὸ γένος τῆς περὶ τὸ σῶμα τέχνης. ὅτι μὲν οὖν οὐκ ἐν αὐτῷ μόνῳ τῷ θεωρῆσαι τὸ τέλος αὐτῆς ἐστὶν, ὥσπερ τῆς ἀριθμητικῆς τε καὶ ἀστρονομικῆς, καὶ φυσικῆς, ἀλλά τι καὶ πράττει περὶ τὸ σῶμα, παντὶ δῆλον. ὅτι δ' οὐδὲν αὐτῷ τῷ πράττειν τελευτᾷ, καθάπερ ἡ ὀρχηστικὴ μηδὲν ὅταν ἐνεργοῦσα παύσηται δεῖξαι δυναμένη, καὶ τοῦτ' εὔδηλον εἶναι νομίζω. δῆλον οὖν, ὡς ἤτοι τῶν ποιητικῶν, ἢ τῶν κτητικῶν ἐστὶ τεχνῶν, ἐπειδὴ μήτε τῶν θεωρητικῶν εὑρέθη, μήτε τῶν πρακτικῶν, ἀλλ' οὐκ ἔστι τῶν κτητικῶν, ὥσπερ ἡ ἀσπαλιευτική τε καὶ ἡ ἀγκιστρευτικὴ, καὶ τὸ σύμπαν εἰπεῖν, ἡ θηρευτική. χειροῦνται γὰρ αὗται τῶν ὄντων τι, καὶ κτῶνται. ποιοῦσι δ' οὐδὲν αὗται, πρότερον οὐκ ὂν ἐκ λοιπῶν οὖν τῶν ποιητικῶν, ἐστὶν ἡ περὶ τὸ σῶμα τἀνθρώπου τέχνη. διττὸν δὲ καὶ τούτων ἐστὶ τὸ ἔργον, ἢ γὰρ ὅλον τι ποιοῦσιν πρότερον οὐκ ὂν, ἢ κατὰ μέρος ἐπανορθοῦνται πεπονηκός. ἀλλ' ἡ ζητουμένη νῦν τέχνη ποιεῖν μὲν ἀδύνατος ὅλον ἀνθρώπου σῶμα, κατὰ μέρη δ' ἐπανορθοῦσθαι δύναται, παραπλησίως τῇ τῶν ἱματίων ἀκεστικῇ. καὶ οὐδ' ἐνταῦθα πάντα τὸν αὐτὸν ἐκείνῃ τρόπον. ἡ γὰρ φύσις οὕτω γε, καὶ ποιεῖ τὸ σῶμα, καὶ αὖθις ἐπανορθοῦται κάμνον ὡς ἡ περὶ τὴν ἐσθῆτα τέχνη. ταύτης δ' ὑπηρετική τίς ἐστιν ἡ νῦν ζητουμένη. συγχωρείσθω οὖν, ἵν' ὁ λόγος προΐῃ, καλεῖν ἡμᾶς αὐτὴν ἐπανορθωτικήν. ἀλλ' ἤτοι κατὰ μεγάλα τὴν ἐπανόρθωσιν ἢ κατὰ σμικρὰ ποιεῖται, τὸ μὲν δὴ κατὰ μεγάλα μόρια αὐτῆς ἰατρικόν τε καὶ θεραπευτικὸν ὀνομαζέσθω, τὸ δὲ κατὰ σμικρὰ, φυλακτικόν. ἔστι μὲν οὖν καὶ αὐτοῦ τοῦ κατὰ μεγάλα παμπόλλη τις ἡ διαφορά. πᾶν γὰρ ποσὸν, εἰς ἀριθμόν τε πλῆθος ἐγχωρεῖ τέμνειν. ἀλλ' ἐπειδὴ μὴ πρόκειται νῦν ὑπὲρ αὐτῶν λέγειν, ἀφείσθω μὲν τοῦτο, τεμνέσθω δὲ, τὸ κατὰ σμικρά. δοκεῖ δέ μοι καὶ τοῦτο τέμνεσθαι διαφοραῖς ἐπικαίροις τριχῶς. ἢ γὰρ τὸν ἄκρως τε καὶ τελέως ὑγιαίνοντα παραλαβὸν, ἐν τούτῳ φυλάττει, καὶ ταυτὶ μὲν αὐτὸ τὸ τμῆμα προσαγορεύουσιν, εὐεκτικόν. ἕτερον δ' ἀναθρεπτικὸν τῶν νενοσηκότων, ὃ δὴ καὶ καλοῦσιν ἔνιοι τῶν νεωτέρων ἰατρῶν ἀναληπτικόν. ἐν τῷ μέσῳ δ' ἀμφοῖν ἐστὶ τὸ καλούμενον ὑπ' αὐτῶν ἰδίως ὑγιεινόν. κοινῶς γὰρ καὶ τοῦτο φυλακτικὸν ἅμα καὶ ὑγιεινὸν, ὀνομάζεται. ταῦτ' οὖν τὰ τρία μόρια τοῦ φυλακτικοῦ τὰ νῦν εἰρημένα, τὸ ἀναληπτικὸν, τὸ ὑγιεινὸν, τὸ εὐεκτικὸν, ἔστι μὲν τοῦ κατὰ σμικρὰ ἐπανορθωτικοῦ μέρους τῆς τέχνης, ἀλλήλων δὲ διαφέρει, τῷ μᾶλλόν τε καὶ ἧττον, μᾶλλον μὲν κατὰ σμικρὰ τὸ εὐεκτικὸν, ἧττον δὲ αὐτοῦ τὸ ὑγιεινὸν, ἔτι δ' ἧττον κατὰ σμικρὰ ἐπανόρθωσιν ποιεῖται τὸ ἀναληπτικόν. ἔνιοι δὲ καὶ τέταρτον ἐν τούτῳ τὸ φυλακτικὸν τμῆμα προστιθέασιν, τὸ καλούμενον ὑπ' αὐτῶν ἰδίως προφυλακτικὸν, ἀντίστροφον ἔχον δύναμιν τῷ τοὺς ἐκ νοσημάτων ἄρτι πεπαυμένους ἀνακομίζοντι. δῆλον ὡς ἄμφω ταῦτα ἐπαμφοτερίζει πως τοῖς ἐναντίοις μορίοις ὅλης τῆς τέχνης, λέγω δὲ τὸ κατὰ μεγάλα, καὶ τὸ κατὰ μικρὰ, τὸ μὲν γὰρ θεραπευτικὸν ὅτι κατὰ μεγάλα πρόδηλον παντὶ, τὸ δ' εὐεκτικόν τε καὶ ὑγιεινὸν, ὅτι κατὰ σμικρὰ, καὶ τοῦτ' εὔδηλον. ἐν τῷ μέσῳ δ' ἀμφοῖν ἐστὶν τὸ ἀναληπτικὸν ὀνομαζόμενον, καὶ τὸ προφυλακτικὸν, ὡς μὲν πρὸς τὸ ὑγιεινὸν οὐ κατὰ σμικρὰ τὴν ἐπανόρθωσιν ποιούμενον, ὡς δὲ πρὸς τὸ θεραπευτικὸν, οὐ κατὰ μεγάλα. καί μοι δοκοῦσιν οὐδ' ὅσοι ταῦτ' ἄμφω τὰ μόρια προσαγορεύουσιν, οὐδ' ἕτερα, κακῶς δοξάζειν. ἀλλὰ περὶ μὲν τούτων ἕτερος λόγος, ἐν δὲ τῷ νῦν προκειμένῳ σκέμματι τοῦ φυλακτικοῦ μέρους τῆς περὶ τὸ σῶμα τέχνης ὑποκείσθω τριττὰ τμήματα, τὸ μὲν ἐπὶ τῶν κατὰ

† δι. ἐν

χέσιν ὑγιαινόντων σωμάτων τεταγμένων. τὸ δ᾽ ἐπὶ τῶν κατ᾽ ἕξιν, τὸ δ᾽ ἐπὶ τῶν εὐεκτούντων, καὶ τὸ μὲν ἀναληπτικὸν ὀνομαζέσθω, μηδὲν γὰρ ὑπὲρ ὀνόματος αὖθις νῦν διαφερόμεθα, τὸ δ᾽ ὑγιεινὸν, τὸ δ᾽ εὐεκτικὸν, ἐπὶ μὲν τὸ βέλτιον ἄγοντα τὰ πρότερα δύο, φυλάττον δ᾽ ἐν αὐτῷ, τὸ εὐεκτικόν. καὶ τούτων οὕτως ἐχόντων ἀναμνησθῶμεν τοῦ προκειμένου σκέμματος. ἦν δ᾽ ὡς οἶμαι τοιόνδε. πότερον ἰατρικῆς ἐστιν ἢ γυμναστικῆς, μόριον τὸ καλούμενον ὑγιεινόν. εὐλόγως οὖν εὐθὺς ἀπ᾽ ἀρχῆς ἔφαμεν ὡς εἰς ὁρισμὸν ἐμπίπτει τὸ σύμπαν ζήτημα. τί ποτε γάρ ἐστιν ἰατρικὴ, καὶ τί ποτε γυμναστικὴ γνόντες, οὐκ ἂν ἔτι χαλεπῶς εὕροιμεν ὁποτέρας αὐτῶν ἐστι τὸ ὑγιεινόν. αὐτὸ μὲν γὰρ ὅτι ποτ᾽ ἐστὶν τὸ ὑγιεινὸν, ἤδη μοι δοκῶ πεφάνθαι σαφῶς, ἢ γὰρ τὸ φυλακτικὸν ἅπαν, ἢ τῶν τούτου τι μορίων τριῶν ὑπαρχόντων ἐν τῷ μέσῳ, ὃ περὶ τὴν καθ᾽ ἕξιν ὑγίειαν ἀναστρέφεται. ἐμοὶ μὲν οὖν δοκεῖ λοιπὸν ὑπὲρ ὀνόματος ἡ ζήτησις εἶναι, τὸ δὲ πρᾶγμ᾽ αὐτὸ μηκέτ᾽ ἀμφισβήτησιν ἔχειν, ἔστ᾽ ἂν ὁμολογῆταί τε καὶ μένῃ τὰ προδεδειγμένα. καὶ δὴ διελθὼν αὐτὰ διὰ κεφαλαίων, ἐπὶ τὴν τῶν ὀνομάτων ἐξήγησιν, οὕτω τρέψομαι. φημὶ δὴ καθάπερ ἀμφιεσμάτων ἀγαθῶν, καὶ οἰκίας τε καὶ ὑποδημάτων, οὕτω καὶ τοῦ σώματος εἶναί τινα τέχνην, ἧς μιᾶς οὔσης δύο ταῦθ᾽ ὑπάρχειν μόρια, δημιουργοῦν μὲν τὸ ἕτερον, ἐπανορθούμενον δὲ θάτερον, καὶ ταῦθ᾽ ὑπάρχειν ἄμφω τῇ φύσει πρότερον, συνεργάζεσθαι δ᾽ εἰς τὸ ἕτερον αὐτῶν τὸ ἐπανορθωτικὸν ἀνθρωποτέραν τέχνην, ἧς εἶναι διττὰ μόρια, θεραπευτικὸν μὲν καὶ ἰατρικὸν τὸ ἕτερον, φυλακτικὸν δὲ θάτερον. ὀνομάζεσθαι δὲ τὸ φυλακτικὸν τοῦτο, καὶ ὑγιεινόν. εἶναι δ᾽ αὐτοῦ τρία τμήματα, τὸ μὲν ἀναληπτικὸν, τὸ δ᾽ εὐεκτικόν, τὸ δὲ ὁμωνύμως τῷ παντὶ προσαγορευόμενον, ὑγιεινόν. εἴτ᾽ οὖν τὸ σύμπαν φυλακτικὸν, εἴτε τὸ μόριον αὐτοῦ ζητεῖ τις, ὁποτέρας ἐστὶ τέχνης ἆρα ἰατρικῆς, ἢ γυμναστικῆς, ὅλον αὐτὸ χρὴ τὸ πρᾶγμα διελθόντα. καθάπερ ἐγὼ νῦν ἐποίησα, λέγειν οὕτως ἐφεξῆς. ὡς μιᾶς οὔσης τῆς περὶ τὸ σῶμα τέχνης, ἐξεῖναι εἰ βούλει καλεῖν αὐτὴν ἰατρικὴν, εἰ δ᾽ οὐκ ἐθέλεις οὕτω, γυμναστικὴν, εἰ δ᾽ οὐδὲ τοῦτο, τὴν ὅλην ἀνώνυμον εἰπὼν εἶναι, τὸ μὲν ἕτερον αὐτῆς τμῆμα, κάλει ἰατρικὴν, τὸ δ᾽ ἕτερον γυμναστικήν. εἰ δὲ μηδ᾽ οὕτως ἐθέλεις ὑγιεινήν τινα τέχνην τὴν ἀντιδιαιρουμένην τῇ θεραπευτικῇ, καὶ ταύτης εἰ βούλει μέρη διαιτητικὴν εἰπὲ καὶ γυμναστικήν. εἰ γὰρ καθ᾽ ἕκαστον ἐξηγήσῃ τῶν ὀνομάτων, οὕτως ἀκολουθήσει τὸ σύμπαν. ἰὼ φασί τινες ἐπὶ τούτοις, ἀλλ᾽ οὐχ ὡς ἂν ἐγὼ φαίνῃ βουληθῶ διαιρεῖσθαι χρὴ περὶ τῶν ὀνομάτων, ἀλλ᾽ ὡς ὀρθῶς ἔχει διελθεῖν. αὖθις οὖν ἡμῖν ἐστὶ, καὶ τούτοις ἀρκετέον ὡδί πως. εἰ μέλλεις μνημονεύειν ὦ οὗτος, ὡς οὐκ ἔτι περὶ πραγμάτων ἡ σκέψις, ἀλλ᾽ ἐξήγησιν ὀνομάτων μοι προὐβέβληκεν, οὐδὲ τοῦτ᾽ ἀναδύομαι, φημὶ δή σοι περὶ τῶν ὀνομάτων, οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, οὐδὲν ἔχειν εἰπεῖν σοφόν. ἀλλ᾽ εἴτ᾽ ἐκ τῆς τῶν ἀστείων ἡ φωνῆς τοὔνομα, παρὰ τῶν ἀστείων αὐτῶν μανθάνειν χρῆναι τὸ πρᾶγμα καθ᾽ οὗ τὸ ὄνομα λέγουσιν, εἴτ᾽ ἐκ τῆς τῶν περσῶν, ἢ ἰνδῶν, ἢ ἀράβων, ἢ αἰθιόπων, ἢ ὅλως ὡντινωνοῦν, ἐκείνων πυνθάνεσθαι. τὸ γὰρ ὄνομα ῥηθὲν αὐτὸ καθ᾽ αὑτὸ μόνον, οὐδὲν ἐνδείκνυται. τὸ μὲν οὖν ἐμὸν ἀκήκοας. εἰσὶ δὲ οἱ λέγουσιν ἐνδείκνυσθαι σφίσιν τοὔνομα, καὶ τούτου ἐγὼ πάμπολλα συναθροίσας ὀνόματα κελτῶν, καὶ θρακῶν, καὶ μυσῶν καὶ φρυγῶν, ἐκέλευον ἐφ᾽ ἑκάστου λέγειν τὸ δηλούμενον πρᾶγμα, τῶν δὲ ἐν τῇ τῶν ἑλλήνων φωνῇ μόνῃ δύνασθαι τοῦτο ποιεῖν εἰπόντων ἐξῆς πρυτανεῖα λιμένα, τῶν δ᾽ εἰπόντων, ἵναπερ αἶγες ὁρμῶσιν, ἀλλὰ θετταλούς γε ἔφην τὴν ὑφ᾽ ἡμῶν προσαγορευομένην ἀγορὰν, οὕτως ὀνομάζειν. οἱ δὲ ἠρνοῦντο τὴν τῶν θετταλῶν ἐπίστασθαι διάλεκτον, ὥσπερ οὐκ αὐτὸ δὴ τοῦτο ὁμολογοῦντες, ὅπερ ἐξ ἀρχῆς ἐλέγετο, μηδὲν τῶν ὀνομάτων ἐφ᾽ οὗ κεῖται πράγματος ἄλλως δύνασθαι μαθεῖν, παρ᾽ αὐτῶν τῶν θεμένων διδαχθέντα. πρὸς μὲν δὴ τοὺς οὕτως ἐμπλήκτους, ἕτερός μοι γέγραπται λόγος ἰδίᾳ, σοὶ δὲ τὰ πράγματα αὐτὰ μαθεῖν θέλοντι μάλιστά τε καὶ πρῶτα καὶ τοῦθ᾽ ὡς ἔργον χρηστὸν σπουδάζοντι, σοί τε δ᾽ ἐπ᾽ αὐτοῖς ὀνόματα τῆς πρὸς ἀλλήλους ἕνεκα διαλέκτου μαθεῖν ἐπιποθοῦντι τὴν τῶν ἑλλήνων ἐξηγήσομαι χρῆσιν, οὐδ᾽ οὖν τούτων ἁπάντων ἐπὶ πᾶσιν ὀνόμασιν, τοῦτο μὲν γὰρ ἑρμηνευτικῆς τινός ἐστιν ἢ γραμματικῆς ἐμπειρίας, ἀλλὰ τῶν ἀττικῶν μὲν μάλιστα. δεύτερον δ᾽ ἤδη καὶ τῶν ἰώνων ἔχειν ἐμπειρίαν ὁμολογήσω τινὰ καὶ τῶν δωρικῶν ὀνομάτων, ὥσπερ γε καὶ τῶν αἰολικῶν, ἀλλ᾽ ἐν ταύταις μὲν ταῖς διαλέκτοις ἀγνοεῖν μᾶλλον, ἢ γιγνώσκειν τὰ πλεῖστα. τῆς ἀτθίδος δ᾽ αὖ γινώσκειν τὰ πλείω, ἢ ἀγνοεῖν ὁμολογήσαιμ᾽ ἄν, εἰ δὲ βούλει σοι καὶ περὶ τῶν ὀνομάτων εἰπεῖν, Ομηρος μὲν φησί. ἰατρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων. ἰούς τ᾽ ἐκτάμνειν, ἐπὶ δ᾽ ἤπια φάρμακα πάσσειν. πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά. ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάντων, ὡς τῆς ἰατρικῆς τέχνης ἰωμένης τὰ κάμνοντα σώματα, διά τε φαρμάκων καὶ χειρουργίας. εἰ δ᾽ ἔτι καὶ τρίτον ἄλλο μόριον ἰάσεως ὑπῆρχεν τὸ διαιτητικόν, ἐν τοῖς καθ᾽ ὅμηρον χρόνοις, ἐγὼ μὲν οὐκ ἔχω συμβαλεῖν, ὁ δ᾽ ἐμοῦ πρεσβύτερός τε ἅμα καὶ τὰ τῶν ἑλλήνων πράγματα πιθανώτερος ἐπίστασθαι, πλάτων ὁ φιλόσοφος, οὐ πάνυ τι χρῆσθαι φησὶ τοὺς παλαιοὺς ἀσκληπιάδας τούτῳ τῷ μέρει τῆς τέχνης. ἀλλ᾽ ὅτι γε τῆς ἰατρικῆς ἐστιν μέρη ταῦτα τὰ τρία, καὶ ὡς ἡ τὰ παρὰ φύσιν ἔχοντα σώματα θεραπεύουσα τέχνη πρὸς ἁπάντων ἑλλήνων ἰατρικὴ καλεῖται, σχεδὸν οὐδεὶς ἀντιλέγει. γυμναστικῆς δὲ τέχνης, οὔπω μὲν ἦν τοὔνομα, καθ᾽ ὅμηρον, οὐδὲ καλεῖταί τις ὅλως γυμναστὴς ὥσπερ ἰατρός, ὅπου γε καὶ παρὰ Πλάτωνι, τὸ μὲν τῆς γυμναστικῆς ὄνομα οὐ πολλάκις εὑρεῖν ἐστιν, παιδοτρίβην μέν τοι καλεῖν μᾶλλον ἢ γυμναστὴν τὸν τεχνίτην αὐτῆς. ἤρξατο γὰρ ὀλίγον ἔμπροσθεν τῶν Πλάτωνος χρόνων ἡ τέχνη τῶν γυμναστῶν, ὅτε περ καὶ τὸ τῶν ἀθλητῶν ἐπιτήδευμα συνέστη, πάλαι μὲν γὰρ εἷς ἀνὴρ ἐργάτης τῶν κατὰ φύσιν ἔργων, ἀληθῶς εὐεκτικὸς εἰς ἀγῶνα καταβαίνων, οὐ πάλην μόνον, ἀλλὰ καὶ δρόμον ἠγωνίζετο, καί τις ἐνίοτε πολλάκις εἰς ἄμφω τε ταῦτα καὶ ἀκοντίζων καὶ τοξεύων καὶ δισκοβολῶν, καὶ ἅρματος ἐπιστατῶν, ὕστερον δὲ διεκρίθη, καὶ οἷόνπερ ἕνα πεποίηκεν ὅμηρος ἐπειὸν εἰς μὲν πάντα τὰ κατὰ φύσιν ἔργα, πάντων ὕστατον, δὲ πυγμὴν, ἧς ἐν ἄθλοις μόνοις ἡ χρεία, τοιοῦτοι πάντες ἐγένοντο, μήτ᾽ ἀρόσαι, μήτε σκάψαι, μήθ᾽ ὁδὸν ἀνύσαι, μήδ᾽ ἄλλο μηδὲν εἰρηναῖον ἔργον, ἔτι δὲ μᾶλλον πολέμιον ἐργάσασθαι καλῶς δυνάμενοι. τὴν τούτων τῶν ἀνθρώπων εὐεξίαν ἔμπροσθεν ἐμεμψάμεθα, καὶ τὴν ἐπιστατοῦσαν αὐτοῖς ὁμοίως γυμναστικὴν, ἄλλην δ᾽ εὐεξίαν ἐπῃνέσαμεν, ἀσφαλῆ τε ἅμα καὶ πρὸς τὰς κατὰ φύσιν ἁπά-

σας ἐνερ-

τὰς ἐνεργείας χρῆσιν, ἧς ὕλαι ποιητικαί τε ἅμα καὶ φυλακτικαὶ δύο ἐστόν, ἣν ὑγιεινὴν προσαγορεύομεν, δίαιτα, καὶ γυμνάσια. τεττάρων γὰρ οὐσῶν τῶν πασῶν ὑλῶν κατὰ γένος ὑφ' ὧν ἀλλοιοῦται τὸ σῶμα, χειρουργίας, καὶ φαρμακείας, καὶ διαίτης, καὶ γυμνασίων. ἡ μία μὲν ἄχρηστος τοῖς νοσοῦσιν, αἱ δύο δὲ τοῖς κατὰ φύσιν ἔχουσιν. ὁ μὲν γὰρ νοσῶν, εἰς πολλὰ καὶ φαρμάκων καὶ χειρουργίας, καὶ διαίτης δεόμενος, εἰς οὐδὲν δεῖται γυμνασίων. ὁ δ' ὑγιαίνων ἀκριβῶς, γυμνασίων μὲν χρήζει, καὶ διαίτης τινός, οὔτε δὲ φαρμάκων, οὔτε χειρουργίας προσδεῖται. τῆς οὖν ὑγιεινῆς τέχνης, μέρος ἐστὶν ἡ γυμναστική. καὶ αὐτάρκως ὑπὲρ ἀμφοῖν ἡμᾶς ἐδίδαξεν Ἱπποκράτης. ὅσα τε χρὴ γινώσκειν ἀέρων τε πέρι καὶ χωρίων, καὶ ὑδάτων καὶ ἀνέμων καὶ ὡρῶν, ὡσαύτως ἐδεσμάτων, τε πέρι καὶ πομάτων καὶ ἐπιτηδευμάτων. ἀκριβέστατα γράψας ἅπαντα. συμπληροῦται γὰρ ἐκ τούτων ἡ δίαιτα, κατὰ δὲ τὸν αὐτὸν τρόπον, ὑπέρ τε καιροῦ, καὶ ποσότητος, καὶ ποιότητος, οὐ γυμνασίων μόνον, ἀλλὰ καὶ τρίψεως αὐτάρκως διεξῆλθεν. ἔοικε δὲ Πλάτων ἀπὸ μέρους ὀνομάζειν τὸ σύμπαν μόριον, οὐχ ὑγιεινὴν τέχνην, ἀλλὰ γυμναστικὴν προσαγορεύων, ὅτι τε ἐξαίρετον ἴδιον ὑπάρχει τοῖς ὑγιαίνουσιν, ὡς ἂν μηθ' ὅλως αὐτῷ χρωμένων τῶν νοσούντων, ὅτι τε τοῦτο μόνον ἐνόμιζεν, ἐπιστάτου δεῖσθαι, τὸ μὲν γὰρ ὑγιαῖνον ἀκριβῶς σῶμα ταῖς κατὰ φύσιν ὀρέξεσιν χρώμενον, οὔτ' ἐν ταῖς ποιότησιν, οὔτ' ἐν τῷ καιρῷ τῆς χρήσεως ἐξαμάρτοι ἄν τι περὶ τὰ σιτία. περὶ μὲν δὴ τούτου λόγος ἕτερος. ἀλλ' ὅτι γε καὶ Πλάτων ἑτέραν μὲν οἶδε τὴν ὡς μέρος τῆς περὶ τὸ σῶμα τέχνης γυμναστικήν, ἑτέραν δὲ τὴν νῦν εὐδοκιμοῦσαν, ἐκ τῶνδ' ἂν μάλιστα μάθοις. ὑπογράψω γάρ σοι τὰς ῥήσεις αὐτοῦ. πρώτην μὲν τὴν ἐκ Γοργίου τόνδε τὸν τρόπον ἔχουσαν. δυοῖν ὄντοιν πραγμάτοιν, δύο λέγω τέχνας, τὴν μὲν ἐπὶ τῇ ψυχῇ, πολιτικὴν καλῶ, τὴν δὲ ἐπὶ τῷ σώματι, μίαν μὲν οὕτως ὀνομάσαι οὐκ ἔχω σοι μιᾶς δ' οὔσης τῆς τοῦ σώματος θεραπείας. δύο μόρια λέγω, τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν. ἐνταῦθα μὲν οὖν ὅτι τε μία τοῦ σώματός ἐστιν ἡ θεραπευτικὴ τέχνη, δύο ἔχουσα τὰ πρῶτα μόρια, σαφῶς ἐδήλωσεν ὁ Πλάτων. ὅτι δὲ τῶν μὲν μορίων αὐτῆς ἐστιν δ' ὀνόματα, τῆς δ' ὅλης οὐκ ἔστιν, ὅτι τε καὶ πρὸς τὸ βέλτιστον ἀποβλέπει, καὶ ὡς ἡ εὐεξία τοῦτ' ἐστίν, ἐκ τῶν τοιῶνδε φανερῶν, ὧν ἕκαστα τοῦ βιβλίου διῆλθον, σῶμά που καλεῖς τι καὶ ψυχήν. πῶς γάρ, οὐκοῦν καὶ τούτων οἴει τινὰ εἶναι ἑκατέρου εὐεξίαν, ἔγωγε, τὴν δὴ δοκοῦσαν μὲν εὐεξίαν, οὖσαν δ' οὔ. οἷον δὲ τοιόνδε λέγω. πολλοὶ δοκοῦσιν εὖ ἔχειν τὰ σώματα, οὓς οὐκ ἂν ῥᾳδίως αἴσθοιτό τις, ὅτι οὐκ εὖ ἔχουσιν, ἀλλ' ὁ ἰατρός τε καὶ τῶν γυμναστικῶν τις, ἔν τε τοῖς ἑξῆς. ὅτι τε πρὸς τὸ βέλτιστον μὲν ἀποβλέπουσιν οἵδε. πρὸς δ' αὖ τὸ ἥδιστον, ὁ ὀψοποιός τε καὶ ὁ κομμωτής, αὐτός γε διεξέρχεται, τὴν μὲν γὰρ τῶν τοὺς ἀθλητὰς γυμναζόντων, γυμναστικήν, ὑποδυομένην μὲν ὀνόματι σεμνῷ, κακοτεχνίαν δὲ οὖσαν, οὔπω μὲν εἰς τοσοῦτον ἀποκεχωρηκυῖαν τοῦ κατὰ φύσιν, εἰς ὅσον αὐτὴν νῦν προαγηόχασιν. ἤδη δ' ἀρχομένης, οὐ πρὸς τὸ βέλτιον ἀποβλέπειν, ἀλλ' ἁπλῶς ὡς ἰσχὺν τῶν ἀντιπάλων καταβλητικὴν ἐν τῷ τρίτῳ τῆς πολιτείας ἐμέμψατο, λέγων ὧδε, καὶ μὰ τὸν Δία ἦ δ' ὅς σχεδόν τί γε πάντων μάλιστα, ἥ γε περαιτέρω γυμναστικῆς ἡ περιττὴ αὕτη ἐπιμέλεια, τοῦ σώματος, καὶ γὰρ καὶ πρὸς οἰκονομίας, καὶ πρὸς στρατείας καὶ πρὸς ἑδραίους ἀρχὰς ἐν πόλει δύσκολος. τὸ δὲ δὴ μέγιστον, ὅτι καὶ πρὸς μαθήσεις ἁστινασοῦν καὶ ἐννοήσεις τε καὶ μελέτας πρὸς ἑαυτὸν χαλεπή, κεφαλῆς τινὰς ἀεὶ διατάσεις καὶ ἰλίγγους ὑποπτεύουσα, καὶ αἰτιωμένη ἐκ φιλοσοφίας ἐγγίνεσθαι. ὥστε ὅπῃ αὕτη, ἀρετῇ ἀσκεῖσθαι καὶ δοκιμάζεσθαι πάντῃ ἐμπόδιος. κάμνειν γὰρ οἴεσθαι ποιεῖ ἀεί, καὶ ὠδίνοντα μή ποτε λήγειν περὶ τοῦ σώματος. ἔτι δὲ σαφέστερον ἐν τοῖς ἑξῆς, ὡς οὐκ ἰσχὺν καταβλητικὴν οἴεται τέλος εἶναι τῆς γυμναστικῆς, ἀλλὰ τὴν πρὸς τὰς κατὰ φύσιν ἐνεργείας χρείαν ἐνεδείξατο λέγων ὧδε. αὐτά γε μὴν τὰ γυμνάσια, καὶ τοὺς πόνους πρὸς τὸ θυμοειδὲς τῆς φύσεως βλέπων, κἀκεῖνο ἐπεγείρων πονήσει μᾶλλον ἢ πρὸς ἰσχύν. οὐχ ὥσπερ οἱ ἄλλοι ἀθληταὶ ῥώμης ἕνεκα σιτία καὶ πόνους μεταχειρίζονται. δῆλος οὖν ἐξ ἁπάντων ὁ Πλάτων ἐστίν, τὴν Ἱπποκράτους ἀκριβῶς φυλάττων γνώμην ὑπὲρ τῆς γυμναστικῆς τέχνης ταύτης, ἧς τὸ τέλος ἐστίν, ἡ τῶν ἀθλητῶν εὐεξία. μέμφεται γοῦν αὐτήν, ὡς ἄχρηστον εἰς τὰς πολιτικάς, πράξεις ἁπάσας, ὅπερ ἑνὶ λόγῳ περιλαβὼν ἐκεῖνος, ὧδέ πως ἀπεφήνατο διαθέσιος ἀθλητικῆς οὐ φύσει, ἕξις ὑγιεινὴ κρείσσων. ὅτι δὲ καὶ σφαλερὰ πρὸς ὑγίειαν ἡ μάλιστα κατορθουμένη διάθεσις αὐτῶν ἐστιν, ἐφ' ἣν σπεύδουσι, καὶ ὡς καὶ τοῦτ' ἐγίνωσκον Ἱπποκράτης τε καὶ Πλάτων, εἴρηται μὲν καὶ δι' ἄλλων, οὐ μὴν ἀλλ' ἐπειδήπερ ἅπαξ κατέστην εἰπεῖν τι περὶ τῆς μοχθηρᾶς εὐεξίας τε καὶ γυμναστικῆς, ὑπομνησθήσομαι καὶ τούτων, ὡς ἔνι μάλιστα διὰ βραχυτάτων. τῆς ὑγιείας ἐν συμμετρίᾳ τινὶ τεταγμένης, ἀμετρίας ἐστὶ δημιουργὸς ἡ τοιαύτη γυμναστική, πολλὴν καὶ πυκνὴν αὔξουσα σάρκα, καὶ πλῆθος αἵματος, ὡς ἔνι μάλιστα γλισχρότατον παρασκευάζουσα. βούλεται γὰρ οὐ τὴν ἰσχὺν αὐξῆσαι μόνον, ἀλλὰ καὶ τὸν ὄγκον τε καὶ τὸ βάρος τοῦ σώματος, ὥστε καὶ ταύτῃ χειροῦσθαι τὸν ἀνταγωνιστήν. οὐκοῦν ἔτι χαλεπὸν οὐδὲν ἐξευρεῖν, ὡς διὰ τοῦτο ἄχρηστός τε πρὸς τὰς κατὰ φύσιν ἐνεργείας ἐστίν, καὶ ἄλλως σφαλερά. ὅπερ γὰρ ἐν ἁπάσαις ταῖς ὄντως τέχναις, ἀγώνισμα ἐστὶ μέγιστον εἰς ἄκρον ἀφικέσθαι τοῦ σκοποῦ, τοῦτ' ἐν ταύτῃ μοχθηρότατόν ἐστιν, † καὶ ὡς φυσικήν τινα διάθεσιν, ἀλλ' ὡς Ἱπποκράτης ἔλεγεν, οὐ φύσει κατασκευαζούσης. † al. οὐχ ὡς
τὰ μὲν γὰρ τῆς φύσεως ἀγαθά, προϊόντα τε καὶ ἐπιδιδόντα, καὶ αὐξανόμενα, γίνεται βελτίω. τὰ δ' οὐ φύσει πάντα, τοσούτῳ χαλεπώτερα, ὅσῳ καὶ μείζω. ὅθεν ἄφωνοι τινὲς αὐτῶν ἐξαίφνης, ἕτεροι δ' ἀναίσθητοι, καὶ ἀκίνητοι, καὶ τελέως ἀπόπληκτοι γίνονται, τοῦ παρὰ φύσιν ὄγκου τοῦ δέ, καὶ τοῦ πλήθους ἀποσβέσαντός τε τὴν ἔμφυτον θερμασίαν, ἐμφράξαντός τε τὰς διεξόδους τοῦ πνεύματος. ὅσοι δ' ἂν αὐτῶν τὰ πραότατα πάθωσιν, ἀγγεῖον ῥήξαντες ἐμοῦσιν, ἢ πτύουσιν αἷμα. τοὺς μὲν δὴ τῆς τοιαύτης εὐεξίας δημιουργούς, ὧν ἐστὶ τὰ θαυμαστὰ ταυτὶ συγγράμματα, νῦν ὑπὸ τῶν τὰ ὦτα κατεαγότων περιφερόμενα, τελέως ἤδη τοῦδε τοῦ γράμματος ἀποδιαπομπησόμεθα. γινώσκεις γὰρ δή που καὶ σὺ Θρασύβουλε φίλτατε, μηδ' ἀποκρίσεως αὐτοὺς ἀξιουμένους ὑπ' ἐμοῦ. τί γοῦν ἂν καὶ πλέον εἴη τοῖς χθὲς μὲν καὶ πρώην πεπαυμένοις τοῦ παρὰ φύσιν ἐμπίπλασθαί τε καὶ κοιμᾶσθαι, τόλμης δ' εἰς τοσοῦτον ἥκουσιν, ὥσθ' ὑπὲρ ὧν οὐδὲ τοὺς ἱκανῶς ἠσκηκότας ἀκολουθίας τε καὶ μαχομένων διάγνωσιν ἔχειν εὐπετῶς ἀποφαίνεσθαι, περὶ τούτων ἀναισχύντως διατείνεσθαι. τί μάθοιεν ἂν οὗτοι βα-

θὺ καὶ σοφὸν καὶ ἀκριβὲς ἀκούσαντες θεώρημα, θαυμαστὸν μὲν τ' ἂν ἦν, εἰ τοῖς μὲν ἐκ παίδων ἀσκουμένοις ἐν τοῖς ἀρίστοις μαθήμασιν οὐχ ἅπασιν ὑπάρχει κεῖν τοῖς ἀγαθοῖς εἶναι περὶ τοιαύτης θεωρίας, ὅσοι δ' ἀσκοῦνται μὲν ὥστε ἐν ἄθλοις νικᾶν, ἀφυεῖς δὲ ὄντες κἀκεῖ στεφάνων μὲν ἠτύχησαν, ἐξαίφνης δ' ἂν ἐφάνησαν γυμνασταί, τούτοις ἄρα μόνοις ὑπάρξει νοῦς περιττός. καὶ μὴν ἐγρήγορσις μᾶλλον καὶ φροντὶς οὐκ ἀμαθής, ἢ ὕπνος, ὀξὺν τὸν νοῦν ἀπεργάζονται, καὶ τοῦτο πρὸς ἁπάντων σχεδὸν ἀνθρώπων ᾄδεται, διότι πάντων ἐστὶν ἀληθέστατος, ὡς γαστὴρ ἡ παχεῖα τὸν νοῦν οὐ τίκτει τὸν λεπτόν. ἴσως οὖν ἡ κόνις ἔτι μόνη σοφίαν αὐτοῖς ἐδωρήσατο. τὸν μὲν γὰρ πηλόν, ἐν ᾧ πολλάκις ἐκυλινδοῦντο τίς ὑπολαμβάνει σοφίας εἶναι δημιουργόν, ὁρῶν γε καὶ τοὺς σῦς ἐν αὐτῷ διατρίβοντας, ἀλλ' οὐκ ἐν τοῖς ἀποπάτοις εἰκός, ἐν οἷς διημέρευον, ἀγχίνοιαν φύεσθαι, καὶ μὴν παρὰ ταῦτ' οὐδὲν ἄλλο πρότερον ἔπραττον. ὅλον γὰρ ἑωρῶμεν αὐτῶν τὸν βίον ἐν ταύτῃ τῇ περιόδῳ συστρεφόμενον, ἢ ἐσθιόντων, ἢ πινόντων, ἢ κοιμωμένων, ἢ ἀποπατούντων, ἢ κυλινδουμένων ἐν κόνει τε καὶ πηλῷ. τούτους οὖν ἀποπέμψαντες, οὐ γὰρ κακοτεχνίας ἀλλὰ τέχνας ἥκομεν ἐπισκεψόμενοι. τοὺς δὲ ὄντας γυμναστικῆς ἐπιστήμονας ἤδη καλῶμεν, Ἱπποκράτην τε καὶ Διοκλέα, καὶ Πραξαγόραν, καὶ Φιλότιμον, Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον. ὅσοι τ' ἄλλοι τὴν ὅλην περὶ τὸ σῶμα τέχνην ἐξέμαθον. ἤκουσας δή που ἀρτίως Πλάτωνος λέγοντος, ὡς οὐδὲν ἐστὶν ἴδιον ὄνομα. μὴ τοίνυν ζήτει ἓν ὄνομα κατὰ πάσης τῆς περὶ τὸ σῶμα τέχνης. οὐ γὰρ εὑρήσεις. ἀλλ' εἴπερ ποτὲ κατασταίης ὑπὲρ αὐτῆς εἰπεῖν, ἀρκείτω σοι Πλάτωνα μιμησαμένῳ διελθεῖν, ὡς μιᾶς οὔσης τῆς τοῦ σώματος θεραπείας, δύο μόρια λέγω, τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν, ὑγιαινόντων μὲν δηλονότι τὴν γυμναστικήν, νοσούντων δὲ τὴν ἰατρικήν, ἀλλ' ἐκεῖνο μᾶλλον ἐπισκέψεως ἄξιον. ὅτι μὴ τὴν ὑγιεινὴν τέχνην ὁ Πλάτων ἀντιδιεῖλε τῇ ἰατρικῇ, καθάπερ ἐποίησαν οἱ προειρημένοι πάντες ἄνδρες, ὧν εἰ βούλει μνημονεύσωμεν ἑνός, ἐπειδὴ καὶ πρόχειρα πᾶσίν ἐστιν αὐτῶν συγγράμματα. λέγει τοίνυν Ἐρασίστρατος ἐν τῷ πρώτῳ τῶν ὑγιεινῶν. οὔτε γὰρ ἰατρὸς εὑρεῖν ἐστιν ὅς τις δέδωκεν αὐτὸν εἰς τὴν περὶ τῶν ὑγιεινῶν πραγματείαν. εἶτ' ἐφεξῆς. αἱ μὲν γὰρ παρά τι πάθος γιγνόμεναι ἀπεψίαι, καὶ αἱ τούτων θεραπεῖαι εἰς ἰατρικῶν, καὶ οὐκ εἰς τὴν τῶν ὑγιεινῶν πραγματείαν πίπτουσιν. εἶτ' αὖθις, ἔτι προελθών. εἰ δέ τις εἴη φαυλότης περὶ τὸ σῶμα, δι' ἣν τὰ προσφερόμενα ἀεὶ διαφθαρήσεται, καὶ † οὐκ εἰς τὴν αὐτὴν κακοχυμίαν τοῖς προϋπάρχουσιν ἥξει, τὴν τοιαύτην διάθεσιν ἰατροῦ καὶ οὐχ ὑγιεινοῦ, λύειν. εἶτ' ἐφεξῆς, τὸ λέγειν περὶ τούτων ἢ λύειν ταύτας, ἰατροῖς καὶ οὐχ ὑγιεινοῖς ἐπιβάλλει. φαίνεται γὰρ οὗτος, οὐ μόνον ὑγιεινήν τινὰ ὀνομάζων τέχνην ὁμοίως τοῖς ἄλλοις ἅπασιν, ἀλλὰ καὶ τὸν τεχνίτην αὐτῆς, ὑγιεινόν, ὥσπερ οἶμαι καὶ τὸν τῆς ἰατρικῆς ἰατρόν. ἵνα τῆς περὶ τὸ σῶμα θεραπευτικῆς τέχνης, ἧς οὐδὲν ἦν ὄνομα τοῖς Ἕλλησιν ἴδιον εἰς δύο τὰ πρῶτα τμηθείσης, ὥσπερ αὐτὰς τὰς τέχνας ἰατρικήν τε καὶ ὑγιεινήν, οὕτως καὶ τοὺς τεχνίτας αὐτῶν ὀνομάζομεν, ὑγιεινόν τε καὶ ἰατρόν. ὡσαύτως δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἰατρῶν ἐχρήσαντο τοῖς ὀνόμασιν, ἀλλ' ὡς ἔοικεν, οὔπω κατὰ Πλάτωνα συνηθὲς ἦν τοῖς Ἕλλησιν, οὔτε ὑγιεινὴν εἶναι τέχνην οὔτε τὸν ἐπιστήμονα καλεῖν ὑγιεινόν. οὐδὲ γὰρ οὐδὲ τὸ τοῦ Ἱπποκράτους ὑγιεινόν, ὑγιεινόν, ἀλλὰ τὸ μέν τι περὶ διαίτης ἐπιγέγραπται, τὸ δέ τι περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων. τάχα δ' ὡς ἔφην, οὐδὲ χρείαν εἶναι διαίτης ὁ Πλάτων ἐνόμιζεν τοῖς ὑγιαίνουσιν, ἀλλ' ἀρκεῖν μόνην γυμναστικήν. οὐδὲ γὰρ τὸ ἀναληπτικὸν μόριον, ἢ τὸ προφυλακτικὸν ἴσως ἡγεῖται προσήκειν τῇ γυμναστικῇ. μέσα γοῦν ὡς ἔφην αὐτὰ τεταγμένα, δυνατόν ἐστιν, ὁποτέρῳ τις βούλεται προσνέμειν. ἀλλ' εἰ καὶ ταῦτά τις ἰατροῖς ἐπιτρέψειεν, ὀλίγον ἐστὶ τὸ ὑγιεινόν, ἀέρων τε πέρι, καὶ ὑδάτων καὶ χωρίων καὶ γυμνασίων καὶ σιτίων ἐπισκοπούμενον. καί τοι γε οὐδὲ περὶ σιτίων ἁπάντων, ἀλλ' ὅσα τοῖς ὑγιαίνουσιν ἁρμόττει μόνον. τάχα δ' ἐπειδὴ καὶ τὰ τῶν ἀέρων τε καὶ χωρίων καὶ ὑδάτων ἔφθανεν ἤδη γιγνώσκεσθαι τοῖς ἰατροῖς, ὡς ἂν καὶ πρότερον τοῦ θεραπευτικοῦ μορίου συστάντος, οὐδὲν ἔτι προσεπιμαθεῖν αὐτῶν ἐνέλειπεν, εἰς τὸ μὴ μόνον ἰατροῖς, ἀλλὰ καὶ ὑγιεινοῖς γενέσθαι, πλὴν τῆς περὶ τὰ γυμνάσια τέχνης. οὔκουν οὐδὲ ἀπεικός, οὐδ' ἀπὸ μόνου τοῦ προσαγορευθέντος ὀνομασθῆναι τὸ σύμπαν. ἀλλὰ τοῦτο μὲν ὑπὲρ ὀνόματός ἐστιν, οὐ περὶ πράγματος σκοπεῖσθαι. καὶ εἴ τις, ὅπερ καὶ πρόσθεν εἶπον, αὐτὸ δὴ τοῦτο γιγνώσκων, ὅτι μὴ καὶ περὶ πράγματος ὁ λόγος, ἀλλ' ὀνόματός ἐστιν, ἐμὲ κελεύσειεν ἀποφαίνεσθαί τι καὶ περὶ τοῦδε, βέλτιον ὀνομάζειν ἐρῶ τοὺς δύο τὰ πρῶτα μόρια φάσκοντας τῆς ὅλης τέχνης, ὑγιεινόν τε καὶ θεραπευτικόν, εἴπερ ἐν ταῖς μεθόδοις ταῖς διαιρετικαῖς ἐμάθομεν ἀντιδιαιρεῖν ἀλλήλοις ὁμογενῆ πράγματα. τὸ γὰρ, εἰ τύχοι, τῶν ζώων εἰπόντι, τὰ μὲν ἀέρια, τὰ δ' ἔνυδρα, προσθεῖναι τούτων τὰ λογικά, περιφανῶς ἄτοπον. ἡ μὲν γὰρ προτέρα διαίρεσις ἔμπυρά τε καὶ ἔγγεια προσκεῖσθαι ποθεῖ. ταῦτα γὰρ ἀνάλογόν ἐστι τοῖς ἐν ἀερίοις τε καὶ ἐνύδροις. ἡ δ' αὖ δευτέρα, τοῖς λογικοῖς ἀντιδιαιρεῖσθαι βούλεται τὰ ἄλογα. κατὰ ταὐτὰ δὲ, καὶ τῷ μὲν θνητῷ τὸ ἀθάνατον, ἀγρίῳ δὲ, τὸ ἥμερον, καὶ πεζῷ, τὸ πτηνόν, καὶ τὸ νηκτόν. ἐσχάτη γὰρ ἀτοπία τῶν ζώων, εἰ τύχοι, τὰ μὲν ἀθάνατα λέγειν εἶναι, τὰ δὲ πεζά, τὰ δὲ δίποδα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐπὶ τῆς περὶ τὸ σῶμα τέχνης, εἴ τις ἐθέλοι τέμνων, ἐξευρίσκειν τὰ μόρια, τὸ μὲν τοὺς νοσοῦντας ἰώμενον, ἰατρικῆς τέχνης λεχθήσεται, τὸ δὲ τῶν ὑγιαινόντων, προνοούμενον ὑγιεινῆς. καὶ τούτου γ' ἔτι κάλλιον, ὡς ἡμεῖς ἔμπροσθεν ἐλέγομεν. τῆς περὶ τὸ σῶμα τέχνης ἐπανορθωτικῆς γένος οὔσης, τὸ μὲν κατὰ μεγάλα τὴν ἐπανόρθωσιν ποιούμενον, ἰατρικόν τε καὶ ἰατρικὸν ὀνομασθήσεται, τὸ δὲ κατὰ σμικρά, καὶ διὰ τοῦτο λανθάνον, εἰ τὴν ἀρχὴν ἐπανορθοῦται, φυλακτικόν. ἔτι δὲ κάλλιον ὀνομάσεις ἀπὸ τῶν ὑλῶν αὐτά, νοσερὸν μὲν τὸ ἕτερον, ὑγιεινὸν δὲ θάτερον. εἰ δ' αὖ πάλιν ἐθέλοις τέμνειν τὸ ὑγιεινόν, ἢ φυλακτικόν, εἴρηται γὰρ ὡς ἑκατέρως ἐγχωρήσει προσαγορεύειν, ἀπὸ μὲν τῆς ὑποκειμένης ὕλης εἰς τρία τεμεῖς, ὡς ἔμπροσθεν εἴρηται, τό τ' ἀναληπτικὸν ὀνομαζόμενον, καὶ τὸ κατ' εἶδος ὑγιεινόν, καὶ πρὸς τούτοις τὸ εὐεκτικόν. ὑποβέβληται γὰρ ἡ ἴδιος ἑκάστῳ τῶν εἰρημένων ὕλη, τῷ μὲν, τὸ κατὰ σχέσιν ὑγιαῖνον σῶμα, τῷ δὲ, τὸ καθ' ἕξιν, τῷ τρίτῳ δέ, τὸ καλούμενον εὐεκτικόν. συμβέβηκε γοῦν ὁμωνύμως λέγεσθαι τοῖς μορίοις τῆς τέχνης αὐτὰ τὰ σώματα. κατὰ δὲ τὰς ὕλας τῶν βοηθημάτων, εἴπερ ἡ τομή σοι γίνοιτο, τετραχῆ διαιρήσεις τήν τε φυλακτικήν τε καὶ ὑγιεινὴν ταύτην τέχνην. ἔσται γὰρ αὐτῆς, ἡ μὲν, ἐν προσφερομένοις, ἡ δὲ ἐν ποιουμένοις, ἡ δὲ ἐν κενουμένοις, ἡ δὲ ἐν τοῖς ἔξωθεν προσπίπτουσιν ἀναστρεφομένη. διὰ τούτων γὰρ ἡ ὑγίεια φυλάττεται, τὸ μὲν ὂν ἐν

τοῖς

† ἴσ. οὕτως

τοῖς προσφερομένοις, τῆς ὑγιεινῆς τέχνης μέρος, ἐδεσμάτων τ' ἐστὶ καὶ πομάτων ἐπιστήμη τῶν εἰς ὑγιείας φυλακὴν ἀνηκόντων, τὸ δ' ἐν τοῖς κενουμένοις, ἱδρώτων τε καὶ διαχωρημάτων, οὔρων τε καὶ ὅλως ἁπάντων τῶν ἐκ τοῦ σώματος ἡμῶν ἐκκενοῦσθαι δεομένων. τὸ δὲ τῶν ἔξωθεν προσπιπτόντων, ἀέρος, ὕδατος, ἅλμης, θαλάττης, ἐλαίου τῶν τε ἄλλων ἁπάντων τῶν τοιούτων. ἔτι δὲ τὸ τέταρτόν τε καὶ λοιπὸν, ὅπερ ἐν τοῖς ποιουμένοις ἐτέτακτο μέρος τῆς τέχνης. ἐν γυμνασίοις ἐστὶ καὶ τοῖς καλουμένοις ἐπιτηδεύμασιν. καὶ γὰρ ἐγρήγορσις, καὶ ἀγρυπνία, καὶ ὕπνος καὶ ἀφροδίσιά τε καὶ θυμὸς, καὶ φροντὶς καὶ λουτρὸν ἐκ τούτου τοῦ γένους ἐστὶν. καὶ χρὴ διαγινώσκειν τῶν ὑγιεινῶν ἑκάστου τῶν εἰρημένων, ποσότητά τε καὶ ποιότητα καὶ καιρὸν πολλοστὸν οὖν μέρος γίνεται τῆς ὑγιεινῆς τέχνης, ἡ περὶ τῶν γυμνασίων ἐπιστήμη. δικαιότερον γὰρ οἶμαι καλεῖν ἐστὶ γυμναστικὴν τέχνην ἥτις ἂν ἐπιστήμη τῆς ἐν ἅπασι τοῖς γυμνασίοις ἦ δυνάμεως, ὡς τό γε περὶ τῶν τὴν κατὰ παλαίστραν ἐπίστασθαι μόνον, ἐσχάτως πάνυ μικρόν ἐστι, καὶ πᾶσιν ἥκιστα χρήσιμον. ἐρέσσειν οὖν ἄμεινόν ἐστι καὶ σκάπτειν, καὶ θερίζειν, καὶ ἀκοντίζειν, καὶ τρέχειν, καὶ πηδᾶν καὶ ἱππάζεσθαι, καὶ κυνηγετεῖν, ὁπλομαχεῖν τε καὶ σχίζειν ξύλα, καὶ βαστάζειν καὶ γεωργεῖν, ἅπαντά τε τ' ἄλλα κατὰ φύσιν ἐργάζεσθαι κρεῖττον, ἢ κατὰ παλαίστραν γυμνάζεσθαι. καί σοι πάρεστιν ἤδη σκοπεῖν, οὐ μόνον ὅτι πολλοστόν ἐστι μόριον ὑγιεινῆς τέχνης ἡ γυμναστικὴ, ἐλάχιστον δ' αὖ πάλιν ἐστὶ τῆς γυμναστικῆς, τὸ περὶ τῶν κατὰ παλαίστραν μόριον, ὅτι τε τούτῳ παράκειται τὸ τῶν ἀθλητῶν ἐπιτήδευμα, καὶ διαθέσεως τινὸς ἀπεργαστικὸν οὐ φύσει, καὶ κακοτεχνίαν ἐπιστατοῦσαν ἔχον ὑπολυομένην μὲν τέλει χρηστῷ τῆς εὐεξίας, ἄλλο δ' ἔτι μᾶλλον, ἢ εὐεξίαν ἐργαζόμενον, ἀλλὰ ὅτι τῆς μὲν τοιαύτης κακοτεχνίας οἱ δυστυχῶς ἀθλήσαντες ἐξαίφνης ἐπιστήμονες ἀναφαίνονται. τῆς δ' ὄντως γυμναστικῆς, Ἱπποκράτης καὶ ὁ προειρημένος ἅμ' αὐτῷ χορὸς, ἐπιστήμων ἐστίν. ὥσπερ δ' ἐν τοῖς κατὰ ἰατρικὴν, οὐχ ἅπασιν ὀρθῶς ἅμα εἴρηται πάντα, κατὰ τὸν αὐτὸν τρόπον, οὐδὲ περὶ γυμνασίων. ἀλλὰ νῦν οὐ πρόκειται διελέγχειν τοὺς κακῶς ὑπὲρ αὐτῶν ἐγνωκότας, ἀλλ' ἐξηγεῖσθαι τοὔνομα τῆς γυμναστικῆς. ὡς ἔστιν ἐπιστήμη τις ἥδε τῶν ἐν γυμνασίοις δυνάμεων, ὥσπερ ἡ φαρμακευτικὴ, τῶν ἐν φαρμάκοις. ἄμφω γὰρ ταῦτα τὰ μόρια τὴν κλῆσιν ἀπὸ τῶν ὑλῶν ἔσχηκεν, ὁμοίως τοῖς ἄλλοις, οἷς ὀλίγον ἔμπροσθεν εἶπον. καὶ δῆλον ὡς ὅσοι τὴν γυμναστικὴν ἀντιδιαιροῦσι τῇ ἰατρικῇ κακῶς γινώσκουσιν. ἡ μὲν καὶ ἀπὸ τῆς ὕλης, ἡ δ' ἀπὸ τῆς καθόλου τε καὶ γενικῆς ἐνεργείας ὠνόμασται. πρῶται μὲν γάρ εἰσιν αἱ κατὰ μέρος ἐνέργειαι, καθῆραι δι' ἐλλεβόρου καὶ σκαμμωνίας, εἰ τύχοι, καὶ τεμεῖν φλέβας καὶ ὀστοῦν ἐκκόψαι, καὶ ἀσιτῆσαι προστάξαι, καὶ δοῦναι τροφήν. ἐπ' αὐταῖς δ' ἕτεραι γενικώτεραί τε, καὶ ἤδη καθόλου, φαρμακεῦσαι, καὶ χειρουργῆσαι, καὶ διαιτῆσαι, καὶ τούτων ἁπασῶν κοινὴ, τὸ ἰᾶσαι, καθάπερ οἶμαι πάλιν, ἐπὶ ταῖς περὶ τὰ ὑγιαίνοντα γιγνομέναις ἐνεργείαις ἁπάσαις, κοινὴ ἡ φυλακὴ, καὶ ὅστις ἀντιδιαιρεῖται τῷ ἰατρικῷ τὸ φυλακτικὸν, ὁμογενῶν ποιεῖται τὴν ἀντίθεσιν. ἄμφω γὰρ ἀπὸ τῆς ἐνεργείας ὠνόμασται, καθάπερ αὖ πάλιν ἀπὸ τῆς ὑποκειμένης ὕλης, τό γε νοσερὸν καὶ ὑγιεινόν. ἀπὸ δὲ τῆς τῶν βοηθημάτων ὕλης, τό τε φαρμακευτικὸν ὠνόμασται καὶ τὸ γυμναστικόν. τὸ μὲν γὰρ τοῦ νοσεροῦ τε καὶ ἰατρικοῦ, μέρος ὑπάρχει, τὸ δὲ τοῦ ὑγιεινοῦ τε καὶ φυλακτικοῦ. προσέχειν δ' ἐνταῦθα τὸν νοῦν χρὴ, μὴ πλανηθῶμεν τὸν αὐτῶν ἀποδείξαντες τῷ γυμναστικῷ, τὸν ἐπιστάτην τοῦ παλαίσματος, καὶ μόριόν τι ποιήσαντες ὅλης τῆς γυμναστικῆς, τὴν ὡς ἂν εἴποι τις παλαιστρικήν. ὁ γὰρ ἐπιστάμενος τά τε παλαίσματα σύμπαν, καὶ τῶν τρίψεων ἁπάσας καλῶς ἐργάζεσθαι τὰς κατὰ μέρος ἐνεργείας, ἀνάλογόν ἐστιν σιτοποιῷ καὶ μαγείρῳ καὶ οἰκοδόμῳ, δημιουργεῖν μὲν ἐπισταμένοις, ἄρτους τε, καὶ ὄψα, καὶ οἰκίας, οὐ μὴν ἐπαΐουσί γ' οὐδὲν, οὐδὲ γινώσκουσιν, ὅτι τε, χρηστὸν ἐν αὐτοῖς καὶ μὴ χρηστὸν ἥν τινά τε δύναμιν ἔχον ἕκαστον αὐτῶν ἐστὶ πρὸς ὑγίειαν. ἡ μὲν οὖν προνοουμένη τοῦ σώματος ἡμῶν τέχνη μία, καθάπερ εἴρηται πολλάκις. αἱ δ' ἄλλαι τὰς ὕλας ταύτῃ παρασκευάζουσιν. οὔτε γὰρ οἷς ἄμεινόν ἐστιν ὑποδεδέσθαι μὲν καὶ ἀνυποδέτους εἶναι σκυτοτόμος οἶδεν, οὔτ' οἷς ὑποδεδέσθαι μὲν, ἀλλὰ τοιοῦτον ἢ τοῖον ὑπόδημα. ταῦτα μὲν γὰρ Ἱπποκράτης γιγνώσκει. καὶ κελεύει γε τῷ δέ τινι φορεῖν ἀρβύλας τὰς πηλοπατίδας, οὐ μὴν αὐτός γε δημιουργήσει τὰς ἀρβύλας, οὐ μᾶλλον ἢ ὁ στρατηγὸς τὸ κράνος καὶ τὸν θώρακα καὶ τὸ δόρυ, καὶ τὴν ἀσπίδα, καὶ τὴν μάχαιραν, καὶ τὰς κνημῖδας. οὐδὲ γὰρ ὁ οἰκοδόμος οἶδεν ὑψηλῆς πέρι καὶ ταπεινῆς οἰκήσεως, οὐδὲν ἔτι πρὸς ἀνατολὴν ἢ δύσιν ἐστραμμένης, οὐδέ γε τῆς πρὸς βορρᾶν τε καὶ ψυχρᾶς ἢ νοτίου καὶ θερμῆς, οὐδὲ σκοτεινῆς ἢ φωτεινῆς, οὐδὲ κατάγαιού τε καὶ ὑπερῴου καὶ νοτερᾶς, καὶ ξηρᾶς, ἀλλ' ὅλως ἀγνοεῖ, τίνα μὲν ὠφέλειαν ἕκαστον τούτων ἔχει, τίνα δὲ βλάβην, ὥσπερ γε καὶ ὁ σιτοποιὸς οὐκ οἶδεν, ὅτῳ χρὴ καθαρὸν ἄρτον διδόναι, καὶ ὅτῳ συγκομιστὸν, οὐδὲ ὅτῳ πολὺν, ἢ ὀλίγον, οὐδ' ἐν ὅτῳ καιρῷ. κατασκευάζει μέντοι καλῶς αὐτούς. ὡσαύτως δὲ καὶ ὁ μάγειρος, ἢ φακὴν ἢ πτισάνην, ἢ χόνδρον, ἢ τεῦτλον, ἢ τι τῶν ἄλλων ἐπίσταται σκευάζειν, οὐκ εἰδὼς οὐδενὸς αὐτῶν τὴν δύναμιν, αἱ μὲν δὴ τοιαῦται τέχναι τὰς ἁπάσας ὕλας παρασκευάζουσι τῇ θεραπευτικῇ τοῦ σώματος, ὥσπερ αὐταῖς ταύταις ἕτεραι, τῷ μὲν σιτοποιῷ, τοὺς πυροὺς ὁ γεωργὸς καὶ κλίβανον ὁ ἰπνοπλάστης, καὶ ὁ ὑλοτόμος τὰ ξύλα καὶ ὁ τέκτων τὴν ἄβακα, τῷ τέκτονι δ' αὐτῷ πάλιν ἄλλος μὲν ἀξίνην, ἄλλος δὲ σταθμὴν, ἄλλος δ' αὖ τὰ ξύλα. καὶ σκυτοτόμῳ δὲ κατὰ ταῦτα τὴν μὲν σμίλην, ἡ χαλκευτικὴ, τὰ σκῦτα δὲ βυρσοδεψικὴ, τὸν καλόποδα ἡ τεκτονική. καὶ οἰκοδόμῳ δὲ λατύποι τε, καὶ λιθοτόμοι, καὶ πλινθουργοὶ, καὶ τέκτονες, οἱ μὲν λίθους, οἱ δὲ πλίνθους, οἱ δ' ἐπιτήδεια ξύλα προπαρασκευάζουσιν. αἱ μὲν οὖν τοιαῦται τέχναι σύμπασαι, προσδέονταί τε ἀλλήλων καὶ παρασκευάζουσι τὰς τελεωτέρας, τὰς θ' ὕλας αὐτὰς ἐξ ὧν ἐργάζονται τὸ τέλος, ὄργανά τε χρηστὰ, δι' ὧν ἐκείνας κοσμοῦσιν. ἁπάσαις δ' αὐταῖς ἐφέστηκεν, οἷον ἀρχιτεκτονική τις ἡ θεραπευτικὴ τοῦ σώματος, καὶ κελεύει τῇ μὲν οἰκοδομικῇ τοιάνδε τινὰ τὴν οἰκίαν, τῇ δὲ σκυτοτομικῇ τὸ ὑπόδημα, καὶ τῇ μὲν σιτοποιητικῇ τὸν ἄρτον, τῇ δ' αὖ μαγειρικῇ τοὔψον, ἑκάστῃ τε τῶν ἄλλων ὡς ἑκάστῃ πέφυκεν. ἀλλὰ ταύτης τῆς περὶ τὸ σῶμα θεραπευτικῆς, ἡ ὑγιεινὴ μόριον ἦν, καὶ ταύτης τετραχῆ τεμνομένης. ἑνὸς τῶν μορίων ἡ γυμναστικὸν μόριον. αὕτη τοίνυν οἷον ἀρχιτεκτονική τις ἐστὶν. τοσῶνδε τεχνῶν, ἱππευτικῆς μὲν ὅταν ἱππάζεσθαι δέῃ διδάσκουσα μέτρον καὶ καιρὸν καὶ ποιότητα, κυνηγετικῆς δὲ, καὶ συμπάσης θηρευτικῆς. ὅταν αὖ τούτων ἡ χρεία καλῇ, κατὰ ταυτὰ δὲ ταῦτα καὶ σκαπτόντων, καὶ θεριζόντων, καὶ ὑλοτομούντων, καὶ ἐρεσσ-

† ἄλ. ἐφιστατοῦντι

σόντων, καὶ ὀρχουμένων, καὶ πᾶν ὁτιοῦν ἐνεργούντων † ἐφιστατῶν τι καὶ ἄρχει καὶ προστάττει. μία τῶν τοιούτων ἐστὶ τεχνῶν καὶ ἡ περὶ τὰ παλαίσματα, καλῶμεν δ' αὐτὴν εἰ βούλει, παιδοτριβικήν, αὕτη μὲν οὐδ' ἐπαΐουσα τῶν πρὸς ὠφέλειάν τε καὶ βλάβην τοῦ σώματος, εὐσχήμονας δὲ καὶ πολυειδεῖς καὶ καταβλητικὰς καὶ ἀπόνους ἐξευρίσκουσα λαβάς τε ἅμα καὶ κινήσεις, οὐδὲν ἧττον τῆς ὀρχηστικῆς. ἀλλ' ἐκείνη μὲν οὐκ ἀντιποιεῖται τῆς περὶ τὸ σῶμα θεραπείας, ἡ παιδοτριβικὴ οὐκ οἶδ' ὅπως ὑπ' ἀναισθησίας ἐσχάτης, οἷον ἐμπληκτός τις οἰκέτης ἐπανίσταται δεσπότῃ χρηστῷ, τῇ γυμναστικῇ, καθάπερ οἰκέτης ὁπλίτης, ἢ ἱππεύς, ἢ τοξότης, ἢ σφενδονίτης, ἢ ἀκοντιστὴς ἀντιλέγοι τῷ στρατηγῷ, παρατάττοντί τε καὶ ὁπλίζοντι, καὶ πρὸς τὸν πόλεμον ἐξάγοντι, καὶ αὖθις ἡσυχάζειν κελεύοντι, μαίνοιτο γὰρ ἄν που κἀκεῖνος, εἰ τὸν στρατηγὸν εἰς τὰς τῆς μέρος ἐνεργείας προσκαλούμενος, εἶτα βελτίων εὑρισκόμενος, ἢ κοινωνεῖν ἀξιοῖ τῆς ἀρχῆς, ἢ μέρος ἀφαιροῖ τὴν αὐτοῦ τέχνην τῆς στρατηγικῆς. μαίνοιτο δ' ἂν οὐδὲν ἧττον οἶμαι καὶ ὁ παιδοτρίβης, ἢ κοινωνεῖν γυμναστικῆς, ἢ μέρος ἔχειν αὐτῆς οἰόμενος. ὑπηρέτης γάρ ἐστι μόνον. ὥσπερ γὰρ ὁ στρατιώτης τῆς στρατηγικῆς, οὕτως καὶ ὁ παιδοτρίβης. αὐτὸς γὰρ ἡ μὲν γυμνάζει, τῆς γυμναστικῆς, ᾗ δ' ἀσκεῖ τέχνην παλαισμάτων, ἑτέρας αὖ τινός ἐστιν ἐπιτηδεύσεως ὑπηρέτης, ἣν μὲν ἐγὼ ὀνομάζω καταβλητικήν. οὐ μόνον δ' αὐτοὺς οὕτως καλοῦσιν οἱ τοὺς ἀθλητὰς ἀσκοῦντες, ἀλλὰ γυμναστὰς ὀνομάζουσιν. καί τοι κατά γε τὴν ἀλήθειαν, ἕτερον μέν ἐστιν παιδοτριβική, καθάπερ ἡ τοξευτική. καὶ δὲ οἷον περ ἡ στρατηγική. γυμναστικὴ δὲ οἷον ἡ ἰατρική, καὶ δηλαδὴ ὑπηρετεῖ τέχναις ἐφεστώσαις ἑκάστῃ τῶν τοιούτων. οὕτω γὰρ καὶ ἡ σκυτοτομική, τὸ μέν, ὡς στρατιώτῃ τινὶ χρηστὸν ὑπόδημα παρὰ τῆς στρατηγικῆς ἐκδιδάσκεται, τὸ δὲ ὡς εἰς ὑγίειαν ἐπιτήδειον, ὑπὸ τῆς περὶ τὸ σῶμα τέχνης, ἐργάζεσθαι κελεύεται. ὡσαύτως δὲ καὶ ἡ μαγειρική, τὸ μὲν εἰς ὑγίειαν ὄψον, ἰατρῷ τε καὶ ὑγιεινῷ παρασκευάζει, τὸ δ' εἰς ἡδονήν, τέχνη μὲν οὐκ ἔτι τοῦτό γε οὐδεμίᾳ, κολακείᾳ δέ τινι τὸ τέλος, οὐ τὴν ὑγείαν, ἀλλὰ τὴν ἡδονὴν πεποιημένη. καὶ δὴ οὖν καὶ παλαιστική, τὸ μὲν εἰς ὑγείαν χρηστόν, ὑγιεινοῖς τε καὶ γυμνασταῖς παρασκευάζει, τὸ δὲ εἰς διάθεσιν ἀθλητικήν, ἐκείνῃ τῇ κακοτεχνίᾳ τῇ πολλάκις εἰρημένῃ, τῇ καλούσῃ μὲν ἑαυτὴν γυμναστικήν. κάλλιον δ' ἂν ὀνομασθείη, καταβλητική, καὶ γὰρ οὖν καὶ ὀνομάζουσιν αὐτὴν οἱ λάκωνες καββαλικήν, καὶ καββαλικώτερον ἑαυτῶν γε φασὶν εἶναι τὸν ἐν ταύτῃ τεθραμμένον, οὐκ ἰσχυρότερον. ὅπου γε καὶ ἡ ὑγιαίνουσα πολιτεία, μισεῖ τοῦτο τὸ ἐπιτήδευμα, καὶ βδελύττεται, πάσης μὲν τῆς εἰς τὸν βίον ἰσχύος, ἀνατρεπτικὸν ὑπάρχον, οὐκ εἰς ἀγαθὴν δὲ τοῦ σώματος ἄγον διάθεσιν. ἐγὼ γοῦν ἐπειράθην ἐμαυτοῦ πολλάκις ἰσχυροτέρου τῶν ἀρίστων εἶναι δοκούντων, καὶ πολλοὺς στεφανίτας ἀγῶνας ἀνῃρημένων ἀθλητῶν, ἔν τε γὰρ ὁδοιπορίαις ἁπάσαις ἄχρηστοι τελέως ἦσαν, ἔν τε ταῖς πολεμικαῖς πράξεσιν, ἔτι δὲ μᾶλλον ἐν πολιτικαῖς τε καὶ γεωργικαῖς, εἰ δ' ἔπου καὶ φίλῳ νοσοῦντι παραμεῖναι δέοι, πάντων ἀχρηστότατοι, συμβουλεῦσαι τε καὶ συσκέψασθαι, καὶ συμπρᾶξαι, τοῦτα μὲν, ἧπερ γε καὶ οἱ σύες, ἀλλ' ὅμως οἱ τούτων ἀτυχέστατοι, καὶ μηδεπώποτε νικήσαντες, ἐξαίφνης ἑαυτοὺς ὀνομάζουσιν γυμναστάς, εἶτ' οἶμαι καὶ κεκράγασιν, οὐδὲν ἧττον τῶν συῶν ἐκμελεῖ, καὶ βαρβάρῳ φωνῇ. τινὲς δ' αὐτῶν καὶ γράφειν ἐπιχειροῦσιν, ἢ περὶ τρίψεως, ἢ εὐεξίας, ἢ ὑγιείας, ἢ γυμνασίων εἶτα προσάπτεσθαι τολμῶσι καὶ ἀντιλέγειν, οἷς οὐδ' ὅλως ἔμαθον, οἷος ὁ πρώην μὲν Ἱπποκράτει ἐγκαλῶν, ὡς οὐκ ὀρθῶς ἀποφηναμένῳ περὶ τρίψεως, ἐπεὶ δ' ἡμᾶς ἀφικομένους ἠξίωσάν τινες τῶν παρόντων ἰατρῶν τε καὶ φιλοσόφων, ἅπαντα διελθεῖν αὐτοῖς τὸν λόγον, εἶτ' ἐφαίνετο ἁπάντων πρῶτος ὑπὲρ αὐτῆς Ἱπποκράτης, ἀποφηνάμενος ἄριστα, παρελθὼν εἰς τὸ μέσον ἐξαίφνης ὁ αὐτοδίδακτος ἐκεῖνος γυμναστής, ἐκδύσας παιδάριον, ἐκέλευσεν ἡμᾶς τρίβειν τε τοῦτο καὶ γυμνάζειν, ἢ σιωπᾶν περὶ τρίψεως, καὶ γυμνασίων. εἶτ' ἐφεξῆς ἐβόα, ποῦ γὰρ Ἱπποκράτης εἰσῆλθεν εἰς σκάμμα; ποῦ δ' εἰς παλαίστραν; ἴσως οὐδ' ἀναχέεσθαι καλῶς ἠπίστατο. οὗτος μὲν οὖν ἐκεκράγει τε καὶ ἄλλως οὐδὲ σιωπῶν ἀκούειν ἐδύνατο, καὶ μανθάνειν τὰ λεγόμενα, ἡμεῖς δὲ κατὰ σχολὴν τοῖς παροῦσιν διελέχθημεν, ὡς ὅμοιον ὁ κακοδαίμων ἐκεῖνος ἐργάζοιτο μαγείρῳ τε καὶ σιτοποιῷ περὶ πτισάνης, ἢ ἄρτου διαλέγεσθαι τολμῶντι, κἄπειτα φάσκοντι. ποῦ γὰρ Ἱπποκράτης ἐν μαγείρῳ διέτριψεν, ἢ ἐν μύλωνι. σκευασάτω γοῦν μοι πλακοῦντα, καὶ ἄρτον, καὶ ζωμόν, καὶ λοπάδα, ἔπειθ' οὕτως ὑπὲρ αὐτῶν διαλεγέσθω. τί ποτ' οὖν φύσεις ἰατροὺς ὀνομάζομεν Ἱπποκράτην τε καὶ ἀπ' αὐτοῦ χορόν, εἴπερ οὐ κατὰ πάσης τῆς περὶ τὸ σῶμα τέχνης τοὔνομα φέρομεν, ἀλλὰ κατὰ μόνου τοῦ μέρους αὐτῆς, ὃ τοὺς κάμνοντας ἰᾶται. φαίνεται μὲν γὰρ ὅλην μεταχειρισάμενος τὴν τέχνην, ὡς μὴ δὲ τὸ περὶ τὰ γυμνάσια μέρος αὐτῆς ἀπολιπεῖν, ὅτι πρώτου συστάντος ὅλης τῆς τέχνης μέρους τοῦ θεραπευτικοῦ διότι καὶ μάλιστα κατήπειγεν, ὕστερον δὲ μετὰ πολλὴν σχολὴν αὐτῷ προστεθέντος τοῦ φυλακτικοῦ τε καὶ ὑγιεινοῦ προσαγορευομένου, τὴν ὅλην τέχνην ἀπὸ τοῦ μέρους ὀνομασθῆναι συνέβη, καθάπερ ἐπ' ἄλλων πολλῶν ἐγένετο. καὶ γὰρ γεωμέτρας ὀνομάζομεν, οὐ τοὺς περὶ τῶν ἐπιπέδων σχημάτων μόνον, ἀλλὰ καὶ τοὺς περὶ τῶν στερεῶν ἐπισταμένους, οὐδ' ἔστιν οὐδ' εἷς νῦν ὥσπερ γεωμέτρης, οὕτως καὶ στερεομέτρης ὀνομαζόμενος, ἀλλ' ἐκλέλειπε τοὔνομα καθάπερ καὶ τὸ τῶν ὑγιεινῶν, οὐ τῶν σωμάτων, οὐδὲ τῶν διαιτημάτων, λέγω τῶν ὑγιεινῶν. ἀλλὰ τῶν ἐπισταμένων ἀνδρῶν ταῦτα, τῶν ὑπὲρ Ἐρασιστράτου τοῖς ἰατροῖς ἀντιδιῃρημένων. ὡσαύτως δὲ καὶ τριηράρχας μὲν ὠνόμαζον οἱ παλαιοί, τοὺς ἄρχοντας τῶν τριήρων, νῦν δ' ἤδη πάντας οὕτως καλοῦσιν τοὺς ὁπωσοῦν ἡγουμένους στόλου ναυτικοῦ, κἂν μὴ τριήρεις ὦσιν αἱ νῆες. ὅμοιον δή τι τούτῳ περὶ τὴν ἰατρικὴν ἐγένετο, καὶ τοὺς ἰατρούς. ἀπὸ γὰρ τοῦ πρώτου συστάντος μέρους, ὅλην τε τὴν περὶ τὸ σῶμα τέχνην ὀνομασθῆναι συνέβη τοῦ χρόνου προϊόντος ἰατρικήν, αὐτόν τε τὸν ἐπιστήμονα τῆς τέχνης, ἰατρόν. οὔκουν οὐδ' ἀπεικός ἐστιν ἐρωτηθέντα τινὰ νῦν ἧστινος ἐστὶ τέχνης μέρος τὸ ὑγιεινὸν ἀποκρίνασθαι τῆς ἰατρικῆς. ἐκταθείσης γὰρ ἐπὶ πλέον τῆς προσηγορίας, καὶ μηκέτι τὸ μέρος ἀλλ' ὅλην τὴν περὶ τὸ σῶμα τέχνην σημαινούσης, Ἱπποκράτης τε δικαίως καὶ οἱ νῦν ἅπαντες, ἰατρὸν ὀνομάζουσιν, ἴσασί τε μόρια τῆς τέχνης αὐτῆς δύο τὰ μέγιστα, θεραπευτικόν τε καὶ ὑγιεινόν. αὐτοῦ δ' αὖ πάλιν τοῦ ὑγιεινοῦ μέρους, ἴσασι τὸ γυμναστικόν, ὡς καὶ πρόσθεν ἐπιδέδεικται, καθάπερ οὖν Ἱπποκράτης καὶ Διοκλῆς καὶ Πραξαγόρας καὶ Φιλότιμος καὶ Ἡρόφιλος, ὅλης τῆς περὶ τὸ σῶμα τέχνης ἐπι-

στήμονες ἦσαν. ὡς δηλοῖ τὰ γράμματα αὐτῶν. οὕτως οὖν πάλιν οἱ περὶ Θέωνα καὶ Τρύφωνα τὴν περὶ τοὺς ἀθλητὰς κακοτεχνίαν μεταχειρίσαντες, καθάπερ αὖ καὶ τὰ τούτων δηλοῖ συγγράμματα, παρασκευήν τέ τινα γυμνάσιον ὀνομαζόντων, καὶ αὖθις ἕτερόν τε μερισμόν, ἔπειτα ἄλλο τι τέλειον, ἀποθεραπείαν δ' ἄλλο. καὶ ζητούντων εἴτε κατὰ τὴν τοιαύτην περίοδον ἀσκητέον ἐστὶ καὶ γυμναστέον τὸν ἀθλητήν, εἴτε ἀμφισβητούντων ἀκούσω μέρος εἶναι τῆς ἑαυτῶν τέχνης τὸ ὑγιεινόν. ὅπου γὰρ οὐδὲ τῆς ὄντως γυμναστικῆς μέρος ἐστίν, ἀλλ' ἔμπαλιν ἐκείνη μέρος ὑγιεινοῦ, τί χρὴ περὶ τῆς τούτων κακοτεχνίας ἀμφιβάλλειν, ἣ μήτε μέρος ἐστὶν ὅλως τῆς περὶ τὸ σῶμα τέχνης, ὥστ' οὐδ' ὀνόματός τε προσέτυχεν, οὐχ ὑπὸ Πλάτωνος μόνον ἢ Ἱπποκράτους, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἰατρῶν τε καὶ φιλοσόφων ἀτιμαζομένου.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΟΥ ΔΙΑ ΜΙΚΡΑΣ ΣΦΑΙΡΑΣ ΓΥΜΝΑΣΙΟΥ.

Ἡλίκον ἀγαθόν ἐστιν εἰς ὑγείαν ὦ Ἐπίγενες γυμνάσια, καὶ ὡς χρὴ τῶν σιτίων ἡγεῖσθαι αὐτά, παλαιοῖς ἀνδράσιν αὐτάρκως εἴρηται, φιλοσόφων τε καὶ ἰατρῶν τοῖς ἀρίστοις, ὅσον δ' ὑπὲρ τὰ ἄλλα, τὰ διὰ τῆς μικρᾶς σφαίρας ἐστίν, τοῦτο οὐδέπω τῶν πρόσθεν ἱκανῶς οὐδεὶς ἐξηγήσατο. δίκαιον οὖν ἡμᾶς, ἃ γινώσκομεν εἰπεῖν. ὑπὸ σοῦ δὲ κριθησόμεθα, τοῦ πάντων ἠσκηκότος ἄριστα τὴν ἐν αὐτοῖς τέχνην. χρήσιμα δ' ἱκανῶς εἰρῆσθαι δόξει καὶ τοῖς ἄλλοις, οἷς ἂν μεταδῷς τοῦ λόγου γενησόμενα. φημὶ γὰρ ἄριστα μὲν ἁπάντων γυμνάσια εἶναι τὰ μὴ μόνον τὸ σῶμα διαπονεῖν, ἀλλὰ καὶ τὴν ψυχὴν τέρπειν δυνάμενα, καὶ ὅσοι κυνηγεσίαν, καὶ τὴν ἄλλην θήραν ἐξεῦρον, ἡδονῇ καὶ τέρψει, καὶ φιλοτιμίᾳ τὸν ἐν αὐτοῖς πόνον κερασάμενοι, σοφοί τινες ἄνδρες ἦσαν καὶ φύσιν ἀνθρωπίνην ἀκριβῶς καταμεμαθηκότες. τοσοῦτον γὰρ ἐν αὐτῇ δύναται ψυχὴν κινῆσαι, ὥστε πολλοὶ μὲν ἀπηλλάγησαν νοσημάτων, ἡσθέντες μόνον, πολλοὶ δ' ἑάλωσαν ἀνιαθέντες. οὐκ ἔστι δ' οὕτως ἰσχυρόν τι τῶν κατὰ τὸ σῶμα παθημάτων, ὡς κρατεῖν τῶν περὶ τὴν ψυχήν. οὔκουν οὐδ' ἀμελεῖν χρὴ τῶν ταύτης κινήσεων, ὁποῖαί τινες ἔσονται, πολὺ δὲ μᾶλλον ἢ τῶν τοῦ σώματος ἐπιμελεῖσθαι τά τ' ἄλλα, καὶ ὅσῳ κυριώτερον σώματος ἡ ψυχή. τοῦτο μὲν δὴ κοινὸν ἁπάντων γυμνασίων τῶν † κατὰ τέρψεως, ἄλλα δ' ἐξαίρετα τῶν διὰ τῆς μικρᾶς σφαίρας, ἃ ἐγὼ νῦν ἐξηγήσομαι. πρῶτον † ἀλ. μετὰ μὲν ἡ εὐπορία. εἰ γοῦν ἐννοήσαις ὅσης δεῖται παρασκευῆς τε ἅμα καὶ σχολῆς, τά τ' ἄλλα πάντα τὰ περὶ θήραν ἐπιτηδεύματα, καὶ τὰ κυνηγέσια, σαφῶς ἂν μάθοις, ὡς οὔτε τῶν τὰ πολιτικὰ πραττόντων οὐδενί, οὔτε τῶν τὰς τέχνας ἐργαζομένων, δυνατὸν μεταχειρίζεσθαι τὰ τοιαῦτα γυμνάσια. καὶ γὰρ πολλῶν ταῦτα δεῖται καὶ σχολὴν ἄγοντος, οὐκ ὀλίγην ἀνθρώπου. τοῦτο δὲ μόνον οὕτω φιλάνθρωπον, ὡς μηδὲ τὸ πενέστατον ἀπορεῖν τῆς ἑαυτοῦ παρασκευῆς. οὐ γὰρ δικτύων, οὐδ' ὅπλων, οὐδὲ κυνῶν θηρευτικῶν, ἀλλὰ σφαίρας μόνης δεῖται, καὶ ταύτης μικρᾶς. οὕτω δ' εὔγνωμον εἰς τὰς ἄλλας πράξεις, ὥστ' οὐδεμιᾶς αὐτῶν ὀλιγωρεῖν ἀναγκάζει δι' αὐτό. καίτοι τί ἂν εὐπορώτερον γένοιτο, τοῦ καὶ τύχην ἀνθρωπίνην ἅπασαν καὶ πρᾶξιν προσιεμένου. τῆς μὲν γὰρ ἀμφὶ τὰς θήρας γυμνασίων τῆς χρήσεως, οὐκ ἐφ' ἡμῖν ἡ εὐπορία. πολὺ τοῦτο γὰρ δεῖται τὴν παρασκευὴν τῶν ὀργάνων ἐκπορίζοντος, καὶ ἀργίας σχολῆς, τῆς καιρὸν ἐπιτηρούσης, τούτων δὲ τῶν ὀργάνων παρασκευή, καὶ τοῖς πενεστάτοις ὡς εἴρηται εὔπορος, ὅ, τε καιρὸς τῆς χρήσεως, καὶ τοὺς ἱκανῶς ἀσχόλους ἀναμένει. τὸ μὲν δὴ τῆς εὐπορίας αὐτοῦ, τηλικοῦτον ἀγαθόν. ὅτι δὲ καὶ πολυαρκέστατον τῶν ἄλλων γυμνασίων, ὧδ' ἂν μάλιστα μάθοις, εἰ σκέψαιο καθ' ἕκαστον αὐτῶν, ὅτι τε δύναται, καὶ οἷόν τι τὴν φύσιν ἐστίν. εὑρήσεις γάρ, ἢ σφοδρόν, ἢ μαλακόν, ἢ τὰ κάτω μᾶλλον, ἢ τὰ ἄνω κινοῦν, ἢ μέρος τι πρὸ τῶν ἄλλων, οἷον ὀσφύν, ἢ κεφαλήν, ἢ χεῖρας, ἢ θώρακα. πάντα δ' ἐξ ἴσου τὰ μέρη τοῦ σώματος κινοῦν, καὶ δυνάμενον ἐπί τε τὸ σφοδρότατον ἀνάγεσθαι, καὶ ἐπὶ τὸ μαλακώτατον ὑφίεσθαι, τῶν μὲν ἄλλων οὐδέν, τοῦτο δὲ μόνον τὸ διὰ τῆς σμικρᾶς σφαίρας γυμνάσιον, ὀξύτατόν τε ἐν μέρει καὶ βραδύτατον γινόμενον, σφοδρότατόν τε καὶ πραότατον, ὡς ἂν αὐτός τε βουληθείης, καὶ τὸ σῶμα φαίνεται ἐμμένον. οὕτω δὲ καὶ τὰ μέρη κινεῖν μὲν ἔστιν αὐτοῦ πάνθ' ὁμοῦ, εἰ τοῦτο συμφέρειν δόξειεν, ἔτι δὲ πρὸ ἄλλων ἄλλα, εἰ καὶ τοῦτο ποτὲ δόξειεν. ὅταν γὰρ συνιστάμενοι πρὸς ἀλλήλους, καὶ ἀποκωλύοντες, ὑφαρπάσαι † τὸν μεταξὺ † ἀλ. τὸ διαπονῶσι, μέγιστον αὐτὸ καὶ σφοδρότατον καθίσταται, πολλοῖς μὲν τραχηλισμοῖς, πολλοῖς δ' ἀντιλήψεσι παλαιστικαῖς ἀναμεμιγμένων, ὥστε κεφαλὴν μὲν καὶ αὐχένα πονεῖσθαι τοῖς τραχηλισμοῖς, πλευρὰς δὲ καὶ θώρακα, καὶ γαστέρα, ταῖς τε τῶν ὀμμάτων μεταρσιώσεσιν, καὶ θέσεσι, καὶ ἀπώσεσι, καὶ ἀποστηρίξεσι, καὶ ταῖς ἄλλαις παλαιστικαῖς λαβαῖς. τούτῳ δὲ καὶ ὀσφὺς τείνεται σφοδρῶς, καὶ σκέλη ἑδραία τῆς βάσεως ἐν τῷ τοιούτῳ πόνῳ. τὸ δὲ καὶ προβαίνειν, καὶ εἰς τὰ πλάγια μεταπηδᾶν, οὐ μικρὸν σκελῶν γυμνάσιον. ἀλλ' εἰ χρὴ τἀληθὲς εἰπεῖν μόνον ἐστὶ δικαιότατον κινοῦν πάντ' αὐτῶν τὰ μόρια. τοῖς μὲν γὰρ προσιοῦσιν, ἕτερα νεῦρα καὶ μύες, τοῖς δ' ὑποβαίνουσιν, ἕτερα διαπονεῖται, πλέον οὕτω δὲ καὶ τοῖς εἰς τὸ πλάγιον μεθισταμένοις ἄλλαι καὶ ὅς τις καθ' ἓν εἶδος κινήσεως κινεῖ τὰ σκέλη, καθάπερ οἱ θέοντες ἀνωμάλως, καὶ οὕτως ἀνίσως τὰ μέρη γυμνάζει τοῖς εἰς τὸ πλάγιον μεθισταμένοις. ἀλλὰ καὶ ὡς τοῖς σκέλεσιν οὕτω καὶ χερσὶ τὸ γυμνάσιον τοῦτο δικαιότατον, ἐν παντὶ σχήματι λαμβάνειν ἐθιζομένων τὴν σφαῖραν. ἀνάγκη γὰρ ἐνταῦθα τὴν ποικιλίαν τῶν σχημάτων, ἄλλοτ' ἄλλους τῶν μυῶν τείνειν σφοδρότερον ὥστε πάντας ἐν μέρει πονοῦντας. ἴσην ἔχειν ἀνάπαυλαν, τοῖς ἡσυχάζουσι τὸν χρόνον τῶν ἐνεργούντων, καὶ οὔτε ἐν μέρει πάντας ἐνεργοῦντάς τε καὶ ἀναπαυομένους, οὔτ' ἀργοὺς μένειν τὸ πάμπαν. οὔτε κόποις ἁλίσκεσθαι μόνους πονοῦντας. ὄψιν δὲ ὅτι γυμνάζειν δεῖ, μαθεῖν ἔνεστιν ὑπομνησθέντας, ὡς εἰ μή τις ἀκριβῶς τὴν ῥοπὴν τῆς σφαίρας ὅποι φέροιτο, προαισθάνοιτο, διαμαρτάνειν τῆς λαβῆς ἀναγκαῖον αὐτῷ. ἐν τούτῳ δὲ καὶ τὴν γνώμην ἴσην τῇ φροντίδι τοῦ τε μὴ καταβαλεῖν, καὶ τοῦ διακωλῦσαι τὸν μέσον, ἢ αὐτὸν ὑφαρπάσαι ἐν τούτῳ

καταστείη. φροντὶς δὲ μόνη καταλεπτύνει. μιχθεῖσα δέ τινι γυμνασίῳ καὶ φιλοτιμίᾳ, εἰς ἡδονὴν τελευτήσασα τὰ μέγιστα τὸ σῶμα πρὸς ὑγίειαν καὶ τὴν ψυχὴν εἰς σύνεσιν ὀνίνησιν. οὐ σμικρὸν δὲ καὶ τοῦτο ἀγαθὸν, ὅταν ἀμφότερα γυμνάσιον ὠφελεῖν δύνηται, καὶ σῶμα καὶ ψυχὴν εἰς τὴν ἰδίαν ἑκατέρου ἀρετὴν, ὅτι δ' ἀσκεῖν ἄμφω δύναται τὰς μεγίστας ἀσκήσεις, ἃς μάλιστα μετιέναι τοῖς στρατηγικοῖς οἱ πόλεως βασιλεῖς νόμοι κελεύουσιν, οὐ χαλεπὸν κατιδεῖν. ἐπιθέσθαι γὰρ ἐν καιρῷ, καὶ λαθεῖν ἐπιθέμενον, καὶ ὀξὺ λαβέσθαι τῆς πράξεως, καὶ σφετερίσασθαι τὰ τῶν ἐναντίων, ἢ βιασάμενον ἢ ἐξ ἀδοκήτου ἐπιθέμενον, καὶ φυλάξαι τὰ κτηθέντα, τῶν ἀγαθῶν στρατηγῶν ἔργα. καὶ τὸ σύμπαν φάναι, φύλακά τε καὶ φῶρα δεινὸν εἶναι χρὴ τὸν στρατηγὸν, καὶ ταῦτα τῆς τέχνης αὐτῆς ὅλης τὸ κεφάλαιον. ἆρ' οὖν ἄλλο τι γυμνάσιον οὕτω προεθίζειν ἱκανὸν; ἢ φυλάττειν τὸ κτηθὲν, ἢ ἀνασώζειν τὸ μεθιστάμενον, ἢ τῶν ἐναντίων τὴν γνώμην προαισθάνεσθαι θαυμάζοιμ' ἂν, εἴ τις εἰπεῖν ἔχοι. τὰ πολλὰ γοῦν αὐτῶν αὐτὸ τοὐναντίον, ἀργοὺς γὰρ καὶ ὑπνηλοὺς καὶ βραδεῖς τὴν γνώμην ἐργάζεται. καὶ γὰρ καὶ ὅσοι κατὰ παλαίστραν πονοῦσιν, εἰς πολυσαρκίαν μᾶλλον, ἢ ἀρετῆς ἄσκησιν φέρονται. πολλοὶ γοῦν οὕτως ἐπαχύνθησαν, ὡς δυσχερῶς ἀναπνεῖν. ἀγαθοὶ οὐδ' ἂν οἱ τοιοῦτοι πολέμου γένοιντο στρατηγοὶ, ἢ βασιλικῶν, ἢ πολιτικῶν πραγμάτων ἐπίτροποι. θᾶττον ἂν τοῖς γε σιτίοις, ἢ τούτοις τις ὁτιοῦν ἐπιτρέψειεν. ἴσως δὲ οἴησθέ με δρόμον ἐπαινεῖν. καὶ τἆλλα ὅσα λεπτύνει τὸ σῶμα γυμνάσια. τὸ δ', οὐχ οὕτως ἔχει. τὴν γὰρ ἀμετρίαν ἐγὼ πανταχοῦ ψέγω, καὶ πᾶσαν τέχνην ἀσκεῖν φημὶ χρῆναι τὸ σύμμετρον, καὶ εἴ τι μέτρου στέρεται, τοῦτ' οὐκ εἶναι καλόν. οὔκουν οὐδὲ δρόμους ἐπαινῶ, διότι καταλεπτύνειν τὴν ἕξιν, καὶ διότι μηδεμίαν ἄσκησιν ἀνδρείας ἔχειν. οὐ γὰρ δὴ τῶν ὠκέως φευγόντων τὸ νικᾶν, ἀλλὰ καὶ τῶν συστάδην κρατεῖν δυναμένων. οὐδὲ διὰ τοῦτο Λακεδαιμόνιοι πλεῖστον ἐδύναντο διότι τάχιστα θεῖν, ἀλλὰ τῷ μένοντας ἀναιρεῖν. εἰ δὲ πρὸς ὑγίειαν ἐξετάζοις, ἐφ' ὅσον ἀνίσως γυμνάζει τὰ μέρη τοῦ σώματος, ἐπὶ τοσοῦτον οὐδ' ὑγιεινόν. ἀνάγκη γοῦν οὕτω, τὰ μὲν ὑπερπονεῖν, τὰ δ' ἀργεῖν παντελῶς. οὐδέτερον δ' αὐτῶν ἀγαθόν. ἀλλ' ἄμφω καὶ νόσων ὑποτρέφει σπέρματα, καὶ δύναμιν ἄρρωστον ἐργάζεται. μάλιστα οὖν ἐπαινῶ γυμνάσιον, ὃ καὶ σώματος ὑγίειαν ἐκποριεῖ, καὶ μερῶν εὐαρμοστίαν, καὶ ψυχῆς ἀρετὴν παρὰ τούτοις. ἅπερ δὲ τῷ διὰ τῆς μικρᾶς σφαίρας ὑπάρχει, καὶ γὰρ εἰς πάντα ψυχὴν δυνατὸν ὠφελεῖν, καὶ τοῦ σώματος τὰ μέρη δι' ἴσου μάλιστα γυμνάζει πάντα, ὃ καὶ μάλιστα εἰς ὑγείαν συμφέρει, καὶ συμμετρίαν ἕξεως ἐργάζεται, μήτ' ἄμετρον πολυσαρκίαν, μήθ' ὑπερβάλλουσαν ἰσχνότητα φέρον, ἀλλ' εἴς τε τὰς ἰσχύος δεομένας πράξεις ἱκανὸν, καὶ ὅσαι τάχους χρῄζουσιν, ἐπιτήδειον. οὕτω μὲν οὖν ὅσον ἐν αὐτῷ σφοδρότατον οὐδενὶ τῶν πάντων κατ' οὐδὲν ἐλλείπεται. τὸ δὲ πρᾳότατον, ἴδωμεν αὖθις. ἔστι γὰρ ὅτε καὶ τούτου δεόμεθα, διά τε ἡλικίαν, ἢ μηδέπω φέρειν ἰσχυροὺς πόνους, ἢ μηκέτι δυνάμενοι καὶ κάματον ἔτι ὀνίναι βουληθέντες, ἢ ἐκ νόσων ἀνακομιζόμενοι. δοκεῖ δέ μοι κἂν τούτῳ πλέον ἔχειν ἑτέρου παντός. οὐδὲν γὰρ οὕτω πρᾷον, εἰ πρᾴως αὐτὸ μεταχειρίζοιο. δεῖ δὲ μέσως μένοντα. τηνικαῦτα χρῆσθαι, μηδένα συμμέτρου ἀποστάντα, τὰ μὲν ἠρέμα προβαίνοντα, τὰ δὲ καὶ κατὰ χώραν μένοντα, μὴ πολλὰ διαγυμνασάμενον, ἐπὶ τῷδε, τρίψεσι μαλακαῖς δι' ἐλαίου, καὶ λουτροῖς θερμοῖς χρῆσθαι. τοῦτο μὲν ἁπάντων ἐστὶν πρᾳότατον, ὥς τε καὶ ἀναπαύεσθαι δεομένοις συμφορώτατον εἶναι καὶ ἄρρωστον δύναμιν ἀνακαλέσασθαι δυνατώτατον, καὶ γέρουσι καὶ παισὶ συμφερώτατον. ὅσα δὲ τούτου μὲν ἰσχυρότερα, τοῦ δ' ἄκρως σφοδροῦ πρᾳότερα, διὰ τῆς μικρᾶς σφαίρας ἐνεργεῖται, χρὴ καὶ ταῦτα γινώσκειν, ὅς τις γε ὀρθῶς βούλεται διαπαντὸς αὐτὰ μεταχειρίζεσθαι. καὶ γὰρ εἴποτε δι' ἀναγκαίων ἔργων, οἷα τὰ πολλὰ πολλάκις ἡμεῖς καταλαμβάνει, πονήσειας ἀμέτρως, ἢ τοῖς ἄνω μέρεσιν ἢ τοῖς κάτω πᾶσιν, ἢ χερσὶ μόνοις ἢ ποσὶν, ἔνεστί σοι ἐν τῷδε τοῦ γυμνασίου, τὰ μὲν ἀναπαῦσαι τὰ πρότερον κεκμηκότα, τὰ δὲ εἰς τὴν ἴσην ἐκείνοις κίνησιν καταστῆναι, τὰ πρότερον ἀργὰ παντελῶς μεμενηκότα. τὸ μὲν γὰρ ἐκ διαστήματος ἱκανοῦ βάλλειν εὐτόνως, ἢ οὐδὲν τοῖς σκέλεσιν, ἢ παντάπασιν ὀλίγῳ χρώμενον ἀναπαύει μὲν τὰ κάτω, τὰ δ' ἄνω κινεῖ σφοδρότερον. τὸ δ' ἐπὶ πλέον διαθέοντα καὶ ὠκέως ἐκ πολλοῦ διαστήματος, ὀλιγάκις τε προσχρῆσθαι τῇ βολῇ, τὰ κάτω μᾶλλον διαπονεῖ. καὶ τὸ μὲν ἠπειγμένον ἐν αὐτῷ καὶ ταχὺ, χωρὶς συντονίας ἰσχυρᾶς, τὸ πνεῦμα μᾶλλον γυμνάζει, τὸ δ' ἕτερον, τὸ ἐν ταῖς ἀντιλήψεσι, καὶ βολαῖς καὶ λαβαῖς, οὐ μὴν ταχύ γε, τὸ σῶμα μᾶλλον ἐντείνει τε καὶ ῥώννυσιν. εἰ δ' εὔτονόν τε ἅμα καὶ ἠπειγμένον εἴη διαπονήσει τοῦτο μεγάλως καὶ τὸ σῶμα καὶ τὸ πνεῦμα, καὶ πάντων ἔσται γυμνασίων σφοδρότατον. ἐφ' ὅσον δὲ δεῖ καθ' ἑκάστην χρείαν ἐπιτείνειν τε καὶ ἀνιέναι γράψαι μὲν, οὐχ οἷόν τε. τὸ γὰρ ἐν ἑκάστῳ ποσὸν ἄρρητον. ἐπ' αὐτῶν δὲ τῶν ἔργων εὑρεῖν τε καὶ δεῖξαι δυνατὸν, ἐν ᾧ δὴ καὶ μάλιστα τὸ πᾶν κῦρος. οὐδὲ γοῦν ἡ ποιότης ἐστὶ χρήσιμος, εἰ τῷ ποσῷ διαφθείροιτο, τοῦτο μὲν δὴ διότι παιδοτρίβῃ μεθίστω, διότι μέλλοντι τῶν γυμνασίων ὑφηγεῖσθαι. τὸ δ' ὑπόλοιπον τοῦ λόγου περαινέσθω. βούλομαι γοῦν ἐφ' οἷς εἶπον ἀγαθοῖς προσιέναι τῷδε διότι γυμνασίῳ, μηδ' ὡς ἐκτὸς ἐστὶ κινδύνων παραλιπεῖν, οἷς τὰ πλεῖστα τῶν ἄλλων περιπίπτει. δρόμοι μὲν γὰρ ὠκεῖς πολλοὺς ἤδη διέφθειραν, ἀγγεῖον ἐπίκαιρον ῥήξαντες. οὕτω δὲ καὶ φωναὶ μεγάλαι τε ἅμα καὶ σφοδραὶ καθ' ἕνα χρόνον ἀθρόως ἐκφωνηθεῖσαι, μεγίστων κακῶν οὐκ ὀλίγοις αἴτια καὶ ἱππασίαι σύντονοι, τῶν τε κατὰ νεφροὺς ἔρρηξάν τι καὶ κατὰ θώρακα πολλάκις ἔβλαψαν. ἔστι δ' ὅτε καὶ τοὺς σπερματικοὺς πόρους, ἵνα τὰ τῶν ἵππων ἁμαρτήματα παραλείπω, δι' ὧν πολλάκις ἐκπεσόντες, τῆς ἕδρας οἱ ἱππεῖς παραχρῆμα διεφθάρησαν. οὕτω δὲ καὶ τὸ ἅλμα καὶ ὁ δίσκος, καὶ τὰ διὰ τοῦ κάμπτειν γυμνάσια. τοὺς δ' ἐκ τῆς παλαίστρας τί δεῖ καὶ λέγειν, ὡς ἅπαντα λελώβηνται, τῶν ὁμηρικῶν † οὐδὲν μεῖον. ὡς γὰρ ἐκεῖνος φησὶν ὁ ποιητὴς. χωλάς τε ῥυσάς τε παραβλῶπάς τ' ὀφθαλμώ, οὕτω τοὺς ἐκ τῆς παλαίστρας, ἴδοις ἂν ἢ χωλοὺς ἢ διεστραμμένους, ἢ τεθλασμένους, ἢ πάντως γέ τι μέρος πεπηρωμένους. εἰ δὴ πρὸς οἷς εἶπον ἀγαθοῖς ἔτι καὶ τοῦθ' ὑπάρχει τοῖς διὰ τῆς σμικρᾶς σφαίρας γυμνασίοις, ὡς μὴ δὲ κινδύνῳ πελάζειν, ἁπάντων ἂν εἴη πρὸς ὠφέλειαν ἄριστα παρεσκευασμένα.

† αἲ. addendum λιτῶν

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΡΟΦΩΝ ΔΥΝΑΜΕΩΣ ΒΙΒΛΙΟΝ α´.

ΠΕΡΙ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων, οὐκ ὀλίγοι τῶν ἀρίστων ἰατρῶν ἔγραψαν, ἐν πολλῇ σπουδῇ θέμενοι τὴν θεωρίαν, ἐπειδὴ χρησιμωτάτην σχεδὸν ἁπασῶν τῶν κατὰ τὴν ἰατρικήν ἐστιν. τοῖς μὲν γὰρ ἄλλοις βοηθήμασιν, οὐκ ἐν παντὶ καιρῷ χρώμεθα, τροφῆς δὲ χωρίς, οὐχ οἷόν τε ζῆν, οὔθ' ὑγιαίνοντας, οὔτε νοσοῦντας. εἰκότως οὖν ἐσπούδασαν οἱ πλεῖστοι τῶν ἀρίστων ἰατρῶν ἀκριβῶς ἐπισκέψασθαι, τὰς ἐν αὐτῇ δυνάμεις. οἱ μέν, ἐκ τῆς πείρας μόνης ἐγνῶσθαι φάσκοντες αὐτάς, οἱ δέ, καὶ λογισμοῖς προσχρῆσθαι βουλόμενοι, τινὲς δὲ καὶ τὸ πλεῖστον αὐτῷ νέμοντες. εἰ μὲν οὖν, ὥσπερ ἐν γεωμετρίᾳ καὶ ἀριθμητικῇ, συνεφωνεῖτο παντάπασι τοῖς γράψασι περὶ τροφῆς, οὐδὲν ἂν ἔδει νῦν ἡμᾶς ἔχειν πρᾶγμα γράφοντας, αὖθις ὑπὲρ τῶν αὐτῶν, ἀλλὰ τοσούτοις καὶ τοιούτοις ἀνδράσι. ἐπεὶ δ' ὑπόπτους ἀλλήλους εἰργάσαντο διενεχθέντες, οὐ γὰρ ἐγχωρεῖ πάντας ἀληθεύειν, ἀναγκαῖόν ἐστιν βασανίσαι τὰ πρὸς αὐτῶν γεγραμμένα, δικαστὰς ἀδεκάστους γινομένους. ἄδικον γὰρ ἂν εἴη, ἑνὶ πρὸ τῶν ἄλλων πιστεῦσαι, χωρὶς ἀποδείξεως. ἐπεὶ δὲ τῶν ἀποδείξεων, ἀρχαὶ διτταὶ κατὰ γένος εἰσίν, ἢ γάρ, ἐξ αἰσθήσεως ἢ ἐκ νοήσεως ἐναργοῦς, ἀπόδειξίς τε καὶ πίστις ἄρχεται πᾶσα, καὶ ἡμᾶς ἀναγκαῖόν ἐστιν, ἢ θατέρῳ τούτων, ἢ ἀμφοτέροις χρήσασθαι πρὸς τὴν τοῦ προκειμένου σκέμματος † ἄθροισιν. οὔσης δέ, τῆς διὰ τοῦ λόγου κρίσεως οὐχ ἅπασιν ὁμοίως εὐπετοῦς, ἐπειδὴ καὶ συνετὸν εἶναι χρὴ φύσει, καὶ γεγυμνάσθαι, κατὰ τὴν παιδικὴν ἡλικίαν, τοῖς θήγουσι μαθήμασι τὸν λογισμόν, ἄμεινον ἀπὸ τῆς πείρας ἄρξασθαι. καὶ μάλισθ' ὅτι διὰ ταύτης μόνου εὑρῆσθαι τὰς δυνάμεις τῆς τροφῆς οὐκ ὀλίγοι τῶν ἰατρῶν ἀπεφήναντο. τῶν μὲν οὖν ἐμπειρικῶν, ἴσως ἄν τις καταφρονήσειεν, ἔργον καὶ σπούδασμα πεποιημένων φιλοτίμως ἀντιλέγειν τοῖς εὑρισκομένοις διὰ τοῦ λόγου. Διοκλῆς δέ, καί † τις δογματικὸς ὤν, οὕτως κατὰ λέξιν ἔγραψεν ἐν τῷ πρώτῳ τῶν πρὸς Πλείσταρχον ὑγιεινῶν.

† al. ἄθρησιν

al. εὕρεσιν

† al. τὸ

Οἱ μὲν οὖν ὑπολαμβάνοντες, τὰ τοὺς ὁμοίους ἔχοντα χυλοὺς ἢ ὀσμάς, ἢ θερμότητας, ἢ ἄλλο τι τῶν τοιούτων, πάντα τὰς αὐτὰς ἔχειν δυνάμεις, οὐ καλῶς οἴονται. πολλὰ γὰρ ἀπὸ τῶν τοιούτων ὁμοίων, ἀνόμοια δείξειεν ἄν τις γινόμενα. οὐ δὲ δὴ τῶν διαχωρητικῶν, ἢ οὐρητικῶν, ἢ ἄλλην τινὰ δύναμιν ἐχόντων ὑποληπτέον ἕκαστον εἶναι, διότι θερμόν, ἢ ψυχρόν, ἢ ἁλμυρόν ἐστιν, ἐπείπερ οὐ πάντα τὰ γλυκέα, καὶ δριμέα, καὶ ἁλμυρά, καὶ τὰ λοιπὰ τῶν τοιούτων τὰς αὐτὰς ἔχοντα δυνάμεις, ἀλλὰ τὴν ὅλην φύσιν αἰτίαν εἶναι νομιστέον. τοῦ δὴ ποτ' οὖν ἀπ' αὐτῶν ἑκάστῳ συμβαίνειν εἴωθεν. οὕτω γὰρ ἂν ἥκιστα διαμαρτάνοι τις τῆς ἀληθείας. αἰτίαν δέ, οἱ μέν, οἰόμενοι δεῖν ἐφ' ἑκάστῳ λέγειν, δι' ἣν τρόφιμον, ἢ διαχωρητικόν, ἢ διουρητικόν, ἢ ἄλλο τι τῶν τοιούτων ἕκαστόν ἐστιν, ἀγνοεῖν ἐοίκασιν, πρῶτον μέν, ὅτι πρὸς τὰς χρείας, οὐ πολλάκις τὸ τοιοῦτον, ἀναγκαῖόν ἐστιν, ἔπειθ' ὅτι πολλὰ τῶν ὄντων τρόπον τινά, ἀρχαῖς τισὶν ἔοικε κατὰ φύσιν, ὥστε μὴ παραδέχεσθαι τὸν ὑπὲρ αἰτίου λόγον. πρὸς δὲ τούτοις διαμαρτάνουσιν ἐνίοτε, ὅτ' ἂν ἀγνοούμενα καὶ μὴ ὁμολογούμενα, καὶ ἀπίθανα λαμβάνοντες ἱκανῶς οἴωνται λέγειν τὴν αἰτίαν. τοῖς μὲν οὖν οὕτως αἰτιολογοῦσιν, καὶ τοῖς πάντων οἰομένοις δεῖν λέγειν αἰτίαν, οὐ δεῖ προσέχειν. πιστεύειν δὲ μᾶλλον, τοῖς ἐκ τῆς ἐμπειρίας ἐκ πολλοῦ τοῦ χρόνου κατανενοημένοις. αἰτίαν δέ, τῶν ἐνδεχομένων δεῖ ζητεῖν, ὅτ' ἂν μέλλει περὶ τούτου γνωριμώτερον, ἢ πιστότερον γίνεσθαι τὸ λεγόμενον. αὕτη μέν, ἡ τοῦ Διοκλέους ῥῆσίς ἐστιν, ἐκ πείρας μόνης ἐγνῶσθαι τὰς ἐν ταῖς τροφαῖς δυνάμεις ἡγουμένου. καὶ μήτε ἐκ τῆς κατὰ κρᾶσιν ἐνδείξεως, μήτε ἐκ τῆς κατὰ χυμούς. ὅσους δὲ καὶ ἄλλους τῆς κατὰ μόρια τῶν φυτῶν, οὐκ ἐμνημόνευσαν αὐτῆς. λέγω δέ, τὴν κατὰ μόρια φυτῶν ἔνδειξιν, ᾗ πρὸς ταῖς ἄλλαις ἐχρήσατο Μνησίθεος. ἐν ταύτῃ γοῦν, ἑτέρας μὲν δυνάμεις ἐν ταῖς ῥίζαις εἶναι τῶν φυτῶν ὑποδεικνύς, ἑτέρας δέ, ἐν τοῖς καυλοῖς, ὥσπερ γε κἂν τοῖς φύλλοις καὶ καρποῖς, καὶ σπέρμασιν ἄλλας. ὅτι μὲν οὖν ἡ πεῖρα, διδάσκαλός ἐστιν, ὥσπερ ἄλλων πολλῶν, οὕτω καὶ τῶν εὐπέπτων τε καὶ δυσπέπτων σιτίων, εὐστομάχων τε, καὶ κακοστομάχων, ὑπακτικῶν τε, καὶ λαπακτικῶν, καὶ σταλτικῶν γαστρός, ἅπαντες ἴσασι κἂν βραχύ τι συνέσεως αὐτοῖς μέτεστι. σφάλλονται δὲ ἐν αὐτοῖς τούτοις οὐκ ὀλίγοι, χωρὶς διορισμοῦ ποιούμενοι τὴν πεῖραν, ὡς κἂν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐδείχθη, κἂν τῷ τρίτῳ περὶ κράσεως. καὶ παραπλήσιά γε τὰ σφάλματά ἐστιν ἑκατέρωθεν. διὸ καὶ γράφειν ἐνταῦθα τελέως, ὥσπερ ἐν ἐκείνοις τοὺς διορισμούς, οἷς προσέχων τις ἀσφαλῶς, εὑρήσει τὰς δυνάμεις, οὐ κατὰ τὴν ἐμὴν προαίρεσιν, ἅπαξ ὑπὲρ ἑκάστου πράγματος εἰωθότος γράφειν, οὐκ ἐν πολλαῖς πραγματείαις διερχομένου, τὰ αὐτὰ περὶ τῶν αὐτῶν. ὅπερ οὖν εἴωθα ποιεῖν, οὐδὲ νῦν παραλείψω μόνοις χρησάμενος τοῖς διορισμοῖς τῶν κεφαλαίων, καθ' ὅτι ἂν ἐγχωρεῖ μάλιστα μιχθῆναι σαφηνείας συντομίᾳ. ἄρξομαι δὲ ἀφ' οὗ διὰ στόματος ἔχουσιν ἅπαντες οὐκ ὀρθῶς ὑπὸ Ἐρασιστράτου γεγραμμένου, μήτε τὸ μελίκρατον ὑπάγειν τὴν γαστέρα πάντων, μήτε τὴν φακὴν ἐπέχειν, ἀλλ' εἶναι τινάς, οἱ πρὸς τὸ μηδέτερον πάσχειν, ἔτι καὶ τοῖς ἐναντίοις περιπίπτουσιν ὡς ἵστασθαι μὲν ὑπὸ τοῦ μελικράτου τὴν γαστέρα, λαπάττεσθαι δὲ ὑπὸ τῇ φακῇ. καὶ τινὰς εὑρίσκεσθαι τὰ βόεια κρέα ῥᾷον πέττοντας, ἢ τοὺς πετραίους ἰχθύας. ἐγὼ δ' ἀεί, τοὺς τοιούτοις εἰρόμην, ἄρξομαι γὰρ ἀπὸ τῶν ὑστάτων, ὁποῖόν τι σύμπτωμα γινόμενον αὐτοῖς δείκνυται, τὴν ἀπεψίαν τῶν πετραίων ἰχθύων. ἆρά γε βάρος τι κατὰ τὴν κοιλίαν; ὡς δοκεῖν ἐγκεῖσθαι μόλυβδον, ἢ λίθον, ἢ πηλόν, οὕτως γὰρ ἐξαγγέλλουσιν ἔνιοι, τὴν ἐπὶ ταῖς τοιαύταις ἀπεψίαις αἴσθησιν. ἢ δῆξίς τις ἐν αὐτῇ, φαίνεται γινομένη σαφὴς ἢ πνευμάτωσις. ἢ μοχθηρᾶς ἐρυγῆς αἴσθησις. εἶθ' οἱ μέν, ἐρυγὴν αὐτοῖς ἔφασαν γίνεσθαι κνισωδεστέραν. οἱ δέ, δῆξιν, οἱ δ' ἄμφω. τούτων οὖν ἐπισκεψάμενος ἀκριβῶς τὰ κατὰ τὸ σῶμα, πολλὴν εὗρον ἀθροιζομένην χολὴν ξανθὴν ἐν τῇ

θεῖν ἐν τῇ κοιλίᾳ κατά τινα δυσκρασίαν, ἢ κατασκευῆς ἰδιότητα. λέγω δὲ κατασκευῆς ἰδιότητα, δι' ὅτι τῶν ἀνθρώπων ἐνίοις ἐξ ἥπατος εἰς γαστέρα καταρρεῖ ἡ χολή, εἰς τὴν κοιλίαν ἐπανέρχεται. κρᾶσιν δὲ μοχθηρὰν, ὅτ' ἂν αὐτοῖς ὑπάρχῃ φύσει τὸ θερμὸν δριμὺ καὶ δακνῶδες, καὶ ὡς ἂν εἴποι τις πυρετῶδες. Εἰκότως οὖν τὰ δύσφθαρτα σιτία τῶν εὐφθάρτων μᾶλλον οὗτοι πέττουσιν, ἐπεὶ δὴ τὰ μὲν εὔπεπτα, ῥαδίως ἀλλοιοῦται μὲν καὶ διαφθείρεται, τὰ δὲ δύσπεπτα, δυσαλλοίωτά τέ ἐστιν, καὶ δύσφθαρτα. ταῦτα γοῦν, ὅταν ὁμιλήσῃ πολλῇ θερμασίᾳ, πέττεται μᾶλλον, ἢ εἰς σύμμετρον ἔχουσι πλησιάζειν. κατὰ τοῦτον μὲν οὖν τὸν λόγον, ἔνιοι τὰ βόεια κρέα, ῥᾷον πέττουσι, τῶν πετραίων ἰχθύων. Ἡ φακὴ δὲ ἐνίοις, ἐκταράττει μᾶλλον, ἢ ἐπέχει τὴν γαστέρα. κατὰ τοιόνδε τινὰ λόγον, ὡς ἐπιδέδεικταί μοι κατὰ τὰ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήματα, καθάπερ ἐν τοῖς ὑφ' ἡμῶν σκευαζομένοις ἐξ ἐναντίων οὐσιῶν τε καὶ δυνάμεων, ἔνια συντίθεται κατὰ τὸν αὐτὸν τρόπον ὑπὸ τῆς φύσεως οὐκ ὀλίγα τῶν ἁπλῶν εἶναι δοκούντων, σύγκειται. τοιοῦτο τι δὴ καὶ περὶ πολλῶν τῶν τροφῶν ἐστίν. οὐ γὰρ ἡ φακὴ μόνον, ἀλλὰ καὶ ἡ κράμβη, καὶ τῶν θαλασσίων, σχεδὸν ἁπάντων τὰ ὀστρακόδερμα καλούμενα, σύνθετον ἔχει τὴν φύσιν, ἐξ ἐναντίας δυνάμεως. αὐτὸ γὰρ μὲν τὸ στερεὸν ἕκαστον σῶμα, βραδύπορόν τέ ἐστιν, καὶ σταλτικὸν τῆς γαστρός, ἡ δὲ ὑγρότης, ἐρεθίζει πρὸς ἔκκρισιν, ἀκριβὴς δ' ἀπόδειξις, ἐκ τῆς ἑψήσεως γίνεται, τοῦ μὲν ὕδατος ἐν ᾧ περ ἂν ἕκαστον τούτων ἑψηθῇ λαπάττοντος τὴν κοιλίαν, αὐτῶν δὲ τῶν σωμάτων ἐπεχόντων. καὶ κατὰ τοῦτο, τινῶν ἀκούσῃ λεγόντων. Ἐὰν πρότερον κράμβην φάγῃς τῶν ἄλλων σιτίων μὴ λίαν ἑφθὴν εἴς τι σκεῦος ἔχον ἔλαιον καὶ γάρον μετακομίσας ἀθρόως ἐκ τοῦ λέβητος, ὑπαχθήσεται τὴν κοιλίαν. ἄλλων δέ τινων τὴν καλουμένην δίσεφθον κράμβην, σκευαζόντων εἰς ἐπίσχεσιν τῆς γαστρός. ἡ σκευασία δὲ τῆς τοιαύτης κράμβης ἐστὶ τοιάδε. προεψήσαντες αὐτὴν ὕδατι, τοῦτο δὲ ὅλον ἀκριβῶς ἐξαίρουσι τοῦ λέβητος, ἕτερον δέ, ἐπεμβάλλουσι καθαρὸν θερμόν, ἐν ᾧ πάλιν ἕψουσι τὸ δεύτερον, ἵνα εἴ τι μετὰ τὴν προτέραν ἕψησιν ἔτι λείψανον ἔχει τῆς οἰκείας ὑγρότητος, ὅλον ἐκκριθείη. πᾶσι γὰρ τοῖς ἑψομένοις ἐν ὑγρῷ συμβαίνει μεταλαμβάνειν τε ἅμα τῆς ἐκείνου δυνάμεως, καὶ μεταδιδόναι τῆς ἑαυτῶν. καὶ τοῦθ' ὁσημέραι γιγνόμενον ἐπὶ τῶν ἐν τοῖς ζωμοῖς ἑψομένων, ἔνεστι μαθεῖν. εἴτ' οὖν ὄσπριον τι τὸ ἑψόμενον, εἴτε ζώου μόριον, εἴτε λαχάνων εἴη. τὸ μὲν γὰρ ἑψηθὲν ἐνδείκνυται γευομένοις τε καὶ ὀσμωμένοις τὴν τοῦ ζωμοῦ ποιότητα καὶ δύναμιν. ὁ ζωμὸς δέ, τὴν τοῦ κατ' αὐτὸν ἑψηθέντος. ἔξεστι σοι παντὸς τοῦ δὲ τοῦ λόγου τοῦ νῦν ἡμῖν προκειμένου, τὴν ἀλήθειαν οὕτω βασανίσαι, καθεψήσαντι, ἢ φακῆν, ἢ κράμβην, ἢ τι τῶν θαλαττίων ζώων ὧν εἶπον εἶτα δι' ἡδύνοντι τὸ ἀφέψημα, δι' ἐλαίου, καὶ γάρου, καὶ πεπέρεως, ἔπειτα, δόντι πίνειν, ἂν βούλῃ. καθάπερ γε, καὶ δὶς ἑψήσαντι τὴν κράμβην, θεάσῃ γάρ, ἐπὶ μὲν πόματι, διαχωροῦσαν τὴν κοιλίαν, ἐπὶ δὲ τῷ στερεῷ σώματι, στεγνουμένην. οὐδὲν οὖν θαυμαστὸν ἐνίοτε, στρόφους τε γίνεσθαι, καὶ ἐμπνευματώσεις ἐπὶ τοῖς τοιούτοις ἐδέσμασιν, ὅταν ἅμα τοῖς ἑαυτῶν χυμοῖς ὅλα τὰ σώματα ληφθῇ. μάχη γάρ τις γίνεται πρὸς ἄλληλα, τοῦ μὲν στερεοῦ σώματος ἰσχομένου τε καὶ βραδύνοντος, ἐπειγομένης δὲ τῆς ὑγρότητος ἐπὶ τὴν ἔκκρισιν. ὡς ἐάν γε τὸ δάκνον ἐκκριθῇ, παύεται τὸ σύμπτωμα. μένοντος δὲ αὐτοῦ, καὶ στροφεῖσθαι, καὶ πνευματοῦσθαι τὴν κοιλίαν ἀναγκαῖον ἐστίν. καὶ πέρας γε τούτων ἐστίν, ἡ τῶν στασιαζόντων ἔκκρισις. ἐπεὶ τοίνυν, ἐνίοις μὲν αἱ γαστέρες ἕτοιμοι πρὸς ὑποχώρησιν εἰσίν, ἐνίοις δὲ ξηραὶ καὶ δυσέκκριτοι, κατὰ τὴν οἰκείαν ἑκατέραι φύσιν, ἐπὶ τοῖς τοιούτοις ἐδέσμασι τὰ συμπτώματα ἴσχουσιν. ὡς ἂν ἐνίοτε μέν, τῇ τοῦ χυλοῦ δυνάμει, συνεργούσης τῆς γαστρός, ἐνίοτε δέ, τῇ τοῦ στερεοῦ. δυοῖν γὰρ αἰτίων ἀνθισταμένων, ἑνὶ μὲν τὴν νίκην ἀναγκαῖον ἐστὶν ἀκολουθῆσαι, τὴν δ' ἧτταν τῷ λοιπῷ, συμβαίνει δὲ τοῦτο, καὶ κατὰ διαθέσεις τινὰς τῆς γαστρός, οὐ φυσικάς, ἀλλ' ἐν καιρῷ τινὶ γινομένας. ἔσθ' ὅτε μὲν γάρ, ἀθροίζεται φλεγματώδης τις ἐν αὐτῇ χυμός. ἔσθ' ὅτε δέ, χολώδης. καὶ τοῦ φλεγματώδους αὐτοῦ, τὸ μέν, ὀξύ, τὸ δὲ ἁλυκόν ἐστιν, τὸ δέ, γλυκύ, τὸ δὲ οὐδεμίαν ἔχον αἰσθητὴν ποιότητα. καὶ τὸ μὲν ὑγρόν, τὸ δέ, παχύ, καὶ τὸ μέν, γλίσχρον, τὸ δέ, εὐσκέδαστον. καὶ τῆς χολῆς, ἡ μέν, ξανθή τις, ἡ δέ, ὠχρά. τὸ μᾶλλόν τε καὶ ἧττον, ἑκάτερα πάμπολλα κεκτημένη, ἵνα τὰς ἄλλας χολὰς παραλείπωμεν τὰς τοῖς ἤδη νοσοῦσιν σώμασιν ἐπιφερομένας. ἕκαστος οὖν τῶν εἰρημένων χυμῶν, ἤτοι πρὸς ἔκκρισιν γαστρός, ἢ πρὸς ἐπίσχεσιν, ἑτοίμως διακείμενος, ὅταν ὅλα τὰ σώματα τῶν εἰρημένων ἐδεσμάτων ἅμα τοῖς ἰδίοις χυμοῖς εἰς τὴν κοιλίαν ἀφίκηται, συμμαχεῖ μέν, τοῖς τὴν αὐτὴν δύναμιν ἔχουσιν, ἀντιπράττει δέ, τοῖς τὴν ἐναντίαν. ἔμπροσθεν μὲν οὖν αἰτίαι διτταὶ κατὰ γένος εἴρηνται τῆς διαφόρως ἐπὶ τοῖς αὐτοῖς σιτίοις τὰ κατὰ τὴν γαστέρα φαίνεσθαι διοικούμενα. νυνὶ δὲ καὶ τρίτη τις εὕρηται, πρός τε τῇ φυσικῇ διαθέσει, καὶ τοῖς ὑγροῖς τε καὶ στερεοῖς μέρεσιν τῶν ἐσθιομένων, ἐσθιόμενα γάρ, ἢ ἐδέσματα καλεῖν, ἢ τροφάς, οὐ διοίσει. καὶ γὰρ οὕτως καὶ τούτων οὐδὲν ἧττον ὀνομάζουσιν αὐτά, καὶ σιτία, καὶ βρώματα, καθ' ὅτι καὶ Ἱπποκράτης ἐν ἐπιδημίαις ἔ-
» γραψεν ὧδε. Τὰ βρώματα καὶ πόματα, πείρης δεῖται. εἰ ἐπὶ τὸ ἴσον μένει. καὶ πάλιν ἑτέρωθεν. πόνοι.
» σιτία. ποτά. ὕπνοι. ἀφροδίσια, πάντα μέτρια. τῶν μὲν οὖν ὀνομάτων, ὡς ἀεὶ λέγομεν, ἀμελεῖν χρὴ φροντίζοντες ὅπως τις ἂν αὐτοῖς, χρῆται συνήθων γε ὄντων ἁπάντων τοῖς Ἕλλησι. τῆς δὲ τῶν πραγμάτων ἐπιστήμης, ἀντιποιεῖσθαι προσήκει. φαίνεται δὲ ταῦτα ταχεῖαν, ἢ βραδεῖαν, ἴσχοντα τὴν διέξοδον. ἤτοι διὰ τὴν ἐξ ἀρχῆς ἡμῶν φύσιν, ἢ διὰ τὴν ἐπίκτητον διάθεσιν τῆς γαστρός, ἢ διὰ τὴν οἰκείαν οὐσίαν. λέγω δέ, τῶν ἐσθιομένων. καὶ πινομένων ἐπειδὴ τινὰ μὲν αὐτῶν, εἰσὶν ὑγρά, τινὰ δὲ ξηρά. καὶ τινὰ μὲν γλίσχρα, τινὰ δέ, εὔθρυπτά τε, καὶ εὐδιαίρετα. καί τινα μὲν δριμύτητας ἐν αὐτοῖς ἔχοντα, τινὰ δέ, ὀξύτητας, ἢ πικρότητας, ἢ γλυκύτητας, ἢ ἁλυκότητας, ἢ αὐστηρότητας ἢ στρυφνότητας, ἢ τινὰς ἔξωθεν τούτων, φαρμακώδεις δυνάμεις, ὁμογενεῖς, ταῖς τῶν καθαιρόντων φαρμάκων. ἀνδράφαξυς μὲν γάρ, καὶ βλίτον, καὶ μαλάχη, καὶ κολόκυνθα, διὰ τὸ γλίσχρα τε εἶναι, καὶ δίυγρα, θᾶττον τῶν μὴ τοιούτων ὑπέρχεται, καὶ μάλιστα τοῖς περιπατοῦσιν ἡσύχως μετὰ τὴν προσφορὰν αὐτῶν ἐπ' ἐδάφους εἴκοντος μετρίως. ὀλισθαίνει γὰρ ἐν τῷ κατασείεσθαι μᾶλλον, ἢ εἴ τις ἀτρεμήσει κατακείμενος. ἐν τούτῳ δὲ τῷ γένει, καὶ τὰ μόρα, καὶ τὰ γλυκέα κεράσια θείη τις ἄν, ὥσπερ καὶ τῶν οἴνων, τοὺς γλυκεῖς καὶ παχεῖς. οἱ δὲ πέπονές τε, καὶ μηλοπέπονες ὀνομαζόμενοι, ὑγρότητά τε καὶ γλισχρότητα, πρὸς ὑποχώρησιν εἰσὶν ἐπιτήδειοί τε καὶ δύναμίν γε ἔχουσι μετρίως ῥυπτικήν. καὶ μᾶλλόν γε αὐτῶν, οἱ πέπονες, ἣν ἔνεστί σοι μαθεῖν ἀνατρίψαντι μόριον ῥυπαρόν,

ἀφεψοῦσι

ἐκθλίψουσι γὰρ αὐτῶν τὸν ῥύπον αὐτίκα. ταῦτα δὴ καὶ τῶν οὔρησιν κινούντων ἐστίν. ἐκ δὲ τῶν ὑγρῶν καὶ ὑδατωδῶν σωμάτων ἐστὶ, καὶ τὰ Βερενίκια καλούμενα, καὶ τὰ περσικά. καὶ ὅλως ὅσα μηδεμίαν ἰσχυρὰν ἔχειν φαίνεται ποιότητα τοῖς γευομένοις, ἢ ὀσμωμένοις αὐτῶν. ἅπερ, ἂν μὲν ἐπιτηδείως ἡ γαστὴρ ἔχῃ, πρὸς τὴν κάτω διαχώρησιν ὑπέρχεται ῥᾳδίως. εἰ δὲ μὴ, μένει καὶ αὐτὰ μετέωρα, μηδὲν εἰς ἔκκρισιν αὐτὴν ὠφελοῦντα. μέση γάρ πως, ἤ τοι αὕτη τῶν ἐδεσμάτων ὕλη, τῶν τε τῶν ἐπεχόντων τὴν γαστέρα, καὶ τῶν τῶν προτρεπόντων ἐστί, βραχύ τι ῥέπει πρὸς τὸ ἕτερον, ὅταν γε μὴ πάνυ τύχῃ νωθρᾶς γαστρὸς εἰς ἀπόκρισιν, ἢ ἰσχυρᾶς, εἰς ἀνάδοσιν. ἐνίοτε γοῦν ἐπέχει γαστέρα καὶ ταῦτα. καὶ τὸ μελίκρατον, οἷς ἀναδίδοσθαι φθάνει ταχέως, οὐ προτρέπει τὴν γαστέρα πρὸς ἔκκρισιν, ἀλλὰ καὶ τοῖς μιχθεῖσιν ἑαυτῷ σιτίοις, εἰς ἀνάδοσιν ὑφηγεῖται. εἰ δὲ μὴ φθάσειεν ἀναδοθῆναι ταχέως, ἐρεθίζει πρὸς ἔκκρισιν. ὥσπερ ἡ ξανθὴ χολὴ, διὰ τὴν δριμύτητα, καὶ δακνῶδες ἔχειν ἐν ἑαυτῇ. τὰ μὲν οὖν τοιαῦτα τῶν ἐσθιομένων τε καὶ πινομένων, δάκνοντα μόνον, ἐπὶ τὴν ἔκκρισιν ἐπεγείρει τὰ κατὰ τὴν κοιλίαν μόρια. πρόδηλον δὲ, ὅτι καὶ ἡ τῶν ἐντέρων οὐσία παραλαμβάνεται κατὰ λόγον. οὕτως γέ τοι καὶ τοὺς προγάστορας, καὶ μεγαλοκοίλους ὀνομάζουσιν οἱ ἄνθρωποι. ἔνια δὲ ὑπάγει τὴν γαστέρα μεμιγμένας ἐν ἑαυτοῖς, ἔχοντα φαρμακώδεις δυνάμεις, ὁμοίας τῇ κατὰ τὴν σκαμμωνίαν τε, καὶ κολοκυνθίδα, καὶ τὸν ἐλλέβορον, ὅσα τ' ἄλλα τοιαῦτα. μικτὴ γὰρ τούτων ἐστὶν ἡ φύσις, ἐξ ἐδέσματός τε καὶ φαρμάκου. καθάπερ εἰ καὐτὸς ἐμβάλῃς τῷ χυλῷ τῆς πτισάνης ὀλίγον τι τοῦ τῆς σκαμμωνίας ὀποῦ. λανθάνων γοῦν οὕτω τὴν αἴσθησιν, οὐ λύσεται κατὰ τὴν ἐνέργειαν, ἀλλ' ὑπάξει σαφῶς τὴν γαστέρα. καὶ τοῦτ' εἶναι δοκεῖ τισὶ, τὸ ὑφ' Ἱπποκράτους εἰρημένον, ἐν τροφῇ φαρμακείη. τοῖς δ' οὐχ οὕτω μόνον ἔδοξεν ἀκούειν, ἀλλὰ κἀπ' ἐκείνων ὁ λόγος εἰρῆσθαι δύναται, τῶν ὅτι θρεπτικὴν τινὰ τοῦ ζώου δύναμιν ἐχόντων ἐδεσμάτων, ὅτι καθαρτικήν. καὶ γὰρ καὶ ταῦτα φασίν, οὐχ ὡς τροφὰς μόνον ἐνεργεῖν πολλάκις, ἀλλὰ καὶ ὡς φάρμακα, θερμαίνοντα, καὶ ὑγραίνοντα, καὶ ψύχοντα, καὶ ξηραίνοντα σαφῶς ἡμᾶς, ὡς ὅταν μηδέν τι τούτων ἐνεργῇ περὶ τὸ σῶμα τοῦ ἀνθρώπου, τρέφῃ δὲ μόνον αὐτὸ τηνικαῦτα τὸν τοῦ φαρμάκου λόγον οὐχ ἕξει. ὀλίγιστα μὲν οὖν ἐδέσματα τοιαῦτά ἐστιν. ἅπαντα δ' ἂν ἡ ταῦτα, μόνον τὸν τῆς τροφῆς ἔχει λόγον ἀκριβῶς, χωρὶς τοῦ μεταβάλλειν τὸ σῶμα τοῦ προσενεγκαμένου κατὰ ποιότητα. τὸ μὲν γοῦν θερμανθὲν, ἢ ψυχθὲν, ἢ ξηρανθὲν, ἢ ὑγρανθὲν, ὑπαλλάττεται κατὰ ποιότητα. τὸ δ' ἐκ τῶν σιτίων, εἰς ὄγκον οὐσίαν τῷ διαφορηθέντι προσλαβόν, ὡς ὑπὸ τροφῶν μόνον αὐτῶν ὠφελεῖται. τὰ τοίνυν μέσα ταῖς κράσεσιν, οὐδεμίαν ἐπικρατοῦσαν ἔχοντα ποιότητα, τροφαὶ μόνον εἰσὶν, οὐ φάρμακα. μήθ' ὑπάγοντα γαστέρα, μήτε ἐπέχοντα, μή τε ῥωννύοντα, μήτ' ἐκλύοντα στόμαχον. ὥσπερ γε μήθ' ἱδρῶτας, ἢ οὖρα κινοῦντα, ἢ καὶ κωλύοντα, μήτ' ἄλλην τινὰ διάθεσιν ἐν τῷ σώματι ποιοῦντα, κατὰ ψυχρότητα, καὶ θερμότητα, καὶ ξηρότητα, καὶ ὑγρότητα, διαφυλάττοντα δὲ πάντη τὸ τοῦ τρεφομένου ζώου σῶμα τοιοῦτον ὁποῖον παρέλαβεν. ἀλλὰ κἀνταῦθα διορισμός ἐστίν τις χρησιμώτατος, οὐδ' αὐτὸς ὑπὸ τοῦ Διοκλέους εἰρημένος. ὥσπερ οὐδὲ τῶν ἄλλων τις, ὅσους ἄχρι τοῦδε διῆλθον. εἰ μὲν γὰρ ἀκριβῶς μέσον εἴη τῇ κράσει τὸ σῶμα τοῦ ἀνθρώπου φυλάττοιτ' ἂν ὑπὸ τῆς μέσης τῇ κράσει τροφῆς ἐν τῇ παρούσῃ καταστάσει. εἰ δ' ἤ τι ψυχρότερον, ἢ θερμότερον, ἢ ξηρότερον, ἢ ὑγρότερον εἴη τοῦτο, τὰ μέσα τῇ κράσει σιτία τε καὶ ποτὰ αὖθις κακῶς διδοίη. μεταβάλλεσθαι γοῦν χρὴ τῶν τοιούτων σωμάτων ἐπὶ τοὐναντίον εἰς ὅσον ὑπεχώρησε τῆς ἀκριβῶς μέσης καταστάσεως. ἔσται δὲ τοῦτο διὰ τῶν ἐναντίων τῇ παρούσῃ δυσκρασίᾳ. τὰ δὲ ἐναντία τὴν ἴσην ἀφεστήκει τοῦ μέσου διάστασιν ἐφ' ἑκάτερα, καθ' ἑκατέραν ἀντίθεσιν, ὥστε ἂν μὲν, ἀριθμοῖς, εἰ τύχοι, τρισὶν ἀπὸ τῆς εὐκράτου μὲν καὶ μέσης καταστάσεως ἀποχωρήσῃ τὸ σῶμα πρὸς τὴν θερμοτέραν, τοσούτοις χρῆναι, καὶ τὸ σιτίον ἀφεστάναι τοῦ μέσου τῇ κράσει, πρὸς τὸ ψυχρότερον. ἐὰν δὲ, ἐφ' ὑγρότητα τέτταρσιν ἀριθμοῖς ἀποστῇ, τοῖς ἴσοις δεῖν εἶναι ξηρότερον τοῦ συμμέτρου. κατὰ τοῦτο γέ τι πάλιν εὑρεῖν ἐστὶ πολλοὺς τῶν ἀνθρώπων, ἐναντιώτατα περὶ τῶν αὐτῶν τροφῶν ἀποφαινομένους. ἔναγχος γοῦν ἐφιλονείκουν ἀλλήλοις δύο τινὲς, ὁ μὲν, ὑγιεινὸν ἀποφαινόμενος, ὁ δὲ, νοσερὸν εἶναι τὸ μέλι, τεκμαιρόμενος ἑκάτερος ἐξ ὧν αὐτὸς ὑπ' αὐτοῦ διετίθετο μηκέτι γινώσκοντες ὡς οὔτε μίαν ἅπαντες, ἄνθρωποι τὴν ἐξ ἀρχῆς ἔχουσι κρᾶσιν, οὔτ' εἰ καὶ μίαν εἶχον, ἀμετάβλητον αὐτὴν ἐν ταῖς ἡλικίαις φυλάττουσιν. ὥσπερ οὐδ' ἐν ταῖς τοῦ ἔτους ὥραις τε, καὶ χώραις, ὑπαλλαγαῖς. ἵνα παραλείπω γε καὶ τὸ παρὸν, ὡς καὶ τοῖς ἐπιτηδεύμασιν καὶ ταῖς διαίταις ὑπαλλάττουσιν, τὰς φυσικὰς τῶν σωμάτων διαθέσεις. αὐθὺς γοῦν αὐτῶν τῶν διαφερομένων ἀλλήλοις περὶ τοῦ μέλιτος, ὁ μὲν, πρεσβύτης τε κατὰ τὴν ἡλικίαν ἦν, καὶ φύσει φλεγματωδέστερος, ἀργὸς τε τῷ βίῳ, καὶ πρὸς τὰς ἄλλας μὲν, ἁπάσας πράξεις, οὐχ ἥκιστα δὲ, καὶ πρὸς τὰ τοῦ βαλανείου γυμνάσια. καὶ διὰ τοῦτ' αὐτὸ, τὸ μέλι χρήσιμον ἦν. ὁ δὲ ἕτερος, χολώδης τε φύσει, καὶ τριακονταετὴς, κατὰ τὴν ἡλικίαν ἐτύγχανεν ὤν, ἐπὶ δὲ ταῖς ὁσημέραι πράξεσι, πολλὰ ταλαιπωρούμενος, εἰκότως οὖν αὐτῷ τὸ μέλι ἐξεχολοῦτο ταχέως, καὶ ταύτῃ βλαβερώτερον ἦν. οἶδα δὲ κἀγώ τινα, τὰ κατὰ τὸ στόμα τῆς κοιλίας μεμφόμενον, λογιζόμενον ὅστε, ἐξ ὧν διηγεῖτο, φλέγμα κατ' αὐτὴν ἠθροῖσθαι, συμβουλεύσας προσενηνέχθαι μετὰ νάπεως πράσα τε καὶ σεῦτλα, τμηθέντος θ' ὑπ' αὐτῶν τοῦ φλέγματος, ἐκκρίνασάν τε πλείω τὴν γαστέρα, καὶ τῶν συμπτωμάτων πάντων † ἐλευθερωθήσεσθαι. αὖθις οὖν ποτ' ἀπεπτήσας ἐπὶ δριμέσιν ἐδέσμασιν, καὶ δακνόμενος τὴν γαστέρα, νάπυ μετὰ σεῦτλου προσενεγκάμενος, οὐ μόνον οὐδὲν ὤνατο τὴν δῆξιν, ἀλλὰ καὶ χείρων ἀπεδείχθη συχνῶς. καὶ δὴ θαυμάζων, ὅπως ἐβλάβη συχνῶς ὑφ' ὧν ἔμπροσθεν ὠφελεῖτο μέγιστα, πρός με παρεγένετο, τὴν αἰτίαν πυνθανόμενος. ἰδιώτας μὲν οὖν ἰατρικῆς τέχνης ἀνθρώπους, οὐκ ἀπεικὸς ἐστὶ ταῦτα σφάλλεσθαι. τοῖς δὲ ἰατροῖς, οὐκ ἂν εἴη συγγνώμη, παραλείπουσιν ἀδιόριστα πολλὰ τῶν χρησιμωτάτων θεωρημάτων. οὐ γὰρ ἁπλῶς προσήκει λέγειν γοῦν αὐτούς, εὐπέπτους μὲν εἶναι τοῖς πλείστοις τοὺς πετραίους ἰχθύας, εὑρίσκεσθαι δέ τινας, οἳ τὰ βόεια κρέα ῥᾷον πέττουσιν, ἀλλ' ἑκατέρους διορίσαι. καθάπερ γε καὶ περὶ μέλιτος, οὐχ ἁπλῶς εἰπεῖν, ἀλλὰ μετὰ τοῦ προσθεῖναι, τοῖσιν ἡλικίαις τε καὶ φύσεσιν, ὥραις, καὶ χώραις καὶ βίοις ὠφέλιμον ἐστὶν, ἢ βλαβερόν. οἷον ὅτι τοῖς μὲν θερμοῖς καὶ ξηροῖς ἐναντιώτατον. ὠφελιμώτατον δὲ, τοῖς ὑγροῖς τε καὶ ψυχροῖς. εἴτε δι' ἡλικίαν, ἢ διὰ φύσιν, ἢ χώραν, ἢ ὥραν, ἢ ἐπιτήδευμά τι τοιοῦτοι τὴν κρᾶσιν εἶεν. ὥστ' ἀναγκαιότατον εἶναι ἔοικεν τὴν παροῦσαν θεωρίαν ἐπισκέψασθαι, τάς τε τῶν ἀνθρώπων, καὶ τῶν ἐδεσμάτων κράσεις. αἱ μὲν οὖν τῶν ἀνθρώπων, ὁποῖαί τε εἰσίν, καὶ ὅπως χρὴ διαγιγνώσκειν αὐτάς, ἐν τοῖς περὶ κράσεων ὑπομνήμασι λέλεκται, καθάπερ γε καὶ περὶ τῶν φαρμάκων, ἐν τοῖς περὶ τῶν

† al. [illegible]

δυνάμεων αὐτῶν. ἐν δὲ τοῖς νῦν ἐνεστῶσι καιρὸς ἂν εἴη, τὰς τῶν σιτίων εἰπεῖν κράσεις. ὡς ἐν τῷ περὶ διαίτης ἐγγέγραπται βιβλίῳ, κατά τινας μὲν Ἱπποκράτους ὄντι συγγράμματι, κατά τινας δὲ Φιλιστίωνος, ἢ Ἀρίστωνος, ἢ Εὐρυφῶντος, ἢ Φιλήτα, παλαιῶν ἁπάντων ἀνδρῶν. ἀρχὴ δὲ ἐστὶν αὐτοῦ, κατὰ μὲν ἔνια τῶν ἀντιγράφων ἥδε. σιτίων τε καὶ πομάτων δύναμιν ἑκάστου, καὶ τὴν κατὰ φύσιν, καὶ τὴν διὰ τῆς τέχνης, ὧδε χρὴ διαγινώσκειν. ἐν ἄλλοις δέ, ἥδε. χωρίων δὲ θέσιν, καὶ φύσιν ἑκάστου, ὧδε χρὴ διαγινώσκειν. ὅταν μὲν οὖν αὐτὸ καθ' ἑαυτὸ φέρηται τὸ βιβλίον τοῦτο, περὶ διαίτης ἐπιγράφεται μέρος ὂν δεύτερον, εἰς τρία διῃρημένου τοῦ παντός. ὅταν δὲ τὸ συγκείμενον ἐκ τῶν τριῶν ὅλον ἓν ἀδιαίρετον εὑρεθείη, περὶ φύσεως ἀνθρώπου καὶ διαίτης ἐπιγράφεται. τὸ μὲν οὖν δεύτερον, ἐν ᾧ περὶ τῶν σιτίων διέρχεται, τάχ' ἄν τις εὐλόγως Ἱπποκράτους ἄξιον ἡγήσαιτο. τὸ δὲ πρῶτον ἀφέστηκε πάμπολλα τῆς Ἱπποκράτους γνώμης. ἀλλὰ τοῦτο μέν, οἷον ὁδοῦ ἄν τι πάρεργον εἰρήσθω. ὅτου δ' ἂν ᾖ τῶν εἰρημένων ἀνδρῶν, εἰς τινα καθόλου, μέθοδον ἀναφέρειν φαίνεται. ὁ τὴν ἐπὶ τοῖς σιτίοις δίαιταν γὰρ γνούς, ὅτι κριθὴ φύσει ψυχρὰ ἐστὶ καὶ ὑγρὰ ἑψηθεῖσα, ἐπιστάμενος καὶ τὰς τῶν σωμάτων γνωρίζειν κράσεις, ὅσαι τε φύσει ὑπάρχουσιν καὶ ὅσαι κατὰ διάθεσιν ἐπίκτητον γίγνονται, χρήσαιτο προσηκόντως κριθαῖς εἰς ἐδωδήν, οὐ μόνον ἐπὶ τῶν ὑγιαινόντων, ἀλλὰ καὶ τῶν νοσούντων σωμάτων, καὶ καταπλάσματι δ' ἄν τις, διὰ ἀλεύρου κριθίνου χρήσεται καλῶς, ὁ τὴν κρᾶσιν ἐπιστάμενος αὐτῶν. δεῖ δὲ μὴ μόνον ἐγνῶσθαι τὴν κυριωτάτην τε, καὶ πρώτην ἑκάστου σιτίου κρᾶσιν, ἀλλ' ὡς ἐν τοῖς περὶ φαρμάκων ἐλέχθη, καὶ τὰς ἐξ ἐκείνων γιγνομένας. ὧν οὐχ ἥκιστα τυγχάνουσι χρήσιμοι οὖσαι, πολλαὶ μὲν τῶν κατὰ τοὺς χυμούς, εἰ μὴ ἄρα καὶ πᾶσαι, τινὲς δέ, καὶ τῶν κατὰ τὰς ὀσμάς. ἐκ γὰρ τοῦ κεκρᾶσθαι πῶς ἕκαστον ἐκ τοῦ τε θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, καὶ τὸ μὲν αὐτῶν, γλυκύ, τὸ δὲ πικρόν, ἢ ἁλμυρόν, ἢ στρυφνόν, ἢ αὐστηρόν, ἢ δριμὺ φαίνεται. τὸ δὲ ἁλυκόν, οὐκ ἄλλο τι σημαίνει παρὰ τὸ ἁλμυρόν, ἀλλ' ὑπ' ἀμφοῖν ἕν τι δηλοῦται, στρυφνοῦ δὲ καὶ αὐστηροῦ τὸ κοινὸν γένος ὀνομάζεται στύφον. ἐπὶ πλεῖστον δέ, περὶ τῶν χυμῶν ἁπάντων, ἐν τῷ τετάρτῳ, περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως εἴρηται. καὶ χρὴ πάντως ἐκεῖνο γοῦν ἀνεγνωκέναι τὸν μέλλοντα τοῖς νῦν λεγομένοις ἀκολουθήσειν, ὅπως μὴ πάλιν ἀναγκαζώμεθα λέγειν ἐν τοῖσδε περὶ τῶν αὐτῶν τὰ αὐτά. τῶν γοῦν σιτίων, ὡς ὀλίγον ἔμπροσθεν ἔφην, ἔνια μέν, οὐδὲ μίαν ἐπίσημον, ἐμφαίνει ποιότητα καθ' ὀσμὴν, ἢ γεῦσιν. ἃ δὴ, καὶ ἄποια, καὶ ὑδατώδη προσαγορεύουσιν. ἔνια δὲ στῦψιν ἔχει σαφεστάτην, ἢ γλυκύτητα σύμφυτον, ἢ δριμύτητα. καθάπερ γε καὶ ἁλμυρότερα τε ἔνια φαίνεται, καὶ πικρότητος ἔνια σαφῶς μετέχοντα. πρόδηλον οὖν ὅτι τὰ τοιαῦτα, τὴν αὐτὴν ἔχει δύναμιν ἐκείνοις τῶν φαρμάκων, οἷς ὁμοίωται κατὰ τὸν χυμόν. εἴρηται δὲ ἐν τοῖς περὶ τῶν φαρμάκων ἡ αἰτία, δι' ἣν ἔνια τῶν στυφόντων, οὐ ταὐτὸ τοῖς ἄλλοις στύφουσιν ἐργάζεται. καθάπερ ἀλόη τε καὶ χαλκὸς κεκαυμένος, καὶ χάλκανθος, καὶ ἄνθος χαλκοῦ, καὶ λεπίς, καὶ χαλκῖτις. ἐκ τοῦ μεμῖχθαι γάρ, καθ' ἕκαστον αὐτῶν, τῇ στυφούσῃ δυνάμει τε καὶ οὐσίᾳ τῶν ἄλλων τινά, τοῖς κατὰ μέρος ἔργοις ἐξαλλάττεται ταῦτα. Καθάπερ εἰ καὐτὸς ἀναμίξεις κυδωνίῳ μήλῳ σκαμμωνίαν, ὥσπερ ἀμέλει ποιοῦμεν ἐνίοτε, τοῦ μήλου μέν, γλύφοντες τὰ περὶ τὸ σπέρμα, τὸ δὲ κοιλανθὲν ἀναπληροῦντες τῇ σκαμμωνίᾳ, κἄπειτα περιπλάττοντές τε καὶ ὀπτοῦντες, εἶτα διδόντες φαγεῖν τὸ μῆλον. ἄνευ γάρ, τοῦ τὸν στόμαχον ἀνατρέπειν ὑπάγει γαστέρα, τὸ οὕτως σκευασθέν, ἐπικρατούσης † μὲν αὐτὸ, τῆς καθαρτικῆς δυνάμεως, ἣν ἐκ τῆς σκαμμωνίας τὸ μῆλον ἐπεκτήσατο, διαμενούσης δέ, τῆς κατὰ τὸ μῆλον οἰκείας, οὐ γὰρ ἂν ἡδύ τε καὶ στύφον ἐφαίνετο, καὶ τῷ στομάχῳ πρόσφορον. οὕτως οὖν ἔνια τῶν ἐσθιομένων ἔχει τινὰ μεμιγμένην ἐν ἑαυτοῖς δύναμιν, ἤτοι καθαρτικὴν, ἤ τι ποιεῖν ἄλλο πεφυκυῖαν. ἐφ' ὧν οὐ χρή, ταῖς τῶν χυμῶν δυνάμεσιν ἀπιστεῖν, ὡς κατεργαζομέναις, ἃ φύσιν ἔχουσιν ἐνεργεῖν. ἐν οὕτω γοῦν ἂν ἡ στύφουσα ποιότης, ὅσον ἐφ' ἑαυτῇ, συνάγει τε καὶ σφίγγει, καὶ ψύχει τὰ πλησιάζοντα σώματα. δύναται δὲ ἐνίοτε ταὐτὸ σῶμα, τινὰ μὲν θερμαίνοντα τῶν ἑαυτοῦ μορίων ἔχειν, τινὰ δέ, ψύχοντα, καθάπερ ἐδείξαμεν ἐν τοῖς τῶν περὶ ἁπλῶν φαρμάκων δυνάμεων, τῆς φύσεως οὕτως αὐτὰ μιξάσης, ὡς καὶ τῶν ἰατρῶν ἔνιοι μιγνύουσιν ἐνίοτε τῶν ψυχόντων τινὶ πύρεθρον, ἢ πέπερι. ταῦτ' οὖν ὡς ἔφην ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν ἐπὶ πλεῖστον ἐξειργασμένα, χρησιμώτατα τοῖς νῦν διδασκομένοις ἐστίν. καὶ γὰρ αἱ κατὰ μέρος ἑκάστου τῶν ἐσθιομένων σκευασίαι, τοῖς ταῦτα προεγνωκόσιν εὑρίσκεται. τευτλοφακῆν οὖν ἡμεῖς τε δίδομεν ἐνίοτε, καὶ πρὸ ἡμῶν ὁ Ταραντῖνος Ἡρακλείδης ἐδίδου πολλοῖς πολλάκις, οὐ μόνον ὑγιαίνουσιν ἀμέμπτως, ἀλλὰ καὶ πάσχουσί τι. πρῶτον μὲν οὖν ἐμβάλλομεν αὐτῇ, πολλὰ τεῦτλα. δεύτερον δέ, κατὰ τὴν ἄρτυσιν, ἢ ἁλῶν βραχὺ πλειόνων, ἢ γάρου γλυκέος, ὑπακτικώτερον γὰρ οὕτως. εἰ δὲ μή, πτίσσας τὴν φακῆν, ἑψήσας τε δίς, ὡς ἐκχεῖν τὸ πρότερον ὕδωρ, εἶτ' ὀλίγον μὲν ἁλῶν, ἢ γάρου μίξας, ἐπεμβαλεῖς δέ τι βραχὺ τῶν ἐφεκτικῶν γαστρός, ἤτοι ὄξος, ἄχρι τοῦ μὴ δὲ λυπῆσαι τὴν γεῦσιν, ἥδιστόν τε, καὶ ὠφελιμώτατον ἐργάσαι φάρμακόν τε ἅμα, καὶ σιτίον οὐκ ὀλίγοις, τῶν διαρροίᾳ χρονίᾳ ἐνοχλουμένων, οὐκ ὀλίγοις, δὲ εἶπον, ἅπασι φυλαξάμενος εἰπεῖν, ὅτι κἀνταῦθα διορισμοῦ ἐστὶν χρεία, καθ' οὓς αἱ διαθέσεις εὑρεθήσονται τῶν διαρροιζομένων χρονίως. ὅλως γὰρ οὐδὲν οἷόν τε ἐστὶν τῇ πείρᾳ βασανίσαι προσηκόντως, ἄνευ τοῦ τῷ λόγῳ πρότερον εὑρεῖν ἀκριβῶς τὴν διάθεσιν, ᾗ προσφέρεται τὸ βασανιζόμενον, ἤτοι σιτίον, ἢ ποτὸν, ἢ φάρμακον. ὕλη γὰρ ἐστὶν βοηθημάτων, ἡ τῶν τοιούτων γνῶσις, οὐκ † αὐτῶν τῶν βοηθημάτων. ἐπεὶ δ' ἀδύνατον ἄνευ τοῦ γιγνώσκειν ἀκριβῶς τὰς δυνάμεις τῶν ὑλῶν, αἷς χρώμεθα, βοηθεῖν τοῖς δεομένοις αὐτῶν, ἀναγκαῖον ἐστίν, ὥσπερ ἐτερώθη περὶ τῶν ἐν τοῖς φαρμάκοις δυνάμεων, οὕτως ἐν τῷδε περὶ τῶν ἐν τῇ τροφῇ διελθεῖν. ἡ γνῶσις δὲ αὐτῶν ἐν χρόνῳ πολλῷ κατορθοῦται μόγις, ἔκ τε τῆς διωρισμένης πείρας, καὶ τῆς τῶν ἀτμῶν τε, καὶ χυμῶν φύσεως, οὓς ἔχειν φαίνεται τὰ δοκιμαζόμενα, καὶ πρὸς ἔτι τῆς συστάσεως ἣν κέκτηται, κατά γε γλισχρότητα, καὶ χαυνότητα, πίλησίν τε καὶ κουφότητα, καὶ βαρύτητα. ταῦτα γὰρ ἅπαντα, συντελεῖ πρὸς τὴν εὕρεσιν αὐτῶν οὕτως τε, κἂν εἰς ξένην χώραν ἀφικόμενος, ἴδῃς τι τῶν μὴ πρόσθεν ἑωραμένων σοι βρωμάτων, ἕξεις ἀφορμὰς οὐκ ὀλίγας εἰς τὴν τῆς δυνάμεως αὐτῶν γνῶσιν. ἃ δὲ Μνησίθεος ἔγραψε, περί τε ῥιζῶν, καὶ καυλῶν, καὶ φύλλων, καὶ καρπῶν, καὶ σπερμάτων, οὐ πάνυ τι βεβαίαν ἔχει τὴν διάγνωσιν, ἐὰν, τῇ διωρισμένῃ πείρᾳ κρίνῃς αὐτό. καθ' ὅτι καὶ διὰ τῶν ἐφεξῆς ἔσται δῆλον. ἔγνωκα γὰρ ὑπὲρ ἑκάστου τῶν ἐδε-

† al. ἐν αὐτῷ

† al. αὐτὰ τὰ βοηθήματα

τῶν ἐδε-

τῶν ἐδεσμάτων ἰδίᾳ διελθεῖν. εἰ καὶ μακρότερος ὁ λόγος ἐστὶν, ἢ ἔσεσθαι ἔμελλε, δυνησώμεθα γοῦν αὖθις αὐτὸν ἐν βραχεῖ περιλαβεῖν ἑτέρῳ βιβλίῳ τινὶ μικροτέρῳ, χρησίμῳ τοῖς τεχνωθεῖσιν ἐσομένῳ. μόνη γὰρ ἡ κατὰ διέξοδον τε ἄσκησις καὶ διδασκαλία, τεχνίτας ἀπεργάζεται. καὶ διὰ τοῦτο μοι δοκοῦσιν καλῶς οἱ πολλοὶ λέγειν, ἀρίστην εἶναι διδασκαλίαν, τὴν παρὰ τῆς ζώσης φωνῆς γιγνομένην. ἐκ βιβλίου δὲ, μήτε κυβερνήτην † τινὰ γιγνόμενον γίνεσθαι, μήτε ἄλλης τέχνης ἐργάτην. ὑπομνήματα γάρ ἐστι ταῦτα τῶν προμεμαθηκότων, οὐ διδασκαλία τελεία τῶν ἀγνοούντων. εἴ γε μὴν ἐθέλοιεν τινὲς, καὶ τούτων ὅσοι διδασκάλων ἀποροῦσιν, ἐντυγχάνειν ἐπιμελῶς, τοῖς σαφῶς τε καὶ κατὰ διέξοδον, ὁποίαν ἡμεῖς ποιούμεθα, γεγραμμένοις, ὀνήσονται μεγάλως, καὶ μάλιστα, ἐὰν πολλάκις ἀναγινώσκειν αὐτὰ, μὴ ὀκνῶσιν.

† al. γιγνόμενον ἰδέσθαι

περὶ πυρῶν, ἤτοι, σίτου.

Εἰκότως μοι δοκοῦσιν οἱ πλεῖστοι τῶν ἰατρῶν, ἀπὸ πυρῶν ἄρξασθαι τῆς προκειμένης διδασκαλίας, ἐπειδὴ πολυχρησιμότατον, καὶ πολυχρηστότατόν ἐστι τοῦτο τὸ σπέρμα, τοῖς τε Ἕλλησιν ἅπασι, καὶ τῶν βαρβάρων τοῖς πλείστοις. εἰσὶ δὲ αὐτῶν, τροφιμώτατοι μὲν, οἱ πυκνοὶ καὶ πεπιλημένην ἔχοντες ὅλην τὴν οὐσίαν, ὡς μόγις ὑπὸ τῶν ὀδόντων διαιρεῖσθαι. πλείστην γὰρ οὗτοι τροφὴν διδόασιν τοῖς σώμασιν, ἐξ ὄγκου βραχέος. οἱ ἐναντίοι τούτοις, ῥᾳδίως μὲν ὑπὸ τῶν ὀδόντων θραυόμενοι, μετὰ δὲ τὴν θραῦσιν ἀραιοὶ καὶ χαῦνοι φαινόμενοι, βραχεῖαν διδόασι τροφὴν ἐξ ὄγκου πολλοῦ. εἰ δὲ καὶ στῆσαι βουληθείης ἑκατέρων ἴσον ὄγκον, εὑρήσεις βαρυτέρους πολλὰ τοὺς πυκνοὺς, οὗτοι δ᾽ εἰσὶν, καὶ τῇ χρόᾳ τῶν χαύνων ξανθότεροι. βασανίζειν δὲ χρὴ, τὴν φύσιν αὐτῶν, οὐχ ἁπλῶς ἐπισκοποῦντες τὴν † ἔξοδον, ἢ μᾶλλον, τὴν ἔξωθεν ἐπιφάνειαν, ἀλλὰ καὶ διαιροῦντες, καὶ θραύοντες καθάπερ εἴρηται. πολλοὶ γὰρ ἔξωθεν ὑπόξανθοί τε καὶ πυκνοὶ φαινόμενοι, τὰ ἔνδον ἑαυτῶν ὤφθησαν ἀραιοί τε καὶ χαῦνοι, καὶ λευκοί. πλεῖστον οὖν οὗτοι πίτυρον ἔχουσιν, καὶ εἴ τις αὐτῶν ἀλεσθέντων ὑποσείσας τὸ λεπτότατον ἄλευρον, ἄρτους ἐκ τοῦ λοιποῦ ποιήσαιτο, τοὺς πιτυρίας ὀνομαζομένους, ὀλιγοτρόφων μὲν αὐτῶν πειράσεται, περίττωμα δ᾽ ἐργαζομένων ἐν τῇ γαστρὶ πολὺ, καὶ διὰ τοῦθ᾽ ὑπερχομένων, ῥᾳδίως. ἅμα δὲ, καὶ διὰ τὸ ῥυπτικῆς μετέχειν οὐσίας τὸ πίτυρον, εἰκότως ἡ διαχώρησις αὐτῶν γίγνεται ταχεῖα πρὸς τὴν ἔκκρισιν ἐρεθιζομένων τῶν ἐντέρων. οἱ δὲ ἐναντίοι τούτοις εἰσὶ μὲν ἀκριβῶς καθαροὶ, πλεῖστον ἄγοντες σταθμὸν ἐπ᾽ ὄγκῳ βραχεῖ, διαχωροῦσι δὲ πάντων τῶν ἄρτων βραδύτερον. θεάσῃ γε μὴν, καὶ τὸ σταῖς αὐτῶν γλίσχρον ἱκανῶς, ὡς ἐπὶ πλεῖστον ἕλκεσθαι μὴ διασπώμενον, ὅπερ ἴδιόν ἐστιν γλίσχρου σώματος. εἰκότως τοίνυν οὗτοι μὲν, καὶ ζύμης πλείονος χρῄζουσιν, καὶ μαλαχθῆναι δέονται πάντων μᾶλλον, καὶ οὐκ εὐθὺς μετὰ τὴν ζύμην καὶ τὴν μάλαξιν ὀπτᾶσθαι. τοῖς πιτυρίαις δὲ ἀρκεῖ, καὶ ζύμη βραχεῖα, καὶ μάλαξις ἀσθενὴς, καὶ χρόνος ὀλίγος. οὕτως δὲ καὶ τῆς ὀπτήσεως, μακροτέρας μὲν οἱ καθαροὶ, βραχυτέρας δὲ οἱ πιτυρίαι δέονται. τὸ μεταξὺ δὲ τῶν καθαρωτάτων τε, καὶ ῥυπαρωτάτων, οὐκ ὀλίγον ἐστὶ πλάτος, ἐν ᾧ μᾶλλόν τε καὶ ἧττον. ἐνίων μὲν καθαρῶν, ἐνίων δὲ, ῥυπαρῶν ὀνομαζομένων, καὶ κατὰ ἀλήθειαν ὄντων. ἔστι δέ τι, καὶ μέσον ἀκριβῶς αὐτῶν εἶδος ἄρτων, οἱ αὐτόπυροι προσαγορευόμενοι. συγκομιστοὺς δὲ αὐτοὺς ἐκάλουν οἱ παλαιοὶ τῶν ἰατρῶν. ὅτι μὲν οὖν ἐξ ἀδιακρίτων ἀλεύρων οὗτοι γίνονται, μὴ διαχωριζομένου τοῦ πιτυρώδους ἀπὸ τοῦ καθαροῦ, πρόδηλον, ἐντεῦθεν γοῦν αὐτοῖς ἔθεντο καὶ τὰς προσηγορίας. αὐτόπυρος μὲν, ἐπείπερ ὅλος αὐτὸς ὁ πυρὸς, ἀδιακρίτως ἄρτος ποιεῖται. συγκομιστὸς δὲ, ὅτι συγκομίζεται σκευαζομένων αὐτῶν, ἅπαν ἀδιάκριτον τὸ ἄλευρον. ἀλλὰ καὶ αὐτῶν τούτων ἐν τῷ μέσῳ δοκούντων, ἀκριβῶς τετάχθαι, τῶν τ᾽ ἐκ τοῦ πιτύρου, καὶ τῶν ἄκρως καθαρῶν ἄρτων, οὐ σμικρὰ διαφορὰ, παρὰ τὴν τοῦ πυροῦ φύσιν ἐστίν. Ἐκ μὲν γὰρ τῶν πυκνῶν πυρῶν καὶ βαρέων, ἀμείνους, ἐκ δὲ τῶν χαύνων τε καὶ κούφων, ἄρτοι φαυλότεροι γίνονται. καὶ παρά γε τοῖς Ῥωμαίοις, ὥσπερ οὖν, καὶ παρὰ τοῖς ἄλλοις σχεδὸν ἅπασιν, ὧν ἄρχουσιν, ὁ μὲν καθαρώτατος ἄρτος, ὀνομάζεται σιλιγνίτης, ὁ δὲ ἐφεξῆς αὐτῶν, σεμιδαλίτης. ἀλλ᾽ ἡ μὲν σεμίδαλις, Ἑλληνικόν τε καὶ παλαιὸν ὄνομα ἐστίν. σιλίγνις δὲ, οὐχ Ἑλληνικὸν μὲν, ἑτέρως δὲ αὐτὴν ὀνομάζειν οὐκ ἔχω. τροφιμώτατος μὲν οὖν, ὁ σιλιγνίτης αὐτῶν, ἐφεξῆς δὲ ὁ σεμιδαλίτης. καὶ τρίτος ὁ μέσος τε καὶ συγκομιστικὸς, ὁ καὶ αὐτοπυρίτης, ἐφ᾽ ᾧ τέταρτος ἐστὶν, τὸ τῶν ῥυπαρῶν εἶδος, ὧν ἔσχατος ὁ πιτυρίας, ὃς δὴ, καὶ ἀτροφώτατος ἐστίν. καὶ μάλιστα τῶν ἄλλων ὑπέρχεται κατὰ γαστέρα. πεφθῆναι δὲ ἄριστοι, τῶν ἄρτων εἰσὶν, οἱ μάλιστα ἐζυμωμένοι, καὶ κάλλιστα τετριμμένοι, ἀπὸ συμμέτρου πυρὸς ἐν κλιβάνῳ τὴν ὄπτησιν ἐσχηκότες. τὸ μὲν γὰρ πλεῖον πῦρ, εὐθὺς ἐν τῇ πρώτῃ προσβολῇ, τὴν ἐκτὸς ἐπιφάνειαν περικαίον, ἀποστρακίζει. καὶ συμβαίνει κατ᾽ ἄμφω, μοχθηρόν τε γίνεσθαι τὸν ἄρτον, ὠμὸν μὲν, καὶ ἀκατέργαστον ἔχοντα τὸ ἔνδον, ὑπερωπτημένον δὲ καὶ ξηρὸν, καὶ ὀστρακῶδες ἔχοντα τὸ ἔξω. τὸ δὲ ἔλαττον τοῦ συμμέτρου πῦρ οὐ κατεργάζεται καλῶς τὸν ἄρτον, ἀλλ᾽ ὠμότερον ἀπολείπει. καὶ μάλιστα, τὸ ἔνδον ἅπαν ὅσοι δ᾽ ἂν ἐν συμμέτρῳ πυρὶ πλείονι χρόνῳ δι᾽ ὅλων ἑαυτῶν ὁμαλῶς ὀπτηθῶσιν, οὗτοι καὶ πέττονται κατὰ τὴν γαστέρα κάλλιστα, καὶ πρὸς τὰς ἐξῆς ἐνεργείας, ὅσαι μετὰ τὴν πέψιν εἰσὶν, ἐπιτηδειότατοι γίνονται. χείριστοι δὲ τῶν ἄρτων εἰσὶ δηλονότι, ὅσοις οὐδὲν τῶν προειρημένων ὑπάρχει. τῶν δ᾽ ἄκρων ἐν αὐτοῖς ἀρετῇ καὶ κακίᾳ διωρισμένων, οὐδὲν ἐστὶ χαλεπὸν αὐτῶν ἰδεῖν, καὶ χωρὶς ἡμῶν ἐπινοεῖν, ἐνίους μὲν, τῶν ἄρτων, ἐγγὺς εἶναι τῶν ἀρίστων, ἢ χειρίστων. ἐνίους δὲ, ἀποκεχωρηκέναι πορρωτέρω. καί τινας ἄλλους ὡς εἴρηται κατὰ τὸ μέσον ἀμφοῖν τετάχθαι. Καθάπερ οὖν ἐπὶ τοῦ μέλιτος, ὡς ἔμπροσθεν εἰρήκαμεν, οὐχ ἁπλῶς ἀποφαίνεσθαι δεῖν ἀγαθὸν ἢ φαῦλον εἶναι πρὸς ὑγείαν, ἀλλὰ φλεγματικῇ μὲν φύσει, τουτέστιν, ὑγροτέρᾳ τε καὶ ψυχροτέρᾳ τοῦ εὐκράτου, χρήσιμον ὑπάρχειν αὐτὸ, κἂν εἰ ψυχροτέρα δὲ μόνον εἴη τις, ἄνευ πολλῆς ὑγρότητος, ἢ ὑγροτέρα ἄνευ πολλῆς ψύξεως, οὐ μὴν γε ταῖς θερμαῖς κράσεσιν, οὐδὲ τούτων ἔτι μᾶλλον, ταῖς θερμαῖς τε καὶ ξηραῖς ἁρμόττειν αὐτὸ, οὕτω καὶ τῶν ἄρτων, ἀθλητῇ μὲν, ἐπιτήδειος, ὁ μήτε πάνυ καλῶς ὠπτημένος, μήτε ζύμην ἔχων πολλήν, ἰδιώτῃ δὲ καὶ πρεσβύτῃ, ὁ κάλλιστα μὲν ἐν κλιβάνῳ, ζύμης δὲ, μετέχων πολλῆς. ὅ γε μὴν, τελέως ἄζυμος, οὐδ᾽ ἐνὶ χρήσιμος. εἰ δὲ καὶ τυροῦ προσλάβοι, καθάπερ ἐν τοῖς ἀγροῖς παρ᾽ ἡμῖν εἰώθασιν σκευάζειν ἑορτάζοντες, οὓς αὐτοὶ προσαγορεύουσιν ἀζύμους, ἑτοίμη βλάβη πᾶσι, κἂν ἰσχυρότατοι τινὲς

† al. haec quatuor sequentia uerba non leguntur

ὦσιν τὴν ἕξιν τοῦ σώματος, οἷόν περ οἱ γενναιότατοι τῶν θεριστῶν, καὶ τῶν σκαπανέων εἰσίν. οὗτοι γοῦν ὁρῶντες καὶ τῶν βαρέων ἀθλητῶν μᾶλλον πέττοντες τοὺς ἀζύμους ἄρτους, ὥσπερ γε, καὶ κρέα βόεια, καὶ τράγεια. τί γοῦν ἔτι δεῖ με μνημονεύειν προβατείων ἢ αἰγείων ἐπὶ τούτοις; ἐν Ἀλεξανδρείᾳ δέ, καὶ τὰ τῶν ὄνων κρέα ἐσθίουσι. εἰσὶ δὲ οἳ καὶ τὰ τῶν καμήλων. εἰς γοῦν τὴν πέψιν αὐτῶν συντελεῖ μέν τι καὶ τὸ ἔθος, οὐχ ἥκιστα δὲ καὶ ἡ βραχύτης τῶν προσφερομένων, καὶ ἡ τοῦ σώματος ὅλου † κένωσις [† ἄλ. κίνησις] ἐξ ἀνάγκης ἑπομένη τοῖς δι' ὅλης ἡμέρας ταλαιπωροῦσι κατὰ τὰς οἰκείας ἐνεργείας. ἀναρπάζουσι γὰρ αἱ κεναὶ σάρκες ἐκ τῆς γαστρὸς οὐ μόνον ἡμίπεπτον, ἀλλὰ καὶ παντάπασιν ἄπεπτον ἐνίοτε χυμόν, ὅταν ἐπὶ σιτίοις πονῶσι. καὶ διὰ τοῦτο, νόσους χαλεπωτάτας ὕστερον οὗτοι νοσοῦσιν, καὶ πρὸ γήρως ἀποθνήσκουσιν. καὶ ταῦτα ἀγνοοῦντες οἱ πολλοί, μακαρίζουσιν αὐτῶν τὴν ἰσχὺν τοῦ σώματος, ὁρῶντες ἐσθίοντας τε καὶ πέττοντας, ἃ μηδεὶς ἡμῶν δύναται προσενέγκασθαι καὶ πέψαι. ἐπεὶ δὲ καὶ τοῖς πολλοῖς ταλαιπωρηθεῖσιν ὕπνοι βαθύτεροι γίγνονται, καὶ τοῦτ' αὐτοῖς μειζόνως πρὸς τὰς πέψεις συντελεῖ, διὰ τοῦθ' ἧττον ὑπὸ τῶν μοχθηρῶν ἐδεσμάτων βλάπτονται. εἰ δ' ἀναγκάσεις αὐτοὺς ἀγρυπνῆσαι πλείοσιν ἐφεξῆς νυξίν, αὐτίκα νοσοῦσιν ἐκεῖνοι μὲν οὖν ἓν τοῦτο μόνον ἀγαθὸν ἔχουσιν εἰς πέψιν τῶν μοχθηρῶν ἐδεσμάτων. οἱ δὲ ἀθληταί, τροφὰς μὲν οὐκ εὐχυμοτάτας λαμβάνουσιν, ἀλλὰ παχεῖς καὶ γλίσχρους οἵ γε βαρεῖς αὐτῶν, ὀνομάζουσι δ' οὕτω μάλιστα μέν, τοὺς παλαιστὰς ἤδη δέ, καὶ τοὺς παγκρατιαστάς τε καὶ πύκτας. ἐπεὶ γοῦν, ἡ παρασκευὴ πᾶσα πρὸς τοὺς ἀγῶνας αὐτοῖς ἐστιν, ἐν οἷς ἐνίοτε, δι' ὅλης ἡμέρας παλαίειν ἢ παγκρατιάζειν ἀναγκάζονται, διὰ τοῦτο δέονται, τροφῆς δυσφθάρτου τε, καὶ δυσδιαφορήτου. τοιαύτη δέ ἐστιν, ἡ τῶν παχέων, καὶ γλίσχρων χυμῶν. ὁποία μάλιστά ἐστιν, ἥ τε ἐκ τῶν χοιρείων κρεῶν, καὶ τῶν, ὡς εἴρηται, σκευαστῶν ἄρτων. οὕσπερ οἱ νομίμως ἀθλοῦντες, ἐσθίουσι μόνοι. καὶ εἴπερ ἰδιώτης ἀγύμναστος ἐν τῇ αὐτῇ τροφῇ διατρίψειεν, νοσήσει τάχιστα νόσημα πληθωρικόν. ὥσπερ γε καὶ εἰ γυμναζόμενος ἄνθρωπος, ἐπὶ λαχάνοις καὶ χυλοῦ πτισάνης διαιτῷτο, καταφθείρειεν ἂν ἐν τάχει, καὶ τρυχώσειεν τὸ πᾶν σῶμα. χυμὸς δὲ πλεονάζει, ἐκ τῶν τοιούτων ἄρτων, οἷς ἔφην χρῆσθαι τοὺς ἀθλητάς, εἴ τις ἡμῶν τῶν πολλῶν ἐσθίει, γίνεται παχὺς καὶ ψυχρός, ὁποῖον ἰδίως ὀνομάζειν εἰθίσμεθα τὸν ὠμὸν χυμόν. ἔστι μὲν οὖν καὶ ὁ τοῦ φλέγματος χυμὸς ὠμός τε καὶ ψυχρός, ἀλλ' οὐ παχύς, ὡς ἂν ὑγρότητά τε πολλὴν ἔχων, καὶ πνεῦμα φυσῶδες. Ὁ δὲ ὠμὸς χυμὸς ἰδίως ὀνομαζόμενος, τοιοῦτός ἐστιν, ὁποῖον φαίνεται τὸ τοῖς οὔροις ὑφιστάμενον ἐνίοτε πύῳ παραπλήσιον, ἀλλὰ δυσῶδες μέν ἐστιν, καὶ γλίσχρον τὸ πῦον, ὁ δὲ ὠμὸς ἔοικεν αὐτῷ κατά τε τὸ πάχος καὶ τὴν χρόαν μόνον, οὔτε δυσώδης ὤν, οὔτε γλίσχρος. οὐ μὴν τοῖς γε πυρέττουσιν ἐξ ὠμῶν πλήθους μόνον ὑφίσταται τοῖς οὔροις ὁποῖον εἶπον, ἀλλὰ τοῖς ὑγιαίνουσιν, ὅσοι ταλαιπωρούμενοι, σιτία σκληρὰ καὶ δυσκατέργαστα προσφέρονται. περὶ μὲν οὖν τῶν ἄλλων, αὖθις εἰρήσεται, περὶ δὲ τῶν ἄρτων, ἐπειδὴ περὶ τούτων προὔκειτο πρῶτον ἡμᾶς διελθεῖν, εἴπωμεν ἤδη πρὸς τοῖς παρ' ἡμῶν εἰρημένοις, καὶ ταῦτα. Κάλλιστοι μὲν αὐτῶν εἰσιν οἱ κλιβανῖται, καθ' ὃν εἴρηται τρόπον, ὠπτημένοι τε, καὶ προπαρεσκευασμένοι πρὸς τὴν ὄπτησιν. ἐφεξῆς δὲ αὐτῶν, οἱ ἰπνῖται, τὴν αὐτὴν ἐσχηκότες δηλονότι παρασκευήν. ἐπεὶ δ' οὐχ ὁμοίως ὀπτῶνται τὰ διὰ βάθος τοῖς κλιβανίταις, διὰ τοῦτ' αὐτῶν, ἀπολείπονται. οἱ δ' ἐπὶ τῆς ἐσχάρας ὀπτηθέντας, ἢ κατὰ θερμὴν τέφραν, ἢ ὑπὸ τῆς ἑστίας ὀστράκῳ, καθάπερ κλιβάνῳ κεχρημένοι, μοχθηροὶ πάντως εἰσίν, ἀνωμάλως διακείμενοι. τὰ μὲν γὰρ ἐκτὸς αὐτῶν ὑπεροπτᾶται. τὰ δέ, διὰ βάθους ἐστὶν ὠμά. τοῖς δὲ ἐγκρυφίαις ὀνομαζομένοις, ὡς ἂν ἐκ τοῦ κατὰ τὴν τέφραν ἐγκρυβέντας, ὀπτᾶσθαι, προσδίδωσί τι καὶ ἡ τέφρα μοχθηρόν, ὥστε κινδυνεύουσιν οὗτοι ἁπάντων ἄρτων εἶναι χείριστοι, κατά γε τὴν τῆς ὀπτήσεως ἰδέαν, ἐπὶ πᾶσι τοῖς ἄλλοις ὡσαύτως καὶ προϋπάρχουσιν. δεῖ γὰρ ἑκάστοτε περὶ τῶν προκειμένων ἀκούειν οὕτως, ὡς κατ' ἐκεῖνα μόνων ἐξηλλαγμένων, τῶν παραβαλλομένων ἀλλήλοις. ὡς εἴ γε κατὰ πολλοὺς τρόπους διαφέροντα παραβάλλοιτο, τὰ καθ' ἕκαστον αὐτῶν ἴδια λελεγμένα πάντα ἕξουσιν ἠθροισμένα. περὶ μὲν τῶν οὖν κατὰ ἄρτους διαφορᾶς, αὐτάρκως εἴρηται.

περὶ πεμμάτων, ἢ τοῦ πυρίνου.

Περὶ δὲ τῶν ἄλλων πεμμάτων, ὅσα σκευάζουσιν ἐξ ἀλεύρου πυρίνου, καιρὸς ἂν εἴη λέγειν. οἱ μὲν οὖν τηγανῖται, παρὰ τοῖς Ἀττικοῖς ὀνομαζόμενοι, παρ' ἡμῖν δὲ τοῖς κατὰ τὴν Ἀσίαν Ἕλλησι τηγανῖται, σκευάζονται δι' ἐλαίου μόνου. βάλλεται δέ, τὸ μὲν ἔλαιον μόνον εἰς τήγανον ἐπικείμενον ἀκάπνῳ πυρί, καταχεῖται δὲ αὐτῷ [† ἄλ. Vel ἐν τῷ] τῷ θερμανθέντι, τὸ τῶν πυρῶν ἄλευρον, ὕδατι δεδευμένον πολλῷ. διὰ ταχέων οὖν ἑψόμενον † αὐτῷ ἐλαίῳ συνίσταται. καὶ παχύνεται, παραπλησίως ἁπαλῷ τυρῷ, τῷ κατὰ τοὺς ταλάρους, πηγνυμένῳ. τηνικαῦτα δὲ ἤδη καὶ στρέφουσιν αὐτὸ οἱ σκευάζοντες, αὐτοῦ τὴν μὲν ἄνωθεν ἐπιφάνειαν ἐργαζόμενοι κάτωθεν, ὡς ὁμιλεῖν τῷ τηγάνῳ. τὸ, δ' αὐτάρκως ἑψημένον, ὃ κάτωθεν ἦν πρότερον, εἰς ὕψος ἀνάγοντες ὥστε † [† ἄλ. ἐπιπολῆς] ἐπὶ πολὺ εἶναι, κἄπειτα δ' ἂν ἤδη καὶ τὸ κάτω παγῇ, στρέφουσιν αὖθις αὐτό, δίς που καὶ τρίς, ἄχρι περ ἂν ὅλον ὁμαλῶς αὐτοῖς, ἑψῆσθαι δόξῃ. εὔδηλον οὖν ὅτι παχύχυμόν γε τοῦτ' ἐστί, καὶ σταλτικὸν γαστρός, καὶ χυμῶν ὠμῶν γεννητικόν. διό, καί τινες αὐτῷ μιγνύουσι μέλιτος. εἰσὶ δ' οἳ καὶ τῶν θαλασσίων ἁλῶν, εἴη δ' ἂν ἤδη τοῦτό γε πλακοῦντός τι γένος, ἢ εἶδος, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλεις, ὥσπερ καὶ ἄλλα τινὰ πλακούντων εἴδη συντιθέασιν αὐτοσχεδίως, οἵ τε κατ' ἀγρὸν ἄνθρωποι, καὶ τῶν κατὰ πόλιν οἱ πενέστατοι. τοιγαροῦν καὶ ὅσα διὰ κλιβάνου τῶν ἀζύμων πεμμάτων ὀπτῶσιν, εἶτ' ἀφελόντες ἐμβάλλουσιν εὐθέως εἰς μέλι θερμόν, ὡς δέξασθαι δι' ὅλων ἑαυτῶν αὐτό, καὶ ταῦτα πλακοῦντός τι γένος ἐστίν, καὶ τὰ διὰ τῶν ἰτρίων σκευαζόμενα μετὰ μέλιτος πάντα.

περὶ ἰτρίων διαφόρων, σκευαζομένων.

Διττὸν δὲ τῶν ἰτρίων τὸ εἶδος. ἄμεινον, μὲν ὃ καλοῦσι ῥύμματα. φαυλότερα δὲ τὰ λάγανα. πάντα οὖν ὅσα διὰ τούτων τε καὶ σεμιδάλεως συντίθεται, παχύχυμά τε ἐστί, καὶ βραδύπορα. καὶ τῶν καθ' ἧπαρ διεξόδων τῆς τροφῆς ἐμφρακτικά, καὶ σπληνὸς ὄγκους αὐξητικά. καὶ λίθων ἐν νεφροῖς γεννητικά. τρόφιμα δὲ ἱκανῶς,

ἐπεφθέν

ἐπεφθείη τε, καὶ καλῶς αἱματωθείη. τὰ δὲ σὺν μέλιτι σκευαζόμενα, μικτῆς γίνεται δυνάμεως. ὡς ἂν τοῦ μέλιτος αὐτοῦ λεπτὸν ἔχοντα χυμόν. ὅσοις τ' ἂν ὁμιλήσῃ, καὶ ταῦτα λεπτύνοντα. εἰκότως οὖν ὅσα μέλιτός τε πλεῖον ἐν τῇ σκευασίᾳ προσείληφε, καὶ τὴν ἕψησιν ἔσχηκε μακροτέραν, ἧττόν τ' ἐστὶ βραδύπορα, καὶ μικτὸν χυμὸν γεννᾷ ἐκ λεπτοῦ τε, καὶ παχέος. ἥπατι δὲ καὶ νεφροῖς καὶ σπληνί, τοῖς μὲν ὑγιεινοῖς, ἀμείνω τῶν χωρὶς μέλιτος σκευασθέντων. ἐμφράξεως δὲ ἀρχὴν ἔχουσιν, ἢ φλεγμαίνουσιν, ἢ σκιρρουμένοις, οὐδὲν ἧττον ἐκείνων, ἀλλ' ἔστιν ὅτε καὶ μᾶλλον βλαβερὰ καὶ πολλῷ μάλιστα πάντων, ὧν γλίσχρον ἱκανῶς ἐστὶ τὸ ἄλευρον. ὁ γὰρ ἐξ αὐτῶν χυμὸς, οὐ μόνον ἰσχόμενος ἰέναι πρόσω διὰ πάχος κωλύεται, ἀλλὰ καὶ περιπλαττόμενος ἔνδοθεν τοῖς στενοῖς πέρασι τῶν ἀγγείων, ἐμφράττεται δυσαπολύτως. καὶ βάρους γε τὸ βλαβερὸν, οὕτω σπλάγχνον αἴσθησιν ἐργάζεται τοῖς πάσχουσιν, τῆς ἐκ τῶν λεπτυνόντων ἐδεσμάτων τε καὶ πομάτων ἐπικουρίας δεόμενον. εἴρηται δὲ ἑτέρωθι, καθ' ἓν γράμμα, περὶ τῆς λεπτυνούσης διαίτης. θώρακα γε μὴν οὐδὲν, οὐδὲ πνεύμονα βλάπτει τῶν οὕτως σκευασθέντων. ἀλλὰ περὶ μὲν τῶν τὸν παχὺν καὶ γλίσχρον χυμὸν γεννώντων ἐδεσμάτων, εἰρήσεται καὶ αὖθις· ὁ δὲ νῦν ἐνεστηκὼς λόγος ἀξιοῖ σε τ' ἄλλα διὰ μνήμης ἔχειν, ἃ μέχρις δεῦρο διῆλθον, καὶ μάλιστα πάντων αὐτῶν ὑπὲρ τῆς τῶν ἄρτων δυνάμεως, ἐπεὶ διὰ παντὸς αὐτοῖς χρώμεθα καὶ χεῖρον γε οὐδὲν ἀναλαβεῖν τὰ κεφάλαια τῶν ἐπ' αὐτοῖς ῥηθέντων. ἄριστος μὲν οὖν ἐστιν ἄρτος εἰς ὑγείαν ἀνθρώπου, μήτε νέῳ, μήτε γυμναζομένῳ, ὁ πλεῖστον μὲν ζύμης ἔχων, πλεῖστον δὲ ἁλῶν. ἐπὶ πλεῖστον δὲ ὑπὸ τοῦ τεχνίτου, πρὶν πλάττεσθαι καὶ ὀπτᾶσθαι κατειργασμένος. ὀπτημένος τε ἐν κλιβάνῳ συμμέτρως θερμῷ, καθ' ὅτι πρόσθεν εἴρηται. κρίσις μὲν οὖν τοῦ πλείστου κατὰ τὴν ζύμην καὶ τοὺς ἅλας ἡ γεῦσις ἔστω σοι. τὸ γὰρ ἤδη λυποῦν ἐν τῇ τούτων πλείονι μίξει, μοχθηρόν. εἰς ὅσον οὖν ἡ γεῦσις οὐδέπω γνωρίζει τὴν ἐκ τῆς μίξεως ἀηδίαν, εἰς τοσοῦτον βέλτιόν ἐστιν αὐξάνειν αὐτῶν τὸ πλῆθος.

περὶ πλυτοῦ ἄρτου ἑρμηνεία.

Ὅσοι δὲ, τὸ πλυτὸν ἄρτον ἐπενόησαν σκευάζειν, ἀτροφώτερον μὲν εὗρον ἔδεσμα, πεφευγὸς δ' ὡς οἷόν τε μάλιστα, τὴν ἐκ τῆς ἐμφράξεως βλάβην. ἥκιστα γοῦν ὁ ἄρτος οὗτος ἔχει τὸ παχὺ καὶ γλίσχρον, ὡς ἀερωδέστερος ἀντὶ γεωδεστέρου γεγονώς. ὁρᾶται δ' ἡ κουφότης αὐτοῦ, διά τε τοῦ σταθμοῦ, κἀκ τοῦ μὴ δύεσθαι καθ' ὕδατος, ἀλλ' ἐποχεῖσθαι τρόπῳ φελλοῦ. ἑψόντων δὲ παρ' ἡμῖν ἐν τοῖς ἀγροῖς πολὺ ἄλευρον πυροῦ μετὰ γάλακτος, ἰστέον καὶ τοῦτο τὸ ἔδεσμα τῶν ἐμπλαττόντων ὑπάρχειν. Ὥσπερ οὖν εὔχυμά τε καὶ τρόφιμα πάντα ἐστὶ, τὰ τοιαῦτα τῶν ἐδεσμάτων, οὕτω βλάπτει τοὺς διηνεκῶς αὐτοῖς χρωμένους, ἐμφράξεις τε ποιούμενα καθ' ἧπαρ καὶ λίθους ἐν νεφροῖς γεννῶντα. τοῦ μὲν γὰρ ὠμοῦ χυμοῦ προσλαβόντος τὸ γλίσχρον, ὅταν αἱ κατὰ τοὺς νεφροὺς διέξοδοι στενότεραι εἰσί τισιν ὑπάρχουσαι φύσει, χρονίζον αὐτόθι τὸ παχύτατόν τε καὶ γλίσχρον ἕτοιμόν ἐστι γεννῆσαι πῶρον, ὁποῖος τοῖς ἀγγείοις, οἷς τὸ ὕδωρ θερμαίνομεν, ἐπιτρέφεται. καὶ τοῖς λίθοις πεπήγνυται κατὰ πολὺ τῶν αὐτοφυῶν ὑδάτων θερμῶν, συντελεῖ δὲ εἰς τοῦτο μάλιστα, καὶ ἡ τῶν νεφρῶν αὐτῶν κρᾶσις. ὅταν οἷον πυρῶδές τε καὶ δριμὺ, τὸ κατ' αὐτοὺς ᾖ θερμόν. ἐκ τούτου δὲ τοῦ γένους εἰσὶ καὶ οἱ τοῖς ἀρθριτικοῖς γινόμενοι πῶροι. ῥεῖ γοῦν, ἀεὶ τὸ περιττεῦον ἐν τῷ σώματι πᾶν εἰς τοὺς ἀσθενεστάτους τόπους. ἐργάζεταί τε ἐν αὐτοῖς πάθος κατὰ τὴν αὐτοῦ φύσιν. εἰρήσεται δὲ αὖθις, ἐν τῷ περὶ γάλακτος λόγῳ περὶ πάσης αὐτοῦ τῆς χρήσεως, ὥσπερ γε, καὶ ἐπὶ τῶν παχυνόντων ἐδεσμάτων, ἐπειδὴ καὶ ἄλλ' ἄττα τῆς τοιαύτης ἐστὶ δυνάμεως.

περὶ χόνδρου.

Τοῦ γένους τῶν πυρῶν ἐστὶν ὁ χόνδρος ἱκανῶς τρόφιμόν τε καὶ γλίσχρον ἔχων χυμόν, ἐάν τε ἐν ὕδατι μόνον ἑψηθεὶς λαμβάνηται δι' οἰνομέλιτος, ἢ οἴνου γλυκέως, ἢ καὶ στύφοντος. ἴδιος γὰρ ἕκαστος καιρὸς τῆς χρήσεως, ἐάν τε τὸ ῥυφηθὲν μετ' ἐλαίου καὶ ἁλῶν. ἐμβάλλεται δέ ποτε καὶ ὄξος αὐτῷ. καὶ καλοῦσιν οἱ ἰατροὶ, τὸν κατασκευασθέντα τοῦτον χόνδρον πτισάνης γεγονέναι τὴν ἄρτυσιν. ἔνιοι δὲ ἐκ χόνδρου πτισάνης τετράφθαι φασὶ τὸν κάμνοντα, τῶν παλαιῶν δὲ ἔνιοι, καθάπερ Διοκλῆς καὶ Φιλότιμος ὀνομάζουσιν, πτισάνην πυρίνην τὸν οὕτως ἐσκευασμένον χόνδρον, διὰ τοῦτο καὶ τὸ ὄνομα αὐτοῦ σπάνιόν ἐστι παρὰ τοῖς παλαιοῖς. ὥσπερ, καὶ τὸ τοῦ σιτανίου· τῇ γὰρ κοινῇ προσηγορίᾳ τὸν πυρὸν ὀνομάζουσιν αὐτόν. εἴρηται δὲ ἐν τῷ περὶ διαίτης Ἱπποκράτους, τοὺς ἐκ τοῦ χόνδρου κατασκευαζομένους ἄρτους, τροφιμωτάτους μὲν εἶναι, διαχωρεῖν δὲ ἧττον, εἴρηται δὲ, ὅτι σεμίδαλις, καὶ χόνδρος ἑφθὸς, ἰσχυρὰ καὶ τρόφιμα. φυλάττεσθαι δὲ τοίνυν προσήκει καὶ τούτου τὴν πολλὴν χρῆσιν. καὶ τοῦτο, οἷς εὐέμφρακτόν ἐστι τὸ ἧπαρ, ἢ νεφροὶ πρὸς τὸ γεννῆσαι λίθους ἐπιτήδειοι. μάλιστα δὲ προσέχειν τὸν νοῦν τοῖς σκευαζομένοις ῥοφήμασιν ἐκ τοῦ καλουμένου πλυτοῦ χόνδρου. χυλὸς μὲν γάρ ἐστιν οὕτως αὐτοῦ μεμιγμένος ὕδατι, πλείστης δὲ ἑψήσεως δεόμενος. ἐξαπατᾷ μὲν τοὺς σκευάζοντας, ὡς αὐτάρκως ἑψημένος. οὐ μικρῶς δὲ βλάπτει τοὺς νοσοῦντας, οἷς περ δὴ καὶ παρασκευάζουσιν αὐτόν. ἐν τάχει γὰρ συνίσταται καὶ παχύνεται, διὰ τὸ κολλῶδες εἶναι, χρὴ τοίνυν ὕδατι πολλῷ μιγνύντας ἐπ' ἀνθράκων ἕψειν, τὸ πλεῖστον κινοῦντας, ἄχρις ἂν ἀκριβῶς ἑψηθῇ. τηνικαῦτα δὲ ἐπεμβάλλειν ἤδη καὶ τῶν ἁλῶν. τὸ δὲ ἔλαιον εἰ καὶ κατ' ἀρχὴν εὐθέως ἐπιμίξεις, οὐδὲν βλάπτει. ἀλλὰ τοῦτο μὲν ἐν παρέργῳ λελέχθω θεραπευτικῇ προσῆκον, οὐ τῷ νῦν ἐνεστῶτι πράγματι. τοῖς δ' ὑγιαίνουσιν, ὅταν ποτὲ κατὰ δῆξιν σφοδρὰν γαστρὸς ἢ χολωδῶν πολλῶν διέξοδον, ἤ τι τοιοῦτο, δεηθῶσι ῥοφήματος. ἕψοντας ἄχρι πλείστου τὸν χόνδρον, ὡς γενέσθαι τακερὸν, εἶτα ῥυψήσαντας εἶτα ταράξαντας, ὡς ὁμοιωθῆναι πτισάνης χυλῷ διηθημένῳ, τηνικαῦτα διδόναι ῥοφεῖν. ἡ δὲ ἄρτυσις ἡ αὐτὴ, τῷ πλυτῷ γίνεται χόνδρῳ.

περὶ πυρῶν ἑψομένων ἐν ὕδατι.

Εἰ μὴ καὶ αὐτὸς ἔφαγόν ποτε πυροὺς ἐν ὕδατι ἑψημένους, οὐκ ἂν ἤλπισα τινὰ χρείαν γενέσθαι τῆς ἐδωδῆς αὐτῶν. οὔτε γὰρ ἐν λιμῷ τις ἐπὶ τοιαύτην ἂν ἀφίκοιτο χρῆσιν, ἐνὸν εἴπερ εὐπορεῖ πυρῶν, ἄρτους ἐξ αὐτῶν ποιήσασθαι. παρὰ δεῖπνον δὲ καθάπερ ἐρεβίνθους ἑφθούς τε καὶ φρυκτοὺς ἐσθίουσιν, ἐν χρείᾳ τῶν καλουμένων τραγημάτων, ἄλλα τέ τινα σπέρματα τὸν αὐτὸν τρόπον σκευάζοντες, οὕτως οὐδεὶς προσφέρεται πυρὸν ἑφθόν. διὰ ταῦ-

τα μὲν οὖν οὐδ' ἂν ἤλπισα τινὰ πυρὸν ἑφθὸν ἐδηδοκέναι. ἐπεὶ δὲ καὶ αὐτὸς ἐγὼ πορευθείς ποτε εἰς ἀγρὸν οὐκ ἐγγὺς τῆς πόλεως ὄντα μετὰ δυοῖν μειρακίοιν τὴν αὐτὴν ἡλικίαν ἀγόντοιν ἐμοί, κατέλαβον ἤδη δεδειπνηκότας τοὺς ἀγροίκους καὶ μελλούσας ἀρτοποιεῖσθαι τὰς γυναῖκας, ἠπόρουν γὰρ ἄρτου, παραχρῆμά τις αὐτῶν ἐμβαλὼν εἰς χύτραν πυροὺς ἥψησεν, εἶθ' ἡδύνας ἁλσὶ μετρίοις, ἐσθίειν ἡμᾶς ἠξίωσεν. ἐμέλλομεν δὲ, ὡς τὸ εἰκὸς, αὐτὸ ποιήσειν, ὡδοιπορηκότες τε καὶ πεινῶντες. ἐφάγομέν τε οὖν αὐτῶν δαψιλῶς, ᾐσθανόμεθά τε κατὰ τὴν γαστέρα βάρους, ὡς δοκεῖν ἐγκεῖσθαι πηλὸν αὐτῇ, καὶ κατὰ τὴν ὑστεραίαν ἠπεπτηκότες, ἀνόρεκτοι δι' ὅλης ἡμέρας ἦμεν, ὡς μηδὲν δύνασθαι προσενέγκασθαι, καὶ πνεύματος φυσώδους μεστοὶ, κεφαλαλγεῖς τε καὶ βλέποντες ἀχλυώδες, οὐδὲ γὰρ ὑπεχώρει τι κάτω, ὃ μόνον ἐστὶν ἄκος ἐπὶ ταῖς ἀπεψίαις. ἠρώτων οὖν τοὺς ἀγροίκους εἰ καὶ αὐτοί ποτε πυρὸν ἑφθὸν ἔφαγον, ὅπως διετέθεισαν. οἱ δὲ καὶ πολλάκις ἐδηδοκέναι κατὰ τὴν αὐτὴν ἀνάγκην ἔφασαν, ᾗ καὶ τόθ' ἡμεῖς συνηνέχθημεν, εἶναί τε βαρὺ καὶ δύσπεπτον ἔδεσμα τοὺς οὕτω σκευασθέντας πυροὺς, ἣν δή γε τοὺς καὶ μὴ πειραθέντας λογίσασθαι πρόδηλον. ὅπου γὰρ οὐδὲ τὸ ἄλευρον αὐτῶν ἐσθιόμενον, ὡς εἴπομεν ἔμπροσθεν, εὔπεπτόν ἐστιν, εἰ μὴ κατεργασθείη δι' ἁλῶν καὶ ζύμης, καὶ φυράσεως, καὶ τρίψεως καὶ κλιβάνου, πῶς οὐκ ἄν τις γνοίη τοὺς ἀκατεργάστους ἰσχυροτάτους εἶναι. δύναμιν γε μὴν ἔχουσι μεγάλην, εἰ πεφθεῖεν οἱ οὕτω βρωθέντες πυροὶ, καὶ τρέφοντες ἰσχυρῶς τὸ σῶμα, καὶ ῥώμην ἐπίσημον παρεχόμενοι τοῖς προσενεγκαμένοις αὐτούς.

περὶ ἀμύλου.

Ἐκ πυρῶν τοῦτο σκευάζεται, δύναμιν ἔχον ὁμαλυντικὴν τῶν τετραχυσμένων. ὑπάρχει δὲ κοινὸν τοῦτο τοὔργον ἁπάσαις ταῖς οὐσίαις ὅσαι ξηραὶ κατὰ τὴν σύστασιν οὖσαι, μήτε στύψιν ἔχουσι μήτε δριμύτητα, μήτε ἄλλην τινὰ δύναμιν ἐπιφανῆ. καὶ καλοῦσιν ἀπόνους εἰκότως οὔσας τοιαύτας, ὡς πρὸς αἴσθησιν. ἔστι δὲ κἂν ταῖς ὑγραῖς οὐσίαις τὸ ὕδωρ τοιοῦτον. παραπλήσιον δ' ἐστὶ δυνάμει τοῖς πλυτοῖς ἄρτοις τὸ ἄμυλον, ἐλάττονα δὲ τροφὴν διδωσιν τῷ σώματι τῶν ἀπλύτων ἄρτων τούτων, καὶ μὴ θερμαινουσῶν, ὥσπερ οὐδὲ ἐκεῖνοι, τῶν ἄλλων ἄρτων θερμαινόντων. τοῖς μὲν γὰρ ἐξ ὕδατος ἑψημένοις πυροῖς, οὐδὲ παραβάλλειν αὐτὸ χρὴ, σαφῶς θερμαίνουσί τε καὶ τρέφουσιν εἰ πεφθεῖεν ἰσχυρῶς, οὖσί τε δυσπέπτοις ὡς εἴρηται.

περὶ κριθῶν.

Πολλὴ καὶ τούτου τοῦ σπέρματος ἡ χρεία τοῖς ἀνθρώποις ἐστὶν, οὐ τὴν αὐτὴν ἔχοντος δύναμιν τοῖς πυροῖς. ἐκεῖνοι μὲν γὰρ θερμαίνουσιν φανερῶς, τοῦτο δὲ οὐ μόνον ἀποκεχώρηκε τοῦ θερμαίνειν, ὥσπερ ἔνια μεταξὺ τοῦ θερμαίνειν καὶ ψύχειν ὄντα, καθάπερ ἄμυλόν τε καὶ ὁ πλυτὸς ἄρτος, ἀλλὰ καὶ ψυκτικόν ἔχειν τι φαίνεται κατὰ πάντας τοὺς τρόπους τῆς χρήσεως, ἐάν τε ἄρτους ἐξ αὐτῶν τύχῃ τις σκευάσας, ἐάν τε πτισάνην ἑψήσας, ἐάν τε ἄλφιτα ποιησάμενος. ἀποκεχώρηκε δὲ τῆς τῶν πυρῶν φύσεως καὶ κατὰ τὴν ἰδέαν τῶν χυμῶν, ὃν ἑκάτερον αὐτῶν ἐργάζεσθαι πέφυκεν. οἱ μὲν γὰρ πυροὶ παχὺν ἡμῖν καὶ γλίσχρον, αἱ δὲ κριθαὶ λεπτὸν καὶ ῥυπτικόν ἔχοντά τι γεννῶσι χυμόν, οὐδέ ποτε μὲν οὖν θερμαίνουσι τὸ σῶμα κατ' οὐδένα τρόπον σκευασίας. ὑγραίνουσι δὲ καὶ ξηραίνουσι διαφόρως σκευασθεῖσαι. τὸ μὲν γοῦν ἄλφιτον ἐκ τῆς φρυγείσης κριθῆς γινόμενον, ἐναργῶς φαίνεται ξηραῖνον. ἡ πτισάνη δὲ ὑγραίνει, ὅταν γε ὡς προσήκει σκευασθῇ, τουτέστιν ὅταν ἐπὶ πλεῖστον ἀνοιδήσασα τύχῃ κατὰ τὴν ἕψησιν, εἶτα μετὰ ταῦτα διὰ μαλακοῦ πυρὸς ἄχρι πολλοῦ χυλωθεῖσα. μίγνυται δὲ αὐτῇ κατ' ἐκεῖνον τὸν καιρὸν ὄξος, ὅταν ἀνοιδήσηται τελέως. ἐφθῆς δὲ ἀκριβῶς γινομένης ἐπεμβάλλειν χρὴ τοὺς ἅλας λεπτοὺς, οὐ πολὺ πρὸ τῆς ἐδωδῆς. ἔλαιον δὲ εἰ καὶ κατ' ἀρχὴν εὐθέως ἐμβάλλεις, οὐ βλάψεις τὴν ἕψησιν. οὐ μὴν ἄλλο τί γε χρὴ μιγνύειν, ὅτι μὴ πράσου βραχὺ καὶ ἀνήθου, καὶ ταῦτα εὐθὺς ἐν ἀρχῇ. κάκιστα δ' ὁρῶ σκευαζομένην τὴν πτισάνην ὑπὸ τῶν μαγείρων πάντων. ἐν τῇ θυίᾳ γὰρ τρίβοντες αὐτὴν ὠμὴν οὐκ ἐπὶ τοῦ πυρὸς ἕψοντες διαλύουσιν. ἐπεμβάλλουσι δέ τινες καὶ ἀμύλου, χάριν τοῦ δόξαι διὰ τῆς ἑψήσεως ἱκανῶς εὐχυλῶσθαι. φυσωδεστάτη οὖν εἰκότως ἡ τοιαύτη γίνεται, καὶ δύσπεπτος ἱκανῶς. οὐδ' οὐκ εἶπον ἐν τῇ καλῶς γινομένῃ σκευασίᾳ, προαπλῦναι προσήκει, προδιαβρέξαντας ὕδατί τε τὴν ὠμὴν πτισάνην ἐπ' ὀλίγον, εἶτ' ἐμβαλόντας θυίᾳ, τρίβειν χρὴ διὰ τῶν χειρῶν ἐχουσῶν ἐν αὐταῖς τι τραχὺ καθάπερ ὁ σπάρτος ὀνομαζόμενός ἐστιν, ἐξ οὗ πλέκουσιν ὑποδήματα τοῖς ὑποζυγίοις. ὅρος δ' ἔστω τῆς τρίψεως ἀπορρῖψαι τὸ περικείμενον λέμμα. πτισσομένης γὰρ τῆς κριθῆς, ὁ περικείμενος αὐτῆς χιτὼν λεπτὸς οὐκ ἀπορρίπτεται πᾶς. διὰ τοῦτ' οὖν προβρέχεται καὶ τρίβεται κατὰ τὴν θυίαν. ἐὰν δὲ μὴ πᾶν ἀφαιρεθῇ τὸ ἀχυρῶδες, ἡ ἑψηθεῖσα πτισάνη ῥυπτικωτέρα μὲν γίνεται, βλάβην δὲ οὐδὲ μίαν ἑτέραν λαμβάνει. χειρίστη δὲ σκευασία πτισάνης ἐστὶν, ὅταν οἱ μάγειροι τρίψαντες αὐτὴν ὠμὴν ἐν θυίᾳ μεθ' ὕδατος, εἶτ' ἑψήσαντες ἐπ' ὀλίγον, ἐμβάλλουσι τὸ καλούμενον ἕψημά τε καὶ σίραιον, ἔνιοι δὲ καὶ μέλι καὶ κύμινον ἅμα τούτοις ἐπεμβάλλουσιν, κυκεῶνά τινα μᾶλλον, ἢ πτισάνην παρασκευάζοντες. ἀλλ' ἥ γε καλῶς σκευασθεῖσα τὰς ὑφ' Ἱπποκράτους εἰρημένας παρέχεται χρείας ὑγιαίνουσί τε καὶ νοσοῦσιν ἀνθρώποις. τὸ γὰρ γλίσχρασμα φησὶν αὐτῆς, λεῖον καὶ συνεχὲς καὶ προσηνές ἐστιν, καὶ ὀλισθηρὸν καὶ πλαδαρὸν μετρίως καὶ ἄδιψον καὶ εὐέκκριτον, εἴ τι καὶ τούτου προσδέοι, καὶ οὔτε στύψιν ἔχον, οὔτε ἄραδον κακὸν, καὶ οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίᾳ, ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει ὁπόσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι. ταῦτα τοίνυν ἀρκεῖ περὶ τῆς πτισάνης δυνάμεως εἰρῆσθαι κατὰ τὴν ἐνεστῶσαν πραγματείαν, οὐ θεραπευτικὴν οὖσαν, ἀλλὰ τὰς δυνάμεις μόνας τῶν τροφῶν ἐξηγουμένην. ἐν παραδρομῇ δὲ τοῦ λόγου καὶ χρεῖαί τινες αὐτῶν διδάσκονται.

περὶ κριθίνων ἄρτων.

Καιρὸς γοῦν μεταβαίνειν ἐπὶ τὸν περὶ τῶν κριθίνων ἄρτων λόγον, οὓς σκευάζουσιν οἱ ἄνθρωποι παραπλησίως τοῖς πυρίνοις. εἰσὶ δὲ οὐ μόνον τῶν πυρίνων, ἀλλὰ καὶ τῶν ὀλυρίνων, καὶ πολὺ μᾶλλον ἔτι τῶν τιφίνων ψαθυρώτεροι, μηδὲν ἐν αὐτοῖς ἔχοντες ὥσπερ ἐκεῖνοι γλίσχρον, εὔδηλον οὖν ὅτι τροφὴν ὀλίγην παρέχουσι τῷ σώματι

καὶ μάλι-

καὶ μάλιστα ὅταν ἐκ φαυλοτέρων γίγνωνται κριθῶν, ἐξ ὧν ὁ Ἱπποκράτης οὐδὲ τὴν πτισάνην ἐκέλευσε σκευάζειν. οὐ δὲ γοῦν ἀνίησιν ἐξ αὐτῶν πολὺν χυλὸν ἑψόμεναι. κάλλισται δὲ εἰσὶν αἱ λευκαὶ μετὰ τὸ πτισθῆναι φαινόμεναι, καί τι πυκνότητος ἔχουσαι καὶ βάρους, ὅσον οἷόν τε κριθὴν ἔχειν. ἀμείνους δὲ δηλονότι καὶ τῶν ἰσχνῶν τε καὶ ῥυσσῶν αἱ πλήρεις ὅλην καὶ τεταμένην ἔξωθεν ἔχουσαι τὴν περιγραφήν, ἀλλὰ τοῦτο μὲν ἁπάντων σπερμάτων κοινὸν ἔστω σοι γνώρισμα, πλὴν εἰ μή τι πάνυ σφόδρα πλείονα ποτὲ τοῦ κατὰ φύσιν ὄγκον ἔχοιεν, ἅμα τῷ μαλακώτερον καὶ χαυνότερον γίγνεσθαι. περιττωματικὴν γὰρ ὑγρότητα ταῦτα ἔχειν ἴσθι καὶ χείρω τῶν προειρημένων εἶναι, καὶ διὰ τοῦτο μετὰ τὴν συγκομιδὴν οὐ προσήκειν αὐτοῖς χρῆσθαι, κατατεθεμένων δὲ ἐν τόποις ξηροῖς ἐᾶσαι ἐν χρόνῳ πλείονι, τὸ μέν τι διαπνεῦσαι τῆς περιττῆς ὑγρότητος, τὸ δ᾽ ἔτι πεφθῆναι, μέχρις ἂν ξηραινόμενα προσταλῇ μετρίως. ἀπορρεῖ γὰρ ἁπάντων φυτῶν τε καὶ σπερμάτων καὶ καρπῶν, ἐπειδὰν συγκομισθέντα κεῖται, πρῶτον μὲν ὅσον ἐν αὐτοῖς ὑδατῶδές τε καὶ λεπτὸν περίττωμα, μετὰ ταῦτα δὲ καὶ αὐτῆς τι τῆς κατὰ φύσιν ὑγρότητος. ἡνίκα γοῦν ξηροτέραν μὲν ἢ προσήκειν τὴν οὐσίαν ἴσχει, καὶ χείρω γίνεται τῶν εἰς ἄκρον εὐεξίας ἡκόντων, οὐ μὴν ἤδη γ᾽ ἐστὶ μοχθηρὰ παντάπασιν, ἀλλὰ καὶ χρησιμώτερα πρὸς ἐνίας διαθέσεις, ὅσαι ξηραίνεσθαι δέονται. τὰ δὲ ἐπὶ πλεῖστον ἀποκείμενα χείρω γίνονται ταῖς δυνάμεσιν. ὅρος δὲ καὶ τούτων ὅταν διαιρούμενα, καθάπερ τινὰ κόνιν λεπτὴν ἐκπίπτουσαν ἔχῃ. ταῦτα μὲν οὖν ἐπὶ πάντων ἔστω σοι διὰ μνήμης, ἅπαξ εἰρημένα νῦν. ἐμοὶ γοῦν οὐχ ἡδὺ πολλάκις ὑπὲρ τῶν αὐτῶν λέγειν τὰ αὐτά, πλὴν εἴποτε ἀναγκαῖον ἀναμνῆσαι φαίνοιτο τοῦ κεφαλαίου μόνου ψιλοῦ. περὶ δὲ τῶν ἐκ κριθῆς ἄρτων ὑπὲρ ὧν ὁ λόγος ἦν, αὖθις ἀναλαβόντες εἴπωμεν, ὡς κἀν τούτοις εἰσὶ διαφοραί τινες ἀνάλογον τοῖς ἐπὶ τῶν πυρίνων ὀλίγον ἔμπροσθεν εἰρημένοις. ἅπαντες μὲν γὰρ ἀτροφώτεροι τῶν πυρίνων εἰσὶ πολλῷ, ἀλλ᾽ οἱ μὲν ἐκ τῶν ἀρίστων κριθῶν ἧττον τούτων πεπόνθασιν. οἱ δὲ ἐκ τῶν χαύνων τε καὶ κούφων ἀνάλογον εἰσὶ τοῖς πιτυρίαις ἄρτοις, ὑπέρχονται δὲ κάτω κατὰ γαστέρα, μάλιστα μὲν οἱ ἐκ τῶν χειρίστων κριθῶν, οὐχ ἥκιστα δὲ καὶ οἱ ἄλλοι παραβαλλόμενοι τοῖς πυρίνοις. ὅσαι δὲ ἄλλαι μεταξὺ τούτων γίνονται σκευασίαι τῶν κριθίνων ἄρτων, αἱ αὐταὶ ταῖς ἐπὶ τῶν πυρίνων εἰρημέναις εἰσίν.

περὶ ἀλφίτων.

Ἐκ τῶν νέων κριθῶν φρυγεισῶν συμμέτρως τὸ κάλλιστον ἄλφιτον γίνεται. τούτων δὲ ἀπορροῦντες ἐνίοτε κἀκ τῶν ἄλλων αὐτὰ σκευάζομεν. εὐώδων δὲ ὄντων ἁπάντων ὅσα καλῶς ἐσκευάσθη, μάλιστα ἐστὶν εὐώδη τὰ ἐκ τῶν ἀρίστων καὶ νέων κριθῶν γιγνόμενα, μὴ πάνυ ξηρὸν ἐχουσῶν τὸν στάχυν. ἐν ἔθει δὲ ἐστὶ πολλοῖς τῶν ὑγιαινόντων ἐπιπάττουσιν αὐτὴν σιραίῳ καὶ οἴνῳ γλυκεῖ καὶ οἰνομέλιτι κεκραμένοις, καὶ ποτὲ καὶ ὕδατι μόνῳ, πίνειν ἐν τῷ θέρει, πρὸ δυοῖν ἢ τριῶν ὡρῶν τοῦ λουτροῦ, καί φασιν αἰσθάνεσθαι τοῦ πόματος ἀδίψου, δι᾽ οἴνου γε μὴν αὐστηροῦ ποθέντα, ξηραίνει γαστέρα. χρῶνται δὲ ἀλφίτοις ἔνιοι τῶν ἐθνῶν ἐν ἄρτου χρείᾳ, καθάπερ ἐπὶ τῶν ἀγρῶν εἴδομεν ἐν Κύπρῳ, καίτοι πλεῖστον γεωργοῦσι σιτίον. οἱ παλαιοὶ δὲ καὶ τοῖς στρατευομένοις ἄλφιτα παρεσκεύαζον. ἀλλ᾽ οὔτοι γε νῦν τὸ ῥωμαίων στρατιωτικὸν ἀλφίτοις χρῆται κατεγνωκὸς αὐτῶν ἀσθένειαν. ὀλίγην γὰρ τροφὴν δίδωσι τῷ σώματι, τοῖς μὲν ἰδιωτικῶς διακειμένοις καὶ ἀγυμνάστοις αὐτάρκη. τοῖς δ᾽ ὁπωσοῦν γυμναζομένοις ἐνδεῆ. γίγνονται δὲ ἐξ αὐτῶν ὑγρῶν φυραθέντων αἱ μᾶζαι. περὶ ὧν ἐφεξῆς ἐροῦμεν. ἐπειδὴ καὶ Φιλότιμος ἐπὶ πλέον ὑπὲρ αὐτῶν διῆλθεν ἐν τῷ πρώτῳ περὶ τροφῶν, ὅμως ἀδιόριστον εἴασεν τὸ χρησιμώτατον ἐν αὐτοῖς.

περὶ μάζης.

Τὴν δύναμιν ἑκάστου τῶν ἐδεσμάτων ἔνεστι σοι καὶ πρὸ τῆς διωρισμένης πείρας ἐκ τῆς φύσεως αὐτῶν τεκμαίρεσθαι. τίνι γὰρ ἀνδρὶ συνετῷ, τὸ μὲν ἀκριβῶς λεπτόν, καὶ λευκόν, καὶ καθαρὸν ἁπάσης πιτυρώδους οὐσίας ἄλευρον, οὐκ ἐνδείξαιτο καὶ κατὰ τὴν γαστέρα θᾶττόν τε καὶ μᾶλλον ἀλλοιοῦσθαι, καὶ διὰ τοῦτο πέττεσθαί τε κάλλιον, ἀναδίδοσθαί τε ῥᾷον, ἑτοιμότερον τε τρέφειν, ὡς ἂν ὅλον ἐξομοιούμενον τε καὶ προστιθέμενον τοῖς τρεφομένοις σώμασιν. ὅσον δ᾽ ἐν αὐτοῖς πιτυρῶδές ἐστιν καὶ σκληρόν, ὥσπερ ἐκτὸς φαίνεται μὴ διαλυόμενον ἐν ὕδατι, κατὰ τὸν αὐτὸν λόγον οὐδ᾽ ἐν τῇ γαστρὶ διαλύεσθαι βρεχόμενον, ἀλλὰ διαμένειν ὅλον ἀδιαίρετόν τε καὶ ἀκατέργαστον ὁποῖον εἰλήφθη; τοῦτ᾽ οὖν οὔτε πέττεσθαι καλῶς δύναται. οὔτε ἀναδίδοσθαι διὰ τὸ μηδὲν ἁρμόττειν ὅλως τοῖς στόμασι τῶν εἰς τὴν γαστέρα τε καὶ ἔντερα καθηκουσῶν φλεβῶν, οἷς ἐξ ἀνάγκης ἕπεται πλέον μὲν ἀπ᾽ αὐτοῦ γίνεσθαι τὸ κοπρῶδες, ὑπιέναι δὲ θᾶττον αὐτῷ τε τῷ διὰ πλῆθος βάρει, καὶ προσέτι τῷ ῥυπτικὴν ἔχειν ποιότητα τὸ πιτυρῶδες ἅπαν. εὔδηλον οὖν ἐστι τῷ ταῦτ᾽ ἐννοήσαντι, τοσοῦτον ἀπολείπεσθαι μᾶζαν εἰς τροφὴν σώματος ἄρτων κριθίνων, ὅσον οὗτοι πυρίνων. ἐχούσης γὰρ ἤδη τῆς κριθῆς φύσει τὸ πιτυρῶδες οὐκ ὀλίγον, ἡ φρυγεῖσα ξηρότερον μὲν καὶ αὐτὸ τοῦτο, καὶ δυσθραυστότερον ἴσχει. ξηρότερον δὲ καὶ τὸ τούτου κρεῖττον, ἐξ οὗ τὴν τροφὴν ἐλάμβανε σῶμα. κατὰ τοῦτ᾽ οὖν ἧττον πέττεται τῶν κριθίνων ἄρτων ἡ μᾶζα καὶ φύσει μᾶλλον ἐμπίμπλησι τὴν γαστέρα, καὶ εἰ ἐπὶ πλέον ἐν αὐτῇ μένῃ ταραχὴν ἐργάζεται. μᾶλλον δὲ διαχωρεῖ κάτω φυραθεῖσα καὶ τριφθεῖσα μέχρι πλείονος. εἰ δὲ καὶ μέλι προσλάβῃ, θᾶττον ἔτι καὶ διὰ τοῦτο παρορμήσει τὴν γαστέρα πρὸς ἔκκρισιν. Φιλότιμος οὖν οἴεται παχὺν καὶ κολλώδη καὶ ψυχρὸν ἐξ ἁπάσης μάζης γεννᾶσθαι χυμόν, ὃν αὐτός τε καὶ ὁ διδάσκαλος αὐτοῦ Πραξαγόρας ὑαλώδη καλοῦσιν. τὸ δέ, οὐχ οὕτως ἔχει, μήτε τὸ γλίσχρον ἐχόντων τῶν ἀλφίτων, ὅπερ ἐν χόνδρῳ μάλιστα ἐστί, μήτε τὸ τρόφιμον. ἐξαπατᾷ δὲ αὐτὸν ἡ ἐπὶ πλέον ἐν οἴνῳ γλυκεῖ καὶ σιραίῳ φυραθεῖσα χρόνῳ πολλῷ μᾶζα. τριπτὴν δ᾽ αὐτὴν ὀνομάζει καθάπερ Ἀθηναῖοι. τὸ γοῦν ἐκ ταύτης ἀνάλογον τῷ πυρίνῳ σταιτὶ γιγνόμενον, ὁλκιμόν ἐστιν καὶ κολλῶδες, ἐκ δὲ τοῦ μεμαλάχθαι χρόνῳ πλείονι. καὶ τοῦ μιχθέντος τοῖς ἀλφίτοις ὑγροῦ παχέος ὄντος. ὥσπερ δὲ ἡ τρίψις πολλὴ μεθ᾽ ὑγροῦ παχέος γιγνομένη, γλίσχρον τῇ φαντασίᾳ τὸ τριφθὲν ἄλευρον ἐργάζεται, κἂν ἐκ κέγχρων ᾖ, κατὰ τὸν αὐτὸν λόγον ὁ χυλὸς τῆς πτισάνης φαίνεται γλίσχρος, οὐδὲν ἔχων ἐν αὐτῷ κολλῶδες, οὐδ᾽ ἐμπλαστικόν, ἀλλὰ ῥυπτικόν τε καὶ τμητικόν, ὡς καὶ περὶ τοῦ δέρματος ἡμῶν φαίνεται τὸν ῥύπον καθαίρων. εἰ δὲ καὶ ῥοφῆσαί τινι

† αἱ. αὐχὶ δοὺς αὐτὸν, ὀλίγον ὕστερον ἐμέσαι ποιήσειας, ἀποῤῥύψει τε τὸ περιεχόμενον ἐν τῇ γαστρὶ φλέγμα καὶ συνεκβαλεῖ πάνθ᾽ αὐτῷ κατὰ τὸν ἔμετον.

περὶ τυφῶν καὶ ὀλυρῶν καὶ ζειῶν.

Μνησίθεος μὲν ἐν τῇ τρίτῃ τάξει τίθεται τὰς τίφας ἐπὶ πυροῖς τε καὶ κριθαῖς. Διοκλῆς δὲ ἀμελέστερον ὑπὲρ αὐτῶν διῆλθε τὸ σύντομον ἐν τῇ γραφῇ προτιμήσας τοῦ κατὰ διέξοδον ἀκριβοῦς. οὕτω γοῦν καὶ περὶ πυρῶν καὶ κριθῶν, ἄλλων τε πολλῶν ἔγραψε συντεμὼν τὸν λόγον. ὀλίγῳ δὲ μακρότερος τοῦ Διοκλέους ὑπὲρ αὐτῶν ὅ, τε Πραξαγόρας καὶ ὁ Μνησίθεος ἔγραψαν, ἐλλειπῶς μέν τοι καὶ † αὐτός. († αἱ. αὐτοὶ) Φιλότιμος δὲ περὶ τινῶν μακρῶς πάνυ, περὶ τινῶν ἐλλειπῶς, ἐνίων δὲ οὐδ᾽ ὅλως ἐμνημόνευσεν, ὥσπερ οὐδὲ περὶ τῆς ζειᾶς. εὔδηλον δ᾽ ὅτι μηδὲν ὁ Πραξαγόρας ὁ διδάσκαλος αὐτοῦ. παρέλιπε μὲν γὰρ οὐδὲν ὧν ἐκεῖνος εἶπεν ὁ Φιλότιμος, ἐξεργάζεται δὲ καὶ προστίθησι πολλά. θαυμάσαι δ᾽ ἐστὶν ὅτι μηδὲ ὁ τὸ περὶ διαίτης ἐπιγεγραμμένον Ἱπποκράτει συνθεὶς, ὅστις ποτ᾽ ἦν ἀνὴρ παλαιὸς, ἐμνημόνευσε τοῦ τῶν ζειῶν ὀνόματος. καὶ γὰρ εἰ τὰς τίφας ἡγεῖτο καλεῖσθαι ζειὰς ὑπό τινων, ἐχρῆν αὐτὸ τοῦτο δηλῶσαι. βέλτιον δ᾽ ἴσως ἐστὶ καὶ τὰς ῥήσεις αὐτῶν παραγράψαι. Διοκλῆς μὲν οὖν οὕτως ἔγραψεν ἐν τῷ πρώτῳ τῶν πρὸς Πλείσταρχον ὑγιεινῶν, ἐν ᾧ διέρχεται τὰς τῶν σιτίων δυνάμεις. μετὰ δὲ τὰς κριθὰς καὶ τοὺς πυροὺς ἑπόμενα ταῖς ἀρεταῖς ἐστὶ, μάλιστα τῶν ἄλλων ὄλυραι, τίφαι, ζειαὶ, μέλινος, κέγχρος. ἐνίοις δὲ τῶν ἀντιγράφων οὐδ᾽ ὅλως αἱ ζειαὶ φέρονται, καὶ μέν τοι καὶ τὸ ταῖς ἀρεταῖς ἐν τισὶν οὐχ οὕτως, ἀλλὰ χρείαις γέγραπται κατὰ τὸν τοιοῦτον τρόπον. μετὰ δὲ τὰς κριθὰς καὶ τοὺς πυροὺς ἑπόμενα ταῖς χρείαις ἐστὶ μάλιστα τῶν ἄλλων, ὄλυραι, τίφαι, μέλινος, κέγχρος. ὡς ἄλλου μὲν τινος σπέρματος τῆς ὀλύρας οὔσης ἄλλου δὲ τῆς τίφης. ὁ δὲ Μνησίθεος ὑφ᾽ ἑνὶ σπέρματι δύο φησὶν ὀνόματα κεῖσθαι γράφων οὕτως. τῶν δὲ σπερμάτων εὐφυέστατα μέν ἐστιν εἰς τροφὴν, πυροὶ καὶ κριθαί. πρὸς δὲ τούτοις ἐχομένως λέγεται μὲν διττῶς, ἔστι δὲ ταὐτόν. οἱ μὲν γὰρ τίφας, οἱ δὲ ὀλύρας καλοῦσιν. τούτοις δ᾽ ἐφεξῆς τόδε γράφει. μετὰ δὲ ταῦτα ζειαὶ καὶ κέγχροι καὶ μελίναι. Διόκλει μὲν οὖν ἤρκεσεν ἐκεῖνα μόνα περί τε τιφῶν καὶ ὀλυρῶν εἰπεῖν ὅσα παρεθέμην ἀρτίως. Μνησίθεος δὲ καὶ τὸν κατὰ μέρος ὑπὲρ αὐτῶν λόγον ἐφεξῆς διῆλθεν. πρῶτον μὲν γράψας περὶ πυρῶν τε καὶ κριθῶν, ἐφεξῆς δὲ περὶ τῶν τιφῶν ὧδέ πως αὐτοῖς ὀνόμασι. τῶν δ᾽ ἄλλων σπερμάτων βέλτιστον μὲν ἡ τίφη, καὶ γὰρ ἱκανῶς τρέφει, καὶ οὐ μετὰ πολλοῦ πέττεται πόνου, τὸν δὲ τῶν ζειῶν ἄρτον, ἄδην μὲν ἐσθίειν, οὐδεὶς ἂν ὑγιαίνει, τῶν δ᾽ ἀσυνήθων τῆς ἐδωδῆς ταύτης, οὐδ᾽ εἰ παντάπασιν ὀλίγον, ἔστι γὰρ βαρὺ καὶ δυσπεπτόν. οἱ δὲ δυσχείμερον ἔχοντες χώραν ἀναγκάζονται τρέφεσθαι τούτῳ, καὶ σπείρειν αὐτὸ διὰ μάλιστα ἀντέχειν τοῖς ψύχεσιν. αὐτοὶ δὲ πρῶτον μὲν ὀλίγον ἐθίζονται προσφέρεσθαι, καὶ διὰ τὸ μὴ εὐώδες εἶναι τὸ βρῶμα, καὶ διὰ τὴν σπάνιν τῆς εὐκαρπίας ἐν ταῖς τοιαύταις χώραις, εἶτα καὶ διὰ τὸ συνήθες εἶναι τὸ βρῶμα, ποιεῖ ῥᾷστα τοῖς σώμασι τὴν κατεργασίαν. καθόλου δὲ βαρὺ μὲν καὶ δύσπεπτον, ἰσχυρὸν δὲ καὶ ὑμενῶδες, τὴν ζεῖαν εἶναι λεκτέον. ἐν τούτοις ὁ Μνησίθεος σαφέστατα δεδήλωκεν ὁποῖον τι σπέρμα βούλεται καλεῖσθαι ζεῖαν ἐν ψυχραῖς χώραις γεωργούμενον. ἐγὼ δὲ οὔτε αὐτὸς εἶδον πάσας μὲν δυσχειμέρους χώρας, οὔτε παρ᾽ ἄλλου τινὸς ἤκουσα τῶν ἑωρακότων αὐτὰς, ὀνομαζόμενον τινὰ σιτηρὸν καρπὸν ὑπὸ τῶν ἐγχωρίων ζεῖαν, ἢ ζέαν. ἑκατέρως γὰρ εὑρίσκεται γεγραμμένον ἐν τισὶ μὲν εἰς ε. καὶ ι. τῆς προτέρας συλλαβῆς τελευτώσης, ἐν τισὶ δὲ μόνον εἰς ε. ἐννοῆσαι δὲ τοὺς μὲν Ἕλληνας δυνατὸς εἰμὶ οὕτως ὀνομάζειν τὸ σπέρμα τοῦτο, τοὺς δὲ βαρβάρους ἰδίαν ἑτέραν αὐτῷ τίθεσθαι προσηγορίαν. ἰδὼν ἐν Θρᾴκῃ καὶ Μακεδονίᾳ πολλὰς ἀρούρας ὁμοιότατον ἐχούσας οὐ μόνον τὸν στάχυν ἀλλὰ καὶ τὸ φυτὸν ὅλον τῇ παρ᾽ ἡμῖν ἐν Ἀσίᾳ τίφῃ, τὴν προσηγορίαν ἐρόμην ἥν τινα ἔχει παρ᾽ ἐκείνοις τοῖς ἀνθρώποις, καὶ μοι πάντες ἔφασαν, αὐτό τε τὸ φυτὸν ὅλον, καὶ τὸ σπέρμα αὐτοῦ καλεῖσθαι βρίζαν, τῆς μὲν προτέρας συλλαβῆς διὰ τριῶν γραμμάτων γραφομένης τοῦ β. καὶ ρ. καὶ ι. τῆς δ᾽ ἐφεξῆς αὐτῇ διὰ τοῦ ζ. καὶ α. κατά γε τὴν ὀρθὴν πτῶσιν, ἐπὶ δὲ τῆς αἰτιατικῆς μετὰ τοῦ ν. δηλονότι. γίνεται δὲ ἄρτος ἐκ τοῦ σπέρματος τούτου δυσώδης τε καὶ μέλας, ὑμενωδεστέρα ἔχοντος ὡς Μνησίθεος ἔγραψε τὴν οὐσίαν. εἰ δὲ καὶ μέλανα γίγνεσθαι τὸν ἄρτον ἐξ αὐτοῦ προσεγεγράφει, μᾶλλον ἂν ἐπίστευον αὐτῷ τοῦτ᾽ εἶναι τὸ καλούμενον ὑπ᾽ αὐτοῦ ζεῖαν. ἐν γε μὴν τοῖς χειμεριωτάτοις τῆς Βιθυνίας χωρίοις ὀνομάζεταί τι σπέρμα ζεόπυρον οὐκ ἐχούσης τῆς πρώτης συλλαβῆς τὸ ι. καθάπερ ἔχει παρ᾽ Ὁμήρῳ, πυροί τε ζειαί τε, ἠδ᾽ εὐρυφυὲς κρῖ λευκόν. ἐξ αὐτοῦ δ᾽ ἄρτος γίνεται πολὺ βελτίων τοῦ κατὰ τὴν Μακεδονίαν τε καὶ Θρᾴκην, καὶ σχεδὸν ὥσπερ τοὔνομα τὸ ζεόπυρον ἐξ ἀμφοτέρων σύγκειται τῶν ὀνομάτων, τουτέστι τῆς ζέας καὶ τοῦ πυροῦ, καὶ ἡ οὐσία μέση τίς ἐστιν ἀμφοῖν, ὥσπερ ἐξ αὐτῶν κεκραμένη. τοσοῦτον γοῦν ἐστὶ τοῦ πυροῦ χεῖρον, ὅσον τῆς Θρᾳκίας βρίζης ἄμεινον. ὀνόματα δὲ ταῖς πόλεσιν ἐν αἷς γίγνεται τὸ σπέρμα τοῦτο, Νίκαια καὶ Προῦσα καὶ Κράσσου καὶ Κλαυδίου πόλις τε καὶ † Ἡλιοῦ πόλις († αἱ. ἰουλιόπολις), ἀλλὰ καὶ Δορύλαιον, ἣ ἐστι μὲν ἐσχάτη τῆς Ἀσιανῆς Φρυγίας πόλις, ἔχει δὲ καὶ αὐτὴ Φρυγία τοιοῦτον σπέρμα γεννώμενον ἐν τῇ χώρᾳ, καθάπερ καὶ ἄλλαι τινὲς ὅμοροι πόλεις αὐτῇ. θεάσασθαι δ᾽ ἐστὶ τὸν γιγνόμενον ἄρτον ἐκ τοῦ σπέρματος τούτου, τοσοῦτον βελτίονα τοῦ κατὰ Θρᾴκην τε καὶ Μακεδονίαν ἐκ τῆς βρίζης, ὅσον τοῦ πυρίνου χείρονα. μέμνηται δὲ καὶ ζέας καὶ ὁ Θεόφραστος ἐν ἑβδόμῳ περὶ φυτῶν ὧδέ πως λέγων. τῶν δὲ ὁμοίων κριθῶν καὶ ὁμοίων πυρῶν οἷον ζείας, τίφης, ὀλύρης, βρόμου, αἰγίλωπος, ἰσχυρότατον καὶ μάλιστα καρπιζόμενον ἡ ζειὰ καὶ βαθύριζον, καὶ πολύριζον, καὶ πολυκάλαμον, καὶ παχυκάλαμον. ὁ δὲ καρπὸς κουφότατος καὶ προσφιλὴς πᾶσι τοῖς ζώοις. καὶ πάλιν ἐφεξῆς. ἡ δὲ τίφη πάντων κουφοτάτη, καὶ γὰρ μονοκάλαμον καὶ λεπτοκάλαμον, διὸ καὶ χώραν ζητεῖ λεπτὴν, οὐχ ὥσπερ ἡ ζειὰ λιπαρὰν καὶ ἀγαθήν. εἶτα τούτοις ἐφεξῆς συνάπτων, τάδε γράφει. ἔστι δὲ ταῦτα δύο καὶ ὁμοιότατα τοῖς πυροῖς, ἥ τε ζειὰ καὶ ἡ τίφη. Θεόφραστος μὲν οὖν ταῦτα περὶ ζειᾶς ἔγραψεν. Ἡρόδοτος δὲ ἐν τῇ δευτέρᾳ κατὰ τήνδε τὴν λέξιν. ἀπὸ πυρῶν καὶ κριθῶν πολλοὶ ζώουσι. Αἰγυπτίων δὲ τῶν ποιευμένων ἀπὸ τούτων τὴν ζωὴν, ὄνειδος μέγιστόν ἐστιν, ἀλλ᾽ ἀπ᾽ ὀλυρῶν ποιοῦνται τὰ σιτία, ἃς ζέας μετὰ. ζ. ἕτεροι καλοῦσιν. Διοσκουρίδης δὲ ἐν δευτέρῳ περὶ ὕλης ταῦτα γράφει. ζειὰ δισσὴ, ἡ μὲν γὰρ ἁπλῆ, ἡ δὲ δί-

κοκκος

πόκκος καλεῖται, ἐν δυσὶν ἐλύτροις συνεζευγμένον ἔχουσα τὸ σπέρμα. ἔστι δὲ τροφιμωτέρα μὲν κριθῆς, καὶ εὐστόμαχος, ἀτροφωτέρα δὲ πυρῶν ἀρτοποιουμένη. Κρημνὸν δὲ ἁδρότερον ἐστὶ τῇ κατεργασίᾳ τοῦ ἀλεύρου, γιγνόμενον ἐκ τῆς ζειᾶς καὶ πυροῦ, ἐξ οὗ καὶ ὁ πόλτος γίνεται. ἔστι δὲ ἱκανῶς τρόφιμον καὶ δυσκατέργαστον, σταλτικώτερον δὲ κοιλίας τὸ ἀπὸ τῆς ζειᾶς, μάλιστα μὲν προφρυγείσης. καὶ ὀλύρα δὲ ἐκ τοῦ αὐτοῦ γένους ἐστὶ τῆς ζειᾶς, ἀτροφωτέρα δὲ κατὰ τὸ ποσὸν ἐκείνης. ἀρτοποιεῖται δὲ καὶ αὕτη, καὶ κρημνὸν ἐξ αὐτῆς ὡσαύτως γίνεται. Ἀθάρα δὲ ἐκ τῆς ἀληλεσμένης εἰς λεπτὰ ζειᾶς, σκευάζεται. ἔστι δὲ ῥόφημα ὥσπερ πολτάριον ὑγρόν, παιδίοις ἁρμόζον, ποιεῖ δὲ καὶ εἰς κατάπλασμα. ὁ δὲ τράγος τὸ σπέρμα μὲν παραπλήσιον χόνδρῳ, ἀτροφώτερος δὲ πολὺ ζειᾶς, διὰ τὸ πολὺ ἔχειν τὸ ἀχυρῶδες. διὸ καὶ δυσκατέργαστός ἐστι καὶ κοιλίας μαλακτικώτερος. περὶ μὲν οὖν τῶν ζειῶν ἱκανὰ καὶ ταῦτα. θαυμάσαι δ' ἔστι τοῦ Μνησιθέου μὴ γινώσκοντος ὅπῃ διαφέρουσιν αἱ ὀλύραι τιφῶν. ἔστι γὰρ ἑκάτερον ἐν Ἀσίᾳ πολύ, καὶ μάλιστα κατὰ τὴν ὑπερκειμένην Περγάμου χώραν, ὡς τοὺς ἀγροίκους ἀεὶ χρῆσθαι τοῖς ἐξ αὐτῶν ἄρτοις διὰ τὸ τοὺς πυροὺς εἰς τὰς πόλεις κατακομίζεσθαι. οἱ μὲν οὖν ὀλύρινοι κάλλιστοι, μετὰ γὰρ τοὺς πυρίνους εἰσίν, ὅταν γε εὐγενεῖς ὦσιν αἱ ὀλύραι. δεύτεροι δὲ αὐτῶν οἱ τίφινοι. μοχθηρῶν δὲ οὐσῶν τῶν ὀλυρῶν, οὐδὲν ἐκείνων ἀπολείπονται, βελτίστων δὲ τῶν τιφῶν οὐσῶν. οἱ θερμοὶ τίφινοι πολὺ κρείττους εἰσὶ τῶν ὀλυρίνων· ἑωλισθέντες δὲ χείρους αὐτῶν γίνονται. ὀλκιμώτερον γὰρ ἔχοντες τὸ σταῖς πυκνοῦνται πάνυ σφόδρα, καὶ μάλιστα ὅταν ἀμελῶς σκευασθῶσιν, ὥς τε καὶ μετὰ μίαν ἡμέραν, ἢ δύο, καὶ πολὺ μᾶλλον ἐν ταῖς ἐφεξῆς, ὁ φαγὼν τὸν ἄρτον τοῦτον οἴεται πηλὸν ἐγκεῖσθαι τῇ κοιλίᾳ. θερμὸς δὲ ὢν ἔτι, καὶ τοῖς ἐκ τῶν πόλεων σπουδάζεται μετὰ τυροῦ τινος προσφερόμενος, ἐπιχωρίως δὲ ὀνομάζουσιν αὐτὸν ὀξυγαλάκτινον. εἶναι δὲ χρὴ καὶ τοῦτον ἁπαλόν, καὶ τὸν ἄρτον ἔτι διαφυλάττοντα τὴν ἐκ τοῦ κλιβάνου θερμασίαν. ὁ μὲν οὖν οὕτως ὠπτημένος οὐ μόνον τοῖς κατ' ἀγρόν, ἀλλὰ καὶ τοῖς ἐν ταῖς πόλεσι περισπούδαστός ἐστιν. ὁ δὲ τριῶν, ἢ τεττάρων ἡμερῶν, καὶ τοῖς ἀγροίκοις αὐτοῖς ἀηδέστερος μὲν ἤδη βρωθῆναι, δυσχερέστερος δὲ πεφθῆναι, βραδυπορώτερος δὲ κατὰ γαστέρα, τοῦ θερμοῦ, μὴ δὲ τοῦτ' ἔχοντος τὸ σύμπτωμα. πολὺ μὲν γὰρ ἀπολείπεται, διαχωρήσεως ἕνεκα, τοῦ κριθίνου. μεμπτὸς δ' οὐκ ἔστιν ὁμοίως τῷ κεγχρίνῳ, καὶ μέν τοι καὶ τρέφει τὸ σῶμα θερμὸς ὢν ἱκανῶς, ὡς μὴ ἀπολείπεσθαι πολὺ τοῦ πυρίνου συγκομιστοῦ. τὸ δὲ σπέρμα τὸ τῆς τίφης ἔχει μὲν ἔξωθεν λέμμα, καθάπερ καὶ ὀλύρα καὶ κριθή. πτισθὲν δὲ ἀρτοποιεῖται καὶ ὅλως εἰς χρῆσιν ἄγεται. καὶ γὰρ ἐξ ὕδατος ἑψηθὲν ἐσθίεται κατὰ τὸν ὑπὸ τῶν ἀγροίκων ὀνομαζομένων ἀπόθερμον, ἐμβαλλομένου τοῦ, πρὸς ἡμῶν μὲν ἑψήματος, ὑπ' ἐνίων δὲ σιραίου καλουμένου, καὶ ποτὲ καὶ μεθ' ἁλῶν ἐσθίεται, καθάπερ ἔφην ἐδηδοκέναι τοὺς πυροὺς αὐτοὺς ἐγώ. τὴν δὲ εὐγενεστάτην ὀλύραν, ὅταν ὡς χρὴ πτίσσωσι, τὸ ὀνομαζόμενον τράγον ποιοῦσιν, ᾧ πολλοὶ χρῶνται δι' ὕδατος ἕψοντες. εἶτα τὸ μὲν ὕδωρ ἀποχέοντες, ἐπιχέοντες δὲ σίραιον, ἢ οἶνον γλυκὺν, ἢ οἰνόμελι, παρεμβάλλουσι δὲ καὶ κώνους ἐν ὕδατι διαβεβρεγμένους ὡς ἐπὶ τὸ πλεῖστον ἐξῳδηκέναι. τινὲς δὲ ὁμογενὲς μὲν, οὐχ ὁμοειδὲς δὲ τὸ σπέρμα τοῦτο ταῖς ὀλύραις εἶναί φασι. πολλὰ δὲ καὶ ἄλλα σπέρματα παραπλήσια μὲν, οὐκ ἀκριβῶς δὲ ταὐτὸν εἶδος ἔχοντα τοῖς εἰρημένοις ἐστὶ, τὰ μὲν ἐν τῷ μεταξὺ κριθῆς τε καὶ τίφης, τὰ δὲ ὀλύρας τε καὶ τίφης, ἢ μεταξὺ πυροῦ τε καὶ τῆς ὀλύρας. ἔνια δ' ἐγγυτάτω τῆς φύσεώς ἐστι, τὰ μὲν ὀλύρας τὰ δὲ κριθῆς ἢ τίφης ἢ πυροῦ. καθάπερ ἄλλα, τὰ μὲν ἐλύμου, τὰ δὲ κέγχρου προσηγορίας ἔχοντα, τινὰ μὲν ἁπλῶς ὥσπερ ἐν Ἰταλίᾳ ἐξ οὗ τὸν χόνδρον ποιοῦσιν, ἔνια δὲ συνθέτους ὡς ἐν Καππαδοκίᾳ μὲν τὸ καλούμενον γυμνόκριθον, κατὰ δὲ τὴν Βιθυνίαν τὸ ζεόπυρον, ἄμεινον δ' ἐστὶν ἀπαρξάντα τῆς τοιαύτης ἱστορίας οὐ μόνον τῶν ὀνομάτων, ἀλλὰ καὶ τῶν σπερμάτων, ἕνα τινὰ κοινὸν ὑπὲρ ἁπάντων λόγον διελθεῖν. ὅσα μὲν γὰρ ὄγκῳ βραχεῖ πλεῖστον οὐσίαν ἔχει, καὶ ταύτην παχεῖαν καὶ γλίσχραν, εὐχυμότατά τε καὶ τροφιμώτατα ταῦτ' ἐστίν, οὐ μὴν ὑποχωρεῖ γε ῥᾳδίως. ὅσα δ' ἔμπαλιν τούτοις, χαύνην μὲν ἔχει καὶ μαλακὴν οὐσίαν, τὰ μόρια δὲ αὐτῶν πιτυρώδη, διαχωρεῖται μὲν ἄμεινον, ἧττον δὲ τρέφει. τούτων δ' αὐτῶν ὅσα ῥυπώδη τε ἐστὶ καὶ ἀηδίαν τινὰ ἔχοντα κατὰ τὴν γεῦσιν, εὔδηλον ὡς κακόχυμά τε καὶ δύσπεπτα πάντ' ἐστί. τοῦ δὲ ἐν ὄγκῳ μικρῷ πλεῖστον οὐσίαν εἶναι, τό, τε βάρος ἱσταμένων αὐτῶν ἐπὶ ζυγοῦ σημεῖον ἔστω σοι, καὶ τὸ τῶν ἀλεύρων πλῆθος. ἐξ ὀλίγου γὰρ ὄγκου πολὺ γίνεται τοῖς πεπιλημένην ἔχουσι τὴν οὐσίαν σπέρμασιν. ἡ δὲ κατὰ θερμότητά τε καὶ ψυχρότητα διαφορά, πρὸ μὲν τοῦ προσενέγκασθαί τε καὶ λαβεῖν ἔσω τοῦ σώματος, ἔκ τε τῆς χροιᾶς ἐπιλογιζέσθω σοι καὶ τῆς γεύσεως, καὶ τῆς ἔξωθεν ἐπιτιθεμένης αὐτῶν χρήσεως. ἐπὶ δὲ τῷ προσενέγκασθαι καὶ λαβεῖν ἔσω τοῦ σώματος, διάγνωσις ἀκριβὴς καὶ συναίσθησις αὐτοῖς τοῖς φαγοῦσι γίνεται κατὰ τὴν γαστέρα τοῦ θερμαίνειν τὸ ληφθὲν ἢ ψύχειν, ἢ μηδ' ἕτερον ἐπιφανῶς ἐργάζεσθαι. χροιὰ δὲ κατὰ φύσιν ἐν μὲν κριθαῖς καὶ ὀλύραις ἡ λευκή, τῶν πυρῶν δὲ ὑπόξανθος. αἱ τίφαι δὲ καὶ τῶν πυρῶν εἰσι ξανθότεραι. καὶ μέν τοι καὶ πεπίληται τὸ σῶμα αὐτῶν εἰς πυκνότητα καὶ ἴσως καὶ τοῦτο συντελεῖ τι πρὸς τὴν σμικρότητα τοῦ σπέρματος. ἀπολείπονται γὰρ οὐκ ὀλίγῳ κατὰ τὸ μέγεθος τῶν πυρῶν. ἔνιοι δὲ ἐν τῷ τῶν πυρῶν γένει καὶ τοῦτο τίθενται τὸ σπέρμα. καὶ τό γε παρ' Ὁμήρῳ λεγόμενον ἐπὶ τῶν ἵππων ἔνθα φησὶν ὁ Ἕκτωρ πρὸς αὐτούς, Ὑμῖν μὲν προτέροισι μελίφρονα πυρὸν ἔθηκεν, ἐπὶ τοῦ τῆς τίφης σπέρματος εἰρῆσθαι λέγουσι. μικρὸν γὰρ εἶναι πυρὸν αὐτοῖς, καὶ τοὺς ἵππους ταύτας μὲν ἀβλαβῶς ἐσθίειν, τοὺς δὲ ὄντως πυροὺς οὐκ ἀβλαβῶς. οὐκ ἀπιθάνως δ' ἄν τις ὀνομάζοι πυρὸν μικρὸν τὴν τίφην καὶ τῇ χροιᾷ καὶ τῇ πυκνότητι καὶ θερμότητι τῆς δυνάμεως ἐοικυῖαν αὐτοῖς.

περὶ Βρόμου.

Τοῦτο τὸ σπέρμα πλεῖστον ἐστὶν ἐν Ἀσίᾳ καὶ μάλιστα κατὰ τὴν ὑπερκειμένην Περγάμου Μυσίαν, ἔνθα καὶ τίφαι καὶ ὀλύραι πάμπολλαι γίγνονται. τροφὴ δ' ἐστὶν ὑποζυγίων, οὐκ ἀνθρώπων, εἰ μή ποτε ἄρα λιμώττοντες ἐσχάτως ἀναγκασθεῖεν ἐκ τούτου τοῦ σπέρματος ἀρτοποιεῖσθαι. χωρὶς δὲ λιμοῦ δι' ὕδατος ἑψηθὲν, ἐσθίεται μετ' οἴνου γλυκέος, ἢ ἑψήματος, ἢ οἰνομέλιτος ὁμοίως τῇ τίφῃ. θερμότητος δὲ ἱκανῶς μετέχει, παραπλησίως ἐκείνῃ, καί τοι οὐχ ὁμοίως αὐτῇ σκληρὸν ὑπάρχον. διὸ καὶ τροφὴν ἐλάττονα παρέχει τῷ σώματι. καὶ ἄλλως δὲ ἐστὶν ἀηδὴς ὁ ἐξ αὐτοῦ γινόμε-

νος ἄρτος, οὐ μὴν ἐπισχετικὸς γαστρὸς ἢ προτρεπτικός, ἀλλ' ἐν τῷ μέσῳ κατά γε τοῦτο τεταγμένος.

περὶ κέγχρου καὶ ἐλύμου ὃν καὶ μελίνην ὀνομάζουσι.

Γίνεται μὲν ἄρτος ποτὲ κἀκ τούτων, ὅταν ἀπορία καταλάβῃ τῶν προγεγραμμένων σιτηρῶν ἐδεσμάτων. ὀλιγότροφος δ' ἐστὶ καὶ ψυχρός, καὶ δῆλον ὅτι κραῦρος ἐστὶ καὶ ψαθυρός, ὡς ἂν μηδὲν ἔχων ἐν αὐτῷ μήτε λιπαρὸν μήτε γλίσχρον. εἰκότως οὖν ὑγραινομένην γαστέρα ξηραίνει, τὸ δὲ ἄλευρον ἕψοντες αὐτῶν ἐν τοῖς ἀγροῖς, εἶτα πιμελὴν χοιρείαν ἢ ἔλαιον ἀναμιγνύντες ἐσθίουσι. κρείττων δ' ἐστὶν ἐλύμου κέγχρος εἰς πάντα, καὶ ἥδιον ἐν ἐδωδῇ, καὶ εὔπεπτον ἐστί, καὶ ἧττον ἐπέχει γαστέρα, καὶ μᾶλλον τρέφει, καὶ μετὰ γάλακτος δ' ἐνίοτε τὸ ἄλευρον αὐτῶν ἑψήσαντες ἐσθίουσιν, ὥσπερ τὸ τῶν πυρῶν οἱ ἄγροικοι, καὶ δῆλον ὅτι τὸ ἔδεσμα τοῦτο, τοσοῦτον κρεῖττον ἐστὶ καταμόνας αὐτὸ ἐσθιόμενον, ὅσῳ καὶ τὸ γάλα τῆς ἀμφοτέρων φύσεως εἰς εὐχυμίαν τε καὶ τἄλλα πάντα διενήνοχε. λέγω δὲ τἄλλα πάντα, πέψιν τε καὶ ὑπαγωγὴν γαστρός, ἀνάδοσίν τε καὶ τὴν ἐν τῷ προσφέρεσθαι γλυκύτητα καὶ ἡδονήν. οὐδὲν γὰρ ἡδὺ τοῖς σπέρμασι τούτοις ὑπάρχει καὶ μάλιστα τῷ ἐλύμῳ κατά γε τὴν ἡμετέραν ἀσίαν. ἐν ἄλλοις γὰρ ἔθνεσιν ὥσπερ καὶ ἐν Ἰταλίᾳ πολὺ βελτίων τυγχάνει.

περὶ ὀσπρείων.

Ὄσπρεια καλοῦσιν ἐκεῖνα τῶν δημητρίων σπερμάτων ἐξ ὧν ἄρτος οὐ γίνεται, κυάμους, πισούς, ἐρεβίνθους, φακούς, θέρμους, ὄρυζαν, ὀρόβους, λαθύρους, ἀράκους, ὤχρους, φασήλους, τίλην, φακήν, εἴτε τι τοιοῦτον· περὶ πάντων οὖν ἐξῆς ἐρῶ τῆς δυνάμεως, ὡς ἂν γιγνώσκων τις ἀβλαβέστερον αὐτοῖς χρῷτο.

περὶ ὀρύζης.

Τῷ σπέρματι πάντες εἰς ἐπίσχεσιν γαστρὸς χρῶνται, τὴν ἕψησιν αὐτοῦ παραπλησίαν ποιοῦντες χόνδρῳ, δυσπεπτότερον δ' ἐστὶν χόνδρου. καὶ τρέφει ἧττον, ὥσπερ γε καὶ εἰς ἐδωδὴν ἡδονῆς ἀπολειπόμενον αὐτοῦ πάμπολυ. οὐδ' ἐκ τούτων ἀρτοποιεῖταί τις, ἀλιπεῖς γάρ εἰσι καὶ ψαθυροί, στυπτικὸν ἔχοντες τὸ λέμμα, τὴν δ' οἷον σάρκα παχύχυμόν τε καὶ γεώδη, καὶ βραχύ τι ἔχουσαν αὐστηρᾶς ποιότητος, ἧς τὸ λέμμα πολλῆς μετέχει. χυμὸς δ' ἐν αὐτοῖς ἐστὶν ὡς καὶ πρόσθεν εἶπον ἐναντίος τῷ στυπτικῷ. διὸ κἂν ἑψήσας τις αὐτοὺς ἐν ὕδατι προσενέγκηται τὸ ὕδωρ, ἡδύνας ἅλασιν ἢ γάρῳ, καὶ μετ' αὐτῶν ἐλαίῳ, διαχωρητικὸν γίνεται πόμα. δὶς δ' ἑψηθέντων, ὥσπερ εἴρηται τῶν φακῶν, ἡ ἐξ αὐτῶν σκευαζομένη φακῆ, καὶ τὴν ἐναντίαν ἔχει δύναμιν τοῦ χυλοῦ, ξηραίνουσα τὰ κατὰ γαστέρα ῥεύματα, καὶ τόνον ἐντιθεῖσα τῷ στομάχῳ, καὶ τοῖς ἐντέροις, καὶ συμπάσῃ τῇ γαστρί, διὰ τοῦτο οὖν οἰκεῖον ἐστὶν ἔδεσμα κοιλιακῶν τε καὶ δυσεντερικῶν. ἡ δὲ ἀφῃρημένη τὸ λέμμα φακῆ, τὸ μὲν ἰσχυρὸν τῆς στύψεως ἀπόλλυσι, καὶ τὰ αὐτῇ συνεπόμενα δηλονότι. τροφιμωτέρα δὲ γίνεται τῆς ἀπτίστου, παχύχυμός τε οὖσα καὶ κακόχυμος καὶ βραδύπορος, οὐ μὴν ξηραντική γε τῶν κατ' αὐτὴν ῥευμάτων, ὥσπερ ἡ ἄπτιστος. εἰκότως οὖν οἱ πλεονάζοντες ἐν τούτῳ τῷ ἐδέσματι, τούς τε καλουμένους ἐλέφαντας ἴσχουσι καὶ τοὺς καρκίνους. ἐπιτήδειον γὰρ ἐστὶ τὸ παχὺ καὶ ξηρὸν ἔδεσμα, μελαγχολικὸν γεννᾶσθαι χυμόν, οἷς οὖν ἐστὶν ὑδατώδης ἐν ταῖς σαρξὶ καχεξία, τούτοις μόνοις ὠφέλιμον ἔδεσμα φακῆ, καθάπερ τοῖς ξηροῖς καὶ αὐχμώδεσι βλαβερώτατον. ὡσαύτως δὲ καὶ τὴν ὄψιν ἀμβλύνει μέν, τὴν ὑγιεινῶς διακειμένην ὑπερξηραίνουσα, τὴν δὲ ἐναντίως ἔχουσαν, ὀνίνησιν. οὐκ ἐπιτήδειος ἐστὶν οὐδ' εἰς τὰς ἐμμήνους καθάρσεις, παχὺ καὶ δύσρουν ἐργαζομένη τὸ αἷμα. τοῦ δὲ καλουμένου ῥοῦ γυναικείου χρησιμωτάτη. τὴν δ' ἐναντίαν αὐτῇ κατά γε τοῦτο δύναμιν ἐχούσης τῆς πτισάνης, ἐξ ἀμφοτέρων μιχθέντων, ἔδεσμα γίγνεσθαι κάλλιστον ὃ καλοῦσιν οἱ παρ' ἡμῖν ἄνθρωποι φακοπτισάνην, οὐκ ἴσον τῷ μέτρῳ μιγνύντες, ἀλλ' ἔλαττον ἐμβαλόντες τῆς πτισάνης, ὡς ἂν χυλουμένης τε καὶ εἰς ὄγκον αἰρομένης μεγάλον. οἱ φακοὶ δ' ἑψημένοι βραχύ τι προσανοιδίσκουσιν. ἥ γε μὴν ἄρτυσις ἡ αὐτὴ καὶ τούτῳ τῷ ἐδέσματι τῇ κατὰ τὴν πτισάνην ἐστί, πλὴν ὅτι θύμβρας, ἢ γλήχους ἐπεμβαλλομένης, ἡδεῖά τε ἅμα καὶ εὐπεπτοτέρα γίνεται, τῆς πτισάνης οὐ χαιρούσης τούτοις, ἀλλ' ἀρκουμένης ἀνήθῳ καὶ πράσῳ μόνῳ. μοχθηροτάτη δ' ἐστὶν σκευασία φακῆς ἡ διὰ τοῦ σιραίου τοῖς πλουσίοις παρασκευαζομένη ὑπὸ τῶν μαγείρων. δεῖται γὰρ οὐ παχυνόντων μίξεως, ἀλλ' ὑγρῶν καὶ τεμνόντων τὸ πάχος αὐτῆς μᾶλλον. ἡ δὲ τῷ σιραίῳ μιχθεῖσα τὰς καθ' ἧπαρ ἐμφράξεις ἐργάζεσθαι πέφυκεν. αὐξάνει δὲ καὶ τὰς φλεγμονὰς ἔν τε τούτῳ τῷ σπλάγχνῳ καὶ σπληνί, εἰ μὴ μέλιτός τι προσλάβοι βελτίων γιγνομένη. πρόδηλον δὲ ὅτι καὶ τὰς σκληρώδεις διαθέσεις, ἀμφοτέρων τῶν σπλάγχνων παροξύνει. κρέας δὲ χοίρειον εἰ βούλει συνεψεῖν, τῇ μὲν πτισάνῃ τὸ πρόσφατον, τῇ δὲ φακῇ τὸ ταριχηρὸν ἁρμόττον εὑρήσεις. ὥσπερ γε τὸ μεταξὺ τούτων, ὃ νεαλὲς ὀνομάζουσι, τῇ φακοπτισάνῃ χρήσιμον, εἰς ἡδονήν τε καὶ πέψιν ἐστίν. ἥ γε μὴν εἰς τοὺς παχεῖς χυμοὺς ἐπίδοσις, τῇ φακῇ μετὰ τῶν ταριχηρῶν κρεῶν ἐσθιομένῃ μᾶλλον γίνεται. καὶ γὰρ καὶ ταῦτα παχύτερόν τε καὶ μελαγχολικώτερον αἷμα γεννᾷ. διόπερ οὐ χρὴ πλεονάζειν οὐδ' ἐν τούτοις, καὶ μάλιστα ὅταν ἤτοι μελαγχολικόν, ἢ λίαν παχύχυμον, ἢ ὅλως κακόχυμον ᾖ τινι τὸ σῶμα. τὰ δ' αὐτὰ καὶ περὶ τῶν χωρῶν ὡρῶν τε καὶ καταστάσεων ἐπινοεῖν σε χρὴ καθ' ἕκαστον ἔδεσμα, φειδόμενον μὲν ἐν φθινοπώρῳ τῶν μελαγχολικῶν καὶ ξηραινόντων ἐδεσμάτων. ἐν χειμῶνι δὲ χρώμενον, ὥσπερ γε καὶ κατὰ τὸ θέρος τοῖς ὑγραίνουσι καὶ ψύχουσιν. ἐν ἦρι δὲ μέσης ὄντι κράσεως, τὰ μέσα ταῖς δυνάμεσιν σιτία προσενεκτέον. ἔστι δέ τι τῶν μέσων οὐχ ἓν εἶδος. ἔνια μὲν γὰρ τῷ μηδόλως μετέχειν τῶν ἄκρων ἐστὶ τοιαῦτα. τινὰ δὲ ἐκ τῆς ἀμφοῖν ἰσοκρατούσης μίξεως ἐπικτᾶται τὴν μεσότητα, καθάπερ ὀλίγον ἔμπροσθεν ἔλεγον, ὅταν τῇ πτισάνῃ μίξῃ τις τὴν φακήν. οὕτω δὲ καὶ τὴν σευτλοφακὴν ὁ Ταραντῖνος Ἡρακλείδης οὐ μόνον ὑγιαίνουσιν, ἀλλὰ καὶ νοσοῦσιν ἐδίδου. μέσον γὰρ καὶ τοῦτ' ἐστὶν ἐξ ἐναντίων συγκείμενον ἔδεσμα. διὸ τεῦτλον μὲν ἧττον ὑπέρχεται, φακὴ δὲ διαχωρεῖται μᾶλλον. εὔδηλον δὲ ὅτι καὶ ὁ ἀναδιδόμενος ἐξ αὐτῆς χυμὸς εἰς τὸ σῶμα μικτὸς ἐκ τῆς ἀμφοτέρων ἐστὶ δυνάμεως τῆς τε φακῆς καὶ τοῦ τεύτλου.

περὶ κυάμων.

Πολλὴ καὶ τούτων ἐστίν, ἡ χρῆσις, ἔτνους ἐξ αὐτῶν σκευαζομένου, τοῦ τε ἐν ταῖς χύτραις ὑγροῦ, καὶ τοῦ παχέος ἐν ταῖς λοπάσι.

λοπάσι. καὶ τρίτη δ᾽ ἐστὶν ἡ ἐξ αὐτοῦ σκευασία μετὰ πτισάνης γιγνομένη. καὶ πλείστῳ γε τούτῳ τῷ ἐδέσματι καθ᾽ ἑκάστην ἡμέραν οἱ παρ᾽ ἡμῖν μονομάχοι χρῶνται, σαρκοῦντες τὴν τοῦ σώματος ἕξιν οὐκ ἐσφιγμένῃ τε καὶ πυκνῇ σαρκὶ, καθάπερ τὸ χοίρειον κρέας, ἀλλὰ χαυνοτέρᾳ πως μᾶλλον. φυσῶδες δ᾽ ἐστὶν ἔδεσμα κἂν ἐπὶ πλεῖστον ἑψηθῇ, καὶ ὁπωσοῦν σκευασθῇ, τῆς πτισάνης ἀποτιθεμένης πᾶν τὸ φυσῶδες ἐν τῷ τῆς ἑψήσεως χρόνῳ. τοῖς δὲ προσέχουσι τὸν νοῦν καὶ παρακολουθοῦσι ταῖς ἑπομέναις ἑκάστῳ τῶν ἐδεσμάτων διαθέσεσιν, αἴσθησις γίνεται καθ᾽ ὅλον τὸ σῶμα τάσεως τινὸς, ὑπὸ πνεύματος φυσώδους, καὶ μάλιστα ὅταν ἀήθης τις ᾖ τοῦ δὲ τοῦ βρώματος, ἢ μὴ καλῶς ἑψόμενον προσφέρηται. τὴν δ᾽ οὐσίαν οὐ πυκνὴν καὶ βαρεῖαν, ἀλλὰ χαύνην τε καὶ κούφην ἔχουσιν οἱ κύαμοι, καί τι ῥυπτικὸν ἔχουσαν ὁμοίως τῇ πτισάνῃ. φαίνεται γὰρ ἐναργῶς τὰ ἐξ αὐτῶν ἄλευρα τὸν ῥύπον ἀποσμῶντα τοῦ δέρματος, ὃ κατανοήσαντες οἵ τ᾽ ἀνδραποκάπηλοι καὶ γυναῖκες ὁσημέραι χρῶνται τῷ τῶν κυάμων ἀλεύρῳ λουόμεναι, καθάπερ ἄλλοι νίτρῳ τε καὶ ἀφρονίτρῳ καὶ ὅλως τοῖς ῥυπτικοῖς. ἐπιχρίουσι δὲ καὶ τὸ πρόσωπον αὐτῶν παραπλησίως τῇ πτισάνῃ. καὶ γὰρ τοὺς ἐπιπολῆς φακοὺς αἴρει, καὶ τὴν ὀνομαζομένην ἔφηλιν. διὰ ταύτην οὖν τὴν δύναμιν οὐδὲ τὴν κατὰ γαστέρα διέξοδον βραδύνει, καθάπερ ὅσα παχύχυμα καὶ γλίσχρα καὶ μηδεμίαν ἔχοντα δύναμιν ῥυπτικὴν, ὁποῖα ἔφαμεν εἶναι χόνδρον, καὶ τράγον, καὶ σεμίδαλιν, καὶ ἄμυλον. ὄντος δὲ τοῦ τῶν κυάμων ἔτνους φυσώδους, ἔτι καὶ μᾶλλον ὅταν ὁλοκλήρους τις αὐτοὺς ἑψήσας χρῆται, φυσώδεις γίνονται. φρυγέντες μέντοι, καὶ γὰρ καὶ οὕτως αὐτοὺς ἐσθίουσιν ἐν χώρᾳ τραγημάτων ἔνιοι, τὸ μὲν φυσῶδες ἀποτίθενται † δυσαπεπτότατοι δὲ καὶ βραδύποροι γίγνονται, καὶ παχὺν χυμὸν εἰς τροφὴν ἀναδιδόασι τῷ σώματι. χλωροὶ δὲ ἐσθιόμενοι πρὶν πεπανθῆναι, καὶ ξηρανθῆναι τὸ κοινὸν ἁπάντων ἔχουσι τῶν καρπῶν, ὅσους πρὸ τοῦ τελειωθῆναι προσφερόμεθα, τροφὴν ὑγροτέραν διδόντες τῷ σώματι, καὶ διὰ τοῦτο περιττωματικωτέραν οὐ κατ᾽ ἔντερον μόνον, ἀλλὰ καὶ καθ᾽ ὅλην τὴν ἕξιν. εἰκότως οὖν οἱ τοιοῦτοι τρέφουσι μὲν ἧττον, ὑποχωροῦσι δὲ μᾶλλον, οὐ μόνον δὲ ὠμοὺς ἐσθίουσιν οἱ πολλοὶ τῶν ἀνθρώπων τοὺς χλωροὺς κυάμους, ἀλλὰ καὶ μετὰ κρεῶν χοιρείων ἕψοντες, ὥσπερ τὰ λάχανα. κατὰ δὲ τοὺς ἀγροὺς καὶ μετ᾽ αἰγείων τε καὶ προβατείων. ᾐσθημένοι δ᾽ αὐτῶν τοῦ φυσώδους, οἱ ἄλλοι μιγνύουσι κρομμύων, ὅταν ἐν λοπάδι κατασκευάσωσιν αὐτῶν ἔτνος. ἔνιοι δὲ καὶ χωρὶς τοῦ συνεψήματος ὠμὰ τὰ κρόμμυα προσφέρονται μετ᾽ αὐτοῦ. τὸ γάρ τοι φυσῶδες ἐν ἅπασι τοῖς ἐδέσμασιν ὑπὸ τῶν θερμαινόντων τε καὶ λεπτυνόντων ἐπανορθοῦνται.

περὶ κυάμου αἰγυπτίου.

Αἰγύπτιος κύαμος ὥσπερ τῷ μεγέθει διενήνοχε πολὺ τοῦ παρ᾽ ἡμῖν, οὕτω καὶ περιττωματικωτέραν ἔχει. εἴπερ τὴν φύσιν ὑγροτέραν τε οὖν μέμνησαι τὰ περὶ τῶν ὁμογενῶν μὲν, ὑγροτέρων δὲ τῇ κράσει καὶ διὰ τοῦτο περιττωματικωτέρων τῶν εἰρημένων κατά τε τὴν πέψιν καὶ διαχώρησιν καὶ ἀνάδοσιν, καὶ θρέψιν, οὐκ ἔτι δέῃ περὶ τούτου τοῦ κυάμου νῦν ἀκούειν, ἐξ ὧν ἐπὶ τοῦ παρ᾽ ἡμῖν ἀκήκοας ἐπ᾽ ἐκεῖνον μεταβαίνειν δυνάμενος.

περὶ πισῶν.

Πλησίον τι κατὰ τὴν ὅλην οὐσίαν ἔχουσι κυάμοις ἐσθιόμενοί τε κατὰ τοὺς αὐτοὺς τρόπους αὐτοῖς ἐν δυοῖν τοῖν δὲ παραλλάττουσιν, ὅτι τε φυσώδεις ὁμοίως οὐκ εἰσὶν τοῖς κυάμοις, ὅτι τε τὴν ῥυπτικὴν δύναμιν οὐκ ἔχουσι. καὶ διὰ τοῦτο βραδυπορώτεροι τῶν κυάμων κατὰ γαστέρα εἰσίν.

περὶ ἐρεβίνθων.

Ἔτνος μὲν οὐ πάνυ τι δι᾽ ἔθους ἐστὶ τοῖς κατὰ τὰς πόλεις ἀνθρώποις ἐξ ἐρεβίνθων ποιεῖσθαι. κατὰ τοὺς ἀγρούς δε, καὶ τοῦτ᾽ εἶδον ἐνίοτε γιγνόμενον, ὥσπερ καὶ μετὰ γάλακτος ἑψόμενον αὐτῶν τὸ ἄλευρον. οὐ δὲ γὰρ ἐπιδέχονται τὴν αὐτὴν τοῖς κυάμοις τε καὶ πισοῖς θραῦσιν, ὡς τὸν καλούμενον ἐρυγμὸν ἐξ αὐτῶν γενέσθαι. εἰθισμένοι δὲ εἰσὶν ἐν πολλοῖς ἔθνεσιν ἑψηθέντας ἐν ὕδασι τοὺς ἐρεβίνθους ἐσθίειν, ἔνιοι μὲν αὐτοὺς μόνους ψιλοὺς, ἔνιοι δὲ ἁλσὶ μετρίως ἡδύνοντες. οἱ παρ᾽ ἡμῖν δὲ παραπλήσιον ἀλεύρῳ τι ποιοῦντες ἐκ τῶν ξηρῶν τυρῶν, ἐκείνῳ περιπάττουσιν αὐτοὺς, ἔστι δ᾽ οὐχ ἧττον κυάμων ἔδεσμα φυσῶδες ἐρέβινθος, ἰσχυρότερον δὲ ἐκείνων τρέφων ἐπεγείρει δὲ καὶ τὰς πρὸς συνουσίας ὁρμὰς, πεπιστευμένος ἅμα τῷ καὶ σπέρματος εἶναι γεννητικός. ὥς τε καὶ τοῖς ὀχεύουσι τοῖς ἵπποις ἐσθίειν αὐτοὺς, ἕνεκα τούτου, διδόασιν. ὑπάρχει δὲ καὶ ῥυπτικὴ δύναμις αὐτοῖς ἐπὶ πλέον ἢ τοῖς κυάμοις. ὥς τε τινὲς ἐξ αὐτῶν καὶ τοὺς ἐν νεφροῖς συνισταμένους λίθους ἐναργῶς θρύπτουσιν. μέλανες δ᾽ εἰσὶν οὗτοι καὶ μικροὶ κατὰ Βιθυνίαν μάλιστα γιγνόμενοι καὶ καλούμενοι κριοὶ, βέλτιον δὲ τὸν χυλὸν αὐτῶν μόνον πίνειν ἕψοντας ἐν ὕδατι. χρῶνται δὲ καὶ ἐρεβίνθοις οἱ ἄνθρωποι καὶ πρὸ τοῦ πεπανθῆναι χλωροῖς ἔτι καθάπερ καὶ τοῖς κυάμοις. εἴρηται δ᾽ ἀρτίως ὁ κοινὸς λόγος πάντων τῶν ἀτελῶν καρπῶν, ἔνθα περὶ τῶν κυάμων ὁ λόγος ἦν. ὡσαύτως καὶ περὶ τῶν φρυγομένων ἐρεβίνθων ἀκηκοέναι νόμιζε, σὺν τοῖς εἰρημένοις ἐπὶ τῶν κυάμων. ἅπαντα γὰρ τὰ φρυγόμενα, τὸ μὲν φυσῶδες ἀποτίθενται. δυσαπεπτότερα δὲ καὶ σταλτικώτερα γίνεται, καὶ τροφὴν παχυτέραν δίδωσι τῷ σώματι.

περὶ θέρμων.

Ἴσμεν δήπου καὶ τοῦτο τὸ σπέρμα πολύχρηστον εἶναι κατὰ θάτερον σημαινόμενον τῆς πολυχρήστου φωνῆς. ὀνομάζεται γὰρ οὕτως τό, τε πολλαῖς τοῦ σώματος ἁρμόττον διαθέσεσιν, τό, τε πᾶσιν ἀνθρώποις ἢ τοῖς πλείστοις χρήσιμον, εἰ καὶ πρὸς μίαν ἰδέαν χρείας ἅπαντες αὐτοῦ δέοιντο. κατὰ τοῦτο γοῦν αὐτὸ τὸ δεύτερον σημαινόμενον, ὁ θέρμος ἐστὶ πολύχρηστον ὄσπριον. ἑψόμενος γὰρ, εἶτα βρεχόμενος ἐν ὕδατι γλυκεῖ μέχρις ἂν ἀποθῆται πᾶσαν εἰς αὐτὸ τὴν σύμφυτον ἀηδίαν, οὕτως ἐσθίεται, διὰ γάρου τε καὶ ὀξυγάρου, καὶ χωρὶς τούτων, ἁλσὶ μετρίοις ἡδυνόμενος, οὐχ ὥσπερ ἥ τε κριθὶς, καὶ ἄλλα τὰ πολυειδῶς σκευαζόμενα. ἔστι δὲ σκληρὸς καὶ γεώδης τὴν οὐσίαν. ὥστ᾽ ἀνάγκη δύσπεπτον αὐτὸν εἶναι, καὶ παχὺν γεννᾶν χυμὸν, ἐξ οὗ μὴ καλῶς ἐν ταῖς φλεψὶ κατεργασθέντος, ὁ καλούμενος ἰδίως ὠμὸς ἀθροίζεται χυμός. ἐπὶ δὲ τὴν σκευασίαν ἀποτιθέμενος ἅπαν ὅσον εἶχε πικρὸν, ὅμοιος γίγνεται τοῖς ἀποίοις ὡς πρὸς αἴσθησιν. εὔλογον οὖν ἐστὶν μήτ᾽ εἰς διαχώρησιν ἐπιτήδειον ὑπάρχειν αὐτὸν, μήτ᾽ εἰς ἐπίσχεσιν ῥεούσης γαστρὸς, ὡς τὰ στύφοντα, βραδύπορον δὲ, καὶ δυσαποβίβαστον, καὶ δυσδιέξοδον εἰκότως γίνεσθαι.

† ἄλ. δυσαπεπτότεροι

καλοῦσι γὰρ οὕτως οἱ ἰατροὶ τὰ τοιαῦτα τῶν ἐδεσμάτων ὅσα μηδεμίαν ἐξέχουσαν ἔχει ποιότητα τοῦ προτρέψειν εἰς ἔκκρισιν τὴν κοιλίαν, ἢ κωλύειν ἐκκρίνειν δυναμένων. ἐκεῖνα μὲν οὖν οὐχ ὡς τροφαὶ αὐτοῖς ὑπάρχουσιν, ἀλλ' ὡς φάρμακα. ὅσα δὲ καὶ οὐδεμίαν ἔχει σαφῆ τοιαύτην ποιότητα, καλεῖται μὲν εὐλόγως ὑπὸ τῶν ἰατρῶν ἄποια, κατὰ δὲ τὴν ἐν ὑγρότητι καὶ γλισχρότητι διαφοράν, ἢ ταχυπόροις αὐτοῖς ἢ βραδυπόροις, ἢ μέσοις τούτων εἶναι συμβέβηκεν, τοῖς μὲν ὑγροῖς καὶ ὀλισθηροῖς, ταχυπόροις, τοῖς σκληροῖς δὲ καὶ ξηροῖς, ὥσπερ ὁ θέρμος, ἔμπαλιν. ὅσα δὲ μεταξὺ τούτων ἐστὶ κατὰ τὰς εἰρημένας διαφοράς, οὔτε τάχος ἐπίσημον, οὔτε βραδύτητα διαχωρήσεως ἐργάζεται. καθάπερ οὖν ταῦτα περὶ πάντων ἐπίστασθαι προσήκει κοινῇ, κατὰ τὸν αὐτὸν τρόπον καὶ τάδε, τὰ μὲν ὑγρότερα ταῖς συστάσεσιν ἅπαντα βραχεῖαν τροφὴν δίδωσι τῷ σώματι, καὶ ταχέως ἐξατμιζομένην τε καὶ διαφορουμένην, ὡς ἑτέρας αὖθις οὐ διὰ μακροῦ δεῖσθαι. τὰ δὲ σκληρὰ καὶ γεώδη, μονίμην τε καὶ πολλὴν καὶ δυσδιαφόρητον. εἰ δὲ καὶ κολλῶδες ἔχει τι, πολὺ δὴ μᾶλλον ἅπαντα ταῦτα ἐναργῶς ἀποτελεῖ. πρόδηλον δ' ὅτι καὶ πεφθῆναι τοῖς τοιούτοις οὐκ εὐπετές, ὥσπερ γ' οὐδ' εἰς αἷμα μεταβαλεῖν, οὐδ' ἐξομοιωθῆναι τοῖς στερεοῖς τοῦ ζώου μορίοις. εἰ δὲ τοῦτο, μὴ δὲ θρέψειν ταχέως, ἀλλ' ὅταν γε κρατηθῇ, τροφὴν πολλὴν δίδωσι τῷ σώματι.

περὶ τήλεως.

Οὐ μόνον τῆλιν, ἀλλὰ καὶ βούκερας, ἔνιοι δὲ αἰγίκερας ὀνομάζουσι τὸ σπέρμα τοῦτο. τῶν θερμαινόντων δ' ἐστὶν φανερῶς, τὴν αὐτὴν χρείαν παρέχον εἰς ἐδωδὴν τοῖς ἀνθρώποις, ἥνπερ οἱ θέρμοι. προσλαμβάνουσι γοῦν αὐτὸ διὰ γάρου, γαστρὸς ὑπαγωγῆς ἕνεκα, καὶ πολύ γε θέρμων εἰς τοῦτ' ἐστὶν ἐπιτηδειότερον, οὐδὲν ἐξ οἰκείας οὐσίας ἔχον δυσδιέξοδον. ἐσθίεται δὲ καὶ δι' ὄξους, καὶ γάρου, καθάπερ οἱ θέρμοι, καὶ δι' οἴνου δὲ, καὶ γάρου καὶ ἐλαίου. πολλοὶ καὶ τῆλιν ἐσθίουσι καὶ θέρμους, ἔνιοι δὲ καὶ σὺν ἄρτῳ, καὶ γίγνεται τοῦτ' αὐτοῖς ὄψον αὐταρκές, ἧττον μὲν ὑπάγον τὴν γαστέρα, μήτε δὲ κεφαλῆς ἁπτόμενον, ὥσπερ γε ἡ διὰ τοῦ γάρου τῆλις ἐνίων ἅπτεται, μήτε τὸν στόμαχον ἀνατρέπον. ἐργάζεται γὰρ ἐπί τινων ἡ τῆλις τοῦτο. τῷ δ' αὐτῷ τρόπῳ πρὸς ἐδωδὴν ἔνιοι χρῶνται φασήλοις τε καὶ ὤχροις, ἐφ' ὧν αὐτίκα τὸν κοινὸν ἁπάντων τῶν τοιούτων παραγράψω λόγον. ἐσθίεται δὲ τῆλις ὑπό τινων καὶ πρὶν ἐκκαρπῆσαι τὸ φυτὸν αὐτῆς, ἀποβαπτομένων αὐτῶν εἰς ὄξος καὶ γάρον. ἔνιοι δὲ καὶ ἔλαιον ἐπιχέοντες ὄψῳ χρῶνται σὺν ἄρτῳ προσφερόμενοι. τινὲς δὲ καὶ μετ' ὄξους καὶ γάρου. κεφαλῆς δὲ ἅπτεται, καὶ ἥδε, πλεῖον ληφθεῖσα, καὶ μᾶλλον εἰ καὶ χωρὶς ἄρτου προσφέροιτό τις αὐτήν. ἐνίοις δὲ καὶ τὸν στόμαχον ἀνατρέπει. χυλὸς δὲ ἑψηθείσης τῆς τήλεως μετὰ μέλιτος λαμβανόμενος ἐπιτήδειός ἐστιν ὑπάγειν ἅπαντας τοὺς ἐν τοῖς ἐντέροις μοχθηροὺς χυμούς, τῇ μὲν γλισχρότητι τὸ προσηνὲς ἔχων, τῇ δὲ θερμότητι τὸ παρηγορικόν. ὅτι δὲ καὶ ῥυπτικῆς μετέχει δυνάμεως, ἐπὶ τὴν ἔκκρισιν παρορμᾷ τὸ ἔντερον. ὀλίγον δ' εἶναι χρὴ τὸ μιγνύμενον αὐτῷ μέλι, μὴ περιγίγνηται τὸ δακνῶδες. ἐπὶ δὲ τῶν κατὰ τὸν θώρακα χρονιζόντων ἀλγημάτων ἄνευ πυρετοῦ, συνέψειν μὲν αὐτῇ χρὴ λιπαροὺς φοίνικας, ἐκθλίψαντας δὲ τὸν χυλόν, εἶτα μέλιτι μίξαντας δαψιλῶς, κἄπειτα ἑψήσαντας αὖθις ἐπ' ἀνθράκων ἄχρι πάχους συμμέτρου χρῆσθαι πρὸ πολλοῦ τῶν σιτίων.

περὶ φασήλων καὶ ὤχρων.

Καὶ ταῦτα τὰ σπέρματα καθάπερ καὶ τὴν τῆλιν ὕδατι προδιαβρέχοντες οἱ ἄνθρωποι μέχρι τοῦ φῦσαι ῥίζαν ἐσθίουσι πρὸ τῆς ἄλλης τροφῆς, ὑπαγωγῆς ἕνεκα γαστρός, ἐναποβάπτοντες γάρῳ. πρότιμον δ' ἔχει τὸν χυμόν, ὅταν ἑψηθῇ, πεφθέντα μᾶλλον τήλεως. καί τινα νεανίσκον οἶδα κατὰ τὴν Ἀλεξάνδρειαν ἰατρικὴν τέχνην ἐξασκοῦντα, καθ' ἑκάστην ἡμέραν ὄψῳ χρώμενον ἐτῶν τεττάρων, μόνοις τούτοις, τήλει λέγω καὶ φασήλοις, καὶ ὤχροις καὶ θέρμοις. ἥψετο δέ ποτε καὶ τῶν ἐκ τῆς μεμφίδος ἐλαιῶν καὶ λαχανῶν καὶ καρπῶν ὀλίγων ὅσοι χωρὶς ἑψήσεως ἐσθίονται. προὔκειτο γὰρ αὐτῷ μηδὲ πῦρ ἀνάπτειν. ὑγιαίνετο οὖν ἐν ἅπασιν ἐκείνοις τοῖς ἔτεσι, καὶ τὴν τοῦ σώματος ἕξιν κατ' οὐδὲν τι χείρονα τῆς ἐξ ἀρχῆς εἶχεν. ἤσθιεν δ' αὐτοὺς μετὰ γάρου δηλονότι, τῷ γάρῳ ποτὲ μὲν ἔλαιον ἐπεμβάλλων μόνον, ποτὲ δὲ καὶ οἶνον, ἔστι δ' ὅτε καὶ ὄξος, ἐνίοτε δὲ καὶ μεθ' ἁλῶν μόνον, ὥσπερ καὶ τοὺς θέρμους. περὶ μὲν οὖν διαίτης ὑγιεινῆς, εἴρηται μὲν τι κἀν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ κατὰ διέξοδον, εἰρήσεται δὲ καὶ κατὰ τόνδε τὸν λόγον αὖθις ἐν βραχέσι κεφαλαίοις. νυνὶ δὲ περὶ τῶν ὤχρων τε καὶ φασήλων οἷς εἶπον ἔτι καὶ τοῦτο προσκείσθω. μέσα πως ἐστὶν ἐδέσματα ταῦτα, εὐχύμων τε καὶ κακοχύμων, εὐπέπτων τε καὶ δυσπέπτων, βραδυπόρων τε καὶ ταχυπόρων, φυσωδῶν τε καὶ ἀφύσων, ὀλιγοτρόφων τε, πολυτρόφων. οὐδὲ γοῦν οὐδὲ ποιότητα δραστήριον ἔχει, καθάπερ ἔνια τῶν δριμεῖς, ἢ στρυφνούς, ἢ ἁλικούς, ἢ πικρούς, ἢ γλυκεῖς ἐχόντων χυμούς.

περὶ λαθύρων.

Παραπλήσιον μὲν εἰσιν τὴν οὐσίαν οἱ λάθυροι τοῖς ὤχροις τε καὶ φασήλοις. χρῶνται δ' αὖ καὶ τούτοις πλεῖστοι, οἱ κατὰ τὴν ἡμετέραν Ἀσίαν ἄγροικοι, καὶ μάλιστα κατὰ τὴν Μυσίαν τε καὶ Φρυγίαν, οὐ μόνον ὥσπερ ὤχροις τε καὶ φασήλοις, οἱ κατὰ τὴν Ἀλεξάνδρειαν τε καὶ πολλὰς ἄλλας πόλεις, ἀλλὰ καὶ σκευάζοντες ὁμοίως τῇ φακοπτισάνῃ. χυλὸν δὲ ἔχουσι τῇ μὲν δυνάμει παραπλήσιον † τοῖς ὤχροις τε καὶ φασήλοις, παχύτερον δὲ συστάσει, καὶ διὰ τοῦτο γ' αὐτὸ τροφιμώτεροι πως ἐκείνων εἰσίν

† αλ. πῶς

περὶ ἀράκων.

Τὴν ὑστάτην συλλαβὴν τοῦ τῶν ἀράκων ὀνόματος διὰ τοῦ .κ. γεγραμμένην εὑρίσκομεν ἐν ταῖς Ἀριστοφάνους ὁλκάσιν. ἔνθα φησί. ἀράκους, πυρούς, πτισάνην, χόνδρον, ζειάς, αἴρας, σεμίδαλιν. παραπλήσιον δ' ἐστὶ τὸ σπέρμα τῷ τῶν λαθύρων καί τινες γ' οὐχ ἕτερον εἶναι γένος ἐκείνων νομίζουσιν αὐτό. καὶ γὰρ καὶ ἡ χρῆσις ἅπασα καὶ ἡ δύναμις αὐτοῦ, παραπλησία τῇ τῶν λαθύρων ἐστίν, πλὴν ὅσον σκληρότεροί τε καὶ δυσεψητότεροι, καὶ διὰ τοῦτο καὶ δυσπεπτότεροι τῶν λαθύρων εἰσὶν οἱ ἄρακοι. παρ' ἡμῖν δὲ ἄγριόν τι καὶ στρογγύλον καὶ σκληρόν, ὀρόβου μικρότερον ἐν τοῖς δημητρίοις καρποῖς εὑρισκόμενον, ὃν ὀνομάζουσι ἄραχον, οὐ διὰ τοῦ .κ. τὴν ἐσχάτην συλλαβήν, ἀλλὰ διὰ τοῦ .χ. φθεγγόμενοι, καὶ ῥίπτουσιν αὐτὸν ἐκλέγοντες, ὥσπερ καὶ τὸν πελεκῖνον.

περὶ ὀρό

περὶ δολιχῶν.

Τὸ τῶν δολιχῶν ὄνομα γέγραπται μὲν καὶ παρὰ τῷ Διοκλεῖ μετὰ τῶν ἄλλων, ὅσα τῶν τρεφόντων ἡμᾶς σπερμάτων εἰσὶν ὀνόματα. γέγραπται δὲ κἂν τῷ περὶ διαίτης Ἱπποκράτους, ὑπὲρ οὗ καὶ πρόσθεν ἤδη δήλωσα. ἡγοῦμαι δ' αὐτοὺς οὕτως ὀνομάζειν τὸ σπέρμα τοῦ κηπευομένου φυτοῦ, καλουμένου δὲ νῦν ὑπὸ τῶν πολλῶν κατὰ τὸν πληθυντικὸν ἀριθμὸν διττῶς. ἔνιοι μὲν γὰρ λοβοὺς, ἔνιοι δὲ φασηόλους ὀνομάζουσιν αὐτοὺς διὰ τεττάρων συλλαβῶν τὴν φωνὴν προφερόμενοι, καὶ διὰ τοῦτο ποιοῦντες ἕτερον ὄνομα τοῦ διὰ τριῶν συλλαβῶν λεγομένου φασήλου. τινὲς δὲ τὸν αὐτὸν εἶναι λέγουσι τὸν φάσηλον τῷ λαθύρῳ, τινὲς δὲ εἶδος αὐτοῦ, τοὺς γε μὴν δολίχους τεκμαίροιτο ἄν τις ὀνομάζεσθαι τὰ κηπευόμενα ταῦτα φυτὰ κἀξ ὧν Θεόφραστος περὶ αὐτῶν εἶπεν ἐν τῷ ὀγδόῳ περὶ φυτῶν ἱστορίας. ἔχει δ' ἡ λέξις ὧδε. Καὶ τὰ μὲν ἐστιν ὀρθόκαυλα καθάπερ πυρὸς καὶ κριθὴ, καὶ ὅλως τὰ σιτώδη καὶ τὰ θερινά. τὰ δὲ πλαγιόκαυλα, οἷον ἐρέβινθος, ὄροβος, φακός. τὰ δὲ ἐπιγειόκαυλα, καθάπερ ὦχρος, πίσος, λάθυρος. ὁ δὲ δόλιχος ἐὰν παρακαταπήξῃ τις ξύλα μακρὰ, ἀναβαίνει καὶ γίνεται κάρπιμος, εἰ δὲ μὴ, φαῦλος καὶ ἐρυσιμώδης. ἐκ δὲ τοῦ παραπηγνύναι κελεύειν ξύλα μακρὰ, καὶ μὴ γενομένου τούτου φάσκειν, ἐρυσιμώδεις αὐτοὺς ἀποτελεῖσθαι, τεκμήραιτ' ἄν τις τὸν λόγον αὐτοῦ περὶ τῶν νῦν καλουμένων φασηόλων τε καὶ λοβῶν. αὐτοὺς δὲ λοβοὺς ὀνομάζει, τὰ περιέχοντα τὸ σπέρμα τῶν ἑψητῶν ὀσπρίων ὁποῖον ἐστι, φακὸς καὶ ὄροβος, πισὸς καὶ κύαμος, καὶ θέρμος. ὥσπερ γὰρ τὰ σιτηρὰ σπέρματα περιέχουσιν οἱ ἀστάχυες, οὕτω τὰ νῦν εἰρημένα οἱ λοβοί, καὶ τούς γε δολίχους καὶ αὐτοὺς οἱ λοβοὶ περιέχουσι, καὶ κατὰ τοῦτο, οἶμαι τὸν ὅλον καρπὸν ὑπὸ τῶν νῦν ἀνθρώπων ὀνομάζεσθαι λοβοὺς, ὥσπερ ἀστάχυας ὅλους σιτηροὺς καρπούς. ἴσμεν δὲ καὶ ἄλλα πολλὰ τῶν ἐν πολλῇ χρήσει παρὰ τοῖς ἀνθρώποις ὄντων, ὅλου τοῦ γένους τοὔνομα σφετερισάμενα, καθάπερ τὸν κάλαμον ᾧ γράφομεν καὶ τὸ μέλαν. ἐν τῷ περὶ διαίτης Ἱπποκράτει οὕτως γέγραπται. Οἱ δὲ πισοὶ φυσῶσι μὲν ἧττον, διαχωροῦσι δὲ μᾶλλον, ὦχροι δὲ καὶ δόλιχοι διαχωρητικώτεροι τούτων, ἧσσον δὲ φυσώδεις, τροφιμώτεροι δέ. παραβάλλων γὰρ ἐν ταύτῃ τῇ ῥήσει τοὺς πισοὺς. τοῖς κυάμοις. ὑπὲρ ὧν ὡς φυσώδους ἐδέσματος προειρήκει, τοὺς δ' ὤχρους καὶ δολίχους, ἐφεξῆς γράφων, ἐνδείκνυται τὸ ὁμογενὲς τι τοῖς προειρημένοις σπερμάτων εἶναι τὸν δόλιχον καὶ μάλιστα τοῖς ὤχροις, ἀλλ' ἐκ τοῦ μηδόλως αὐτὸν μνημονεῦσαι λαθύρων καὶ φασήλων ὑποψία τις ἐστὶν, ὡς ἐκείνων τῶν σπερμάτων τι ἐνδεχόμενον εἴη κεκλῆσθαι δόλιχον. εἰ δὲ καὶ τοὺς φασήλους τις ἐν τῷ γένει τῶν λαθύρων περιλαμβάνει, τῷ γε τοὺς λαθύρους μὴ δύνασθαι λεχθῆναι δολίχους ἐν τῇ προειρημένῃ ῥήσει, διαφυγεῖν οὐχ οἷόν τε. καὶ Διοκλῆς δ' ἐν τῷ ὀσπρίων κατὰ λόγον κυάμους πρῶτον εἰπὼν, εἶτα πισοὺς, ἐφεξῆς γράφει κατὰ λέξιν οὕτως. δόλιχοι δὲ τρέφουσι μὲν οὐχ ἧττον τῶν πισῶν, ἄφυσοι δ' εἰσὶν παραπλησίως. πρὸς ἡδονὴν δὲ καὶ διαχώρησιν χείρους. ἀλλὰ καὶ οὗτος ἐφεξῆς ὤχρων μὲν καὶ φακῶν, ἐρεβίνθων τε καὶ ὀρόβων μνημονεύσας, παραλιπὼν δὲ τὸ τῶν λαθύρων ὄνομα τὴν αὐτὴν ἀμφιβολίαν παρέχει. καὶ τις δύναται λέγειν, ἓν εἶναι γένος ταῦτα πάντα λαθύρους, ὤχρους φασήλους ὀνόμασι πλείοσι κεχρημένα. τάχα μὲν ὡς κίων καὶ στῦλος δὲ καὶ κατά τινας ἐμφαινομένας αὐτοῖς διαφοράς. ἀλλὰ τό γε τοὺς δολίχους οὐχ ἧττόν τι τῶν πισῶν τρέφειν, ἀφύσους τε εἶναι παραπλησίως ἐκείνοις, ἐνδεικτικόν ἐστι τοῦ κεκληκέναι τὸν Διοκλέα τοὺς νῦν ὀνομαζομένους φασηόλους οὕτως, ὁ γάρ τοι λάθυρος οὐκ ἔστιν ἀφυσότερος πισοῦ, καθάπερ οὐδὲ ὦχρος, οὐδὲ φάσηλος, εἴθ' ἓν γένος ἐστὶν ὡς ἔφην εἴτε καὶ διαφοραί τινες ἑνὸς γένους ταῦτα. Φιλότιμος δὲ καὶ Πραξαγόρας, οὐδενὸς τῶν τοιούτων ἐδεσμάτων ἐμνημόνευσαν, ὅτι μὴ κυάμων τε καὶ πισῶν μόνων, ὥστε παρά γε τούτων οὐδὲν ἔχομεν εὐπορῆσαι, περὶ τοῦ τῶν δολιχῶν ὀνόματος ἐφ' ὅτῳ πράγματι τέτακται. καὶ τοίνυν καλείτωμεν ἕκαστος ὡς ἂν θέλῃ τοὺς νῦν ὑπὸ τῶν πολλῶν ὀνομαζομένους φασιόλους τε καὶ λοβοὺς, ἴστω δὲ τὴν δύναμιν αὐτῶν οὖσαν, οἵαν Διοκλῆς εἶπε περὶ τῶν δολιχῶν. ἐγγὺς δὲ τῆς γνώμης αὐτῶν καὶ ὁ ἐν τῷ περὶ διαίτης Ἱπποκράτης γράψας, ἥκει τοὺς ὤχρους καὶ τοὺς δολίχους διαχωρητικωτέρους μὲν εἶναι τῶν πισῶν λέγων, ἧττον δὲ φυσώδεις, καὶ τροφίμους εἶναι αὐτοὺς μαρτυρεῖ καὶ γὰρ οὕτως ἔχει, πλὴν ὅτι σὺν τοῖς λοβοῖς, ὅλους ἐσθίουσιν ἔτι χλωροὺς ὄντας αὐτοὺς οἱ ἄνθρωποι δι' ἐλαίου καὶ γάρου τοὔπιπαν. ἔνιοι δὲ καὶ οἶνον ἐπιβάλλουσιν. εἰς ἀπόθεσιν δὲ οὐ χρῶνται καθάπερ τοῖς πισοῖς. ὑγρότεροι γὰρ ὄντες τὴν φύσιν εἰώθασι διαφθείρεσθαι. τῷ βουλομένῳ δ' ἀσφαλῶς ἀποθέσθαι καὶ τούτους, ὥσπερ ὁ ἐμὸς πατὴρ ἐποίει, ξηραντέον ἐστὶ ἀκριβῶς αὐτούς. οὕτως γὰρ ἄσηπτοί τε καὶ ἀδιάφθοροι μένουσιν ὅλῳ χειμῶνι, τὴν αὐτὴν χρείαν τῷ πισῷ παρεχόμενοι. τῶν φίλων δέ τις ἐν Ῥώμῃ διατρίβων ἔλεγεν ἐν Καρίᾳ κατὰ τὴν ἑαυτοῦ πατρίδα καλουμένην Κέραμον σπείρεσθαι τοῖς ἄλλοις ὀσπρίοις ὡσαύτως τοὺς δολίχους ἐν ταῖς ἀρούραις, ἔχοντας τὸ σχῆμα προμηκέστερον λαθύρων.

περὶ ὀρόβων.

Οἱ βόες ἐσθίουσι τοὺς ὀρόβους παρ' ἡμᾶς τε καὶ τἄλλα πολλὰ τῶν ἐθνῶν ὕδατι προγλυκάναντες. οἱ δὲ ἄνθρωποι τελέως ἀπέχονται τοῦ σπέρματος τούτου, καὶ γὰρ ἀηδέστατόν ἐστι καὶ κακόχυμον. ἐν λιμῷ δέ ποτε μεγάλῳ καθὰ καὶ Ἱπποκράτης ἔγραψεν, ἐξ ἀνάγκης βιαίας ἐπ' αὐτὸ παραγίνονται. προπαρασκευάζοντες δ' ἡμεῖς ὥσπερ τοὺς θέρμους, χρώμεθα μετὰ μέλιτος τοῖς ὀρόβοις, ὡς φαρμάκοις τῶν κατὰ θώρακα καὶ πνεύμονα παχέων ὑγρῶν ἐκκαθαρτικοῖς. ἧττον δ' εἰσὶ φαρμακώδεις ἐν αὐτοῖς οἱ λευκοί, τῶν πρὸς τὸ ξανθὸν, ἢ ὠχρὸν ἀφισταμένων. οἱ δ' ἀφεψηθέντες δὶς, ἀπογλυκανθέντες τε δι' ὕδατος πολλάκις ἀποτίθενται μὲν τὴν ἀηδίαν, ἀποτίθενται δὲ σὺν αὐτῇ καὶ τὴν ῥυπτικήν τε καὶ τμητικὴν δύναμιν, ὥστε ὑπολείπεσθαι τὸ γεῶδες αὐτῶν τῆς οὐσίας, ὃ χωρὶς πικρότητος ἐπιφανοῦς ἔδεσμα ξηραντικὸν γίγνεται

περὶ Σησάμου καὶ Ἐρυσίμου.

Λιπαρόν ἐστι τὸ τῶν σησάμων σπέρμα, διὸ καὶ τάχιστα κείμενον ἐλαιηρὸν γίνεται, διὰ τοῦτο οὖν ἐμπιπλῆσι τε τοὺς ἐσθίοντας αὐτὸ ταχέως, ἀνατρέπει τε τὸν στόμαχον καὶ βραδέως πέττεται καὶ τροφὴν δίδωσι τῷ σώματι λιπαρόν. εὔδηλον οὖν ὅτι τόνον καὶ ῥώμην ἐντιθέναι τοῖς κατὰ τὴν γαστέρα μορίοις οὐ δύναται, καθάπερ οὐδὲ ἄλλο τι τῶν λιπαρῶν. ἔστι δὲ παχύχυμον, καὶ διὰ τοῦτο οὐδὲ διεξέρχεται ταχέως. ἐσθίουσι δὲ αὐτὸ μόνον μὲν οὐ πάνυ τι,

σὺν μέλιτι δὲ ἀπέφθῳ, τὰς καλουμένας ὑπὸ τῶν πολλῶν σησαμίδας ἀναπλάττοντες. ἐπιπάττουσι δὲ καὶ τοῖς ἄρτοις αὐτό. ὥσπερ δὲ ἐν κέγχροις, καὶ ἔλυμος, ὃν καὶ μελίνην ἔφαμεν ὀνομάζεσθαι, παραπλήσιον μέν πως ἐστὶν, χεῖρον δὲ πάντη, κατὰ τὸν αὐτὸν τρόπον ἐρύσιμον σησάμῳ κατὰ τὴν τοῦ σώματος οὐσίαν ὁμογενές πως ὂν, ἀηδέστερον δ' ἐστὶ βρωθῆναι, καὶ τροφὴν ἥττονα δίδωσι τῷ σώματι, καὶ πάντη χεῖρον ὑπάρχει. θερμὰ δὲ ἐστὶ ταῖς κράσεσιν ἄμφω, καὶ διὰ τοῦτο καὶ διψώδη.

περὶ μήκωνος σπέρματος.

Τῆς ἡμέρου μήκωνος σπέρμα χρήσιμον ἐστὶν ἐπιπαττόμενον ἄρτοις, ὡς ἥδυσμα, καθάπερ καὶ τὸ σήσαμα. βέλτιον δ' ἐστὶ τὸ λευκότερον σπέρμα τοῦ μελαντέρου, δύναμιν δ' ἔχει ψυκτικὴν, καὶ διὰ τοῦτο καὶ ὑπνωτικόν ἐστιν. εἰ δὲ καὶ πλέον ληφθείη, καὶ καταφορικὸν καὶ δύσπεπτον, ἔτι τε τῶν ἐκ θώρακος καὶ πνεύμονος ἀναβηττομένων ἐπισχετικόν. ὠφελεῖ μέν τοι τοὺς ἐκ κεφαλῆς καταῤῥοιζομένους λεπτῷ ῥεύματι. τροφὴν δὲ οὐκ ἀξιόλογον παρέχει τῷ σώματι.

περὶ λίνου σπέρματος, ὃ καὶ συνθέτως ὀνομάζουσι λινόσπερμον.

Χρῶνται μὲν αὐτῷ καὶ φρύγοντες ἔνιοι, καθάπερ τοῖς σκευαστοῖς ἅλσιν ὡς ὄψῳ μετὰ γάρου. χρῶνται δὲ καὶ μέλιτι φυρῶντες. ἐπιπάττουσι δὲ ἔνιοι καὶ τοῖς ἄρτοις αὐτό, κακοστόμαχον δὲ καὶ δύσπεπτον ὑπάρχον, καὶ τροφὴν ὀλίγην τῷ σώματι παρέχον. εἰς δὲ διαχώρησιν γαστρὸς, οὔτ' ἂν ἐπαινέσαις, οὔτ' ἂν ψέξοις αὐτό, μετέχει γε μὴν βραχύ τι καὶ τῆς οὐρητικῆς δυνάμεως, ὃ μᾶλλον γίνεται φανερὸν, ἐπειδὰν φρυγὲν ἐσθίηται. τηνικαῦτα δ' ἵστησι πως μᾶλλον τὴν γαστέρα. χρῶνται δ' οἱ κατὰ τοὺς ἀγροὺς ἄνθρωποι πολλάκις αὐτῷ, μετὰ τὸ φρύξαι καὶ λειῶσαι, μέλι μιγνύντες.

περὶ ὁρμίνου.

Καὶ τούτῳ χρῶνται φρύγοντες, εἶτα λειοῦντες ὡς ἄλευρον γενέσθαι, μιγνύουσι δ' αὐτῷ καὶ μέλιτος. ὀλίγον δ' ἔχει τὸ τρόφιμον ἐν ἑαυτῷ, μεταξὺ τὴν φύσιν ὑπάρχον ἐρυσίμου τε καὶ κυμίνου.

περὶ καννάβεως σπέρματος.

Οὐχ ὥσπερ αὐτὸ τὸ φυτὸν τῆς καννάβεως ἔοικέ πως τῷ ἄγνῳ, καὶ τὸ σπέρμα τῷ σπέρματι, παραπλήσιόν πως ἐστὶ τὴν δύναμιν, ἀλλ' ἀποκεχώρηκε πάμπολυ, δύσπεπτόν τε καὶ κακοστόμαχον ὂν καὶ κεφαλγὲς καὶ κακόχυμον. ὅμως δ' οὖν καὶ τοῦτο τινὲς ἐσθίουσιν φρύττοντες ἅμα τοῖς ἄλλοις τραγήμασιν. ὀνομάζω δηλονότι τραγήματα τὰ περὶ τὸ δεῖπνον ἐσθιόμενα, τῆς ἐπὶ τὸ πίνειν ἡδονῆς ἕνεκα. θερμαίνει δ' ἱκανῶς, καὶ διὰ τοῦτο καὶ κεφαλῆς ἅπτεται βραχεῖ πλεῖον ληφθὲν, ἀτμὸν ἀναπέμπον ἐπ' αὐτὴν θερμόν τε ἅμα καὶ φαρμακώδη.

περὶ ἄγνου σπέρματος.

Καὶ καθ' αὑτὸ τοῦτο φρυγόμενον ἐσθίεται, πεπιστευμένον ἐπέχειν τὰς ἐπὶ ἀφροδισίοις ὁρμὰς γινομένας. τροφὴν δ' ὀλίγην δίδωσι τῷ σώματι, καὶ ταύτην ξηραίνουσαν μὲν καὶ ψύχουσαν, ἄφυσον δ' ἱκανῶς, καὶ κατὰ πάντ' οὖν ταῦτα τοῖς ἁγνεύειν ἀφροδισίων βουλομένοις ἐπιτήδειον ἐστὶ, διὸ καὶ τοὔνομα τῷ φυτῷ τεθεῖσθαι τοῦτό φασιν, κεφαλῆς δ' οὐχ ἅπτεται καθάπερ ἡ κάνναβις.

περὶ ἀφάκης καὶ βικίου.

Τὸ σχῆμα τῶν σπερμάτων τούτων οὐ στρογγύλον ἐστὶν, ὥσπερ τὸ τῶν κυάμων, ἀλλ' ὑπόπλατυ μᾶλλον ὁμοίως τοῖς φακοῖς. ἀποτίθενται δὲ οἱ γεωργοὶ καὶ ταῦτα σὺν αὐτοῖς τοῖς λοβοῖς, ἅμα τοῖς φυτοῖς ὅλοις, ἕνεκα τῆς τῶν ἀλόγων θρεμμάτων τροφῆς. ἐν λιμῷ γε μὴν οἶδα καὶ τούτων ἐνίους φαγόντας, καὶ μάλιστα τοῦ ἦρος, ἔτι χλωρῶν ὄντων, ὥσπερ ἐρέβινθόν τε καὶ κύαμον ἐσθίουσιν συνήθως. ἔστι δ' οὐκ ἀηδῆ μόνον, ἀλλὰ καὶ δύσπεπτα, καὶ σταλτικὰ γαστρὸς, εὔδηλον οὖν ὅτι τὰ τοιαῦτα τὴν φύσιν ὄντα, τὴν ἀναδιδομένην τροφὴν ἐξ ἑαυτῶν οὔτ' εὔχυμον ἔχει, καὶ παχεῖαν εἰς αἵματος μελαγχολικοῦ γένεσιν ἐπιτήδειον, ὥσπερ καὶ πρόσθεν εἴρηται περὶ τῆς φακῆς. ἀλλ' ἐκείνῃ μὲν πολλὰ ἀγαθὰ πάρεστι. τούτοις δὲ οὐδὲν τῶν ἐκείνοις ἀγαθῶν ὑπάρχει. τό γε μὴν ὄνομα τοῦ βικίου παρ' ἡμῖν μὲν συνῆθές ἐστι καὶ μόνως γε
† al. ἄρακος οὕτως ὀνομάζεται. παρὰ δὲ τοῖς ἀττικοῖς, † σάρακος ἢ κύαμος ἐκαλεῖτο.

περὶ τῶν ἐν ἑκάστῳ γένει σπερμάτων ἐμφερομένων ἑτερογενῶν τε καὶ μικτῶν.

Ἐν μὲν τοῖς πυροῖς αἶραι πολλάκις εὑρίσκονται πολλαὶ, κατὰ δὲ τὰς κριθὰς γίνονται μὲν ἀλλ' ὀλίγαι, πολὺ δὲ ὁ καλούμενος αἰγίλωψ ἐν αὐταῖς, ὅταν δυστυχήσωσι κατὰ τὴν πρώτην αὔξησιν ἢ γένεσιν. ὁ δ' ἐμὸς πατὴρ ἐν παρακμῇ τῆς ἡλικίας φιλογεωργὸς γενόμενος, ἔσπειρέ ποτε καὶ πυροὺς καὶ κριθὰς, ἀκριβῶς ἐκλέξας αὐτῶν ἅπαν ὅσον ἑτερογενὲς ἐμέμικτο σπέρμα χάριν τοῦ γνῶναι σαφῶς εἰ κατὰ μεταβολὴν αὐτῶν ἡ γένεσις ταῖς αἴραις τε καὶ ταῖς αἰγίλωψι, ἢ φύσιν ἰδίαν ἔχει καὶ ταῦτα τὰ σπέρματα. γεννηθέντων δ' ἅμα τοῖς καθαροῖς σπέρμασιν, αἰρῶν μὲν πολλῶν κατὰ τύχην ἐν τοῖς πυροῖς, ὀλίγων δ' ἐν ταῖς κριθαῖς, ἀλλ' αἰγίλωπος δαψιλοῦς ἐπεχείρει καὶ τῇ τῶν ἄλλων σπερμάτων βασάνῳ τὸν αὐτὸν τρόπον. εὗρεν οὖν καὶ τοῖς φακοῖς ἐκ μεταβολῆς αὐτῶν γενομένους ἀράκους τε τοὺς σκληρούς τε καὶ στρογγύλους καὶ πελεκίνους, ἄβρωτα σπέρματα, τὴν δὲ ἀπαρίνην οὐ μόνον ἄβρωτον, ἀλλὰ καὶ τῷ φύεσθαι περιπλεκομένην τοῖς φυτοῖς τῶν φακῶν ἄγχουσάν τε καὶ πνίγουσαν αὐτὰ καὶ κατασπῶσαν, ὥσπερ ἡ ὀροβάγχη τοὺς ὀρόβους. ταῦτα μὲν οὖν μοχθηρὰ πάνυ σπέρματα. τὸ μελάμπυρον δὲ καλούμενον ἐκ μεταβολῆς μὲν καὶ αὐτὸ γεννᾶται τῶν πυρῶν, ἀλλ' ἀπολείπεται πάμπολυ τῆς ἐν ταῖς αἴραις κακίας. εὗρε δὲ καὶ κατὰ ἄλλα σπέρματα τοιαύτας τινὰς μεταβολὰς γινομένας, ὅθεν ἐκέλευσεν τοὺς χρωμένους αὐτοῖς ἐκλέγειν ἅπαν τὸ μοχθηρὸν, ὅταν εἰς χρῆσιν ὑγιεινὴν ἄγηται τὰ σπέρματα, καὶ μὴ καταφρονεῖν, ὥσπερ οἱ τοῖς δήμοις ὑπηρετούμενοι σιτοποιοί. μοχθηρᾶς μὲν τοί ποτε γενομένης ἀγωγῆς ἔτους, αἶραι πάμπολλαι κατὰ τοὺς πυροὺς ἐγεννήθησαν, ἃς οὐκ ἀκριβῶς οὔτε τῶν γεωργῶν ἐκκαθαράντων τοῖς εἰς ταῦτα ἐπιτηδείοις κοσκίνοις, ὀλίγον γὰρ ὁ σύμπας ἐγεωργεῖτο πυρὸς, οὔτε τῶν σιτοποιῶν διὰ τὴν αἰτίαν, ἐν μὲν τῷ παραχρῆμα κεφαλαλγεῖς ἐγένοντο πολλοὶ, τοῦ θέρους δ' ἐμβάλλοντος ἕλκη κατὰ τὸ δέρμα τῶν φαγόντων οὐκ ὀλίγοις, ἤ τι σύμπτωμα ἕτερον ἐγεγόνει κακοχυμίας ἐνδεικτικόν. οὐκ οὖν ἀμελεῖν προσήκει τοῦ καθαρὰ ποιεῖν τὰ πρὸς ἐδωδὴν παρασκευαζόμενα σπέρματα, γινώσκοντας εἰ καὶ τῆς καθ' ἑκάστην ἡμέραν βλάβης οὐκ αἰσθανόμεθα διὰ βραχύτητα, τό γ' οὖν ἀθροιζόμενον ἐξ αὐτῆς χρόνῳ πλείονι φανερὸν γενήσεταί ποτε-

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΡΟΦΩΝ

ΔΥΝΑΜΕΩΣ ΒΙΒΛΙΟΝ β'.

Ἐπειδὴ τρεφόμεθα μὲν ἀπό τε φυτῶν καὶ ζώων, ἤρξαντο δὲ ἀπὸ τῶν δημητρίων ὀνομαζομένων σπερμάτων, οἱ πρὸ ἐμοῦ πάντες ἐν τῷ περὶ τῶν ἐδεσμάτων, διότι χρησιμώτατον ἐν αὐτοῖς ἦν τὸ τῶν ἄρτων ἔδεσμα, διὰ τοῦτο κἀγὼ περί τε πυρῶν καὶ κριθῶν καὶ τιφῶν ὀλύρων τε, καὶ πρὸς τούτοις τῶν ὀνομαζομένων ὀσπρίων καὶ χεδροπῶν ἐν τῷ πρώτῳ λόγῳ διελθὼν ἐσκοπούμην. εἶτ' ἤδη τὰς ἄλλας ἐν τῷδε τῷ λόγῳ μεταβῆναι προσήκει τροφάς, ὅσας ἀπὸ φυτῶν ἔχομεν. εἶτα πρὸς τὰς ἀπὸ τῶν ζώων, ὅσαι χρησιμώτεραι τοῖς ἀνθρώποις εἰσίν, καὶ γὰρ καὶ τοῦτο λόγον ἔχειν ἐδόκει. καί τινες οὐ διὰ πάντων τῶν ὁμογενῶν διεξελθόντες, οὐδὲ τὰς ἀπὸ τῶν φυτῶν ἁπάσας, ἐφεξῆς τοῖς δημητρίοις σπέρμασι διδάξαντες, ὑπὲρ ἐκείνων ἀεὶ πρότερον ἐποιήσαντο τὸν λόγον, ὅσα χρησιμώτερα τοῖς ἀνθρώποις ἐστί, φαίνεται γοῦν τά τε χοίρεια κρέα, καὶ τὰ τῶν ἐρίφων τε καὶ αἰγῶν καὶ μόσχων καὶ βοῶν καὶ προβάτων, οὐδὲν δ' ἧττον αὐτῶν ὅσα θηρεύουσιν ἐν τοῖς ὄρεσιν οἱ κυνηγέται, πολλὴν χρείαν τοῖς ἀνθρώποις παρεχόμενα, καθάπερ γε καὶ τῶν πτηνῶν πολλά, καὶ τῶν ἐνύδρων. εἶτ' ἐννοήσας ἕκαστον γένος ἐνὶ βιβλίῳ περιληφθῆναι ἀδύνατον ὄν, οὐ μέγα τὸ διάφορον ὑπέλαβον, τῶν ὑπολειπομένων ἐδεσμάτων ἤδη τοῖς προειρημένοις, ἐν μὲν δευτέρῳ γράμματι τὰς ὑπὸ τῶν φυτῶν τροφὰς διελθεῖν, ἐν δὲ τῷ τρίτῳ τὰς ὑπὸ τῶν ζώων. ἐξέσται γὰρ τῷ βουλομένῳ, προχειριζόμενον τὸ βιβλίον, ἐν ᾧ γέγραπται τῶν τροφῶν αἱ δυνάμεις, αἷς μάλιστα χρῆσθαι βούλεται, ποτὲ μὲν ἤδη τὸ πρῶτον ἔρχεσθαι, ποτὲ δὲ ἤδη τὸ δεύτερον ἢ τρίτον. ὅπως οὖν ὁ περὶ τῶν φυτῶν λόγος ἅπας ἐν τοῖς δύο πρώτοις ᾖ τετελεσμένος, ἤδη τὰ κατάλοιπα τῶν προειρημένων ἀφίξομαι τὴν ἀρχὴν τῶν λόγων τὴν δὲ θέμενος. τὰ μὲν ἐν τῷ α' λόγῳ σιτία σπέρματα φυτῶν ἦν ἅπαντα. νυνὶ δὲ ἀπὸ καρπῶν ἄρξομαι, διορίσας πρότερον αὐτῶν τὰ σπέρματα, καὶ μάλιστα ὅτι πολλοῖς ἔδοξε διαφέρειν οὐδέν, ἢ καρπὸν εἰπεῖν, ἢ σπέρμα. τὰ μὲν οὖν ἤδη λελεγμένα σπέρματα βραχύ τι καρπῶν διαφέρει. τῶν δὲ νῦν εἰρησομένων οὐκ ὀλίγον ἀφέστηκε. καρπὸς μὲν γάρ ἐστι συκῆς τὰ σῦκα, ἡ δ' ἐν αὐτῷ κεγχραμὶς σπέρμα συκῆς. ὥσπερ καὶ τῆς ῥαγὸς ὅλης οὔσης ἀμπέλου καρπός, μόνον ἐστὶ τὸ γίγαρτον, ἀμπέλου σπέρμα, κατὰ τὰ αὐτὰ δὲ ἀπίου καὶ μηλέας ὁ μὲν καρπὸς ἄπιόν τε καὶ μῆλον ἐστί, τὸ δὲ σπέρμα, τρεῖς ἢ τέτταρες ἐν μέσοις αὐτῶν κόκκοι. τί δεῖ λέγειν ἔτι κολοκυνθῶν τε καὶ σικύων, ὅσοι γε πέπονες αὐτῶν εἰσί, καὶ ὅσοι μή, καὶ ὅσοι μηλοπέπονες, τῶν τ' ἄλλων ἁπάντων ὅσα τοιαῦτα. πάμπολυ γὰρ ὁ σύμπας καρπὸς τοῦ σπέρματος διαφέρει. κυάμου δὲ καὶ θέρμου καὶ δολιχοῦ καὶ φακῆς, ὅσα τ' ἄλλα τῶν σπερμάτων ἀμφίεσμα λοβὸν ἔχει, τὸ μὲν ἐξ ἀμφοῖν συγκείμενα καρπός ἐστιν, ἡ πλείστη δὲ μοῖρα τῆς οὐσίας ἐν τοῖς σπέρμασιν. ἐσθίεται δὲ τῶν μὲν ἄλλων σχεδὸν ἁπάντων ὅσα διῆλθον ἐν τῷ α' λόγῳ, μόνον τὸ σπέρμα. δολίχων δὲ μόνον ὁ καρπὸς ὅλος, ἕως ἂν ὦσιν οἱ καρποὶ χλωροὶ ἔτι. ξηρανθέντων γὰρ ἄχρηστοι τοῖς ἀνθρώποις, οἱ περιέχοντες τὰ σπέρματα γίγνονται λοβοί, κυάμων δ' οὐκ ἔστιν χλωρῶν ὁ λοβὸς ἐδώδιμος, ὥσπερ οὐδὲ τῶν ἐρεβίνθων, οὐδὲ τῶν ἄλλων, ὅσα καλεῖν εἴωθεν ἔλλοβα ὁ Θεόφραστος. εἰκότως οὖν ἔφην ὀνομάζεσθαι ὑπὸ πολλῶν λοβούς, οὓς ἔνιοι φασήλους καλοῦσιν, ἐπειδὴ μόνων αὐτῶν ὁ λοβὸς ἐδώδιμός ἐστιν. ἀλλὰ περὶ μὲν τῆς τούτων δυνάμεως εἴρηται πρόσθεν. ὥσπερ γε καὶ ὅτι τὸ τῶν δολίχων ὄνομα ἐπὶ τούτων ἡγοῦμαι φέρειν ἐνίους τῶν παλαιῶν. οἱ δὲ καρποὶ τῶν φυτῶν ἀπό τε τῶν δένδρων εἰσὶ καὶ τῶν κηπευομένων λαχάνων, ἐν οἷς καταλέγουσιν ἔνιοι τῶν ἰατρῶν τούς τε πέπονας, καὶ τοὺς μηλοπέπονας, καὶ τὰς κολοκύνθας, ἀφ' ὧν καὶ πρῶτον ἄρξομαι τῆς ἐν τῷδε τῷ γράμματι διδασκαλίας.

Περὶ τῶν ὡραίων ὀνομαζομένων καρπῶν.

Ὥραν ἔτους ὀνομάζουσιν οἱ Ἕλληνες ἐκεῖνον τὸν καιρόν, ἐν ᾧ μετὰ τὴν τοῦ κυνὸς ἐπιτολὴν γίγνεσθαι συμβαίνει. χρόνος δ' ἐστὶν οὗτος ἡμερῶν τεσσαράκοντα. κατὰ τοῦτον οὖν τὸν χρόνον ἅπαντές εἰσιν οἱ ὡραῖοι καλούμενοι καρποί, τινὲς μὲν ἤδη παρακμάζοντες, ἔνιοι δὲ ἀρχόμενοι, τινὲς δὲ ἀκμάζοντες, ἢ μετὰ τὴν ἀκμήν, ἢ πρὸ αὐτῆς. ὡραίους δὲ αὐτοὺς ὀνομάζουσιν οὐχ ὅτι μόνον κατὰ τὸν εἰρημένον γίγνονται χρόνον, ἀλλ' ὡς οἶμαι διορίζειν βουλόμενοι τῶν εἰς ἀπόθεσιν ἐπιτηδείων. ἐπεί τοι καὶ πυροὶ καὶ κριθαὶ καὶ πάνθ' ὅσα κατὰ τὸ πρῶτον γράμμα διῆλθον, ἐπέτειόν τε καὶ θερινὴν ἔχει τὴν γένεσιν, ἀλλ' οὐ διαφθείρεται ταχέως, ὥσπερ αἱ κολόκυνθαι, καὶ τὰ συκάμινα, πέπονές τε καὶ μηλοπέπονες, καὶ περσικά, καὶ ἄλλα ὅσα τοιαῦτα. καὶ γὰρ εἰ σκελλοῦντες αὐτά τινες ἀποτίθενται, φυλάττοντες εἰς τὸν χειμῶνα, καταβάλλει καὶ οὕτως τὴν ἀρχαίαν φύσιν ἅπαν πρὸς τὸ ἐναντίον. ἔνιοι γοῦν τῶν κολοκυνθῶν κενοῦντες τὸ σπέρμα, κἄπειτα τὴν οἷον σάρκα ξηραίνοντες ἀποτίθενται μὲν εἰς τὸν χειμῶνα, χρῶνται δὲ ἐν αὐτῷ πάντες μᾶλλον, ἤ τινι τῶν ἐδωδίμων. οὐ μὴν ἐπί τε πυρῶν καὶ κριθῶν, ὅσα τ' ἄλλα δημήτρια σπέρματα, πρὸς τοὐναντίον ἡ φύσις ἐν ταῖς ἀποθέσεσιν ἐξίσταται. μένει γὰρ ἅπαντα τοιαῦτα ταῖς οὐσίαις, ὁποῖα κατὰ τὸ θέρος εὐθὺς ἐξ ἀρχῆς ἦν τελειωθέντα. πρόδηλον τε ὅτι τὰ μὲν ξηρὰν ἔχοντα τὴν πῆξιν τοῦ σώματος, ὥσπερ μόνιμον ἔχει τὴν ἕξιν, οὕτω καὶ στερεάν, καὶ γεώδη, καὶ διὰ τοῦτο τρόφιμον. ὅσα δ' ὑγρὰ ταῖς συστάσεσιν ἐστί, διαφθείρεταί τε καὶ τροφὴν ὀλίγην τε καὶ ῥαδίως ἐκκενουμένην ἐκ τοῦ σώματος ἔχει. διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ κατὰ τὴν γαστέρα διαχωρεῖται τὰ τοιαῦτα μᾶλλον τῶν στερεῶν, καὶ μάλισθ' ὅταν ἔχῃ νιτρῶδές τι καὶ ῥυπτικόν, ὥσπερ ὑποδείξομεν ἔνιοι ὡραίων, ἀξιόλογον ἔχοντα τὴν τοιαύτην δύναμιν, ἃ καὶ κακοχυμότερα λέγομεν εἶναι τῶν οὐδεμίαν ἐχόντων αἰσθητὴν ποιότητα χυμοῦ καθάπερ οὐδὲ τὸ κάλλιστον ὕδωρ ἔχει, πάντ' οὖν τὰ τοιαῦτα καὶ πολὺ μᾶλλον ὅσα πρὶν ἀκριβῶς πεπανθῆναι προσφερόμεθα, φυσώδη μέν ἐστιν, ὑποχωρεῖ δὲ θᾶττον, ὥσπερ καὶ ἀναδίδοται θᾶττον ὅσα χυμὸν ἔχει λεπτόν, ἐστὶ δὲ

καὶ κακοχύμων ταῦτα πάντα, καὶ μόνως ἄν τις αὐτὰ εἰς ὠφέλειαν χρήσαιτο τεταλαιπωρημένος ὁδοιπορίᾳ μακροτέρᾳ καὶ πνίγει σφοδρῷ. τηνικαῦτα γὰρ ὀνίνησιν, τέγγοντα μὲν τὸν αὐχμὸν τοῦ σώματος, ψύχοντα δὲ μετρίως, ἥν γε τις αὐτὰ ψυχρὰ λαμβάνῃ. τὸ μὲν οὖν ὑγραίνειν διὰ παντὸς ἔχει, τὸ δ' ἐμψύχειν οὐχ ἕξει προσενεχθέντα θερμὰ τοῖς ὥσπερ εἴρηται διακειμένοις. οὐ γὰρ εἰς τοσοῦτον ψυχρὰ ταῖς οἰκείαις κράσεσιν ἐστὶν, ὥστε κἂν θερμὰ προσενεχθῇ, ψύχειν τὴν γαστέρα. δεῖται τοίνυν ἐπικτήτου ψύξεως ἐναντιουμένης τῇ θερμότητι τῶν περὶ γαστέρα τε καὶ τὸ ἧπαρ μορίων, οἷς πρώτοις ὁμιλεῖ. τούτων οὖν προεγνωσμένων κοινῇ, περὶ πάντων τῶν τοιούτων ἐδεσμάτων, ἐπὶ τὰς ἰδίας ἑκάστου δυνάμεις ἤδη μεταβῶμεν.

περὶ κολοκύνθης.

Ὠμὴ μὲν ἀηδής ἐστι καὶ κακοστόμαχος καὶ ἄπεπτος ἐσχάτως. ὥστε καὶ εἰ βιάσαιτό τις αὐτὴν ἀπορῶν ἑτέρου σιτίου προσενέγκασθαι κολοκύνθην, ὥσπερ ἤδη τις ἐτόλμησεν, βάρους ἐγκειμένου ψυχροῦ περὶ τὴν κοιλίαν αἰσθήσεται. τόν τε στόμαχον ἀνατραπήσεται, καὶ πρὸς ἔμετον ὁρμήσει, τὸν μόνον αὐτὸν ἐλευθερῶσαι δυνάμενον τῶν κατεχόντων συμπτωμάτων. καὶ ταύτην γ' οὖν καὶ ἄλλα πολλὰ τῶν ὡραίων ἅπαντες ἄνθρωποι μετὰ τὴν ἕψησιν ἤτοι γ' εὐθέως, ἢ τηγανίσαντες, ἢ ὀπτήσαντες, εἰώθασι προσφέρεσθαι. καὶ σοι οὗτος ἐν τῇ μνήμῃ φυλαττέσθω ὁ λόγος κοινὸς, ἐπὶ πᾶσι τοῖς δεομένοις ἀλλοιώσεως τυχεῖν τῆς διὰ πυρός. ἡ δὲ κολοκύνθη περὶ ἧς ὁ λόγος ἦν ἑψηθεῖσα σαφῆ ποιότητα χυμῶν οὐδεμίαν ἔχει. πλὴν εἴ τις λέγει τινὰ καὶ τοῦτον εἶναι χυμὸν, ὃς οὔτε δριμὺς οὔτε ἁλυκός ἐστι χυμὸς, οὔτε στρυφνὸς, οὔτε πικρὸς, οὔτ' ἄλλο τοιοῦτον σαφῶς ἐμφαίνων οὐδὲν, ὥσπερ οὐδὲ τὸ ὕδωρ. ἀλλὰ τά γε τοιαῦτα καλεῖν εἰσὶν εἰθισμένοι κοινῇ πάντες ἄποια, καὶ ἡμῖν οὕτως καλείσθω σαφοῦς ἕνεκα διδασκαλίας. τοιαύτη γ' οὖν οὖσα καὶ ἡ κολοκύνθη, πολλοὺς εἰκότως ὑποδέχεται τρόπους σκευασίας, ὡς ἂν ἐν τῷ μέσῳ καθεστῶσα πασῶν τῶν ὑπερβολῶν, καὶ διὰ τοῦτο ὁμοτίμως τε καὶ ἐξ ἴσου πρὸς αὐτὰς ἄγεσθαι δυναμένη. τῶν γὰρ ἐχόντων ἥντιν' οὖν ὑπερβολὴν σύμφυτον, οὐδὲν εἰς τὴν ἐναντίαν αὐτῇ ῥᾳδίως ἄγεται κατασκευασίαν. αὕτη μὲν οὖν ὅσον ἐφ' ἑαυτῇ τροφὴν τῷ σώματι δίδωσιν ὑγρὰν καὶ ψυχρὰν, καὶ διὰ τοῦτο καὶ βραχεῖαν, ὡς ὀλίγον ἔμπροσθεν εἴρηται περὶ πάντων, ὅσα τοὺς χυμοὺς ὑδατώδεις τε καὶ λεπτοὺς ἔχει. ῥᾳδίως δὲ ὑπέρχεται κατὰ τὴν γαστέρα, τῷ τ' ὀλισθηρῷ τῆς οὐσίας, καὶ τῷ κοινῷ λόγῳ πάντων τῶν ὑγρῶν σιτίων, ὅσα δηλονότι χωρὶς στύψεώς ἐστι τοιαῦτα. πέττεται δὲ οὐ κακῶς, ὅταν γε μὴ φθάσῃ διαφθαρῆναι. πάσχει δὲ τοῦτο διά τε μοχθηρὰν σκευασίαν, κἀπειδὰν ἐν τῇ γαστρὶ μοχθηρὸς ἠθροισμένος ᾖ χυμός, ἔσθ' ὅτε δὲ καὶ διὰ τὸ βραδῦναι κατ' αὐτὴν, ὅπερ κἂν τοῖς ἄλλοις ὡραίοις ἐδέσμασιν ἅπασιν, ὅσα ταῖς κράσεσιν ὑγρὰ, συμβαίνειν φιλεῖ. διαφθείρεται γὰρ ἐν τῇ γαστρὶ μὴ φθάσαντα ταχέως ὑπελθεῖν. ὥσπερ οὖν ὅσον ἐφ' ἑαυτῇ τὸν εἰς τροφὴν ἀναδιδόμενον ὅλῳ τῷ σώματι χυμὸν, ἄποιον ἔχει πρὸς αἴσθησιν ἡ κολοκύνθη, κατὰ τὸν αὐτὸν τρόπον, ἐπειδὰν μιχθείη τινὶ τῶν ἰσχυρὰν ἐχόντων δύναμιν, ὁμοιοῦται ῥᾳδίως αὐτῷ. μετὰ νάπυος μὲν εἰ ληφθείη, δριμέα ἐργαζομένη τὸν ἐξ ἀμφοῖν ἀναδιδόμενον χυμὸν ἅμα σαφεῖ θερμότητι, κατὰ δὲ τὸν αὐτὸν λόγον εἰ [illegible] μετά τινος ἁλυκοῦ προσενεχθείη, καθάπερ ἐν λοπάδι μετὰ ταρίχου αὐτὴν ἔνιοι σκευάζουσι, ἁλυκὸν ἐν τῷ σώματι γεννήσει χυμόν. ἥδιστον δ' ἐστὶν ἔδεσμα τὸ οὕτως σκευασθὲν, εἰ τὸ τάριχον εἴη τῶν ποντικῶν ἐκείνων, ἃ καλοῦσι μύλλους. ἅμα δὲ μήλοις κυδωνίοις ἑψηθεῖσα, καὶ προσηκόντως ἀρτυθεῖσα τὸν αὐστηρὸν ἕξει χυμὸν ἐπικρατοῦντα κατὰ τὴν ἀνάδοσιν. ἡ δ' ὀπτηθεῖσα καὶ τηγανισθεῖσα, τῆς μὲν οἰκείας ὑγρότητος ἀποτίθεται πάμπολυ, τὸ δ' ὑπόλοιπον αὐτῆς οὐδεμίαν ἰσχυρὰν ἐπικτᾶται δύναμιν, ὥσπερ οὐδ' ὅταν ἐν ἁπλῷ ζωμῷ σκευασθῇ, χαίρει δ' εἰκότως ὀριγάνῳ διὰ τὴν ὑδατώδη ποιότητα σύμφυτον ὑπάρχουσαν αὐτῇ. πάντα γὰρ ὅσα τοιαῦτα, δριμέσιν ἢ ὀξέσιν ἢ αὐστηροῖς ἢ ἁλυκοῖς ἀναμίγνυσθαι δεῖται χυμοῖς, εἰ μέλλει μήτ' ἀηδῶς ληφθήσεσθαι, μήτε ναυτιώδεις ἐργάζεσθαι τοὺς λαμβάνοντας.

περὶ πεπόνων.

4. Ἡ μὲν ὅλη φύσις αὐτῶν ἐστὶ ψυχροτέρα σὺν ὑγρότητι δαψιλεῖ. ῥυπτικὸν δὲ ἔχουσί τι, διὸ καὶ κινοῦσιν οὖρα, καὶ διεξέρχεται κάτω τῶν τε κολοκυνθῶν καὶ μηλοπεπόνων μᾶλλον. ὅτι δὲ ῥύπτουσιν ἔνεστι σοὶ μαθεῖν ἀνατρίψαντι ῥυπαρὸν χρῶτα. διὸ κἂν ἔφηλίν τις ἔχῃ, κἂν φακοὺς ἐν τῷ προσώπῳ, κἂν ἀλφοὺς ἐπιπολῆς, ἀπορρύπτουσι καὶ τούτους. τῆς δ' οἷον σαρκὸς αὐτῶν τὸ σπέρμα ῥύπτει μᾶλλον, ὥστε καὶ πρὸς τοὺς λιθιῶντας ἁρμόττειν νεφρούς, μοχθηρὸν δ' ἐργάζεται χυμὸν ἐν τῷ σώματι, καὶ μᾶλλον ὅταν μὴ καλῶς πεφθῇ. τηνικαῦτα δὲ καὶ χολερικοὺς ἀποτελεῖν εἴωθεν. καὶ γὰρ καὶ πρὶν διαφθαρῆναι, πρὸς ἔμετον ἐπιτήδειός ἐστι, καὶ πλέον γε βρωθεὶς, ἐὰν μή τις αὐτῷ τι τῶν εὐχύμων ἐπιφάγῃ ἐδεσμάτων κινήσει πάντως ἔμετον. πρόδηλον δ' ὅτι κἀπὶ τούτου τοῦ καρποῦ τὴν προσηγορίαν οἱ ἄνθρωποι πεποίηνται, καθάπερ ἐπὶ τοῦ γραφικοῦ μέλανος. ἡ γάρ τοι πέπων φωνὴ, τὸ οἷον πέπανον ἐνδείκνυται, τουτέστι τὸ πεπεμμένον, ὅπερ ὑπάρχει καὶ τοῖς ἄλλοις ὅσα πεπαίνεται. καὶ γὰρ ὁ βότρυς δύναται λέγεσθαι πέπων ὅταν ἀκριβῶς γένηται πέπειρος. ὥσπερ γε καὶ ὁ μηδέπω τοιοῦτος οὐ πέπων ἂν ὀνομάζεται, ὠμός τε καὶ ἄωρος ὤν, αἵ τε ὀπῶραι πᾶσαι κατὰ τὸν αὐτὸν λόγον, αἵ τε ἄπιοι καὶ κολοκύνθαι καλοῦνται συνήθως πέπειροι. καθάπερ ὁ μηλοπέπων, ἐν ἑαυτῷ περιλαβὼν τὸν πέπονα ἔχει. ὅθεν ἔνιοι τῶν ἰατρῶν οὐδὲ ἁπλῶς ἠξίωσαν ὀνομάζειν τοὺς πέπονας, ἀλλ' ὅλον τοῦτο φασὶν χρῆναι λέγεσθαι σικυοπέπων. ἡμεῖς δ' ἐν τῷ παρόντι λόγῳ τῶν τοιούτων οὐ φροντίζομεν, ὡς ἂν οὐδὲν εἰς ἰατρικὴν συντελούντων. ἄμεινον γὰρ μακρῷ τὸ σαφῶς ἑρμηνεύειν ἐστὶ, τοῦ μετὰ περιεργίας τοιαύτης ἀσαφῆ τὴν διδασκαλίαν ἐργάζεσθαι. σαφηνείας δὲ μάλιστα τυχεῖν ἐστὶ, τὰ συνηθέστατα τοῖς πολλοῖς ὀνόματα ἐκλέγοντα, μετὰ τοῦ φυλάττειν αὐτοῖς τὰ σημαινόμενα.

περὶ μηλοπεπόνων.

Οἱ μηλοπέπονες ἧττόν τε τῶν πεπόνων εἰσὶν ὑγροὶ, καὶ ἧττον κακόχυμοι, καὶ ἧττον οὐρητικοὶ, καὶ ἧττον ὑπέρχονται κάτω. τὸ δ' εἰς ἔμετον ἐξορμᾶν ὁμοίως τοῖς πέποσιν οὐκ ἔχουσιν, ὥσπερ οὐδὲ τὸ διαφθείρεσθαι ταχέως ἐν τῇ

κοιλίᾳ

κοιλία παραπλησίως τοῖς πέποσιν, ὅταν ἐν αὐτῇ ἤ τις χυμὸς ἠθροισμένος μοχθηρὸς, ἢ καί τις ἄλλη διαφθορᾶς αἰτία καταλάβῃ. πολὺ δὲ ἀπολειπόμενοι τῶν εὐστομάχων ὀπωρῶν, οὐκ ἔχουσι τὸ τῶν πεπόνων κακοστόμαχον. οὐδὲ γὰρ οὐδ' εἰς ἔμετον ὁρμῶσιν ὡσαύτως ἐκείνοις. τῶν δὲ πεπόνων οὐκ ἐσθίοντες οἱ ἄνθρωποι τὸ τῆς σαρκὸς ἔνδον ἐν ᾧ τὸ σπέρμα, τὸ τῶν μηλοπεπόνων ἐσθίουσι. καὶ τοῦτ' αὐτοῖς συντελεῖ πρὸς διαχώρησιν. οἱ δὲ τὴν οἷον σάρκα μόνον ἐσθίοντες αὐτῶν, ἧττον τῶν πεπόνων διαχωροῦσιν αὐτήν.

περὶ σικύων.

Οὐρητικὸν μὲν ἔχουσιν τι καὶ αὐτοὶ καθάπερ οἱ πέπονες, ἀλλ' ἧττον ἐκείνων, διὰ καὶ τὴν οὐσίαν αὐτῶν ἧττον ὑγρὰν εἶναι. διὰ τοῦτο οὐδὲ διαφθείρονται ῥᾳδίως ἐν τῇ γαστρὶ παραπλησίως τοῖς πέποσι. πέττουσι δ' αὐτοὺς ἔνιοι, καθάπερ καὶ ἄλλα πολλὰ τῶν πολλοῖς ἀπεπτουμένων, οἰκειότητι τῆς πρὸς αὐτῶν φύσεως, ἣν ἔν τε τοῖς περὶ κράσεων ὑπομνήμασι, καὶ μάλιστ' ἔτι κατὰ τὴν περὶ τῶν φαρμάκων, δεικνῦντες ὅλαις τῶν οὐσιῶν ταῖς ἰδιότησιν οἰκείας εἶναι τροφὰς ἑκάστῳ γένει τῶν ζώων, ὄνοις μὲν καὶ ἵπποις ἄχυρον καὶ χόρτον καὶ κριθὰς, ὅσα τ' ἄλλα τοιαῦτα, λέοντι δὲ σάρκας ζώων ὠμὰς, ἀνθρώπῳ δ' ἑφθάς τε ταύτας πάσας καὶ ἄρτους ἐκ τῶν σιτηρῶν σπερμάτων κατειργασμένους ὥσπερ εἴρηται. καὶ μὴν καὶ τὸν ἐλλέβορον οἱ ὄρτυγες, ὥσπερ καὶ οἱ ψᾶρες τὸ κώνειον ἐσθίοντες, οὐδὲν βλάπτονται, καθάπερ οὐδὲ τοὺς ὀρόβους οἱ βόες. τὰς μὲν οὖν εὐπέπτους καὶ δυσπέπτους ἑκάστῳ τροφὰς, ἤτοι κατὰ τὴν ἰδιότητα τῆς οὐσίας ἢ κατά τι σύμπτωμα τῇ πείρᾳ κριτέον. ὁποῖον δέ τι λέγω τὸ κατὰ τὸ σύμπτωμα, διὰ τοῦ πρώτου βιβλίου δεδήλωται. τοῖς γὰρ ἤτοι χολώδη χυμὸν ἔχουσιν ἢ ὅλως περίττωμα μοχθηρὸν ὁτιοῦν ἀθροίζουσι πολλάκις ἐν τῇ γαστρὶ, διαφθείρεται ταχέως, ὅσα τὴν φύσιν εὔπεπτον ἔχει, καθάπερ ἐνίοις τῶν ἀνθρώπων, ὅσοι τὸ σύμφυτον θερμὸν, οὐθ' ὑγρὸν, οὔτ' εὔκρατον, ἀλλ' αὐχμώδες τε καὶ πυρῶδες ἔχουσι. καὶ γὰρ καὶ τούτοις διαφθείρεται ῥᾳδίως ἀλλοιούμενα, τὰ μάλιστα ὑπὲρ τῶν ἄλλων εὔπεπτα. καὶ γίγνεται τούτοις ἡ ἐρυγὴ κνισσώδης τοὐπίπαν. ἀλλ' ἐκείνου μέμνησο διὰ παντὸς, ὡς κἂν πέττῃ τις ὁτιοῦν τῶν δυσπέπτων τοῖς πολλοῖς, ὅ γε ἐξ αὐτοῦ χυμὸς ἀναδιδόμενος εἰς τὸ σῶμα τὴν αὐτὴν ἔχει φύσιν. οὐ γὰρ οἷόν τε τὸν ἐκ τοῦ πέπονος χυμὸν, παχὺν καὶ γεώδη γενέσθαι, κἂν κάλλιστα πεφθῇ, καθάπερ οὐδὲ τὸν ἐκ τῆς φακῆς, ἢ τῶν βοείων κρεῶν, ὑδατώδη τε καὶ ὑγρὸν, ὅνπερ καὶ λεπτὸν τῇ συστάσει καλοῦσιν. ἐν τούτῳ δ' ἐστὶν μάλιστα τὸ χρήσιμον εἰς ὑγείας τε φυλακὴν καὶ νόσων τήρησιν, ὡς ἔμπροσθέν τε δέδεικται καὶ νῦν εἰρήσεται καὶ πάλιν ἐν κεφαλαίοις βραχέσι, προϊόντος τοῦ λόγου. τοῖς οὖν τοὺς σικύους καλῶς πέττουσι, ὅταν αὐτῷ τούτῳ θαρσήσαντες ἄδην αὐτῶν ἐμφορήσωνται, χρόνῳ πολλῷ ψυχρὸν καὶ μετρίως παχὺν ἀθροίζεσθαι συμβαίνει κατὰ τὰς φλέβας χυμὸν, οὐκ εὐπετῶς ὑποδέξασθαι δυνάμενον τὴν εἰς αἷμα χρηστὸν ἀλλοίωσιν ἐν τῇ κατὰ τὰς φλέβας πέψει. πάντων δὴ διὰ τοῦτο ἀπέχεσθαι συμβουλεύω τῶν κακοχύμων ἐδεσμάτων, κἂν εὔπεπτα τισὶν ᾖ. λανθάνει γὰρ ἐν χρόνῳ πλείονι μοχθηρὸς ἐν ταῖς φλεψὶ χυμὸς ἐξ αὐτῶν ἠθροιζόμενος, ὃς ἐπειδὰν ἀφορμῆς ὀλίγης εἰς σῆψιν ἐπιλάβηται πυρετοὺς κακοήθεις ἐργάζεται.

περὶ τῶν ἀπὸ δένδρων καρπῶν.

Ἄπιοι δηλονότι καὶ μῆλα καὶ σῦκα καὶ περσικά τε καὶ ῥοιαὶ καὶ πάνθ' ὅσα τοιαῦτα καρποὶ δένδρων ὄντα, χρήσιμα τοῖς ἀνθρώποις εἰς ἐδωδήν ἐστιν, ὄντων καὶ ἄλλων καρπῶν, οὓς οὐκ ἐσθίουσι ἄνθρωποι περὶ ὧν οὐ πρόκειται λέγειν ἐν τῷ παρόντι. καθόλου δὴ σε περὶ τῶν ἐδωδίμων ἀνθρώποις καρπῶν ἐπίστασθαι χρὴ λόγῳ κοινῷ, τοὺς μὲν ὑγροὺς, καὶ λεπτὴν, καὶ ὑγρὰν ἐργάζεσθαι τὴν ἐξ αὐτῶν διδομένην τῷ σώματι τροφὴν, ᾧ πάντως ἕπεται πόριμόν τε καὶ διεξερχομένην ἅπαν τὸ σῶμα ταχέως ἐκκενουμένην τε καὶ δι' οὔρων καὶ κατὰ τὸ δέρμα τὴν τοιαύτην εἶναι. κατὰ τοῦτ' οὖν ὀλιγότροφα πάντα τὰ τοιαῦτα ἐδέσματα λέγεται προσηκόντως ὑπὸ τῶν ἰατρῶν. ἔμπαλιν δὲ τῶν στερεῶν ταῖς συστάσεσι καρπῶν, ἥ τ' εἰς τὸ σῶμα πρόσθεσις ἐν τροφῆς χρείᾳ πλείων ἐστὶν, αἵ τε διέξοδοι βραδύτεραι, καὶ μάλιστα ὅταν ἔχωσιν χυμὸν ἐν ἑαυτοῖς ἢ παχὺν ἢ γλίσχρον, ἢ στυπτικόν.

περὶ σύκων.

Τὸ μὲν κοινὸν οὐ μόνον ὀπώραις, ἁπάσαις, ἀλλὰ καὶ τοῖς ὡραίοις ὀνομαζομένοις καρποῖς, ἔχει καὶ τὰ σῦκα, φυγεῖν οὐ δυνηθέντα τὴν κακοχυμίαν οὐδ' αὐτὰ, καίτοι τῶν ἄλλων ἁπάντων ὡραίων ἧττον αὐτῆς μετέχοντα. πρόσεστι δ' αὐτοῖς ἀγαθὰ, τό, τε κατὰ γαστέρα πορίμοις εἶναι καὶ τὸ διεξέρχεσθαι ῥᾳδίως ὅλον τὸ σῶμα. καὶ γάρ τοι καὶ ῥυπτικὸν ἀξιόλογον ἔχει, κατ' ὃ καὶ ψαμμώδη πολλὰ τοῖς νεφριτικοῖς ὑπὸ ταῖς ἐδωδαῖς αὐτῶν ἐκκρίνεται. τροφὴν δὲ τῶν ἁπασῶν τῶν ὀπωρῶν ὀλίγην τῷ σώματι διδουσῶν, ἧττον ἁπασῶν τοῦτο τὰ σῦκα πέπονθεν, οὐ μὴν ἐσφιγμένην τε καὶ ἰσχυρὰν ἐργάζεται τὴν σάρκα, καθάπερ ἄρτος τε καὶ κρέας χοίρειον, ἀλλ' ὑπόσομφον, ὥσπερ κύαμος. ἐμπίπλησι γε μὴν φύσης καὶ ταῦτα τὴν γαστέρα, καὶ ἦν ἂν ἱκανῶς ταύτῃ λυπηρὰ, μὴ προσλαβόντα τὸ διαχωρεῖσθαι ταχέως, ἐπικτησάμενα δὲ τοῦτο, διὰ τάχει τῆς διεξόδου, τὴν φῦσαν ὀλιγοχρόνιον ἐργάζονται, καὶ κατὰ τοῦτο τῆς ἄλλης ὀπώρας ἧττον εἴωθεν βλάπτειν, οὐ σμικρὰ δὲ ὑπεροχὴ τῶν πεπείρων ἐστὶ πρὸς τὰ μὴ τοιαῦτα καὶ κατὰ τοὺς ἄλλους μὲν ἅπαντας ἐμφαινομένη καρποὺς, οὐ μὴν τοσοῦτον γε διαφέρουσι. τὸ γάρ τοι πέπειρον ἀκριβῶς σῦκον ἐγγὺς τοῦ μηδόλως βλάπτειν ἥκει, παραπλήσιον ἤδη ταῖς ἰσχάσιν, πολλὰ μὲν ἐχούσαις τὰ χρήσιμα, μοχθηρὸν δ' ἐστὶ τοῖς πλεονάζουσιν ἐν αὐταῖς. οὐ πάνυ γὰρ αἷμα γεννῶσι χρηστὸν, ὅθεν αὐταῖς καὶ τὸ τῶν φθειρῶν πλῆθος ἕπεται. δύναμιν δ' ἔχει λεπτυντικήν τε καὶ τμητικὴν, δι' ἣν καὶ τὴν γαστέρα πρὸς ἔκκρισιν ἐξορμῶσιν καὶ νεφροὺς ἐκκαθαίρουσιν. ἥπατι δὲ καὶ σπληνὶ φλεγμαίνουσι μὲν εἰσὶ βλαβεραὶ, καθάπερ καὶ τὰ σῦκα, διὰ κοινῷ λόγῳ τῶν γλυκέων ἁπάντων ἐδεσμάτων καὶ πομάτων, οὐ κατ' ἰδίαν τινὰ δύναμιν ἐξαίρετον. ἐμπεφραγμένοις δὲ καὶ σκιρρουμένοις αὗται μὲν καθ' ἑαυτὰς οὐδὲν οὔτ' εἰς ὄφελος οὔτ' εἰς βλάβην ἐργάζονται, μεμιγμέναι δὲ τοῖς τέμνουσι καὶ λεπτύνουσι καὶ ῥύπτουσι φαρμάκοις, οὐ σμικρὸν ὄφελος ἐστὶν, καὶ διὰ τοῦτο ταύτας διδόασι μετὰ θύμου, ἢ πεπέρεως, ἢ ζιγγιβέρεως, ἢ γλήχωνος, ἢ θύμβρας, ἢ καλαμίνθης, ἢ ὀριγάνου, ἢ

ὑσσώπου, περὶ πολλοῦ γε τῆς τροφῆς, ἔνιοι τῶν ἰατρῶν ἐπὶ τῶν εἰρημένων ἐν ἥπατι καὶ σπληνὶ διαθέσεων. ὡσαύτως δὲ κἂν μετά τινος τῶν ἄλλων, ὅσα δριμεῖαν, ἢ ὅλως λεπτυντικήν τε καὶ τμητικὴν ἔχει δύναμιν ἡ προσφορὰ γίνεται τῶν ἰσχάδων, ὠφέλιμός ἐστιν, οὐ μόνον τοῖς οὕτω πάσχουσιν, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσιν. ἀνεῳγμένας γὰρ εἶναι τὰς καθ' ἧπαρ διεξόδους τῆς τροφῆς, οὐ τοῖς κάμνουσι μόνοις, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσιν ἀσφαλέστατον. οὕτως οὖν καὶ τὰ σῦκα μετά τε τῶν λεπτυνόντων ἁλῶν σκευάζοντες καὶ ὄξους καὶ γάρου, προσφέρονται πολλοί, τῇ πείρᾳ τὸ χρήσιμον εὑρηκότες. εἰκὸς δὲ καὶ τῶν ἰατρῶν τινὸς ὑποτιθεμένου προσάγειν οὕτως, ἐνίους αὐτῶν, εἰς πολλοὺς ἐκταθῆναι τὴν γνῶσιν. ὅσοι δὲ μετά τινος τῶν παχυνόντων ἐδεσμάτων ἐσθίουσι τὰ σῦκα καὶ τὰς ἰσχάδας, οὐ σμικρὰ βλάπτονται.

περὶ σταφυλῶν.

Σῦκα καὶ σταφυλαὶ τῆς ὀπώρας ὥσπερ κεφάλαιόν εἰσι, καὶ τρέφουσι μᾶλλον ἁπάντων τῶν ὡραίων ταῦτα, καὶ ἥκιστα κακόχυμα, καὶ μάλιστα ὅταν ἀκριβῶς ᾖ πέπειρα. τοῦ μὲν οὖν τρέφειν αὐτὰ, μέγιστον σημεῖον, οἱ φυλάττοντες τὸν καρπὸν τῶν ἀμπέλων, ἐσθίοντες μὲν ἐν δύο μησὶν οἷς φυλάττουσι μόνα διαπαντὸς τὰ σῦκα μετὰ τῶν σταφυλῶν, ἤ που καὶ βραχύ τι παρεντιθέντες ἄρτου, παχυνόμενοι δὲ ἱκανῶς. οὐ μὴν ἰσχυρά γε καὶ πυκνὴ ἡ σὰρξ ἐστὶν, ἡ ἐξ αὐτῶν γινομένη, καθάπερ ἡ ἐκ τῶν κρεῶν, ἀλλὰ καὶ χαύνη καὶ πλαδαρὰ, διὸ καὶ ταχέως προστέλλεται παυσαμένης τῆς ἐδωδῆς. ἧττον δὲ τῶν σύκων αἱ σταφυλαὶ τρέφουσι, καὶ μέγιστον ἀγαθὸν αὐταῖς ὑπάρχει τὸ ταχέως ὑπέρχεσθαι. διὸ κἂν ἐπισχεθῶσι ποτὲ βλάπτουσιν ἱκανῶς, οὐκ ἐχόντων ὥσπερ τῶν πεπείρων σύκων. εἰ γὰρ καὶ μὴ διαχωροῦσιν ἀξιολόγως, πεφθέντα δ' ἐν τῇ γαστρὶ καλῶς, ἀβλαβῆ δίδωσι τροφὴν τῷ σώματι. ταῖς σταφυλαῖς δὲ οὐδέτερον ὑπάρχει τούτων, οὔτε γὰρ πέττονται καλῶς, ὅταν ἐπισχεθῶσιν, καὶ κατὰ τὴν εἰς ἧπαρ τε καὶ φλέβας ἀνάδοσιν, ὠμὸν γεννῶσι χυμὸν, οὐ ῥᾳδίως εἰς αἷμα μεταβαλλόμενον. ἡ γάρ τοι τῶν ῥαγῶν οὐσία σύνθετός ἐστιν ἔκ τε τῆς οἷον σαρκὸς αὐτῶν καὶ τῆς παρεσπαρμένης κατ' αὐτὴν ὑγρότητος, ἐξ ἧς ὁ οἶνος γίγνεται, καὶ πρὸς τούτοις ἔτι γιγάρτων τε καὶ τοῦ τ' αὐτοῦ πάντα περιέχοντος ἔξωθεν ὑμενώδους σκεπάσματος. ἀλλ' ἡ μὲν τῶν γιγάρτων οὐσία ξηρὰ καὶ στύφουσά πώς ἐστι, διεξέρχεταί τε τὰ ἔντερα πάντα κατὰ μηδὲν ἑαυτῆς αἰσθητῶς ἀλλοιουμένη, παραπλησίως ταῖς ἐν τοῖς σύκοις κεγχραμίσιν. ἀνάλογον γὰρ ἑκάτερον ἑκατέρῳ τῶν καρπῶν ἐστὶ, σπέρμα μὲν ὑπάρχον ὅλου τοῦ φυτοῦ, διεξιὸν δὲ ἀναλλοίωτόν τε καὶ ἀχύλωτον καὶ ἀμετάβλητον. ἀναλογία δ' ἐστὶ καὶ τοῖς περιέχουσιν ἑκάτερον τὸν καρπὸν σκεπάσματι, τοιαύτην χρείαν παρεχομένοις αὐτοῖς, οἵαν τοῖς ζώοις τὸ δέρμα, βραχεῖα δὲ καὶ ἡ τοῦδε μεταβολὴ γίνεται κατὰ τὴν γαστέρα, καί τινες ὡς ἄχρηστον ἀποπτύουσι μυζήσαντες αὐτὸ καὶ ἅπαν τὸ ἔνδον ἅμα τοῖς γιγάρτοις. ἔνιοι δὲ καὶ ταῦτ' ἐκπτύειν πειρῶνται. καὶ μάλιστα ὅταν αἱ ῥᾶγες ὦσι μεγάλαι. δύσκολον γὰρ ἐν ταῖς μικραῖς αὐτὸ πράττειν. εὔδηλον δὲ ὅτι μᾶλλον ἡ γαστὴρ ὑπέρχεται, μόνης τῆς σαρκὸς τῶν ῥαγῶν ἅμα τῷ χυλῷ καταποθείσης, ἄνευ τῶν γιγάρτων, καὶ τοῦ περικειμένου χιτῶνος ἔξωθεν, ἔτι δὲ μᾶλλον ὅταν αὐτὸς μόνος ὁ χυλὸς ἐκθλιβεὶς καταποθῇ, καλοῦσι δ' αὐτὸν οἱ ἄνθρωποι γλεῦκος, ἐμπιπλῶν τι φύσης τὴν κοιλίαν, εἰ μὴ διεξέλθοι ταχέως. γίγνεται μὲν οὖν τις κἀκ τούτου τροφὴ τῷ σώματι. πλείων δὲ ἐκ τῆς σαρκώδους οὐσίας, καὶ διὰ τοῦτο τινὲς μὲν σταφυλῶν τρέφουσι μᾶλλον, ἢ διαχωροῦνται, τινὲς δὲ διαχωροῦνται μᾶλλον ἢ τρέφουσιν. ὧν μὲν οὖν ὁ χυλὸς ὀλίγος ᾖ, τρέφουσι μᾶλλον, ὧν δὲ πλείων, ἧττον μὲν τρέφουσιν, ὑπέρχονται δὲ μᾶλλον. ὀνομάζουσι δὲ εὐγενεῖς τὰς τοιαύτας σταφυλὰς, ἐν αἷς αἱ ῥᾶγες ὀλίγον μὲν ἔχουσι τὴν ὑγρὰν οὐσίαν, οὐκ ὀλίγην δὲ τὴν στερεωτέραν, ἣν ὥσπερ σάρκα τῆς ῥαγὸς ἔφην εἶναι. καὶ χρῶνταί γε κατὰ τὸν τῆς ὀπώρας καιρὸν ἀποτιθέμενοι πολυειδῶς. καὶ γὰρ εἰς γλεῦκος ἐμβάλλουσιν αὐτὰς, καὶ χύτρας καινὰς πληροῦντες ἐναποτίθενται τοῖς στεμφύλοις. καλοῦσι δὲ στέμφυλα, τὰ στερεὰ λείψανα τῆς σταφυλῆς, ἐπειδὰν ἐν τοῖς ληνοῖς ἐκθλιβῇ πᾶς ὁ χυλὸς αὐτῶν. ἃ καὶ αὐτὰ συντιθέασιν ἐν πίθοις οἱ ἄνθρωποι, σφίγγοντές τε καὶ πηλοῦντες ἰσχυρῶς ὀνομάζοντές τε τρύγα αὐτὸ τοῦτο, ὅπερ ἐγὼ στέμφυλον ἐκάλεσα. τὴν δὲ τοῦ στεμφύλου προσηγορίαν ἐπιφέρουσιν αὐτῷ τῷ κλημάτων ἐκπεφυκότι ῥιζώματι τῶν ῥαγῶν. τοῦτο ἡμεῖς βότρυχον καλοῦμεν, ὅθεν ἐξήρτηνται αἱ ῥαγάδες. εἰς ταύτην οὖν τὴν τρύγα τὰς καινὰς χύτρας πλήρεις τῶν σταφυλῶν ἐντιθέασι, πώμασι στεγνοῦντες ἀκριβῶς, ὡς μηδαμόθι παραπνεῖσθαι, καὶ καθὸ συμβάλλει γε τὸ πῶμα τῇ χύτρᾳ, πίτταν ἐπαναλείφουσιν, ἁπάσας τὰς διαπνοὰς ἐμφράττοντες. εἶναι δὲ χρὴ καὶ τὴν χύτραν αὐτὴν ἐξ εὐώδους τε πηλοῦ καὶ τελέως ὠπτημένου. τονωτικὴ μὲν οὖν ἐκλύτου γαστρὸς ἡ τοιαύτη σταφυλὴ, καὶ τοὺς ἀνορέκτους ἐπεγείρει πρὸς ἐδωδὴν σιτίων, οὐ μὴν ὑπέρχεταί γε κατὰ γαστέρα, καὶ εἰ πλείων βρωθείη, κεφαλῆς ἅπτεται. ταύτης δ' ἔτι μᾶλλον ἐστὶ κεφαλαλγὴς ἣν ἀποτίθενται κατὰ τοῦ γλεύκους. ἡ μέντοι κρεμασθεῖσα κεφαλὴν οὐδόλως βλάπτει, γαστέρα δὲ οὔτ' ἐπέχειν οὔτ' ἐπιτρέπειν εἰς διαχώρησιν πέφυκεν. ὡσαύτως δ' ἔχει καὶ πρὸς τὴν ὄρεξιν, οὔτ' ἐπεγείρουσα τὴν ἄρρωστον, οὔτ' ἐκλύουσα τὴν εὔρωστον. εὐπεπτοτέρα δ' ἐστὶ τῶν ἄλλων σταφυλῶν, ἣν ἂν ἐν γλεύκει καὶ στεμφύλοις ἔφην ἀποτίθεσθαι τοὺς ἀνθρώπους, ὅλον τὸν ἑξῆς ἐνιαυτὸν, ἄχρι τοῦ δευτέρου τρυγητοῦ. αἱ κρεμασθεῖσαι δ' αὐτῶν ὅταν ξηρανθῶσιν ἄχρηστοι γίνονται, τινὲς μὲν κατὰ τὸ ἔαρ εὐθέως, ἐν γοῦν τῷ θέρει πάντως. οὐ σμικρὰ δὲ διαφορὰ τῶν σταφυλῶν ἐστὶ, καὶ κατὰ τὸ γλυκείας, ἢ ὀξείας, ἢ αὐστηρὰς εἶναι, ἢ μηδεμίαν ἐχούσας σφοδρὰν ποιότητα, καλοῦσι δ' αὐτὰς οἰνώδεις. αἱ μὲν οὖν γλυκεῖαι, θερμότερον ἔχουσι τὸν χυλὸν, διὸ καὶ διψώδεις εἰσὶν, αἱ δ' αὐστηραὶ καὶ ὀξεῖαι ψυχρότερον. αἱ δ' οἰνώδεις ἐν τῷ μέσῳ θερμοῦ καὶ ψυχροῦ. γαστέρα δ' ὑπάγουσιν αἱ γλυκεῖαι καὶ μάλιστα ὅταν εἰσὶν ὑγραὶ, μοχθηραὶ δ' οὐκ εἰς ταὐτὸ μόνον, ἀλλὰ καὶ πρὸς τὴν ἐν γαστρὶ πέψιν ἀνάδοσίν τε καὶ θρέψιν, αἵ τ' ὀξεῖαι καὶ αὐστηραὶ σταφυλαί. αἱ μὲν οὖν ὀξεῖαι κἂν ἀκριβῶς ἐπὶ τῆς ἀμπέλου πεπανθεῖσαι κρεμασθῶσιν, οὐδ' οὕτως γίγνονται γλυκεῖαι. τῶν δ' αὐστηρῶν ἔνιαι μεταβάλλουσιν εἰς τὸ γλυκύτερον, ἐπὶ πλέον κρεμασθεῖσαι. ταῖς στρυφναῖς δὲ καθάπερ καὶ ταῖς ὀξείαις, οὐδ' ἂν ἐπὶ πλεῖον κρεμασθῶσι, τὴν εἰς γλυκύτητα μεταβολὴν οἷόν τε ἔχειν. διὸ καὶ φυλάττεσθαι τῇ

διὰ τὴν ἔνδειαν αὐτῷ ἀεὶ πρόσεισι. πασῶν μὲν οὖν ἀσφαλεστάτη χρῆσίς ἐστιν, ὅταν σαρκώδεις ὦσιν αἱ σταφυλαὶ φύσει, πέπειραί τε. τῶν δ' αὐτῶν τις ἐσθίει συμμέτρως, εἴτουν ἐπὶ τῶν ἀμπέλων ἐπὶ πλεῖστον πεπανθεισῶν, εἴτε καὶ τὸ λοιπὸν ἐκ τοῦ κρεμασθῆναι προσλαβουσῶν. ἐφεξῆς δὲ τῶν κρεμασθεισῶν τὰς ἄνευ ποιότητος αὐστηρᾶς ἢ ὀξείας, ἕνεκεν ὑπαγωγῆς γαστρὸς, ἐγχωρεῖ δαψιλῶς ἐσθίειν, ἔνιοι δὲ καὶ γλεῦκος πίνουσι τῆς αὐτῆς χρείας ἕνεκα, καὶ μάλιστα τὸ γλυκύτατον. ὑπακτικώτατον γὰρ τοῦτο. τὸ δ' ἐξ αὐστηρῶν ἢ ὀξειῶν σταφυλῶν, φαυλότατον εἰς πάντα. ἐγὼ μὲν οὖν τοῖς ὀνόμασιν οὕτως ἐχρησάμην, ὡς οἱ νῦν ἄνθρωποι χρῶνται, βέλτιον ἡγούμενος εἶναι διδάξαι σαφῶς τὰ πράγματα τοῦ παλαιῶς ἀττικίζειν. οἷς δὲ τοῦτο τιμιώτερόν ἐστι τῆς σαφοῦς διδασκαλίας, βρύτια μὲν ὀνομάζουσι τὰ τῶν στερεῶν σταφυλῶν στερεὰ μόρια, τοῦ γλεύκους ἐκθλιβέντος. στέμφυλα δὲ τὰ τῶν ἐλαιῶν, ὅταν ἐκθλιβῇ τοὔλαιον. τό γε μὴν ὑφιστάμενον τοῖς οἴνοις παχὺ, οἱ πολλοὶ τῶν ἀττικιζόντων ὀνομάζουσι τρύγα. ὡς οὐδ' ὁμωνυμία τίς ἐστιν παρ' αὐτοῖς, ὥσπερ παρὰ τοῖς ἄλλοις ἀνθρώποις, ὅσοι καὶ τὰ βρύτια τρύγα καλοῦσι. καὶ μὴν καὶ τρίτον τι σημαινόμενόν ἐστι τοῦ τῆς τρυγὸς ὀνόματος ἐν ἔθει τοῖς νῦν ἕλλησι. τὸ γάρ τοι τῶν βρυτίων ἀπόβρεγμα τρύγα καλοῦσιν, ὅπερ αὖ πάλιν οἱ ἀττικίζοντες ὀνομάζουσι δευτερίαν. στεμφυλίτης οὗτος παρ' ἡμῖν καλεῖται. ἐμβάλλοντες γὰρ εἰς πιθάκνας μικρὰς τὰ βρύτια, προσεπιχέουσιν ὕδωρ, ὡς διαβρόχους ἁπάσας γενέσθαι, κἄπειδ' ἂν ἱκανῶς τοῦτο πεπρᾶχθαι δοκῇ, τὸ παρὰ τὸν πυθμένα τρῆμα τῆς πιθάκνης ἀνοιγνύουσιν, ὡς ἐκρυῆναι τὸ ἀπόβρεγμα, καὶ πίνουσιν ἀντὶ οἴνου τοῦτο. πρόδηλον δὲ ὅτι κατὰ τὴν τῶν βοτρύων ποσότητα, καὶ τὸ ὕδωρ ἐπιχέουσιν ἐξ ἐμπειρίας, ὡς μήθ' ὑδαρῆ πάνυ, μήτ' ἄκρατον γενέσθαι τὴν δευτερίαν. εἶτα πάλιν ἕτερον ὕδωρ ἐπιχέουσι τοῖς βρυτίοις, ἔλαττον τοῦ προτέρου, ὥστε καὶ τοῦτο γενέσθαι σύμμετρον εἰς πόσιν, ὅπερ ἀξιοῦσιν ἔνιοι τῶν ἀττικιζόντων ὀνομάζεσθαι δευτερίαν ἰδίως, οὐχ ὡς τὸ πρότερον. ἔστι δὲ κεφαλγὲς μὲν ἑκάτερον εἰ μή τις ὑδατωδέστερον αὐτὸ πίνοι. μᾶλλον δὲ τὸ πρότερον ἅπτεται τῆς κεφαλῆς. ἀγαθὸν δ' ἐνυπάρχει τῷ τοιούτῳ πόματι τὸ ταχέως οὐρεῖσθαι, διαφορᾶς οὐκ ὀλίγης ἐν αὐτῷ γινομένης, παρὰ τὸ τῶν σταφυλῶν εἶδος, ἐξ ὧν ἐστι τὰ βρύτια. γλυκειῶν μὲν γὰρ οὐσῶν αὐτῶν, ἥδιόν τε πολλῷ γίνεται τὸ πόμα, καὶ θᾶττον οὐρεῖται. στρυφνῶν δὲ καὶ ὀξειῶν ἀηδέστερόν τε μακρῷ καὶ ἧττον οὐρητικόν, ἰσχυρότερον δὲ τὸ ἀπόβρεγμα τοῦτο γίνεται, καὶ μᾶλλον οἰνῶδες, ὅταν εἰς τὸ ἔαρ, ἢ καὶ τὸ θέρος ἡ τρὺξ φυλαχθῇ. κατὰ δὲ τὸν χειμῶνα χρωμένων ὥσπερ ἧττον ἅπτεται κεφαλῆς, ὡσαύτως καὶ ἧττον οὐρεῖται.

περὶ σταφίδων.

Τὸν αὐτὸν λόγον ἔχουσιν αἱ σταφίδες πρὸς τὰς σταφυλάς, οἷον αἱ ἰσχάδες πρὸς τὰ σῦκα. γίγνονται μὲν γὰρ γλυκεῖαι πολλαὶ, στρυφναὶ δὲ παντάπασιν ὀλίγαι. μικταὶ δὲ ἔκ τε αὐστηρᾶς καὶ γλυκείας ποιότητος αἱ πλεῖσται. μέτεστι γε μὴν καὶ ταῖς γλυκείαις ἀμυδρᾶς ποιότητος αὐστηρᾶς, καὶ ταῖς αὐστηραῖς τῆς γλυκείας. αἱ μὲν οὖν αὐστηραὶ ψυχρότεραι τὴν κρᾶσίν εἰσιν, ὥσπερ αἱ γλυκεῖαι θερμότεραι, καὶ τὸν μὲν στόμαχον ῥωννύουσι καὶ τὴν γαστέρα στεγνοῦσιν αἱ αὐστηραὶ, καὶ δηλονότι μᾶλλον αὐτῶν αἱ στρυφναὶ, μέσην δὲ πως κατάστασιν ἐν αὐταῖς αἱ γλυκεῖαι ποιοῦσιν, μήτ' ἐκλύουσαι σαφῶς τὸν στόμαχον, μήθ' ὑπάγουσαι τὴν γαστέρα. τό γε μὴν ἐπικρατητικὸν ὑπάρχει ταῖς γλυκείαις καὶ, καθάπερ καὶ τὸ μετρίως ῥυπτικόν, ὥστ' ἐξ ἀμφοτέρων τῆς δυνάμεως τὰς μικρὰς κατὰ τὸ στόμα τῆς κοιλίας, ὅνπερ καὶ στόμαχον ὀνομάζομεν, ἀμβλύνουσιν δήξεις. ὡς αἵ γε μείζους τῆς δήξεως, δῆλον ὅτι γενναιοτέρων χρῄζουσι βοηθημάτων. ἀμείνους δ' ἐν ταῖς σταφίσιν αἱ λιπαραί τε καὶ τὸν οἷον φλοιὸν ἔχουσαι λεπτόν, ἔνιοι δὲ καλῶς ποιοῦντες ἐκ τῶν γλυκειῶν τῶν μεγάλων, οἷαίπερ εἰσὶν αἱ σκυβελίτιδες, καὶ πρὶν ἐσθίειν, ἐξαιροῦσι τὰ γίγαρτα. χρονισθεῖσαι γοῦν καὶ αὗται σκληρὸν ἴσχουσι καὶ παχὺ τὸ δέρμα καὶ χρὴ προδιαβρέχειν αὐτὰς ἐν ὕδατι. καὶ γάρ τοι καὶ τὸ γίγαρτον ἑτοιμότερον οὕτως ἐξαιρεῖται. ἔμπαλιν δὲ ταύταις ἕτεραί τινές εἰσι στερεαὶ καὶ † παχεῖαι, γίγαρτον ὅλως οὐδὲν ἔχουσαι. γίνονται δ' αὗται μὲν ἐν Κιλικίᾳ, τὴν χροιὰν ὑπόξανθοι. κατὰ δὲ τὴν Παμφυλίαν, αἵ τε σκυβελίτιδες καὶ μέλαιναι τὸ χρῶμα. μέγισται μὲν οὖν ὡς ἔφην αὗται, μικρόταται δὲ αἱ κιρραὶ ἐν Κιλικίᾳ, γινομένων γε καὶ ἄλλων ἐν Κιλικίᾳ μελανῶν σταφίδων μέσων τὸ μέγεθος, ὥσπερ κατ' ἄλλα πολλὰ τῶν ἐθνῶν, καὶ μάλιστα ἐν τῇ Λιβύῃ. κατὰ δὲ τὴν Ἀσίαν ποικίλον εἶδος ἀσταφίδων μέσων τὸ μέγεθος γίνονται. καὶ γὰρ ὑπόξανθοι καὶ μέλαιναι καὶ γλυκεῖαι καὶ ὑπαύστηροι φαίνονται. κατὰ μέντοι τὰς ψυχρὰς χώρας οὐ δὲ σταφυλαὶ τελέως πεπαίνονται, μή τί γε τῶν ἀσταφίδων τινὲς, ὅθεν ἐπεμβάλλουσι τοῖς οἴνοις ῥητίνην, ὅπως μὴ ταχέως ὀξυνθῶσιν. ἡ μὲν οὖν κατὰ χροιὰν διαφορὰ τῶν σταφίδων ὡς πρὸς τὴν δύναμιν αὐτῶν οὐδὲν συντελεῖ, καθάπερ οὐδὲ ἡ κατὰ μέγεθος. ἡ δὲ κατὰ τὴν γευστὴν ποιότητα τὸ σύμπαν δύναται, καὶ ταύτῃ μόνῃ προσέχων τὸν νοῦν, ἐπὶ τίνων δεῖ χρῆσθαι καὶ καθ' ὅν τινα καιρὸν, εὑρήσεις, ὡς προείρηται. τροφὴ δ' ἐκ τῶν ἀσταφίδων ἀναδίδοται τῷ σώματι παραπλησία κατὰ τὴν ποιότητα ταῖς ἀσταφίσιν αὐταῖς. γλυκεῖα μὲν οὖν ἐκ τῶν γλυκειῶν, αὐστηρὰ δ' ἐκ τῶν αὐστηρῶν, μικτὴ δ' ἐκ τῶν ἀμφοτέρας ἐχουσῶν τὰς ποιότητας. τῇ δὲ ποσότητι, πλεῖον μὲν ἐκ τῶν λιπαρῶν τε καὶ γλυκειῶν, ἔλαττον δ' ἐκ τῶν αὐστηρῶν τε καὶ ἀλίπων. εἰ δὲ τὸν ἴσον ὄγκον ἀσταφίδος λιπαρᾶς γλυκείας ἐκγεγιγαρτισμένης παραβάλλοις ὄγκῳ ῥαγῶν ἴσῳ, μᾶλλον τροφιμωτέρας εὑρήσεις τὰς σταφίδας. ἧττον μὲν οὖν ἰσχάδων αἱ σταφίδες τὸ ὑπακτικὸν ἔχουσι καὶ τὸ ῥυπτικόν, εὐστομαχώτεραι δ' εἰσὶ τῶν ἰσχάδων.

† αl. βραχέα

περὶ συκαμίνων ἃ καὶ μόρα καλοῦσι.

Οὐ τοῖς ἀττικίζειν ἐν τῇ φωνῇ προῃρημένοις γράφεται ταῦτα. τάχα γὰρ οὐδὲ ἀναγνῶναι τις αὐτὰ βουλήσεται καταφρονῶν ὑγιείας σώματος, ὥσπερ καὶ ψυχῆς, ἀλλ' ἰατροῖς μὲν μάλιστα μὴ πάνυ τι φροντίζουσιν ἀττικῆς, ἤδη δὲ καὶ τοῖς ἄλλοις, ὅσοι ζῶσιν ὡς λογικὰ ζῷα πρὸ τῆς τιμῆς καὶ δόξης καὶ πλούτου καὶ δυνάμεως πολιτικῆς, ἐπιμελεῖσθαι προῃρημένοις σώματος καὶ ψυχῆς. οὗτοι γὰρ οἴδ' ὅτι τὴν μὲν ἀθηναίων φωνὴν οὐδὲν ἡγοῦνται τιμιωτέραν τῆς τῶν ἄλλων ἀνθρώπων. ὑγείαν δὲ σώματος ἀξιολογώτερόν τι εἶναι νομίζουσι πρᾶγμα τῷ κατὰ φύσιν βιοῦν ἐσπουδακότι. τούτοις οὖν εἰδὼς ὠφελιμώτερον ἔσεσθαι τὸν λόγον τὸν ἀσφαλέστερον, ἃ γιγνώσκουσιν ὀνόματα γράψω, κἂν μὴ τοῖς παλαιοῖς ἕλλησιν ᾖ συνήθη. τὸ μὲν οὖν τῶν μόρων ὄνομα γνώριμον πῶς ἐστι τοῖς πολλοῖς, εἰ καὶ διὰ μηδὲν ἄλλο, ἀλλὰ γοῦν διὰ τὸ

στομαχικὸν φάρμακον, ὃ διὰ μόρων ὀνομάζεται, χυλὸν ἔχον αὐτῶν. ἔνιοι δὲ τῶν ἐφεξῆς εἰρημένων ὀπωρῶν ἀγνοοῦσιν οἱ πολλοὶ τῶν ἀνθρώπων ὅπως ὠνόμαζον οἱ πρὸ ἑξακοσίων ἐτῶν Ἀθηναῖοι. τοὺς μὲν γὰρ νῦν ὁρῶσιν οὐδέν τι διαφορώτερον τῶν ἄλλων Ἑλλήνων ἕκαστον τῶν καρπῶν ὀνομάζοντας, ἀλλὰ καὶ τὰ μόρα συκάμινα καλοῦντας οὐδὲν ἧττον ἢ τὰ μόρα, καὶ τὰ περσικά, καὶ κάρυα, καὶ τὰ πρεκόκκια, καὶ τὰ ἄλλα ἁπλῶς, ὡς ἔθος ἐστὶ τοῖς ἄλλοις Ἕλλησιν. οὐδὲ γὰρ βλάπτονταί τι τὰς παλαιότητας προσηγορίας ἀγνοοῦντες, ἂν γιγνώσκουσι τὰς δυνάμεις αὐτῶν. ἄμεινον γάρ ἐστιν ἐπίστασθαι τῶν περὶ τὴν διαχώρησιν ὁρμώντων τῶν ἐδεσμάτων, ὕστερα μὲν χρῆναι τὰ βραδύπορα λαμβάνειν, ἁπάντων δὲ πρῶτα τὰ διεξερχόμενα μὲν ταχέως, διαφθειρόμενα δὲ εἰ χρονίσειεν ἐν τῇ γαστρί, τοῦ τὰς προσηγορίας αὐτῶν ἐγνωκέναι. οὐ μὴν οὐδ' ἀγνοεῖν μοι δοκοῦσι παντάπασιν οἱ ἄνθρωποι τὴν τάξιν τῶν ἐσθιομένων αὐτοῖς. θεώμεθα γὰρ αὐτοὺς ἐπὶ τῶν πλείστων ἐδεσμάτων φυλάττοντας αὐτήν, προλαμβάνουσι μέν τοι γε ῥαφανίδας ἐλαίας τε καὶ τεῦτλιν ἐκ γάρου, καὶ μετὰ ταῦτα, μαλάχας τε καὶ τεῦτλα καὶ ἄλλα τοιαῦτα λάχανα μετ' ἐλαίου τε καὶ γάρου. τῶν μὲν γὰρ ὁσημέραι παρασκευαζομένων αὐτοῖς εἰς ἐδωδήν, ἡ μακρὰ πεῖρα διδάσκαλος γίγνεται τῆς δυνάμεως, εἰ καὶ μικρὸν ἔχοιεν φρονεῖν. ὅσα δὲ διὰ χρόνου πολλοῦ εἰς πεῖραν ἔρχεται, μόνοις τοῖς ἐπιμελέσιν παραφυλάττεται καὶ μνημονεύεται. τὰ τοίνυν συκάμινα καθαρὰ μὲν ἐμπεσόντα τῇ γαστρί, καὶ πρῶτα ληφθέντα, διεξέρχεται τάχιστα, καὶ τοῖς ἄλλοις σιτίοις ὑφηγεῖται. δεύτερα δὲ ἐφ' ἑτέροις, ἢ καὶ χυμὸν εὑρόντα μοχθηρὸν ἐν αὐτῇ συνδιαφθείρεται τάχιστα καὶ τοῖς ἄλλοις σιτίοις, διαφθορὰν ἀλλόκοτόν τινα καὶ οὐ ῥητὴν ἔχοντα ταῖς κολοκύνθαις ὁμοίως. ἀβλαβέστερα γὰρ πάντα ταῦτα τῶν ὡραίων ἐδεσμάτων, ὅταν μὴ διαφθαρέντα ταχέως ὑποχωρήσῃ, μοχθηρὰν ἴσχει διαφθορὰν ὁμοίως τοῖς πέποσι. καί τοι κἀκεῖνοι ταχέως ὑπελθόντες οὐδὲν μέγα βλάπτουσιν. καιρὸς δὲ τῆς χρήσεως, ὥσπερ τοῖς πέποσιν, οὕτω καὶ τοῖς μόροις, ὅταν αὐχμηρὸν καὶ θερμὸν γένηται τὸ τῆς γαστρὸς σῶμα. τοιοῦτον γάρ πως ἀναγκαῖόν ἐστι τηνικαῦτα καὶ τὸ ἧπαρ εἶναι. τῇ μὲν οὖν κολοκύνθῃ καὶ τῷ σικύῳ τῷ ἤδη πέπονι καὶ πρὶν πεπανθῆναι, σὺν αὐτοῖς δὲ καὶ μηλοπέπονι στυφούσης οὐ μέτεστι ποιότητος. ἐν δὲ τοῖς συκαμίνοις, καὶ μάλιστα ὅταν ᾖ μὴ πάνυ πέπειρα, σαφής ἐστιν ἡ τοιαύτη ποιότης, ἀωροτέροις δὲ οὖσιν καὶ ἡ ὀξεῖα. καί τινες αὐτὰ καθαιροῦντες ἀπὸ τοῦ δένδρου καὶ ξηραίνοντες, ἀποτίθενται φάρμακον ἐσόμενον αὐτοῖς ἀγαθὸν εἰς δυσεντερίας τε καὶ διαρροίας χρονίας ἴασιν. ἀλλ' οὐ πρόκειται νῦν ἡμῖν περὶ δυνάμεως φαρμάκων διεξέρχεσθαι. πάλιν οὖν ὅσα τοῖς συκαμίνοις, ὡς τροφῇ, δρᾶν ὑπάρχει λέγομεν, ὅτι μὲν ὑπέρχεται ῥᾳδίως, εἴρηται, τάχα μὲν διὰ τε οὐσίαν ὑγρῶ τε καὶ ὀλισθηρῷ μόνῳ, τάχα δὲ καί τινος ἐπιμιξίᾳ ποιότητος δριμυτέρας ἐρεθίζειν εἰς ἔκκρισιν ἱκανῆς. ὡς ἥ γε στύφουσα ποιότης οὐ μόνον οὐδὲν ὀνίνησιν εἰς ὑποχώρησιν, ἀλλὰ καὶ στεγνοῦν πέφυκεν. ὅτι δὲ ἐναντίων δυνάμεων οὐκ ὀλίγα μετέχηκεν σώματα μεμάθηκας ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασι. τεκμαίρομαι τοίνυν τὰ μόρα δύναμιν ἔχειν ἐν ἑαυτοῖς τοιαύτην βραχεῖαν, ὁποία τοῖς καθαρτικοῖς μεγάλη ὑπάρχει, δι' ἣν οὐ μόνον ὑποχωρεῖ ῥᾳδίως, ἀλλὰ καὶ διαφθείρεται χρονίσαντα περὶ τὴν γαστέρα. καὶ μὴ διαφθαρέντα, ὡς ἔφην, ὑγραίνει μὲν πάντως, ψύχει δὲ οὐ πάντως, εἰ μὴ ψυχρὰ ληφθείη. τροφὴν δ' ἐλαχίστην δίδωσι τῷ σώματι παραπλησίως τοῖς πέποσιν, οὐ μὴν ἐμετικόν γέ τι πρόσεστιν αὐτοῖς οὐδὲ κακοστόμαχον ὡς ἐκείνοις.

περὶ κερασίων.

Τὰ τῶν κερασίων ἔνια μὲν ἔοικε τοῖς μόροις, ἐλαχίστην ἔχοντα στύψιν, ἔνια τοῖς βατίνοις σαφέστερον στύφοντα, τινὰ δὲ καὶ τούτων ἐστὶ στυπτικώτερα. ὥστε καὶ περὶ τῆς δυνάμεως ἑκάστου τῶν εἰρημένων εἰδῶν ἐκ τῶν λεγομένων ἐπὶ συκαμίνοις τε καὶ βατίνοις ἔνεστί σοι τεκμήρασθαι.

περὶ τῶν τοῦ βάτου καρπῶν.

Τὸν τῶν βάτων καρπὸν ὀνομάζουσιν οἱ παρ' ἡμῖν ἄνθρωποι βάτινον καθάπερ μόρα τε καὶ συκάμινα. καλοῦσι γὰρ ἑκατέρως αὐτά, ἔστι δὲ στυπτικώτερα τὰ βάτινα τῶν μόρων, κἂν πολλά τις αὐτὰ προσενέγκηται κεφαλγήσει. τινὲς δὲ καὶ στόμαχον ἀνιῶνται. διὸ χρὴ καλῶς ἐκπλύνειν πρὶν ἐπιχειρεῖν προσφέρεσθαι τὸν καρπὸν τοῦτον ὅπερ οὐχ ἥκιστα κἀπὶ τῶν συκαμίνων ἐστὶ ποιητέον. οὐ μὴν ὑπάγει γε τὰ περὶ τὴν κοιλίαν, ἀλλὰ μᾶλλον ἐπέχει, κἂν ἀωρότερα τὶς αὐτὰ ξηράνας ἀποθῆται, πολὺ μᾶλλον ἐφεκτικὰ γίνονται. πάντα γε μὴν ὅσα διὰ τοῦ χυλοῦ τῶν μόρων σκευάζεται φάρμακα, καὶ διὰ τούτων γινόμενα, δραστικωτέραν ἔχει τὴν δύναμιν.

περὶ τῶν τοῦ κυνοσβάτου καρπῶν.

Ὁ τῶν κυνοσβάτων καρπὸς μακρῷ στυπτικότερός ἐστι τοῦ τῶν βάτων. καὶ διὰ τοῦτο καὶ τῆς γαστρός ἐστιν ἐφεκτικώτερος. ἐσθίουσι δ' οὖν αὐτὸν οἱ ἄγροικοι πολλάκις ὀλίγην τροφὴν διδόντα τῷ σώματι καὶ καλοῦσι κυνόσβατον.

περὶ τῶν τοῦ ἀρκεύθου καρπῶν.

Τὸν τῆς ἀρκεύθου καρπὸν ἀρκευθίδας ὀνομάζουσι, δριμέα ἱκανῶς ὄντα μετὰ βραχείας γλυκύτητος, ἔτι τε βραχυτέρας στύψεως. ἔχει δέ τι καὶ ἀρωματίζον. εὔδηλον οὖν ὅτι θερμαίνει μὲν καὶ διὰ τὴν δριμύτητα. πᾶν γὰρ ἐδείχθη τὸ δριμὺ θερμαῖνον, οὐχ ἥκιστα δὲ καὶ διὰ τὴν ὀσμὴν καὶ γεῦσιν ἀρωματίζουσας. πᾶν γὰρ ἄρωμα θερμόν, ἐκκαθαίρει δὲ καὶ τὰ κατ' ἧπαρ τε καὶ νεφρούς, καὶ δηλονότι λεπτύνει τοὺς παχεῖς καὶ γλίσχρους χυμούς. καὶ διὰ τοῦτο τοῖς ὑγιεινοῖς φαρμάκοις μίγνυται. τροφὴ δὲ ἐξ αὐτοῦ βραχεῖα τῷ τῶν ἀνθρώπων σώματι προστίθεται. πολλὰς δὲ εἴ τι αὐτὰς προσενέγκοιτο δάκνουσί τε τὸν στόμαχον καὶ τὴν κεφαλὴν θερμαίνουσι, καὶ πληροῦσι ἐνίοτε, καὶ ὀδυνώδη ποιοῦσι. διαχώρησιν δὲ κατὰ τὴν κοιλίαν, οὔτ' ἐπέχουσιν, οὔτε προτρέπουσιν, οὖρα μέντοι κινοῦσι μετρίως.

περὶ τῶν τοῦ κέδρου καρπῶν.

Κεδρίδας ὀνομάζουσι τὸν τοῦ κέδρου καρπόν, ὁμοίας μὲν οὔσας ταῖς ἀρκευθίσιν, κατά τε χρόαν καὶ σχῆμα, καὶ γὰρ ὑπόξανθοι καὶ στρογγύλαι, διαφέρουσι δὲ τῇ δριμύτητι. κινδυνεύει γὰρ ἤδη τοῦ γένους τῶν φαρμάκων ὁ

καρπὸς οὗτος ὑπάρχειν, οὐ δὲ μίαν τροφὴν τῷ σώματι διδοὺς, πλὴν εἴ τις αὐτὰς ἀποβρέξει ἐν ὕδατι. κοινὸν γὰρ τοῦτο πάντων τῶν δριμέων, ὥς τε βραχεῖαν τροφὴν διδόναι τῷ σώματι, τῆς δριμύτητος αὐτῶν ἐκλυθείσης. καὶ μήν τοι καὶ σκληρότερός τε καὶ ξηρότερός ἐστιν ὁ τῶν κέδρων καρπὸς τοῦ τῶν ἀρκεύθων. ὥσπερ ἀμέλει καὶ μικρότερος οὐδὲν τὸ ἀρωματίζον ὁμοίως ἔχων. εὔδηλον οὖν ὅτι δακνώδης τε ἐστὶν ἱκανῶς τοῦ στομάχου καὶ κεφαλῆς, εἰ μὴ πάνυ τις ὀλίγον αὐτὸν προσενέγκοιτο.

περὶ τοῦ τῶν κώνων καρποῦ.

Εὔχυμος καὶ παχύχυμος καὶ τρόφιμός ἐστιν ὁ τοῦ κώνου καρπὸς, οὐ μὴν εὔπεπτος. καλοῦσι δὲ οἱ νῦν ἕλληνες, οὐ κώνους, ἀλλὰ στροβίλους αὐτούς.

περὶ τοῦ τῶν μυρσινῶν καρποῦ.

Μύρτα καλοῦσι τὸν καρπὸν τοῦτον οἱ ἕλληνες, ὁμοίως τε ἄτροφον ὄντα τῷ τῶν ἀρκεύθων, ἐναντίαν δὲ δύναμιν ἔχοντα. στύφει γὰρ ἱκανῶς, καὶ διὰ τοῦτο καὶ τὴν κοιλίαν ἐπέχει, οὐ μὴν ἀνάλογόν τε τῇ στύψει, ψυχρός ἐστι τὴν δύναμιν, ὅτι μηδὲ μόνην ἔχει τὴν στύψιν, ἀλλά τι καὶ δριμύτητος αὐτῇ μέμικται. κοινὸν δ' ἐπὶ πᾶσιν ἐδέσμασιν ὅσα φαρμακώδη ἔχει τινὰ ποιότητα σφοδρὰν, ὅταν ἀφεθῇ ταύτην ἑψήσεσιν ἢ ὀπτήσεσιν ἢ τέγξεσιν, ὀλίγην τροφὴν διδόναι τῷ σώματι, πρότερον οὐδ' ὅλως διδόντα, ταυτὸ γὰρ τοῦτο καὶ κρομμύοις καὶ πράσοις συμβέβηκεν.

περὶ περσικῶν.

Εἴτε μῆλα καλεῖν ἐθέλοις περσικὰ, τὸν καρπὸν τοῦτον, εἴθ' ἁπλῶς περσικὰ, τοῖς νῦν ἕλλησιν ὡσαύτως, εἴτ' ἄλλο τι βούλει παλαιὸν ὄνομα ζητεῖν ἐπ' αὐτοῖς, ἔξεστί σοι τοῦτο πράττειν μετὰ πολλῆς σχολῆς, ἤδη δὲ ἴσθι τὸ τῶν ὀνομάτων χρησιμώτερον, ὡς καὶ τούτων ὁ χυλός τε καὶ οἷον σὰρξ εὔφθαρτός τε ἐστὶ καὶ πάντη μοχθηρός. ὥς τε οὐ χρὴ καθάπερ ἔνιοι τελευταῖαν τῆς ἄλλης τροφῆς αὐτὰ προσφέρεσθαι. διαφθείρεται γὰρ ἐπιπολάζοντα. μεμνῆσθαι δὲ χρὴ τοῦ δὲ, κοινοῦ πάντων ὄντος. ὅσα κακόχυμα μὲν, ὑγρὰ δὲ καὶ ὀλισθηρὰ καὶ ῥᾳδίως ὑπιέναι δυνάμενα, διὰ τοῦτο ἐσθίειν αὐτὰ πρότερον τῶν ἄλλων. οὕτω γὰρ αὐτὰ ταχέως ὑπέρχεται, κἀκείνοις προηγεῖ. τὰ δ' ὕστατα ληφθέντα, συνδιαφθείρει καὶ τὰ ἄλλα.

περὶ ἀρμενιακῶν καὶ πρεκοκκίων.

Ἐν τῷ περσικῶν γένει καὶ ταῦτ' ἐστὶ διαφορά τινα αὐτῶν ἔχοντα πρὸς τὸ βέλτιον. οὔτε γὰρ ὁμοίως διαφθείρεται κατὰ τὴν κοιλίαν, οὔτ' ὀξύνεται. φαίνεται δὲ τοῖς πολλοῖς ἥδιω, καὶ διὰ τοῦτο καὶ εὐστομαχώτερα. τοῖς γὰρ τἄλλα ὁμοίως, ἥδεσι δὲ τοῦτ' ὑπάρχει πᾶσιν, ὥσπερ τοῖς ἀηδέσιν ὑπτιάζειν τε καὶ ἀνατρέπειν τὴν γαστέρα καὶ πρὸς ἔμετον ἐρεθίζειν, ὀρεγομένην ὅτι τάχιστα τὸ λυποῦν ἀπορρίψαι. καὶ τοίνυν καὶ ποιεῖ τοῦτο κατὰ τὴν ῥοπὴν τῶν λυπούντων. ὅσα μὲν γὰρ κάτω ῥέπει, ταύτῃ διωθεῖται, τὰ δ' ἐπιπολάζοντα, δι' ἐμέτων ἐκβάλλει, ταυτὸ τοῦτο κἀπὶ τῶν ἐξ ὅλου τοῦ σώματος εἰς αὐτὴν καταρρεόντων μοχθηρῶν χυμῶν ἐργαζομένη. καὶ γὰρ καὶ τούτων ὅσοι μὲν εἰς τὴν ἄνω κοιλίαν συρρέουσιν, ἐκκενοῦνται δι' ἐμέτων. ὅσοι δ' εἰς τὴν κάτω, διάρροιαν ἐργάζονται. τροφὴ δὲ ὅτι βραχεῖα ταῖς ὀπώραις ἁπάσαις ὑπάρχει, λέλεκται πρόσθεν. ἔστι μὲν οὖν ἀμείνω τὰ πρεκόκκια καλούμενα τῶν ἀρμενιακῶν. ὅσοι δὲ φεύγουσι τὴν τῶν πρεκοκκίων προσηγορίαν, ἀρμενιακὰ μῆλα καλοῦσιν ἀμφότερα. τινὲς δὲ ἀρμένια διὰ τεσσάρων συλλαβῶν, οὐ διὰ πέντε.

περὶ μήλων.

Ἐστὶ μὲν οὐχ ἓν αὐτῶν γένος, ὥσπερ οὐδὲ τῶν ἀπίων τε καὶ ῥοιῶν. ἔνια μὲν γὰρ αὐστηρὸν ἔχει χυμὸν, ἔνια δὲ ὀξὺν ἢ γλυκὺν, ἔστι δ' ἃ καὶ μικτὸν ἐκ τούτων, ὡς ἅμα τε γλυκέα φαίνεται καὶ στύφοντα, καί τινα ἕτερα μετὰ γλυκύτητος ὀξέα σαφῶς γίνεται, καὶ πρὸς τούτοις ἄλλα στρυφνὰ μετ' ὀξύτητος. εὕροις δ' αὖ ποτε καὶ τῶν τριῶν χυμῶν ἔνια μετέχοντα σαφῶς, ὡς ὀξέα τε φαίνεσθαι, καὶ γλυκέα, καί τι καὶ στρυφνότητος ἔχειν. ὅτι δὲ μίαν ἑρμηνεύει ποιότητα τὰ τρία ταῦτα ὀνόματα χυμοῦ, τὸ στύφον καὶ αὐστηρὸν καὶ στρυφνὸν πρόδηλον, ὅτι δὲ τὰ μὲν στρυφνὰ τῷ μᾶλλον στύφειν διαφέρει τῶν αὐστηρῶν, κοινὸν δ' αὐτῶν γένος ἐστὶ τὸ στύφον, ἐν τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἔμαθες, ἐν ᾧ περὶ τῆς τῶν χυμῶν οὐσίας τε καὶ δυνάμεως ὁ λόγος ἐστίν. ἀναμνησθεὶς οὖν ἐκείνων, ὅσα μὲν στύφει μῆλα, ψυχρὸν ἴσθι ἔχειν καὶ γεώδη χυμόν. ὅσα δ' ὀξέα φαίνεται, ψυχρὸν μὲν, ἀλλὰ λεπτομερῆ. μέσης δ' εἶναι κράσεως, τὰ γλυκέα πρὸς τὸ θερμότερον ῥέποντα, καθάπερ τὰ τελέως ἄποια, καὶ οἷον ὑδατώδη πρὸς τὸ ψυχρότερον ἐγκεκλιμένα. χρήσῃ τοιγαροῦν κατὰ τὰς τῶν ἐπικρατούντων δυνάμεις χυμῶν, τοῖς μὲν αὐστηροῖς μήλοις, ὅταν ἤτοι διὰ δυσκρασίαν θερμὴν ἢ ὑγρότητα πολλὴν ἄτονος ἡ γαστὴρ ὑπάρχει. τοῖς στρυφνοῖς δὲ ὅταν ἱκανῶς αὐξηθῇ ταῦτα. τοῖς δ' ὀξέσιν ὅταν ὑπολάβοις ἐν αὐτῇ παχὺν ἠθροῖσθαι χυμὸν, οὐ πάνυ τι ψυχρόν. ὡς ὅ γε ψυχρὸς οὐ τῶν ὀξέων, ἀλλὰ τῶν δριμέων δεῖται. τέμνει μὲν γὰρ ἄμφω πάχος χυμῶν τά τ' ὀξέα καὶ τὰ δριμέα, διαφέρει δὲ τῷ τὰ μὲν μετὰ ψύξεως, τὰ δὲ μετὰ θερμασίας τοῦτο δρᾶν. εὔδηλον δὲ ἐκ τῶν ἤδη πολλάκις εἰρημένων, ὡς τὰ μὲν στύφοντα τὰς κάτω διαχωρήσεις ἐπέχει διαπαντὸς ὄντα ἐφ' ἑαυτοῖς. τὰ δ' ὀξέα χυμὸν μὲν εὑρόντα παχὺν ἐν τῇ γαστρὶ τέμνει τε τοῦτον, ὑπάγει τε κάτω, καὶ διὰ τοῦτο ὑγραίνει τὰ διαχωρήματα. καθαρὰν δ' εὑρόντα τὴν κοιλίαν, ἐπέχει μᾶλλον αὐτήν. ὁ δὲ γλυκὺς ἄνευ δριμύτητός τε καὶ πάχους, τουτέστιν ἐὰν ἀκριβὼς ᾖ μόνος, ἀναδίδοται μᾶλλον ὢν ἐφ' ἑαυτῷ. δριμύτητα δ' ἔχων ἢ πάχος ὑπέρχεται μᾶλλον. ἔστι δέ τι καὶ ἄλλο χυμοῦ γένος οὐκ ἐν μήλοις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, ὃ καλοῦσι ὑδατῶδές τε καὶ ἄποιον, ὡς καὶ πρόσθεν εἶπον, ἥκιστα μὲν εὐστόμαχον, ἐν τῷ μέσῳ δὲ ὂν ὧν δεδήλωκα δυνάμεων, ὥσπερ καὶ τὸ ὕδωρ αὐτό. κακία δ' ἐστὶν ἐν μήλῳ τὸ τοιοῦτον, τὸ, ἐπὶ τῇ ἐδωδῇ αὐτοῦ παραγινομένων, ἢ δι' ἡδονὴν τούτων πραττόντων, ἢ δι' ὠφέλειαν. ὅταν οὖν μήθ' ἡδέα φαγεῖν ᾖ τοιαῦτα, μήτε ῥώμην ἐντιθῶσι γαστέρι καθάπερ τὰ στύφοντα, μήτ' ἴσχει ῥεομένην εἰκότως ἀτιμάζεται, καθάπερ καὶ παρ' ἡμῖν γε τῆς ἀσίας πολλαχόθι τοῖς ὑσὶν αὐτὰ ῥίπτομεν πλατανίστινα καλοῦντες ἐπειδὴ παραπλήσιά πως ἐστὶ γινόμενα,

τοῖς ἁπαλοῖς φύλλοις τῶν πλατάνων. φυλάττεσθαι δὲ χρὴ καὶ τὰ κάλλιστα τῷ γένει μῆλα, πρὶν ἐπὶ τῶν δένδρων πεπανθῆναι. δύσπεπτα γὰρ ὄντα καὶ ψυχρὰ καὶ βραδύπορα καὶ κακόχυμα, μετὰ τοῦ καὶ ψυχρὸν καὶ παχὺν ἀτρέμα τὸν χυμὸν ἔχειν. ὅσα δὲ καλῶς πεπανθέντα φυλάττουσιν εἴς τε τὸν χειμῶνα καὶ τὸ μετ' αὐτὸν ἔαρ, ὠφελιμώτατα γίνονται πολλάκις ἐν νόσοις, ἤτοι περιπλασθέντα σταιτί, ἢ καὶ ἐπὶ θερμὴν σποδιὰν ὀπτηθέντα συμμέτρως ἢ ἐφ' ὕδατος ζέοντος ἀτμῷ καλῶς ἑψηθέντα. διδόναι δ' αὐτὰ χρὴ μετὰ τὴν τροφὴν εὐθέως, ἐνίοτε δὲ καὶ μετ' ἄρτου, ῥώμης τε γαστρὸς ἕνεκα καὶ στομάχου τοῖς ἀνορέκτοις τε καὶ βραδυπεπτοῦσιν, ἐμετικοῖς τε καὶ διαρροιζομένοις, καὶ δυσεντερικοῖς. ἐπιτήδεια δὲ εἰς τοιάνδε χρείαν ἐστὶ τὰ στρυφνά. συμμετρίαν γὰρ ἴσχει τῆς στύψεως, ὡς εἶπον ἄρτι παρασκευασθέντα, τῶν μετρίως αὐστηρῶν ἅπασαν ἀποτιθεμένων τὴν στύψιν ἐν τῇ τοιαύτῃ παρασκευῇ, καὶ διὰ τοῦτο παραπλησίων γιγνομένων τοῖς ἐξ ἀρχῆς ὑδατώδεσιν.

περὶ δή τινα λόγον ἐνίοις ἡ τῶν στυφόντων μήλων, ἢ ἀπίων ἐδωδὴ λαπάττει τὴν γαστέρα.

E Ἐπειδὴ δέ τινων ἤκουσα λεγόντων ὑπέρχεσθαι τὴν κοιλίαν αὐτοῖς ἐπὶ τῇ τῶν στυφόντων ἐδωδῇ, βέλτιον ἐνόμισα καὶ περὶ τούτου διελθεῖν ἐπὶ πλέον ἅπαξ ἐν τῷ δέ, τά τε διὰ τοῦ λόγου καὶ τῆς πείρας ἡμῖν ἐγνωσμένα πολλάκις. ἐπειδὴ τινὸς πρώτως, ῥήτορος ἡμετέρου πολίτου λέγοντος ἐπὶ τῇ τῶν αὐστηρῶν ἀπίων τε καὶ μήλων ἐδωδῇ λαπάττεσθαι τὴν κοιλίαν, ἐνόησα τὸ γινόμενον, ἐπαγαγών τε τὴν ἐκ τῆς πείρας βάσανον αὐτῷ, μετὰ ταῦτ' ἤδη θαρραλεώτερον ἐπ' ἄλλων ἐπὶ τὴν αὐτὴν πεῖραν ἦκον. ἠξίωσα γὰρ ὁμοδίαιτόν μοι γενέσθαι τὸν ἄνδρα κἂν μιᾶς ἡμέρας, ὅπως εἰδείην πηνίκα τε καὶ πόσα προσφέρεται τὰ στύφοντα, καὶ κατά γε τὴν πρώτην εὐθέως, ὡς εἴθιστο, διαιτηθῆναι παρεκάλουν αὐτόν, ὑπαλλάξαντα μηδὲν ὅλως τῶν περὶ τὴν δίαιταν. ὁ δὲ μετὰ τὸ λουτρόν, ὕδατος οὐ πολὺ προπιών, εἶτα τεῦτλόν τε καὶ ῥαφανίδα καὶ ὅσα τοιαῦτα τοῖς πλείστοις ἔθισται προσφέρεσθαι πρὶν ἄλλου τινὸς γεύσασθαι, καὶ αὐτὸς ὁμοίως προσενηνεγμένος, ἐπιπιὼν δὲ σύμμετρον οἴνου γλυκέος, ἐφεξῆς ἔφαγεν δι' ἐλαίου καὶ γάρου μαλάχας, μικρὸν ἐχούσας οἴνου, καὶ μετὰ ταῦτα ἰχθύν τι καὶ χοιρείου κρέατος καὶ ὄρνιθος. εἶτα πιών τι καὶ δεύτερον, ὀλίγον δὲ διαλιπὼν ἐπέφαγεν ἀπίους τε αὐστηρούς. κἄπειτα προελθόντων ἡμῶν ἐπὶ τὸ περιπατεῖν, ὀλίγα τε περιπατησάντων ὑπῆλθεν ἀξιολόγως ἡ γαστὴρ αὐτῷ. θεασάμενος οὖν ταῦτα ἐγώ, συνεθέμην τῷ φίλῳ, περὶ τὴν ὑστεραίαν ἐμοὶ πάλιν ἐπιτρέψαι τὰ περὶ τὴν δίαιταν. ἑτοίμως δὲ πεισθέντι, πρώτους ἁπάντων ἔδωκα μετὰ βαλανείων ἀπίους φαγεῖν, εἶτα τἄλλα ἐφεξῆς ὡς εἰώθει, καὶ τούτων οὕτω γεγενημένων, οὐχ ὅπως ἀξιολόγως, ἀλλ' οὐδὲ μετρίως ἀπεκρίνετο ἡ γαστήρ. ἐθαύμαζεν οὖν εἰκότως τὸ γιγνόμενον. ἤρετό τε ἐμὲ τὴν αἰτίαν αὐτοῦ, κἀγὼ διῆλθον αὐτῷ ταῦτα τὰ νῦν εἰρησόμενα. τοῦ γάρου γοῦν ἔφην σὺν τοῖς ἅμ' αὐτῷ ληφθεῖσιν ὑπάγειν πεφυκότος τὴν γαστέρα, καὶ τότ' ἤδη προειργασμένου, τὰ στύφοντα τελευταῖα ληφθέντα καὶ μάλιστα τοῖς ἀτόνοις τὸν στόμαχον, αἴτια γίγνονται τῆς ὑπαγωγῆς, ῥωννῦντα τε τὴν γαστέρα καὶ προτρέποντα διωθεῖσθαι κάτω τὰ περιεχόμενα κατ' αὐτήν. μᾶλλον δ' ἂν ἔφην πεισθείης τούτῳ, λαβὼν ἐπὶ τῆς ὑστεραίας ἁπάντων μὲν πρῶτα τὰ στύφοντα. δεύτερα δ' ἐπ' αὐτοῖς τὰ κρεώδη, καὶ πάντων τελευταῖα, τὰ δι' ἐλαίου τε καὶ γάρου προσφερόμενα. μηδαμῶς εἶπεν, ἐμέσαιμι γὰρ ἂν αὐτίκα μαλάχας ὑστάτας ἐπιφαγὼν μετ' ἐλαίου καὶ γάρου. κάλλιστα ἔφην εἶπες, ἀνατρέπει γὰρ ταῦτα τὴν γαστέρα καὶ μάλιστα αὐτῆς τὸ στόμα τὸ πρὸς ἁπάντων ἤδη συνήθως στόμαχος ὀνομαζόμενον. ἐπιρρωννύουσι δὲ καὶ τονοῦσι τὰ στύφοντα, διὸ κἂν ἄλλος τις χυμὸς αὐτὴν ἀναστρέψῃ, καθάπερ εἴωθεν ἐνίοις ὠχρὰ χολή, πλεῖον ἀθροισθεῖσα τοῦτο ποιεῖν, γευσάμενος τινὸς τῶν στυφόντων ὁ οὕτως διακείμενος εὐθέως ἐκκρίνει κάτω τὸν ἀνιῶντα χυμόν. εἶτα ἔδειξα τινὰ τῶν νεανίσκων αὐτῷ πρὸ ἡμερῶν ὀλίγων εἰληφότα μὲν ἕνεκα τοῦ καθαρθῆναι σκαμμωνίας ὀπόν, ἤδη δὲ ὡρῶν γεγονυιῶν ἐπὶ τῇ προσφορᾷ πέντε, καὶ μηδεμιᾶς ἐκκρίσεως ἀκολουθηκυίας, θλίβεσθαι μὲν λέγοντα τὸν στόμαχον, ἐπαίρεσθαι δὲ καὶ βαρύνεσθαι τὴν γαστέρα, καὶ διὰ τοῦτο ὀχλεῖν τε καὶ ἀπορεῖσθαι, καί μοι κοινώσασθαι τὰ κατέχοντα συμπτώματα αὐτόν, ὅπως οὖν ἰασάμην τὸν ἄνθρωπον, ἄκουσον ἔφην αὐτὸν τὸν νεανίσκον. καὶ δή, καὶ παρεῖχον αὐτῷ παρόντα τε καὶ διηγούμενον. ὡς ἐγὼ μὲν ἐκέλευσα μήλου στύφοντος ἢ ῥοᾶς ἢ ἀπίου βραχύ τι φαγεῖν. ὁ δ' ἅμα τῷ καταπιεῖν, εὐθέως ἀπηλλάγη τῶν ὀχληρῶν, ἐκκενώσας ἀθρόως αὐτοῦ πάμπολλα τῆς γαστρός, ἴδε τοίνυν ἔφην τῷ ῥήτορι, καὶ σοὶ τοῦτο συμβαῖνον ὅταν ἐπιφάγῃς τὰ στύφοντα διὰ τὴν ἀτονίαν τῆς γαστρὸς ὅλης, καὶ τοῦ στομάχου. ὁ δὲ καὶ μᾶλλον εἶπε τοῦτο ἀληθὲς εἶπες. ἔστι τε γάρ μοι φύσει τοιοῦτος ὁ στόμαχος, ἀνατρέπεταί τε ῥᾳδίως ἐπὶ τοῖς τυχοῦσιν, ἐγώ τε τότε μᾶλλον, προσφέρομαι τῶν αὐστηρῶν τι μετὰ τὴν τροφήν, ὅταν αἴσθωμαι ποθ' ὕπτιον ἱκανῶς αὐτὸν γεγονότα, ἤδη πλησίον ἔρχοντα ναυτίας. αὕτη σοι ἡ περὶ τὸν ῥήτορα διήγησις αὐτάρκης εἰς γνῶσιν ἔστω, τοῦ λαπάττεσθαι τὴν γαστέρα, τοῖς ἄτονον ἔχουσι τὸν στόμαχον, ὅταν ἐπιφαγῶσί τι τῶν στυφόντων.

περὶ κυδωνίων καὶ στρουθομήλων.

E Ἐξαίρετόν τι παρὰ τὰ ἄλλα μῆλα τούτοις ὑπάρχει, στύψιν τε πλείονα κεκτημένοις, καὶ τὸν χυλὸν ἔχουσι μόνιμον, εἴ τις ἑψήσας αὐτὸν σὺν μέλιτι φυλάττειν ἐθέλοι, τῶν δ' ἄλλων μήλων ὁ χυλός, ὀξίνεται κείμενος, ὑγρότητα πολλὴν ἔχων ψυχράν, ἡμεῖς δὲ καὶ τὸ διὰ τοῦ χυλοῦ τῶν στρουθομήλων φάρμακον ἐπιτηδειότατον τοῖς ἀνορέκτοις, οὐκ ἐν φανερῷ περὶ τύχην κείμενον, ὕστερον ποτ' εὕρομεν ἐτῶν ἑπτὰ μεταξὺ γεγονότων οὐδὲ μίαν ἐσχηκότος μεταλλαγὴν τῆς ποιότητος. ἐπεποιήκει δὲ περὶ τὸ στόμα τοῦ ἀγγείου πυκνὸν ἐπίπαγον, οἷον καὶ μέλιτι πολλάκις ἐπιπήγνυται καὶ ἄλλοις τισί, καὶ χρὴ φυλάττειν αὐτὸν ἐπικείμενον, ὅταν ἐθέλῃς ἀμετάβλητον ἐπὶ πλεῖστον διαμεῖναι τὸ φάρμακον, ἢ τὸ μέλι. τοῦτο μὲν οὖν εἰρήσθω μοι περὶ τὸ πάρεργον, οὗ δ' ἕνεκα ἐμνημόνευσα τοῦ μὴ διαφθαρέντος ἐν χρόνῳ πλείονι φαρμάκου, πάλιν ἀναλήψομαι. μόνιμος ὁ τῶν στρουθίων μήλων χυλός ἐστιν, ὅταν καλῶς σκευασθῇ, καθάπερ καὶ ὁ τῶν κυδωνίων, ἀλλ' ἧττον οὗτος ἡδὺς ὑπάρχει, καὶ μάλιστα στύφων ὥστε εἴη ἄν ποτε καὶ τούτου χρεία πρὸς ῥῶσιν ἱκανῶς ἐκλύτου γαστρός. ἐν ἰβηρίᾳ δὲ τὸν καλούμενον μηλοπλακοῦντα συντίθησιν ἔδεσμα μόνιμον οὕτως ὡς εἰς ῥώμην κομίζεσθαι μεστὰς αὐτοῦ λοπάδας καινάς. σύγκειται δὲ ἐκ μέλιτός τε καὶ σαρκὸς λελεπισμένης ἑφθῆς ἅμα τῷ μέλιτι. τὸ δ' ἡμέτερον φάρμακον τὸ τοῖς ἀνορέκτοις σκευαζόμενον, οὐκ ἐκ

μένον, οὐκ ἐκ μόνου μέλιτος καὶ χυλοῦ μήλων ἐστὶν, ἀλλὰ καὶ πεπέρεως ἔχει τι λευκοῦ, καὶ ζιγγιβέρεως, καὶ ὄξους. οὐ μὴν νῦν γε καιρὸς αὐτοῦ τῆς διδασκαλίας ἐστὶν, ἑτέρωθι τελέως εἰρημένης.

περὶ ἀπίων καὶ ῥοιῶν.

Ἃ περὶ μήλων εἶπον, ἅπαντα μεταφέρων ἐπὶ τὰς ἀπίους τε καὶ ῥοιὰς, οὐδενὸς ἔτι νεωτέρου περὶ αὐτῶν ἑτέρου δεήσει λόγου. καὶ γὰρ ἐν ταύταις ἔνιαι μὲν αὐστηραὶ μόνον, ἢ στρυφναὶ φαίνονται, καθάπερ γε τινὲς μὲν ὀξεῖαι, τινὲς δὲ γλυκεῖαι, τινὲς δ' ἐκ τῆς τούτων μίξεως συγκείμεναι, καί τινες ὅλως οὐδεμίαν ἔχουσαι τοιαύτην ἐπικρατοῦσαν ποιότητα, καὶ διὰ τοῦτο ὑδατώδεις τε καὶ ἀμβλεῖαι οὖσαι, ῥωστικὸν οὐδὲν ἔχουσι. τῶν μὲν οὖν ἀπίων ἡ χρῆσις ὁμοία κατὰ πᾶν ἐστὶ τῇ τῶν μήλων. αἱ ῥοιαὶ δὲ τὰ μὲν ἄλλα παραπλησίως, οὐδέποτε δὲ οὐδ' ὀπτῶνται μετὰ σταιτὸς, οὐδ' ἕψονται δι' ὕδατος, ἢ ἐν ἀτμῷ. χυλὸν δὲ ἔχουσι πλείονα μήλων τε καὶ ἀπίων, ἔτι δὲ πρὸς τούτῳ, τὴν γεῦσιν ἡδίω ὄντα μᾶλλον τοῦ κατ' ἐκεῖνα χυλοῦ. γίνονται δέ ποτε χρησιμώτεραι τῶν καρπῶν ἐκείνων εἰς ἄλλα τε τινὰ, καὶ τὸ πρὸς Ἱπποκράτους εἰρημένον ἐν ἐπιδημιῶν δευτέρῳ, κατὰ τήνδε τὴν ῥῆσιν. γυνὴ ἐκαρδιάλγει, καὶ οὐδὲν † καθίστη † πρὶν εἰς ῥοιᾶς χυλὸν ἄλφιτον ἐπιπάσσουσα, καὶ μονοσιτίῃ ἤρκεσε, καὶ οὐκ ἀνήμεεν οἷα τὰ Χαρίωνος. εὔδηλον οὖν ὅτι μοχθηρῶν χυμῶν τὰ κατὰ τὸ στόμα τῆς γαστρὸς, ὃ δὴ καὶ καρδίαν ὀνομάζουσι, διαβρεξάντων, ἡ γυνὴ ναυτιώδης τε, καὶ καρδιαλγὴς ἦν, οὐδὲν γὰρ οὐδ' ἄλλο τι τὸ καρδιώσσειν ὄνομα, σημαίνει τοῦ γινομένου συμπτώματος ἐπὶ τοῦ στομάχου δακνομένου. τοῦτον οὖν τὸν χυμὸν ἐξήρανε μὲν τὸ ἄλφιτον, ὁ δὲ τῆς ῥοιᾶς χυλὸς ἅμα αὐτῷ λαμβανόμενος ἐρρώννυε τὴν κοιλίαν ὡς ἀποτρίψασθαι δύνασθαι τὸν ἐν τοῖς χιτῶσιν αὐτοῖς περιεχόμενον χυμόν. τροφὴν δὲ τῷ σώματι παρέχουσιν αἱ μὲν ῥοιαὶ παντάπασιν ἐλαχίστην, ὡς οὐδέποτ' αὐτῶν ὡς τροφῆς χρῄζομεν. ἀλλ' ἐν φαρμάκου μοίρᾳ μόνον. αἱ δ' ἄπιοι καὶ μάλιστα αἱ μεγάλαι, καλοῦσι δ' αὐτὰς μνάτας οἱ παρ' ἡμῖν, ἔχουσί τι καὶ τρόφιμον, ὥστε καὶ τέμνοντές τε αὐτὰς εἰς κυκλίσκους λεπτοὺς, καὶ ξηραίνοντες ἀποτίθενται. προσφέρονται δὲ κατὰ τὸν χειμῶνα καὶ τὸ ἔαρ ἕψοντες, ὅταν ἢ λιμὸς ἐν χρείᾳ σιτίων ὀλιγοτρόφων. οἱ δ' ἀττικοὶ μὲν ἄνευ τοῦ ἰῶτα, τὴν πρώτην τῶν ῥοιῶν ἔχουσι συλλαβὴν μᾶλλον. οἱ ἴωνες δὲ μετὰ τοῦ ἰῶτα. χρήσιμον δὲ οὐδὲν ἔχει τῷ βίῳ τῶν ἀνθρώπων, ὥσπερ οὐδ' ἐπὶ τῶν οὔων, ἃ νῦν μὲν οὕτως ὀνομάζουσι πάντες ἕλληνες, οὐ συγχωροῦσι δὲ οἱ ἀττικίζοντες, μετὰ τοῦ υ λέγειν αὐτά. καταλιπὼν οὖν ἐκείνους ὑπὲρ τῶν ὀνομάτων σκοπεῖσθαι, περὶ τῆς δυνάμεως καρποῦ διαλέξομαι.

† αλ. καθίστατο

† αλ. πάλιν

περὶ μεσπίλων καὶ οὔων.

Καὶ τούτων ὁ αὐτὸς λόγος ἐστὶ τῷ προειρημένῳ. στύφει μὲν γὰρ ἄμφω. πολὺ δὲ μᾶλλον οὔων τὰ μέσπιλα. διὸ καὶ συμφορώτατον ἔδεσμα ἐστὶ ῥεούσῃ γαστρί. ἡδεία δὲ αὐτῶν πρὸς ἐδωδὴν τὰ οὖα. τὴν ἀρχὴν γὰρ οὐδέν τι στρυφνὸν ἔχει τοῖς μεσπίλοις ὁμοίως, ἀλλ' ἔστιν ὁ κατ' αὐτὰς χυμὸς αὐστηρὸς ἄνευ τοῦ στρυφνὸς εἶναι. πρόδηλον δ' ὅτι τῶν τοιούτων ἁπάντων ὀλίγον ἐσθίειν προσήκει, οὐχ ὡς σύκων ἢ σταφυλῶν δαψιλῶς. οὐδὲν γοῦν ὡς τροφῆς αὐτῶν, ἀλλ' ὡς φαρμάκων μᾶλλον δεόμεθα. ταῦτα σοι χρησιμώτερα τοῦ γνῶναι, τὴν προτέραν συλλαβὴν τοῦ τῶν οὔων ὀνόματος, ὑπὸ τῶν παλαιῶν ἀθηναίων, διὰ μόνου τοῦ ο γράμματος γράφεσθαί τε καὶ λέγεσθαι.

περὶ τοῦ τῶν φοινίκων καρποῦ.

Εἴτε βαλάνους φοινίκων ἐθέλεις ὀνομάζειν τὸν καρπὸν αὐτῶν, εἴθ' ὁμωνύμως ὅλῳ τῷ δένδρῳ φοίνικας, ὥσπερ ἔθος ἐστὶν ἤδη πᾶσι τοῖς ἕλλησιν, οὐδὲν οὔτε βλαβήσῃ κατ' οὐδέτερον, οὔτ' ὠφεληθήσῃ, πρὸς τὴν τῆς δυνάμεως γνῶσιν. ἔστι δ' ἐν αὐτοῖς οὐ μικρὰ διαφορά. τινὲς μὲν γοῦν ξηροί τε εἰσὶ καὶ στύφοντες, ὥσπερ οἱ αἰγύπτιοι, τινὲς δὲ μαλακοὶ καὶ ὑγροὶ καὶ γλυκεῖς, ὥσπερ οἱ καρυωτοὶ καλούμενοι, κάλλιστοι δ' οὗτοι γεννῶνται κατὰ τὴν παλαιστίνην συρίαν ἐν ἱεριχοῦντι. μεταξὺ δὲ ἀμφοτέρων τῶν εἰρημένων γενῶν, οἱ ἄλλοι πάντες εἰσὶ φοίνικες. δύσπεπτοι δὲ εἰσὶ καὶ κεφαλαλγεῖς, οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον ὄντες ὑγροί τε καὶ γλυκεῖς καὶ ξηροὶ καὶ στύφοντες, ἀλλὰ τῶν ἄκρων ἀφορισθέντων, εὐφορώτατον ἤδη σοι τὸ μέσον ἔσται πᾶν. οὐδεὶς γοῦν αὐτῶν ἐστὶν ὃς οὐ γλυκύτητά τινα καὶ στύψιν ἔχει, καὶ γὰρ τῷ καρυωτῷ μέτεστι βραχείας στύψεως, καὶ τῷ θηβαϊκῷ γλυκύτητος ἀμυδρᾶς. ἀλλ' ὁ μὲν γλυκὺς χυμὸς ἐδείχθη τρόφιμος, ὁ δ' αὐστηρὸς εὐστόμαχός τε καὶ γαστρὸς ἐφεκτικός. ἅπαντες δὲ οἱ φοίνικες, δύσπεπτοί τε εἰσὶ καὶ κεφαλαλγεῖς, πλείονες βρωθέντες. ἔνιοι δὲ καὶ δήξεώς τινος αἴσθησιν ἐμποιοῦσι τῷ στόματι τῆς κοιλίας, ὃ στόμαχον ὀνομάζουσιν οἱ ἰατροί. ὁ δ' ἀπ' αὐτῶν εἰς τὸ σῶμα ἀναδιδόμενος χυμός, παχὺς μὲν πάντως ἐστὶν, ἔχει δέ τι καὶ γλίσχρον ὅταν ᾖ ὁ φοῖνιξ λιπαρὸς, ὥσπερ ὁ καρυωτός. ὅταν δὲ τῷ τοιούτῳ χυμῷ γλυκύτης μιχθῇ, τάχιστα μὲν ὑπ' αὐτοῦ τὸ ἧπαρ ἐμφράττεται. βλάπτεται δὲ καὶ φλεγμαῖνον καὶ σκιρρούμενον ἐσχάτως ὑπὸ τῆς ἐδωδῆς αὐτῶν. ἐφεξῆς δὲ τῷ ἥπατι, καὶ ὁ σπλὴν ἐμφράττεται καὶ βλάπτεται. πολὺ δὲ δὴ μάλιστα βλάπτουσιν οἱ χλωροὶ φοίνικες εἰς ἅπαντα, βραχὺ πλείονες ἐδεσθέντες. εὔδηλον δ' ὅτι θερμότερον μὲν ἔχουσι τὸν χυμὸν οἱ γλυκεῖς, ψυχρότερον δὲ οἱ στύφοντες, ἀλλὰ καὶ φύσης ἐμπιπλᾶσιν οἱ χλωροὶ φοίνικες ὥσπερ καὶ τὰ σῦκα. τὴν αὐτὴν γὰρ ἀναλογίαν ἔχει τὰ σῦκα πρὸς τὰς ἰσχάδας, ἣν οἱ χλωροὶ φοίνικες πρὸς τοὺς ἄλλους. ἐν δὲ μὴ τοῖς πάνυ θερμοῖς χωρίοις, οὐ πεπαίνονται τελέως οἱ φοίνικες, ὡς εἰς ἀπόθεσιν γίνεσθαι χρήσιμοι, καὶ διὰ τοῦτο χλωροὺς ἀναγκαζόμενοι δαπανᾶν αὐτοὺς, ὠμῶν τε χυμῶν ἐμπίμπλανται, καὶ ῥίγεσι δυσεκθερμάντοις ἁλίσκονται, καὶ καθ' ἧπαρ ἐμφράξεις ἔχουσι.

περὶ ἐλαιῶν.

Ὀλίγην μὲν πάνυ καὶ αὗται τροφὴν διδόασι τῷ σώματι καὶ μάλιστα αἱ δρυπεπεῖς. ἐσθίουσι δὲ οἱ ἄνθρωποι. ταύτας μὲν σὺν ἄρτῳ μᾶλλον, ἄνευ δὲ ἄρτου τὰς ἁλμάδας τε καὶ κολυμβάδας ὀνομαζομένας, ἕνεκα γαστρὸς ὑπαγωγῆς, μετὰ γάρου πρὸ τῶν σιτίων, ὥσπερ δὲ αἱ δρυπεπεῖς πλεῖστον λιπαρὸν, οὕτως αὗται τὸν στύφοντα χυμὸν ἔχουσι. διὸ καὶ ῥωννύουσί τε τὸν στόμαχον, ἐπεγείρουσί τε τὴν ὄρεξιν. ἐπιτήδειοι δὲ εἰσιν εἰς τοῦτο αἱ μετ' ὄξους ἀποτιθέμεναι. πολυειδῶς δ' αὐτὰς σκευάζουσιν, οἱ τὴν ὀψαρτυτικὴν ἐμπειρίαν ἀσκήσαντες, ἧς οὐδ' αὐτῆς παντάπασιν ἀμαθῶς ἔχειν ἄξιον τὸν ἰατρόν. ἄμεινον γοῦν εἰς τὴν πέψιν ἐστὶ τὸ δ' ἴσως ὑγιεινὸν τὸ ἥδιον, ἀλλ' οὐ νῦν καιρὸς, οὔτε τῆς ἐμπειρίας τῆς κατὰ τὴν ὀψαρτυτικὴν θεωρίαν οὔτε τῆς τέχνης ἐστίν. ἴδιος γὰρ λόγος ἀνάκειται αὐταῖς.

περὶ καρύων.

Βασιλικὰ τινὲς ὀνομάζουσι κάρυα, ταῦτα τὰ νῦν ὑπὸ πάντων ὀνομαζόμενα κάρυα. καλεῖται δὲ καὶ ἄλλα τινὰ λεπτοκάρυα, πολλῷ μικρότερα τούτων, ἃ προσαγορεύουσιν ἔνιοι ποντικά. πολλὴ δὲ ἀμφοτέρων ἡ χρῆσίς ἐστιν οὐ πολλὴν τροφὴν διδόντων τῷ σώματι. πλείων δ' ὅμως ἐστὶν ἐν τῷ ποντικῷ λεγομένῳ, τῆς ἐν τῷ βασιλικῷ καρύῳ, καὶ γὰρ καὶ πεπίληται μᾶλλον ἡ οὐσία αὐτοῦ, καὶ ἧττον ἐλαιώδης ἐστίν. ἡ δὲ τοῦ καρύου χαυνοτέρα ἐστί, καὶ πλέον ἔχουσα τὸ λιπαρὸν ἐν ἑαυτῇ. μετέχει δὲ καὶ τῆς στυφούσης ποιότητος οὐκ ὀλίγον, ἥτις ἐν τῷ χρόνῳ προϊόντι μαραίνεται, μεταπιπτούσης ὅλης αὐτοῦ τῆς οὐσίας, εἰς τὸν λιπαρὸν χυμόν, ὥς τε καὶ τελείως ἄβρωτον γίνεσθαι, διὰ τὸ παραπλήσιον ἐλαίῳ παλαιῷ τῇ κατ' αὐτὸ λιπαρότητι φαίνεσθαι. τὸ δὲ χλωρὸν ἔτι καὶ ὑγρόν, οὔτε τῆς στυφούσης σαφῶς μετέχει ποιότητος, οὔτε τῆς ἐλαιώδους. ἀλλ' ἔστιν ἄποιον πως μᾶλλον, ὅπερ ὑδατῶδες καλεῖν, ὡς ἔφην, εἰθίσμεθα. πέττεται γε μὴν μᾶλλον τὸ κάρυον, τοῦ λεπτοκαρύου, καὶ μᾶλλον εὐστομαχώτερόν ἐστι, καὶ πολὺ μᾶλλον ὅταν σὺν ἰσχάσιν ἐσθίεται. γέγραπται δὲ ὑπὸ πολλῶν ἰατρῶν ὡς ἐὰν ἄμφω ταῦτα πρὸ τῶν ἄλλων σιτίων λαμβάνονται μετὰ πηγάνου, μηδὲν ὑπὸ τῶν θανασίμων φαρμάκων μεγάλα βλαβήσεσθαι τὸν ἄνθρωπον. εὔδηλον δ' ὅτι καὶ τὸ μὲν ὑγρόν, πρὸς διαχώρησιν ἐστὶν ἐπιτήδειόν ἐστι, τὸ δὲ ξηρὸν ἧττον ἐπιτήδειον. οὐκ ὀλίγοι δὲ καὶ μετὰ γάρου προσλαμβάνουσιν αὐτό, γαστρὸς ὑπαγωγῆς ἕνεκεν. εἰς τοῦτο δ' ἐπιτήδειόν ἐστι τὸ χλωρόν, ὡς ἧττον τῆς στυφούσης μετέχον ποιότητος, ἀλλὰ καὶ τῶν ἤδη ξηρῶν προαποβρεχομένων ἐν ὕδατι, καθάπερ ἔνιοι ποιοῦσιν, ἡ δύναμις παραπλησία τοῖς χλωροῖς ἐστί.

περὶ ἀμυγδάλων.

Οὐδ' ὅλως μετέχει ταῦτα τῆς στυφούσης ποιότητος, ἐπικρατεῖ γὰρ ἐν αὐτοῖς ἡ λεπτυντική τε καὶ ῥυπτικὴ μόνη δι' ἣν ἐκκαθαίρει τὰ σπλάγχνα, καὶ τὰς ἐκ πνεύμονός τε καὶ θώρακος ἀναπτύσεις τῶν ὑγρῶν ἐργάζεται. τινὰ δ' αὐτῶν οὕτως ἐπικρατοῦσαν ἔχει τὴν τμητικὴν τῶν παχέων τε καὶ γλίσχρων ὑγρῶν δύναμιν, ὡς μηδὲν βρωθῆναι δύνασθαι, διὰ πικρότητα, τῆς γε μὴν ἐλαιώδους τε καὶ λιπαρᾶς μετέχει ποιότητος, ὥσπερ καὶ τὰ κάρυα δι' ἣν καὶ αὐτὰ τοῦ χρόνου προϊόντος, ἐλαιηρὰ γίνεται, καθάπερ ἐκεῖνα, βραχυτέρα δ' αὐτοῖς ἐστιν ἡ ποιότης ἥδε τῆς ἐν τοῖς καρύοις. διὸ καὶ μετὰ χρόνον πλείονα τῶν καρύων ἐλαιηρὰ φαίνεται γινόμενα. δῆλον οὖν ἐκ τούτων ἐστίν, ὡς οὔτε πρὸς ὑπαγωγὴν γαστρὸς ὑπάρχει χρήσιμα, τροφήν τε τῷ σώματι δίδωσιν ὀλίγην. ὅσα δ' ἐπικρατοῦσαν ἱκανὴν ἔχει τὴν πικρὰν ποιότητα, τὰς ἐκ θώρακός τε καὶ πνεύμονος ἀναπτύσεις πύου τε καὶ τῶν παχέων καὶ γλίσχρων χυμῶν ἐστι χρησιμώτατα. τῶν δὲ μηδεμίαν μὲν τέχνην ἠσκηκότων τῷ βίῳ χρήσιμον, ἀττικιζόντων δὲ καλούντων ἑαυτούς, ἔνιοι μὲν ἀμυγδάλας θηλυκῶς ἀξιοῦσι λέγεσθαι τὸν καρπὸν τοῦτον, ἔνιοι δὲ οὐδετέρως ἀμύγδαλα, μηδ' αὐτὸ τοῦτο γινώσκοντες, ὃ σπουδάζουσιν, ὡς ἄμφω τὰ ὀνόματα παρὰ τοῖς ἀττικοῖς ἀνδράσι γέγραπται.

περὶ πιστακίων.

Γεννᾶται μὲν κατὰ τὴν μεγάλην Ἀλεξάνδρειαν ταῦτα. πολὺ πλείω δ' ἐν Βεῤῥοίᾳ τῆς συρίας τροφὴν μὲν ὀλίγην ἔχοντα, χρήσιμα δὲ εἰς ἥπατος εὐρωστίαν ἅμα, καὶ κάθαρσιν τῶν ἐμπεφραγμένων κατὰ τὰς διεξόδους αὐτοῦ χυμῶν, μετέχει γὰρ ὑποπίκρου, καὶ ὑποστυφούσης ποιότητος ἀρωματιζούσης. ἴσμεν δὲ καὶ ἄλλα πολλὰ τῶν τοιούτων, ἥπατι χρησιμώτατα. καθάπερ ἐν τῇ τῶν ἁπλῶν φαρμάκων ἐδείχθη πραγματείᾳ. στομάχῳ δὲ, οὔτε ὠφέλειαν, οὔτε βλάβην ἀξιόλογον ἐξ αὐτῶν ἔχω μαρτυρεῖν, ὥσπερ οὐδὲ ὑπαγωγὴν γαστρός, ἢ στάσιν.

περὶ κοκκυμήλων.

Σπανίως ἂν εὕροις αὐστηρόν, ἢ ὀξύν, ἢ ὅλως τινὰ ἀηδίαν ἔχοντα, τὸν καρπὸν τοῦτον, ὅταν ἀκριβῶς πεπανθῇ. πρὶν γὰρ εὖ τοῦτ' ἀφικέσθαι σχεδὸν ἅπαντες, οἱ μὲν ὀξύτητος, οἱ δὲ στρυφνότητος, ἔνιοι δὲ καὶ πικρότητος ἐμφαίνουσι, τροφὴν μὲν οὖν ἐλαχίστην ἐκ τοῦ καρποῦ τούτου τὸ σῶμα λαμβάνει, χρήσιμος δέ ἐστι τοῖς ὑγρᾶναί τε καὶ ψύξαι τὰ μέτρια τὴν γαστέρα προαιρουμένοις. ὑπάγει δ' αὐτὴν καὶ ταῦτα, διά τε τὴν ὑγρότητα καὶ γλισχρότητα, καθάπερ καὶ ἄλλα τινὰ τῶν προειρημένων. ὑπάρχει δ' αὐτοῖς καὶ ξηρανθεῖσιν, εἶναι χρησίμοις, ὥσπερ καὶ τοῖς σύκοις καὶ δόξαν ἔχει πολλήν, ἄριστα τῶν ἄλλων εἶναι τὰ κατὰ συρίαν ἐν δαμασκῷ γινόμενα, δεύτερα δ' ἐπὶ τούτοις τὰ κατὰ τὴν ἰβηρίαν τε καὶ σπανίαν ὀνομαζομένην. ἀλλὰ ταῦτα μὲν οὐκ ἐμφαίνει τινὸς στύψεως, τὰ δαμασκηνὰ δὲ καὶ πάνυ πολλῆς ἔνια. κάλλιστα δ' αὐτῶν εἰσὶν ὅσα μετρίως στύφοντα μεγάλα τέ εἰσι καὶ χαῦνα, τὰ δὲ σμικρά, καὶ σκληρὰ καὶ στρυφνὰ μοχθηρὰ πρός τε τὴν ἐδωδήν ἐστι, καὶ πρὸς τὴν τῆς γαστρὸς ὑπαγωγήν, ἥτις ἀκολουθεῖ μάλιστα τοῖς ἀπὸ τῆς ἰβηρίας. ἑψόμενα δ' ἐν μελικράτῳ πλέον ἔχοντι μέλιτος, ἱκανῶς λαπάττει τὴν γαστέρα, κἂν μόνα τις αὐτὰ φάγῃ καὶ πολὺ μᾶλλον, ἐὰν ἐπιῤῥοφήσῃ τοῦ μελικράτου. πρόδηλον δὲ ὅτι συντελεῖ γαστρὸς ὑπαγωγῇ, μετὰ τὴν προσφορὰν αὐτῶν ἐπιπίνομενον γλυκέος οἴνου, καὶ διαλειπεῖν τινὰ χρόνον, οὐκ εὐθέως ἀριστᾶν ἐν αὐτοῖς. ἀλλὰ καὶ τοῦτο κοινὸν ἁπάντων, ὅσα λαπάττει γαστέρα μνημονευέσθω σοι, καθάπερ τἆλλα ὅσα κοινὰ πλειόνων εἰδῶν ἐστι, μὴ δεομένῳ πολλάκις ἀκούειν περὶ αὐτῶν.

περὶ τῶν καλουμένων σηρικῶν.

Οὐδὲ τούτοις ἔχω τι μαρτυρῆσαι, πρὸς ὑγείας φυλακήν, ἢ νόσων ἴασιν, ἔδεσμα γάρ ἐστι γυναικῶν τε καὶ παιδίων † ἀθρώντων, ὀλιγότροφόν τε καὶ δυσπεπτον ὑπάρχον, ἅμα τῷ μηδ' εὐστόμαχον εἶναι. τροφὴν δηλονότι καὶ αὐτὰ δίδωσιν ὀλίγην τῷ σώματι.

†αἱ. ἀθυρόντων

περὶ κερατίων.

Τὰ κεράτια διὰ τοῦ. τ. γράμματος λεγομένης τε καὶ γραφομένης τῆς τρίτης συλλαβῆς, οὐδὲν ἔοικε τοῖς διὰ τοῦ σίγμα κερασίοις. ἔστι δὲ ἔδεσμα κακόχυμόν τε καὶ ξυλῶδες, ἐξ ἀνάγκης δὲ καὶ δύσπεπτον οὐδὲν γὰρ ξυλῶδες, εὔπεπτον. ἀλλὰ καὶ τὸ μὴ διαχωρεῖσθαι ταχέως, οὐ σμικρὸν αὐτοῖς ὑπάρχει κακόν. ὥστ' ἄμεινον ἦν αὐτὰ μηδὲ κομίζεσθαι πρὸς ἡμᾶς, ἐκ τῶν ἀνατολικῶν χωρίων ἐν οἷς γεννᾶται.

περὶ καππάρεως.

Θαμνῶδές ἐστι φυτὸν ἡ κάππαρις ἐν κύπρῳ πλείστη φυομένη. δύναμις δ' αὐτῆς ἐστι λεπτομερὴς ἱκανῶς, καὶ διὰ
τοῦτο τρο-

ταύτην τροφὴν ἐλαχίστην ἀναδίδωσιν, εἰς τὸ τῶν ἐσθιόντων αὐτὴν σῶμα, καθάπερ καὶ τἆλλα πάντα ὅσα λεπτομερῆ. χρώμεθα δὲ ὡς φαρμάκῳ μᾶλλον, ἢ ὡς τροφῇ. ὁ δὲ τοῦ φυτοῦ καρπὸς κομίζεται καὶ πρὸς ἡμᾶς ἁλσὶ διαπασθεῖσα, διὰ τὸ σήπεσθαι μόνη ἀποτιθεμένη. δῆλον οὖν ὅτι χλωρὰ μὲν ἔτι πρὶν ταριχευθῆναι, πλέον ἔχει τροφῆς. ἐκ δὲ τῆς ταριχείας, ἀπόλλυσι πάμπολυ, καὶ γίνεται χωρὶς μὲν τοῦ τοὺς ἅλας ἀποπλυθῆναι, παντάπασιν ἄτροφος, ὑπακτικὴ δὲ τῆς γαστρός. ἀποπλυθεῖσα δὲ καὶ διαβραχεῖσα μέχρι τοῦ τελέως ἀποθέσθαι τὴν ἐκ τῶν ἁλῶν δύναμιν, ὡς ἔδεσμα μὲν ὀλιγοτροφώτατον ἐστίν, ὡς ὄψον δὲ καὶ φάρμακον, ἐπιτήδειον ἐπεγεῖραι καταπεπτωκυῖαν ὄρεξιν, ἀποῤῥύψαι τε καὶ ὑπαγαγεῖν τὸ κατὰ τὴν γαστέρα φλέγμα, καὶ τὰς κατὰ σπλῆνα καὶ ἧπαρ ἐμφράξεις, ἐκκαθᾶραι. χρῆσθαι δὲ πρὸς ταῦτα προσήκει, δι' ὀξυμέλιτος, ἢ ὀξελαίου πρὸ τῶν ἄλλων σιτίων ἁπάντων. τοὺς δ' ἁπαλοὺς ἀκρέμονας καὶ τούτου τοῦ φυτοῦ παραπλησίως ἐσθίουσι τοῖς τῆς τερμίνθου, καὶ χλωροὺς ἔτι συντιθέντες, ὡς ἐκείνους ἐν ὀξάλμῃ τε καὶ ὄξει.

περὶ συκομόρων.

E Ἐν Ἀλεξανδρείᾳ τὸ τῆς συκομόρου φυτὸν εἶδον ἅμα τῷ καρπῷ, παραπλησίως συκῷ μικρῷ λευκῷ. δριμύτητα δὲ οὐδὲ μίαν ὁ καρπὸς οὗτος ἔχει, βραχείας μετέχων γλυκύτητος, ὑγρότερός πως καὶ ψυχικώτερος ὢν κατὰ τὴν δύναμιν, ὥσπερ τὰ μόρα. μᾶλλον δὲ ἐν τῷ μεταξὺ μόρων τε καὶ σύκων, αὐτὸν εἰκότως ἄν τις θείη. καί μοι δοκεῖ τοὔνομα ἐντεῦθεν αὐτῷ κεῖσθαι. γελοῖοι γὰρ οἱ διὰ τοῦτο φασὶν ὀνομάσθαι τὸν καρπὸν τοῦτον συκόμορα, διότι σύκοις ἐοίκασι μοροῖς. ἡ γένεσις δ' αὐτοῦ διαφοροτέρα πως ἐστὶ παρὰ τοὺς ἄλλους καρποὺς τῶν δένδρων. οὐδὲ γὰρ ἐκ τῶν ἀκρεμόνων καὶ βλαστημάτων, ἀλλ' ἐξ αὐτῶν τῶν κλάδων καὶ τῶν ἀκρεμόνων ἐκφύεται.

περὶ περσίου.

E Εἶδον καὶ τοῦτο τὸ φυτὸν ἐν Ἀλεξανδρείᾳ, τῶν μεγάλων ὂν καὶ αὐτὸ δένδρων. ἱστοροῦσι δὲ τὸν καρπὸν αὐτοῦ μοχθηρὸν οὕτως ὑπάρχειν ἐν Πέρσαις, ὡς ἀναιρεῖν τοὺς φαγόντας, εἰς Αἴγυπτον δὲ κομισθέντα, ἐδώδιμόν τε γενέσθαι παραπλησίως ἐσθιόμενον ἀπίοις τε καὶ μήλοις ὧν καὶ κατὰ τὸ μέγεθός ἐστι.

περὶ κιτρίου.

K Καὶ τοῦτο τὸ μηδικὸν ὀνομάζουσι μῆλον, οἱ μηδένα νοεῖν ἃ φθέγγονται προῃρημένοι, καίτοι τὴν γε σαφήνειαν ἐν ταῖς ἀρεταῖς τοῦ λόγου τιθέμενοι, βέλτιον δ' ἦν τοῦ τὰ τοιαῦτα περιεργάζεσθαι, τίνα δύναμιν ἔχει τὰ μόρια τοῦ κιτρίου, καί τι χρήσιμον ἐξ αὐτοῦ τοῖς ἀνθρώποις ἐστὶν ἐζητηκέναι. τοῦτο οὖν ἐγὼ πράξω, τρία μὲν εἰπὼν τοῦ καρποῦ τούτου τὰ μόρια, τό, τε ὀξὺ κατὰ τὸ μέσον αὐτοῦ, καὶ τὸ περιέξ τούτου τὸ οἷον σάρκα αὐτοῦ τοῦ καρποῦ, καὶ τρίτον ἐπ' αὐτοῖς τὸ περικείμενον σκέπασμα ἔξωθεν. τοῦτο μὲν εὐῶδές τε ἐστὶ καὶ ἀρωματίζον, οὐ κατὰ τὴν ὀσμὴν μόνον, ἀλλὰ καὶ κατὰ τὴν γεῦσιν. εἰκότως οὖν δυσπεπτόν ἐστιν, ὡς ἂν σκληρόν τι καὶ τετυλωμένον. εἰ δ' ὡς φαρμάκῳ τις αὐτῷ χρῷτο, συντελεῖ τι πρὸς πέψιν, ὥσπερ καὶ ἄλλα πολλὰ τὴν δριμεῖαν ἐχόντων τὴν ποιότητα. τῷ δ' αὐτῷ λόγῳ, καὶ στόμαχον ῥώννυσιν ὀλίγον ληφθέν, ὥστε καὶ κόπτοντες αὐτό, καὶ τὸν χυλὸν ἐκθλίβοντες, εἰώθασι μιγνύναι τοῖς καταποτίοις φαρμάκοις, ὅσα λαπακτικὰ γαστρός ἐστιν, ἢ καθαρτικὰ τοῦ σώματος ὅλου. τῷ δ' ὀξεῖ καὶ ἀβρώτῳ μέρει τοῦ καρποῦ, καθ' ὃ καὶ τὸ σπέρμα περιέχεται, πρὸς ἄλλα τινὰ χρῶνται, καὶ πολλάκις εἰς ὄξος ἐμβάλλουσιν ἀμβλύ, χάριν τοῦ δριμύτερον ἐργάσασθαι. τὸ μέσον δ' ἀμφοῖν, ὃ δὴ καὶ τροφὴν τῷ σώματι δίδωσιν, οὔτ' ὀξεῖαν, οὔτε δριμεῖαν ἔχον ποιότητα, δυσπεπτόν ἐστι διὰ σκληρότητα. διὸ καὶ μετ' ὄξους καὶ γάρου προσφέρονται πάντες αὐτὸ τὴν ἀμβλύτητα τῆς γεύσεως ἐπεγεῖραι βουλόμενοι. τάχα δ' ὅτι καὶ πέττεται μᾶλλον οὕτω βρωθέν, ἐπίστανται, τῇ πείρᾳ διδαχθέντες, ἢ παρὰ ἰατρῶν ἀκούσαντες.

περὶ τῶν ἐν τοῖς ἀγρίοις φυτοῖς καρπῶν, ἐν οἷς εἰσὶ καὶ αἱ τῶν δρυῶν βάλανοι.

A Ἄγρια καλεῖν εἰώθασιν πάντες ἄνθρωποι φυτὰ τὰ κατὰ τὴν χώραν φυόμενα χωρὶς ἐπιμελείας γεωργικῆς ἀμέλει καὶ ἀμπέλους ἀγρίας ὀνομάζουσιν, ὧν οὐδεὶς ἀμπελουργὸς προνοεῖται, περισκάπτων, ἢ περισκάλλων ἢ βλαστολογῶν, ἤ τι τοιοῦτον διαπραττόμενος. ἐκ τούτων τῶν φυτῶν ἐστὶ καὶ φηγός, καὶ δρῦς καὶ πρῖνος καὶ κράνια καὶ κόμαρος, ἕτερά τε δένδρα τοιαῦτα, καθάπερ γε καὶ θάμνοι τινές, οἷον ὅ, τε τῆς βάτου καὶ τῆς κυνοσβάτου, καὶ ὁ τῆς ἀχέρδου τε καὶ ἀχράδος, ὅ, τε τῶν ἀγριοκοκκιμήλων, ἃ προῦμνα παρ' ἡμῖν καλοῦσι. καὶ ὁ τοῦ τὰς ἐπιμηλίδας φέροντος, καλεῖται δὲ κατὰ τὴν Ἰταλίαν οὐνέδων ὁ καρπὸς τοῦ θάμνου τούτου, κακοστόμαχός τε καὶ κεφαλαλγὴς ὑπάρχων. καὶ στρυφνὸς ἱκανῶς μετά τινος βραχείας γλυκύτητος. τὰ μὲν οὖν κράνα, καὶ τὰ βάτινα, καὶ τοὺς βαλάνους, καὶ τὰ μιμήκυλα, καλεῖται δὲ οὕτως ὁ τοῦ κομάρου καρπός, ἐσθίουσι συνήθως οἱ κατὰ τοὺς ἀγρούς. τοὺς δὲ τῶν ἄλλων δένδρων τε καὶ θάμνων οὐ πάνυ τι. λιμοῦ μὴν κατασχόντος ποτὲ τὴν ἡμετέραν χώραν, ἐμφορίας δὲ γενομένης τῶν τε βαλάνων καὶ τῶν μεσπίλων ἐν σιροῖς αὐτὰ οἱ ἄγροικοι θησαυρίσαντες ἀντὶ τῶν σιτηρῶν ἐδεσμάτων, εἶχον ἔν τε τῷ χειμῶνι παντί, καὶ τοῖς πρώτοις τοῦ ἦρος. ἔμπροσθεν δὲ βορὰ συῶν ἦσαν αἱ τοιαῦται βάλανοι, ἀλλὰ τότε ἀποτρεπόμενοι τοῦ διαθρέψαι τούτους ἐν τῷ χειμῶνι, καθάπερ ἔμπροσθεν εἰώθασιν, ἐν ἀρχῇ μὲν τούτους σφάξαντες, ἐχρήσαντο τούτοις εἰς ἐδωδήν, ὕστερον δὲ τοὺς σιροὺς ἀνοίξαντες ἤσθιον τοὺς βαλάνους, παρασκευάζοντες ἐπιτηδείους εἰς βρῶσιν ἄλλοτε ἄλλως. ἐν ὕδατι γὰρ ἕψοντες ἐνίοτε καὶ κατὰ τὴν θερμὴν σποδιὰν ἐγκρύβοντες ὤπτων συμμέτρως. αὖθις δ' ἄν ποτε καταπλάσαντες, ἔτνος ἐξ αὐτῶν ἐποίουν, ἐνίοτε μὲν ὕδατι μόνῳ δεύοντες, ἐπεμβάλλοντες δέ τι τῶν ἐδεσμάτων, ἐνίοτε δὲ καὶ μέλιτος ἐπιχέοντες, ἢ μετὰ γάλακτος ἕψοντες, ἡ δ' ἀπ' αὐτῶν τροφή, δαψιλής ἐστι οὐδὲν ὁμοίως τοῖς εἰρημένοις ἄχρι δεῦρο τοῦ λόγου κατὰ τόδε τὸ γράμμα. πολλοῖς γὰρ τῶν σιτηρῶν ἐδεσμάτων ὁμοίως τρέφουσιν αἱ βάλανοι, καὶ τό γε παλαιόν, ὡς φασίν, ἀπὸ τούτων μόνον διέζων οἱ ἄνθρωποι, ἀρκάδες δὲ καὶ μέχρι πολλοῦ χρόνου, τῶν ἄλλων ἁπάντων Ἑλλήνων τοῖς δημητρίοις καρποῖς χρωμένων. ἔστι δὲ βραδύπορος ἡ ἀπ' αὐτῶν τροφὴ καὶ παχύχυμος, οἷς ἀκόλουθον ἐστὶ καὶ δυσπεπτον ὑπάρχειν αὐτήν. εἰς ἅπαντα δὲ χείρων ἐστίν, ἡ μιμήκυλος τῆς ἀπὸ τῶν δρυῶν βαλάνου, καθάπερ αὕτη τῆς τῶν καστανῶν ὀνομαζομένων. ἄρισται γὰρ ἐκεῖναι τῶν βαλάνων εἰσίν, ἔνιοι δὲ λοπίμους αὐτοὺς ὀνομάζουσιν. οὗτοι καὶ μόνοι

τῶν ἀγρίων καρπῶν ἀξιόλογον τροφὴν δίδωσι τῷ σώματι. κράνια γὰρ καὶ πρῖνα, καὶ βάτινα, καὶ κυνόσβατα καὶ βράβυλα, καὶ μιμήκυλα, καὶ ζίζυφα, καὶ δίοσφυρα, καὶ ἀλυκάκαβα, καὶ ὁ τῆς τερμίνθου, καὶ ὁ τῆς ἀχέρδου καρπός, ὅσα τ' ἄλλα τοιαῦτα βραχὺ μέν τι τρόφιμον ἔχειν, κακόχυμα δὲ πάντ' ἐστὶ καί τινα γ' αὐτῶν καὶ κακοστόμαχα, καὶ ἀηδῆ, συῶν ὄντα βρώματα, καὶ τούτων οὐχ ἡμέρων, ἀλλὰ τοῖς ὄρεσι διαιτωμένων, ἀπ' αὐτῶν οὖν ἐκεῖνοι πλεῖστον ἔχουσι τροφήν.

περὶ τῆς διὰ τῶν φυτῶν τροφῆς.

Οὐ μόνον σπέρματα καὶ καρποὺς τῶν φυτῶν ἐσθίομεν ἀλλὰ καὶ αὐτὰ πολλάκις μὲν ὅλα, πολλάκις δὲ ῥίζας μόνον, ἢ ἀκρέμονας, ἢ τὰ νέα βλαστήματα κατὰ τὴν ἐπείγουσαν ἑκάστοτε χρείαν. ἀφέψειν γοῦν εἰωθότες οἱ παρ' ἡμῖν ἄνθρωποι τόν τε καυλὸν καὶ τὰ φύλλα τῶν γογγυλίδων, ἃς καὶ βουνιάδας ὀνομάζουσιν, ἐσθίουσιν ἐνίοτε. καὶ ταῦτ' ἐν ἀπορίᾳ καταστάντες ἀμεινόνων ἐδεσμάτων. οὕτω τε καὶ τὰ τῶν ῥαφανίδων καὶ τὰ τῶν καλουμένων ἐπιχωρίῳ φωνῇ παρ' ἡμῖν ῥαπίων. ἔστι δ' ὡς ἄν τις εἴποι, ῥαφανὶς ἀγρία, τὸ φυτὸν τοῦτο, καὶ πύρεθρον δὲ καὶ σία καὶ ἱπποσέλινα καὶ μάραθρα, σκάνδικα καὶ κιχώρεια καὶ χονδρίλας, καὶ γιγγίδια, καὶ δαύκους, καὶ πλείστων δένδρων τε καὶ θάμνων τὰς ἁπαλὰς βλάστας ἕψοντες ἐσθίουσιν οἱ ἄνθρωποι, πολλάκις ὑπὸ λιμοῦ βιαζόμενοι. τινὰ δὲ καὶ χωρὶς λιμοῦ, καθάπερ ἔνιοι τὴν κορυφὴν τοῦ φοίνικος, ἣν ὀνομάζουσιν ἐγκέφαλον αὐτοῦ. τί δεῖ λέγειν ἔτι περὶ τῶν ἁπαλῶν ἀκανθῶν. εἰσὶ γὰρ αὗταί γε καὶ χωρὶς λιμοῦ δι' ὄξους ἐσθιόμεναι, καὶ γάρου μέτριον ἔδεσμα. προσεπιβάλλουσι δ' ἔνιοι, καὶ τὸ ἔλαιον αὐταῖς, μάλιστα ὅταν ἐν ὕδατι προαποζεσθῶσι, δῆλος γὰρ αὐταῖς χρῶνται, πολλάκις μὲν ὠμαῖς, ἔνιοι τε καὶ ἑψημέναις. ἀκανθώδη δὲ λέγω φυτά, σκολύμους, ἀτρακτυλίδας ἠρύγγιόν τε καὶ κνῖκον καὶ ἀτραγίδα, καὶ καλουμένην λευκάκανθον, ἔτι τε τὸ ἕτερον εἶδος τοῦ χαμαιλέοντος, ὧν ἔνια, τινὲς τῶν κατὰ τοὺς ἀγροὺς ἐμβαλόντες εἰς ὄξος, ἢ ἅλμην ἀποτίθενται αὐτά, καθάπερ καὶ τὰς γογγυλίδας καὶ τὰ κρόμμυα καὶ τὰ ἀμπελόπρασα καλούμενα, καὶ πύρεθρα, ἕτερά τε τοιαῦτα. τούτου δέ πως τοῦ γένους ἐστὶ καὶ κιφόρια καὶ κολοκάσια, καὶ τὸ καλούμενον ἄβαζυ. πρόδηλον ὅτι πρὸς δὲ τὸ βραχεῖαν τροφὴν διδόναι τῷ σώματι, κακόχυμα πάντ' ἐστὶ ταῦτα. καί τινα γ' αὐτῶν ἐστι κακοστόμαχα, πλὴν ὡς ἔφην, τῶν ἀκανθῶν ἄρτι τῆς γῆς ἀνισχόντων. ὅσα δ' αὐτῶν ἐμβάλλοντες εἰς ἅλμην ἢ ὄξος, ἀποτίθενται, καὶ φυλάττουσιν εἰς ὅλον τὸν ἑξῆς ἐνιαυτόν, ἐπικτᾶταί τι παρὰ τῆς σκευασίας προκλητικὸν εἰς ἐδωδήν, εἰ μετρίως αὐτῶν τις γεύοιτο, καθάπερ οἵ τε τῆς ἄγνου βλαστοί, καὶ οἱ τῆς τερμίνθου. ταῦτα μὲν οὖν ἐν τοῖς ἀγρίοις φυτοῖς ἀριθμοῦσι, καὶ κοινῇ περὶ αὐτῶν αὔταρκες ἐγνωκέναι, κακόχυμα πάντ' εἶναι. περὶ δὲ τῶν ἡμέρων, οὐ κατὰ κοινὸν λόγον, ἀλλ' ἰδίᾳ τὴν ἑκάστου δύναμιν ἐπίστασθαι πολὺ κάλλιόν ἐστι, καὶ μάλιστα, τῶν συνεχῆ τὴν χρῆσιν ἐχηκότων, ἃ καὶ δι' αὐτὸ τοῦτο σπουδάζεται τοῖς ἀνθρώποις ὑπὸ μακρᾶς πείρας βασανισθέντα τῶν ἄλλων εἶναι βελτίω, καὶ τοίνυν ἤδη περὶ αὐτῶν ἐφεξῆς ἐρῶ τὴν ἀρχὴν ἀπὸ τῶν λαχάνων ποιησάμενος.

περὶ θριδακίνης.

Προὔκριναν πολλοὶ τῶν ἰατρῶν τὸ λάχανον τοῦτο τῶν ἄλλων ἁπάντων, ὥσπερ τὰ σῦκα τῆς ὀπώρας. εὐχυμότερον γάρ ἐστιν αὐτῶν. ὃ δὲ μέμφονται τινὲς αὐτοῦ, μέγιστον ἔπαινον ἔχει. καὶ εἴπερ ἂν τ' ὡς ἀληθὲς ἦν, οὐ μόνον λαχάνων, ἀλλὰ καὶ τῶν εὐχυμοτάτων τε καὶ τροφιμωτάτων ἐδεσμάτων οὐδὲν ἂν ἦν δεύτερον, αἷμα γοῦν αὐτήν φασι γεννᾶν. ἔνιοι δ' οὐχ ἁπλῶς αἷμα λέγουσιν, ἀλλὰ πολὺ προστιθέασι, πολὺ γεννᾶν αἷμα λέγοντες τὴν θριδακίνην, ἀλλ' οὗτοι κἂν εἰ φρονιμώτερον ἐγκαλοῦσι, μείζονά γε ψεύδονται τῶν ἑτέρων, καίτοι καὶ αὐτό, τὸ πολὺ γεννᾶν αἷμα λεγόμενον, οὐκ ἄν τις εὐλόγως μέμψαιτο. δῆλον γὰρ ὅτι τὸ τοιοῦτον πάντων ἂν εἴη τῶν ἐδεσμάτων εὐχυμότατον, εἴ γε πλεῖστον μὲν αἷμα, τῶν δ' ἄλλων χυμῶν, οὐδένα γεννᾶν πέφυκεν. εἰ δὲ πλεῖστον ἀθροίζεσθαι φήσουσιν ἐκ τῆς θριδακίνης, καὶ διὰ τοῦτο μέμφοιντο, ῥᾷστον ἐπανορθώσασθαι τὸ ἔγκλημα, δυναμένων γε τῶν ἐσθιόντων αὐτάς, διαπονεῖσθαι μὲν πλείω, προσφέρεσθαι δὲ ὀλίγας. ταῦτα μὲν οὖν ἀπόχρη λέγεσθαι πρὸς τοὺς ψέγοντας οὐκ ὀρθῶς τὸ λάχανον τοῦτο. γινώσκειν δὲ χρὴ πάντων τῶν λαχάνων ὀλίγιστόν τε καὶ κακόχυμον αἷμα γεννώντων ἐκ τῆς θριδακίνης, οὐ πολὺ μὲν οὐδὲ κακόχυμον οὐ μὴν εὔχυμόν γε τελέως, αἷμα γίνεσθαι. ἐσθίουσι δ' αὐτὴν ὡς τὰ πολλὰ μὲν ὠμήν. ὅταν δ' εἰς σπέρματος γένεσιν ἐξορμᾶν ὑπάρξηται θέρους ὥρα προαπεψήσαντες ἐν ὕδατι γλυκεῖ, προσφέρονται δι' ἐλαίου καὶ γάρου, καὶ ὄξους, ἢ διά τινος τῶν ὑποτριμμάτων, καὶ μάλιστα ὅσα διὰ τυροῦ σκευάζονται. χρῶνται δ' αὐτῇ καὶ πρὶν εἰς καυλὸν ὁρμῆσαι πολλοὶ δι' ὕδατος ἕψοντες, ὥσπερ κἀγὼ νῦν ἠρξάμην ἀφ' οὗ τῶν ὀδόντων φαύλως ἔχω. εἰδὼν γάρ τις τῶν ἑταίρων ἐν ἔθει μὲν ὄν μοι ἐκ πολλοῦ τὸ λάχανον, ἐπίπονον δὲ νῦν ἴσχοντα τὴν μάσησιν, εἰσηγήσατο τὴν ἕψησιν. ἐχρώμην δὲ θριδακίναις ἐν νεότητι μέν, ἐκχολουμένης μοι συνεχῶς τῆς ἄνω γαστρός, ἐμψύξεως ἕνεκεν, ὁπότε δ' εἰς τὴν καθεστηκυῖαν ἡλικίαν ἧκον, ἄκος ἦν μοι τὸ λάχανον τοῦτο τῆς ἀγρυπνίας, ἔμπαλιν ἢ ὡς ὅτε μειράκιον ἦν, ἐσπουδακότι περὶ τὸν ὕπνον. ἐθισμένως τε γὰρ ἑκουσίως ἀγρυπνεῖν ἐπὶ νεότητος, ἅμα τε καὶ τῆς τῶν παρακμαζόντων ἡλικίας ἀγρυπνητικῆς οὔσης, ἀκουσίως ἀγρυπνῶν ἐδυσφόρουν, καί μοι μόνον ἀλεξιφάρμακον ἀγρυπνίας ἦν, ἑσπέρας ἐσθιομένη θριδακίνη. λέγω δὲ οὐκ ἄλλο τι θριδακίνην, ἢ ὃ πάντες οἱ νῦν ἄνθρωποι καλοῦσι θρίδακα, ἐπεί τι παρ' ἡμῖν, ἕτερόν τι λάχανον ἄγριον ὀνομάζεται θριδακίνη, παρά τε τὰς ὁδοὺς φυόμενον, ἐπί τε τοῖς ὑψηλοῖς τῶν τάφρων, ἔτι τε κατὰ τὰς καλουμένας λιβάδας, καὶ πολλὰς τῶν ἀσπόρων χώρων. ἔστι δὲ μικρὸν ἐκεῖνο τὸ λάχανον, οἷόν περ ἡ ἄρτι φυομένη θρίδαξ ἡ κηπευομένη. καίτοι καὶ βραχὺ πικρότητος ἐμφαίνει, καὶ μᾶλλον ἔτι κατὰ τὴν αὔξησιν, ἐκκαυλῆσαν δὲ καὶ πάνυ σαφῆ τὸν πικρὸν ἔχει χυμόν. ὅμοιον δέ τι λάχανον τῇ θριδακίνῃ τῇδε, καὶ ἣν ὀνομάζουσι χονδρίλην, ἐστί, καὶ θᾶττον εἰς καυλὸν ἐξορμᾷ, πικρότητα σαφεστέραν ἔχον, καί τινα γλίσχρον τε καὶ λευκὸν ὀπόν, οἷός περ ὁ τῶν τιθυμάλλων ἐστίν, ἀλλ' οὐ δριμὺς ὡς ἐκείνοις, ᾧ πρὸς ἀνακόλλησιν ἐνίοτε χρώμεθα τῶν ἐν τοῖς βλεφάροις τριχῶν. ταῦτα μὲν οὖν ἄγρια καλεῖται λάχανα, πρὸς διορισμὸν τῶν κηπαίων. εἴρηται δὲ μικρὸν ἔμπροσθεν περὶ αὐτῶν κοινῇ. περὶ δὲ τῆς κηπευομένης θριδακίνης τῆς ἅπασι συνήθως ἐσθιομένης, τῆς καὶ καλουμένης θρίδακος, ἐν κεφαλαίῳ πάλιν ἀναλαβών, ἐρῶ μνήμης ἕνεκεν, ὡς ὑγρὸν μὲν ἔχει τὸν χυμὸν καὶ ψυχρόν, οὐ μήν γε καὶ κακόχυμος.

κακόχυμός ἐστι. διὰ τοῦτο οὖν οὐδ' ἀπεπτεῖται, τοῖς ἄλλοις λαχάνοις ὁμοίως, οὐδ' ἐπέχει τὴν γαστέρα, ὥσπερ οὐδὲ προτρέπει, καὶ ταῦτ' εἰκότως αὐτῇ συμβέβηκε, μήτ' αὐστηρόν τι ἐχούσῃ μήτε στρυφνόν, ἐφ' ὧν ἴσχεται τοὐπίπαν ἡ γαστήρ, ὥσπερ ὑπὸ τῶν ἁλυκῶν τε καὶ δριμέων καὶ ὅλως ῥυπτικόν ἐχόντων τι προτρέπεται πρὸς ἔκκρισιν, ὧν οὐδ' αὐτῶν ὑπάρχει τι τῇ θριδακίνῃ.

περὶ σέρεως.

Εἶτ' οὖν τὰς παρὰ ῥωμαίοις ἰντίβους προσαγορευομένας μόνας ὠνόμαζον οἱ πρόσθεν ἀθηναῖοι σέρεις, ἤ τινα καὶ ἄλλα τῶν ἀγρίων λαχάνων φυτῶν, οὐκ ἀκριβῶς ἔχω φάναι. οἱ δ' ἴντιβοι, ταῖς θρίδαξι παραπλησίαν ἔχουσι τὴν δύναμιν, ἀπολειπόμενοι καθ' ἡδονὴν αὐτῶν, καὶ τἄλλα τὰ πρόσθεν εἰρημένα, περὶ θριδακίνης.

περὶ μαλάχης.

Ἔστι καὶ ταύτης ἑτέρα τῆς κηπευομένης ἡ ἀγρία μαλάχη, καθάπερ τῆς θρίδακος ἡ θριδακίνη. διαφέρει δὲ τῶν ὁμοειδῶν φυτῶν, ξηρότητι μὲν τὸ ἄγριον, ὑγρότητι δὲ τὸ κηπευόμενον. ἔχει δέ τι καὶ γλίσχρον κατὰ τὸν χυλὸν ἡ μαλάχη τῆς θρίδακος οὐκ ἐχούσης. ἀποκεχώρηκέ τε σαφῶς, τοῦ ψύχειν, ὡς καὶ πρὸ τῆς ἐδωδῆς ἔνεστι γνῶναι καταπλάσαντα ἐπί τινος τῶν θερμῶν παθῶν, οἷον περ ἐστὶ τὸ ἐρυσίπελας, ἀμφοτέροις ἐν μέρει τοῖς λαχάνοις, ὥσπερ καὶ ποιοῦσιν οἱ ἄνθρωποι, τρίβοντες ἐπιμελῶς τὰ μαλακὰ τῶν φύλλων, ἄχρι τοῦ λειότητα γενέσθαι. γνώσεται γοῦν ἐν τῷδε, τὴν μὲν θρίδακα, ψύχουσαν φανερῶς, μετρίαν δέ τινα καὶ οἷον χλιαρὰν θερμασίαν ἔχουσαν τὴν μαλάχην. ὑπέρχεται δὲ τὸ λάχανον ῥᾳδίως τοῦτο, οὐ διὰ τὴν ὑγρότητα μόνον, ἀλλὰ καὶ διὰ τὴν γλισχρότητα, καὶ μάλιστα ὅταν ἐλαίου τε καὶ γάρου δαψιλῶς τις οὕτως συγκαταπίῃ. μετρίως δὲ ἔχει καὶ κατὰ τὴν θρέψιν αὐτή. τῶν τριῶν δὲ λαχάνων τούτων εἰ παραβάλλοις τὸν χυλόν, ὁ μὲν τοῦ τεύτλου λεπτομερής τε καὶ ῥυπτικός ἐστιν, ὁ δὲ τῆς μαλάχης, παχύτερός τε καὶ γλισχρότερος, ὁ δὲ τῆς θριδακίνης, μέσος ἀμφοῖν.

περὶ τεύτλου.

Μαλάχην μὲν ἔφην, οὐ μόνον ἥμερον, ἀλλὰ καὶ ἀγρίαν εἶναί τινα, καθάπερ γε καὶ θριδακίνην. ἄγριον δὲ τεῦτλον οὐκ ἔστιν, εἰ μή τις ἄρα τὸ λάπαθον, οὕτως ὀνομάζειν βούλοιτο. χυλὸς δ' ἐν τοῖς τεύτλοις εἶναι φαίνεται ῥυπτικός, ὃς καὶ τὴν γαστέρα πρὸς ἔκκρισιν ἐπεγείρει, καὶ τὸν στόμαχον ἐνίοτε δάκνει, καὶ μάλιστ' ἐκείνων ὅσοι περ ἂν εὐαίσθητον αὐτὸν ἔχουσι φύσει, καὶ διὰ τοῦτο κακοστόμαχόν ἐστιν ἔδεσμα πλείω βρωθέν. ἡ τροφὴ δὲ ἡ ἀπ' αὐτοῦ βραχεῖα, καθάπερ ἡ ἐπὶ τῶν ἄλλων λαχάνων. ἐπιτηδειότερον δὲ αὖ ἐστι μαλάχης εἰς τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις. ἔτι δὲ μᾶλλον ὅταν μετὰ νάπυος, ἢ πάντως γε μετ' ὄξους ἐσθίηται, καὶ τοῖς ὑποσπληνίοις δὲ τὸν αὐτὸν τρόπον, ἐσθιόμενον, ἀγαθὸν γίνεται φάρμακον. εἰκότως γὰρ ἄν τις αὐτὸ φάρμακον εἴποι μᾶλλον, ἢ τροφήν, ὅταν οὕτως ἐσθίηται, καὶ τοῖς ἀνθρώποις δὲ ὁρῶ σχεδόν, ἅπαντα τὰ τοιαῦτα δίκην ὄψων, οὐ τροφῶν ἐσθιόμενα, καθάπερ ἐνίοτε καὶ πράσον, καὶ γλήχωνα, καὶ θύμα, καὶ ὀρίγανον, ἔτι τε καὶ κρόμμυον, καὶ σκόροδον, καὶ κάρδαμον, ὅσα τε ἄλλα τοιαῦτα.

περὶ κράμβης.

Καὶ ταύτην οἱ πολλοὶ μὲν ὡς ὄψον ἐσθίουσιν, ἰατροὶ δέ, ὡς φαρμάκῳ ξηραίνοντι χρῶνται. λέλεκται δὲ περὶ αὐτῆς ἤδη μέν τινα κἀν ταῖς τῶν φαρμάκων δυνάμεσι, κἀν τῷ πρὸ τοῦδε συγγράμματι, καὶ νῦν δὲ καὶ ἐπὶ κεφαλαίων εἰρήσεται, τὸν μὲν χυλὸν αὐτῆς, ἔχειν τι καθαρτικόν. αὐτὸ δὲ τὸ σῶμα, κατὰ τὸν τοῦ ξηραίνοντος λόγον, ἐπέχειν μᾶλλον, ἢ προτρέπειν εἰς ὑποχώρησιν. ὅταν μὲν οὖν ἐκκρίνεσθαι βουλώμεθα τὰ κατὰ τὴν γαστέρα, πλησίον κειμένης τῆς κακκάβης ἐν ᾗπερ ἂν ἑψημένη τύχῃ μετὰ ὕδατος ἀνασπῶντας αὐτὴν εὐθέως, ἐμβάλλειν χρὴ τοῖς ἀγγείοις ἐν οἷσπερ ἐσκεύασται τοὔλαιον ἅμα τῷ γάρῳ. διαφέρει δ' οὐδὲν εἰ ἁλῶν ἀντὶ γάρου λαμβάνοιτο. ξηρᾶναι δὲ ὑγρὰν γαστέρα βουληθέντες, ὅταν ἤδη μετρίως ἑψεῖσθαι δοκῇ, τὸ πρότερον ὕδωρ ἀποχέοντες, ἐμβάλλομεν εὐθέως ἑτέρῳ θερμῷ, κἄπειτα πάλιν ἐκείνῳ καθεψήσωμεν, ὡς τακερὰν γενέσθαι, μὴ καθεψῶντες ὅταν ὑπαγωγῆς ἕνεκα λαμβάνηται. βουλόμεθα γὰρ οὐκ ἀφαιρεῖσθαι πάντα τὸν ἴδιον αὐτῆς χυλὸν ἐπὶ τῆς τοιαύτης χρείας, ἀλλὰ φυλάττειν ὅσον οἷόν τε μάλιστα. τελέως μὲν οὖν φυλάττειν τὸ ἴδιον χυλὸν οὐδὲν ἑψομένων δύναται, μᾶλλον δὲ ἀποβάλλει τὰ μέχρι πλείονος ἑψηθέντα. καὶ μέντοι καὶ φακὴν ἔφαμεν ὁμοίως κράμβῃ χρῆναι σκευάζειν, ἀμφότερα καὶ αὐτὴν ἐργάζεσθαι δυναμένην ὑπαγωγήν τε καὶ στάσιν γαστρός. ὀνομάζεται δὲ ἡ οὕτως σκευασθεῖσα, δίσεφθος καὶ κράμβη καὶ φακή, καὶ κρόμμυον δὲ καὶ πράσον, καὶ πολὺ μᾶλλον, ἀμπελόπρασόν τε καὶ σκόροδον, ὅτι τ' ἂν ἄλλο βουληθεὶς ἐπὶ τοὐναντίον ἀποστῆσαι τῆς ἀρχαίας φύσεως οὕτως σκεύαζε, μεμνημένος ἐκείνου πρὸ πάντων, ὡς οὐ χρὴ ψαύειν, οὔτ' ἀέρος, οὔθ' ὕδατος ψυχροῦ τὸ δὲ ἑψόμενον, οὐκέτι γὰρ ἀκριβῶς γίνεται τακερόν, οὐδ' ἂν ἐπὶ πλεῖστον ἕψῃς, ἀλλὰ χρή, καθάπερ εἶπον ἀρτίως, ἕτοιμον ἔχοντας ὕδωρ θερμόν, ἀνελκύσαντας ἐκ τοῦ προτέρου μεταβάλλειν εὐθέως εἰς ἐκεῖνο. ξηραίνει μὲν οὖν ἀλλήλοις παραπλησίως, φακή τε καὶ κράμβη, καὶ διὰ τοῦτο τὴν ὄψιν ἀμβλύνει, πλὴν εἰ τύχοι ποθ' ὑγρότερος ὢν παρὰ φύσιν σύμπας ὁ ὀφθαλμός. ἀλλ' ἡ μὲν φακὴ τροφὴν οὐκ ὀλίγην δίδωσι τῷ σώματι, καὶ ταύτην παχεῖάν τε καὶ μελαγχολικήν, ἡ δὲ κράμβη βραχεῖαν τὴν τροφὴν ἔχει, καὶ ταύτην ὑγροτέραν τῆς φακῆς, ὡς ἂν εἰ στερεὸν οὐκ οὖσα σιτίον, ἀλλὰ χαῦνον, οὐ μὴν εὔχυμόν ἐστιν ἔδεσμα κράμβη, καθάπερ ἡ θριδακίνη, ἀλλὰ καὶ μοχθηρὸν ἔχει καὶ δυσώδη τὸν χυλόν. ἐπιφανὲς δ' εἰς ὄρεξιν οὔτ' ἀγαθόν, οὔτε κακὸν ἐξ αὐτῆς ἀποβαῖνον εἰπεῖν ἔχω. τοῦτο τὸ λάχανον οἱ τὴν ἐπίτριπτον ψευδοπαιδείαν ἀσκοῦντες ὀνομάζειν ἀξιοῦσι ῥάφανον, ὥσπερ τοῖς πρὸ ἑξακοσίων ἐτῶν ἀθηναίοις διαλεγομένων ἡμῶν, ἀλλ' οὐχὶ τοῖς νῦν ἕλλησιν, οἷς ἅπασιν ἔθος ἐστὶν ἐπ' ἄλλου φυτοῦ τὸ τῆς κράμβης ὄνομα φέρειν.

περὶ ἀτραφάξυος καὶ βλίτου.

Ὑδατωδέστερα λαχάνων ἐστὶ ταῦτα, καὶ ὡς ἂν εἴποι τις, ἄποια τῆς κολοκύνθης ἢ καὶ μᾶλλον, ἢ πάντως οὐχ ἧττον ὅταν ἑψηθέντα τύχῃ δηλονότι. μόνη γὰρ ἐν τοῖς τοιούτοις ἡ θρίδαξ ἑκατέρως ἐσθίεται. κατανοήσας δέ τις

ἀτραφάξιος τε καὶ βλίτου τὴν διὰ τῆς γεύσεως ποιότητα, κἄπειτα ἀναμνησθεὶς κράμβης, ἐν τῷ μέσῳ συγχωρήσει τὴν βεῖδακα τῶν λαχάνων τούτων εἶναι καὶ τῆς κράμβης, ἐπειδὴ ξηραίνει μὲν ἱκανῶς ἐκείνη, ταῦτα δὲ ὑδατώδη τελέως ἐστί, καὶ διὰ τοῦτο ἐμβάλλοντες ὄξος, οὐκ ἐκ μόνου ἐλαίου τε καὶ γάρου προσφέρονται μᾶλλον αὐτά, κακοστόμαχα γὰρ ἄλλως λαμβανόμενα. λέλεκται δὲ ὡς τὰ τοιαῦτα λάχανα, ῥέπει μὲν πως ἤδη τὸ ῥαδίως ὑπιέναι. καὶ μάλιστ᾽ ἂν ἔχει μετὰ τῆς ὑγρότητος ὀλισθηρόν, οὐ μὴν ἰσχυράν γε τὴν κάτω ῥοπήν, ἀλλὰ βραχεῖαν ἔχει, διὰ τὸ μηδεμίαν ὑπάρχειν αὐτοῖς, ἢ δριμεῖαν, ἢ νιτρώδη ποιότητα, πρὸς ἔκκρισιν ἐπεγείρουσαν τὴν γαστέρα. πρόδηλον δ᾽ ὅτι καὶ τὴν ἀφ᾽ ἑαυτῶν τροφὴν ἐλαχίστην δίδωσι τῷ σώματι.

περὶ ἀνδράχνης.

Ως ἐδέσματι μὲν χρῶνται τινές, ὀλίγην δὲ τροφὴν ἔχει, καὶ ταύτην ὑγράν, καὶ ψυχράν, καὶ γλίσχραν, ὡς φάρμακον δ᾽ αἱμωδίαν ἰᾶται, διὰ τὴν ἄδηκτον γλισχρότητα, περὶ ἧς ἐπὶ πλέον ἐν τῇ τῶν εὐπορίστων φαρμάκων πραγματείᾳ λέγεται.

περὶ λαπάθου.

Δύναταί τις, ὡς πρόσθεν ἔφην, ἄγριον εἶναι φάναι τεῦτλον αὐτό, παραπλήσιον ὑπάρχον οὐ τῇ γεύσει μόνον, ἀλλὰ καὶ τῇ δυνάμει τῷ κηπευομένῳ τεύτλῳ. ἐπεὶ δὲ τὸ τεῦτλον ἥδιόν ἐστι τοῦ λαπάθου, διὰ τοῦτο μᾶλλον ἐσθίουσιν αὐτὸ πάντες οἱ ἄνθρωποι. διὰ τοῦτ᾽ οὖν οὐδὲ ἐγὼ δέομαι λόγου τινός, περὶ λαπάθου, περὶ τοῦ τεύτλου πάνθ᾽ ὅσα προσήκει εἰρηκώς.

περὶ ὀξυλαπάθου.

Καὶ τοὔνομα ἐμφαίνει τοῦ φυτοῦ τοῦδε τὴν ποιότητα καὶ τὴν δύναμιν, ἔστι γὰρ λάπαθον ὀξύ. τὸ μὲν οὖν λάπαθον οὐκ ἄν τις ὠμὸν φάγοι, καθάπερ οὐδὲ τὸ τεῦτλον. ὀξυλάπαθον δὲ ἐσθίουσιν ὠμόν, ἤδη τῆς ἀγροικίας αἱ κιττῶσαι γυναῖκες, ἐνίοτε καί τινα τῶν περιέργων παιδίων. εὔδηλον δ᾽ ὅτι καὶ τοῦτο τῶν ἀτρόφων λαχάνων ἐστὶ πολὺ μᾶλλον, ἢ τὸ λάπαθον.

περὶ στρύχνου.

Τῶν ἐσθιομένων λαχάνων οὐδὲν οἶδα τοσαύτην ἔχοντα στύψιν, ὅσην ὁ στρύχνος. εἰκότως οὖν ὡς τροφῇ μὲν αὐτῷ σπανιάκις, ὡς φαρμάκῳ δὲ συνεχῶς χρώμεθα. δραστήριον μὲν γάρ ἐστιν, εἰς ὅσα ψύξεως στυφούσης ἐστὶ χρεία, τροφὴν δ᾽ ἐλαχίστην ἔχει.

περὶ ἀκανθωδῶν φυτῶν.

Ἀνίσχοντα τῆς γῆς ἄρτι τὰ τοιαῦτα φυτὰ πρὶν εἰς ἀκάνθας αὐτῶν τελευτῆσαι τὰ φύλλα, πολλοὶ τῶν ἀγροίκων ἐσθίουσιν, ὠμὰ μόνον, ἀλλὰ καὶ δι᾽ ὕδατος ἕψοντες ἐναποβάπτοντες δὲ τὰ μὲν ὠμά, γάρῳ καὶ ὄξει, τὰ δὲ ἑφθὰ τούτοις αὐτοῖς ἐπιχέοντες ἔλαιον. ὅτι δὲ ἐλαχίστην τροφὴν ἔχει πάντα τὰ λάχανα καὶ ταύτην ὑδατώδη καὶ λεπτήν, ἔμπροσθεν εἴρηται. τὰ δ᾽ οὖν ἀκανθώδη μετρίως ἐστὶν εὐστόμαχα τούτων τῶν φυτῶν καὶ σκόλυμός ἐστι, καὶ ἀτρακτυλίς, ἢ καὶ ἡ καλουμένη λευκάκανθα, δίψακός τε καὶ κνῆκος. καὶ τραγάκανθα, καὶ ἀτραγίς, ἥτε τετιμημένη μειζόνως ἢ προσήκει, κινάρα,

περὶ κινάρας.

Καλοῦσι δ᾽ αὐτὴν οἱ πάντες φεύγοντες τὸ συνῆθες, οὐ διὰ τοῦ κ. καὶ τοῦ ι. τὴν πρώτην συλλαβὴν ὀνομάζοντες. ἀλλὰ διὰ τοῦ κ. καὶ υ. κακόχυμον δὲ ἐστὶν ἔδεσμα, καὶ μάλισθ᾽ ὅταν ἤδη σκληροτέρα γένηται, καὶ γὰρ τὸν χολώδη χυμὸν ἐν ἑαυτῇ πλείονα τηνικαῦτα ἴσχει, καὶ τὴν ὅλην οὐσίαν † σκληρωδεστέραν. ὥστ᾽ ἐκ μὲν ταύτης μελαγχολικὸν γεννᾶσθαι χυμόν, ἐκ δὲ τοῦ χυλοῦ τοῦ κατ᾽ αὐτήν, λεπτὸν καὶ πικρόχολον. ἄμεινον οὖν ἀφεψοῦντας αὐτὴν οὕτως ἐσθίειν, εἰ μὲν δι᾽ ἐλαίου καὶ γάρου καὶ οἴνου προσφέροιτό τις, ἐπεμβάλλοντα κορίανον, εἰ δὲ ἐν λοπάδι σκευάζων, ἢ ταγηνίζων, ἄνευ τούτων. πολλοὶ γὰρ οὕτως ἐσθίουσι τὰς οἷον κεφαλὰς αὐτῶν, ἃς ὀνομάζουσι σπονδύλους.

† al. ξυλωδεστέραν

περὶ σελίνων καὶ ἱπποσελίνων καὶ σίων καὶ σμυρνίου.

Πάντα ταῦτα ἐστὶν οὐρητικά. συνηθέστατα δ᾽ αὐτῶν ἔτι καὶ ἡδίω καὶ εὐστομαχώτερα τὰ σέλινα, τὸ δ᾽ ἱπποσέλινον, καὶ σίον ἀηδέστερα. τὸ μὲν οὖν σμύρνιον, οὐκ ἀηθές. ἐν γοῦν τῇ Ῥώμῃ, πάμπολυ πιπράσκεται. δριμύτερον δ᾽ ἐστὶ καὶ θερμότερον πολλῷ τοῦ σελίνου. καί τι καὶ ἀρωματῶδες ἔχει. μᾶλλον τε οὖν οὐρητικόν ἐστι σελίνου, καὶ ἱπποσελίνου καὶ σίου, καὶ γυναιξὶ κινεῖ τὰ καταμήνια. ποιεῖ δὲ καὶ καυλὸν ἦρος ὥρᾳ, δυνάμενον ὠμὸν ἐσθίεσθαι παραπλησίως τοῖς φύλλοις, ἃ διὰ τοῦ χειμῶνος ἦν μόνα τῷ φυτῷ, μὴ δέ πω καυλὸν ἔχοντι. καθάπερ οὐδὲ τὸ σέλινον, ὕστερον δὲ προγινομένου τοῦ καυλοῦ, τὸ σύμπαν ἥδιον γίνεται, κἂν ὠμὸν ἐσθίῃ τις αὐτό, κἂν ἑφθόν, εἴτ᾽ ἐξ ἐλαίου, καὶ γάρου τύχοι βουληθείς, εἴτ᾽ οἴνου προσεπεμβάλλων, εἴτε ὄξους. ἔνιοι δὲ καὶ δι᾽ ὄξους καὶ γάρου μόνου ἐσθίουσι, καθάπερ τὰ σέλινα. τινὲς δὲ τούτοις ἐπεμβάλλουσιν ἐλαίου βραχύ. τὸ δὲ ἱπποσέλινόν τε καὶ σίον, ἕψοντες ἐσθίουσιν, ὠμὸν γὰρ ἑκάτερον αὐτῶν ἀηδὲς φαίνεται. τά γε μὴν σέλινα, καὶ τὰ σμύρνια, καὶ τῆς θρίδακος φύλλοις μιγνῦντες προσφέρονταί τινες, ἄποιον γὰρ οὖσα λάχανον ἡ θρίδαξ, ἔτι τε ψυχρὸν ἔχουσα χυμόν, ἡδίων τε ἅμα καὶ ὠφελιμωτέρα γίνεται, τῶν δριμέων τι προσλαμβάνουσα. διὰ τοῦτο γοῦν ἔνιοι, καὶ τὰ τῶν εὐζώμων καὶ τὰ τῶν πράσων φύλλα μιγνύουσιν αὐταῖς, εἰσὶ δὲ οἱ καὶ τῶν ὠκίμων. ὀνομάζουσι δ᾽ ἐν Ῥώμῃ συνήθως ἤδη πάντες οὐ σμύρνιον, ἀλλ᾽ ὀλουσάτρον τὸ λάχανον τοῦτο. καί τις ἴσως αὐτὸ τὴν ἀρχὴν οὐδὲ ἀριθμεῖν ἐν ταῖς τροφαῖς ἀξιώσει, καθάπερ οὐδὲ τὸ σίον, οὐδὲ τὸ ἱπποσέλινον. εἶναι γὰρ ἅπαντα τὰ τοιαῦτα τῶν σιτίων ὄψα, καθάπερ καὶ τὰ κρόμμυα καὶ τὰ σκόροδα, πράσα τε καὶ ἀμπελόπρασα, καὶ πάντα ἁπλῶς τὰ δριμέα. τούτου δὲ τοῦ γένους ἐστὶ καὶ πήγανον, καὶ ὕσσωπον, ὀρίγανόν τε καὶ μάραθρον, καὶ κορίανον, περὶ ὧν ἐν τοῖς ὀψαρτυτικοῖς συγγράμμασι λέγεται, κοινοῖς μέν πως οὖσιν ἰατροῖς τε καὶ μαγείροις, ἔχουσι δὲ τέλος καὶ σκοπὸν ἴδιον. ὠφελείας γὰρ ἡμεῖς στοχαζόμεθα τῆς τῶν ἐδεσμάτων οὐχ ἡδονῆς, ἤδη δ᾽ ἐνίων, ἡ διὰ τὴν ἡδονὴν ἀηδία μέγα μέρος

γα μέρος εἰς ἀπεψίαν συμβάλλεται. ἐπεὶ τοῦτ' ἂν μετρίως ἡδύνειν αὐτὰ βέλτιόν ἐστιν. ἡ δὲ τῶν μαγείρων ἡδονὴ μοχθηροῖς οὕτως ἀρτύμασιν ὡς τὸ πολὺ χρῆται συνήθως. ὡς ἀπεψίαν μᾶλλον, ἢ εὐπεψίαν αὐτοῖς ἕπεσθαι.

περὶ εὐζώμου.

Θερμαίνει σαφῶς πάνυ τοῦτο τὸ λάχανον, ὥστε οὐδὲ μόνον ἐσθίειν αὐτὸ ῥᾴδιον, ἄνευ τοῦ μίξαι τοῖς φύλλοις τῆς θριδακίνης, ἀλλὰ καὶ σπέρμα γεννᾶν πεπίστευται, καὶ τὰς πρὸς τὴν συνουσίαν ὁρμὰς ἐπεγείρειν, κεφαλαλγὲς δ' ἐστὶ καὶ μᾶλλον ἐάν τις αὐτὸ μόνον ἐσθίῃ.

περὶ ἀκαλύφης, ἣν καὶ κνίδην ὀνομάζουσι.

Τῶν ἀγρίων βοτανῶν ἕν τι καὶ τοῦτ' ἐστὶ, λεπτομερῆ δύναμιν ἔχον. εἰκότως οὖν, ὡς τροφῇ μὲν οὐδεὶς αὐτῷ χρῆται χωρὶς τοῦ μεγίστου πιεσθῆναι λιμῷ. χρήσιμον δ' ἐστὶν, ὡς ὄψον τε καὶ φάρμακον ὑπακτικὸν γαστρός.

περὶ γιγγιδίου καὶ σκάνδικος.

Πλεῖστον ἐν Συρίᾳ τὸ γιγγίδιον φύεται, καὶ βιβρώσκεται παραπλήσιον τῷ παρ' ἡμῖν σκάνδικι. πάνυ δ' ἐστὶν εὐστόμαχον, ἐάν τε ὠμὸν, ἐάν τε καὶ ζέσας αὐτὸ βούλῃ προσφέρεσθαι. μακροτέρας δ' ἑψήσεως οὐκ ἀνέχονται. προσφέρονται δ' αὐτὸ τινὲς δι' ἐλαίου καὶ γάρου, τινὲς δὲ καὶ οἶνον ἢ ὄξος ἐπεμβάλλοντες, καὶ πολύ γε μᾶλλον εὐστόμαχόν ἐστι, καὶ τοὺς ἀποσίτους προτρέπει μετ' ὄξους ἐσθιόμενον. εὔδηλον δ' ὅτι, καὶ τοῦτο τὸ βοτάνιον, φάρμακον ἐστὶ μᾶλλον ἢ τροφὴ, καὶ γάρ τοι καὶ στύψεως, καὶ πικρότητος σαφοῦς οὐκ ὀλίγης μετέχει.

περὶ ὠκίμου.

Ὄψῳ μὲν καὶ τούτῳ χρῶνται πολλοὶ, δι' ἐλαίου καὶ γάρου προσφερόμενοι. κακοχυμότερον δέ ἐστι καὶ διὰ τοῦτο προσεπιψεύδονταί τινες αὐτοῦ. φάσκοντες εἰ τριφθὲν ἐμβληθείη χύτρᾳ καινῇ, τάχιστα γεννᾶν ἐν ὀλίγαις ἡμέραις σκορπίους, καὶ μάλιστα ὅταν ἐν ἡλίῳ τῆς ἑκάστης ἡμέρας θερμαίνῃ τὴν χύτραν, ἀλλὰ τοῦτο μὲν ψεῦδός ἐστι. κακόχυμον δὲ καὶ κακοστόμαχον, καὶ δύσπεπτον εἶναι λάχανον, ἀληθῶς ἂν εἴποις αὐτό.

περὶ μαράθρου.

Καὶ αὐτόματον μὲν ἐνίοτε φύεται τοῦτο, καθάπερ καὶ τὸ ἄνηθον. ἀλλὰ καὶ σπείρουσιν αὐτὸ ἐπὶ τοὺς κήπους, καὶ χρῶνται, συνεχέστατα μὲν εἰς τὰς ἀρτύσεις ἀνήθῳ. μαράθρῳ δὲ ὡς ὄψῳ. καὶ γὰρ ἀποτίθενται παρ' ἡμῖν αὐτὸ παραπλησίως πυρέθρῳ καὶ τερμίνθῳ συντιθέντες, ὡς εἰς ὅλον εἶναι ἐνιαυτὸν χρήσιμον, ὥσπερ καὶ τὰ κρόμμυα καὶ τὰς γογγιλίδας, καὶ ἕτερά τε τοιαῦτα, τὰ μὲν δι' ὄξους μόνου, τὰ δὲ δι' ὀξάλμης συντιθέμενοι.

περὶ ἀσπαράγων.

Εἴτε διὰ τοῦ φ. λέγειν ἐθέλοις, εἴτε διὰ τοῦ π. τὴν δευτέραν συλλαβὴν τῶν ἀσπαράγων, καθάπερ ἅπαντες, οὐ νῦν πρόκειται σκοπεῖν οὐδὲ γὰρ τοῖς ἀττικίζειν τῇ φωνῇ σπουδάζουσιν, ἀλλὰ τοῖς ὑγιαίνειν ἐθέλουσι γράφεται ταῦτα, κἂν τοῦτο δέῃ τοῦ Πλάτωνος, μήτε γράμματα, μήτε νεῖν ἐπίστανται. καλούντων οὖν τῶν ἑλλήνων σχεδὸν ἁπάντων, τοὺς ἁπαλοὺς καυλοὺς, ὅταν αὐξάνονται πρὸς τὴν τοῦ καρποῦ τε καὶ σπέρματος ἐκβολὴν ἀσπαράγους διὰ τοῦ π. τὴν δύναμιν αὐτῶν ἐροῦμεν, ἐπιτρέψοντες ὅπως ἂν ὀνομάζειν ἐθέλουσιν οἱ χρώμενοι. πολλὰ μὲν οὖν τῶν λαχάνων τε καὶ ὅλως τῶν φυτῶν, γεννᾶν πέφυκεν ἐκβλαστήματα τοιαῦτα, πάντα δὲ οὐκ ἐσθίουσιν αὐτά. καὶ διὰ τοῦτο περὶ τῶν συνηθεστέρων ὁ λόγος ἡμῖν ἔσται, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν ἐποιησάμεθα. ὁ μὲν οὖν τῆς κράμβης ὃ καὶ κύμα καλοῦσιν ἔνιοι, κατὰ συναίρεσιν ἐμοὶ δοκεῖν, τοῦ διὰ τριῶν συλλαβῶν ὀνόματος, λεγομένου τοῦ κυήματος, τῆς κράμβης αὐτῆς ἧττον ξηραίνει. καίτοι τῶν ἄλλων λαχάνων ξηρότερος τὴν κρᾶσιν ὁ καυλὸς, τῶν φύλλων ἐστὶν ἀσπάραγος, ὡς ἐπί τε πολὺ καὶ μάλιστα, ὅταν ἐγγὺς ἤδη τοῦ τὸν καρπὸν ἔχειν. λέγω δὲ ἄλλα λάχανα τοιαῦτα εἶναι, θριδακίνην, ἀτράφαξιν, βλῖτον, τεῦτλον, μαλάχην, ἔμπαλίν τε ῥαφανίδος τε καὶ γογγιλίδος καὶ νάπυος καὶ καρδάμου καὶ πυρέθρου, καὶ πάντων σχεδὸν ὅσα δριμέα καὶ θερμὰ, τὸν ἀσπάραγον ὑγρότερον εἶναι συμβέβηκε. ποιεῖ δὲ καὶ βολβὸς καὶ σέλινον, καὶ σίον εὔζωμόν τε καὶ ὤκιμον, ὀξυλάπαθόν τε καὶ λάπαθον, ἅπασαί τε λαχανώδεις πόαι τοιοῦτόν τινα πρὶν ἐκκαρπεῖν καυλόν. ἐκκαρπησάντων δὲ, ξηραίνεταί τε καὶ ἄχρηστον εἰς ἐδωδὴν ἀνθρώπων γίνεται. πάντα δὲ τὰ τοιαῦτα, δι' ὕδατος ἑψηθέντα μετ' ἐλαίου καὶ γάρου προσφέρονται, βραχὺ ὄξους ἐπεμβάλλοντες. ἡδύτερα γὰρ οὕτως καὶ εὐστομαχώτερα γίνονται τροφὴν μέν τοι τῷ σώματι δίδωσιν ὀλίγην τε καὶ οὐκ εὔχυμον.

περὶ ἑτέρου γένους ἀσπαράγων.

Ἕτερον δὲ γένος ἀσπαράγων ἐπὶ τοῖς θαμνώδεσι φυτοῖς γιγνόμενον, ὀξυμυρσίνῃ τε καὶ χαμαιδάφνῃ, καὶ ὀξυακάνθᾳ, καὶ τούτων ἕτεροι τινὲς, ὁ μὲν βασιλικὸς, ὁ δὲ ἕλειος ὀνομαζόμενος, ὥσπερ γε καὶ ὁ τῆς βρυωνίας, ἕτερος τῶνδε πάντες δέ εἰσιν εὐστόμαχοί τε καὶ διουρητικοὶ, καὶ βραχὺ τὸ τρόφιμον ἔχοντες. εἰ μέν τοι πεφθεῖεν καλῶς οἱ τοιοῦτοι, τροφιμώτεροι τῶν ἐπὶ τοῖς λαχάνοις ἀσπαράγων εἰσὶν, ὅσῳ καὶ ξηρότεροι. ὁμοιότης δέ τις ἐστὶ τοῖς τε τῶν θάμνων καὶ τοῖς τῶν δένδρων βλαστήμασιν, οὐκ ἀκριβὴς ταυτότης. καὶ γὰρ ξυλωδέστερα, τὰ τῶν δένδρων, διὸ καὶ ῥητέον ἐφεξῆς ὑπὲρ αὐτῶν ἰδίᾳ.

περὶ βλαστῶν.

Οἱ βλαστοὶ τῶν δένδρων τε καὶ θάμνων, ἀναλογίαν ἔχουσι τοῖς ἐπὶ τῶν λαχάνων ἀσπαράγοις. ἐκβλαστήματα γάρ εἰσι κἀκεῖνοι πρὸς καρποῦ γένεσιν ἐξορμῶντος τοῦ φυτοῦ. διαφέρουσι δὲ τῷ τῶν δένδρων μὲν τὸ στέλεχος ἀεὶ διαμένειν, ἀνάλογον ὑπάρχον τῷ ἐπὶ τὰ λαχανώδη τε καὶ ποώδη καυλῷ, τὸν δ' ἐπὶ τούτων καυλὸν, ἐπέτειον εἶναι. πάντες οὖν οἱ βλαστοὶ τῶν δένδρων τε καὶ θάμνων, ἑψηθέντες ἐν ὕδατι βιβρώσκεσθαι δύνανται, πλὴν εἴ τινες ἤτοι ἀηδεῖς, ἢ φαρμακώδεις εἰσὶ, οὐ μὴν ἐσθίουσιν αὐτοὺς οἱ ἄνθρωποι, διὰ τὴν τῶν ἄλλων ἐδεσμάτων, ὅσα βελτίω τούτων, ἀφθονίαν. ἐν λιμῷ δὲ ὑπὸ τῆς ἀνάγκης, ἐπὶ τὴν ἐδωδὴν αὐτῶν ἔρχονται. τρέφουσι γάρ πως, ἐὰν καὶ αὐτοὶ καλῶς πεφθῶσι. κάλλιστοι δ' αὐτῶν εἰσὶν, οἱ τῆς τερμίνθου τε καὶ ἄγνου, καὶ ἀμπέλου, καὶ σχοίνου, καὶ βάτου, καὶ κυνοσβάτου. παρ' ἡμῖν δὲ καὶ συντιθέντες εἰς ὄξος, ἢ ὀξάλμην τοὺς τῆς τερμίνθου βλαστοὺς ἀποτίθενται.

περὶ τῆς ἐν τοῖς μέρεσι τῶν ἐσθιομένων φυτῶν διαφορᾶς.

Ἐβουλόμην ἂν ἀληθῆ τὸν Μνησιθέου λόγον ὑπάρχειν, ὃν ἐν τῷ περὶ τῶν ἐδεσμάτων ἔγραψεν. οἱ γὰρ καθόλου λόγοι, διὰ βραχείας λέξεως πολλὰ διδάσκουσιν, ὅταν τε ἀληθεῖς ὦσιν, ὥσπερ γε μεγάλα βλάπτουσιν, οὐκ ἀληθεύοντες. ἔστι δὲ ἃ λέγει καθόλου περὶ τῶν ἐν τοῖς φυτοῖς μορίων, ὁ Μνησίθεος ταῦτα. Πρῶτον μὲν οὖν αἱ ῥίζαι πᾶσαι, δύσπεπτοί τε εἰσὶ καὶ ταρακτικαί, λέγω δὲ οἷον ῥαφανῖδες, σκόροδα, κρόμμυα, γογγυλίδες, καὶ πᾶν τὸ τοιοῦτον γένος, ὅσων γὰρ ἡ ῥίζα καὶ τὸ ὑπὲρ τῆς γῆς πεφυκός, ἐδώδιμόν ἐστι, πάντα τὰ τοιαῦτα εἰς τὴν δύσπεπτον ἰδέαν καταχωρίζεται. συμβαίνει γοῦν τὰς τροφὰς ἐκ τῶν ῥιζῶν ἅπασι τοῖς μέρεσι τῶν φυομένων ἀναπέμπεσθαι. συνάγουσιν οὖν εἰς αὑτὰς ὑγρότητα πολλὴν αἱ ῥίζαι, καὶ ταύτην δύσπεπτον ἔχουσι τὴν πλείστην. οὐδὲ γὰρ ἐνδέχεται πεπεμμένην αὐτὴν εἶναι πᾶσαν. τὸ γὰρ πεπεμμένον δοκεῖ τελειοῦσθαι, τὸ δ' ἐν ταῖς ῥίζαις ὑγρὸν ἑτέρωθι δεῖ λαβεῖν τὸ τέλος τῆς πέψεως, διαδοθὲν ἐπὶ τὰ μόρια τοῦ φυομένου. πάντα γὰρ ἀπὸ τῆς ῥίζης τρέφεται, διόπερ ἀναγκαῖον ἀπέπτους αὐτόθι τὰς ὑγρότητας εἶναι. συνειλεγμέναι γὰρ ἐνταῦθα, προσμένουσι τὸ τέλος τῆς ἄνω πέψεως. ὥστ' ἐν ταῖς ῥίζαις εὔλογον ἀκατεργάστους εἶναι τὰς πλείστας ὑγρότητας. εἰκότως οὖν καὶ τοῖς ἡμετέροις σώμασιν, ἀπὸ τούτων τὴν τροφὴν ὑγρὰν καταλείπεσθαι καὶ ταραχώδη. αὕτη μὲν ἡ τοῦ Μνησιθέου ῥῆσις, ἄχρι μὲν τοῦ λόγου πιθανή, τῇ πείρᾳ δὲ κρινομένη ψευδής. αἱ γοῦν ῥαφανῖδες τὴν ῥίζαν ἔχουσι πολὺ δριμυτέραν τοῦ τε καυλοῦ, καὶ τῶν φύλλων. ὡσαύτως δὲ καὶ τὸ κρόμμυον, ἀμπελόπρασόν τε καὶ πράσον, καὶ σκόροδον. εἰ δὲ καὶ τεύτλου καὶ μαλάχης καὶ γογγυλίδος ἐθέλοις παραβάλλειν τὴν ῥίζαν τοῖς φύλλοις, ἰσχυροτέραν εὑρήσεις τὴν δύναμιν. ὥσπερ γε καὶ τῆς ἀλθαίας, ἥπερ ἀγρία τις εἶναι δοκεῖ μαλάχη. δηλοῖ γοῦν καὶ αὐτῆς ἡ ῥίζα τὴν δύναμιν, ὥσπερ καὶ ἡ τοῦ τεύτλου, διαφοροῦσα πολλοὺς τῶν φλεγμαινόντων ὄγκων. οὐ μὴν τε τὰ φύλλα αὐτῶν ἱκανὰ δρᾶσαι τοῦτο. καὶ μέν τοι καὶ τῶν φαρμακωδῶν φυτῶν, ὅσα τὰς ῥίζας ὁμοίας τοῖς εἰρημένοις ἔχει, καὶ τούτων ἀσθενέστερα τὰ φύλλα, κυκλαμίνου, καὶ σκίλλης, καὶ ἄρου, καὶ δρακοντίου καὶ ἄλλων πάνυ πολλῶν. ὥσπερ γὰρ ἐπ' ἄλλων φυτῶν τὸ πλεῖστον τῆς οὐσίας ἔν τε τοῖς καυλοῖς καὶ τοῖς στελέχεσιν, οὕτως ἐπὶ τούτων ἐν τῇ ῥίζῃ, καὶ ταύτην ἡ φύσις αὐτῶν μάλιστα αὐξάνει τε καὶ τρέφει, καὶ τὸ μὴ καλῶς ἐν αὐταῖς κατεργασθὲν, εἴς τε τὰ φύλλα καὶ τοὺς καυλοὺς ἀποκρίνει. τὴν μὲν οὖν ῥίζαν ἔχει ταῦτα, καὶ διὰ τοῦ χειμῶνος μεγάλην, τὸν καυλὸν δὲ φύει κατὰ τὸ ἔαρ, ἡνίκα πρὸς τὸν καρπὸν ἐξορμᾷ. φαίνεται δὲ κἀπὶ τῶν ζώων, ἡ φύσις ἐνίοτε τὸ περίττωμα τῆς ὅλης οὐσίας τοῦ ζώου, καθάπερ καὶ Ἀριστοτέλης ἔλεγεν, εἰς τινῶν μορίων οὐκ ἀναγκαίων καταχρῆσθαι γένεσιν, ὡς ἐπὶ τῶν ἐλάφων μὲν, εἰς τὰ κέρατα. κατ' ἄλλα δὲ τῶν ζώων, εἰς πλῆθος καὶ μέγεθος ἀκανθῶν, ἢ τριχῶν. ἐπισκοπεῖσθαι τοίνυν ἀσφαλέστερόν ἐστιν, ἕκαστον τῶν ἐν τοῖς φυτοῖς μορίων, αὐτὸ καθ' αὑτὸ γευόμενον μὲν καὶ ὀσμώμενον πρότερον, εἶτα καὶ διὰ τῆς ἐδωδῆς πειρώμενον. ἡ μὲν γὰρ ὄσφρησίς τε καὶ ἡ γεῦσις, ὁποῖόν τινα τὸν χυμόν τε καὶ τὸν ἀτμὸν ἔχει τὸ μόριον τοῦ φυτοῦ διδάσκουσαι, συνενδείκνυνται τούτοις εὐθέως καὶ τὴν ὅλην κρᾶσιν αὐτοῦ. διὰ δὲ τῆς πείρας ἐάν γέ τις αὐτὴν ποιῆται μετὰ τῶν οἰκείων διορισμῶν, ἀκριβῶς ἡ δύναμις εὑρίσκεται. συνενδεικνυμένης αὐτοῖς ἐνίοτε καὶ τῆς συστάσεως τοῦ φυτοῦ, μετὰ καὶ τοῦ κατ' αὐτὸ χυλοῦ. τινὰ μὲν γὰρ ὑγρὸν καὶ ὑδατώδη, τινὰ δὲ παχὺν ἢ γλίσχρον ἔχει τὸν χυμόν, ὧν καὶ αὐτῶν ἴδια πάλιν γεύεσθαι προσήκει. ἔνιοι μὲν γὰρ αὐτῶν εἰσὶ δριμεῖς, ἢ ὀξεῖς, ἢ πικροί, ἔνιοι δὲ ἁλυκοί τε καὶ ἁλμυροί, καθάπερ γε τινὲς μὲν αὐτῶν αὐστηροί, τινὲς στρυφνοί, τινὲς δὲ ὑδατώδεις, ἢ γλυκεῖς, οὐκ οὖν χρὴ πεισθέντας τῷ Μνησιθέου πιστεύειν, ὡς ὑγιεῖ καθόλου τῷ λόγῳ, πειρᾶσθαι δὲ μᾶλλον ἑκάστου τῶν ἐν τοῖς φυτοῖς μορίων αὐτὸ καθ' ἑαυτό.

περὶ γογγυλίδων.

Εἴτε γογγυλίδα καλεῖν, εἴτε βουνιάδα βούλοιο τὸ φυτὸν τοῦτο, λαχανῶδες μὲν αὐτοῦ, τὸ τῆς γῆς ἐξέχον, ἡ δ' ἐν αὐτῇ περιεχομένη ῥίζα πρὶν μὲν ἑψηθῆναι, σκληρὰ καὶ ἄβρωτος ὑπάρχει, δι' ὕδατος δ' ἑψηθεῖσα, θαυμάσαι μ' ἂν εἴ τινος τῶν ὁμογενῶν φυτῶν, ἔλαττον τρέφει. πολυειδῶς δὲ καὶ ταύτην σκευάζουσιν ἄνθρωποι, ἄχρι τοῦ συντιθέναι δι' ἅλμης ἢ ὄξους, ὡς ἔχειν εἰς ὅλον ἐνιαυτὸν χρῆσθαι. χυμὸν δ' ἀναδίδωσιν εἰς τὸ σῶμα παχύτερον τοῦ συμμέτρου, διὸ κἂν καὶ πλεονάσῃ τις ἐπὶ τῆς ἐδωδῆς αὐτοῦ, καὶ μάλιστα, ἐάν τις ἐνδεῶς ἐν τῇ γαστρὶ πέψῃ αὐτήν, ἀθροίσῃ τὸν καλούμενον ὠμόν, εἰς ὑποχώρησιν δὲ γαστρὸς, οὔτ' ἐναντιοῦσθαι αὐτὴν τις, οὔτε συντελεῖν φαίη, καὶ μάλιστα ὅταν ἑψηθῇ καλῶς. χρήζει γὰρ αὕτη πλείονος ἑψήσεως, καὶ γίνεται καλλίστη δὶς ἑψηθεῖσα, καθότι λέλεκται πρόσθεν ὑπὲρ τῆς τοιαύτης σκευασίας. εἰ δ' ὠμοτέρα ληφθείη, δυσπεπτότερός ἐστι, καὶ φυσώδης, καὶ κακοστόμαχος. ἐνίοτε δὲ καὶ δῆξιν ἐργάζεται κατὰ τὴν γαστέρα.

περὶ ἄρου.

Ἔστι μὲν ἡ ῥίζα καὶ τούτου τοῦ φυτοῦ παραπλησίως ἐσθιομένη τῇ τῆς γογγυλίδος. ἐν χώραις δέ τισὶ φύεται δριμυτέρα πως ὡς ἐγγὺς εἶναι τῇ τοῦ δρακοντίου. καὶ χρὴ τὸ πρότερον αὐτῆς ὕδωρ ἀποχέοντα κατὰ τὴν ἕψησιν, εἰς ἕτερον ἐπεμβάλλειν θερμόν, ὡς ἐπὶ κράμβης τε καὶ φακῆς εἴρηται. κατὰ δὲ κυρήνην, ἔμπαλιν ἔχει τὸ φυτὸν πρὸς τὴν παρ' ἡμῖν χώραν. ἥκιστα γὰρ ἔχει φαρμακῶδές τε καὶ δριμὺ τὸ ἄρον ἐν ἐκείνοις τοῖς τόποις, ὡς καὶ τῶν γογγυλίδων εἶναι χρησιμώτερον. καὶ διὰ τοῦτο καὶ εἰς ἰταλίαν κομίζουσι τὴν ῥίζαν, ὡς ἂν καὶ διαμένειν δυναμένην χρόνῳ πλείονι χωρὶς τοῦ σαπῆναί τε καὶ βλαστῆσαι. πρόδηλον δ' ὅτι πρὸς μὲν τροφὴν, ἡ τοιαύτη κρείττων ἐστὶν, εἰ δέ τις ἀναβήττειν ἐκ θώρακός τε καὶ πνεύμονος βούλοιτό τι τῶν ἀθροιζομένων ἐν αὐτοῖς παχέων, ἢ γλίσχρων ὑγρῶν, ἡ δριμυτέρα καὶ φαρμακωδεστέρα βελτίων. ἐσθίεται δὲ δι' ὕδατος ἑψηθεῖσα, μετὰ νάπυος, ἢ μετ' ὄξους, σὺν ἐλαίῳ καὶ γάρῳ, καὶ μέν τοι καὶ μεθ' ὑποτριμμάτων, ἄλλων τε, καὶ τῶν διὰ τοῦ τυροῦ σκευαζομένων. οὐκ ἄδηλον δ' ὅτι καὶ ὁ ἐξ αὐτῆς ἀναδιδόμενος εἰς ἧπάρ τε καὶ ὅλον τὸ σῶμα χυμὸς, ἐξ οὗ τρέφεται τὰ ζῷα, παχύτερός πως ἐστὶν ὡς ἐπὶ τῶν γογγυλίδων εἴρηται, καὶ μάλιστα ὅταν ὦσιν αἱ ῥίζαι, καθάπερ αἱ ἀπὸ τῆς κυρήνης ἀφάρμακοι. παρ' ἡμῖν γὰρ ἐν ἀσίᾳ, πολλὰ τῶν ἄρων δριμύτερα ἐστὶ καὶ ἤδη φαρμακώδη τὴν δύναμιν ἔχει.

περὶ δρακον

περὶ δρακοντίου.

Καὶ τούτου τὴν ῥίζαν ἕψοντες δίς που καὶ τρίς, ὡς ἀποθέσθαι τὸ φαρμακῶδες, ἐσθίειν ἐνίοτε δίδομεν, ὥσπερ καὶ τὰς τῶν ἄρων, ὅταν ἰσχυροτέρας δέηται δυνάμεως τὰ κατὰ θώρακα καὶ πνεύμονα περιεχόμενα γλίσχρα καὶ παχέα. κοινὸν δὲ ἐπὶ πάντων ἐδεσμάτων μεμνῆσθαί σε χρή, τὰ μὲν δριμέα καὶ πικρά, κατὰ τὴν ἐδωδὴν ἐλάττονα τροφὴν διδόναι τῷ σώματι, τὰ δ' ἄποια, καὶ μᾶλλον αὐτῶν τὰ γλυκέα, πολλήν, ἔτι δὲ μᾶλλον, ἐὰν ἐσφιγμένην ἔχωσι τὴν οὐσίαν, ὡς μήτε ὑγρά, μήτε παχέα, μήτε χαῦνα ταῖς συστάσεσιν ὄντα. τούτων οὖν ἀεὶ μεμνημένος, ἔτι δὲ καὶ προσέχων εἰ κατὰ τὰς ἑψήσεις ἢ ὀπτήσεις, ἢ τὰς διὰ τηγάνου σκευασίας ἀποτίθεται τὰς ἰσχυρὰς ποιότητας, ἕκαστα τῶν εἰς πεῖραν ἀγομένων, οὐ δεήσει παρ' ἐμοῦ περὶ πάντων ἀκοῦσαι κατ' εἶδος. ἀλλ' ὥσπερ ἐπὶ τῶν ἄλλων ἐποίησα, τὰ συνεχῶς ἐσθιόμενα μάλιστα ἐξηγήσομαι.

περὶ ἀσφοδέλου.

Τῇ τῆς σκίλλης ῥίζῃ, παραπλησία πώς ἐστιν ἡ τοῦ ἀσφοδέλου μέγεθος καὶ σχῆμα καὶ πικρότητα. σκευαζομένη μέντοι καθάπερ οἱ θέρμοι, τὸ πλεῖστον τῆς πικρότητος ἀποτίθεται. καὶ ταύτῃ σκίλλης διαφέρει. δυσέκνιπτος γάρ ἐστιν ἱκανῶς ἡ ἐκείνης ποιότης. Ἡσίοδος μὲν οὖν ἔοικεν, ἐπαινεῖν τὴν ἀσφόδελον ἐν οἷς φησίν, οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ. ἐγὼ δ' οἶδα διὰ λιμὸν ἀγροίκους τινὰς ἑψήσεσί τε πλείοσι καὶ ἀποβρέξεσιν ἐν ὕδατι γλυκεῖ, μόλις αὐτὴν ἐδώδιμον ἐργασαμένους. ἥ γε μὴν δύναμις καὶ ταύτης τῆς ῥίζης ἐστὶν ἐκφρακτική τε καὶ λεπτυντική, καθάπερ καὶ ἡ τοῦ δρακοντίου. διὸ καὶ τὸν ἀσπάραγον αὐτοῦ τοῖς ἰκτεριώδεσι διδόασί τινες ὡς μέγιστον ἴαμα.

περὶ βολβῶν.

Ἐκ τοῦ αὐτοῦ τοῦ γένους εἰσὶ καὶ οἱ βολβοί, τοῖς προειρημένοις. ἐσθίεται γὰρ αὐτῶν ἡ ῥίζα χωρὶς τῶν φύλλων. ἐν ἦρι δέ ποτε καὶ ὁ ἀσπάραγος. ἔχει δ' ἐν αὐτῷ, πικράν τε καὶ αὐστηρὰν δύναμιν ἐπιφανῆ. διὸ καὶ τὸν στόμαχον ἐκλελυμένον, ἐπεγείρει πως εἰς ὄρεξιν. οὐκ ἐναντιοῦται, οὐδὲ μὴν τοῖς ἀναπτύειν τι δεομένοις ἐκ θώρακός τε καὶ πνεύμονος, καίτοι τὴν οὐσίαν τοῦ σώματος παχυτέραν τε καὶ γλισχροτέραν ἔχουσιν. ἀλλ' ἡ πικρότης, ἀντιπράττει τῷ παχεῖ, τέμνειν τὰ γλίσχρα καὶ παχέα πεφυκυῖα. καθάπερ ἐν τοῖς περὶ τῶν φαρμάκων εἴρηται, διὸ κἂν δίσεφθοι γενηθῶσι τροφιμώτεροι μέν εἰσι, ἐναντιοῦνται δὲ ἤδη τοῖς ἀναπτύεσθαι δεομένοις, ὡς ἂν ἀποθέμενοι τὸ πικρὸν ἅπαν. ἐσθίειν δ' αὐτοὺς ἄμεινον τηνικαῦτα δι' ὄξους ἅμα ἐλαίῳ, καὶ γάρῳ, καὶ ἰδίους οὕτω γε καὶ τροφιμώτεροι καὶ ἀφυσότεροι, καὶ πεφθῆναι ῥᾴους γίγνονται. πλεονάσαντες δὲ κατὰ τὴν ἐδωδὴν αὐτῶν ἔνιοι, προδήλως ᾔσθοντο καὶ σπέρμα πλεῖον ἴσχοντες, καὶ προθυμότεροι γιγνόμενοι πρὸς ἀφροδίσια. σκευάζουσι δὲ καὶ τούτους οἱ ἄνθρωποι πολυειδῶς. οὐ γὰρ μόνον ἑφθούς, ὡς ἔφην, δι' ὕδατος, ἀλλὰ καὶ λοπάδας ἐξ αὐτῶν ποικίλως ἠρτυμένας συντιθέασιν, ἐκ τηγάνου τέ τινες ἄλλοι προσφέρονται, πολλοὶ δ' ὀπτῶντες ἐπ' ἐσχάρας. ἀλλ' οὗτοί γε τὴν πολλὴν ἕψησιν οὐκ ἀναμένουσιν, ἀρκοῦνται δὲ πάνυ βραχείᾳ. τινὲς δὲ οὐδ' ὅλως προέψουσι χαίροντες αὐτῶν τῷ πικρῷ τε καὶ αὐστηρῷ διασωζομένῳ. προτρέπει γὰρ αὐτοὺς μᾶλλον ἐπὶ τὴν ἐδωδήν, ἀλλ' εἰ μὴ ὡς προτρέποντι χρήσαιντο, μέχρι δυοῖν, ἢ καὶ τριῶν προσελθόντες, εἴη ἂν τι πλέον αὐτοῖς, εἰ δὲ πλεονάσαιεν ἐπὶ τῶν οὕτω σκευασθέντων, καὶ μάλιστα ὅταν, ὡς εἰώθασιν, ὠμοτέρους αὐτοὺς λαβόντες, αὐτοὶ πάλιν ἀπεπτήσονται. καὶ τινές γε καὶ φῦσαν, καὶ στρόφον, ὑποφέρουσι μὴ πεφθέντες καλῶς. ἐκ μὲν δὴ τῶν οὕτως ἐσθιομένων, οὐκ εὔχυμος ἡ τροφὴ γίνεται. τῶν δ' ἐπὶ πλεῖστον ἑψηθέντων, ἢ καὶ δίς, ὡς εἴρηται, παχύτερος μὲν ὁ χυμός, ἀμείνων δὲ τ' ἄλλα, καὶ τροφιμώτερος γίνεται.

περὶ σταφυλίνου καὶ δαύκου καὶ κάρου.

Αἱ ῥίζαι καὶ τούτων ἐσθίονται. τροφὴν δ' ἥττονα γογγυλίδων ἔχουσι, καθάπερ γε καὶ τῶν κυρηναίων ἄρων. θερμαίνουσι δὲ σαφῶς, καί τι καὶ ἀρωματίζον ἐμφαίνουσι. τὸ μὲν οὖν δύσπεπτον αὐταῖς ὁμοίως ὑπάρχει, ταῖς ἄλλαις ῥίζαις. οὐρητικὰ δ' εἰσί, καὶ εἰ πλεονάζοι τις αὐτῶν ἐν τῇ χρήσει, κακόχυμα μετρίως. εὐχυμοτέρος γε μήν ἐστιν, ἡ κάρους τοῦ σταφυλίνου. τινὲς δὲ τὸν ἄγριον σταφυλῖνον, ὀνομάζουσι δαῦκον, οὐρητικώτερον μὲν ὄντα, φαρμακωδέστερον δ' ἤδη, καὶ πολλῆς ἑψήσεως δεόμενον, εἰ μέλλοι τις ἐσθίειν αὐτόν.

περὶ ὕδνου.

Ἐν ῥίζαις ἢ βολβοῖς ἀριθμεῖν ἀναγκαῖόν ἐστι καὶ ταῦτα, μηδεμίαν ἔχοντα σαφῆ ποιότητα. χρῶνται τοιγαροῦν αὐτοῖς οἱ χρώμενοι, πρὸς ὑποδοχὴν ἀρτυμάτων, ὥσπερ καὶ τοῖς ἄλλοις, ὅσα καλοῦσιν ἄποια καὶ ἀβλαβῆ καὶ ὑδατώδη κατὰ τὴν γεῦσιν. ἔστι δ' ἁπάντων αὐτῶν κοινόν, ὡς μηδὲ τὴν ἀναδιδομένην εἰς τὸ σῶμα τροφήν, ἐξαίρετόν τινα δύναμιν ἔχειν, ἀλλ' ὑπόψυχρον μὲν εἶναι, τῷ πάχει δ' ὁποῖον ἄν τι καὶ αὐτὸ τὸ ἐδεσμένον ᾖ, παχύτερον μὲν τὸ ἐξ ὕδνων, ὑγρότερον δὲ καὶ λεπτότερον ἐκ κολοκύνθης, ἐπί τε τῶν ἄλλων ἀνάλογον.

περὶ μυκήτων.

Καὶ μυκήτων οἱ βολῖται καλῶς ἑψηθέντες ἐν ὕδατι πλησίον ἥκουσι τῶν ἀποίων ἐδεσμάτων. οὐ μὴν οὕτω γε μόνοις αὐτοῖς ἄνθρωποι χρῶνται. σκευάζουσι δὲ καὶ ἀρτύουσι πολυειδῶς, ὥσπερ καὶ τ' ἄλλα ὅσα μηδεμίαν ἐξαίρετον ἔχει ποιότητα. φλεγματώδης δ' ἐστίν, ἡ ἐξ αὐτῶν τροφή, καὶ δῆλον ὅτι καὶ ψυχρά, κἂν πλεονάζῃ τις ἐν αὐτοῖς, κακόχυμος. ἀβλαβέστατοι μὲν οὖν τῶν ἄλλων μυκήτων εἰσὶν οὗτοι. δεύτεροι δὲ μετ' αὐτῶν οἱ ἀμανῖται. τῶν δ' ἄλλων, ἀσφαλέστερόν ἐστι μηδ' ὅλως ἅπτεσθαι. πολλοὶ γὰρ ἐξ αὐτῶν ἀπέθανον. ἐγὼ δ' οἶδά τινα καὶ τῶν βολιτῶν αὐτῶν (καίπερ ἀβλαβέστατοι δοκοῦσιν εἶναι) πλείονας οὐκ ἀκριβῶς ἑφθοὺς φαγόντα, θλιβέντα τὸ στόμα τῆς κοιλίας, καὶ βαρυνθέντα, καὶ στενοχωρηθέντα, καὶ δυσπνοήσαντα, καὶ λειποψυχήσαντα, καὶ ψυχρὸν ἱδρώσαντα, καὶ μόλις σωθέντα διὰ τῆς τῶν τεμνόντων τοὺς παχεῖς χυμοὺς προσφορᾶς, ὁποῖόν ἐστιν ὀξύμελι καθ' ἑαυτό τε καὶ μετὰ ὑσσώπου καὶ ὀριγάνου μετρίως ἑψηθέντων ἐν αὐτῷ. καὶ γὰρ ἔκ τινος ἐκεῖνος ἔλαβε καὶ τοῦτο, καὶ νίτρου τὸν ἀφρὸν ἐπιπασθέντα αὐτοῖς, ἐφ' οἷς ἤμεσε τοὺς ἐδηδεσμένους μύκητας, ἤδη πως εἰς φλεγματώδη χυμὸν ἱκανῶς ψυχρὸν καὶ παχὺν ὑπηλλαγμένους.

περὶ ῥαφανίδος.

Ταύτην μὲν ἐσθίουσιν αὐτὴν μόνην τοὐπίπαν οἱ ἐπὶ τὰς πόλεις ἄνθρωποι, πρῶτον οὖν ἁπάντων μετὰ γάρου, γαστρὸς ὑπαγωγῆς ἕνεκα, ὀλίγοι δὲ καὶ ὄξους ἐπιχέουσιν. οἱ δ' ἄγροικοι καὶ μετ' ἄρτου πολλάκις προσφέρονται παραπλησίως τοῖς ἄλλοις αὐτοφυέσιν ὄψοις, ἐξ ὧν ἐστι καὶ ὀρίγανος ἡ χλωρὰ, καὶ κάρδαμον, καὶ θύμα, καὶ θύμβρα, καὶ γλήχων, καὶ ἕρπυλλος, ἡ δύοσμός τε καὶ καλαμίνθη, καὶ πύρεθρον, καὶ σίζωμον. ἅπαντα γὰρ ταῦτα τῶν ἐδωδίμων ἐστὶν ὄψα χλωρὰ, μετὰ τῶν τροφῶν ἐσθιόμενα, τῶν ποωδῶν φυτῶν ὄντα. τῆς ῥαφανίδος καὶ τὸν καυλὸν ἐσθίουσι, καὶ τὰ φύλλα κατ' ἀνάγκην μᾶλλον, ἢ ἑκόντες. ἡ μέντοι ῥίζα τῶν συνεχῶς ἐσθιομένων ἐστὶν, ὡς ὄψον μᾶλλον ἢ τροφὴ, τῆς λεπτυντικῆς δυνάμεως οὖσα καὶ αὐτὴ δηλονότι, μετὰ τοῦ θερμαίνειν σαφῶς. ἐπικρατεῖ γὰρ ἡ δριμεῖα ποιότης ἐν αὐτῇ. ἐπὶ δὲ τὸ ἔαρ εἴωθεν καυλόν τινα γεννᾶν, εἰς ὕψος ἀνερχόμενον, ὥσπερ τὰ ἄλλα τὰ μέλλοντα καυλοφορήσειν, ὅν τινα καυλὸν ἕψοντες, ἐσθίουσι δι' ἐλαίου τε καὶ γάρου, καὶ ὄξους, ὥσπερ καὶ τὸν τῆς γογγυλίδος, καὶ τὸν τοῦ νάπυος, καὶ τὸν τῆς θριδακίνης, καὶ τρέφει μὲν δηλονότι μᾶλλον ὁ καυλὸς οὗτος τῆς ὠμῆς ῥαφανίδος, ὡς ἀναποτιθέμενος ἐν τῷ ὕδατι τὴν δριμύτητα, βραχυτάτην δ' ὅμως καὶ αὐτὸς ἔχει τροφὴν, ἔνιοι δὲ οὐ μόνον τὸν καυλὸν, ἀλλὰ καὶ αὐτὰς ἕψοντες ἐσθίουσι τὰς ῥαφανίδας, ὁμοίως ταῖς γογγυλίσι. θαυμάσαι δ' ἐστὶ καὶ τῶν ἰατρῶν καὶ τῶν ἰδιωτῶν ἐκείνους, ὅσοι μετὰ δεῖπνον ὠμὰς ἐσθίουσιν αὐτὰς εὐπεψίας ἕνεκεν. αὐτοὶ μὲν γὰρ ἱκανὴν ἐσχηκέναι φασὶ τούτου πεῖραν, οἱ μιμησάμενοι δὲ αὐτοὺς, πάντες ἐβλάβησαν.

περὶ κρομμύων καὶ σκορόδων καὶ πράσων καὶ ἀμπελοπράσων.

Καὶ τούτων φυτῶν τὰς μὲν ῥίζας ἐσθίουσιν οἱ ἄνθρωποι πλειστάκις, ὀλιγάκις δὲ τὸν καυλὸν, καὶ τὰ φύλλα δριμεῖαν ἱκανῶς ἔχοντα δύναμιν ἀνάλογον αὐταῖς, θερμαίνει τε τὸ σῶμα καὶ λεπτύνει τοὺς ἐν αὐτῷ παχεῖς χυμοὺς, καὶ τέμνει τοὺς γλίσχρους. ἑψηθέντα μέντοι δὶς, ἢ καὶ τρὶς, ἀποτίθεται μὲν τὴν δριμύτητα, λεπτύνει δ' ὅμως ἔτι, καὶ τροφὴν βραχυτάτην δίδωσι τῷ σώματι. τέως δ' οὐδ' ὅλως ἐδίδου, πρὶν ἑψηθῆναι. τό γε μὴν σκόροδον οὐ μόνον ὡς ὄψον, ἀλλὰ καὶ ὡς φάρμακον ὑγιεινὸν ἐσθίουσιν, ὑγιεινὸν ἐκφρακτικῆς τε καὶ διαφορητικῆς ὑπάρχον δυνάμεως. ἑψηθὲν δ' ἐπ' ὀλίγον, ὡς ἀφαιρεθῆναι τὴν δριμύτητα, τῇ μὲν δυνάμει καταδεέστερον, τὴν κακοχυμίαν δ' οὐκ ἔτι διασώζει, καθάπερ οὐδ' ὅταν ἑψήσῃ δὶς τὰ πράσα καὶ τὰ κρόμμυα. τὰ δ' ἀμπελόπρασα διαφέρει τῶν πράσων τοσοῦτον ὅσον καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ὁμογενέσι τὰ ἄγρια τῶν ἡμέρων. ἀποτίθενται δ' εἰς τὸν ἐφεξῆς ἔτος ὅλον ἔνιοι, καθάπερ καὶ τὰ κρόμμυα μετ' ὄξους συντιθέντες, οὕτως καὶ τὰ ἀμπελόπρασα, καὶ γίνεται πρός τε τὴν ἐδωδὴν ἀμείνω, καὶ ἧττον κακόχυμα. φείδεσθαι δὲ τῆς συνεχοῦς ἐδωδῆς ἁπάντων τῶν δριμέων, καὶ μάλιστα ὅταν ὁ προσφερόμενος αὐτῶν χολωδέστερος ᾖ φύσει. μόνοις γὰρ τοῖς ἤτοι τὸν φλεγματώδη χυμὸν, ἢ τὸν ὠμὸν, καὶ παχὺν καὶ γλίσχρον ἠθροικόσιν, ἐπιτήδεια τὰ τοιαῦτα τῶν ἐδεσμάτων ἐστίν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΡΟΦΩΝ ΔΥΝΑΜΕΩΣ ΒΙΒΛΙΟΝ. γ'

Ὑπόλοιπον δ' ἂν εἴη περὶ τῆς τῶν ἀπὸ τῶν ζώων τροφῆς διελθεῖν, οὐκ ὀλίγας ἐχούσης διαφορὰς δυνάμεων κατά τε τὰ μόρια, καὶ κατά τινα τῶν ἐν αὐτοῖς περιεχομένων, ἢ γεννωμένων, ὧν ἐστι καὶ τὰ ὠὰ, καὶ τὸ γάλα, τυρός τε καὶ τὸ βούτυρον, καὶ τὸ αἷμα.

περὶ τῆς ἀπὸ τῶν πεζῶν ζώων τροφῆς.

Οὐ τὴν αὐτὴν ἅπαντα δύναμιν ἔχει τὰ μόρια τῶν ζώων, ἀλλ' αἱ μὲν σάρκες, ὅταν καλῶς πεφθῶσιν, αἵματός εἰσιν ἀρίστου γεννητικαὶ, καὶ μάλιστα ἐπὶ τῶν εὐχύμων ζώων, ὁποῖόν ἐστι τὸ γένος τῶν ὑῶν. φλεγματικώτερα γὰρ τὰ νευρώδη μόρια, πάντων μὲν οὖν ἐδεσμάτων, ἡ σὰρξ τῶν ὑῶν ἐστι τροφιμωτάτη, καὶ τούτου πεῖραν ἐναργεστάτην οἱ ἀθλοῦντες ἔχουσιν. ἐπὶ γὰρ τοῖς ἴσοις γυμνασίοις, ἑτέρας τροφῆς ἴσον ὄγκον ἐν ἡμέρᾳ μιᾷ προσενεγκάμενοι, κατὰ τὴν ὑστεραίαν εὐθέως ἀσθενέστεροι γίνονται. πλείοσι δ' ἐφεξῆς ἡμέραις τοῦτο πράξαντες, οὐκ ἀσθενέστεροι μόνον, ἀλλὰ καὶ ἀτροφώτεροι σαφῶς φαίνονται. τὴν δ' αὐτὴν τοῦ λόγου βάσανον ἔνεστι καὶ ἐπὶ τῶν ἐν παλαίστρᾳ διαπονουμένων παίδων ποιήσασθαι, καὶ τῶν ἄλλων ἡντινοῦν ἐνέργειαν ἰσχυρὰν σφοδρὰν ἐνεργούντων, ὁποία καὶ ἡ τῶν σκαπτόντων ἐστί. τὰ δὲ βόεια κρέα τροφὴν μὲν καὶ αὐτὰ δίδωσιν οὐκ ὀλίγην, οὔτε εὐδιαφόρητον, αἷμα μέντοι παχύτερον, ἢ προσήκει γεννᾷ. εἰ δὲ καὶ φύσει τις εἴη μελαγχολικώτερος τὴν κρᾶσιν, ἁλώσεται τινὶ παθήματι τῶν μελαγχολικῶν, ἐν τῇ τούτων ἐδωδῇ πλεονάσας. τοιαῦτα δ' ἐστὶ πάθη, καρκῖνος, ἐλέφας, ψώρα, λέπρα, πυρετὸς τεταρταῖος, ἥ τ' ἰδίως ὀνομαζομένη μελαγχολία, καὶ σπλὴν δὲ ἐνίοις εἰς ὄγκον ἤρθη διὰ τοῦτον τὸν χυμὸν, ᾧ καχεξία τε καὶ ὕδεροι πολλάκις ἠκολούθησαν. ὅσον δ' ἐν τῷ πάχει τῆς ὅλης οὐσίας ἑαυτῶν, τὰ βόεια κρέα τῶν ὑῶν πλεονεκτεῖ, τοσούτῳ τῇ γλισχρότητι, τὰ ὕεια τῶν βοείων. εἰς πέψιν δὲ πολὺ βελτίω τὰ τῶν ὑῶν ἐστὶ, τοῖς μὲν ἀκμάζουσι καὶ ἰσχυροῖς, καὶ διαπονουμένοις τὰ τῶν ἀκμαζόντων, τοῖς δ' ἄλλοις τὰ τῶν ἔτ' αὐξανομένων. ὥσπερ δὲ ἐν τοῖς ὑσὶν, οἱ κατὰ τὴν ἀκμαστικὴν ἡλικίαν ἐπιτήδειοι τοῖς εὐεκτικοῖς νεανίσκοις εἰσὶν, οὕτω τῶν βοῶν οἱ πρὸ τῆς ἀκμῆς. ξηρότερον γὰρ πολλῷ τὴν κρᾶσιν βοῦς, ὑὸς, ὥσπερ γε καὶ ἀκμάζων ἀνὴρ, παιδὸς, εἰκότως οὖν ὅσα μὲν φύσει ζῶα ξηροτέραν ἔχει τὴν κρᾶσιν, ὑπὸ τῆς νεότητος, εἰς συμμετρίαν αὐτὴν ὠφελεῖται. τῶν δ' ὑγροτέρων ἡ φύσις ὑπὸ τῆς ἀκμαστικῆς ἡλικίας προσλαμβάνει τὸ λεῖπον εἰς τὴν προσήκουσαν εὐκρασίαν. οὐ μόνον οὖν οἱ μόσχοι τῶν τελείων βοῶν ἀμείνους εἰς πέψιν ἔχουσι τὰς σάρκας, ἀλλὰ καὶ ἔριφοι τῶν αἰγῶν. ἧττον μὲν γὰρ βοὸς ἡ αἲξ ξηρὰ τὴν κρᾶσιν ἐστὶν, ἀλλ' ἀνθρώπῳ καὶ συὶ παραβαλλομένη, πολὺ διαφέρει τῆς ὑὸς σαρκὸς, πρὸς τὴν ἀνθρώπου ὁμοιότητα. καταμαθεῖν δ' ἔνεστι κἀκ τοῦ τινὰς ἐδηδοκότας ἀνθρωπείων κρεῶν ὡς χοιρείων, οὐδὲ μίαν ὑπόνοιαν ἐσχηκέναι. κατά γε τὴν γεῦσιν αὐτῶν, καὶ τὴν ὀσμὴν,

ἐφωράθη γὰρ ἤδη τοῦτο γεγονὸς ὑπὸ πονηρῶν πανδοχέων καὶ ἄλλων τινῶν. εἰκότως οὖν οἱ χοῖροι περιττωματικωτέραν ἡμῖν εἰς τοσοῦτον παρέχουσι τὴν τροφήν, εἰς ὅσον τῶν μεγάλων ὑῶν εἰσιν ὑγρότεροι. εἰκότως δὲ καὶ ἧττον τρέφουσιν. ἡ γὰρ ὑγροτέρα τροφή, καὶ ἀναδίδοται καὶ διαφορεῖται θᾶττον. ὑγροτάτην δὲ ἔχουσι καὶ φλεγματώδη σάρκα καὶ οἱ ἄρνες. ἀλλὰ καὶ ἡ τῶν προβάτων σάρξ, καὶ περιττωματικωτέρα τέ ἐστι καὶ κακοχυμοτέρα. κακόχυμος δὲ καὶ ἡ τῶν αἰγῶν μετὰ δριμύτητος. ἡ δὲ τῶν τράγων χείριστη καὶ πρὸς εὐχυμίαν καὶ πρὸς πέψιν, ἐφεξῆς δὲ τῶν κριῶν, εἶθ' ἡ τῶν ταύρων. ἐν ἅπασι δὲ τούτοις, τὰ τῶν εὐνουχισθέντων ἀμείνω. τὰ δὲ πρεσβυτικὰ χείριστα πρὸς πέψιν, καὶ πρὸς εὐχυμίαν καὶ πρὸς θρέψιν. ὥσπερ καὶ τῶν ὑῶν αὐτῶν, καὶ τῶν ὑγρῶν ὄντων τὴν κρᾶσιν οἱ γηράσαντες, ἔνια δὴ καὶ ξηρὰν καὶ δύσπεπτον ἔχουσι τὴν σάρκα. καὶ ἡ τῶν λαγωῶν δὲ σὰρξ αἵματος μέν ἐστι παχυτέρου γεννητική, βελτίων δὲ εἰς εὐχυμίαν ἢ κατὰ βοῦς καὶ πρόβατα. κακόχυμος δὲ τούτων οὐχ ἧττόν ἐστι, καὶ ἡ τῶν ἐλάφων καὶ δύσπεπτος. ἡ δὲ τῶν ἀγρίων ὄνων, ὅσοι γ' εὔεκτοι καὶ νέοι, πλησίον ἥκει ταῖσδε. καίτοι καὶ τῶν ἡμέρων ὄνων γηρασάντων, ἔνιοι τὰ κρέα προσφέρονται κακοχυμώτατα, καὶ δυσπεπτότατα, καὶ κακοστόμαχα, καὶ προσέτι καὶ ἀηδῆ κατ' ἐδωδὴν ὄντα, καθάπερ καὶ τὰ τῶν ἵππων τε καὶ καμήλων, ὧν καὶ αὐτῶν ἐσθίουσιν οἱ ὀνώδεις τε καὶ καμηλώδεις ἄνθρωποι τὴν ψυχὴν καὶ τὸ σῶμα. καὶ τῶν ἄρκτων δ' ἔνιοι προσφέρονται, καὶ τὰ τούτων ἔτι χείρω, λεόντων τε καὶ παρδάλεων, ἤτοι γ' ἅπαξ ἑψῶντες, ἢ δίς. εἴρηται δὲ ἔμπροσθεν ὁποῖόν τι τὸ δὶς ἑψεῖν ἐστι. περὶ δὲ τῶν κυνῶν τί δεῖ καὶ λέγειν; ὡς τοὺς νέους τε καὶ λιπαροὺς αὐτῶν καὶ μάλιστ' ὅταν εὐνουχισθῶσι, κατ' ἔνια τῶν ἐθνῶν ἐσθίουσι πάμπολλοι. καὶ πρὸς τούτοις, τά τε τῶν πανθήρων οὐκ ὀλίγοι, καθάπερ γε καὶ τὰ τῶν ὄνων ὅταν εὐεκτοῦντες τύχωσιν, ὥσπερ οἱ ἄγριοι. ταῦτα μὲν οὐ μόνον ἐσθίουσιν, ἀλλὰ καὶ ἐπαινοῦσιν ἔνιοι τῶν ἰατρῶν. τὰ δὲ τῶν ἀλωπέκων ἐν φθινοπώρῳ, καὶ οἱ παρ' ἡμῖν κυνηγέται, προσφέρονται, πιαίνονται γὰρ ὑπὸ τῶν σταφυλῶν. καὶ τῶν ἄλλων δὲ ζώων, ὅσα τὰς οἰκείας ἀφθόνως τροφὰς ἔχουσι, ταῦτα πολὺ βελτίω σφῶν αὐτῶν εἰς ἐδωδὴν γίνονται, καθάπερ γε καὶ χείρω, τἀναντία. καὶ ὅσα γε τὰς ἐκ τῆς γῆς ἀνιούσας πόας, ἢ τῶν δένδρων ἀκρέμονας, ἢ βλάστας ἐσθίει, καθ' ὃν ἂν καιρὸν εὐπορεῖ δαψιλῶς, τούτων εὐχυμότερα γίνεται καὶ πιαίνεται, καὶ πρὸς τροφὴν ἡμῖν ἐπιτηδειότερα πάντα καθίσταται. καὶ διὰ τοῦτο τὰ μὲν τὴν βαθεῖαν πόαν νέμεσθαι δεόμενα, λεπτὰ καὶ κακόχυμα γίνεται, κατά τε τὸν χειμῶνα, καὶ τὰ πρῶτα καὶ μέσα τοῦ ἦρος, ὥσπερ οἱ βόες. εὐχυμότεροί τε καὶ παχύτεροι σαφῶς γινόμενοι τοῦ χρόνου προϊόντος, ὅταν αὐξάνηται καὶ παχύνηται, καὶ εἰς συνάρπησιν ἡ πόα προέρχηται. τὰ δ' ὑπὸ τῆς μικρᾶς τρέφεσθαι δυνάμενα, βελτίω κατά τε τὰ πρῶτα καὶ τὰ μέσα τοῦ ἦρός ἐστιν, ὥσπερ τὰ πρόβατα. κατὰ δὲ τὴν ἀρχὴν καὶ τὰ μέσα τοῦ θέρους, αἱ αἶγες, ἡνίκα βλάσται πλεῖσται θάμνων εἰσίν, ἃς ἔθος αὐταῖς ἐσθίειν. ὅταν οὖν ἀκούσῃς μου παραβάλλοντος ἀλλήλοις εἴδη ζώων, ἐξέταζε καὶ κρῖνε καὶ βασάνιζε, καὶ τῇ πείρᾳ τὸν λόγον, οὐ τὸ καλῶς τεθραμμένον τε καὶ πῖον ἰσχνῷ καὶ ἀτρόφῳ παραβάλλων, οὐδὲ τὸ νέον τῷ γεγηρακότι, μοχθηρὰ γὰρ ἡ δὲ καὶ ἄδικος ἡ κρίσις, ἀλλὰ τὸ καθ' ἕκαστον εἶδος καὶ γένος, ἢ ὅπως ἂν θέλοις ὀνομάζειν, ἄριστα διακείμενον, ἑτέρῳ τοιούτῳ. οὔκουν ἔτι δέομαι λόγων μακρῶν, εἰς τό, τὰ καθ' ἕκαστον ἔθνος ἐπιχώρια τῶν ζώων ἅπαντα διέρχεσθαι, καθάπερ ἐν ἰβηρίᾳ τὸ τοῖς λαγωοῖς ὅμοιον ζωΐδιον, ὃ καλοῦσι κουνικοῦλον. ἐν λευκανίᾳ δὲ τῆς ἰταλίας, τὸ μεταξύ πως ἄρκτου τε καὶ συός, ὥσπερ γε καὶ τὸ τῶν ἀρουραίων μυῶν καὶ μυοξῶν καὶ τῶν καλουμένων ἐλειῶν ἐν μέσῳ, κατά τε τὴν αὐτὴν χώραν τῆς ἰταλίας ἐν ἄλλοις τε πολλοῖς τόποις ἐσθιόμενον. ὅσα γοῦν εὔτροφα τῶν τοιούτων ζώων ἐστὶ καὶ σαφῶς πίονα, ταῦτα τῇ πείρᾳ βασάνιζε, τοὺς τρόπους τῆς σκευασίας αὐτῶν, οὓς ἐξ ἐμπειρίας ἔμαθεν ἕκαστος τῶν ἐπιχωρίων, ἀκούων τε καὶ μανθάνων παρ' ἐκείνων. ὁποία δ' ἐστὶν ἡ δύναμις αὐτῶν ἑκάστου, ἤδη σοι πάρεστι καὶ παρ' ἐμοῦ μανθάνειν, ὅσα μὲν γὰρ ὀπτῶντες, ἢ τηγανίζοντες ἐσθίουσι, ξηροτέραν τροφὴν διδόασι τῷ σώματι, ὅσα δὲ ἐν ὕδατι προαφεψοῦσιν, ὑγροτέραν. ὅσα δ' ἐν ταῖς λοπάσιν ἀρτύοντες, ἐν τῷ μεταξὺ τούτων ἐστί, καὶ τούτων δ' αὐτῶν, οὐ σμικρὰ διαφορὰ γίνεται παρὰ τὸν τρόπον τῆς ἀρτύσεως. ὅσα μὲν γὰρ δαψιλῶς οἴνου ἔχει καὶ γάρου, ξηρότερα τῶν μὴ ἐχόντων ἐστί, τὰ δὲ τούτων μὲν ἐνδεέστερα, ἤτοι δὴ στέαρ ἔχοντα πλέον, ὃ τινὲς ἕψημα καλοῦσιν, ἢ κατὰ τὸν ὀνομαζόμενον ἁπλοῦν, καὶ λιτόν, καὶ λευκὸν ζωμὸν ἥψηται, πολλῷ τῶν προειρημένων ἐστὶν ὑγρότερα. τὰ δὲ δι' ὕδατος μόνου, καὶ τούτων ἐστὶν ἔθ' ὑγρότερα. μεγίστη δὲ τῇ σκευασίᾳ διαφορὰ γίνεται, καὶ κατὰ τὴν τῶν ἐπεμβαλλομένων αὐτοῖς δύναμιν, ἁπάντων μὲν ξηραινόντων, ἀλλ' ἤτοι μᾶλλον ἢ ἧττον. ἔστι δὲ ταῦτα, σπέρματα μὲν ἀνήθου, καὶ σελίνου, καὶ κάρου, καὶ λιβυστικοῦ, καὶ κυμίνου, καί τινα τοιαῦθ' ἕτερα. τῶν φυτῶν δ' αὐτῶν, πράσα, καὶ κρόμμυα, καὶ ἄνηθα, καὶ θύμα, καὶ θύμβρα, καὶ γλήχων, καὶ ἡ εὐώδης μίνθη, καὶ ὀρίγανος, ὅσα τε ἄλλα τοιαῦτα, τῆς ὀψαρτυτικῆς ὄντα πραγματείας, ἣν νῦν οὐ πρόκειται διέρχεσθαι· τὴν παραβολὴν δὲ τῆς διαφορᾶς τῶν ζώων, ὥσπερ ἔμπροσθεν ἔφαμεν χρῆναι ποιεῖσθαι τῶν ἄριστα ταῖς ἕξεσιν ἐχόντων, οὕτω καὶ νῦν τῶν ἐσκευασμένων κάλλιστα γινέσθω. ταῦτα μὲν οὖν αὐτάρκη σοι περὶ τῆς τῶν πεζῶν ζώων σαρκὸς ἀκηκοέναι. περὶ δὲ τῶν ἄλλων μορίων ὡς ἔχει τῆς δυνάμεως, ἐφεξῆς ἀκούσῃ μετὰ τὸν περὶ τῶν κοχλιῶν λόγον.

περὶ κοχλιῶν.

Ὅτι μὲν οὖν οὔτε ἐν τοῖς πτηνοῖς, οὔτε ἐν τοῖς ἐνύδροις, ἀριθμεῖσθαι δεῖ τοῦτο τὸ ζῶον, ἄντικρυς δῆλον. εἰ δὲ μὴ δ' ἐν τοῖς πεζοῖς αὐτοῦ μνημονεύσομεν, οὐδ' ὅλως ἐροῦμέν τι περὶ τῆς ἐκ κοχλιοῦ τροφῆς, οὐ μὴν οὐδὲ παραλιπεῖν εὔλογον, ὥσπερ τοὺς ἐκ τῶν ξύλων σκώληκας, ἐχίδνάς τε καὶ τοὺς ἄλλους ὄφεις, ὅσα τε κατ' αἴγυπτον, καὶ ἄλλα τινὰ τῶν ἐθνῶν ἐσθίουσιν. οὔτε γὰρ ἐκείνων τις ἀναγνώσεται ταῦτα, καὶ ἡμεῖς οὐκ ἄν ποτε φάγοιμεν τῶν ἐκείνοις ἐδωδίμων. κοχλίας δὲ ὁσημέραι πάντες ἕλληνες ἐσθίουσιν, ἔχοντας μὲν σκληρὰν τὴν σάρκα, καὶ διὰ τοῦτο δύσπεπτον, εἰ δὲ πεφθείη, τροφιμωτάτην. ὑπάρχει δ' αὐτοῖς, ὥσπερ τοῖς ὀστρακοδέρμοις, χυλὸς ὑπακτικὸς γαστρός, καὶ διὰ τοῦτο τινὲς ἀρτύοντες αὐτοὺς δι' ἐλαίου, καὶ γάρου, καὶ οἴνου, τῷ γινομένῳ ζωμῷ χρῶνται πρὸς διαχώρησιν τῶν κατὰ τὴν κοιλίαν. εἰ δὲ θελήσεις ὡς τροφίμῳ μόνῳ ἐδέσματι χρήσασθαι τῇ σαρκὶ τοῦ ζώου τούτου, προαφεψήσας ἐν ὕδατι, μεταθήσεις εἰς ἕτερον ὕδωρ, εἶτα ἐν ἐκείνῳ πάλιν ἑψήσας, οὕτως ἀρτύσεις τε καὶ τὸ τρίτον ἑψήσεις, ἄχρι τοῦ κατατακερὸν ἀκριβῶς γενέσθαι τὴν σάρκα. σκευασθεῖσα γοῦν οὕτως, ἐφέξει μὲν τὴν γαστέρα, τροφὴν δὲ ἱκανήν, παρέξει τῷ σώματι.

περὶ τῶν ἐν τοῖς πεζοῖς ἀκρέων μορίων.

Ἄκρεα μόρια τῶν πεζῶν ζώων, ἐσθίουσιν οἱ ἄνθρωποι, πόδας, καὶ ῥύγχη, καὶ ὦτα καὶ τοὐπίπαν δὲ δι' ὕδατος ἑψοῦντες αὐτά, προσφέρονται μετ' ὄξους καὶ γάρου, ποτὲ δέ, καὶ νάπυος, ἔνιοι δὲ καὶ δι' ἐλαίου καὶ γάρου, περιεπιχέοντες οἶνον. εἰσὶ δ' οἳ καὶ μετὰ λαχάνων, ἤτοι γε ἐξ ὕδατος ἑψημένων, ἢ ἐπὶ τὰς λοπάδας ἠρτυμένων. οἱ δὲ πόδες ἐπιτηδειότατοι τῶν χοίρων εἰσὶν ἐπεμβληθέντες ἑψομένῃ πτισάνῃ κἀκείνην ἐργάσασθαι κρείττονα, καὶ αὐτοὶ μαλακώτεροι γενέσθαι, καὶ διὰ τοῦτο βελτίους εἴς τε τὴν ἐν τῷ στόματι, καὶ τῇ γαστρὶ κατεργασίαν. διαφορὰ μὲν οὖν ἐστὶν οὐκ ὀλίγη, καὶ παρὰ τὸν τρόπον τῆς σκευασίας οὐ μόνον ἐν τοῖς ἀκρέοις μέρεσι τῶν ζώων, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, ἣν ἐπιπλέον ἐν τοῖς ὀψαρτυτικοῖς ἐροῦμεν. ὅσον δ' ἐπ' αὐτοῖς τοῖς μορίοις αἱ καθ' ὅλου διαφοραὶ κατὰ τήνδε τὴν πραγματείαν δηλοῦνται μόναι, παραβαλλομένων αὐτῶν ἀλλήλοις, ὡς εἰ καὶ κατὰ τὸν αὐτὸν τρόπον ἐσκεύαστο, ὡς καὶ πρόσθεν εἴρηται. δικαία γὰρ ἡ τοιαύτη παραβολή, τὰ τοίνυν ἄκρεα μόρια τοῦ σώματος, ἥκιστα μὲν ἔχει πιμελήν, ἥκιστα δὲ καὶ τὴν σαρκώδη φύσιν. ἐπικρατεῖ δ' ἐν αὐτοῖς, τό, τε νευρῶδες, καὶ τὸ δερματῶδες, τοῦ τοιούτου νεύρου καὶ δέρματος, οἷον τὸ καθ' ὅλον σῶμα. γεγύμνασται γὰρ ἐν τοῖς ἀκρέοις μᾶλλον. ἔστι δὲ καὶ διὰ τοῦτο καὶ γλισχρότερα. καὶ γὰρ καὶ νεῦρον καὶ δέρμα πᾶν ἑψόμενον, εἰς τοιαύτην ἀφικνεῖται φύσιν. εἰκότως οὖν ἐλάττονα μὲν τροφὴν δίδωσι τῷ σώματι, ῥᾷον δὲ ὑπέρχεται κατὰ τὴν γαστέρα, διὰ τὴν γλισχρότητα. βελτίους δὲ οἱ πόδες τῶν ὑῶν εἰσὶ τοῦ ῥύγχους, ὥσπερ καὶ τοῦτο τῶν ὤτων. ἐκεῖνα γὰρ ἐκ μόνου συνέστηκε χόνδρου καὶ δέρματος. ἔστι δὲ ὁ χόνδρος ἐν μὲν τοῖς τελείοις ζώοις, ἄπεπτος παντάπασιν. ἐν δ' ἔτι αὐξανομένοις, ὅταν καλῶς ἐν τῷ στόματι λειωθεὶς πεττόμενός τε, καὶ τροφὴν ὀλίγην δίδωσι τῷ σώματι. κατὰ δὲ τὴν αὐτὴν ἀναλογίαν ἐπὶ τῶν ἄλλων ζώων ἄκουε τοῦ νῦν εἰρημένου ἡμῖν λόγου. καθ' ὅσον γὰρ αὐτῶν αἱ σάρκες εἰς ἀρετὴν ἀπολείπονται τροφῆς τῶν ὑῶν, κατὰ τοσοῦτον καὶ τῶν ἀκρέων ἐν ὑϊ μορίων ἐστὶ χείρω τὰ κατ' ἐκεῖνα τὰ ζῶα. εὔδηλον δ' ὅτι νευρώδη μόρια τὰ κατὰ τοὺς πόδας ὀνομάζω, καθ' ὁμοιότητα τὴν πρὸς τὸ κυρίως καλούμενον νεῦρον, ὃ τὴν γένεσιν ἐξ ἐγκεφάλου, καὶ νωτιαίου λαμβάνει. τὰ δ' ἐν τοῖς ἀκρέοις νευρώδη σώματα, καθ' ὁμοιότητα μὲν οὕτως ὀνομάζεται, σύνδεσμοι δ' εἰσὶ τῶν ὀστῶν ἀναίσθητοι καί τινες ἐπ' αὐτοῖς τένοντες,

περὶ τῆς ἐν τοῖς πεζοῖς ζώοις γλώττης.

Ἰδιότης τῆς οὐσίας ἐστὶν ἐν τῷδε τῷ μορίῳ, χαυνοτέρας τε καὶ ἐναιμοτέρας σαρκός. αἱ γὰρ ἀκριβεῖς σάρκες, οἱ μύες εἰσί, καὶ τούτων αὐτῶν τὰ μέσα μάλιστα. πολλοὶ γὰρ ἐν τοῖς πέρασιν ἑαυτῶν εἰς τένοντας ἀξιολόγους τελευτῶσιν, οὓς ἀπονευρώσεις μυῶν, οἱ πολλοὶ τῶν ἰατρῶν ὀνομάζουσιν. εὐμεγέθεις δὲ τούτους γεννῶσιν εἰς τὰ τῶν κώλων πέρατα καθήκοντες μύες, ἀλλὰ καὶ τὰς κεφαλὰς ἔχουσιν ἔνιοι τῶν μυῶν νευρώδεις. καὶ τῆς γλώττης δ' αὐτῆς, ἣν ἐξαιροῦντες τῶν ὑῶν ἕψουσιν οἱ μάγειροι, τὸ μὲν ἴδιον σῶμα, χαύνη τίς ἐστιν ὡς εἴρηται σάρξ, οὐ μὴν μόνην ταύτην ἐξαίρουσιν, οὐδ' ἕψουσι μόνον, ἀλλὰ μετά τε τῶν ἐμφυομένων μυῶν. ὡς τὰ πολλὰ δὲ καὶ σὺν τῇ ἐπιγλωττίδι, καὶ λάρυγγι, καὶ τῶν ἐνταῦθα ἀδένων, τῶν τε τῆς γλώττης ἰδίων, οἳ τὸ σίαλον γεννῶσι, καὶ τῶν κατὰ τὰ παρίσθμια καὶ τὸν λάρυγγα. τὸ μὲν γὰρ τῶν ἀρτηριῶν, καὶ φλεβῶν, καὶ νεύρων κοινὸν τῆς γλώττης, καὶ πρὸς τὰς ἄλλας σάρκας ἐστί, καὶ γὰρ ἐκεῖνα σὺν τούτοις ἐσθίεται, πλὴν ὅτι μείζω τε καὶ πλείω τοῦ κατὰ τὴν ἀναλογίαν μεγέθους ὑπάρχειν τῷ μορίῳ τῷδε τὰ τρία γένη τῶν ἀγγείων. ἥτις δὲ δύναμίς ἐστι τῆς ἐκ τῶν ἀδενωδῶν σωμάτων τροφῆς ἐξῆς ἄκουε.

περὶ ἀδένων.

Τοσοῦτον ἀποκεχώρηκεν, ἡ τῶν ἀδένων οὐσία τῆς κατὰ τὴν γλῶτταν, ὅσον ἐκείνη τῶν σαρκῶν; οὐ μὴν ἴσον γε πάντες ἀκριβῶς διεστήκασιν, ἀλλ' οἱ μὲν παρακείμενοι, καὶ ψαύοντες αὐτῆς, ὅμοιοί πως εἰσὶ τοῖς κατὰ τοὺς τιτθούς, ὅταν γε μήπω μεστοὶ γάλακτος ὦσιν. οὐ γὰρ διὰ παντὸς ἐργάζονται τὸ σφέτερον ἔργον οἱ κατὰ τοὺς τιτθοὺς ἀδένες, ὥσπερ οἵ τ' ἄλλοι σχεδὸν ἅπαντες, οἵ τε τῆς γλώττης. οἱ μὲν γὰρ ταύτης εἰς σιάλου γένεσιν ὑπὸ τῆς φύσεως παρεσκευάσθησαν, οἱ δὲ ἐν τοῖς τιτθοῖς ἀραιοὶ μὲν γίνονται καὶ χαῦνοι, καὶ γάλακτος πλήρεις ἐπὶ ταῖς κυήσεσιν, ἐν ᾧ δὲ οὐκ ἔχουσι χρόνῳ τὸ γάλα, συστέλλονταί τε καὶ πυκνοῦνται, διαφέροντες ἀλλήλων τοιαύτην διαφοράν, οἵαν οἱ διάβροχοι σπόγγοι τῶν σκελετευομένων, οὕτω γὰρ ὀνομάζουσιν, ὧν ἂν ἐκθλίψαντες ἅπασαν τὴν ὑγρότητα σφίγγωσί τε καὶ συνάγωσιν ὅλον τὸ σῶμα, δεσμοὺς περιβάλλοντες, εἰσὶ δὲ καὶ κατὰ τὴν φάρυγγα καὶ λάρυγγα, τοιοῦτοί τινες ἀδένες, ὥσπερ κἂν τῷ μεσεντερίῳ, ἀλλ' οὗτοι μὲν σμικροί, καὶ διὰ τοῦτο τοὺς πολλοὺς λανθάνουσιν, οἱ δὲ κατὰ τὰ παρίσθμια καὶ τὸν λάρυγγα, σαφεῖς τε εἰσὶ καὶ μεγάλοι. καὶ ἄλλοι δὲ κατὰ πολλὰ μέρη τοῦ σώματος ἀδένες εἰσὶ σμικροί, σχίσεις ἀγγείων στηρίζοντες. οὐ σμικρὸς δ' ἀδήν ἐστιν, ὁ δ' ὁ καλούμενος θύμος, ἀλλὰ καὶ πάνυ μέγιστος ἐπὶ τῶν νεογενῶν ζώων, αὐξανομένων δὲ μικρότερος γίνεται. πάντων δ' οὖν αὐτῶν κοινόν, ἡδεῖς τε καὶ ψαθυροὺς φαίνεσθαι κατὰ τὴν ἐδωδήν, οἱ δ' ἐν τοῖς τιτθοῖς, ὅταν ἔχωσι γάλα, καὶ τὴν ἐκείνου τι γλυκύτητος ἐμφαίνουσι. καὶ διὰ τοῦτο περισπούδαστόν ἐστι τοῖς λίχνοις ἔδεσμα πλήρεις γάλακτος οἱ ἀδένες οὗτοι γενόμενοι, καὶ μάλιστα ἐπὶ τῶν ὑῶν. ἡ δ' ἐξ αὐτῶν τροφή, καλῶς μὲν πεφθέντων ἐν γαστρί, ἐγγὺς μὲν τῇ κατὰ τὰς σάρκας ἐστίν, ἐλλιπέστερον δὲ κατεργασθέντας, τὸν ὠμόν, ἢ τὸν φλεγματώδη χυμὸν γεννᾷ, τῶν μὲν ὑγροτέρων ἀδένων, τὸν φλεγματώδη, τῶν δὲ σκληροτέρων, τὸν ὠμόν, ὑπὲρ οὗ ἔμπροσθεν εἴρηται. ὄντες δ' ἐκ τοῦ γένους τῶν ἀδένων οἱ ὄρχεις, οὐχ ὁμοίως εἰσὶν εὔχυμοι, τοῖς κατὰ τοὺς τιτθούς, ἀλλά τι καὶ βρωμῶδες ἔχουσιν, ἐνδεικνύμενοι τοῦ σπέρματος, ὃ γεννῶσι φύσιν, ὥσπερ οἱ νεφροὶ τῆς τοῦ οὔρου. καὶ μὲν δὴ καὶ πεφθῆναι, πολὺ χείρους εἰσίν, οἵ γε τῶν πεζῶν ζώων. οἱ γὰρ τῶν σιτευθέντων ἀλεκτρυόνων ἥδιστοί τε ὑπάρχουσι καὶ τὴν τροφὴν χρηστὴν τῷ σώματι διδόασι. καὶ οἱ παρακείμενοι δὲ τῷ τραχήλῳ τῆς κύστεως ἀδένες, ἐγγύς τι τῶν ὄρχεων εἰσὶ τὴν φύσιν. ἔνιοι δὲ ἐν τοῖς ἀδέσι, καὶ τοὺς νεφροὺς ἀριθμοῦσιν. ἔχειν γοῦν ἀδενῶδές τι καὶ οὗτοι δοκοῦσιν αὐτοῖς. κακόχυμοι δὲ εἰσὶν ἱκανῶς, καὶ δύσπεπτοι, καθάπερ οἱ τῶν ἐπιπλέον ηὐξημένων ζώων ὄρχεις, ὅταν ἐκτέμνοντες αὐτοὺς ἐσθίουσιν. ἀμείνους γὰρ οἱ τῶν νεωτέρων, εἰσίν, οἱ δὲ τῶν ταύρων καὶ τράγων καὶ κριῶν, ἀηδεῖς καὶ δύσπεπτοι καὶ κακόχυμοι.

περὶ ὄρχεων.

Τοὺς ὄρχεις τῶν νέων ὑῶν καὶ βοῶν, ἐκτέμνουσι παρ' ἡμῖν, οὐ τῆς αὐτῆς ἕνεκα χρείας, ἀλλὰ τῶν μὲν ὑῶν, τῆς ἐδωδῆς, καὶ γὰρ ἡδίων καὶ τροφιμωτέρα γίνεται, καὶ πεφθῆναι βελτίων ἡ σὰρξ τῶν ἐκτμηθέντων ὑῶν, τῶν δὲ βοῶν, ἕνεκα τῆς εἰς τὴν γεωργίαν χρείας. δυσπειθεῖς γὰρ αὐτοῖς εἰσιν οἱ ταῦροι, τῶν δ' αἰγῶν καὶ τῶν προβάτων κατ' ἀμφοτέρας τὰς χρείας ἐκτέμνουσι τοὺς ὄρχεις. εἰσὶ δ' ἅπαντες οἱ τῶν εἰρημένων ζώων ὄρχεις δύσπεπτοι, καὶ κακόχυμοι, πεφθέντες δὲ καλῶς τρόφιμοι. τὸ δ' ἧττον καὶ μᾶλλον ἐν αὐτοῖς, ἀνάλογόν ἐστι τοῖς ἐπὶ τὰς σάρκας εἰρημένοις. εἰς ὅσον γὰρ τῶν ὑῶν σὰρξ τῆς τῶν ἄλλων ἐστὶ βελτίων, εἰς τοσοῦτον καὶ ὄρχεις τῶν ὄρχεων. μόνοι δ' οἱ τῶν ἀλεκτρυόνων ἄριστοι ἐπὶ πάντα, καὶ μάλιστα τῶν σιτευθέντων.

περὶ ἐγκεφάλου.

Φλεγματικώτερόν ἐστι, καὶ παχύχυμον ἔδεσμα, καὶ βραδύπορον, καὶ δύσπεπτον, οὐχ ἥκιστα δὲ καὶ κακοστόμαχον ἅπας ἐγκέφαλος. ἐξαπατώμενοι δὲ ὑπὸ τῆς μαλακότητος αὐτοῦ, διδόασιν ἔνιοι τοῖς κάμνουσιν, ὄντα πρὸς τοῖς ἄλλοις καὶ ναυτιώδη. μᾶλλον οὖν ὅταν ἐμέσαι τινὰ βουληθῇς ἀπὸ τροφῆς, καὶ τοῦτο τὸ μόριον αὐτῷ δίδου λιπαρῶς ἠρτυμένον, ἐν τοῖς τελευταίοις προσενέγκασθαι, φυλάττου δὲ ἀπὸ τῶν ἀνορέκτων, οὓς ἀκροίτους ἐκάλουν οἱ παλαιοί. εἰκότως οὖν οὐδ' ἐσθίει τις ὕστερον αὐτὸ τῶν ἄλλων ἐδεσμάτων, τῇ πείρᾳ δεδιδαγμένων ἁπάντων, ὅπως ἐστὶ ναυτιώδης. εὐλόγως δὲ καὶ σὺν ὀριγάνῳ πολλοὶ προσφέρονται, καθάπερ ἔνιοι μετὰ τῶν ποικίλως ἠρτυμένων ἁλῶν. αὐτὸς γὰρ παχύχυμος ὢν καὶ περιττωματικός, ἀμείνων ἑαυτοῦ γίνεται τὰ πάντα μετὰ τῶν τεμνόντων καὶ θερμαινόντων σκευασθείς, εἰ μέντοι καλῶς πεφθῇ, τροφὴν ἀξιόλογον δίδωσι τῷ σώματι.

περὶ τοῦ ἐν τοῖς ὀστοῖς μυελοῦ.

Γλυκύτερος καὶ ἡδίων ἐστὶ, καὶ λιπαρώτερος ὁ ἐν τοῖς ὀστοῖς εὑρισκόμενος μυελὸς τοῦ ἐγκεφάλου, ὡς εἴ τις ἐκ παραβολῆς αὐτῶν γεύοιτο, δόξει τι καὶ αὐστηρὸν ἔχειν τὸν ἐγκέφαλον. ἔστι δὲ καὶ ναυτιῶδες ἔδεσμα, πλείων προσενεχθεὶς ὁ μυελὸς, ὥσπερ καὶ ὁ ἐγκέφαλος, εἴ γε μὴν καλῶς πεφθείη, τρόφιμός ἐστι καὶ αὐτός.

περὶ νωτιαίου μυελοῦ.

Ὁ νωτιαῖος μυελὸς, ὁμογενὴς μέν ἐστι ἐγκεφάλῳ. κακῶς δὲ ὀνομάζεται μυελὸς, ἐστὶ γὰρ μυελὸς ὑγρότερός τε καὶ μαλακώτερος, καὶ λιπαρώτερος, οὐ μόνον τοῦ νωτιαίου, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐγκεφάλου. ἐπεὶ δ' ὑπὸ τῶν ἐπὶ τὴν ῥάχιν ὀστῶν περιέχεται, παραπλήσιος ὢν ἐπὶ τὴν χρόαν μυελῷ, διὰ τοῦτο μυελὸν ὀνομάζουσιν αὐτὸν, ὥσπερ γε καὶ αὐτὸν τὸν ἐγκέφαλον, ἔνιοι προσηγόρευσαν ὡσαύτως. ἔστι δ' ὁ νωτιαῖος μυελὸς, συνεχὴς μὲν τῷ ἐγκεφάλῳ, καὶ τῆς αὐτῆς φύσεως αὐτῷ, σκληρότερος δ' οὐκ ὀλίγῳ, καὶ μάλιστα ἐν τοῖς κάτω τῆς ῥάχεως πέρασιν. εἰς ὅσον γὰρ ἀφίσταται τοῦ ἐγκεφάλου, τοσοῦτον μᾶλλον σκληρύνεται. λιπαρότητός τε οὖν ἥκιστα μετέχει, καὶ διὰ τοῦτο καὶ ναυτιῶδες ἐκπέφευγε, κἂν πεφθῇ καλῶς τροφὴν οὐκ ὀλίγην δίδωσι τῷ σώματι.

περὶ πιμελῆς καὶ στέατος.

Ἐλαιώδη μὲν ἄμφω ταῦτα, διαφέρει δὲ ἀλλήλων ὑγρότητι καὶ ξηρότητι, πιμελῆ μὲν γὰρ ὑγρόν τι χρῆμά ἐστι παραπλήσιον ἐλαίῳ, διὰ μακρὰν παλαιότητα πεπαχυμένῳ. τὸ στέαρ δὲ ξηρότερον, ἐστὶ πιμελῆς πολλῷ, καὶ διὰ τοῦτο κἂν θερμήνας αὐτοῦ καταχέῃς, συνίσταται καὶ πήγνυται ῥᾳδίως. ὀλιγότροφα δὲ ἄμφω, καὶ μᾶλλον ἡδύσματά ἐστι τῶν τρεφουσῶν ἡμᾶς σαρκῶν, ἢ αὐταὶ τροφαί.

περὶ τῶν ἐν τοῖς πεζοῖς ζώοις σπλάγχνων.

Τὸ μὲν ἧπαρ ἁπάντων τῶν ζώων, παχύχυμόν τέ ἐστι καὶ δύσπεπτον καὶ βραδύπορον ὑπάρχον. ἄμεινον ἐν αὐτοῖς, οὐκ εἰς ἡδονὴν μόνον, ἀλλὰ καὶ εἰς τἄλλα, τὸ συκωτὸν ὀνομαζόμενόν ἐστι, τῆς προσηγορίας ταύτης τυχὸν, ἐπειδὴ πολλῶν σύκων ξηρῶν ἐδωδῇ, τοῦ μέλλοντος σφάττεσθαι ζώου, τοιοῦτον παρασκευάζουσιν αὐτὸ, ὃ πράττουσιν οὕτως ἐπὶ τῶν ὑῶν μάλιστα, διὰ τὸ φύσει τὰ τούτου τοῦ ζώου σπλάγχνα, πολὺ τῶν ἐν τοῖς ἄλλοις ὑπάρχειν ἡδίω. γίνεται δὲ κἀκεῖνα σφῶν αὐτῶν ἀμείνω φαγόντος τοῦ ζώου πολλὰς ἰσχάδας, ἀλλ' οὐκ εὔλογον εἶναι δοκεῖ τοῖς ἀνθρώποις ὑπερβάσει τὸ φύσει κάλλιον, ἐπὶ τὰ χείρω παραγίνεσθαι. τῶν δὲ ἄλλων σπλάγχνων ὁ μὲν σπλὴν, οὐδὲ πρὸς τὴν γεῦσιν ἀκριβῶς ἡδύς ἐστι, ἔχει γάρ τι στρυφνὸν ἐμφαινόμενον. εἰκότως δὲ καὶ κακόχυμος εἶναι πεπίστευται, μελαγχολικοῦ γεννητικὸς αἵματος ὑπάρχων. ἀμφοῖν δ' εὐπεπτότερος ὅσῳ καὶ ἀραιότερος, ὁ πνεύμων ἐστὶ, παμπόλλῳ γε μὴν ἥπατος εἰς θρέψιν ἥττων, ἣν δὲ δίδωσι τροφὴν τῷ σώματι, φλεγματικωτέρα μᾶλλόν ἐστιν. ἡ δὲ καρδία, ἐπὶ μὲν τὴν οὐσίαν, ἰνώδης σάρξ ἐστι καὶ σκληρὰ, καὶ διὰ τοῦτο δύσπεπτός ἐστι καὶ βραδύπορος, εἰ δὲ πεφθείη καλῶς, τροφὴν οὐκ ὀλίγην, οὐδὲ κακόχυμον δίδωσι τῷ σώματι. περὶ δὲ νεφρῶν, καὶ γὰρ καὶ τούτους τινὲς ἐν τοῖς σπλάγχνοις ἀριθμοῦσιν, ἔμπροσθεν εἴρηται.

περὶ κοιλίας καὶ μήτρας καὶ ἐντέρων τῶν ἐν τοῖς τετράποσι ζώοις.

Σκληρότερα τε μόρια ταῦτα ἐστὶ τῶν σαρκῶν, διὸ κἂν καλῶς πεφθῇ, τὸν χυμὸν, οὐκ ἀκριβῶς αἱματικόν τε καὶ ἄμεμπτον, ἀλλὰ ψυχρότερόν τε καὶ ὠμότερον ἐργάζεται. πρότερον οὖν χρόνου πλείονος δεῖται πρὸς τὸ καλῶς κατεργασθῆναι, καὶ αἷμα χρηστὸν γενέσθαι.

περὶ τῆς τῶν ἡμέρων καὶ ἀγρίων ζώων διαφορᾶς.

Τῶν ἡμέρων ζώων ἡ κρᾶσις, ὑγροτέρα τῆς τῶν ἀγρίων ἐστὶ, διά τε τὴν ὑγρότητα τοῦ ἀέρος, ἐν ᾧ διαιτῶνται καὶ τὸ ῥᾴθυμον τοῦ βίου. τὰ δὲ ἐν τοῖς ὄρεσι ταλαιπωρεῖταί τε καὶ κάμνει πολλὰ, καὶ ἐπὶ ξηρότερον ἀέρα διατρίβει. διὰ τοῦτο οὖν ἥ τε σὰρξ αὐτῶν ἐστὶ σκληροτέρα, καὶ πιμελῆς ἢ οὐδόλως, ἢ ὀλιγοστόν τι μετέχει. ταύτῃ τοι καὶ ἀσηπτότερα πλείοσιν ἡμέραις διαμένει τῶν ἡμέρων τε καὶ ἀργῶς διαιτωμένων ζώων. πρόδηλον δ' ὅτι καὶ ἀπέριττός ἐστιν ἐξ αὐτῶν τροφὴ μᾶλλον, ὥσπερ ἡ ἐπὶ τῶν ἡμέρων τε καὶ ἀργῶν περιττωματική, τρέφειν τε οὖν ἀναγκαῖόν ἐστι τὴν τοιαύτην τροφὴν μᾶλλον, εὐχυμοτέραν τε πολλῷ τῆς ἑτέρας ὑπάρχειν.

περὶ γάλακτος.

Καὶ τοῦτο τῆς ἀπὸ τῶν ζώων ἐστὶ τροφῆς ἕν τι, διαφέρον μὲν καὶ ἐπὶ τὰς ὥρας τοῦ ἔτους οὐ σμικρὰν διαφοράν,

ἔτι δὲ μείζονα, τὴν κατ' αὐτὰ τὰ ζῶα. τὸ μὲν γὰρ τῶν βοῶν παχύτατόν ἐστι καὶ λιπαρώτατον, ὑγρότατον δὲ καὶ ἥκιστα λιπαρώτατον, τὸ τῆς καμήλου. καὶ μετὰ τοῦθ' ἵππου. μετὰ δὲ τοῦθ' ὄνου. σύμμετρον δὲ τῇ συστάσει, τὸ τῆς αἰγός ἐστι γάλα. τὸ δὲ τοῦ προβάτου, παχύτερον τούτου. κατὰ δὲ τὰς ὥρας τοῦ ἔτους, ὑγρότατον μέν ἐστι τὸ μετὰ τὴν ἀποκύησιν, ἀεὶ δὲ μᾶλλον ἐν τῷ προϊέναι, παχύνεται. καὶ κατὰ μέσον τὸ θέρος ἐν τῷ μέσῳ καὶ αὐτὸ τῆς αὐτοῦ φύσεως καθίσταται. μετὰ δὲ τὸν καιρὸν τοῦτον, ἤδη παχύνεται κατὰ βραχὺ, μέχρις ἂν παύσηται τελέως. ἔστι δ' ὥσπερ ὑγρότατον ἦρος, οὕτω καὶ πλεῖστον. ὅτι δ' ὡς προείρηται καὶ κατὰ τῶν ζώων εἴδη τὸ γάλα διαφέρει, καὶ θεασαμένῳ μὲν αὐτίκα φαίνεται, σαφέστερον δὲ γίνεται, κἀκ τοῦ σκευαζομένου καθ' ἕκαστον αὐτοῦ τυροῦ. πλεῖστον μὲν γὰρ ὀῤῥὸν ἴσχει τὸ ὑγρότατον γάλα, πλεῖστον δὲ τυρὸν τὸ παχύτατον. ὑπάγει τοίνυν εἰκότως τὴν γαστέρα τὸ μὲν ὑγρότερον μᾶλλον, ἧττον δὲ τὸ παχύτερον. ἔμπαλιν δὲ τὸ παχύτερον μὲν τρέφει μᾶλλον, τὸ λεπτότερον δὲ ἧττον. εἰ δὲ προαφεψήσας τις τὸ γάλα, τὸν ὀῤῥὸν ἐκδαπανήσειεν, οὐδ' ὅλως ὑπάγει. κοχλάκων δὲ διαπύρων ἐμβληθέντων τοσοῦτον ὡς ἐκδαπανῆσαι τὸν ὀῤῥὸν ἅπαντα, πρὸς τῷ μηκέθ' ὑπάγειν τὴν γαστέρα τὸ οὕτως σκευασθὲν, ἔτι καὶ τοὐναντίον ἐργάζεται, καὶ δίδομεν αὐτὸ τοῖς ὑπὸ τῶν δριμέων περιττωμάτων δακνομένοις κατὰ τὴν γαστέρα. τῶν κοχλάκων δὲ οὐκ ἧττον, ἀλλὰ μᾶλλον ἐμβαλλόμενοι κυκλίσκοι σιδήρου διάπυροι, ταυτὸν ἐργάζονται. τυροῦται γε μὴν ἐν τῇ γαστρὶ ῥᾳδίως τὸ οὕτως σκευασθὲν γάλα. διὸ καὶ μίγνυμεν αὐτῷ μέλιτός τε καὶ ἁλῶν, ἀσφαλέστερον δὲ καὶ ὕδατος ἐπιχεῖν, ὥσπερ καὶ ποιοῦσι τῶν ἰατρῶν οὐκ ὀλίγοι. καὶ μὴ θαυμάσῃς, εἰ τὸ ὀῤῥὸν ἐκδαπανήσαντες, αὖθις ὕδατος ἐπιχέουσιν. οὐ γὰρ τὴν ὑγρότητα τοῦ ὀῤῥοῦ φεύγουσιν, ἀλλὰ τὴν δριμύτητα καθ' ἣν ὑπάγει τὴν γαστέρα τὸ σύμπαν γάλα, μικτὸν ἐξ ἐναντίων οὐσιῶν ὑπάρχον, ὀῤῥοῦ τε καὶ τυροῦ. μετέχει δὲ πρὸς τοῖσδε, καὶ τρίτου τοῦ λιπαροῦ χυμοῦ, πλεῖστον μὲν, ὡς εἴρηται, τὸ τῶν βοῶν γάλα, διὸ καὶ σκευάζουσιν ἐξ αὐτοῦ τὸ καλούμενον βούτυρον, ὃ καὶ γευσάμενος καὶ θεασάμενος μόνον, ἐναργῶς γνώσῃ πόσον αὐτῷ λιπαρότητος μέτεστιν. εἰ δὲ καὶ χρίσας τι μέρος τοῦ σώματος, ἀνατρίψας αὐτὸ, λιπαινόμενον, ὡς ἐξ ἐλαίου θεάσῃ τὸ δέρμα. κἂν εἰ νεκροῦ δὲ ζώου δέρμα ξηρὸν ἀλείψαις αὐτῷ, τὴν αὐτὴν ἐνέργειαν ὄψει. καὶ μέν τοι καὶ ἄνθρωποι κατὰ πολλὰ τῶν ψυχρῶν χωρίων, ἐν οἷς ἀπορούσιν ἐλαίου, χρῶνται λουόμενοι τῷ βουτύρῳ. φαίνεται δὲ κἂν ἐπ' ἀνθράκων διαπύρων ἐκχέοις αὐτὸ, φλόγα ποιοῦν, ὥσπερ ἡ πιμελή, καὶ μέν τοι καὶ χρώμεθα αὐτῷ πολλάκις εἰς ὅσα καὶ τῷ στέατι, καταπλάσμασί τε καὶ ἄλλοις φαρμάκοις μιγνῦντες. τὸ μὲν οὖν βόειον, ὡς ἔφην, γάλα λιπαρώτατόν ἐστι, τὸ δὲ τῶν προβάτων τε καὶ τῶν αἰγῶν, ἔχει μέν τοι καὶ αὐτὸ λίπους, ἀλλ' ἧττον πολὺ, τὸ δὲ τῶν ὄνων, ἥκιστα μετέχει τοιούτου χυμοῦ. διὸ καὶ σπανίως ἐτυρώθη τινὶ κατὰ τὴν γαστέρα, πινόμενον αὐτίκα θερμὸν ἅμα τῷ τῶν τιτθῶν ἐκπεσεῖν. εἰ δ' ἁλῶν λάβοι καὶ μέλιτος, ἀδύνατον παγῆναί τε αὐτὸ καὶ τυρωθῆναι κατὰ τὴν γαστέρα. διὰ δὲ τὴν αὐτὴν αἰτίαν, ἡ κάτω διαχώρησις αὐτῷ γίνεται πλείων, ὡς ἂν καὶ τὸν ὀῤῥὸν ἔχοντος πολὺν, ὑφ' οὗ τὸ σύμπαν γάλα τὴν ὑπακτικὴν λαμβάνει δύναμιν, οὐδὲν ἐπὶ τῷ τυρώδει τὴν σταλτικὴν ἔχον. ὁπόσον δ' ἀπολείπεται τῆς ἄλλης τοῦ γάλακτος φύσεως εἰς εὐχυμίαν ὁ ὀῤῥὸς, τοσοῦτον πλεονεκτεῖ τῶν ἄλλων ἁπάντων ὅσα λαπάττει τὴν γαστέρα. διό μοι δοκοῦσι καὶ οἱ παλαιοὶ πλεῖστα χρῆσθαι τούτῳ τῷ πόματι, πρὸς ὑπαγωγὴν γαστρὸς, ἐμβαλεῖν δ' αὐτῷ χρὴ μέλιτος ἀρίστου τοσοῦτον ὅσον ἡδῦναι, χωρὶς ἀνατροπῆς στομάχου. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τῶν ἁλῶν, ἄχρι τοῦ μὴ λυπῆσαι τὴν γεῦσιν. εἴ γε μὴν ὑπάγειν αὐτὸ μᾶλλον ἐθέλοις, ὡς πλεῖστον ἔμβαλε τῶν ἁλῶν. ταῦτα μὲν οὖν ἐπὶ πλέον, ἢ κατὰ τὴν ἐνεστῶσαν εἴρηται πραγματείαν, ὅσα γὰρ ὡς τροφῇ τῷ γάλακτι συμβέβηκεν ἔχει ἀγαθὰ, ταῦτα προὔκειτο διέρχεσθαι, μεμιγμένου δ' αὐτοῖς τοῦ κατὰ τὴν ὑπαγωγὴν τῆς γαστρὸς, ἐκ τῆς κοινωνίας τῆσδε, τὴν ἐκτροπὴν ὁ λόγος ἔσχε. πάλιν οὖν αὐτὸ ἐπαναγάγωμεν ἐπὶ τὸ προκείμενον, εἴπωμέν τε τὰ μήπω λελεγμένα περὶ τῆς ἐν τῷ γάλακτι δυνάμεως, ὃ ἐν τοῖς μάλιστα καὶ τοῦτ' ἐστὶν, εὐχυμώτατον εἶναι τὸ ἄριστον γάλα σχεδὸν ἁπάντων, ὅσα προσφερόμεθα. μὴ παρακούσῃς δὲ τοῦ προκειμένου κατὰ τὸν λόγον. οὐ γὰρ ἁπλῶς εἶπον εὐχυμώτατον εἶναι γάλα πᾶν, ἀλλὰ προσέτι τὸ ἄριστον. ὥς τό γε κακόχυμον γάλα, τοσοῦτον οὐ συντελεῖ εἰς εὐχυμίαν, ὥς τε καὶ τοὺς ἐκείνους χρωμένους αὐτῷ, κακοχύμους ἐργάζεται καὶ φανερὸν ὥς γε παιδίον ἀποθανούσης τῆς προτέρας τιτθῆς, ἑτέρας κακοχύμου παρασχούσης αὐτῷ γάλα, πολλῶν ἑλκῶν ἐνεπλήσθη τὸ σύμπαν σῶμα. διῃτεῖτο δ' ἐπὶ λαχάνοις ἀγρίοις ἡ δευτέρα τιτθὴ κατ' ἀγρὸν ἦρος ὥρᾳ, λιμοῦ κατασχόντος. αὐτή τε οὖν ἐπληρώθη τοιούτων ἑλκῶν, ἕτεροί τέ τινες τῶν κατὰ τὴν αὐτὴν χώραν, ὁμοίως διαιτηθέντες. εἴδομεν δὲ τοῦτο κἀπὶ πολλῶν ἄλλων γυναικῶν παιδία τρεφουσῶν, κατὰ τὸν αὐτὸν ἐκεῖνον χρόνον. ἀλλὰ κἂν αἰγὸς, ἢ τινὸς ἄλλου ζώου νεμηθέντος σκαμμωνίαν, ἢ τιθύμαλλον, ἐν τροφῆς μέρει προσενέγκηταί τις γάλα, ῥυήσεται πάντως ἡ γαστὴρ αὐτῷ. καθάπερ οὖν ἐπὶ τῶν ἄλλων ἁπάντων, οὕτω κἀπὶ τοῦ γάλακτος ἀκούειν σε χρὴ, τῶν δυνάμεων οὐχ ἁπλῶς λεγομένων ἐπὶ τοῦ τυχόντος ἀλλ' ἐπὶ τοῦ καλλίστου μόνου. τὸ δὲ ἀπολειπόμενον ἐν ἑκάστῳ γένει τοῦ πρωτεύοντος, ἀπολείπεσθαι τοσοῦτον καὶ τῆς εἰς ἡμᾶς ὠφελείας. τὸ μὲν οὖν ὀῤῥοῦ πλεῖστον ἔχον, ἀκινδυνώτατόν ἐστιν, εἰ καὶ διαπαντὸς αὐτῷ τις χρῷτο, τὸ δ' ὀλίγον μὲν ἔχον ὑγρότητος τοιαύτης, οὐκ ὀλίγον δὲ παχύτητος τυρώδους, οὐκ ἀσφαλές ἐστιν ἅπασι τοῖς ἐν αὐτῷ πλεονάζουσι. βλάπτει μὲν γὰρ νεφρούς, ὅσοι γ' ἐπιτηδείως ἔχουσιν εἰς λίθων γένεσιν, ἐμφράξεις δὲ καὶ καθ' ἧπαρ ἐργάζεται τοῖς ἑτοίμως παθεῖν δυναμένοις τοῦτο. τοιοῦτοι δ' εἰσὶν, οἷς στενὰ τὰ πέρατα τῶν μεταλαμβανομένων ἀγγείων, τὴν ἐκ τῶν σιμῶν τοῦ σπλάγχνου τροφὴν εἰς τὰ κυρτὰ, τοῖς δὲ κατὰ θώρακα καὶ πνεύμονα χωρίοις ἀγαθὸν ἅπαν ἐστὶ γάλα. κεφαλῇ δ' οὐκ ἐπιτήδειον, εἰ μή τις ἰσχυρὰν ἔχει πάνυ, καθάπερ οὐδ' ὑποχονδρίοις, ὅσα ῥᾳδίως ἐμφυσᾶται. πνευματοῦται γὰρ ἐν τῇ γαστρὶ παμπόλλοις, ὡς ὀλιγοστοὺς εἶναι, τοὺς μὴ πάσχοντας τοῦτο. μετὰ δέ τινος τῶν παχὺν ἐχόντων χυμὸν ἐδεσμάτων ἐπὶ πλέον ἑψηθὲν. ἀποτίθεται μὲν τὸ φυσῶδες, ἐμφρακτικώτερον δὲ ἥπατος γίνεται καὶ τῶν ἐν νεφροῖς λίθων γεννητικώτερον. ἐδέσματα δ' εἶναι τοιαῦτα, κατὰ τὸν πρῶτον εἴρηται λόγον, ἄμυλός τε καὶ σεμίδαλις, καὶ χόνδρος, καὶ τράγος, καὶ ὄρυζα, λάγανά τε καὶ ξυμήματα καὶ

ἄρτοι μή τε καλῶς ὠπτημένοι, μή τε προπαρασκευασμένοι διὰ τρίψεως πολλῆς, ἅμα δαψιλέσιν ἅλσι, μή τε ζύμης ἔχοντες σύμμετρον. ὥσπερ δὲ ἐπὶ τούτων, οὕτως κἀπὶ τῶν ἄλλων, ὅσα μιγνύντες γάλακτι προσφέρονταί τινες, ἡ τῶν μιγνυμένων δύναμις ἤτοι γ' αὐξήσει τινὰ τῶν τοῦ γάλακτος δυνάμεων, ἢ μειώσει. νυνὶ δὲ ἡμεῖς αὐτοῦ τὴν δύναμιν ἀφοριζόμενοι λέγομεν, εὔχυμόν τε καὶ τρόφιμον εἶναι, συγκείμενον ἐξ ἐναντίων οὐσιῶν τε καὶ δυνάμεων, ὑπακτικῆς τε καὶ σταλτικῆς, ἐμφρακτικῆς τε καὶ λεπτυντικῆς. τὸ μὲν γὰρ ὀῤῥῶδες αὐτοῦ λεπτύνει τὸ πάχος τῶν χυμῶν, ὑπάγει τε γαστέρα, τὸ δὲ τυρῶδες ἐπέχει τὴν γαστέρα, καὶ παχεῖς ἐργάζεται τοὺς χυμούς, δι' οὓς, ὡς ἔφην, ἐμφράξεις τε καθ' ἧπαρ, ἐν νεφροῖς τε λίθοι γεννῶνται. βλάπτει δ' ἡ συνεχὴς χρῆσις αὐτοῦ καὶ τοὺς ὀδόντας, ἅμα ταῖς περικειμέναις σαρξὶν ἃς ὀνομάζουσιν οὖλα, ταύτας μὲν γὰρ πλαδαρὰς, τοὺς δὲ ὀδόντας εὐσήπτους τε καὶ ῥᾳδίως διαβιβρωσκομένους ἐργάζεται. χρὴ τοίνυν ἐπὶ τῇ προσφορᾷ τοῦ γάλακτος, οἴνῳ κεκραμμένῳ διακλύζεσθαι. βέλτιον τε εἰ καὶ μέλιτος ἐπεμβάλλεις αὐτῷ. πᾶν γὰρ οὕτως ἀποῤῥύπτεται τὸ περιπλασμένον τοῖς ὀδοῦσι, καὶ τοῖς οὔλοις, ἐκ τοῦ γάλακτος τυρῶδες, εἰ δὲ καὶ χωρὶς τοῦ προσεμβάλλειν ὕδατος τῷ οἴνῳ, μὴ βλάπτοιτό τις τὴν κεφαλὴν, διακλυζόμενος αὐτῷ, βελτίων ἡ τοιαύτη χρῆσις, ὡς πρὸς τοὺς ὀδόντας τε καὶ τὰ οὖλα. τό γε μὴν μέλι καὶ τούτῳ μιγνύμενον, ἄμεινον ἐργάζεται τὸ μικτὸν ἐξ ἀμφοῖν. ἀρίστη δὲ χρῆσις εἰς ἀσφάλειαν ὀδόντων, ὡς μηδὲν ὑπὸ γάλακτος βλάπτεσθαι μετὰ τὸ προσενέγκεσθαι μελικράτῳ μὲν πρότερον διακλύζεσθαι, δεύτερον δ' οἴνῳ στύφοντι.

περὶ ὀξυγάλακτος.

Τὸ δὲ ὀξύγαλα καλούμενον οὐ βλάπτει μὲν τοὺς ὀδόντας, ὅσοι γε κατὰ φύσιν ἔχουσιν, ὅσοι γ' ἔτι διὰ φυσικὴν δυσκρασίαν, ἤ τινα ἐπίκτητον διάθεσιν εἰσὶ ψυχρότεροι τοῦ δέοντος, οὗτοι μόνοι βλάπτονται καθάπερ ὑπὸ τῶν ἄλλων ψυχρῶν, οὕτω καὶ ὑπὸ τοῦδε, καὶ τὸ σύμπτωμα τούτοις ἐνίοτε γίνεται, τὸ καλούμενον αἱμωδία τοιοῦτον, οἷον ἐπὶ τοῖς ἀώροις συκαμίνοις, ὅσα τ' ἄλλα στρυφνὰ καὶ ὀξέα συμβαίνειν εἴωθε. πρόδηλον δ' ὅτι καὶ ἡ γαστὴρ, ἡ μὲν ψυχροτέρα καθ' ἡντινοῦν αἰτίαν, οὐ πέττει καλῶς ὀξύγαλα. τῇ συμμέτρως δὲ ἐχούσῃ, δύσπεπτον μὲν, οὐ μὴν ἄπεπτόν γε παντάπασιν. ὅσαι δὲ θερμότεραί εἰσι τοῦ προσήκοντος γαστέρες, εἴτε ἐξ ἀρχῆς, εἴτε ἔκ τινος ὕστερον αἰτίας εἰς τοιαύτην κρᾶσιν ἀχθεῖσαι, πρὸς τῷ μηδὲν βλάπτεσθαι, καὶ χρηστοῦ τινος ἀπολαύουσιν ἐκ τῶν τοιούτων ἐδεσμάτων. αὗται καὶ προψυχθὲν αὐτὸ διὰ χιόνος περιπλάσεως, ἀλύπως φέρουσιν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν τοιούτων ἐδεσμάτων, καὶ δηλονότι καὶ τὸ ὕδωρ αὐτὸ παρασκευασθὲν ὁμοίως, ἐφ' ᾧ καὶ θαυμάζειν ἐπῆλθέ μοι πολλοὺς τῶν ἰατρῶν ἀποφηναμένους, ὑπὲρ ἑκάστης τροφῆς, τῆς μὲν ὡς ὠφελούσης ἡμᾶς, τῆς δὲ ὡς βλαπτούσης, εὐπέπτου τε καὶ δυσπέπτου, κακοχύμου τε καὶ εὐχύμου, τροφίμου τε καὶ ἀτρόφου, κακοστομάχου τε καὶ εὐστομάχου, καὶ κοιλίαν ὑπαγούσης, ἢ ἱστώσης, ἤ τινα ἄλλην ἀρετὴν, ἢ κακίαν ἐχούσης. ἐπί τινων μὲν γὰρ ἐγχωρεῖ φάναι, πᾶσιν ἀνθρώποις εἶναι κακόχυμον, ἢ δύσπεπτον, ἢ κακοστόμαχον ἔδεσμα τόδε τι, περὶ δὲ τῶν πλείστων, οὐχ οἷόν τε χωρὶς διορισμοῦ διὰ προφάσεως μιᾶς ἀληθεῦσαι. μακροῦ δ' ἐξ ἀνάγκης ἐσομένου τοῦ παντὸς λόγου, γραφόντων ἡμῶν, ἐφ' ἑκάστου τῶν ἐδεσμάτων, τοὺς ἀπὸ τῶν φυσικῶν κράσεων διορισμοὺς, ἐπικτήτων τε διαθέσεων, ἄμεινον εἶναι δόξειεν, καθόλου μὲν ἐξ ἀρχῆς τῆς διδασκαλίας ἐπιδεῖξαι τὴν μέθοδον. ὡς ἐποιησάμεθα ἐν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων, ἀναμιμνήσκειν δ' ἐπὶ τῶν κατὰ μέρος ἐνίοτε, καὶ μάλιστα ἐφ' ὧν ἡ φύσις οὐχ ἁπλῆ, καθάπερ ἀμέλει κἀπὶ τοῦ γάλακτος ἐστὶ, συγκειμένου μὲν ἐξ ἐναντίων οὐσιῶν τε καὶ δυνάμεων, ὁμοιομεροῦς δὲ φαινομένου, πρός γε τὴν αἴσθησιν. οὕτω γὰρ αὐτῷ συμβαίνει, κἂν κάλλιστον ᾖ, παρὰ τὴν τῶν κοιλιῶν διαφορὰν, ἐνίοτε μὲν ὀξύνεσθαι, κνισσώδη δ' αὖθις ἐφ' ἑτέρου τὴν ἐρυγὴν ἀναπέμπειν. καίτοι γ' ἐναντίων διαθέσεων οὐσῶν, καθ' ἃς ὀξῶδες, ἢ κνισσῶδες γίνεται, τὸ κατὰ τὴν κοιλίαν ἀπεπτηθέν. ἡ μὲν γὰρ ἔνδεια τῆς θερμασίας, ὀξύνειν αὐτὸ πέφυκεν, ἡ δ' ὑπερβολὴ κνισσοῦν. γίγνεται δὲ ἄμφω ταῦτα τῷ γάλακτι, διὰ τὸ μὴ μόνον ἔχειν ἐν ἑαυτῷ τὴν ὀῤῥώδη φύσιν, ἀλλὰ καὶ τὴν λιπαρὰν, καὶ τὴν τυρώδη. τὸ γοῦν ὀξύγαλα διὰ τὴν αἰτίαν ταύτην, οὐδέ ποτε κνισσῶδες ἀπεπτηθὲν γίνεται, κἂν μάλιστα εἰς χολωδεστάτην, ἢ πυρωδεστάτην ἐμπέσῃ κοιλίαν. οὔτε γὰρ ἔτι τὴν θερμὴν καὶ δριμεῖαν ἔχει ποιότητα καὶ δύναμιν, ἧς μετέχει τὸ γάλα διὰ τὸν ὀῤῥὸν, οὔτε τὴν λιπαράν τε καὶ μετρίως θερμὴν ἐκέκτητο διὰ τὸ λιπαρὸν τὸ ἐν ἑαυτῷ, μόνον γὰρ ὑπολείπεται κατὰ τὴν τοιαύτην σκευασίαν τὸ τυρῶδες, οὐδὲ τοῦτο τοιοῦτον φύσει, ὁποῖον ἐξ ἀρχῆς ὑπῆρχεν ἀλλ' ἐπὶ τὸ ψυχρότερον ἐκτετραμμένον. ἀρκεῖ τοιγαροῦν ἐπ' ὀξυγάλακτος εἰπεῖν, ὅτι ψυχρόν ἐστι καὶ παχύχυμον ἕπεται γὰρ τούτοις, τὸ μή τε ῥᾳδίως πέττεσθαι πρὸς τῆς συμμέτρως ἐχούσης κράσεως σώματος, ἐπ' ἐκείνην γὰρ ἀναφέρεσθαι τὸν λόγον ἠξίωσα πολλάκις ἤδη κατὰ πάσας τὰς ἐμὰς πραγματείας, ὅταν ἁπλῶς ἀποφαίνομαί τι, καὶ μέντοι καὶ τὸν ὠμὸν ὀνομαζόμενον χυμὸν, οὗ τὴν φύσιν ἔμπροσθέν τε δῆλον, ἑτέρωθέν τε κατὰ προηγούμενον λόγον ἐξηγησάμην, εὔλογον ἐστὶν ἐκ τῶν τοιούτων ἐδεσμάτων πλεῖστον γεννᾶσθαι. χρήσιμον δὲ εἶναι τὸ ἔδεσμα τοῦτο ταῖς πυρωδεστέραις κοιλίαις, οὐδὲν ἄλογον. ὥσπερ ταῖς ψυχροτέραις ἐναντιώτατον. οὐ μὴν οὐδὲ τοῦτο δεῖ καθ' ἕκαστον τῶν ἐδεσμάτων γράφειν, ἀλλὰ μιμνήσκειν ἐπὶ ἐνίων μόνον, ὡς ὁ τοιόσδε χυμὸς ὁποῖος ἐξ ὀξυγάλακτός τε καὶ τυροῦ, καὶ τῶν παχυχύμων ἁπάντων γίγνεται, λίθους ἐν νεφροῖς πέφυκε γεννᾶν, ὅταν ὦσι θερμότεροι τοῦ δέοντος, ἤτοι κατὰ φυσικὴν δυσκρασίαν, ἢ κατά τινα ἄλλην ὕστερον ἐγγινομένην αὐτοῖς διάθεσιν οὐ μὴν ἀνάλογόν γε τῆς θερμασίας, τὰς διεξόδους εὐρείας ἔχουσιν. αἱ γάρ τοι νοσωδέσταται κατασκευαὶ τῶν σωμάτων ἐξ ἐναντίων τῇ κράσει σύγκεινται μορίων, ὡς εἶναι γαστέρα μὲν, εἰ τύχοι θερμὴν ἱκανῶς, ἐγκέφαλον δὲ ψυχρὸν οὕτως δὲ καὶ πνεύμονα, ἐνίοτε καὶ θώραξ ὅλος ψυχρός ἐστιν ἐπὶ γαστρὶ θερμῇ. πολλάκις δὲ καὶ τοὐναντίον, ἑκάστου μὲν τῶν ἄλλων θερμότερον ὑπάρχει τοῦ δέοντος, ἡ γαστὴρ δὲ μόνη ψυχροτέρα, θερμότερον δὲ τὸ ἧπαρ ἐπί τε τῶν ἄλλων μορίων ὡσαύτως. διὸ καὶ κατ' ἀρχὰς ἐδείκνυον ὠφελιμωτάτην εἶναι τὴν περὶ τῶν ἐν τροφαῖς δυνάμεων διδασκαλίαν, ὅταν ἐξηγῶνται τὴν καθ' ὑγρότητα, καὶ ξηρότητα, καὶ θερμότητα, καὶ ψυχρότητα διαφορὰν, ἔτι τε τὸ γλίσχρον ἢ παχὺ τῆς οὐσίας αὐτῶν, καὶ πρὸς τούτοις ὡς ὁμοιομερὲς ἐστὶν, ἢ ἐξ ἐναντίων ταῖς

κράσεσι σύγκειται, καθάπερ τὸ γάλα. πρὸς δὲ τὴν τούτων διάγνωσιν, ἔκ τε τῆς ὀσμῆς καὶ τῆς γεύσεως, ἔτι τε τῶν ἄλλων συμπτωμάτων ἔφην ἡμᾶς ποδηγεῖσθαι, περὶ ὧν ἐν ἀρχῇ τῆσδε τῆς πραγματείας, διῆλθον, ὥσπερ καὶ νῦν ἐπὶ τοῦ γάλακτος ἐπιδεικνὺς αὐτοῦ τὴν φύσιν, ἐξ ὧν ἴσχει συμπτωμάτων, ἤτοι θερμαινόμενον, ἢ διὰ πιτύας πηγνύμενον, ἢ ὁπωσοῦν ἄλλως διακρινομένων τῶν μορίων αὐτοῦ, καὶ γὰρ ἡ σχίσις καλουμένη τοῦτο ἐργάζεται χωρὶς τῆς πιτύας, ὅταν ἱκανῶς θερμήναντες τὸ γάλα καταρραίνομεν ὀξυμέλιτι ψυχρῷ. ταὐτὸ δ' ἐργαζόμεθα καὶ δι' οἰνομέλιτος. ἐνίοτε δὲ καὶ χωρὶς τοῦ καταρρᾶναι τὴν οὐσίαν αὐτοῦ, καθιέντες ἀγγεῖον ὕδωρ ἔχον ψυχρότατον, ἐργαζόμεθα τὴν σχίσιν. ἄνευ δὲ πιτύας, καὶ τὸ μετὰ τὴν ἀποκύησιν ἀμελχθὲν αὐτίκα πήγνυται, πυρωθὲν ἐπὶ θερμῆς σποδιᾶς ὀλίγῳ χρόνῳ. καλεῖν δὲ ἐοίκασιν οἱ παλαιοὶ κωμικοὶ τὸ οὕτως παγὲν γάλα πυριάτην, οἱ δὲ παρ' ἡμῖν ἐν Ἀσίᾳ, πυρίεφθον ὀνομάζουσιν αὐτό. τοῦτο μὲν ἀκριβῶς ἐστὶ γάλα, χωρὶς οὐσίας ἑτέρας. ὅταν δὲ μέλι μίξαντες αὐτῷ διὰ πιτύας πήξωσι, χωρίζεται μὲν ἐν τῷ ἔργῳ, τὸ λεπτὸν καὶ ὑδατῶδες αὐτοῦ. προσφέρονται δ' ἔνιοι τὸ πεπηγὸς αὐτοῦ μόνον, σύνθετον ὑπάρχον ἔκ τε τοῦ τυρώδους ἐν τῷ γάλακτι, καὶ τοῦ θερμοῦ καὶ τοῦ πυρώδους ἐν τῇ τῆς πιτύας δυνάμει, καὶ τοῦ μιχθέντος αὐτοῖς μέλιτος. ἔνιοι δὲ καὶ τῷ παγέντι, τὸν ὀρρὸν συγκαταπίνουσιν, ἤτοι γε ὡσαύτως, πάντα μετὰ παντός, ἢ θάτερον αὐτοῦ πλέον θατέρου. συμβήσεται δὲ δηλονότι, τοῖς μὲν μᾶλλον ὑπαχθῆναι τὴν γαστέρα, τοῖς δὲ ἧττον ἀνάλογον τῇ ποσότητι τῆς ὀρρώδους ὑγρότητος. εὔδηλον δὲ ὅτι, καὶ τραφῆναι τὸ σύμπαν σῶμα μᾶλλον μὲν ὑπάρξει τοῖς τὸ πεπηγὸς μόνον ἐδηδοκόσιν, ἧττον δὲ τοῖς συγκαταπίνουσιν αὐτῷ τι καὶ τῆς ὀρρώδους ὑγρότητος. ἔτι δὲ ἧττον, ὅσοι τὸ μὲν πεπηγὸς ὀλίγον προσενήνεγκαν, τὸ δ' ὀρρῶδες πλεῖστον. οὕτως δὲ κἀπὶ τοῦ μετὰ τὴν ἀποκύησιν παγέντος, ἤτοι χωρὶς μέλιτος, ἢ σὺν αὐτῷ, διαφοραί τινες οὐ σμικραὶ γενήσονται. δυσπεπτότερον γοῦν ἐστι καὶ παχυχυμότερον, ἔτι τε βραδύτερον εἰς τὴν κάτω διέξοδον, ὅταν μὴ προσλάβῃ μέλιτος. ἥ γε μὴν ὅλου τοῦ σώματος ἡ θρέψις ἐξ ἀμφοτέρων γίνεται δαψιλής. ταῦτ' ἀρκεῖ περὶ δυνάμεως γάλακτος ἐπίστασθαι, κατὰ τὴν νῦν ἐνεστῶσαν πραγματείαν, ὅσα γὰρ εἰς νόσους χρήσιμα, ἢ τοῖς φθίνουσιν ὁπωσοῦν, ἢ τοῖς ἕλκος ἔχουσιν ἐν πνεύμονι, ταῦτ' ἴδια τῆς θεραπευτικῆς ἐστὶ μεθόδου.

περὶ τυροῦ.

Λέλεκται μὲν ἤδη περὶ τῆς τοῦ τυροῦ δυνάμεως ἐν τῷ περὶ γάλακτος λόγῳ, βέλτιον δὲ καὶ νῦν αὖθις ἀπονεῖμαι ἴδιον λόγον αὐτῷ. προσλαμβάνει γοῦν ἐν τῇ σκευασίᾳ, παρὰ τῆς ἐμβαλλομένης πιτύας δριμύτητα, τήν θ' ὑγρότητα πᾶσαν ἀποτίθεται, καὶ μάλιστα χρονίσας, ἡνίκα δριμύτερος γίνεται καὶ σαφῶς ἑαυτοῦ θερμότερός τε καὶ καυσωδέστερος. καὶ διὰ τοῦτο καὶ δυσπεπτότερος καὶ κακοχυμώτερος ἀποτελεῖται, διὰ ταῦτα τοίνυν οὐδ' ὅπερ ἀγαθὸν ἐπικτᾶται τὰ παχύτερα τῶν ἐδεσμάτων δριμέσι καὶ λεπτυντικαῖς μιγνύμενα δυνάμεσιν, οὐδὲ τοῦτ' ἔχει βλάβης χωρίς. μείζων γὰρ ἡ ἐκ τῆς κακοχυμίας αὐτῷ καὶ τῆς καυσώδους θερμότητος ἐγγίνεται βλάβη, τῆς ἐκ τοῦ λεπτυνθῆναι τὸ πάχος ὠφελείας, ὅπου πρὸς τὴν τῶν ἐν νεφροῖς λίθων γένεσιν, ἧττόν ἐστι βλαβερὸς ὁ τοιοῦτος χυμός. ἐδείχθησαν γὰρ οὗτοι γενόμενοι κατ' ἐκεῖνα τῶν σωμάτων, ἐν οἷς ἂν συνέλθῃ πάχος χυμῶν, πυρώδει θερμότητι. φευκτέον οὖν μάλιστα τὸν τοιοῦτον τυρόν, ὡς μηδὲν ἀγαθὸν ἔχοντα, μήτ' εἰς πέψιν, μήτ' εἰς ἀνάδοσιν, μήτ' εἰς οὔρησιν, μήτ' εἰς ὑπαγωγὴν γαστρός, ὥσπερ γε μηδ' εἰς εὐχυμίαν. ἐφεξῆς δὲ μοχθηρὸν μέν, ἧττον δὲ τούτου νομίζειν χρή, τὸν μήτε παλαιόν, μήτε δριμύν. τῶν δὲ νέων ἁπάντων τυρῶν ἐστὶ κάλλιστος ὁποῖος ὁ παρ' ἡμῖν ἐν Περγάμῳ, καὶ κατὰ τὴν ὑπερκειμένην αὐτῆς Μυσίαν γίνεται, καλούμενος ὑπὸ τῶν ἐγχωρίων ὀξυγαλάκτινος, ἥδιστος μὲν εἰς ἐδωδήν, ἀβλαβέστατος δὲ στομάχῳ, καὶ πάντων τῶν ἄλλων τυρῶν ἧττον δύσπεπτος, καὶ δυσδιέξοδος, οὐ μήν. οὐδὲ κακόχυμός ἐστιν, οὐδὲ πάνυ σφόδρα παχύχυμος, ὅπερ ἁπάντων τυρῶν ἐστὶ κοινὸν ἔγκλημα, κάλλιστος δ' ἐστί, καὶ ὁ παρὰ τοῖς πλουσίοις εὐδοκιμῶν ἐν Ῥώμῃ, Βαθοῦς τοὔνομα, καί τινες ἄλλοι κατ' ἄλλα χωρία, παμπόλλης δ' οὔσης κατὰ μέρος ἐν αὐτοῖς διαφορᾶς κατά τε τὰς φύσεις τῶν ζώων, καὶ τοὺς τρόπους τῆς σκευασίας, καὶ προσέτι τὰς ἡλικίας αὐτῶν τῶν τυρῶν, ἐγὼ πειράσομαι κἀνταῦθα περιορίσαι τὴν δύναμιν αὐτῶν ὀλίγοις σκοποῖς οἷς προσέχων τις ἐκ τοῦ ῥᾴστου διαγνώσεται τὸν ἀμείνονά τε καὶ χείρω. κατὰ γένος μὲν οὖν οἱ σκοποὶ διττοὶ τυγχάνουσιν ὄντες, ὁ μὲν ἕτερος ἐν τῇ ποιᾷ συστάσει τῆς οὐσίας τοῦ τυροῦ, καθ' ἣν μαλακώτερος, ἢ σκληρότερος γίνεται, καὶ πυκνότερος, ἢ χαυνότερος, καὶ κολλωδέστερος, ἢ ψαθυρότερος, ὁ δ' ἐν τῇ γευστῇ ποιότητι, καθ' ἣν ἔν τισι μὲν αὐτῶν ὀξύτης ἐπικρατεῖ, κατ' ἄλλους δὲ δριμύτης, ἢ λιπαρότης, ἢ γλυκύτης, ἢ τινὰ τούτων, ἢ οἷον ἰσομοιρία πάντων. κατὰ δὲ τὰς ἐν εἴδει διαφορὰς τῶν εἰρημένων γενῶν, ὁ μὲν μαλακώτερος, τοῦ σκληροτέρου βελτίων, ὁ δ' ἀραιὸς καὶ χαῦνος, τοῦ πάνυ πυκνοῦ καὶ πεπιλημένου. μοχθηρῶν δ' ὄντων τοῦ τε κολλώδους ἱκανῶς καὶ ψαθυροῦ μέχρι τραχύτητος, ὁ μέσος ἐστὶν αὐτῶν βελτίων. κατὰ δὲ τὴν ἐν τῇ γεύσει διάγνωσιν, ἁπάντων μὲν ἄριστος, ὁ μηδεμίαν ἰσχυρὰν ἔχων ποιότητα, βραχὺ δ' ἔτι τῶν ἄλλων, ὑπερέχουσαν τὴν γλυκύτητα. βελτίων δὲ καὶ ἡδίων τοῦ ἀνάλου, καὶ ὁ σύμμετρον ἁλῶν ἔχων τοῦ παμπόλλου, καὶ μηδ' ὅλως ἔχοντος. μετά γε μὴν τὸ προσενέγκασθαι, τὸν οὕτως κριθέντα, καὶ διὰ τῆς ἐρυγῆς ἔνεστι γνωρίζειν, ὁποῖος αὐτοῖς ἐστὶν ἀμείνων τε καὶ χείρων. ὁ μὲν γὰρ κατὰ βραχὺ μαραινομένην ἴσχων τὴν ποιότητα βελτίων, ὁ δὲ παραμένουσαν, οὐκ ἀγαθός. εὔδηλος γὰρ οὗτός ἐστι, δυσμετάβλητός τε καὶ δυσαλλοίωτος, ὥστε καὶ δύσπεπτος. ἀλλοίωσις γὰρ ἐξ ἀνάγκης ἕπεται πεττομέναις ταῖς τροφαῖς ἁπασῶν, ὧν ἔμπροσθεν εἶπον ποιοτήτων.

περὶ τοῦ τῶν πεζῶν ζώων αἵματος.

Αἷμα δύσπεπτον ἐστί, μάλιστα δὲ τὸ παχύ, καὶ μελαγχολικόν, οἷόνπερ ὑπάρχει τὸ τῶν βοῶν. τὸ δὲ τῶν λαγωῶν, ὡς ἥδιστόν τε τιμᾶται, καὶ πολλοῖς δι' ἔθους ἐστὶν ἕψειν αὐτὸ σὺν τῷ ἥπατι, τισὶ δὲ καὶ μετὰ τῶν ἄλλων σπλάγχνων. ἔνιοι δὲ καὶ τὸ τῶν νέων ὑῶν ἐσθίουσιν, ὥσπερ ἄλλοι καὶ τὸ τῶν μειζόνων, ὅταν εὐωχιῶνται. τὸ μὲν γὰρ τῶν κάπρων, οὐδ' ἐπιχειροῦσιν, ὡς ἀηδές τε ἅμα καὶ δύσπεπτον. τὸ δὲ τῶν αἰγῶν αἷμα, καὶ Ὅμηρος οἶδεν ἐσθιόμενον ὡς ἡδύ.

περὶ τῆς ἀπὸ τῶν πτηνῶν ζώων τροφῆς.

Ὄρνιθας ὀνομαζόντων τῶν παλαιῶν ἁπάντων τὰ πτηνὰ ζῷα, καὶ δίποδα τοῖς νῦν Ἕλλησιν ἔθος ἤδη γέγονε τὰς

ὑπ' ἐκείνων

ὑπ' ἐκείνων ἀλεκτορίδας καλουμένας μόνας οὕτως προσαγορεύειν, ὥσπερ γε καὶ τοὺς ἄρρενας, ἀλεκτρυόνας. ἔστι δὲ τὸ γένος ἁπάντων τῶν πτηνῶν ὀρνίθων ὀλιγοτροφώτατον, εἰ παραβάλλοιτο τῷ γένει τῶν πεζῶν, καὶ μάλιστα τῶν ὑῶν, ὧν τῆς σαρκὸς, οὐδὲν ἄλλο τροφιμώτερον ἔχοις εὑρεῖν. εὐπεπτοτέρα γε μὴν ἡ σὰρξ ἐστὶ τῶν πτηνῶν, καὶ μάλιστα πέρδικος, ἀτταγῆνός τε καὶ περιστερᾶς, ἀλεκτορίδος τε καὶ ἀλεκτρυόνος. ἡ δὲ τῶν κιχλῶν, καὶ κοττύφων, καὶ τῶν μικρῶν στρουθῶν, ἐν οἷς εἰσὶ καὶ οἱ πυργῖται καλούμενοι, σκληροτέρα τούτων ἐστὶ, καὶ μάλιστα δ' ἔτι καὶ τούτων αὐτῶν ἥ τε τῆς τρυγόνος καὶ ἡ τῆς φάττης, ἡ τῆς νήττης. ὁμοία δὲ τῶν ἀλεκτορίδων ἐστὶν, ἡ τῶν φασιανῶν εἰς πέψιν, καὶ τροφὴν ὑπάρχουσα τῇ κατὰ τὴν ἡδονὴν ἐνδεῖ. σκληροτέρα δὲ καὶ δυσπεπτοτέρα, καὶ ἰνωδεστέρα, τούτων ἡ τοῦ ταῶνος. κοινὸν δὲ ἐπὶ πᾶσι τοῖς πτηνοῖς ζῴοις, ὥσπερ καὶ τοῖς τετράποσι γινώσκειν χρὴ, τὴν τῶν αὐξανομένων σάρκα πολὺ βελτίονα τῆς τῶν παρακμαζόντων εἶναι, μέσην δὲ ἀμφοῖν τὴν τῶν ἀκμαζόντων, μοχθηρὰν δὲ καὶ τὴν τῶν πάνυ νηπίων, ἀλλ' ὑπεναντίως τῇ τῶν γεγηρακότων. ἡ μὲν γὰρ τούτων, σκληρά τε καὶ ξηρὰ καὶ νευρώδης ἐστὶ, καὶ διὰ τοῦτο καὶ πεφθῆναι μοχθηρὰ καὶ τροφὴν ὀλίγην δίδωσι τῷ σώματι. τὰ δὲ παντάπασι νέων ζῴων τὰ σώματα, βλεννώδη τ' εἰσὶ καὶ ὑγρὰ καὶ δι' αὐτό γε τοῦτο περιττωματικὰ, ῥᾷον δὲ ὑπέρχεται κατὰ γαστέρα. ταῦτα μοι μέμνησο περὶ πάντων ζῴων κοινῇ. καὶ γὰρ ὑπάρχει πᾶσιν αὐτοῖς ὁμοίως, ἐν ταῖς κατὰ τὴν ἡλικίαν διαφοραῖς. κοινὸς δὲ ὁ τῆς σκευασίας τρόπος, ὡς πρὸς ὑγείαν, ὃν ἔμπροσθέν τε διῆλθον, ἤδη καὶ αὖθις ὡς ἐπὶ κεφαλαίων ἐρῶ, νυνὶ δὲ τὰς δυνάμεις μόνον ἀναμνήσω. ξηρότερα μὲν γὰρ εἶναι, τά τ' ὀπτηθέντα καὶ τὰ γλωιαθέντα, τὰ δὲ δι' ὕδατος ἑψηθέντα γλυκέος, ὑγροτέραν διδόναι τροφὴν τῷ σώματι. λέλεκται δὲ καὶ περὶ τῶν ἐν λευκῷ ζωμῷ, καὶ ποικίλαις ἀρτύσεσι λοπάδων ἔμπροσθεν αὐτάρκως, ὥσπερ γε καὶ περὶ τῶν ἡμέρων τε καὶ ἀγρίων. οὐ σμικρὰ δὲ διαφορὰ καὶ τῶν ἐν λίμναις, ἢ ἕλεσιν, ἢ τελματώδεσι χωρίοις διαιτηθέντων ἐστὶ πρὸς τὰ ἐν τοῖς ὄρεσιν ἢ ξηροῖς χωρίοις. ἀνάλογον γὰρ τοῖς χωρίοις, αἱ σάρκες τῶν ζῴων, ἤτοι ξηραὶ καὶ ἀπέριττοι, καὶ πεφθῆναι ῥᾶους, ἢ ὑγραὶ καὶ περιττωματικαὶ καὶ δυσπεπτότεροι γίνονται.

περὶ χηνῶν καὶ στρουθοκαμήλων.

Τὸ μὲν τῶν χηνῶν ὄνομα, σύνηθές ἐστι καὶ τοῖς παλαιοῖς. τὸ δὲ τῶν στρουθοκαμήλων, ἄηθες. ὀνομάζουσι γὰρ αὐτὰς μεγάλας στρουθούς. ἤκουσα δέ ποτε σοφιστοῦ τινος εἰς τὰ τοιαῦτα προβλήματα λέγοντος, ἔτι μειράκιον, ἐπιχειροῦντος, εἰς ἑκάτερα καὶ δεικνύοντος, ἐνίοτε μὲν ὄρνιθας, ἐνίοτε δὲ οὐκ ὄρνιθας εἶναι τὰ τοιαῦτα ζῷα. βέλτιον δὲ μὴ τοῦτο ζητεῖν, ἀλλ' ὁποίαν ἔχει δύναμιν ἡ ἐξ αὐτῶν τροφή. τοῦτ' οὖν ἀκούσας παρ' ἐμοῦ, παρ' ἄλλου μαθήσῃ κατὰ σχολὴν, εἴτ' ὄρνιθας ὀνομάζειν χρὴ τὰ τοιαῦτα τῶν ζῴων, εἴτε μή. περιττωματικὴ τοίνυν ἡ σὰρξ αὐτῶν ἐστὶ καὶ πολὺ δυσπεπτοτέρα, τῶν προειρημένων πτηνῶν ζῴων, οὐ μὴν τά γε πτερὰ χείρω τῶν ἄλλων ἔχει. πολλοῖς γοῦν τῶν πτηνῶν ζῴων καὶ μάλισθ' ὅσα μικρὰ καὶ σκληρόσαρκα, καὶ ἡ τῶν πτερῶν φύσις ἐστὶν ἰνώδης τε καὶ σκληρὰ, τινῶν δὲ καὶ ἡ σὰρξ ὅλη τοιαύτη, καθάπερ γε καὶ ἡ τῶν γεράνων, ἃς καὶ αὐτὰς ἐσθίουσιν ἑωλίσαντες πρότερον ἡμέραις πλείοσι. μεταξὺ δέ πως τῆς τῶν γεράνων τε καὶ τῶν χηνῶν ἡ τῶν καλουμένων οὐτίδων, ἢ ὠτίδων ἐστίν. ἑκατέρως γοῦν ὀνομάζουσί τε καὶ γράφουσι τὴν πρώτην συλλαβὴν, διά τε τοῦ ου. στοιχείου καὶ τοῦ. ω.

περὶ τῆς κατὰ τὰ μόρια τῶν πτηνῶν ζῴων διαφορᾶς.

Τὰ μὲν σπλάγχνα, τὴν αὐτὴν ἀναλογίαν ἔχει πρὸς τὰς ἐν πτηνοῖς ζῴοις σάρκας, ἣν κἀν τοῖς πεζοῖς ζῴοις ἔχειν εἴρηται. τὰ δ' ἔντερα παντάπασιν ἄβρωτα πάντων ἐστὶν αὐτῶν, οὐ μὴν ἀνάλογον γε τούτων αἱ γαστέρες ἐδώδιμοί τε γάρ εἰσι καὶ τρόφιμοι. τινὲς δ' αὐτῶν καὶ ἡδεῖαι πάνυ, καθάπερ καὶ ἡ τῶν χηνῶν, ἐφεξῆς δὲ ἡ τῶν σιτευτῶν ἀλεκτορίδων. ὥσπερ δὲ καὶ ἐπὶ τῶν ὑῶν τὸ συκωτὸν ἧπαρ ἐν τοῖς ζῶσι ζῴοις προπαρασκευάζουσιν ἡδὺ, διὰ τῆς τῶν ἰσχάδων ἐδωδῆς, οὕτως ἐπὶ τῶν χηνῶν ὀρῷ γάλακτος ἀναδεύοντας τὰς τροφὰς, ὡς γίνεσθαι μὴ μόνον ἥδιστον, ἀλλὰ καὶ τροφιμώτατον εὐχυμώτατόν τε καὶ διαχωροῦν οὐ χαλεπῶς, ὡσαύτως δὲ καὶ πρὸς τὴν ἐν τῇ γαστρὶ πέψιν. καὶ τὰ πτερὰ δὲ τῶν χηνῶν ἐπιτήδεια πεφθῆναί τε καὶ τρέψαι. μᾶλλον δ' αὐτῶν τὰ τῶν ἀλεκτορίδων. οὔσης δὲ οὐκ ὀλίγης ἐν ταῖς σαρξὶ διαφορᾶς τοῖς γεγηρακόσι ζῴοις πρὸς τὰ νέα, σαφεστέρα πολλῷ καὶ ἡ τῶν πτερῶν φύσις ἐστίν. ὡσαύτως δὲ καὶ τοῖς ἰσχνοῖς πρὸς τὰ πίονα, κάλλιστα μὲν τὰ τῶν εὐτρόφων τε καὶ νέων, χείριστα δὲ τὰ τῶν ἰσχνῶν καὶ γεγηρακότων. οἱ πόδες δ' ἁπάντων, ὀλίγου δεῖν, ἄβρωτοι. λόφοι δὲ καὶ κάλλαια τῶν ἀλεκτρυόνων, οὔτ' ἐπαινέσειεν ἄν τις, οὔτε ψέξειεν. οἱ δ' ὄρχεις ἄριστοι καὶ μάλιστα τῶν σιτευτῶν ἀλεκτρυόνων. ἔτι δὲ μᾶλλον ὅσοι διὰ γάλακτος ὀῤῥώδους τὰς τροφὰς προσενήνοχαν. καὶ γὰρ εὔχυμοι καὶ τρόφιμοι καὶ πεφθῆναι ῥᾶσοι. διαχώρησιν δὲ οὔτε προτρέπουσιν, οὔτ' ἐπέχουσιν. ἐγκεφάλους δὲ μικροὺς μὲν ἔχει τὰ πτηνὰ ζῷα, βελτίους μέντοι πολὺ τῶν ἐν τοῖς πεζοῖς ζῴοις, ὅσῳ καὶ σκληροτέρους. αὐτῶν δὲ τῶν πτηνῶν τὰ ὄρια τῶν ἑλείων ἀμείνους ἔχειν τοὺς ἐγκεφάλους, ἀνάλογον τοῖς ἄλλοις ἅπασι μορίοις. ἐπαινοῦσι δὲ ἔνιοι ψευδῶς τὴν τῆς στρουθοκαμήλου κοιλίαν, ὥστι φάρμακον πεπτικόν. ἔνιοι δὲ πολὺ μᾶλλον τῆς δὲ τὴν τῆς αἰθυίας, ἀλλ' οὔτ' αὐταὶ πέττονται ῥᾳδίως, οὔτε τῶν ἄλλων ἐστὶ πεπτικὸν φάρμακον, ὥσπερ ζιγγίβερι καὶ πέπερι, καὶ καθ' ἕτερον τρόπον, οἶνός τε καὶ ὄξος. εἰ δὲ περὶ γλώττης ἢ ῥάμφους τῶν πτηνῶν ζῴων ἐπιχειρήσαιμι λέγειν, ἃ μηδεὶς ἀγνοεῖ, φλυαρεῖν εἰκότως ὑποληφθήσομαι.

περὶ ὠῶν.

Τῆς ἀπὸ τῶν πτηνῶν ζῴων τροφῆς ἐστὶ καὶ ταῦτα, διαφέροντα τρισὶ διαφοραῖς ἀλλήλων, μία μὲν τῇ κατὰ τὴν οἰκείαν οὐσίαν. ἄμεινον γάρ τά τε ἀλεκτορίδων ἐστὶ καὶ τὰ τῶν φασιανῶν, φαυλότερα δὲ τὰ τῶν χηνῶν τε καὶ στρουθοκαμήλων. ἑτέρα δὲ καθ' ἣν τὰ μὲν ἤδη χρόνου πλείονος ἐστὶ, τὰ δὲ, οὐ πρὸ πολλοῦ γεγένηται. καὶ τρίτη καθ' ἣν τὰ μὲν ἐπὶ πλέον ἕψηται, τὰ δὲ ἄχρι τοῦ μετρίως συστῆναι, τὰ δὲ μόνον τεθέρμανται. καθ' ἃς διαφορὰς, τὰ μὲν ἑφθὰ καλεῖται, τὰ δὲ τρομητά. τὰ δὲ ῥοφητά. κάλλιστα μὲν οὖν ἐστὶν εἰς τροφὴν τὰ τρομητὰ, τὰ δὲ ῥοφητὰ, ἧττον μὲν τρέφει, ῥᾷον δ' ὑποχωρεῖ, καὶ τὰς ἐν τῇ φάρυγγι τραχύτητας λεαίνει. τὰ δ' ἑφθὰ καὶ ὀπτὰ καὶ δύσπεπτα, καὶ βραδύπορα, καὶ τροφὴν παχεῖαν ἀναδίδωσι τῷ σώματι. τούτου δ' ἔτι μᾶλλον ἐστὶ βραδυπορώτερά τε καὶ κακοχυμώ

τερα, τὰ ἐπὶ θερμὴν σποδιὰν ὀπτηθέντα. τὰ δ' ὑπὸ τῶν ταγήνων παχυνθέντα, καὶ καλούμενα δι' αὐτὸ τοῦτο ταγηνιστὰ, χειρίστην ἔχει τροφὴν εἰς ἅπαντα. καὶ γὰρ ἐν τῷ πέττεσθαι κνισσοῦται, καὶ πρὸς τῷ παχὺν γεννᾶν χυμὸν, ἔτι καὶ μοχθηρὸν ἔχει καὶ περιττωματικὸν αὐτόν. ἀμείνω δὲ τῶν ἑφθῶν τε καὶ ὀπτῶν ἐστι τὰ καλούμενα πνικτά. σκευάζεται δὲ τὸν τρόπον τοῦτον, ἀναδεύσαντες αὐτὰ μετ' ἐλαίου, καὶ γάρου, καὶ οἴνου βραχέος, ἐντιθέασι τὸ ἀγγεῖον ὕδωρ ἐχούσῃ κακκάβῃ θερμὸν εἶτα πωμάσαντες ἄνωθεν ὅλην αὐτοῦ, ὑποκαίουσι μέχρις ἂν συστάσεως μετρίας. τὰ γὰρ ὑπὲρ πλέον παχυνθέντα, παραπλήσια τοῖς ἑψηθεῖσί τε καὶ ὀπτηθεῖσι γίνεται, τὰ δ' ἐν τῷ συμμέτρῳ τῆς παχύνσεως ἀρθέντα καὶ πεφθῆναι τῶν σκληρῶν ἐστιν ἀμείνω, καὶ τροφὴν τῷ σώματι βελτίονα δίδωσι. τῆς αὐτῆς οὖν συμμετρίας ἐπὶ τὴν σύστασιν χρὴ στοχάζεσθαι, κἀπὶ τῶν ἐπιχεομένων ἄνωθεν ταῖς λοπάσιν ᾠῶν, οὐκ ἐπιτρέποντας, οὐδὲ ταῦτα παχυνθῆναι τελέως, ἀλλ' ἔτ' ἐγχύλων ὄντων ἀπὸ τοῦ πυρὸς αἴροντας τὸ ἀγγεῖον. οὐ σμικρὰ δ' ἐν αὐτοῖς ἐστιν ὑπεροχὴ καὶ τῶν νέων πρὸς τὰ παλαιά. κάλλιστα μὲν γὰρ τὰ νεώτατα, χείριστα δὲ τὰ παλαιότατα, τὰ δ' ἐν τῷ μεταξὺ τούτων ἀνάλογον τῇ ἀποστάσει ἢ ἀφεστήκει τῶν ἄκρων, ἀρετῇ τε καὶ κακίᾳ διενήνοχεν ἀλλήλων.

περὶ τοῦ τῶν πτηνῶν ζώων αἵματος.

Αλεκτορίδων καὶ περιστερίδων ἐσθίουσιν ἔνιοι τὸ αἷμα, καὶ μάλιστα τῶν σιτευθέντων, οὐ χεῖρον ὂν τοῦ τῶν ὑῶν, οὔτ' εἰς ἡδονὴν οὔτ' εἰς τὸ πεφθῆναι, τοῦ μέντοι τῶν λαγωῶν ἀπολειπόμενον πάμπολυ. δύσπεπτον δ' ἐστὶ καὶ περιττωματικὸν ἅπαν αἷμα, καθ' ὃν ἂν αὐτὸ τρόπον σκευάσῃ τις.

περὶ τῆς ἀπὸ τῶν ἐνύδρων ζώων τροφῆς.

Τῶν ἐν ὕδατι διαιτωμένων ζώων, καὶ γένη πάμπολλα, καὶ διαφοραὶ τούτων εἰσὶ, καὶ εἴδη. λεχθήσονται δὲ νῦν, ὥσπερ ὑπὲρ τῶν ἔμπροσθεν, αἱ πρὸς τὴν ἰατρικὴν χρείαν ὁμοιότητες ἐν αὐτοῖς. ἰατρικὴν δὲ λέγειν ἢ ὑγιεινὴν, οὐ διοίσει πρός γε τὰ παρόντα. περὶ πάντων οὖν εἰρήσεται καθάπερ ἐπὶ τῶν ἄλλων ὅσα συνεχῶς ἐσθίουσιν οἱ ἄνθρωποι.

περὶ κεφάλου.

Τοῦ γένους τῶν λεπιδωτῶν ἰχθύων, ἐστὶ ὁ κέφαλος οὐκ ἐν θαλάττῃ μόνον, ἀλλὰ καὶ λίμναις καὶ ἐν ποταμοῖς γεννώμενος. διὸ καὶ μεγάλην ἔχουσιν οἱ κατὰ μέρος κέφαλοι πρὸς ἀλλήλους διαφορὰν, ὡς δοκεῖν ἕτερον εἶναι γένος τὸν πελάγιον κέφαλον, πρὸς τὸν ἐν λίμναις, ἢ ποταμοῖς, ἢ τέλμασιν, ἢ ὀχετοῖς, τοῖς ἐκκαθαίρουσι τοὺς ἐν ταῖς πόλεσι κοπρῶνας. περιττωματικὴ μὲν γὰρ ἡ σὰρξ ἐστὶ καὶ βλεννώδης ἱκανῶς τῶν ἐν ἰλυώδει καὶ ῥυπαρῷ διαιτωμένων ὕδατι, καλλίστη δὲ τῶν ἐν καθαρᾷ θαλάττῃ, καὶ μᾶλλον ὅταν ὑπ' ἀνέμων καταιγίζηται, κατὰ γὰρ τὴν σκεπεινὴν καὶ ἀκύμονα, χείρων ἡ σὰρξ γίνεται τῶν ἰχθύων, ὅσῳ καὶ ἀγυμναστοτέρα, ἐν δὲ ταῖς καλουμέναις λιμνοθαλάσσαις ἔτι χείρων ἐστὶ, καὶ ταύτης ἔτι μᾶλλον, ἡ κατὰ τὰς λίμνας. εἰ δὲ καὶ σμικραί τινες αὗται τύχοιεν οὖσαι, καὶ μήτε ποταμοὺς μεγάλους δεχόμεναι, μήτε πηγὰς ἔχουσαι, μήτ' ἀπόρροιαν δαψιλῆ, πολὺ δή τι χείρους. εἰ δὲ καὶ μηδὲν ὅλως ἀπορρέοιτο τι τοῦ ὕδατος, ἀλλ' εἴη στάσιμον ἱκανῶς μοχθηραί. περὶ δὲ τῶν ἐν ἕλεσι, καὶ τέλμασι, καὶ ὅσα τοιαῦτα χωρία λέλεκται κατ' ἀρχάς. ἐσχάτως γὰρ οἱ κατὰ τοιούτους τόπους διαιτώμενοι μοχθηρὰν ἔχουσι τὴν σάρκα. τῶν δ' ἐν τοῖς ποταμοῖς γεννωμένων, ἀμείνους, ὅσοι κατὰ τοὺς τοιούτους, ἐν οἷς ὀξὺ καὶ πολὺ τὸ ῥεῦμα, κατὰ δὲ τοὺς λιμνάζοντας οὐκ ἀγαθοί, καὶ παρὰ τὰς τροφὰς δὲ βελτίους, γίνονται καὶ χείρους. ἔνιοι μὲν γὰρ εὐποροῦσι καὶ πόας, καὶ ῥιζῶν χρηστῶν, καὶ διὰ τοῦτο κρείττους εἰσίν. ἔνιοι δὲ ἰλυώδη τε πόαν ἐσθίουσι καὶ ῥίζας κακοχύμους. καί τινες αὐτῶν ὅσοι κατὰ ποταμοὺς διαιτῶνται, μεγάλην διαρρέοντας πόλιν, ἀποπατήματ' ἀνθρώπων. καὶ μοχθηρὰς τροφὰς τοιαύτας προσφερόμενοι, χείριστοι πάντων, ὡς ἔφην, εἰσὶν, ὥστε κἂν βραχὺ πλείονι χρόνῳ διαμένωσι νεκροί, σήπονταί τε παραχρῆμα, καί μοχθηρότατον ὄζουσιν. ἀηδεῖς δὲ καὶ βρωθῆναι πάντως οὗτοι, καὶ πεφθῆναι, καὶ τὴν μὲν χρηστὴν τροφὴν ὀλίγην ἔχουσιν, περίττωμα δ' οὐκ ὀλίγον. οὐκ οὖν θαυμαστόν ἐστιν οὐδ' εἰ κακοχυμίαν ἀθροίζουσιν ἐν τοῖς σώμασι τῶν ὁσημέραι προσφερομένων αὐτούς. ἔμπαλιν δὲ χειρίστων τούτων, οἱ ὑπεναντίοι κάλλιστοι πάντων εἰσίν, ὡς ἔφην, οἱ ἐν τῇ καθαρωτάτῃ θαλάττῃ, καὶ μάλιστα ὅπου μήτε γεώδεις αἰγιαλοὶ, μήτε περιλαμβάνουσι τὸ ὕδωρ, ἀλλ' ἤτοι ψαμμώδεις, ἢ τραχεῖς. εἰ δὲ καὶ πρὸς τὰ βόρρεια τοῦ πνεύματος δ' ἐστραμμένοι, πολὺ βελτίους. οὐ σμικρὸν γὰρ εἰς εὐχυμίαν συντελοῦντος ἅπαντι ζώῳ τῶν οἰκείων γυμνασίων, ἔτι καὶ τὸ καθαρὸν τοῦ καταμιγνυμένου τῷ ὕδατι πνεύματος, αὐξάνει τὴν ἀρετὴν τῆς οὐσίας αὐτῶν. πρόδηλον δ' ἐκ τῶν εἰρημένων, ἀμείνω καὶ κατὰ τοῦτον εἶναι θάλατταν θαλάττης, καθὼς ἤτοι καθαρὰ τελέως ἐστὶν, ἢ δέχεται ποταμοὺς μεγάλους, καὶ πολλοὺς ὥσπερ ὁ πόντος. οἱ γὰρ ἐν τῇ τοιαύτῃ, καθ' ὅσον πλεονεκτοῦσι τῶν λιμναίων, κατὰ τοσοῦτον ἀπολείπονται τῶν ἐν καθαρᾷ θαλάττῃ διαιτωμένων. εἰσὶ δὲ καὶ λίμναι τινὲς τοιαῦται, καὶ καλοῦσιν ἐνίας αὐτῶν λιμνοθαλάττας, ἔνθα ποταμὸς μέγας ἐργάζεται λίμνην συνάπτουσαν θαλάττῃ. καὶ χωρὶς δὲ τοῦ λιμνάζειν τὸν ποταμὸν, ὅπου περ ἂν τῇ θαλάττῃ μίγνυται, πρῶτον ἐπίμικτόν τε τὸ ὕδωρ ἐστὶ ἐξ ἁλμυροῦ τε καὶ γλυκέος, ἥ τε σὰρξ τῶν ἐν αὐτῷ διαιτωμένων ἰχθύων ἐν τῷ μεταξὺ τῶν τε ποταμίων, καὶ τῶν θαλαττίων ἰχθύων γίνεται. κοινὸς δ' ὁ λόγος οὗτος ἔστω σοι καὶ τῶν ἄλλων, ὅσοι γε κατὰ ποταμοὺς καὶ λίμνας καὶ θάλατταν, ἰχθύες γίνονται. τὸ γὰρ πολὺ πλῆθος αὐτῶν, οὐκ ἐπαμφοτερίζει, τῶν μὲν θαλαττίων φευγόντων, τὸ ποτάμιον ὕδωρ, τῶν δὲ ποταμίων, ἢ λιμναίων τὸ θαλάττιον. ἀλλ' ὅγε κέφαλος ἁπάντων μάλιστα τοῖς ὕδασιν ἀμφοτέροις χρῆται, καὶ φύσιν ἔχει πρὸς ἄναντες τὸ ῥεῦμα τοῦ ποταμοῦ χωρεῖν, ὑπὲρ πλεῖστον ἀφιστάμενος τῆς θαλάττης. οὗτος μὲν ὁ κέφαλος τὰς πολλὰς καὶ μικρὰς ἀκάνθας οὐκ ἔχει, καθάπερ οὐδ' ἄλλος τις τῶν θαλαττίων. ὁ δ' ἐκ ποταμῶν, ἢ λιμνῶν ἐπεμβαίνων θαλάττῃ, παραπλησίως τοῖς ὁμογενέσι, μεστὸς τῶν τοιούτων ἀκανθῶν ἐστί. σχεδὸν γὰρ ἅπασι τοῖς ἐν λίμναις καὶ ποταμοῖς γεννωμένοις ἰχθύσιν ἡ σὰρξ λεπτῶν μεστὴ ἀκανθῶν εὑρίσκεται, τῶν θαλαττίων οὐκ ἐχόντων αὐτάς. καθ' ὃν γὰρ ἂν τόπον, ἢ μεγάλου ποταμοῦ στόμα συνάπτον θαλάττῃ, τινὲς μὲν ποταμίων ἰχθύων ἐν τῇ θαλάττῃ, τινὲς δὲ τῶν θαλαττίων ἐν τῷ ποταμῷ θηρεύονται, γνωριζόμενοι, τῷ τὰς εἰρημένας ἀκάνθας, ἤτοι πολλὰς ἔχειν, ἢ οὐδ' ὅλως. ὀλίγοι μὲν οὖν τῶν ποταμίων ἐπεμβαίνουσιν τῇ θαλάττῃ, πάντες δὲ οἱ θαλάττιοι χαίρουσιν τοῖς ποταμοῖς. εὐθὺς δὲ καὶ ἡ γεῦσις ἐσθίοντί σοι γνωρίσει τὸν ἀμείνω κέφαλον.

κέφαλον. δριμυτέρα γάρ ἐστιν αὐτοῦ καὶ ἡδίων καὶ ἀλιπὴς ἡ σάρξ. οἱ δὲ λιπαροὶ, καὶ κατὰ τὴν γεῦσιν ἔκλυτοι, χείρους μέν εἰσι, καὶ εἰς αὐτὴν τὴν ἐδωδὴν, χείρους δὲ καὶ πεφθῆναι, καὶ κακοστόμαχοι, καὶ κακόχυμοι. διὸ καὶ σὺν ὀριγάνῳ σκευάζουσιν αὐτούς. ἔνιοι δὲ τῶν παρ' ἡμῖν ἀνθρώπων τοὺς ἐν τοῖς ποταμοῖς γεννωμένους ἰχθύας, λευκίσκους καλοῦσιν, ἕτερον εἶναι νομίζοντες αὐτοὺς εἶδος τῶν κεφάλων. ἔστι δὲ τἄλλα μὲν ὅμοιον πάντη τὸ ζῶον τῷ ζώῳ, λευκότερον δὲ βραχεῖ, καὶ τὴν κεφαλὴν ἔχον μικροτέραν, καὶ τὴν γεῦσιν ὀξυτέραν. ἡ δὲ δύναμις τῆς ἀπ' αὐτοῦ τροφῆς, οἵαν ἔμπροσθεν εἶπον εἶναι τῶν ποταμίων κεφάλων, ὥσθ' ὑπὲρ ὀνόματος, οὐ πράγματος ἡ ἀμφισβήτησις. ὃ δὲ τούτου χρησιμώτερόν ἐστιν ἐπίστασθαι, καὶ δὴ φράσω. τῶν ταριχευομένων ἐστὶν οὗτος ἰχθῦς, καὶ γίνεται πολὺ κρείττων ἑαυτοῦ σκευασθεὶς οὕτως ὁ λιμναῖος. ἀποτίθενται γὰρ ἅπαν τὸ βλεννῶδές τε καὶ βρωμῶδες ἐν τῇ γεύσει. καλλίων δὲ πλείονι τῷ χρόνῳ ταριχευθέντος ὁ νεαλής. ἀλλὰ περί γε τῶν ταριχευομένων ἰχθύων ὀλίγον ὕστερον εἰρήσεται κοινῇ, καθάπερ γε καὶ περὶ τῶν ἑωλιζομένων ἐν χειμῶνι.

περὶ λαύρακος.

Τοῦτον ἰχθὺν, οὐ τεθέαμαι γεννώμενον ἐν γλυκέσιν ὕδασιν. ἐκ μέν τοι τῆς θαλάσσης ἐπαναβαίνοντα ποταμοῖς, ἢ λίμναις ἑώρακα. διὸ καὶ μικρὸς ὀλιγάκις εὑρίσκεται, καθάπερ ὁ κέφαλος πολλάκις. οὐ φεύγει δὲ οὐδὲ τὰς λιμνοθαλάσσας καὶ τὰ στόματα τῶν ποταμῶν, καίτοι πελάγιος ὤν. τοῦτο γοῦν τοὔνομα τίθενται, τοῖς εἰς τὸ βάθος ἀποχωροῦσιν. ἡ γε μὴν τροφὴ ἐκ τούτου τε, κἀκ τῶν ἄλλων ἰχθύων, αἵματός ἐστι γεννητικὴ, λεπτοτέρου τῇ συστάσει τοῦ ἐκ τῶν πεζῶν ζώων, ὡς μήτε τρέφειν δαψιλῶς, καὶ διαφορεῖσθαι θᾶττον. ἐπεὶ δὲ τὸ λεπτότερον ὄνομα, ποτὲ μὲν ἐπὶ δύο πράγμασι παραβαλλομένοις λέγομεν, ἐνίοτε δ' ἄνευ παραβολῆς, ἰστέον ὅτι πρὸς τὸ μέσον αἷμα τῶν ἄκρων παραβολὴ γίνεται, τοῖς ἁπλῶς λεγομένοις. ἄκρα δὲ τῇ κακίᾳ κατὰ τὴν σύστασίν ἐστι, τό, τε παχὺ, καθάπερ ἡ ὑγρὰ πίττα, τό, τε ὀῤῥῶδες οὕτως, ὡς ἐκχυθὲν τῆς φλεβὸς, ἐν τῷ πήγνυσθαι πλεῖστον ἔχειν ὑγρὸν ἐποχούμενον ὑδατῶδες. ἄριστον δὲ τὸ τούτων ἀκριβῶς μεταξὺ γενόμενον, ἐξ ἄρτου τε τοῦ καλλίστου κατεσκευασμένου, περὶ οὗ κατὰ τὸ πρῶτον εἴρηται γράμμα, καὶ τῶν πτηνῶν, ὧν εἴρηται ζώων ἐκ πέρδικός τε καὶ τῶν ἄλλων παραπλησίων. ἐγγὺς δὲ τούτων εἰσὶν καὶ τῶν θαλαττίων οἱ πελάγιοι τῶν ἰχθύων.

περὶ τρίγλης.

Ἔστι μὲν καὶ ἥγε τῶν πελαγίων ἰχθύων. τετίμηται δ' ὑπὸ τῶν ἀνθρώπων, ὡς τῶν ἄλλων ὑπερέχουσα τῇ κατὰ τὴν ἡδονὴν ἐδωδῇ. σκληροτέραν δὲ σχεδὸν ἁπάντων αὐτῶν ἔχει τὴν σάρκα, καὶ ψαθυρὰν ἱκανῶς, ὅπερ σημαίνει ταὐτὸν, τῷ, μήτε γλίσχρον εἶναι τι, μήτε λιπαρὸν ἐν αὐτῇ, τρέφει τοιγαροῦν, ὅταν πεφθῇ καλῶς, τῶν ἄλλων ἁπάντων ἰχθύων μᾶλλον. ἐῤῥέθη δὲ καὶ πρόσθεν, ὡς τὸ σκληρότερον ἔδεσμα, παχυμερέστερόν τε καὶ ὡς ἂν εἴποι τις μᾶλλον γεῶδες ὑπάρχον ἀξιολογώτερον τρέφει ὑγροτέρων τε καὶ μαλακωτέρων, ὅταν γε πρὸς τοῦτο δηλονότι καὶ τὴν οὐσίαν οἰκείαν ἔχει τῷ τρεφομένῳ σώματι. κρίνεται δ' αὕτη διὰ τῆς ἡδονῆς. ὅσαι γοῦν ἀλλότριαι τροφαὶ ταῖς ὅλαις φύσεσιν εἰσὶ τῶν τρεφομένων ζώων, ταύτας ἢ οὐδ' ὅλως, ἢ ἀηδῶς ἐσθίειν. τῶν γε μὴν οἰκείων ὥσπερ τὸ ὑγρότερον, ἧττον τρέφει, οὕτω πέττεται καὶ ἀναδίδοται ῥᾷον. ἡ τοίνυν τῆς τρίγλης σὰρξ, ἡδεῖα μὲν ἐστι, ὡς ἂν οἰκεία τροφὴ τῇ φύσει τῶν ἀνθρώπων, σκληροτέρα δὲ οὖσα τῶν ἄλλων ἰχθύων, ὅμως ἑκάστης ἡμέρας ἐσθίεσθαι δύναται, διότι ψαθυρὰ, καὶ ἀλιπής ἐστι καί τι δριμύτητος ἔχει. τὰ γὰρ λιπαρὰ καὶ γλίσχρα καὶ κατὰ τὴν πρώτην μὲν εὐθέως ἐδωδὴν, ἐμπίπλησί τε ταχέως, ἀνατρέπει τε τὴν ὄρεξιν, ἔτι δὲ μᾶλλον οὐχ ὑπομένομεν αὐτῶν τὴν ἐδωδὴν, ἐφεξῆς ἡμέραις πλείοσι. τό γε μὴν ἧπαρ τῆς τρίγλης οἱ λίχνοι τεθαυμάκασιν ἡδονῆς ἕνεκεν, ἔνιοι δ' οὐδὲ καθ' ἑαυτὸ δικαιοῦσιν ἐσθίειν αὐτό. παρασκευάσαντες δ' ἐν ἀγγείῳ τὸ καλούμενον παρέλαιον, ἔχον οἴνου βραχύ τι, καταθρύπτουσιν ἐν αὐτῷ τὸ σπλάγχνον, ὡς γενέσθαι τὸ σύμπαν ἐξ αὐτοῦ τε καὶ τῶν προπαρεσκευασμένων ὑγρῶν ἕνα χυμὸν ὁμοιομερῆ πρός γε τὴν αἴσθησιν, ἐν ᾧ τὰς τῆς τρίγλης σάρκας ἀποβάπτοντες, ἐσθίουσιν. ἐμοὶ δὲ μὲν οὐδ' ἡδονὴν ἔδοξεν ἔχειν ἀξίαν τῆς τοιαύτης τιμῆς, οὔτ' ὠφέλειαν τῷ σώματι, καθάπερ οὐδὲ ἡ κεφαλὴ, καίτοι καὶ ταύτην ἐπαινοῦσιν οἱ λίχνοι, καὶ φασὶ τὰ δεύτερα φέρεσθαι μετὰ τὸ ἧπαρ. οὐ μὴν οὐδὲ διατί τὰς μεγίστας τρίγλας ὠνοῦνται πάμπολλοι, δύναμαι γνῶναι, μήθ' ἡδεῖαν ὁμοίως ταῖς μικροτέραις ἐχούσαις τὴν σάρκα, μήτ' εὔπεπτον, ὡς ἂν ἱκανῶς σκληράν. ὥστε διὰ τοῦτο τινὰ τῶν ἀργυρίου πάμπολλου τὰς μεγάλας τρίγλας ὠνημένων, ἠρόμην τίς ποτε ἐστὶν ἡ αἰτία τῆς ἀφ' ἑαυτῶν σπουδῆς, ὁ δ' ἀπεκρίνατο μοι, μάλιστα μὲν διὰ τὸ ἧπαρ ὠνεῖσθαι τὰς τηλικαύτας, ἤδη δὲ καὶ διὰ τὴν κεφαλήν. ἀλλὰ γὰρ ἀρκεῖ μέχρι τοσούτου, περὶ τῶν τριγλῶν εἰρῆσθαι, τῇ πρὸς τὸ χρήσιμον οἰκειότητι τοῦ λόγου. γίγνονται δ' ἄρισται τρίγλαι κατὰ τὴν καθαρὰν θάλασσαν, ὥσπερ καὶ οἱ ἄλλοι πάντες ἰχθύες, οὐχ ἥκιστα δὲ καὶ διὰ τὰς τροφάς. αἱ γοῦν τὰς καρκινάδας ἐσθίουσαι, καὶ δυσώδεις εἰσὶ, καὶ ἀηδεῖς καὶ δύσπεπτοι, καὶ κακόχυμοι. διάγνωσις δ' αὐτῶν, πρὶν μὲν ἐσθίειν ἀναπτύξαντι τὴν κοιλίαν. ἐσθίοντι δὲ κατὰ τὴν πρώτην εὐθέως ὀσμήν τε καὶ γεῦσιν.

περὶ τῶν πετραίων ἰχθύων.

Σκάρους, κοττύφους, κίχλας, ἰουλίδας, φυκίδας, πέρκας, πετραίους ὀνομάζουσιν ἰχθύας, ἀπὸ τῶν χωρίων, ἐν οἷς εὑρίσκονται διατρίβοντες, οὐ γὰρ ἐν τοῖς λείοις, ἢ ψαμμώδεσιν, ἢ γεώδεσιν αἰγιαλοῖς, ἀλλ' ἔνθα πέτραι τινὲς εἰσὶ, καὶ ἀκταὶ, φωλεύουσί τε καὶ τεκνοῦσιν. ἄριστος δ' ἐν αὐτοῖς ἡδονῆς ἕνεκεν ὁ σκάρος εἶναι πεπίστευται, μετ' αὐτὸν δὲ κόττυφοί τε καὶ κίχλαι, καὶ μετὰ τούτους ἰουλίδες τε καὶ φυκίδες καὶ πέρκαι. τροφὴ δ' ἐξ αὐτῶν οὐ μόνον εὔπεπτος, ἀλλὰ καὶ ὑγιεινοτάτη τοῖς τῶν ἀνθρώπων σώμασιν ἐστὶν, αἷμα γεννώντων μέσον τῇ συστάσει. καλῶ δὲ μέσον, ὃ μήτε πάνυ λεπτόν ἐστι καὶ ὑδατῶδες, ἀλλὰ μηθ' ἱκανῶς παχύ. πλάτος δ' ἀξιόλογον ἔχοντος τοῦ μέσου, περὶ τῶν ἐν αὐτῷ διαφορῶν. ἐπὶ προήκοντι τῷ λόγῳ λεχθήσεται.

περὶ κωβιοῦ.

Αἰγιάλιος δὲ ἰχθύς ἐστιν οὗτος. τῶν σμικρῶν ἀεὶ διαμενόντων εἷς τις ὢν καὶ οὗτος. ἄριστος δ' εἰς ἡδονὴν καὶ πέψιν ἅμα, ἀνάδοσίν τε καὶ εὐχυμίαν ἐστὶν ὁ κατὰ τοὺς ψαμμώδεις αἰγιαλοὺς, ἢ τὰς πετρώδεις ἀκτὰς, οὐδ' ἐν τοῖς στόμασιν τῶν πο

ταμῶν, ἢ λίμναις, ἢ λιμνοθαλάσσαις, οὐθ' ἡδὺς ὁμοίως, οὔτ' εὔχυμος, οὔτ' εὔπεπτος. εἰ δὲ καὶ ἰλυῶδες ὑπάρχει τὸ ὕδωρ, ἢ πόλιν ἐκκαθαίρων ὁ ποταμὸς, οὕτω μὲν ἂν εἴη χείριστος ὁ κατ' αὐτῶν κωβιὸς, ὥσπερ οἱ ἄλλοι πάντες ἰχθύες, οἱ ἐν τοῖς ὕδασι διατρίβοντες, εἰκότως οὖν ἐν μὲν τοῖς πετραίοις ἰχθύσιν, οὐ δὲ μία σαφής ἐστι διαφορὰ τῶν ὁμοειδῶν πρὸς ἀλλήλους, ὡς ἂν ἐν καθαρωτάτῃ θαλάττῃ διαιτωμένοις ἀεὶ, φεύγουσί τε τὸ γλυκύτατον ὕδωρ, τό τε συμμιγὲς ἐκ τοῦ τοιούτου τε καὶ θαλαττίου, δευτέροις δὲ μετὰ τούτους δὲ τοῖς πελαγίοις ὑπάρχει ταὐτόν. οὐδὲ γὰρ οὐδ' οὗτοι διαφορὰν ἀλλήλοις ἔχουσι μεγάλην, ὁποίαν οἱ διατρίβοντες ἐν ἀμφοτέροις τοῖς ὕδασι. τούτων γὰρ οἱ μὲν ἐν τῇ καθαρωτάτῃ θαλάττῃ, κάλλιστοι τῶν ὁμοειδῶν εἰσιν. οἱ δ' ἐν τοῖς ἐκκαθαίρουσι τὰς πόλεις ποταμοῖς ἁπάντων χείριστοι. μέσοι δ' αὐτῶν οἱ μεταξύ. λέλεκται δὲ ταῦτα καὶ διὰ τῶν ἔμπροσθεν, ἡνίκα περὶ κεφάλου τὸν λόγον ἐποιούμην. ἥγε μὴν σὰρξ τῶν κωβιῶν, ὥσπερ σκληροτέρα τῆς τῶν πετραίων ἐστὶν, οὕτω μαλακωτέρα τῆς τῶν τριγλῶν. ἀνάλογον οὖν αὐτῇ καὶ τὸ τῶν ἐσθιόντων σῶμα τρέφεται.

περὶ τῶν μαλακοσάρκων ἰχθύων.

φ ιλότιμος ἐν τῷ τρίτῳ περὶ τροφῆς, περὶ τῶν μαλακοσάρκων ἰχθύων οὕτως ἔγραψεν αὐτοῖς ὀνόμασι. κώβιοι δὲ καὶ φύκιδες, καὶ ἰουλίδες, καὶ πέρκαι, καὶ σμύραιναι, καὶ κίχλαι, καὶ κόσσυφοι, καὶ σαῦροι, καὶ πάλιν ὄνοι καὶ πρὸς τούτοις ἀμύαι, καὶ ψῆτται, καὶ ἧπατοι, καὶ κίθαροι, καὶ σκινίδες, καὶ πᾶν τὸ τῶν ἁπαλοσάρκων γένος, εὐκατεργαστότερον ἐστι τῶν ἄλλων ἰχθύων. ἄξιον οὖν ἐστι θαυμάσαι πῶς τοὺς σκάρους παρέλιπε πρωτεύοντας ἐν τῷ γένει τῶν πετραίων ἰχθύων, οἷς πᾶσιν ὑπάρχει ψαθυρωτάτην τε καὶ μαλακωτάτην ἔχειν τὴν σάρκα τῶν ἄλλων ἰχθύων. ἔνιοι μὲν γὰρ αὐτῶν, ἁπαλόσαρκοι μέν εἰσιν, ἀλλ' οὐκ ἔχουσι τὸ ψαθυρὸν, ἐμφερομένου τινὸς αὐτοῖς γλισχροῦ τι καὶ λιπαροῦ χυμοῦ ὅμοιοί τε κατὰ τοῦτο τοῖς πετραίοις ὄντες, ἐν τῇ σκληρότητι τῆς σαρκὸς αὐτῶν διαλλάττουσι. τοιοῦτοι μὲν οὖν οἱ πελάγιοι σχεδὸν ἅπαντές εἰσι, πλὴν εἴ τινες αὐτῶν ὑπὸ μοχθηρᾶς τροφῆς διαφθείρουσι τὴν σάρκα, καθάπερ αἱ τὰς καρκινάδας ἐσθίουσαι τρίγλαι. ζωΰφια δ' ἐστὶ ταῦτα, πάνυ σμικροῖς καρκίνοις ἐοικότα, ξανθὰ τὴν χρόαν. οἱ πετραῖοι δ' ἰχθύες, οὔτε ποικίλαις τροφαῖς χρῶνται, οὔτε χωρίοις διαφέρουσιν, οὐθ' ὕδασι γλυκέσι, καὶ διὰ ταῦτ' ἄμεμπτοι πάντες εἰσὶ διαπαντός. οὓς δ' ὄνους μὲν ἐκάλεσεν ὁ Φιλότιμος ὀνίσκους δ' ὀνομάζουσιν ἄλλοι, τροφῇ μὲν ἀγαθῇ χρώμενοι, καὶ θαλάττῃ καθαρᾷ τοῖς πετραίοις γ' ἐνάμιλλον ἔχουσι τὴν σάρκα. μοχθηρᾷ δὲ τροφῇ χρησάμενοι, καὶ κατά τι τῶν ἐπιμίκτων ὑδάτων, καὶ μάλιστα ὅσα μοχθηρὰ διατρίψαντες οὐκ ἀποβάλλουσι μὲν τὴν μαλακότητα τῆς σαρκὸς, ἐπικτῶνται δὲ λιπαρότητα καὶ γλισχρότητα, καθ' ἣν οὔτε ἡδεῖς ὁμοίως ἔτι διαμένουσι, περιττωματικὴν δὲ τὴν ἐξ αὐτῶν ἀναδιδόασι τροφήν. ἐπὶ πάντων δὲ ἰχθύων, ὡς ἔφην, κοινὸν τοῦτο μεμνῆσθαι προσήκει, ὡς χείριστοι γεννῶνται κατὰ τὰς ἐμβολὰς τῶν ποταμῶν, ὅσοι κοπρῶνας καθαίρουσιν, ἢ μαγειρεῖα καὶ βαλανεῖα, ἢ τῶν ἐσθῆτός τε καὶ τῶν ὀθονίων ῥύπον, ὅσα τ' ἄλλα τῆς πόλεως εἰσὶν, ἣν διαρρέουσι, καθάρσεως δεόμενα, καὶ μάλιστα ὅταν ἡ πολυάνθρωπος ἡ πόλις. μοχθηροτάτη δ' εὑρίσκεται καὶ τῆς μυραίνης ἡ σὰρξ ἐν ὕδατι τοιούτῳ διατριβούσης. καίτοι γ' οὔτε ποταμοῖς ἐπεμβαίνουσαν ἔστιν εὑρεῖν αὐτὴν, οὔτ' ἐν λίμνῃ γεννωμένην, ἀλλ' ὅμως καὶ αὐτὴ χείριστη γίνεται, κατὰ τὰς ἐμβολὰς τῶν τοιούτων ποταμῶν, ὁποῖός ἐστιν ὁ διὰ Ῥώμης ῥέων, καὶ διὰ τοῦτο εὐωνοτάτη πιπράσκεται κατὰ τὴν πόλιν τὴν δὲ σχεδὸν ἁπάντων μόνη τῶν ἐκ θαλάττης. ὥσπερ γε καὶ οἱ κατὰ τὸν ποταμὸν αὐτὸν ἰχθύες γεννώμενοι. καλοῦσι δ' αὐτοὺς ἔνιοι τιβερίνους, ὡς ἰδίαν ἔχοντας ἰδέαν, οὐδενὶ τῶν θαλαττίων ὁμοίαν. ὅτι δὲ ἡ τῶν ἐκ τῆς πόλεως ὑπορρεόντων ἐπιμιξία μοχθηροτάτους αὐτοὺς ἐργάζεται μαθεῖν ἐστιν ἐκ τοῦ βελτίους εἶναι τοὺς ἐν αὐτῷ τῷ ποταμῷ γεννωμένους, πρὶν εἰς τὴν πόλιν ἀφικέσθαι, καὶ μέντοι καὶ ἄλλος τις ποταμὸς ὀνομαζόμενος Νὰρ παρεμβάλλων εἰς τὸν τίβεριν, ὡς ἀπὸ πεντήκοντα καὶ τριακοσίων σταδίων, ἰχθῦν ἔχει πολὺ βελτίω αὐτοῦ κατὰ τὸν τίβεριν ἐπειδὴ καὶ μέγας ἐστὶν εὐθὺς ἀπὸ τῶν πηγῶν καὶ καθαρὸς διαμένει κάταντες τὸ ῥεῦμα ἔχων, καὶ ὀξὺ μέχρι τοῦ τίβερεως, ὡς μηδαμόθεν μηδ' ἐπὶ βραχὺ λιμνάζειν. ὅσοι μὲν οὖν ἐκ συνηθείας ἐμπειρίαν ἔχουσι τῶν ἐπιχωρίων ἰχθύων, οὐ δέονται τῶν εἰρημένων ἄρτι γνωρισμάτων, εἰς τὴν διάγνωσιν αὐτῶν. ὅσοι δ' ἀήθεις εἰσίν, εἴτ' οὖν ἐξ ἄλλης πόλεως ἥκοντες, εἴτ' ἐπιχώριοι, τὰ τοιαῦτα προσεξεταζέτωσαν, εὐθέως ἀπ' ἀρχῆς πρὶν διὰ τῆς οἰκείας πείρας, εἰς γνῶσιν ἀφικέσθαι τῆς φύσεως ἑκάστου τῶν ἰχθύων. ἐχρῆν οὖν οὐχ ἁπλῶς μεμνημονευκέναι τῶν ἁπαλοσάρκων ἰχθύων ἁπάντων ἅμα τὸν Φιλότιμον, οὐδ' ἀναμίξαι τοῖς ἄλλοις τοὺς πετραίους ἀδιορίστως. οὗτοι μὲν γὰρ ἄριστοι διαπαντὸς ὑπάρχουσιν, οὔτε δ' ὀνίσκος, οὔτε σμύραινα, καθάπερ οὐδ' οἱ κωβιοί, καὶ γὰρ τούτων ἔνιοι μὲν ἐν ποταμοῖς, καὶ λίμναις, ἔνιοι δὲ ἐν θαλάττῃ γίγνονται, τινὲς δ' ἐν λιμνοθαλάσσαις καλουμέναις, ἢ ὅλως ἐν ἐπιμίκτοις ὕδασιν, ἔνθα ποταμοῦ μεγάλου στόμα συνάπτεται θαλάττῃ. παμπολὺ τοίνυν ἀλλήλων διαφέρουσιν, οἱ κατὰ μέρος, ὥσπερ γε καὶ οἱ κέφαλοι, καὶ αἱ σμύραιναι, καὶ οἱ ὀνίσκοι δὲ, τούτων μὲν ἧττον, οὐ σμικρῷ δ' ἀλλήλων οὐδ' οὗτοι παραλλάττουσιν. οὐ μὴν ὁμοίως δὲ μαλακὴν ἔχουσι σάρκα τούτοις καὶ τοῖς πετραίοις ἰχθύσιν οἱ κωβιοί. καθάπερ οὐδὲ σκινίδες, ἢ σκίαιναι, διττῶς γὰρ ὀνομάζονται. περὶ δὲ τῶν κιθάρων, καὶ πάνυ θαυμάζω τοῦ Φιλοτίμου. παραπλήσιος γὰρ ὢν ὁ ῥόμβος, αὐτῶν μαλακωτέραν ἔχει τὴν σάρκα, τῶν ὀνίσκων ἀπολειπόμενος οὐκ ὀλίγῳ, καὶ τούτους οὖν καὶ τοὺς ἡπάτους καλουμένους, καὶ τοὺς ἄλλους ὅσους ἔμιξε τοῖς πετραίοις τε καὶ τοῖς ὀνίσκοις ὁ Φιλότιμος ἐν τῷ μέσῳ καθεστηκέναι γίνωσκε τῶν θ' ἁπαλοσάρκων καὶ τῶν σκληροσάρκων. οὔπω μὲν γὰρ εἰσὶ σκληρόσαρκοι, τῶν ἀκριβῶς δὲ ἁπαλοσάρκων ἀπολείπονται. παρέλιπε δ' ἐν τούτοις ὁ Φιλότιμος καὶ τὸ βούγλωττον, ὥσπερ ἐν τοῖς πετραίοις τὸν σκάρον, εἰ μήτι ἄρα τῷ τῆς ψήττης ὀνόματι καὶ κατὰ τῶν βουγλώττων ἐχρήσατο, παραπλήσια μὲν γάρ πως ἐστὶν, οὐ μὴν ἀκριβῶς ὁμοειδῆ βούγλωττόν τε καὶ ψῆττα. μαλακώτερον γὰρ ἐστι καὶ ἥδιον εἰς ἐδωδὴν, καὶ παντὶ βέλτιον, τὸ βούγλωττον τῆς ψήττης. ἀλλὰ καὶ οἱ σαῦροι μέσοι πως εἰσὶ τῶν ἁπαλοσάρκων τε καὶ σκληροσάρκων, οὐ μὴν δεῖταί γε τις τῶν εἰρημένων ἰχθύων, οὔτ' ὄξους, οὔτε νάπυος, οὔτ' ὀριγάνου, καθάπερ οἱ λιπαροὶ καὶ γλίσχροι, καὶ σκληροί, καὶ μέντοι καὶ χρῶνται τινὲς μὲν ταγηνίζοντες αὐτοὺς, τινὲς δὲ ὀπτῶντες, ἢ δὲ ἐν ταῖς λοπάσι σκευάζοντες ὥσπερ τοὺς ῥόμβους τε καὶ κιθάρους. ἀλλ' αἱ μὲν τῶν μα-

γειρικῶν

γεωργικῶν λοπάδων σκευασίαι τοῖς πᾶσιν ἀπεψίας εἰσὶν αἴτιαι. κάλλισται δ' εἰσὶν εἰς πέψιν, αἱ διὰ τοῦ λευκοῦ ζωμοῦ. γίγνεται δὲ οὕτως, ὅταν ὕδατος δαψιλοῦς ἐμβληθέντος ἐλαίου τις αὐτάρκες ἐπιχέας ἀνήθου τε καὶ πράσου μικρὸν, εἶθ' ἡμιέφθους ποιήσας ἐπιβάλλοι τοσοῦτον ἁλῶν, ὡς μηδέπω φαίνεσθαι τὸν ὅλον ζωμὸν ἁλμυρόν. αὕτη καὶ τοῖς νοσηλευομένοις ἐπιτήδειος ἡ σκευασία. τοῖς δ' ἀμέμπτως ὑγιαίνουσι, καὶ ἡ διὰ τοῦ ταγήνου, καὶ μετ' αὐτὴν, ἡ τῶν ἐπὶ τῆς ἐσχάρας ὀπτηθέντων. ἀλλ' αὕτη μὲν ἐλαίου καὶ γάρου δεῖται, μετὰ βραχέος οἴνου. τοῖς δὲ ταγηνισθεῖσιν ἁρμόττει πλέον ἔχειν, ἢ κατὰ τούτους οἴνου τε καὶ γάρου, βραχέος ἐπιχυθέντος ἐλαίου. τοῖς δ' ἀνατρεπομένοις ἐπὶ τῷδε τὸ στόμαχον, ἕτοιμον ἔστω παρακείμενον ὄξος ὀλίγον ἔχον ἐν ἑαυτῷ γάρου τε καὶ πεπέρεως. μεταβαίνοντες γὰρ ἐπὶ τὴν διὰ τούτων ἐδωδὴν ἄμεινόν τε πέττουσι, καὶ πρὸς τὴν διαχώρησιν οὐδὲν βλάπτονται, δι' ἣν μάλιστα τινὲς ἐξ οἴνου καὶ γάρου, ταγηνισθέντα προσφέρονται, πεπέρεως μὲν, ἐπεμβάλλοντες οἱ πλείους, ὀλίγοι δ' ἐλαίου. τινὲς δ' ἐκ τῶν εἰρημένων ἰχθύων, ἐπειδὰν ταγηνισθῶσιν ὀλίγοις ἁλσὶ περιπασθέντες ἥδιστοί τε ἅμα βρωθῆναι, καὶ πεφθῆναι γίνονται βελτίους, εὐστομαχώτεροί τε πάσης ἄλλης σκευασίας. ἁπάντων δὲ τῶν εἰρημένων ἰχθύων ἡ τροφὴ καλλίστη, τοῖς τε μὴ γυμνασαμένοις ἐστὶ, καὶ † γέρουσι, καὶ ἀσθενέσι, καὶ τοῖς νοσηλευομένοις. οἱ γυμναζόμενοι δὲ, τροφιμωτέρων ἐδεσμάτων δέονται, περὶ ὧν ἔμπροσθεν εἴρηται. λέλεκται δ' ἤδη πολλάκις ἡ μαλακὴ καὶ ψαθυρὰ τροφὴ πρὸς ὑγείαν ὑπάρχειν ἀρίστη, διότι καὶ εὐχυμοτάτη πασῶν ἐστίν. οὐδὲν δ' εὐχυμίας εἰς ὑγείαν ἀσφαλῆ μεῖζον ἐφόδιον.

† al. ἀργοῖσι

περὶ τῶν σκληροσάρκων ἰχθύων.

Καὶ περὶ τούτων ἔγραψεν ὁ Φιλότιμος κατὰ λέξιν οὕτως ἐν τῷ δευτέρῳ περὶ τροφῆς. δράκοντές τε καὶ κόκκυγες, καὶ γαλεώνυμοι, καὶ σκορπίοι, καὶ φάγγροι, καὶ πρὸς τούτοις ἔτι καὶ τράχουροι καὶ τρίγλαι, καὶ πάλιν ὀρφοί τε καὶ γλαῦκοι, καὶ σκάροι, καὶ κῦνες, καὶ γόγγροι, καὶ ἀμίαι, καὶ ζύγαιναι, καὶ πάντες οἱ σκληρόσαρκοι, δυσκατέργαστοί τ' εἰσὶ καὶ παχεῖς καὶ ἁλυκοὺς ἀναδιδόασι χυμούς. αὕτη μὲν ἡ τοῦ Φιλοτίμου ῥῆσις. ἐπισκεψώμεθα δ' ἕκαστον τῶν κατ' αὐτὴν εἰρημένων ἀπὸ τῆς ἀρχῆς. οἱ μὲν οὖν δράκοντες καὶ οἱ κόκκυγες ἐναργῶς ἅπασι φαίνονται τοῖς προσενεγκαμένοις αὐτοὺς, σκληρὰν ἔχοντες τὴν σάρκα. τῶν γαλεῶν δ' οὐχ ἓν εἶδός ἐστι, ὁ γάρ τοι παρὰ ῥωμαίοις ἐντιμότατος ἰχθὺς, ὃν ὀνομάζουσι γαλαξίαν, ἐκ τοῦ τῶν γαλεῶν ἐστὶ γένους, ὃς οὐδὲν γεννᾶσθαι δοκεῖ κατὰ τὴν ἑλληνικὴν θάλασσαν, καὶ κατὰ τοῦτό γε καὶ ὁ Φιλότιμος αὐτὸν ἠγνοηκέναι φαίνεται. γέγραπται μέν τοι διττῶς ἐν τοῖς ἀντιγράφοις τοὔνομα, γαλεοὶ μὲν ἐν τρισὶ συλλαβαῖς κατ' ἔνια, γαλεώνυμοι δὲ ἐν πέντε κατ' ἄλλα, καὶ δῆλον ὅτι τῶν ἁπαλοσάρκων ἐστὶν, ὁ παρὰ τοῖς ῥωμαίοις ἔνδοξος γαλεξίας, οἱ δ' ἄλλοι γαλεοὶ, σκληρόσαρκοι μᾶλλόν εἰσι. σκορπιοὺς δ' ἐφεξῆς, καὶ τραχούρους, καὶ τρίγλας, ὀρφούς τε καὶ γλαύκους, ὁ Φιλότιμος ἐν τοῖς σκληροσάρκοις ὀρθῶς καταλέγει. σκάρους δ' αὐτοῖς συγκαταριθμῶν ἁμαρτάνει, τῶν πετραίων ἰχθύων ὄντας. ἐφεξῆς δὲ κύνας ἔγραψεν, οὓς ἐν τοῖς κητώδεσιν ἐχρῆν κατηριθμεῖσθαι, σκληρὰν καὶ περιττωματικὴν ἔχοντας τὴν σάρκα, καὶ διὰ τοῦτό τε μαχιζομένους τε καὶ ταριχευομένους, ἐδωδήν τε ὄντας ἀνθρώπων τῶν ἐπιτυχόντων, καὶ γὰρ ἀηδεῖς εἰσὶ καὶ βλεννώδεις, καὶ διὰ τοῦτο καὶ διὰ νάπυός τε καὶ ὀξελαίου, καὶ τῶν οὕτω δριμέων ὑποτριμμάτων αὐτοὺς ἐσθίουσιν. ἐκ τούτου δὲ τοῦ γένους εἰσὶ καὶ φάλαιναι καὶ δελφῖνες, καὶ φῶκαι. πλησίον δ' αὐτῶν ἥκουσι καὶ οἱ μεγάλοι θύννοι, καί τοι τῇ γ' ἡδονῇ τῆς ἐδωδῆς οὐχ ὅμοιοι τοῖς προειρημένοις ὄντες. ἀηδεῖς γὰρ ἐκεῖνοι καὶ μάλιστα πρόσφατοι. ταριχευθέντες δ' ἀμείνους γίνονται τῶν ἐλαττόνων θύννων, κατά τε τὴν ἡλικίαν καὶ τὸ μέγεθος, οὐθ' ἡ σὰρξ ὁμοίως σκληρὰ, καὶ πεφθῆναι δηλονότι βελτίους εἰσὶ, καὶ τούτων ἔτι μᾶλλον αἱ πηλαμίδες, αἳ καὶ ταριχευθεῖσαι τοῖς ἀρίστοις ταρίχοις ἐνάμιλλοι γίγνονται. πλεῖσται δ' ἐκ τοῦ πόντου κομίζονται τῶν ἐκ τῆς σαρδοῦς τῶν ἐκ τῆς ἰβηρείας μόνον ἀπολειπόμεναι. ἐντιμότατον γοῦν δὴ τοῦτο τὸ τάριχον εἰκότως ἐστὶν, ἡδονῆς τε καὶ μαλακότητος ἕνεκα τῆς σαρκὸς ὀνομάζεται δὲ συνήθως, ὑπὸ τῶν πάντων ἤδη τὰ τοιαῦτα ταρίχη σάρδα. μετὰ δὲ σάρδας τε καὶ πηλαμίδας οἱ ἐκ τοῦ πόντου κομιζόμενοι μῦλοι μᾶλλον τετίμηνται, καὶ μετ' αὐτοὺς οἱ κορακῖνοι. ταῦτα μὲν οὖν ὡς ἐν παρέργῳ περὶ τῶν ταριχευθέντων ἰχθύων εἰρήσθω. ζυγαίνων δὲ καλῶς, ἐμνημόνευσεν ὁ Φιλότιμος ἐν τοῖς σκληροσάρκοις. ἐχρῆν δὲ καὶ τῆς ἀνθίας αὐτῶν μεμνῆσθαι, καθάπερ γε καὶ τῶν ἄλλων, οὓς ὅλως παρέλιπε. γόγγρους δὲ καὶ φάγγρους καὶ ἀμίας, καὶ ἀετοὺς ὀρθῶς εἶπε σκληροσάρκους εἶναι καὶ ἄλλοι δέ τινες, ὡς αὐτὸς ἔφη, τῶν σκληροσάρκων, ἰχθύων εἰσὶν, ὧν οὐκ εἶπε τὰς προσηγορίας, ὅτι μηδ' ἐν πολλῇ χρήσει τοῖς ἀνθρώποις εἰσὶν ὅθεν ἄμεινόν ἐστι ἐπισκέψασθαι περὶ τῆς δυνάμεως αὐτῶν, ἐάσαντες τὰς προσηγορίας. ὅτι μὲν οὖν οἱ σκληρόσαρκοι δυσκατεργαστότεροι τῶν μαλακοσάρκων εἰσὶν, ὀρθῶς εἶπεν ὁ Φιλότιμος. εἴτε γὰρ ἐν τῇ γαστρὶ πέψις, εἴτε καθ' ἕκαστον τῶν τρεφομένων μορίων ἐξομοίωσις, ἐπὶ μὲν τοῖς μαλακωτέροις, ῥάων ἐστὶν ἐπὶ δὲ τοῖς σκληροτέροις χαλεπωτέρα. γίγνεται γὰρ ἀλλοιουμένων αὐτῶν ταῦτα, ῥᾷον δ' ἀλλοιοῦνται τὰ μαλακώτερα, διότι καὶ πάσχειν ἑτοιμότερα. πάθος δ' ἐστὶ τῶν ἀλλοιουμένων ἡ ἀλλοίωσις. ὀρθῶς οὖν εἶπεν αὐτοὺς δυσκατεργάστους εἶναι, ὀρθῶς δὲ καὶ πάχεος χυμοῦ γεννητικούς. ἡ μὲν γὰρ σκληροτέρα τροφὴ παχυτέραν ἔχει τὴν οὐσίαν. ἡ δὲ μαλακωτέρα, λεπτοτέραν. εἰ δὲ καὶ ἁλυκοὺς ἡ σκληρὰ τροφὴ τοὺς χυμοὺς ἐργάζεται, σκεπτέον ἐφεξῆς. ὁ μὲν γοῦν Φιλότιμος, ὥσπερ γε καὶ ὁ διδάσκαλος αὐτοῦ Πραξαγόρας τὸν ἁλυκὸν χυμὸν, ἐκ τῶν ἐπὶ πλέον θερμαινομένων γίγνεσθαι φησίν. ἐμοὶ δ' οὐχ ἁπλῶς δοκεῖ δεῖν, ἀλλὰ μετὰ διορισμοῦ ποιεῖσθαι τὴν ἀπόφασιν, ἐπεὶ δὲ κοινὸς ὁ λόγος ἐστὶν ἁπάντων τῶν σκληρῶν ἐδεσμάτων, ἴδιον αὐτῶν κεφάλαιον ἀποδόντες, ἐφεξῆς σκεψόμεθα.

περὶ τοῦ εἰ κατὰ τὰ σκληρὰ πάντα κατὰ τὴν ἕψησιν, ἁλυκοὺς γεννᾷ χυμούς.

Οὐ μόνον ἐπὶ τῶν ἰχθύων τῶν σκληροσάρκων, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἐδεσμάτων ὅσα σκληρὰ, Πραξαγόρας καὶ Φιλότιμος οἴονται τὸν ἁλυκὸν γεννᾶσθαι χυμὸν ἐν ταῖς ἐπὶ πλέον ἑψήσεσιν, ὀνομάζουσι δ' αὐτὸν οὐχ ἁλυκὸν μόνον, ἢ ἁλμυρὸν, ἀλλὰ καὶ νιτρώδη. ἐγὼ δ' ὁρῶ τὸ μὲν ἀφέψημα τῶν πλείστων, εἰ δὲ βούλει καὶ πάντων ἐφ' ὅσον ἂν ἕψηται χρόνον ἁλυκώτερον ἀεὶ γινόμενον, ὕστερον δέ ποτε καὶ πικρὸν ὡς αὐτοὶ βούλονται, τὸ μέν τοι στερεὸν σῶμα, τὸ κατὰ τὸ ὕδωρ ἑψηθὲν ἀποτιθέμενον ἐν ἐκείνῳ τὰς ἐξ ἀρχῆς ὑπαρχούσας αὐτῷ ποιότητας,

ὡς ἐν τῷ χρόνῳ τὸ καλούμενον ἄποιόν τε καὶ ὑδατῶδες γίνεσθαι, μήθ᾽ ἁλυκότητος ἔχοντι, μήτε πικρότητος, ἢ δριμύτητος, ἢ στύψεως. ἐναργέστερον δ᾽ εἴσῃ τοῦ λεγομένου τὴν ἀλήθειαν, ἐάν ποτε εἰς ἄλλο μεταβάλλων ὕδωρ, ἕψῃς ὅπερ ἂν θέλῃς. εὑρήσεις μὲν γὰρ αὐτὸ τὸ ἑψόμενον ἀποβαλὸν τὴν οἰκείαν ποιότητα, τὸ δὲ ὕδωρ ὑποδεχόμενον αὐτήν. θέρμοι μὲν οὖν τῶν δημητρίων ἐδεσμάτων ὄντες πικρὸν ἐργάζονται τὸ ὕδωρ, ὅτι καὶ αὐτοὶ τὴν πικρὰν ποιότητα σύμφυτον ἔχουσιν. οὕτω δὲ καὶ ὄροβοι, καὶ ἀψίνθιον καὶ ἀβρότονόν τε καὶ πόλιον, ὅσα τἆλλα πικρά. τὸ σῶμα δ᾽ αὐτὸ τὸ ἀφεψηθὲν ἧττον φαίνεται πικρόν. εἰ δὲ καὶ μεταβάλλων εἰς ἕτερον ὕδωρ, αὐτὰ πάλιν ἑψήσεις, ὡς ἀρτίως εἶπον, ἔτι καὶ μᾶλλον ἢ πρόσθεν, εὑρήσεις ἀποβεβληκότα τὴν πικρότητα, κἂν εἰ τρίτον, ἢ τέταρτον εἰς ὕδωρ ἕτερον μεταβάλλοις, ἔτι μᾶλλον ἢ πρόσθεν, ὡς ἐν τῷ χρόνῳ πᾶσαν ἀποθέσθαι τὴν πικρότητα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ὅσα δριμέα, καθάπερ σκόροδα, καὶ κρόμμυα, καὶ πράσα, τὸ μὲν ὕδωρ ἐφ᾽ ᾧπερ ἑψηθέντα τύχῃ, σαφῶς δριμὺ ἐργάζεται, τὴν δὲ αὐτῶν οὐσίαν, ἧττον ἴσχει δριμεῖαν. εἰ δ᾽ ἄλλοτε εἰς ἄλλο μεταβάλλοις ὕδωρ αὐτὰ παντάπασιν ἀποτίθεται τὴν δριμύτητα. καὶ μὴν καὶ τὰ μῆλα τὰ στρυφνὰ μέσπιλά τε καὶ ἀχράδες, εἰς ὅσον ἂν ἕψονται, γλυκύτερα μὲν αὐτὰ γίνονται τὸ ἀφέψημα στρυφνὸν ἀπεργάζεται, τοὺς χυλοὺς δ᾽ αὐτοὺς μόνους ἂν ἑψήσεις, ἁλυκώτεροι μὲν τὸ πρῶτον, ὕστερον δὲ καὶ πικροὶ γίνονται. διὸ περὶ μὲν τῶν χυλῶν, συγχωρητέον ἐστὶ, τῷ τε Πραξαγόρᾳ καὶ τῷ Φιλοτίμῳ γινώσκουσιν, ὡς εἴρηται. περὶ δὲ τῶν στερεῶν σωμάτων ἔμπαλιν ἔχειν ἡγητέον. εἰ γὰρ ὡς ὀλίγον ἔμπροσθεν εἶπον, ἐκ τοῦ πρώτου μεταβάλλοι τις εἰς δεύτερον ὕδωρ αὐτά, καὶ μετ᾽ ἐκεῖνο πάλιν εἰς τρίτον, ἢ καὶ τέταρτον, ἀποβάλλοντα τελέως εὑρήσει τὸν ἐξ ἀρχῆς χυμόν, ὡς γινομένοις ὑδατώδη τε καὶ ἄποια φαίνεσθαι. μὴ μεταβληθέντων δ᾽ εἰς ἕτερον, ἀναγκαῖόν ἐστιν ἁλυκώτερον μὲν πρῶτον, ὕστερον δὲ, καὶ πικρὸν γίνεσθαι τὸ ἀφέψημα. μάλιστα δὲ ὁ ζωμὸς ἐξηπατηκέναι μοι τοὺς περὶ τὸν Πραξαγόραν φαίνεται, ἁλυκώτερος ἐν τῷ τῆς ἑψήσεως χρόνῳ γινόμενος, οὐκ ἐννοοῦντας, ὡς ἁλῶν, ἢ γάρου κατὰ τὴν ἐξ ἀρχῆς ἄρτυσιν ἐμβεβλημένων εἰς τὸ ὕδωρ, ἀναγκαῖόν ἐστι προερχομένης τῆς ἑψήσεως, ἁλυκώτερον ἑαυτοῦ γίνεσθαι τὸν χυμόν, ὥσπερ εἰ καὶ χωρὶς τοῦ ἑτέρου ἐμβαλεῖν τι σῶμα βραχύτατον ἁλῶν ἀναμίξαις ὕδατι καθαρῷ τε καὶ γλυκυτάτῳ, καὶ γὰρ καὶ τοῦτο θερμαινόμενον, ἁλυκώτερον γίνεται. καὶ τί θαυμαστόν; αὐτὸ γὰρ ἐπὶ πλέον ἑψόμενον ὕδωρ τὸ κάλλιστον, ἁλυκὴν ἐν τῷ χρόνῳ ποιότητα προσλαμβάνει.

περὶ τῶν ὀστρακοδέρμων ζώων.

Ἐπειδὴ τὸ περιέχον ὅλον τὸ σῶμα, καθάπερ ἀμφίεσμά τι σύμφυτον ἑκάστῳ καλεῖται δέρμα, κατ᾽ ἀναλογίαν δ᾽ αὐτῷ τὸ κατὰ τοὺς κήρυκάς ἐστι καὶ τὰς πορφύρας, ὄστρεά τε καὶ χήμας, ὅσα τ᾽ ἄλλα τοιαῦτα, διὰ τοῦτο καλοῦσιν ὀστρακόδερμα ταῦτα τὰ ζῶα. σαφῶς οὖν ὀστράκῳ παραπλήσιον, ἢ λίθῳ τὸ ἔξωθεν αὐτοῖς περικείμενον σκέπασμά ἐστι. κοινὸν μὲν οὖν ἁπάντων τῶν τοιούτων, ἁλυκὸν χυμὸν ἔχειν ἐν τῇ σαρκί, λαπακτικὸν τῆς γαστρός. ἴδιον δ᾽ ἑκάστῳ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τούτῳ κατά γε ποιότητα καὶ ποσότητα. τὰ μὲν γὰρ ὄστρεα, μαλακωτάτην ἔχει τῶν ἄλλων ὀστρακοδέρμων, τὴν σάρκα. τὰ δὲ σμικρὰ χήμια, καὶ οἱ σφόνδυλοι, καὶ οἱ σωλῆνες, καὶ αἱ πορφύραι, καὶ οἱ κήρυκες, ὅσα τἆλλα τοιαῦτ᾽ ἐστί, σκληράν. εἰκότως οὖν ὑπάγει μὲν ἐκεῖνα τὴν γαστέρα μᾶλλον, ἥττονα τροφὴν διδόντα τῷ σώματι. τὰ δὲ σκληρότερα, δυσπεπτότερα μέν ἐστι, τρέφει δὲ μᾶλλον. ἀλλὰ ταῦτα μέν, ἕψεται πάντα, τὰ δὲ ὄστρεα χωρὶς ἑψήσεως ἐσθίουσιν, ἔνιοι δὲ καὶ ταγηνίζουσιν. ὥσπερ δὲ δύσπεπτον ἔχει τὴν σάρκα τῶν ὀστρακοδέρμων ζώων, οὕτως καὶ δυσδιάφθαρτον, αἱρούμεθά τε, καὶ διὰ τοῦτο διδόναι πολλάκις αὐτὰ τοῖς διαφθείρουσιν ἐν τῇ κοιλίᾳ τὴν τροφὴν ὑπὸ κακοχυμίας, ἤτοι γ᾽ ἐξ ἥπατος εἰς αὐτὴν καταρρεούσης, ἢ περιεχομένης ἐν τοῖς χιτῶσιν αὐτῆς. ἔχει δὲ πάντα μέν, ὡς εἶπον, ἁλυκὸν χυμὸν ὑπακτικὸν τῆς γαστρός. ἥττονα μέντοι τῶν ὀστρέων τὰ σκληρόσαρκα, διὸ καὶ δίδαμεν αὐτὰ τοῖς διαφθείρουσι τὴν τροφήν, ἕψοντες δὶς καὶ τρὶς ἐν ὕδατι καλλίστῳ, μεταθέντες εἰς τὸ καθαρόν, ὅταν ἤδη τὸ πρότερον ἁλμυρὸν φαίνεται. γίνεται δ᾽ ἐξ αὐτῶν ὁ καλούμενος ὠμὸς χυμὸς πάμπολυς, ἐκ δὲ τῶν μαλακοσάρκων τὸ φλέγμα. καθάπερ οὖν ἀποθεμένων αὐτῶν τὸν ἁλυκὸν χυμόν, ὥσπερ ἡ σὰρξ δύσφθαρτος, οὕτω καὶ σταλτικὴ γίνεται τῆς γαστρός, ὡσαύτως εἰ ἐναρτύσας δι᾽ ἁλῶν, ἢ γάρου, καθάπερ εἰώθασι τὰς χήμας ἐκπίει τις τὸν γενόμενον χυλόν, ὑπαχθήσεται μὲν ἡ γαστὴρ ἱκανῶς, οὐδεμίαν δὲ τροφὴν ἐξ αὐτοῦ τὸ σῶμα τοῦ ἀνθρώπου λήψεται.

περὶ τῶν μαλακοστράκων

Ἀστακοί, καὶ πάγουροι, καὶ καρκίνοι τε καὶ κάραβοι, καὶ καρίδες, καὶ καμμαρίδες, ὅσα τἆλλα, λεπτὸν ἔχει τὸ περιέχον ὄστρακον, ὅμοια δὲ τῇ σκληρότητι τοῖς ὀστρακοδέρμοις, ἧττον μὲν ἐκείνων ἔχει τὸν ἁλικὸν χυμόν, ἔχει δ᾽ οὖν ὅμως οὐκ ὀλίγον. ἐστὶ δὲ σκληρόσαρκα κατὰ πάντα, καὶ διὰ τοῦτο δύσπεπτά τε καὶ τρόφιμα, προεψηθέντα δηλονότι κατὰ τὸ πότιμον ὕδωρ. ἔστι δὲ καὶ τούτων ἡ σάρξ, ὥσπερ καὶ τῶν ὀστρέων, ἐπισχετικὴ τῶν κατὰ τὴν γαστέρα, ὅταν ἐναποθῆται τῷ ὕδατι τὸν ἁλυκὸν χυμόν, ὡς εἴρηται, προεψηθέντα, καὶ κοινῇ καὶ ταῦτα, δύσφθαρτα, τοῖς σκληροῖς τῶν ὀστρακοδέρμων ὡσαύτως ἐστί.

περὶ μαλακίων.

Μαλάκια καλεῖται, τὰ μήτε λεπίδας ἔχοντα, μήτε τραχύ, μήτε ὀστρακῶδες τὸ δέρμα, μαλακὸν δ᾽ οὕτως ὡς ἀνθρώποις. ἔστι δὲ ταῦτα, πολύποδές τε καὶ σηπίαι, καὶ τευθίδες, ὅσα τἆλλα τούτοις ἔοικεν. ἁπτομένῳ μὲν οὖν μαλακὸν φαίνεται, διὰ τὸ μήτε λεπιδωτὸν ἔχειν, μήτε τραχύ, μήτε ὀστρακῶδες τὸ σκέπασμα. σκληρόσαρκα δ᾽ ἐστὶ καὶ δύσπεπτα, καὶ βραχὺν ἐν ἑαυτοῖς περιέχοντα τὸν ἁλυκὸν χυμόν. εἰ μέντοι πεφθείη, τροφὴν οὐκ ὀλίγην δίδωσι τῷ σώματι, πλεῖστον δ᾽ οὖν καὶ ταῦτα τὸν ὠμὸν ἐργάζεται χυμόν.

περὶ σελαχίων.

Τραχὺ καὶ λαμπρὸν ἐν τῇ νυκτὶ τὸ δέρμα τῶν τοιούτων ἐστὶ ζώων. διὸ καί τινες ἀπὸ τοῦ σέλας ἔχειν, ὠνομάσθαι φασὶν αὐτὰ σελάχια. μαλακὴν δ᾽ ἐν αὐτοῖς ἔχει τὴν σάρκα νάρκη τε καὶ τρυγών. ὥσπερ οὖν καὶ ἡδεῖαν, ὑπάγουσάν τε τὴν γαστέρα μετρίως καὶ πεττομένην οὐ χαλεπῶς, ἀλλὰ καὶ τρέφει μετρίως, ὥσπερ γε καὶ τὰ ἄλλα πάντα τὰ

τὰ τὰ † μαλακόσαρκα. κοινὸν δ' ἐν αὐτοῖς ἅπασίν ἐστι, πολυσαρκότερα τῶν μέσων μορίων περὶ τὰς οὐρὰς εἶναι. μάλιστα δὲ τοῦθ' ὑπάρχει ταῖς νάρκαις, ἔοικε γάρ τοι τὰ μέσα τῶν ζώων τούτων οἷόνπερ χόνδρον, τακερὸν ἐν αὐτοῖς ἔχειν. Βάτοι δὲ καὶ λειόβατοι, καὶ ῥῖναι, καὶ πάνθ' ὅσα τοιαῦτα σκληρότερα καὶ δυσπεπτότερα, καὶ τροφὴν πλείονα τῷ σώματι παρέχοντα νάρκης τε καὶ τρυγόνος ἐστί.

† al. μαλακόστρακα

περὶ τῶν κητωδῶν ζώων

Εἴρηται μὲν ἤδη καὶ πρόσθεν ὑπὲρ τῶν ἐν τῇ θαλάττῃ κητωδῶν ζώων, ἐξ ὧν ἐστιν αἵ τε φῶκαι, καὶ φάλαιναι, δελφῖνές τε καὶ ζύγοναι, καὶ τῶν θυννῶν οἱ μεγάλοι, καὶ πρὸς αὐτοῖς οἱ κύνες, ὅσα τἄλλα τοιαῦτα· καὶ νῦν δὲ αὐτῶν ἐν κεφαλαίῳ λεκτέον, ὡς ἅπαντα τὰ τοιαῦτα καὶ σκληρὰν καὶ κακόχυμον ἔχει καὶ περιττωματικὴν τὴν σάρκα. καὶ διὰ τοῦτο προταριχεύοντες αὐτὰ τὸ πίπαν εἰς χρῆσιν ἄγουσι, λεπτομερεστέραν ἐργαζόμενοι τὴν ἐξ αὐτῶν ἀναδιδομένην τροφὴν εἰς τὸ σῶμα, καὶ διὰ τοῦτο πεφθῆναί τε δυναμένην θᾶττον, αἱματωθῆναί τε μᾶλλον. ἡ γάρ τοι πρόσφατος, ὅταν μὴ πάνυ καλῶς πεφθῇ, πλεῖστον ἐν ταῖς φλεψὶν ἀθροίζει τὸν ὠμὸν χυμόν.

περὶ θαλασσίων ἐχίνων.

Καὶ δι' οἰνομέλιτος αὐτοὺς ἐσθίουσι καὶ διὰ γάρου, γαστρὸς ὑπαγωγῆς ἕνεκεν, καὶ λοπάδας ἐξ αὐτῶν σκευάζουσιν, ἐπεμβάλλοντες ᾠόν τε καὶ πεπέρεως καὶ μέλιτος. ἔστι δὲ τῶν ὀλιγοτρόφων ἐδεσμάτων, καὶ μέσων κατὰ τὸ λεπτύνειν καὶ παχύνειν χυμοὺς δυνάμεως.

περὶ μέλιτος.

Ἡ τῶν τροφῶν ὕλη πᾶσα, μέχρι δεῦρο διττοῖς γένεσι περιληφθεῖσα, τὸ μὲν ἕτερον αὐτῶν ἐκ φυτῶν εἶχε, τὸ δὲ ἕτερον ἐκ ζώων. ἑκατέρας δ' αὐτῶν ἐφάπτεται τὸ μέλι. γίνεται μὲν γὰρ ἐπὶ τοῖς φύλλοις τῶν φυτῶν, ἔστι δὲ οὔτε χυλὸς αὐτῶν, οὔτε καρπός, οὔτε μόριον, ἀλλ' ὁμογενὲς μὲν ταῖς δρόσοις, οὐ μὴν οὔτε συνεχῶς, οὔθ' ὁμοίως ἐκείναις γίνεται δαψιλές. οἶδα δέ ποτε θέρους ὥρᾳ πλεῖστον ὅσον ἐπὶ τοῖς τῶν δένδρων, καὶ θάμνων, καί τινων βοτανῶν φύλλοις εὑρεθέν, ὡς ὑπὸ τῶν γεωργῶν λέγεσθαι παιζόντων, ὁ Ζεὺς ἔβρεξε μέλι. προηγεῖτο δὲ νὺξ μὲν εὔψυχρος, ὡς ἐν θέρει. θέρους γὰρ ἦν ὥρα τηνικαῦτα, θερμὴ δὲ καὶ ξηρὰ κρᾶσις ἀέρος ἐπὶ τῆς προτεραίας. ἐδόκει τοίνυν τοῖς δεινοῖς περὶ φύσιν, ἐκ τῆς γῆς τε καὶ τῶν ὑδάτων ἀτμὸν ἀκριβῶς λεπτυνθέντα καὶ πεφθέντα πρὸς τῆς ἡλιακῆς θερμότητος, ὑπὸ τῆς ἐπιγινομένης ἐπὶ τῆς νυκτὸς ψύξεως ἀθροισθῆναι πιληθέντα. παρ' ἡμῖν μὲν οὖν σπανίως φαίνεται τοῦτο γινόμενον, ἐν δὲ τῷ ὄρει τῷ Λιβάνῳ καθ' ἕκαστον ἔτος οὐκ ὀλίγον. ὥστε ἐκπετανῦντες ἐπὶ γῆς δέρματα καὶ σείοντες τὰ δένδρα, δέχονται τὸ ἀπορρέον ἀπ' αὐτῶν, καὶ χύτρας καὶ κεράμια πληροῦσι τοῦ μέλιτος. ὀνομάζουσι δ' αὐτὸ δροσόμελί τε καὶ ἀερόμελι. πρόδηλος μὲν οὖν, ἡ ὕλη τῆς γενέσεως τοῦ μέλιτος ὁμογενής τις οὖσα ταῖς δρόσοις, εἰς ἀρετὴν δὲ καὶ κακίαν αὐτῷ φαίνεταί τι προσέρχεσθαι παρὰ τῶν φυτῶν ἐφ' ὧν τοῖς φύλλοις ἀθροίζεται, καὶ διὰ τοῦτο γίνεται κάλλιστον, ἔνθα πλεῖστοι θύμοι, καί τινες ἄλλαι θερμαὶ καὶ ξηραὶ τῇ κράσει βοτάναι τε καὶ θάμνοι. λεπτομερέστερον τοιγαροῦν ἐστι μέλι τὸ γενόμενον ἐν τοῖς τοιούτοις φυτοῖς, καὶ διὰ τοῦτο ῥᾳδίως ἐκχολοῦται, κατὰ τὰ θερμὰ σώματα. τοῖς ψυχροῖς δ' ἐπιτηδειότατόν ἐστιν, εἴτε δι' ἡλικίαν, εἴτε διὰ νόσον, εἴτε φύσει τοιαῦθ' ὑπάρχει. ταῦτα τοίνυν ὑπ' αὐτοῦ τρέφεσθαι πέφυκεν αἱματωθέντος, ὡς ἐγγὺς τοῖς θερμοῖς ἐκχολοῦσθαι φθάνει, πρὶν αἱματωθῆναι. λεπτομερὲς δ' ὑπάρχον, ἐξ ἀνάγκης ἔχει τι καὶ δριμύ. διὸ πρὸς ἔκκρισιν ἐπεγείρει τὴν γαστέρα. τοῦτ' οὖν ἀφαιροῦντες αὐτῷ, πρὸς ἀνάδοσίν τε καὶ πέψιν, ἐπιτηδειότερον ἐργαζόμεθα. καλλίστη δ' ἀφαίρεσις γίνεται, μιχθέντος πρότερον ὕδατι πολλῷ, μετὰ τοῦτο δ' ἑψηθέντος ἄχρι περ ἂν ἀφρίζον παύσηται. προσήκει δ' αἴρειν ἀπ' αὐτοῦ συνεχῶς δηλονότι τὸν ἀφρὸν εὐθὺς ἅμα τῷ γενέσθαι. διὰ γάρ τοι τῆς τοιαύτης παρασκευῆς, ἀποθέμενον τὴν δριμύτητα, καὶ μηκέτ' ἐρεθίζον εἰς ἔκκρισιν τὴν κοιλίαν, ἀναδίδοται οὐ βραδέως. τὸ δ' ἐπ' ὀλίγον, ἢ οὐδ' ὅλως ἑψηθὲν μελίκρατον ὑπέρχεσθαι φθάνει πρὸ τοῦ πεφθῆναι ἀναδοθῆναί τε καὶ θρέψαι τὸ σῶμα. διαφορὰ δ' αὐτοῖς ἐστι κἂν τῷ φῦσαν μέν τινα γεννᾶν ἐν τῇ κοιλίᾳ, καὶ τοῖς ἐντέροις, τὸ μὴ τελέως ἑψηθέν, ἄφυσον δὲ καὶ διουρητικὸν γίνεσθαι τὸ κατὰ τὴν ἕψησιν ἀποθέμενον ἅπαντα τὸν ἀφρόν, εἰ δὲ χωρὶς ὕδατος μίξεως ἐκλείχοι τις τὸ μέλι μόνον, ἧττον μὲν τρέφει, μᾶλλον ὑπάγει τὰ κατὰ τὴν γαστέρα. πλέον δ' εἴ τις αὐτοῦ προσενέγκοι, τὴν ἄνω κοιλίαν εἴωθεν εἰς ἔμετον ἐξορμᾶν. ἑψηθὲν δὲ χωρὶς ὕδατος, οὔτ' ἐμετικόν ἐστιν ὁμοίως, οὔθ' ὑπακτικὸν τῶν κατὰ τὴν κοιλίαν, ἀλλ' ἀναδίδοταί τε καὶ τρέφει μᾶλλον. οὖρα δ' ἧττον κινεῖ τοῦ μεθ' ὕδατος ἑψηθέντος. οὐ μὴν οὐδ' ὁπότε τρέφει, τροφὴν ἀξιόλογον δίδωσι τῷ σώματι, ὥς τισιν ἔδοξεν, οὐδὲ τρέφειν ὅλως. ἀλλὰ πρὸς μὲν τούτους αὐτάρκως εἴρηται διὰ τοῦ τρίτου τῶν εἰς τὸ περὶ διαίτης ὀξέων νοσημάτων Ἱπποκράτους ὑπομνήματος, ὅ τινὲς μὲν ἐπιγράφουσι πρὸς τὰς Κνιδίας γνώμας, ἔνιοι δὲ περὶ πτισάνης, ἁμαρτάνοντες ἀμφότεροι, καθότι δέδεικται διὰ τῶν εἰς αὐτὰ γεγονότων ἡμῖν ὑπομνημάτων. ἐν δὲ τῷ παρόντι λόγῳ, τοσαῦτ' εἰπεῖν ὑπὲρ αὐτοῦ βέλτιον ἦν ὅσα λέλεκται. κεφάλαιον δ' αὐτῶν ἐστιν, γέρουσι μὲν, καὶ ὅλως ταῖς ψυχραῖς τοῦ σώματος κράσεσιν, ἐπιτήδειον εἶναι, τοῖς δ' ἀκμάζουσι καὶ θερμοῖς ἐκχολοῦσθαι. τροφὴν δ' ὀλίγην ἡμῖν ἐξ αὐτοῦ γίνεσθαι μὴ φθάσαντος εἰς χολὴν μεταβαλεῖν. ὡς εἴγ' αὐτῷ τοῦτο συμβαίη, τρέφειν οὐδ' ὅλως τηνικαῦτα δύνασθαι. πρόδηλον δὲ ὅτι τὴν ὠχρὰν καὶ ξανθὴν χολήν, ὑπ' αὐτοῦ γεννᾶσθαι λέγομεν οὐ τὴν μέλαιναν. εἴρηται γὰρ ἤδη πολλάκις ἐν πολλοῖς ἔθος εἶναι τοῖς ἰατροῖς τὴν τοιαύτην χολὴν ἁπλῶς ὀνομάζειν ἄνευ τῆς κατὰ τὴν χρόαν προσθήκης. τὰς δ' ἄλλας ἁπάσας, σὺν τῷ τῆς χρόας ἑρμηνεύειν ὀνόματι. φαίνονται δὲ γενόμεναι πλὴν τῆς πρασιζούσης αἱ ἄλλαι πᾶσαι χαλεπῶς νοσοῦντος τοῦ σώματος, ἡ ξανθὴ δὲ καὶ ὠχρά, καὶ πρασοειδής, καὶ χωρὶς νοσημάτων ἐμεῖταί τε καὶ διαχωρεῖται πολλάκις.

περὶ οἴνου.

Ὅτι μὲν ἐκ τῶν τρεφόντων ἐστὶν ὁ οἶνος ἅπαντες ὁμολογοῦσι. καὶ εἴ γε τὸ τρέφον ἅπαν τροφή ἐστι, ῥητέον εἴη ἐκ τοῦ γένους τῶν τροφῶν καὶ ὁ οἶνος, ἀλλ' ἔνιοί γε τῶν ἰατρῶν, οὔ φασι δεῖν ὀνομάζειν τροφὴν αὐτόν, ἀντιδιαιρεῖσθαι γοῦν κατὰ τοὺς λόγους τῇ τροφῇ τὸ ποτόν, ὅπερ καὶ πόμα προσαγορεύεται, καθάπερ γε καὶ ἡ τροφὴ σιτίον τε

καὶ ἐδεστὸν ἔδεσμα. τροφὴν μὲν οὖν διὰ ταῦτα καλεῖν, οὐκ ἀξιοῦσι τὸν οἶνον, ὁμολογοῦσι μὴν τρέφειν αὐτόν, οὗ νῦν εἰς τὰ παρόντα δεόμεθα. καὶ εἴπερ καὶ ἄλλας τινὰς ὕλας τρέφειν μὲν συνεχώρουν, ἐκώλυον δὲ τροφὰς ὀνομάζειν, καίτοι τρέφοντα, συγχωρήσουσιν ἡμῖν τῷ περὶ τῶν τροφῶν λόγῳ, βραχὺν ὄντα τὸν περὶ τῶν οἴνων προσθεῖναι. ἃς γὰρ Ἱπποκράτης δυνάμεις εἶπεν ἐν τῷ περὶ διαίτης ὀξέων, οὐχ ὡς τροφῆς εἰσίν, ἀλλ' ὡς φαρμάκου μᾶλλον. ἐκείνας μὲν οὖν ἐν τῷ τρίτῳ εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνημάτων ἐξηγήμεθα, κἂν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ, καὶ τῇ τῶν ὑγιεινῶν. ἐν δὲ τῷ νῦν ἐνεστῶτι λόγῳ, τὰς ἐν τῷ τρέφειν αὐτοῦ διαφορὰς ἐροῦμεν, ἐντεῦθεν ἀρξάμενοι. Απάντων οὖν τῶν οἴνων οἱ ἐρυθροί τε ἅμα καὶ παχεῖς εἰς αἵματος γένεσιν ἐπιτηδειότατοι, βραχυτάτης δεόμενοι τῆς εἰς αὐτὸ μεταβολῆς. ἐφεξῆς δὲ αὐτῶν, οἱ μέλανές τε καὶ γλυκεῖς καὶ παχεῖς, εἶτ' οἱ κατὰ τὴν χρόαν ἐρυθροὶ καὶ μέλανες, ἐν δὲ τῇ συστάσει παχεῖς, ἔχοντες ἅμα τούτοις, καὶ τῆς στρυφνῆς ποιότητος. τούτων δὲ ἧττον οἱ λευκοί τε ἅμα καὶ παχεῖς καὶ στρυφνοὶ τρέφειν πεφύκασιν. ἁπάντων δ' ἥκιστα τρέφουσι οἱ λευκοὶ μὲν τῇ χρόᾳ, λεπτοὶ δὲ τῇ συστάσει, παραπλήσιοί πως ὄντες ὕδασι, τοῖς εἰς τὸ καλούμενον ὑδρόμελι ἐπιτηδείοις. ὅτι μὲν οὖν οἱ παχεῖς οἶνοι, τροφιμώτεροι τῶν λεπτῶν εἰσιν, ἥ τε φύσις αὐτῶν ἐνδείκνυται, καὶ ἡ πεῖρα μαρτυρεῖ. πέττονται δὲ κατὰ τὴν γαστέρα, καὶ ἀναδίδονται μᾶλλον οἱ γλυκεῖς τῶν αὐστηρῶν, ὡς ἂν καὶ θερμότεροι ὄντες τὴν δύναμιν. οἱ δὲ παχεῖς πάνυ. πέττονται μέν, βραδύτερον, ὥσπερ γε καὶ ἀναδίδονται, γαστρὸς δ' ἰσχυροτέρας ἐπιτυχόντες, ὡς πεφθῆναι καλῶς, πλείονα τροφὴν διδόασι τῷ σώματι, πρόδηλον δ' ὅτι καθάπερ εἰς τὸ τρέφειν εἰσὶ βελτίους τῶν λεπτοτέρων, οὕτως εἰς οὔρησιν χείρους.

περὶ τῶν ταριχευομένων ἐν τῷ πρόσθεν λόγῳ ἀναβληθέντων.

Ἀναβαλλόμενον ἐρεῖν ἐπὶ τῇ τελευτῇ τοῦ λόγου περὶ τῶν ταριχευομένων καὶ τῶν μέσων ἐδεσμάτων. ὅπως οὖν μηδὲ ταῦτα λείποι, καιρὸς ἤδη διελθεῖν ἑκατέρων τὰς δυνάμεις. ἐπιτήδεια πρὸς ταριχείαν ἐστὶ σώματα ζώων, ὅσα σκληράς τε ἅμα καὶ περιττωματικὰς ἔχει τὰς σάρκας. ὀνομάζω δὲ περιττωματικάς, ὡς κἀν τῷ πρόσθεν λόγῳ, τὰς ἐχούσας ἐν ἑαυταῖς ὑγρότητα παρεσπαρμένην φλεγματικωτέραν. καὶ ὅσῳ κἂν ἡ δὲ πλείων ἢ καὶ παχυτέρα, τόσῳ δὲ μᾶλλον ἀμείνων ἡ σὰρξ γίνεται ταριχευομένη. τὰ δ' ἤτοι πάνυ μαλακὴν ἢ πάνυ ξηράν, καὶ ἀπέριττον ἔχοντα τὴν ἕξιν τοῦ σώματος, οὐκ ἐπιτήδεια ταριχεύεσθαι. δύναμις γάρ ἐστι τῶν ἁλῶν ὡς ἐν τῇ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ δέδεικται σύνθετος, ἔκ τε τοῦ διαφορεῖν τὰς περιττὰς ὑγρότητας, οἷς ἂν ὁμιλεῖ σώμασι, καὶ λεπτύνειν αὐτά, καὶ συνάγειν εἰς ἑαυτά, τοῦ τῶν λίτρων ἀφροῦ, καὶ τοῦ τῶν χαύνων ἀφονίτρων, τὸ μὲν λεπτύνειν καὶ διαφορεῖν ἐχόντων, τὸ δὲ συνάγειν, ἢ σφίγγειν οὐκ ἐχόντων. ὅσα τοίνυν ἐστὶ φύσει ξηρὰ σώματα διαπαττόμενα τοῖς ἁλσίν, ἄβρωτα γίνεται σκελετευόμενα. καί τις ἐπιχειρήσας ταριχεῦσαι λαγωόν, ὅμοιον εἰργάσατο, ταῖς σκελετευθείσαις γαλαῖς. αἱ δὲ τῶν ἀκμαζόντων τε καὶ πιόνων ὑῶν σάρκες, ἐπιτήδειοι ταριχεύεσθαι, τὴν ἀτοπίαν ἑκατέραν ἐκπεφυγυῖαι, ξηρότητα μὲν τῶν γεγηρακότων, ὑγρότητα δ' ἄμετρον τῶν νέων χοίρων. ὥσπερ γὰρ τὰ ξηρὰ σώματα βύρσαις ὅμοια γίνεται ταριχευθέντα, κατὰ τὸν ἐναντίον τρόπον ὅσα λίαν ὑγρὰ διαρρεῖ, κατατήκεται τοῖς ἁλσὶν ὁμιλοῦντα. διὰ τοῦτ' οὖν οὐδὲ τῶν ἰχθύων ὅσοι μαλακόσαρκοι εἰσί, καὶ ἀπέριττοι, καθάπερ οἱ πετραῖοι καλούμενοι, καὶ τῶν ὀνίσκων οἱ ἐκ καθαρᾶς θαλάττης, εἰς ταριχείαν εἰσὶν ἐπιτήδειοι. κορακῖνοι δέ, καὶ μύλοι καὶ πηλαμίδες, ἔτι τε σάρδαι καὶ σαρδῆναι, καὶ τὰ σαξά τινα καλούμενα, καὶ τάριχη, πρὸς ταριχείαν, εἰσὶν ἐπιτήδεια. καὶ τὰ κητώδη δὲ τῶν θαλαττίων ζώων ταριχευόμενα βελτίω γίνονται. περιττωματικὴν ἔχοντα καὶ ταῦτα τὴν σάρκα. μοχθηραὶ δὲ τρίγλαι πρὸς ταριχείαν εἰσί, διὰ τὸ ξηρὰν καὶ ἀπέριττον ἔχειν τὴν σάρκα. πρόδηλον δ' ἐκ τούτων ὅσα μὲν σκληρὰ καὶ νευρώδη, καὶ οἱονεὶ δερματώδη τε καὶ βυρσώδη γίνεται, ταριχευθέντα δύσπεπτα πάνυ εἶναι. τὰ δ' ἐναντίως διατιθέμενα, λεπτομερῆ μὲν αὐτὰ γίνονται, λεπτύνει δ' ἐσθιόμενα, τοὺς παχεῖς καὶ κολλώδεις χυμούς, ἄριστα δ' ἐστὶ τῶν εἰς ἐμὴν πεῖραν ἐλθόντων. τά τε σαρδικὰ πρὸς τῶν ἔμπροσθεν ἰατρῶν ὀνομαζόμενα τάριχη, σάρδας δ' αὐτὰς καλοῦσιν. οἵ τε νῦν ἐκ τοῦ πόντου νομιζόμενοι μύλοι. δευτέραν δ' ἐπ' αὐτοῖς ἔχουσι τάξιν. οἵ τε κορακῖνοι, καὶ αἱ πηλαμίδες καὶ τὰ σαξά τινα καλούμενα.

περὶ τῶν μέσων ἐδεσμάτων.

Καθ' ἑκάστην διαφοράν, ὧν εἶπον ὑπάρχειν, ἐν ταῖς τροφαῖς ἐστί τινα μέσα. καὶ γὰρ τῶν σκληροσάρκων, καὶ μαλακοσάρκων εὕροις ἄν τι μέσον, ὡς μήτ' ἁπαλόσαρκον ἔτι, μήτε σκληρόσαρκον εἶναι, καὶ τῶν λεπτυνόντων τε καὶ παχυνόντων, ἢ θερμαινόντων, ἢ ψυχόντων, ἢ ξηραινόντων, ἢ ὑγραινόντων. ἐπιτήδεια δ' ἐσθίεσθαι, τοῖς μὲν ἄμεμπτον φυλάττουσι τὴν φυσικὴν κρᾶσιν ζώοις, ὅσα ταῖς φύσεσιν αὐτῶν ἐστιν ὅμοια, τοῖς δὲ μοχθηρὰν ἢ ἐξ ἀρχῆς ἔχουσιν, ἢ ὕστερον ἐπικτησαμένοις, οὐχ ἡ τῶν ὁμοίων ἑαυτοῖς, ἀλλ' ἡ τῶν ἐναντίων ἐδωδὴ χρήσιμος. ὑπὸ μὲν γὰρ τῶν ὁμοίων φυλάττεσθαι τὸ κατὰ φύσιν ἀμέμπτως ἔχον, ὑπὸ δὲ τῶν ἐναντίων, εἰς τὴν οἰκείαν κρᾶσιν ἄγεται, τὰ μοχθηρῶς κεκραμένα. τοιγαροῦν ἴδιον ἑκάστῃ φύσει ζώου γενήσεται τὸ μέσον, οἷον ἀνθρώπῳ μὲν τοιόνδε, κυνὶ δὲ τοιόνδε καὶ τῶν ἄλλων δὲ ἑκάστῳ. καὶ κατὰ μόρος ἀνθρώπῳ τόδε, κατὰ τήνδε τὴν ἡλικίαν καὶ τήνδε, καὶ προσέτι κατὰ τὰς τῶν ἐπιτηδευμάτων διαφοράς, ἐθῶν τε καὶ χωρίων ἐν οἷς ἐκ πολλοῦ διατρίβουσι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΕΥΧΥΜΙΑΣ ΚΑΙ ΚΑΚΟΧΥΜΙΑΣ.

Οἱ συνεχῶς ἐτῶν οὐκ ὀλίγων ἐφεξῆς γινόμενοι λιμοί, κατὰ πολλὰ τῶν Ῥωμαίοις ὑπακουόντων ἐθνῶν, ἐναργῶς ἐπεδείξαντο, τοῖς γε μὴ παντάπασιν ἀνοήτοις, ἡλίκην ἔχει κακοχυμία δύναμιν εἰς νόσων γένεσιν. οἱ μὲν γὰρ τὰς πόλεις οἰκοῦντες, ὥσπερ ἦν ἔθος αὐτοῖς παρασκευάζεσθαι κατὰ τὸ θέρος εὐθέως, σῖτον αὐτάρκη πρὸς ὅλον τὸν ἐφεξῆς ἐνιαυτόν, ἐκ τῶν ἀγρῶν πάντα τὸν πυρὸν αἴροντες ἅμα ταῖς κριθαῖς τε καὶ τοῖς κυάμοις καὶ φακοῖς, ἀπέλιπον τοῖς ἀγροίκοις τοὺς ἄλλους δημητρίους καρπούς, οὓς ὀνομάζουσιν ὄσπριά τε καὶ χέδροπα, μετὰ τοῦ καὶ τούτων αὐτῶν οὐκ ὀλίγα κομίζειν εἰς ἄστυ. τὰ γοῦν ὑπολειφθέντα διὰ τοῦ χειμῶνος ἐκδαπανῶντες οἱ κατὰ τὴν χώραν ἄνθρωποι, τροφαῖς κακοχύμοις ἠναγκάζοντο χρῆσθαι δι᾽ ὅλου τοῦ ἦρος, ἐσθίοντες ἀκρέμονάς τε καὶ βλαστὰς δένδρων καὶ θάμνων, καὶ βολβούς, καὶ ῥίζας κακοχύμων φυτῶν. ἐμφορούμενοι δὲ καὶ τῶν ἀγρίων ὀνομαζομένων λαχάνων, ὅτου τις ἐτύγχανεν εὐπορήσας ἀφθόνως ἄχρι κόρου, καθάπερ καὶ πόας χλωρὰς ὅλας ἕψοντες ἤσθιον, ὧν πρότερον οὐδ᾽ ἄχρι πείρας ἐγεύσαντο πώποτε. παρῆν οὖν ὁρᾶν ἐνίους μὲν αὐτῶν ἐν τοῖς ἐσχάτοις τοῦ ἦρος, ἅπαντας δ᾽ ὀλίγου δεῖν ἐν ἀρχῇ τοῦ θέρους ἁλισκομένους ἕλκεσι παμπόλλοις κατὰ τὸ δέρμα συνισταμένοις, οὐ τὴν αὐτὴν ἰδέαν ἅπασιν ἴσχουσι. τὰ μὲν γὰρ αὐτῶν ἦν ἐρυσιπελατώδη. τὰ δὲ φλεγμονώδη. τὰ δ᾽ ἑρπυστικά. τὰ δὲ λειχηνώδη, καὶ ψωρώδη, καὶ λεπρώδη. ταῦτα μὲν ὅσα πραότατα διὰ τοῦ δέρματος ἐξανθήσαντα, τὴν κακοχυμίαν ἐκ τῶν σπλάγχνων τε καὶ τοῦ βάθους ἐκένωσεν. ἐνίοις δέ τισιν ἀνθρακώδη τε καὶ φαγεδαινικὰ γινόμενα μετὰ τῶν πυρετῶν, ἀπέκτεινε πολλοὺς ἐν χρόνῳ μακρῷ, μόγις ὀλιγίστων σωθέντων. ἄνευ δὲ τῶν κατὰ τὸ δέρμα παθημάτων, πυρετοὶ πάμπολλοι ἐγένοντο, διαχωρήσεις γαστρὸς ἐπιφέροντες δυσώδεις καὶ δακνώδεις, εἰς τεινεσμοὺς καὶ δυσεντερίας τελευτώσας, οὖρά τε δριμέα, καὶ αὐτὰ δυσώδη τὴν κύστιν ἐνίων ἑλκώσαντα. τινὲς δ᾽ αὐτῶν ἐκρίθησαν ἱδρῶσι, καὶ τούτοις δυσώδεσιν, ἢ ἀποστήμασι σηπεδονώδεσιν. οἷς δ᾽ οὐδὲν τούτων ἐγένετο, πάντες ἀπέθανον, ἢ μετὰ φανερᾶς φλεγμονῆς ἑνός γέ τινος τῶν σπλάγχνων, ἢ διὰ τὸ μέγεθός τε καὶ τὴν κακοήθειαν τῶν πυρετῶν. ὀλιγίστων δὲ φλέβα τεμεῖν ἐν ἀρχῇ τῆς νόσου τολμησάντων ἐνίων ἰατρῶν· ἐδεδίεσαν γὰρ εἰκότως χρῆσθαι τῷ βοηθήματι, διὰ τὸ προκαταλελύσθαι τὴν δύναμιν, οὐδενὸς εἶδον αἷμα χρηστὸν ἐκκριθὲν ὁποῖον ἐκ τῶν ὑγιεινῶν σωμάτων ὁρᾶται κενούμενον, ἀλλ᾽ ἤτοι πυρρότερον, ἢ μελάντερον, ἢ ὀρρωδέστερον, ἢ δριμὺ καὶ δάκνον αὐτὴν τὴν διαιρεθεῖσαν φλέβα κατὰ τὴν ἔκροην, ὡς δυσεπούλωτον γίνεσθαι τὸ ἕλκος. ἐνίοις δὲ καὶ συμπτώματα μετὰ τῶν πυρετῶν, καὶ μάλιστα τοῖς ἀποθανοῦσιν ἐγένοντο, βλάβην τῆς διανοίας ἐπιφέροντα σὺν ἀγρυπνίαις, καὶ καταφοραῖς, οὐδὲν δὲ θαυμαστὸν ἐναντίοις ἁλῶναι νοσήμασί τε καὶ συμπτώμασι τούς τε νοσήσαντας, αὐτούς τε διαφέροντας ἀλλήλοις, οὐ ταῖς φύσεσι μόνον, ἢ ταῖς ἡλικίαις, ἀλλὰ καὶ ταῖς ἔμπροσθεν διαίταις, ἐναντίαν τε δύναμιν ἐχούσας ἐληλυθότας ἐν τῷ λιμῷ τροφάς. ἤσθιον μὲν γὰρ ἅπαντες, ὧν ἂν ηὐπόρουν. ἀνομοίου δὲ τῆς εὐπορίας οὔσης, ἔνιοι μὲν, ὀξεῖς, ἢ δριμεῖς, ἢ ἁλικούς, ἢ πικροὺς ἔχοντα χυμούς, ἐδέσματα προσηνέγκαντο. τινὲς δ᾽ αὐστηρούς, ἢ στρυφνούς, ἢ ψύχοντας σαφῶς, ἢ ὑγροὺς ἱκανῶς, ἢ γλίσχρους, ἢ φαρμακώδεις. οἶδα γοῦν ἐνίους μὲν αὐτίκα διὰ μυκήτων ἐδωδὴν ἀποθανόντας. ἐνίους δὲ διὰ κωνείων, ἢ ναρθήκων, οὐκ ὀλίγους δ᾽ ἐξ αὐτῶν μόλις διασωθέντας. Ἅπασι μὲν οὖν τοῖς ἄλλοις ἀνθρώποις ἐναργῶς ἐφαίνετο τῷ λογισμῷ σκοπουμένοις ὥσπερ ἐκτὸς πολυειδεῖς μὲν ἑλκώσεις ἐγένοντο, ποικίλα δὲ ὄγκων εἴδη φλεγμονωδῶν τε, καὶ οἰδηματωδῶν, ἐρυσιπελατωδῶν, τε καὶ σκιρρωδῶν, οὕτω καὶ κατά τινα τῶν ἐν βάθει μορίων, ὅσα κυριώτερα, τοσαύτας διαθέσεις ἐγχωρεῖν γεγονέναι. μόνοις δὲ τοῖς ἀποστᾶσι τῆς περὶ τοὺς χυμοὺς Ἱπποκράτους διδασκαλίας ὁ λογισμὸς ἐπεπήρωτο, πάντα μᾶλλον, ἢ τοὺς χυμοὺς αἰτιᾶσθαι τολμῶσιν. ἔνιοι δ᾽ αὐτῶν ὡμολόγησάν μοι λαθραίως, ὁρᾶν μὲν ἐναργῶς τὴν πρὸς Ἱπποκράτην φιλονεικίαν, τῶν οὐδέν, οὔτ᾽ εἰς ὑγείαν, οὔτ᾽ εἰς νόσον ἡγουμένων ἀγαθὸν ἢ κακὸν ἐκ χυμῶν γίνεσθαι, μεταστῆναι δ᾽ αἰδεῖσθαι πρὸς Ἱπποκράτην μετὰ πεντήκοντα τῆς ἡλικίας ἔτη. δόξειν μὲν γὰρ οὕτως, ἔφασαν, οὐ τοὺς μαθητὰς μόνους, ἀλλὰ καὶ τοὺς χρωμένους ἡμῖν ἐν ἅπαντι τῷ πρόσθεν χρόνῳ βεβλαφέναι. καὶ μέντοι καὶ τιμᾶσθαι μὲν ἔλεγον ἤδη πρὸς πολλῶν ἀνθρώπων, ὡς ἐπ᾽ ἀληθέσιν οἷς ἐπρέσβευον δόγμασιν. ἐὰν δὲ καὶ ταῦθ᾽ ὁμολογήσωσιν εἶναι μοχθηρά, καὶ τῶν ἄλλων ἀμαθέστεροι φανοῦνται καὶ μηδένα τῶν ἔμπροσθεν αὐτοῖς χρωμένων αὖθις ἔτι χρήσεσθαι. τούτοις μὲν οὖν πολλὴν συγγνώμην νέμειν εὔλογον ἡμᾶς, οὐ τὴν προαίρεσιν μεμφομένους, ἀλλὰ τῇ δυστυχίᾳ συναλγοῦντας αὐτοῖς, οἳ πρὸ τοῦ κρίναι δύνασθαι τὰ διδασκόμενα περιέπεσον οὐκ ἀγαθοῖς διδασκάλοις. ἄξιοι δὲ μίσους εἰσὶν οἱ πρῶτοι διὰ φιλοτιμίαν αἱρέσεις δογμάτων συστησάμενοι. φαίνονται γὰρ ἑκόντες ἐξαπατᾶν ἐπιχειρῆσαι τοὺς πέλας, οὐκ ἄκοντες σφαλῆναι, μηδενὸς ἀνθρώπου εἰς τοσαύτην ἄνοιαν ἥκοντος, ὡς ἀγνοῆσαι πηλίκον ἐστὶ κακὸν ἐκτραπῆναι τοὺς ἐν τῷ σώματι χυμοὺς εἰς φαρμακώδεις ποιότητας. αὐτοὶ γοῦν οὗτοι πρὸς οὓς ὁ λόγος ἐστί, δύσκολον, ἢ καὶ τελέως ἀδύνατον εἶναι φασί, διακρῖναι τοὺς ἐκ φαρμάκων ὀλεθρίων προσφορᾶς ἀπολλυμένους, τῶν ἐξ αὐτοῦ τοῦ σώματος τῆς νοσώδους διαθέσεως. οὐ μὴν οὐδ᾽ ὅτι τοὺς τῶν ἰοβόλων ὀνομαζομένων θηρίων χυμοὺς οὓς ἐνιᾶσι διὰ τοῦ δήγματος. ἐνίους μὲν νεκροῦντας ἐν τάχει τὸ δηχθὲν μόριον, ἐνίους δὲ καὶ σήποντας, ἢ φλεγμονάς, ἢ ὀδύνας μεγίστας ἐπιφέροντας ἐναργῶς ὁρῶμεν, ἔνεστιν ἀρνήσασθαι οὐδενί, καθάπερ οὐδ᾽ ὅτι σκορπίου τις ἐπιπτύσας δὶς ἢ τρὶς νήστης, εὐθέως ἀναιρεῖ τὸ ζῶον. ὥσπερ γὰρ οἰκεῖαι φύσεις φύσεσιν εἰσίν, οὕτως ἕτεραι πολέμιαί τε ἑτέραις καὶ φθαρτικαί. τρέφεσθαι μὲν οὖν ἡμῖν ὑπὸ τῶν οἰκείων, ἀπόλλυσθαι δὲ ὑπὸ τῶν ἐναντίων συμβαίνει. καὶ λέλεκται περὶ τούτων ἐπὶ πλεῖστον ἔν τε τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι, καὶ τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων. εἰς δὲ τὸν ἐνεστῶτα λόγον, ἱκανὴ καὶ ἡ τῶν ἐν τοῖς λιμοῖς ὀφθέντων ἡ διήγησις, εἰ δέ μοι πιστεύειν ἐθέλοις, οὐδεμίαν μὲν αἰτίαν

ἔχοντι ψεύδεσθαι, δυσχεραίνοντι δὲ ἐπὶ τῷ πολλοὺς ἐν βιβλίοις ἄνδρας ἐψεῦσθαι μεγάλως, διηγήσομαί σοι τὰ διὰ μακρᾶς πείρας ἐν ὅλῳ μου τῷ βίῳ γνωσθέντα, μετὰ τοῦ καὶ τοὺς θεοὺς ἐπικαλέσασθαι μάρτυρας. Ἐμοὶ γὰρ πατὴρ ἐγένετο γεωμετρίας μὲν καὶ ἀρχιτεκτονίας καὶ λογιστικῆς, ἀριθμητικῆς τε καὶ ἀστρονομίας εἰς ἄκρον ἥκων, ὑπὸ πάντων δὲ τῶν γνόντων αὐτὸν, ἐπὶ δικαιοσύνῃ καὶ χρηστότητι καὶ σωφροσύνῃ θαυμασθεὶς, ὡς οὐδεὶς τῶν φιλοσόφων, οὗτος οὖν παῖδα μὲν ὄντα με δίαιταν αὐτὸς ἄνοσον ἐφύλαξεν. ἐπεὶ δὲ μειράκιον ἐγενόμην, ὁ, τε πατὴρ ὑπεχώρησεν εἰς ἀγρὸν ὢν φιλογέωργος, ἐχόμην δὲ ὧν ἐμάνθανον ὑπὲρ ἅπαντας τοὺς συμφοιτῶντας, οὐ δι' ἡμέρας μόνον, ἀλλὰ καὶ νύκτωρ. ἐμπλησθεὶς δὲ μετὰ τῶν ἡλικιωτῶν ἐν παντὶ τῷ χρόνῳ τῆς ὀπώρας ἁπάντων τῶν ὡραίων, ἐνόσησα τοῦ φθινοπώρου νόσον ὀξεῖαν, ὡς φλεβοτομίας δεηθῆναι, παραγενόμενος οὖν εἰς τὴν πόλιν ὁ πατὴρ, ἐπετίμησέ τ' ἐμοὶ, καὶ τῆς ἔμπροσθεν διαίτης ἀνέμνησεν, ἣν ὑπ' αὐτῷ διητώμην. ἐκέλευσε τὸ λοιπὸν φυλάττειν αὐτὴν, ἀποστάντα τῆς τῶν ἡλικιωτῶν ἀκρασίας καὶ μέν τοι καὶ κατὰ τὸν ἑξῆς ἐνιαυτὸν ἔργον ἐποιήσατο παραφυλάξαι μου τὴν δίαιταν, ὡς μετρίως ἅψασθαι τῶν ὡραίων, ἦγον δὲ τηνικαῦτα τῆς ἡλικίας ἔτη. ιθ. ἄνοσος οὖν ἐν αὐτῷ μείνας, εἶτ' ἐν τῷ μετ' αὐτὸν ἐνιαυτῷ τοῦ πατρὸς ἀποθανόντος, ἅμα τοῖς ἡλικιώταις διαιτηθεὶς ἐπὶ δαψιλέσι τοῖς κατὰ τὴν ὀπώραν, ἐνόσησα νόσον παραπλησίαν τῇ πρόσθεν, ὡς καὶ τό τε φλεβοτομίας δεηθῆναι, τοὐντεῦθεν ποτὲ μὲν ἐφεξῆς καθ' ἕκαστον ἐνιαυτὸν, ἐνίοτε δὲ διαλιπὼν ἐν ἔτος ἐνόσουν, μέχρι τῶν ὀκτὼ καὶ εἴκοσι ἐτῶν. ἐν τούτῳ δὲ κινδυνεύσας ἀπόστημα σχεῖν καθ' ὃ μέρος συνάπτει τὸ ἧπαρ τῷ διαφράγματι, τῶν ὡραίων ἁπάντων ἀπέχεσθαι ἐμαυτὸν ἔπεισα, πλὴν τῶν πεπείρων ἀκριβῶς σύκων τε καὶ σταφυλῶν, οὐδὲ τούτων ἀμέτρως, ὡς ἔμπροσθεν, ἀλλὰ συμμέτρως προσφερόμενος. ἔχων δὲ καὶ ἄλλον τινὰ τὸν ἐμαυτοῦ πρεσβύτερον ἔτεσι δυοῖν, τὴν αὐτὴν γνώμην ἔχοντα ἐμοί. φροντίζοντας οὖν τῶν γυμνασίων, καὶ τοῦ μηδέ ποτ' ἀπεπτῆσαι ἄνοσοι διεμείναμεν ἄχρι δεῦρο πολλῶν ἐτῶν. καὶ τῶν ἄλλων δὲ φίλων, ὅσους ἔπεισα γυμνάζεσθαί τε καὶ τεταγμένως διαιτᾶσθαι τέως, πάντας ὁρῶ διαπαντὸς ὑγιαίνοντας, ἐνίους μὲν ἐξ ἐτῶν πέντε καὶ εἴκοσι, τοὺς δ' ἐξ ἐλαττόνων μὲν, ἤδη δ' ἱκανῶν, ὡς ἕκαστοι πεισθέντες ἔτυχον ἀπέχεσθαί τε τῶν ὡραίων καὶ τῶν ἄλλων κακοχύμων ἐδεσμάτων, ἃ πρόκειται διελθεῖν ἐν τῷ δὲ τῷ γράμματι. τοῖς μὲν οὖν δυναμένοις γυμνάζεσθαι πρὸ τῶν σιτίων οὐ δεῖ τῆς ἀκριβοῦς πάνυ διαίτης ἔδειξε, τοῖς δὲ διὰ περιστάσεις πραγμάτων κωλυομένοις οὐ μόνον ἀβλαβεστέρας διαίτης, ἀλλὰ καὶ φαρμάκων ὑγιεινῶν ἐστὶ χρεία. πολλοὶ μέν τοι τῶν ἀνθρώπων ἐν τοιαύτῃ καταστάσει διατρίβουσιν, ὥστε μὴ δυνατὸν αὐτοῖς εἶναι, μήτε γυμνάζεσθαι καλῶς πρὸ τῶν σιτίων, μήτ' ἐσθίειν ἱκανῶς ἐν καιρῷ, μήτε πέττειν καλῶς τὰς τροφὰς, τοὺς μὲν δὴ τοιούτους ἀδύνατον ἀνόσους διαμένειν, ἄνευ τοῦ προνοεῖσθαι τῆς γαστρὸς ὑπαγωγῆς † ἐκ διαλειμμάτων. ἐνίοτε δὲ καὶ καθάρσεως ἰσχυροτέρας, ὡραίας τε κενώσεως αἵματος, ὑγιεινῶν τέ τινων φαρμάκων ἐν τοῖς προσήκουσι καιροῖς πινομένων. ὅσοι δὲ βίον ἡσύχιον εἵλοντο, μήτε πρὸ ἡμέρας ἀνάγκην ἔχοντες ἐπὶ τὰς τῶν πολὺ δυναμένων ἐπιέναι θύρας, μήτε πολλάκις ἱδροῦντες ἐν ἀναγκαίαις πράξεσι καταψύχεσθαι, μήτε λουόμενοί τισὶ παρεστάναι, μήτ' εἰς οἶκον ἐπανερχομένους αὐτοὺς, παραπέμπειν, εἶτα μετὰ πολλῆς σπουδῆς αὐτοὶ λουσάμενοι πρὸς τὸ δεῖπνον ἐπείγεσθαι, τούτοις πρώτοις ὑποθήσομεν δίαιταν, ἐξ ἧς ἂν μάλιστα χρηστότατον ἔχουσιν αἷμα, μετὰ δὲ τούτους πειράσομαι τινὰς ὑποθήκας δοῦναι, καὶ τοῖς ἐν ἀσχολίᾳ ζῶσι. δεήσεται δ' ὁ λόγος ἀναμνῆσαι τῶν γεγραμμένων ἐν τοῖς τρισὶν ὑπομνήμασιν, ἐν οἷς ὁ λόγος μοι γέγονε περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων. Εὔχυμα τοίνυν ἐδέσματα τῶν μὲν σιτηρῶν, ἄρτοι τ' εἰσὶν οἱ καθαροὶ, κατειργασμένοι καλῶς, ὀπτήσει τε τῇ διὰ κριβάνου, καὶ τῇ περὶ αὐτοῦ φυράσει, καὶ ζύμῃ συμμέτρῳ, καὶ ἁλῶν μίξει. πρὸς τούτοις δὲ δεύτεροι κατ' ἀρετὴν, οἵτ' ἰπνῖται. καὶ χόνδρος δὲ τῶν εὐχυμωτάτων ἐστὶν, ὥσπερ καὶ τὸ χοίρειον κρέας, ἐὰν ἀκριβῶς ἥ τε γαστὴρ αὐτὰ πέψῃ, καὶ τὸ ἧπαρ αἱματώσῃ. γλίσχρον δ' ἔχει τι, καὶ διὰ τοῦτ' ἐμφρακτικὸν ἥπατός τε καὶ νεφρῶν, οἷς στενόπορα φύσει ταῦτα. πλεοναζόντων γοῦν ταῖς ἐδωδαῖς αὐτῶν, βάρους τέ τις αἴσθησις ἐν τοῖς εἰρημένοις μορίοις γίνεται, καί ποτε καὶ πόνος. ἕπεται δὲ ταῖς καθ' ἧπαρ ἐμφράξεσι, κωλύεσθαι μὲν τὴν ἀνάδοσιν, ἀθροίζεσθαι δὲ πλῆθος ἐν ταῖς κατὰ τὸ μεσάραιόν τε καὶ τὰ σιμὰ τοῦ σπλάγχνου φλεψὶν, ᾧ πάλιν φλεγμονὰς ἀκολουθῆσαι τῶν μορίων, ἐν οἷς ἠθροίσται, κίνδυνος, ἢ αὐτῶν τῶν πλεοναζόντων χυμῶν σηπεδόνα, δυοῖν γάρ σοι θάτερον ἀναγκαῖον ἐστὶ τοῖς ὠμοῖς καὶ παχέσι χυμοῖς ἀκολουθεῖν, ἢ μεταβάλλεσθαι εἰς αἷμα πεττομένοις, ἢ σήπεσθαι. καθάπερ καὶ τἄλλα πάντα τὰ ἐν τοῖς θερμοῖς χωρίοις χρόνῳ πλείονι μένοντα. καὶ διὰ τοῦτο τοῖς ἰατροῖς εὑρέθη τὰ κληθέντα πρὸς αὐτῶν ὑγιεινὰ φάρμακα, τοῦ λεπτυνούσης ἅπαντα δυνάμεως ὄντα. τούτοις γὰρ ἔργον ἐστὶν, ἐκφράττειν μὲν τὰς στενὰς διεξόδους, ἀπορρύπτειν δὲ τὸ περιπλαττόμενον γλίσχρον ἐκ τῶν χυμῶν τοῖς ἀγγείοις, τέμνειν δὲ καὶ λεπτύνειν τὰ παχέα τῶν ὑγρῶν. ἀλλ' ἐὰν πλεονάσῃ τι ἐν αὐτοῖς, ὀρρῶδες, ἢ πικρόχολον ἐν τῷ χρόνῳ, ἢ μελαγχολικὸν ἐργάζεται τὸ αἷμα. πέφυκε γὰρ ὀλίγου δεῖν ἅπαντα τὰ τοιαῦτα φάρμακα σὺν τῷ λεπτύνειν τε καὶ τέμνειν, ἔτι καὶ θερμαίνειν ἀμετρότερον, ὑπὸ δὲ τῶν οὕτως θερμαινόντων ξηραίνεται μὲν τὰ στερεὰ, παχύνονται δὲ οἱ χυμοὶ, καὶ διὰ τοῦτο κατὰ τοὺς νεφροὺς οἱ πωρώδεις λίθοι συνίστανται. καλλίστης οὖν κατασκευῆς σώματος ὑπαρχούσης, ἥ τις ἂν εὐκρατοτάτη μὲν ᾖ, τὰς δὲ τῶν χυμῶν διεξόδους εὐρείας ἔχῃ δυνατόν ἐστιν ὑγιαίνειν ἀεὶ τὸν οὕτω πεφυκότα, γυμναζόμενον αὐτάρκη πρὸ τῶν σιτίων. ἐὰν δὲ πλεονάζῃ ποτὲ κατὰ τὰ παχύχυμα τῶν ἐδεσμάτων, ὁποῖον ἐστὶν, ὡς ἔφην, ὅ, τε χόνδρος καὶ τὸ χοίρειον κρέας, οἵτ' ἰπνῖται τῶν ἄρτων, ἢ κριβανῖται, οὐ πάνυ δ' ἀκριβῶς ὄντες προπαρασκευασμένοι τῇ λελεγμένῃ μικρὸν ἔμπροσθεν κατασκευῇ, κατά τε τὸν κρίβανον ἐνδεῶς ὠπτημένοι. τὴν δ' αὐτὴν ἔχει τῷ χόνδρῳ φύσιν, ὁ καλούμενος τράγος, ἐκ τῶν σιτηρῶν τροφῶν καὶ αὐτὸς ὑπάρχων, δυσκατεργαστότερός γε μὴν ἐν τῇ κατὰ τὴν γαστέρα πέψει ἐστὶ τοῦ χόνδρου. παραπλησίαν δὲ τούτοις δύναμιν ἔχει, καὶ ἡ τῶν ᾠῶν φύσις, ἀλλὰ διορισμῶν πολλῶν δεομένη, καθάπερ καὶ τὸ γάλα, προϊόντος δὲ τοῦ λόγου, διδαχθήσεται μετ' ὀλίγον ἀκριβῶς πᾶσα. πρότερον γὰρ, ὥσπερ τούτων ἐμνημόνευσα, τὸν οἷον τύπον ὑπογράφων τῶν εὐχύμων τε καὶ κακοχύμων ἅμα γλισχρότητι τροφῶν, οὕτως καὶ τῶν συμμέτρως ἐχουσῶν, βούλομαι μνημονεῦσαι, μεῖον οὐσῶν τῇ φύσει τῶν παχυνόντων ἐδεσμάτων καὶ τῶν λεπτυνόντων,

† ἀλ. καὶ ἀλείμμασι

λεπτυνόντων, ὑπὲρ ὧν ἑτέρωθι δεδήλωται ἐν ἑνὶ γράμματι, τῷ περὶ τῆς λεπτυνούσης διαίτης. ἀλλὰ τῶν μὲν τοιούτων τὰ πλεῖστα, φάρμακα μᾶλλον ἄν τις, ἢ τροφὴν εἴποι. τὰ δὲ τοὺς παχεῖς καὶ γλίσχρους γεννῶντα χυμοὺς ἐδέσματα τροφιμώτατα τά τε πάντ' ἐστί, κἂν πεφθῇ καλῶς ἔν τε τῇ γαστρὶ, καὶ τῷ ἥπατι, χρηστὸν αἷμα γεννᾷ πέφυκεν, ἀμεμπτότατα δὲ τῶν ἐδεσμάτων ὑπάρχει, τὰ μεταξὺ τῶν λεπτυνόντων τε καὶ παχυνόντων, ὡς ἂν, ἐν συμμετρίᾳ, καὶ μεσότητι τῶν ὑπερβολῶν καθεστῶτα. τοιαῦτα δ' ἐστὶν οἵ τε κάλλιστοι τῶν ἄρτων ὑπὲρ ὧν τῆς κατασκευῆς ἐπὶ πλέον ἐν πρώτῳ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων εἴρηται. καὶ πρὸς τούτοις αἱ σάρκες ἀλεκτορίδων τε καὶ ἀλεκτρυόνων, ὀρνίθων τε καὶ φασιανῶν, καὶ περδίκων, καὶ περιστερῶν, ἀταγήνων τε, καὶ τρυγόνων, καὶ κιχλῶν, καὶ κοσσύφων, καὶ τῶν μικρῶν στρουθῶν ἁπάντων, ἔτι τε πετραίων ἰχθύων, αἰγιαλίων τε καὶ πελαγίων; κωβιῶν τε καὶ σμυραίνων καὶ βουγλώσσων, ὀνίσκων τε καὶ πάντων ἁπλῶς ἰχθύων, ὅσοι μήτε γλισχρότητά τινα, μήτε δυσωδίαν ἢ ἀηδίαν ἔχουσι κατὰ τὴν ἐδωδήν. οὐκ ὀλίγων δὲ χρεία διορισμῶν ἐστὶ, καὶ περὶ τῆς τούτων ἁπάντων φύσεως, ἣν ἐφεξῆς ἐρῶ ἐν τῷ περὶ τῶν κακοχύμων ἐδεσμάτων λόγῳ, προσθεὶς δὲ τὰ λείποντα πρότερον. ὅσοις μὲν γὰρ ἀνθρώποις οἷόν τ' ἐστὶ γυμνασίοις τε πλείοσι χρῆσθαι καὶ κοιμᾶσθαι μέχρις περ ἂν ἐθέλωσι, καὶ βίον ἔξω τῶν πολιτικῶν ἀσχολιῶν ᾕρηνται τούτοις ἐγχωρεῖ, καὶ τὰ παχύχυμα καὶ γλίσχρα τῶν ἐδεσμάτων ἐσθίειν. καὶ μάλισθ' ὅταν ἐπὶ τῷ πλήθει τῆς ἐδωδῆς μηδέποτε αὐτῶν, μηδεμίαν αἴσθησιν ἐν ὑποχονδρίῳ δεξιῷ ἴσχουσιν, ἢ βάρους, ἢ τάσεως. ὅσοις δ' ἤτοι διὰ τὴν ἡλικίαν, ἢ διά τινα συνήθειαν οὐχ οἷόν τε γυμνάζεσθαι πρὸ τῶν σιτίων, οὗτοι πάντων ἀπεχέσθωσαν ἐδεσμάτων, ὅσα τοιαῦτα. τελέως δ' ἀργοὶ, μηδ' αὐτοὶ περιγιγνέσθωσαν ἐπὶ τὰς τοιαύτας τροφὰς, ἀλλ' αἰωρήσεσιν, ἢ περιπάτοις, ἀντὶ τῶν ἰσχυροτέρων γυμνασίων χρήσθωσαν. μέγιστον γὰρ κακὸν εἰς ὑγείας φυλακήν ἐστιν, ἡσυχία παντελὴς τοῦ σώματος, ὥσπερ καὶ μέγιστον ἀγαθὸν, ἡ σύμμετρος κίνησις. οὐδὲ γὰρ οὐδὲ νοσήσει τις ὅλως, ἢν ἐπιτηδὲς προνοῆται τοῦ μηδέποτ' ἀπεπτῆσαι, μετὰ τοῦ μὴ δὲ κινεῖσθαι τινὰ ἰσχυρὰν ἐπὶ σιτίοις κίνησιν. ὥσπερ γὰρ ἀγαθὸν μέγιστον ἐστὶ εἰς ὑγείαν τὸ πρὸ τῶν σιτίων προγυμνάσιον, οὕτω βλαβερώτατον ἅπασα κίνησις ἐπὶ σιτίοις. ἀναδίδοται γὰρ ἐκ τῆς κοιλίας ἡ τροφὴ, πρὶν πεφθῆναι, κἀκ τοῦ δὲ πλῆθος ὠμῶν χυμῶν ἀθροίζεται κατὰ τὰς φλέβας, ἐξ ὧν εἴωθε νοσήματα παντοῖα γίγνεσθαι, μὴ φθασάντων αὐτῶν ἤτοι διαφορηθῆναι πόνοις πλέοσιν, ἢ πεφθῆναι καὶ μεταβαλεῖν εἰς αἷμα ὑπὸ τῆς κατ' ἧπάρ τε καὶ φλέβας δυνάμεως. ἀσφαλέστατον οὖν φείδεσθαι τῶν κακοχύμων τε καὶ γλίσχρων ἐδεσμάτων. ὅσοις γε μόνοις ὑγείας ἐστὶν ἡ φροντὶς, οὐκ εὐεξίας σώματος, ὁποίαν οἱ γυμναστικοὶ σπουδάζουσιν. ἐφεξῆς γοῦν ἐγὼ καταλέξω, καὶ τὰ μὴ λελεγμένα κατὰ τὸν ἄχρι δεῦρο λόγον ἐδέσματα παχύχυμα πάλιν ἀπὸ τῶν ἄρτων ἀρξάμενος. ὅσοι τοίνυν τούτων οὔτε ζύμης. οὔθ' ἁλῶν ἱκανῶς ἔχον, οὔτε πλεῖστον ἐφυράθησαν, οὔθ' ἐν κριβάνῳ καλῶς ὠπτήθησαν, οὗτοι παχύχυμοι πάντων εἰσὶ, μετὰ τοῦ καὶ γλισχρότητος ὀλίγον μετέχειν, ὅν τινα χυμὸν οἱ περὶ Πραξαγόραν τε καὶ Φιλότιμον ὀνομάζειν εἰώθασι κολλώδη. παχύχυμοι δὲ, οἱ τυροὶ πάντες, ἀλλ' οἱ μὲν νέοι χωρὶς κακοχυμίας, οἱ παλαιοὶ δὲ καὶ σὺν ταύτῃ. γλισχρότης δὲ πρὸς πάχει, τισὶν αὐτῶν, οὐχ ἅπασιν, ὑπάρχει, διὰ τὴν τοῦ γάλακτος φύσιν, ἐξ οὗ γεγόνασιν, οὐ σμικρὰς ἔχοντος διαφορὰς ἔν τε τοῖς γένεσι τῶν ζώων, καὶ ταῖς τροφαῖς, ἃς ἐσθίουσιν ἄλλας ἐν ἄλλοις τόποις. αἰγείῳ μὲν οὖν γάλακτι πλείστῳ χρῶνται παρ' ἡμῖν, ὥσπερ ἐν ἄλλοις ἔθνεσι βοείῳ. χρῶνται δὲ καὶ τῷ προβατείῳ πολλάκις. ἀλλὰ τοῦτο μὲν ἐστὶ παχὺ, τῷ τῶν ὄνων ὑπεναντίως ἔχον ἐν τῷδε. λιπαρὸν δὲ τὸ τῶν βοῶν. ἁπάντων δ' ἔχει συμμέτρως τὸ τῶν αἰγῶν. οὔτε γὰρ ἱκανῶς ἐστὶν οὔτε λιπαρὸν, οὔτε παχὺ, καὶ διὰ τοῦτο μέσον τι τῶν ἄλλων ὑπάρχει κατὰ τὰς ἐνεργείας, ἃς ἐνεργεῖ κατὰ τὸ τῶν ἀνθρώπων σῶμα. τοῦ μὲν ὀρρώδους καὶ λεπτοῦ γάλακτος, ὑπάγοντος μὲν τὴν γαστέρα μᾶλλον, ἧττον δὲ τρέφοντος τὸ σῶμα. τοῦ δὲ παχέος ἔμπαλιν ἧττον μὲν ὑπάγοντος, τρέφοντος δὲ μᾶλλον. σύγκειται γὰρ ἐκ τριῶν οὐσιῶν ἀνομοιομερῶν ἅπαν γάλα, μιᾶς μὲν τῆς ὀρρώδους τε καὶ λεπτῆς. ἑτέρας δὲ τῆς παχείας τε καὶ τυρώδους. καὶ τρίτης τῆς ἐλαιώδους τε καὶ λιπαρᾶς. οὐ μὴν ἐν ἅπασί γε τοῖς ζώοις τὸ μέτρον αὐτῶν, ἴσον. ἀλλ' ἐν μὲν τῷ καμήλων τε καὶ ὄνων γάλακτι, ἡ ὀρρώδης ὑγρότης πλείστη, τὸ τυρῶδες δ' ἐν τοῖς προβάτοις. ὥσπερ τὸ λιπαρὸν ἐν τῷ τῶν βοῶν γάλακτι. μεσότητα δ' ἔχει τῶν ὑπερβολῶν ἡ αἲξ πρὸς τὰ ἄλλα γένη τῶν ζώων, ἐπεί τοι πάλιν αὐτοῦ πρὸς ἀλλήλας παραβαλλόμεναι ταῖς εἰρημέναις ὑποπεπτώκασι διαφοραῖς, οὔσης οὐ σμικρᾶς οὐδὲ τῆς κατὰ τὴν ἡλικίαν, ὥσπερ γε καὶ τῆς κατὰ τὰς νομὰς, καὶ τὰς ὥρας τοῦ ἔτους, ἔτι τε τὸν χρόνον ὃν ἀφεστήκασι τῆς ἀποκυήσεως, ὑπὲρ ὧν καὶ αὐτῶν ἐπὶ πλέον ἐν τῷ τρίτῳ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων εἴρηται. νυνὶ δ' ἀρκεῖ τό γε τοσοῦτον εἰπεῖν, ὡς οὐκ ἀσφαλὲς ἄνευ μέλιτος προσφέρεσθαι τὸ τῶν αἰγῶν γάλα. πολλοῖς γὰρ τῶν μόνον αὐτὸ πιόντων, ἐτυρώθη κατὰ τὴν γαστέρα, καὶ θαυμαστὸν ὅπως βαρύνει τε καὶ πνίγει τὸν ἄνθρωπον, ἐπειδὰν τοῦτο συμβῇ. θαυμαστότερον δ' ἔτι τὸ περὶ τοῦ θρομβωθέντος ἐστὶν αἵματος, ἐάν τ' εἰς τραῦμά τι, ἐάν τ' εἰς κοιλίαν, ἤ τι, τῶν ἐντέρων συρρυῇ. καὶ γὰρ ἐκλύονται, καὶ καταψύχονται, καὶ μικρόσφυκτοι, καὶ κακόσφυκτοι γίνονται. καὶ μέν τοι καὶ σηπεδόνος ἐπιγινομένης ἐν τάχει τὰ πλησιάζοντα τῶν ὑγιεινῶν μορίων, αἴτιον γίνεται τὸ θρομβωθὲν ἐν τραύμασιν αἷμα. διά τινα μὲν οὖν αἰτίαν ὁ πάντων ἡμῶν τῶν χυμῶν οἰκειότατος, ὅταν ψυχθῇ τηλικούτων ἡμῖν παθημάτων αἴτιον γίνεται, ζητήσεως οὐ σμικρᾶς ἄξιον, ἐναργῶς γε μὴν ἐστὶ κἀκ τούτου γνῶναι πηλίκην ἔχουσι δύναμιν αἱ τῶν μοχθηρῶν χυμῶν ποιότητες, ὧν ὥσπερ τινὸς μικροῦ καταφρονοῦσιν ἔνιοι τῶν νῦν ἰατρῶν, ἑπόμενοι τοῖς πρώτοις πλασαμένοις οὕτω γινώσκειν. τὸ γοῦν γάλα πίνουσι τινὲς ἐπεμβάλλοντες ἕνεκα τοῦ μὴ τυρωθῆναι κατὰ τὴν γαστέρα μέλιτός τε, καὶ ὕδατος, καὶ τρίτου, τῶν ἁλῶν. ἄριστον δ' εἰς εὐχυμίαν γάλα, τὸ τῶν εὐεκτικῶν ζώων ἐστὶν, ὅταν ἀμελχθὲν πινόμενον εὐθέως. τὸ δὲ ἑψηθὲν ἐπὶ πλέον, παχύχυμον ἱκανῶς γίγνεται. καὶ μᾶλλον ὅταν ἄλευρον πύρινον, ἢ κέγχρον, ἢ ἄμυλον ἑψήσῃς μετ' αὐτοῦ. τυροὶ δὲ παχύχυμοι ἅπαντες εἰσὶν, οἱ παλαιοὶ δὲ, καὶ κακόχυμοι. τοὺς νεοπαγεῖς δ' ἐγχωρεῖν μετὰ μέλιτος ἐσθίειν πρὸ τῶν σιτίων ὑπαγωγῆς ἕνεκα γαστρὸς, ἧττόν τε γάρ εἰσι παχύχυμοι τῶν παλαιῶν, οὐδόλως δὲ κακόχυμοι. ὁ δ' ἐξ αὐτῶν πηγνυμένων ἀπορρέων ὀρρὸς, ἱκανῶς ὑπάγει γαστέρα. παχύχυμον δ' ἐστὶν ἔδεσμα, καὶ διὰ τοῦτο καὶ τὰς καθ' ἧπαρ παρεμφράττει διεξόδους, ὁ διὰ γάλακτος ἢ τυροῦ σκευαζόμενος πλακοῦς, ὁμοίως δ' αὐτῷ, καὶ ὁ διὰ σεμιδάλεως καὶ γάλακτος, ἢ καὶ λαγάνων τι καὶ

ῥυμμάτων προσλαμβανόντων, οὐδὲν δ᾽ ἧττον ὅσα σκευάζουσι διὰ γλεύκους καὶ σεμιδάλεως, ἢ ὅλως ἀλεύρου πυρίνου, κακόχυμα πάντ᾽ ἐστί, καὶ αὐτὰ δὲ καθ᾽ αὑτά, λάγανά τε, καὶ ῥύμματα, καὶ πᾶν ἄζυμον ἐκ πυροῦ πέμμα καὶ μᾶλλον ὅταν καὶ τοῦ τυροῦ τι προσλάβῃ, παχύχυμον ἱκανῶς ἐστίν. ὀνομάζειν δέ μοι δοκοῦσι ταυτὶ τὰ νῦν ὑφ᾽ ἡμῶν καλούμενα λάγανά τε καὶ ῥύμματα, κοινῇ προσηγορίᾳ τῇ τῶν ἰτρίων οἱ παλαιοί. Παχύχυμοι δὲ εἰσὶ καὶ οἱ κοχλίαι καὶ τῶν ᾠῶν ὅσα μέχρι τελείας πήξεως ἕψουσί τε καὶ ὀπτῶσι. τὰ μὲν γὰρ ταγηνιζόμενα, καὶ κακόχυμα γίνεται, καὶ τὴν ἐν τῇ γαστρὶ πέψιν ἔχει κνισώδη, συνδιαφθείρουσαν ἑαυτῇ καὶ τὰ ἄλλα σιτία. καὶ διὰ τοῦτο τῶν ἀπεπτουμένων ἐν τοῖς χείριστα πέφυκεν εἶναι. τὰ δὲ μετρίως ἑψημένα καὶ διὰ τοῦτο καλούμενα τρομητά, βελτίω καὶ πρὸς πέψιν εἰσί, καὶ πρὸς ἀνάδοσιν, καὶ πρὸς θρέψιν, καὶ πρὸς εὐχυμίαν. ὥσπερ γε καὶ τὰ ῥοφητὰ καλούμενα μετρίως ἑψημένα, καὶ διὰ τοῦτο καὶ τὰς τῆς φάρυγγος ἐκλεαίνοντα τραχύτητας, ὅτι μήπω πεπάχυνταί τε καὶ συνῆκται τὸ ἐν αὐτοῖς ὑγρόν. Ἀλλὰ καὶ τῶν ἐνύδρων ζώων τά τε μαλάκια καλούμενα, τευθίδες, καὶ σηπίαι, καὶ πολύποδες, ὅσα τ᾽ ἄλλα τὰ τοιαῦτα παχὺν καὶ γλίσχρον ἔχουσι τὸν χυμόν, ὥσπερ καὶ οἱ κητώδεις τῶν ἰχθύων, ἐξ ὧν εἰσιν καὶ οἱ θύννοι. μετριώτεραι δ᾽ αὐτῶν αἱ πηλαμίδες. ἱκανῶς δὲ παχύχυμα, τὰ ὄστρεα, τῶν οἱ κήρυκες, αἵ τε πορφύραι, καὶ πάνθ᾽ ἁπλῶς τὰ καλούμενα πρὸς Ἀριστοτέλους ὀστρακόδερμα, χῆμαι, λεπάδες, κτένες, πῖναι, καὶ τὰ παραπλήσια. πορφύραι μὲν οὖν καὶ κήρυκες σκληροτέραν ἔχουσι τῶν ἄλλων τὴν σάρκα, καὶ παχυχυμοτέραν, ὑγροτέραν δὲ καὶ γλισχροτέραν τἆλλα, καὶ μάλιστα πάντων τὰ ὄστρεα. χρὴ δὲ γινώσκειν ἁπάντων αὐτῶν τὸν μὲν χυλὸν ὑπακτικὸν τῆς γαστρός, ὥσπερ ἐν τῷ γάλακτι τὸν ὀῤῥόν, αὐτὸ δὲ τὸ στερεὸν σῶμα βραδυπεπτότερόν τε καὶ παχύχυμον, ὠμοῦ χυμοῦ καὶ παχέος, καὶ ψυχροῦ γεννητικόν. ὑπάρχει δὲ τοῦτο καὶ τῇ κράμβῃ, καὶ τοῖς φακοῖς ἐναργῶς, ὥσπερ ἑτέροις πολλοῖς ἀμυδρῶς, ὑπὲρ ὧν ἐπὶ πλέον ἐν τοῖς τρισὶν ὑπομνήμασι διῆλθον, ἃ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων ἐπιγέγραπται. τὰ μὲν οὖν ἄλλα τῶν εἰρημένων παχυχύμων πάντων, ἐστὶ κολλώδη τε καὶ γλίσχρα, πλὴν ὧν εἶπον ὀστρακοδέρμων. ἡ κράμβη δὲ καὶ ἡ φακὴ τῆς αὐτῆς τοῦ χυλοῦ φύσεως οὐ μετειλήφασιν, ἀλλὰ τὸν νιτρώδη τε καὶ ὑπακτικὸν ἔχουσι, καθάπερ τὸ δρακόντιον μὲν τὸν δριμύν τε καὶ πικρὸν ἰσχυρῶς, ἄρον δ᾽ ἀμφότερον μέν, ἀλλ᾽ ἀμυδρῶς. οἱ βολβοὶ δὲ τὸν αὐστηρόν τε καὶ πικρὸν οὓς ἐὰν ἐκνίψῃς ἑψήσεσι πλείοσι, τὸ στερεὸν αὐτῶν ἀπολειφθήσεται παχύχυμον ὑπάρχον. ἁπάντων δὲ τούτων ἐδεσμάτων οἱ μύκητες ἔχουσι ψυχρότατόν τε καὶ γλισχρότατον ἅμα καὶ παχύχυμον, ἐν οἷς, ὑπὸ τῶν βωλητῶν μόνων, οὐδεὶς ἱστόρηται τεθνεώς, χολέραν μέντοι καὶ οὗτοι τισὶν ἤνεγκαν ἀπεπτηθέντες. ὑπὸ δὲ τῶν ἄλλων μυκήτων ἐδωδῆς, ἔνιοι μὲν ἀπέθανον, ἔνιοι δέ, ἐγγὺς ἧκον θανάτου, διαῤῥοίαις, ἢ χολέραις ἁλόντες, ἢ πνιγῆναι κινδυνεύσαντες. ἠρέμα δὲ παχύχυμόν ἐστι τὸ καλούμενον ὕδνον, οὐ μὴν κακόχυμόν γε. τῆς δ᾽ αὐτῆς ἰδέας ἐστί, καὶ τὸ ἄμυλον. περὶ πλέον δ᾽ αὐτῶν ἐστι παχύχυμον, οὐκ ἤδη κακόχυμον, ὁ κῶνος καλούμενος. ὀνομάζουσι δ᾽ οἱ παλαιοὶ καὶ στροβίλους αὐτό. ἐκ δὲ τῶν παχυχύμων ἐστὶ καὶ ἧπαρ, καὶ νεφροί, καὶ ὄρχεις, ἀλλὰ τὸ μὲν ἧπαρ οὐκ ἔστι κακόχυμον. οἱ νεφροὶ δὲ καὶ ὄρχεις οὐκ εὔχυμοι. πλὴν τῶν ἐν τοῖς ἀλεκτρυόσι, καὶ μᾶλλον ὅταν σιτισθῶσιν, ὥσπερ γε καὶ τὸ ἧπαρ τῶν ὑῶν, ὅταν ἰσχάδας ἐσθίωσιν, ὃ καλοῦσι συκωτόν, ὁ δὲ σπλὴν ἐπὶ μὲν τῶν ἄλλων ζώων ἱκανῶς κακόχυμός τε καὶ μελαγχολικός, ἐπὶ δὲ τῶν ὑῶν ἧττόν ἐστι τοιοῦτος. ἥ γε μὴν καρδία σκληροτέραν τε καὶ ἰνωδεστέραν ἔχει τὴν οὐσίαν τῶν ἄλλων σπλάγχνων. φαίνεται γὰρ ἐπ᾽ ἐκείνων μὲν ἐν τῷ μεταξὺ τῶν ἀγγείων οὐσία τις αἵματος πεπηγότος. ἐπὶ δὲ τῆς καρδίας, ἶνες φαίνονται στερεαί, πολλαί, μακραί, καθάπερ ἐν τοῖς μυσίν, οἷς περιπέπηγεν ἡ σαρκώδης οὐσία, διὸ τινὲς αὐτὴν ἐν τῷ γένει τῶν μυῶν τάττουσιν, ὧν ἡ οὐσία τὸν ὄγκον ἐργάζεται τοῦ σώματος ἡμῶν ἅπαντα, καὶ τὴν ὀνομαζομένην κυρίως σάρκα, τὴν ἐπὶ τῶν ἱερείων ἐσθιομένην. ἀλλ᾽ αἱ μὲν ἀρχαὶ τῶν μυῶν, ἃς δὴ καὶ κεφαλὰς αὐτῶν ὀνομάζουσι, νευρωδέστεραί πως εἰσίν, ἐκ τῶν ὀστῶν, ὅθεν ἄρχονται, συνδέσμους ἐκπεφυκότας ἐνδιασπειρομένους αὐταῖς ἔχουσαι. κατὰ δὲ τὰς τελευτάς, οἱ καλούμενοι τένοντες ἀποφύονται. καὶ κατὰ τοῦτο νευρωδέστερα τὰ πέρατα τῶν μυῶν εἰσιν ἑκάτερα. καθάπερ τὸ μέσον ἅπαν σαρκῶδες, ὃ δὴ καὶ τροφιμώτατόν ἐστι, καὶ καλεῖται σὰρξ ὑπὸ τῶν ἀνθρώπων οὐχ ὁρώντων αὐτῶν τὰς ἶνας ὑπὸ λεπτότητος, αἳ ἐκ τῶν συνδέσμων καὶ τῶν νεύρων εἰς αὐτὴν διεσπειρομένων ἐγγίνονται. κἀπειδὴ τοῦτο σάρκα καλεῖν ἔφθασαν, εἰκότως ὀνομάζουσι μῦν, τήν τ᾽ ἀρχὴν καὶ τὴν τελευτὴν αὐτοῦ μόνας. ἔχει δὲ οὐχ οὕτως, ἀλλ᾽ ὅλως μὲν ὁ μῦς κατὰ μίαν ἰδίαν περιγραφὴν ὁρᾶται χωριζόμενος ἀπὸ τῶν ἄλλων, ἐνεργεῖ δέ τινα μίαν ἐνέργειαν ἐκ τῶν προαιρετικῶν κινήσεων, οὕτως γὰρ ὀνομάζουσιν αὐτὰς ἀπὸ τῶν ἀπροαιρέτων τε καὶ φυσικῶν διοριζόμενοι. τὰ μέρη δ᾽ αὐτοῦ τὰς εἰρημένας ἔχει διαφοράς, ἐν δὲ τοῖς ἄκροις τῶν ζώων ὀλιγίστη μέν ἐστι σάρξ, τὸ πλεῖστον δ᾽ ὀστῶδές τε καὶ νευρῶδες οὐχ ἕνεκα τοῦ προαιρετικοῦ καλουμένου νεύρου, μικρὸν γὰρ τοῦτ᾽ αὐτοῦ, ἀλλὰ τοῦ συνδετικοῦ καὶ μετ᾽ αὐτὸ τοῦ τένοντος μὲν ὑπὸ τῶν παλαιῶν ἑλλήνων, ἀπονευρώσεως δέ, ὑπὸ τῶν νεωτέρων ἰατρῶν ὀνομαζομένου. γλίσχρα δὲ ἱκανῶς εἰσὶ καὶ κολλώδη, ταῦτ᾽ ἑψηθέντα, καὶ διὰ τοῦτο καὶ ἡ ἐξ αὐτῶν τροφή. τῆς δὲ αὐτῆς φύσεως, καὶ τὰ περὶ τὰ χείλη μόρια τῶν πεζῶν ζώων, γλίσχρον μὲν γάρ, οὐ μὴν παχύν γε τὸν χυμὸν ἐργάζεται. δηλοῖ δὲ καὶ ἡ ἕψησις, ἐπὶ πλεῖστον ἐξοιδίσκουσά τε, καὶ διαλύουσα τὰ τοιαῦτα σώματα. πεφθῆναι γε μὴν ἐπιτήδεια, καὶ ταῦτα. καὶ τὰ πτερὰ τῶν πτηνῶν ζώων τῷ κοινῷ λόγῳ τῶν γυμναζομένων σωμάτων. ἀπέριττα γοῦν πάντα ταῦτα, καθάπερ τῶν ἀργούντων περιττωματικά. τό γε μὴν δέρμα τῶν λιπαρῶν ὑῶν, ὅταν ἑψηθῇ καλῶς, κολλώδη μὲν ἔχει καὶ λιπαρὸν χυμόν, οὐ μὴν ἱκανῶς γε παχύν, οὐδὲ πεττόμενον ὡσαύτως τοῖς ἄκροις, ὥσπερ οὐδ᾽ εὐχυμῶν ὁμοίως ἐκείνοις, ἀλλὰ περιττωματικώτερον. παχύχυμον δὲ μόριον ἐστὶ τοῦ ζώου, καὶ ὁ ἐγκέφαλός τε καὶ ὁ νωτιαῖος μυελός. οἱ δ᾽ ἀδένες μετρίως τοιοῦτοι, καὶ διὰ τοῦτο καὶ οἱ τῶν νέων ἱερείων ὄρχεις. κοινὸν γοῦν δὴ καὶ τοῦτο περὶ πάντων τῶν ἐν τοῖς ζώοις μορίων μεμνῆσθαί σε χρή, σκληρὰ μὲν καὶ ξηρὰ καὶ δύσπεπτα γίνεσθαι τὰ τῶν πρεσβυτέρων, ὑγρὰ δὲ καὶ μαλακά, καὶ διὰ τοῦτ᾽ εὐπεπτότερα, τὰ τῶν νεωτέρων. πλὴν εἰ μὴ μετὰ τὴν ἀποκύησιν εὐθὺς ἐσθίοιτο. βλεννώδη γὰρ ἅπαντα ταῦτα, καὶ μάλιστα τῶν ὑγροτέραν ἐχόντων φύσει τὴν σάρκα, καθάπερ ἀρνῶν τε, χοίρων. τὰ δὲ τῶν ἐρίφων τε καὶ μόσχων, ἐπειδὴ ξηρότερα φύσει τὰ ζῶα, πολὺ βελτίω καὶ πρὸς πέψιν ἐστί, καὶ πρὸς τροφήν. οὕτως οὖν ἔχει καὶ κατὰ τοὺς ὄρχεις τε καὶ τοὺς ἀδένας, οὐχ ἥκιστα δὲ καὶ τὴν γλῶτταν. ἔστι γάρ πως καὶ ἡ ταύτης φύσις ἀδενώδης.

ἀδενώδης. οἱ δ' ἐν τοῖς τιτθοῖς ἀδένες ὅταν ἐν αὐτοῖς ἔχωσι τὸ γάλα καλοῦνται μὲν οὔθατα, πάχυχυμον δ' εἰσὶν ἔδεσμα. καὶ εἰ τὸ ζῶον εὐεκτοῦν εἴη καὶ ἡ ἐξ αὐτῶν τροφή, πολλή τε ἅμα καὶ εὔχυμος γίνεται. καὶ γάρ τοι καὶ τοῦτο τῶν κοινῶν ὄν, ἄμεινον ἅπαξ ἀκούσαντα σε πρόχειρον ἔχειν τῇ μνήμῃ. γέγραπται γοῦν ὑπὸ πάντων ἰατρῶν περὶ γάλακτος, ὡς εὐχυμότατον εἴη, καὶ διὰ τοῦτο τινὲς ἡγοῦνται τοὺς ἐν πνεύμονι ἴσχοντας ἕλκος ὑπὸ μόνου τούτου θεραπεύεσθαι, πρὸ τοῦ μέγα δηλονότι καὶ τυλῶδες αὐτὸ γίνεσθαι. τὸ δὲ τῆς γυναικὸς ὡς ἂν οἰκεῖόν τε καὶ ἐκ τῆς αὐτῆς φύσεως ἡμῖν ὑπάρχον, ἐπαινοῦσι πρὸ τῶν ἄλλων εἰς τὰ φθινώδη πάθη, καὶ ἄλλοι μέν τινες ἰατροί, καὶ μάλιστα Εὐρυφῶν τε καὶ Ἡρόδοτος, ἀξιοῦσί τε θηλάζειν, ὥσπερ τὰ παιδία τὴν γυναῖκα, τοὺς οὕτως ἔχοντας, ἐκπεσὸν γοῦν τῶν τιτθῶν, εὐθέως ἀποβάλλει τι τῆς οἰκείας ἀρετῆς, εὔδηλον οὖν, ὅτι πάντων ἐδεσμάτων, ὡς εὐχυμότατον πεπίστευται, μάλιστα μὲν ὑπὸ τούτων, οὐκ ἥκιστα δὲ καὶ τῶν ἄλλων ἰατρῶν. ὃ δὲ κοινὸν ἔφην, οὐκ ἤδη τῶν δὲ μόνον, ἀλλὰ καὶ πολλοῖς ἄλλοις ἐδέσμασι γινώσκειν χρῆναι, τοῦτο δὴ καὶ λέξω. τῶν μὲν εὐεκτικῶν ζώων εὔχυμον ἐστὶ τὸ γάλα. τὸ δὲ τῶν καχεκτικῶν, ὡσαύτως τῷ κατὰ τὸ ζῶον αἵματι, κακόχυμον. οὐ γὰρ ἐνδέχεται κακοχύμου τοῦ παντὸς σώματος ὄντος, εὔχυμον εἶναι τὸ γάλα. διὰ τοῦτ' ἔφην ἤδη τῶν εὐεκτούντων ζώων ἄριστον μὲν εἶναι τὸ γάλα πρὸς εὐχυμίαν. οὕτως δὲ καὶ τοὺς ἀδένας, αὐτούς τε τούτους ἐν οἷς τὸ γάλα περιέχεται, καὶ τοὺς ἄλλους ἐν τοῖς ὑγιαίνουσι ζώοις εὐχύμους εἶναι. κατὰ δὲ τὸν αὐτὸν λόγον, ἧπάρ τε καὶ ὄρχεις. οὐ δὲ γοῦν ταῦτα τοῖς κακοχύμοις ἐστὶ ζώοις εὔχυμα. διὰ τοῦτο δ' οὐδὲ τοῖς γεγηρακόσιν, οὐδὲν γὰρ τούτων εὔχυμον. ὅσα δ' ἔτι θηλάζει ζῶα, τῆς μητρὸς αὐτῶν, ἐχούσης εὔχυμον γάλα ταῦτα καὶ τοῖς ἄλλοις μὲν ἅπασι μορίοις ἄριστα διάκειται σφῶν αὐτῶν, εὔχυμον δ' ἔχει καὶ τὸ ἧπαρ. ὁποῖον δέ τινα χυμὸν γεννᾷ τὰ ἄλλα μόρια τῶν ζώων, ὀλίγον ὕστερον εἰρήσεται. νυνὶ γοῦν ἐπειδὴ περὶ τῶν παχυχύμων ἠρξάμην διέρχεσθαι πρότερον εὔλογόν ἐστιν ἐπὶ τὴν τελευτὴν αὐτῶν ἀγαγόντα τὸν λόγον, οὕτως ἤδη τὰ ἄλλα μεταβαίνειν. ὀλίγων οὖν ἔτ' ὄντων τοιούτων, ἐπ' αὐτὰ βαδιοῦμαι διορίζων ἐν αὐτοῖς τὰ κακόχυμα τῶν εὐχύμων, αὕτη γὰρ ἡ χρεία τοῦ νῦν ἡμῖν ἀνυομένου λόγου σκοπὸν ἔχοντος, εὐχυμίαν μὲν ἐργάζεσθαι, φεύγειν δὲ κακοχυμίαν. ἐπεὶ δὲ ὡς κατ' ἀρχὰς εἶπον ἡ τῶν παχυχύμων ἐδεσμάτων οὐσία, δυσδιάπνευστόν τε τὸ σῶμα κατασκευάζει, καὶ τινὰς ἐμφράξεις ἐργάζεται, καὶ μάλιστα καθ' ἧπάρ τε καὶ νεφρούς, διὰ τοῦτο συμβουλεύουσιν ἀφίστασθαι τῆς διηνεκοῦς χρήσεως αὐτῶν, εἰ καὶ τῶν εὐχύμων εἴη, τὰ μὲν γὰρ κακόχυμα, παντὶ τρόπῳ φευκτέον, ἐάν τε παχεῖς, ἐάν τε λεπτοὺς ἐργάζηται τοὺς ἐν ἡμῖν χυμούς. εἴρηται δὲ καὶ ὅτι μόνοις τοῖς σφοδρῶς γυμναζομένοις, ἐὰν καὶ τὰ σπλάγχνα μὴ κακῶς ἡ φύσει κατασκευασμένα, δυνατόν ἐστιν ἐν τοῖς παχυχύμοις τε καὶ γλίσχροις ἐδέσμασι διατρίβουσι, μὴ βλάπτεσθαι, τῶν δ' ἄλλων οὐδενί. τῶν ἐνίων παχυχύμων ἐδεσμάτων ἐστί, καὶ τὸ τῶν βαλάνων γένος ἑκατέρων, ὅσαι τ' ἐπὶ τοῖς δρυσὶ γίνονται, καὶ ὅσαι τῶν φοινίκων εἰσὶ ὁ καρπός, ὀνομάζουσι δ' οἱ ἄνθρωποι, τὰς μὲν τῶν φοινίκων, ὁμωνύμως αὐτῷ τῷ φυτῷ, φοίνικας. ὅσαι δ' ἤδη ταῖς δρυσί, τὰς μὲν καὶ τοῖς ἀνθρώποις ἡδέως ἐσθιομένας, κασταναίας, ἔνιοι δὲ καστάνια κατὰ τὸ καλούμενον οὐδέτερον γένος, οἱ γε μὴν πολῖται, καθάπερ οὖν καὶ ἄλλοι τῶν ἐν Ἀσίᾳ, σαρδιανάς τε καὶ λευκηνὰς ὀνομάζουσιν αὐτὰς ἀπὸ τῶν χωρίων, ἐν οἷς πλεῖσται γίνονται. τὸ μὲν οὖν ἕτερον τῶν ὀνομάτων τούτων εὔδηλόν ἐστιν ἀπό τινος γέγονε. λευκηναὶ δὲ ἀπὸ χωρίου τινὸς ἐν τῷ ὄρει τῇ Ἴδῃ τὴν προσωνυμίαν ἐσχήκασιν, ὃ πληθυντικῶς ὀνομάζουσι παραπλησίως ταῖς Θήβαις. ταύτας μὲν οὖν τὰς βαλάνους, ὡς ἔφην, ἐσθίουσιν οἱ ἄνθρωποι ποτὲ ὠμάς, ἐνίοτε δὲ ὀπτῶντες, ἢ ἕψοντες. αἱ δ' ἄλλαι περιμήκεις μὲν εἰσὶ κατὰ τὸ σχῆμα παραπλησίως ταῖς τῶν φοινίκων, ἔδεσμα ὑσὶ μᾶλλον ἢ ἀνθρώποις οἰκεῖον, ἄχρις ἂν μή τις ἀνάγκη μεγάλη καταλάβῃ τῆς ἐδωδῆς αὐτῶν. ἐν γοῦν τοῖς μεγάλοις λιμοῖς, καὶ τοῦτο συμβαίνει. τὰς δὲ τῶν πρίνων βαλάνους, ἃς ἀκύλους ὀνομάζουσιν Ἕλληνες εἰσὶ δὲ στρυφναί, καὶ σκληραί, καὶ διὰ τοῦτ' ἀηδεῖς, κἂν ἐφθάς τις προσφέρηται, δυσπέπτους καὶ παχυχύμους οὔσας φυλάττεσθαι χρή. πρόδηλον δ' ὅτι τοῦ στύφοντος χυμοῦ διαφοραί τινες εἰσὶ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, ὁ αὐστηρός τε καὶ στρυφνός, ἐκλελυμένης μὲν ἐν τοῖς αὐστηροῖς, ἐπιτεταμένης δ' ἐν τοῖς στρυφνοῖς τῆς στυφούσης ποιότητος. ἀλλ' ὅσον γε τῶν βαλάνων αἱ ἄκυλοι στρυφνότεραι, τοσοῦτον τῶν κασταναίων αἱ βάλανοι. πάνυ γὰρ ἀσθενῆ ταῦτα τὴν στύφουσαν ἔχει ποιότητα, τῶν παχυχύμων ἐδεσμάτων ὄντα ταῖς ἄλλαις βαλάνοις ὡσαύτως. ἀλλ' ἧττόν τε στεγνοῖ τὴν γαστέρα, καὶ μᾶλλον ἐκείνων πέττεται, καὶ οὐδόλως ἐστὶ κακόχυμα. φυλάττεσθαι δὲ δηλονότι χρὴ καὶ τούτων τὸ πλῆθος, οὐ μόνον ὅτι παχύχυμόν ἐστι πολλοῖς τῶν εἰρημένων ὡσαύτως, ἀλλ' ὅτι καὶ στεγνωτικὰ τῆς κοιλίας καὶ δύσπεπτα καὶ φυσώδη. τῶν δὲ φοινίκων ὁ καρπός, ὃν ἔφην ἅπαντας Ἕλληνας ὀνομάζειν φοίνικας ὁμωνύμως τῷ δένδρῳ στύφοντός τε ἅμα καὶ γλυκέος χυμοῦ μετέχει. ἔνιοι δὲ τῶν νεωτέρων ἰατρῶν ἐν συνθέτῳ προσηγορίᾳ φοινικοβαλάνους ὀνομάζουσιν αὐτούς, οὐ μὴν παρά γε τοῖς παλαιοῖς Ἕλλησιν εὗρον τοὔνομα. φοινίκων γοῦν ἐκεῖνοι βαλάνους τὸν καρπὸν τοῦτον, οὐ φοίνικας, οὐδὲ φοινικοβαλάνους ὀνομάζουσιν. ἀλλ' οὐ πρόκειται νῦν ἡμῖν ὀνόματα διασκέπτεσθαι, σχολὴν ἀγόντων ἀνθρώπων σπούδασμα, καὶ τούτων οὐ πάντων, ἀλλ' ὅσοι τῇ παλαιᾷ τῶν Ἀττικῶν ἐγνώκασι χρῆσθαι φωνῇ. τοῦ δ' ὑγιαίνειν ἅπαντες μὲν ἄνθρωποι δέονται, δύνανται δ' οὐ πάντες ὡς χρή, διαιτᾶσθαι, δι' ἀκρασίαν, ἢ ἀσχολίαν, ἢ ἄγνοιαν ὧν χρὴ ποιεῖν. ἀλλ' ὅσοι καὶ γνῶναι δύνανται δίαιταν ὑγιεινὴν καὶ ζῆν κατ' αὐτὴν προῄρηνται, τούτοις τοῦτο δὲ τὸ γράμμα σύγκειται. κατὰ μὲν τὰς ἀκύλους τε, καὶ τὰς τῶν δρυῶν βαλάνους, καὶ τὰ καστάνια τοῖς κατὰ μέρος δένδροις, οὐ μεγάλη τις διαφορὰ τοῦ καρποῦ. κατὰ δὲ τοὺς φοίνικας, ἀξιόλογος. εἰ γὰρ παραβάλλοις τὸν αἰγύπτιον φοίνικα σκληρὸν καὶ αὐστηρὸν καὶ ξηρὸν ὄντα, τῷ καλουμένῳ πατητῷ, γλυκεῖ μὲν ἱκανῶς ὄντι, βραχείας δὲ μετέχοντι στύψεως, ἐναντίαν ἔχειν σοι δόξουσι τὴν φύσιν. οἱ δ' ἄλλοι μεταξὺ τούτων εἰσὶν οἱ μὲν μᾶλλον, οἱ δ' ἧττον αὐστηρότητός τε καὶ γλυκύτητος μετέχοντες. ὁ δ' ἐξ αὐτῶν χυμός, παχύς τε ἐστί, καὶ ῥᾳδίως ἐμφραττόμενος ἥπατι. καὶ γὰρ οὖν καὶ τοῦτο, περὶ τῶν παχυχύμων τε καὶ γλυκέων ἐδεσμάτων ἐπίστασθαί τε καὶ μεμνῆσθαι καλόν, ὡς ἥπατός τε καὶ σπληνὸς ἐμφρακτικὸς ὁ ἐξ αὐτῶν ἐστὶ χυμός. εἰ δὲ καὶ βραχεῖά τις ἀρχὴ φλεγμονῆς εἴη κατὰ τὰ σπλάγχνα, ταύτην αὐξάνουσιν ἱκανῶς, ὥσπερ γε καὶ τὰς πνευματώσεις καὶ τὰς σκιρρώδεις διαθέσεις παροξύνουσι, καὶ δηλονότι καὶ τὰς τῶν ἀποστημάτων γενέσεις, ἀλλ' ἴσως ταῦτα πορρώτερον καὶ τῆς ὑγιεινῆς διαίτης ἐστίν, ἧς μόριον ὁ προκείμενος ἐκδιδάσκει λόγος. ἐπ' αὐτὰ οὖν αὖθις ἴωμεν, ὅσα τῶν παχυχύμων ἐστί, καὶ γλυκέων ἐδεσμάτων προστιθέντες. ἔνια μὲν γὰρ αὐτῶν

αὖθις ἴωμεν, ὅσα τῶν παχυχύμων ἐστὶ, καὶ γλυκέων ἐδεσμάτων προσιθέντες. ἔνια μὲν γὰρ αὐτῶν παχύχυμα μόνον ἐστὶν, ὥσπερ ἡ φακή. γλίσχρα δ' ἄλλα, καθάπερ ἡ μαλάχη. τινὰ δ' ἄμφω πέπονθεν, ὥσπερ τὰ ὑπ' Ἀριστοτέλους ὀστρακόδερμα καλούμενα, καὶ τὰ μαλάκια. καλλίστη δὲ τροφὴ τοῖς σώμασιν ἡμῶν, ἀπὸ τῶν μήτε παχυχύμων, μήτε γλίσχρων, ἐξ ὧν αἷμα σύμμετρον τῇ συστάσει γεννᾶται. μοχθηρὸν γοῦν ἐστὶ, καὶ τὸ λίαν λεπτόν. βραχείας γὰρ οὔσης τῆς ἐξ αὐτοῦ τροφῆς, ἀσθενῆ καὶ ἰσχνὰ γίνεται τὰ οὕτω διαιτώμενα σώματα. κάλλιστα τοίνυν εἰς ὑγείαν ἐστὶν ἐδέσματα, τὰ μέσην ἔχοντα τῶν εἰρημένων τὴν φύσιν, ὡς μηδὲν ἐπικρατεῖν ἐν αὐτοῖς ἰσχυρῶς γλίσχρον, μήτ' αὖ τὸ κολλῶδες, ἀλλὰ καὶ τὸ τελέως ψαθυρὸν, ὡς μηδὲ τοὐλάχιστον ἔχειν χυμοῦ κολλώδους, μοχθηρόν. οἱ γοῦν ἐξ ἐλύμου τε καὶ κέγχρου σκευαζόμενοι τῶν ἄρτων, ἐγγὺς ἥκουσι τοῦ δόξαι τινὰ ψάμμον, ἢ τέφραν ἐσθίειν, διὸ καὶ δεῖται τὸ γινόμενον ἐξ αὐτῶν ἔτνος, ὥσπερ γε καὶ ἡ λέκυθος ἅπασι τοῖς λιπαροῖς τε καὶ γλίσχροις μεμῖχθαι, λίπος τε οὖν συῶν, καὶ στέαρ αἰγῶν, ἔλαιον, καὶ γάλα προβάτων, ἢ βοῶν, ἐπιβάλλοντες αὐτοῖς οἱ περὶ τοὺς ἀγροὺς, ἐσθίουσιν. ἔτνος οὖν ὀνομάζω, τὸ ἐκ τῶν ἐρεχθέντων ὀσπρείων τε καὶ χεδρόπων σκευαζόμενον. λέκυθον δὲ τὸ ἐκ τῶν ἀλεσθέντων ἄλευρον ἑψόμενον ἐν ὕδατι, προσεμβαλλομένου τινὸς λίπους. ἔνια δὲ τῶν ἐδεσμάτων, αὐτὰ μὲν ἐφ' ἑαυτῶν ὁρῶμεν, πρὸ τοῦ τῆς οἰκείας τυχεῖν παρασκευῆς, εἴτ' οὖν δι' ἑψήσεως, εἴτε καὶ δι' ὀπτήσεως, ἢ τηγανίσεως, ἢ καὶ διὰ μόνης βρέξεως, σκληρὰ καὶ γεώδη φαίνεται. βρεχόμενα δὲ, ἢ ἑψόμενα, μαλακὰ, καθάπερ, ἐν μὲν τοῖς σιτηροῖς σπέρμασι, κριθαὶ καὶ πυροὶ, τῶν δ' ἐπὶ δένδροις γεννωμένων καρπῶν οἱ κῶνοι, προσέχειν οὖν σε χρὴ κἀν τούτῳ τὸν νοῦν, οὐ μόνον ὅταν εἰς ξένην ἀφικόμενος χώραν ἐσθίειν τι μέλλεις ἄηθες, ἀλλὰ καὶ παρ' ἡμῖν αὐτοῖς, πειρώμενον ἑκάστου τῆς φύσεως ἐν τῷ διαβρέχειν ὕδατι μόνῳ χωρὶς ἑψήσεως, ἢ σὺν ἑψήσει τε καὶ ὀπτήσει. τὰ μὲν γὰρ εἰς ὄγκον ἐξαιρόμενα τῶν σπερμάτων, ἢ ὅλως τῶν καρπῶν, ἀποβάλλοντα ταχέως τὴν ἀρχαίαν σκληρότητα καὶ ξηρότητα, μεθιστάμενά τε πρὸς τὸ μαλακώτερον καὶ ὑγρότερον, ἀμείνω πάντ' ἐστί. τὰ δὲ φυλάττοντα τὸν ἔμπροσθεν ὄγκον ἅμα τῇ σκληρότητι, χείρω. καὶ γὰρ δύσπεπτα τὰ τοιαῦτα καὶ γεώδη ταῖς οὐσίαις ἐστὶν, ὡς μόγις αἱματοῦσθαι, δεόμενα ῥωμαλέας δυνάμεως εἰς τὴν ἐν τῷ σώματι κατεργασίαν, ἔν τε τῷ πεφθῆναι κατὰ γαστέρα, καὶ καθ' ἧπάρ τε καὶ φλέβας αἱματοῦσθαι. ἀποτυγχάνεται μὲν οὖν ἑκατέρων τῶν ἐνεργειῶν ἐν τοῖς ἀσθενέσι σώμασι, καὶ γὰρ χυμὸς ἐκ τῶν τοιούτων ἐδεσμάτων ὁ καλούμενος ὠμὸς γίγνεται, ἐφ' ὧν νόσοι παντοῖαι συνίστανται. ἐπεὶ δὲ καθ' ἕκαστον εἶδος καρποῦ, πολλάκις ἐστὶν ἡ διαφορὰ, προβρέχειν ἀξιῶ σε, καὶ προέψειν ἐνίοτε τῶν μελλόντων ἐσθίεσθαι τινὰ, πεῖραν ἀσφαλῆ λαμβάνοντα τῆς φύσεως αὐτῶν, ὁ γοῦν ἐμὸς πατὴρ ἐπιμελὴς ὢν περὶ τὰ τοιαῦτα, καὶ ἀμύγδαλα οὕτως ἐδοκίμασε, καὶ κάρυα τὰ μεγάλα, καὶ τὰ σμικρὰ ποντικά τε καὶ λεπτοκάρυα. τὴν αὐτὴν δὲ βάσανον ἐποιεῖτο, καὶ τῶν λαχάνων, ὡσαύτως δὲ καὶ τῶν κυάμων, καὶ πισῶν, καὶ λαθύρων, καὶ θέρμων, ὤχρων τε, καὶ δολιχῶν, ἁπάντων τε τῶν τοιούτων, ἢ βρεχῶν, ἢ προεψῶν, εἶθ' ὁρῶν εἰς ὅσον ἐξοιδίσκεται. περὶ δὲ τῆς πτισάνης τί δεῖ καὶ λέγειν; ἤδη γὰρ τοῦτο καὶ οἱ παῖδες ἴσασιν, ὡς ἡ μὲν ὀγκουμένη ταχέως ἀρίστη, μοχθηρὰ δ' ἡ χρόνῳ πολλῷ βραχὺν ὄγκον ἴσχουσα. τήκεται γὰρ ἡ προτέρα ἑψηθεῖσα καὶ γίνεται χυλὸς, ἡ δ' ἑτέρα δύστηκτός τ' ἐστὶ καὶ σκληρὰ διαμένει βραχύτατον ἀνιεῖσα χυλόν. ἔνια δὲ τῶν δημητρίων σπερμάτων, οὐδ' ὅλως ὀγκοῦσθαι πέφυκεν ἑψόμενα. κεκλήκασι δ' ἀτέραμνα τὰ τοιαῦτα τῶν παλαιῶν Ἑλλήνων ἔνιοι. οὕτως οὖν καὶ τοὺς πυροὺς ὁ ἐμὸς πατὴρ ἐδοκίμαζε, καὶ προσέτι τῷ πλήθει τῶν ἀλεύρων. οἱ μὲν γὰρ ἀγαθοὶ πλεῖστον ἄλευρον ἐργάζονται, οἱ μοχθηροὶ δ' ὀλίγον. μὴ τοίνυν μηδὲ σὺ περὶ τὸ πάρεργον ἀκούσῃς ὧν λέγω. κοινός τε γὰρ ὁ λόγος ἐστὶν, ἁπάντων μὲν σπερμάτων, ἁπάντων δὲ καρπῶν, ὅσους ἀποθέσθαι δυνατόν ἐστιν ἐξητασμένος τε καὶ κεκριμένος ὑπ' ἐμοῦ τε καὶ τοῦ πατρὸς ἐν χρόνῳ πολλῷ, καὶ πείρᾳ μακρᾷ. δῆλον δ' ὅτι καὶ τοὺς καρποὺς εἰς ἀπόθεσιν ἐπιτηδείους λέγω, τοὺς πρὶν σαπῆναι ξηραινομένους. ἔνιοι μὲν γὰρ οὐχ ὑπομένουσι τοῦτο, καθάπερ τὰ μῶρα, καὶ οἱ καλούμενοι πέπονές τε, καὶ οἱ μηλοπέπονες. ἔτι τε περσικὰ, καὶ ὅσα τούτοις ἐστὶ παραπλήσια, φθάνει γὰρ σήπεσθαι πρὶν ξηρανθῆναι. κολοκύνθας μὴν εἰς λεπτὰ μόρια τέμνοντες, ξηραίνουσιν ἔνιοι, καθάπερ γε καὶ τὰς κοιλίας ἄλλοι. καὶ γνώρισμα δὲ τοῦ μοχθηρὸν εἶναι τὸν μύκητα μέγιστον νομίζουσι, τὸ ξηρανθῆναι μὴ δύνασθαι. περὶ δὲ τῶν κοκκυμήλων, τί δεῖ καὶ λέγειν; οὐδεὶς γὰρ ἀγνοεῖ τὴν ἀπόθεσιν αὐτῶν, οὐκ ἐν Δαμασκῷ μόνον, ἢ κατὰ τὴν Ἰβηρίαν, ἀλλὰ καὶ παρ' ἡμῖν γιγνομένην. ὥστ' ὀλίγιστοι τῶν καρπῶν εἰσὶν, οἱ μὴ δυνάμενοι ξηρανθῆναι, πλὴν πέπονες, ὡς ἔφην, καὶ μηλοπέπονες, τά τ' ἀρμενιακὰ, καὶ τὰ περσικὰ, καὶ πρεκόκκια παρὰ Ῥωμαίοις ὀνομαζόμενα. καὶ γὰρ τὰ σῦκα ξηρανθέντα διαμένει, καὶ οἱ σικυοὶ ταῖς κολοκύνθαις ὡσαύτως, ἀλλὰ καὶ ταῦτα τοῦ χειμῶνος εἰς χρείαν ἀγόμενα τὴν αὐτὴν ἐξέτασιν δέχεται. τὰ μὲν γὰρ †τελέως ἐν ὕδατι τεγγόμενα, καὶ χωρὶς ἑψήσεως, καὶ σὺν ἐκείνῃ, κάλλιστα τῶν ὁμοειδῶν ἐστὶ, τὰ δ' ἐν πολλῷ χρόνῳ τοῦτο πάσχοντα, καὶ μικρὸν ἐπιδιδόντα τοῖς ὄγκοις, μοχθηρά. γίγνωσκε τοίνυν οὐ μόνον εἰς πέψιν ἀμείνω ταχέως οἰδισκόμενα τῶν ἐδεσμάτων, ἀλλὰ καὶ πρὸς εὐχυμίαν, ἧς ἕνεκα τὰ κατὰ τουτὶ τὸ γράμμα λέγεται πάντα, καὶ γὰρ βελτίω φύσει τὰ ταχέως ἐξογκούμενα, διότι πέττεσθαι μᾶλλον καὶ ἀμείνους γεννᾷ χυμούς. οὐδὲν γὰρ οὕτως εἰς εὐχυμίαν συντελεῖ πᾶσιν ἐδέσμασιν, ὡς τὸ πεφθῆναι καλῶς ἐν τῇ γαστρί. καὶ γὰρ τὴν δευτέραν καὶ τρίτην πέψιν ὑποδέχεται μᾶλλον ταῦτα. ἔμαθες δὲ, ὅτι δευτέρα μὲν πέψις ἐν ἥπατί τε καὶ φλεψὶ γίνεται, τρίτη δὲ καθ' ἕκαστον τῶν τρεφομένων μορίων, ἧς ἕνεκα τῶν προτέρων δυοῖν δεόμεθα. τρέφεται μὲν γὰρ ὅσα τρέφεται τῶν τρεφόντων αὐτὰ μεταβαλλομένων κατὰ ποιότητα, κἀξομοιουμένων τοῖς τρεφομένοις. μεταβάλλεται δὲ τὰ προπαρασκευασθέντα καὶ προπεφθέντα, τῶν ἀπέπτων μᾶλλον. ἀλλήλας γὰρ αἱ πέψεις διαδέχονται. τὴν μὲν τῆς γαστρὸς τὸ ἧπαρ. τὴν δὲ τούτου, τὰ τρεφόμενα μόρια. καὶ τοίνυν καὶ προπαρασκευάζει τοῖς μὲν ἐν τῷ σώματι μορίοις ἅπασι τὴν τροφὴν τὸ ἧπαρ, ἐκείνῳ δ' ἡ γαστὴρ, ἐκείνῃ δὲ τὸ στόμα. καὶ τούτῳ τινὰ μὲν ὄπτησις, τινὰ δὲ ἕψησις, ἢ ταγήνισις, ἢ τις ἁπλῆ βρέξις. ἅπασι δὲ τούτοις, ἡ διοικοῦσα φύσις τὰ τοὺς καρποὺς φέροντα φυτὰ παρασκευάζει, καί τινά γε τῶν ἐξ αὐτῆς γεγονότων, οὔτ' ἑψήσεως, οὔτ' ὀπτήσεως, οὔτε βρέξεως, οὔτ' ἄλλης δεῖται παρασκευῆς. ταῦτα μὲν ἐν τῷ καθόλου χρὴ μεμνῆσθαι. κοινὴ γὰρ ἁπάντων ἐστὶ τῶν ἐσθιομένων. ἐπὶ δὲ τὰ κατὰ μέρος ἴωμεν ὅσα λέγοντες ἀπελίπομεν. ἐν μὲν τοῖς τῶν ζώων μορίοις, ἔντερά τε καὶ γαστέρα, καὶ μήτραν, καὶ ὦτα, καὶ ὀφθαλμοὺς, καὶ οὐράς.

† αλ. τάχεως

ἐν δὲ τοῖς

ἐν δὲ τοῖς δημητρίοις σπέρμασι τὰ πλεῖστα, καθάπερ γε καὶ λαχάνων καὶ φυτῶν καλουμένων ὡραίων. ἔντερα μὲν οὖν καὶ γαστὴρ μήτρα καὶ σκληροτέραν τῆς σαρκῶν ἔχει τὴν οὐσίαν. ἀπεπτοτέραν τε τοσοῦτον, ὅσον καὶ σκληροτέρα ἧττόν τε τῆς σαρκῶν τρέφει, καὶ ἧττον εὔχυμα εἰσίν. αἱ δ᾽ οὐραί, καὶ τούτων ἔτι σκληρότεραι. καὶ τἄλλα ἀνάλογον τῇ σκληρότητι κατ᾽ αὐτάς ἐστι πρός τε πέψιν καὶ τρέψιν πλὴν οὐ περιττωματικαὶ διὰ τὴν κίνησιν. ὅμοιοι δ᾽ αὐταῖς εἰσὶν ἐπὶ τῶν πτηνῶν ζώων, οἱ τράχηλοι. κοιλίαι δ᾽ οὐδὲν ὅμοιαι, τοῖς πτηνοῖς τε καὶ πεζοῖς ζώοις εἰσί. καὶ γὰρ παχεῖαι καὶ σκληραί, καὶ διαφερόντως δύσπεπτοι, καὶ πολύτροφοι πεφθεῖσαι τοῖς πτηνοῖς εἰσὶν αἱ κοιλίαι. κάλλισται δ᾽ ἀλεκτορίδων, καὶ χηνῶν, καίτοι τἄλλα τῶν χηνὸς μόρια, σκληρά τ᾽ ἐστὶ καὶ δύσπεπτα καὶ περιττωματικά, πλὴν τῶν πτερῶν, ἐν δὲ τοῖς μεγάλοις στρουθοῖς, οὓς νῦν ὀνομάζουσι στρουθοκαμήλους, ἅπαντα τὰ μέρη, σκληρά, καὶ δύσπεπτα, καὶ περιττωματικά. τῶν δ᾽ ὤτων ὁ μὲν χόνδρος, ἄτροφόν τ᾽ ἐστὶ καὶ ξηρὸν σῶμα. τὸ δὲ ἔξωθεν δέρμα, λεπτὸν καὶ ξηρόν, ὀλιγότροφόν τε καὶ δύσπεπτον. ὀφθαλμοὺς δ᾽ ὀλίγοι μὲν ἐσθίουσι, σύγκεινται δ᾽ ἐξ ἀνομοίων οὐσιῶν. ἑτέρας μὲν γὰρ φύσεως οἱ χιτῶνες αὐτῶν, ἑτέρας δέ, οἱ μύες. ἄλλης δὲ τὸ κρυσταλλοειδὲς καὶ τὸ ὑαλοειδές, ἐξ αὐτῶν δὲ οἱ μύες εὐπεπτότατοι μόνοι. τῶν δ᾽ ἐπιτήδειον εἰς εὐχυμίαν τὴν φύσιν ἐχόντων ζώων, οἷοί περ οἱ σύμμετροι κατὰ τὴν ἡλικίαν ὕες. εἶεν δ᾽ ἂν οὗτοι τοῖς μὲν ἀκμάζουσιν ἀνθρώποις καὶ γυμναζομένοις οἱ τέλειοι, τοῖς δὲ παρακμάζουσιν, οἱ ἔτ᾽ αὐξανόμενοι, τῶν δὲ πάνυ σμικρῶν χοίρων ἡ σὰρξ περιττωματική. ἀρίστης δὲ μετὰ τῶν ὑῶν οὔσης ἐδωδῆς ἐν τοῖς πεζοῖς ζώοις, ἐφεξῆς ἐστιν ἡ τῶν ἐρίφων, καὶ μετὰ ταύτην ἡ τῶν μόσχων. ἡ δὲ τῶν ἀρνῶν σὰρξ ὑγρὰ καὶ γλίσχρα καὶ βλεννώδης ἐστί, τῶν δ᾽ ἄλλων πεζῶν ζώων τῆς ἐδωδῆς ἀπέχεσθαι κελεύω, τῆς εὐχυμίας προνοουμένους. ἡ δὲ κατ᾽ εἶδος ἐν αὐτοῖς διαφορά, κατὰ τὸ τρίτον εἴρηται περὶ τῆς ἐν ταῖς τροφαῖς δυνάμεων. ἐν δὲ τοῖς δημητρίοις σπέρμασιν, ἄριστον εἰς εὐχυμίαν ἔδεσμα, καλῶς ἑψημένη πτισάνη, συνενδείκνυται δ᾽ ὁ λόγος οὗτος, ἀρίστην εἶναι χρῆναι καὶ τὴν κριθήν. οὐ γὰρ ἕψεται καλῶς ἡ πτισάνη μὴ τοιαύτης οὔσης αὐτῆς, διὰ τὸ μηδὲ πλεῖον ἐξοιδίσκεσθαι διαβρεχομένην, μήτε χυλοῦσθαι τηκομένην. ἀλλὰ περὶ πτισάνης, ἔν τε τῷ περὶ τῶν ἐν τροφαῖς δυνάμεων, καὶ τοῖς τῆς θεραπευτικῆς μεθόδου. καὶ τοῖς εἰς τὸ περὶ διαίτης ὀξέων Ἱπποκράτους ὑπομνήμασιν, ἐπὶ πλέον εἴρηται. νυνὶ δ᾽ ἀρκεῖ δεδηλῶσθαι τὸ κεφάλαιον, οὗ χρῄζομεν εἰς τὸν ἐνεστῶτα λόγον, ὡς ἀμεμπτοτάτων εἴη ἂν πάντων ἐδεσμάτων εἰς εὐχυμίαν τε καὶ φυλακὴν ὑγείας πτισάνη καλῶς ἐσκευασμένη. τρέφει γε μὴν ἄρτου ἧττον καλλίστη. περὶ οὗ καὶ αὐτοῦ λέλεκται κατὰ τὸ β´. γράμμα περὶ τῆς ἐν ταῖς τροφαῖς δυνάμεων. τῖλις μὲν οὐκ εὔχυμος, ἂν πλεονάζῃ τις ἐν αὐτῇ, πτισάνην δὲ κἂν καθ᾽ ἑκάστην ἡμέραν εἰς κόρον ἐσθίῃς, οὐδὲ εἰς εὐχυμίαν βλαβήσῃ. περὶ κυάμου δ᾽ ἂν ἔλεγον ταὐτόν, εἰ μὴ φυσώδης ἦν, οὔτε γὰρ κακόχυμος, οὔτ᾽ ἐμφρακτικός, ἅπερ ἐστὶ κεφάλαια τῶν ὑγιεινῶν ἐδεσμάτων, ὑπάρχει δ᾽ αὐτῷ ταῦτα διὰ τὸ ῥυπτικὴν ἔχειν ποιότητα, καὶ δύναμιν ἐν αὐτῷ, καθάπερ ἡ κριθή. τῷ πισῷ δέ. τὸ μὲν ἄφυσον ὑπάρχει, τὸ ῥυπτικὸν δ᾽ οὐκ ἴσον τῷ κυάμῳ. περὶ δὲ τῆς φακῆς ὅτι κακόχυμός ἐστι καὶ μελαγχολικός, σχεδὸν οὐδεὶς ἀγνοεῖ, ὡς φαρμάκῳ δ᾽ αὐτῇ χρώμεθα πολλάκις ἐπὶ πολλῶν παθημάτων, ἀλλ᾽ οὐ νῦν ἐκείνων ὁ καιρός. ὦχροι δέ, καὶ δόλιχοι τῶν μὲν εἰρημένων, χείρους, ἀμείνους δὲ λαθύρων, ὄλυραν δὲ μετὰ τὴν κριθὴν τίθει, καὶ μετ᾽ ἐκείνην τίφην. ἔλυμος δέ σοι φευκτέος ἀεί. καλοῦσι δ᾽ αὐτὸν ἔνιοι μελίνην τῶν παλαιῶν. ἡ δὲ κέγχρος, ὁμογενὴς μὲν ἐστὶ τῷ σπέρματι τούτῳ, μοχθηρὰ δ᾽ ἧττον. ὅ γε μὴν ἐρέβινθος, εἰ καὶ τρόφιμος, ἀλλ᾽ οὐκ εὔχυμος. φυσώδης δέ, οὐδὲν ἧττον ἐστὶ κυάμου, παροξύνει δὲ καὶ πρὸς συνουσίαν, ἅμα τῷ πολὺ σπέρμα γεννᾶν. ὁ δὲ θέρμος, ἱκανῶς παχύχυμος, εὔδηλον δ᾽ ὅτι καὶ τρόφιμος, εἴπερ παχύχυμος, οὐ μὴν κακόχυμος. τῶν δ᾽ ἄλλων ὀσπρίων, οὐδὲ μεμνῆσθαι καλὸν εἰς εὐχυμίας λόγον. ὧν γε μηδ᾽ ἐσθίουσιν ἄνθρωποι, πρὶν ὑπὸ λιμοῦ βιασθῆναι. περὶ μὲν οὖν ὀσπρίων, αὐτάρκως εἴρηται. περὶ δὲ καρπῶν ἐφεξῆς ἂν εἴη ῥητέον. εἰσὶ δ᾽ οἱ μὲν ἀπὸ δένδρων ὀλίγου δεῖν ἅπαντες κακόχυμοι πλὴν τῶν κασταναΐδων ὀνομαζομένων βαλάνων. αὗται δὲ πεφθεῖσαι καλῶς ἐν τῇ γαστρὶ τρόφιμοι μέν εἰσι καὶ παχύχυμοι, κακόχυμοι δ᾽ οὐδαμῶς. τῶν δ᾽ ἄλλων οἱ μὲν ὡραῖοι καλούμενοι καρποί, κακόχυμοι πάντες. ἐὰν δὲ διαφθαρῶσιν ἐν τῇ γαστρί φαρμάκου δηλητηρίου πλησίον ἥκουσιν, ὥσπερ καὶ τὰ μῶρα καίτοι μετριώτερα τῶν περσικῶν ὀνομαζομένων ὄντα, καὶ τῶν κοκκυμήλων, ὅμως τὴν διαφθορὰν οὐδὲν ἧττον ἐκείνων ἔχει μοχθηράν. ἣν δ᾽ ὀνομάζουσιν ἰδίως οἱ Ἕλληνες ὀπώραν ἐν σύκοις καὶ σταφυλαῖς οὖσαν, ἀμείνων μέν ἐστι τῶν εἰρημένων, οὐ σμικρὰν δ᾽ ἔχει τὴν διαφοράν, ἢ πέπειρον ἀκριβῶς εἶναι τὸν καρπόν, ἢ μήδέπω τοιοῦτον. ἐγγὺς γὰρ τῶν ἀβλαβῶν τὰ πέπειρα σῦκα. καὶ μετὰ ταῦτα ἡ πέπειρος σταφυλή. κρεμασθεῖσα δὲ καὶ ἤδη τὸ φυσῶδες ἀποτίθεται, καὶ γίνεται τελέως ἄμεμπτον. περὶ ἰσχάδων δὲ δόξειεν ἄν τις ἐναντία λέγων ἀληθεύειν, εἰ κακοχύμους γε ἅμα καὶ εὐχύμους αὐτὰς εἴποι, νοσώδεις τε καὶ ὑγιεινὸν ἐχούσας. ἐὰν γὰρ αὗται διεξέρχονται κατὰ τὴν γαστέρα καὶ ἡ ἀπ᾽ αὐτῶν ἀναδοθεῖσα τροφὴ διά τε τοῦ δέρματος καὶ τῶν νεφρῶν, ὑγιειναί τε εἰσὶ καὶ εὔχυμοι. βραδύνουσαι δέ, κακοχυμότεραί πως γίνονται καὶ φθειρῶν πολλῶν γεννητικαί, μετὰ δὲ καρύων ἐσθιόμεναι, κάλλιστον εἰσὶν ἔδεσμα, καθάπερ γε καὶ ἀμυγδάλων. ἀλλὰ μετὰ τούτων μὲν ὡς ἐκφρακτικῶν καὶ ῥυπτικῶν, οὐ μὴν εὐχύμων γε, τοῖς καρύοις ὡσαύτως, οὐδὲ τροφίμων. ἅμα δὲ τοῖς καρύοις βελτίους εἰς ἅπαντα. καί τινες τῶν γραψάντων συνθέσεις φαρμάκων θανασίμων, ἀλεξιτήριον αὐτῶν ἁπάντων εἶναι φασί, προλαμβανομένας ἰσχάδας ἅμα καρύοις τε καὶ πηγάνῳ. τὰ δ᾽ ἄλλα τῶν ἀκροδρύων εἴδη κακόχυμα ἐστί, καὶ μάλισθ᾽ ὅσα τῶν ἀγρίων αὐτῶν καὶ θάμνων εἰσὶ καρποί, περὶ ὧν ἐπὶ πλέον εἴρηται κατὰ τὸ β´. τῶν ἐν ταῖς τροφαῖς δυνάμεων. μήλων δὲ καὶ ῥοῶν, ἀπίων τε καὶ μεσπίλων, οὐχ ὡς τροφῆς, ἀλλ᾽ ὡς φαρμάκου χρῄζομεν εἰς τόνον στομάχου τε καὶ γαστρός. καρποὶ δ᾽ εἰσὶ καὶ σικυοὶ καὶ πέπονες καὶ μηλοπέπονες, ἀλλ᾽ οὐδὲν οὐδὲ τούτων εὔχυμον. εἰ δὲ μὴ ταχέως ἐπέλθοι, διαφθείρεται κατὰ τὴν γαστέρα καὶ τὸν ἐκ τῆς διαφθορᾶς γινόμενον χυμὸν ἐγγὺς τοῖς θανασίμοις γενόμενον φαρμάκοις ἐργάζεται. κολοκύνθα δ᾽ ἄμεμπτος μόνη τῶν τοιούτων καρπῶν, ἀλλὰ καὶ αὕτη διαφθαρεῖσα κατὰ τὴν γαστέρα κακόχυμος ἱκανῶς γίνεται. καθάπερ καὶ τὰ συκάμινα, καὶ γὰρ καὶ ταῦτα πρὶν διαφθαρῆναι, φθάσαντα ταχέως ὑπελθεῖν, οὐδὲν ἐργάζεται φαῦλον, εἴγε μή τις ἐν αὐτοῖς πλεονάζοι. κοινὸν γὰρ τοῦτο περὶ ἁπάντων ὡραίων ἐπίστασθαί γε χρὴ καὶ μεμνῆσθαι. τῶν δὲ λαχάνων, οὐδὲν μὲν εὔχυμον, ἐν μέσῳ δ᾽ εὐχύμου τε καὶ κακοχύμου θρίδαξ ἐστίν, εἶτα μαλάχη, καὶ μετ᾽ αὐτὴν ἀτράφαξύς τε, καὶ ἀνδράχνη καὶ βλίτον, καὶ λάπαθον. ἐσχάτως δὲ κακόχυμα πάντ᾽ ἐστίν, ἃ καλοῦσιν ἄγρια λάχανα, θριδακίνη, χονδρίλη, σκάνδιξ, γιγγίδιον, σέρις, κιχώριον. αἱ δὲ ῥίζαι

τῶν λαχανωδῶν φυτῶν κακόχυμοι μὲν, ὅσαι δριμεῖαι, καθάπερ αἱ τῶν κρομμύων, καὶ πράσων, καὶ σκορόδων, καὶ ῥαφανίδων, καὶ δαύκου. μέσαι δ' εὐχύμων τε καὶ κακοχύμων, αἵ τε τῶν ἀρῶν εἰσὶ, καὶ τῶν γογγυλίδων, ἃς καὶ βουνιάδας ὀνομάζουσι, καὶ τῶν καλουμένων καρῶν. ὄρνιθες δὲ καὶ ἰχθύες, ὀλίγου δεῖν ἅπαντες εὔχυμοι πλὴν τῶν ἐν ἕλεσι καὶ λίμναις, καὶ ποταμοῖς ἰλυώδεσι, καὶ βορβόροις διαιτωμένων. ἀεὶ γὰρ χείρονι χρῶνται, καὶ νήξεσιν ἐλάττοσι, καὶ τροφαῖς μοχθηροτέραις, καὶ μάλιστα ὅταν ἐκ πόλεως μεγάλης ῥέῃ τὸ ὕδωρ, ἐκκαθαῖρον ἀποπάτους τε καὶ βαλανεῖα, καὶ μαγειρεῖα, καὶ τὰ τῶν πλυνόντων τὰς ἐσθῆτα, καὶ τὰς ὀθόνας ῥύμματα. χείριστη γὰρ ἡ σὰρξ γίνεται τῶν ἐν ὕδατι τοιούτῳ διαιτωμένων ζώων, μάλιστα μὲν, ὅταν ἐν αὐτῷ μόνῳ διατρίβωσι, κἂν ἐπιμίγνυνται δὲ βελτίονι, μοχθηρότεραι πολλῷ καὶ οὗτοι τῶν ἐν καθαρᾷ θαλάττῃ διαιτωμένων, εἰσίν. ἄμεμπτοι γὰρ ὀλίγου δεῖν ἅπαντες ὑπάρχουσιν, ὅσοι καὶ μετὰ τῶν ἀμίκτων ὕδατι γλυκεῖ διατρίβουσιν, ὥσπερ οἵ τε πελάγιοι καλούμενοι, καὶ οἱ πετραῖοι. καὶ γὰρ εἰς εὐχυμίαν, καὶ τὴν ἐν αὐτῇ τῇ μετὰ τὴν ἐδωδὴν ἡδονῇ προέχουσι πολὺ τῶν ἄλλων. ἀσφαλέστατον μὲν οὖν ἀεὶ προσφέρεσθαι τῶν τοιούτων. εἰ δ' ἔτι ζῷον εἴη τῶν ἑκατέροις τοῖς ὕδασι διαιτωμένων, ὥσπερ ὁ κέφαλος, καὶ ὁ λάβραξ, ὅτε κωβιός. καὶ ἡ σμύραινα, καρκῖνοι τε, καὶ ἐγχέλυες, ἀναπυνθάνεσθαι μὲν πρότερον, ὅθεν, εἴη τε θηρευμένον, μετὰ δὲ ταῦτα, τῇ ὀσμῇ, καὶ τῇ γεύσει τὴν διάγνωσιν αὐτῶν ποιεῖσθαι, καὶ γὰρ δυσώδεις καὶ ἀηδεῖς, καὶ βλεννώδεις, ὅσοι τὴν δίαιταν ἔχουσιν ἐν ὕδατι μοχθηρῷ. καὶ μὲν οὗτοι καὶ λίπος αὐτοῖς ὑπάρχει πολὺ πλέον, ἤπερ τοῖς ἄλλοις, καὶ σήπονται ταχέως. οἱ δ' ἐν θαλάττῃ καθαρᾷ διαιτώμενοι, τήν τε ὀδμὴν ἄμεμπτον ἔχουσι, καὶ τὴν γεῦσιν ἡδεῖαν, τό, τε λίπος ὀλίγιστον, ἢ οὐδ' ὅλως, ἐξαρκοῦσι τε πλείονι χρόνῳ σηπόμενοι. καὶ μάλιστα ὅταν αὐτοῖς τις περιβάλλῃ χιόνος. μετὰ ταῦτα μὲν οὖν καὶ κρείττους οἱ σκληρότεροι γίνονται ψαθυροτέραν ἴσχοντες τὴν σάρκα τοῖς πετραίοις τε, καὶ τοῖς ὀνίσκοις ὁμοίως. ὃ γὰρ τούτοις ὑπάρχει φύσει, τοῦτο τοῖς σκληροσάρκοις ἐκ τῆς χιόνος προσγίνεται. διὰ τοῦτ' οὖν ἐναντιωτάτην ἔχουσιν οὐσίαν τῆς σαρκὸς, οἵ τ' ἐκ θαλάττης καθαρᾶς κέφαλοι, καὶ οἱ κατὰ τὸ μοχθηρὸν ὕδωρ διαιτώμενοι. παραπλησίως δ' αὐτοῖς καὶ οἱ κωβιοί. καὶ οἱ λάβρακες. ἔτι τε τούτων μᾶλλον οἱ ἄλλοι. καὶ σμύραιναι δὲ φαυλόταται γίνονται κατὰ τὰ τοιαῦτα τῶν ὑδάτων ἡ δ' ἔγχελυς, οὐδ' ὅλως εὔχυμον ἔδεσμα κἂν ἐξ ὕδατος ᾖ καθαροῦ. μή τοι γε δὴ τοῦ πόλιν ἐκκαθαίροντος, ὡς εἴρηται καὶ. † περὶ τὰς ἐπιχωρίους δὲ τροφὰς, ἀμείνους τε καὶ χείρους ἑαυτῶν ἰχθύες γίνονται, διαγινωσκόμενοι ῥᾳδίως ὀσμῇ τε καὶ γεύσει. καθάπερ αἱ τρίγλαι μοχθηρότεραι γὰρ αὐτῶν, αἱ τὴν καρκινάδα σιτούμεναι. τῶν δ' ἄλλων ἡ σὰρξ, σκληροτέρας ἐστὶν ὕλης. οὐ μόνον τῶν τῶν πετραίων τε, καὶ ὀνίσκων, ἀλλὰ καὶ κεφάλων, καὶ λαυράκων καὶ τῶν ἄλλων πελαγίων, καὶ μετὰ τοῦτο δυσπεπτότερά τε, καὶ τροφιμώτερα, κακόχυμον οὐδὲν ἔχουσα. λέλεκται καὶ τελεώτερον ὑπὲρ ἁπάσης τροφῆς ἐν τρισὶν ὑπομνήμασιν, ἃ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων ἐπιγέγραπται, καὶ χρὴ τῶν ὑγιεινῆς τροφῆς φροντίζοντα, μήτε τῆς ἐκείνων ἀναμνήσεως ἀμελῆσαι, μήθ' ὅλως τῆς ὑγιεινῆς πραγματείας, ἧς μέρος ἐστὶ καὶ τὸ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων, ἀλλὰ καὶ περὶ τῆς λεπτυνούσης διαίτης, ἐναντίας οὔσης τῇ παχυνούσῃ διαίτῃ, γέγραπται βιβλίον ἕτερον ἱκανῶς χρήσιμον, οἷς ὑγεία, σπουδάζεται, μεμνῆσθαι δέ σε πρὸ πάντων βούλομαι κατὰ τὰς τοιαύτας πραγματείας, ὡς οὔτε βοηθήματος, οὔθ' ὑγιεινῶν διαιτημάτων ἐπιστήμων ἐστὶ τελέως, ὁ τὰς τῶν ὑλῶν δυνάμεις ἀκριβῶς ἐκμαθὼν, ἐὰν μὴ γινώσκῃ τὰς τῶν σωμάτων φύσεις, οἷς ταῦτα προσάγεται. τινὰ μὲν γὰρ αὐτῶν ἐστὶ πυκνὰ, καὶ ἀδιάπνευστα. τινὰ δ' ἀραιὰ, καὶ ῥᾳδίως ἐκκενούμενα. καὶ δεῖται δηλονότι τροφῆς ὑγροτέρας τὰ πρότερα, ξηροτέρας δὲ τὰ δεύτερα. καὶ τὰ μὲν κολλωδεστέρας, τὰ δὲ λεπτοτέρας. καὶ τὰ μὲν ἐλάττονος, τὰ δὲ πλείονος. οὕτως δὲ καὶ ὅσοι μελαγχολικώτερον ἔχουσι τὸ αἷμα, τῶν ὑγρῶν καὶ θερμῶν τῇ κράσει δέονται τροφῶν, ὥσπερ γε καὶ ὅσοι † χολωδέστερον ὑγρῶν καὶ ψυχρῶν. ὡσαύτως δ' οἱ φλεγματώδεις, θερμαινουσῶν τε καὶ ξηραινουσῶν. ὅσοι δ' αἷμα χρηστὸν ἀθροίζουσι πλέον, ὀλιγοτέρων μὲν ἐδεσμάτων χρῄζουσιν. ἐπιφανῆ δ' οὐδεμίαν ἐχόντων δύναμιν, ἀλλ' ἐν τῷ μέσῳ καθεστηκότων, ὡς μήτε θερμαίνειν ἀξιολόγως, μήτε ψύχειν, ὥσπερ γε καὶ μήθ' ὑγραίνειν. ἢ ξηραίνειν. οὕτω δὲ καὶ πάχους καὶ λεπτότητος ἐν τῷ μέσῳ καθεστηκότων, ὡσαύτως δὲ γλισχρότητός τε καὶ τῶν ἐναντίων αὐτῇ, κραυρότητα δὲ λέγω καὶ ψαθυρότητα. ὑπάρχει δὲ κραυρότης μὲν, τοῖς σκληροῖς τε καὶ ξηροῖς ἱκανῶς. ψαθυρότης δὲ, τοῖς μαλακοῖς τε καὶ μετρίοις, καθ' ὑγρότητα τε καὶ ξηρότητα. κοινὸν δ' ἀμφοῖν, τὸ μηδὲν ἔχειν γλίσχρον. διαγνωστικὸν οὖν εἶναι προσήκει, τὸν ὀρθῶς χρησόμενον ταῖς τροφαῖς, πρῶτον μὲν τῆς κατ' ἀραιότητά τε καὶ πυκνότητα τοῦ δέρματος ἐν τοῖς ἀνθρώποις διαφορᾶς, ἐφεξῆς δ' αὐτῇ, τῆς ὅλης τοῦ σώματος κράσεως. εἶθ' ἑξῆς εἰ σώζει πάντα τὰ μόρια τοῦ σώματος τὴν οἰκείαν κρᾶσιν. ἐνίοτε μὲν γὰρ, ἡ κεφαλή ἐστι θερμοτέρα τοῦ προσήκοντος, ἡ γαστὴρ δὲ ψυχροτέρα. πολλάκις δὲ τοὐναντίον. ἡ γαστὴρ μὲν, θερμοτέρα, ψυχροτέρα δ' ἡ κεφαλή. καὶ τἄλλα μόρια πάνθ' ὡσαύτως. ἡ μὲν οὖν ἄλλη πᾶσα θεραπευτική τε καὶ ὑγιεινὴ μέθοδος, ἁπάντων ὁμοτίμως ἐστόχασται, τὰ δὲ κατὰ τὰς τροφὰς, ἐξαίρετον μὲν ἔχει, καὶ πρῶτον σκοπὸν, ὅπως ἄριστα πεφθήσεται, δεύτερον δὲ ἐπὶ τῷδε τὸν ἀναδοθησόμενον ἐκ τῆς πεφθείσης τροφῆς χυμὸν, ἐπιτήδειον εἶναι τῇ κράσει τῶν ἄλλων μορίων. ἀναγκαία τοιγαροῦν ἐκ τῶνδε φαίνεται τοῖς ὀρθῶς μέλλουσι χρῆσθαι τροφαῖς, ἡ περὶ κράσεως πραγματεία καὶ τούτῳ ὡς γεγυμνασμένῳ τοι κατ' αὐτὴν ὅσον ἔθ' ὑπόλοιπόν ἐστιν εἰς εὐχυμίαν τε καὶ κακοχυμίαν ἀναγκαῖον ἐγνῶσθαι, προσθήσω, τὴν ἀρχὴν ἀπὸ τῶν οἴνων ποιησάμενος. ὅσοι μὲν οὖν αὐτῶν ὑδατώδεις εἰσὶ καὶ λεπτοὶ κατὰ σύστασιν, οὔρησίν τε κινοῦντες, ὀλιγίστην παρέχουσι τῷ σώματι τροφήν. ὅσοι δὲ παχεῖς, ὥσπερ ὁ θηραῖος τε καὶ ὁ σκυβελίτης, ἀξιολόγως τρέφουσι. διαφέρουσι δ' ἀλλήλων τῷ μᾶλλον τε καὶ ἧττον, ἀνάλογον τῷ πάχει. τοιοῦτος δέ ἐστιν οἶνος παρ' ἡμῖν ἐν αἰγαῖς καὶ περπερίνῃ. τῇ μὲν ὁμόρῳ, μυσίῃ, τῇ δὲ περγάμῳ. τελέως μὲν οὖν εἰσὶ γλυκεῖς, ὅ τε σκυβελίτης, καὶ ὁ θηραῖος, αὐστηρὸς δὲ ἅμα καὶ γλυκὺς ὁ κιλίκιος ὁ ἀβάτης ἀπὸ χωρίου τὴν προσηγορίαν ἔχων. ὁ δ' ἐν αἰγαῖς καὶ περπερίνῃ, μέσοι τούτων εἰσίν. οὔτε γλυκεῖς ἀκριβῶς ὄντες, οὔτε στύψιν ἔχοντες ἀξιόλογον, ὁμοίως τῷ κιλικίῳ. μέλανες δὲ πάντες οὗτοι τυγχάνουσιν ὄντες. οὐ δὲ γὰρ ἂν εὕροις οὐδένα παχὺν ἅμα καὶ γλυκὺν οἶνον ὃς οὐκ ἔστι μέλας. ἐὰν οὖν τῶν λευκοτάτων οἴνων ἑψήσῃς τὸ γλεῦκος, ὡς τὸ καλούμενον ἐργάσασθαι σίραιον, ὅπερ ἕψημα παρ' ἡμῖν ὀνομάζεται, μέλαν ἴσχει τὸ χρῶμα πα-

† ἄλ. παρὰ

† ἄλ. πικρόχολον

ραπλησίως

παραπλησίως τῷ θηραίῳ. μέλαν δὲ, καὶ τὸ τοῦ καρυίνου χρῶμα ἐστὶ γλυκέως ὄντος αὐτοῦ. τὸ δὲ τοῦ θηραίου μέλαν μὲν, ἀλλ' οὐκ ἴσον τῷ καρυίνῳ. ἀπολείπεται γάρ τι καὶ τῇ γλυκύτητι τοῦ καρυίνου. λευκὸς δὲ οἶνος οὐδεὶς, γλυκύς ἐστι. ἀλλά τινες μὲν, αὐστηροί τε καὶ παχεῖς. τινὲς δ' ὑδατώδεις τε καὶ λεπτοί. ξανθοὶ δὲ καὶ κιῤῥοί, τινὲς μὲν γλυκεῖς εἰσὶ μετρίως, ὥσπερ ἱπποδαμάντιός τε καὶ φαυστινιανὸς φαλερῖνος, ἔνιοι δ' ὅλως γλυκεῖς. οἱ δ' ἐρυθροί, παχύτεροι τούτων, ὥσπερ γε τούτων ἕτεροι πλησιάζοντες ἤδη κατὰ τὸ χρῶμα τοῖς μέλασιν. ἡ ῥοπὴ δ' ἐξ ἁπάντων ἐστὶν αὐτῶν, ἀνάλογος τῷ πάχει, καὶ διὰ τοῦτο τοῖς μὲν ἀναθρέψεως δεομένοις, ἐπιτρεπτέον χρὴ πίνειν τοὺς γλυκεῖς, καὶ μάλιστα ὅταν ἀμέμπτως ἔχωσι τὰ καθ' ἧπάρ τε καὶ σπλῆνα καὶ νεφρούς. τοῖς δ' ἤδη παχὺν ἠθροικόσι χυμὸν ἐν ταῖς φλεψὶν, οἱ λεπτοὶ κατὰ τὴν σύστασιν χρήσιμοι. ψυχρῶν μὲν ἠθροισμένων ἐν ταῖς φλεψὶ χυμῶν, οἱ δριμεῖς καὶ παλαιοί, μὴ ψυχρῶν δὲ, ὅσοις τούτων οὐδέτερον ὑπάρχει. βελτίους μὲν οὖν εἰς εὐχυμίαν, οἱ εὐώδεις. ἀλλὰ καὶ κεφαλὴν πλήττουσι. κρείττους δ' εἰς οὔρησιν οἱ λεπτοί, κεφαλῆς δ' οὐδ' ὅλως ἅπτονται. φεύγειν δὲ τοὺς παχεῖς ἅμα καὶ δυσώδεις καὶ ἀηδεῖς καὶ αὐστηρούς. οἷός ἐστιν ὁ φαῦλος βικοῦς ἐν τοῖς μεγάλοις κεραμίοις. ὁ δ' ἐν τοῖς μικροῖς, οὔτ' ἀηδὴς, οὔτε δυσώδης, οὔτε παχὺς ἄγαν ἐστίν. ἀλλ' οὐδὲ τὴν στύψιν ἔχει στρυφνήν. εὔχυμος δ' οὐδ' οὗτος, ὥσπερ οὐδὲ κακόχυμος, ἀλλ' ἐν τῷ μεταξὺ τῶν εὐχύμων τε καὶ κακοχύμων ἐστί. τῶν γε μὴν εὐχυμοτάτων οἴνων, καὶ ὁ φαλερῖνος ἐστὶ καὶ μᾶλλον ὁ γλυκύτερος. ἐκ τοῦ αὐτοῦ δὲ γένους τῷδε, καὶ ὁ κιῤῥὸς τμωλίτης ὁ γλυκύς. ἔστι γοῦν καὶ τούτου τὸ ἕτερον εἶδος, αὐστηρὸς οὐχ ὁμοίως εὔχυμος. ὥσπερ οὐδ' ἄλλος οὐδεὶς αὐστηρὸς ἱκανῶς, εἰ καὶ ῥώμην ἐντίθησιν ἐκλύτῳ στομάχῳ καὶ γαστρὶ, καὶ μάλιστα κατὰ δυσκρασίαν θερμὴν πεπονθόσιν. ἕνεκα γὰρ τούτου καὶ τοῦ συστῆσαι ῥευματιζομένην γαστέρα χρώμεθα τοῖς αὐστηροῖς οἴνοις, ἄλλως οὐκ ἂν χρησάμενοι, διὰ τὸ μήτ' ἀναδόσει τροφῆς, μήθ' αἱματώσει, μήτ' εὐχυμίᾳ, μήτ' οὔρων εὐῤῥοίᾳ, μήθ' ἱδρώτων ἐκκρίσει, μήτε γαστρὸς ὑπαγωγῇ συντελεῖν αὐτούς. ἀλλ' οὐ πρόκειται νῦν οὔτ' ἀρετὰς οὔτε κακίας οἴνων πάσας διεξελθεῖν, καὶ μάλιστα ὅσαι διαφέρουσι νόσοις. ὅπερ οὖν πρόκειται, πάλιν ἀναληφθὲν ἐν κεφαλαίοις βραχέσιν εἰρήσεται. τοῖς χολωδεστέροις σώμασιν, εἴτε διὰ φυσικὴν δυσκρασίαν, εἴτε δι' ἐπίκτητον ὁπωσοῦν γεγονυῖαν, οὔτε φαλερῖνος, οὔτε τμωλίτης κιῤῥὸς γλυκὺς, οὔτ' ἀριούσιος, οὔθ' ὁ λέσβιος ὁ εὐώδης τε καὶ κιῤῥὸς, ὅμοιος τοῖς προειρημένοις ὤν, ἐπιτήδειος πίνεσθαι. θερμοὶ γοῦν ἅπαντες οἱ τοιοῦτοι. μήτ' οὖν χολώδεσι, μήτε τοῖς ἐξ ἐγκαύσεως, ἢ καμάτων πολλῶν, ἢ ἐνδείας, ἢ λύπης, ἢ ὥρα, ἢ χώρα, καὶ καταστάσει θερμῇ διδόναι τοιοῦτον οἶνον. ἐξ ὑπεναντίου μὲν οὖν ἀγαθὸς ἅπασι τοῖς θερμαίνεσθαι δεομένοις, φλεγματώδεσι καὶ ψυχραῖς κράσεσι, καὶ χυμῶν πλῆθος ὠμῶν ἠθροικόσιν, ἀργῶς βιοῦσιν ἐν χωρίῳ ψυχρῷ, καὶ χειμῶνι, καὶ καταστάσει ψυχρᾷ, καὶ ὑγρᾷ. τούτοις μὲν ἅπασιν ἀγαθὸς ὁ κιῤῥὸς οἶνος καὶ γλυκύς, ἐναντίος δὲ τοῖς ἐναντίως ἔχουσιν, οὐχ ὡς κακοχυμίαν ἐργαζόμενος, ἀλλ' ὡς θερμαίνων τοὺς ψύχεσθαι δεομένους. ἕτοιμον γοῦν αὐτοῖς ἐστὶ τούτων πίνουσιν, καὶ κεφαλὴν ἀλγῆσαι, καὶ πυρέξαι, καί τι τοῖς νεύροις παθεῖν. οἱ δὲ τῶν κιῤῥῶν, τε καὶ μετρίως γλυκέων, οὐδεὶς (γὰρ κιῤῥὸς ἄκρως ἐστὶ γλυκὺς) ἐπὶ τὸ μελάντερον δὲ καὶ γλυκύτερον ῥέποντες, οὐχ ὁμοίως θερμοὶ τοῖς κιῤῥοῖς εἰσίν, εἰκότερον οὖν οὔτε κεφαλὴν, οὔτε νεῦρα βλάπτουσιν, οὔτε πυρετοὺς ἐξάπτουσιν ὡσαύτως ἐκείνοις. ὅτι δὲ γαστρὸς οἱ γλυκεῖς οἶνοι καὶ παχεῖς εἰσὶν ὑπακτικοὶ, σχεδὸν οὐδεὶς ἀγνοεῖ. καθάπερ γε καὶ περὶ γλεύκους ὅπως ἐστὶ φυσῶδες τὸ δύσπεπτον καὶ παχύχυμον, καὶ μόνον ἀγαθὸν ἔχον, ὑπάγειν γαστέρα, κἂν ἀτυχήσῃ ποτὲ τούτου, βλαβερώτερος γίνεται. πάντων δ' οἴνων κοινόν ἐστιν, ὅσοι γε μὴ πάνυ παχεῖς εἰσι καὶ λίαν γλυκεῖς, ὥσπερ ὁ θηραῖός τι καὶ ὁ σκυβελίτης, ἐπειδὰν εἰς χρόνου μῆκος ἐκταθῶσι, ξανθὴν τὴν χρόαν γίνεσθαι, καί τι καὶ στίλβον ἔχειν, ὁμοίως πυρί, καὶ γοῦν οἱ μέλανες, οἷός περ ἐστὶν ὁ παρ' ἡμῖν ἐν περπερίνῃ γιγνόμενος, εἰ χρονίσαιεν, εἰς ἐρυθρὰν μὲν ἢ κιῤῥὰν πρότερον ἀφικνοῦνται ποιότητα, μετὰ ταῦτα δ' εἰς ξανθότητα. καὶ ὁ λευκὸς, ὁποῖος ὁ βιθυνὸς ἀμιναῖος. ὀνομάζουσι δὲ ῥωμαῖοι τὸν οὕτως παλαιωθέντα κέκουβον, ὃν οὐκ ἂν ἔτι γνωρίσαις ἐξ ὁποίου γένους ἦν. ἤδη δ' ὁ τοιοῦτος ἐστὶ καὶ πικρός, καὶ διὰ τοῦτ' ἂν μὴ ἐπιτήδειος εἰς πόσιν. ἀλλ' οἵ γε καπηλεύοντες τοὺς οἴνους μιγνύντες τοῖς νέοις τοὺς τοιούτους, ὡς παλαιοὺς πιπράσκουσιν, ἐξαπατῶντες τῇ πικρότητι τοὺς ἀγνοοῦντας ἀκριβῶς οἴνων γεύεσθαι. φεύγειν οὖν χρὴ τῶν οὕτω παλαιῶν τὴν πόσιν, ὥσπερ καὶ τῶν πάνυ νέων. οἱ μὲν γὰρ, ὑπερθερμαίνουσιν οἱ δ' οὐδ' ὅλως θερμαίνουσιν ἔστ' ἂν ὦσιν νέοι. τοσοῦτον γὰρ δέουσιν συντελεῖν ταῖς τῶν σιτίων πέψεσιν, ὥστ' αὐτοὶ μόλις πέττονται. πρὸς τούτοις δ' οὐδ' ὑπέρχονται κατὰ τὴν κοιλίαν, οὔτ' ἀναδίδονται ῥᾳδίως, οὔτ' οὖρα προτρέπουσιν, οὔθ' αἱματώσει συντελοῦσιν, οὐδὲ θρέψει. διαμένουσι δ' ἐπὶ πλεῖστον ἐν τῇ γαστρὶ μετέωροι, παραπλησίως ὕδατι. κἂν βραχύ τις αὐτῶν πίῃ, ῥᾳδίως ὀξύνονται. μόνους δ' ἄν τις τοὺς νέους ἐν ἀγαθῷ πίνοι, τοὺς λεπτοὺς τῇ συστάσει. καθάπερ ἐν ἰταλίᾳ ὅ, τε γαυρίας ὀνομαζόμενος ἐστὶ, καὶ ὁ ἀλβανὸς, ἔνιοί τε τῶν ἐν τοῖς σαβίνοις τε καὶ τούσκοις γεννωμένων. οὐ γοῦν δὴ πάντες εἰσὶ τοιοῦτοι. καὶ περὶ † δὲ πόλιν ὁ κατὰ τὸν ὑπερκείμενον αὐτῇ λόφον ἀμιναῖος, ἐν τάχει πότιμος γίνεται. κατὰ δὲ τὴν ἀσίαν παρ' ἡμῖν, ὅ τε τιβηνός ἐστι τοιοῦτος, καὶ ὁ ἀρσύινος, καὶ μετ' αὐτοὺς ὁ, τιτακαζηνός, ἀλλὰ τούτους μὲν ὡς παραδείγματος προὐχειρισάμην, ἐθεασάμην δὲ τοιούτους οἴνους ἐν ἅπασι σχεδὸν τοῖς ἔθνεσιν, ἀλλ' ἀγνοοῦσιν αὐτοὺς οἱ ξένοι, καὶ κατὰ διττὴν αἰτίαν, ὅτι τε παντάπασιν ὀλίγοι γεννῶνται, καὶ διότι μακρὸν πλοῦν οὐ φέρουσιν, ὡς ὑπὸ τῶν ἐμπόρων μὴ δύνασθαι εἰς ἄλλην χώραν μετακομίζεσθαι. διορίσαις δὲ ῥᾳδίως τοὺς τοιούτους οἴνους, πρῶτον μὲν καὶ μάλιστα τῇ λεπτότητι πλησίον ἥκοντας ὕδατος. εἶτα καὶ λευκότητι, καὶ γευομένῳ δ' ἂν σοι φανεῖεν ὑδατώδεις, οὐδεμίαν ἔχοντες ἰσχυρὰν στύψιν. ἔν τε τῷ κεράννυσθαι μὴ φέροντες ὕδατος μίξιν πολλὴν, διὸ καὶ πρὸς τῶν παλαιῶν ἰατρῶν, ὀλιγοφόροι κέκληνται, καὶ μέντοι καὶ καθάπερ οἱ κιῤῥοὶ θερμοὶ τὴν δύναμιν ὄντες, αὐτίκα πληροῦσι τὴν κεφαλὴν. οὕτως. οἱ τοιοῦτοι πρὸς τῷ μηδέποτε βλάπτειν αὐτὴν, ὠφελοῦσιν, ἐνίοτε παύοντες ὀδύνας μικράς τινας, ὅσαι διὰ τοὺς ἐν τῇ κοιλίᾳ χυμοὺς εἰώθασι γίγνεσθαι. ἡ γάρ τοι κεφαλῆς, οὐ μόνον ὅταν αὐτὴ πάσχῃ τι πάθος ἴδιον ὀδυνωμένης, ἀλλὰ καὶ διὰ τὴν κοιλίαν ἀναπεμπουσῶν ἀτμοὺς χυμῶν μοχθηρῶν, ἡ τοιαύτη κεφαλαλγία, δι' οἴνου πόσεως ὀλιγοφόρου, ἰᾶται βραχεῖαν ἔχοντος στύψιν. ὅσοι γὰρ ἔκλυτοι παντάπασιν εἰσὶν, ὥσπερ ὁ παρ' ἡμῖν τιβηνὸς, ἐν ἰταλίᾳ δὲ τῶν σαβίνων ἔνιοι τοσούτῳ χείρους ὑπάρχουσι τῶν ἀτρέμα στυφόντων, ὅσῳ βελτίους εἰσὶν ὕδατος, εὕροις γὰρ ἄν ποτε καὶ δι' ὕδατος πόσιν, ἀλγοῦντας ἐνίους τὴν

† al. νεαπ aliqui

κεφαλὴν, καὶ μάλιστα ὅταν ᾖ μοχθηρὸν, ὡς αὐτῆς τε διαφθειρομένης, καὶ τὸν φυσικὸν τόνον ἐκλύοντος. τῆς δὲ γαστρὸς ἀτονησάσης ἰχῶρες χολώδεις εἰώθασιν συῤῥεῖν ἐκ τοῦ σώματος εἰς τὸ κύτος αὐτῆς, ὥσπερ τοῖς νηστεύσασιν, ὧν τῆς κακίας τε καὶ βλάβης, ὁ προειρημένος οἶνος ἐλευθεροῖ τὸν ἄνθρωπον, ἐκ μὲν τοῦ παραχρῆμα περὶ τῆς ἀνακράσεως λόγῳ, μετὰ βραχὺ δὲ, καὶ περιρρωσθεῖσαι τὴν κοιλίαν, ὠθεῖν ἀφ᾽ ἑαυτῆς κάτω τὰ λυποῦντα. ταῖς μέν τοι θερμαῖς πάνυ κράσεσι τῶν ἀνθρώπων, ἢ διὰ φύσιν, ἢ διὰ ἡλικίαν, † ὠφελιμώτατον οἴνου, ποτὸν ὕδωρ ἐστὶν, εἰ δέ ποτε καὶ δεήσειεν οἴνου, τό τε λεπτὸν, καὶ μετρίως αὐστηρὸν αὐτοῖς διδόναι. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐπὶ πάντων ἐδεσμάτων τε καὶ πομάτων οὐκ ἁπλῶς ἑκάστῳ χρῆσθαι βέλτιον, ἀλλὰ μετὰ τοῦ διορίζεσθαι τὰς φύσεις τῶν χρωμένων. ἔστι δὲ μεγίστη μὲν ἐν τοῖς οἴνοις διαφορὰ, καθ᾽ ἃ δὴ σκοπουμένων ἡμῶν ὡς διῄρηται. βραχεῖα δ᾽ ἐν τοῖς ἄλλοις. οὐ γὰρ ἂν εὕροις ποτὲ φακὴν ἢ κράμβην ὑγραίνουσαν, ἀλλ᾽ ἧττον μὲν ἑτέραν ξηραίνουσαν, ὑγραίνουσαν δ᾽ οὐδεμίαν. ἔτι δὲ μᾶλλον οὐκ ἂν εὕροις τι γένος κρομμύων, ἢ πράσων, ἢ σκορόδων ψύχον, ἀλλ᾽ ἧττόν τε καὶ μᾶλλον θερμαῖνον. οὐκ οὖν οὐδὲ θριδακίνην θερμαίνουσαν, οὐδ᾽ ἀτράφαξυν, ἢ βλίτον, ἢ ἀνδράχνην, οὐ μὴν οὐδὲ τὸ μᾶλλον καὶ ἧττον ἐν αὐτοῖς μεγάλην ἔχει διαφοράν. ἐπὶ δὲ τῶν οἴνων, ὁ παλαιότατος, ὃν ἔφην ὑπὸ ῥωμαίων ὀνομάζεσθαι κεκοῦβον, εἰς τοσοῦτον τοῦ λευκοῦ τε ἅμα καὶ αὐστηροῦ καὶ νέου διήνεγκε καὶ παχέος οἴνου, ὡς τὸν μὲν, ἱκανώτατα θερμαίνειν, τὸν δὲ ψύχειν αἰσθητῶς. οὐκ ὀλίγη δ᾽ ἐστὶ καὶ κατὰ τὸ μέλι διαφορὰ, τό γε μὴν μοχθηρὸν ὡς ἤτοι δυσῶδες ὑπάρχον, ἢ γευόμενον ἄλλην τινὰ ἐμφαίνειν ποιότητα μεμιγμένην οὐ μέλι τὸ τοιοῦτο. τοῦ δ᾽ ἀμέμπτου μέλιτος αἱ διαφοραὶ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, ἐν γλυκύτητι καὶ δριμύτητι τυγχάνουσιν οὖσαι, τοῦ γλυκυτάτου † μετὰ δριμυτάτου, εἰς ἄκρον ἥκοντος ἀρετῆς. ἀλλὰ τό γε θερμὸν, ὃν τῇ δυνάμει πᾶν, εἰς χολὴν μεταβάλλειν ἑτοίμως ἐν τοῖς θερμοῖς σώμασι κοινὸν αὐτῷ ἐστι. καὶ διὰ τοῦτο χρήσιμον ἔδεσμα φύσεσι μὲν φλεγματικωτέραις, ἡλικίαις δὲ πρεσβυτικαῖς, ὥσπερ γε καὶ νοσήμασι ψυχροῖς. ὀξύμελι γε μὴν, χρησιμώτατον ἁπάσαις ταῖς ἡλικίαις τε καὶ φύσεσιν εἰς ὑγιεινὴν ἀσφάλειαν ἐκφράττον ἁπάσας τὰς στενὰς διεξόδους, ὡς μηδαμόθεν παχὺν, ἢ κολλώδη χυμὸν ἴσχεσθαι. διὰ τοῦτο γ᾽ ἔτι καὶ τὰ καλούμενα πρὸς τῶν ἰατρῶν ὑγιεινὰ φάρμακα, τῆς λεπτυνούσης ἅπαντα ἐστὶ δυνάμεως, ἀσφαλέστερα μὲν εἰς ὑγείας φυλακὴν ἢ δίαιτη τῆς παχυνούσης, εὐεξίαν δὲ καὶ ῥώμην ἀδύνατος ἐργάζεσθαι. βούλονται δ᾽ ἔνιοι σφαλερῶς ὑγιαίνειν, μᾶλλον εὐεκτοῦντες, ἢ βεβαίαν ὑγείαν κεκτῆσθαι, διαπαντὸς ἰσχνοὶ καὶ ἀσθενεῖς ὄντες. ἀλλὰ τούτων δ᾽ αὐτῶν ὅσοι σὺν εὐεξίᾳ καὶ ῥώμῃ τὴν ὑγίειαν ἔχειν ἐθέλουσιν, ἔνιοι μὲν ἑαυτοῖς σχολάζουσιν, ἔνιοι δὲ στρατιωτικὸν ἐπανῄρηνται βίον, ἀναγκαζόμενοι καὶ νυκτὸς ἀναστῆναι, καὶ δι᾽ ὅλης ἡμέρας ἀναγκαίαις πράξεσι κάμνειν δουλεύοντες, ὧν τὸ πρὸ τοῦ βαλανείου γυμνάσιον, οἷς γε δὴ δυνατὸν ἴσχειν, κἂν τοῦτο τὸ καλούμενον ὑπὸ τῶν γυμναστικῶν ἀποθεραπευτικόν, οἱ πολλοὶ δὲ δι᾽ ἀσχολίαν, οὐδὲ τούτῳ χρῆσθαι δύνανται. τούτοις οὖν ὑγιαίνειν ἀδύνατον διαπαντός. κἂν σωφρόνως διαιτῶνται. οἱ δὲ ἐφ᾽ ὅσον ἐγχωρεῖ τὰ δέοντα πράττοντες, ὀλιγάκις νοσήσουσιν. ἀπέχεσθαι μὲν οὖν αὐτοῖς ἀναγκαῖον ἐστὶ τῶν πολυτρόφων ἐδεσμάτων. ἃ παχεῖς γεννᾷ χυμούς. ἀλλὰ μετρίως γε τοῦτο πρακτέον. ἐν ἐκείνοις τε τοῖς καιροῖς ὁπότε σαφῶς ἐνδείας αἰσθάνονται. τὸν δὲ ἄλλον χρόνον ἅπαντα, τοῖς μέσοις ἐδέσμασι, τῶν ὀλιγοτρόφων καὶ πολυτρόφων χρηστέον. ἀφεκτέον μὲν ἀεὶ τῶν κακοχύμων, πλὴν εἴ ποτε δέοι κάμνοντας ὥρᾳ θέρους θεραπεύεσθαι τήν γε ξηρότητα καὶ τὴν θερμασίαν ὅλου τοῦ σώματος, ἐπιτήδεια γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ, καὶ μῆλα, καὶ κοκκύμηλα, καὶ μῶρα, καὶ κεράσια προσληφθέντα. καὶ σικύου δὲ καὶ πέπονος, οὐ πολὺ προσενέγκασθαι τηνικαῦτα, καὶ μηλοπέπονος. ἔτι τε τῶν πραικοκκίων ὀνομαζομένων, ἢ περσικῶν ἐγχωρεῖ, καθάπερ γε καὶ τῆς καλουμένης παρὰ ῥωμαίοις μέλκης ἐψυχρισμένης, ἀφρογάλακτός τε, καὶ τῶν διὰ γάλακτος ἐδεσμάτων. ὁποῖόν ἐστι καὶ τὸ καλούμενον ἀργιτρόφημα, καὶ σῦκα δὲ ὁμοίως ψυχρὰ, καὶ κολοκύνθαι τοῖς οὕτω διακειμένοις ἐπιτήδειοι. σωφροσύνην δ᾽ ἀσκῶν ἄνθρωπος ἑτέρῳ τρόπῳ τὸν περὶ τοῖς εἰρημένοις καμάτοις αὐχμὸν τοῦ σώματος, ὑγραίνειν τε καὶ ψύχειν δύναται. παραγινόμενος γὰρ ἀπὸ τοῦ βαλανείου, καὶ προπιὼν ὕδατος μὲν πρῶτον, εἶτ᾽ οἴνου μετρίως ὑδαροῦς. ἐμέσας τε πᾶν ὃ ἔπιε, θριδακίνης μὲν πρῶτον ἀβλαβοῦς τε ἅμα καὶ ψύχοντος λαχάνου προσενέγκασθαι δύναται. μετὰ ταῦτα δὲ δι᾽ ὄξους τε καὶ γάρου, πόδας ὑείου καλῶς ἑψημένου, καὶ πτερύγων ἀλεκτορίδος, ἢ χηνὸς, ἢ καὶ τῆς γαστρὸς αὐτῆς, καὶ τινος ἰχθύος τηγανιστοῦ τῶν ἁπαλοσάρκων. εἰ δὲ βούλοιτο καὶ λαχανώδους τινὸς ἅψασθαι, τῶν μὴ κακοχύμων, ὁποῖόν ἐστι μαλάχη τε καὶ κολόκυνθα, μετὰ ταῦτα δὲ πιεῖν οἴνου, ὕδατι ψυχρῷ πάνυ κεκραμμένου. ἀπέχεσθαι δὲ καὶ ταρίχου πρὸ τούτου καὶ τῶν ὀνομαζομένων ῥοφητῶν ᾠῶν, ἰχθύων δὲ δι᾽ ἐλαίου καὶ γάρου λαμβανομένων ἐγχωρεῖ. βέλτιον γὰρ ὡς ἔφην ὕδατι ψυχρῷ τὴν ξηρὰν θερμότητα τοῦ σώματος ἰᾶσθαι, φεύγοντας ἀεὶ τὰ κακόχυμα τῶν ἐδεσμάτων. καὶ χόνδρος δὲ ψυχρὸς ἐξ οἰνομέλιτος καὶ οἴνου ψυχροῦ τὴν αὐτὴν τοῦ σώματος ἰᾶται διάθεσιν, ἄνευ κακοχυμίας. ἐμοὶ δ᾽ ἤρκεσε πολλάκις ἐν τοιαύτῃ διαθέσει γενομένῳ, πτισάνης χυλοῦ χρήσασθαι καλῶς ἐψυχρισμένῳ, κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἐν ᾧ μικρὸν ἔμπροσθεν ἔφην, ἐπιτηδείως ἄν τινα πιεῖν ψυχρὸν ἄλλο δ᾽ ἄλλῳ τὸ μέτρον ἔστω τοῦ ψύχοντος ἐδέσματός τε καὶ πόματος. οἷς μὲν χρῆσθαι χιόνι συνήθες, ἐκείνῃ προσψύχουσιν. οἷς δ᾽ ἀπὸ πηγῆς, ὕδατι προσφάτῳ, μηδὲν χιόνος δεομένοις. ἔστω δὲ ὁ κεραννύμενος οἶνος, ὡσαύτως προεψυχρισμένος. οὕτω γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, τοὺς ἐν ὕδατι ψυχροτάτῳ προεψυγμένους, ἀγγείου δηλονότι τὸν οἶνον ἔχοντος ἐνισταμένου κατὰ ὕδατι. ταῦτα μὲν οὖν ὑποτίθεμαι τοῖς ᾑρημένοις βίον ἐν ἀσχολίᾳ, καθάπερ οἱ διοικοῦντες ἔθνη καὶ πόλεις, ἔτι τε μᾶλλον οἱ τούτων ὑπηρέται, καὶ τούτων οὐδὲν ἧττον, ὅσοι κατὰ πόλεμον, ἢ ἐν ὁδοιπορίαις μακραῖς διατρίβουσιν. ὅσοι δὲ ἐλεύθεροι τῆς τοιαύτης ἀσχολίας, εἰ μὲν ἔθος ἔχοιεν γυμνάζεσθαι, σπανιώτατα δέονται πόσεως ψυχροῦ. μὴ γυμναζόμενοι δὲ θέρους ὥρᾳ ἀκμαίου θερμότητος αἰσθανόμενοι πολλῆς, ἀβλαβῶς ἂν ἀπὸ πηγῆς πίνοιεν, ἀπεχόμενοι χιόνος. εἰ γὰρ καὶ παραχρῆμα τὰ νέα τῶν σωμάτων οὐδὲν αἰσθητὸν ἡ χιὼν φαίνοιτο βλάπτουσα, λεληθότως γοῦν κατὰ βραχὺ τῆς βλάβης αὐξανομένης, ἐπὶ προήκοντι τῷ χρόνῳ παρακμαζούσης γε τῆς ἡλικίας, ἀνίατά τε καὶ δυσίατα αὖθις νοσήματα γίνεται, κατ᾽ ἄρθρα, καὶ νεῦρα, καὶ σπλάγχνα. πάσχειν δὲ εἰκὸς ἑκάστῳ τῶν βλαπτόντων ἐκεῖνο τὸ μέρος τοῦ σώματος, ὅπερ ἀσθενέστερον ᾖ φύσει. μέγιστον δ᾽ εἴς τε κακοχυμίαν καὶ νόσον ἐστὶν ἀπεψία συνεχής. ἐάν τ᾽ ἐπ᾽ εὐχύμοις, ἐάν τε περὶ κακοχύμοις ἐδέσμασι γίνεται. πρόδηλον δ᾽ ὅτι πολὺ χεῖρον, ἢ ἐπὶ τοῖς κακοχύμοις. διττῶν δ᾽ ὄντων αὐτῶν, ἐπὶ μὲν τοῖς τὸν λεπτὸν γεννῶσι χυμὸν, ὀξέα νοσήματα γίνεται μετὰ

† αλ. ὠφελιμώτερον

† αλ. καὶ δριμυτάτου αλ. μετὰ δριμύτητος

κακοήθων πυρετῶν. εἰ δ᾽ εἰς τὸ μόριον ἀποσκήψειεν ἡ κακοχυμία, τάτ᾽ ἐρυσιπέλατα, καὶ οἱ ἕρπητες, εἴ τέ τι θερμὸν οὕτω πάθος ἄλλο. περὶ δὲ τοῖς τὸν παχὺν, ἀρθρίτιδες, καὶ ποδάγραι, καὶ νεφρίτιδες, ἄσθματά τε καὶ σπληνὸς, καὶ ἥπατος σκιῤῥώδεις διαθέσεις. οἷς δ᾽ ἡ κακοχυμία μελαγχολικὴ, καρκῖνοι, καὶ λέπραι, καὶ ψῶραι, καὶ πυρετοὶ τεταρταῖοι, καὶ μελαγχολίαι, κακόχροιαί τε μέλαιναι, μετὰ σπληνὸς ὄγκου παραπλησίου συμπίπτουσι, καὶ κιρσοὶ, καὶ μέλανες αἱμοῤῥοΐδες τε πολλοῖς ἐγίνοντο, διὰ τοιοῦτον χυμόν. αἱ δ᾽ ἐπίμικτοι διὰ πλεόνων χυμῶν διαθέσεις, ἑρπητάς τε καὶ τὰ καλούμενα φαγεδαινικὰ τῶν ἑλκῶν, εἴτε τὰ κακοήθη πάντα καὶ πυρετοὺς ὀξεῖς ὑποστροφὰς ἐπιφέροντας, ὡς εἰς χρόνον αὖθις ἐμπίπτειν, ἀπεργάζονται.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΙΔΙΩΝ ΒΙΒΛΙΩΝ.

ΕΡΓΩ φανερὰ γέγονεν ἡ συμβουλή σου κράτιστε Βάσσε περὶ τῆς γραφῆς τῶν ὑπ᾽ ἐμοῦ γεγονότων βιβλίων. ἐν γάρ τοι τῷ σανδαλαρείῳ, καθ᾽ ὃ δὴ πλεῖστα τῶν ἐν Ῥώμῃ βιβλιοπωλείων ἐστὶν ἐθεασάμεθα τινὰς ἀμφισβητοῦντας, εἴτ᾽ ἐμὸν εἴη τὸ πιπρασκόμενον αὐτὸ βιβλίον, εἴτ᾽ ἄλλου τινὸς, ἐπεγέγραπτο δὴ γὰρ γαληνὸς ἰατρός. ὠνουμένου δέ τινος ὡς ἐμὸν, ὑπὸ τοῦ ξένου τῆς ἐπιγραφῆς, κινηθείς τις ἀνὴρ τῶν φιλολόγων, ἐβουλήθη γνῶναι τὴν ἐπαγγελίαν αὐτοῦ. καὶ δύο τοὺς πρώτους στίχους ἀναγνοὺς, εὐθέως ἀπέῤῥιψε τὸ γράμμα. τοῦτο μόνον ἐπιφθεγξάμενος. ὡς οὐκ ἔστιν λέξις αὕτη γαληνοῦ, καὶ ψευδῶς ἐπιγέγραπται τουτὶ τὸ βιβλίον. ὁ μὲν οὖν τοῦτ᾽ εἰπὼν ἐπεπαίδευτο τὴν πρώτην παιδείαν, ἣν οἱ παρ᾽ ἕλλησι παῖδες ἐξ ἀρχῆς ἐπαιδεύοντο παρά τε γραμματικοῖς καὶ ῥήτορσιν. οἱ πολλοὶ δὲ τῶν νῦν ἰατρικὴν ἢ φιλοσοφίαν μετιόντων, οὐδ᾽ ἀναγνῶναι καλῶς δυνάμενοι, φοιτῶσι παρὰ τοὺς διδάξαντας τά τε μέγιστα καὶ κάλλιστα τῶν ἐν ἀνθρώποις, τὰ θεωρήματα, ἃ φιλοσοφία τε καὶ ἰατρικὴ διδάσκουσιν. ἤρξατο μὲν οὖν ἡ τοιαύτη ῥᾳδιουργία πρὸ πολλῶν ἐτῶν, ἡνίκ᾽ ἔτι μειράκιον ἦν ἐγώ. οὐ μὴν εἰς τοσοῦτόν γε εἰς ὅσον νῦν ηὔξηται, προεληλύθει τὸ κατ᾽ ἐκεῖνον τὸν χρόνον. διά τε οὖν αὐτὸ τοῦτο, καὶ διότι πολυειδῶς ἐλωβήσαντο πολλοὶ τοῖς ἐμοῖς, βιβλίοις ἄλλοι κατ᾽ ἄλλα τῶν ἐθνῶν ἀναγινώσκοντες ὡς ἴδια, μετὰ τοῦ τὰ μὲν, ἀφαιρεῖν, τὰ δὲ προστιθέναι, τὰ δὲ, ὑπαλλάττειν, ἄμεινον ἡγοῦμαι δηλῶσαι πρῶτον αὐτοῦ τὸ λελωβῆσθαι τὴν αἰτίαν. εἶτα περὶ τῶν ὄντως ὑπ᾽ ἐμοῦ γεγραμμένων, ἥ τίς γε καθ᾽ ἕκαστον αὐτῶν ἐστὶν ἐπαγγελία. τοῦ μὲν δὴ πολλοὺς ἀναγινώσκειν, ὡς ἴδια τὰ ἐμὰ τὴν αἰτίαν αὐτὸς οἶσθα κράτιστε Βάσσε. φίλοις γὰρ ἢ μαθηταῖς ἐδίδοτο χωρὶς ἐπιγραφῆς ὡς ἂν οὐδὲν πρὸς ἔκδοσιν, ἀλλ᾽ αὐτοῖς ἐκείνοις γεγονότα δεηθεῖσιν ὧν ἤκουσαν ἔχειν ὑπομνήματα. τινῶν μὲν οὖν ἀποθανόντων, οἱ μετ᾽ ἐκείνους ἔχοντες ἀρεσθέντες, αὐτοῖς, ἀνεγίνωσκον ὡς ἴδιοις παρὰ τῶν ἐχόντων κοινωνησάντων αὐτοῖς εἰς τὴν ἑαυτῶν πατρίδα πορευθέντες ὑποδιατρίψαντες ἄλλος ἄλλως αὐτὰ τὰς ἐπιδείξεις ἐποιοῦντο. φωραθέντων δ᾽ ἁπάντων τῷ χρόνῳ, πολλοὶ τῶν αὖθις κτησαμένων ἐπέγραψαν τ᾽ ἐμοῦ τοὔνομα. καὶ διαφωνοῦντα τοῖς παρ᾽ ἄλλοις οὖσιν εὑρόντες, ἐκόμισαν πρός με παρακαλέσαντες ἐπανορθώσασθαι. γεγραμμένων οὖν, ὡς ἔφην, οὐ πρὸς ἔκδοσιν αὐτῶν, ἀλλὰ κατὰ τὴν τῶν δεηθέντων ἕξιν τε καὶ χρείαν, εἰκὸς δήπου, τὰ μὲν, ἐκτετάσθαι, τὰ δὲ, συνεστάλθαι καὶ τὴν ἑρμηνείαν αὐτήν τε τῶν θεωρημάτων τὴν διδασκαλίαν, ἢ τελείαν ὑπάρχειν, ἢ ἐλλιπῆ. τὰ γοῦν τοῖς εἰρημένοις γεγραμμένα πρόδηλον δήπου, μή τε τὸ τέλειον τῆς διδασκαλίας ἔχειν, μή τε τὸ διηκριβωμένον. ὡς ἂν οὔτε δεομένων αὐτῶν οὔτε δυναμένων ἀκριβῶς μανθάνειν πάντα, πρὶν ἕξιν τινὰ σχεῖν ἐν τοῖς ἀναγκαίοις. ὑποτυπώσεις γοῦν ἔγραψαν ἔνιοι τῶν πρὸ ἐμοῦ τὰ τοιαῦτα βιβλία, καθάπερ τινὲς, ὑπογραφάς. ἕτεροι δ᾽ εἰσαγωγὰς, ἢ συνόψεις, ἢ ὑφηγήσεις. ἐγὼ δ᾽ ἁπλῶς δοὺς τοῖς μαθηταῖς οὐδὲν ἐπέγραψα. καὶ διὰ τοῦτ᾽ ὕστερον εἰς πολλοὺς ἀφικομένων, ἄλλος ἄλλην ἐπιγραφὴν ἐποιήσατο. τὰ δ᾽ οὖν εἰς ἐμὲ κομισθέντα πρός τινων ἐπανορθώσεως ἕνεκεν, ἠξίωσα τοῖς εἰσαγομένοις ἐπιγεγράφθαι. περὶ πρώτων οὖν τούτων ποιήσομαι τὸν λόγον.

Περὶ τῶν γεγονότων ὑπομνημάτων ἐν Ῥώμῃ κατὰ τὴν πρώτην ἐπιδημίαν. A° 162

Ἐγὼ μὲν οὖν οὐδ᾽ εἶχον ἁπάντων αὐτῶν ἀντίγραφα μειρακίοις ὑπαγορευθέντων ἀρχομένοις μανθάνειν, εἰ καί τισι φίλοις ἀξιώσασι δοθέντων, ὕστερον δ᾽ ὅ ποτε τὸ δεύτερον ἧκον ἐν Ῥώμῃ κομισθέντων ὡς εἴρηται πρός με, διορθώσεως ἕνεκεν, ἐκτησάμην τε καὶ τὴν ἐπιγραφὴν εἰσαγομένοις. ὃ πρῶτον ἂν εἴη πάντων ἀναγνωστέον τοῖς μανθάνουσι τὴν ἰατρικὴν τέχνην. ἐν αὐτῷ γὰρ αἱ κατὰ γένος ἀλλήλων αἱρέσεις διαφέρουσαι διδάσκονται. κατὰ γένος δ᾽ εἶπον, ἐπειδὴ καὶ διαφοραί τινες ἐν αὐταῖς εἰσὶ, καθ᾽ ἃς ὕστερον οἱ εἰσαχθέντος ἐπεκδιδάσκονται. τὰ δὲ τῶν τριῶν αἱρέσεων ὀνόματα σχεδὸν ἅπαντες ἤδη γινώσκουσιν. τὴν μέν τινα δογματικήν τε καὶ λογικὴν ὀνομάζεσθαι. τὴν δὲ δευτέραν ἐμπειρικήν. τὴν τρίτην δὲ μεθοδικήν. ὅσα τοίνυν ἐστὶν ἑκάστης ἴδια, ἢ καθ᾽ ἃ διαφέρουσιν ἀλλήλων ἐν ἐκείνῳ τῷ βιβλίῳ γέγραπται. τοῖς δ᾽ εἰσαγομένοις ὑπηγορεύθη τὸ περὶ τῶν ὀστῶν. καὶ τὸ περὶ τῶν σφυγμῶν. ἐδόθη δὲ καὶ φίλῳ πλατονικῷ κατὰ τὴν ἐπιδημίαν ταύτην εἰσαγωγικὰ δύο βιβλία, τὸ μὲν, ἀρτηριῶν καὶ φλεβῶν, τὸ δὲ νεύρων ἔχον ἀνατομήν. καί τινι ἑτέρῳ τῆς ἐμπειρικῆς ἀγωγῆς ὑποτύπωσις. ὧν οὐδὲν ἔχον ἐγὼ, παρὰ τῶν ἐχόντων ἔλαβον, ἡνίκα τὸ δεύτερον ἧκον εἰς Ῥώμην A° 169 exeunte ἄλλων δέ τινων τό τε γραφέντων φίλοις, ἔμεινεν ἀντίγραφα παρ᾽ ἐμοὶ, διὰ τὸ τελέως ἐξειργάσθαι. ὧν ἐστὶ, καὶ τὰ περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων δύο. καὶ τὰ περὶ φωνῆς δ᾽. προσφωνηθέντα τινὶ τῶν ὑπατικῶν ἀνδρῶν, Βοηθὸς τοὔνομα, καὶ

τὴν Ἀριστοτέλους αἵρεσιν φιλοσοφοῦντι. τούτῳ καὶ τὰ περὶ τῆς ἀνατομῆς Ἱπποκράτους, καὶ μετὰ ταῦτα περὶ τῆς Ἐρασιστράτου προσεφώνησα. φιλοτιμότερον γεγραμμένα διὰ Μαρτιάλιον, οὗ δύο βιβλία διασώζεται τῶν ἀνατομικῶν, ἔτι καὶ νῦν ὄντα παρὰ πολλοῖς. ἃ κατ' ἐκεῖνον τὸν χρόνον εὐδοκίμει μεγάλως. βάσκανος δὲ καὶ φιλόνεικος ἱκανῶς ἦν ὁ ἀνὴρ οὗτος, καίτοι πλείω γεγονὼς ἐτῶν ο. πυθόμενος οὖν εἰς ἀναζητικὸν πρόβλημα, τούς τε λόγους καὶ τὰ διαλεχθέντα μοι δημοσίᾳ πρὸς ἁπάντων τῶν ἀκολουθησάντων ἐπαινεῖσθαι μεγάλως, ἤρετό τινα τῶν ἐμῶν φίλων ἐκ ποίας εἴην αἱρέσεως. ἀκούσας δ' ὅτι δούλους ὀνομάζω, τοὺς ἑαυτοὺς ἀναγορεύσαντας Ἱπποκρατείους, ἢ Πραξαγορείους, ἢ ὅλως ἀπό τινος ἀνδρός, ἐκλέγοιμι δὲ τὰ παρ' ἑκάστου καλά, δεύτερον ἤρετο, τίνα μάλιστα τῶν παλαιῶν ἐπαινοίμι.

θαυμάσιον δὲ τὸν Ἐρασίστρατον ἀποφαίνεται τὰ ἄλλα τῆς τέχνης καὶ ταῦτα. δι' ἐκεῖνον οὖν ἔγραψα φιλοτιμότερον τὰ περὶ τῆς Ἱπποκράτους ἀνατομῆς ς'. βιβλία. καὶ τὰ περὶ τῆς Ἐρασιστράτου γ'. καὶ λέγων γε ποτὲ εἰς τὰ τῶν ἰατρῶν τῶν παλαιῶν βιβλία δημοσίᾳ προβλη-

~~τὰ περὶ τῆς Ἐρασιστράτου γ'. καὶ λέγων γε ποτὲ εἰς τὰ τῶν ἰατρῶν τῶν παλαιῶν βιβλία δημοσίᾳ προβλη-~~

θέντος μοι τοῦ περὶ αἵματος ἀναγωγῆς Ἐρασιστράτου καὶ γραφείου καταπαγέντος εἰς αὐτὸ κατὰ τὸ ἔθος. εἶτα διαχθέντος ἐπ' ἐκεῖνο τὸ μέρος τοῦ βιβλίου καθ' ὃ τὴν φλεβοτομίαν παραιτεῖται πλείω πρὸς αὐτὸν εἶπον, ὅπως λυπήσαιμι τὸν Μαρτιάλιον, Ἐρασιστράτειον εἶναι προσποιούμενον. ἐπεὶ δ' ἱκανῶς ὁ λόγος ηὐδοκίμησεν ἐδεήθη μου τις φίλος ἐπαχθῶς ἔχων πρὸς αὐτόν, ὑπαγορεῦσαι τὰ ῥηθέντα τῷ πεμφθησομένῳ παρ' αὐτοῦ πρός με, διὰ σημείων εἰς τάχος ἠσκημένῳ γράφειν ὅπως ἂν ἐξορμήσῃ τῆς πόλεως οἴκαδε, δύναιτο λέγειν αὐτὰ πρὸς τὸν Μαρτιάλιον ἐν ταῖς τῶν νοσούντων ἐπισκέψεσιν. εἶτ' οὐκ οἶδ' ὅπως ὅτε τὸ δεύτερον ἧκον εἰς Ῥώμην ὑπὸ τῶν αὐτοκρατόρων μετακληθείς, ὁ μὲν λαβὼν ἐτεθνήκει, τὸ βιβλίον δ' εἶχον οὐκ ὀλίγοι κατὰ τὴν ἐν τῷ τότε καιρῷ φιλοτιμίαν συγκείμενον. ἡνίκα ἔλεγχον δημοσίᾳ. καὶ γὰρ δὴ καὶ νέος ὢν ἔτι τοῦτ' ἔπραξα, τέταρτον ἔτος ἄγων καὶ τριακοστόν. ἐξ ἐκείνου δ' ὥρισα μήτε διδάσκειν ἔτι δημοσίᾳ, μήτ' ἐπιδείκνυσθαι, προσδεξαμένης με τῆς κατὰ τοὺς θεραπευομένους εὐτυχίας μείζονος εὐχῆς. εἰδὼς γὰρ τοὺς ἀντιτέχνους, ὅταν ἐπαινεῖταί τις ἰατρὸς ὡς φθονοῦσιν, αὐτὸν λογίατρον ἀποκαλοῦντες, ἀποῤῥάψαι τὴν βάσκανον γλῶτταν αὐτῶν ἐβουλήθην. οὔτ' ἐπὶ τῶν θεραπευομένων φθεγγόμενός τι περαιτέρω τῶν ἀναγκαίων, οὔτε διδάσκων ἐν πλήθει, καθάπερ ἔμπροσθεν, οὔτ' ἐπιδεικνύμενος. ἀλλὰ διὰ τῶν ἔργων τῆς τέχνης μόνον ἐνδεικνύμενος ἣν εἶχον ἕξιν ἐν τοῖς θεωρήμασιν αὐτοῖς. ἔτεσι δὲ τρισὶν ἄλλοις ἐν Ῥώμῃ διατρίψας ἀρξαμένου τοῦ μεγάλου λοιμοῦ, παραχρῆμα τῆς πόλεως ἐξῆλθον ἐπειγόμενος εἰς τὴν πατρίδα. μηδ' ἐν

ἐν τῷ χρόνῳ τούτῳ περὶ μὲν τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ς'. βιβλία προτρεψαμένου με τοῦ Βοηθοῦ. περὶ δὲ μορίων χρείας, ἓν τὸ πρῶτον. ἃ λαβὼν ὁ Βοηθὸς ἐξῆλθε τῆς πόλεως † ἐμοῦ πρότερος ἄρξοντος τῆς Παλαιστίνης Συρίας, ἐν ᾗ καὶ ἀπέθανεν καὶ διὰ τοῦτο μετὰ πολὺν χρόνον, ἑκατέραν τὴν πραγματείαν συνετέλεσα προσγενομένων μοι κωλυμάτων μετὰ τὴν εἰς οἶκον ἐπάνοδον, ὧν ἐφεξῆς μνημονεύσω

Τίνα μοι μετὰ τὴν ἐκ Ῥώμης ἐπάνοδον οἴκαδε πραγματευομένῳ βιβλία παρά τινων ἐδόθη τῶν ὑπ' ἐμοῦ γεγραμμένων.

E πανῆλθον μὲν οὖν ἐκ Ῥώμης εἰς τὴν πατρίδα πεπληρωμένων μοι τῶν ἐκ γενετῆς ἐτῶν ζ'. καὶ λ'. τρία δέ μοι βιβλία παρά τινων ἐδόθη γεγραμμένα, πρὶν εἰς Σμύρναν ἐκ Περγάμου μεταβῆναι Πέλοπός τε τοῦ ἰατροῦ καὶ Ἀλβίνου τοῦ Πλατωνικοῦ χάριν. ἦν δὲ τὸ μέν τι μήτρας ἀνατομὴ μικρὸν βιβλίδιον. τὸ δὲ τῶν ἐν ὀφθαλμοῖς παθῶν διάγνωσις. μικρὸν καὶ αὐτό· τρίτον δ' ἀξιόλογον τῷ μεγέθει, τῆς ἰατρικῆς ἐμπειρίας. ἐδόθη δὲ τὸ μὲν ἀειρημένον μαίᾳ τινί. τὸ δὲ δεύτερον ὀφθαλμοὺς θεραπεύοντι νεανίσκῳ. τὸ δὲ τρίτον ἡνίκα Πέλοψ μετὰ Φιλίππου τοῦ ἐμπειρικοῦ διελέχθη δυοῖν ἡμερῶν. τοῦ μὲν Πέλοπος ὡς μὴ δυναμένης τῆς ἰατρικῆς δι' ἐμπειρίας μόνης συστῆναι, τοῦ Φιλίππου δ' ἐπιδεικνύντος, δύνασθαι. τοὺς οὖν ὑφ' ἑκατέρου λόγους ῥηθέντας εἰς τάξιν καταστήσας, ἔγραψα τι γυμνάσιον ἐμαυτῷ καὶ τοῦτο οὐκ οἶδα πῶς ἐξέπεσεν ἐμοῦ μηδὲν εἰδότος αὐτό. ἕτερα δ' ἄλλα περὶ πνεύμονος καὶ θώρακος κινήσεως ἡνίκα ἐν Σμύρνῃ διέτριβον ἔγραψα, συμφοιτητῇ χαριζόμενος μέλλοντι κατὰ τὴν ἀποδημίαν εἰς τὴν πατρίδα πορεύεσθαι. χάριν τοῦ μελετήσαντα κατ' αὐτὰ ποιήσασθαί τινα ἐπίδειξιν ἀνατομικήν. ἀποθανόντος οὖν ἐν τῷ μεταξὺ τοῦ νεανίσκου, τὰ βιβλία παρά τισιν ἦν, ὑπονοούμενα τῆς ἐμῆς ἕξεως εἶναι. καί τις ἠλέγχθη προοίμιόν τι τεθεικὼς αὐτοῖς, εἶτ' ἀναγινώσκων ὡς ἴδια. τούτων τῶν βιβλίων τῷ τρίτῳ κατὰ τὸ τέλος προσέγραψα τινὰ τῶν ὑπ' ἐμοῦ προσεξευρισκομένων ἐπαγγελίαν ἔχοντα. τὰ γὰρ ἐν τοῖς τρισὶ γεγραμμένα Πέλοπος ἦν τοῦ διδασκάλου δόγματα. παρ' ᾧ διατρίβων Σμύρναν ἔγραψα. ταῦτα

καθιδρύσας ἐμαυτὸν ἐν τῇ πατρίδι μετὰ τὴν ἐκ Ῥώμης ἐπάνοδον, εἰχόμην τῶν συνήθων. ἀφίκετο δ' εὐθέως ἐξ Ἀκυλίας τὰ παρὰ τῶν αὐτοκρατόρων γράμματα καλούντων με. προῄρηντο γὰρ αὐτοὶ χειμάσαντες ἐπὶ τοὺς Γερμανοὺς ἐξελαύνειν. ἐπορεύθην μὲν οὖν ἐξ ἀνάγκης. ἐλπίζων δὲ τεύξεσθαι παραιτήσεως, ἤκουον γὰρ εἶναι τὸν ἕτερον αὐτῶν τὸν πρεσβύτερον, εὐγνώμονά τε καὶ μέτριον, ἥμερόν τε καὶ πρᾶον, ὃς ἐκαλεῖτο μὲν ἐξ ἀρχῆς Βῆρος· ἐπεὶ δ' Ἀντωνῖνος ὁ μετὰ τὸν Ἀδριανὸν ἄρξας διάδοχον αὐτὸν ἔθετο τῆς ἀρχῆς, τὸν μὲν ἔμπροσθεν ὀνομαζόμενον Λούκιον, κοινωνὸν ἐποιήσατο καλέσας Βῆρον, ἑαυτὸν δὲ μετωνόμασεν Ἀντωνῖνον. ἐπιβάντος οὖν μου τῆς Ἀκυλίας, κατέσκηψεν ὁ λοιμὸς ὡς οὔπω πρότερον. ὥστε τοὺς μὲν αὐτοκράτορας αὐτίκα φεύγειν εἰς Ῥώμην, ἅμα στρατιώταις ὀλίγοις. ἡμᾶς δὲ τοὺς πολλοὺς μόλις ἐν χρόνῳ πολλῷ διασωθῆναι, πλείστων ἀπολλυμένων. οὐ μόνον διὰ τὸν λοιμόν, ἀλλὰ καὶ τὸ διὰ μέσου χειμῶνος εἶναι τὰ πραττόμενα. μεταστάντος δ' ἐξ ἀνθρώπων τοῦ Λουκίου κατὰ τὴν ὁδόν, εἰς Ῥώμην αὐτοῦ κομίσας τὸ σῶμα, τὴν ἀποθέωσιν Ἀντωνῖνος ἐποιήσατο. καὶ μετὰ ταῦτα τῆς ἐπὶ τοὺς Γερμανοὺς στρατείας εἴχετο, περὶ παντὸς ποιούμενος ἀπάγειν με. πεισθεὶς δ' ἀφεῖναι λέγοντος ἀκούσας τὰ ἐναντία κελεύειν τὸν πάτριον θεὸν Ἀσκληπιόν, οὗ καὶ θεραπευτὴν ἀπέφαινον ἐμαυτὸν ἐξότε με θανατ-

με θανατικὴν διάθεσιν ἀρρώστημα τὸ ἔχοντα διέσωσε, προσκυνήσας τοὺς θεοὺς καὶ περιμεῖναι με τὴν ἐπάνοδον αὐτοῦ κελεύσας, ἤλπιζε γὰρ ἐν τάχει κατορθώσειν τὸν πόλεμον, αὐτὸς μὲν ἐξῆλθε, καταλιπὼν δὲ τὸν υἱὸν Κόμμοδον παιδίον ἔτι ὄντα κομιδῆ νέον, ἐνετείλατο τοῖς τρέφουσιν αὐτὸ πειρᾶσθαι μὲν ὑγιαῖνον φυλάττειν, εἰ δέ ποτε νοσήσειε, καλεῖν ἐπὶ τὴν θεραπείαν ἐμέ. κατὰ τοῦτον οὖν τὸν χρόνον, συνελεξάμην τε καὶ εἰς ἕξιν ἤγαγον μόνιμον, ἅ τε παρὰ τῶν διδασκάλων ἐμεμαθήκειν, ἅ τ' αὐτὸς εὑρήκειν. ἔτι τε ζητῶν ἔνια περὶ τὴν εὕρεσιν αὐτῶν εἶχον, ἔγραψα πολλὰ γυμνάζων ἐμαυτὸν ἐν πολλοῖς προβλήμασιν ἰατρικοῖς τε καὶ φιλοσόφοις. ὧν τὰ πλεῖστα διεφθάρη κατὰ τὴν μεγάλην πυρκαϊάν, ἐν ᾗ τὸ τῆς εἰρήνης τέμενος ἅμα καὶ πολλοῖς ἄλλοις ἐκαύθη. καὶ χρονίσαντός γε κατὰ τὴν ἀποδημίαν παρὰ πᾶσαν ἐλπίδα τοῦ Ἀντωνίνου, σύμπας ἐκεῖνος ὁ χρόνος ἀξιολογωτάτην τὴν ἄσκησίν μοι παρέσχεν. ὥστε τήν τε περὶ χρείας μορίων πραγματείαν ἐν ἑπτὰ καὶ δέκα πληρῶσαι βιβλίοις, προσθεῖναί τε τὰ λείποντα τῇ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων. ἔτι δὲ ζητῶν τινὰ τῶν ἀνατομικῶν θεωρημάτων, ἃ ἐδεδώκειν τῷ Βοηθῷ τὸ περὶ χρείας μορίων πρῶτον, ἐν τῷ δευτέρῳ δεδήλωται, τοὺς κινοῦντας τὸ ἄρθρον ἑκάστου δακτύλου μῦς προσεξευρῆσθαί μοι, ἅπαντος ἀγνοηθέντος ἄχρι πολλοῦ. καθάπερ ἅπασι τοῖς πρὸ ἐμοῦ. ἀνεβαλόμην δ' ἐν ἐκείνῃ τῇ πραγματείᾳ, καὶ περὶ τῆς κινήσεως τῶν ἄνω βλεφάρων ἐρεῖν αὖθις ἐπιδείξας ἐν αὐτῇ τοῦτο μόνον, ὡς αἱ λεγόμεναι πρός τινων οὐκ εἰσὶν ἀληθεῖς. ὁπότε δ' ἐμαυτόν τε ἔπεισα καὶ τοὺς ἄλλους οἷς ἔδειξα, καὶ ταύτην εὑρῆσθαί μοι, καὶ θ' ἄλλα ὅσα κατὰ τὰς ἀνατομὰς ἢ κακῶς εἴρηται τοῖς ἔμπροσθεν, ἢ ὅλως παραλέλειπτο, τηνικαῦτα ἤδη καὶ τὰς ἀνατομικὰς ἐγχειρήσεις ἔγραψα. φθασάντων δὲ τῶν περὶ χρείας μορίων εἰς πολλοὺς ἀφῖχθαι, σπουδαζομένων δὲ τοῖς ἰατροῖς σχεδὸν ἅπασιν ὅσοι τὴν παλαιὰν ἰατρικὴν μεταχειρίζοντο, καὶ τῶν φιλοσόφων τοῖς ἀπ' Ἀριστοτέλους, ἐπειδὴ κἀκείνῳ τοιαύτη τις ἐγεγόνει πραγματεία, τῶν βασκάνων τινὲς ὑπὸ φθόνου τὴν πόλιν ἐπλήρωσαν εἰς μοχθηρὰς φήμας, ὡς ἕνεκα τοῦ δόξαι πάμπολυ τοὺς ἔμπροσθεν ὑπερβεβλῆσθαι, πολλὰ τῶν οὐδ' ὅλως φαινομένων ἐν ταῖς ἀνατομικαῖς γράψαιμι. μὴ γὰρ ἂν ἅπαντας αὐτὰ λαθεῖν. ἐγὼ μὲν οὖν ἐγέλων τε καὶ κατεφρόνουν αὐτῶν. ἀγανακτοῦντες δ' οἱ φίλοι, παρεκάλουν με δημοσίᾳ δεῖξαι κατά τι τῶν μεγάλων ἀκουστηρίων τὴν ἀλήθειαν τῶν ὑπ' ἐμοῦ γεγραμμένων ἀνατομικῶν θεωρημάτων. ἐπεὶ δ' οὐκ ἐπειθόμην, ἤδη γὰρ οὕτως εἶχον ὡς μὴ πεφροντικέναι τῆς δόξης, οἰηθέντες οἱ βάσκανοι ἐξελεγχθῆναι με φοβούμενον, οὐ καταφρονοῦντα τῆς φλυαρίας αὐτῶν προσποιεῖσθαι μεγαλοφροσύνην, οὐ δὲ τοῦ σκώπτειν ἀπείχοντο. καθ' ἑκάστην ἡμέραν εἰς τὸ τῆς εἰρήνης τέμενος ἀφικνούμενοι. καθότι καὶ πρὸ τοῦ καυθῆναι, πᾶσιν ἦν ἔθος ἀθροίζεσθαι τοῖς τὰς λογικὰς τέχνας μεταχειριζομένοις. ἀναγκασθεὶς οὖν ὑπὸ τῶν φίλων, καὶ δείξας δημοσίᾳ πολλαῖς ἡμέραις, ἐμαυτὸν μὲν οὐδὲν ἐψευσμένον, ἠγνοηκότας δὲ πολλὰ τοὺς ἔμπροσθεν, ἔγραψα παρακληθεὶς ὑπ' αὐτῶν ὑπομνήματα τῶν δειχθέντων τε καὶ λεχθέντων. ἐπιγέγραπται δὲ ταῦτα, τῶν τῷ ἀγνοηθέντων λύκῳ κατὰ τὰς ἀνατομάς. διὰ τὴν δὲ τὴν αἰτίαν ὁπότε προῆλθον ἐπιδείξων ἐμαυτὸν οὐδὲν ἐψευσμένον ἐν τοῖς ἀνατομικοῖς ὑπομνήμασιν, εἰς τὸ μέσον ἀνέθηκα τῶν ἀνατομικῶν ἁπάντων βιβλία, τὴν ἐξουσίαν δοὺς ἑκάστῳ τῶν παρόντων ὃ βούλεται μόριον ἀνατμηθῆναι προβάλλειν, ἐπαγγειλάμενος δείξειν ὅσα διεφώνησαν τοῖς ἔμπροσθεν ἀληθῶς ὑπ' ἐμοῦ γεγραμμένα. προβληθέντος δὲ θώρακος, ἐμοῦ τε τὴν ἀρχὴν ἀπὸ τῶν παλαιοτάτων ποιουμένου, προχειριζομένου τε βίβλους αὐτῶν ἠξίωσαν τινὲς τῶν ἀξιολόγων ἰατρῶν ἐν προεδρείᾳ καθεζόμενοι μὴ κατατρίβειν με τὸν χρόνον, ἀλλ' ἐπειδὴ λύκος ὁ μακεδὼν κοΐντου μαθητὴς γεγονώς, ἀνδρὸς ἀνατομικωτάτου, τὰ μέχρι τῶν καθ' ἑαυτὸν εὑρημένα πάντα γέγραφεν, ἐάσαντα τοὺς ἄλλους μόνα τὰ πρὸς ἐκείνου γεγραμμένα τοῖς ἐμοῖς ἀντεξετάσαι. προϊέμενος οὖν αὐτῶν τὴν ἀξίωσιν, οὕτως ἐπὶ πάντων τῶν κατ' ἑκάστην ἡμέραν προβαλλομένων ἐποίησα. πάντα δὲ ταῦτα διὰ τοῦτ' ἠναγκάσθην εἰπεῖν ὅπως ἴδωσιν οἱ μέλλοντες ἀναγνώσεσθαί τι τῶν ἐμῶν κατὰ τίνα τὴν ἡλικίαν ἕκαστον ἔγραψα, καὶ διὰ τίνα τὴν αἰτίαν. ἐκ τούτων γὰρ εἴσονται τά τε ἐλλιπῶς γεγραμμένα διορίζειν ἀπὸ τῶν τελέως ἐξειργασμένων, τά τε κατὰ τὸν πρὸς τοὺς ἀλαζονευομένους ἔλεγχον, ἀπὸ τῶν διδασκαλείων. ἐπισημανοῦμαι δὲ ταῦτα, καὶ διὰ τῶν ἑξῆς ἐάν που γένηται χρεία. νυνὶ δὲ τὰ διασωζόμενα τῶν ὑπ' ἐμοῦ γραφόντων δηλώσω, τὴν ἀρχὴν ἀπὸ τῶν ἀνατομικῶν ποιησάμενος.

περὶ τῶν κατὰ τὴν ἀνατομικὴν θεωρίαν.

Γρῶτον μὲν ἐν τούτοις ὅ, τι † ποτὲ τῶν ὀστῶν τοῖς εἰσαγομένοις γεγραμμένον. μετὰ τοῦτο δὲ ἔστιν ἄλλα τοῖς εἰσαγομένοις βιβλία. τὸ μὲν ἕτερον αὐτῶν φλεβῶν τε καὶ ἀρτηριῶν ἀνατομὴν περιέχον. τὸ δὲ ἕτερον νεύρων. ἔστι δέ τι καὶ ἄλλο μυῶν ἀνατομὴ ἐν συντόμῳ διδάσκων ἅπαντα ἀκριβῶς ὅσα κατὰ τὰς ἀνατομικὰς ἐγχειρήσεις γέγραπται περὶ μυῶν. εἰ δέ τις βούλοιτο μετὰ τὴν τῶν ὀστῶν ἀνατομὴν ἐπὶ τὰς ἀνατομικὰς ἐγχειρήσεις εὐθέως ἔρχεσθαι, δυνατόν ἐστιν αὐτῷ παρελθεῖν τὰς περὶ τῶν ἀγγείων τε καὶ νεύρων ἀνατομάς, ὥσπερ γε καὶ τὴν τῶν μυῶν. ἅπαντα γὰρ τὰ τῆς ἀνατομῆς ἐν ταῖς ἐγχειρήσεσι γέγραπται. τὸ μὲν οὖν πρῶτον ἐν αὐταῖς περὶ τῶν κατὰ τὰς χεῖρας ἐστὶ μυῶν καὶ συνδέσμων. τὸ δὲ δεύτερον περὶ τῶν κατὰ τὰ σκέλη μυῶν καὶ συνδέσμων. τὸ δὲ τρίτον, περὶ τῶν ἐν τοῖς κώλοις νεύρων καὶ ἀγγείων. τὸ δὲ τέταρτον, περί τε τῶν τὰς γνάθους καὶ τὰ χείλη κινούντων μυῶν, καὶ περὶ τὴν κάτω γένυν. ἔτι τε τῶν τὴν κεφαλὴν καὶ τράχηλον καὶ ὠμοπλάτας. τὸ δὲ πέμπτον, περὶ τῶν τοῦ θώρακος μυῶν. καὶ τῶν κατ' ἐπιγάστριον καὶ τῶν ψοῶν, καὶ τῶν ῥάχιν. τὸ δὲ ἕκτον περὶ τῶν τροφῆς ὀργάνων. ὅπερ ἐστὶν ἔντερα καὶ γαστὴρ, ἧπάρ τε καὶ σπλὴν, καὶ νεφροὶ καὶ κύστις, ὅσα τ' ἄλλα σὺν τούτοις. τὸ δὲ ἕβδομον καὶ ὄγδοον, τῶν πνευματικῶν μορίων ἀνατομὴν περιέχει. τὸ μὲν ἕβδομον, τῶν κατὰ τὴν καρδίαν καὶ τὸν πνεύμονα καὶ τὰς ἀρτηρίας τεθνεῶτος ἔτι τε καὶ ζῶντος ἔτι τοῦ ζώου. τὸ δὲ ὄγδοον, τὸν καθ' ὅλον τὸν θώρακα. τὸ δὲ ἔνατον, ἐγκεφάλου τε καὶ νωτιαίου ἀνατομὴν ἔχει. τὸ δὲ δέκατον ὀφθαλμῶν καὶ γλώττης καὶ στομάχου, καὶ τῶν τούτοις συνεχῶν. τὸ δ' ἑνδέκατον, τῶν κατὰ τὸν λάρυγγα καὶ τὸ καλούμενον ὑοειδὲς ὀστοῦν, καὶ τῶν συνεχῶν αὐτοῖς, ἔτι τῶν εἰς αὐτὰ παραγινομένων νεύρων. τὸ δὲ δωδέκατον, ἀρτηριῶν καὶ φλεβῶν. τὸ δὲ τρισκαιδέκατον, τῶν ἀπ' ἐγκεφάλου νεύρων. τὸ ιδʹ. τῶν ἀπὸ νωτιαίου. τὸ δὲ ιεʹ. τῶν γεννητικῶν μορίων. τὰ μὲν οὖν ἀναγκαῖα τῆς ἀνατομικῆς θεωρίας ταῦτ' ἐστίν. ἐπὶ δὲ τοῖς ἀναγκαίοις ἄλλα χρήσιμα καὶ ταυτὶ γέγραπται

† αἰ. πρόσε

τῶν μαρίνου βιβλίων ἀνατομικῶν εἴκοσιν ὄντων, ἐν τέτταρσιν ἡμετέροις ἐπιτομή. καθάπερ καὶ τῶν λύκου πάντων ἐν δυοῖν. ὑπογράψω δ᾽ αὐτῶν ἑκάστου τὰ κεφάλαια κατὰ τὴν πρώτην ἐπιτομήν. τῶν τὰ μαρίνου βιβλία ἀνατομικῶν ἐξ αὐτοῦ τὰ πρῶτα περιέχεται. γράφει δ᾽ ἐν μὲν τῷ πρώτῳ τῶν ἕξ, τὸ προοίμιον τῆς ὅλης θεωρίας εἶτα περὶ δέρματος εἶθ᾽ ἑξῆς περὶ τριχῶν. εἶτα περὶ ὀνύχων, καὶ σαρκῶν. καὶ πιμελῆς. καὶ στέατος. ἐν τῷ δευτέρῳ, περὶ ἀδένων. καὶ ὑμένων. καὶ ὑμενωδῶν χιτώνων περιτοναίου τε καὶ ὑπεζωκότος καὶ διαφράγματος. ἐν δὲ τῷ τρίτῳ, περὶ τῶν λόγῳ θεωρητῶν ἀγγείων καὶ φλεβῶν καὶ ἀρτηριῶν ἀνατομὴ καὶ εἰ κατὰ φύσιν ἐν ἀρτηρίαις αἷμα περιέχεται. κατὰ δὲ τὸ τέταρτον, τίς ἐνέργεια ἀρτηρίας, καὶ τίς χρεία. καὶ πόθεν ἄρχονται. καὶ τὰ ἄλλα ζητούμενα περὶ αὐτῶν. εἶθ᾽ ἑξῆς. περὶ οὐρητήρων. περὶ οὐρητικῶν πόρων. καὶ οὐράχου, καὶ σπερματικῶν ἀγγείων. καὶ χολωδῶν ἀγγείων καὶ πόρων καὶ ἀδένων. καὶ περὶ τοῦ ἀπὸ τῶν ἀδένων ἀγγείου. καὶ περὶ βρόγχου. καὶ περὶ τῶν κατὰ τοὺς μαστοὺς ἀγγείων, ἐν οἷς τὸ γάλα. καὶ περὶ τῶν ἐν τῷ σώματι κεχυμένων καὶ ἀγγείοις περιεχομένων. καὶ τίνα ἐντισι περιέχεται τῶν ὑγρῶν. καὶ τῶν κεχυμένων. καὶ περὶ τροφῆς. ἐν δὲ τῷ ε΄. περὶ τῶν κατὰ τὴν κεφαλὴν τῶν τ᾽ ἄλλων καὶ τῶν ῥαφῶν. καὶ μέν τοι καὶ τῶν κατὰ τὸ πρόσωπον ῥαφῶν τε καὶ συμφύσεων. καὶ πάντων τῶν τῆς κεφαλῆς ὀστῶν. καὶ περὶ τῶν κατ᾽ αὐτήν τε καὶ τὸ πρόσωπον τρημάτων καὶ περὶ τῆς κάτω γνάθου, καὶ τῶν κατ᾽ αὐτὴν τρημάτων, καὶ εἰ ἔστι σύμφυτος ἑαυτῇ. περί τε τῶν ὀδόντων καὶ τοῦ προσκειμένου τῇ κεφαλῇ τοῦ βρόγχου ὀστοῦ. καὶ τῶν συνεχῶν αὐτῶν τῶν κατὰ τὰ παρίσθμια τεταμένων. ἐν δὲ τῷ ἕκτῳ, περί τε ὄχεως γράφει, καὶ ἑτέρου ὀστοῦ. καὶ ἰσχίου. καὶ πλευροῦ. καὶ στέρνων καὶ ὠμοπλάτων. καὶ ἀκρωμιῶν καὶ περὶ κλειδῶν. καὶ βραχίονος. καὶ πήχεος, καὶ κερκίδος. ὀστῶν τε τοῦ καρποῦ καὶ τῶν δακτύλων. καὶ περὶ μηροῦ καὶ τῶν ἑκατέρωθεν τοῦ γόνατος χονδρωδῶν ὀστῶν. ἐν δὲ τῷ δευτέρῳ τῶν ἡμετέρων ὑπομνημάτων, ἣ τῆς ἀνατομικῆς μαρίνου θεωρίας ἐστὶν ἐπιτομὴ τὸ ζ΄. καὶ η΄. καὶ θ΄. καὶ ι΄. περιέχεται τῶν μαρίνου βιβλίων. κεφάλαιων δέ, κατὰ μὲν τὸ ζ΄. ἔτι περὶ τῆς τοῦ κρανίου κοινωνίας πρός τε τὰς μήνιγγας καὶ τοὺς ἄλλους ὑμένας περί τε τῶν καθ᾽ ὅλον τὸ πρόσωπον νεύρων. περί τε κροταφιτῶν μυῶν καὶ μασητήρων. καὶ τῶν ἐπὶ τὰς γνάθους καὶ τὰ χείλη μυῶν ἀπὸ τῶν φατνίων καὶ τῶν κατὰ τὰς γνάθους μυῶν. εἶτα τῶν ἐντὸς τῆς κάτω γνάθου μυῶν. τῶν τε περὶ αὐτὴν χωρίς, καὶ τῶν μυκτήρων, καὶ τῶν περὶ ἐκφύσεις. καὶ τῶν κατὰ τὴν γλῶτταν. εἶτα περὶ γλώττης καὶ τῶν κατ᾽ αὐτὴν μυῶν ἔτι τε περὶ τῶν κατὰ τὸν ὀφθαλμὸν μυῶν. ἐν δὲ τῷ ὀγδόῳ τῶν τοῦ μαρίνου βιβλίων. κεφάλ. ταῦτ᾽ ἐστί. περὶ στόματος. καὶ περὶ χειλῶν καὶ ὀδόντων. καὶ οὔλων, καὶ κίονος, καὶ φαρυγέθρου ἐπιγλωττίδος τε καὶ παρισθμίων καὶ ἀντιάδων, καὶ ῥινός, καὶ μυκτήρων, ὤτων τε καὶ τραχήλου, καὶ τῶν κατ᾽ μυῶν, καὶ τοῦ ὑπὸ τὴν πλευρὰν μυὸς τοῦ ὑπὸ τὴν κοιλίαν, καὶ περὶ τραχήλου φύσεως. ἐν δὲ τῷ θ΄. περὶ μυῶν τῶν κατὰ τὰς φρένας καὶ τὴν ῥάχιν κατὰ τὰ μεσοπλεύρια, καὶ τὸ ἐπιγάστριον. ἔτι τε περὶ τῶν τοῦ βραχίονος καὶ τῆς ὠμοπλάτης. πῆχύς τε καὶ χεῖρα, ἄκρας ἐν δὲ τῷ δεκάτῳ, πήχεος καὶ τῶν περὶ αὐτὴν μυῶν καὶ σκελῶν καὶ τῶν κατ᾽ αὐτὰ μυῶν καὶ ἄρθρου τοῦ κατὰ γόνυ. ἡ δὲ τρίτη τῶν ἐπιτομῶν ια΄. τε καὶ ιβ΄. καὶ ιε΄. τῶν τοῦ μαρίνου βιβλίων ἐστίν. ἔγραψε δὲ μαρῖνος ἐν μὲν τῷ ια΄. ἃ μὲν κεφάλ. εἰ φέρεταί τι
† ἄλ. ἐκπνοάς ἀπὸ νώτων ὑγρὸν εἰς πνεύμονα κατά τε τὰς † ἐδωδὰς εἰς γαστέρα πνεύματα. δεύτερον δὲ περὶ στομάχου καὶ μετ᾽ αὐτὸ περὶ βρόγχου. καὶ περὶ πνεύμονος καὶ καρδίας. καὶ περικαρδίου θυμοῦ κατὰ δὲ τὸ ιβ΄. τῆς ἑαυτοῦ πραγματείας ὁ μαρῖνος ἔγραψε περὶ ἥπατος. καὶ τῆς ἐν αὐτῷ χολῆς. καὶ περὶ σπληνὸς καὶ κοιλίας. καὶ μεσεντερίου. κατὰ δὲ τὸ ιγ΄. περὶ πρώτων ἐντέρων. εἶτα περὶ νεφρῶν καὶ οὐρητῆρος. καὶ κύστεως. καὶ οὐράχου. καὶ πόρου τοῦ οὐρητικοῦ. καὶ μετὰ ταῦτα περὶ καυλῆς ἄρρενος, καὶ αἰδοίου τοῦ ἄρρενος. καὶ θηλείας καὶ περὶ μήτρας καὶ τῶν λυομένων καὶ περὶ τῶν ὄρχεων. οὓς διδύμους ὀνομάζει. καὶ μετ᾽ αὐτοὺς περὶ ἀδενοειδῶν. ἐν δὲ τῷ ιδ΄. τὴν ἀνατομὴν τῶν ἄνω τοῦ ἥπατος ἁπασῶν φλεβῶν ἐποιήσατο. κατὰ δὲ τὸ ιε΄. περί τε τῆς ἀπὸ καρδίας ἐπὶ ἧπαρ φερομένης φλεβός. καὶ τῶν κάτω τοῦ διαφράγματος ἁπασῶν. καὶ μετὰ ταῦτα περὶ τῶν καθ᾽ ὅλον τὸ ζῷον ἀρτηριῶν. ἡ δὲ τετάρτη τῶν ἐπιτομῶν κατὰ τὰ λοιπὰ τοῦ μαρίνου ε΄. βιβλία. μετὰ τὸ ε΄. καὶ ι΄. ἄχρι τοῦ κ΄. περιέχων. γέγραπται δὲ ἐν τῷ ἑκκαιδεκάτῳ τὰ περὶ τοῦ ἐγκεφάλου ζητούμενα καὶ φαινόμενα, οἷον εἰ σφυγμώδης ἐν αὐτῷ κίνησις. καὶ εἰ ἀναπνέομεν εἰς αὐτόν. εἶθ᾽ ἑξῆς περὶ νωτιαίου καὶ μηνίγγων. ἐν δὲ τῷ ιζ΄. περὶ κυριότητος ἐγκεφάλου τὸν λόγον ἐποιήσατο. κατὰ δὲ τὸ η΄. καὶ ι΄. περὶ τῶν κατὰ προαίρεσιν ἐνεργειῶν. καὶ περὶ τὰς κατὰ μέρος διαφορὰς τῶν νεύρων. καὶ πόθεν τινὰ ἐκπέφυκεν αὐτῶν ἐν δὲ τῷ θ΄. καὶ ι΄. περὶ ἀπ᾽ ἐγκεφάλου πεφυκότων νεύρων καὶ περὶ τῶν ῥύσεων. καὶ πόθεν ἄρχεται τὸ αἰσθητήριον αὐτῆς. καὶ περὶ τῶν ἐπὶ τοὺς ὀφθαλμοὺς νεύρων. ἃ καλοῦσιν ἡρόφιλός τε καὶ εὔδημος πόρους εἶτα.

περὶ τῶν νοσημάτων διαφορᾶς, καὶ τὸ περὶ τῶν συμπτωμάτων. ἔπειτα δὲ τὸ περὶ τῶν νοσημάτων διαφορᾶς τὸ τὰς αἰτίας τούτων διδάσκον ἓν βιβλίον. τὸ δὲ περὶ τῶν συμπτωμάτων διαφορᾶς τὰ περὶ τῶν ἐν τοῖς συμπτώμασιν αἰτιῶν τρία. καὶ τούτοις τὰ περὶ τῶν πεπονθότων τόπων. τὸ περὶ τῶν ἐν ταῖς νόσοις καιρῶν ἐκ τῶν προηγουμένων τῆς θεραπευτικῆς πραγματείας ἐστι. καὶ τὸ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς. τό τε περὶ πλήθους καὶ τὸ περὶ τῶν παρὰ φύσιν ὄγκων. ἔτι τε τὸ περὶ τῶν προκαταρκτικῶν αἰτιῶν καὶ πρὸς τούτοις τὸ περὶ τῶν συνεκτικῶν. καὶ τὸ περὶ τρόμου, καὶ ῥίγους, καὶ παλμοῦ, καὶ σπασμοῦ. καὶ τὸ ἐπιγεγραμμένον τέχνη ἰατρική.

Τὰ θεραπευτικά.

Τεσσαρεσκαίδεκα, εἰσὶ μεθόδου θεραπευτικῆς. δύο τε τῶν πρὸς Γλαύκωνα θεραπευτικῶν, καὶ τρία περὶ φλεβοτομίας. τὸ μὲν πρῶτον πρὸς Ἐρασίστρατον, τὸ δὲ δεύτερον, πρὸς τοὺς ἐν Ῥώμῃ Ἐρασιστρατείους. τρίτον δ᾽ ἐπ᾽ αὐτοῖς ἄλλο κατὰ τὴν ἡμετέραν γνώμην συγκείμενον θεραπευτικόν. ἔστι δὲ καὶ τὸ περὶ μαρασμοῦ τῶν θεραπευτικῶν. ἐδόθη δέ τινι φίλων βιβλίδιον μικρόν, ὃ νῦν εἰς πολλοὺς ἐκπεσόντος, ἔλαβον τὸ ἀντίγραφον, ἔχον ἐπιγραφήν, ὑποθήκη παιδίου ἐπιλήπτου, τῆς θεραπευτικῆς πραγματείας. θείη δ᾽ ἄν τις καὶ τὸ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων τρία, καὶ τὸ περὶ τῆς λεπτυνούσης διαίτης, καὶ τὸ περὶ εὐχυμίας καὶ κακοχυμίας. οὐδὲν ἧττον τῶν προειρημένων τῆς θεραπευτικῆς πραγματείας εἴη ἂν καὶ τὰ περὶ τῶν Ἐρασιστράτου θεραπευτικῶν λογισμῶν, καὶ τῷ Γλαύκωνι τῷ φιλοσόφῳ δοθέντα δύο. τὸ δὲ περὶ τῆς Ἱπποκράτους διαίτης ἐπὶ τῶν ὀξέων νοσημάτων ταχθείη μὲν ἂν καὶ μετὰ τούτων, ταχθείη δ᾽ ἂν καὶ μετὰ τῶν εἰς Ἱπποκράτους γεγονότα ὑπομνήματα. ἐν οἷς πάμπολλα περιέχεται θεραπευτικὰ θεωρήματα. καθάπερ γε καὶ διαπρογνωστικὰ καὶ προγνωστικά.

Ποῖα τῆς προγνωστικῆς θεωρίας βιβλία.

Πρῶτα μὲν ἐστι τρία περὶ κρισίμων ἡμερῶν. δεύτερον δ᾽ ἐπ᾽ αὐτοῖς τρία περὶ κρίσεων. εἶτα ἡ περὶ τῶν σφυγμῶν πραγματεία. καθ᾽ ἣν πρῶτα μὲν ἐστι δ᾽. περὶ τῆς διαφορᾶς αὐτῶν. δεύτερον δ᾽ ἄλλα τοσαῦτα, περὶ τῆς διαγνώσεως. καὶ τρίτον πρὸς αὐτοῖς ἴσα τὸν ἀριθμόν, περὶ τῶν ἐν αὐτοῖς αἰτιῶν. καὶ τέταρτον περὶ τῆς δι᾽ αὐτῶν προγνώσεως. ἑκκαίδεκα τὰ πάντα. καὶ χωρὶς αὐτῶν ἔξωθεν τὸ περὶ χρείας σφυγμῶν τοῖς εἰσαγομένοις γεγραμμένον. ἐν ᾧ τινὲς ἐζήτησαν διὰ τί τῶν πυρεττόντων ὁ ἴδιος οὐκ εἴρηται σφυγμός, οἷς ἀπεκρινάμεθα μεῖζον ἢ κατὰ τοὺς εἰσαγομένους εἶναι τὸ σκέμμα μεγάλης ζητήσεως τετυχός. ἀλλὰ τό γε τοσοῦτον εἴρηται κατὰ τὴν ἀρχὴν τοῦ βιβλίου τούτου. δύο δόξας γεγονέναι τοῖς ἰατροῖς. τὴν μὲν ἑτέραν τῶν ἡγουμένων αἰσθάνεσθαι καὶ τῆς συστολῆς τῶν ἀρτηριῶν. τὴν δὲ δευτέραν, τῶν ἀναίσθητον αὐτὴν εἶναι λεγόντων. ἠξιοῦμεν τε τὸν εἰσαγόμενον ἐπὶ τῆς ῥᾴονος πρότερον γυμνάζεσθαι, καθ᾽ ἣν ἀναίσθητος ἡ συστολὴ γίνεται. κατὰ ταύτην δὲ τὴν αἵρεσιν ἡμεῖς ἐπεπείσμεθα πυρετοῦ σημεῖον ἴδιον ἐν σφυγμοῖς οὐδὲν εἶναι. κατὰ δὲ τὴν ἑτέραν ἣν ἐν τῇ μεγάλῃ πραγματείᾳ τῶν ἑκκαίδεκα βιβλίων ἔγραψα, λέλεκται τὸ σημεῖον. ἀλλ᾽ οἱ μὴ μαθόντες παρὰ διδασκάλοις, ἐοικότες δὲ κατὰ τὴν παροιμίαν τοῖς ἐκ βιβλίου κυβερνήταις τοιαῦτα ζητοῦσιν. ἐμοὶ δὲ καὶ κατ᾽ εἴρηται. τὴν μὲν

τῶν εἰσαγομένων διδασκαλίαν, ἑτέραν ἐστί. τὴν δὲ τῶν ἐκδιδασκομένων ἅπαντα τελέως ἑτέραν. γέγονε δ' οὖν μοι καὶ ἄλλο τι βιβλίον ἓν, ἐν ᾧ τὴν σύνοψιν ἐποιησάμην τῶν ἑκκαίδεκα βιβλίων. ἔξωθεν δὲ τούτων ἁπάντων ἐστὶν, ὀκτὼ βιβλία τῆς ἀρχιγένους περὶ σφυγμῶν πραγματείας, ἐξήγησίν τε καὶ χρῆσιν ἔχοντα. ἐκ τούτου τοῦ μέρους τῆς τέχνης ἄν τις θείη καὶ τὰ περὶ δυσπνοίας τρία.

περὶ τῶν Ἱπποκρατείων ὑπομνημάτων.

Οὔτ' ἄλλο τι τῶν ὑπ' ἐμοῦ δοθέντων φίλοις ἤλπισα πολλοὺς ἕξειν, οὔτε τὰ τῶν Ἱππκρατείων συγγραμμάτων ἐξηγητικά. τὴν ἀρχὴν γὰρ αὐτὴν οὐδὲν γυμνάζων ἔγραφον εἰς αὐτὰ ποθ' ὑπομνήματα, καθάπερ ἐποίησα τῆς ἰατρικῆς θεωρίας ἁπάσης. καθ' ἕκαστον μέρος ἐμαυτῷ παρασκευάσας αἷς ἅπαντα τὰ κατὰ τὴν ἰατρικὴν τέχνην ὑφ' Ἱπποκράτους εἰρημένα περιέχεται, διδασκαλίαν ἔχοντα σαφῆ τε ἅμα καὶ παντοίως ἐξειργασμένην. ἰδίᾳ μὲν γὰρ περὶ κρισίμων ἡμερῶν ἔγραψα, κατὰ τὴν Ἱπποκράτους γνώμην. ἰδίᾳ δὲ περὶ κρίσεων. ἰδίᾳ δὲ περὶ δυσπνοίας. ἑκάστου τε τῶν ἄλλων. ὅλην τε τὴν θεραπευτικὴν μέθοδον ὡσαύτως ἐν τέσσαρσι καὶ δέκα
† αλ. ἅτε βιβλίοις ἐποιησάμην ἅπαντα τὰ θεραπευτικὰ, καὶ πρὸς αὐτοῖς ταύτην † ἃ κατὰ τὴν ἐκείνου γνώμην. ἐξηγήσεις δὲ καθ' ἑκάστην αὐτοῦ λέξιν ἤδη πολλοῖς τῶν πρὸ ἐμοῦ γεγραμμένας οὐ φαύλως εἶναι, εἴ τι μοι μὴ καλῶς ἐδόκουν εἰρηκέναι, περιττὸν ἡγούμην ἐλέγχειν. ἐνεδειξάμην δὲ τοῦτο, δι' ὧν πρώην ἔδωκα τοῖς παρακαλέσασι. σπανιάκις ἐν αὐτοῖς εἰπών τι πρὸς τοὺς ἐξηγουμένους αὐτά. τὴν ἀρχὴν γὰρ οὐδ' εἶχον αὐτῶν ἐν ῥώμῃ τὰ ὑπομνήματα, πάντων ὧν ἐκεκτήμην βιβλίων ἐν ἀσίᾳ μεινάντων. εἴπου τοίνυν ἐμεμνήμην ὑπό τινος αὐτῶν πάνυ τι μοχθηρῶς εἰρημένον, ὡς μεγάλως βλάπτεσθαι περὶ τὰ τῆς τέχνης ἔργα τοὺς πιστεύσαντας αὐτοῖς, ἐπεσημηνάμην τοῦτο. τὰ δ' ἄλλα πάντα κατὰ τὴν ἐμαυτοῦ γνώμην εἶπον ἄνευ τοῦ μνημονεῦσαι τῶν ἄλλως ἐξηγουμένων. καὶ τά γε εἰς τοὺς ἀφορισμοὺς ὑπομνήματα. καὶ τὸ περὶ ἀγμῶν. καὶ τὸ περὶ ἄρθρων. ἔτι τε τὸ προγνωστικόν. καὶ τὸ περὶ διαίτης ὀξέων. τό, τε περὶ ἑλκῶν. καὶ τῶν ἐν κεφαλῇ τρωμάτων. τό, τε α' τῶν ἐπιδημιῶν οὕτως ἐγράφη. μετὰ ταῦτα δέ τινος ἀκούσας ἐξήγησιν ἀφορισμοῦ μοχθηρὰν ἐπαινοῦντος, ὅσα τοῦ λοιποῦ τισὶν ἔδωκα πρὸς κοινὴν ἔκδοσιν ἀποβλέπων, οὐκ ἰδίαν ἕξιν ἐκείνων μόνων τῶν λαβόντων οὕτως συνέθηκα. ταῦτα δ' ἐστὶν ἐπιδημιῶν μὲν τὰ εἰς τὸ δεύτερον καὶ τρίτον καὶ ἕκτον ὑπομνήματα γεγραμμένα. πρὸς τούτοις δὲ καὶ τοῦ περὶ χυμῶν, καὶ περὶ τροφῆς, καὶ προρρητικοῦ. περί τε φύσεως ἀνθρώπου καὶ τοῦ κατ' ἰητρεῖον. ὥσπερ καὶ τοῦ περὶ τόπων ἀέρων ὑδάτων, ὃ ἐγὼ περὶ οἰκήσεων καὶ ὑδάτων καὶ ὡρῶν καὶ χωρῶν ἐπιγεγράφθαι φημὶ δεῖν. ἔστι δὲ τὰ μὲν εἰς τοὺς ἀφορισμοὺς ἑπτά. τὰ δὲ εἰς τὰ περὶ ἀγμῶν γ'. τὰ δὲ εἰς τὰ περὶ ἄρθρων δ'. τὰ δ' εἰς τὸ προγνωστικὸν γ'. τὰ δ' εἰς τὸ περὶ διαίτης ὀξέων, γ'. μετὰ εἰς τὸ γνήσιον αὐτοῦ μέρος, δύο δ' εἰς τὰ προσκείμενα. τὸ δὲ περὶ ἑλκῶν, καὶ τὸ περὶ ἐγκεφάλου τρωμάτων ἑκάτερον ἐξηγησάμην δι' ἑνὸς βιβλίου. τὸ δὲ α'. τῶν ἐπιδημιῶν. ὥσπερ γε καὶ τὸ γ'. διὰ γ'. ἑκάτερον. τὸ δὲ δεύτερον, δι' ὀκτὼ δὲ τὸ ἕκτον. εἰς δὲ τὸ περὶ χυμῶν ὑπομνήματά μοι τρία γέγονεν. ὥσπερ γε καὶ εἰς τὸ προγνωστικὸν καὶ εἰς τὸ κατ' ἰητρεῖον. καὶ εἰς τὸ περὶ τόπων καὶ ἀέρων καὶ ὑδάτων, ὅ φημι ἐγὼ περὶ οἰκήσεων καὶ ὑδάτων καὶ ὡρῶν καὶ χωρῶν ἐπιγεγράφθαι δεῖν. εἰς δὲ τὸ περὶ τροφῆς ὑπομνήματά μοι δ'. γέγονεν. εἰς δὲ τὸ περὶ φύσιος ἀνθρώπου δύο. ὧν ἤδη γεγονότων, ἀκούσας ὑπό τινων διαβάλλεσθαι τὸ βιβλίον ὡς οὐ γνήσιον, ἔγραψα τρία. τὴν ἐπιγραφὴν ἔχοντα τήνδε. ὅτι καὶ κατὰ τὰ ἄλλα συγγράμματα τὴν αὐτὴν δόξαν ἔχων ὁ Ἱπποκράτης φαίνεται τὸ κατὰ τὸ φύσιος ἀνθρώπου. τῷ δ' Ἱπποκράτει προσήκοντα ἐστὶ καὶ ταῦτα. περὶ τῆς καθ' Ἱπποκράτους διαίτης ἐπὶ τῶν ὀξέων νοσημάτων. ὥσπερ γε καὶ ἡ τῶν παρ' αὐτοῦ γλωττῶν ἐξήγησις. καὶ τὸ πρὸς λύκον περὶ τοῦ ἀφορισμοῦ. οὗ ἡ ἀρχή. τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. ὥσπερ γε καὶ πρὸς ἰουλιανὸν τὸν μεθοδικὸν, ὑπὲρ ὧν ἐνεκάλεσεν τοῖς Ἱπποκρατείοις ἀφορισμοῖς. Ἱπποκράτης δὲ προσήκει καὶ ἄλλο τι βιβλίον σμικρὸν, ἐν ᾧ δείκνυμι καὶ τὸν ἄριστον ἰατρὸν πάντως εἶναι καὶ φιλόσοφον. ἐπιγράφεται δὲ τὸ βιβλίον καὶ διὰ συντομωτέρας ἐπιγραφῆς οὕτως.

περὶ τῶν εἰς ἐρασίστρατον διαφερόντων.

Εἰς μὲν τὸ πρῶτον τῶν περὶ πυρετῶν ὑπομνήματα γέγραπται γ'. τοῦ γ'. δὲ περὶ πυρετῶν τὰ πρῶτα τῆς ἐρασιστράτου θεραπευτικῆς πραγματείας ἐστὶν ὑπομνήματα. αὕτη δὲ ἡ θεραπευτικὴ πραγματεία, τὴν μὲν ἐπιγραφὴν ἔχει περὶ τῶν ἐρασιστράτου θεραπευτικῶν λογισμῶν. γέγονε δὲ ἐν ὑπομνήμασιν ε'. ἔστι δὲ καὶ τὰ περὶ ἐρασιστράτου ἀνατομῆς γ'. βιβλία. καὶ περὶ φλεβοτομίας δύο. τό τε πρὸς ἐρασίστρατον αὐτὸν γεγραμμένον καὶ τὸ πρὸς ἐν ῥώμῃ ἐρασιστρατείους. προσήκει δὲ ἐρασιστράτῳ κἀκεῖνο τὸ βιβλίον, ἐν ᾧ ζητοῦμεν εἰ κατὰ φύσιν ἐν ἀρτηρίαις αἷμα περιέχεται. καθάπερ γε καὶ τὸ περὶ χρείας ἀναπνοῆς, καὶ τὰ περὶ φυσικῶν δυνάμεων τρία ἃ περιέχει κρίσιν ἁπάντων ὧν ἔγραψεν ἐρασίστρατος ἐν τοῖς καθόλου λόγοις ὑπὲρ τῶν φυσικῶν ἐνεργειῶν.

περὶ τῶν ἀσκληπιάδου προσηκόντων.

Ὀκτὼ μὲν περὶ τῶν ἀσκληπιάδου δογμάτων ἐπιγεγραμμένα. μικρὸν δὲ ἄλλο τὴν ἐπιγραφὴν ἔχον περὶ οὐσίας τῆς ψυχῆς κατ' ἀσκληπιάδην.

περὶ τῶν τοῖς ἐμπειρικοῖς ἰατροῖς διαφερόντων.

Τῆς θεοδᾶ εἰσαγωγῆς ὑπομνήματα ε'. περὶ τῶν μηνοδότου σεβήρῳ ἕνδεκα. τῶν σεραπίωνος πρὸς τὰς αἱρέσεις δύο. ὑποτυπώσεις ἐμπειρικαί. περὶ τῆς ἰατρικῆς ἐμπειρίας. περὶ τῆς τῶν ἐμπειρικῶν διαφωνίας γ'. πρὸς τὰ ἀντειρημένα τῆς διαφωνίας τῶν ἐμπειρικῶν, τοῦ τε θεοδᾶ κεφαλ. ὑπομνήματα γ'. εἰς τὸ μηνοδότου σεβήρῳ προτρεπτικὸς ἐπὶ ἰατρικὴν σύνοψιν τῶν ἡρακλείδου. περὶ τῆς ἐμπειρικῆς αἱρέσεως ζ'. περὶ τῶν τοῖς μεθοδικοῖς διαφερόντων. μεθοδικῆς αἱρέσεως ς'. πρὸς τὰ ὑπὸ ἰουλιανοῦ ἀντειρημένα τοῖς Ἱπποκράτους ἀφορισμοῖς.

λόγος.

περὶ τῶν εἰς τὰς ἀποδείξεις χρησίμων βιβλίων.

A πάντας ἀνθρώπους ὁρῶν ἐν οἷς ἀμφισβητοῦσιν ἑαυτούς τε ἀποδεικνύειν ἐπαγγελλομένους, ἐλέγχειν τε τοὺς πέλας ἐπιχειροῦντας, οὐδὲν οὕτως ἐσπούδασα μαθεῖν ἁπάντων πρῶτον, ὡς τὴν ἀποδεικτικὴν θεωρίαν. ἠξίωσά τε παρὰ τῶν φιλοσόφων, ἐκείνους γὰρ ἤκουον αὐτὴν διδάσκειν, εἰ μέν τι καὶ ἄλλο κατὰ τὸ λογικὸν μέρος τῆς φιλοσοφίας διδάσκεται φυλάττειν εἰς αὖθις τὴν ὠδῖνα, τῆς περὶ τὰς ἀποδείξεις ἐπιθυμίας παῦσαι διδάξαντας, ἥτις ἄρα μέθοδός ἐστιν, ἣν ὁ μαθὼν ἑτέρου τε λέγοντος λόγον ἀποδεικτικὸν ἀκριβῶς γνωριεῖ. πότερον ὄντως ἐστὶ τοιοῦτος, ἢ καθάπερ τι νόμισμα κίβδηλον, ἔοικε μὲν τῷ δοκίμῳ, μοχθηρὸς δὲ κατ᾽ ἀλήθειαν ἐστίν, αὐτός τε δυνήσεται καθ᾽ ἕκαστον τῶν ζητουμένων ὁδῷ τινὶ χρώμενος, ἐπὶ τὴν εὕρεσιν αὐτοῦ παραγίγνεσθαι. πᾶσιν οὖν τοῖς κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐνδόξοις, στωϊκοῖς τε καὶ περιπατητικοῖς ἐμαυτὸν ἐγχειρήσας, πολλὰ μὲν ἔμαθον ἄλλα τῶν λογικῶν θεωρημάτων, ἃ τῷ μετὰ ταῦτα χρόνῳ σκοπούμενος, ἄχρηστα πρὸς τὰς ἀποδείξεις εὗρον. ὀλίγιστα δὲ χρησίμως μὲν αὐτοῖς ἐζητημένα, καὶ τοῦ προκειμένου σκοποῦ τυχεῖν ἐφιέμενα διαπεφωνημένα δὲ καὶ ταῦτα παρὰ τοῖς ἐκείνοις, ἔνια δὲ καὶ ταῖς φυσικαῖς ἐννοίαις ἐναντία. καὶ νὴ τοὺς θεοὺς ὅσον ἐπὶ τοῖς διδασκάλοις εἰς τὴν τῶν πυῤῥωνίων ἀπορίαν ἐνεπεπτώκειν ἂν καὶ αὐτὸς, εἰ μὴ καὶ τὰ κατὰ γεωμετρίαν ἀριθμητικήν τε καὶ λογιστικὴν κατέχων ἐν αἷς ἐπὶ πλεῖστον ὑπὸ τῷ πατρὶ παιδευόμενος ἐξ ἀρχῆς προεληλύθειν, ἀπὸ πάππου τε καὶ προπάππου διαδεδεγμένων τὴν θεωρίαν. ὁρῶν οὖν οὐ μόνον ἐναργῶς ἀληθῆ φαινόμενά μοι τὰ κατὰ τὰς ἐκλείψεων προῤῥήσεις, ὡρολογίων τε καὶ κλεψύδρων κατασκευάς, ὅσα τ᾽ ἄλλα τὰ κατὰ τὴν ἀρχιτεκτονίαν ἐπινενόηται, βέλτιον ᾠήθην εἶναι τὸν τύπον τὸν γεωμετρικὸν ἀποδείξει χρῆσθαι. καὶ γὰρ καὶ αὐτοὺς τοὺς διαλεκτικωτάτους καὶ φιλοσόφους, οὐ μόνον ἀλλήλοις, ἀλλὰ καὶ αὑτοῖς ηὕρισκον διαφερομένους, ἐπαινοῦντας ὁμοίως ἅπαντας ὡσαύτως τὰς γεωμετρικὰς ἀποδείξεις. κατὰ τοῦτο τοίνυν ἔτι καὶ μᾶλλον ἔγνων δεῖν ἀποστῆναι μὲν ὧν ἐκεῖνοι λέγουσιν, ἀκολουθῆσαι δὲ τῷ χαρακτῆρι τῶν γραμμικῶν ἀποδείξεων. ἀλλήλοις μὲν λέγω διαφέρεσθαι τοὺς φιλοσόφους ἐν τῇ λογικῇ θεωρίᾳ τοὺς δὲ, περιπατητικούς τε καὶ στωϊκοὺς καὶ πλατωνικούς. ἑαυτοῖς δὲ πάλιν ἴδια τοὺς καθ᾽ ἑκάστην αὐτῶν. μικρὰ μὲν δήπως ἐστὶν ἡ παρὰ τοῖς περιπατητικοῖς διαφωνία. μεγάλη δὲ παρὰ τοῖς στωϊκοῖς καὶ πλατωνικοῖς. ὅσοι τοίνυν ἐθέλουσι κατὰ τὰς γραμμικὰς ἀποδείξεις ἀσκηθῆναι, παιδευθῆναι μέν τι ἑαυτοὺς ἐν ἐκείναις συμβουλεύω. μετ᾽ ἐκείνας δὲ, τὴν ἡμετέραν ἀναλέξασθαι περὶ τῆς ἀποδείξεως πραγματείαν. ἣν ἐν πεντεκαίδεκα βιβλίοις ἐποιησάμην. ἔγραψα δὲ ἄλλα πολλὰ γυμνάζων ἐμαυτόν. ὧν ἔνια μὲν ἀπώλετο κατὰ τὴν γενομένην πυρκαϊάν. ἡνίκα τὸ τῆς εἰρήνης τέμενος ἐκαύθη. τινὰ δὲ φίλοις δεδομένα διασωθέντα παρὰ πολλοῖς ἐστὶ νῦν. ὥσπερ καὶ τ᾽ ἄλλα τὰ ἡμέτερα. καὶ μέν τοι καὶ τῶν ὑπομνημάτων ὧν ἔγραψα. τὰ μὲν, ὑπ᾽ ἐμοῦ δοθέντα φίλοις, τὰ δ᾽ ὑπὸ τῶν οἰκετῶν κλεψάντων ἐκδοθέντα, παρ᾽ ἄλλων ἔλαβον ὕστερον. ἔστι δ᾽ ἐν αὐτοῖς γ΄. μὲν εἰς τὸ περὶ ἑρμηνείας ἀριστοτέλους. τέτταρα δ᾽ εἰς τὸ πρότερον τῶν περὶ συλλογισμῶν. καθάπερ γε καὶ εἰς τὸ δεύτερον ἴσα τὸν ἀριθμόν. ἐπιγράφουσι δ᾽ αὐτὰ σχεδὸν ἅπαντες οἱ νῦν, ἀναλυτικῶν προτέρων, ὥσπερ δὲ καὶ δευτέρων. τὰ δὲ περὶ τῆς ἀποδείξεως αὐτὸς ὁ ἀριστοτέλης τῶν μὲν προτέρων ὡς περὶ συλλογισμοῦ γεγραμμένων αὐτῷ μέμνηται, τῶν δὲ δευτέρων ὡς περὶ ἀποδείξεως. ὧν ἐστὶ καὶ αὐτῶν ὑπομνήματα διασωζόμενα τῶν ἐμῶν. εἰς μὲν τὸ πρότερον ς΄. εἰς δὲ τὸ δεύτερον ε΄. τούτων τῶν ὑπομνημάτων ἁπάντων, οὐδὲν ὡς πρὸς ἔκδοσιν ἐγράφη. καθάπερ οὐδὲ τὰ ς΄. τὰ εἰς τοῦ θεοφράστου βιβλίον, ὃ περὶ καταφάσεως καὶ ἀποφάσεως ἔγραψα. τὰ δ᾽ εἰς, τὸ πρότερον λέξεως εὐδήμου πρότερον ἑτέροις ἀξιώσασιν ἐποίησα. τοῦ δὲ τῶν δέκα κατηγοριῶν οὐκ ἐποιησάμην. οὔτ᾽ ἐμαυτῷ τι τοιοῦτον ὑπόμνημα πρόσθεν οὔθ᾽ ἑτέροις ἔδωκα. καὶ διὰ τοῦθ᾽ ὕστερον ποτὲ τῶν ἑτέρων τινὶ δεηθέντι, ὑπομνήματα ἔχειν ὅσα κατὰ τὸ βιβλίον ἤκουσιν εἰς τὰς τῶν ἐν αὐτῷ ζητουμένων λύσεις, κοινωνεῖν ἐκέλευσα τῶν ὑπομνημάτων ἐκείνοις μόνοις τοῖς ἀνεγνωκόσι παρὰ διδασκάλου τὸ βιβλίον. ἢ πάντως γε προεισηγμένοις δι᾽ ἑτέρων ἐξηγητικῶν, ὁποῖα τά τε ἀδράστου καὶ ἀσπασίου ἐστίν. ἔτι δὲ παῖς ὢν ἡνίκα πρῶτον ὁ πατήρ μετὰ τὴν λογικὴν θεωρίαν, χρυσίππου καὶ τῶν ἐνδόξων στωϊκῶν διδάξαντί παρέδωκεν, ἐποιησάμην ἐν αὐτῷ τῶν χρυσίππου συλλογιστικῶν βιβλίων ὑπομνήματα. καὶ ταῦθ᾽ ὕστερον ἐφάνησαν ἔχοντές τινες, ἐν περγάμῳ μὴ καταληφθέντα μετὰ πολλῶν ὑπομνημάτων, ἃ μειράκιον ὢν ἐποιησάμην, ἐκδοθέντα δὲ ὑπὸ οἰκέτου τισὶ τῶν αἰτησάντων. ἃ δ᾽ ἐγὼ μετὰ τὴν περὶ τῆς ἀποδείξεως πραγματείαν ἔγραψα πλατύτερον ἐξειργασμένα, τῶν ἐν ἐκείνοις συντόμως εἰρημένων, ταῦτ᾽ ἐστί. περὶ τῶν ἀναγκαίων εἰς τὰς ἀποδείξεις ἕν. περὶ τῶν παραλειπομένων προτάσεων ἐν τῇ λέξει τῶν ἀποδείξεων, ἕν. περὶ τῶν ἰσοδυναμουσῶν προτάσεων ἕν. περὶ τῶν τῶν κατὰ διότι ἀποδείξεων ἕν. περὶ τοῦ τῶν συλλογισμῶν ἀριθμοῦ ἕν. περὶ παραδείγματος δύο. περὶ ἐπαγωγῆς ἕν. περὶ εἰκόνος ἕν. περὶ ὁμοιότητος γ΄. περὶ ἐξ ὑποθέσεων ἀρχῶν ἕν. περὶ κατὰ τὸ γένος καὶ τὸ εἶδος, καὶ τῶν συζυγούντων αὐτοῖς σημαινομένων ἡμῖν κατὰ τὴν αὐτόματον φωνὴν ἕν. περὶ τοῦ δυνατοῦ. περὶ τῶν πολλαχῶς λεγομένων γ΄. περὶ τῶν ἐν ταῖς τέχναις κοινῶν καὶ ἰδίων ἕν. περὶ τῶν ἑαυτοὺς περιτρεπόντων λόγων ἕν. περὶ τῶν ἐνδεχομένων προτάσεων ἕν. περὶ τῶν μικτῶν προτάσεων καὶ συλλογισμῶν ἕν. Ὅπως χρὴ διακρίνειν τὴν πραγματικὴν ζήτησιν τῆς κατ᾽ ὄνομα καὶ τὸ σημαινόμενον ἕν. περὶ κλειτομάχου καὶ τὰς τῆς ἀποδείξεως αὐτῶν λύσεις. περὶ τοῦ κοινοῦ λόγου β΄. περὶ τῆς ἀρίστης διδασκαλίας πρὸς φαβωρῖνον ὑπὲρ ἐπικτήτου πρὸς φαβωρῖνον ἕν. περὶ χρείας συλλογισμῶν. περὶ χρείας εἰς τοὺς συλλογισμοὺς θεωρήματα α΄. καὶ β΄. περὶ τῆς ἀρίστης αἱρέσεως ἕν. περὶ ὀνομάτων ὀρθότητος γ΄. περὶ τοῦ τῶν ὄντων ἕκαστον ἕν τε εἶναι καὶ πολλά. περὶ τοῦ ὅτι τοῖς ἀντικειμένοις ἐν καὶ ταὐτὸν ἐξ ἀνάγκης ἀκολουθεῖν ἀδύνατόν ἐστιν ἕν. περὶ τῆς ἀποδεικτικῆς αἱρέσεως ἕν. περὶ τῆς λογικῆς δυνάμεως καὶ θεωρίας ἕν. Διάλογοι πρὸς φιλόσοφον ἰδίως τοῦ κατὰ τὰς κοινὰς ἐννοίας. Πρὸς τοὺς ἐπηρεαστικῶς ἀκούοντας τῶν ὀνομάτων ἕν. περὶ τῶν ἰδίων καὶ κοινῶν ἐν ταῖς τέχναις. περὶ τῆς τῶν τεχνῶν συστάσεως γ΄. περὶ τῶν σημαινομένων ἐκ τῆς εἴδους καὶ γένους φωνῆς καὶ τῶν παρακειμένων αὐτοῖς. σύνοψις τῆς ἀποδεικτικῆς θεω-

είας ἕν. περὶ τῆς κρίσεως τῶν διαφωνούντων ἐν τοῖς δόγμασι. Ὅτι τῆς πρώτης οὐσίας ἀχώριστος ἡ ποσότης ἕν. περὶ τοῦ προτέρου. περὶ τῆς διὰ ἀδυνάτου ἀποδείξεως ἕν. περὶ τῶν ἕνεκα αὐτῶν γινομένων ἕν. περὶ τῶν πολλαχῶς λεγομένων β'. περὶ τῶν κατ' ὄνομα καὶ σημαινομένων ζητήσεως. περὶ τῶν τῆς ἠθικῆς φιλοσοφίας ἐζητημένων ὅσα μοι δοκεῖ διὰ τῶν ὑπογεγραμμένων βιβλίων, ἀπεφηνάμην. περὶ τῶν ἰδίων ἑκάστῳ παθῶν καὶ ἁμαρτημάτων τῆς διαγνώσεως β'. περὶ ἠθῶν δ'. πρὸς τὸν Φαβωρῖνον περὶ Σωκράτους. περὶ ἀλυπίας ἕν. περὶ τοῦ κατὰ φιλοσοφίαν τέλους ἕν. περὶ τοῦ τῶν ἐπιδεικνυμένων τοὺς ἀκούοντας συνουσίας ἕν. περὶ τῶν ἀναγινωσκόντων λάθρα ἕν. περὶ ἁμαρτημάτων καὶ κολάσεως ἰσότητος ἕν. περὶ παραμυθίας ἕν. περὶ τῆς ἐν αὐλῇ μονάρχου διατριβῆς πρὸς Βακχίδαν καὶ Κῦρον ἕν. περὶ τῆς ἐν τοῖς διαλόγοις, συνουσίας ἕν. πρὸς τοὺς ἀγοραίους ῥήτορας ἕν. περὶ ἡδονῆς καὶ πόνου, ἕν. περὶ τῶν ἀκολούθων ἑκάστου τῶν βιβλίων, ἕν. περὶ τῶν δημοσίᾳ ῥηθέντων. πρὸς τοὺς ἀπὸ τῶν αἱρέσεων, ἕν. περὶ ὁμονοίας ἕν. περὶ αἰδοῦς, β'. περὶ τῶν δημοσίᾳ ῥηθέντων κατὰ κο-

† al. χρονικοί

λάκων β'. περὶ τῆς διαβολῆς ἐν ᾧ καὶ περὶ τοῦ ἰδίου βίου. † κρονίσκοι ζ'. ἐν ἑνί. πρὸς τοὺς ἀπὸ τῶν αἱρέσεων. τῶν ἐπὶ Περτίνακος δημοσίᾳ ῥηθέντων ἕν. Μέχρι πόσου τῆς παρὰ τοῖς πολλοῖς τιμῆς καὶ δόξης φροντιστέον ἐστίν. περὶ διαθηκῶν ποιήσεως. Τὰ πρὸς τὴν Πλάτωνος φιλοσοφίαν ἀνήκοντα. περὶ τῆς Πλάτωνος αἱρέσεως, ἕν. περὶ τῶν ἐν τῷ Πλάτωνος Τιμαίῳ ἰατρικῶς εἰρημένων ὑπομνήματα δ'. πρὸς τοὺς ἑτέρους ἢ Πλάτων. περὶ τῶν ἰδίων δόξαντας, γ'. περὶ τῆς κατὰ Πλάτωνα λογικῆς θεωρίας. Πλατωνικῶν διαλόγων συνόψεως η'. περὶ τῶν ἐν Φιλήβῳ μεταβάσεων, ἕν. περὶ τῶν τῆς ψυχῆς μερῶν καὶ δυνάμεων γ'. Ὅτι ταῖς τοῦ σώματος κράσεσιν αἱ τῆς ψυχῆς ἕπονται δυνάμεις, β'. καὶ ἄλλο καθ' ἑτέραν ἔκδοσιν. περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων. Τῶν πρὸς τὴν Ἀριστοτέλους φιλοσοφίαν ἡκόντων. Εἰς τὸ περὶ ἑρμηνείας ὑπομνήματα γ'. Προτέρων ἀναλυτικῶν τοῦ προτέρου περὶ ς'. Τοῦ δευτέρου ὑπομνήματα ε'. Εἰς τὰς ι' κατηγορίας ὑπομνήματα δ'. Εἰς τὸ περὶ καταφάσεως καὶ ἀποφάσεως Θεοφράστου ὑπομνήματα ς'. Εἰς τὸ περὶ τοῦ ποσαχῶς τὰ ὑπομνήματα γ'. Εἰς τὸ πρῶτον κινοῦν ἀκίνητον. Εἰς τὸ περὶ λέξεως Εὐδήμου ὑπομνήματα γ'. περὶ τῶν κατὰ τὸ διότι ἀποδείξεων ἕν. περὶ τῶν ἐνδεχομένων προτάσεων καὶ συλλογισμῶν ἕν. περὶ τῶν ἐκ μικτῶν προτάσεων συλλογισμῶν, ἕν. περὶ τῶν κατὰ τὴν λέξιν σοφισμάτων. τὰ πρὸς τὴν τῶν στωϊκῶν φιλοσόφων διαφέροντα. περὶ τῆς κατὰ Χρύσιππον λογικῆς θεωρίας γ'. Τῆς Χρυσίππου συλλογιστικῆς πρώτης ὑπομνήματα, γ'. Δευτέρας ἕν. περὶ τῆς λογικῆς δυνάμεως καὶ θεωρίας ζ'. περὶ τῆς χρείας τῆς εἰς τοὺς συλλογισμοὺς θεωρημάτων ἕν. Ὅτι ἡ γεωμετρικὴ ἀναλυτικὴ ἀμείνων τῆς τῶν στωϊκῶν ἕν. περὶ τῆς χρείας τῆς εἰς τοὺς συλλογισμοὺς θεωρημάτων, β'. Τὰ πρὸς τὴν Ἐπικούρου φιλοσοφίαν ἀνήκοντα. περὶ τοῦ κατ' Ἐπίκουρον εὐδαίμονος καὶ μακαρίου βίου β'. περὶ τοῦ κατ' Ἐπίκουρον † ἀμυροῦ ἡδονῆς, β'. Ὅτι τὰ ποιητικὰ τῆς ἡδονῆς ἐλλιπῶς Ἐπικούρῳ λέλεκται, ἕν. περὶ τῆς ἡδονικῆς αἱρέσεως. Εἰ ἡ φιλολογία χρήσιμος, εἰς τὴν ἠθικὴν φιλοσοφίαν ἕν. περὶ τῶν πρὸς τοὺς σοφιστὰς ἕν. Μητροδώρου ἐπιστολὴ πρὸς Κελσὸν Ἐπικούρειον. Ἐπιστολὴ Πουδεντιανοῦ Ἐπικουρείου. τὰ τοῖς γραμματικοῖς καὶ ῥήτορσι κοινά. Τῶν παρὰ τοῖς ἀττικοῖς συγγραφεῦσιν ὀνομάτων μη'. Τῶν παρ' Εὐπόλιδι πολιτικῶν ὀνομάτων γ'. Τῶν παρὰ Ἀριστοφάνῃ πολιτικῶν ὀνομάτων ε'. Τῶν παρὰ Κρατίνῳ πολιτικῶν ὀνομάτων β'. Τῶν ἰδίως κωμικῶν ὀνομάτων παραδείγματα ἕν. Εἰ χρήσιμον ἀνάγνωσμα τοῖς παιδευομένοις ἡ παλαιὰ κωμῳδία. πρὸς τοὺς ἐπιτιμῶντας τοῖς σολοικίζουσι τῇ φωνῇ ς'. Ἐν ἄλλοις ζ'. ἀττικῶν παράσημος ἕν. περὶ σαφηνείας καὶ ἀσαφείας. Εἰ δύναταί τις εἶναι κριτικὸς καὶ γραμματικὸς ἕν.

† al. forte ἀμώμου aut ἀλύπου

Περὶ τῆς τάξεως τῶν ἰδίων βιβλίων.

Καλῶς μοι δοκεῖς ὦ Εὐγενιανὲ γενέσθαι τι βιβλίον ἠξιωκέναι τὴν τάξιν τῶν ὑπ' ἐμοῦ γεγραμμένων ἐξηγούμενον. οὔτε γὰρ εἷς αὐτῶν ἁπάντων ὁ σκοπός, οὔτε δύναμις, οὐθ' ἐπαγγελία. τὰ μὲν γὰρ φίλων ὡς οἶσθα δεηθέντων ἐγράφη, τῆς ἐκείνων μόνον ἕξεως στοχαζόμενα. τινὰ δὲ μειρακίοις εἰσαγομένοις ὑπηγορεύθη. σκοπὸν ἐπ' οὐδετέρων ἔχοντος μου διαδοθῆναι τοῖς ἀνθρώποις αὐτὰ φυλαχθῆναί τε διὰ μεθ' ἐμοῦ χρόνου. διὰ τὸ θεάσασθαί με καὶ τῶν ἐν τοῖς ἔμπροσθεν γεγραμμένων βιβλίων ὀλίγους πάνυ τῶν ἀνθρώπων αἰσθανομένους. θαυμάζει γοῦν ἄλλος ἄλλον ἰατρῶν τε καὶ φιλοσόφων οὔτε τὰ ἑαυτῶν μεμαθηκότες, οὔτε ἐπιστήμην ἀσκήσαντες ἀποδεικτικήν, ᾗ διακρίναι δυνήσονται τοὺς ψευδεῖς λόγους τῶν ἀληθῶν, ἀλλ' ἔνιοι μὲν ὅτι πατέρας ἔχον, ἤτοι γ' ἐμπειρικοὺς, ἢ δογματικοὺς, ἢ μεθοδικοὺς, ἔνιοι δὲ ὅτι διδασκάλους, ἄλλοι δ' ὅτι φίλους, ἢ διότι κατὰ τὴν πόλιν αὐτῶν ἐθαυμάσθη, τῆς ἀπὸ τῆς δὲ τῆς αἱρέσεως, οὕτω δὲ καὶ κατὰ τὴν φιλοσοφίαν αἱρέσεων ἄλλοι κατ' ἄλλην αἰτίαν. ἤτοι Πλατωνικὸς, ἢ Περιπατητικὸς, ἢ Στωϊκὸς, ἢ Ἐπικούρειος ἐγένετο. νυνὶ δὲ ἀφ' οὗ καὶ διαδοχαὶ αἱρέσεων εἰσὶν οὐκ ὀλίγοι κατὰ τήν δε τὴν πρόφασιν. ἀναγορεύουσί τε ἑαυτοὺς ἀπὸ τῆς αἱρέσεως ὅθεν ἀνατρέφονται. μάλιστα δ' ὅταν ἀπορῶσιν ἀφορμῆς ἑτέρας βίου. ἐγὼ μὲν δὴ μοι πεπεικὼς ἐμαυτὸν, ὡς οὐδ' ἂν ὑπὸ τῶν μουσῶν αὐτῶν γραφῇ τι βιβλίον, ἐντιμότερον ἔσται τῶν ὑπὸ τοῖς ἀμαθεστάτοις γεγραμμένων, οὐκ ὠρέχθην οὐδεπώποτε τῶν ἐμῶν ὑπομνημάτων οὐδὲν ἐν ἀνθρώποις εἶναι διαδοθέντα δὲ εἰς πολλοὺς αὐτῶν ἄκοντος ἐμοῦ, καθάπερ οἶσθα, πρὸς τὸ διδόναι τι τοῦ λοιποῦς τοῖς φίλοις ὑπόμνημα λίαν ὀκνηρῶς ἔχον. Ἠναγκάσθην δὲ διὰ τοῦτο καὶ βιβλίον τι γράψαι περὶ τῆς ἀρίστης αἱρέσεως, οὐ τοιοῦτον οἷον πολλοὶ τῶν ἔμπροσθεν ἔγραψαν ἰατρῶν τε καὶ φιλοσόφων, ὀνομαστὶ τὴν ἑαυτῶν αἵρεσιν ἐπαινοῦντες, ἀλλὰ τὴν ὁδὸν αὐτὴν μόνην ἐνδεικνύμενος, ᾗ τις ἂν χρώμενος, ἀρίστην αἵρεσιν συστήσαιτο, ἢ κατ' ἰατρικὴν ἢ φιλοσοφίαν, ἢ τινὰ ἄλλην τέχνην. εἴρηται δ' ἐν αὐτῷ καὶ δέδεικται τὸ λεγόμενον ὀλίγον ἔμπροσθεν, ὡς ἀποδείξεως ἐπιστήμονα χρὴ γεγονέναι πρότερον ὅστις ἂν μέλλῃ κριτὴς ὀρθὸς ἔσεσθαι τῶν αἱρέσεων. οὐκ ἀρκεῖ δὲ οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ πάθους ἀπηλλάχθαι καθὸ φιλοῦντες, ἢ μισοῦντες τὰς αἱρέσεις. οὐχ ὡς οἱ πολλοὶ τυφλώττουσιν ἀμφ' αὐτάς. εἰ γὰρ μὴ τοῦτ' ἔχων ἐθελήσειεν ἤτοι κατὰ μέθοδον ἐπιστημονικὴν, αὐτὸ ζητῆσαι τὸ ἀληθὲς, ἢ τὰ τοῖς ἄλλοις εἰρημένα κρίναι, μόνος ἂν οὗτος ἐξεύροι τὴν ἀρίστην αἵρεσιν. ἐπίστασαι δὲ καὶ σὺ τοὺς πολλοὺς τῶν ἰατρῶν τε καὶ φιλοσόφων ὅταν ἐξελέγχονται ὡς μηδὲν

ἀποδεικτικὴν

ἀποδεικτικὴν μέθοδον ἠσκηκότας ἐπὶ τὰς ἐναντίας ὁδοὺς ἐκτρεπομένους. καὶ τοὺς μὲν αὐτῶν μηδ' εἶναι φάσκοντας ἀπόδειξιν. ἐνίους δ' οὐ μόνον ὑπάρχειν ἀπόδειξιν, ἀλλὰ καὶ γινώσκεσθαι φύσει πᾶσιν, ὡς μηδὲν εἰς τοῦτο μήτε μαθήσεως δεῖσθαί τινα, μήτ' ἀσκήσεως. οἷς πῶς ἂν ἔτι διαλέγοιτό τις; εἰς τοσοῦτον ἐμπληξίας ἥκουσιν. ἀλλά τις ἴσως αὐτῶν ἐρεῖ, καὶ γὰρ τολμηρότατοί πως εἰσί, περὶ ὧν οὐκ ἴσασιν ἀποφαίνεσθαι, τὴν τόλμαν ἐν ἐμοὶ μᾶλλον εἶναι, ἵνα οὖν μήθ' αὐτὸς ἀκούω ταῦτα, μήτε πρὸς ἑτέρους ἀναγκάζομαι λέγειν, ἐγνώκειν μηδὲν ἐκδιδόναι βιβλίον. ἀλλὰ τῶν γε τοῖς φίλοις δοθέντων ἐκπεσόντα εἰς πολλοὺς ἔγραφον μὲν ἐξ ἀνάγκης δι' ἐκεῖνα καὶ τὸ περὶ τῆς ἀρίστης αἱρέσεως. εἴρηται δ' ἐν αὐτῷ καὶ ἡ τῆς γραφῆς αἰτία. ταῦτά τε οὖν εἴ τις ἀναγινώσκειν ἐθέλοι πρῶτα πάντων ὀρθῶς ποιήσει, καὶ εἰ πεισθεὶς αὐτοῖς ἀποδεικτικὸς γενέσθαι βουληθείη, πρὶν ἐπὶ τὴν μάθησίν τε καὶ κρίσιν ἥκειν ἁπάντων τῶν αἱρέσεων, ἔχει πραγματείαν τὴν ὑφ' ἡμῶν γεγραμμένην τὴν περὶ ἀποδείξεως. ἧς ἐὰν μὴ μόνας μάθῃ τὰς μεθόδους, ἀλλὰ κἂν γυμνάσηται κατ' αὐτὰς ἐπὶ πάσης ὕλης πραγμάτων ἐξευρήσει τὴν ἀλήθειαν. ἐάν γ' ἐραστὴς ὑπάρχει καὶ μὴ κατὰ πάθος ἄλογον αἱρήσεταί τις, καθάπερ οἱ περὶ τὰς διαφορὰς τῶν χρωμάτων ἐν ταῖς ἱπποδρομίαις ἐσπουδακότες. ὁ δ' αὐτὸς οὗτος ἐπὶ τοῖς ἔμπροσθεν εἰρημένοις, παραγενόμενος, ἐξευρήσει τὰ ἀληθῶς αὐτοῖς ἐγνωσμένα καὶ ψευδῶς ὑπειλημμένα. μία μὲν οὖν ἥδε τῶν ἡμετέρων ὑπομνημάτων ἐστὶν ἀρχὴ τῆς ἀναγνώσεως, ἐκείνοις τῶν ἀνδρῶν, ὅσοι καὶ φύσει συνετοί, καὶ ἀληθείας ἑταῖροι. χωρὶς δὲ ταύτης ἐάν τις ἡμῶν αὐτῶν ᾖ πεπειραμένος ἐπί τε τοῦ βίου παντὸς καὶ κατὰ τῆς τέχνης ἔργα, τάχα ἐπ' αὐτῶν τῶν τοιούτων ὥστε πεπεῖσθαι περὶ μὲν τοῦ τρόπου τῆς ψυχῆς ὅτι χωρὶς ἔχθρας, ἢ φιλονεικίας ἢ φιλίας ἀλόγου πρὸς αἵρεσίν τινα πάντα πραττόμεθα. ἢ περὶ τῶν ἔργων τῶν κατὰ τὴν τέχνην, ὅπως μαρτυρεῖ τῇ τῶν δογμάτων ἀληθείᾳ, καὶ χωρὶς τῆς ἀποδεικτικῆς θεωρίας οὗτος ὠφελεῖσθαι δυνήσεται πρὸς τῶν ἡμετέρων ὑπομνημάτων. οὐ κατ' ἐπιστήμην ἀκριβῆ τῶν πραγμάτων, τοῦτο γὰρ ὑπάρχει μόνοις τοῖς ἀποδεικτικοῖς, ἀλλὰ κατὰ δόξαν ὀρθήν. ὑπὲρ ἧς εἰκότως εἴρηται τοῖς παλαιοῖς. ὧν εἰς μὲν τὰς πράξεις, οὐδὲν ἐπιστήμης ἀπολείπεται, τὸ μόνιμον δ' αὐτῇ καὶ βέβαιον οὐ πρόσεστιν. ἀναγνώσεται τοιγαροῦν οὗτος ἁπάντων πρῶτα τοῖς εἰσαγομένοις γεγραμμένα. τό, τε περὶ τῶν αἱρέσεων ὃ δὴ καὶ κατὰ τὴν λέξιν ἐπιγέγραπται περὶ αἱρέσεως τοῖς εἰσαγομένοις. καὶ τὸ περὶ σφυγμῶν. ὃ δὴ καὶ αὐτὸ παραπλησίως ἐπιγέγραπται περὶ σφυγμῶν τοῖς εἰσαγομένοις. καὶ τρίτον ὃ περὶ τῶν ὀστῶν τοῖς εἰσαγομένοις ἐπιγέγραπται, τῆς ἀνατομικῆς πραγματείας ὑπάρχον πρῶτον. ἣν δὴ καὶ πᾶσαν εἴ τις βούλοιτο διελθεῖν ἐπὶ τὴν τῶν ἀνατομικῶν ἐγχείρησιν ἡκέτω πρὸ τῶν ἄλλων, αὕτη γὰρ διδάσκει τὰ φαινόμενα μόρια κατὰ τὰς ἀνατομάς. ὡς ἔχει μεγέθους τε καὶ θέσεως καὶ διαπλάσεως, καὶ πλοκῆς, καὶ χροιᾶς καὶ τῆς πρὸς ἄλληλα κοινωνίας. οὐδὲν τῇ τούτων θέᾳ κατὰ τὰς ἀνατομὰς γυμνασάμενος, ἑξῆς αὐτῶν τὰς ἐνεργείας μαθήσεται. τὰς μὲν φυσικάς, ἐν τρισὶν ὑπομνήμασι γεγραμμένας, ἃ περὶ φυσικῶν δυνάμεων ἐπιγέγραπται. τὰς ψυχικὰς δ' ὀνομαζομένας ἐν ἄλλοις πλείοσιν ὧν προηγεῖται τό, τε περὶ τῆς ἐπὶ τῶν τεθνεώτων ἀνατομῆς. καὶ δύο ἑξῆς τῷδε, τὰ τῆς ἐπὶ τῶν ζώντων. καὶ δύο ἐπ' αὐτοῖς ἄλλα τὰ περὶ τῆς ἀνατομῆς διαφωνίας. ἐφεξῆς δὲ τούτοις ἐστὶ τρία μὲν περὶ θώρακος καὶ πνεύμονος. δύο δὲ περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων. καὶ τούτων ἐφεξῆς περὶ φωνῆς. ἐκ ταὐτοῦ δὲ γένους ἐστὶ καὶ τὰ περὶ μυῶν κινήσεως. καὶ τοῦ περὶ τῶν ὀνομάτων ἐπιδέδεικτο. καὶ αὐτὰ δὲ τὰ περὶ τῆς ἀποδείξεως τῶν στοιχείων, οὐ πάντα εἴρηται κατὰ τὸ βιβλίον, ἀλλ' ὅσοις αὐτὸς Ἱπποκράτης ἐχρήσατο, πρὸς δὲ τὸ τελεώτατον τῆς ἐπιστήμης τῶν τοῦ σώματος στοιχείων ἀναλέξαι προσήκει, ἐν τὰ δ' τῷ τρισκαιδεκάτῳ περὶ ἀποδείξεως εἰρημένα καὶ τὰ τὸ κατὰ πέμπτον καὶ ἕκτον περὶ τῶν Ἀσκληπιάδου δογμάτων. ἀλλὰ καὶ τὰ περὶ τῆς τῶν καθαιρόντων φαρμάκων δυνάμεως. εἴρηται μέν τινα κἀν τῷ περὶ καθ' Ἱπποκράτην στοιχείων. γέγραπται δὲ καὶ κατὰ μόνας ἐν ἑτέρῳ βιβλίῳ. τῷ δὲ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων, ἕπεται τὰ περὶ κράσεως ὑπομνήματα γ'. καὶ τούτοις, ἡ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως πραγματεία. κἀκείνῃ πάλιν ἡ περὶ συνθέσεως φαρμάκων. ἐν μὲν οὖν τοῖς πρώτοις ζώοις λέγονται μετὰ τῶν ἰδίων ἑκάστης γνωρισμάτων. ἐν δὲ τῷ περὶ τῆς τῶν φαρμάκων κράσεως ὁ λόγος ἐστίν. ἐάν τε μετὰ οὖν δύο βουληθείη τις, ἐάν τε μετὰ τρία, τότε περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος ἀναγνῶναι καὶ τὸ περὶ τῆς εὐεξίας. καὶ τὸ περὶ τῆς ἀνωμάλου δυσκρασίας, ἐν τῇ προσηκούσῃ τάξει πράξει τοῦτο. μικρὰ δέ ἐστι πάνυ τὰ τρία ταῦτα βιβλία, φίλοις ἀξιώσασιν ὑπαγορευθέντα κἄπειτ' ἐκδοθέντα πρὸς ἐκείνων. ἐπεί τοι καὶ τούτων ἡ δύναμις ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ περιέχεται. καθ' ἣν αἱ διαφοραὶ τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς.

τῶν ἐξηγήσεων. ὅσα τ' ὀρθῶς λέγονται. καὶ ὅσα μὴ προγεγυμνασμένῳ κατὰ τὰς ἡμετέρας πραγματείας. ἕξεις δ' εἰς ἔνια τῶν Ἱπποκράτους καὶ τὰ ἡμέτερα. καὶ ἐπειδὴ ταῦτ' ἤδη γέγραπται, προσθεῖναι πειράσομαι τὰ λοιπά. ὅπερ μοι ἐὰν ζήσωμεν ἔσται. φθάσαντος δ' ἀποθανεῖν ἐμοῦ πρὶν ἐξηγήσασθαι τὰ καιριώτατα τῶν Ἱπποκράτους συγγραμμάτων, ἕξουσιν οἱ βουλόμενοι τὴν γνώμην αὐτοῦ. καὶ τὰς ἡμετέρας μὲν ὡς εἴρηται πραγματείας, ἅμα τοῖς ἤδη γεγονόσιν ὑπομνήμασι. καὶ τῶν ἐξηγησαμένων γε τὸν ἄνδρα τὰ τοῦ διδασκάλου Πέλοπος εἴπου τι καὶ τῶν Νουμισιανοῦ ἔχοιεν. ἔστι δ' ὀλίγα τὰ διασωζόμενα. καὶ πρὸς τούτοις, τά τε Σαβίνου καὶ Ῥούφου τοῦ Ἐφεσίου, Κόϊντος δὲ καὶ οἱ Κοΐντου μαθηταί, τὴν Ἱπποκράτους γνώμην οὐκ ἀκριβῶς ἐγνώκασι. διὸ καὶ πολλαχόθι τὰς ἐξηγήσεις οὐκ ὀρθῶς ποιοῦνται. Λύκος δ' ἐνίοτε καὶ προσεγκαλεῖ τῷ Ἱπποκράτει, καὶ φησὶ ψεύδεσθαι τὸν ἄνδρα μὴ γινώσκων αὐτοῦ τὰ δόγματα καίτοι τά γε τοῦ Λύκου βιβλία φανερῶς πάντα γέγονεν. ὁ δ' ἡμέτερος διδάσκαλος Σάτυρος, τούτῳ γὰρ πρώτῳ συγγινόμενοι, μετὰ ταῦτ' ἠκούσαμεν Πέλοπος, οὐ τὰς αὐτὰς ἐξηγήσεις ἐποιεῖτο τῷ Λύκῳ τῶν Ἱπποκρατείων βιβλίων. ὁμολογεῖται δὲ Σάτυρος ἀκριβέστατα διασώζειν τὰ Κοΐντου δόγματα. μήτε προστιθεὶς αὐτοῖς τι, μήτ' ἀφελών. Αἰφικιανὸς μὲν γάρ τι καὶ μετερρύθμισεν ἐπὶ τὸ στωϊκώτερον. ἡμεῖς οὖν ἑτέρως μὲν ἔμπροσθεν ἠκηκοότες Σατύρου τὰς ἐξηγήσεις Κοΐντου, μετὰ χρόνον δ' ὕστερον ἀναγνόντες τινὰ τῶν τοῦ Λύκου κατέγνωμεν ἀμφοτέρων, ὡς οὐκ ἀκριβῶς ἐγνωκότων τὴν Ἱπποκράτους γνώμην. ἄμεινον γὰρ ἔγνωσαν οἱ περὶ Σαβῖνον τε καὶ Ῥοῦφον. ὁ δ' ἐν ταῖς ἡμετέραις πραγματείαις προγεγυμνασμένος, ἱκανὸς καὶ τὰ τούτων κρίνειν, καὶ φωράσαι τά τε καλῶς ὑπ' αὐτῶν εἰρημένα, καὶ εἴπου τύχοιεν ἐσφαλμένοι. [ἀλλ' ἐπεὶ καὶ περὶ τῶν Ἱπποκράτους ἐξηγήσεων αὐτάρκως εἴρηται μεταβῶμεν ἐπὶ τὰ λοιπὰ τῶν ἡμετέρων ὑπομνήματα, ὅσα περὶ λογικῆς ἐστὶ πράγματα. ἔστι δ' ἐξ αὐτῶν. σοὶ μὲν ὦ Εὐγενιανὲ καὶ ὅσοι τὴν ἰατρικὴν μόνην ἐσπουδάκατε περὶ τῆς ἀποδείξεως αὐτάρκη. τοῖς δ' ἄλλοις ὅσοι φιλοσοφίᾳ σχολάζουσι, καὶ τ' ἄλλα. πλὴν εἴ τις ἀμφοτέρας δύναιτο καλῶς μετέρχεσθαι τὰς θεωρίας ἰατρικῆς τε καὶ φιλοσοφίας. εἶναι δὲ χρὴ τοῦτον ἀγχίνουν τε ἅμα καὶ μνήμονα, καὶ φιλόπονον. ἔτι δὲ πρὸς τούτοις εὐτυχηκότα τοιαύτην εὐτυχίαν, οἵαν ἡμεῖς εὐτυχήσαμεν ὑπὸ πατρὶ παιδευθέντες, ὃς ἀριθμητικῆς τε καὶ λογικῆς καὶ γραμματικῆς θεωρίας ἐπιστήμονας ἡμᾶς. ἐν τούτοις τε καὶ ἐν τοῖς ἄλλοις, ὅσα παιδείας μαθήματα θρέψας ἡνίκα πεντεκαιδέκατον ἔτος ἤγομεν, ἐπὶ τὴν διαλεκτικὴν θεωρίαν ἦγεν. ὡς μόνῃ φιλοσοφίᾳ προσέξοντα τὸν νοῦν. εἶτ' ἐξ ὀνειράτων ἐναργῶν προτραπεὶς, ἑπτακαιδέκατον ἔτος ἄγοντα, καὶ τὴν ἰατρικὴν ἐποίησεν ἐμὲ ἀσκεῖν ἅμα τῇ φιλοσοφίᾳ. ἀλλὰ καὶ τοιαύτην ἐγὼ τὴν εὐτυχίαν εὐτυχήσας ἐκμανθάνων τε καὶ θᾶττον ἁπάντων τῶν ἄλλων, ὅτι περ ἂν ἐδιδασκόμην, εἰ μὴ τὸν ὅλον μου βίον εἰς τὴν τῆς ἰατρικῆς τε καὶ φιλοσοφίας θεωρήματα ἄσκη-

A° 144 15°
146 17°

τὰ ἄσκησιν καθεστήκειν, οὐδὲν ἂν ἔγνων μέγα. μηδὲ δείνου μηδὲ ἄλλου θαῦμα. διότι πολὺ πλῆθος ἀνθρώπων ἀσκούντων ἰατρικὴν τε καὶ φιλοσοφίαν, ἐν οὐδετέρᾳ κατορθοῦσιν, ἢ γὰρ οὐκ ἔφυσαν καλῶς, ἢ οὐκ ἐπαιδεύθησαν ὡς προσῆκεν, ἢ οὐ κατέμειναν ἐν ταῖς ἀσκήσεσιν, ἀλλ' ἐπὶ τὰς πολιτικὰς πράξεις ἀπετράποντο. ταῦτα μὲν οὖν μοι περὶ τὸ πάρεργον εἰρήσθω. καίτοι οὐκ ὄντα πάρεργα. Τὰ γοῦν τῆς φιλοσόφου θεωρίας ἡμέτερα βιβλία μετὰ τὴν περὶ τῆς ἀποδείξεως πραγματείαν, ἀναγινώσκειν χρή. τίνες δ' αὐτῶν εἰσὶν αἱ ὑποθέσεις, καὶ πόσαι, καθ' ἑκάστην αὐτῶν γέγραπται. δι' ἐκείνου δὲ δειχθήσεται τοῦ γράμματος, ἐν ᾧ τὴν γραφὴν ποιοῦμαι ἁπάντων τῶν ἐμῶν βιβλίων. ἐπεὶ δ' ἐπύθου μου καὶ περὶ τῆς πραγματείας ἐν ᾗ τὰ παρὰ τοῖς ἀττικοῖς γραφεῦσιν ὀνόματα κατὰ τὴν τῶν πρώτων ἐν αὐτοῖς γραμμάτων ἤθροισται τάξιν ἅπερ ἀπεκρινάμην σοι βέλτιον ἡγοῦμαι κἀνταῦθα γράψαι σοι. πρόδηλον γὰρ ὅτι καὶ ἄλλοι πολλοὶ ζητοῦσιν, ἥτις ποτ' ἐστὶν αὐτῶν ἡ ὑπόθεσις. οὐ γὰρ δὴ καὶ ἀξιοῦμεν ἡμεῖς ὥσπερ ἔνιοι τῶν νῦν κελεύουσιν ἅπαντας ἀττικίζειν τῇ φωνῇ, κἂν ἰατροὶ τυγχάνουσιν ὄντες, ἢ φιλόσοφοι καὶ γεωμετρικοὶ καὶ μουσικοὶ καὶ νομικοὶ, κἂν μηδὲν τούτων, ἀλλ' ἁπλῶς ἤτοι πλουτοῦσί τινες, ἢ μόνον εὔποροι. τοὐναντίον γὰρ ἀπαξιῶ μηδενὶ μέμφεσθαι τῶν σολοικιζόντων τῇ φωνῇ, μηδ' ἐπιτιμᾶν. ἄμεινον γάρ ἐστι τῇ φωνῇ μᾶλλον, ἢ τῷ βίῳ σολοικίζειν τε καὶ βαρβαρίζειν. ἐγράφη δέ μοι ποτὲ καὶ πραγματεία πρὸς τοὺς ἐπιτιμῶντας τοῖς σολοικίζουσι τῇ φωνῇ, τοσοῦτον δέω παιδείας τι μόριον ὑπολαμβάνειν τὸ ἀττικίζειν. ἀλλὰ διὰ τὸ πολλοὺς ἰατροὺς καὶ φιλοσόφους ἐν οἷς αὐτοὶ νομοθετοῦσι καινὰ σημαινόμενα τῶν ἑλληνικῶν, ἐν τούτοις ἑτέροις διὰ τοῦτο καὶ τῶν ὀνομάτων τὴν ἐξήγησιν ἐποιησάμην ἐν ὀκτὼ καὶ τεσσαράκοντα βιβλίοις. ἀθροισαμένων ἀττικῶν συγγραφέων αὐτά. καθάπερ ἐκ τῶν κωμικῶν ἄλλα. γέγραπται μὲν οὖν ὡς ἔφην ἡ πραγματεία διὰ τὰ σημαινόμενα. σὺν τούτῳ δ' εὐθέως ὑπάρχει τοῖς ἀναγνωσομένοις αὐτὰ, καὶ ἡ τῶν ἀττικῶν ὀνομάτων γνῶσις. οὐδὲν αὐτὴ καθ' ἑαυτὴν ἄξιον ἔχουσα μεγάλης σπουδῆς. ἀλλά γε διὰ τοὺς κακῶς χρωμένους τοῖς ὀνόμασιν, ἄλλη μοι γέγραπται πραγματεία περὶ τῆς ὀρθότητος αὐτῶν, ἣν δὴ καὶ πρώτην ἁπασῶν ἄμεινον ἀναγινώσκειν.

ΓΑΛΗΝΟΥ ΕΙΣΑΓΩΓΗ Η ΙΑΤΡΟΣ. ΠΩΣ ΕΥΡΗΤΑΙ Η ΙΑΤΡΙΚΗ.

ΕΛΛΗΝΕΣ τῶν τεχνῶν τὰς εὑρέσεις ἢ θεῶν παισὶν ἀνατιθέασιν, ἢ τισὶν ἐγγὺς αὐτῶν, οἷς πρῶτοι οἱ θεοὶ πάσης τέχνης ἐκοινώνησαν. οὕτως οὖν καὶ τὴν ἰατρικὴν πρῶτον μὲν Ἀσκληπιὸν παρ' Ἀπόλλωνος τοῦ πατρὸς φασὶν ἐκμαθεῖν, καὶ ἀνθρώποις μεταδοῦναι. διὸ καὶ δοκεῖ εὑρετὴς γεγονέναι αὐτῆς. πρὸ δὲ Ἀσκληπιοῦ τέχνη μὲν ἡ ἰατρικὴ οὔπω ἦν ἐν ἀνθρώποις, ἐμπειρίαν δέ τινα οἱ παλαιοὶ εἶχον φαρμάκων, καὶ βοτανῶν, οἷα παρ' Ἕλλησι Χείρων ὁ κένταυρος ἠπίστατο, καὶ οἱ ὑπὸ τούτου παιδευθέντες ἥρωες, ὥσπερ τε εἰς Ἀρισταῖον, καὶ Μελάμποδα, καὶ Πολύιδον ἀναφέρεται. παρὰ δὲ Αἰγυπτίοις ἦν μὲν καὶ ἡ τῶν βοτανῶν χρῆσις, καὶ ἡ ἄλλη φαρμακεία, ὡς καὶ Ὅμηρος μαρτυρεῖ λέγων. Αἰγυπτίη τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά. ἐκ δὲ τῶν ἐν ταῖς ταριχείαις ἀνατμήσεως τῶν νεκρῶν, πολλὰ καὶ τῶν ἐν χειρουργίᾳ παρὰ τοῖς πρώτοις ἰατροῖς εὑρῆσθαι δοκεῖ. τινὰ δὲ ἐκ περιπτώσεως φασὶν ἐπιγνωσθῆναι. ὡς τὸ παρακεντεῖν τοὺς ὑποκεχυμένους ἐκ τοῦ περιπεσεῖν αἶγα, ἥτις περιχυθεῖσα ἀνέβλεψεν, ὀξυσχοίνου ἐμπαγείσης εἰς τὸν ὀφθαλμόν. καὶ τὸ κλύζειν δὲ ἀπὸ τῆς ἴβεως φασὶν εὑρεθῆναι πληρούσης τὸ περὶ τὸν τράχηλον δέρμα ὡς κλυστῆρος ἄσκωμα θαλασσίου ὕδατος καὶ νειλαίου, καὶ διὰ τοῦ ῥάμφους ἐνιείσης ἑαυτῇ ὄπισθεν. φησὶ δὲ καὶ Ἡρόδοτος ὁ ἱστοριογράφος τὸ παλαιὸν ἐν ταῖς περιόδοις προτίθεσθαι τοὺς νοσοῦντας, τοὺς δὲ περιπεσόντας τοῖς αὐτοῖς νοσήμασιν ὑφηγεῖσθαι, οἷς χρησάμενος ἕκαστος ἐθεραπεύθη, καὶ οὕτως ἐκ τῆς τῶν πολλῶν πείρας συνερανίζεσθαι τὰ τῆς ἰατρικῆς. ἀλλ' αὐτὴ μὲν ἄλογος ἡ πεῖρα, καὶ οὔπω λογική. τελείαν δὲ ἰατρικὴν καὶ τοῖς ἑαυτῆς μέρεσι συμπληρουμένην, τὴν μὲν ὡς ἀληθῶς θείαν, Ἀσκληπιὸν μόνον εὑρεῖν, τὴν δ' ἐν ἀνθρώποις τοὺς Ἀσκληπιάδας παρὰ τούτου διαδεξαμένους τοῖς ἔπειτα παραδοῦναι. μάλιστα δὲ Ἱπποκράτης ὃς πάντων ὑπερήνεγκε καὶ πρῶτος εἰς φῶς ἐξήνεγκε τὴν τελείαν παρ' Ἕλλησιν ἰατρικήν.

Τίνες ἀρχαὶ ἰατρικῆς.

Ἀρχαὶ οὖν τῆς ἰατρικῆς, τρεῖς. ἡ μὲν εὑρέσεως, ἡ δὲ ἐκ τοῦ συστῆσαι τὴν τέχνην, ἡ δὲ ὑφηγήσεως. εὑρέσεως μὲν οὖν ἁπλῶς τῆς ἐν τῇ ἰατρικῇ ἡ παλαιοτάτη, καὶ ἄνευ λόγου ἀρχὴ, καὶ πεῖρα, ἧς παρὰ Αἰγυπτίοις, καὶ πᾶσι βαρβάροις. τοῦ δὲ εἰς σύστημα τέχνης ἀγαγεῖν, ὡς τὴν τῶν Ἀσκληπιαδῶν ἰατρικήν. ταύτης δὲ ἀρχὴ λόγος, καὶ πεῖρα. ὑφηγήσεως δὲ ὡς φησὶ Ἀθήναιος, ἢ παραδόσεως καθὼς τινὲς λέγουσιν, ἀρχὴ ἡ φυσικὴ θεωρία. ἁπλῶς δὲ καὶ Ἱπποκράτης ἔφη ἀρχὴ τοῦ ἐν ἰατρικῇ λόγου ἡ φύσις πρώτη. ἀπὸ γὰρ τοῦ φυσιολογεῖν ἄρχονται οἱ δογματικοὶ, ἐπειδὴ ἐκ τῶν κατὰ φύσιν, καὶ τὰ παρὰ φύσιν δύνανται εἰδέναι, ἄνευ δὲ τοῦ γνῶναι τὸ κατὰ φύσιν, τὸ παρὰ τοῦτο ἔχον, οὐχ οἷόν τε ἐπίστασθαι. καὶ ἐν τῷ θεραπεύειν ὁμοίως δέονται τῆς φυσιολογίας, ἐπειδὴ ἀπὸ τῆς φυσικῆς δυνάμεως τῶν προσφερομένων βοηθημάτων, τὸ κατάλληλον αὐτῶν πρὸς τὰ πάθη λαμβάνουσιν. οἱ δὲ κατὰ τὰς ἄλλας αἱρέσεις παραιτησάμενοι τὸ φυσιολογεῖν, ἄρχονται ἑκάτεροι ἀφ' ὧν τὴν ἕξιν τοῦ προσφέρειν τὰ βοηθήματα περιεποιήσαντο, οἱ μὲν μεθοδικοὶ ἐκ τῆς τῶν κοινοτήτων ἐνδείξεως, οἱ δ' ἐμπειρικοὶ ἐκ τῆς κατὰ τὴν πεῖραν τηρήσεως. ὥσπερ γὰρ τοῖς δογματικοῖς ἀρχὴ τοῦ ἐν ἰατρικῇ λόγου ἡ φύσις, οὕτω τοῖς ἐμπειρικοῖς ἀρχὴ ἡ πεῖρα, ἡ πλειστάκις, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ἔχουσα. ἀπὸ ταύτης γὰρ καὶ ἡ ἱστορία

ἄρχεται, καὶ ἐπὶ ταῦτα ἡ τοῦ ὁμοίου μετάβασις. τοῖς δὲ μεθοδικοῖς ἀρχὴ, ἡ ἐπὶ τὰ φαινόμενα τοῦ ὁμοίου θεωρία, ἢ γνῶσις φαινομένων κοινοτήτων.

Πόσαι αἱ αἱρέσεις ἐν ἰατρικῇ, καὶ τίνα χαρακτηρίζομενα αὐτάς.

Αἱρέσεις δὲ ἐν ἰατρικῇ τρεῖς λογικὴ, ἐμπειρικὴ, μεθοδικὴ. λογικὴ μὲν, ἡ φυσιολογίαν παρέχουσα, καὶ τὰς αἰτίας τῶν νόσων ἐξετάζουσα, καὶ σημειώσει πρὸς εὕρεσιν τῶν αἰτίων χρωμένη. τὴν τε θεραπείαν ἐξ ὧν ὑπαγορεύουσιν αἱ αἰτίαι παραλαμβάνουσα καθ᾽ ὑπεναντίωσιν. τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἐστὶ ἰάματα. τέσσαρα οὖν ἐστὶ τὰ χαρακτηρίζοντα τὴν λογικὴν αἵρεσιν. φυσιολογία, αἰτιολογία, σημείωσις, καὶ τέταρτον, τὸ ὑπαγορεύειν αὐτῶν τὰ αἴτια τῆς θεραπείας. Ἐμπειρικὴ δὲ ἐστὶν ἡ εἰς τὰς συνδρομὰς τῶν συμπτωμάτων τῶν συνεδρευόντων ἐπὶ τῶν νοσούντων ἀφορῶσα, καὶ τὴν κατάλληλον πρὸς τὰ συμπτώματα θεραπείαν τετηρηκυῖα, οὔτε δὲ πάθος εἰδυῖα, οὔτε αἰτίας ἐξετάζουσα, ἀρκουμένη δὲ τῇ ἐπὶ τῶν συμπτωμάτων ἐπὶ πεῖραν τῶν προσφερομένων τηρήσει, χρωμένη δὲ καὶ ἱστορίᾳ τῇ τῶν προπεπειραμένων, καὶ τῇ τοῦ ὁμοίου μεταβάσει ἀπὸ τοῦ πεπειραμένου ἐπὶ τὸ ἀπείρατον, ὅμοιον δὲ ἐπὶ τὸ φαινόμενον εἶδος. ὅσων τε γὰρ αὐτοὶ διὰ τῆς τῶν αὐτῶν πεῖρας τῆς ἐπὶ πολλῶν καὶ πλειστάκις ἀεὶ κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ἐχούσης ἐπειράθησαν, ἢ περιπεσόντες κατὰ τύχην παρεφύλαξαν, καὶ ταῦτα ἀεὶ καὶ ὡσαύτως ἔχοντα, θαρροῦντες τούτοις χρῶνται, οὐ πολυπραγμονοῦντες τὰς ἐκ τῶν ποιοτήτων δυνάμεις αὐτῶν, πεπιστεύκασι δὲ καὶ τοῖς παλαιοτάτοις ἀναγραψαμένοις τὰ διὰ πεῖρας αὐτοῖς τετυχημένα, ἣν καλοῦσιν ἱστορίαν. χρῶνται δὲ καὶ τῇ τοῦ ὁμοίου μεταβάσει, μεταβαίνοντες ἐπὶ τὰ μήπω εἰς πεῖραν αὐτοῖς ἐλθόντα, ὁπόταν ὅμοια φαίνηται τῇ ἐπὶ τὸ πρόχειρον ἰδέᾳ. ὡς μαλάχη, καὶ βλίτον, καὶ τεῦτλον, καὶ λάπαθον. ἐπί τε τῶν ἐναντίων, ὡς χόνδρος, καὶ ὄρυζα, καὶ πάλιν ἐν τοῖς ἀκροδρύοις ὡς ἄπιος, καὶ μῆλον κυδώνιον. χαρακτηρίζει οὖν καὶ τὴν ἐμπειρικὴν αἵρεσιν ταῦτα, τὸ εἰς τὰς συνδρομὰς ἀφορᾶν τῶν συμπτωμάτων, μήτε εἰς πάθος, μήτε εἰς αἴτια. δεύτερον ἡ ἐπὶ ταῖς συνδρομαῖς τήρησις τῶν διὰ πεῖρας ἁρμοζόντων. τρίτον, ἱστορία τῶν πεπειραμένων. τέταρτον, ἡ τοῦ ὁμοίου μετάβασις. Μεθοδικὴ δὲ ἐστὶν ἡ κοινότησι προσέχουσα, καὶ τῇ τοῦ ὁμοίου θεωρίᾳ. πάντα γὰρ τὰ ἐπὶ μέρους πάθη εἰς δύο καθολικὰ ἀνάγουσιν, εἴς τε τὸ στεγνὸν, καὶ τὸ ῥοῶδες, ἃ καλοῦσι κοινότητας. γνωρίζουσι δὲ αὐτὰς ἀπὸ τῶν περὶ τὸ σῶμα γινομένων διαθέσεων καθ᾽ ἑκάτερον φαινομένων, καὶ οὐκ ἀδήλων. διὸ οὐ δέονται σημειώσεως. οἷον τὸ μὲν στεγνὸν ἐκ τοῦ πεπυκνῶσθαι τὸ σῶμα, καὶ ἐπέχεσθαι αὐτοῦ τὴν διάῤῥοιαν, καὶ πᾶσαν φαινομένην ἔκκρισιν παραδέχεσθαι. τὸ δὲ ῥοῶδες ἐκ τοῦ τήν τε ἐπιφάνειαν τοῦ σώματος ἠραιῶσθαι, καὶ τὰς αἰσθητὰς ἐκκρίσεις ἐπιτετάσθαι, καθ᾽ ὁποιοῦν μέρος τοῦ σώματος. διττὸν οὖν θεραπείας εἶδος ἐνδείκνυνται αὐτοῖς τὰ γενικὰ δύο πάθη, χαλᾶν μὲν τὰ στεγνὰ, στέλλειν δὲ τὰ ῥοώδη. ὅταν δὲ ἐπιπεπλεγμένα ᾖ, πρὸς τὸ κατεπεῖγον ἵστασθαι. κοινότητας δὲ πάσας μὲν φαινομένας λέγουσι. τούτων δὲ τὰς μὲν παθητικὰς, ὡς τὸ στεγνὸν, καὶ ῥοῶδες. τὰς δὲ θεραπευτικὰς ὡς τὸ χαλᾶν, καὶ στέλλειν. τὰς δὲ καιρικὰς, ἀρχὴν, ἐπίδοσιν, ἀκμὴν, παρακμήν. αἱ δὲ ἐν χειρουργίαις κοινότητες, ἐπὶ τὴν τοῦ ἀλλοτρίου ὑπεξαίρεσιν. διττὸν γὰρ τὸ ἀλλότριον, ἤτοι ἔξωθεν ἐστὶν ἢ τῶν ἐν σώματι. τὸ μὲν ἔξωθεν ἁπλοῦν τρία δὲ εἴδη τῶν ἐν σώματι. ἀλλὰ τὸ μὲν ἔξωθεν ὡς σκώλοψ, καὶ βέλος, καὶ πᾶν ὅπερ ἀλλότριον, ἐνδείκνυται τὴν τελείαν ἐξαίρεσιν. τῶν δὲ ἐν τῷ σώματι, τὸ μὲν περὶ τόπῳ ἀλλότριον ὡς ὑπόχυμα, καὶ ἐξάρθρημα, καὶ κάταγμα, ἅπερ ἐνδείκνυται τὴν μετάθεσιν, ἢ ἀποκατάστασιν εἰς τὸν ἴδιον τόπον. τὸ δὲ, περὶ μεγέθει ἀλλότριον, ὡς τὰ ἀποστήματα πάντα, καὶ οἱ ὄγκοι οἱ περὶ ὄσχεον, ἀκροχορδόνες τε καὶ φύματα, καὶ κονδυλώματα, ἅπερ ἐνδείκνυται, τὰ μὲν διαιρέσει μόνῃ χρῆσθαι, τὰ δὲ περιαιρέσει τελείᾳ τῶν περιττῶν. τὸ δὲ τῇ ἐλλείψει ἀλλότριον, οὐχ ὡς περιττεῦον, ἀλλ᾽ ὡς ἐνδέον, οἷον τὰ κολοβώματα πάντα, ὡς ἐπὶ τῶν χειλῶν, καὶ ὀφθαλμῶν, διὸ καλοῦνταί τινες λαγόφθαλμοι, καὶ λαγόχειλοι. ὁμοίως δὲ καὶ αἱ σύριγγες, καὶ ὅσα ὑπόφορα, καὶ κόλποι, καὶ ἕλκη, καὶ πάντα τὰ τοιαῦτα, ὅσα κατ᾽ ἔνδειαν, τὸ ἀναπληροῦσθαι ἐπιζητεῖ, καὶ ἐνδείκνυται. ἔστι δὲ παρὰ τὰς ἐν χειρουργίαις τέσσαρας κοινότητας, καὶ τὸ λεγόμενον προφυλακτικὸν εἶδος, ὃ καὶ αὐτὸ εἰς κοινότητα τάττεται ἐπὶ τῶν δηλητηρίων, καὶ τοξικῶν, καὶ ἰοβόλων πάντων καὶ δακέτων θηρίων τε, καὶ χερσαίων, καὶ ἐνύδρων. κοινὸν γὰρ πάντων γένος, τὸ εἶναι τὰ φθοροποιὰ, οὐχ ὑπαγόμενα περὶ στεγνῷ, ἢ ῥοώδει, ἀλλὰ ἕτερον παρὰ ταῦτα τὸ γένος. διὸ καὶ ἡ θεραπευτικὴ αὐτῶν κοινότης ἑτέρα παρ᾽ ἐκείνην ἡ προφυλακτικὴ λεγομένη. χαρακτηρίζει οὖν καὶ τὴν μεθοδικὴν αἵρεσιν πρῶτον μὲν ἡ τοῦ ὁμοίου θεωρία ἐπὶ τῶν φαινομένων, ἀλλ᾽ οὐκ ἐπὶ τῶν ἀδήλων, ὡς ἐν τῇ λογικῇ αἱρέσει. ταύτῃ γὰρ καὶ διορίζεται, ἐπεὶ καὶ ἐν ἐκείνῃ ἐστὶν ἡ τοῦ ὁμοίου θεωρία, ἀλλὰ ἐπὶ τῶν ἀδήλων. δεύτερον ὅτι ἐκ τοῦ ἐν τοῖς φαινομένοις ὁμοίου ἀνάγει εἰς τὰ καθόλου πάντα τὰ ἐπὶ μέρους, τά τε πάθη καὶ τὰ βοηθήματα, καὶ τοὺς καιρούς. ἀλλ᾽ οὐχ ὡς ἐμπειρικοὶ τοῖς φαινομένοις μόνον προσέχουσιν. ἵστανται δὲ ἐν τοῖς ἐπὶ μέρους, καὶ οὐδὲν καθολικὸν ἴσασι. τρίτον τὸ ἐκ τῆς τῶν κοινοτήτων ἐνδείξεως τὴν θεραπείαν λαμβάνειν καὶ μή τε τὰ αἴτια αὐτοὺς ὑπαγορεύειν ὡς τοὺς λογικοὺς, μήτε τῇ ἐπὶ ταῖς συνδρομαῖς τηρήσει διὰ πεῖρας ἁρμοζόντων ἀρκεῖσθαι, ὡς τοὺς ἐμπειρικούς.

Τίνες προέστησαν τῶν τριῶν αἱρέσεων.

Προέστησαν δὲ τῆς μὲν λογικῆς αἱρέσεως, Ἱπποκράτης κῷος, ὃς καὶ αἱρεσιάρχης ἐγένετο, καὶ πρῶτος συνέστησε τὴν λογικὴν αἵρεσιν. μετὰ δὲ τοῦτον Διοκλῆς ὁ καρύστιος, Πραξαγόρας κῷος, Ἡρόφιλος χαλκιδόνιος, Ἐρασίστρατος χῖος, Μνησίθεος ἀθηναῖος, Ἀσκληπιάδης Βιθυνὸς, κιανὸς, ὃς καὶ προυσίας ἐκαλεῖτο. Τῆς δὲ ἐμπειρικῆς προέστη Φιλῖνος κῷος. ὁ πρῶτος αὐτὴν ἀποτεμνόμενος ἀπὸ τῆς λογικῆς αἱρέσεως, τὰς ἀφορμὰς λαβὼν παρὰ Ἡροφίλου, οὗ καὶ ἀκουστὴς ἐγένετο. θέλοντες δὲ ἀπαρχαΐζειν ἑαυτῶν τὴν αἵρεσιν, ἵνα ᾖ πρεσβυτέρα τῆς λογικῆς, Ἄκρωνα τὸν ἀκραγαντῖνον φασὶ ἄρξασθαι αὐτῆς. μετὰ Φιλῖνον ἐγένετο Σεραπίων ἀλεξανδρεὺς, εἶτα Ἀπολλώνιοι δύο πατήρ τε καὶ υἱὸς ἀντιοχεῖς. μεθ᾽ οὓς Μηνόδοτος καὶ Σέξτος, οἳ καὶ ἀκριβῶς ἐκράτυναν αὐτήν. Μεθοδικῆς δὲ ἦρξε μὲν Θεμίσων ὁ λαοδικεὺς τῆς συρίας, παρ᾽ Ἀσκληπιάδου τοῦ λογικοῦ ἐφοδιασθεὶς εἰς τὴν εὕρεσιν τῆς

μεθοδικῆς

μεθοδικῆς αἱρέσεως. ἐτελείωσε δὲ αὐτὴν Θεσσαλὸς ὁ Τραλλιανός. οἱ δὲ μετὰ τούτους, Μνασέας, Διονύσιος, Πρόκλος, Ἀντίπατρος, διεστασίασαν δὲ περὶ τινῶν ἐν αὐτῇ, Ὀλυμπιακὸς ὁ Μιλήσιος, καὶ Μηνέμαχος ὁ Ἀφροδισιεύς, καὶ Σωρανὸς ὁ Ἐφέσιος. ἐγένοντο δέ τινες καὶ ἐπισυνθετικοὶ ὡς Λεωνίδης ὁ Ἀλεξανδρεύς. καὶ ἐκλεκτικοὶ ὡς Ἀρχιγένης ὁ Ἀπαμεὺς τῆς Συρίας.

Εἰ ἐπιστήμη ἡ ἰατρική, ἢ τέχνη.

Τινὲς τῶν λογικῶν, ὧν ἐστιν καὶ Ἐρασίστρατος, ὑπέλαβον τὸ μέν τι ἐπιστημονικὸν ἔχειν τῆς ἰατρικῆς, οἷον τὸ αἰτιολογικόν, καὶ φυσιολογικόν, τὸ δὲ στοχαστικόν, οἷον τὸ θεραπευτικόν, καὶ τὸ σημειωτικόν. οἱ δὲ μεθοδικοί, καὶ δι' ὅλου ἐπιστήμην αὐτὴν ἀποκαλοῦσιν. διήμαρτον δὲ ἄμφω τοῦ ἀληθοῦς, καὶ μάλιστα οἱ μεθοδικοί. ἐπιστήμη γάρ ἐστι γνῶσις ἀραρυῖα, καὶ βεβαία, καὶ ἀμετάπτωτος ὑπὸ λόγου. αὕτη δὲ οὐδὲ παρὰ τοῖς φιλοσόφοις ἐστί, μάλιστα ἐν τῷ φυσιολογεῖν. πολὺ δὲ δὴ μᾶλλον οὐκ ἂν εἴη ἐν ἰατρικῇ, ἀλλ' οὐδ' ὅλως εἰς ἀνθρώπους ἔρχεται. διὸ τέχνη εἰκότως ἂν λέγοιτο ἡ ἰατρική. τέχνη γάρ ἐστι σύστημα ἐγκαταλήψεων, καὶ διανοιῶν, ποιόν τε καὶ ποσὸν συγγεγυμνασμένων, πρός τι τέλος νευουσῶν χρήσιμον τῷ βίῳ. καταλήψεις οὖν καὶ αὕτη ἔχουσα ἀνθρωπίνας, καὶ ταύτας ἱκανὰς τῷ πλήθει, ὡς σύστημα αὐτῶν εἶναι. ἄλλως τε καὶ συγγεγυμνασμένας, τοῦθ' ἐστι προσεχεῖς ἀλλήλαις, καὶ συναδούσας, οὐχὶ ἀσυναρτήτους, ἰδιώτατον ἂν τέχνην ὀνομάζοιτο, ἐφαρμόζοντος αὐτῇ τοῦ ὅρου τῆς τέχνης, καὶ εἰς τι χρήσιμον τῷ βίῳ νεύουσιν αἱ ἐν αὐτῇ καταλήψεις. ἐπί γε τὸ σώζειν, καὶ ὑγιαίνειν τοὺς ἀνθρώπους παρῆλθεν εἰς τὸν βίον. διττῆς δὲ οὔσης τεχνῶν διαφορᾶς, αἱ μὲν γὰρ τοῦ καθ' ἑαυτὰς τέλους ἀεὶ τυγχάνουσιν, ὡς τεκτονική, καὶ ναυπηγική, καὶ οἰκοδομική. αἱ δὲ ἐφίενται μὲν τοῦ ἑαυτῶν τέλους, ὡς σκοποῦ, οὐκ ἀεὶ δὲ αὐτοῦ τυγχάνουσιν. ἀλλ' ὡς ἐπὶ τὸ πολύ, διὸ καὶ στοχαστικαὶ λέγονται. τούτων ἂν εἴη καὶ ἰατρική, ὡς ῥητορική, καὶ κυβερνητική, καὶ τοξική. ἔστι δὲ καὶ ἑτέρα διαφορὰ τῶν τεχνῶν, διττὴ καὶ αὐτή. αἱ μὲν γὰρ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχουσιν, μετὰ δὲ τὸ παύσασθαι τῆς ἐνεργείας οὐδὲν αὐτῶν ἀποτέλεσμα δείκνυται, ὡς ὀρχηστική, καὶ κιθαριστική, καὶ παλαιστική, καὶ πᾶσα μουσικὴ τέχνη. αἱ δὲ ἐν τῷ ἐνεργεῖν οὐδὲν ἔχουσιν ὅλως φαινόμενον ἔργον, ἀλλ' ὡς ἂν τινος μέλλοντος ἔσεσθαι παρασκευαστικαί, μετὰ δὲ τὸ ἀποστῆναι τῆς ἐνεργείας, τότε αὐτῶν τὸ ἀποτέλεσμα φαίνεται, ὡς ἀγαλματοποιητική, καὶ ζωγραφία, καὶ τεκτονική, καὶ τῶν ἄλλων ὧν ὕστερον ἐπιμένει τὰ ἔργα. τούτων δ' ἂν εἴη καὶ ἡ ἰατρική. ἐν γε τῷ θεραπεύειν, οὐδέπω αὐτῆς διαδείκνυται τὸ τέλος, ἐνισταμένης ἀεὶ πρὸς τὰς νόσους. ὅταν δὲ συντελέσῃ τὰ τῆς θεραπείας, τότε ὑγιῆ τὸν ἄνθρωπον ἀπέφηνεν.

Τί ἐστιν ἰατρική.

Ὅροις μὲν ἐχρήσαντο οἱ λογικοί. ὑπογραφαῖς δὲ οἱ ἐμπειρικοί. τὸ δὲ περὶ τούτων ζητεῖν φιλοσόφοις μόνοις ἁρμόζει. ἁπλῶς δὲ καὶ οὕτως ὡρίσαντο οἱ παλαιοὶ ἰατροὶ τὴν ἰατρικήν, ἢ ὑπέγραψαν. ἰατρική ἐστι κατὰ μὲν Ἱπποκράτην, πρόσθεσις, καὶ ἀφαίρεσις. πρόσθεσις μὲν τῶν ἐλλειπόντων, ἀφαίρεσις δὲ τῶν πλεοναζόντων, ἐπὶ ἀνθρωπίνων σωμάτων. ὃν γάρ τινες ὅρον ἰατρικὸν ᾠήθησαν, οὐκ ἔστιν ὅρος. τό, τε μὴ παντάπασιν ἀπαλλάσσειν τῶν νόσων τοὺς κάμνοντας καὶ τὸ τὰς σφοδρότητας ἀμβλύνειν καὶ τὸ τοῖς κεκρατημένοις μὴ ἐγχειρεῖν. οὐ γὰρ ἐξ ὧν μὴ δύνανται αἱ τέχναι, ἀλλ' ἐξ ὧν δύνανται οἱ ὅροι αὐτῶν εἰσιν. ἐρεῖ γὰρ αὐτῶν ὅσα μὴ δύνανται, οὐ τὰ μὴ ὑπάρχοντα αὐτῶν ὁρίζει. οἱ δὲ νεώτεροι οὕτως ὡρίσαντο. ἰατρική ἐστιν ἐπιστήμη ὑγιείας μὲν τηρητική, νόσων δὲ ἀπαλλακτική, οὐκ ὀρθῶς. οὐ γὰρ αὐτὴ ταῦτα ἐνεργεῖ, ἀλλ' ὧν ἐνεργεῖ, ταῦτα ἀποτελεῖται, καὶ οὐκ ἀεί. διὸ οὐκ ἐκ τούτων συνέστηκεν, ἀλλ' ἐκ τῶν ὑφ' αὐτῆς ἀεὶ παραλαμβανομένων. ταῦτα δέ ἐστι πρόσθεσις, καὶ ἀφαίρεσις. ὥσπερ ἅπερ λαμβάνει ἡ ἰατρική, ταῦτα εἶπεν αὐτὴν εἶναι ὁ Ἱπποκράτης, οἷς ἐπί τε τῶν ὑγιαινόντων χρῆται, ὅταν τὴν ὑγείαν αὐτῶν συντηρεῖ, καὶ ἐπὶ τῶν νοσούντων, ἵνα τῶν νόσων ἀπαλλάττωνται, ἃ τοίνυν ἀεὶ ἐνεργεῖ, ταῦτα ἐστι τὰ συνιστάντα αὐτήν, οὐ τὰ ἀπὸ τούτων ἀποτελούμενα. ἕτερον γάρ τι ἐστιν ἡ τέχνη, καὶ ἕτερον τὸ τέλος αὐτῆς. † οὐ γὰρ ἐφίεται τούτου, ἀλλ' ὅτι ἐστὶ περὶ ταύτην, ἀμέλει καὶ οὐ ἀεὶ τοῦτο σὺν αὐτῇ ἔχει. διὸ μέχρις μὴ τυγχάνει αὐτοῦ, οὐδὲ τὸ τέλος αὐτῆς λέγεται, ἀλλὰ σκοπός, ὅταν δὲ τύχῃ, τέλος. οὕτως οὖν καὶ κυβερνητική, καὶ τοξικὴ οὐκ ἀπὸ τῶν τελῶν ὁρίζονται. οὐ γὰρ ἀεὶ τούτου τυγχάνουσιν, ἀλλ' ἐξ ὧν συνεστήκασιν, καὶ δι' ὧν ἐνεργοῦσιν ἵνα τῶν τελῶν περιγίνονται. δοκεῖ δὲ τοῖς μετὰ Ἱπποκράτην σχεδὸν ἅπασιν, οὗτος ὁ ὅρος ὀρθῶς ἔχειν. Ἡροφίλῳ, ὅτι ἰατρική ἐστιν ἐπιστήμη ὑγιεινῶν καὶ νοσωδῶν, καὶ οὐδετέρων. τριῶν γὰρ τούτων γνῶσιν ἔχειν, ὑγιεινῶν μὲν ὅσα τῶν κατασκευαζόντων τὰ ἐν ἀνθρώπῳ οὕτως ἔχει, ἐξ ὧν εὖ ἡρμοσμένων πρὸς ἄλληλα τὸ ὑγιαίνειν συνίσταται. νοσωδῶν δὲ τῶν τὴν ὑγιεινὴν ἁρμονίαν διαλυόντων. οὐδετέρων δέ ἐστιν ἅπαντα τὰ προσφερόμενα ἐν ταῖς νόσοις βοηθήματα, καὶ ἡ ὕλη αὐτῶν. ταῦτα γὰρ πρὶν ἢ παραληφθῆναι ὑπὸ τοῦ ἰατροῦ οὐδέτερα εἰσίν, οὐδὲ ὑγιεινά, οὐδὲ νοσώδη.

† al. ὃ γὰρ ἐφίεται ἄλλο τί ἐστι παρὰ ταῦτ.

Πόσα μέρη ἰατρικῆς.

Μέρη ἰατρικῆς τὰ μὲν πρῶτα ἐστί, τό, τε φυσιολογικόν, καὶ τὸ αἰτιολογικόν, ἢ παθολογικόν, καὶ τὸ ὑγιεινόν, καὶ τὸ σημειωτικόν, καὶ τὸ θεραπευτικόν. Ἀθήναιος δὲ ἀντὶ τοῦ σημειωτικοῦ τὸ ὑλικὸν τάττει, ὅ ἐστιν ἐν τῷ θεραπευτικῷ. ἄνευ γὰρ τοῦ ὑλικοῦ τὸ θεραπευτικὸν οὐκ ἂν εἴη. σημείωσις δὲ καὶ εἰς θεραπείαν μὲν ἀναγκαία, ἀλλ' οὐκ ἔστιν αὐτὴ ἡ θεραπεία. διὰ γὰρ τῆς ὕλης, ἡ θεραπεία συντελεῖται, καὶ τὸ μὲν ὑλικὸν ἄνευ θεραπείας οὐδὲν ἕτερον συμβάλλεται. τὸ δὲ σημειωτικόν, καὶ ἄνευ θεραπείας ἀναγκαῖον, πρὸς τὸ εἰδέναι τίνα θεραπευτικά, καὶ τίνα ἀθεράπευτα, καὶ περιΐστασθαι αὐτά, ὅπως μὴ ἐπιβαλλόμενοι ἀδυνάτοις σφαλλώμεθα. ἔστι δὲ καὶ τῶν πέντε μερῶν τῆς ἰατρικῆς ὑποδιαίρεσις ἑκάστου. φυσιολογικὸν μὲν οὖν ἐστιν αὐτῆς μέρος, ἐν ᾧ περὶ τῆς φύσεως τοῦ ἀνθρώπου διαλαμβάνομεν. διαιρεῖται δὲ εἰς τὸν περὶ τῶν στοιχείων λόγον, ἐξ ὧν συνέστηκεν ὁ ἄνθρωπος, καὶ εἰς τὸν περὶ γενέσεως, καὶ διαπλάσεως ἐμβρύου, καὶ τρίτον εἰς τὴν τῶν ἐντὸς θεωρίαν, καὶ εἰς τὴν τῶν ἐκτὸς μερῶν τοῦ σώματος ἐπίσκεψιν, ὅτε ἀνατέμνομεν, ἢ ὀστεολογοῦμεν. Αἰτιολογικὸν δέ ἐστιν ὃ καὶ παθολογικόν, ἐν ᾧ τὰ παρὰ φύσιν ἐξετάζομεν, καὶ τὰς αἰτίας τῶν νόσων ἐρευνῶμεν, καὶ τὰς συνδρομὰς τῶν συμπτωμάτων, καὶ τὰς

καταστάσεις τῶν παθῶν πολυπραγμονοῦμεν. ἄνευ γὰρ τούτων, οὐκ ἔστιν ὀρθῶς ἐνίστασθαι πρὸς αὐτὰ τὴν θεραπείαν. διαιρεῖται δὲ καὶ τὸ ὑγιεινὸν μέρος τῆς ἰατρικῆς εἴς τε τὸ συντηρητικὸν ὑγείας, καὶ εἰς τὸ προφυλακτικὸν τῶν νόσων, καὶ εἰς τὸ ἀναληπτικὸν ἀπὸ τῶν νόσων. διαιρεῖται δὲ καὶ τὸ σημειωτικὸν εἰς τρία, εἴς τε ἐπίγνωσιν τῶν παρεληλυθότων, καὶ εἰς τὴν ἐπίσκεψιν τῶν συνεδρευόντων, καὶ εἰς πρόγνωσιν τῶν μελλόντων. τὸ δὲ θεραπευτικὸν ὁμοίως, καὶ αὐτὸ εἰς τρία διαιρεῖται, εἴς τε δίαιταν, καὶ χειρουργίαν, καὶ φαρμακείαν.

Εἰ ἀναγκαία ἡ εἰς τὰ. ε. μέρη τῆς ἰατρικῆς διαίρεσις.

Τὸ μὲν οὖν φυσιολογεῖν ἀναγκαῖον ἐστὶν, ὅτι οὐχ οἷόν τε τὰ παρὰ φύσιν εἰδέναι μὴ πρότερον ἐπιστάμενον τὰ κατὰ φύσιν. παρὰ γὰρ τὴν τούτων φύσιν συνίσταται τὰ νοσήματα. τὸ δὲ αἰτιολογεῖν, καὶ παθολογεῖν, καὶ αὐτὰ ἀναγκαῖα. τὸ μὲν ἵνα τὰς αἰτίας τῶν παθῶν ἴδωμεν, πρὸς ἃς δεῖ ἐνίστασθαι, τὸ δὲ ἵνα καὶ αὐτὰ πάθη γνωρίζωμεν τὰ κατωνομασμένα τοῖς παλαιοῖς, καὶ τὰς καταστάσεις αὐτῶν. σύζυγος δὲ καὶ ἡ τῶν συμπτωμάτων συνεδρευόντων τοῖς πάθεσιν ἐπίγνωσις. ἀπὸ γὰρ τῆς τούτων συνελεύσεως, ἣν συνδρομὴν καλοῦσιν οἱ ἐμπειρικοὶ, τὰ πάθη εἰδοποιοῦνται. ἀλλ' οἱ μὲν ἐμπειρικοὶ ἐπὶ ταῖς συνδρομαῖς ἐτήρησαν τὰ πρὸς ἕκαστον συμπτώματα ἁρμόζοντα, τοῖς δὲ μεθοδικοῖς, τὰ πάθη ἐνδείκνυται τὴν θεραπείαν, ὡς τοῖς λογικοῖς τὰ αἴτια. ἐξετάζουσι δὲ οὐδὲν ἧττον οἱ λογικοὶ, καὶ τὰ πάθη, καὶ τὰς συνδρομάς. τὸ δὲ πᾶν, τοῖς αἰτίοις παρέχουσιν. αἰτίων δὲ τὰ μὲν προκαταρκτικὰ, τὰ δὲ συνεκτικὰ, τὰ δὲ συνεργὰ, τὰ δὲ συναίτια, τὰ δὲ προηγούμενα. προκαταρκτικὰ μὲν οὖν ἐστὶν, ὅσα προκατάρχει, καὶ ποιήσαντα ἀπαλλάσσεται, ὡς ψῦξις, κόπος, ἔγκαυσις, ἀπεψία. συνεκτικὸν δὲ αἴτιον ἐστὶν, οὗ παρόντος, πάρεστι καὶ τὸ νόσημα, καὶ ἐξαιρουμένου, λύεται, ὡς σκόλοψ, καὶ βέλος, συναίτιον δὲ τὸ καθ' αὑτὸ μὲν δυνάμενον ποιεῖν τὸ πάθος, ποιοῦν δὲ καὶ σὺν ἑτέρῳ, ὡς λίθος ἐν κύστει, καὶ φλεγμονή. ἀμφότερα γὰρ ἰσχουρίας αἴτια. δύναται δὲ καὶ καθ' ἑαυτὸ ἑκάτερον τὴν ἐποχὴν τῶν οὔρων ἐπιφέρειν. σύνεργον δέ ἐστι μέρος αἰτίου, καθ' ἑαυτὸ μὲν οὐ δυνάμενον ἐπιτελέσαι τὸ πάθος, συνεργαζόμενον δὲ ἑτέρῳ. ὡς συνεργεῖ λαγνεία πρὸς ἀρθρῖτιν, καὶ εἰρεσία πρὸς αἵματος ἀναγωγήν. προηγούμενον δέ ἐστιν αἴτιον τὸ ὑπὸ τοῦ προκαταρκτικοῦ, ἢ κατασκευαζόμενον, ἢ συνεργούμενον, οἷον πλεονασμὸς αἵματος γίνεται μὲν ὑπὸ πλήθους τροφῆς, προηγεῖται δὲ τῆς κατ' Ἐρασίστρατον παρεμπτώσεως, ἥ τις ἐστὶ συνεκτικὴ αἰτία τῶν νοσημάτων πάντων, ἄνευ δὲ τοῦ προηγουμένου οὐ γίνεται. τὸ δ' ὑγιεινὸν οὐ μόνον ὡς μέρος ἰατρικῆς, ἀλλὰ ὡς κάλλιον τοῦ θεραπευτικοῦ προτάττεται αὐτοῦ. πολὺ γὰρ ἄμεινον τοῦ ἀπαλλάξαι τῆς νόσου, τὸ μηδὲ τὴν ἀρχὴν ἐᾶσαι νοσῆσαι. ὥσπερ καὶ κυβερνήτῃ αἱρετώτερον τὸ πρὶν εἰς χειμῶνα ἐμπεσεῖν, διαπεραιώσασθαι, ἢ χειμασθέντα, καὶ κινδυνεύσαντα ἐκφυγεῖν. διαφέρει δὲ ἐν τῷ ὑγιεινῷ πάλιν τὸ ἐν ὑγείᾳ διατηρῆσαι, τοῦ προφυλάξαι νόσους ἐπιούσας. τὸ μὲν γὰρ διὰ τῆς συνήθους διαίτης περιγίνεται. τὸ δὲ ἤδη δεῖται θεραπευτικῶν βοηθημάτων εἰς τὸ ὑποκαταλαμβάνεσθαι καὶ προδιαλῦσαι μέλλουσαν συνίστασθαι νόσον. ὅσα γὰρ ἤδη γενόμενα πάθη ἰᾶται, ταῦτα καὶ πρὶν ἢ γενέσθαι κωλύει συστῆναι. ὁμοίως δὲ καὶ τὸ ἀναληπτικὸν τούτων διαφέρει. ὁ γὰρ ἀναλαμβάνων οὐκέτι μὲν παρὰ φύσιν ἔχει, οὔπω δὲ κατὰ φύσιν, ἀλλ' ὁδεύει, ἄρτι ἀπαλλαγεὶς τοῦ παρὰ φύσιν, εἰς τὸ κατὰ φύσιν, διόπερ ἑτέρας ἀγωγῆς δεῖται, οὔτε θεραπευτικῆς, οὐ γὰρ νοσεῖ οὔτε τῆς ἐπὶ τῶν ὑγιαινόντων, οὔπω γὰρ τελέως ὑγιαίνει. διὸ οὐ δύνανται ἐπ' αὐτῶν παραλαμβάνεσθαι, οἷα καὶ ὅσα περὶ τῶν ὑγιαινόντων. τὸ δὲ σημειωτικὸν μέρος τῆς ἰατρικῆς, ἀναγκαιότατον ἐστὶ εἰς θεραπείαν τὴν κατὰ δίαιταν. τά τε γὰρ προγεγονότα συμπτώματα, καὶ τὰ παρόντα πολυπραγμονοῦμεν εἰς τὸ εὑρεῖν τὴν αἰτίαν τῆς νόσου. ἀναγκαιότατον δὲ καὶ εἰς τὸ προγνῶναι εἴτε ὀλέθριον, εἴτε περιεστικὸς εἴη τὸ νόσημα. ὁμοίως δὲ καὶ κατὰ χειρουργίαν, καὶ τὰ διὰ φαρμάκων θεραπευόμενα οὔτε ἄνευ σημειώσεως συντελεῖται, καὶ τὰ ἐπ' αὐτῶν ὁμοίως δεῖται τῆς προγνωστικῆς σημειώσεως, πρὸς τὸ εἰδέναι τίνα αὐτῶν ἀθεράπευτα ἐστὶ, καὶ τίνα θεραπευτὰ μὲν, βλάπτοντα δὲ μεγάλως, ἢ ἀναιροῦντα ἐὰν θεραπευθῇ. τοῦ θεραπευτικοῦ δὲ διαιρουμένου εἴς τε δίαιταν, καὶ φαρμακείαν, καὶ χειρουργίαν. δίαιτα μὲν ἐστὶν ἀγωγὴ διαφορητικῶν, καὶ προσθετικῶν, καὶ συμπεπτικῶν βοηθημάτων, παραλαμβανομένη μὲν ἐπὶ τῶν νοσούντων πάντων, τὸ δὲ κῦρος ἔχουσα ἐπὶ τῶν πυρεττόντων. χειρουργία δὲ ἐστὶ μόριον τοῦ θεραπευτικοῦ διὰ τομῶν, καὶ καύσεων, καὶ τῆς περὶ τὰ ὀστᾶ διορθώσεως ὑγιάζουσα τοὺς ἀνθρώπους. φαρμακεία δὲ ἐστὶν εἶδος θεραπείας διὰ ψιλῶν φαρμάκων τά τε ἐντὸς πάθη, καὶ τὰ ἐκτὸς ἰωμένη. δεῖ μὲν γὰρ καταλλήλου διαίτης, ποτὲ δὲ καὶ χειρουργίας προσδεομένη, ὥσπερ γε ἡ χειρουργία, καὶ δίαιτα προσχρῶνται φαρμακείᾳ. ἄνωθεν οὖν ἀπὸ φυσιολογίας ἀρκτέον, ἐπειδήπερ οὔτε ἐν ὑγείᾳ συντηρεῖν, οὐδὲ ἐπὶ τῶν νοσούντων, αἰτιολογεῖν, οὐδὲ σημειοῦσθαι, οὐδὲ θεραπεύειν ὀρθῶς δύναιτ' ἄν τις, μηδὲ ἐπεσκεμμένος ἐκ τίνων στοιχείων ὁ ἄνθρωπος συνέστηκε, καὶ πῶς τρεπομένων τούτων παρὰ τὴν ἐξ ἀρχῆς φύσιν αἱ νόσοι γίνονται.

Περὶ στοιχείων ἐξ ὧν ὁ ἄνθρωπος συνέστηκεν.

Συνέστηκε τοίνυν ὁ ἄνθρωπος ἀκολούθως τοῖς φυσικοῖς καθ' Ἱπποκράτην ἐκ τῶν κοσμικῶν τῶν πρώτων στοιχείων, ἐκ πυρὸς, καὶ ἀέρος καὶ ὕδατος, καὶ γῆς. οὐχ ὡς ἐκ τούτων αὐτῶν, ἀλλὰ ἐκ τῶν ἀναλόγων αὐτοῖς συνεστῶτος τοῦ ἀν-
» θρώπου. ἐν δὲ τῷ διαλύεσθαι, εἰς ταῦτα τὰ πρῶτα ἀναλύεται, καθὼς αὐτὸς ὁ Ἱπποκράτης ἔφη. καὶ πάλιν ἀνάγ-
» κη ἀποχωρέειν εἰς τὴν ἑωυτοῦ φύσιν ἕκαστον τελευτῶντος τοῦ ἀνθρώπου, τό, τε ξηρὸν πρὸς τὸ ξηρὸν, καὶ τὸ ψυ-
» χρὸν πρὸς τὸ ψυχρὸν, καὶ τὸ ὑγρὸν, πρὸς τὸ ὑγρὸν, καὶ τὸ θερμὸν πρὸς τὸ θερμόν. τοιαύτη δὲ καὶ τῶν ζώων ἐστὶ
ἡ φύσις καὶ τῶν ἄλλων ἁπάντων. γίνεταί τε ὁμοίως πάντα καὶ τελευτᾷ ὁμοίως. συνίσταται γὰρ αὐτῶν ἡ φύ-
» σις ἀπὸ τούτων τῶν εἰρημένων καὶ τελευτᾷ κατὰ τὰ εἰρημένα, εἰς τὸ αὐτὸ, ὅθενπερ συνέστηκεν ἕκαστον, ἐνταῦθα καὶ ἀπεχώρησεν. ἀλλὰ καὶ Ὅμηρος ἔφη. ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ, καὶ γαῖα γένοισθε. δηλῶν τὴν εἰς ταῦτα διάλυσιν. ὡς δὲ ἐκ τῶν δευτέρων καὶ ἐγγὺς ὄντων τῇ ἀνθρωπίνῃ φύσει, ἐκ τῶν τεσσάρων χυμῶν, αἵματος καὶ φλέγματος, καὶ χολῆς ξανθῆς τε καὶ μελαίνης συνεστάναι φασὶ τὸν ἄνθρωπον. διότι ἐν τῇ πρώτῃ διαπλάσει τοῦ ἐμβρύου, ἔκ τε τοῦ γόνου καὶ τοῦ παρὰ τῆς μητρὸς ἐπιρρέοντος αἵματος διὰ τοῦ οὐραχοῦ, ἡ σύστασις γίνεται τοῦ τικτομένου.

πηκτομένου. ἐν δὲ τούτοις ἦσαν οἱ τέσσαρες χυμοί. ὡς δὲ ἐκ τῶν τριῶν καὶ συνθέτων, τὸν ἤδη γενόμενον ἄνθρωπον, ἐκ τῶν δέ φασι συγκεῖσθαι, ἔκ τε τῶν ὑγρῶν καὶ ξηρῶν, καὶ πνευμάτων. καλεῖ δὲ αὐτὰ Ἱπποκράτης ἴσχοντα, ἰσχόμενα, καὶ ἐνορμῶντα. ἴσχοντα μὲν οὖν ἐστὶ ὅσα στερεά, ὀστᾶ καὶ νεῦρα, καὶ φλέβες, καὶ ἀρτηρίαι, ἐξ ὧν οἵ τε μύες, καὶ αἱ σάρκες, καὶ πᾶς ὁ τοῦ σώματος ὄγκος πέπλεκται, τῶν τε ἐντός, καὶ τῶν ἐκτὸς τὰ συγκείμενα. ἰσχόμενα δὲ ἐστὶ τὰ ὑγρὰ τὰ ἐν τοῖς ἀγγείοις ἐμφερόμενα, καὶ κατὰ πᾶν τὸ σῶμα διεσπαρμένα, ἅπερ καλεῖ Ἱπποκράτης χυμοὺς τέσσαρας τοὺς προειρημένους. ἐνορμῶντα δὲ ἐστὶ τὰ πνεύματα. πνεύματα δὲ κατὰ τοὺς παλαιοὺς δύο ἐστί, τό, τε ψυχικόν, καὶ τὸ φυσικόν. οἱ δὲ στωϊκοί, καὶ τρίτον εἰσάγουσι τὸ ἑκτικόν, ὃ καλοῦσιν ἕξιν. καὶ Ἐρασίστρατος δὲ ὡς ἀρχάς, καὶ στοιχεῖα ὅλου σώματος ὑποτιθέμενος τὴν τριπλοκίαν τῶν ἀγγείων, νεῦρα, καὶ φλέβας, καὶ ἀρτηρίας, παραλείπει τά τε ὑγρά, καὶ τὰ πνεύματα. δυσὶ γὰρ ἄλλαις ταῦτα διοικεῖσθαι λέγει τὸ ζῶον, τῷ μὲν αἵματι ὡς τροφῇ, τῷ δὲ πνεύματι ὡς συνεργῷ εἰς τὰς φυσικὰς ἐνεργείας. οὐ παραλαμβάνει δὲ αὐτὰς ὡς ἀρχάς. πολλὰ δὲ καὶ ἄλλα τῶν σωμάτων εἴδη εὑρίσκεται οὐκ ἐκ τῆς τριπλοκίας συγκείμενα, οἷον εὐθὺς ὁ ἐγκέφαλος, καὶ ὁ μυελός, καὶ πάντα τὰ ὀστᾶ. τὸν μὲν οὖν ἐγκέφαλον, ἢ τὸν μυελὸν παρέγχυμα τροφῆς τολμᾷ λέγειν, ὡς τὴν πιμελήν. καὶ τοῦ ἥπατος, καὶ σπληνός, καὶ πνεύμονος τὴν σύστασιν. τὰ δὲ ὀστᾶ οὐδὲ παρέγχυμα τῆς τροφῆς δύναιτ' ἂν λέγειν, οὐδὲ ἐκ τῶν προειρημένων τριγενῶν ἀγγείων πεπλέχθαι. κατὰ δὲ Ἀσκληπιάδην στοιχεῖα ἀνθρώπου ὄγκοι, θραυστοί, καὶ πόροι. κατὰ δὲ τὸν Ἀθήναιον στοιχεῖα ἀνθρώπου οὐ τὰ τέσσαρα πρῶτα σώματα πῦρ, καὶ ἀήρ, καὶ ὕδωρ, καὶ γῆ, ἀλλ' αἱ ποιότητες αὐτῶν, τὸ θερμόν, καὶ τὸ ψυχρόν, καὶ τὸ ξηρόν, καὶ τὸ ὑγρόν, ὧν δύο μὲν τὰ ποιητικὰ αἴτια ὑποτίθεται, τὸ θερμόν, καὶ τὸ ψυχρόν, δύο δὲ τὰ ὑλικὰ τὸ ξηρόν, καὶ τὸ ὑγρόν, καὶ πέμπτον παρεισάγει κατὰ τοὺς στωϊκούς, τὸ διῆκον διὰ πάντων πνεῦμα, ὑφ' οὗ τὰ πάντα συνέχεσθαι, καὶ διοικεῖσθαι. Ἱπποκράτης μὲν οὖν διὰ τριῶν κεχώρηκεν, εἰπὼν στοιχεῖα ἀνθρώπου ἴσχοντα, ἰσχόμενα, ἐνορμῶντα, δι' ὧν τὰ πάντα τῶν μετ' αὐτὸν περιείληφε στοιχείων, καὶ τὴν κατὰ στοιχείων φυσιολογίαν τε καὶ αἰτιολογίαν τῶν παρὰ φύσιν. οἱ δὲ μετ' αὐτόν, οὐκ οἶδ' ὅπως μίαν οὖσαν τὴν θείαν ταύτην καὶ ἀληθῶς Ἀσκληπιοῦ ἰατρικήν, τριχῇ διανειμάμενοι, καὶ διασπάσαντες τὰ ἐν αὐτῇ συμφυῆ μέρη, οἱ μὲν μόνοις τοῖς χυμοῖς τῶν τε κατὰ φύσιν τὴν σύστασιν, καὶ τῶν παρὰ φύσιν τὴν αἰτίαν ἀνέθεσαν, ὡς Πραξαγόρας, καὶ Ἡρόφιλος. οἱ δὲ τὰ στερεὰ σώματα, τὰ ἀρχικά, καὶ στοιχειώδη ὑποθέμενοι, τά τε φύσει συνεστῶτα, ἐκ τούτων καὶ τῶν νόσων τὰς αἰτίας ἐντεῦθεν λαμβάνουσιν, ὡς Ἐρασίστρατος, καὶ Ἀσκληπιάδης. οἱ δὲ περὶ Ἀθήναιον, καὶ Ἀρχιγένην μόνῳ τῷ διήκοντι δι' αὐτῶν πνεύματι, καὶ τὰ φυσικὰ συνεστάναι τε καὶ διοικεῖσθαι, καὶ τὰ νοσήματα πάντα, τούτου πρωτοπαθοῦντος γίνεσθαι ἀπεφήναντο, ὅθεν καὶ πνευματικοὶ χρηματίζουσι.

Ὀνομασίαι τῶν ἐκτὸς μερῶν τοῦ σώματος.

Γ ερὶ δὲ τῶν ἐκτὸς μερῶν τοῦ σώματος ἢ μορίων, καὶ τίνες αἱ ὀνομασίαι αὐτῶν πρῶτος μὲν ὁ Ἀριστοτέλης ὑπέλαβε τὸ διδάξαι τε καὶ συγγράψαι. ἀναγκαῖον δὲ καὶ τοῖς μεταγενεστέροις ἰατροῖς ἔδοξε, καὶ αὐτοῖς τὰ αὐτὰ πραγματεύεσθαι, ὅπως μὴ τὴν χεῖρα ἐπιφέροντες δεικνύουσιν ἕκαστον τῶν μερῶν ἢ τῶν μορίων, ἀλλ' ἐκ τῆς ὀνομασίας αὐτάρκη ἔχωσι τὴν δήλωσιν αὐτῶν. μάλιστα δὲ τούτων, οἱ περὶ Ἐρασίστρατον ἐζήλωσαν, ὡς Ἀπολλώνιος ὁ Μεμφίτης, καὶ Ξενοφῶν ὁ περὶ αὐτοῦ. διαιροῦσι τοίνυν τὸ ὅλον σῶμα, οἱ μὲν αἰγύπτιοι ἰατροὶ εἰς τέσσαρα, κεφαλήν, χεῖρας, θώρακα, καὶ σκέλη. οἱ δὲ ἄλλοι εἰς πλείονα καταδιαιροῦντες τὰ προειρημένα τέσσαρα, εἰς ἕτερα μέρη τοῦ ὅλου οὐχ ὡς ἐκείνων μόρια. κεφαλῆς γοῦν τὸ μὲν πᾶν κύτος. μέρος ἂν λέγοιτο τοῦ ὅλου σώματος. ταύτης δὲ μόρια, τὸ μὲν ἔμπροσθεν ὑπὲρ τὰς ὀφρῦς ψιλὸν τριχῶν ἀπὸ ὠτὸς ἐπὶ οὖς μέτωπον καλεῖται. τὸ δὲ ἐπάνω τούτου τετριχωμένον, βρέγμα. τὰ δὲ παρ' ἑκάτερα τούτου ἐπάνω τῶν ὤτων κρόταφοι. τὸ δὲ ὑπὲρ τὸ βρέγμα κατὰ μέσον τῆς κεφαλῆς κορυφή, ἀφ' ἧς καὶ δοκεῖ ἄρχεσθαι, ἡ ἔκφυσις τῶν τριχῶν, ὡς ἀπὸ κέντρου κύκλος. τὸ δὲ μετὰ τὴν κορυφὴν ἐκ τῶν ὄπισθεν ὡς ἐπὶ τοὺς τένοντας καταβαῖνον, ἰνίον. ἐκ δὲ τῶν ἔμπροσθεν, πρόσωπον μέν, τὸ ὑπὸ μέτωπον πᾶν λέγεται, περιοριζόμενον ὠσὶ καὶ ὀφθαλμοῖς, καὶ ῥινί, καὶ στόματι μέχρι γενείου. ἄρχεται δὲ ἀπὸ ὀφρύων, καθ' ἃ γὰρ λήγει τὸ μέτωπον ἀπὸ τῶν ἄνω κατιὸν αἱ ὀφρύες διαδέχονται, οἷον πέρατα αὐτοῦ ὑπερέχοντα, καὶ τετριχωμένα. καθ' ἃ δὲ παρατείνει τὸ μέτωπον ἐπὶ τοὺς κροτάφους, ἐπὶ τοῖς πέρασιν † αὐτοῦ τὰ ὦτα τέτακται. τούτων δὲ τὰ μὲν ἀναπεπταμένα, πτερυγώματα. τὰ δὲ ἀνακεκλασμένα εἰς τὸ ὀπίσω ἐκ τῶν ἔμπροσθεν αὐτοῖς τοῖς ἄκροις ἐπικαμπτόμενα, κυβοειδῆ, ὑφ' ἃ τὸ μὲν ἡμικύκλιον ἐμπεριφερὲς εἰς ὀξὺ ἐπανεστηκός, ξυστὴρ ὀνομάζεται. τὸ δὲ ὑπὸ τὴν τούτων ὀξύτητα κοῖλον, κογχίον. τὸ δὲ κατὰ μέσον, στρογγύλον τρύπημα, ἀκουστικὸς πόρος, ὑφ' οὗ λοβίον μέν ἐστι τὸ ἀπηρτημένον τοῦ ὠτὸς πιμελῶδες. τὸ δὲ ὑπερκείμενον ἀντιλόβιον. ὑπὸ δὲ τὰς ὀφρῦς οἱ ὀφθαλμοί εἰσιν, ἃ καὶ ὄμματα καλεῖται, τὸ πᾶν σχῆμα μετὰ τῶν μορίων αὐτῶν. τούτων δὲ τὰ μὲν σκέποντα τὴν ἔνδον τῶν χιτώνων σύστασιν, βλέφαρα καλεῖται, τὸ μὲν ἄνω, τὸ δὲ κάτω, συμβάλλοντα ἀλλήλοις πυκνῶς, καὶ ἀκρονυχῶς εἰς ἀνάληψιν τῆς ὄψεως, καὶ εἰς τὸ ἀπερύκειν τὰ πληκτικῶς προσπίπτοντα τοῖς ὀφθαλμοῖς, ἔτ' ἀκριβὲς δέ, ὥσπερ ἐν τοῖς ὕπνοις, εἰς ἀποστροφὴν τῆς ὁρατικῆς δυνάμεως, πρὸς τὸ κατησυχάσαι τὸν ἄνθρωπον. βλεφάρων δὲ τὰ μὲν πρὸς τοῖς ὀφθαλμοῖς ὅλοις καθὰ ἡ συμβολὴ αὐτῶν πρὸς ἄλληλα γίνεται, ταρσοὶ ὀνομάζονται, ἐξ ὧν ἐκπεφύκασι τρίχες, αἱ βλεφαρίδες λέγονται, ἀφ' ὧν πεφύκασι τὰ ὀνόματα ἀπενηνεγμέναι. γεγόνασι δὲ πρὸς τὸ ἀπευθύνειν τὸ ὁρατικὸν πνεῦμα, ἤ, ὥς τινες λέγουσιν, τὰς ἔνδοθεν ἐκχεομένας ἀκτῖνας εἰς τὸ διορᾶν. ἀμέλει τούτων ἐκπεσουσῶν, κατακλωμένων, οὐκέτι ὁμοίως ἐπ' εὐθύ, οὐ δὲ ἐπὶ μακρὸν δύναται βλέπειν τὸ ζῶον. τὰ δὲ ἐντὸς τοῦ ὀφθαλμοῦ πέρατα, καθ' αἱ συμφύσεις τῶν βλεφάρων, κανθοὶ καλοῦνται, ὁ μὲν πρὸς τὴν ῥῖνα, ὁ μέγας, μικρὸς δέ, ὁ πρὸς τὸ οὖς. τὸ δὲ μεταξὺ αὐτῶν, τὸ λευκὸν τοῦ ὀφθαλμοῦ, οὗ ἐν μέσῳ ἡ ἶρις κύκλος ποικίλος τοῖς χρώμασιν, διὸ καὶ ἶρις ἐκλήθη, ἀπὸ τῆς πρὸς τὴν οὐράνιον ἶριν ἐμφερείας. ταύτης δὲ πάλιν τὸ μεσαίτατον, κόρη, δι' ἧς τὸ ὁρᾶν συντελεῖται. ἡ δὲ ῥὶς μεταξὺ τῶν ὀφθαλμῶν τέτακται, ταύτης δὲ τὰ μὲν ἑκα

† al. αὐτῶν κυρτοειδῆ.

τέρωθεν μυκτῆρες, ἢ μυξωτῆρες καλοῦνται, δι' ὧν ἀναπνεῖ, τε καὶ ὀσφραίνεται τὰ ζῶα. μυκτήρων δὲ τὰ μὲν ἔξωθεν πτερύγια. τὸ δὲ διορίζον αὐτά, κίων. ἑκατέρωθεν δὲ τῆς ῥινός, τὰ μὲν κοῖλα ἰδίως, τὰ ὑπὸ τοῖς ὀφθαλμοῖς, κοῖλα καλεῖται, ἐξ ὧν λέγονται τινὲς κοῖλοι. διὰ νόσους δὲ ταῦτα ἐπαίρεται ἐξ ἀπεψίας ἢ δυσαρεστήματος. τὰ δὲ τούτοις ἐπανεστῶτα μεταξὺ ῥινὸς καὶ ὤτων, μῆλα ὀνομάζεται, ἃ τοῖς εὐχρουστέροις καὶ ἐλευθεριωτέροις ἐν τῷ αἰδεῖσθαι ἐρυθριᾷ. σιαγόνες δέ, τὰ ὑπὸ τούτων κατιόντα, ὡς ἐπὶ τὸ γνύφον, καὶ ταύτῃ εἰς τὸ ὀξὺ αὐτοῦ ἀπολήγοντα. γένειον δέ, πᾶν τὸ ὑποκάτω τοῦ χείλους ἐν περιφερεῖ παραμήκει σχήματι. μύσταξ δὲ τὸ ὑπεράνω τοῦ χείλους, ὑπὸ τοὺς μυξωτῆρας, ὅπερ Ὅμηρος ὑπήνην ἐκάλεσε. στόμα δὲ τὸ ἀνὰ μέσον τῶν χειλῶν, ὑπ' αὐτῶν συνιστάμενον, καὶ συνεχόμενον. ἔοικε γὰρ ταῦτα οἷον συμπεφυκότα, εἶτα ἀποσχισθέντα τὸ στόμα ποιεῖν, διὸ καὶ φαίνεται οἷον εἰ ἄρτι διῃρημένα. τὸ δὲ ἐκδεχόμενον τὴν κεφαλὴν μέχρι τῶν ὤμων, τὸ μὲν πᾶν τράχηλος λέγεται. τούτου δὲ τὰ μὲν ὄπισθεν ἰδίως τένοντες ὀνομάζονται. ὑπὸ δὲ τὸν τράχηλον ἑκατέρωθεν, οἱ ὦμοί εἰσιν ἐπανεστῶτες, ὧν

† al. κάτω κλεῖ

τὸ μὲν ἀνώτατον, ἀκρώμιον καλεῖται. τὸ δὲ ἀπὸ τούτου εἰς τὸ ἔμπροσθεν, † κατακλεῖδες. μεταξὺ τούτων αἱ σφαγαί. ἀπὸ δὲ τῶν ὤμων αἱ χεῖρες ἔρχονται ἀπηρτημέναι, ἑκατέρα τῇ καθ' αὑτὴν πλευρᾷ. τούτων δὲ τὸ μὲν ἀπὸ τοῦ ὤμου μέχρι ἀγκῶνος, βραχίων καλεῖται. ἀγκὼν δὲ καθὰ συγκάμπτεται ἡ χεὶρ ὅλη, οὗ τὸ ἔξω μέρος κορωνόν, καὶ ὠλέκρανον ὀνομάζεται. τὸ δὲ μετὰ τοῦτον πῆχυς, ᾧ καὶ μετροῦσιν οἱ ἄνθρωποι. καθ' ὃ δὲ τελευτᾷ ὁ πῆχυς, καὶ ἄρθρον ποιεῖ πρὸς ἄκραν χεῖρα, καρπὸς καλεῖται. καὶ τὸ μετὰ τοῦτον μετακάρπιον. εἶτα κόνδυλοι, ὅθεν ἄρχονται οἱ δάκτυλοι. δακτύλων δὲ ὁ μὲν μέγιστος ἀντίχειρ καλεῖται, διὰ τὸ ὅλῃ τῇ χειρὶ ἄκρᾳ συνεργοῦντα, ἴσον αὐτῷ δύνασθαι. ὁ δὲ μετὰ τοῦτον λιχανός, ὡς ἔοικεν ἀπὸ τῆς χρείας τοὔνομα ἔχων. ἐφεξῆς ὁ μέσος, καὶ μετὰ τοῦτον ὁ παράμε-

† al. ἰατροῖς

σος, ὁ τοῖς † ἰατρικοῖς ἀνακείμενος, καὶ ἀπ' αὐτῶν τοὔνομα κεκληρωμένος. ὁ δὲ ἐπὶ πᾶσι, μικρός, καθ' ὃ πάντων ἠλάττωται. τὸ μὲν οὖν ἀπὸ τοῦ καρποῦ, ἄκρα χεὶρ λέγεται. ὑπτιαζούσης δέ, τὸ μὲν κατὰ τὸν ἀντίχειρα ἐπανεστηκός, θέναρ καλεῖται, τὸ δὲ ἀντικείμενον αὐτοῦ, ὑποθέναρ. τὸ δὲ ὑπὸ τὰς ἐκφύσεις τῶν δακτύλων, στῆθος χειρός. τὸ δὲ μεταξὺ τούτων ἁπάντων κοῖλον χειρός. ἄνωθεν, δὲ τὸ ὑπὸ τὸν τράχηλον πᾶν, ἐκ τῶν ἔμπροσθεν μέχρι λαγόνων, θώραξ καλεῖται. τούτου δὲ τὸ μὲν ὑπὸ τὰς κλεῖδας ἀμφοτέρωθεν, καὶ τὰς χεῖρας, αἱ πλευραί, ἐξ ὧν καὶ πλευρὸν ἑκάτερον λέγεται. τὸ δὲ μεταξὺ τούτων, στῆθος. καὶ τὸ μεσαίτατον αὐτοῦ, στέρνον, μέχρι τοῦ χόνδρου, ὑφ' ὃν τὸ στόμα τῆς κοιλίας. ὁ δὲ τόπος οὗτος καὶ ἔξωθεν λέγεται, ἐντεῦθεν δὲ τὸ ἐπιγάστριον ἀνέρχεται. τὰ δὲ ὑπὸ στόμα τῆς κοιλίας κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν, εἰκότως ὑποχόνδρια καλεῖται, ἐπεὶ κατὰ τὴν εὐθύτητα ὑπὸ τὸν χόνδρον ἐστί, ὡσανεὶ μετὰ τοῦτον. εἰσὶ δὲ μύες ἡπλωμένοι, καὶ ὑπεστρωμένοι τῷ περιτοναίῳ, ἔξωθεν δὲ σκεπόμενοι τῷ δέρματι. ὁμωνύμως δὲ τούτοις, καὶ τὰ ἔνδοθεν σπλάγχνα ὑποχόνδρια καλεῖται, ἐπειδὴ καὶ αὐτὰ ὑπὸ τοὺς χόνδρους ἐστί, τῶν νόθων πλευρῶν καὶ οἷον ἐντὸς αὐτῶν. τὰ δὲ ἐκτὸς μέσα, τὰ κυρίως λεγόμενα ὑποχόνδρια, τὸ μὲν ἔμπροσθεν τῶν λαγόνων περιέχον τὸ ὑποχόνδριον, ἐπιγάστριον. τὰ δὲ ἑκατέρωθεν, κενεών. τὸ δὲ μεσαίτατον τῆς λαγόνος, ὀμφαλός. τὸ δὲ ὑπὸ τοῦτον ἦτρον. εἶτα τὸ ἐφήβαιον, ὃ καὶ ἐπίσειον καλεῖται, εἰς ὃ τελευτᾷ ὁ θώραξ, ἔνθα καὶ τὰ αἰδοῖα τῶν ἀῤῥένων τέτακται, καὶ τῶν θηλειῶν, κατὰ τὴν διάφυσιν τῶν μηρῶν, ὅπως κρύπτηται ὑπὸ τούτων. τοῦ μὲν οὖν ἀρσενικοῦ τὸ προῦχον, καυλός. τὸ δὲ ἄκρον αὐτοῦ βάλανος. καθ' ὃ δὲ τετρύπηται πρὸς ἔκκρισιν, ἀπὸ τῆς χρείας οὐρήθρα ὀνομάζεται, τὸ δὲ σκέπον τὸ ἄκρον, πόσθη. τὸ δὲ κάτω μέρος τοῦ καυλοῦ κατὰ μῆκος αὐτοῦ, ῥαφή. τὸ δὲ διατεῖνον μέχρι τῆς ἕδρας ταῦρος καλεῖται. δίδυμοι δὲ καὶ ὄρχεις ἔνδοθέν τε καὶ ἔξωθεν ὀνομάζονται. καὶ ὄσχεον, τὸ περὶ τοὺς διδύμους. τοῦ δὲ γυναικείου αἰδοίου, οὕτω γὰρ αὐτὸ ὠνόμαζον, αὐτὸς μὲν ὁ κόλπος κτεὶς καλεῖται. τὰ δὲ περιέχοντα τὸν κόλπον πτερυγώματα. τὸ δὲ μέσον τούτων κατὰ τὴν διαχίδα ἐκπεφυκὸς σαρκίδιον, νυμφή, ὃ καὶ διὰ τὸ προκύπτειν ἐπὶ πολύ, ἐκτομῆς ἀξιοῦται παρ' Αἰγυπτίοις ἐπὶ τῶν παρθένων. κοινῶς δὲ διὰ τῆς ἕδρας, πρὸς τὸ ἐπέχειν ὁπότε βουλόμεθα τὰς ἐκκρίσεις, εὐχρηστεῖ. δακτύλιος δέ, ἀπὸ

† al. uel διὰ θέσεως

τοῦ σχήματος, καὶ σφιγκτήρ, ἀπὸ τῆς ἐνεργείας κέκληται. τὸ δὲ ὑπὸ τὸν τράχηλον ἐκ τῶν ὄπισθεν οὕτως ἔχει † διαθέσεως τε καὶ ὀνομασίας. τὸ μὲν πᾶν νῶτα καλεῖται. ἐντεῦθεν δὲ τὰ μὲν ἑκατέρωθεν, ὠμοπλάται, τὸ δὲ μεταξὺ αὐτῶν μετάφρενον, ᾧ καὶ στόμαχος ἔνδοθεν ὑπόκειται. τὸ δὲ μεσαίτατον τοῦ νώτου παντὸς ἄνωθεν μέχρι γλουτῶν, ῥάχις. ταύτης δὲ τὸ μὲν εὐθὺ ὑπὸ τὸ μετάφρενον ἄκνηστιν εἶπεν Ὅμηρος, ὃ διὰ σαφῶν προσέθηκεν, κατ' ἄκνηστιν μέσα νῶτα. ἐπεὶ καὶ κατ' εὐθεῖαν τοῦ μήκους μέσα εἰσὶ τὰ νῶτα, καὶ τὸ μέσον ἐστὶ τοῦ μεταφρένου, καὶ ὀσφύος. διαδέχεται οὖν ἡ ὀσφὺς ἢ τις ἰξὺς ὠνόμασται, καθ' ὃ ζωννύμεθα. λήγει δὲ αὕτη εἰς τὸ ἱερὸν ὀστοῦν. παρ' ἑκάτερα δὲ τούτου, τὰ ἰσχία ἐστί, ἐφ' οἷς οἱ γλουτοί. διὰ τὸ ὀστᾶ εἶναι τὰ ὑποκείμενα μέγιστα, ἔνθεν ὑπεστρώθη αὐτοῖς σώματα σαρκώδη. ὧν τὰ κυρτώματα ἐκ τοῦ περιφερῆ εἶναι, σφαιρώματα προσαγορεύεται. ἐντεῦθεν δὲ ἡνωμένως τὸ σῶμα διχοφυὲς γίνεται. διαμερίζεται γὰρ εἰς δύο, ἃ καλεῖται σκέλη, ὧν τὴν διαχίδα, διχάλαν οἱ παλαιοὶ λέγουσιν. ταῦτα δὲ ὅλα μὲν μέχρι περάτων σκέλη λέγεται. τούτων δὲ τὰ μὲν ἀπὸ τῶν ἰσχίων εὐθὺς ἐρχόμενα, μηροί. καθὸ δὲ μετὰ ταῦτα συμβάλλει τὰ κῶλα τοῖς ὑποκάτω, καὶ ἄρθρον ποιεῖ, γόνυ καλεῖται, οὗ τὰ κατόπιν, ἰγνύα ἢ ἀγκύλη. τὰ δὲ ἐντεῦθεν ἐπὶ τὰ κάτω μέγιστα κῶλα, κνῆμαι. ὧν τὸ μὲν ἔμπροσθεν, ἀντικνήμιον, τὸ δὲ ὄπισθεν γαστροκνήμη. τὰ δὲ πέρατα τῶν τῆς κνήμης ὀστῶν εἴς τε τὸ ἔνδον μέρος, καὶ εἰς τὸ ἔξω ἐξέχοντα, σφυρὰ προσαγορεύεται. τὰ δὲ ἀπὸ τῶν σφυρῶν κυρίως πόδες λέγονται. ἀφ' ὧν καὶ ἕτερον μέτρον ἑαυτοῖς οἱ ἄνθρωποι εὕραντο, τὸν πόδα ἄραντες. τῶν δὲ ποδῶν, τὸ μὲν ὄπισθεν, πτέρνα ὀνομάζεται. τὸ δὲ ἔμπροσθεν ἀπὸ τῶν σφυρῶν μέχρι δακτύλων, ταρσὸς καλεῖται. τούτου δὲ τὸ μὲν ἔνδοθεν πρὸς ἀλλήλους ἀφορῶν τῶν ποδῶν, ὡς ἐπὶ τὸν μέγαν δάκτυλον, ἀρχόμενον ἀπὸ τοῦ σφυροῦ, πέδιον. τὸ δὲ ὑπὸ τοῦτο εὐθὺς ἐν μέσῳ κατωτάτω τοῦ ποδὸς κοῖλον. τὸ δὲ κατώτατον, ἐφ' ᾧ πατοῦμεν καὶ ᾧ ἐπιβαίνομεν τέλμα. οὗ τὸ μὲν πρὸς τοὺς δακτύλους μετὰ τὸ κοῖλον ἐπανεστηκός, στῆθος ποδός. εἶτα οἱ δάκτυλοι, ἰσάριθμοι μὲν τοῖς τῶν χειρῶν, οὐ τυχόντες δὲ τῶν αὐτῶν ὀνομάτων, διὰ τὸ μηδὲ τὰς αὐτὰς χρείας ἐπιτελεῖν, πλὴν ὅσα ἐκ τῆς κατὰ τὸ μέγεθος διαφορᾶς, ἢ ἐκ τῆς κατὰ τὴν θέσιν τάξεως.

Ἀνατομὴ τῶν ἐντός.

Ἀνατομὴ καταχρηστικῶς μὲν λέγεται καὶ ἡ τῶν ἐκτὸς μερῶν τε καὶ μορίων τοῦ σώματος διέξοδος, ἥτις ἐστὶ διὰ λόγου διήγησις ἑκάστου, μετὰ τῆς κατὰ φύσιν θέσεως αὐτῶν, καὶ τάξεως, καὶ χρείας, ἣν παρέχεται τῷ ζώῳ, καὶ τῆς οἰκείας ἑκάστου ὀνομασίας, περὶ ὧν ἤδη διεξήλθομεν. κυρίως δὲ λέγεται ἡ ἀνατομὴ ἡ τῶν ἐντὸς μετὰ λόγου ἀνάπτυξις. οὐ γὰρ τὸ τῇ ὄψει αὐτὰ δειχθῆναι ἀνατομή ἐστιν, ἀλλὰ τὸ μετὰ λόγου ἑκάστου αὐτῶν γνῶσιν λαβεῖν, τάς τε κατὰ φύσιν ἐνεργείας ὅπως δι' αὐτῶν ἀποτελοῦνται ἐκμαθεῖν, καὶ τὰς κοινωνίας ἃς ἔχει πρὸς ἄλληλα τὰ σπλάγχνα, καὶ τὰ ἄλλα μέρη τοῦ σώματος διὰ φλεβῶν. ὁ μὲν οὖν ἐγκέφαλος ἐξ οὐδενὸς τῶν προειρημένων κατ' Ἐρασίστρατον ἀρχικῶν ἀγγείων φαίνεται πεπλέχθαι, διὸ καὶ παρέγχυμα τροφῆς δοκεῖ αὐτῷ εἶναι. ἔστι δ' ἁπλοῦν σῶμα, καὶ διὰ τοῦτο ἀρχικόν, καὶ κυριώτατον τῶν ἐν ἡμῖν. διὸ καὶ τὸ ἡγεμονικὸν τῆς ψυχῆς αὐτῷ πιστεύουσιν, ὡς Πλάτων καὶ Ἱπποκράτης. περιέχεται δὲ ὑπὸ μηνίγγων δύο, τῆς μὲν προσεχοῦς, καὶ προσυποῦς αὐτῷ, ἣ καλεῖται χοροειδής, καὶ ἐστὶ φλεβωδεστέρα. ἡ δὲ ἑτέρα ἐπὶ ταύτης οὖσα προσήρτηται μᾶλλον τῷ κρανίῳ κατά τινα μέρη, καὶ ἐστὶ νευρωδεστέρα. ἐκ μὲν οὖν τῶν ἄνω φλεβῶν ἀπὸ καρδίας εἰς αὐτὴν ὀχετεύουσιν τὴν τροφὴν, κατὰ τὸ λεγόμενον ληνεῖον, ἐκ τῶν πρὸς τῇ βάσει ἀρτηριῶν. ἐντεῦθεν δὲ καὶ νεῦρα ἄρχεται ἐκφύεσθαι αὐτοῦ, ὅθεν καὶ εἰς πᾶν τὸ σῶμα ἀναδιδόασιν τὰς ψυχικὰς ἐνεργείας. νεύρων δὲ εἴδη δύο, τὸ μὲν τῶν συνδετικῶν τῶν συνεχόντων τὰ ὀστᾶ πρὸς ἄλληλα. τὸ δὲ τῶν αἰσθητικῶν, καὶ κινητικῶν, ἃ τὴν αἴσθησιν ἐμποιεῖ τῷ σώματι, καὶ τὴν προαιρετικὴν κίνησιν εἰς πᾶν διαπέμπει, ἐξ ὧν καὶ τῶν μυῶν ἡ γένεσις. τῶν δὲ ὀφθαλμῶν οἱ πόροι ἐκπεφύκασι, καὶ αὐτοὶ ἀπὸ τῆς βάσεως τοῦ ἐγκεφάλου, δι' ὧν τὸ ὁρατικὸν πνεῦμα εἰς τοὺς ὀφθαλμοὺς διαδίδοται. ἐντεῦθεν δὲ καὶ εἰς τοὺς μυκτῆρας ἀποφύσεις ἤρτηνται, δι' ὧν τε ὀσφραινόμεθα, καὶ δι' ὧν ἐκκαθαίρεται ὁ ἐγκέφαλος. εἰς δὲ τὰ ὦτα ἀποφύσεις μὲν οὐκ εἰσί. τέτρηνται δὲ αὐτὴ ἡ μῆνιγξ ἐκ τῶν ὄπισθεν, καὶ σκωληκοειδῆ ἀπόφυσιν ποιεῖται, δι' ἧς καὶ αὐτὰ ἀποκαθαίρεται, καὶ ἐν ἀρχῇ ταύτης, τὸ λεγόμενον κωνοειδές. ἐντεῦθεν δὲ καὶ ὁ ῥαχίτης μυελὸς ἄρχεται. κοιλίας δὲ ἔχει ὁ ἐγκέφαλος δύο. κατ' ἐνίους δὲ μίαν, ἔνθα τὸ ἡγεμονικὸν τῆς ψυχῆς ἵδρυται. περιέχεται δὲ καὶ τὰ τοῦ κρανίου ὀστᾶ, ἄνωθεν ὑπὸ τῷ δέρματι τῷ περικρανίῳ λεγομένῳ ὑμένι, ἐκπεφυκότι μὲν διὰ τῶν ῥαφῶν ἐκ τῶν μηνίγγων. ἀρχὴ δὲ οὗτος γίνεται τοῦ τε ὑπεζωκότος τὰς πλευρὰς ὑμένος, καὶ τοῦ διαφράγματος, καὶ τοῦ περιτοναίου, καὶ παντὸς ὑμένος νευρώδους. ὁ δὲ ὀφθαλμὸς συνέστηκεν μὲν καθ' Ἱπποκράτην ἐκ χιτώνων δύο, οὓς μήνιγγας ὁ Ἱπποκράτης καλεῖ, ἐπειδὴ ἐκ τῶν μηνίγγων ἐκπεφύκασιν. κατὰ δὲ τοὺς νεωτέρους ἐκ τριῶν, κατ' ἐνίους δὲ ἐκ τεσσάρων. πρῶτος μὲν οὖν ἔξωθεν ἐστὶν ὁ κερατοειδής, λευκὸς μὲν κατὰ τὰ ἄλλα, κατὰ δὲ τὴν ἶριν λεπτυνόμενος διαφαίνει τὸ ὑποκείμενον χρῶμα, καθ' ὃ μέλας, ἢ γλαυκότερος, ἢ χαροπὸς φαίνεται, δεύτερος δὲ ἐστὶ ὁ ῥαγοειδὴς ῥαγὶ σταφυλῆς ἐοικὼς τὰ ἔνδοθεν, τετρημένος κατὰ τὴν κόρην. τρίτος δὲ ὁ ἀμφιβληστροειδὴς ἐγκολπούμενος, ὥσπερ καὶ δεχόμενος ἐπ' ἄκρῳ τὸν ὑπό τινων εἰσαγόμενον τέταρτον χιτῶνα, ὃν καὶ ἄδηλον προσαγορεύουσιν. ἐστὶ μὲν γὰρ ὑμὴν σμικρότατός τε καὶ ἰσχνότατος. ἀλλ' ὁ μὲν πρῶτος, καὶ ὁ δεύτερος στερεοὶ ὑμένες, καὶ χιτῶνες παχεῖς εἰσιν. ὁ δὲ τρίτος καὶ τέταρτος ἰσχνότατοι. διὸ καὶ Ἱπποκράτης τοὺς πρώτους μόνους οἶδε λέγων. ὁ δὲ ὀφθαλμὸς μήνιγγας ἔχει δύο. ὑγρὰ δὲ περιέχουσι οἱ ὑμένες ἔσω τρισσά, τό τε ὑδατοειδές, καὶ τὸ ὑαλοειδές, καὶ τὸ κρυσταλλοειδές. Βλέφαρα δὲ τὰ μὲν ἔσωθεν σαρκώδη, τὰ δὲ μεταξὺ χονδρώδη. ἔξωθεν δὲ δέρματι σκέπεται. διὰ δὲ τὸ σκληρὸν τοῦ μεταξὺ χόνδρου πιμελὴ ὑπέστρωται αὐτῷ οἷον μάλαγμα, ἥτις ἐπὶ τὸ πολὺ πλεονάζουσα τὰς ὑδατίδας ποιεῖ. ἡ δὲ γλῶσσα σαρκώδης μὲν τὰ πλεῖστα. διττὸν δὲ νεύρων εἶδος ἐμπέφυκεν εἰς αὐτὴν ἐκ τῆς τοῦ ἐγκεφάλου βάσεως, τὸ μὲν τῶν καλουμένων μαλακῶν νεύρων, δι' ὧν τὴν αἴσθησιν τὴν γευστικὴν ἐπὶ τὴν ἀρχὴν ἀναδίδωσι. τὸ δὲ τῶν σκληρῶν, δι' ὧν καὶ ἡ κίνησις, ἡ προαιρετικὴ ἐπ' αὐτὴν ἀναφέρεται. πρὸς δὲ τῇ ῥίζῃ αὐτῆς ἐμπέφυκεν, ἡ ἐπιγλωττίς, ἥτις ἐν τῷ καταπίνειν ἀνατρέχουσα ἐπιπωματίζει τὸν βρόγχον, ἵνα μή τι τῶν στερεῶν ἢ ὑγρῶν ἐμπέσῃ εἰς αὐτόν. τῆς δὲ αὐτῆς αἰτίας ἕνεκα, καὶ αἱ ἀντιάδες γεγόνασι, τέσσαρες οὖσαι τὸν ἀριθμόν, δύο μὲν προφανεῖς πρὸς τῇ ῥίζῃ τῆς γλώττης ἑκατέρωθεν, δύο δὲ ἐχόμεναι τούτων ἐνδοτέραι. λέγονται δὲ αὗται, καὶ παρίσθμια, διὰ τὸ ἐοικέναι τὸ χωρίον ἰσθμῷ εἰς ὃ παράκεινται, μάλιστα δὲ ὅταν φλεγμαίνωσιν. διότι στενοῦσι ἄγαν τὴν δίοδον ταύτην. Ἐπεὶ δὲ δύο ὕλαις διοικεῖται τὸ ζῷον, τροφῇ καὶ πνεύματι, πνεύματος μὲν ὁδοί τε καὶ καταδοχαί, τὰ δὲ, ῥῖνες, στόμα, † βρόγχος, τραχεῖα ἀρτηρία, πνεύμων. ῥὶς μὲν καὶ στόμα πρὸς τὸ ἀναπνεῖν, ὁ δὲ γαργαρεών, ἵνα μὴ ἀθρόως εἰς τὸν βρόγχον προσεμπίπτῃ ψυχρὸς ἀήρ. ἀρτηρία δὲ τραχεῖα πάροδος ἐστὶ αὐτῷ εἰς τὸν πνεύμονα ἐν τῷ στήθει κείμενον, δι' οὗ καὶ ἡ πᾶσα ἀναπνοὴ γίνεται, διαστελλομένου μὲν, ἵνα δέξηται, συστελλομένου δὲ ἵνα ἐκπέμψῃ. διὸ καὶ ἔοικε τῇ μὲν ἐνεργείᾳ ταῖς χαλκευτικαῖς φύσαις, τῷ δὲ σχήματι βοὸς ὁπλῇ. ἐν πνεύμονι δὲ κατεργασθέντος τοῦ πνεύματος, τὸ μὲν ἀναγκαιότατον, εἰς τὴν ἀριστερὰν κοιλίαν τῆς καρδίας φέρεται, τὸ δὲ ἄχρηστον ἐκπνεῖται δι' ὧνπερ εἰσεπνεύσθη. τροφῆς δὲ ἀγγεῖα τὰ πρὸς ὑποδοχὴν, καὶ ὄργανα πρὸς κατεργασίαν, τὰ δὲ, στόμα μὲν καὶ ὀδόντες, στόμαχος, κοιλία, νῆστις καὶ λεπτὰ ἔντερα. στόμα μὲν καὶ ὀδόντες πρὸς λέανσιν. στόμαχος δὲ πρὸς ὄρεξιν, καὶ κατάποσιν. παρατέταται δὲ τῇ τραχείᾳ ἀρτηρίᾳ, καὶ διατείνει μέχρι διαφράγματος. κοινὴ δὲ πρὸς πέψιν ἡ γαστήρ. ἄρχεται δὲ ὡς ἀπὸ μέσου τοῦ χόνδρου, ἔνθα στόμα κοιλίας λέγεται, ὑπιοῦσα δὲ τὸ ἧπαρ, τῷ κύτει σιγματοειδὴς οὖσα, ἐπὶ τὰ ἀριστερὰ νεύει τῷ ἑτέρῳ ἄκρῳ, ἔνθα καὶ ὁ πυλωρός ἐστιν ἵνα μὴ ἀθρόως διεκπίπτῃ αὐτῆς ἡ τροφή. νῆστις δὲ καὶ λεπτὸν ἔντερον πρὸς ἀνάδοσιν, πολλοὺς δὲ ἑλιγμοὺς ἡ νῆστις ἔχει, καὶ συνέχεται τῷ μεσαραίῳ ἢ μεσεντερίῳ, ὃ ἐξυφαίνουσιν αἱ εἰς αὐτὸν καθήκουσαι φλέβες δι' ὧν ἡ πλείστη ἀνάδοσις γίνεται ἐπὶ πύλας ἥπατος. συνάπτεται δὲ αὐτῇ τὸ λεπτὸν ἔντερον, ὡς μέρος αὐτῆς δοκεῖν εἶναι. ἔοικε γὰρ νήστει ἡπλωμένῃ. οὐκ ἐπὶ πολὺ δὲ, δι' ὧν ἡ πλείστη ἀνάδοσις γίνεται ἐπὶ πύλας ἥπατος. ἑξῆς δὲ τὸ τυφλὸν ἔντερον πρὸς ὑποδοχὴν τῆς τροφῆς. ἐπὶ δὲ τούτῳ τὸ κῶλον πρὸς ὑποδοχὴν τῶν διακεκριμένων περιττωμάτων ἐκ τῆς ἀναδόσεως, δια-

† uidetur deesse hoc loco γαργαρεών.

βαίνον δὲ ἐπὶ τὰ δεξιὰ ὑπὲρ ὀμφαλὸν ἐντὸς τοῦ ἥπατος, καὶ τοῦ σπληνὸς εἰς τὰ κάτω πάλιν φέρεται διαζῶσαν τὸ ἐπιγάστριον ὅλον, καὶ τελευτᾷ κατὰ τὸ ἀπευθυσμένον. δύο τοίνυν πόροι ἀρχόμενοι ἀπὸ τῆς τοῦ στόματος εὐρυχωρίας, ὁ μὲν κατὰ τὸ ἔμπροσθεν τοῦ τραχήλου τέτακται, καὶ καλεῖται βρόγχος, ἢ τραχεῖα ἀρτηρία. ὅθεν δὲ ἄρχεται, καὶ καθὰ ἀνεστόμωται φάρυγξ λέγεται, ἢ λάρυγξ. συνέστηκε δὲ ὁ πᾶς πόρος, ἐκ χόνδρων οἷον κρικοειδῶν, ἢ κυκλοτερῶν, ἵνα ἀσύμπτωτος μένῃ πρὸς τὸ ἀδιαλείπτως εἰσπνεῖν τὸ ζῷον, διὸ καὶ ἀεὶ ἀναπέπταται αὐτοῦ τὸ στόμα. τροφῆς μὲν γὰρ ἀπέχεσθαι ἐπὶ πλεῖστον δεῖ ὑπομένειν μὴ εἰσπνεῖσθαι δὲ οὐδὲ τὸ ἀκαριαῖον, διὰ τοῦτο δὲ καὶ καθαρὰν τῷ πνεύματι τὴν δίοδον ταύτην παρέχει, ὅπως μηδέποτε ἐμποδίζῃ τὴν ὁδὸν τῷ πνεύματι. ἀμέλει εἴπερ ἐν τῷ τρέφεσθαι λαθὸν παρεμπέσοι τι εἰς αὐτὸν, εὐθὺς βὴξ καὶ πνιγμὸς ἐπακολουθεῖ, ἄχρις οὗ ἐξωθούμενον ὑπὸ τοῦ πνεύματος ἀνενεχθῇ. διαπέμπει δὲ τὸ πνεῦμα ἡ τραχεῖα ἀρτηρία εἰς τὸν πνεύμονα, καὶ περαιοῦται εἰς τὰς ἐν αὐτῷ τραχείας ἀρτηρίας, αἳ καὶ αὐταὶ, καὶ βρόγχια καλοῦνται. ὁ δὲ στόμαχος ἐνδοτέρω τοῦ βρόγχου ὢν, πρὸς τοῖς σπονδύλοις τοῦ τραχήλου, συμπαρεκτείνεται μὲν τῇ τραχείᾳ ἀρτηρίᾳ ἐπὶ πολὺ, ἀλλ᾽ ὁ μὲν βρόγχος προσκείμενος, ἐν τῷ καταπίνεσθαι τὴν τροφὴν προσανατρέχων, ἐπιπωματίζεται ἀκριβῶς τῇ ἐπιγλωττίδι, ἥτις πέφυκεν ἐκ τῆς ῥίζης τῆς γλώττης. ἡ δὲ ἐπιγλωττὶς οὐ μόνον τὸ στόμα ἐπιπωματίζει, ἀλλὰ καὶ τὴν τροφὴν τὴν ὑπὸ τῆς γλώττης οἷον ὑπὸ πτύου ἀναλικμωμένην διαπορθμεύει, ὥσπερ γέφυρα, ἐπὶ τὸν στόμαχον ὑπὲρ τὸ στόμα τοῦ βρόγχου ὑποβρεθεῖσα αὐτήν. ὁ δὲ στόμαχος φυσικὴν ἐνέργειαν ἔχων τὴν ὀρεκτικὴν δύναμιν, διαστέλλεται μὲν ὑπὸ τῆς ὀρέξεως, καὶ καταπίνει τὰ εἰσφερόμενα. ἡ δὲ τῷ ὑποκειμένῳ στελλομένη οἷον ἐκθλίβει, καὶ ἀπωθεῖται αὐτὰ
† al. μέρη
ἐπὶ τὰ ὑποκείμενα † μέχρι ἐκβαλὼν διὰ τοῦ διαφράγματος συμφυεῖ τῷ στόματι τῆς κοιλίας, δι᾽ οὗ στενοῦ πόρου ὄντος εἰς τὴν γαστέρα τροφὴ παρέχεται. γαστρὸς δὲ, ἡ μὲν φυσικὴ ἐνέργεια πέπτει τὴν προσενεχθεῖσαν αὐτῇ τροφήν. πεφθεῖσα δὲ αὐτὴ πρότερον μὲν ἔοικεν χυλῷ πτισάνης. διά τε τοῦ λεγομένου πυλωροῦ ὄντος ἐπὶ στενοτέρου, διηθεῖται εἰς τὴν νῆστιν ἡ τροφὴ, ἥτις λεπτὸν ἔντερον οὖσα, διὰ τοῦτο ὑπὸ τῆς φύσεως εἰς ἕλικας πλείστας συνετέθη, ὅπως μὴ ῥαδίως διακόπτηται, ἢ διασπᾶται. συνέχονται δὲ αἱ ἕλικες αὐτῆς καὶ ὑποβασίζονται τῷ λεγομένῳ μεσαραίῳ, ἢ μεσεντερίῳ. οὐ μόνον δὲ τὴν χρείαν ταύτην παρέχει τὸ μεσάραιον, ἀλλὰ καὶ τὰς ὑπὸ τοῦ ἥπατος ἐκπεφυκυίας δύο φλέβας, ἔπειτα εἰς πολλὰς ἀρχίδας διαιρουμένας, αἳ ἐμβάλλουσιν εἰς τὸ μεσάραιον, ὅπως καὶ αὗται μὴ διαρρήγνυνται, ἰσχναὶ οὖσαι. ἀλλ᾽ ἀνέχονται ὑπὸ τοῦ ἐνυφασμένου αὐτῷ ὑπερείσματι συγχρώμεναι τούτῳ καὶ οἷον διαβάθρᾳ κουφιζόμεναι περαιοῦνται, καὶ οὕτως ἐπὶ πάσας τὰς ἕλικας τῆς νήστεως ἐοικυίας βδέλλαις, ἀνεστομωμέναι εἰς τὴν νῆστιν, πᾶσαν δέχονται τὴν ἐν αὐτῷ κεχυλωμένην τροφήν. ἅμα δὲ τῷ δέξασθαι, εὐθὺς ἐξαιματοῦσιν αὐτὴν χυλὸν ὄντα τὸ πρόσθεν, μέχρις ὅτε ἐν τῇ νήστει ἐστί. οὐδὲ γὰρ ἑτέρωθεν αἵματος ἀγγεῖον, οὔτε φλέγματος, ἢ ἄλλου τινὸς ἐστὶν περιεκτικὸν, ἢ αἵματος, ὡς ὁ τῆς φύσεως νόμος διαγορεύει. πάλιν οὖν διὰ τοῦ μεσαραίου αἱ φλέβες αὗται ἐδέξαντο, δύο γενόμεναι ἐκ πολλῶν ἐμβάλλουσιν εἰς τὸ ἧπαρ κατὰ τὰς λεγομένας αὐτοῦ πύλας. ἐν δὲ τῷ ἥπατι ἐξαιματουμένης τῆς τροφῆς ὁμοῦ διακρίνεται ἕκαστον τῶν περιττωμάτων. καὶ ἡ μὲν ξανθὴ χολὴ ἐπὶ κύστιν τὴν ἐν τῷ ἥπατι φέρεται. ἡ δὲ μέλαινα ἐπὶ σπλῆνα. ἀπὸ δὲ ἥπατος ἐξαιματωθεῖσα ἡ τροφὴ, εἰς τὴν δεξιὰν ἀναδίδοται τῆς καρδίας κοιλίαν. ἀπὸ δὲ τῆς καρδίας, διὰ μὲν τῶν σφαγιτίδων ἐπὶ τὰ ἄνω τὸ αἷμα ἀναδίδοται. διὰ δὲ τῆς κοίλης φλεβὸς ἐπὶ πάντα τοῦ σώματος τὰ μέρη. ἀπὸ γοῦν τῆς κοίλης φλεβὸς διακρινομένου τοῦ ὀρρώδους ἀπὸ τοῦ αἵματος, ἀρχίδες ἐπὶ νεφροὺς φέρουσιν, οἳ κεῖνται κατὰ τὴν ὀσφὺν ὑπὸ τὰς ψόας δι᾽ ὧν διηθεῖται τὸ οὖρον. ἐπὶ τὴν κύστιν δὲ παραγίνεται διὰ τῶν λεγομένων οὐρητήρων. ἡ δὲ κύστις δέχεται μὲν κατὰ τοῦ σώματος αὐτῆς τὸ οὖρον. ἐκκρίνει δὲ διὰ τοῦ καυλοῦ εἰς τὰ ἐκτός. δίδυμοι δὲ τὴν μὲν σύστασιν ἀδενώδεις, ὀρχεῖα δὲ εἰσὶν, καὶ ἐργαστήρια τοῦ γόνου, ὃς φέρεται ἐπ᾽ αὐτοὺς διὰ τῶν κρεμαστήρων. καθήκουσι δὲ εἰς αὐτοὺς, καὶ ἕτερα ἀγγεῖα τὰ τρέφοντα αὐτούς. περιέχεται δὲ ὑπὸ δύο χιτώνων, τοῦ τε ἐρυθροειδοῦς, καὶ τοῦ δαρτοῦ λεγομένου. ἐπὶ δὲ τούτοις ἡ ὀσχή. ταῖς δὲ γυναιξὶν ἡ ὑστέρα ἔοικεν ὀσχῇ ἀνεστραμμένῃ. ἀνεστόμωνται εἰς τὸ ἔνδον αὐτῆς φλέβες ὡς ὅτι πλεῖσται, δι᾽ ὧν τὸ αἷμα ἀποκαθαίρεται, ὃ ἐν ταῖς συλλήψεσιν ἐπέχεται, καὶ χωρεῖ εἰς τροφὴν, καὶ διάπλασιν τοῦ ἐμβρύου, ἀπὸ γὰρ τῶν φλεβῶν τῶν πληρουσῶν τὸ χορίον γενόμεναι δύο φλέβες, καὶ ἀπὸ τῶν καθ᾽ αὐτὰ ἀρτηριῶν δύο ἀρτηρίαι, καὶ ἀπὸ τῶν νεύρων, νεῦρον ἕν, συνελθόντα ἀποτελεῖ τὸν οὐραχὸν, ὃς ἐμβάλλει εἰς τοῦ ἐμβρύου τὸν ὀμφαλὸν, ἐξ οὗ καὶ ἐκφύεται καὶ ἀποκρεμᾶται. ἀπὸ δὲ ὀμφαλοῦ, αἱ μὲν φλέβες ἐπὶ ἥπατος πύλας τὸ αἷμα διδόασιν ἐπὶ τῶν ἐμβρύων. αἱ δὲ ἀρτηρίαι κατὰ τὴν κύστιν εἰς τὴν παχεῖαν ἀρτηρίαν ἐμβάλλουσι. τὸ δὲ νεῦρον ἔσω, εἰς τὴν ῥάχιν.

Ὀστεολογία.

Τῶν δὲ ὀστῶν διττὴ ἡ σύνθεσις, ἡ μὲν πρὸς τὸ κινεῖσθαι καὶ καλεῖται ἄρθρον, ἡ δὲ πρὸς τὸ ἀκίνητον, καὶ καλεῖται συνάρθρωσις. εἴδη δὲ ταύτης τρία, ῥαφὴ, σύμφυσις, γόμφωσις, κατὰ ῥαφὴν μὲν οὖν σύγκειται τὰ ἐκ τῆς κεφαλῆς ὀστᾶ. ῥαφαὶ δὲ εὑρίσκονται ἐπὶ τῶν πλείστων, πέντε στεφανιαία, ἡ διὰ τοῦ βρέγματος. ὀβολιαία, ἡ διὰ τῆς κορυφῆς. λαβδοειδὴς, ἡ διὰ ἰνίου. κροταφίαι δύο, καθ᾽ ἑκάτερον κρόταφον. μία. ὀστᾶ δὲ κρανίου ἑπτά. ἰνίου ἕν. κορυφῆς δύο, κροτάφων δύο. μετώπου ἕν. πολυμόρφου ἕν. ἐκφύσεις δὲ ἔχει ὁ ἐγκέφαλος δύο, ἑκατέρωθεν τῆς παρεγκεφαλίδος αἳ καλοῦνται κορῶναι. ἐναρμόζονται δὲ εἰς τὰς τοῦ πρώτου σπονδύλου κοιλότητας, ἐν ᾧ καθάπερ ἐπὶ κνώδακος τῆς τοῦ δευτέρου σπονδύλου ἀποφύσεως ἡ κεφαλὴ εἴς τε τὰ πλάγια ἐπιστρέφεται, ἀνανεύει τε καὶ ἐπινεύει. μετὰ δὲ ταῦτα αἱ ὀδοντοειδεῖ ἀποφύσεις καλούμεναι δύο μικρὸν διεστῶσαι, δι᾽ ὧν τένοντες καὶ νεῦρα καταφέρονται, εἶτα ἄλλα δύο ἐπάνω τῶν κυστικῶν πόρων, τὰ ζυγοειδῆ καλούμενα ὀστᾶ, ὑπὸ δὲ ταῦτα λιθοειδῆ ὀστᾶ, δύο καὶ ταῦτα. ἔμπροσθεν δὲ αἱ βελονοειδεῖς ἐκφύσεις. ἐγγύονται δὲ εἰς διάστασιν τῆς φαρυγέθρου. καὶ λέγεται ὑοειδὲς ὀστοῦν καθ᾽ ὃ χόνδρος συνδεῖται αὐτῶν τὰ ἄκρα. ἐπάνω δὲ τούτων τὰ ἀνώνυμα, ὧν κατὰ τὸ ἔμπροσθεν μέρος κεῖται, τὸ πολύμορφον. κατὰ δὲ σύμφυσιν τὰ τῆς ἄνω γνάθου ὀστᾶ συγκεῖται. συμφύσεις δὲ ἔχει τὸ πρόσωπον ἐννέα, μίαν μὲν κατ᾽ εὐρυ-

χωρίαν ἑκατέραν τῶν ὀφθαλμῶν περιγεγραμμένην. δύο δὲ ἐκ πλαγίων τῆς ῥινός. καὶ ἄλλην μέσην τὴν ῥῖνα ἐπ' εὐθείας τέμνουσαν. δύο δὲ περὶ μῆλα, καὶ δύο περὶ τὰς ὑπερῴας πλαγίας. μίαν δὲ ἐπ' εὐθείας διαιροῦσαν καὶ τέμνουσαν τὴν ὑπερῴαν. κοιναὶ δὲ προσώπου καὶ κεφαλῆς αἱ ἀπὸ τῶν ζυγωμάτων. ὀστᾶ δὲ προσώπου δώδεκα, ῥινὸς δύο. ὀφθαλμῶν δύο. μήλων δύο, ὑπερῴας τέσσαρα. τὰ τῶν φατνίων δύο, τὰ τοῖς ὀφρυγίοις ὅμοια. ἡ δὲ κάτω γνάθος κατ' ἐνίους μὲν, δύο ἐστὶν ὀστᾶ συμπεφυκότα περὶ τὸ γένειον. κατ' ἐνίους δὲ, ἕν. περὶ γόμφωσιν δὲ σύγκεινται οἱ ὀδόντες, ἐγγεγόμφωνται γὰρ τοῖς φατνίοις. εἰσὶ δὲ τὸν ἀριθμὸν λβ΄. ἔν τε τῇ ἄνω καὶ κάτω γνάθῳ. τομεῖς ὀκτώ. κυνόδοντες τέσσαρες. μυλῖται εἴκοσι. τῶν δὲ ἄλλων ὀστῶν αἱ μὲν κλεῖδες, πρὸς μὲν τὸ ἀκρώμιον συμφυεῖς δέονται, πρὸς δὲ τὸ στέρνον, μῖγμα ἄρθρου καὶ συμφύσεως δοκοῦσιν ποιεῖσθαι. ἐοίκασι δὲ τῷ σχήματι τῷ ῥωμαϊκῷ σίγμα. S. καὶ αὐτῷ ἡπλωμένῳ. ἑξῆς δὲ πλευραί. δώδεκα γὰρ αἱ πᾶσαι καθ' ἑκάτερον πλευρόν. ἑπτὰ δὲ αὐτῶν πρός τε τοὺς τῆς ῥάχεως σπονδύλους καὶ πρὸς τὸ στέρνον συνάπτουσιν ἑκατέρωθεν. αἱ δὲ λοιπαὶ πέντε, τῇ μὲν ῥάχει συμβάλλουσιν ἐκ τῶν ὄπισθεν, περὶ δὲ τὰ ἔμπροσθεν εἰς ἀλλήλας ἀνανεύουσαι χόνδρῳ συνδέονται. οἱ δὲ σπόνδυλοι εἴκοσι τέσσαρές εἰσιν οἱ πάντες. διαιροῦνται δὲ, τραχήλου μὲν ἑπτά. νωτιαῖοι δώδεκα. ὀσφύος δὲ πέντε. ἐπὶ πᾶσι δὲ τὸ ἱερὸν ὀστοῦν, δοκοῦν ἐκ σπονδύλων συγκεῖσθαι συμπεφυκότων ἀλλήλοις. τὸ δὲ στέρνον ὁμοίως καὶ αὐτὸ δοκεῖ, ἐκ τῶν ἑπτὰ ὀστῶν συγκεῖσθαι συμπεφυκότων ἀλλήλοις ἐν τῷ ξιφοειδεῖ σχήματι. βραχίων δὲ ἑκάτερος περὶ ἄρθρον ἥρμοσται τῷ τοῦ ὤμου. ἐμβάλλεται δὲ τῇ ἑαυτοῦ κεφαλῇ πλαγίως εἰς τὴν κοιλότητα τῆς ὠμοπλάτης, ἐπίκεινται δὲ αἱ ὠμοπλάται μυσὶν τοῖς ὑπεστρωμένοις ταῖς πλευραῖς ἐκ τῶν ὄπισθεν. πῆχυς δὲ καὶ κερκὶς παράκεινται μὲν ἀλλήλοις περὶ σύμφυσιν, συμβάλλουσιν δὲ καὶ τῷ τοῦ βραχίονος τῇ ἑτέρᾳ κεφαλῇ κατ' ἄρθρον. δυσὶ μὲν γὰρ ἑαυτοῦ κονδύλοις εἰς τὰς σιγματοειδεῖς τοῦ πήχεος ἀναγλυφὰς ἐναρμόζεται ὁ βραχίων. τῷ δὲ τετάρτῳ κονδύλῳ ὡς περὶ κνώδακα ἡ κερκὶς περιστρέφεται. καρποῦ δὲ τὰ ὀστᾶ, τρία μὲν ὄντα πρὸς μὲν ἄλληλα συμφύσει δέδενται. πρὸς δὲ πῆχυν καὶ κερκίδα κατ' ἄρθρον ἥρμοσται. τὰ δὲ τοῦ μετακαρπίου πέντε ἐστὶ, ἄρθρον δὲ καὶ αὐτὰ ποιεῖ πρὸς τὰ τοῦ καρποῦ, πρὸς ταῦτα γὰρ συμπέφυκε. τὰ δὲ τοῦ ταρσοῦ, πρὸς μὲν αὐτὰ καὶ πρὸς τὰ τοῦ μετακαρπίου συμφύσει συνέχεται, πρὸς δὲ τὰς πρώτας τῶν δακτύλων σκυταλίδας κατ' ἄρθρον συμβάλλονται. δακτύλων δὲ σκυταλίδες μὲν κατ' ἕκαστον τρεῖς, κατ' ἄρθρον δὲ ἡ σύνθεσις αὐτῶν. μηροῦ δὲ, ἓν μὲν ὀστοῦν. συμβάλλεται δὲ ἐπικεκαμμένῃ μετρίως τῇ κεφαλῇ αὐτοῦ εἰς βαθεῖαν κοτύλην τοῦ ἰσχίου, καὶ νεύρῳ ἀπήρτηται ἐκφυομένῳ ἐκ μέσης τῆς κοτύλης, καὶ ἐμφυομένῳ εἰς μέσην τὴν κεφαλὴν τοῦ μηροῦ. τὰ δὲ ἰσχία, δύο ὄντα ὀστᾶ, ἐκ μὲν τῶν ὄπισθεν περὶ σύμφυσιν παράκειται τῷ ἱερῷ ὀστῷ. ἐκ δὲ τῶν ἔμπροσθεν ἀλλήλοις, ἔνθα καὶ ἥβης ὀστᾶ καλεῖται. κνήμης δὲ ἑκατέρας. δύο μὲν τὰ ὀστᾶ, τό, τε τῆς κνήμης καὶ τὸ τῆς περόνης. οὐκ ἐξικνεῖται δὲ ἡ περόνη πρὸς τὸ περὶ γόνυ ἄρθρον, ἀλλὰ μόνον τὸ τῆς κνήμης ἄκρον, τέσσαρας ἔχον ἐν αὐτῷ ἐπιπολαίους τύπους, εἰς οὓς ὑποδέχεται τοὺς τοῦ μηροῦ κονδύλους δύο ὄντας. ἐπίκειται δὲ αὐτοῖς ἡ ἐπιγονατὶς, ἐκ τῶν ἔμπροσθεν ὀστεῖον στρογγύλον, ὑπόπλατυ οἷον ἀσπιδίσκιον συνέχον αὐτῶν τὴν συμβολὴν διὰ τὸ ἐπιπολαίως συνηρθρῶσθαι. τῆς δὲ περόνης, τὸ μὲν ἄνω ἄκρον συμπέφυκε περὶ τοῦ ἀντικνημίου ὑπὸ τὴν ἐπίφυσιν. κατὰ δὲ τὰ σφυρὰ ἐπὶ πέρατα τοῦ ἀντικνημίου καὶ τῆς περόνης, πρὸς μὲν ἄλληλα συνδεῖται νευροχονδρώδει δεσμῷ. ἐπιβέβηκε δὲ τῷ ἀστραγάλῳ, ἐντὸς αὐτῶν συνέχον τὰ ὀστᾶ. ὁ δὲ ἀστράγαλος περὶ μῆκος τοῦ ποδὸς κείμενος τῇ μὲν περόνῃ ἐπιβέβηκε καὶ συνήρμοσται ἀκινήτως. τοῖς δὲ τῆς κνήμης ὀστοῖς καὶ τῷ σκαφοειδεῖ περὶ τὰ ἐμπρόσθια αὐτοῦ μέρη συμβάλλεται περὶ ἄρθρον. τὸ δὲ σκαφοειδὲς καθὰ μὲν συμβάλλεται τῷ ἀστραγάλῳ κεκοίλωται, ὡς σκαφοειδὲς δοκεῖν εἶναι. ἐκ δὲ τοῦ ἀντικειμένου κυρτὸν ὂν, ἔχει τρίβους τρεῖς, αἷς δέχεται τὰ χαλκοειδῆ ὀστᾶ τρία ὄντα. τὸ κυβοειδὲς ἔξωθεν μὲν τὴν θέσιν ἔχει. συνήρθρωται δὲ πρὸς τὸ σαρκοειδὲς καὶ τὴν πτέρναν. ἔχει δὲ καὶ ἔκφυσιν ἐκ τῶν κάτω εἰς τὸ ἔμπροσθεν, ὑφ' ἣν ὑπελήλυθε τοῦ ταρσοῦ τὸ ὀστοῦν πρὸς τὸ ἀνέχειν αὐτό. εἶτα καλούμενον πεδίον ἐκ πέντε καὶ αὐτὸ συγκείμενον ὀστῶν, εἶτα ἐφεξῆς εἰσὶν οἱ πέντε δάκτυλοι τοῦ ποδὸς, ἐκ τριῶν ἅπαντες φαλάγγων ὁμοίως τοῖς περὶ τὰς χεῖρας συγκείμενοι, πλὴν τοῦ μεγάλου, μόνος γὰρ αὐτὸς ἐκ δύο ἐγένετο. συνάγουσι δὲ τὰς μὲν τούτων διαρθρώσεις ὑμενώδεις τινὲς σύνδεσμοι. οἱ δὲ περὶ τὸν ἀστράγαλόν τε καὶ τὴν πτέρναν ἰσχυροί τε πάνυ. καὶ τινὲς ἐξ αὐτῶν στρογγύλοι τε ἅμα καὶ νευροχονδρώδεις.

περὶ χυμῶν.

Οἱ δὲ ἐν τῷ σώματι χυμοὶ ἐκ πρώτης γενέσεως τέσσαρες ὄντες, συμμιγεῖς μὲν εἰσὶν ἀλλήλοις καὶ ἀνακεκραμμένοι τῷ σώματι. πλεονάζει δὲ ἄλλος ἐν ἄλλῳ μᾶλλον τόπῳ, τὸ μὲν αἷμα ἐν καρδίᾳ. τὸ δὲ φλέγμα ἐν τῇ κεφαλῇ. ἡ ξανθὴ δὲ χολὴ ἐν ἥπατι. καὶ ἡ μέλαινα ἐν σπληνί. τοῦ δὲ ἐμφύτου πνεύματος διττὸν εἶδος. τὸ μὲν φυσικὸν, τὸ δὲ ψυχικόν. εἰσὶ δὲ οἳ καὶ τρίτον εἰσάγουσιν τὸ ἑκτικόν. ἑκτικὸν μὲν οὖν ἐστι πνεῦμα, τὸ συνέχον τοὺς λίθους. φυσικὸν δὲ τὸ τρέφον τὰ ζῷα καὶ τὰ φυτά. ψυχικὸν δὲ τὸ ἐπὶ τῶν ἐμψύχων αἰσθητικά τε ποιοῦν τὰ ζῷα καὶ κινούμενα πᾶσαν κίνησιν. ἵδρυται δὲ, ἐν τοῖς ζῴοις. ἐκ γὰρ τῶν τριῶν συνέστηκε τὰ ζῷα, τὸ μὲν οὖν ψυχικὸν, ἐν τῇ κεφαλῇ κατῴκισται, τὸ δὲ φυσικὸν ἐν καρδίᾳ. τὸ δὲ ἑκτικὸν ἐν παντὶ τῷ σώματι. φυσικαὶ μὲν οὖν εἰσιν ἐνέργειαι ἀπὸ πρώτης γενέσεως κύησις, καὶ διάπλασις. ἐπὶ δὲ τῶν ἀποτεχθέντων ὄρεξις, καὶ κατάποσις, ἡ ἐν τῷ στομάχῳ πέψις, ἀνάδοσις, ἐξαιμάτωσις, διάκρισις, θρέψις, αὔξησις. διακρίνεται δὲ ἐν τῷ σώματι σκύβαλον, φλέγμα. χολαὶ, οὖρον, ἱδρῶτες, μύξαι, σίαλον, γάλα. ψυχικαὶ δὲ δυνάμεις, αἴσθησίς τε καὶ προαίρεσις. αἰσθήσεις μὲν οὖν εἰσι πέντε, ἃς τὰ ζῷα παρέχει διὰ τῶν τοῦ σώματος ὀργάνων, ὅρασις, ἀκοὴ, γεῦσις ὄσφρησις, καὶ ἁφή. προαιρεῖται δὲ ἡ ψυχὴ τὰ μὲν ἄνευ τοῦ σώματος λογιζομένη, ἢ ἐνθυμουμένη. μετὰ δὲ τοῦ σώματος προαιρεῖται κινοῦσα αὐτὸ πρὸς ὑποδοχὴν τινῶν, ἢ ἔκκρισιν, ἢ τὴν μετὰ τόπους κίνησιν, ἡ δὲ ἀναπνοὴ σύνθετός τις ἐνέργεια δοκεῖ εἶναι, πῆ μὲν κατὰ προαίρεσιν, πῆ δὲ ἀπροαιρέτως, καὶ φυσικῶς γινομένη ὡς ἐν τοῖς ὕπνοις. ὑγιαίνει τοίνυν ὁ ἄνθρωπος τῶν μὲν πρώτων ἐξ ὧν συνέστηκεν τῶν στοιχείων, καὶ τῶν δευτέρων ἐξ ὧν διεπλάσθη τῶν τεσσάρων χυμῶν, ποσότητός τε συμμέτρως ἐχόντων πρὸς ἄλληλα καὶ ταῖς ποιότησιν εὐαρμόστως, τῶν δὲ στερεῶν σωμάτων ἐξ ὧν σύγκειται,

μή τε διαιρουμένων μή τε καταπυκνουμένων μή τε ἐξισταμένων ἐκ τῆς αὐτῶν χώρας. τῶν δὲ πνευμάτων μή τε ἐπιτεινομένων ἄγαν, ὡς ἐπὶ τῶν φρενιτικῶν, μή τε ἐκλυομένων ὡς ἐπὶ τῶν ληθαργικῶν, ἢ ἐπὶ τῶν ἐν καρδιακῇ διαθέσει ὄντων, τούτοις γοῦν τὸ ζωτικὸν πνεῦμα ἔοικεν ἐκλύεσθαι. ἐν ὑγείᾳ δὲ συντηρητέον τὸν ἄνθρωπον τοῖς τε συνήθεσι γυμνασίοις χρώμενον, καὶ τροφαῖς ταῖς κατὰ χώραν ἐν ἑκάστῃ ὥρᾳ τετηρημέναις, τὸ πλῆθος αὐτῶν μόνον φυλαττόμενον, ἐξ οὗ ἀπεψίαι γίνονται, ἀφ᾽ ὧν αἱ νόσοι συνίστανται. προφυλακτέον δὲ τὰς νόσους μελλούσας γίνεσθαι, ἢ ἔσεσθαι. εἰ μὲν ἐκ πλήθους, ἀσιτίαν παραλαμβάνων, ἢ κάθαρσιν, ἢ φλεβοτομίαν, εἰ δὲ ἀπὸ καμάτου καὶ ἐνδείας, ἀναπαῦσαι καὶ ὑποθρέψαι σύμφορον. αἱ δὲ νόσοι γίνονται πᾶσαι καθ᾽ Ἱπποκράτην, αἱ μὲν ἔξωθεν, ἐκ τοῦ περιέχοντος, αἱ δὲ ἔσωθεν ἐκ τῶν διαιτημάτων ἃ προσφερόμεθα ὑφ᾽ ὧν, ἢ πλεονάζει τις τῶν τεσσάρων χυμῶν, ἢ ἐλλείπει, ἢ κατὰ ποιότητα μεταβάλλει. ὑπὸ δὲ τούτων καὶ τὰ ἔμφυτα πνεύματα, ἃ μὲν ἐπιτείνεται ἄγαν, ἃ δὲ χαλᾶται εἰς ὑπερβολήν. τὰ δὲ στερεὰ σώματα καὶ ἔνδοθεν καὶ ἔξωθεν πολλὰς αἰτίας ἔχει τοῦ ὑπομένειν πλείονα πάθη. κατὰ δὲ Ἐρασίστρατον καὶ Ἀσκληπιάδην ὡς ἐπίπαν μίαν αἰτίαν ἐπὶ πάσης νόσου, καθ᾽ ὃν μὲν ἡ παρέμπτωσις εἰς τὰς ἀρτηρείας τοῦ αἵματος. καθ᾽ ὃν δὲ ἡ ἔνστασις τῶν ὄγκων ἐν τοῖς ἀραιώμασιν. σημεῖα δὲ πλήθους νοσοποιοῦντος κύρτωσις ἀγγείων καὶ ἔρευθος ἐπὶ τὸ πρόσωπον καὶ ὄγκος ὅλου τοῦ σώματος καὶ τῶν σφυγμῶν τὸ μέγεθος μετὰ εὐτονίας. ἐνδείας δὲ οὔσης, σύμπτωσις τοῦ ὄγκου καὶ ἰσχνότης περὶ τὸ πρόσωπον καὶ μικροσφυξία μετ᾽ ἀτονίας. τὸν μὲν οὖν πυρετὸν οἱ παλαιοὶ πάθος αὐτὸν καθ᾽ αὑτὸν ἡγοῦνται. Ἐρασίστρατος δὲ καὶ τῶν νεωτέρων τινὲς, ἐπιγέννημα. πυρετὸς δέ ἐστι τροπὴ ἐμφύτου θερμοῦ ἐπὶ τὸ καυσωδέστερον διὰ τὸ ἔνδον ἀποστρέφεσθαι καὶ ἐμποδίζεσθαι διαπνεῖν. σημειούμεθα δὲ τοὺς πυρέττοντας ἐκ τῆς θέρμης τῆς ἐπιτεταμένης καὶ ἀπροΐτου οὔσης καὶ τῶν σφυγμῶν ἐν ἀρχῇ μὲν εἰσβολῆς ἀμυδρᾶς καὶ ἀνωμάλου κινήσεως μετὰ πυκνότητος, ἐν ἀκμῇ δὲ σφοδροτάτους μετὰ ἐπάρσεως καὶ τάχους ὑπερβάλλοντος. κατὰ δὲ τοὺς νεωτέρους, ἡ ἐκ βάθους ἀναφερομένη θερμασία πλείων τῆς κατὰ φύσιν, δακνώδης καὶ δριμεῖα καὶ ἐπίμονος, μετὰ τῆς τῶν σφυγμῶν πυκνότητός τε καὶ σκληρότητος οὔσα, τὸν πυρετὸν ἀφορίζει. εἴδη δὲ πυρετῶν κατὰ πάντας δύο. ὅ, τε συνεχὴς καὶ διαλείπων. συνεχὴς μὲν οὖν ἐστὶν ὁ εἰς ἀπυρεξίαν πρὶν τελέως λυθῆναι τὸ νόσημα μὴ παυόμενος. πάλιν δὲ τοῦ διαλείποντος εἴδη εἰσὶν ἓξ κατὰ τοὺς ἀρχαίους, ἀμφημερινὸς, τριταῖος, τεταρταῖος, πεμπταῖος. ἑβδομαῖος, ἐνναταῖος. ἀμφημερινὸς μὲν οὖν ἐστὶν ὁ καθ᾽ ἑκάστην ἢ νύκτα ἢ ἡμέραν ἐπισημαίνων ἢ ἀνιέμενος. τριταῖος δὲ ὁ παρὰ μίαν. τεταρταῖος δὲ ὁ παρὰ δύο, πεμπταῖος δὲ ὁ παρὰ τρεῖς. ἑβδομαῖος ὁ παρὰ πέντε. ἐνναταῖος ὁ παρὰ ἑπτά. ὁ ἡμιτριταῖος γὰρ, ὅτε μὲν ἐν συνεχείᾳ ἐπιφαίνεται, ὅτε δὲ ἐν τοῖς διαλείπουσι τάττεται. τῶν δὲ ἄλλων νοσημάτων εἴδη δύο. εἴτε σὺν πυρετοῖς εἴη, εἴτε ἄνευ πυρετοῦ. τὰ μὲν γοῦν ἐστὶν ὀξέα, τὰ δὲ χρόνια. ὀξέα μὲν οὖν ἐστὶ τάδε φρενῖτις καῦσος, συνάγχη, πλευρῖτις, περιπνευμονία, καρδιακὴ διάθεσις, ἴκτερος, χολέρα, εἰλεὸς, κωλικὴ διάθεσις, ἀποπληξία, τέτανος, ὀπισθότονος, ἐμπροσθότονος. τὰ μὲν οὖν ὀξέα ὡς ἐπίπαν, ὑπό τε αἵματος καὶ χολῆς ξανθῆς συνίσταται, πλεοναζόντων ἔν τισι μέρεσι τοῦ σώματος, ἐν οἷς νοσοποιοῦσιν ἐκτρεπομένων ἐπὶ τὸ κάκιον. τὰ δὲ χρόνια ὑπὸ φλέγματος καὶ μελαίνης χολῆς ὁμοίως, ἢ πληθυνόντων πολὺ παρὰ τὸ κατὰ φύσιν, ἢ μεταβαλλόντων ἐπὶ τὸ δριμύτατον. θεραπευτέον δὲ τοὺς ἐκ πλήθους νοσοῦντας, κατὰ μὲν δίαιταν ἀφαιροῦντα τε τὸ πλῆθος νοσοῦντα ἢ δι᾽ ἀσιτίας, ἢ διὰ καθάρσεως, ἢ διὰ φλεβοτομίας. προστιθέντα δὲ καὶ προσφέροντα τοῖς ἐξ ἐνδείας εἰς τὴν νόσον ἐμπεσοῦσιν, οἷς δὲ ἀπεψία καὶ δριμύτης ὑγρῶν, αἰτία ἐστὶ, συμπέττειν δεῖ ταῖς ἐπιβροχαῖς καὶ τοῖς καταπλάσμασι, κατακεραννῦναι δὲ τὰ δριμέα καὶ εὐχύλοις καὶ ὑγραινούσαις τροφαῖς χρῆσθαι. οἱ δὲ καιροὶ τῶν βοηθημάτων ἔν τε ὅλῳ τῷ νοσήματι καὶ ταῖς μερικαῖς ἐπισημασίαις, εἰσὶ τέσσαρες. ἀρχὴ ἀνάβασις, ἀκμὴ, παρακμή. ἐν ἀρχῇ μὲν ὅλου τοῦ νοσήματος, ἀσιτία ἁρμόζει μέχρι τῆς διὰ τρίτης. ἐφ᾽ ὧν δὲ καὶ ἀπὸ ἀρχῆς παντὸς μέχρι τῆς διὰ τρίτης. φλεβοτομίαν δὲ ἐν ἀρχῇ μὲν κρίνουσιν οἱ νεώτεροι μέχρι τῆς διὰ τρίτης, οἱ δὲ παλαιοὶ καὶ μετὰ τὴν τρίτην παραλαμβάνουσιν, ἐὰν τὰ τῆς δυνάμεως ὑφεστήκῃ καὶ τὸ νόσημα ἀπαιτεῖ. τροφῆς δὲ καιρὸς μετὰ τὴν διάτριτον κατὰ τοὺς νεωτέρους, κατὰ δὲ τοὺς παλαιοὺς οὐκ ἐπὶ πάντων, ἀλλ᾽ ἐπὶ τῶν ἐκ πλήθους νοσούντων καὶ ἐπὶ νέων καὶ ἐπὶ πρεσβυτέρων. ἐπὶ δὲ παιδίων ἀπ᾽ ἀρχῆς τρέφουσιν, καὶ ἐφ᾽ ὧν ἔθος τοιοῦτον ἢ διὰ χώραν ἢ διὰ τὸ περιέχον. πρὸ δὲ τῆς τροφῆς τῶν μετὰ τὴν πρώτην διάτριτον ἐπιβροχαῖς χρηστέον τῆς κεφαλῆς καὶ τῶν μέσων. ταῖς δὲ ἑξῆς καταπλάσμασι καὶ κλύσμασι. τὰς δὲ οὖν ἐμβροχὰς ἀεὶ καὶ τὰς ἐπὶ τῶν μέσων θερμὰς παραληπτέον καὶ ἁπλᾶς ἑψούσας κύμινον ἢ ξυλάνηθον, τὰς δὲ ἐπὶ κεφαλὴν θερμὰς μὲν ἐπὶ ληθάργου καὶ πάσης καταφορᾶς, ἐμψυχούσας δὲ ἐπὶ φρενιτίδων καὶ ἐπὶ παντὸς πυρετοῦ ὀξέος, τῶν δὲ καταπλασμάτων τὰ μὲν διὰ μόνου μέλιτος καὶ ἐλαίου κατασκευάζεται, καὶ καλεῖται μαλακτικά. τὰ δὲ δι᾽ ὑδρελαίου ἅπερ ὀνομάζουσιν ὠμήλυσιν. τὰ δὲ ἐμπασσόμενα τούτοις, οἷά ἐστι γύρεις καὶ λινόσπερμον καὶ τῆλις. οἱ δὲ κλυσμοὶ δι᾽ ὑδρελαίου καὶ μέλιτος καὶ ἁλῶν καὶ νίτρου βραχέως. καιρὸς δὲ τούτων, ὁ πρὸ τῆς τροφῆς ἐν ἀνέσει τῶν ἐπισημασιῶν καὶ παρακμῇ. ἐπὶ δὲ τῶν συνεχῶν ὁ ὄρθρος. φρενῖτις μὲν οὖν ἐστὶ ἔκστασις διανοίας μετὰ παρακοπῆς σφοδρᾶς καὶ χειρῶν ἀλόγως περιφορᾶς, καὶ κροκυδισμοῦ, καὶ καρφολογίας, καὶ πυρετοῦ ὀξέος. γίνεται δὲ ἐξ αἰτίας, ὡς ἐπὶ πολὺ, χολῆς. συνίσταται δὲ περὶ ἐγκέφαλον, ἢ μήνιγγας, ἢ ὡς τινὲς λέγουσιν περὶ φρένας, ὃ διάφραγμα καλεῖται. θεραπεία δὲ ἁρμόδιος ἥδε. εἰ μὲν προγνοίης ἐν ἀρχῇ διὰ φλεβοτομίας καὶ συνκίας. ἀφαίρεσις δὲ καὶ κλυσμὸς καὶ ἀσιτία ἁρμόδιος. ἐνστάντος δὲ τοῦ πάθους ἐπιβροχαὶ καρωτικαί τε καὶ ὑπνωτικὰ ἐπιχρίσματα καὶ τροφαὶ ὑγραίνουσαι. ὁ δὲ καῦσος εἶδος μέν ἐστι πυρετοῦ. τέτακται δὲ ὑπὸ μὲν Ἱπποκράτους ἐν τοῖς ὀξέσιν, ὡς τεταρταῖος ἐν τοῖς χρονίοις. ὑπὸ δὲ τῶν νεωτέρων οὐκ ἔτι. συνίσταται δὲ ἐκ χολῆς, οὔσης ἄγαν ξηρᾶς περὶ τὰ φλέβια τὰ κατὰ τὸ ἧπαρ. θεραπεύεται δὲ φλεβοτομίᾳ ἐν ἀρχῇ καὶ ψυχροῦ δόσει ἐν ἀκμῇ, ἢ πόμασιν ἐμψύχουσιν, ἢ ἐπιθέσεσιν, οἷόν ἐστι τὸ δι᾽ ὑδρελαίου ζεστοῦ.

Κυνάγχη δὲ καὶ συνάγχη, φλεγμοναί εἰσιν περὶ τὸν τράχηλον, ἡ μὲν περὶ τὸ ἐντὸς αὐτοῦ ὀξέως πνίγουσα, ἡ κυνάγχη. ἡ δὲ συνάγχη, εἰς τὰ ἐκτὸς μᾶλλον νεύουσα, καὶ διὰ τοῦτο ἧττον πνίγουσα, καὶ ἧττον κινδυνώδης ἐστί. γίνεται δὲ ἑκάτερον πάθος, ἢ ὑπὸ

χολῆς

χολῆς, ἢ ὑπὸ φλέγματος ἁλμυροῦ. συνίσταται δὲ ὅτε μὲν σὺν πυρετῷ ὀξεῖ, ὅτε δὲ χωρὶς πυρετοῦ. θεραπεία δὲ ἡ μὲν γενναιοτάτη καὶ ὀξυτάτη εὐθὺς ἐν ἀρχῇ διὰ φλεβοτομίας, μετὰ δὲ ταῦτα διὰ τῶν ἀποφλεγματιζόντων φαρμάκων, καὶ τῶν ἔξωθεν ἐπιτιθεμένων κηρωτῶν. Ἀσκληπιάδης δὲ ἐπὶ τῶν ἄκρως πνιγομένων, καὶ λαρυγγοτομεῖ.

Πλευρῖτις δέ ἐστι φλεγμονὴ περὶ τὸ πλευρὸν ἐκ τῶν ἔνδον μετὰ πυρετοῦ ὀξέος, καὶ ἀλγημάτων σφοδρῶν, καὶ βηχός. γίνεται δὲ ὑπὸ χολῆς μάλιστα. θεραπεία δὲ ἐν ἀρχῇ μὲν φλεβοτομία, εἶτα ἡ διὰ τῶν καταπλασμάτων καὶ ξηρῶν πυριῶν, οἷον κέγχρων καὶ ἁλῶν. τρίτη ἡ διὰ τῶν ἀνακαθαιρόντων ἔνδοθεν φαρμάκων πλευριτικῶν ἐπιγεγραμμένων. φυλάττεσθαι δὲ ἐπὶ τούτων τὰς τῆς κοιλίας ῥύσεις.

Ἡ δὲ πνευμονία τοῖς μὲν δοκεῖ φλεγμονὴ βαρεῖα εἶναι περὶ πνεύμονα, καὶ † παρὰ βάρει σφόδρα διαδείκνυται. τοῖς δὲ οὐ δοκεῖ ὁ πνεύμων δύνασθαι φλεγμαίνειν, τὰ πλησίον δὲ αὐτοῦ φασὶ ἐν τοιαύτῃ διαθέσει γινόμενα, οὕτως ὀνομάζεται αὐτὴν ποιεῖ. συνίσταται δὲ τὸ πάθος σφόδρα μετὰ πυρετοῦ ὀξέος, καὶ ὑπὸ τῶν αὐτῶν αἰτίων, ὧν ἡ πλευρῖτις. ἔστι δὲ τινὰς ὑπὸ φλέγματος. θεραπεία δὲ τὰ πολλὰ ὁμοία τῇ πλευρίτιδι.

† al. τὰ βάρη

Ἡ δὲ καρδιακὴ διάθεσις οὐκ ἀπὸ τοῦ περὶ καρδίαν εἶναι τὸ πάθος οὕτως ὠνομάσθη, ἀλλ' ἐπεὶ καρδίαν οἱ παλαιοὶ τὸν στόμαχον ἐκάλουν. τούτου δὲ ἀναλυομένου ἐν πυρετῷ ὀξεῖ, συμβαίνει τοὺς κάμνοντας διαφορεῖσθαι. γίνεται δὲ τὸ πάθος ὡς ἐπὶ τὸ πολὺ μὲν, ἐκ τῶν ἀμέτρων ἀποσιτιῶν, ἢ ἐκ φλεβοτομίας ἀκαίρου. ἢ τινος ἀφαιρέσεως ἀλόγου παραληφθείσης. διὸ τροφῆς δέονται τῆς εὐαναδότου καὶ ἀναθερμαινούσης, ὥσπερ δι' οἴνου καὶ χιόνος, καὶ τῶν στερεῶν ὅσα προσειμώτερα, καὶ τὸν στόμαχον τονοῦν δυνάμενα. ἔστι δὲ ὅτε καὶ φλεγμαινόντων τῶν ἔνδον, μάλιστα δὲ τοῦ ἥπατος, σφόδρα γίνεται. ὅτε τοὐναντίον ἀφαιρέσεως δεῖται καὶ καταπλάσεως τῆς ἐπὶ τῶν φλεγμαινόντων.

Ἴκτερος δέ ἐστιν ἀνάχυσις χολῆς εἰς τὴν ἐπιφάνειαν, ὅτε μὲν σὺν πυρετῷ ὀξεῖ, ὅτε δὲ καὶ ἄνευ πυρετοῦ, μετὰ ἐγκαύσεως τῶν ἔνδον, καὶ κακοστομαχίας. δεῖται δὲ εἰ μὲν τὰ μέσα φλεγμαίνει καταπλασμάτων, πρῶτον, καὶ εἰ πλῆθος ὑπόκειτο φλεβοτομίας, εἰ δὲ μή, τῶν τὴν χολὴν κενούντων, ἢ διὰ κοιλίας, καὶ ἐντέρων, ἢ δι' οὔρων, ἢ διὰ ῥινῶν, ἢ δι' ἱδρώτων.

Ἡ δὲ χολέρα διττή ἐστι καθ' Ἱπποκράτην, ἡ μὲν ὑγρά, ἣν καὶ πολλοὶ ἴσασι μετ' ἐκκρίσεως σφοδρᾶς καὶ χολώδους, καὶ κάτωθέν τε καὶ ἄνωθεν, καὶ στρόφων χαλεπῶν μετὰ τῶν ἐπιγινομένων σπασμῶν καὶ συνολκῶν κατὰ τὰς γαστροκνημίας μάλιστα, ἐπιμέλεια δέ, ἐπιβροχῶν μὲν θερμῶν κατὰ τῶν συνελκομένων. καὶ λουτροῦ μετὰ τὴν ἀποκάθαρσιν, καὶ τροφῆς εὐδιοικήτου τε καὶ εὐαναδότου καὶ εὐστομάχου. τὸ δὲ ἕτερον εἶδος ξηρὰν χολέραν καλεῖ ὁ Ἱπποκράτης, ὑπὸ μὲν τοῦ αὐτοῦ αἰτίου γινομένην, καὶ περὶ τὰ αὐτὰ συνισταμένην, ἄνευ μέντοι ῥύσεως κοιλίας καὶ ἐμέτων. διὸ καὶ δεῖται προανέσεως τε καὶ διὰ καταπλασμάτων, καὶ οὐ προσφορᾶς. ἀλλὰ τοὐναντίον, ἐνδείας.

Εἰλεὸς δὲ καὶ κωλικὴ διάθεσις, φλεγμοναί εἰσιν ἐντέρων. ἡ μὲν τοῦ λεπτοῦ, ἡ δὲ τοῦ κώλου. διό, καὶ ἀποκλείεται τά τε διαχωρήματα, καὶ αἱ φῦσαι ἐνειλούμεναι τοῖς ἐντέροις, παρὰ τὸ μὴ ἔχειν τὴν ἔξοδον, ἀλγήματα σφοδρὰ παρέχουσι καὶ στρόφους. ὀξύτερον δὲ καὶ τῇ διαθέσει καὶ τοῖς συμπτώμασιν ὁ εἰλεὸς καὶ κινδυνωδέστερος, ἔμετοί τε γίνονται τῶν εἰλεωδῶν τοῖς ἐσχάτως ἔχουσιν ἑκάτερον τὸ πάθος. ἐν ἀρχῇ μὲν φλεβοτομίας ὁ εἰλεὸς μάλιστα, τὰ πολλὰ δὲ ἀσιτίαις καὶ καταπλάσμασι τοῖς ἀνιεῖσι καὶ λύουσι τὰς φλεγμονάς. ἐνεργέστερον δὲ βοηθεῖ τὰ ἔνδοθεν ἐνιέμενα κωλικὰ φάρμακα. τῶν τε γὰρ ἀλγημάτων ῥύεται, καὶ ὕπνον ἐπάγει, καὶ τὴν διαχώρησιν κινεῖ.

Ἀποπληξία δὲ γίνεται μὲν διὰ πλῆθος ὑγρῶν παχέων ἐμφραττόντων τὰ ἀπὸ τῆς κεφαλῆς ἀγγεῖα, τὰ διαδιδόντα εἰς πᾶν τὸ σῶμα τὴν αἴσθησιν καὶ τὴν κίνησιν, διὸ καὶ ἀναίσθητοι καὶ ἄφωνοι καὶ ἀκίνητοι γίνονται ἀπόπληκτοι. λέγει δὲ Ἱπποκράτης περὶ τοῦ δὲ τοῦ πάθους, ἀποπληξίην ἰσχυρὰν μὲν λύειν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον. φλεβοτομεῖν δὲ εὐθὺς τοὺς κεκρατημένους, ἐὰν καὶ τὰ τῆς ἡλικίας συνᾴδῃ καὶ ἡ δύναμις ὑπακούῃ.

Τέτανος δὲ καὶ ὀπισθότονος καὶ ἐμπροσθότονος περὶ τὰ νεῦρα πάθη. εἶδος δέ ἐστιν ἑκάτερον σπασμοῦ, τῶν ἀπὸ τῆς κεφαλῆς νεύρων, δι' ὧν τὴν κίνησιν διαδίδωσιν εἰς τὸ σῶμα. γίνεται δὲ δι' ἔμφραξιν ὑγρῶν παχέων τῶν νεύρων. ὅτε μὲν εἰς τοὔπισθεν, ὥστε μὴ συννεύειν, καὶ καλεῖται ὀπισθότονος. ὅτε δὲ τῶν εἰς τὸ ἔμπροσθεν, ὥστε μὴ ἀνανεύειν, καὶ καλεῖται ἐμπροσθότονος. ὅτε δὲ ἐπ' εὐθείας, ὥστε μὴ συγκάμπτεσθαι, καὶ τέτανος προσωνόμασται. θεραπεύεται δὲ ὑπὸ φλεβοτομίας εἰ πλῆθος ὑπόκειται, ὡς ὁ περὶ Ἱπποκράτην καταπεσὼν καὶ τὴν κεφαλὴν τραυματισθείς. ἰᾶται δὲ αὐτοὺς καὶ ψυχροῦ πολλοῦ κατάχυσις θέρους ὥρᾳ, μάλιστα εἰ μὴ ἰσχνὸς ἀλλ' εὔσαρκος εἴη ὁ πάσχων. θέρμης γὰρ ἐπανάκλησιν ποιεῖται. ὡς δὲ οἱ πολλοὶ χρῶνται κηρώμασι τοῖς ἠρέμα θερμαίνουσι καὶ χαλῶσι καὶ ἀλείμμασι τοῖς ὁμοίοις καὶ ἐρίων ἠλαιωμένων ἐπιθέσει καὶ πυρίαις καὶ καταπλάσμασι θερμοῖς.

Χρόνια δὲ πάθη περὶ τὰ ἔνδον συνίσταται τάδε. κεφαλαία, ἐπιληψία, ἴλιγγοι, σκοτώματα, μανία, μελαγχολία, λήθαργος, κόρυζα, βράγχος, κατάρρους, αἵματος ἀναγωγή, ἐμπύημα ἐν θώρακι, φθίσις, ἀπόστημα ἐν μεσοπλευρίῳ, ἀπόστημα ἐν κατακλεῖσι, ἡπατικὴ διάθεσις, τεινεσμός, δυσεντερία, ἕλμινθες αἱ πλατεῖαι, ἕλμινθες αἱ στρογγύλαι, ἀσκαρίδες, ἰσχιάς, ἀρθρῖτις, ποδάγρα, ἐλεφαντίασις δοκεῖ τῶν ἐκτὸς εἶναι.

Τῶν οὖν χρονίων κεφαλαία ἐστὶ κεφαλῆς ἄλγημα ἐνδιάθετον περιοδικῶς ἐνίοτε τὰ πολλὰ κινούμενον ὑπὸ φλέγματος γινόμενον, ὅτε δὲ εἰς ἓν μέρος τῆς κεφαλῆς τὸ ἄλγημα ἐστί, καὶ καλεῖται ἑτεροκρανία, ἴασις δὲ ἀμφοτέρων δι' ἀφαιρέσεως αἵματος, ἢ διὰ σικύας ἐπὶ τὸ ἰνίον, καὶ ἀποφλεγματισμοῦ, καὶ διὰ κοιλίας κάθαρσιν, καὶ ἐπιθεμάτων, ὅσα ἀναγράφεται ἐν καταπλάσματος τρόπῳ, ἢ ἐν μαλάγμασιν, ἢ ἐπιχρίσμασιν, τὸ δὲ τελευταῖον, σιναπισμῷ ἀναξηραίνεται τὸ αἴτιον.

Ἐπιληψία δέ, ἣν καὶ ἱερὰν νόσον καλοῦσι. συνίσταται μὲν περὶ τὰς ἀρχὰς τῶν ἀπὸ κεφαλῆς νεύρων, δι' ὧν ἡ αἴσθησις καὶ ἡ κίνησις εἰς πᾶν τὸ σῶμα ἀναδίδοται. αἰτία δὲ τοῦ πάθους ὡς ὁ Πλάτων καὶ Ἱπποκράτης φασὶ φλέγμα καὶ χολὴ μέλαινα, διὸ καταπίπτουσιν οἱ παρὰ πάθει ἐχόμενοι, ἐμφραττομένων αὐτοῖς τῶν ὁδῶν τῆς τε αἰσθήσεως καὶ τῆς κινήσεως, ἀφρῶσι δὲ διὰ τὸ κλόνον τῶν ὑγρῶν, ὃς γίνεται ἀπὸ τοῦ σπασμοῦ τῶν νεύρων, διὸ ἔστιν ὅτε καὶ οὖρον ἐκκρίνουσιν ἀπροαιρέτως. ἰᾶται δὲ τὸ πάθος ἐπὶ μὲν τῶν πρὸ ἥβης παίδων ἡ φύσις ἐκλάμψασα περὶ ἥβην, καὶ κρίσιν τοῦ νοσήματος ἐργασαμένη παρὰ ἐμφύτου θερμοῦ ἀναξηράνασα τὰ αἴτια. τοῖς δὲ μετὰ τὴν ἥβην, δυσίατον, ἢ καὶ ἀνίατον τὸ πάθημα. τὰ δὲ σκοτώματα καὶ οἱ ἴλιγγοι συν-

γίνεται ἐστὶν τῆς ἐπιληψίας καὶ ὑπὸ τῶν αὐτῶν αἰτίων γινόμενα, καὶ περὶ τὰ αὐτὰ χωρία συνιστάμενα. ἐπὶ παλαιᾶς μέν τοι ἡ κατασκευὴ αὐτῶν καὶ ἔτι ἐνδιάθετος, καὶ διὸ δυσιατώτερα καθάρσεσι ταῖς ἀπὸ κοιλίας μάλιστα τῇ ἱερᾷ, ἔπειτα ἀποφλεγματισμοῖς καὶ ἐμέτοις ἐν κύκλῳ παραλαμβανομένοις, τοῖς μὲν ἀπὸ δείπνου, τοῖς δὲ νήστεσιν. ἐπὶ πᾶσι δὲ κατορθοῦνται ἐλλεβόρῳ.

Τῆς δὲ περὶ τὴν διάνοιαν ἐκστάσεως, δύο μὲν τὰ ὑπερέχοντα εἴδη· μανία τε καὶ μελαγχολία. πολλαὶ δὲ καὶ ἐν τούτοις αἱ διαφοραί, ἀκατονόμαστοι οὖσαι. συνίσταται μὲν οὖν περὶ κεφαλὴν πᾶσαν ἔκστασις διανοίας. αἰτία δὲ τῆς μὲν μανίας ξανθὴ χολή. διὰ τοῦτο ταραχώδεις καὶ ἔκφοροι καὶ πρόχειροι ὑβρισταί τε οἱ τούτῳ ἐχόμενοι τῷ πάθει. τῆς δὲ μελαγχολίας αἰτία μέλαινα χολή, ψυχρότερος χυμὸς καὶ ζοφώδης. διὸ ζοφοειδεῖς τε εἰσὶ καὶ δύσθυμοι οἱ τοιοῦτοι. ὕποπτοι δὲ εἰς πάντα καὶ μισάνθρωποί τε καὶ ἐρημίαις χαίροντες, οἷος ὁ Βελλεροφόντης ἱστορεῖται. ἤ τοι ὁ κὰπ πεδίον τὸ ἀλήιον οἶος ἀλᾶτο, ὃν θυμὸν κατέδων πάτον ἀνθρώπων ἀλεείνων. ἴασις δὲ διὰ καθάρσεως τῶν ἀπὸ κοιλίας, καὶ μάλιστα ἡ δι' ἐμέτων. ἐπὶ πᾶσι δὲ ἐλλέβορος ἑκατέρου λύσις.

Ὁ δὲ λήθαργος ἐναντίον πάθος ἐστὶ τῇ φρενίτιδι. καταφορὰ γάρ ἐστι βαθεῖα καὶ δυσανάκλητος. οἱ κάμνοντες ἐπιλανθανόμενοι πάντων ὅσα λέγουσι. ταῦτα δὲ ἐν πυρετῷ αὐτοῖς συνεδρεύει. τόπος μὲν οὖν τοῦ πάθους ἡ κεφαλή. περὶ γὰρ μήνιγγας αὐτοῖς συνίσταται. αἴτιον δὲ τούτου, φλέγμα, χυμὸς ψυχρὸς καὶ τῇ ψύξει καὶ τῇ ὑγρότητι εἰς ὕπνους αὐτοὺς κατάγον. θεραπεία δὲ ἁρμόδιος, ἡ ὑπεναντία τῇ φρενίτιδι, ἀνατρίψις τῶν ἄκρων διά τινων δριμέων καὶ νυσσόντων, ὀσφραντῶν τε προσαγωγαὶ ἀνεγειρόντων. τροφαί τε ὁμοίως διαχέουσαι καὶ τέμνουσαι τὸ φλέγμα, ἐπιβροχαί τε τῆς κεφαλῆς τῶν ἀναξηραινόντων, καὶ καταπλάσματα ἔστιν ὅπου ἐπὶ τῶν μέσων. πολλάκις γὰρ ταῦτα φλεγμαίνοντα πιέζει καὶ τὴν ἐν τῇ κεφαλῇ ἀρχὴν τῶν νεύρων.

Κόρυζα δὲ καὶ βράγχος καὶ κατάῤῥους ἀπὸ κεφαλῆς μὲν ἄρχεται τὰ πάθη πληρουμένης εἶτα καταστάζουσης, ὅτε μὲν ῥῖνας, εἰς καὶ καλεῖται κόρυζα. ὅτε δὲ εἰς βράγχον, καὶ βράγχος ὀνομάζεται τὸ πάθος. ὅτε δὲ εἰς θώρακα καὶ κατάῤῥους λέγεται. εὐίατον μὲν οὖν καὶ πρόσκαιρον ἡ κόρυζα. δεύτερον ὁ βράγχος. ὀλιγοσιτίαι μὲν καὶ θερμαὶ τροφαὶ καὶ σιτώδεις, ἐρύσαντο πολλάκις τῶν παθῶν. δυσίατον δὲ ὁ κατάῤῥους, καὶ πολλάκις ἀνίατος. ἐκ γοῦν κατάῤῥου δριμέος καὶ ἁλμυροῦ διεσθιομένων τῶν σωμάτων αἵματος ἀναγωγὴ γίνεται.

Αἰτίαι δὲ αἵματος ἀναγωγῆς τρεῖς, ἢ γὰρ κατ' ἀνάβρωσιν τῶν ἀγγείων παραῤῥέοντος τοῦ αἵματος εἰς τὴν † ἀρτηρίαν, ἀνάγεται διὰ τοῦ στόματος, ἢ διὰ δύναμιν ῥήξεως † γινομένης, ἢ δι' ἀσθένειαν καὶ ἀτονίαν τῶν ἀγγείων οὐ στεγόντων, ἀλλὰ ἀναστομωμένων διαπηδῶντος τοῦ αἵματος. διαφέρει δὲ αἵματος ἔκκρισις καὶ αἵματος ἀναγωγή. ἡ μὲν γὰρ ἢ ἀπὸ πνεύμονος, ἢ ἀπὸ τῆς τραχείας ἀρτηρίας γίνεται. ἡ δὲ ἀπὸ στομάχου, καὶ τὸ αἷμα μελάντερον φαίνεται. τὸ δὲ ἀπὸ θώρακος ξανθότερον καὶ ἀφρῶδες. ἔπειτα τὸ μὲν μετὰ βηχὸς ἀνάγεσθαι. τὸ δὲ ἄνευ βηχός. πολλάκις δὲ καὶ ἀπὸ κεφαλῆς διὰ τῶν τῆς ὑπερῴας τρημάτων εἰς τὸ στόμα καταφερόμενον τὸ αἷμα, ἀναγωγῆς φαντασίαν παρέχει οὐκ οὖσαν. τόποι δὲ ἐξ ὧν κυρίως τὸ αἷμα ἀνάγεται, τρεῖς. πρῶτος μὲν τὸ φαρύγεθρον, καὶ ἀκινδυνοτέρα καὶ εὐιατωτέρα ἐντεῦθεν ἡ τοῦ αἵματος ἀναγωγή. δεύτερος ἀπὸ τῆς τραχείας ἀρτηρίας, καὶ δυσίατος αὕτη ἡ διαφορά, καὶ κινδυνώδης. τρίτος ἡ ἀπὸ τοῦ πνεύμονος, πασῶν δυσιατωτέρα καὶ κινδυνωδεστέρα, ἐφ' ἧς μάλιστα καὶ τὸ ἐμπύημα καὶ ἡ φθίσις, ὥς φησιν Ἱπποκράτης. ἐφ' αἵματος πτύσει πύου πτύσις. ἐπὶ πύου πτύσει, φθίσις. ἐπὶ φθίσει, θάνατος. δοκεῖ δέ τισι καὶ ἀπὸ πλευροῦ αἷμα ἀνάγεσθαι. ἀμφίβολος δὲ οὗτος ὁ τρόπος. ἴασις δὲ αἵματος ἀναγωγῆς, ἐπισχεθῆναι τὸ αἷμα, ἢ διὰ φλεβοτομίας μεταχετεύσαντα, καὶ μάλιστα ἐπὶ τῶν νέων, ἢ δι' ὀξυκράτου στήσαντα, ἢ ἀποσιτίᾳ μειώσαντα τὸ πλῆθος. ἢ διά τινος τῶν ἁπλῶν φαρμάκων, οἷον ἀκακίας, ὑποκυστίδος, βαλαυστίου, ἀρνογλώσσου χυλοῦ, καὶ τῶν ὁμοίων.

Ἐμπυήματος δὲ ἴασις ἡ μὲν παλαιὰ διὰ καυστηρίων, ἀναξηραινόντων τὸν θώρακα, καὶ εἰς τὰ ἐκτὸς μεταρρευματίσαι. ἡ δὲ νεωτέρα, συμπεπᾶναι τοῖς τε καταπλάσμασι καὶ τοῖς ἐκλεικτοῖς, ἔπειτα ἀνακαθᾶραι ταχέως τοῖς διὰ στόματος διδομένοις φαρμάκοις, πρὶν ἢ καθαιρεθῆναι τὰ σώματα. ἐπιγράφεται δὲ τὰ φάρμακα ἰδίως πρὸς ἐμπυικούς. τά τε ἐν μεσοπλευρίοις συνιστάμενα ἐμπυήματα τεμνόμενα ἰδίως πρὸς μόνον ἔχει τὴν ἔκκρισιν τοῦ ὑγροῦ. ἡ γὰρ ἀθρόα, ἀναιρεῖ. γίνεται δὲ ἐμπυήματα καὶ ὑπὸ τὸ διάφραγμα, ἃ λέγουσιν ἐν κατακλύψει ἀποστήματα, οὐχ ὁμοίως κινδυνώδη, οὐ δὲ δυσίατα, τὰ πολλὰ ἐντὸς ῥηγνύμενα ταύτῃ ἐκκρίνεται. ἢ διαιρουμένων τῶν ἐκτὸς σωμάτων. ἱστορεῖ δὲ Διοκλῆς καὶ τὰ ἐν θώρακι ἐμπυήματα, ἔστιν ὅτε συῤῥηγνύμενα εἰς τὴν ἐπὶ νεφροὺς καὶ κύστιν φέρουσαν ἀρτηρίαν, ταύτῃ ἀποκρίνεσθαι σὺν τοῖς οὔροις.

Φθίσις μὲν κυρίως λέγεται ἡ ἐν πνεύμονι, ἢ εἰς τὸν θώρακα ἐπὶ τῶν ἐμπυημάτων σύντηξις τοῦ σώματος. δυσίατον δὲ τὸ πάθος, ἢ καὶ ἀνίατον. γαλακτοποσία τε ἐν αὐτῇ τῇ ἀκμῇ καὶ τόποι ξηρότεροι καὶ τῆς Αἰγύπτου τὰ ἄνω καὶ ἡ Λιβύα ἰῶνται μάλιστα τὸ πάθος. λέγεται δὲ καὶ ἰσχιαδικὴ τις φθίσις ὑπὸ Ἱπποκράτει, ἡ ἐπὶ τοῖς περὶ τὸ ἱερὸν ὀστοῦν ἐμπυήμασι σύντηξις τοῦ σώματος. ὁμοίως δὲ καὶ ἡ νεφριτική.

Αἱ δὲ περὶ ἧπαρ καὶ σπλῆνα, φλεγμοναί, εἰ μὲν εἰς ἐμπύημα μεταβάλλοιεν, συντήκουσι καὶ αὗται μετρίως τὸ σῶμα. εὐιατώτερα δὲ ταῦτα τὰ ἐμπυήματα τῶν ἐν πνεύμονι καὶ ἀκινδυνώτερα. εἰ δὲ μὴ μεταβάλλοιεν, ἀλλ' ἄπεπτοι μένοιεν αἱ φλεγμοναὶ καὶ σκιῤῥώδεις, καχεξίας ἐπιφέρουσαι τῷ σώματι, καὶ τελευτῶσαι ὕδρωπας ἐπιφέρουσι. μέχρι δὲ ἁπλαῖ φλεγμοναί εἰσιν, ἡ μὲν περὶ ἧπαρ, πυρετὸς ἐπιφέρει συνεχεῖς. ἡ δὲ περὶ σπλῆνα, τεταρταίους, ὡς ἐπὶ τὸ πολύ. αἰτία γοῦν τοῦ τύπου τούτου, μέλαινα χολὴ ἧς ἀγγεῖον ὁ σπλήν, ὅθεν ἴαμα τεταρταίου, πρὸ μὲν τοῦ ῥίγους, πυριῶντα τὰ ἄκρα διὰ τὴν ψυχρότητα τοῦ χυμοῦ. ἐν δὲ τοῖς διαλείμμασι ἡ δι' ἐμέτων ἀγωγή.

Ὑδρώπων δὲ τριττὸν εἶδος κατὰ τοὺς νεωτέρους, ὁ μὲν ἀσκίτης, ὁ δὲ τυμπανίτης, ὁ δὲ ὑποσαρκίδιος. κατὰ δὲ Ἱπποκράτην δύο φύσεις. ὁ γὰρ ἀσκίτης καὶ ὁ τυμπανίτης τῆς αὐτῆς ἰδέας ἐστί. ἐφ' ἑκατέρᾳ γὰρ παρέγχυσις ἐστὶ τῆς ἐξυδαρουμένης τροφῆς εἰς τὸν μεταξὺ τόπον, τῶν τε ἐντέρων καὶ τοῦ περιτοναίου, ἀλλ' ἐπὶ μὲν τοῦ ἀσκίτου, πλεῖον τὸ ὕδωρ. ἔλαττον τὸ πνεῦμα. ἐπὶ δὲ τοῦ τυμπανίτου, πλεῖον τὸ πνεῦμα. ἔλαττον τὸ ὑγρόν. ὁ δὲ ὑποσαρκίδιος κατὰ πᾶν ἐστὶ τὸ σῶμα ἀνάλυσις τῶν στερεῶν σωμάτων εἰς ὕδατος φύσιν. διὸ καὶ Ἱπποκράτης ἀνίατον φησίν. καλεῖται δὲ καὶ λευκοφλεγματίας. αἰτία δὲ παντὸς ὕδερου, ὡς μὲν Ἐρασίστρατός φησιν, φλεγμονὴ ἥπατος, ἢ σπληνὸς

χρονισθεῖσα καὶ

† al. βραχεῖαν
† al. φλεβὸς

χρονισθεῖσα καὶ σκιῤῥωθεῖσα. ἐμποδίζουσα γὰρ τῆς τροφῆς τὴν ἐν τοῖς σπλάγχνοις τούτοις κατεργασίαν τε καὶ ἀνάδοσιν εἰς πᾶν τὸ σῶμα, ἐξυδαροῖ αὐτήν, καταψυχθεῖσα δὲ παρεγχεῖται μεταξὺ ἐντέρων καὶ περιτοναίου. κατὰ δὲ Ἱπποκράτην καὶ αὕτη μὲν ἀνίατος, εἰ δὲ καὶ ἄνευ φλεγμονῆς γινόμενον ὕδερον καὶ μάλιστα τὸν ὑποσαρκίδιον τοῦ ἐμφύτου θερμοῦ καταψυχομένου, καὶ οὐκέτι κρατοῦντος τὴν ἐν τοῖς ἀγγείοις τροφήν. διὸ καταψυχόμενον τὸ αἷμα ἐξυδαροῦται καὶ παραῤῥεῖ διὰ τῶν φλεβῶν, ὡς ἐκ τῶν ἀσκῶν τὸ ἔλαιον, διαπιδήσει. μέχρι μὲν γὰρ ἐν ταῖς φλεψὶν αἷμα ἐστὶν ἀκριβῶς, ὑπὸ τοῦ σώματος τῶν φλεβῶν συνέχεται. ὅταν δὲ ἡ ἐν αὐτῷ λιπαρότης πλεονάσῃ, ὡς ἐπὶ τῶν πιμελωδῶν, παρεγχεόμενον ὑπὸ πιμελὴν ποιεῖ. ἢ ἐξυδατούμενον τὸ αἷμα, ἢ μὴ στεγνούμενον διαῤῥεῖ, ἢ εἰς τὸν μεταξὺ τόπον τῶν ἐντέρων καὶ τοῦ περιτοναίου, ἢ κατὰ πᾶν τὸ σῶμα. ἴασις δὲ τῶν δύο ἑτέρων ὑδρώπων, ἢ διὰ μαλαγμάτων ἀναξηραινόντων, ἢ διὰ φαρμάκων διουρητικῶν, ἢ διὰ καθαρτικῶν ὑπηλάτων. Νεφροὶ δὲ πεπονθότες ἀλγήματα μὲν σφοδρὰ ἐπιφέρουσι, δυσδιάκριτος δὲ ἐπ' αὐτῶν ὁ πεπονθὼς τόπος, διὰ τὸ συμπεφυκέναι αὐτοὺς τοῖς ἔξωθεν σώμασι, καὶ ἐπικεῖσθαι τὸ κῶλον αὐτοῖς. διὸ ἐν πόνῳ γινόμενοι, φαντασίαν παρέχουσι φλεγμονῆς ἤτοι περὶ τὰ ἐκτός, ἢ κωλικῆς διαθέσεως. πολλάκις δὲ καὶ κώλῳ συμπάσχουσιν οἱ νεφροί. πάθη δὲ συνίστανται περὶ νεφροὺς ταῦτα, φλεγμονή, ἕλκωσις, λιθίασις, πάρεσις. φλεγμονῆς μὲν οὔσης, οὐδὲν διασημαίνει δι' οὔρων. ἀλλὰ μᾶλλον ἀλγήματα ἐπιφέρει, οὐκ ἀκριβῶς ἐπιφαίνοντα τὸν πρωτοπαθοῦντα τόπον δι' ἃ ἔφαμεν. δυσπαραμύθητοι δὲ αἱ ὀδύναι, οὔτε καταπλάσμασιν εἴκουσαι, οὔτε τῇ διὰ συκύας ἀφαιρέσει ἐνδιδοῦσαι, μόνοις δὲ εὐπορίστοις ἔνδοθεν διδομένοις τισὶ νεφριτικοῖς φαρμάκοις. εἰ δὲ ἕλκωσις εἴη, ὅτε μὲν πυώδη διὰ τῶν οὔρων ἀποκρίνεται, ὅτε δὲ αἱματώδη. λιθιάσεως δὲ οὔσης ὅτε μὲν αἱματώδη ἀποκρίνεται, τραχυνομένων τῶν σωμάτων ὑπὸ τοῦ λίθου. ὅτε δὲ ψαμμία ὑφίστανται τοῖς οὔροις, εἰ εὔθρυπτος εἴη ὁ λίθος, ἢ καὶ γενέσεως ἀρχὴν ἔχει. ἐπὶ δὲ παρέσεως αἱματῶδες τὸ οὖρον ἀποδίδοται, ὡσανεὶ οὐ διακρινόμενον. Περὶ δὲ τὴν κύστιν ταῦτα συνίσταται τὰ πάθη. πάρεσις, πυτηρίασις, λιθίασις ἕλκωσις, περὶ τὸν τράχηλον μάλιστα. ἐπισυμβαίνει δὲ τούτοις, ἰσχουρία, στραγγουρία, δυσουρία, ἀπό τε τούτων καὶ ἐξ ἄλλων αἰτιῶν. φλεγμονὴν μὲν οὖν δηλοῖ τὰ περὶ τὸ ἐφήβαιον ἀλγήματα καὶ δυσχέρεια περὶ τὴν τοῦ οὔρου ἔκκρισιν. λύει δὲ φλεγμονὴν κύστεως κατάπλασμα καὶ ἐπιβροχαὶ καὶ ἔνδεια τροφῆς. εἰ δὲ ὑπερβάλλει, καὶ ἀφαίρεσις αἵματος διὰ φλεβοτομίας. ἕλκωσιν δὲ σημαίνει, ποτὲ μὲν αἱματώδη ἐκκρινόμενα, ποτὲ δὲ πυώδη, ἔστι δὲ ὅτε μυξώδη, καὶ τὰ περὶ τὸ ἐφήβαιον ἀλγήματα. ἴασις δὲ διὰ τῶν ἐπιθεμάτων, καὶ μάλιστα γλυκυχυμία καὶ εὔχυμος τροφὴ προσφερομένη. καὶ τὰ ἔνδοθεν διδόμενα πρὸς ἕλκωσιν κύστεως, καὶ τὸ Βιασίνου φάρμακον. πάρεσιν δὲ κύστεως δηλοῖ μὲν καὶ ἡ τῶν οὔρων ἀπροαίρετος ἔκκρισις. δυσίατον δέ, ἢ καὶ ἀνίατον τὸ πάθος. λίθον δὲ ἐν κύστει ὄντα σημειοῦνται μὲν ἀκριβέστατα οἱ δάκτυλοι καθιέμενοι εἰς τὸ ἀπευθυσμένον ἐπὶ τῆς ἕδρας, ὥστε ἐπικάμπτεσθαι τὸν λιχανὸν δάκτυλον ἐπὶ τὸν μέσον τοῖς ἄκροις, καὶ ἐπὶ τὸ ἔμπροσθεν ἐπὶ τὴν κύστιν ἔνθα καὶ ἐντυγχάνουσι τῷ λίθῳ ἐμπλέοντι, καὶ ἀναφέρουσιν αὐτὸν εἰς τὸν τράχηλον τῆς κύστεως. λίθων δὲ διαφοραὶ πλείονες. οἱ μὲν γὰρ αὐτῶν προσφυεῖς, οἱ δὲ ἀπόλυτοι. καὶ οἱ μὲν εὔθραυστοι. οἱ δὲ δύσθραυστοι. δυσίατοι μὲν οὖν, ὡς ἐπὶ τὸ πολύ, οἱ προσφυεῖς. τῶν δὲ ἄλλων τοὺς μὲν εὐθραύστους τὰ φάρμακα δύνανται διαλύοντα ἐκκρίνειν. τοὺς δὲ στερεοὺς καὶ δυσλύτους οἱ χειρουργοὶ κομίζονται, διαιροῦντες τῆς κύστεως τὸ σαρκοειδὲς τοῦ τραχήλου. ἰσχουρία μὲν οὖν ἐστὶν ἡ τελεία ἐποχὴ τῶν οὔρων. στραγγουρία δὲ ἡ κατὰ στράγγα οὔρησις. καὶ δυσουρία τὸ αὐτὸ ὑπὸ μόνον ποιοῦσα, δυσχέρειαν τοῦ ἀπουρεῖν. γίνεται δὲ ταῦτα διὰ πολλὰς αἰτίας, ὅτε μὲν διὰ τῶν λίθων ἐσφηνωμένων τῷ τραχήλῳ τῆς κύστεως καὶ τελέως ἐμφράττοντα τὸν πόρον, ἢ ἐνδόν τι καταλείποντα, ἢ ἐνεχόμενον τῇ κύστει. γίνεται δὲ ἰσχουρία διὰ φλεγμονὴν κύστεως ὑπερβάλλουσαν, καὶ διὰ πλήρωσιν ἄμετρον, οὐ δυναμένης περισταλῆναι τῆς κύστεως, καὶ διὰ δριμύτητα τῶν οὔρων τοῦ τραχήλου ἀκριβῶς συστελλομένου τῇ δήξει, καὶ διὰ θρόμβον αἵματος ἀποκλείοντα τὴν δίοδον, καὶ διὰ παχύτητα οὔρων προσισχομένων   αὐτὴν παχύτητα   σκευάζομεν θρόμβον διαλύειν τοῖς δυναμένοις πίνειν. τὴν δὲ πλήρωσιν κινοῦσι τῷ ἐρασιστρατείῳ καθετῆρι. ἔστι δὲ οὗτος προσεοικὼς τῷ ῥωμαϊκῷ σίγμα. Ἡ δὲ περὶ κοιλίαν καὶ ἔντερα ἀρχὴ ὁ στόμαχος ἐστὶ καὶ κατὰ φύσιν ἐχόντων καὶ παρὰ φύσιν διατιθεμένων. στομάχου τοίνυν παθήματα, φλεγμονή, ἕλκωσις, αἵματος ἀναγωγή, ἐμπνευμάτωσις, πλάδος, ἀνορεξία, ἀκράτεια τῶν προσφερομένων. φλεγμονὴν μὲν οὖν σημαίνει, τὸ ἄλγημα ἐγκείμενον. ἐπιμέλεια δὲ δι' ἐπιβροχῶν καὶ καταπλασμάτων, καὶ τροφῶν σιτωδῶν καὶ εὐδιοικήτων. ἕλκωσιν δὲ ἐν στομάχῳ δηλοῖ ἰδίως στῦψις καὶ δῆξις καὶ δυσκαταποσία. ἴασις δὲ διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων, καὶ διὰ τροφῶν εὐχύλων, αἷμα δὲ ἀπὸ στομάχου ἀναγόμενον ἐπέχει διδόμενα, τὰ πρὸς αἵματος ἀναγωγὴν τὴν ἀπὸ θώρακος, τὰ προγεγραμμένα. ἐμπνευμάτωσιν δὲ διαλύουσι στομάχου αἱ ἐξόποροι καὶ ὅσα ἐρυγὴν κινεῖ. πλάδον δὲ ἀναξηραίνει, ξηροφαγία τε καὶ ἀψινθίου πόσις. ἀνορεξία δὲ ἡ μέν τις γίνεται διὰ φλέγμα παρακείμενον, καὶ δεῖ ἀναξηραίνειν τὸ αἴτιον, ἢ διὰ χολὴν ἐπιπολάζουσαν καὶ δεῖ ἀνακαθαίρειν τὸν στόμαχον, ἢ ἀδυνατοῦντα τὴν φύσιν, ἐνέργειαν ἀποδιδόναι τὴν ὀρεκτικήν, ὡς καὶ ὀφθαλμοὺς ἀμβλυωπεῖν δι' ἀτονίαν τοῦ ὁρατικοῦ πνεύματος. πρὸς δὲ τὴν τοιαύτην ἀνορεξίαν χρὴ τὰ προκλητικὰ καὶ ὑπομνηστικὰ τῆς ὀρέξεως προσφέρειν. ἀκρατὴς δὲ γίνεται ὁ στόμαχος τῶν προσφερομένων καὶ διὰ πλάδον, μάλιστα δὲ δι' ἀτονίαν καὶ ἀσθένειαν, ὡς καὶ χεὶρ παρειμένη οὐκ ἴσχει, ὧν ἂν ἐφάπτηται. χρὴ οὖν τονοῦν αὐτὸν καὶ ἰσχυροποιεῖν, τό, τε ὅλον τὸ σῶμα ἀνατρέφειν. Περὶ δὲ κοιλίαν γίνεται μὲν πολλὰ τῶν περὶ τὸν στόμαχον, πλὴν τῆς ἀνορεξίας. τὸ δὲ μὴ πέττειν τὰ σιτία ἴδιον αὐτῆς, καὶ τὰ πλεῖστα περὶ αὐτὴν γίνεται, ᾧ πάθος ἕπεται ἡ διάῤῥοια. τὰ μὲν οὖν ἄλλα ὁμοίως ἰατέον τοῖς περὶ τὸν στόμαχον. τὴν δὲ διάῤῥοιαν ἀκριβῶς ἐξεταστέον διὰ τὴν αἰτίαν ἀπεφθείσης τῆς τροφῆς γίνεται. καὶ εἰ μὲν διὰ φλεγμονὴν καταπλάττειν καὶ ἐπιβρέχειν. εἰ δὲ διὰ φλέγμα παρακείμενον ποιοῦν τὸν πλάδον, ἀναξηραίνειν τῇ διαίτῃ τὴν ὑγρότητα. εἰ δὲ παρὰ χολῆς πλῆθος, τὴν χολὴν καθαίρειν. εἰ δὲ δι' ἀτονίαν ὡς τοῖς ἀτονοῦσι, τόνον ἐμποιεῖν τῷ σώματι. εἰ δὲ παρ' αὐτὴν τὴν ποιότητα τῶν προσενεχθέντων δυσπέπτων ὄντων, ἢ † ἀφθάρτων ἢ τι ἐχόντων ἀλλο-

τριον, ἀποθεραπεύσαντα παραιτεῖσθαι τὰ τοιαῦτα. δυσεντερία δέ ἐστι πάθος περὶ τὰ ἔντερα. γίνεται δὲ ἐπὶ διαῤῥοίαις χρονιζόντων τῶν διεφθαρμένων, καὶ διεξιόντων, καὶ ἑλκούντων τὰ ἔντερα. γίνεται δὲ καὶ ἄνευ διαῤῥοίας ἐξ ἀρχῆς ὑπὸ χυμοῦ τινὸς δριμέος διαφάγοντος τὸ ἔντερον. ἔστι δὲ ὅτε καὶ ἐπὶ λύσει νοσημάτων γίνεται ἡ δυσεντερία, ἣν ἀπαγορεύει ὁ Ἱπποκράτης ἰᾶσθαι μὴ ἐκ τῆς ἐποχῆς ἕτερόν τι μεῖζον ἐπιγίνηται νόσημα. τὴν μὲν οὖν ἐκ διαῤῥοίας γενομένην ἰᾶται τοῖς στέλλουσι καὶ ἱστᾶσι τὸ ῥεῦμα. τὴν δὲ ἐκ τινος δήξεως χυμοῦ δριμέος ἰᾶται τοῖς καταγλυκαίνουσι καὶ κατακεράσαι δυναμένοις, † ἐκλύζοντα τὰ αὐτὰ τὰ ἡλκωμένα τοῖς ὁμοίοις. χρονίζοντος μέντοι τοῦ πάθους νομώδη καὶ σεσηπότα εἴωθεν διαχωρεῖν, ὅτε ἁρμόζουσιν οἱ ἐνιέμενοι τροχίσκοι οἱ διὰ σανδαράκης, καὶ τιτάνου, καὶ ἀρσενικοῦ, καὶ τῶν τοιούτων συντιθέμενοι. μὴ ὄντων δὲ νομωδῶν τῶν διαχωρουμένων, μὴ χρῆσθαι τούτοις, ἐπεὶ σπασμὸν ἐπιφέρουσιν. εἰ δὲ καὶ ἀνωτέρω ἡ τοιαύτη ἕλκωσις τῶν ἐντέρων εἴη, οὐδὲ οὕτως χρηστέον τοῖς τροχίσκοις. οὐ γὰρ φθάνουσιν ἐπὶ τὰ πεπονθότα ἐξικνεῖσθαι. τῶν γὰρ ὑγιεινῶν καθαπτόμενοι, ὄλεθρον ἐργάζονται, ἀνωτερικοῖς δὲ φαρμάκοις χρῆσθαι, τοῖς πρὸς δυσεντερίαν ἀναγεγραμμένοις. λειεντερία δὲ γίνεται μὲν ἀπὸ τῆς δυσεντερίας, ὅταν πολλῆς ἑλκώσεως οὔσης ἐπὶ τὰ ἔντερα οὐλαὶ πολλαὶ ἐπιγένωνται, δι' ἃς οὐ κρατεῖ τὰ ἔντερα τῆς τροφῆς ὅταν λειεντερία εἴρηται ἐκ τῆς περὶ τὰ ἔντερα λειότητος. διὸ καὶ ἀνίατος ἡ τοιαύτη λειεντερία. οὐλὰς γὰρ οὐκ ἔστιν ἰᾶν. χαλεπὴ δὲ καὶ δυσίατος ἡ δι' ἀτονίαν ἐντέρου γινομένη. ἐγχειρεῖν δὲ τῇ θεραπείᾳ, τόνον ἐντιθέντα τῷ τε ὅλῳ τῷ σώματι καὶ τοῖς ἐντέροις. γίνεται δὲ καὶ λειεντερία καὶ διὰ φλέγμα ἐπικλύσαν τὰ ἔντερα, καὶ ὄλισθον ἐμποιοῦν αὐτοῖς. καὶ δεῖ ἀναξηραίνειν ἀσιτίᾳ τε καὶ τροφῇ τῇ πρὸς φλέγμα ἀντιτασσομένῃ. τεινεσμὸς δὲ ἰδίως περὶ τὸ ἀπευθυσμένον γίνεται. φλεγμαῖνον γὰρ τοῦτο συνεχεῖς ἐντάσεις καὶ προθυμίας πρὸς διαχώρησιν ἐμποιεῖ, καὶ τοῦτό ἐστιν ὁ τεινεσμός. ἴασις δὲ διὰ πυριαμάτων κάτωθεν στυφόντων καὶ τροφὴ σιτώδης καὶ σταλτική. εἰ δὲ ἐπιμένει καὶ ἐνέματα διὰ πτισάνης χυλοῦ καὶ στέατος τραγείου χρηστέον. ἑλμίνθων δὲ πάθος ἐντέρων. τριττὸν δὲ εἶδος ἑλμίνθων. αἱ μὲν γὰρ στρογγύλαι σπιθαμιαῖαι τὸ μῆκος, ἢ καὶ μείζους αἳ καὶ μέχρι στομάχου νέμονται. αἱ δὲ βραχεῖαι, καὶ ἐμφερεῖς σκώληξι μακροτέροις, καλοῦνται δὲ ἀσκαρίδες, συνίστανται δὲ περὶ τὸ ἀπευθυσμένον. αἱ δὲ πλατεῖαι καὶ ἐπιμήκεις, ὥστε ὅλῳ τῷ ἐντέρῳ παρατείνονται. λέγονται δὲ καὶ κειρίαι ἐκ τοῦ ἐμφερεῖς εἶναι κειρίαις. ὁμοίως δὲ καὶ ταινίαι, εὐίατοι μὲν οὖν στρογγύλαι. πληθύουσι γὰρ ἐπὶ παιδίων. αἱ δὲ ἀσκαρίδες πλεονάζουσιν ἐπὶ τῶν προηβώντων, δυσίατοι δὲ καὶ δυσέκκριτοι, μόνον ὑπὸ τῶν δριμυφαγιῶν, καὶ φαρμάκων τῶν διὰ πικρᾶς συντεθειμένων καὶ ἐλαίου ὡς ἐπὶ τὸ πλεῖστον ἐμβαλλομένων. ἰσχιὰς δὲ καὶ ἀρθρῖτις καὶ ποδάγρα, μεγέθει μόνον ἀλλήλων διαφέρουσι, ταῖς δὲ αἰτίαις καὶ τοῖς τόποις τοῖς πρωτοπαθοῦσι τὰ αὐτά ἐστιν. ὑπό τε γὰρ φλέγματος, ὡς ἐπὶ πολὺ γίνονται καὶ περὶ τὰ νεῦρα συνίστανται, τὰ συνέχοντα τὰ ἄρθρα, καὶ τὴν κίνησιν αὐτοῖς παρέχοντα. ἀλλ' ἡ μὲν ἰσχιὰς περὶ τὸ ἄρθρον τὸ κατὰ ἰσχίον γίνεται. διατείνεται δὲ πολλάκις μέχρι σφυρῶν. ἴασις δὲ διὰ φλεβοτομίας ἀπὸ σφυροῦ. καὶ διὰ σικύας ἀπὸ τοῦ ἰσχίου, καὶ διὰ κλυσμῶν δριμέων, καὶ δι' ἃ δυσεντερίας τρόπον τινὰ ποιοῦσι, καὶ τὰ ἔξωθεν καταπλάσματα ἄκοπα καὶ μαλάγματα. ποδάγρα δὲ περὶ μόνους τοὺς πόδας συνίσταται, καὶ ἐπισημαίνει ἐν ἀκμῇ μὲν πυρετῶδες ἄλγημα, διὸ τῶν ἐμψυχόντων δεῖται, παρακμῇ δὲ ναρκῶδες, καὶ μετὰ ψύξεως, ὅθεν τῶν θερμαινόντων δεῖται. ἀρθρῖτις δὲ ταυτὸν πάθος τοῖς προειρημένοις περὶ πάντα τὰ ἄρθρα συνιστάμενον. φαρμάκων δὲ δεῖται θεραπευτικῶν τῶν ἀλιαινόντων κηρωμάτων, καὶ τῆς καταλλήλου διαίτης. ἡ δὲ ἐλεφαντίασις, τὸ πάθος, ἔχει τὸ ὄνομα ἀπὸ ὁμοιότητος τῆς πρὸς τὸν ἐλέφαντα. τὸ γὰρ δέρμα τῶν ἐν τῷ πάθει τούτῳ κατεσχημένων παχύτερόν τε καὶ σκληρότερόν ἐστιν, ἐμφέρειαν ἔχον πρὸς τὸ τοῦ ἐλέφαντος δέρμα. αἴτιον δὲ τοῦ πάθους, φλέγμα παχὺ καὶ χολὴ μέλαινα, ἡ βλεννώδης μάλιστα ἐναπειργομένη. οἱ γὰρ χυμοὶ οὗτοι θηριῶδες αὐτὸ ἀποφαίνουσιν. διὸ καὶ μόνη θεραπεία ἀνύσιμος ἐπὶ τῶν ἐλεφαντιώντων, ἡ δι' ἐλλεβόρου λευκοῦ καὶ μέλανος. ὁ δὲ λειχὴν, πάθος μὲν καὶ αὐτὸς δέρματος. διττὸν δὲ εἶδος λειχῆνος, ὁ μὲν ἥμερος καὶ πρᾳότερος, ὁ δὲ ἄγριος καὶ χαλεπώτερος. ἀφίστανται δὲ ἐπὶ τούτων καὶ λεπίδες τοῦ δέρματος καὶ ὁ ὑπὸ τὰς λεπίδας τόπος ἐνερευθέστερος καὶ ἐγγὺς ἡλκωμένου φαίνεται. γίνεται δὲ τὸ πάθος ὑπὸ φλέγματος ἁλμυροῦ καὶ χολῆς τῆς ξανθῆς, ἔνθεν ὡς ἐπὶ τῶν ἁλμῶν τῶν κεραμίων ἀφίστανται τοῦ δέρματος αἱ λεπίδες. ἴασις δὲ ἥτε διὰ φαρμάκων φλεγμαγωγῶν, καὶ τῶν ἔξωθεν ἐπιχρίστων. λέπρα δὲ πάθος μὲν καὶ αὐτὴ δέρματος ἐπὶ τὸ λευκότερον καὶ τραχύτερον τρεπόμενον. ἡ δὲ τραχύτης οἷον ψιδρακίων ἐπανεστώτων. ἡ δὲ ψώρα ἐστὶν ἑλκωδεστέρα. γίνεται δὲ ἑκάτερον ἰδίως ὑπὸ φλέγματος ἁλμυροῦ. ἴασις δὲ ἥδε διὰ φλεγμαγωγῶν φαρμάκων, καὶ τῶν ἔξωθεν ἐπιχρισμάτων, ὅσα πρὸς λέπραν καὶ ψώραν ἀναγέγραπται. ὁ δὲ ἀλφὸς διττόν ἐστι πάθος, ὁ μὲν λευκὸς ὁ δὲ μέλας. γίνεται δὲ ὁ μὲν μέλας ὑπὸ μελαίνης χολῆς. διὸ καὶ μελαγχολικὰ τὰ πολλὰ ῥύεται. ὁ λευκὸς δὲ ὑπὸ φλέγματος γίνεται οὐχ ἁλυκοῦ. ἡ δὲ λεύκη ὅμοιον μὲν τὸ πάθος ἀλφῷ λευκῷ, μᾶλλον δὲ ἐπισημαίνει γοῦν λευκοτάτην. λέπρας δὲ διαφέρει τῷ λεῖον εἶναι, καὶ μὴ τραχύνεσθαι τὸ δέρμα ὡς ἐπὶ λέπρας. ῥύεται δὲ τούτων ἁπάντων τὰ φλεγμαγωγὰ φάρμακα, καὶ τὰ ἔξωθεν σμήγματα.

† αλ. ἐκκλύζων τε

περὶ διαιρέσεως τῆς διὰ φαρμάκων θεραπείας.

Η δὲ φαρμακεία διττή ἐστιν, ἡ μὲν πρὸς τὰ ἐντὸς πάθη ᾗ μάλιστα χρῆται ὁ διαιτητικός. ἡ δὲ πρὸς τὰ ἐκτὸς, ἧς οὐκ ἄνευ συντελεῖται τὰ κατὰ χειρουργίαν. τῆς μὲν οὖν πρὸς τὰ ἐντὸς φαρμακείας εἴδη ἐστὶ δεκαδύο. τὸ μὲν τῶν ἐν τῇ κεφαλῇ παθῶν. τὸ δὲ τῶν στοματικῶν. τὸ δὲ τῶν πεπτικῶν. τὸ δὲ τῶν βηχικῶν. τὸ δὲ τῶν ἀνωδύνων, τὸ δὲ ἀλεξιφαρμάκων. τὸ δὲ τῶν καθαιρόντων. τὰ μὲν ἡπατικὰ ἰδίως. τὰ δὲ σπληνικά. τὰ δὲ νεφριτικά. τὰ δὲ πρὸς τοὺς ἐν τῇ κύστει λίθους καὶ ἕλκη. τὰ δὲ πρὸς ὕδερον. τὰ μὲν δὴ στοματικά ἐστι τὰ δὲ, πρὸς οὖλα αἱμασσόμενα, σηπόμενα, βεβρωμένα, καὶ ὀδόντας καὶ ὅσα πρὸς ἄφθας καὶ ἐσχάρας, ὅσα τε πρὸς σταφυλὴν κεχαλασμένην. τῶν δὲ πεπτικῶν. τὰ μέν ἐστι πρὸς ἀτονίαν στομάχου ἢ κοιλίας. τὰ δὲ πρὸς ἐμπνευματώσεις τούτων. † τὰ δὲ πρὸς πλευριτικοὺς, ἢ περιπνευμονικούς. τὰ δὲ πρὸς φθισικούς. τὰ δὲ πρὸς ἀσθματικοὺς, ἢ ὀρθοπνοϊκούς. τὰ δὲ πρὸς τραχύ-

† τὰ δὲ πρὸς αἵματος ἀναγωγήν

τητα τε

τοῦ τε ἀρτηρίας, καὶ φωνῆς ἐκκοπήν. τῶν δὲ ἀνωδύνων τὰ μὲν περὶ κεφαλαλγίας, τὰ δὲ περὶ κοιλίας ῥύσεις καὶ δυσεντερίας, καὶ πρὸς κωλικούς, καὶ εἰλεώδεις. κοινῶς δὲ πάντα πρὸς πᾶσαν ὀδύνην. τὰ δὲ ἀλεξιφάρμακα, τὰ μὲν ἁπλᾶ, ἄλλα πρὸς ἄλλο δηλητήριον. ἡ δὲ θηριακὴ πρὸς πάντα καὶ περιλαμβανομένη καὶ ἐπιδιδομένη. τῶν δὲ καθαιρόντων. τὰ μὲν ἄνωθεν καθαίρει, ὡς τὰ διὰ ἐλλεβόρου, καὶ ἐμετικὰ πάντα. τὰ δὲ κάτωθεν παραλαμβάνεται, ὡς τὰ διὰ σκαμμωνίας καὶ ἀλόης καὶ ἐλατηρίου καὶ κολοκυνθίδος καὶ εὐφορβίου καὶ κόκκου κνιδίου καὶ τῶν τοιούτων. τρίτα δὲ τούτοις τετάχθω καὶ τὰ πρὸς ἕλμινθας πλατείας, οἷά ἐστι τὸ διὰ κέρατος ἐλαφείου, καὶ ἡδυόσμου, καὶ πεπορέως. ἔστι δὲ καὶ τέταρτον εἶδος τῶν κεφαλὴν μόνην καθαιρόντων διὰ στόματος καὶ ῥινῶν ἃ παραλαμβάνεται ἰδίως ἐπί τε τῶν ἐν τῇ κεφαλῇ καὶ τοῖς ὀφθαλμοῖς παθῶν, καὶ τὰ πλεῖστα ἐπὶ ἰκτέρων. ἁρμόζουσι δὲ αἱ μὲν διὰ τῶν ἄνω καθάρσεις πρὸς ἀνασκευὴν τῶν χρονίων. καιρὸς δὲ αὐτῶν τὰ διαλείμματα. αἱ δὲ κάτωθεν πρὸς τὰ ὀξέα νοσήματα κατάλληλοι, πλευρίτιδας καὶ περιπνευμονίας. καιρὸς δὲ αὐτῶν πάντων ἡ ἄνεσις τῶν ἐπὶ μέρους παροξυσμῶν.

Τῆς δὲ πρὸς τὰ ἐκτὸς φαρμακείας, εἴδη ἐστὶν ἕνδεκα. τὰ μὲν γὰρ αὐτῶν διαφορητικά, τὰ δὲ συμπεπτικά, τὰ δὲ ἔναιμα, τὰ δὲ πυοποιά, τὰ δὲ ἀνακαθαρτικά, τὰ δὲ ἀναπληρωτικά, τὰ δὲ κατασταλτικά, τὰ δὲ ἐπουλωτικά, τὰ δὲ ὀφθαλμικά, τὰ δὲ ἐν ὅλῳ τῷ σώματι, τὰ δὲ καυστικά, ἐπὶ ἐρυσιπέλατα, καὶ ἕρπητας καὶ ἄνθρακας, τὰ δὲ εἰσὶν ἀλείμματα ἀκοπά τε καὶ θερμαντικά, πρὸς παραλύσεις ποιοῦντα, καὶ ἀρθριτικοὺς καὶ ποδαγρικοὺς καὶ πᾶσαν νεύρων † πῆξιν, καὶ τετανικοὺς καὶ ὀπισθοτονικούς. τὰ δὲ σμηκτικὰ τῶν εἰς τὴν ἐπιφάνειαν ἐξανθούντων, αλ. τῆξιν λεύκης, ἀλφοῦ, λειχῆνος, καὶ λέπρας. τὰ οὖν διαφορητικὰ καὶ συμπεπτικὰ ἐπὶ φυμάτων καὶ παντὸς ἀποστήματος τοιούτου ἁρμόζει. διαφορητικαὶ δέ εἰσιν αἱ διὰ ἁλῶν πᾶσαι, καὶ ὅσαι διὰ νίτρου, ὡς τὸ Κτησιφῶντος. συμπεπτικὰ δὲ τὰ διὰ ῥητίνης καὶ χαλβάνης καὶ ἀμμωνιακοῦ θυμιάματος, τῶν δὲ ἐναίμων φαρμάκων, αἱ μὲν φαιαὶ ἐπὶ τῶν κατὰ τοῦ σώματος προσφάτων τραυμάτων ἁρμόζουσιν. αἱ δὲ ἰδίως χλωραὶ καὶ μέλαιναι, ὡς ἡ βάρβαρος πρός τε τὰ ἐν τῇ κεφαλῇ καὶ πρὸς τὰ κυνόδηκτα. ἐπὶ δὲ ἑλκῶν, τοῖς μὲν πυοποιοῖς ἐπὶ τῶν φλεγμαινόντων χρηστέον, ὡς τῇ τετραφαρμάκῳ. τοῖς δὲ ἀνακαθαίρουσιν, ἐπὶ τῶν ῥυπαρῶν, ὡς τῇ χλωρῇ ἀνειμένῃ. τοῖς δὲ ἀναπληροῦσιν, ἐπὶ τῶν κοίλων. τοῖς δὲ καταστέλλουσιν ὡς ἐπὶ τῶν ὑπερσαρκούντων, ὡς τοῖς διὰ μίσυος καὶ λεπίδος, ἃ καὶ ἐπὶ τῶν δυσεπισχέτων αἱμορραγιῶν ἁρμόζει. τοῖς δὲ καυστικοῖς ὁ, τε μὲν πρὸς τὸ διελεῖν καὶ ἀναπτύξαι σώματα χρώμεθα, ὡς ἐπὶ τῶν ἀποστημάτων τὴν περιοχήν, ὁ τε δὲ ἐπὶ τῶν κεχαλασμένων βλεφάρων αὐτὶ ἀναρραφῆς, ἀφαιροῦντες τὸ σύμμετρον τῆς ὅλης ἀνασπῶμεν τὸ κεχαλασμένον. ὁ τε δὲ ἐπὶ κεφαλαίας δυσιάτου παραλαμβάνομεν διὰ βαθείας ἐσχάρας μεταβάλλοντες εἰς τὰ ἐκτὸς ῥεύματα. ὕλη δὲ τῶν καυστικῶν κονία, ἄσβεστος ζῶσα, καὶ ἀρσενικόν, καὶ σανδαράχη, καὶ φέκλα, καὶ τὰ τοιαῦτα. τῶν δὲ κεφαλικῶν, τὸ μὲν πρὸς ἀχῶρας καὶ πίτυρα καὶ ἐκβράσματα ἁρμόζει. τὰ δὲ πρὸς κεφαλαλγίαν, καὶ ἑτεροκρανίαν. τῶν δὲ ὠτικῶν τὰ μὲν πρὸς φλεγμονὴν ὤτων. τὰ δὲ πρὸς ἕλκωσιν. τὰ δὲ πρὸς ἐπιρρέοντα. τὰ δὲ πρὸς δυσηκοΐαν. δὲ πρὸς ὦτα τεθλασμένα. τῶν δὲ ὀφθαλμικῶν φαρμάκων εἴδη εἰσὶν ἑπτά. τὰ μὲν γὰρ πρὸς ἀρχομένας ὀφθαλμίας ἁρμόζει, ὡς διὰ τὰ γλαυκίου καὶ τὰ διὰ κρόκου, καὶ τὰ κυκνάρια. τὰ δὲ πρὸς τὰς διαθέσεις ὡς τὰ νάρδινα καὶ τὰ θεοδότια καλούμενα. τὰ δὲ πρὸς ῥεύματα, ὡς τὰ διὰ λιβάνου καὶ ἀκακίας καὶ ἰτέας καρποῦ. τὰ δὲ πρὸς τραχώματα ὡς τὰ διὰ τῶν μεταλλικῶν, οἷον κεκαυμένου χαλκοῦ καὶ χαλκίτεως καὶ λεπίδος χαλκοῦ. πέμπτον δέ ἐστι, τὸ πρὸς ξηροφθαλμίας καὶ ψωροφθαλμίας, εἶδος τῶν κολλυρίων καὶ ξηρῶν ὀξυδερκικῶν, ἃ περὶ αὐτῆς ὕλης ἐστὶν τοῖς περιγεγραμμένοις. ἕκτον δὲ τῶν ὑγρῶν εἶδος τῶν πρὸς ὑποχύσεις ἀναγεγραμμένων, ἃ διὰ χολῶν σκευάζονται, καὶ μάλιστα δι' ὑαίνης. ἕβδομον δὲ τὸ τῶν καταπλασμάτων εἶδος, ἃ παραλαμβάνεται ἐπὶ τῶν ἄκρως φλεγμαινόντων ὀφθαλμῶν καὶ περιωδυνούντων. ἔστι δὲ τὰ δὲ διὰ μελιλώτων καὶ γλυκέος καὶ τήλεως καὶ τὰ τοιαύτης ὕλης. περιχρίομεν δὲ τὰ βλέφαρα ἐν ἀρχῇ μὲν τοῖς ἀποκρουστικοῖς οἷά ἐστι τὰ διὰ γλαυκίου, καὶ τοῖς διὰ κρόκου, καὶ αὐτῷ μόνῳ γλαυκίῳ. ἐπὶ δὲ τῶν ἐνδιατεθέντων τοῖς ἀναξηραίνουσι καὶ παραμυθουμένοις οἷον ναρδίνοις καὶ θεοδοτίοις. ὅσα δὲ πρὸς εὐμορφίαν ἐπιχρίεται, ὡς τὰ διὰ σάνδυκος καὶ ἡδυχρόου, οὐκ ἰατρικῆς ἀλλὰ καλλωπιστικῆς ἐστιν ἴδια.

περὶ τῶν ἐν ὀφθαλμοῖς συνισταμένων παθῶν.

Πάθη περὶ μὲν τὸν ὅλον ὀφθαλμὸν συνίσταται τάδε. τάραξις, ὀφθαλμία, ἐπιφορά, φλεγμονή, οἴδημα, ἐμφύσημα, σκίρρωσις, χύμωσις, ἄνθραξ, στραβισμός, σπασμός, παλμός, μυωπίασις, γάγγραινα, σηπεδών, ἕλκος, σύριγξ, ξηροφθαλμία, ψωροφθαλμία, σκληροφθαλμία, πρόπτωσις, ἀτροφία. περὶ δὲ τοὺς ὑμένας τάδε. ῥῆξις, διάβρωσις, διάτασις, ἀναστόμωσις, παχύτης, πυκνότης, ῥύσσωσις, ἔκτασις, ἀραιότης. περὶ δὲ τὰ ἐντὸς τῶν βλεφάρων, τραχύτης, παχύτης, σύκωσις, τύλωσις, σκληρία, χαλάζωσις, πλαδαρότης, μύδησις, σάρκωσις, πωρίασις. περὶ δὲ τὰ ἐκτὸς τῶν βλεφάρων ὑδατίδες, λιθίασις, φθειρίασις, μελικηρίς, γάγγραινα, φύματα, κολοβώματα. περὶ δὲ τὴν στεφάνην, κειθὴ καὶ ποσθία. τριχίασις, διστιχία, τριστιχία φαλάγγωσις, πύρωσις, πτίλωσις, ψωρίασις, μαδαρότης, παράλυσις. κοινῶς δὲ πρὸς ὅλα τὰ βλέφαρα, παράλυσις πρόπτωσις, ἐκτροπή. περὶ δὲ τοὺς κανθούς, ἐγκανθίς, ἀγκύλη, πτερύγιον, ῥοιᾶς πρόσφυσις. ἔξωθεν δὲ αἰγίλωψ, ἀγχίλωψ. περὶ δὲ τὸ λευκὸν ψυδράκιον, ἕλκος, ὑπόσφαγμα, ἀπόστασις, χήμωσις, κοίλωμα πτερύγιον, φάκωσις, ἴκτερος, πῶρος. περὶ δὲ τὴν ἶριν, ἄργεμον, νεφέλιον, ἀχλύς, ἐπίκαυμα, ἕλκος, βόθριον. φλυκτίς, μυοκέφαλον, σταφύλωμα, ὑπόπυον, ῥῆξις, οὐλή, λεύκωμα, κοίλωμα, πρόπτωμα, ὄνυξ, πύωσις, ἑλκωσις περὶ δὲ τὴν κόρην ὑπόχυσις, γλαύκωσις, μυδρίασις, φθίσις, σύγχυσις, πλατυκορίασις, ἀμαύρωσις, ῥυτίδωσις, νυκτάλωψ, ἡμεράλωψ, μυωπίασις, διαπύησις. περὶ δὲ τοὺς πόρους, ἀπόρρηξις. περιέμπτωσις. σύμπτωσις. ἀνθράκωσις. τάραξις μὲν οὖν ἐστιν ὅταν † συγκινηθεὶς ὁ ὀφθαλμὸς ὑπὸ πολλαῖς καὶ μετρίως ἐπὶ τὸ ἐρυθρότερον καταστῇ τελέως. † αλ. συστραφείς Ὀφθαλμία δέ ἐστιν, ὅταν τὸ λευκὸν ἐνερευθὲς ᾖ καὶ τὰ βλέφαρα ἐπηρμένα μετὰ τῆς τήν τε μύσιν τῶν βλεφάρων ἀπαλγῆ εἶναι καὶ τὴν τῶν χειρῶν ἐπαφὴν ἐπώδυνον. φλεγμονὴ δέ ἐστιν ἐπίτασις τοῦ

τε ἐρυθήματος καὶ τῆς ἐπάρσεως τῶν βλεφάρων, ὡς ἐπιπόνως ἀναβλέπειν. ἐπιφορὰ δὲ κοινὸν ὄνομα ἐπὶ παντὸς τοῦ σώματος καὶ φλεγμονῆς σφοδρᾶς ἐπιφερομένης, καὶ ῥευμάτων λάβρων ἐπιρρεόντων. ἰδίως δὲ ἐπὶ ὀφθαλμῶν λέγεται ἐπειδὰν μετὰ φλεγμονῆς μεγίστης καὶ ῥεύματος πλῆθος ἐπιρρέῃ. Οἴδημα δὲ ἐστὶν ὅταν ἐπηρμένος καὶ ἀχρούστερος, ἢ καὶ δυσκίνητος ἐπιφαίνηται. ἐνίοτε δὲ καὶ λευκὸν ὑπὲρ τὸ μέλαν ἐπαίρηται. Ἐμφύσημα δὲ ἐστὶν ὅταν ἄφνω οἰδήσας ὁ ὀφθαλμὸς ἀχρούστερος καὶ φλεγματωδέστερος γένηται. γίνεται δὲ ὡς ἐπίπαν πρεσβύταις μάλιστα θέρους. Σκίρρωσις δὲ γίνεται κατ' ἐπίτασιν φλεγμονῆς χρονίου, τῆς σαρκὸς αὐξανομένης καὶ ὑποπελιαζούσης. Ῥευματίζεται δὲ ὁ ὀφθαλμὸς ὅταν μὴ μόνον ἐρυθρὸς ᾖ, ἀλλὰ καὶ ὅταν πολὺ δάκρυον ἐκκρίνει. ξηροφθαλμία δὲ ἐστὶν, ὅταν οἱ κανθοὶ ἑλκώδεις καὶ τραχύτεροι καὶ κνισμώδεις εἰσὶν, καὶ τὰ βλέφαρα ἐρυθειᾶ, καὶ δάκρυον ἁλμυρὸν καὶ νιτρῶδες διαστάζει. Σκληροφθαλμία δὲ ἐστὶν ὅταν τὰ βλέφαρα σκληρότερα ᾖ, καὶ αὐτὸς ὁ ὀφθαλμὸς δυσκίνητος καὶ ἐνερευθής. πρόπτωσις δὲ ἐστὶν ὅταν ὁ ὀφθαλμὸς κινητὸς μετὰ φλεγμονῆς προπέσῃ. Ἀτροφίαν δὲ λέγουσιν ὀφθαλμοῦ, ὅταν ἐξ ἀρρωστίας μακρᾶς, ἢ ἔκ τινος ἀδήλου αἰτίας, ὡς παρ' ὀλίγον ἐξωθούμενος, εἶτα κοιλαινόμενος κατὰ τὰς ῥίζας ἀλγῶν μικρότερος γίνεται καὶ ἀμυδρῶς ἢ μηδόλως βλέπῃ. Τραχέα δὲ τὰ βλέφαρα λέγεται ὅταν ἐκστραφέντα ἐναιμότερα φαίνηται καὶ τραχύτερα καὶ σαρκωδέστερα καὶ κεγχραμίσιν ὅμοια. παχέα δὲ βλέφαρα, τὰ ἐκστραφέντα τῶν κατὰ φύσιν καὶ σκληρότερα καὶ σαρκωδέστερα τῶν τραχέων φαινόμενα. Σύκωσις δὲ ἐστὶν ὅταν τὸ ἐντὸς τῶν βλεφάρων σαρκωθείη σαρκὶ παραπλήσιον μετὰ ὑποβροχῆς, καὶ ὁ ὀφθαλμὸς ἅπας δυσκίνητος ᾖ. Τύλωσις δὲ ἐστὶν ὅταν τὰ ἐν τοῖς βλεφάροις τραχώματα διὰ παλαιότητα παχύτερα καὶ λευκότερα καὶ δυσαίσθητα ᾖ. καὶ διὰ τοῦτο δυσαπότριπτα γίνηται.

Σκληρίασις δὲ ἐστὶ ἔπαρμα μετ' ἐρυθήματος ἐπὶ τὸ βλέφαρον καὶ ὀδύνης, δυσαποτριπτότερον καὶ χρονιώτερον φλεγμονῆς. χαλάζωσις δὲ ἐστὶ περιφερῆ τινα ἔνδοθεν τοῦ βλεφάρου ἐπάρματα περιγεγραμμένα ἐοικότα τῇ χαλάζῃ. πλαδαρότης δὲ ἐστὶν μαλακὰ οἷον σώματα παλαιά γε καὶ ἀκροσύστατα κατὰ τὰ ἐντὸς τῶν βλεφάρων οὔπω τὸ τραχὺ ἔχοντα, διὸ πλαδαρότης καλεῖται. Μύδησις δὲ κοινὸν ὄνομα ἐστὶ σωμάτων ἐκ σήψεως ἀπολλυμένων. γίνεται δὲ τὸ αὐτὸ τοῦτο καὶ περὶ τὰ βλέφαρα καὶ ὀγκωδέστερα φαίνεται καὶ συνεχῶς ῥευματίζεται, πλείονος πιμελῆς περὶ αὐτὰ γινομένης. Κριθὴ δὲ ἡ καὶ ποσθία, λέγεται ὅταν τὸ ἐντὸς τῶν βλεφάρων πρὸς ταῖς στεφαναίαις ὑπόπυον παράμηκες ὅμοιον κριθῇ κατὰ τὸ σχῆμα γένηται. γίνεται δὲ καὶ ἄλλα μείζονα κατὰ μέσα βλέφαρα κριθαὶ λεγόμενα. Λιθίασις δὲ ἐστὶν ὅταν ἐκστραφέντων τῶν βλεφάρων ὅμοια πώροις περὶ τὰ βλέφαρα ὑπάρχει λευκὰ καὶ παχέα καὶ οἷον λίθοις ἐμφερῆ νύσσοντα τὸν ὀφθαλμόν. Φθειριᾶν δὲ φαμὲν τὰ βλέφαρα ὅταν περὶ τὰ τετριχωμένα πλατεῖς πολλαὶ φθεῖρες σμικραὶ γίνωνται. διστιχιᾶν δὲ λέγεται ὁ ὀφθαλμὸς ὅταν ὑπὸ τὰς κατὰ φύσιν τρίχας ἄλλαι ὑποφυεῖσαι νύσσωσι τὸν ὀφθαλμὸν καὶ ῥευματίζωσι.

Πτίλωσις δὲ ἐστὶν, ὅταν ἄλλαι μὲν ὑποφύουσιν, αὗται δὲ αἱ κατὰ φύσιν συμπεσοῦσαι καὶ κατακλασθεῖσαι νυγμοὺς παρέχουσι. Φαλάγγωσις δὲ ἐστὶ, ὅταν διστιχία, ἢ τριστιχία τῶν ὑποφυομένων τριχῶν, ᾖ, ἐν τῷ ἄνω, ἢ ἐν τῷ κάτω βλεφάρῳ. Παραλελύσθαι δὲ λέγεται ὁ ὀφθαλμὸς, ὅταν αὐτὸν ἐπιλείπωσιν αἱ φυσικαὶ κινήσεις, καὶ μὴ δύνηται ἀναβλέπειν ἢ κάτω βλέπειν, ἀναίσθητος δὲ ᾖ, πολλάκις δὲ καὶ περὶ μέρη τινὰ τοῦ ὀφθαλμοῦ τοῦτο συμβαίνει. Ἐκτετράφθαι δὲ λέγουσι τὰ βλέφαρα, ὅταν ἐπὶ πλέον ἐκτραπῇ ἑλκωθέντων ἐξ ὀφθαλμῶν. ἐγκανθίδα δὲ λέγουσιν ὅταν ἐξ ἑλκώσεως ὑπερσαρκώσῃ ὁ κανθὸς πρὸς τὴν ῥῖνα. πάσχουσι δὲ τοῦτο μάλιστα οἱ θαλασσουργοί. Πτερύγιον δὲ λέγουσιν ὅταν ἐπὶ πλέον ἑλκωθέντος καὶ ὑπερσαρκώσαντος τοῦ λευκοῦ ὑμὴν λεπτὸς καὶ νευρώδης ἐπιδράμῃ τὸν ὀφθαλμὸν, ἀρξάμενος ἀπό τινος τῶν κανθῶν ἕως τοῦ μέλανος καὶ τῆς κορυφῆς ἐφάψηται. Ῥοιὰς δὲ ἐστὶν ἐπὶ ὀφθαλμῶν, ὅταν ἔκ τινος αἰτίας ἀδήλου ὁ κανθὸς περιελθῇ, ἢ ἐκ χειρουργίας ἀρθῇ καὶ μηκέτι στέγειν τὸ δάκρυον οἷός τε ᾖ, ἀλλὰ ῥευματίζεται. Προσφύεται δὲ τὰ βλέφαρα ἢ τῷ λευκῷ ἢ τῷ μέλανι ἐξ ἑλκώσεως. καὶ ἐὰν μὲν τῷ μέλανι προσφυῇ τελέως κωλύει τὴν ὅρασιν, ἐὰν δὲ τῷ λευκῷ, ἧττον. καλεῖται δὲ ἀγκύλωσις. Αἰγίλωπα δὲ λέγουσι ἢ ἀγχίλωπα ὅταν ἀπόστημά τι γένηται πρὸς τῷ κανθῷ τῷ παρὰ τῇ ῥινὶ πύον περιέχον, ἢ λίπαινον τὸ ὀστέον συρρηγνύμενον, ἢ εἰς κανθὸν, ἢ εἰς ῥῖνα περιέχει τὸ ὑγρόν. Ψυδράκιον δ' ἐστὶ κοινῶς λεγόμενον περὶ πᾶν τὸ σῶμα, καὶ περὶ τὸ λευκὸν τοῦ ὀφθαλμοῦ γίνεται, οἷον ἐξάνθημα ἐξ ἄκρου ἐρευθές. ἕλκος δὲ γίνεται περὶ τὸ μέλαν ἢ τὸ λευκὸν, ὅταν ἡ ἐπιδερμὶς διαιρεθῇ μηνοειδὴς, ἢ στρογγύλη τὸ σχῆμα, κοιλότερον, ὁμόχρουν ἢ ὑπόλευκον. Ὑπόσφαγμα δὲ λέγουσιν ὅταν ὑπὸ πληγῆς ῥαγέντων τῶν ἐν τῷ πρώτῳ χιτῶνι ἀγγείων, μεταξὺ τῆς κτιδόνος τοῦ λευκοῦ καὶ τοῦ ἐντὸς χιτῶνος αἷμα ὑπελθῇ. καὶ παραχρῆμα μὲν ἔναιμον ᾖ τὸ χρῶμα τοῦ ὀφθαλμοῦ, ὕστερον δὲ πελιδνόν. Χήμωσις δὲ ἐστὶν ὅταν ἐκ φλεγμονῆς σφοδροτέρας ἀμφότερα τὰ βλέφαρα ἐκτραπῇ, καὶ μὴ ὅλον σκέπῃ τὸν ὀφθαλμόν. κυρίως δὲ χήμωσις λέγεται, ὅταν τὸ λευκὸν ἑκατέρωθεν τῆς ἴριδος φλεγμαίνῃ, κατὰ δὲ τὴν ἶριν κοιλαινόμενον ὅμοιον τοῖς σχήμασι τῇ καλουμένῃ χήμῃ. Κοιλώματα δὲ λέγεται ἐπὶ ὀφθαλμοῦ ὅσα στρογγύλα καὶ κοῖλα ἕλκη πλατύτερα τῶν βοθρίων γίνεται ἐν αὐτῷ περὶ τὴν ἶριν. Ἄργεμον δὲ ἐστὶν ὅταν κατὰ τὸν τῆς ἴριδος κύκλον καὶ τὸ λευκὸν, ἐνίοτε δὲ καὶ τὸ μέλαν ἕλκος γίνεται στρογγύλον καὶ ὑπόλευκον. Νεφέλιον δὲ ἐστὶ ἕλκος ἐπιπόλαιον καὶ μικρῷ μεῖζον ἀργέμου καὶ λευκόν. Ἀχλὺς δὲ ἐστὶ περὶ ὅλον τὸ μέλαν ἀπὸ ἑλκώσεως ἐπιπολαίου οὐλὴ λεπτοτάτη ἀέρι ἀχλυώδει παραπλησία. Ἐπίκαυμα δὲ ἐστὶν ὅταν ἐξ ἐπιπολῆς ἡ ἐπιδερμὶς ἐπικαυθεῖσα ἑλκωθῇ, ἢ καὶ βραχὺ βαθυτέρα γένηται ἐπιφορᾶς μεγάλης ἐγγινομένης. Βόθριον δὲ ἐστὶ ἕλκος κοῖλον, καθαρὸν, στενὸν, κεντήμασι στρογγύλοις ὅμοιον, βαθύτερον ἑλκυδρίου. Φλύκταιναν δὲ λέγουσιν, ὅταν ἐξ ἑλκώσεως ἢ καὶ ἄνευ ἑλκώσεως, ἐξ ἐπιπολῆς τοῦ κερατοειδοῦς χιτῶνος ὑμὴν λεπτότατός τε καὶ μετέωρος ἀρθεὶς παραδέξηται μεταξὺ αὐτοῦ ὑγρασίαν, ἢ καὶ ὑπὸ τὴν κτιδόνα τοῦ χιτῶνος παχυτέρα ὑποδραμοῦσα ὑγρασία καὶ τὴν φλύκταιναν ἀποτελέσασα. Μυοκέφαλον δὲ ἐστὶ ὅταν ἐξ ἑλκώσεως διαβρωθέντος τοῦ πρώτου χιτῶνος κατὰ τὴν ἶριν, προκύψῃ ὁ δεύτερος χιτὼν ὡς οἷον † μυὸς κεφαλῇ ἐοικέναι. Σταφύλωμα δὲ λέγεται, ὅταν ἡ

al. μιᾶς

κόρη τοῦ

κόρη τοῦ ὀφθαλμοῦ μετεωρισθῇ μετὰ φλεγμονῆς καὶ πόνου, καὶ γίνηται ὅμοιον ῥαγὶ σταφυλῆς, λευκὸν τῇ χροιᾷ. Ὑπόπυον δέ ἐστιν ὅταν πύον ὅλην τὴν ἶριν περιλάβῃ, ἢ τὸ ἥμισυ. Ῥῆξις δέ ἐστιν ἕλκωσις ὑπὸ πληγῆς, ἢ ἄλλης τινὸς αἰτίας κατὰ βάθος, ἐπιφέρουσα, ὡς ἐπὶ τὸ πολύ, τὴν διαίρεσιν τῶν ὑμένων ὅλων, ὥστε ἐκχεῖν καὶ τὰ ὑγρὰ εἰς βλέπομεν. Οὐλὴ δέ ἐστιν ὅταν ἐπὶ τῷ μέλανι τοῦ ὀφθαλμοῦ ἐξ ἕλκους βαθέος ὄντος παχύτης ὑμένος ἐπιγένηται καὶ ἡ χροιὰ λευκοτέρα φαίνεται. συνίσταται δὲ καὶ ἐπὶ τοῦ λευκοῦ ὑμένος καλουμένου ἀλλ' οὐ διαδείκνυται. Λεύκωμα δὲ ταυτὸν μὲν καλουμένῃ τῇ οὐλῇ ἐστι. διαφέρει δὲ τῷ ἐξ ἑλκώσεως μεγάλην οὐλὴν μείζονα καὶ παχυτέραν ἐπιγίνεσθαι ἐπὶ τῆς ἴρεως, ἣν καλοῦσι λεύκωμα. Ἧλος δέ ἐστιν ἡ μετὰ λείας καὶ λευκῆς, οἷον οὐλὴ σαρκώδης, ὑπεροχὴ τοῦ μέλανος στερεά. πολλάκις δὲ καὶ ἐπὶ τῷ λευκῷ τῷ μέλανι συνάπτοντι ἐπανισταμένη. Ὑποκεχύσθαι δὲ λέγουσί τινες ὅταν συμβῇ παρέγχυσιν ὑγροῦ τινος γίνεσθαι κατὰ τὴν κόρην καὶ πῆξιν πολλάκις, ὥστε κωλῦσαι τὸ ὁρᾶν, ἢ καὶ ἀμαυροῦσθαι ἐν τῷ φαίνειν. Γλαύκωσις δέ ἐστι τοῦ κρυσταλλοειδοῦς ὑγροῦ εἰς λευκὸν καὶ ὑδατώδη χροιὰν μεταβολή, δι' ἣν τὸ βλέπειν κωλύεται. Μυδρίασις δὲ λέγεται ὅταν ἡ κόρη τῷ μὲν χρώματι μηδὲν παραλλάττῃ, πλατυτέρα δὲ ᾖ πολλῷ τοῦ κατὰ φύσιν ὥστε ἐγγίζειν τῷ κύκλῳ τῆς ἴρεως καὶ ἐμποδίζειν τὸ βλέπειν. Φθίσις δὲ λέγεται στενουμένης τῆς κόρης, ὡς κεντήματι ἐοικέναι καὶ ἀμαυροτέρας καὶ ῥυσοτέρας γινομένης, ἢ ἐξ ἀσθενειῶν ἐπικινδύνων ἢ κεφαλαλγιῶν ἐπιτεταμένων. Σύγχυσις δέ ἐστιν ὅταν τὰ ἐν τῷ ὀφθαλμῷ ὑγρὰ μὴ κατὰ χώραν μένῃ, τὴν ἰδίαν τάξιν σώζοντα, ἀλλὰ τεταραγμένα ᾖ. Ἀμαύρωσις δέ ἐστιν ὅταν παντελὴς παρεμποδισμὸς ᾖ τοῦ ὁρᾶν χωρὶς φανερᾶς αἰτίας. Νυκτάλωπας δὲ λέγουσιν ὅταν ἡμέρας μὲν βλέπωσιν ἀμαυρότερον, δυομένου δὲ ἡλίου λαμπρότερον. νυκτὸς δὲ ἔτι μᾶλλον, ἢ ὑπεναντίως, ἡμέρας μὲν ὀλίγα, ἑσπέρας δὲ ἢ νυκτὸς οὐδόλως. Μύωπας δὲ λέγουσι τοὺς τὰ μὲν σύνεγγυς βλέποντας, τὰ δὲ πόρρωθεν μὴ ὁρῶντας. Διαπύησις δέ ἐστι βραχυτέρου ὑγροῦ σύστασις περὶ αὐτὴν τὴν κόρην δυσεξάτμιστος καὶ δυσδιαφόρητος, ὑποχύματος ξηροτέρα. Ἀπόρρηξις δὲ γίνεται τοῦ πόρου περὶ ὀφθαλμόν, ὅταν ὁ διατείνων ἀπὸ τοῦ ἐγκεφάλου καὶ μήνιγγος πόρος ἐπὶ τὸν ὀφθαλμὸν ἀπορραγῇ, ὡς ἀβλεψίαν τελείαν γίνεσθαι, προηγησαμένης πληγῆς περὶ τὴν κεφαλήν, ἢ ἀφ' ὕψους πτώματος, ἀφ' οὗ γίνεται ἡ τοῦ πόρου ἀπόρρηξις. Παρέμπτωσις δέ ἐστιν, ὅταν εἰς τὸν πόρον κατ' ἀναστόμωσιν, ἢ ῥῆξιν ἀγγείου, τὸ ὑγρὸν παρεμπέσῃ καὶ ἐμφράξῃ τὸν πόρον ἀπὸ αὐτῆς τῆς βάσεως τοῦ ἐγκεφάλου, ὅθεν καὶ τῷ ὀφθαλμῷ ἡ τοῦ ὁρᾶν δύναμις, ὥστε μετ' ἀλγημάτων καὶ τὸ ὁρᾶν ἐμποδίζεσθαι. Σύμπτωμασις δὲ γίνεται μὲν ὑπὸ τοῦ πόρου στενουμένου καὶ συμπίπτοντος δι' ἀτροφίαν καὶ πάρεσιν. σπάνιον δὲ τοῦτο τὸ πάθος καὶ δυσίατον. Ἀνθράκωσις δέ ἐστιν ἕλκος ἐσχαρῶδες μετὰ νομῆς καὶ ῥεύματος καὶ βουβῶνος, ἐνίοτε καὶ πυρετῶν γινομένων περὶ τὸ ἄλλο πᾶν σῶμα, ἔστι δὲ ὅτε καὶ περὶ ὀφθαλμούς.

Περὶ τῶν ἐκτὸς τῆς κεφαλῆς παθῶν.

Περὶ δὲ τὰ ἐκτὸς τῆς κεφαλῆς συνίσταται τάδε ἃ οὐκ ἀναγέγραπται ἐν τοῖς χρονίοις, περὶ τῶν ἐν τῇ κεφαλῇ καταγμάτων τοῦ κρανίου. διαφοραὶ δὲ αὐτῶν εἰσι πέντε, ῥωγμή, ἐγγείσωμα, ἐκπίεσμα, ἀπήχημα, καμάρωσις, διάτασις ῥαφῶν, ὑδροκέφαλον, ἀχῶρες, πιτυρίασις, μελικηρίς, ἀθέρωμα, κηρίον. περὶ δὲ τὸ τετριχωμένον τῆς κεφαλῆς καὶ τοῦ γενείου, ἀλωπεκία, ὀφίασις, μαδαρότης, φαλάκρωσις. τρίχες δὲ πᾶσι ῥέουσι, λεπτύνονται, θραύονται, σχίζονται, αὐχμῶσι χνοΐζονται, ὑποξανθοὶ γίνονται, πολιοῦνται. τὰ δὲ περὶ ὀφθαλμοὺς κατ' ἰδίαν ἀναγέγραπται. τὰ δὲ περὶ τὰ ὦτα, περίθλασις, πτερυγώματα, κάταγμα, χόνδρου, κυψελίδος πλεονασμὸς ἢ ἔκλειψις, βαρυηκοΐα, κώφωσις, πύου ῥύσις, ῥεῦμα δυσῶδες. περὶ δὲ ῥῖνα τάδε συνίσταται, ὄζαινα, πολύπους, ἕλκος, κάταγμα, διαστροφή, ἔνθλασις, σίμωσις. περὶ δὲ στόμα, σῆψις οὔλων, βρῶσις ὀδόντων, ὀδονταλγία, φατνιωμάτων ἔκπτωσις, † ἀπόστημα, ὑπογλωττίς, ἐπουλίς, παρουλίς, ἄφθαι, ἐσχάρωσις, παρίσθμια, σταφυλή, σύκωμα. περὶ δὲ τὸ πρόσωπον, ἐφηλὶς ἴονθοι. φακός. κάταγμα ὀστέων. διάστασις τῶν συμφύσεων. ἐξαρθρήματα τῆς κάτω γένυος ἀπὸ τῆς ἄνω. περὶ δὲ τράχηλον, συνάγχη, κυνάγχη, ἀγχόνη, ἔξωσις σπονδύλων, χοιράδες, στεατώματα. περὶ δὲ ὤμους, τοῦ ἀκρωμίου κάταγμα, διάστασις. περὶ δὲ ἀγκῶνα μελικηρίς, ἀθέρωμα, στεάτωμα, ὑγρὸν ὑδατῶδες. περὶ δὲ καρποὺς γάγγλια. περὶ δὲ δακτύλους χειρὸς καὶ ποδός, χίμεθλα, παρωνυχία. τοπικὰ δὲ ὅπου ἂν τύχῃ τοῦ σώματος, φλεγμονή, οἴδημα, ἐμφύσημα, σκλήρωμα, ἀπόστημα, ἕλκος καθαρόν, ἕλκος ῥυπαρόν, κοῖλον ἕλκος, ὑπερσαρκοῦν, ἐσχαρῶδες, ἕλκος ξηρὸν ῥευματιζόμενον, ὑπόνομον, τετυλωμένον, σεσυριγγωμένον, μύδησις, φῦμα, δοθιήν, τέρμινθος, φύγεθλον, χάλαζα, φαγέδαινα, φλυκτίδες, ἄνθρακες, ἐπινυκτίδες ἐρυσίπελας, ἕρπητες. περὶ δὲ τοὺς μαζοὺς ἰδίως καὶ περὶ τὰ αἰδοῖα γυναικὸς καὶ ἀνδρὸς καρκινώματα. συνίστανται δὲ καὶ ὅπου ἂν τύχῃ τοῦ σώματος, καρκίνωμα κρυπτόν, καρκίνωμα ἡλκωμένον, θηρίωμα. περὶ δὲ βουβῶνας, βουβῶνες ἁπλοῖ, φύματα ἐκπυΐσκοντα. περὶ δὲ γόνατα, γονυαλγίαι, ῥευματισμοί, πῶροι. περὶ δὲ ἰγνύν, στεατώματα, ἀγκύλη. περὶ δὲ κνήμην κιρσοί. ἐν γαστροκνημίᾳ, σκίρρωμα, χειρώνεια ἕλκη. περὶ δὲ ἄκρα ποδὸς μελανίαι, νεκρώσεις, ποδάγρα, σύριγγες. περὶ δὲ πτέρνας. περὶ δὲ τὸ πεδίον

περὶ δὲ τὸ δέρμα καὶ τόπους καθ' ὅλου τοῦ σώματος, λέπρα, ψώρα, ἀλφὸς λευκός, ἀλφὸς μέλας, λεύκη, λειχὴν ἁπλοῦς, λειχὴν ἄγριος, δρακοντίασις, ἀκροχορδόνες, θύμοι, μυρμηκίαι, ἧλοι, πῶροι. οἱ μὲν ἐκ ποδάγρας καὶ ἀρθρίτιδος, οἱ δὲ καὶ καθ' ἑαυτούς. περὶ δὲ ἕδραν αἱμορροΐδες τυφλαί, ῥαγάδες, πρόπτωσις, κονδυλώματα πιλίδες. γίνεται δὲ καὶ μήτρας ὅλης πρόπτωσις εἰς τὰ ἐκτός. περὶ δὲ ὄσχεον, ἐντεροκήλη, κιρσοκήλη, ἐπιπλοκήλη, σαρκοκήλη, πωροκήλη, στεατοκήλη. περὶ δὲ τὰ ἐν ὅλῳ τῷ σώματι ὀστᾶ, τερηδών, σφάκελος, κάταγμα ἄνευ τραύματος, ἢ σὺν τραύματι, ἐκβύρσωσις. διαφοραὶ δὲ καταγμάτων πέντε, σχιδακηδόν, καυληδόν, ῥαφανηδόν, καρυηδόν, ἀλφιτηδόν. μελαίνεται δὲ ὀστᾶ ποτὲ μὲν ἐν κατάγμασι, ποτὲ δὲ ἄνευ τούτων. περὶ δὲ τὰ ἄρθρα πάντα παραγωγαί, παρακινήματα, ἐξαρθρήματα, παραρθρήματα, σύνδεσις, πώρωσις, ῥευματισμοί, διάστασις συμφύσεων.

† γρ. δὲ ἀπόστημα ὑπὸ γλώττης

Περὶ χειρουργίας.

Χειρουργία ἐστὶν ἄρσις ἐμμέθοδος τοῦ ἰδίως λεγομένου ἀλλοτρίου, διὰ τομῶν καὶ καταρτισμῶν μετὰ καὶ τῆς τραυμάτων καὶ ἑλκῶν θεραπείας, ἐπ' ἀνθρώπου σώματι παραλαμβανομένη. χειρουργίας δὲ καθολικὴ μὲν ἐνέργειαι δύο, σύνθεσις καὶ διαίρεσις. ἔστι δὲ τούτων εἴδη πολλά, καὶ συνθέσεως μὲν εἴδη συνθετισμὸς τῶν κατεαγότων ὀστέων καὶ ἐπίδεσις, καὶ ἀρθρέμβολον τῶν ἐξηρθρηκότων, καὶ τάξις τῶν προπεπτωκότων ἐντέρων καὶ μήτρας καὶ ἀποδυθυσμένου, καὶ γαστρορραφία καὶ ἐπαγωγὴ τῶν κολοβωμάτων, ὡς ἐπὶ ῥινῶν καὶ χειλῶν καὶ ὤτων. διαιρέσεως δὲ εἴδη ἁπλοτομία, καὶ περιαίρεσις, ὑποσπαθισμός, περισκιθισμός, ἀγγειολογία, ἐκκοπή, καῦσις, ξύσις, ῥίνησις, ἔκπρισις. ἁπλοτομίᾳ οὖν χρώμεθα ἐπὶ τῶν ἀποστημάτων πάντων. χρὴ δὲ διαιρεῖν ἐπ' εὐθείας τοῦ κώλου καὶ μὴ ἐγκαρσίως. περιαιρέσεως δὲ ἐπὶ τῶν ἐν μασχάλαις καὶ βουβῶσι καὶ γλουτοῖς καὶ ἕδρᾳ μυρσινοειδῶς περιαιροῦντες. ὑποσπαθισμῷ δὲ κατὰ τὸ μέτωπον, ἐπὶ τῶν ῥευματιζομένων ὀφθαλμῶν. καὶ περισκυθισμῷ ἐπὶ τῶν κατὰ τοῦ βρέγματος, καὶ ἐπὶ ποδὸς μελανθείσης. ἐκκοπῇ δὲ ἐπὶ τῶν κώλων μελαινομένων, καὶ ἐπὶ τῶν ἐν τῇ κεφαλῇ καταγμάτων. ἐπὶ δὲ πάντων περὶ τὰ ὀστᾶ, ἥ τε καῦσις καὶ ξύσις καὶ ἡ ῥίνησις καὶ ἡ πρίσις συνέχουσι καὶ ἐπ' ἄλλων. πολλῶν καύσει δὲ τῇ διὰ καυτήρων χρώμεθα, ἰδίως μὲν ἐπὶ τῶν νεμομένων ἤδη πάντων καὶ ἐπὶ τῶν ῥευματιζομένων ὀφθαλμῶν, ἰσχίων, ἢ καὶ τῶν ἐντός. καὶ γὰρ ἐπὶ φθισικῶν παραλαμβάνονται καυτῆρες καὶ ἐπὶ σπληνικῶν καὶ ἐπὶ τῶν εἰς μασχάλην μελετησάντων ἐκπίπτειν βραχιόνων, καὶ ἐπὶ αἰγίλωπος, καὶ ἐπὶ τῶν μελαινομένων, ἢ † τριζομένων διὰ τὰ ἀναστομούμενα ἀγγεῖα, καὶ ἐπὶ τῶν ἄλλως αἱμορραγούντων. περὶ μὲν οὖν κεφαλὴν ταῦτα συνίσταται τῶν ὑπαγομένων χειρουργίαις.

† al. ῥοιζομένων.

Καταγμάτων δὲ περὶ κεφαλὴν εἴδη πέντε, ῥωγμή, ἐγγείσωμα, ἐκπίεσμα, ἀπόχημα, καμάρωσις. κατὰ δέ τινας, ἕξ, καὶ τριχίασις, ἡ ἐπιπόλαιος τῶν ὀστῶν ἐγχάραξις. Ὑδροκεφάλων δὲ εἴδη τέσσαρα. τὸ μὲν μεταξὺ ἐγκεφάλου καὶ μήνιγγος. τὸ δὲ μεταξὺ μήνιγγος καὶ ὀστοῦ. τὸ δὲ μεταξὺ ὀστοῦ καὶ περικρανίου. τὸ δὲ μεταξὺ ὀστοῦ καὶ δέρματος. Συνίσταται δὲ περὶ τὸ δέρμα μελικηρίς, ἀθέρωμα, καὶ ἔξωθεν ἀλωπεκίασις. τὰς μὲν οὖν ἀλωπεκίας ἀμύσσομεν. τὰς δὲ μελικηρίδας καὶ τὰ ἀθερώματα, μυρσινοειδῶς, ἢ καὶ ἁπλῶς διαιροῦντες τὴν ἐπιφάνειαν, εἶτα ἀποδέροντες τοῖς δακτύλοις τοὺς χιτῶνας σὺν τοῖς ἔνδον ὑγροῖς κομιζόμεθα. Τὰ δὲ ὑδροκέφαλα, τὰ μὲν ὑπὸ τὸ δέρμα καὶ τὸ περικράνιον, δύο που ἢ τρισὶν εὐθείαις διαιρέσεσι κενοῦμεν. τὰ δὲ ὑπὸ τὰ ὀστᾶ ἐκκόπτοντες. τὰ δὲ μεταξὺ μήνιγγος καὶ ἐγκεφάλου ἀθεράπευτα. Πᾶν δὲ εἶδος τῶν ἐν κεφαλῇ καταγμάτων τῇ ἐκκοπῇ ὑπάγεται διὰ ἐκκοπέων περιαιρουμένων τὸ κατεαγὸς τῶν ὀστῶν. οἱ μὲν οὖν παλαιοὶ χοινικίσι πρίοντες τοῖς διὰ τῆς περιστρεφομένης ἐξέκοπτον αὐτά. οἱ δὲ μετὰ ταῦτα κεφαλοτρυπάνοις, ἕδρας παρέχοντες τοῖς ἐκκοπεῦσιν. οἱ δὲ νῦν μόνοις τοῖς ἐκκοπεῦσιν ἀρκοῦνται. Τῶν δὲ περὶ ὀφθαλμοὺς παθῶν, ταῦτα χειρουργίαις ὑπάγεται, τριχίασις, ὑδατίδες, ἐγκανθίδες, πτερύγια, σταφυλώματα, ὑποχύματα, ῥεύματα χρόνια καὶ ὑπερβάλλοντα, λιθίασις περὶ τὰ βλέφαρα, σύμφυσις εἰς αὑτὸ τῶν περὶ τοὺς ὀφθαλμοὺς αἰγίλωψ. τὰ μὲν οὖν κεχαλασμένα βλέφαρα ἀναρράπτομεν, καὶ ἀφαιροῦντες αὐτῶν τενίδιον τὸ σύμμετρον καὶ κατὰ τὸ σχῆμα τῶν βλεφάρων. ἐπὶ δὲ τῶν μὴ κεχαλασμένων ἀναβροχίζοντες τὰς τρίχας διὰ βελόνης. τὰς δὲ ὑδατίδας κομιζόμεθα κατ' ἰδίαν βάλλοντες. τὰς δὲ ἐγκανθίδας καὶ πτερύγια καὶ τὰ σταφυλώματα περιαιροῦμεν. τὰ μὲν σταφυλώματα λίνον διείραντες καὶ ἀναβροχίζοντες. τὰ δὲ πτερύγια καὶ τὰς ἐγκανθίδας ἢ λίνῳ ἀνατείναντες, ἢ ἀγκίστρῳ. τὰ δὲ ὑποχύματα κατάγομεν παρακεντοῦντες περὶ τὴν ἶριν, ἐκ τοῦ πρὸς τῷ μικρῷ κανθῷ μέρους μέχρι κενεμβατήσει καὶ παρακεντήσει. εἶτα πλαγιάζοντες ἐπὶ τὴν ἶριν τῷ ἄκρῳ αὐτοῦ τὸ † συνετὸν κατὰ τὴν κόρην ὑγρὸν καταγμασι ξύοντες καὶ σφίγγοντες ὥς τε μὴ ἀναβλέψαι. τὸ δὲ ῥεῦμα ἵστησιν ὑποσπαθισμός τε καὶ περισκυθισμὸς καὶ ἀγγειολογία. ὁ μὲν οὖν ὑποσπαθισμὸς γίνεται τριῶν διαιρέσεων ὑπὲρ μετώπου διδομένων. εἶτα καὶ σπαθομήλης διεκβαλλομένης διὰ τῶν μεταξὺ σωμάτων. ὁ δὲ περισκυθισμὸς τοιοῦτος ἐστί, διαιρεῖται ἐπὶ ἐγκαρσίαις διαιρέσεσι τὸ μέτωπον, οἷον στεφαναία. καθ' ἕτερον δὲ μέρος αὐτῆς μικρὸν ἀνωτέρω τῶν κροτάφων ἀφαιρεῖται τινὰ τρίγωνα, ἐοικότα τὸ σχῆμα τῷ δέλτα στοιχείῳ. ἡ δὲ ἀγγειολογία ἐπιτελεῖται τῶν κεκρυμμένων ἀγγείων ἀπὸ κροτάφου ἐπὶ κρόταφον διαιρουμένων εἰς βάθος. τὴν δὲ τῶν βλεφάρων λιθίασιν, ἰώμεθα διαιροῦντες τὸ βλέφαρον ἐπὶ πολύ, καὶ κομιζόμενοι τὸν λίθον ἀσκύλτως. τὰ δὲ συμπεφυκότα βλέφαρα ἀναπτύξαντες σμίλῃ, διαστέλλομεν † τοῖς ξηροῖς. τοὺς δὲ αἰγίλωπας περιαιροῦντες μέχρι ὀστοῦ καυτῆρσι διακαίομεν. εἰσὶ δὲ οἳ ἀντὶ καυστηρίου κεφαλοτρυπάνῳ τιτρῶσι τὸ ὀστοῦν ὡς ἐπὶ τὴν ῥῖνα. τὰ δὲ ἐν ῥινὶ συνιστάμενα πολύποδας μὲν περιαιροῦμεν στενῷ σμιλαρίῳ, καὶ ξυστῆρι ὕστερον ἀποξύομεν τὰς ῥίζας. αἱ δὲ ὄζαιναι ὡς ἐπὶ τὸ πολὺ ἀθεράπευται. ἡ δὲ αὐτὴ ἐγχείρησις καὶ ἐπὶ τούτων. τῶν δὲ ἐν τῷ στόματι, ἐπουλίδας μὲν καὶ παρουλίδας διαιροῦμεν ὅταν πυοποιήσωμεν. τὰς δὲ κεχαλασμένας σταφυλὰς ἀμέτρως ἐκτέμνομεν μυδίῳ λαβόμενοι, τοὺς δὲ ὀδόντας ἐξαιροῦμεν περιχαράσσοντες. τοὺς δὲ ἐν παρισθμίοις ὑπεραίροντας τὸ κατὰ φύσιν ἀδένας, περιαιροῦμεν τοῖς ἀντιοβμοῖς. τὰ δὲ ἐν τῷ τραχήλῳ στεατώματα καὶ χοιράδας διαιροῦντες τὴν ἐπιφάνειαν καὶ ἀποδέροντες τοῖς δακτύλοις, κύοντες τὴν πλοκὴν τῶν ἀγγείων κομιζόμεθα. τὰ δὲ γάγγλια ἐν τοῖς μετακαρπίοις μὲν ὡς ἐπὶ τὸ πολὺ γίνεται, καὶ γυναιξὶν ἐριέργοις τὰ πλεῖστα ἐκλῶμεν, ἄλλη καὶ κηρώμασι ἐκμαλασσόμενα καθίσταται. τὰ δὲ ἐν μασχάλαις φύματα καὶ χοιράδας μετὰ περιαιρέσεως τέμνομεν. ὁμοίως δὲ καὶ τὰς ἐν βουβῶσι. τὰ δὲ ἐν μεσοπλευρίῳ ἀποστήματα διαιροῦντες οὐκ ἀθρόως ποιούμεθα τοῦ πύου τὴν ἔκκρισιν, ἀλλὰ πρὸς μέτρον. εἰσὶ δὲ οἳ καὶ διακαίουσιν αὐτά. καρκινώματα γίνεται μὲν ἐν πολλοῖς μέρεσι τοῦ σώματος, μάλιστα δὲ περὶ τοὺς μαστούς. περιαιρεῖται δὲ ἔνθ' ἂν ᾖ καὶ καυστηρίοις διακαίεται τοῖς σφόδρα πεπυρωμένοις. εἰσὶ δὲ οἳ ξυραφίοις πεπυρωμένοις ὁμοῦ τέμνουσι καὶ διακαίουσιν. ἐξόμφαλοι δὲ πάντες μὲν οἱ ἔχοντες ἐν ὑπεροχῇ τὸν ὀμφαλὸν λέγονται. διαφορὰς δὲ ἔχουσι τρεῖς. οἱ μὲν γὰρ αὐτῶν πνευματόμφαλοι, οἱ δὲ ἐντερόμφαλοι οἱ δὲ ὑδρόμφαλοι. πᾶσαι δὲ αἱ διαφοραὶ ὑπάγονται χειρουργίαις, λίνου διπλοῦ διὰ βελόνης διεμβαλλομένου καὶ περισφιγγομένου τοῦ ὀμφαλοῦ. τοὺς δὲ ὑδεριῶντας παρακεντοῦμεν μικρὸν ὑπὸ τὸν ὀμφαλὸν ἐκ τῶν εὐωνύμων σιδηρᾷ μυρσίνῃ μέχρι

† al. συνετὸς

† al. πιλτοῖς

σίνη μέχρι κνεμβατήσῃ. τῶν δὲ λειποδέρμων διττὴ ἡ χειρουργία, τῶν μὲν ἔνδοθεν ὑποδαιρομένων, τῶν δὲ ἔξωθεν ἐπιπολῆς διαιρουμένων ἐν κύκλῳ, ἵνα ἔνδον ἡ ποσθὴ ἐπισπασθῇ. οἱ δὲ περιμωμένοι τὴν ἀκροποσθίαν χειρίζονται, ἐπαναγομένης τῆς ἀκροποσθίας ἐφ' ὅσον δύναται. εἶτα τῶν περιφαινομένων τύλων, ἀπολυομένων φλεβοτόμῳ ἐξ ἐπιπολῆς. † Ὑποσπάδιαι δέ εἰσιν οἱ ἐκ γενετῆς ἔχοντες τὴν οὐρήθραν κάτωθεν ὑπὸ τὸ † al. ἀποσπάδαι λεγόμενον κύνα. θεραπευτέον δὲ τετρημμένης τῆς βαλάνου ἄκρας, καὶ σωληνιδίου ἐντιθεμένου. Οἱ δὲ λεγόμενοι ἄτρητοι, εἴτε τρῆμα ἔχοιεν λεπτόν, εἴτε μηδόλως † συγχειρίζονται. † al. οὕτω τὸ ὀξὺ τοῦ φλεβοτόμου καθιέντες προσαναπτύσσομεν, εἶτα τὸν δάκτυλον ὑποβάλλοντες πανταχόθεν ἀπολύομεν. τοὺς δὲ λίθον ἔχοντας ἐν κύστει τέμνομεν σφηνώσαντες μὲν τὸν λίθον ἐν τῷ τῆς κύστεως τραχήλῳ, † ἐπικοπίῳ δὲ τῷ λίθῳ χρώμενοι διαιροῦμεν, ἀ- † al. ἐπικόπῳ θρόως τὰ ἐπικείμενα σώματα καὶ λιθολάβῳ τὸν λίθον κομιζόμεθα. τοὺς δὲ ῥυαδικοὺς τοὺς ὁπωσοῦν γεγονότας ἐὰν μέγας λίαν ὁ τύλος ᾖ περιαιροῦντες ἀνασκευάζομεν. Οἷς δὲ ἐποχὴ οὔρου διὰ τὸ πλῆθος ἐνοχλεῖ περιτεινομένης τῆς κύστεως καὶ συστέλλεσθαι μὴ δυναμένης, διὰ καθετῆρος κομιζόμεθα τὸ οὖρον. ἔοικε δὲ ὁ καθετὴρ τῷ ῥωμαϊκῷ σίγμα. καθίεται δὲ εἰς τὸν † κύκλον διὰ τῆς οὐρήθρας μέχρι τῆς κύστεως, ἔχοντος ἐν αὐτῷ ῥάγμα † al. καυλὸν ἐπ' ἄκρου ἔχον ἐρίου βραχὺ προκύπτον προβρεχόμενον τῷ οὔρῳ, ἔπειτα ἑλκόμενον εἰς τὰ ἐκτὸς συνέπεται δὲ αὐτῷ τὸ οὖρον εἰς ἔκκρισιν οἷον ὁδηγοῦν αὐτῷ. τῶν δὲ περὶ ὄσχεον συνισταμένων ὄγκων, εἴδη εἰσὶν ἑπτά, ὑδροκήλη, πωροκήλη, στεατοκήλη, σαρκοκήλη, ἐπιπλοκήλη, κιρσοκήλη, ἐντεροκήλη. εἰσὶ δὲ ἐφ' ὧν καὶ ἐπιπλέκεται. ταῦτα οἷον ὑδρεντεροκήλη, σαρκοεπιπλοκήλη. περὶ μὲν οὖν τῶν ὑδροκηλικῶν διελόντα δεῖ τὸ ὄσχεον καὶ ἤδη τὸ φλεβοδέστατον ἐν τυχόντα τῷ χιτῶνι τῷ τὸ ὑγρὸν περιέχοντι κενῶσαι, καὶ τὰ περισσὰ τοῦ χιτῶνος ἐπαφαιρεῖν. ἐφ' ὧν δὲ ἄνευ τοῦ χιτῶνος οὔσι, ἐκκενώσαντες τὸ ὑγρόν, ἀρκούμεθα. τὰς δὲ στεατοκήλας καὶ πωροκήλας τέμνειν χρὴ ὁμοίως ὑποβάλλοντας τῇ ἀριστερᾷ χειρὶ τὸ ὄσχεον ἔπειτα διαιρεῖν ἐξ ἐπιπολῆς ἕως ἐντύχωμεν τῷ στέατι, ἢ πώρῳ, ἢ ὅτι ἂν ᾖ, καὶ τοῦτο κομιζόμεθα. καὶ οἱ σαρκοκηλικοὶ δὲ ὁμοίως χειρίζονται. δεῖ μόνην τὴν πρὸ τὴν ὑποπίπτουσαν σάρκα λευκαίνουσαν περιαιρεῖν. τὴν δὲ ἐρυθρὰν ἀποδέροντα καὶ ἀπαλλοτριοῦντα τό τε ἀφαιρεῖν τὰ ἔγκατα λείμματα. ἐπὶ al. τῆξιν δὲ τῶν κιρσοκήλων ἀνατείνας ἀγκίστρῳ ἐξ ἐπιπολῆς διαιρῶν καὶ ἀναλαβὼν τὸν κιρσὸν καὶ ἀποδείρας ἀπολιπὼν ὡσεὶ μικροῦ δακτύλου τὸ πλάτος, τὸ δὲ λοιπὸν ἀνατείνων ἀποκόπτει. φυλακτέον δὲ ἀκριβῶς ἐπὶ τῶν συμπεπλεγμένων κρεμαστήρων ἢ διδύμων. τοὺς δὲ ἐντεροκηλικοὺς καὶ ἐπιπλοκηλικοὺς οὕτω τέμνομεν, ἀναπιέσαντες τὸ ἔντερον ἢ τὸ ἐπίπλουν ἀκριβῶς, εἶτα τὸν σπερματικὸν πόρον ἀφαιροῦμεν ὅσον δυνάμεθα. εἰ δὲ μὴ τὸ περιτόναιον ἐπισπάμενοι καὶ ἐπιβροχίσαντες περιαιροῦμεν. τὰς δὲ αἱμορροΐδας λίνον λεπτὸν διπλοῦν διὰ τῶν βάσεων αὐτῶν διείροντες ἀποσφίγγοντες μετὰ δύο ὥρας ἀποτέμνομεν. τῶν μὲν συρίγγων αἱ μέν εἰσιν ἀσύντρητοι, μόνον τὸ στόμα ἔχουσαι. αἱ δὲ συντετρημέναι, ἢ ἔνδον εἰς τὸν δακτύλιον ἢ ἔξωθεν. ἐπὶ μὲν οὖν τῶν συντετρημένων εἰς τὸν δακτύλιον διαβάλλων τὴν μηλωτίδα, εἶτα τὸν δάκτυλον καθεὶς εἰς τὴν ἕδραν ἐπισπάσαι τὸ † ἔντερον ἄκρον τῆς μηλωτίδος † al. ἕτερον καὶ περιαίρει κάτωθεν ἀρχόμενος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐκτὸς τῆς ἕδρας. ἐπὶ δὲ τῶν μὴ συντετρημένων τῷ ὀξεῖ τῆς μηλωτίδος διαπερῶν ἅπαντα τὰ ὑγιῆ σώματα. εἰσὶ δὲ οἱ ἀντὶ τοῦ ἀνακείρειν ἢ περιαιρεῖν τὰ μεταξὺ τῆς συντρήσεως λίνον βύσσινον συνεστραμμένον ἐν ἄκρῳ τῆς μηλωτίδος ἔχοντα τὰ διῃρημένα, τούτῳ ἀποσφίγγοντες τὰ μεταξὺ σώματα ἑκάστης ἡμέρας περιτείναντες τὰ ῥάμματα διακόπτουσι τὰ μεταξύ. καὶ ἐκτυλώσαντες τῇ αἰγυπτίᾳ ἐπουλοῦσιν. ἀναγέγραπται δὲ καὶ παρ' Ἱπποκράτους πρῶτος ὁ τρόπος οὗτος. τοὺς δὲ ἐν τοῖς σκέλεσι κιρσοὺς πρῶτον ἔξωθεν ἐπισημαινάμενοι δι' ὅλου ἐγχαράξεσιν, εἶτα κλίναντες ἐξ ἐπιπολῆς λαβόμενοι τοῦ δέρματος αὐτὸν πρῶτον διαιροῦμεν, εἶτα ἀγκίστρῳ ἐπισπώμενοι τὸν κιρσὸν διαδέομεν καὶ μετὰ πάσας τὰς διαιρέσεις τοῦτο ποιήσαντες, ἢ κιρσούλκῳ ἐξαιροῦμεν διακόπτοντες τὰ ἄκρα ἢ διπυρήνῳ διαλαβόντες λίνῳ διὰ τῆς κοιλίας τοῦ κιρσοῦ κατ' ἀναστροφὴν ἐξέλκομεν. τά τε λεγόμενα δρακόντια ὅμοια ὄντα τοῖς κιρσοῖς. μεγάλην δὲ ἀλγηδόνα ἐπιφέρει κινούμενα μικρὸν προκύπτοντα. δεῖ οὖν διελόντα ὡς ἐπὶ τῶν κιρσῶν † ἀποδέρειν † al. ἀποδεῖν καὶ οὕτως ἐξαιρεῖν. τοὺς δὲ ἥλους καὶ τύλους καὶ ἀκροχορδόνας καὶ θύμους καὶ μυρμηκίας ἐκτέμνοντες ἐπικαίομεν ἢ τῷ ψωρικῷ ἐπιπάσσομεν. τὰ δὲ κολοβώματα τὰ περὶ μυκτῆρας ἢ ὦτα ἢ τὰ χείλη οὕτως εἰς τὸ κατὰ φύσιν ἀποκαθίσταται, τὰ μὲν χείλη σμιλαρίῳ πανταχόθεν ἀναδέροντες αἱμάσσομεν, εἶτα προσάγοντες ῥάπτομεν πυκνότερον. πρὸς δὲ τὰς σιαγόνας ἐξ ἑκατέρου πέρατος τῶν χειλῶν καθ' ἃ συμπέφυκεν ἀλλήλοις ἔνδοθέν τε καὶ ἔξωθεν διαιροῦμεν, καὶ τίλμασι διαστέλλομεν, πρὸς τὸ μὴ τὴν σαρκοφυεῖσαν χάλασμα παρέχειν. τὰ δὲ ἐν τοῖς ὠσὶν ἢ μυκτῆρσιν κολοβώματα, ὅταν ὁ χόνδρος ᾖ διῃρημένος, ἐκχονδρίζειν δεῖ καὶ οὕτως διαράπτειν ἐρέῳ ῥάμματι.

περὶ καταγνυμένων κώλων, καὶ ἐξαρθρουμένων μορίων.

Τὰ δὲ καταγνύμενα κῶλα ἐκ διατάσεως μὲν εὐθετίζεται, ἐξ ἐπιδέσεως δὲ πωροῦται. τὰ μὲν οὖν περὶ κεφαλὴν κατάγματα, ποσαχῶς τε γίνεται καὶ ὅπως θεραπεύεται, εἴρηται. κἂν ἐν προσώπῳ κάταγμα γένηται, ὡς τὰ ἐν τῇ κεφαλῇ θεραπεύειν ἐκκόπτοντα τὸ πεπονθὸς ὀστοῦν. εἰδέναι δὲ χρὴ καὶ ὅσα τῶν καταγνυμένων ὀστῶν ἀθεράπευτα. ἐὰν μὲν οὖν ῥὶς καταγῇ, οὐκ ὀρθοῦται. καὶ οὓς δὲ κατάγνυσθαι φησὶν Ἱπποκράτης, ὅτι καὶ ὁ χόνδρος ὀστοῦν μιμεῖται, καὶ δυσαποκατάστατος εἶναι δοκεῖ εἰς τὸ ἀρχαῖον σχῆμα. ἀλλὰ κἂν ἐξ ὑποδρώας μεσίζῃ ἡ ῥίς, ὡς φυσισιμοῦται, ἀθεράπευτος. ἐὰν δὲ κλεὶς καταγῇ ἢ κατακλεὶς ἢ τις πλευρά, καὶ ταῦτα ὡς ἐπὶ τὸ πολὺ δυσαποκατάστατα. ἐπιτιθέναι δὲ χρὴ ἐπὶ τῶν κατακλείδων μάλιστα καὶ ἐπιδεῖν ἀπὸ μασχάλης ἐπὶ μασχάλην. ἐὰν δέ τι τῶν μειζόνων κώλων καταγῇ, ἢ τῶν μικροτέρων μερῶν, οἷον δακτύλων σκυταλίδος ἢ καρποῦ ὀστᾶ ἢ μετακαρπίου ἢ ταρσοῦ, πάντα μεγαλομερῶς μὲν κατάγνυται καυληδὸν ἢ ῥαφανηδὸν ἢ σχιδακηδόν. ἐπὶ λεπτὸν δὲ καρυηδὸν ἢ ἀλφιτηδόν. πρότερον μὲν οὖν χρὴ ἐπιδέοντας πάντα καταγνύμενα καὶ διατείναντας πάνυ ἰσχυρῶς καὶ βεβαίως διαστῆσαι καὶ πολὺ ἀποστῆσαι ἀλλήλων, ἵνα εὐθετισθῇ καὶ ἀποκατασταθῇ εἰς τὸ ἀρχαῖον σχῆμα. εὐθετίζειν δὲ χρὴ τὰ ὀστᾶ οὐκ ἐπὶ εὐθὺ πάντα, ἀλλὰ πρὸς σχῆμα τοῦ ὁμοζύγου κώλου. ἐὰν δὲ εὐθὺ ᾖ, ἐπ' εὐθείας. ἐὰν δὲ καμπύλον ἢ ἄλλως πως σκαμβὸν ὁμοίως. τρόπος δὲ παρασκευῆς ἐστὶ ἐπιδέσεως εἰς πάντα ἐπίδεσμον ποιεῖν ἐξ ὀθονίων παλαιῶν.

πρός τε τὸ πλάτος καὶ τὸ μέγεθος τοῦ κώλου. πλάτος μὲν, ἐπὶ τῶν μεγίστων, δακτύλων τεσσάρων ἢ πέντε. ἐπὶ δὲ τῶν ἰσχνοτέρων, μὴ ἔλασσον δακτύλων τριῶν. ἐπιδέσεως δὲ νόμος τοιοῦτος. ἡ πρώτη ἐπίδεσις ἀπὸ τοῦ κατάγματος ἐπὶ τρεῖς ἐπιδέσεις ἄνω νέμεται, ὡς ἐπὶ τὸ πλεῖστον. ἡ δὲ δευτέρα ἀπὸ τοῦ αὐτοῦ τόπου ἄρχεται, ἀλλασσομένων τῶν ἐπιδέσεων, κάτω μὲν νέμεται, ἐπὶ τὰ ἄνω δὲ ἀνάγεται. ὥστε εἶναι διπλῆν τῆς πρώτης. διάβροχον δὲ εἶναι ὑδρελαίῳ ἢ οἰνελαίῳ ἢ γλυκελαίῳ μέχρι πρώτης διὰ τρίτης, ἔπειτα κηρωτῇ λελυμένῃ καὶ ὑγρᾷ ὡς παχὺ ἔλαιον εἶναι. πιέζειν δὲ μηδὲ πάνυ ἄγαν ἵνα μὴ νεκρωθῇ, ἀλλ' ὥς τε προσκεῖσθαι καὶ προσερείδεσθαι, μήτε κεχαλασμένως ἵνα συνέχῃ καὶ ἀποκρούηται τὰ ἐπιρρέοντα, πρὸς τὸ μὴ φλεγμαίνειν. ἔπειτα σπλῆνας τριπτύχους ἢ τετραπτύχους ποιοῦντας ἐπιθεῖναι πληροῦντας τοῦ κώλου τὸ πάχος, ὥς τε μήτε ἐπιπίπτειν ἀλλήλοις, μήτε ἀφεστῶτας διαλείμματα ποιεῖν. ἐπὶ δὲ τούτοις ἐπιδεσμίδα τρίτην ἐπιβάλλειν τὰ ἀπὸ τοῦ κατάγματος κάτω νέμεσθαι ἐπὶ τὰ ἄνω χωρεῖν, καὶ ἐκεῖ τερματίζεσθαι. αἱ δὲ ἐπιλύσεις. αἱ μὲν πρῶται διὰ τρίτης. αἱ δὲ μετὰ τὴν ἑβδόμην διὰ πλειόνων πρὸς τὰς ἐπειγούσας χρείας. ναρθηκίζουσαι δὲ ἀπὸ νάρθηκος ἀληθινοῦ ἐπὶ τῆς ἐσχάτης ἐπιδεσμίδος ἐρίου, προστιθεμένου ἐκ διαστημάτων τασσομένων τῶν ναρθήκων. ὅταν ἀκριβῶς ἀφλέγμαντον ᾖ. τῶν μὲν κυρτῶν αὐτοῦ ἔξωθεν αἰρουμένων. τοῦ δὲ λείου ἐπιβάλλοντος ἔνδοθεν ἱματίῳ, ἐπ' αὐτοῖς ἀμματιζομένων ἢ ταινιδίων ἢ ναυτικοῦ ῥάμματος. ἐπὶ δὲ τῶν μετὰ τραύματος καταγμάτων, ἀντὶ τούτων πάντων σπλῆνας διπτύχους ἢ τριπτύχους ποιοῦντας ἕκαστον πληροῦντα τὸ πάχος ἐν κύκλῳ τοῦ κώλου, ὡς χωρίζεσθαι τὰ πέρατα αὐτοῦ ἐπιπίπτοντα ἀλλήλοις, ἅπαν τε κῶλον τούτοις ἐπίδετον συγκείμενον ἔχοντες, πρώτως μὲν τοῖς σοῖς ἐπιβάλλουσιν τῷ σώματι διαβρόχους εἶναι τῶν προειρημένων. ἐπὶ δὲ τούτοις προϋποκείμενα ἔχουσιν ἔρια καὶ ἀποδεσμίδας ἁπλῶς ἐπὶ τοῖς ἐρίοις κατὰ τῆς ὑποτιθεμένης ἕδρας τοῦ ἀνοίκτου σωλῆνος. μάλιστα δὲ οὗτος ὁ τρόπος τῆς ἐπιδέσεως ἁρμόδιος ἐπὶ τῶν ἀλφιτηδὸν καταγνυμένων, μετὰ τραυμάτων καὶ πολλῆς περιθλάσεως τῶν μυῶν, ἐφ' ὧν καὶ μοτὰ χρὴ προϋποτιθέναι διάβροχα τοῖς ἁρμόζουσι. Μοτῶν δὲ εἴδη πέντε. στρεπτός, ξυστός, πιλτός, ἐλλυχνιωτός, περιαπισκωτός. ἐπὶ δὲ τῶν περὶ ἐξαρθρούντων δεῖ μὲν καὶ τῆς διατάσεως προηγουμένης. ἡ δὲ ἐμβολὴ καθ' ἕκαστον οἰκεία μετὰ τὴν διάτασιν παραλαμβάνεται. πάντα δὲ ἐπὶ τοῦ Ἱπποκρατείου βάθρου καταρτίζεται, ὁμοῦ τε διατεινόμενα καὶ συμβαλλόμενα. ἐξαρθρεῖ δὲ κεφαλὴ μὲν, ἐνήρθρωται γὰρ τῷ πρώτῳ σπονδύλῳ τοῦ τραχήλου πρὸς τὸν δεύτερον. ἡ δὲ κάτω γνάθος ἐξίσταται μὲν τοῦ † κατ' ἄλληλα ζυγώματος, ἐμβάλλεται δὲ μόναις ταῖς χερσὶν παραγομένη ἔνθεν κἀκεῖθεν ἐπὶ τὰ συνηρθρωμένα πρὸς τῇ ἄνω. τοῦ δὲ ὤμου εἰς μασχάλην μόνην ὀλισθάνοντος, ἡ δι' ἄμβης ἐμβολὴ μετὰ διατάσεως. εἰσὶ δὲ καὶ ἄλλαι παλαιστρικαὶ λεγόμεναι. ἀγκῶνος δὲ ἐξαρθρημάτων διαφοραὶ τέσσαρες. ἡ μὲν ἔσω, ἡ δὲ ἔξω. ἡ δὲ εἰς τὰ ἔμπροσθεν, ἡ δὲ εἰς τὰ ὄπισθεν. τὰς μὲν εἰς τὰ ἐκτὸς, ἢ εἰς τὰ ἐντὸς μετὰ διατάσεως ἀντιπαράγοντες τὰ ἐξεστῶτα ὀστέα, οὕτως καθιστῶμεν. τὰς δὲ εἰς τοὐπίσω, ἢ εἰς τὸ ἔμπροσθεν, ἄνευ διατάσεως. ἡ μὲν γὰρ ἐκ συγκάμψεως ἀθρόας ἐντιθεμένου τινὸς τῇ συγκάμψει τοῦ ἀγκῶνος καθίσταται. ἡ δὲ ἐκ τάσεως σφοδροτέρας. καρποῦ δὲ καὶ μετακαρπίου καὶ δακτύλων ἐξαρθρήματα, ἐκ βραχείας διατάσεως τῶν χειρῶν εὐθετίζεται. ῥάχεως δὲ πᾶσαι διαστροφαὶ, ἥτε ὕβωσις καὶ εἴσκωσις καὶ σκολίωσις, ἀδιόρθωτα. μηροῦ δὲ ἡ πρὸς τὰ ἰσχία κεφαλὴ, ἢ ἔσωθεν εἰς περιτόναιον ἐμπίπτει, ἢ ἔξωθεν εἰς τὸ ἀντικείμενον, ὀπίσω τε εἰς γλουτὸν, καὶ ἔμπροσθεν εἰς βουβῶνα. ἀνίατοι δὲ τέσσαρες διαφοραί. περὶ δὲ τὸ γόνυ συνεχὴς μὲν εἰς τὸ ἔξω ἐξάρθρησις καὶ ῥᾳδία ἡ ἀποκατάστασις διὰ συγκάμψεως. ἔλαττον δὲ εἰς τὰ ἐκτὸς καὶ γίνεται καὶ ἀποκαθίσταται. ἔτι δὲ σπανιώτερον, ἡ δὲ εἰς τοὐπίσω. ἡ δὲ εἰς τοὔμπροσθεν οὐδὲ ὅλως γίνεται. οὐδέποτε γὰρ ἐξίσταται τὰ ὀστᾶ διὰ τὴν συνέχουσαν ἐπιγονατίδα, πλὴν εἰ μὴ καὶ αὕτη κατεαγῇ. περὶ δὲ τὰ σφυρὰ βραχεῖα μὲν παραλλαγὴ γινομένη, δυσαποκατάστατος. πολλὴ δὲ καὶ βίαιος οὐδὲ ἀνέχεται τὴν διόρθωσιν. ἐπικίνδυνος γὰρ σφόδρα, καὶ εἰ μετὰ τραύματος γένηται. δάκτυλοι δὲ ποδὸς ἐξαρθρήσαντες, ὡς τῶν χειρῶν ἀπευθύνονται. αἱ δὲ τῶν συμφύσεων αὐτῶν πᾶσαι διαστάσεις, ὡς ἐπὶ προσώπου, καὶ πήχεως, καὶ κορωνίδος, κνήμης τε καὶ περόνης, μετακαρπίου τε καὶ ταρσοῦ καὶ ἔτι εἰς τὸ ἀρχαῖον ἀποκαθίστανται. τὰ δὲ μελαινόμενα καὶ νεμόμενα, εἴτε ἐκ καταγμάτων εἴτε βιαίου σφίγξεως, ἐκριζοῦμεν ὅλα τὰ κῶλα πολλάκις. ὁμοίως δὲ καὶ τὰ ὑπὸ τῶν ἰοβόλων ἤδη προκατειλημμένα. ἔπειτα καυτῆρσιν ἄγαν πεπυρωμένοις ἱστῶμεν τὴν νομήν. μετὰ δὲ τοὺς καυτῆρας πράσῳ τῷ χλωρῷ καταπλάσσομεν μετ' ἁλῶν, εἶτα ὅταν καθαρθῶσιν αἱ ἐσχάραι, ὡς ἕλκη θεραπεύομεν. τὰ δὲ τῶν ἰοβόλων δήγματα, οὐ δὲ ταχὺ ἐπουλοῦσθαι βουλόμεθα, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον ῥευματίζεσθαι τὰ ἕλκη σπουδάζομεν.

†ἄλ. περὶ μῆλα

ΓΑΛΗΝΟΥ ΟΡΟΙ
ΙΑΤΡΙΚΟΙ.

ΤΗΝ τῶν ὅρων πραγματείαν πολυωφελεστάτην ὑπάρχουσαν πᾶσι τοῖς ἰατροῖς, μάλιστα δὲ τοῖς εἰσαγομένοις τῶν νέων ἐκεῖνα καθὼς ἠξίωσας καὶ συναγαγεῖν καὶ ἀναγράψαι ἰατρῶν ἄριστε Τεῦθραν. τῆς γὰρ ἰατρικῆς τέχνης βιωφελοῦς οὔσης, καὶ ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων εὑρημένης ἐχούσης πολλὰ καλὰ θεωρήματα καὶ δυσεύρετα δοκούσης τυγχάνειν, χρησιμώτατοι γίνονται οἱ ὅροι δι' ὀλίγων τὰ πολλὰ διδάσκειν δυνάμενοι, ἐν πάσαις γὰρ ταῖς τέχναις καὶ ἐπιστήμαις ἀρίστη διδασκαλία, οὐχὶ διὰ πολλῶν καὶ ἀπείρων, ἀλλὰ δι' ὀλίγων καλῶς διαγινωσκομένη. οἱ μὲν οὖν ἀρχαῖοι καὶ οἱ πρὸ Ἱπποκράτους γενόμενοι, ὧν ἡμεῖς τοῖς βιβλίοις ἐντυγχάνομεν, οὔτε ὡρίσαντό τινα τῶν περὶ τὴν τέχνην, οὔτε πολλὰ συγγράμματα ἀπέλιπον ἀλλὰ πάνυ ὀλίγα. τούτους

μὲν οὖν

μὲν οὖν ἐπαινεῖν ἄξιον ὅτι πρῶτοι ταῖς ἐπιβολαῖς ἐχρήσαντο, καὶ ἐσπούδασαν εὑρεῖν τι χρήσιμον τῷ βίῳ. ἐπιγενόμενος δὲ τούτοις Ἱπποκράτης τὴν ἰατρικὴν συνέγραψεν, καὶ ὡρίσατο αὐτὴν ἐν τῷ περὶ τέχνης, ἀρχηγὸς ἀεὶ τῶν καλῶν γενόμενος, περὶ οὗ πάντες οἱ Ἕλληνες μεμνήσονται εἰς αἰῶνα, ἐπειδήπερ κοινὸς εὐεργέτης ἁπάντων ἐγένετο. μετὰ δὲ τούτους τοὺς χρόνους οἱ γενόμενοι συνέγραψαν ὅρους. καὶ οὗτοι δὲ οὐ πάντες. δοκοῦσι δὲ ἐπιμελεῖς γεγονέναι ἐν τῇ τοιαύτῃ θεωρίᾳ οἵτε ἀπὸ Ἡροφίλου αἱρέσεως καὶ Ἀπολλώνιος ὁ Μεμφίτης, ἔτι δὲ καὶ Ἀθήναιος ὁ Ἀτταλεύς, ἀλλὰ καὶ οὗτοι οὔτε τῇ τάξει τῇ δεούσῃ ἐχρήσαντο, οὔτε συνήγαγον τὴν πραγματείαν, ἀλλὰ διεσπασμένως ἐν τοῖς βιβλίοις συνέγραψαν. ἔτι δὲ ἐνδεῶς ἀνεγράφησαν. οὐ γὰρ πάντα ὡρίσαντο τὰ κατὰ τὴν ἰατρικήν. ὅτι δὲ ἀληθῶς λέγομεν δυνατὸν μανθάνειν ἐντυγχάνουσι τοῖς τῶν εἰρημένων ἀνδρῶν συγγράμμασιν. ἡμεῖς δὲ πολὺν λόγον εἰσενεγκάμενοι καὶ τοὺς εἰρημένους μὲν ὑπὸ τῶν πρεσβυτέρων ὅρους αὐταῖς λέξεσιν ἀναγραψάμενοι, τὴν τάξιν τε δέουσαν αὐτοῖς ἐπιθέμενοι, καὶ ἔτινες δὲ μὴ εἰσὶν εἰρημένοι ὑπὸ τῶν παλαιοτέρων, αὐτοὶ ποιήσαντες καὶ συντάξαντες, καὶ ὡς ἠξίωσας καὶ σύ, τὴν συναγωγὴν ποιησόμεθα τελείαν. ταύτης ἐγὼ πείθομαι ἀγαθὲ Τεῦθραν μὴ γεγονέναι μήτε ἔσεσθαι χρησιμωτέραν τοῖς εἰσαγομένοις τῶν νέων. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον. Ἀναγκαῖον δὲ πρῶτον εἰπεῖν τί χρησιμώτατον καὶ τῇ τάξει τῆς διδασκαλίας ἁρμοδιώτατον, καὶ διασαφῆσαι τί ἐστιν αὐτὸς ὁ ὅρος, εἶτα ἑξῆς τοὺς ὅρους ὑποδεῖξαι. Ὅρος τοίνυν κατ' ἐνίους ἐστὶ λόγος δηλῶν ποῖόν ἐστιν ἐκεῖνο καθ' οὗ ἐστὶν ὁ λόγος. δυνατὸν δὲ καὶ οὕτως ὁρίσασθαι. ὅρος ἐστὶ λόγος ἐννοίας. τινὲς καὶ οὕτως ὡρίσαντο.

Ὅρος ἐστὶ λόγος κατ' ἀνάλυσιν ἀπαρτίζων. Ὅρος ἐστὶ διὰ βραχείας ὑπομνήσεως εἰς ἔννοιαν ἡμᾶς ἄγων τῶν ὑποτεταγμένων ταῖς φωναῖς πραγμάτων. ἢ. Ὅρος ἐστὶ λόγος τὸ εἶναι δηλῶν. ἢ λόγος τὴν ἔννοιαν ἡμῖν τοῦ πράγματος δεικνύς τε καὶ σαφηνίζων. διορισμὸς δέ ἐστι πράγματος ὡς καθόλου λεγομένου, μὴ ὄντος δὲ καθόλου ἐπὶ πρόσθεσιν εἰς τὸ καθόλου περιαγωγή. Ὑπογραφή ἐστι λόγος τυπωδῶς εἰσάγων εἰς τὴν τοῦ δηλουμένου πράγματος γνῶσιν. οἱ δὲ οὕτως. ὑπογραφή ἐστι λόγος τυπωδῶς ἐμφανίζων τὰ πράγματα. Ἐπιστήμη δ' ἐστὶ κατάληψις ἀσφαλὴς καὶ ἀμετάπτωτος ὑπὸ λόγου, δύναται δὲ καὶ οὕτως ὁρίσασθαι. ἐπιστήμη ἐστὶν ἕξις ἐκ φαντασιῶν δέξαν ἀμετάπτωτον ὑπὸ λόγου περιεχομένη. Τέχνη ἐστὶ σύστημα ἐγκαταλήψεων συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. ἢ οὕτως. τέχνη ἐστὶ σύστημα ἐγκαταλήψεων συγγεγυμνασμένων ἐπὶ ἓν τέλος τὴν ἀναφορὰν ἐχόντων. Ἱπποκράτης ἐν τῷ περὶ τέχνης ὡρίσατο τὴν ἰατρικὴν οὕτως, καὶ πρῶτον μὲν αὐτὴν ὀνομάζων ἰατρικὴν εἶναι. † γὰρ πάμπαν ἀπαλλάσσειν τῶν νοσημάτων τοὺς κάμνοντας, καὶ τὸ τὰς σφοδρότητας τῶν νοσημάτων ἀμβλύνειν, καὶ τὸ μὴ ἐγχειρεῖν τοῖσι κεκρατημένοισι ὑπὸ τῶν νοσημάτων, εἰδότας ὅτι πάντα ταῦτα δύναται ἡ ἰατρική. οἱ δὲ πλείους οὕτως ὡρίσαντο. ἰατρική ἐστι τέχνη ἡ διαιτητικὴ ὑγιαινόντων, καὶ θεραπευτικὴ νοσούντων. Αἵρεσίς ἐστι πλήθους δογμάτων πρόσκλισις τεχνικῶς συντεταγμένων, καὶ ἐφ' ἓν τέλος ἐχόντων τὴν ἀναφοράν. ἢ οὕτως. Αἵρεσίς ἐστι σύστημα δογμάτων ἀκολουθούντων ἀλλήλοις τε καὶ τῶν φαινομένων ἢ νομιζομένων ἀκολουθεῖν. δύναιτο δὲ ἄν τις καὶ οὕτως εἰπεῖν. Αἵρεσίς ἐστι συγκατάθεσις πλήθους δογμάτων ἀλλήλοις καὶ τοῖς φαινομένοις ἀκολουθούντων ἢ νομιζομένων ἀκολουθεῖν. εὑρίσκεται δὲ τοιοῦτος τις ὅρος. Αἵρεσίς ἐστι πρόσκλισις πλήθους δογμάτων ἀκολουθίαν ἐχόντων ἑαυτοῖς καὶ τοῖς φαινομένοις. ἢ οὕτως. Αἵρεσίς ἐστι πρόσκλισις ἐπὶ πλήθει δογμάτων ἀκολουθίαν ἐχόντων πρὸς ἄλληλα ἐπὶ ἓν τέλος. Δόγμα ἐστὶ τὸ μὲν ἰδίως, τὸ δὲ κοινῶς λεγόμενον. κοινῶς μὲν ἡ ἐνάργεια πράγματος συγκατάθεσις. ἰδίως δὲ μᾶλλον ἡ λογικὴ αἵρεσις δογματικὴ κέκληται. ἰατρικῆς αἱρέσεις αἱ πρῶται, δύο. Ἐμπειρικὴ καὶ λογικὴ καὶ τρίτη μεθοδική. δοκεῖ δὲ τετάρτην αἵρεσιν ἐξευρεῖν Ἀγάθινος ὁ Λακεδαιμόνιος, ἣν ὠνόμασεν ἐπισυνθετικήν. ἔνιοι δὲ ἐκλεκτικήν. ἔστι δὲ ἡ μὲν ἐμπειρικὴ αἵρεσις τῶν πλειστάκις καὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως πῶς ἑωραμένων. ἡ δὲ λογικὴ αἵρεσις, ἐστὶν ἐπιστήμη περὶ ἀδήλων καὶ ἔργα τὰ ἐν τῷ ἰατρεύειν ταύτῃ ἑπόμενα. Μεθοδική ἐστι λόγος ἀπὸ φαινομένου ὁρμώμενος καὶ ἀδήλου κατάληψιν ποιούμενος. οἷον εἰ ἱδρῶτές εἰσιν, πόροι εἰσί. οἱ μὲν γὰρ ἱδρῶτες πρᾶγμα φαινόμενόν ἐστι. τὸ δὲ πόρους εἶναι ἄδηλόν ἐστι. Συλλογισμός ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν τεθέντων κατ' ἀνάγκην συνάγεται, πρότερον ἀγνοούμενον. Ἐπιλογισμός ἐστι λόγος, τὸ παρεκφερόμενον τῆς διανοίας εἰς ἐπίστασιν ἄγων. Θεώρημά ἐστι πρᾶγμα καθολικὸν ἀκολούθως τεθέμενον τῷ τῆς ἰατρικῆς τέλει. ἢ ἀξίωμα καθολικὸν συμπληρωτικὸν τῆς ἰατρικῆς. ἢ θεώρημά ἐστιν οὗ τὸ ἐναντίον σπανίως ἐκβατόν. Ἀμφίδοξόν ἐστιν οὗ τὸ ἐναντίον ἐπίσης ἐκβατόν. Τέλος ἐστὶν οὗ ἕνεκα τὸ κατ' ἰατρικὴν πράσσεται. ἢ οὕτως. τέλος ἐστὶν ἐφ' ὃ πάντα ἀναφέρεται τῶν κατ' ἰατρικήν. δύναται καὶ οὕτως ὡρίζεσθαι. τέλος ἐστὶ κατ' ἰατρικήν, οὗ τυχόντες οὐδενὸς ἔτι δεόμεθα. Τέλειός ἐστιν ἰατρὸς ὁ ἐν θεωρίᾳ καὶ πράξει ἀπηρτισμένος. Ἄριστός ἐστιν ὁ πάντα πράττων ἐν ἰατρικῇ κατὰ τὸν ὀρθὸν λόγον. Ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. Ζῶόν ἐστιν οὐσία ἔμψυχος, αἰσθητική, καθ' ὁρμὴν καὶ προαίρεσιν κινουμένη. Ψυχή ἐστιν οὐσία ἀσώματος, αὐτοκίνητος κατὰ Πλάτωνα. κατὰ δὲ Στωϊκοὺς σῶμα λεπτομερὲς ἐξ ἑαυτοῦ κινούμενον κατὰ σπερματικοὺς λόγους. κατὰ δὲ τὸν Ἀριστοτέλη, ἐντελέχεια σώματος ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. Σῶμά ἐστι μέγεθος τριχῇ διαστατόν, ἔχον ἐν ἑαυτῷ μῆκος, βάθος, πλάτος. ἢ μέγεθος ἐκ τριῶν διαστημάτων συνεστηκός. Στοιχεῖόν ἐστιν ἐξ οὗ πρώτου καὶ ἁπλουστάτου τὰ πάντα γέγονε, καὶ εἰς ὃ ἁπλούστατον τὰ πάντα ἀναλυθήσεται. Ἀθήναιος δὲ ὁ Ἀτταλεὺς ἐν τῷ γ. βιβλίῳ φησὶν οὕτως. στοιχεῖα τῆς ἰατρικῆς καθάπερ τινὲς τῶν ἀρχαίων ὑπέλαβον, τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρόν, ἐξ ὧν πρώτων φαινομένων καὶ ἁπλουστάτων καὶ ἐλαχίστων ὁ ἄνθρωπος συνέστηκε, καὶ εἰς ἔσχατα φαινόμενα καὶ ἁπλούστατα καὶ ἐλάχιστα τὴν ἀνάλυσιν λαμβάνει. Στοιχείωσίς ἐστιν ἡ τῶν αὐτῶν κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως διδασκαλία. οἱ δὲ οὕτως. στοιχείωσίς ἐστιν

† αἱ. μὴ

ἀπὸ στοιχείων ἐστὶ τὸ τέλειον εἶδος. συνέστηκεν, ἡμῶν τὰ σώματα ἐκ στερεῶν καὶ ὑγρῶν καὶ πνευμάτων. στερεὰ μὲν οὖν ἐστιν ὀστᾶ, χόνδροι, νεῦρα, μύες, φλέβες, ἀρτηρίαι, καὶ τὰ ἐν καταλύψει σπλάγχνα. ὑγρὰ δὲ οἱ χυμοὶ καὶ τὰ περιττώματα. τὸ δὲ πνεῦμα, τὸ ἔμφυτον ἐστὶ θερμὸν τὸ ἐν τῇ καρδίᾳ. Ἀνατομὴ ἐστὶ θεωρία τῶν ἐν καταλύψει. τῆς ἀνατομῆς εἴδη δύο. τὸ μὲν κατ᾽ ἐπιτήδευσιν, τὸ δὲ κατὰ περίπτωσιν. κατ᾽ ἐπιτήδευσιν μὲν οὖν ἐστιν, ἡ ἀπὸ τῶν δογματικῶν παραλαμβανομένη, ἕνεκα τῶν ἐν καταλύψει, ἤτοι ἐπὶ ζώντων, ἢ ἐπὶ τε τελευτηκότων καὶ ἤτοι ὅλων ἢ μερῶν, κατὰ δὲ περίπτωσιν ἐκ συντυχίας ἢ ὑπὸ μεγάλης τρώσεως γινομένη. προσχρῶνται δὲ αὐτῇ μόνοι οἱ ἐμπειρικοί. Χειρουργία ἐστὶν χειρῶν ἀτρόμων ὀξεῖα κίνησις μετ᾽ ἐμπειρίας. ἢ ἔντεχνος πρᾶξις ἐν ἰατρικῇ διὰ χειρῶν περιγινομένη τοῦ προσήκοντος τέλους. Περικράνιος ὑμήν ἐστι νευρώδης, περιειληφὼς πᾶν τὸ κρανίον. Μήνιγγες εἰσὶν αἱ περιέχουσαι τὸν ἐγκέφαλον, σώματα νευρώδη καὶ ἀρτηριώδη. Ἐγκέφαλος ἐστὶ λευκός, μαλακός, ὥσπερ ἐξ ἀφροῦ τινος πεπηγώς, ὑγρὸς καὶ θερμός. Παρεγκεφαλίς ἐστιν ὄπισθεν τοῦ ἐγκεφάλου τεταγμένη, ὁμοιοφυὴς ἐγκεφάλῳ, καὶ ὁμόχροος. Νωτιαῖος μυελός ἐστιν ὁμοφυὴς ἐγκεφάλῳ, λιπαρώτερος δὲ καὶ λευκότερος. Ὀφθαλμοί εἰσιν οἱ συνεστῶτες ἐκ τεσσάρων χιτώνων, νευρώδεις, αἰσθητικοὶ τῶν ὑποκειμένων χρωμάτων καὶ μεγεθῶν καὶ σχημάτων. Ὦτα δὲ νευρώδη καὶ χονδρώδη, αἰσθητικὰ φωνῶν καὶ τῶν ἐν αὐτοῖς διαφορῶν. Ῥῖνες εἰσὶν νευρώδεις καὶ χονδρώδεις ἀντιληπτικαὶ ὀσμῶν. Γλῶσσα ἐστὶ φλεβώδης καὶ σαρκώδης ὑπόπιμελος, αἰσθητικὴ χυμῶν, συνεργὸς τῆς καταπόσεως τῆς τροφῆς. Λάρυγξ ἐστὶ χονδρώδης δι᾽ οὗ τὸ πνεῦμα εἰσπνέομεν, συνεργὸν καὶ πρὸς τὴν φωνήν. Πνεύμων ἐστὶν ἀρτηριώδης ἐκ τῶν λείων καὶ τραχειῶν ἀρτηριῶν συμφότερος, ὄργανον ἀναπνευστικόν. Θώραξ ἐστὶν ἐκ φλεβῶν καὶ ἀρτηριῶν καὶ νεύρων κατεσκευασμένος ὑπὸ τῆς φύσεως πρὸς τὸ τῆς ἀναπνοῆς ὅρμημα. Καρδία ἐστὶ νευρώδης καὶ μυώδης καὶ φλεβώδης, ἔχουσα καὶ ἀρτηρίας. κωνοειδὴς τῷ σχήματι, ὑπόπιμελος, ἐξ ἧς ἐκπεφύκασιν ἀρτηρίαι καὶ φλέβες, δι᾽ ὧν ἐπιπέμπεται αἷμα καὶ πνεῦμα. Διάφραγμα ἐστὶ νευρῶδες, διεῖργον καὶ χωρίζον τά τε ἐν τῷ θώρακι, καὶ τὰ ὑπὸ τὸν θώρακα σπλάγχνα.

Ἧπαρ ἐστὶ φλεβῶδες καὶ θερμὸν καὶ πολύαιμον, καὶ τὴν πρώτην ἐξαιμάτωσιν πλείστην ποιούμενον, συνεργοῦν καὶ τῇ κοιλίᾳ πρὸς τὴν πέψιν τῇ παραθέσει συνθάλπον αὐτήν. Σπλήν ἐστι φλεβώδης, καὶ ἀρτηριώδης, λεπτὰ ἀγγεῖα ἔχων, καὶ πολλὰς μεταξὺ κοιλότητας τῶν ἀγγείων, διὰ τοῦτο ἀραιὸς καὶ σομφός.

Στόμαχος ἐστὶ νευρώδης, καὶ ἀρτηριώδης, ἐργαλεῖον ὀρέξεως καὶ καταπόσεως. ἢ καὶ πόρος ὑγρᾶς καὶ ξηρᾶς τροφῆς. Κοιλία ἐστὶ νευρώδης ὑποδοχεῖον τροφῆς ὑγρᾶς καὶ ξηρᾶς πρὸς τὸ πέττεσθαι τὴν τροφὴν κατεσκευασμένη. Ἔντερα ἐστὶ νευρώδη, τὰ μὲν πρὸς ὑποδοχήν, τὰ δὲ πρὸς ἀπόκρισιν τοῦ περιττώματος γεγονότα. Νεφροί εἰσιν σαρκώδεις ἐκ ψαφαρωτέρας σαρκὸς συγκείμενοι, ἰσθμοὶ τοῦ ὑγροῦ περιττώματος, καὶ ὥσπερ προσλάκια ὑπὸ τῆς φύσεως γεγενημένοι. Κύστις ἐστὶ νευρώδης, ὑποδοχεῖον καὶ ἐργαλεῖον ἐκκριτικὸν ὑγροῦ περιττώματος. Δίδυμοι εἰσὶ σαρκοειδεῖς καὶ εὔθρυπτοι, ὑγροὶ καὶ θερμοί, συνεργοί τῇ πέψει ἐν τοῦ τοῖς παραστάταις σπέρματος. Παραστάται εἰσὶν οἱ συγκείμενοι ἐκ φλεβὸς καὶ ἀρτηρίας εἰς τὸ αὐτὸ συμπεφυκυιῶν, περιεκτικοὶ σπέρματος. Μήτρα ἐστὶν ἔξωθεν μὲν νευρώδης, ἐν δὲ τῷ ἔνδοθεν σαρκωδεστέρα, ἀγγεῖον κυητήριον. Ἔκκρισις ἐστὶ φορὰ τῶν παρακειμένων τοῖς σώμασι περιττωμάτων.

Κόπρος ἐστὶ ἀποκάθαρμα τροφῆς κατὰ συντυχίαν πέψεως καὶ ἀναδόσεως διακεκειμένων. Οὖρον ἐστὶ περίηθημα τοῦ αἵματος ἐν τῇ μεγάλῃ φλεβί, καταφερόμενον διὰ νεφρῶν καὶ οὐρητήρων ἐν τῇ κύστει. τέσσαρες εἰσὶ χυμοί, ἐξ ὧν τὸ ζῷον συνέστηκεν, αἷμα, φλέγμα, χολαὶ δύο. ξανθή τε καὶ μέλαινα. ταῦτα γὰρ στοιχεῖα τοῦ σώματος παῖδες ἰατρῶν καλοῦσιν. ἐπεὶ τὸ μὲν αἷμα θερμόν ἐστι καὶ ὑγρὸν καὶ γλυκύ. τὸ δὲ φλέγμα ψυχρὸν καὶ ὑγρὸν καὶ ἁλυκὸν καὶ γλίσχρον. ἡ δὲ ξανθὴ χολὴ θερμὴ καὶ ξηρά, καὶ δριμεῖα καὶ δακνώδης. ἡ δὲ μέλαινα ξηρὰ καὶ ψυχρὰ καὶ ὀξεῖα καὶ βαρυτάτη. Αἷμα ἐστὶ

Φλέγμα ἐστὶ ψυχρὸν καὶ ὑγρὸν πρὸς τὴν κατάποσιν τῶν σιτίων καὶ πρὸς τὰς κινήσεις τῶν ἄρθρων ὑπὸ τῆς φύσεως ὑποβεβλημένον. Χολὴ ξανθὴ ἐστὶ θερμὴ καὶ ξηρὰ καὶ ἐπιτόνιον μὲν τοῦ στομάχου, καὶ πρὸς τὰς ἐκκρίσεις τῆς κοιλίας γεγενημένη. Χολὴ μέλαινα ἐστὶ ψυχροτέρα τῆς ξανθῆς, παρακειμένη μὲν τῷ αἵματι ὥς τε σχίζεσθαι καὶ μὴ παχὺ καὶ ἀραιὸν καὶ δυσανάδοτον ἀποτελεῖσθαι. Μύξα ἐστὶ ἀποκάθαρμα τοῦ ἐγκεφάλου, ὥς τε κουφίζεσθαι τὸ ἡγούμενον τῆς ψυχῆς μέρος. ἱδρώς ἐστὶ περίηθημα τῆς ἐν τῷ αἵματι λεπτῆς καὶ ὀρρώδους ὑγρασίας. φλέψ ἐστιν ἀγγεῖον αἵματος καὶ τοῦ συγκεκραμένου τῷ αἵματι φυσικοῦ πνεύματος νευρώδης, ὑγρὰ καὶ θερμὴ αἴσθησιν ἔχουσα. Ἀρτηρία ἐστὶν ἀγγεῖον αἵματος ἐλάττονος καὶ καθαρωτέρου καὶ τοῦ συγκεκραμένου φυσικοῦ πνεύματος πλείονος καὶ λεπτομερεστέρου, θερμοτέρα καὶ ξηροτέρα καὶ αἰσθητικωτέρα τῆς φλεβός, σφυγματωδῶς κινουμένη. νεύρων τρεῖς εἰσιν αἱ διαφοραί, τὰ μὲν ἐξ ἐγκεφάλου καὶ νωτιαίου πεφυκότα νεῦρα ταῦτα κυρίως προσαγορεύεται. τὰ δὲ ἐκ μυῶν, τένοντες. τὰ δὲ ἐξ ὀστῶν, σύνδεσμοι. Νεῦρα τὰ ἀπ᾽ ἐγκεφάλου καὶ μηνίγγων πεφυκότα, κοινά, ξηρότερα καὶ ἧττον θερμότερα φλεβῶν καὶ ἀρτηριῶν αἰσθητικώτερα τὰς προαιρετικὰς κινήσεις ἐκτελοῦντα. Νεῦρα τὰ ἐξ ὀστῶν ἐκφυόμενα συνδετικὰ καὶ συνεκτικὰ τῶν ἄρθρων καὶ τῶν μελῶν τοῦ σώματος. Μύες εἰσὶ σώματα νευρώδη ἀναμεμιγμένης αὐτοῖς καὶ σαρκός, πρὸς κίνησιν τῶν σώματος μερῶν γεγονότες. Περιόστεοι ὑμένες εἰσὶν εἰλύματα λεπτὰ ἰνώδη, ὥσπερ ἐνδύματα τῶν ὀστῶν ὑπὸ τῆς φύσεως γενόμενοι. Πιμελή ἐστιν παρέγχυμα τροφῆς περὶ τοὺς ὑμένας μάλιστα πηγνυμένη ἀναίσθητος. Σάρξ ἐστιν ἐξ αἵματος πεπηγυῖα ὑγρὰ καὶ θερμὴ καὶ τὴν μαλακότητα παρεχομένη τῷ σώματι. Ἐν τοῖς ὀστέοις μυελός ἐστι περιεχόμενος ταῖς κοιλότησι τῶν ὀστῶν λιπαρὸς καὶ ἀναίσθητος.

Χόνδροι εἰσὶ σώματα γεωδέστερα, καὶ ἀναίσθητα. Ὀστᾶ εἰσὶ σώματα ξηρά, καὶ γεώδη, καὶ ψυχρὰ καὶ ἀναίσθητα. Ὀδόντες εἰσὶν οἱ διαιροῦντες τὴν τροφὴν καὶ κατεργαζόμενοι, καὶ συνεργοῦντές τι καὶ πρὸς

τὴν

τῇ τῆς φωνῆς διαρθρώσει. Ὄνυχές εἰσιν ἀποτελευτήσεις νεύρων εὐπρεπείας χάριν γεγονότες καὶ ὡς ἐπιλαμβάνειν τι τοῖς δακτύλοις εὐκολώτερον. οἱ δὲ οὕτως. ὄνυχές εἰσι δέρματος ἔφαψις ξηρὰ καὶ ψυχρὰ καὶ ἀναίσθητος.

Θρὶξ σῶμα ἐστὶ ξηρὸν καὶ ψυχρὸν καὶ ἀναίσθητον πρὸς σκέπην καὶ κόσμον γεγενημένη. Δέρμα ἐστὶ σῶμα νευρῶδες σκεπάζον ὅλην τὴν περιοχὴν τοῦ σώματος εὐπρεπείας χάριν καὶ ὥς τε ἀπερύκειν τὰ αἴτια γεγενημένον. Σπέρμα ἐστὶ συνεσπαρμένη δύναμις ἐν ὑγρῷ περιέχουσα τοῦτο τὸν λόγον, ἢ ἡ δύναμις τυγχάνουσα τῶν προσηκόντων λόγων καὶ ὑλῶν ἐξαπλοῦται εἰς γένεσιν ἀνθρώπου. ἢ οὕτως ἑτέρως. Σπέρμα ἐστὶ ὑγρὸν ἐν πέρασι τοὺς περιεχόμενον ἐκ θερμοῦ πνεύματος, ἐξ οὗ οἷόν τε φῦναι ἄνθρωπον. ἢ σπέρμα ἐστὶ πνεῦμα ἔνθερμον ἐν ὑγρῷ, ἐξ ἑαυτοῦ κινούμενον καὶ δυνάμενον τοιοῦτον γεννᾶν, οἷον ἀφ᾽ οὗ καὶ ἀφέθη. ὁ δὲ Κιττιεὺς Ζήνων οὕτως ὡρίσατο. σπέρμα ἐστὶν ἀνθρώπου ὃ μεθίησιν ἄνθρωπος μεθ᾽ ὑγροῦ ψυχῆς μέρους ἅρπαγμα, καὶ σύμμιγμα τοῦ τῶν προγόνων γένους, οἷόν τε αὐτὸ ἦν καὶ αὐτὸ συμμιχθὲν, ἀπεκρίθη. Φύσις ἐστὶ πῦρ τεχνικὸν ὁδῷ βαδίζον εἰς γένεσιν. ἑτέρως κατὰ Πλάτωνα. φύσις ἐστὶν οἷα τεχνικὴ δύναμις. ἑτέρως. φύσις ἐστὶ πνεῦμα ἔνθερμον ἐξ ἑαυτοῦ κινούμενον καὶ κατὰ τὰς σπερματικὰς δυνάμεις γεννῶν τε καὶ τελειοῦν καὶ διατηροῦν τὸν ἄνθρωπον. ἢ οὕτως. φύσις ἐστὶ δύναμις ἐξ ἑαυτῆς κινουμένη αἰτία γενέσεώς τε καὶ διαπλάσεως, γεννῆσαί τε καὶ διαφυλάττειν τὸν ἄνθρωπον. δύναται δὲ καὶ οὕτως ὁρίσασθαι. φύσις ἐστὶ πνεῦμα ἔνθερμον ἐξ ἑαυτοῦ κινούμενον κατὰ σπερματικοὺς λόγους, γεννῶν τε καὶ τελειοῦν καὶ διατηροῦν τὸν ἄνθρωπον ἐν χρόνοις καὶ μεγέθεσιν ὡρισμένοις. Ἕξις ἐστὶ πνεῦμα συνέχον καὶ συγκρατοῦν τὰ μέρη. Ὄρεξις ἐστὶ πόθος καὶ ἐπιζήτησις. Κατάποσις ἐστὶ ὁλκὴ στερεοῦ καὶ ὑγροῦ ἀπὸ στομάχου εἰς κοιλίαν γινομένη, ἢ οὕτως. κατάποσις ἐστὶν εἰσφορὰ τροφῆς τῆς ὑγρᾶς καὶ στερεᾶς ἐκ στόματος διὰ στομάχου εἰς κοιλίαν γινομένη. Πέψις ἐστὶ μίξις καὶ χύλωσις ὥσπερ ἕψησις τροφῆς ἐν κοιλίᾳ καὶ ἐν ἐντέροις κατὰ μεταβολὴν εἰς ἀνάδοσιν τετελεσμένη. ἑτέρως. πέψις ἐστὶ κατεργασία τροφῆς κατὰ μεταβολὴν ἐν κοιλίᾳ καὶ ἐν ἐντέροις. ἢ οὕτως. ἀλλοίωσις ἑτοίμη πρὸς ἐξαιμάτωσιν ἥτις γίνεται ὑπὸ τῆς φύσεως διὰ θερμασίας ἑψήσει παραπλησίως. τὰς πέψεις τῆς τροφῆς Ἱπποκράτης μὲν ὑπὸ τοῦ ἐμφύτου θερμοῦ φησὶν γίνεσθαι. Ἐρασίστρατος δὲ τρίψει καὶ λειώσει καὶ περιστολῇ τῆς γαστρὸς καὶ ἐπικτήτου πνεύματος ἰδιότητι. Ἐμπεδοκλῆς δὲ σήψει. οἱ δὲ ὠμὰς ἔφασαν τὰς ἀναδόσεις γίνεσθαι. ὥσπερ καὶ Ἀσκληπιάδης ὁ Βιθυνός. ὁ αὐτὸς καὶ τὴν γυμνασίαν τῶν πέντε αἰσθήσεων ἀπεφήνατο εἶναι τὴν ψυχήν. Ἐξαιμάτωσις ἐστὶν ἡ εἰς αἷμα τῆς τροφῆς μεταβολή. Ἀνάδοσις ἐστὶν ὁλκὴ τῆς πεφθείσης καὶ οἰκονομηθείσης καὶ ἐξαιματωθείσης τροφῆς εἰς πάντα τὰ τοῦ σώματος μόρια καὶ τὰ μέρη ὑπὸ τοῦ ἐμφύτου θερμοῦ. οἱ δὲ οὕτως. Ἀνάδοσις ἐστὶν ὁλκὴ τῆς πεφθείσης τροφῆς ὑπὸ τοῦ κατὰ φύσιν θερμοῦ εἰς ὅλον τὸ σῶμα μετὰ τῆς οἰκείας μεταβολῆς καὶ κατεργασίας. Αὔξησις ἐστὶν ἡ εἰς μῆκος καὶ ὕψος καὶ βάθος πρόβασις τῶν σωμάτων. Θρέψις ἐστὶν ἡ εἰς τὴν περιοχὴν καὶ τὸ πλάτος γινομένη πρόσθεσις τοῖς σώμασιν. Τέσσαρές εἰσιν ἡλικίαι. α. μὲν ἡ τῶν νέων. β. δὲ ἡ τῶν ἀκμαζόντων καί. γ. ἡ τῶν μέσων καί. δ. ἡ τῶν γερόντων.

Οἱ νέοι οὖν θερμοὶ τὴν κρᾶσιν καὶ ὑγροὶ καὶ τῷ ἔαρι παραπλήσιοι. Οἱ δὲ ἀκμάζοντες θερμοὶ καὶ ξηροὶ καὶ τὴν αὐτὴν κρᾶσιν τῷ θέρει κεκτημένοι. Οἱ μέσοι ψυχροὶ καὶ ξηροὶ ὅμοιοι τῷ φθινοπώρῳ. Οἱ γέροντες ψυχροὶ καὶ ὑγροὶ καὶ τῷ χειμῶνι παραπλήσιοι. πλεονάζει δὲ τοῖς μὲν νέοις τὸ αἷμα. τοῖς δὲ ἀκμάζουσι ξανθὴ χολή. τοῖς δὲ μέσοις ἡ μέλαινα, τοῖς δὲ γέρουσι τὸ φλέγμα, ὅτι τὸ ἔμφυτον θερμὸν πολὺ μὲν τοῖς νέοις, ἀκμάζον δὲ ἐν τοῖς ἀκμάζουσι. μέσον δὲ ἐν τοῖς μέσοις. ὀλίγιστον δὲ ἐν τοῖς γέρουσιν. Νεότης ἐστὶ καθ᾽ ἣν αὔξεται τὸ ζῷον, ἐπίδοσιν λαμβάνοντος ἐν αὐτῷ τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ, καὶ ἴσων ὄντων τῶν ἀπερχομένων τοῖς προσφερομένοις ἢ πλείονος ὄντος τοῦ προσγινομένου ἢ τοῦ ἀπογινομένου. Ἀκμή ἐστι, ἡλικία καθ᾽ ἣν ηὔξηται καὶ τετελείωται τὸ ζῷον, τελείων ἐν αὐτῷ τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ, καὶ ἴσων ὄντων τῶν ἀπερχομένων τοῖς προσφερομένοις. Γῆρας δὲ ἐστὶν ἡλικία καθ᾽ ἣν ὑπομειοῦται καὶ ὑπολείπει τὸ ζῷον, ἐλαττόνων ἐν αὐτῷ γινομένων τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ, πλειόνων ἐν αὐτῷ γινομένων τοῦ ψυχροῦ καὶ τοῦ ξηροῦ. Ἀναπνοή ἐστι κίνησις θώρακος καὶ πνεύμονος. μέρη δὲ αὐτῆς εἰσπνοὴ καὶ ἐκπνοή. ἢ οὕτως. Ἀναπνοή ἐστι ὁλκὴ ἀέρος διὰ στόματος καὶ μυξωτήρων ἐξ ἐγκεφάλου διὰ φάρυγγος καὶ πνεύμονος εἰς καρδίαν. πάρεστι δέ τοι καὶ εἰς τὴν κοιλίαν, καὶ ἐκ τοῦ ληφθέντος πάλιν ὀλίγη τις ἀνταπόδοσις εἰς τὸ περιέχον γίνεται. Διαπνοή ἐστι ὁλκὴ ἀέρος ἀπροαίρετος ὑπὸ τοῦ φυσικοῦ θερμοῦ διὰ τῆς ἐπιφανείας ἅμα τοῖς συναπερχομένοις γενομένη. ἑτέρως. διαπνοή ἐστιν ἐκ τοῦ σώματος ὁλκὴ ἀέρος μετ᾽ ὀρέξεως φυσικῆς δι᾽ ὅλου τοῦ σώματος καὶ πάλιν ἐξόδων ἀπόκρισις.. Σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρδίας καὶ ἀρτηριῶν φυσική. μέρη δὲ τοῦ σφυγμοῦ διαστολὴ καὶ συστολή. ἢ οὕτως. σφυγμός ἐστι κίνησις κατὰ διαστολὴν καὶ συστολὴν καρδίας καὶ ἀρτηριῶν καὶ ἐγκεφάλου καὶ μηνίγγων φυσικὴ καὶ ἀπροαίρετος. δυνατὸν καὶ οὕτως ὁρίσασθαι. Σφυγμός ἐστι κίνησις φυσικὴ καὶ ἀπροαίρετος τοῦ ἐν καρδίᾳ καὶ ἀρτηρίαις θερμοῦ. Ἡγεμονικόν ἐστι ψυχῆς, τὸ ἄρχον τοῦ μέρους ψυχῆς, τὸ βασιλεῦον καὶ ἐπιτάσσον. καθιδρυμένον ἐν τῇ βάσει τοῦ ἐγκεφάλου.* οἱ δὲ οὕτως. ὑπηρετικόν μέρος τῆς ψυχῆς, τὸ ὑποτεταγμένον καὶ ὑπηρετοῦν τῷ ἡγεμονικῷ, τεταγμένον δὲ ἐν τῷ ἄλλῳ σώματι. Αἴσθησις ἐστὶ πάθος ψυχῆς διὰ σώματος ἀγγελτικὸν τοῦ κινητικοῦ. αἴσθησις μὲν γὰρ ἐστὶ ἡ ἐνεργοῦσα δύναμις. Αἰσθητήριον δὲ τὸ αἴσθησίν τινα ἐμπεπιστευμένον ὄργανον. Αἰσθητὸν δὲ τὸ τῇ αἰσθήσει ὑποπίπτον. Αἰσθητικὸν δὲ αὐτὸ τὸ αἰσθανόμενον. οἷον αἴσθησις, μὲν ὅρασις, γεῦσις, ὄσφρησις καὶ αἱ λοιπαὶ αἰσθήσεις. Αἰσθητήριον ἤτοι ὀφθαλμὸς ἢ ῥὶς ἢ γλῶττα, ἃ καὶ ὄργανα αἰσθητικὰ προσαγορεύεται. Αἰσθητὸν δὲ τὸ ξύλον ἢ λίθος ἢ τεῖχος ἢ κύων καὶ πάντα τὰ ὑποπίπτοντα ταῖς αἰσθήσεσιν. Αἰσθητικὸν δὲ ὁ Θέων καὶ ὁ Δίων, καὶ τὰ ἄλλα, ὅσα αἰσθάνεται ζῷα. Αἰσθήσεις εἰσὶ πέντε, ὅρασις, ἀκοή, γεῦσις, ὄσφρησις, ἁφή. διακονοῦνται δὲ αὗται καὶ ὑπηρετοῦνται τῇ ψυχῇ ὥσπερ Ἀσκληπιάδης ὁ Βιθυνός φησιν. τὴν οὖν γυμνασίαν τῶν πέντε αἰσθήσεων τὴν ψυχὴν εἶναι. Ὅρασις ἐστὶν ἡ γινομένη διὰ τῶν ὀφθαλμῶν τῷ συγκεκραμένῳ ἐν αὐτοῖς πνεύματι λεπτῷ μάλιστα κατὰ τὸν τῆς κόρης τόπον τυγχάνοντι, δι᾽ οὗ αἱ ὁρατικαὶ ἀντιλήψεις γίνονται.

Ἀκοή ἐστιν ἡ γινομένη διὰ τοῦ ἐγκεκραμένου τοῖς ὠσὶ πνεύματος ξηροτέρου μᾶλλον ὄντος, ἤπερ λεπτομερεστέρου, δι᾽ οὗ αἱ ἀκουστικαὶ ἀντιλήψεις γίνονται. Ὄσφρησις ἐστὶν ἡ ἀποτελουμένη διὰ τοῦ ἐν ταῖς ῥισὶ πνεύματος ὄντος

ἐνικμοῦ καὶ αὐχμωδεστέρου, δι' οὗ αἱ τῶν ὀσφραντῶν ἀντιλήψεις γίνονται. Γεῦσις ἐστὶν ἡ γινομένη περὶ ἐν τῇ γλώσσῃ πνεύματι ὄντι ὑγροτέρῳ μᾶλλον. Ἁφὴ ἐστὶν ἡ ἀποτελουμένη διὰ τοῦ ἐληλυθότος διὰ τοῦ σώματος, δι' οὗ αἱ πνευματικαὶ ἀντιλήψεις γίνονται. Μεταβατικὴ κίνησις ἐστὶ τῶν ὅλων καθ' ὁρμὴν γινομένη. κατάρχοντος μὲν τοῦ ἡγεμονικοῦ, ὑπηρετοῦντος δὲ τοῦ ἐν τοῖς νεύροις πνεύματος συνεκτεινομένου καὶ παραφέροντος τὰ μέλη. Φωνὴ ἐστὶν ἡ γινομένη καθ' ὁρμὴν τοῦ ἡγεμονικοῦ ἐκτεινομένου καὶ συνεκτείνοντος τὸ πνεῦμα, τὸ διὰ φάρυγγος μέχρι τοῦ πνεύμονος καὶ τῆς γλώσσης, τούτων διατυπούντων τὸν πλησιάζοντα ἀέρα. Μνήμη ἐστὶ κατοχὴ καὶ συντήρησις τῶν προκειμένων ἐν τῇ ψυχῇ. οἱ δὲ οὕτως. μνήμη ἐστὶ κατάληψις παρεληλυθότος, οὗ τὸ παρὸν ἐξ αἰσθήσεως κατελαμβάνετο. Ἀνάμνησις ἐστὶ πλείονος ἐντεινομένου μεταξὺ χρόνου πρὸς ἄλλοις γινομένης τῆς διανοίας πάλιν, ὥστε ἀναμνησθῆναι τὰ προκεκινηκότα τὴν ψυχήν. Ἐπίνοια ἐστὶν ἄνεσις ψυχῆς κατὰ φύσιν ἀπὸ τῶν περάτων ἐπὶ τὸ ἡγεμονικόν. Ὕπνος ἐστὶ ψυχῆς καταφορὰ κατὰ φύσιν ἀπὸ τῶν περάτων ἐπὶ τὴν ἀρχήν. Ἐγρήγορσις ἐστὶν ἔντασις ψυχῆς ἀπὸ τῆς ἀρχῆς εἰς πάντα τὰ μέρη καὶ τὰ μόρια τοῦ σώματος. Ὑγεία ἐστὶν ἡ τῶν πρώτων κατὰ φύσιν εὐκρασία τῶν ἐν ἡμῖν χυμῶν, ἢ τῶν φυσικῶν δυνάμεων ἀπαραπόδιστος ἐνέργεια. ἤ, ὑγεία ἐστὶν εὐκρασία τῶν τεσσάρων στοιχείων. τὸ γὰρ ζῶον συνέστηκεν ἐκ θερμοῦ, ψυχροῦ, ὑγροῦ, ξηροῦ, οἱ δὲ οὕτως. ἁρμονία τῶν συνεστώτων τὸν ἄνθρωπον θερμῶν τε καὶ ψυχρῶν, ὑγρῶν, τε καὶ ξηρῶν. πρέπει δὲ τῇ ὑγεία κάλλος, εὐεξία, ἀρτιότης. κάλλος μὲν οὐχ ὁποῖον κομμωτικῆς διὰ ἐπιχρισμάτων προσώπου καὶ βαφῆς τριχῶν καὶ τῶν τούτοις ἐοικότων, περιγινόμενον. εὐεξία δὲ ἡ οὐχὶ ἀπὸ γυμναστικῆς, ἀλλ' ἡ κατ' ἐπακολούθησιν τῆς ὑγείας συνισταμένη. Ἀρτιότης δὲ ἡ τῶν μορίων ἀπηρτισμένων ῥῶσις τε καὶ συμμετρία. Εὔχροια καὶ μελῶν ἀναλογία τε καὶ εὐρυθμία, οἷς ὂν τὸ κάλλος. ἔστι γὰρ κάλλος ἀναλογία μελῶν μετ' εὐχροίας. ὑγεία εὐεξία τούτῳ διαφέρει. ὑγεία μὲν καὶ ἐστὶ εὐεξία σύμμετρος. ἡ δὲ εὐεξία ὑγεία ἐπιτεταγμένη. ἡ δὲ ἐπὶ τῶν γυμναστικῶν εὐεξία, οὐ δὲ ὑγεία ἄν τις εἴη. Ἀρεταὶ σώματος μὲν ὑγεία, ῥώμη, κάλλος, ἀρτιότης. ψυχῆς δὲ ἀρεταί, φρόνησις, σωφροσύνη, ἀνδρεία, δικαιοσύνη. ἀναλογεῖ δὲ ὑγεία μὲν πρὸς σωφροσύνην. ἡ μὲν γὰρ ὑγεία εὐκρασία τῶν πρώτων καὶ σύστασις ἐστί. ἡ δὲ σωφροσύνη τὸ καθαρεύειν παντὸς πάθους τὴν ψυχήν, ἡδονῆς, φόβου, λύπης, ἐπιθυμίας, δι' ἣν αἰτίαν τὰς ὁρμὰς τῆς ψυχῆς ἀταράχους παρέχεται. καὶ σύστασις αὕτη ψυχῆς ἐστὶ καὶ ὑγεία. πάλιν ἀναλογεῖ ῥώμη σώματος πρὸς ἀνδρείαν ψυχῆς. ἡ μὲν γὰρ ῥώμη εὐτονία ἐστὶ σώματος, καὶ ἰσχὺς ἀκαταγώνιστος τοῖς νομίζουσι τὸ σῶμα φθείρειν. ἡ δὲ ἀνδρεία ῥώμη ψυχῆς καὶ ἰσχὺς πρὸς τὰς ὑπομονὰς τῶν ἰσχυρῶν φαντασιῶν θανάτου, πόνου, ταλαιπωρείας, καὶ καθόλου παντὸς τοῦ δοκοῦντος εἶναι δεινοῦ τε καὶ φοβεροῦ. προσέοικε δὲ περὶ κάλλει πάλιν ἡ δικαιοσύνη. τὸ μὲν γὰρ κάλλος ἐν συμμετρίᾳ μελῶν μετ' εὐχροίας νοεῖται. ἡ δὲ δικαιοσύνη ἐν συμμετρίᾳ τοῦ ὑπερβάλλοντος ἑκάστου. ἀπονεμητικὴ γὰρ ἐστὶν ἑκάστῳ τοῦ πρὸς ἀξίαν, οἷον θεοῖς, γονεῦσι, συγγενέσι, φίλοις, οἰκείοις, πολίταις. τῇ δὲ φρονήσει ἡ ἀρτιότης. † ἡ μὲν γὰρ ἀρτιότης συμπλήρωσις ἐστὶ τῶν τῆς ψυχῆς ὀρθῶν καταλήψεων, ὥσπερ καὶ τῶν μελῶν. οὕτω δὲ καὶ ἡ φρόνησις. Κατὰ φύσιν μὲν οὖν ἐστὶν ἡ ὑγεία. παρὰ φύσιν δὲ ἡ νόσος. φύσει δὲ ὁ παχύς, ὁ πιμελώδης, ὁ γρυπός, οὗτοι γὰρ κατὰ φύσιν μὲν οὐ διάκεινται, παραβεβήκασι γὰρ τὴν συμμετρίαν, ἀλλ' οὐ δὲ παρὰ φύσιν πάλιν, οὐ γὰρ ἐμποδίζονται εἰς τὰς ἐνεργείας. τὸ δὲ οὐ φύσει τοιοῦτον ἐστὶν ὃ μήτε κατὰ φύσιν, μήτε παρὰ φύσιν μήτε φύσει ἐστὶ ὥσπερ οἱ τὰς λεύκας ἔχοντες καὶ οἱ ἀκροχορδόνας καὶ μυρμηκίας καὶ τὰ ὅμοια. ταῦτα, γὰρ οὔτε κατὰ φύσιν ἐστίν, ἔξω γὰρ ἐστὶ τοῦ κατὰ φύσιν. οὔτε μὴν παρὰ φύσιν, οὐ γὰρ ἐνεργείας ἐστὶν βλαπτικά. ἀλλὰ οὐ δὲ φύσει, οὐ γὰρ ἐξ ἀρχῆς γέγονεν, οὐ δὲ ἐκ τῆς γενέσεως. λείπεται ἄρα οὐ φύσει εἶναι. ἐγγίζει δὲ περὶ λόγῳ κατὰ φύσιν, τὸ φύσει. καὶ παρὰ φύσιν, τὸ οὐ φύσει. τὰ μὲν οὖν πρὸς τὸ ζῆν γεγονότα κύρια τυγχάνει. οἷον ἐγκέφαλος καὶ καρδία καὶ πνεύμων καὶ ἧπαρ καὶ γαστὴρ ὧν παθόντων τι ἐξ ἀνάγκης ἤ τοι παραυτίκα ὕστερον τὸ ζῶον τελευτᾷ. τὰ δὲ πρὸς τὸ εὖ ζῆν ὀφθαλμοί. πόδες, χεῖρες καὶ τὰ ἄλλα μόρια. Νόσος ἐστὶ δυσκρασία τῶν πρώτων κατὰ φύσιν. ἢ δυσκρασία τῶν ἐν ἡμῖν χυμῶν, ἢ τῶν φυσικῶν δυνάμεων παραποδισμός, ἢ τροπὴ σώματος ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν. ἡ νόσος ἐστὶ δυσκρασία τῶν πρώτων καθ' ἣν ἐπικρατεῖ τὸ ξηρὸν ἢ τὸ ψυχρὸν ἢ τὸ θερμὸν ἢ τὸ ὑγρόν. Αἱ νοσωδέσταται κατασκευαὶ τῶν σωμάτων ἐξ ἐναντίων τῇ κράσει συγκεῖνται μορίων, ὥσπερ αἱ ἄρισται κατασκευαὶ τῶν σωμάτων συνεστήκασιν, ἐκ συμμετρίας μὲν τῶν ὀργανικῶν, ἐξ εὐκρασίας δὲ τῶν ὁμοιομερῶν. Πάθος ἐστὶ παραποδισμὸς κατὰ φύσιν ἐνεργείας τινὸς ἢ τινῶν. οἱ δὲ Ἡροφίλειοι οὕτως.

al. Perturbatus est uerborum ordo, ut tale aliquid accipiendum esse uideatur. ἡ μὲν γὰρ ἀρτιότης ὥσπερ συμπλήρωσις ἐστὶ τῶν μελῶν οὕτω καὶ ἡ φρόνησις τῆς ψυχῆς τῶν ὀρθῶν καταλήψεων.

Πάθος ἐστὶ τὸ μὴ διὰ παντὸς ἐν περὶ αὐτῷ χρόνῳ λυόμενον καὶ ἐν ἐλάττονι δὲ ποτέ, καὶ ἐν πλείονι. Νόσημα ἐστὶν ἕξις νοσώδης ὅλου τοῦ σώματος ἢ μέρους. Τῶν νοσημάτων, τὰ μὲν ἐστὶ συνεχῆ, τὰ δὲ διαλείποντα, τὰ δὲ ὀξέα, τὰ δὲ χρόνια, τὰ δὲ κατόξεα. Διαλείποντα μὲν ἐστὶ ταῦτα, τριταῖος. ἀμφημερινός. τεταρταῖος. πεμπταῖος. καὶ τὰ τούτοις ὅμοια. Συνεχῆ δὲ ὁ ἡμιτριταῖος καὶ ὁ τυφώδης οὕτως καλούμενος πυρετός, καὶ ὁ καῦσος. Ὀξέα δὲ φρενῖτις. λήθαργος. πλευρῖτις. περιπνευμονία. Χρόνια δὲ ἐπίληψις, ἀρθρῖτις, νεφρῖτις. Κατόξεα δὲ συνάγχη, κυνάγχη, ἀποπληξία, χολέρα, καὶ τὰ τούτοις ὅμοια. Ἔτι τῶν νοσημάτων τὰ μὲν ἐστὶν ὀξέα, καὶ συνεχῆ ὡς οἱ καῦσοι, καὶ φρενίτιδες, πλευρίτιδες, καὶ γὰρ ὀξέα ταῦτα, καὶ συνεχῆ τυγχάνει. τὰ δὲ οὔτε ὀξέα οὔτε συνεχῆ ὡς τὰ χρόνια νοσήματα. Τῶν πυρετῶν τέσσαρές εἰσιν καιροί, οὓς καὶ χρόνους προσαγορεύομεν. εἰσβολή, αὔξησις, ἀκμή, παρακμή. Τῶν νοσημάτων διαφορὰς Ἱπποκράτης οἶδεν ἐννέα, ὀξύ, κατοξύ, κακόηθες, χρόνιον, μέσον, ὀλέθριον, περιεστηκός, κινδυνῶδες, ἀκίνδυνον. Κάτοξυ, πάθος ἐστὶ τὸ δυνάμει καὶ φαντασίᾳ μεῖζον, καὶ χαλεπώτερον τοῦ ὀξέος τοὐπίπαν κρινόμενον ἐν ἡμέραις ἑπτά. τοῦτο καὶ ὀξύτατον προσαγορεύειν εἰώθεν. Κακόηθες νόσημα ἐστὶ τὸ δυνάμει μὲν μέγα καὶ χαλεπόν, φαντασίᾳ δὲ ἀσθενὲς οὐκ ἔχον κρίσεως χρόνους ὡρισμένους.

Χρόνιον νόσημα ἐστὶ τὸ μεταβάλλον ἐπὶ τὸ χεῖρον καὶ ἐπὶ τὸ κρεῖττον κρινόμενον ἐν μησί, καὶ ἐνιαυτοῖς, ἢ καὶ συναποθνῆσκον περὶ ἀνθρώπῳ. Μέσον νόσημα ἐστὶ τὸ μεταξὺ χρονίου, καὶ ὀξέος μεταβάλλον, καὶ αὐτὸ ἐπὶ τὸ κρεῖττον, καὶ ἐπὶ τὸ χεῖρον, κρινόμενον τοὐπίπαν ἐν ἡμέραις ἑξήκοντα, ἢ ὀγδοήκοντα. Ὀλέθριον νόσημα ἐστὶ τὸ πάντῃ πάντως ὄλεθρον ἐπιφέρον ἤτοι ἐν ὀλίγῳ χρόνῳ, ἢ ἐν πλείστῳ. Περιεστηκὸς νόσημα ἐστὶ ὅπερ οὐδέποτε ἀναιρετικὸν γίνεται. Κινδυνῶδες νόσημα ἐστὶ τὸ ῥοπὴν ἴσην ἔχον καὶ πρὸς ὄλεθρον, καὶ πρὸς σωτηρίαν, λέγοιτο δ' ἂν τοῦτο, καὶ ἀμφίβολον. Ἀκίνδυνον νόσημα ἐστὶ τὸ ἀεὶ ῥέπον εἰς σωτηρίαν, ὅθεν ἐφ' αὐτῷ, τῇ δυνάμει

ταυτὸν

ταὐτὸν ὑπάρχον τῷ περιεστηκότι. Μέγα κατὰ φαντασίαν νόσημα ἐστὶν ὡς τὸ ἐν σαρκωμένοις τόποις τραῦμα πολλὴν ἔχον τόπον. τὸ δὲ κατ' ἀποτέλεσμα μέγα νόσημα. ὡς τὸ κατὰ νεῦρον, ἢ μυὸς νύγμα, πρὸς τὴν ὄψιν μικρὸν φαινόμενον, δυνάμει δὲ μέγα. Ἀρώστημα ἐστὶ νόσημα ἐγκεχρονισμένον μετ' ἀσθενείας πλείονος.

Νόσημα ἐστὶν ἔμμονος κατασκευὴ περὶ τὰ μετέχοντα τοῦ ζῆν σώματα. οἱ Ἡροφίλειοι πάθος λέγουσιν εἶναι τὸ δύσλυτον, καὶ δυσκίνητον, οὗ τὴν αἰτίαν ἐν ὑγροῖς εἶναι. Ἀρώστημα ἐστὶ νόσημα ἀσθενὲς ἐλαττοῦν τὴν δύναμιν.

Ὀξὺ πάθος ἐστὶ τὸ σύντομον τὴν λύσιν ἢ ἀναίρεσιν, ὅλον ἐφ' ἑαυτῷ ἔχον. Σποραδικὰ νοσήματα ἐστὶν τὰ ἐν παντὶ χρόνῳ, καὶ τόπῳ γινόμενα. Ἔνδημα ἐστὶ τὰ ἐν τισὶ πλεονάζοντα τόποις. Ἐπίδημα ἐστὶ τὰ κατὰ τινὰς χρόνους περὶ πλείονας ἐν τῷ αὐτῷ τόπῳ γινόμενα. Λοιμὸς ἐστὶ νόσημα ἐπὶ πάντας ἢ τοὺς πλείους περὶ γινόμενον ὑπὸ διαφθορᾶς ἀέρος, ὥστε τοὺς πλείστους ἀπόλλυσθαι. φέρεται δὲ καὶ τοιοῦτος τις ὅρος. Λοιμὸς ἐστὶ κοινὸν πάθος πλείστων ὑπὸ τὸν αὐτὸν καιρὸν κατὰ πόλεις καὶ ἔθνη, ὀξεῖς κινδύνους καὶ θανάτους ἐπιφέρον. δυνατὸν καὶ οὕτως ὁρίζεσθαι. Λοιμὸς ἐστὶ τροπὴ ἀέρος, ὥστε μὴ τετηρηκέναι τὰς ὥρας τὴν ἰδίαν τάξιν μετὰ τοῦ καὶ πολλοὺς ἀποθνήσκειν ὑπὸ τοῦ αὐτοῦ νοσήματος. Αἴτιον ἐστὶ ὃ ποιεῖ τι ἐν τῷ σώματι καὶ αὐτὸ ἀσώματον ἐστίν. ἔστι δὲ τὸ μὲν προκαταρκτικόν, τὸ δὲ συνεκτικόν, τὸ δὲ προηγούμενον. Προκαταρκτικὸν μὲν οὖν ἐστιν, ὃ ποιῆσαν τὸ ἀποτέλεσμα κεχώρισται, ὡς ὁ δακὼν κύων, καὶ ὁ πλήξας σκόρπιος, καὶ ἡ ἀπὸ τοῦ ἡλίου ἔγκαυσις, ἢ τὸν πυρετὸν ἐργαζομένη. Συνεκτικὸν δὲ, ὃ παρὸν μὲν παροῦσαν φυλάττει τὴν νόσον. ἀναιρούμενον δὲ συναναιρεῖ, ὡς ὁ ἐν κύστει λίθος. ὡς ὕδατις. ὡς πτερύγια. ὡς ἐγκανθίς. ὡς ἄλλα τοιαῦτα τῶν ἰατρῶν οὐκ ἐν αἰτίων μόνον λόγῳ, ἀλλὰ καὶ ἐν παθημάτων τιθέντων ταῦτα. Ἀθήναιος δὲ ὁ Ἀτταλεὺς οὕτω φησί. αἴτιον ἐστὶ τὸ ποιοῦν. τοῦτο δὲ ἐστὶ τὸ προκαταρκτικόν. ἄλλως. τὰ προκαταρκτικὰ αἴτια ἐστὶν ὅσα προκατάρχει τῆς ὅλης συντελείας τοῦ ἀποτελέσματος, καὶ ὧν οὐδὲν προηγεῖται. Προηγούμενον αἴτιον ἐστὶ τὸ ὑπὸ τοῦ προκαταρκτικοῦ κατασκευαζόμενον. ἤτοι *συνεκτικοῦ. οἱ δὲ οὕτως. προηγούμενον αἴτιον ἐστὶν οὗ παρόντος πάρεστι τὸ ἀποτέλεσμα καὶ αὐξομένου αὔξεται, καὶ μειουμένου μειοῦται, καὶ αἰρομένου αἴρεται. Αὐτοτελὲς αἴτιον ἐστὶ τὸ αὐτὸ καθ' αὑτὸ τὸ ποιοῦν τέλος. Συναίτιον ἐστὶν ὃ σὺν ἑτέρῳ δύναμιν ἴσην ποιοῦν τὸ ἀποτέλεσμα, αὐτὸ δὲ κατ' ἰδίαν μόνον οὐ δυνάμενον ποιῆσαι. συνεργὸν ἐστὶν αἴτιον ὃ ποιοῦν ἀποτέλεσμα, δυσχερὲς δὲ συλλαμβάνον πρὸς τὸ ῥᾷον αὐτὸ γίνεσθαι κατ' ἰδίαν ποιεῖν οὐ δυνάμενον. Πρόδηλα ἐστὶν αἴτια ὅσα ἐξ ἑαυτῶν καταλαμβάνεται διὰ αἰσθήσεως ποιοῦντά τε καὶ ἐνεργοῦντα. οἱ δὲ οὕτως. πρόδηλα ἐστὶν αἴτια ἃ καὶ αὐτὰ φαίνεται, καὶ ἀποφαίνει τὸ ἀποτέλεσμα συμφώνως αὐτῷ γινόμενον. Οὐ πρόδηλα αἴτια ἐστὶν ὅσα οὐκ ἐξ ἑαυτῶν, διὰ δὲ σημείων καταλαμβάνεται, καθάπερ ἄδηλα, ὅσα οὐδὲ ἐξ ἑαυτῶν οὐδὲ ἐξ ἄλλων καταλαμβάνεται. Πρὸς καιρὸν ἄδηλα, ἐστὶν ὅσα ἀποκαλυφθέντα μέν τοι ἐξ αὐτῶν φαίνεται, καὶ παρακείμενα δὲ τοῖς σώμασι διὰ σημείων γνωρίζεται, ἢ οὕτως. πρὸς καιρὸν ἄδηλα ἐστὶ τὰ μέχρι μὲν τινὸς ἀπόντα, αὖθις δὲ ὑπὸ τὴν αἴσθησιν ἐλθεῖν δυνάμενα. Σημείωσις ἐστὶν ἡ διὰ σημείου, ἢ διὰ σημείων κατάληψις. Σημεῖον ἐστὶν τοῦ μέλλοντος συμβήσεσθαι διάγνωσις. τινὲς δὲ οὕτως Σημεῖον ἐστὶν οὗ γνωσθέντος ἕτερον ἀγνοούμενον ἡμῖν γινώσκεται καταλαμβανόμενον Παθογνωμονικὸν ἐστὶν τῶν τε ἐντὸς καὶ τῶν ἐκτὸς σημείωσις. Προγνωστικὸν δὲ ἐπίσημον τῶν ἀποβήσεσθαι μελλόντων. Σημείωσις σημεῖον ἐστὶ τὸ τινὸς ἀδήλου δηλωτικόν. Πρόγνωσις ἐστὶ τὸ προεπίστασθαι τὰ μέλλοντα συμβήσεσθαι τῷ σώματι. Προγνωστικὸν σημεῖον ἐστὶν ἐξ οὗ γινώσκεται τὸ μέλλον. Πρόρρησις ἐστὶ πρόγνωσις καὶ προαγόρευσις τοῦ μέλλοντος. Καταγνωμικὸν ἐστὶ σημεῖον ἐξ οὗ γινώσκεται τὸ πάθος. Συνδρομὴ ἐστὶ σύνοδος τῶν συμπτωμάτων. Σύμπτωμα ἐστὶ πάθους ἐπιγέννημα. Βοηθηματικὰ σημεῖα ἐστὶν ἐξ ὧν ὑπομιμνησκόμεθα τῆς ἐπ' αὐτῇ τετηρημένης θεραπείας. Βοήθημα ἐστὶ τὸ ἐπ' ὠφελείᾳ προσαγόμενον ἀνθρώποις, σύνθετον ἐκ ποιότητος, ποσότητος, τάξεως, καιροῦ. Θεραπεία ἐστὶ τάξις βοηθημάτων ἀκολουθίαν ἐχόντων, ἢ καιρὸς καὶ χρόνος κατορθώματος, ἢ ἐπιτηδειότης χρόνου ἐν ᾧ βοηθοῦμεν κάμνουσιν. Ἐνδεικτικὸν σημεῖον ἐστὶ τὸ ἀρχικὸν ἐν καταλήψει ἀδήλου τινὸς ἀκολουθοῦντος τὸ αὐτὸ ἀγαθόν. Ὑπομνηστικὸν σημεῖον ἐστὶν ὡς οἱ ἐμπειρικοὶ λέγουσι πρᾶγμα φαινόμενον, καὶ γινωσκόμενον ἐκ προπαρατηρήσεως χρησιμεῦον εἰς ὑπόμνησιν γινωσκομένου πράγματος. παρόντων παρόντα σημεῖα ἐστὶ πάντα τὰ παθογνωμονικά. τούτων γὰρ γιγνομένων, καὶ παρόντων μὲν, τὰ πάθη, παυομένων δὲ λύεται, καὶ τὰ νοσήματα. Παρόντα προγεγονότων σημεῖα ὡς ἡ οὐλὴ τοῦ προγεγενημένου ἕλκους. παρόντα δὲ μελλόντων ὡς τὸ νεκρῶδες πρόσωπον τοῦ θανάτου. προγεγονότα δὲ τῶν προγεγονότων σημεῖα. ὡς ἡ μετὰ τὴν παρακμὴν ἄνεσις, τοῦ παρηκμακέναι. προγεγονότα παρόντων ὡς τὸ δεδῆχθαι ὑπὸ ἀσπίδος, τοῦ ἐν ὀλεθρίοις εἶναι τοῦτο. οἱ δὲ οὕτως. προγεγονότα παρόντων ὡς τὸ τιτρώσκεσθαι τὸ λεπτὸν ἔντερον, τοῦ ἐν ὀλεθρίοις εἶναι τοῦτο. προγεγονότων ἐσόμενα ὡς τοῦ συντριβέντος ὀστοῦ πώρωσιν ἐπιδεχομένου. πωρωθῆναι γὰρ δεῖ τοῦτο κατὰ τὴν ἀποκατάστασιν. οἱ δὲ οὕτως. προγεγονότα δὲ ἐσομένων, ὡς τοῦ ἀναιρεθέντος ἐκ τῆς κεφαλῆς ὀστοῦ, τὴν οὐλὴν ἔσεσθαι. Ἐπιγεγονότα δὲ παρόντων ὡς ἐπὶ τραύματι κινδυνεύειν τρωθέντα ἐπὶ νεύρων. προγεγονότα τῶν ἐπιγεγονότων ὡς ἐπὶ τραύματι σπασμός. οὐκέτι γὰρ ζῇ ὁ σπασθείς. Πυρετὸς ἐστὶ πλεονασμὸς θερμασίας νοσώδους ἀναφερομένης μετὰ παραλλαγῆς σφυγμῶν ἐπὶ τὸ πυκνότερον καὶ σφοδρότερον. οἱ δὲ οὕτως πυρετὸς ἐστὶ δυσκρασία τοῦ φυσικοῦ πνεύματος ἐπὶ τὸ θερμότερον καὶ ξηρότερον. πυρετὸς συνοχός ἐστιν ὁ μὴ διαλείπων μήτε νυκτὸς μήτε ἡμέρας, ἀνέσεις δὲ καὶ ἐνδόματα, καὶ παροξυσμοὺς ἐπιφέρων. Καῦσος ἐστὶν ὁ μετὰ πυρώσεως πολλῆς γινόμενος ἀναστολὴν μηδεμίαν τῷ σώματι παρέχων. γλῶσσαν ἐπιξηραίνων, μελαίνων, ἐπιθυμίαν ψυχροῦ παρέχων. Ἐμφυσώδης ἐστὶ πυρετὸς ὁ διὰ τὴν ἐπίτασιν τῆς θερμασίας φλυκτίδας ἀνὰ τὸ στόμα παρασκευάζων. Λιπυρίας δὲ πυρετὸς ἐφ' οὗ τὰ ἄκρα καὶ ἡ ἐπιφάνεια ψύχεται. καίεται δὲ τὸ βάθος, ἐπέχονται δὲ αἱ ἀποκρίσεις διψῶσι, γλῶσσα τραχεῖα, σφυγμὸς μικρὸς, καὶ ἀμυδρὸς. ἅτε ἔσω νενευκότος τοῦ θερμοῦ.

Ῥοώδης πυρετὸς ὁ μετὰ ῥύσεως κοιλίας πολλάκις δὲ καὶ ἐμέτων, περιψύξεις ἐπιφέρων καὶ ταχεῖαν καθαίρε

σιν τῆς δυνάμεως μετὰ δίψους, καὶ ἀγρυπνίας, καὶ μικρότητος σφυγμῶν. Στεγνὸς πυρετός ἐστιν ὁ ἐναντίος τῷ ῥοώδει οὐκ ἐπιφέρων ἐκκρίσεις, τοὺς σφυγμοὺς μεγάλους διαφυλάττων. ἰσχναίνων βραδύτερον κατὰ τὸν χρόνον τὸ νόσημα. Ικτεριώδης δέ ἐστι πυρετὸς ὁ τὴν χρόαν ὁμοίαν ἰκτέρῳ παρασκευάζων, ἧπαρ μετεωρίζων, γλῶσσαν ἐπιξηραίνων, τὴν ἐπιφάνειαν δεινὴν παρασκευάζων. Λοιμώδης δέ ἐστιν ὁ μετὰ πολλῆς θερμασίας δίψος ἀθεράπευτον ἐπιφέρων, δυσώδεις κοιλίας ἐκκρίσεις βρομωδῶν φέρων. ὥς τε ἐμφορεῖσθαι ἀρκεῖν ὁμοίως τὰ μέρη ἀρνούμενα περὶ ἀπὸ τῶν ἔλων βρόμῳ, οὖρα πολλὰ καὶ δυσώδη. σφυγμοὺς μικροὺς, καὶ ἀμυδροὺς ἐπιφέρων. Νώθης δέ ἐστιν ὁ μετὰ καρυβαρείας γινόμενος ἢ διὰ μυξωτήρων αἱμορραγίας ἐπάγων, ἢ ἀρχὴν ἀρκείσεως, ἢ πρὸς ἀνάγκας δυσσυμπτωσίαν τοῦ σώματος. Φρικώδης δέ ἐστιν ὁ ἀναμεμιγμένην ἔχων περὶ ῥίγει τὴν θερμασίαν, σφυγμοὺς ἄγαν ἀσθενεῖς ἔχων, ὥς τε μήτε τῆς ἁφῆς ἀφικνεῖσθαι, ἀλλ᾽ ὡς ἀκρυγωδυκότας, γαστὴρ ὠγκωμένη βορβορύζουσα. γλῶσσα ὑγρὰ πάνυ, ὀξίζοντι ὅμοιον καὶ ὥσπερ σιέλῳ περικλυζομένη. Τύπος ἐστὶν ἐπιτάσεων, καὶ ἀνέσεων τεταγμένη ἀνταπόδοσις. ἢ οὕτως τύπος ἐστὶ χρόνος πάθους, ᾧ καὶ παροξυσμὸς, καὶ διάλειμμα τεταγμένον συμβαίνει. Περίοδος ἐστὶν ἐξ ἐπιτάσεως καὶ ἀνέσεως ἐν νοσήμασι χρόνος. Ἀμφημερινός ἐστιν, ὁ καθ᾽ ἑκάστην ἡμέραν καὶ νύκτα κατὰ τὸ πλεῖστον τῆς αὐτῆς ὥρας ἐπισημαίνων. Τριταῖος ἐστὶν ὁμοίαν εἴτε ἡμέραν εἴτε νύκτα ἐπισημαίνων. τῇ δὲ ἑξῆς διαλείπων καὶ διὰ τρίτης πάλιν γινόμενος. Τεταρταῖος ἐστὶν ὁ μίαν μὲν ἡμέραν ἤτοι νύκτα ἐπισημαίνων, τῇ δὲ ἑξῆς διαλείπον ἡμέρας ἢ νύκτας δύο. τῇ δὲ τετάρτῃ πάλιν γινόμενος. ἡμιτριταῖος ἐστὶν ὃν ἡμεῖς λέγομεν κατὰ τὸν παλαιὸν τὸν εἰρημένον ἐν τῷ. α. τῶν ἐπιδημιῶν πυρετὸν ὀξὺν, τὸ μὲν ὅλον οὐ διαλείποντα. μίαν δὲ κουφοτέραν, μίαν δὲ βαρυτέραν ἐπιφέροντα. οἱ δὲ ἀπὸ τῆς μεθόδου, ἡμιτριταῖον μικρὸν τῶν δύο διαλειμμάτων ἔφησαν. Πλανῆται πυρετοὶ καλοῦνται οἱ μὴ ὡρισμένως μηδὲ εὐτάκτως, ἀλλ᾽ ἀκαταστάτως γινόμενοι. Διαστολή ἐστι ἄρσις καὶ οἷον ἐπανάστασις καρδίας, καὶ ἀρτηριῶν, καὶ ἐγκεφάλου, καὶ μήνιγγων κατὰ μῆκος, καὶ πλάτος, καὶ βάθος, αἰσθητὴ πρὸς τὴν ἔπαρσιν τῆς ἁφῆς. Συστολή ἐστιν συναγωγὴ καὶ σύμπτωσις τὴν μὲν αἴσθησιν οὐ κινοῦσα, περὶ δὲ εὐλόγῳ, καὶ ἀκολούθῳ καταλαμβανομένη. οἱ δὲ οὕτως. Συστολὴ δέ ἐστι διαίρεσις οἷον ἐπανάστασις καρδίας, καὶ ἀρτηριῶν κατὰ μῆκος, καὶ κατὰ πλάτος αἰσθητὴ πρὸς τὴν ἄρσιν τῆς ἁφῆς. Συστολὴ δέ ἐστι συναγωγὴ, καὶ σύμπτωσις τούτων, τὴν μὲν αἴσθησιν οὐ κινοῦσα, περὶ δὲ εὐλόγῳ, καὶ ἀκολούθῳ καταλαμβανομένη. Παλμός ἐστιν ἔπαρσις καὶ ὕφεσις σώματος εἴκοντος καὶ μὴ ἀντιτυποῦντος ὑπὸ πνεύματος γινόμενος, οὐκ ἀεὶ παρακολουθῶν ἀλλὰ κατὰ χρόνους τινὰς γινόμενος. οἱ δὲ οὕτως. παλμός ἐστιν ἔπαρσις, καὶ ὕφεσις σωμάτων μυωδῶν ὑπὸ πνεύματος ἀποτελούμενος, οὐκ ἀεὶ γινόμενος, ἀλλὰ κατὰ τινὰς χρόνους. Μέγας ἐστὶ σφυγμὸς ὁ κατὰ μῆκος καὶ βάθος, καὶ πλάτος τῆς ἀρτηρίας ἐπὶ πολὺ διϊσταμένης γινόμενος. Μικρὸς σφυγμός ἐστι ὁ τοὐναντίον ἐπ᾽ ἐλάχιστον κατὰ μῆκος, καὶ βάθος, καὶ πλάτος ἐπαιρομένης τῆς ἀρτηρίας ἐπιτελούμενος.

Μέσος ἐστὶν ὁ μεταξὺ τούτων ἀμφοτέρων κατὰ τὸ μῆκος καὶ κατὰ τὸ κύκλον ἀναλογοῦντι, καὶ τῆς περιφερείας ὑποπίπτουσης. Πλήρης ἐστὶ σφυγμὸς ὁ διάμεσος πρὸς τὴν ἁφὴν ὑποπίπτων. ὥστε αὐτὸν μετὰ τὸν χιτῶνα τῆς ἀρτηρίας ἐπισημότερον δοκεῖ γεγονέναι. μάλιστα δὲ τὸ ἐντὸς αὐτῆς ἅπαν ὑγρότερόν τε καὶ σωματωδέστερον καταλαμβάνεσθαι. Κενὸς δέ ἐστι σφυγμὸς καθ᾽ ὃν αὐτῆς τε τῆς ἀρτηρίας ἡ περιοχὴ παντάπασιν ἰσχνὴ, καὶ πομφολυγώδης ἐστὶ, καὶ τὸ ἔγχυμα ἀμαυρὸν, καὶ ἐξίτηλον οἷον καὶ ἐάν τις πιέσῃ τοὺς δακτύλους κενεμβατήσεως ἀντίληψιν ὑποπίπτειν. Σκληρὸς δέ ἐστι σφυγμὸς ἐφ᾽ οὗ νευρώδης ὡς ἂν εἴποι τις καὶ ἀπόκειτος ἡ ἀρτηρία φαίνεται. τότε καὶ τὸ ἐντὸς πνεῦμα τεταμένον, ὥς τε καὶ τὴν πληγὴν ἔχειν τι ἀποπληκτικόν. Ἁπαλὸς δὲ ὁ ὑπεναντίος τῷ σκληρῷ, ἀνειμένην καὶ ἁπαλὴν ἔχων τὴν ἀρτηρίαν, καὶ οὐ ἐντὸς τὸ πνεῦμα ἐκλελυμένον, καὶ τὴν πληγὴν προσηνεστέραν. Ὑγρὸς δέ ἐστι ὁ ἁπαλὸς οὔσης τε καὶ τῆς ἐν αὐτῷ οὐσίας προσηνοῦς, ὑγρασίᾳ δὲ καί τινι προσβάλλων. Αὐχμηρὸς δέ ἐστι σφυγμὸς, ὥς τε ἐκδεδαπανῆσθαι μὲν τὴν ὑγρότητα, ξηρᾷ δὲ καὶ ἀτρώδει ἀναθυμιάσει ἀναμεμῖχθαι. Σφοδρὸς δέ ἐστι ὁ τὴν κίνησιν εὔτονον καὶ βιαίαν ποιούμενος τὴν πληγήν. Ἀμυδρός ἐστιν, ὁ ἔκλυτον ἔχων τὸν τόνον. καὶ τὴν πληγὴν ποιούμενος ἀσθενῆ. Μέσος ἐστὶ σφυγμὸς ὁ ἀναλογίαν τινὰ σώζων πρὸς ἑκάτερον τούτων. Ταχὺς ὁ σύντομον ἔχων τὴν διαστολὴν, καὶ συστολήν. Τάξις σφυγμοῦ ἐστὶ σχέσις κατὰ μέγεθος ἢ σφοδρότητα, ἢ ῥυθμὸν, ἢ ἄλλην τινὰ διαφοράν. Ἀταξία ἐστὶ ἀκαταστασία κατὰ τοὺς σφυγμοὺς διάφορος. οἱ δὲ οὕτως. ἄτακτος σφυγμός ἐστιν ὁ ποτὲ μὲν πυκνότερος γινόμενος κατά τινας πληγὰς, ποτὲ δὲ ἀραιότερος. Ὁμαλότης ἐστὶν ἰσότης κατὰ τινὰς τῶν σφυγμῶν διαφοράς. Ἀνωμαλία ἐστὶν ἀνισότης σφυγμῶν κατὰ τινὰς τῶν παρεπομένων αὐτοῖς διαφορῶν. οἱ δὲ οὕτως. Ἀνώμαλος σφυγμός ἐστιν ἐφ᾽ οὗ ποτὲ μὲν σφοδρότεραι αἱ πληγαὶ γίνονται, ποτὲ δὲ ἀμυδρότεραι. Βάκχιος Ἡρόφιλος εἶπε. Ρυθμός ἐστι κίνησις ἐν χρόνοις τάξιν ἔχουσα ὡρισμένην. Ζήνων δὲ Ἡροφίλειος εἶπε. ῥυθμός ἐστι τάξις τῶν ἐν οἷς διΐστανται αἱ ἀρτηρίαι πρὸς τοὺς ἐν οἷς συστέλλονται. Βέλτιον οὕτως ὡρίσασθαι. ῥυθμός ἐστιν ἀναλογία χρονικὴ τῶν πρὸς τοὺς σφυγμοὺς μερῶν ποίαν σχέσιν ἐχόντων πρὸς ἀλλήλους. ἕτερος δὲ ὡρίσατο οὕτως. ῥυθμός ἐστι σχέσις τῶν ἐν οἷς διΐστανται αἱ ἀρτηρίαι πρὸς τοὺς ἐν οἷς συστέλλονται. Ἑτερόρυθμον λέγομεν τὸν ἑτέρας ἡλικίας ῥυθμὸν ἔχοντα. παράρυθμον φαμὲν τὸν πόσως προσεγγίζοντα τῇ ἡλικίᾳ ἐφ᾽ ἧς θεωρεῖται ῥυθμὸν μὲν ἔχοντα, μὴ παντάπασι δὲ ὄντα κατ᾽ ἐκεῖνον. Τρομώδης ἐστὶ σφυγμὸς ὁ μὴ ὁμαλὴν μὴ δὲ ἄσαλον τὴν πληγὴν ἀναφέρων, ἀλλ᾽ οἷον κινούμενός τις. Ἐσκολιωμένος ἐστὶν ὁ μὴ ἐπ᾽ εὐθείας τεταγμένης τῆς ἀρτηρίας ἐπιτελούμενος παρὰ τὴν θέσιν.

Ἀνώμαλος σφυγμός ἐστιν ὁ κατὰ μέν τι μέρος ὑψηλότερος ὑποπίπτων, καὶ ἐπὶ πλεῖον διαφυσωμένης τῆς ἀρτηρίας, καὶ ἀνυψωμένης, κατὰ δέ τι ἐπὶ ποσὸν, καὶ ὥσπερ ἀποστενοχωρουμένης κατὰ σφοδρότητα ἀνώμαλος, ὥσπερ κατὰ μέν τι μέρος τῆς ἀρτηρίας βιαιοτέραν τὴν ἐξαίρεσιν ποιούμενος. κατὰ δέ τι ὑποσυμβεβηκυῖαν, καὶ ἀσθενεστέραν. μείουρος ἐστὶν ὁ παρὰ τὴν θέσιν, ὅταν τὰ μὲν ἐπάνω μέρη τῆς ἀρτηρίας συνάγηται, καὶ κάτω τοὐναντίον, ἐν ταῦθα μὲν ἐπὶ πλεῖον ἀνευρύνηται, ἐν δὲ τοῖς ἐπάνω μέρεσιν συναιρεῖται. οἱ δὲ πλείους μειουρίζοντα καλοῦσιν, ὅταν ἀπὸ μείζονος τῆς προαγούσης πληγῆς, αἱ ἑξῆς καθ᾽ ὑφαίρεσιν ἀεὶ

σιν ἀεὶ

σιν ἀεὶ καὶ μᾶλλον μικρότεραι συντελοῦνται. ὀνομάζονται δὲ μείουροι, καὶ οὕτως. ὅταν ἀπὸ τοῦ πυκνοῦ σφυγμοῦ ἀραιότεροι σφυγμοὶ ἀποτελοῦνται. καλεῖται δὲ μείουρος καὶ ὅταν ἀπὸ τοῦ τάχους βραδύτερος ὁ σφυγμὸς μεταγίνεται. Δίκροτος δέ ἐστιν ὅταν ἡ δευτέρα ἀναχώρησις τῆς ἀρτηρίας μὴ τελεία γίγνεται, ἀλλὰ μελισμὸς καὶ ἐπὶ ποσὸν ὑπαγωγῆς, ἢ τοῦ ἀνακοπέντος πνεύματος, εἶτα ἀπόθεσις τελεία τῆς ὀφειλομένης συστολῆς. Ἀραχνοειδὴς δέ ἐστιν ὁ μικρὸς ὑπὸ βραχείας αὔρας σαλευομένης κινούμενος. Διαλείπων δέ ἐστιν, ὅταν τῶν συστολῶν καὶ τῶν διαστολῶν ἐπιτελουμένων, ἑνὸς σφυγμοῦ χρόνον ἡ ἀρτηρία διαλείπει. οἱ δὲ οὕτως. Διαλείπων δέ ἐστι σφυγμὸς ἐφ᾽ οὗ οὐκ ἐπὶ δύο μόνον, ἀλλ᾽ ἐπὶ τρεῖς, ἢ καὶ ἐπὶ πλείους πληγὰς ἐκλείπει διαστολὴν μίαν, ἢ καὶ δύο ἢ καὶ πλείους. Παρεμπίπτων ἐστὶ ὅταν μετὰ δυοῖν πληγῶν κατὰ τὴν ἰδίαν τάξιν κινουμένου ἐκ τούτου τις μέση παρεμπίπτῃ πληγή. Ἐκλείπων λέγεται σφυγμός, ἐφ᾽ οὗ οὐκ ἐπὶ δύο μόνον, ἀλλ᾽ ἐπὶ τρεῖς καὶ ἐπὶ πλείους πληγὰς ἀκίνητος ἡ ἀρτηρία διαμένει. οἱ δὲ οὕτως. ἐκλείπων ἐστὶ ὁ ἀπὸ μεγέθους ἀρχόμενος καὶ σφοδρότητος ἀεὶ μᾶλλον ὑφίων. καὶ μέχρι μὲν ἔχει τι μέγεθος, καλεῖται μειούρων ὁ τοιοῦτος, ὅταν δὲ ὑφιῇ καὶ μικρότερος ὡς ἐπὶ τὸ μικρότερον ῥέπῃ, ἐκλείπων καλεῖται. Δορκαδίζων ἐστὶ σφυγμός, ὅταν ἡ ἀρτηρία δόξασα διεστάλθαι μὴ παντελῶς διεσταλμένη ἐφ᾽ ἑτέραν ἐπιπήδησιν ἀθροωτέραν, πρὶν ἔμφασιν συστολῆς παρέχειν, βιαιοτέρα δὲ ἡ δευτέρα γένηται πληγή. Παλινδρομῶν ἐστὶ ὁ ἐπὶ ποσὸν ἐκβαίνων τὸ μέγεθος ἢ τὴν σφοδρότητα, καὶ ἐπὶ τῶν ἄλλων ἔπειτα, εἰς τοσοῦτο πάλιν ἀποκαθιστάμενος. Μυρμηκίζων ἐστὶ μικρός, κενός, πυκνός, ἀμυδρός, πάντων ἐπὶ τὸ ἔσχατον κατηγμένος, ἢ οὕτως. μυρμηκίζων ἐστὶ ἐφ᾽ οὗ γίνεται φαντασία περὶ τοὺς προσερειδομένους τῇ ἀρτηρίᾳ δακτύλους, οἱονεὶ μύρμηκος περιπατοῦντος, ὥστε καὶ μικρὸν εἶναι αὐτὸν, καὶ ἀμυδρόν. Φρενῖτίς ἐστι παρακοπὴ διανοίας μετὰ ὀξέος πυρετοῦ, καὶ κροκυδισμοῦ, καὶ διανοίας ἔκστασις, καὶ τὸν κατὰ σφυγμόν, ταύτης ἐμποδισμός, καὶ λήθη τοῦ φρονεῖν, ἢ παρακοπὴ φρενῶν σύντομος μετὰ τρόμου, καὶ φωνῆς ἀσαφείας, καὶ ψηλαφήσεως γινομένης τοὐπίπαν ὑπὸ κακοήθους πυρετοῦ. Λήθαργός ἐστι καταφορὰ δυσδιέγερτος μετὰ ἀγνοίας, καὶ οἰδήματος φυσώδους σὺν ἀτονίᾳ τῶν στερεῶν αὐτῶν καὶ τοῦ σφυγμικοῦ πνεύματος γινομένη, τοὐπίπαν ἐπὶ βληχροῦ. καὶ κακοήθους πυρετοῦ. Γίνονται δὲ οἱ λήθαργοι οἱ μὲν παθούσης τῆς ἀρχῆς, οἱ δὲ ἐπὶ ἀποστάσει. Συνάγχη ἐστὶ πάθος περὶ τράχηλον ὀξύ, χαλεπόν, πνιγμῷ τὸν παθόντα διάγον, ἢ οὕτως. συνάγχη ἐστὶ φλεγμονὴ τοῖς μὲν ἔξωθεν τοῦ τραχήλου, ὥστε διογκοῦσθαι τὰ μέρη, τοῖς δὲ ἔνδοθεν τῶν παρισθμίων, ὥστε συμπάσχειν καὶ τὰ ἀναπνευστικὰ ὄργανα, καὶ δυσπνεῖν.

Σπασμὸς δέ ἐστι περὶ νεύροις καὶ μυσὶ γινόμενον πάθος, μετὰ τοῦ ἄνευ προαιρέσεως ἕλκεσθαι, ποτὲ μὲν ὅλον τὸ σῶμα, ποτὲ δὲ μέρος. Τέτανός ἐστι ἀπότασις, καὶ πῆξις ἡ ἐν τῷ σώματι πάντων νεύρων τε καὶ μυῶν, ἢ οὕτως. τέτανός ἐστι σπασμὸς ἐπ᾽ εὐθείας μετὰ τοῦ τὸν τράχηλον ἕλκεσθαι, καὶ τὰς σιαγόνας συνερείδειν τε τοὺς ὀδόντας, καὶ μήτε ἐπινεύειν τὸν τράχηλον δύνασθαι, μήτε ἀνανεύειν. Ἐμπροσθότονός ἐστιν ὅταν ἕλκηται ὁ τράχηλος, καὶ εἰς τοὐπίσω ἀνακλᾶσθαι μὴ δύνηται. Ὀπισθότονός ἐστιν ὅταν ὄπισθεν ἕλκηται, καὶ εἰς τοὔμπροσθεν ἀνακλᾶσθαι μὴ δύνηται. Ἐπιληψία ἐστὶ ἐπίληψις διανοίας, καὶ τῶν αἰσθητηρίων, μετὰ τοῦ πίπτειν ἐξαίφνης. ἐπισυμβαίνει δὲ αὐτοῖς, καὶ ἀφρὸν φέρεσθαι διὰ τοῦ στόματος. Κάτοχός ἐστιν ἀναισθησία ψυχῆς μετὰ πήξεως τοῦ παντὸς σώματος. εἴδη κατόχου τρία. ὁ μὲν γὰρ ὑπνώδης ὃς παράκειται ληθάργῳ. ὁ δὲ ἕτερος ἐγρηγορὼς ᾧ παράκειται τέτανος, καὶ ἡ ἐφ᾽ ὑστέρᾳ καλουμένη πνίξ. τρίτον εἶδος κατόχου, ὃν οὐκ ἄν τις ἀσυνέτως κάτοχον ὀνομάζοι φρενιτικόν. γίνεται γὰρ ἐκ μίγματος ἀρρωστημάτων κατόχου τε καὶ φρενίτιδος, ὥσπερ καὶ ἡ τυφωνία ὅπερ ἐστὶ λήθαργος, παρακοπτικὸς ἢ παρακοπὴ ληθαργική. Ἀποπληξία ἐστὶ κατοχὴ διανοίας μετὰ ἀναισθησίας, καὶ παρέσεως τοῦ σώματος. Διαφέρει δὲ ἀποπληξία παραπληξίας, ὡς μέρος ὅλου. οἱ μὲν γὰρ ἀποπληκτικοὶ πάντως, καὶ ἡμιπληκτικοί, οἱ δὲ ἡμιπληκτικοὶ οὐ πάντως, καὶ ἀποπληκτικοί. καὶ ὅτι οἱ μὲν ὑγιαίνοντες τὴν διάνοιαν παρειμένοι εἰσὶ τοῦ σώματος μέρος μέρη. οἱ δὲ ἀποπληκτικοί, καὶ ταῦτα καὶ τὴν διάνοιαν, καὶ τὸ ὅλον. Παραπληκτικοὶ λέγονται, οἷς μόνα τὰ δεξιά, ἢ τὰ ἀριστερὰ αἱ παρέσεις γίνονται. Περιπνευμονία ἐστὶ φλεγμονὴ πνεύμονος μετὰ πυρετοῦ ὀξέος, καὶ δυσπνοίας. γίνεται δὲ ἐπ᾽ αὐτῶν καὶ ἐνερευθῆ τὰ μῆλα. Πλευρῖτίς ἐστιν ὀδύνη πλευροῦ, καὶ ὑπεζωκότος διατείνουσα μέχρι κλειδός, καὶ ἀκρωμίου, καὶ ὠμοπλάτης σὺν ὀξεῖ, καὶ ἀδιαλείπτῳ πυρετῷ μετ᾽ ὀδύνης νυγματώδους ὁμοῦ, καὶ φρίκης, καὶ δυσπνοίας, καὶ βηχός. Καρδιακὴ διάθεσίς ἐστι τῆξις τοῦ ἐμφύτου τόνου, καὶ πάρεσις. γίνεται δὲ τοὐπίπαν ἐπὶ στόματι γαστρὸς κακοπραγοῦντι, καὶ στομάχῳ μεθ᾽ ἱδρώτων ἀκατασχέτων. τινὲς δὲ ᾠήθησαν περὶ καρδίᾳ φλεγμαινούσῃ γίνεσθαι τὸ πάθημα, καὶ διὰ ταύτην τοῦ τόνου τὴν ἔκλυσιν, καρδιακὴν, ἤτοι διάθεσιν, ἢ συγκοπὴν ἐκάλεσαν τὸ συμβαῖνον. Ἐμπνευμάτωσίς ἐστιν ὅταν πλεῖον πνεῦμα γινόμενον κατέχηται ἐν στομάχῳ, καὶ διατείνῃ αὐτὸν καὶ τὴν κοιλίαν μεθ᾽ αὐτοῦ, ὥστε καὶ ἐμποδίζεσθαι τὴν τῆς τροφῆς οἰκονομίαν. Χολέρα ἐστὶ πάθος, καὶ κάτοξυ, καὶ χαλεπόν, ἢ παραυτίκα τὸν ἄνθρωπον εἰς κατάρρουν ἀπήνεγκεν δι᾽ ἐμέτων, ἢ καὶ ἐκ διαρροίας, καὶ πολλῆς ἐκκρίσεως εἰς στρόφον, καὶ μικρὸν ὕστερον εἰς πυρετοὺς ἀπέστη δυσεντεριώδεις. ἢ οὕτως, χολέρα δέ ἐστι πάθος ὀξὺ μετ᾽ ἐμέτων πολλῶν χολωδῶν, καὶ ὑποχωρήσεων τῆς κοιλίας μετὰ τὸ συνέλκεσθαι τὰς γαστροκνημίας, καὶ καταψύχεσθαι τὰ ἄκρα. Γίγνονται δὲ ἐπὶ αὐτῶν οἱ σφυγμοὶ μικρότεροι καὶ ἀμυδρότεροι. Εἰλεὸς δέ ἐστι φλεγμονὴ ἐντέρων, ὥστε μήτε φύσας μήτε διαχωρήματα διεξιέναι, στρόφους δὲ ἰσχυροὺς παρακολουθεῖν, καὶ ἀγλήματα ὑποβεβηκότα. Ἴκτερος δέ ἐστιν ἀνάχυσις χολῆς εἰς τὸ δέρμα, ὥστε βάπτεσθαι τὴν ἐπιφάνειαν, καὶ χλωρὰν ἀποτελεῖσθαι, καὶ κακοῦσθαι τὸ δέρμα, καὶ λευκαὶ αὐτοῖς αἱ κατὰ κοιλίαν διαχωρήσεις γίγνονται. Μανία δέ ἐστι ἔκστασις τῆς διανοίας, καὶ παραλλαγὴ τῶν νομίμων, καὶ τῶν ἐν τῷ ὑγιαίνειν ἐθῶν ἄνευ πυρετοῦ. Μελαγχολία δέ ἐστι πάθος βλάπτον τὴν γνώμην μετὰ δυσθυμίας ἰσχυρᾶς, καὶ ἀποστροφῆς τῶν φιλτάτων, γιγνόμενον ἄνευ τοῦ πυρετοῦ. τισὶ δὲ αὐτῶν καὶ χολὴ προσγινομένη πολλὴ μέλαινα βλάπτει στόμαχον, ὥστε καὶ ἀπεμεῖσθαι, καὶ οὕτως τὴν γνώμην συγκακοῦσθαι. Κεφαλαία δέ ἐστι πάθος πόνον κεφα-

λῆς ὑποφέρειν ἀνυπόστατον κατὰ περιόδους τινάς, ὥστε καὶ ἦχον εἶναι ἐν τοῖς ὠσί, καὶ τοὺς ὀφθαλμοὺς ἐνερευθεῖς, καὶ προπετεῖς ὑπάρχειν. συνδιατείνονται δὲ αὐτοῖς, καὶ αἱ ἐν τῷ μετώπῳ φλέβες, καὶ ἔρευθος ἀμφὶ τὸ πρόσωπον ἴσχουσι. Ἑτεροκρανία ἐστὶν ὁπόταν περὶ τὸ ἀριστερὸν μέρος, ἢ τὸ δεξιὸν τῆς κεφαλῆς πόνος παρέπεται, καὶ ποτὲ μὲν ἐπιτάσεις, ποτὲ δὲ ἀνέσεις ὑποφέρει. Σκοτωματικοὶ καλοῦνται οἷς παρακολουθοῦσι σκοτώσεις, καὶ δοκοῦσι περιφέρεσθαι αὐτοῖς τὴν κεφαλὴν μετὰ τοῦ καὶ μαρμαρυγὰς αὐτοῖς παρέπεσθαι. Κατάρρους ἐστὶν ὑγρῶν πολλῶν καταφορὰ διὰ τῶν τρημάτων τῆς ὑπερῴας πολλὴ διὰ τῶν μυξωτήρων. ὥς τε σὺν τῇ ἀποκρίσει τῶν ὑγρῶν, καὶ πνεῦμα συνεκκρινόμενον ἦχόν τινα ἐκτελεῖν. Ὑδροφόβος ἐστὶ πάθους ἐπὶ δήγματι κυνὸς μαινομένου γιγνόμενον μετὰ τοῦ ἀποστρέφεσθαι τὸ ποτόν, καὶ σπᾶσθαι, καὶ συντείνεσθαι. γίγνεται δὲ αὐτοῖς, καὶ παρακοπή. Βούλιμος ἐστὶ διάθεσις καθ᾽ ἣν ἐπιζήτησις ἐκ μικρῶν διαλειμμάτων γίνεται τροφῆς. ἐκλύονται δὲ καὶ καταπίπτουσι, καὶ ἀχροοῦσι, καὶ καταψύχονται τὰ ἄκρα, θλίβονται τε τὸν στόμαχον, καὶ σφυγμὸς ἐπ᾽ αὐτῶν ἀμυδρὸς γίνεται. Φαγέδαινα ἐστὶ κατασκευὴ καθ᾽ ἣν ὀρεγόμενοι πολλῆς τροφῆς, καὶ λαμβάνοντες ἄμετρον οὐ κρατοῦσιν αὐτῆς, ἀλλ᾽ ἐξεράσαντες πάλιν ὀρέγονται. Φθίσις ἐστὶν ἕλκωσις τοῦ πνεύμονος, ἢ θώρακος, ἢ φάρυγγος, ὥστε βῆχα παρακολουθεῖν, καὶ πυρετοὺς βληχρούς, καὶ συντήκεσθαι τὸ σῶμα. φθίσις μὲν γάρ ἐστιν ἡ λεγομένη κοινῶς πάσης σώματος μείωσις τε καὶ σύντηξις. φθόη δὲ ἡ ἰδίως ἐφ᾽ ἕλκει σύντηξις τε καὶ μείωσις τοῦ σώματος. εἴρηται δὲ φθίσις ἀπὸ τοῦ φθίνειν ὅπερ ἐστὶ μειοῦσθαι. Δυσπνοϊκοί εἰσιν ἐφ᾽ ὧν οἱονεὶ στενοχωρούμενον ἐκπνεῖται τὸ πνεῦμα. Ἆσθμα ἐστὶ πάθος ἔπειξιν ἰσχυρὰν περὶ τὴν ἀναπνοὴν, καὶ δυσπνοίαν ἐπιφέρον, μετὰ τοῦ καὶ ἐνίους ἀνακαθίζειν, καὶ ἐξανίστασθαι. Ἡπατικοί εἰσιν οἷς ἥπατος πόνος παρακολουθεῖ χρόνιος μετ᾽ ἐπάρματος, καὶ σκληρίας, καὶ ἀχροίας τοῦ σώματος. ἐπιπυρέττουσι δὲ περιοδικῶς πυρετόν, καὶ ἡ γλῶσσα αὐτοῖς ἐπιξηραίνεται. Σκιρρούμενον ἧπαρ ἐστὶ ὅταν ὄγκος ἡ περὶ αὐτὸ σκληρός, καὶ ἀντίτυπος πρὸς τὴν ἁφὴν, καὶ ἀνώδυνος. Σπληνικοί εἰσιν οἷς φλεγμήναντες οἱ σπλῆνες εἰς τὸ κατὰ φύσιν οὐκ ἀποκαθίστανται, οὐδὲ ἀποφλεγμαίνουσιν, ἀλλ᾽ αὐτοῖς παραμένει ἡ σκληρία, ὥσπερ καὶ κατὰ τὰς νόσους ῥευματίζεται. ἀλλάσσεται δὲ καὶ αὐτοῖς, καὶ ἡ κατὰ φύσιν χρόα τοῦ σώματος. Σκίρρος ἐστὶ τοῦ σπληνὸς ὅταν μείζων ὁ σπλὴν ὑποπίπτῃ, καὶ λίαν σκληρός, καὶ διωγκουμένος. Διάρροια ἐστὶ ῥευματισμός, πλείων κοιλίας ἄνευ φλεγμονῆς, καὶ ἑλκώσεως πολυχρόνιος. Κοιλιακὴ διάθεσις ἐστὶ ῥευματισμὸς κοιλίας οὐ πρόσφατος ἀλλὰ χρόνιος μετὰ στροφῶν, καὶ πολλῶν ἀποχωρήσεων μετὰ τοῦ ἰσχναίνεσθαι τὸ σῶμα. Δυσεντερία ἐστὶν ἕλκωσις ἐντέρων μετὰ φλεγμονῆς καὶ ἀποκρίσεως αἱματωδῶν, ἢ τρυγωδῶν, ἢ δὲ καὶ ἀπολυμμάτων μετὰ τοῦ δάκνεσθαι, καὶ ἀλγεῖν τὴν κοιλίαν, καὶ τὰ ἔντερα. Τεινεσμός ἐστὶ διάθεσις πρὸς τοῖς κάτω μέρεσι, καὶ αὐτῷ τῷ ἀπευθυσμένῳ ὥστε πολλὰς μὲν τὰς ἐξαναστάσεις, καὶ προθυμίας γίνεσθαι, ὀλίγας δὲ τὰς ἀποκρίσεις. Λειεντερία ἐστὶ πάθος ἐπὶ δυσεντερίᾳ τὰ πολλὰ γινόμενον ὥστε διὰ τὰς οὐλὰς τὰς ἐπὶ ταῖς ἑλκώσεσι γεγενημένας πυκνοτέρων, καὶ λειοτέρων, καὶ ἀπονοτέρων γενομένων, ἀνάγκη πρὸ τοῦ πεφθῆναι διατρέχειν τὰ λαμβανόμενα σιτία ὀξέως ἐπὶ τὰς ἐκκρίσεις ἀμιγῆ, ἄπεπτα οἷα κατεπόθη. Κωλικὴ διάθεσις ἐστὶ κατασκευὴ χρόνιος περὶ τὸ κῶλον μετὰ τοῦ ἐκ διαλειμμάτων ἀλγήματα ἐπιγίγνεσθαι ἀνυπόστατα, καὶ δυσνοεῖν, καὶ ἐφιδροῦν, καὶ περιψύχεσθαι. Ὕδρωψ ἐστὶν ὁ ἀνὰ σάρκα, ἐφ᾽ οὗ τὸ σῶμα ὅλον ἐξοίδηκε, καὶ περικλύζεται τῷ ὑγρῷ. διαστρέφεται δὲ αὐτῶν καὶ τὰ αἰδοῖα, καὶ ἀνορεκτοῦσι. παρέπεται δὲ αὐτοῖς καὶ πυρετός. ὕδρωψ ἀσκίτης ἐστὶν ἐφ᾽ οὗ κοιλία, καὶ ὄσχεον, καὶ σκέλη ἐξοιδίσκεται. τὰ δὲ ἄνω ἰσχνὰ γίνεται ἀπολεπτυνόμενα. ὕδρωψ τυμπανίας ἐστὶν ἐφ᾽ οὗ πλέον μὲν τὸ πνεῦμα, ὀλιγότερον δὲ τὸ ὑγρὸν εὑρίσκεται, καὶ εἴ τις ἅψεται, ἦχος ἀποτελεῖται. Νεφρῖτις ἐστὶ φλεγμονὴ νεφρῶν μετ᾽ ἀλγήματος σφοδροῦ, ποτὲ δὲ καὶ δυσουρίας, καὶ ἰνωδῶν ἀποκρίσεων, ἢ ψαμμωδῶν μετὰ αἵματος ὀλίγου. Λιθίασις ἐστὶ γένεσις ἐν κύστει λίθου, δι᾽ οὗ κωλύεται ἡ τοῦ οὔρου ἔκκρισις. ἑτέρως. Λιθίασις ἐστὶ πάθος, διατάσεις τῆς κύστεως ἐπιφέρον. συνδιατείνεται δὲ αὐτοῖς καὶ ἦτρον, καὶ τῆς πόσθης ἅπτονται θαμινά. ἐπιγίνονται δὲ αὐτοῖς, καὶ ἰσχουρίαι. ὅταν περαιωθεὶς ὁ λίθος ἀποφράξῃ τὰς ὁδοὺς τοῦ περιττώματος. Στραγγουρία ἐστὶν ἡ κατὰ στράγγα τοῦ οὔρου ἔκκρισις. Ἰσχουρία ἐστὶν παντελὴς τοῦ οὔρου ἐπίσχεσις, κίνδυνον ἐπιφέρουσα. ἐπέχεται δὲ τὸ οὖρον κατὰ τρόπους ὀκτώ, διὰ φλεγμονὴν, διὰ σκίρρον, δι᾽ αἵματος θρόμβωσιν, διὰ παράλυσιν, διὰ πρόπτωσιν τοῦ λίθου, διὰ νευρικὴν συμπάθειαν, δι᾽ ἕλκωσιν, διὰ λιθίασιν. ἐν νεφροῖς γίνονται λίθοι ἔνθα κατ᾽ ἐκείνων τῶν σωμάτων πλῆθος συνέλθῃ χυμῶν παχέων ἅμα πυρετώδει θερμότητι. Γονόρροια ἐστὶ ἀπόκρισις ἐπιφέρουσα σπέρματος νόσημα, μετὰ τοῦ τήκεσθαι τὸ σῶμα, καὶ ἀχρούστερον ἀποτελεῖσθαι. γίνεται δὲ ἀτονησάντων τῶν σπερματικῶν ἀγγείων, ὥστε τρόπῳ τινὶ παρειμένων αὐτῶν μὴ κρατεῖσθαι τὸ σπέρμα. Σατυρίασις ἐστὶ, πάθος μετὰ ἐντάσεως αἰδοίου γιγνόμενον μετὰ τοῦ τείνεσθαι αὐτοῖς τὰ μόρια. ἐστὶ δὲ οἷς καὶ σπέρματος ἐξακοντισμὸς μεθ᾽ ἡδονῆς γίνεται. παραφέρονται δὲ τὴν γνώμην, καὶ νεύρων τάσις, καὶ σπέρματος γίνεται. Ἰσχιὰς ἐστὶ πολυχρόνιον καὶ δύσλυτον τοῦ ἰσχίου ἄλγημα. ἢ οὕτως ἰσχιὰς ἐστὶν νόσος πόνον ἰσχυρὸν ἐπιφέρουσα ἰσχίῳ, κατὰ περίοδον, ὥστε αὐτοῖς τὸν τόπον, καὶ μέχρι ἰγνύας καὶ γαστροκνημίας παρακολουθεῖν. Ἀρθρῖτις ἐστὶν φλεγμονὴ συνισταμένη περὶ τοῖς ἄρθροις ἔμμονος, πόνον ἰσχυρὸν ἐπιφέρουσα παχόντων νεύρων. Ποδάγρα ἐστὶ πάθος περὶ τοῖς ποσὶ γιγνόμενον, πόνον ἐπιφέρον παχόντων τῶν νεύρων, οἷς μὲν μετὰ πυρώσεως, οἷς δὲ μετὰ ψύξεως. Παράλυσις ἐστὶ πάθος βλάπτον τὴν προαιρετικὴν κίνησιν, περὶ μέρεσιν, ἢ μέρει τινὶ γινόμενον. ἀποτελεῖται δὲ παθόντων τῶν νεύρων, καὶ τῶν μυῶν. Σκελοτύρβη ἐστὶν εἶδος παραλύσεως, ὥστε περιπατεῖν ἐπ᾽ εὐθείας μὴ δύνασθαι, καὶ ποτὲ μὲν κατ᾽ εὐθὺ, ποτὲ δὲ εὐώνυμον εἰς τὰ δεξιὰ περιφέρειν, ἢ τὸ δεξιὸν εἰς τὰ ἀριστερά, καὶ ποτὲ μὲν ἐπισύρειν τὸ σκέλος, ὥσπερ οἱ ἀναβαίνοντες τι μέγα. Πήρωσις ἐστὶ στέρησις, ἢ ἐμποδισμὸς ἐνεργείας φυσικῆς ἢ ἀφαίρεσις τινὸς μορίου. Λέπρα ἐστὶν μεταβολὴ τοῦ χρωτὸς ἐπὶ παρὰ φύσιν μετὰ τραχύτητος καὶ κνισμῶν,

καὶ πόνων

καὶ πόνον, καὶ λεπίδας ἀποπίπτειν. ἔστι ὅτε μὲν οὐκ ἔστι ὅτε δὲ καὶ ἐπινέμεται πλείονα μέρη τοῦ σώματος. Ἐλέφας ἐστὶ πάθος παχὺ τὸ δέρμα, καὶ ἀνώμαλον παρασκευάζον, καὶ πελιδνὸν τὸ χρῶμα, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν. ἀναβιβρώσκεται δὲ χειρῶν, καὶ ποδῶν τὰ ἄκρα, καὶ ἰχῶρα ἀφίησι πελιδνὸν, καὶ δυσώδη. Λειχὴν ἐστὶ τραχύτης ἐπιφανείας μετὰ πολλοῦ κνησμοῦ. τὰ ἀνωτάτω μέρη τῆς ἰατρικῆς ἐστὶ δύο, θεωρία καὶ πρᾶξις. προηγεῖται δὲ τῆς πράξεως, ἡ θεωρία. θεωρῆσαι γάρ τι πρότερον χρὴ, ἔπειτα οὕτως πρᾶξαι. ἀρχὴ γὰρ τῆς ἐπὶ τῶν ἔργων τριβῆς ἡ διὰ τοῦ λόγου διδασκαλία. μέρη τῆς ἰατρικῆς, ἃ καὶ εἴδη τινὲς ἐκάλεσαν ἐστὶ πέντε, φυσιολογικὸν, παθογνωμονικὸν, διαιτητικὸν, ὑλικὸν, θεραπευτικόν. Φυσιολογικὸν μὲν οὖν ἐστὶ, τὸ περὶ τὴν θεωρίαν τῆς διοικούσης ἡμᾶς, καὶ οἰκονομούσης φύσεως γιγνόμενον. παθογνωμονικὸν δὲ τὸ περὶ τὴν διάγνωσιν τοῦ παρὰ φύσιν, ὄν. Διαιτητικὸν δὲ τὸ περὶ τὴν δίαιταν τῶν τε ὑγιαινόντων, καὶ τῶν νοσούντων.

Ὑλικὸν δὲ τὸ περὶ τὴν ἰωμένην τὸ σῶμα ἡμῶν ὕλην ἔχον. Θεραπευτικὸν δὲ τὸ περὶ τὴν ἴασιν καὶ ἀποκατάστασιν αὐτῆς πραγματευόμενον. Φλεγμονὴ ἐστὶν ἐν μήτρᾳ, ἡ μετὰ πόνου γιγνομένη ἐπιγαστρίου, καὶ βουβώνων, καὶ πυρετῶν, ἐφ᾽ ἧς καὶ βρέγματος πόνος, καὶ τενόντων συνολκὴ, καὶ ὀφθαλμῶν ὀδύνη. Ἀπόστημα ἐν μήτρᾳ ἐστὶν ὅταν ὁ πόνος ἐπιτεταμένος, καὶ σφύζει, καὶ διατείνει τὸ ἄλγημα ἕως ἤτρου, καὶ βουβώνων, καὶ ὀσφύος, καὶ πυρετοὶ προσγίνονται. Ὑστερικὴ πνὶξ ἐστὶ πάθος διὰ ἀναδρομὴν ὑστέρας γιγνόμενον ἢ κατάπτωσιν, καὶ ἀφωνίαν ἐπιφέρει, ὥστε καὶ τὴν ἀναπνοὴν αὐταῖς οὐκέτι δῆλον γίγνεσθαι, μετεωρίζεσθαί τε τὰ ὑποχόνδρια, καὶ τὸν σφυγμὸν ἔχειν ἀμυδρὸν, καὶ βραδύν. Γυναικεῖος ῥοῦς ἐστὶ φορὰ ὑγρῶν διὰ μήτρας ἐπὶ πλείονα χρόνον ὑπὸ ἀρρωστίας αὐτῇ γιγνόμενος. Ῥοῦς λευκὸς ἐστὶν ὅταν λευκὰ ᾖ τὰ ἀποκρινόμενα, καὶ ἐν τῷ προσώπῳ οἰδήματα, καὶ τὰ ὑποφθάλμια ἐποιδίσκεται. ἐνίοις δὲ καὶ ἡ γαστὴρ, καὶ τὰ σκέλη. Ῥοῦς πυῤῥὸς ἐστὶν, ὅταν ὑπόπυῤῥος ᾖ ἀπόκρισις, καὶ ὀδύναι ἐν τῇ ὀσφύϊ καὶ ἐν τοῖς βουβῶσι γίγνονται. Ῥοῦς ἐρυθρὸς ἐστὶν, ὁπόταν τὸ ἀποκρινόμενον μένον τοιοῦτον, οἷον ἀπὸ νεοσφαγοῦς ἱερείου αἷμα καὶ θρόμβοι ἐμπίπτουσιν. καὶ ὀδύνη ἔχει, καὶ πῦρ, καὶ βρυγμὸς, καὶ πόνος εἰς αὐτὰ τὰ αἰδοῖα, καὶ τὸ ὑπογάστριον. Ῥοῦς μέλας ἐστὶν, ὅταν μέλαιναι αἱ ἀποκρίσεις, καὶ δυσπνοία τοῦ σώματος, καὶ ὀδύνη ᾖ εἰς τὰ αἰδοῖα, καὶ ἰσχναίνονται.

Ἐρυσίπελας ἐν μήτρᾳ ἐστὶν ἐπειδὰν ὀδυνωμένη ἡ ὑστέρα ὁμοία ᾖ τοῖς ἀπὸ πυρὸς καιομένοις δυσυποίστοις, καὶ ἡ πύρωσις ἐπ᾽ ἐνίων μεταβαίνουσα ἄλλοτε ἐπὶ ἄλλους τόπους τῆς ὑστέρας. Σκλήρωμα ἐστὶν ὄγκος ὑπόσκληρος περὶ τι μέρος τῆς μήτρας γιγνόμενος, τὰ πολλὰ ἐπὶ φλεγμοναῖς μεινάσαις ἐπιτελούμενος. Σκίῤῥος ἐν μήτρᾳ ἐστὶ διάθεσις περὶ τι μέρος αὐτῆς, ὥστε εἶναι σκληρίαν ἀντίτυπον, ὀχθώδη, ἀνώμαλον, ἄπονον τὰ πολλά. Καρκίνωμα ἐν μήτρᾳ ἐστὶν ἄνευ ἑλκώσεως ὄγκος ἀνώμαλος, ὀχθώδης. Πάθη τριχῶν ἐστὶν ἐννέα, ῥοπάλωσις, διχοφυΐα, θραῦσις, ἀτροφία, ξηρασία, πολίωσις, ῥύσις, ἀλωπεκία, ὀφίασις. Ῥοπάλωσις ἐστὶ κατὰ τὸ ἄκρον τῶν τριχῶν ἀμυδρὰ σχέσις, μετὰ τοῦ μηκέτι συναύξεσθαι. Θραῦσις δὲ ἀνώμαλος τριχῶν ἀπόπτωσις παραπλησία τοῖς ἀπὸ ψαλίδος κεκαρμένοις. Ἀτροφία δὲ τριχῶν ἐστὶν ὑπερβάλλουσα ἰσχνότης μετὰ τοῦ μηκέτι συναύξεσθαι. Ξηρασία δὲ ἐστὶν χνοώδης τριχῶν ἐπιφάνεια, παραπλησία τοῖς ὑπὸ κονιορτοῦ μολυνομένοις. Πολίωσις δὲ ἐστὶ μεταβολὴ τριχῶν ἐπὶ τὸ λευκὸν πρὸ τῆς καθηκούσης ἡλικίας. Ῥύσις τριχῶν ἐστὶν ἀπόπτωσις ἀκολουθοῦσα ὡς ἐπίπαν μὲν τοῖς φθίνουσι, καὶ τοῖς ἀνακομιζομένοις δὲ ἐκ νόσου μακρᾶς:

Ἀλωπεκία δὲ ἐστὶ μεταβολὴ τοῦ χρώματος ἐπὶ λευκότερον διὰ τὴν χρονίζουσαν αἱ τρίχες ῥιζόθεν ἀποπίπτουσιν. Ὀφίασις δὲ ἐστὶ μεταβολὴ τοῦ χρώματος ὁμοία τοῖς προειρημένοις ἐπὶ τὸ μᾶλλον πυκνότερον μετὰ τοῦ σκολιοῦσθαι τὴν ψίλωσιν. Διαφοραὶ τῶν ἐν κεφαλῇ καταγμάτων ὀκτὼ, ῥωγμὴ, ἐγκοπὴ, ἐγγίσωμα, ἐκπίασμα, καμάρωσις, ἀποσκεπαρνισμὸς, ἄπαγμα, θλᾶσμα, ἀπήχημα. ἔνιοι δὲ τὸ μὲν θλᾶσμα εἶναι οὐ θέλουσι. τὸ δὲ ἀπήχημα τῇ ῥωγμῇ ὑπάγουσι. ῥωγμὴ ἐστὶν ὀστοῦ διακοπὴ ἐπιπολαῖος εὐθεῖα, καὶ ἤτοι στενὴ, ἢ πλατεῖα.

Ἐγκοπὴ ἐστὶν ὀστοῦ διακοπὴ μετὰ τοῦ ἀκλαστον εἶναι τὸ πεπονθὸς ὀστοῦν. Ἐγγείσωμα ἐστὶν ὀστοῦ διακοπὴ μετὰ τοῦ τὸ διακείμενον εἰς τὸ βάθος ὑποκεχωρηκέναι, καὶ ἐπιληλυθέναι τῷ ἀπαθεῖ ὀστῷ. Ἐκπίασμα ἐστὶν ὀστοῦ πολυμερὴς διακοπὴ μετὰ τοῦ τάσιν δρᾶν τῶν ὀστῶν εἰς τὸ βάθος ὑποκεχωρηκέναι, καὶ θλίβειν τὴν μήνιγγα. Ἀποσκεπαρνισμὸς ἐστὶν ὀστοῦ ἀποκοπὴ μετὰ τοῦ διακεκομμένου ὀστοῦ τετρᾶσθαι. Καμάρωσις ἐστὶν ὀστοῦ διακοπὴ μετὰ τοῦ τὸ ὀστοῦν ἅμα κεκλάσθαι ἐξ ἀμφοτέρων, καὶ παραπλησίως καμάραις ἐσχηματίσθαι. Ἄπαγμα ἐστὶν ὀστοῦ διακοπὴ ἐπιπόλαιος, ἢ καὶ βαθεῖα κατ᾽ ἀντικείμενα μέρη τοῦ τραύματος. Θλᾶσμα ἐστὶν ὑποχώρησις τοῦ κρανίου εἰς τὸ βάθος δίχα κατάγματος, γίνεται δὲ ἐπὶ τῆς παιδικῆς μάλιστα ἡλικίας. νοήσεις δὲ σαφέστερον τὸ εἰρημένον ἐπὶ τῶν κασσιτερίνων σκευῶν τοῦτο συμβαῖνον θεασάμενος.

περὶ τοὺς ὀφθαλμοὺς γίνεται πάθη, φλεγμοναὶ, ῥεύματα, ἕλκωσις. ἑλκώσεως τῶν περὶ τοὺς ὀφθαλμοὺς διαφοραὶ, ἄργεμον, νεφέλιον, ἐπίκαυμα, βόθριον, φλυκτὶς, λεύκωμα, ἄνθραξ, μυοκέφαλον πύωσις, ὄνυξ, σταφύλωμα. ταῦτα μετὰ πληγῆς. τὰ δὲ ἄνευ πληγῆς, ἑλκώσεως πάθη, μυδρίασις, φθίσις, ἀτροφία, νυκτάλωψ, ὑπόχυσις, γλαύκωμα, παράλυσις, μυωπίασις, στραβισμὸς, πτερύγιον, ἐγκανθὶς, πρόπτωσις, χήμωσις, σύγχυσις. Φλεγμονὴ μὲν οὖν ἐστὶν οἴδημα τοὺς περὶ ὀφθαλμοὺς μετ᾽ ἐρευθήματος καὶ πολλῆς θερμασίας, καὶ δυσκινησίας, καὶ νυγμῶν γινόμενον. Ῥεῦμα ἐστὶν ὑγρῶν λεπτῶν φορὰ ἀκατάσχετος, καὶ ἀπροαίρετος. Ἕλκωσις ἐστὶ ῥῆξις περὶ τὸν κερατοειδῆ, ἤτοι ἐκ πληγῆς, ἢ γενναίας φλεγμονῆς γινομένη. Ἄργεμον ἐστὶν ἕλκωσις κατὰ μὲν τὸ μέλαν λευκὴ φαινομένη, κατὰ δὲ τὸ λευκὸν ὑπέρυθρος. Νεφέλιον ἐστὶν ἀχλὺς, ἢ ἕλκωσις ἐπιπόλαιος ἐπὶ τοῦ μέλανος. Ἐπίκαυμα ἐστὶν ἕλκωσις ἐσχαρώδης κατὰ τὸ μέλαν ἐπιγιγνομένη, καὶ μὴ μένουσα. Βόθριον δὲ κοῖλον ἕλκος, ἢ καθαρὸν ἐπὶ τοῦ μέλανος. Φλυκτὶς ἐστὶν ἀπόστασις κατὰ τὸ μέλαν περιέχουσα ὑγρασίαν μετὰ φλεγμονῆς, καὶ ῥεύματος. Λεύκωμα ἐστὶν ἀφ᾽ ἑλκώσεως οὐλὴ παχεῖα, καὶ βαθεῖα.

μυοκέφαλον ἐστὶν ἀφ᾽ ἑλκώσεως μικροτάτη ἐπέκτασις τοῦ ῥαγοειδοῦς κατὰ τὸ μέλαν παραπλησία μυίας κεφαλῇ. Ἄνθραξ ἐστὶν ἐσχαρώδης ἕλκωσις μετὰ νομῆς, καὶ ῥεύματος, ἐνίοτε, καὶ βουβώνων καὶ πυρετοῦ.

Πύωσις ἢ ὄνυξ ἐστὶ συλλογὴ πύου ὑπὸ τὸ μέλαν μετὰ φλεγμονῆς πρὸς τῇ ἴριδι παραπλησία ὄνυχι. Σύγχυσις ἐστὶ ποτὲ μὲν ἐκ πληγῆς, ποτὲ δὲ ἐξ αὐτομάτου ῥῆξις τῶν ἐν βάθει χιτώνων μετὰ προχύσεως τῶν ὑγρῶν, καὶ ἀλλοιώσεως τῆς κόρης. Μυδρίασις ἐστὶν ἀμαύρωσις τοῦ ὁρατικοῦ ταραχθέντων τῶν ὑγρῶν. Φθίσις ἐστὶ μείωσις τῆς κόρης μετὰ ἀμυδρώσεως. Ἀτροφία ἐστὶ μικρότης ὅλου τοῦ ὀφθαλμοῦ, καὶ τῆς κόρης μετ' ἀμαυρώσεως. Νυκτάλωψ ἐστὶ πάθος, καὶ διάθεσις ὀφθαλμῶν δίχα φανερᾶς αἰτίας. συμβαίνει δὲ τοῖς οὕτω διακειμένοις ἡμέρας μὲν μὴ ὁρᾶν, νυκτὸς δὲ βλέπειν. Γλαύκωμα ἐστὶ τῶν κατὰ φύσιν ὑγρῶν εἰς τὸ γλαυκὸν χρῶμα μεταβολή. Σταφύλωμα ἐστὶν ἔπαρμα κατὰ τὸ τῆς κόρης τόπον ἐμφερὲς ῥαγὶ σταφυλῆς. Πρόπτωσις ἐστὶν ὅταν ὑπό τινος βιαίας πληγῆς ἀγχονισμοῦ μετὰ συνεχοῦς πυρετοῦ, ἢ κεφαλαλγίας ὀφθαλμὸς προπέσῃ. Μυωπίασις ἐστὶ διάθεσις ἐκ γενετῆς δι' ἣν τὰ μὲν πλήσια ὁρῶμεν, τὰ δὲ πόῤῥωθεν, ἢ ἐπὶ βραχὺ, ἢ οὐδὲ ὅλως. Στραβισμὸς ἐστὶν παράλυσις τῶν περὶ τὸν ὀφθαλμὸν μυῶν, οὐχ ὅλων ἀλλ' ἐνίων δι' ἣν αἰτίαν ἢ ἄνω, ἢ κάτω, ἢ εἰς τὰ πλάγια νεύουσιν οἱ ὀφθαλμοί. Ἵππος ἐστὶ διάθεσιν ἐκ γενετῆς καθ' ἣν ἀστατοῦσι, καὶ ἀεὶ κινοῦσιν οἱ ὀφθαλμοὶ κίνησιν ὑπομένοντες ἐν κλόνῳ, ἢ τρόμῳ ἀδιαλείπτῳ καθεστηκυῖαν. ταύτην τὴν διάθεσιν Ἱπποκράτης ἐκάλεσεν ἵππον. τὸ δὲ πάθος τοῦ στηρίζοντος ἐστὶ τὸν ὀφθαλμὸν μυὸς, ὃς περιείληφε τὴν βάσιν τοῦ βλεπτικοῦ ὀργάνου. Χήμωσις ἐστὶν ἔπαρμα τοῦ περιοφθαλμίου ὑμένος ὃ καὶ λευκὸν προσαγορεύουσιν, πάθος ὅμοιον λευκῇ σαρκί. Περὶ τὰ βλέφαρα, καὶ τοὺς κανθοὺς συνίσταται πάθη ταῦτα. ψώρα, φθειρίασις, κριθὴ, χάλαζα, λιθίασις, τριχίασις, τράχωμα, λαγόφθαλμον, ἐκτρόπιον, ῥοιάς, αἰγίλωψ, σταφύλωμα. Ψώρα ἐστὶ δριμυτάτου ῥεύματος γιγνομένη ἀνάβρωσις ταρσῶν, ἢ κανθῶν μετὰ κνησμοῦ. Φθειρίασις ἐστὶ περὶ τὰς ῥίζας τῶν βλεφαρίδων ψώρα λεπίδας πιτυρώδεις ἀποβάλλουσα. Χάλαζα ἐστὶ κεγχρώδης συστροφὴ κατὰ τοῦ βλεφάρου, καὶ λιθίασις ἐστὶ τὸ αὐτό. Κριθὴ ἐστὶν ὑγροῦ συλλογὴ περὶ τὸ βλέφαρον ἐπιμήκης κριθῇ ὅμοια. Τράχωμα ἐστὶ σκληρία καὶ τραχύτης ἀνώμαλος κατὰ τὰ ἔνδον τῶν βλεφάρων γινομένη. Ῥοιάς ἐστὶ τῆς ἐγκανθίου σαρκὸς δαπάνησις ἣ τὸ δάκρυον ἀποῤῥεῖ. Τριχίασις ἐστὶ βλεφάρων πτῶσις, καὶ τῶν ἐν αὐτοῖς τριχῶν γένεσις παρὰ φύσιν. διαφοραὶ τριχιάσεως τρεῖς, φαλάγγωσις, πτῶσις, ὑπόφυσις, τινὲς δὲ καὶ τὴν διστιχίαν ἐπεισάγουσιν. Διστιχία ἐστὶν ἑτέρου στίχου παρὰ φύσιν κατὰ τοῦ ταρσοῦ ἔκφυσις. Ἐγκανθίς ἐστὶν ὑπεροχὴ σαρκὸς ἐν τῷ μεγάλῳ κανθῷ. Αἰγίλωψ ἐστὶν ἐπανάστασις τῷ μεγάλῳ κανθῷ ὑγροῦ συλλογὴν ἔχουσα συντρητὸς, ἢ συντετρημένη. εἴρηται δὲ αἰγίλωψ ἀπὸ τοῦ ἐγγὺς εἶναι τοῦ ὀφθαλμοῦ. λὼψ μὲν γάρ ἐστιν ὀφθαλμός, τὸ δὲ ἀγχὶ ἐγγύς. Ὑπόχυμα ἐστὶν ὑγροῦ πῆξις τοῦ ὑδατώδους μᾶλλον ἤπερ ἐμποδίζουσα τὸ ὁρᾶν. διαφέρει δὲ ὑπόχυμα γλαυκώματος, ὅτι τὸ μὲν ὑπόχυμα πῆξις ἐστὶ τοῦ ὑδατώδους ὑγροῦ, τὸ δὲ γλαύκωμα μεταβολὴ τῶν κατὰ φύσιν ὑγρῶν ἐπὶ τὸ γλαυκὸν, καὶ ὅτι ἐπὶ μὲν τοῦ γλαυκώματος οὐδὲ ὅλως ὁρῶσιν, ἐπὶ δὲ τοῦ ὑποχύματος κατ' ὀλίγον. Ὑδατὶς ἐστὶ τῆς ὑπεστρωμένης τῷ ἄνω βλεφάρῳ πιμελῆς αὔξησις δι' ἣν ῥευματίζονται παρὰ φύσιν οἱ ὀφθαλμοί. Λαγόφθαλμον ἐστὶν ἀνάσπασις τοῦ ἄνω βλεφάρου, ὥστε μὴ καλύπτειν ἐν τῷ καμμύειν ὅλον τὸν ὀφθαλμόν. Πτερύγιον ἐστὶν ἔκφυσις σώματος ἐπιφυομένη τῷ κερατοειδεῖ. Ἐκτρόπιον ἐστὶν ὑπόφυσις σαρκὸς ἐν τῷ βλεφάρῳ ἥτις βαροῦσα ἐκτρέπει τὸ βλέφαρον. αἰτία δὲ ἐκτροπῆς βλεφάρου, ἢ σαρκὸς ἐπίφυσις, ἢ παράλυσις, ἢ οὐλῆς σύστασις. Πτίλωσις ἐστὶν ἀπὸ δριμυτάτου ῥεύματος ἀπόπτωσις τῶν βλεφάρων. Σταφύλωμα ἐστὶν ἔκτασις τοῦ μέλανος χιτῶνος μετὰ πυρώσεως. ὅμοια ῥαγὶ σταφυλῆς.

Σάρκωμα ἐστὶ σαρκὸς ἐν τοῖς μυκτῆρσι παρὰ φύσιν αὔξησις. ἐστὶ δὲ σάρκωμά τι, καὶ ὁ πολύπους. εἴρηται δὲ πολύπους ἀπὸ τῶν πολυπόδων. ὡς γὰρ ἐκεῖνοι πολλὰς ἔχουσιν ἀρχίδας πλαδαροί τε εἰσὶν, καὶ αὐξανόμενοι, οὕτω καὶ τοῦτο τὸ πάθος. διαφέρει σάρκωμα πολύπου μεγέθει, καὶ κατασκευῇ. Ὄζαινα ἐστὶν ἕλκωσις ἐν μυκτῆρσιν διὰ βάθους δυσώδης, τὴν ἀποφορὰν ἔχουσα. Παρωτίδες εἰσὶ παρὰ τοῖς ὠσὶν ἀποστήματα. ταύτας ἔνιοι Διοσκούρους ἐκάλεσαν, ἐπὶ πυρετοῖς γινόμεναι τὰ πολλὰ τῶν πυρετῶν ἀπαλλάσσουσαι. Λευκή ἐστιν ἡ ἐπὶ λευκὸν χρῶμα τοῦ σώματος παρὰ φύσιν μεταβολή. Ἕρπης ἐστὶν ἕλκος ἐπὶ πλεονεξίᾳ χολῆς γιγνόμενον, καὶ ἐπινέμησιν ποιούμενον. Ἀθέρωμα ἐστὶ χιτὼν νευρώδης ἀθηρῶδες ὑγρὸν περιέχων. Στεάτωμα ἐστὶ παρὰ φύσιν πιμελῆς συναύξησις. Προσάρτησις ἐστὶν ὑμένων μακροτέρων ἀνοχὴ πρὸς τὰ παρακείμενα σώματα. Ἀνεύρυσμα ἐστὶ φλεβώδους ἀγγείου ἀνευρυσμὸς, ἢ πνευματικῆς ὕλης παρασπορὰ ὑπὸ τῆς σαρκὸς κατὰ διαπήδησιν ἀναδιδομένης. Ὑπόσφυγμα ἐστὶν ἔξωθεν τῆς ἐπιφανείας μώλωπι παραπλήσιον.

Γάγγλιον ἐστὶ νεύρου παρὰ φύσιν συστροφὴ σωματοπεποιημένη. Ἄφθα ἐστὶν ἕλκωσις ἐπιπόλαιος ἐν στόματι γιγνομένη. ἐπιπολάζει δὲ αὕτη ἡ ἕλκωσις μάλιστα παιδίοις. Φλεγμονὴ ἐστὶν ὄγκος μετὰ ἐρυθήματος καὶ σκληρίας πόνους ἐπιφέρων σφυγματώδεις. εἴρηται δὲ φλεγμονὴ ἀπὸ τοῦ οἷον φλέγειν τὸν τόπον, ἢ ὄγκος ὀδυνηρὸς καὶ ἀντίτυπος μετ' ἐρυθήματος χωρὶς πυρετοῦ. Ἐρυσίπελας ἐστὶν ἔρευθος μετὰ διαπύρου φλογώσεως, ἔσθ' ὅτε πυρετὸν, καὶ φρίκας ἐπιφέρων. Κενοῦμεν δὲ ἢ διὰ φλεβοτομίας, ἢ σικύας, ἢ βδέλλης, καὶ τῶν τοιούτων. ἀφαιροῦμεν δὲ αἷμα διὰ πλῆθος πολὺ, καὶ μάλιστα ὅταν τὸ αἷμα αἴτιον τοῦ πάθους ὑπονοῶμεν. προκειτέον ἑκάστης ἀφαιρέσεως τὴν ἀμείνονα, τὴν δὲ δεινὴν ἐκκλίναντας δόσει φαρμάκου. Τὴν σικύαν διὰ περίβλασιν τὸ πικλήν. τὴν δὲ βδέλλαν ἐφ' ὧν λεπτῶς ἀναστομῶσαι τὸν πεπονθότα δεόμεθα τόπον. Σκίῤῥος ἐστὶν ὄγκος σωμάτων μετὰ σκληρίας, καὶ βάρους, καὶ δυσκινησίας τε καὶ δυσαισθησίας. Ἀπόστημα ἐστὶ μεταβολὴ σωμάτων ἐκ φλεγμονῆς εἰς πῦον. Κολόβωμα ἐστὶν ἔλλειψις μορίου κατά τι μέρος τοῦ σώματος. Πῶρος ἐστὶν οὐσία λιθώδης, καὶ ἀπόκροτος. Ὑδροκέφαλον ἐστὶν ὑδατώδους ὑγροῦ, ἢ αἵματος τοῦ τρυγώδους συλλογὴ κατά τι μέρος τῶν τῆς κεφαλῆς πλεόντων σωμάτων. Σύριγξ ἐστὶν ὑποφορὰ τυλώδης στενή τε καὶ ἐπιμήκης, ἔσθ' ὅτε καὶ σκολιωμένη ἀναπόλωτον ἔχουσα τὸ στόμιον, δι' οὗ ὑγρὸν κατὰ τινὰς καιροὺς ἐκκρίνεται λεπτόν. Κηρίον ἐστὶν ἕλκος συνεχὲς ἔχον καταῤῥήσεις ἐξ ὧν μελιτῶδες ὑγρὸν ἐκκρίνεται. Φαγέδαινα ἐστὶν ἕλκος ἀναβιβρῶσκον τὰ ὑγιῆ καὶ παρακείμενα. Καρκίνωμα ἐστὶν ὄγκος κακοήθης, καὶ περίσκληρος, ἀνέλκωτος, ἢ ἡλκωμένος. εἴρηται δὲ

ἀπὸ τοῦ

ἀπὸ τοῦ ζώου καρκίνου. Διονυσίσκοι εἰσὶν ὀστώδεις ὑπεροχαὶ ἐγγὺς κροτάφων γινόμεναι. λέγονται δὲ κέρατα ἀπὸ τῶν κερασφορούντων ζώων κεκλημένα. Τερηδὼν ἐστὶν ὀστοῦ κατάκρησις ἀπὸ φθορᾶς. τὸ δὲ ὄνομα τῷ πάθει ἀπὸ τῶν συμβεβηκότων τρημάτων, οἱονεὶ τὶς τρηδὼν οὖσα. Αδὴν ἐστὶ συστροφή τις ξηρὰ, καὶ σαρκώδης. ἢ συστροφὴ σαρκώδης. Χοιρὰς ἐστὶ σὰρξ ξηρὰ καὶ δύσλυτος. Βρογχοκήλη ἐστὶν ὄγκος παρὰ τῷ βρόγχῳ, διαφορὰν ἔχων παρὰ τὴν ἐν τῷ ὀσχέῳ κατασκευήν. Αγχύλη ἐστὶ πίσις περὶ τὸν τράχηλον, ἢ τὰ ἄρθρα τεινόντων, δι' ἣν ἐμποδίζεται ἡ ἐνέργεια. Εξόμφαλος ἐστὶν ὑπεροχὴ ὀμφάλου ὑπὸ διαφόρους αἰτίας γινομένη. Γυναικόμασθον ἐστὶ παρὰ φύσιν αὔξησις τῆς ὑποκειμένης τοῖς μασθοῖς πιμελῆς. Εμ καταλύψει ἐστὶν ἀπόστημα τῶν ἐν βάθει σωμάτων, ἢ σπλάγχνων εἰς πύον τῆς μεταβολῆς γινομένης. Ακροχορδὼν ἐστὶν ἔκφυσις περιφερὴς, καὶ διάστενον ἔχουσα βάσιν. Φύγεθλον ἐστὶ κατὰ βουβῶνα γινόμενον ἀπόστημα. Επιπλοόμφαλον ἐστὶν ὑποδρομὴ ἐπιπλόου κατὰ τὸν ὀμφαλόν. Υδρόμφαλον ἐστὶν ἀργοῦ ὑγροῦ σύστασις κατὰ τὸν ὀμφαλόν, ποτὲ δὲ καὶ ὑπὸ χιτῶνος συνεχόμενον. Πωρόμφαλον ἐστὶ πώρου σύστασις κατὰ τὸν ομφαλόν. Σαρκόμφαλον δὲ ἐστὶ σαρκὸς παρὰ φύσιν αὔξησις κατ' ὀμφαλὸν ἤτοι ἡμέρου ἤτοι κακοήθους. Πνευμόμφαλον δὲ ἐστὶ τὸ ἀνεύρυσμα τοῦ ὀμφαλοῦ.

Υπασπιδιὰς ἐστὶ πάθος ἐφ' οὗ ἡ βάλανος ἐφείλκυσται. Θύμος ἐστὶν ἔκφυσις σαρκὸς τραχείας, ὁμοία περὶ αἰδοῖον, καὶ ἕδραν γινομένη. Λιπόδερμος ἐστὶν ἔλλειψις τοῦ σκέποντος τὴν βάλανον δέρματος, ὡς μηκέτι ἀποσύρειν δύνασθαι. Διαφοραὶ δὲ τοῦ φύματος, δύο. ἢ γὰρ ἐκ φύσεως. ἢ ἐξ ἐπιγεννήματος ἑλκώσεως προηγησαμένης γίνεται. Ραγὰς ἐστὶ διαίρεσις τετυλωμένα ἔχουσα τὰ χείλη. Προεπιφύμωσις ἐστὶν ἀποσυρέντος τοῦ τῆς βαλάνου νεύρου, ὡς μηκέτι ἐπισύραι τὴν πόσθην δύνασθαι. Περιτομὴ ἢ περιαίρεσις ἐστὶν ἀφαίρεσις τοῦ σκέποντος τὴν βάλανον δέρματος. Αἱμορροὶς ἐστὶν ἀνεύρυσμα τῶν καταπληκόντων τὴν ἕδραν ἀγγείων. ἔρηται δὲ ἀπὸ τοῦ αἵματος δι' αὐτῶν.

Διαφοραὶ δὲ αἱ μορροΐδων πέντε. περὶ τὸ μέγεθος. περὶ τὸ πλῆθος. περὶ τὸ σχῆμα. περὶ τὸν τόπον. ἢ περὶ τὴν κατασκευήν. περὶ μὲν τὸ μέγεθος ὅτι αἱ μὲν αὐτῶν εἰσὶ μικραὶ, αἱ δὲ μεγάλαι. αἱ δὲ μέσαι. περὶ δὲ τὸ πλῆθος, ὅτι ἐφ' ὧν μὲν πλείονες συνίστανται, ἐπί τινων δὲ ἐλάττονες. παρὰ δὲ τὸ σχῆμα, ὅτι αἱ μὲν στενὴν τὴν βάσιν ἔχουσιν, αἱ δὲ πλατεῖαν. περὶ δὲ τὸν τόπον, ὅτι αἱ μὲν ἐν δακτυλίῳ γιγνόνται, αἱ δὲ ἐν σφυγκτῆρι αἱ δὲ ἐν τῷ ἀπευθυσμένῳ. περὶ δὲ τὴν κατασκευὴν, ὅτι αἱ μὲν εἰσὶν ἥμεροι, αἱ δὲ κακοήθεις. Κονδύλωμα ἐστὶ δακτυλίου στολίδος ἐπανάστασις μετὰ φλεγμονῆς. Σύριγξ ἐστὶν ὑποφορὰ τυλώδης στενὴ, καὶ ἐπὶ μήκους ἀναπεπλωτὸν ἔχουσα τὸ στόμιον, δι' οὗ ὑγρὸν κατά τινας τόπους ἐκκρίνεται. τῶν συρίγγων διαφοραὶ δύο. αἱ μὲν γὰρ αὐτῶν εἰσὶ τυφλαὶ, αἱ δὲ κρυπταί. τυφλαὶ μὲν αἱ τὸ στόμιον ἐν τῷ βάθει ἔχουσαι, τὸν μέντοι κόλπον πρὸς τὴν ἐπιφάνειαν. Κρυπταὶ δὲ ὅσαι καὶ τὸ στόμιον, καὶ τὸν κόλπον ἐν τῷ βάθει ἔχουσιν. Περὶ τὸν ὄσχεον γίνεται πάθη τρία κίρσος, ψώρα, ῥάκωσις. Ογκοὶ ἐν ὀσχέῳ συνίστανται, ὑδροκήλη, ἐντεροκήλη, ὑδρεντεροκήλη, κιρσοκήλη, ψωροκήλη, ἐπιπλοκήλη, ἐντεροπωροκήλη. Υδροκήλη ἐστὶν ἀργοῦ ὑγροῦ σύστασις κατὰ μέρος τοῦ ὀσχέου. Εντεροκήλη ἐστὶν ἐντέρου καθολισθήσαντος εἰς ἕτερον τόπον κατὰ βραχὺ, ἢ ἀθρόως. αἰτίαι δὲ ἐντεροκήλης ἡ προκαταρκτικὴ ἔντασις, ἡ πληγή. συνεκτικὴ δὲ ἐπέκτασις ἢ ῥῆξις τούτου

Υδρεντεροκήλη ἐστὶν ἐντέρου καθολίσθησις, καὶ ἀργοῦ ὑγροῦ συλλογὴ κατὰ τὸν ὀσχέον. Κιρσοκήλη ἐστὶν ἀνευρυσμὸς, καὶ μεγεθοποίησις τινῶν ἢ πάντων τῶν τρεφόντων τὸν δίδυμον ἀγγείων. Υγροκιρσοκήλη ἐστὶν ἀνευρυσμὸς τῶν τρεφόντων τὸν δίδυμον ἀγγείων καὶ ἀργοῦ ὑγροῦ συλλογὴ κατὰ τὸ μέρος τοῦ ὀσχέου. Επιπλοκήλη ἐστὶν ὀλίσθησις ἐπίπλου κατὰ τὸ μέρος τοῦ ὀσχέου. Εντεροεπιπλοκήλη ἐστὶν ὀλίσθησις ἐντέρου τε καὶ ἐπίπλου κατὰ τὸ μέρος τοῦ ὀσχέου. Κρύψορχις ἐστὶν ἀναχώρησις διδύμου, ἢ διδύμων. Ράκωσις ἐστὶν ἐπέκτασις πολλὴ τοῦ ὀσχέου. Ψωρίασις ἐστὶ σκληρότης τοῦ ὀσχέου μετὰ ἐπιτεταγμένου κνησμοῦ, ἔσθ' ὅτε δὲ καὶ ἑλκώσεως. Κήλη ἐστὶν ὄγκος περιεκτικὸς τινὸς τῶν προειρημένων. πᾶς γὰρ ὄγκος ἐν ὀσχέῳ κήλη λέγεται. Γάγγραινα ἐστὶ μεταβολὴ τοῦ χρωτὸς τοῦ κατὰ φύσιν ἑκάστου ἐπὶ τὸ ἀλλότριον καὶ νέκρωσις μεθ' ἑλκώσεως, καὶ δίχα ἑλκώσεως. γίνεται δὲ γάγγραινα, ἢ διὰ πληθώρας προηγησαμένης, ἢ νεκρώσεως γιγνομένης, ἢ φλεγμονῆς ἐγχειρουργείας. Οστοῦν ἐστὶ κατὰ μὲν Πλάτωνα μυελὸς ὑπὸ θερμοῦ πηγνύμενος, κατὰ δὲ ἐνίους τῶν ἰατρῶν σύγκρισις γεώδης, καὶ στερεὰ, καὶ ἀναίσθητος, καὶ ἄναιμος. κοινὰ δὲ ἡ ἀναισθησία, καὶ ἡ ἀνωμαλία χόνδρου, καὶ ὄνυχος. ἀλλ' ὁ μὲν χόνδρος εἰκὼν ἐστὶν ὀστοῦ. παράκειται γὰρ ἐν τοῖς ἄρθροις πλειστάκις. ὄνυξ δὲ ὀστοῦ εἴη ἂν ἐπιφάνεια, ἢ δέρματος ἄφαψις σκληρὰ καὶ ξηρά. Ερμαφρόδιτος ἐστὶ συμπλοκὴ τοῦ τε ἀρσενικοῦ, καὶ τοῦ θηλυκοῦ χαρακτῆρος μετὰ τοῦ καὶ ἐν ἀμφοτέροις γεγενῆσθαι αἰδοῖον ἔχειν. Δρακόντιον ἐστὶν ἕλκος φορὰν ὑπ' αὐτὸ ἔχον νεύρου ἀπὸ τοῦ πλησίον μέρους. εἴρηται δὲ δρακόντιον ἐπεὶ ἐν ταῖς κινήσεσιν ἀναχωρεῖ τὸ νεῦρον ἐπὶ τὸ ἕλκος, καὶ κρύπτεται ἐν αὐτῷ. Ηλος ἐστὶν ἕλκος ἐν πέλματι περιφερὲς, καὶ τετυλωμένον. Εκκρίνεται τὸ σπέρμα, ὥσπερ Πλάτων φησὶ καὶ Διοκλῆς, ἀπὸ ἐγκεφάλου, καὶ νωτιαίου, Πραξαγόρας δὲ καὶ Δημόκριτος ἔτι τε Ἱπποκράτης ἐξ ὅλου τοῦ σώματος. ὁ μὲν Δημόκριτος λέγων. Ἄνθρωποι εἷς ἔσται καὶ ἄνθρωπος πάντες. ὁ δὲ Ἱπποκράτης φησί. ἡ γὰρ ἡδονὴ πανταχόθεν ἔρχεται τοῦ σώματος ἀπὸ μὲν τῶν ὑγιῶν, ὑγιής, ἀπὸ δὲ τῶν νοσερῶν νοσερά. Τὸ σπέρμα ἐστὶν κατὰ μὲν τοὺς Στωϊκοὺς, ὃ μεθίησι τὸ ζῶον ὑγρὸν μετὰ πνεύματος καὶ ψυχῆς ὡς † δεῦ μέρος. κατὰ δὲ Ἀσκληπιάδην, τὸ ἐν ταῖς ἀφροδισίοις συνουσίαις ἐκκρινόμενον γεννητικὸν ὑγρόν. † αἱ αὐτοῦ Εζήτηται εἰ σπερμαίνει τὸ θῆλυ, ὥσπερ τὸ ἄρρεν σπερμαίνει, καὶ γὰρ τὸ θῆλυ τὴν αὐτὴν ὄρεξιν ἔχει καὶ κοινωνεῖ τῶν αὐτῶν νοσημάτων, καὶ φανερῶς διὰ τῆς ἀνατομῆς δείκνυται τοὺς σπερματικοὺς ἔχον πόρους, καὶ τὸ μέγιστον τοῦ σπερμαίνειν μαρτύριον αἱ ὁμοιότητες τῶν γεννωμένων πρὸς τὰς τεκούσας. ὅτι δὲ συμβάλλεται μαρτυρεῖ Ἱπποκράτης λέγων ἐν τῷ περὶ παιδίου φύσεως. ἣν γονὴ μείνει ἀπ' ἀμφοῖν ἐν τῇσι μήτρῃσι τῆς γυναικὸς, πρότερον μὲν μίσγεται ὁμοῦ, ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμεούσης, ἀθροίζεται τε καὶ παχύνεται θερμαινόμενον. ἔπειτα πνεῦμα ἴσχει. διαφέρει σπέρμα γόνου, ὅτι σπέρμα μὲν ἐστὶ τὸ ἐν σπερματικοῖς πόροις ὄν. τινὲς δὲ τὸ ἤδη ἐκκριθὲν, καὶ ὡς Ἀσκληπιάδης λέγει, ὅτι τὸ σπέρμα μὲν καὶ τοῖς μηδέπω γεννᾶν δυναμένοις ὡρισάμεθα. γόνον δὲ τὸ μηδέπω πεπεμμένον σπέρμα. Αἰτίαι ἀγονίας διτταί, ἢ περὶ τὸν ἄνδρα, ἢ παρὰ τὸ θῆλυ, καὶ ἑκάτεραι πλεοναχῶς. περὶ μὲν οὖν τὸ θῆλυ ἤτοι κατάψυχρον ἐχούσης, ἢ

κατάπιμελον τῆς γυναικὸς τὴν μήτραν. περὶ δὲ τὸ ἄρρεν, ἤτοι ὅταν ὑποσπαδιάσῃ ἐστερημένος διδύμων, ἢ ἄλλον τινὰ τρόπον ἔχων νοσήματος. ὅτι μέρος τῆς κυούσης τὸ κυούμενον, ἢ πάντως φθειρομένου μὲν αὐτοῦ ἀποθνήσκειν ἐχρῆν ἐξ ἀνάγκης τὴν κυοῦσαν, ἢ ἀποκυισκομένου βλάπτεσθαι πρὸς τὰς ὁλοκλήρους ἐνεργείας ὡς λείποντος μέρους καὶ ἀπεστερημένου τοῦ σώματος αὐτῆς. τρέφεται δὲ τὸ ἔμβρυον διὰ τοῦ χορίου λαμβάνον, καὶ ἐπισπώμενον. τρέφεται δὲ οὐ διὰ στόματος, ἀλλὰ δι' ὀμφαλοῦ. τινὲς μὲν εἶπον ζῶον, τινὲς δὲ οὔ. ὅσοι μὲν οὖν εἶπον ζῶον ὑπάρχειν αὐτό, τῇ κινήσει ἐτεκμήραντο ζῶον ὑπάρχειν αὐτό. ἐπειδὴ γὰρ κινεῖται, καὶ τὸ ἔμβρυον, καὶ ὅτι ἥδεται μὲν ἡδομένης τῆς μητρός, καὶ ἐμφαίνεται, ἀνιωμένης δὲ συστέλλεται. καὶ συνάγεται αἰσθανόμενον ὡς ζῶον. ἡ γὰρ αἴσθησις οὐκ ἄλλῳ τινὶ ἢ ζώῳ προσφυής. οἱ δὲ μὴ εἶναι ζῶον λέγοντες, τρέφεσθαι μὲν αὐτὸ καὶ αὔξεσθαι, ὥσπερ καὶ τὰ δένδρα, ὁρμὴν δὲ καὶ ἀφορμὴν οὐκ ἔχειν, ὥσπερ τὰ ζῶα. οὐ γὰρ αὐτὸ προαιρέτως οὐ μόνον κινεῖται, ἀλλ' οὔτε μετὰ προαιρέσεως, ἀλλ' ὡς τὰ δένδρα καὶ φυτά. τοῖς μὲν γὰρ αἴτιος κινήσεως ἄνεμος, ἐμβρύοις δὲ ἡ περὶ αὐτὰ ὑγρότης, καὶ ὄλισθος, καὶ τὸ σχῆμα τῆς μήτρας. πληρουμένη γὰρ σφαιροποιεῖται. σχῆμα δὲ ἡ σφαῖρα εἰς πᾶσαν κίνησιν εὐφυής, ἅτε βάσεως ἁπάσης ἄμοιρος. Ἀσκληπιάδης δὲ οὔτε ζῶον οὔτε μὴ ζῶον εἶπεν τὸ ἔμβρυον, ἀλλ' ὅμοιον ἔφησεν αὐτὸ τοῖς κοιμωμένοις. ὃν τρόπον γὰρ ἐκεῖνοι μὲν ἔχουσι τὰς αἰσθήσεις, οὐ χρῶνται δὲ αὐταῖς, οὑτωσὶ καὶ τὸ κατὰ γαστρός. γίνεται δὲ τὸ ἄρρεν κατὰ μέν τινας ἐπειδὰν τὸ ἐκ τῶν δεξιῶν ἀποσπασθὲν σπέρμα καταβληθῇ εἰς τὴν μήτραν. θῆλυ δὲ ἐκ τῶν ἀριστερῶν. ἄλλοι δὲ ἔφασαν κατὰ τὴν τοῦ σπέρματος ἰδιοσυγκρασίαν ἤτοι παρὰ τὴν θερμότητα, ἢ τὴν ψυχρότητα γίνεσθαι. τὸ μὲν γὰρ θερμότερον σπέρμα ποιεῖ τὸ ἄρρεν, τὸ δὲ ψυχρότερον τὸ θῆλυ. τὰ δὲ δίδυμα καὶ τρίδυμα γίνεται κατὰ μέν τινας διὰ τὸ εἰς θερμὴν τὴν μήτραν καθελκόμενον σπέρμα θραύεσθαι, καὶ ποιεῖν οὕτως τὰ δίδυμα, καὶ τρίδυμα. ἄλλοι δὲ τὰς ἐπισυλλήψεις ᾐτιάσαντο. ἡμεῖς δὲ φαμὲν ὅτι ἐὰν εὑρεθῇ τὸ σπέρμα εἰς ἄμφω ταῦτα, γίνεσθαι τὰ δίδυμα.

Τέρατα γίνεται, ὡς μέν τινές λέγουσι κατὰ παρέγκλισιν τῆς μήτρας. τὸ γὰρ σπέρμα παρεγχεόμενον ἀνωμάλως ποιεῖ τὰ τέρατα, ὃν τρόπον καὶ τὸν μόλιβδον θερμὸν ὄντα ἐπειδὰν καταχυθῇ ἀνωμάλως ἀνώμαλον ποιεῖ τὸ δημιούργημα. τὰ δὲ τέρατα ἤτοι κατ' ἔλλειψιν, ἢ κατὰ πλεονασμὸν γίνεται. καὶ τὰ μὲν κατὰ μέγεθος ὡς τὰ μεγαλοκέφαλα. τὰ δὲ κατὰ σμικρότητα ὡς τὰ στρουθοκέφαλα. τὰ δὲ κατὰ πλεονασμὸν ὥσπερ τὰ ἑξαδάκτυλα, ἔσθ' ὅτε δὲ καὶ πλεονοδάκτυλα. Διὰ ποίαν αἰτίαν, τῶν ἑπταμήνων γονίμων ὄντων τὰ ὀκτάμηνα ἄγονά ἐστιν; λέγεται οὕτως, ὅτι ὁ ὀκτὼ ἀριθμὸς ἄρτιός ἐστι, καὶ συνεζευγμένος, μὴ κρίσιμος ὤν. ὁ δὲ ἑπτὰ ἀριθμὸς περιττός, καὶ οὐδὲ συνεζευγμένος, καὶ διὰ τοῦτο κρίσιμος. Αἰτία συλλήψεως, ἡ τῆς μήτρας σύμμετρος θερμασία, καὶ ἡ πρόσφατος τῶν ἐμμηνίων κάθαρσις, καὶ ὄρεξις. ταῦτα γὰρ ὁμοῦ συνελθόντα κατέχει τὸ σπέρμα. πρῶτον συνίσταται τοῦ ἐμβρύου τὸ χόριον. εἶτα τὰ λοιπά. τὸ χόριον μὲν συνέστηκεν ἐκ δύο φλεβῶν, καὶ δύο ἀρτηριῶν, καὶ πέμπτου τοῦ καλουμένου οὐράχου, ἤτοι ἐπειδὴ χώρημα ἐστὶ τοῦ ἐμβρύου οἱονεὶ χωρίον, ἢ ἐπειδὴ χορηγεῖ τὴν τροφὴν αὐτῷ. Ὠδῖνές εἰσι πνεύματος ἀθρόου καταφορὰ πρὸς τὴν ἐκδρομὴν τοῦ ἐμβρύου. τὰ καταμήνια παρέχεται τῇ γυναικὶ πρὸς ὑγείαν ἐκκρινόμενα, ἐπισχεθέντα δὲ διὰ τὴν σύλληψιν τοῦ ἐμβρύου τὴν τροφὴν παρέχει. γέγονε γὰρ καὶ πρὸς σύλληψιν, καὶ πρὸς τὴν τοῦ γάλακτος γένεσιν. ταῖς κυούσαις ἡ κίττησις αἰτία γίνεται μετὰ δύο που, ἢ τρεῖς τῆς συλλήψεως μῆνας στομάχου παθόντος. τὸ γὰρ ἔμβρυον οὐδέπω δύναται καταναλίσκειν τὴν τροφήν. κίττης αἰτία γίνεται τὸ πλεονάζειν τὴν ὕλην, καὶ ταραχὴν ἐγγίνεσθαι τῷ στομάχῳ, ἀμέλει ἐπειδὰν αὔξησιν λάβῃ τὸ ἔμβρυον κάτω φερομένου τοῦ αἵματος ἐπ' αὐτὸν ὁ στόμαχος ἀποκαθίσταται.

Σχήματα ἐμβρύων τέσσαρα. ἓν μὲν τὸ κατὰ φύσιν ὅ ἐστιν ἐπὶ κεφαλήν. τὰ δὲ λοιπὰ τρία, ἅτινα παρὰ φύσιν ἐστί. τὸ ἐπὶ πόδας. τὸ πλάγιον. καὶ τὸ διπλοῦν.

Αἱ δυστοκίαι κατὰ τρεῖς γίνονται τρόπους, κατὰ τὴν κύουσαν. κατὰ τὸ κυόμενον. κατὰ τὰ ἔξωθεν. κατὰ τὴν κύουσαν διχῶς. ψυχικῶς μὲν ζηλοτυπίαις ἐχομένην, ἢ λύπαις, ἢ ἄλλῳ τινὶ πάθει. σωματικῶς δὲ ἢ στενόπορον οὖσαν, ἢ κατάπιμελον, ἢ πρώτως κύουσαν ἢ ἄτροφον ἔχουσαν τὴν μήτραν. παρὰ δὲ τὸ κυούμενον ἤτοι ὅταν ἐναποθάνῃ, ἢ δίδυμον ἢ τερατῶδες. παρὰ δὲ τὸ ἔξωθεν χειμῶνος ἐπιτεταμένου, ἢ καύματος σφοδροῦ. Αἰτίαι τῶν ἐν μήτρᾳ ἑλκῶν, ὅτε μὲν ἀπόστημα. ὅτε δὲ τοκετὸς φθόριος. ὅτε δὲ ἐν μήτρᾳ σκίρρος. ἔστι δὲ χρόνιος οὗτος μετ' ἄλλων. ἡ ἐν μήτρᾳ σάρκωσις ἐστὶ σαρκὸς ἠθροισμένης ἔκφυσις. ἣν χρὴ διὰ μέρος ἀποσφάξαντα, εἰ μεγάλη εἴη, προκατακνίζειν, ἵνα τάχιον νεκρωθῇ. εἰ δὲ εἴη βραχεῖα, παραχρῆμα βαστάζειν. Αἱμορραγία ἐστὶν αἵματος λάβρου ἔκχυσις, κατὰ περίρρυσιν μὲν μεγάλης οὔσης διαιρέσεως. κατ' ἀκοντισμὸν δὲ εἰς στενότητα τυγχάνοντα*. ὡς ἐπὶ τῶν φλεβοτομιῶν. διαφέρει αἱμορραγία αἱμορροΐδος ὅτι ἡ μὲν αἱμορραγία, ὡς ἔφην, λάβρος ἐστὶν αἵματος ἔκχυσις. ἡ δὲ αἱμορροῒς κατὰ περιπήδησιν καὶ κατ' ὀλίγον αἵματος φορά. τρόποι αἱμορραγίας δύο, ἢ κατὰ διαπήδησιν ἢ κατὰ ῥῆξιν. ἔστι δὲ ἡ κατὰ διαπήδησιν καὶ ἡ κατὰ διάβρωσιν ἐν ἡμῖν ἀγγείων, δυσβοήθητος. ἀρτηρίαι μᾶλλον ἢ φλέβες, καὶ τὰ ἐν βάθει τῶν περὶ τὴν ἐπιφάνειαν, καὶ τὰ γειτνιῶντα τοῖς τόποις. Εὐαιμορράγητοι τόποι καὶ δυσεπίσχετοι. κροταφῖται μύες, μήνιγγες, ὑπερῷα, κίονις, τράχηλος, μασχάλαι, βουβῶνες, καὶ τὰ τοιουτότροπα. τῶν δὲ ἀνθρώπων παρ' ἡλικίαν μὲν οἱ νέοι. παρ' ἕξιν δὲ οἱ κακόχυμοι. περὶ δὲ τὴν ὥραν ἐν τῷ θέρει.

Χυμὸς παρὰ μὲν Ἱπποκράτει διὰ παντὸς ἐπὶ τῶν κατὰ τὸ σῶμα τέτακται χυμῶν, ἐξ ὧν ἐστὶν ἡμῖν ἡ σύστασις αἵματος, φλέγματος, χολῶν δύο, ξανθῆς τε καὶ μελαίνης. παρὰ δὲ Πλάτωνι καὶ Ἀριστοτέλει ἡ γευστὴ ποιότης καὶ ἑκάστη τῶν ὄντων ἐν ἡμῖν, χυμὸς ὀνομάζεται. εἰσὶ δὲ ποιότητες, ὀξύτης, αὐστηρότης, στρυφνότης, δριμύτης, ἁλυκότης, γλυκύτης, οὕτω καὶ Μνησίθεος βούλεται. ἐν τῷ παθολογικῷ τῆς ἰατρικῆς μέρει περιέχεται τί τε καὶ ὁποῖόν ἐστι καθόλου, καὶ τί τὸ κατὰ μέρος πάθος καὶ νόσημα, καὶ τί τὸ αἴτιον, καὶ τί σημεῖον, καὶ τίνες αἱ τούτου διαφοραί, πολυειδεῖς δὲ αὗται, οὐ τὸ πάθος τῶν νοσοποιῶν αἰτιῶν καὶ οἱ τόποι περὶ οὓς ἐστὶν αὐτὰ τὰ πάθη, ζητοῦμεν γὰρ τί τὸ πάθος φρενῖτις, ἐπιληψία, λήθαργος, πλευρῖτις, περιπνευμονία, παράλυσις καὶ τὰ ἑξῆς. ἔστι δὲ τούτων τὰ αἴτια πρόδηλα καὶ οὐ πρόδηλα. καὶ προκαταρκτικὰ καὶ προηγούμενα, καὶ συνεκτικά, καὶ καθόλου τίς ἡ κατασκευὴ τοῦ πάθους, καὶ περὶ τίνα τοῦ σώματος ταῦτα εὕρηται. Κρίσις ἐστὶν ἡ ἀξία καὶ ὀξύρροπος ἐν νόσῳ διάλυσις. Περίοδός ἐστι τεταγμένου χρόνου ἀνταπόδοσις, ἅτε ὁ ἐγκέφαλος τὴν

ψυχικὴν

ψυχικὴν ἔχει δύναμιν, καὶ ταύτης τὸ ἡγεμονικὸν ὅπερ ἐστὶ λογιστικὸν καὶ ὁ νοῦς. ἡ δὲ καρδία τὸ θυμικόν. διοικεῖται δὲ τὸ μὲν σῶμα ὑπὸ τῆς καρδίας καὶ τοῦ ἥπατος ὁμοίως. δύναμις δὲ φυσική, ἥτε αὐξητική τε καὶ θρεπτική. λαμβάνει δὲ καρδία εἰς τὸ τρέφειν καὶ αὔξειν τὸ σῶμα, αἷμα μὲν, παρὰ τοῦ ἥπατος, πνεῦμα δὲ παρὰ τοῦ πνεύμονος, ἅς τινας ὕλας δεξαμένη παρὰ τῶν εἰρημένων μορίων ἡ καρδία, οἰκονομήσασα δὲ καὶ ἐργασαμένη οὕτως εἰς ἅπαν διαπέμπει τὸ σῶμα. Ὀργανικὴ ἐστὶ μέρος χειρουργίας περιποιοῦν διὰ καταρτισμοῦ, καὶ τῆς ἀκολούθου θεραπείας τοῖς παρὰ φύσιν διατεθεῖσιν ἀνθρωπίνοις ὀστοῖς τὸ ὑγιαίνειν. κατὰ δύο τρόπους σύγκειται ἐν ἡμῖν ὀστᾶ κατὰ ἄρθρον καὶ κατὰ ἁρμονίαν. Ἄρθρον ἐστὶν ὀστῶν κατὰ φύσιν κινουμένων συμβολή. Ἁρμονία ἐστὶν ὀστῶν ἀκινητούντων κατὰ φύσιν συμβολή. Ὀλίσθημα ἐστὶ τῶν κατ᾽ ἄρθρον ἢ κατὰ ἁρμονίαν κινουμένων ὀστῶν φορὰ εἰς τὸ παρὰ φύσιν. Ἐξάρθρημα ἐστὶν ὀστοῦ κινουμένου κατὰ φύσιν ἐκ κοιλότητος βαθείας ἔκβασις εἰς τὸν τόπον, τὸν παρὰ φύσιν. Παράρθρημα ἐστὶ παραλλαγὴ ἢ φορὰ ὀστοῦ κατὰ φύσιν εἰς τὸν παρὰ φύσιν τόπον. Κίνημα ἐστὶ τὸ κατὰ γόμφωσιν ἢ καθ᾽ ἁρμονίαν συγκειμένων ὀστῶν ἐν τῷ αὐτῷ τόπῳ, εἰς τὸν παρὰ φύσιν τόπον ἔκστασις. ὥσπερ ἐκ ταρσοῦ ὀστείων ῥαγέντων ἢ σπονδύλων εἴωθε γίνεσθαι. Διάστασις ἐστὶ τῶν κατὰ ῥαφὴν ἢ κατὰ σύμφυσιν συγκειμένων ὀστῶν χωρισμὸς ἢ διάστασις ἀπ᾽ ἀλλήλων. Καταρτισμός ἐστι μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τοῦ παρὰ φύσιν τόπου, εἰς τὸν κατὰ φύσιν. Τάσις ἐστὶν ὁλκὴ σωμάτων. Μοχλία ἐστὶ μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τοῦ παρὰ φύσιν τόπου, εἰς τὸν κατὰ φύσιν. Κατάστασις ἐστὶν ὁλκὴ σωμάτων, εἰς τοὺς κάτω τόπους. ταύτης δὲ ἡ μέν τις ἐστὶν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους τῶν ἀρχῶν κατ᾽ εὐθὺ ἀποδιδομένων τῶν τῆς τάσεως αἰτίων, ἡ δὲ κατ᾽ ἀντιμετάληψιν ἐστὶν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους μεταλαμβανομένων τῶν ἀρχῶν διὰ τροχιλίων, ἄνω προσδεδημένων τῶν τῆς τάσεως αἰτίων. ἡ δὲ κατὰ μετάληψιν ἀνάστασις νοεῖσθαι δύναται ἀπὸ τῶν ὑπὲρ τῆς καταστάσεως εἰρημένων. Διάτασις ἐστὶν ὁλκὴ σωμάτων εἰς τοὺς ἄνω καὶ κάτω τόπους. Ἐξελκυσμὸς ἐστὶ μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τῆς ἐπιφανείας εἰς τὸ βάθος. Ῥῆγμα ἐστὶ μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν. Μεταγωγὴ ἐστὶ διεστραμμένου ὀστοῦ ἀντανάκλασις εἰς τὸν τόπον τὸν κατὰ φύσιν. Ἔκστασις ἐστὶν ὀλιγοχρόνιος μανία. Ἔκπληξις ἐστὶ διανοίας ἔκστασις διά τινα ταραχὴν αἰφνίδιον ἔξωθεν. Ἐνθουσιασμὸς ἐστὶ καθάπερ ἐξίστανται τινὲς ὑπὸ τῶν ὑποθυμιωμένων ἐν τοῖς ἱεροῖς ὁρῶντες ἢ τυμπάνων ἢ αὐλῶν ἢ συμβόλων ἀκούσαντες.

ΓΑΛΗΝΟΥ ΟΤΙ ΑΙ ΠΟΙΟΤΗΤΕΣ ΑΣΩΜΑΤΟΙ.

Οὐδὲν τῶν ἐμῶν ἀγνοεῖν βουλόμενος, οὐδ᾽ ἂν πάνυ τι σμικρὸν εἶναι δοκῇ, αὐτὸ γὰρ τὸ λανθάνειν τί τὸν φίλον, οὐ σμικρόν ἐστιν, ὁμιλίαν μοι γενομένην πρός τινα δηλῶσαι σοι βούλομαι μετὰ τῆς ἐνδεχομένης ἀκριβείας ἐργασάμενος. ὁ γὰρ ἐξ ὑπογύου λόγος περαινόμενος, τῆς ἀκριβείας λείπεται, ἄλλως τε, καὶ εἰ τύχοιεν κοινωνοῦντες τοῦ λόγου ἀντιφιλοτιμώμενοί τε φιλόνεικοι. ἦν δὲ ὁ περὶ τῶν ποιοτήτων λόγος, καὶ τῶν συμβεβηκότων ἁπάντων ἅ φασιν εἶναι στωϊκῶν παῖδες σώματα. πρὸς οὓς χρὴ τάδε λέγειν. ἆρ᾽ οὐχὶ σῶμα τινὸς φήσαντος, εὐθὺς νοεῖν ἡμῖν συμβέβηκεν τριχῆ τινὰ διαστᾶσαν τὴν οὐσίαν ἀντίτυπον. αὐτὸ δὲ μόνον εἰ φαίη τὴν τριχῆ διαστατὸν, οὐ μᾶλλον σῶμα νοῆσαι τὸ λεγόμενον, ἢ καὶ τὸ κενὸν καὶ τὸν τόπον, χρὴ δὲ τοὺς ὅρους καὶ τὰς ὑπογραφὰς, καὶ τὰς λογικὰς δηλώσεις, τινῶν αὐτῶν εἶναι καὶ μόνων ἐκείνων δηλωτικὰς, ἃ δηλοῦν βουλόμεθα, καὶ μὴ κοινὰς πρὸς ἑτέρας. ὅτε γε μὴν τὸν περὶ τῶν κοινῶν λόγον ἀπαιτούμεθα. ὅτι δὲ κοινόν ἐστιν, εὔδηλον. λέγω δὲ τὸ τριχῆ διαστατὸν, σώματός τε καὶ κενοῦ καὶ τόπου, στωϊκοὺς μὲν ὁμολογεῖν ἀναγκαῖον, ἅτε κενὸν ἀπολείποντας ἐν τῇ τῶν ὄντων πραγματείᾳ φύσει, κἂν ἐν τῷ κόσμῳ τοῦθ᾽ ὑπάρχειν μὴ λέγωσι τοὺς ἄλλους φιλοσόφους, νοεῖν γε πάντως ἀναγκαῖον, πῶς γὰρ ἀπέφασκον τοῦ κενοῦ τὴν φύσιν, εἰ μηδὲ ἐννόουν τὸ σύνολον; εἰ δὲ νοοῦσιν, οὐκ ἄλλό τι νοεῖν φήσουσιν, τἀληθὲς ὁμολογεῖν βουλόμενοι † πάντες σῶμα. καθάπερ οὐ δίχα χρόνου. δῆλον ὡς οὐδὲ δίχα τόπου, καὶ τούτου, καὶ οἱ τοῦ τριχῆ διαστατοῦ ἵνα δέξηται τὸ τριχῆ διαστατὸν εἰς ἑαυτὸ μαρτύριον, τούτων τῶν αἰσθητῶν σωμάτων ἕκαστον. πηχαῖον γάρ τι φέρε τῷ μήκει, σπιθαμιαῖον δὲ τῷ πλάτει, καὶ βάθει τετραδάκτυλον σῶμα, ἀναλόγου δεῖται τόπου. τοῦ χωρήσαντος αὐτό. τοῦτ᾽ ἡμῖν ἔστω διάταγμα καὶ περὶ τοῦ λόγου θεωρητέον παντὸς σώματος. τοιαύτης δὲ οὔσης τῆς τοῦ σώματος νοήσεως, καὶ τοῦ κατ᾽ αὐτὴν ὁριστικοῦ λόγου, πᾶς ὁμολογήσει δῆλον, ὡς οὐκ ὢν δυσεργεῖς μὴ τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον, καὶ νοεῖται, ὡς οὐχὶ τούτων ἑκάστη, λέγω δὲ τῶν τριῶν διαστάσεων, τὴν ἴσην ἔχει φύσιν, οὐ δὲ τὸν αὐτὸν ἐπιδέχεται λόγον, οὐθ᾽ ὅλον ἐστὶ λέγειν σῶμα τοῦ σώματος τὸ μῆκος, πλὴν εἰ μὴ ἄρα κατὰ συμπλοκὴν, συμβεβηκὸς δὲ τῷ σώματι. οὐθ᾽ ὅμοιος ὑπὲρ τοῦ πλάτους καὶ βάθους καὶ βάρους, καὶ τοῦ σχήματος λόγος, καὶ τῶν λοιπῶν ἅπαξ ἁπλῶς ποιοτήτων τε καὶ συμβεβηκότων. ἀλλὰ κατά τινας τὸ μὴ δίχα σώματος ταῦτ᾽ εἶναι μὴ δὲ νοεῖσθαι, ὅπερ εἰ σκοπείημεν ὥραν μίαν πάντα ποιεῖν, μηκύνειν καὶ μηδὲν ἕτερον εἶναι λέγειν, ἀλλ᾽ ἓν μόνον τὸ σῶμα. εἰ δὲ τοῦτ᾽ ἄτοπον, ἀναρίθμητοι γάρ εἰσιν οὐσιῶν τε κατ᾽ ἰδιότητα φύσεις, καὶ ποιοτήτων, καὶ συμβεβηκότων, διαφόρων τε καὶ ποικίλων, καὶ ἐναντίων. μὴ δ᾽ οὖν ἕτερον ἑτέρῳ τούτων, ταὐτὸν, λέγωμεν, ἔνθα τίς ἐστιν ἡμῖν λόγος περὶ διαφορᾶς, ἔτι καὶ τὸ συμβεβηκὸς τῷ σώματι σχῆμα φήσωμεν † σῶμα σώματι συμβεβηκέναι, δῆλον ὡς ἐροῦμεν, ὅπερ ἄτοπον τί γὰρ μᾶλλον αὐτῶν οὐσίαν; τί δὲ συμβεβηκὸς φήσομεν; εἴτε μίαν ἔχομεν νόησιν σώματος ὡς σώματος, ὁ τὸ σχῆμα σῶμα λέγων, ἢ κενὸν νοήματος ὄνομα προσφέρεται τοῦ συμβεβηκότος, ἢ

† al. περὶ τὸ

† al. σῶμα deesse.

συνωνύμως ὀνομάζει τῷ σώματι. εἰ δὲ ἔστιν ἄτοπον ἑκάτερον, καὶ γὰρ καὶ σημαίνει τι, καὶ διὰ τοῦτο ἐστὶν ὄνομα, καὶ δηλοῖ τι νόημα τοῦ σώματος ἕτερον, εἰ καὶ μὴ χωριστικῶς, οὐκ ἔστι χρώματος σῶμα. ὁ δὲ ὅμοιος ἐπὶ τῶν λοιπῶν συμβεβηκότων λόγος, χρωμάτων τε καὶ χυμῶν καὶ τῶν πρὸς ὄσφρησιν, καὶ τῶν πρὸς ἀκοὴν φωνῶν, λόγων, συριγμῶν, νυγμῶν, ποππυσμῶν, στεναγμῶν, ῥυγμῶν, ῥογχασμῶν, βόμβων, ἤχων, ψόφων. εἰ δὲ λέγοι τις ταῦτά τε καὶ τὰ τοιαῦτα πάντα ὑπάρχειν ἀέρα πεπληγμένον πως, καλὸν ἐπειπεῖν αὐτῷ τὸ Μενάνδρειον, ταῦτά τε ἀπολώλεκεν ὦ πονηρέ. τὸ μὴ δίχα σώματος νοεῖσθαί τι τοιοῦτον, ὅπερ ὁμολογῶ καὶ αὐτός, οὔ φημι δὲ δεῖν γε, καὶ ταὐτὸν εἶναι νομίζειν, τὸ ἔχειν τῷ ἐχομένῳ. ὅτε γὰρ Κλεάνθης, ἢ φῦμα ἐπισυμβέβηκε τοῦτ᾽ αὐτῷ, κατ᾽ αὐτὸ νόσημα, ὅτε Χρύσιππος, ἔτι δ᾽ Ἐπίκουρος στραγγουρία, ἐπειδὴ ἐκ τούτου τοῦ πάθους αὐτοῖς συνέβη καταστρέψαι τὸν βίον. οὔκουν οὐδὲ πληγὴ τοῦ ἀέρος ἀήρ ἐστιν. ἀλλὰ διαφέρει καὶ τῇ φύσει καὶ τῇ νοήσει, καὶ τῷ δηλοῦντι λόγῳ, τί ποτ᾽ ἐστὶ τούτων ἑκάτερον. ὅτι δὲ ἐστὶν ἀλλήλων τε καὶ τοῦ σώματος ἕτερα τὰ σχήματα, αἰτήσω γοῦν ἐπὶ τοῦτον νῦν τὸν λόγον μάρτυρας γεωμέτρας, ἕτερον κύκλου τε καὶ τῶν ἄλλων σχημάτων ὅρον ἀποδιδόντες, καὶ ἕτερον τοῦ σώματος, ὧν οἱ λόγοι τε τυγχάνουσιν ἕτεροι ὄντες, καὶ τὰ σημαινόμενα, καὶ πολὺ πρότερον αἱ νοήσεις. ταῦτα πάντα πῶς ἂν γοῦν εἶναι λέγοι τις σωφρονῶν, εἴτε καὶ τὰ συμβεβηκότα φήσομεν τῷ σώματι σώματα, ὧν ἐροῦμεν τίνι συμβεβηκέναι, πότερα ταῦτα τῶν συνήθως ὑφ᾽ ἁπάντων καλουμένων σωμάτων εἴη, τούτοις ἅπασι κοινωνήσει, καὶ κατ᾽ ἰδίαν ἑκάστῳ τῷ σώματι. ἑκάτερον γὰρ ἄτοπον, εἴτε γὰρ ταῦτα σωματικὴν οὐσίαν ἔχει, ἢ λεγόμενα, συμβέβηκε τῷ σώματι. εἰ μὲν οὖν σώματά ἐστιν συμβεβηκότα, καλοῦμεν πάντα γε ὄντα σώματα, καὶ οὐχὶ τὰ μὲν συμβεβηκότα, τὰ δὲ σώματα. εἰ δ᾽ οὐχὶ σώματα, ἀλλὰ ἄλλα τινά, οὐκ ἄρα τὸ συμβεβηκὸς σῶμα ἐστίν, εἴτε τούτοις ἅπασι σώμασιν οὖσι σῶμα ὄντως συνήθως ὑφ᾽ ἁπάντων καλούμενον συμβέβηκεν, τὸ δὲ παραπλήσιον ἐστὶ λέγειν, κἀκεῖνο πυνθάνεσθαι ἐμὲ δεῖν ἀδιαίρετον πᾶσιν αὐτοῖς συμβεβηκέναι λέγοιτο μὴ μεριζόμενον ἰσαρίθμοις αὐτοῖς. διὰ τοῦτο γὰρ οὐδέ τι τοῦ χρόνου μεμένηκεν ἀναμφισβήτητον, οὐχ ἔτι σμικρότατον. ἀνάπαλιν φασί τινες τοῖς οὖσι συμβεβηκέναι πράγμασιν. εἰ δέ τις τουτὶ φεύγων, ὡς ἄτοπον, ἰσαρίθμως ἐρεῖ τοῖς καλουμένοις συμβεβηκόσιν, ἃ καὶ αὐτὰ καλεῖ σώματα συμβεβηκέναι τὴν οὐσίαν πολλά τε ὧν ἀγνοεῖ, ἐπεὶ καταπλάττει τῶν πραγμάτων τὴν φύσιν καὶ τὴν νόησιν, οὐ τὸ σῶμα. εἰ τὰ συμβεβηκότα λέγων συμβεβηκέναι. τὸ δὲ σῶμα τοῖς συμβεβηκόσι, καὶ εἰ σῶμα σώμασι ποιεῖ συμβεβηκός, ὥς τε καὶ ἀπορεῖν εἰκότως τίνι χρῆναι λέγειν φημὶ συμβέβηκεν. εἴτε ἰσαρίθμως τοῖς συμβεβηκόσι. μεριζόμενον τὸ συνήθως λεγόμενον σῶμα ἑκάστῳ. τούτων ἴδιόν τι συμβέβηκεν ἄλλο μέρος τοῦ σώματος, ἄλλῳ περὶ τοῦ συμβεβηκότος συμβήσεται. εἴτε καὶ συμβεβηκότα σώματά ἐστι, πᾶν δὲ σῶμα ἐπ᾽ ἄπειρον τέμνεται, ἕκαστον τῶν ἀπείρων τούτων σωμάτων πᾶσι τοῖς ἄλλοις συμβεβηκόσι σωματικοῖς οὖσι καὶ αὐτοῖς συμβέβηκεν. σκόπει τὸ πλῆθος τῶν ἀτόπων. τὸ δὲ σῶμα σώματι συμβέβηκεν ἄν, καὶ τὸ γοῦν εἶναι νομιζόμενον τοῖς ἀπείροις, καὶ τὸ ἅμα τε ὅλον καὶ μὴ ὅλον. ὅλον μέν, εἰ παμφορὲς τὸ σχῆμα, καὶ τὸ ποσὸν τῆς τοῦ μήλου στρογγυλότητος, πᾶσι τοῖς ἄλλοις συμβεβηκόσι τῷ μήλῳ συμβέβηκεν. οὐχ ὅλον δέ, ἢ ἕκαστον τῶν ἀπείρων τμημάτων οὐκ ἔστι ταὐτὸν τῷ ἀφ᾽ οὗ τέτμηται, εἴτε καὶ τὸ σῶμα τοῦ μήλου σῶμα ἐστί, καὶ τὸ σχῆμα καὶ ἡ χροὰ καὶ ἡ ὀσμή, καὶ ὁ πρὸς γεῦσιν χυμός, καὶ ἕκαστον τούτων ἐπ᾽ ἄπειρον τέμνεται μόνον, οὐκ ἐξ ἀπείρων μήλων ἐστὶ συνεστηκός, ὧν ἕκαστον καὶ στρογγύλον ἔσται παραπλησίως ὅλῳ τῷ μήλῳ. εἴ γε ταὐτοῦ κεκοινώνηκε σχήματος, καὶ ὠχρὸν καὶ γλυκὺ φέρε, ἢ αὐστηρόν, καὶ τοιοῦτον ἢ πρὸς ὄσφρησιν, καὶ πάλιν ἕκαστον τῶν ἀπείρων τμημάτων μῆλον ἔσται, εἰ πάντα ταῦτα ἔχει. ἐξ ἀπείρων οὖν σωμάτων, μᾶλλον δὲ μήλων, τὸ ὀφθαλμοφανὲς μῆλον ἔσται συνεστηκός, ὅπερ γελοῖόν γε πολλαχῶς. ἀτὰρ δὴ καὶ τὸ τῶν τμημάτων ἕκαστον οὐκ ἔχον τὴν στρογγυλότητα, μηκέτι εἶναι μῆλον, μήλου δὲ μέρος. μετὰ γὰρ στρογγύλου, φέρε, σχήματος ἦν τὸ μῆλον μόνον. ἔσται μὲν ἐκ μιᾶς οὐσίας σωματικῆς. πολλῶν δὲ καὶ διαφόρων συμβεβηκότων συνεστηκός, οὐκ ἔστι τοῦτο δῆλον, ὡς οὐδὲν σῶμα. πότερον τε τούτων ἕκαστον ἴδιον ἐπέχει τόπον, ἢ πάντα τὸν αὐτόν. εἰ μὲν γὰρ ἴδιον οὔτε συμμεταλαμβάνειν δῆλον, ὡς τῆς ἀλλήλων ἰδιότητος καὶ ποιότητος, οὐδὲ μῆλον ἔσται ἐσχηματισμένον στρογγύλον, καὶ κεχρωσμένον ὠχρότητι, καὶ πεποιημένον κατὰ γεῦσιν ὧδέ πως, καὶ κατ᾽ ὄσφρησιν οὕτως. εἰ δ᾽ ἅμα πάντ᾽ ἐστὶ καὶ ἕνα κατέχειν τόπον, σύγχυσίς ἐστι τῶν ἰδιωμάτων, καθάπερ ἐπὶ τῶν συνθέτων καὶ ἐκ πλειόνων καὶ διαφόρων εἰδῶν μεμιγμένων φαρμάκων, ἐφ᾽ ὧν ἡ ἑκάστου τῶν μεμιγμένων ὑλῶν ἰδιότης καὶ ποιότης εἰλικρινὴς οὐ σώζεται. μία δέ τις γίνεται παρ᾽ ἑκάτερον. οὐκοῦν εἰλικρινὴς ἐστὶ γνῶσις ἑκάστου, ὡς εἰπεῖν, εἴδους. τουτὶ τὸ στρογγύλον σχῆμα τοῦ μήλου, καὶ τουτὶ τὸ χρῶμα, καὶ τῶν ἄλλων συμβεβηκότων ἕκαστον. ἔτι δὲ μᾶλλον, εἰ μὴ παρατεθεικῶς ἀλλήλων ἅπτεται ταῦτα τὰ μόρια, ἀλλ᾽ ὅλα δι᾽ ὅλων μέμικται, ἡ ἑκάστου ἰδία ποιότης ἀπόλλυται. ἀλλ᾽ οὐδὲ μίξιν ἔστιν εἰπεῖν ταύτην κυρίως. πῶς γὰρ ἂν κατ᾽ ἑαυτὰς τινὲς ἰδιότητες οὐκ εἰσὶν ἡνωμέναι καὶ κατειλημμέναι; τοῦτ᾽ ἔστι φάναι μεμῖχθαι. ἐπιτείνεται δὲ τὸ ἄπειρον τοῦ λόγου, εἰ καὶ τὸ μῆκος τοῦ σώματος σῶμα ἐστί, καὶ τὸ πλάτος, καὶ τὸ βάθος. ἅμα γὰρ ἄπειροι φημὶ σωμάτων ἀπειρίαι γενήσονται ἐν βραχεῖ, κατὰ περιγραφὴν πρὸς αἴσθησιν τόπου. τό τε τῶν πολλῶν τούτων μᾶλλον δὲ ἀπείρων σωμάτων πλῆθος, ἆρά γε οὖν ἀΐδιον, καὶ πῶς ἔτι φήσουσιν ἄποιον τὴν πρώτην οὐσίαν; ἐξ ἧς φασὶ τόν τε κόσμον, καὶ τῶν ἐπὶ μέρους εἰδῶν ἕκαστον γεγονέναι, ἢ γέγονεν ἔκ τινος χρόνου, καὶ συνῆλθεν εἰς ταὐτὸν ἅπαντα ἵνα ἐκ συνεργείας γένηται τὰ συγκείματα. ἀλλὰ καὶ τοῦτ᾽ ἀτοπώτατον εἶναι λέγομεν, καὶ κατὰ πλείους τρόπους. πρῶτον μέν, ὅτι μὴ μιᾶς ἦν ὕλης φύσεως ἔοικεν ἀποσωματική. πολλαὶ δὲ καὶ ἄπειροι καὶ διάφοροι ἡμῖν σχήματος τῆς κοινῆς οὐσίας. ἡ μὲν τῶν ἐπ᾽ εἴδους μυρίων σχημάτων, ἡ δὲ χροιᾶς, καὶ ταύτης ἀριθμοῦ κατ᾽ εἶδος. ἡ δὲ χυμοῦ, ἐπεὶ πρὸς γεῦσιν, οὐ πάλιν ἀτέρμαστος τίς ἐστιν διαφορά. ἡ δὲ τοῦ πρὸς ὄσφρησιν, καὶ τούτου πολύχρουν ἔχοντος ἐξαλλαγήν. ἄπειροι τοιγαροῦν ἔσονται κατ᾽ αὐτοὺς χρεῖαι καὶ διαφοραὶ ποιοτήτων σωματικῶν. μία δὲ ἦν ἡ πεποιημένη. ἐπιμεριθῆναι χρὴ τοῖς ἀδήλοις δηλαδή, καὶ τοι τινὰ ποτέ τι χρείαν ταύτην ἔχουσιν ἵνα σωματικαὶ γένωνται, φθάνουσί γε καὶ σῶμα εἶναι, καὶ πεποιημέναι τινὲς οὐσίαι. ἕκαστόν τε τῶν ἀπείρων τούτων σωμάτων εἰ ἐπ᾽ ἄπειρον τέμνεται, ἄπειροι χρεῖαι πῶς συνέλθουσι, καὶ ποτέ, τὸ γὰρ ἄπειρον ἀδιεξίτητον,

καὶ τὸ

καὶ τὸ φῶς ἐστι σῶμα, καὶ ἡ λευκότης, καὶ ἡ θερμότης. πᾶν δὲ σῶμα ποσόν ἐστι καὶ πηλίκον, καὶ συναυξητικὴν φύσιν ἔχειν κατ' αὐτὸ θεώμεθα, καὶ θερμανθὲν ὕδωρ ὑπὸ ἡλίου πλεῖόν τε καὶ μεῖζον γίνεται, καὶ διὰ τοῦτο μείζονος δεῖται τόπου. πῶς δὲ καὶ εἰς βραχὺν τόπον καὶ κεγχραῖον ἂν οὕτω τύχοι, συνίασιν ἥ τε σχηματότης, καὶ τῶν λοιπῶν συμβεβηκότων ἕκαστον, ἅμα τε πνεῖ, καὶ ἐστὶν ἀΐδιον. οὔτε μεταβάλλειν ὤφειλε τὸ σύνολον, οὔτε φθείρεσθαι. τὸ γὰρ ἀΐδιον, ἀμετάβλητον, καθάπερ τῶν θεῶν αἱ φύσεις. εἰ δὲ τοῦτ' ἔστιν ἀληθές, πῶς τινὰ μετασχηματίσομεν, φέρε εἰπεῖν, τὸν κηρόν, καὶ τί ποτε γίνεται; ἐὰν τετράγωνον ὄντα τε, ἐὰν ποιήσωμεν στρογγύλον. ἆρά τι ἦν τετράγωνον τῇ οὐσίᾳ; εἰ γὰρ ἦν τῇ τοῦ κηροῦ, τέως νῦν ἐστιν ἡ στρογγυλότης πόθεν ἐλήλυθεν, καὶ μετὰ ποίας αἰτίας τό τε ἄγουσιν, καὶ εἴτε διὰ σώματος ἄτοπον. σῶμα γὰρ διὰ σώματος χωρεῖν, ἀδιανόητον. εἰ ἐπιστήσειέ τις τὴν ἀντιτυπίαν, ἔστιν ἴδιον σώματος, ὡς ὁ περὶ αὐτοῦ διδάσκει λόγος προηγουμένως. εἴτε διὰ κενοῦ, ὅτι τε μηδὲν εἶναι φασὶν ἐν τῷ κόσμῳ κενὸν οἱ στωϊκοί, καὶ διότι δὲ σῶμα οὖσαν τὴν στρογγυλότητα, καὶ τὰ λοιπὰ δὲ ἔχειν συμβεβηκότα, καὶ σχῆμα ὃ καὶ αὐτὸ πάλιν δεῖται ἑτέρου δῆλον. ὡς εἰς σωματικοῦ συνεστὸς ἔσται σχήματος. κἀκεῖνο δεῖται ἄλλου, καὶ τοῦτ' εἰς ἄπειρον, καὶ εἴτε ἐκ στρογγύλων τῶν ἐπ' ἄπειρον τεμνομένων σχημάτων τὸ ἀθρόον ὑπὸ τὴν ὄψιν τὴν ἡμετέραν ἀποτετελεσμένον στρογγύλον συνέστηκε. σκόπει τὸν μῦθον, καὶ πόσα περὶ δὲ περὶ πλάσματα παρακολουθεῖ τὰ ἄπειρα. εἴτε μὴ ἐκ στρογγύλων, πῶς δὲ αὐτῶν γεννητοί τε στρογγύλον; γελοῖον δὲ καὶ τὸ λέγειν, εἰς στρογγύλα σχήματα, τὸ στρογγύλον σχῆμα τέμνεσθαι ἀντιμαρτυρούσης τέμνεται οὔτε τὸ τετράγωνον εἰς τετράγωνα. τί δαὶ περὶ τοῦ παρακαλέσαι μετασχηματισμοῦ κηροῦ φήσουσιν; πότερον ἀντιπαραχωροῦσιν ἀλλήλοις, ἅμα νοήματι, αἱ τῶν διαφόρων σωμάτων σχηματότητες; καὶ πῶς οὐ γελοῖον, καθάπερ ἐμψύχους καὶ λογικὰς οὐσίας δεῖ ἵστασθαι καὶ παραχωρεῖν ἀλλήλαις, ὡς ἐκ συνθήματος; καὶ μᾶλλον ἄπειρον ὑπογίνεται τὸ λεγόμενον, εἰ ἐκτείνομεν μετὰ ἅμα νοήματος τοὺς δακτύλους καὶ συστέλλοιμεν. εἰ γὰρ μὴ συμβεβηκός ἐστιν ἡ πυγμή, μηδὲ ἡ ἔκτασις, ἀλλὰ ἀσώματα, ἀπείρους ἅμα σχηματικὰς σχηματότητας χρὴ λέγειν ἀφίστασθαι καὶ παραγίνεσθαι, κἂν δύο δὲ μονὰς εἶναι φήσεις, καὶ μὴ ἰσαρίθμους ταῖς ἐκτάσεσιν, καὶ συστολαῖς, ἔτι ποικίλως ἐστὶν ἄπορον τὸ λεγόμενον, ἔτι δὲ μᾶλλον ἀπορώτερον, εἰ μὴ δὲ παραγίνονται αἱ τῆς συστολῆς καὶ ἐκτάσεως σχηματότητες, ἀλλ' ἕτεραι ἐπ' ἑτέραις τῆς χειρὸς ἀπορρέουσιν. ἐχρῆν γὰρ ἐν ἀκαρεῖ χρόνῳ τὸν ὀρχηστὴν διαπεφορεῖσθαι, ἀλλήλων ἐπ' ἄλλοις ἀδιήκτως ἀπ' αὐτοῦ σωμάτων ἀποχωρούντων. ἐπὶ δὲ τούτου φήσουσιν, εἴτε μὲν αἴτια τῆς κοινότητος ἀποτελεσματικὰ σώματα, ὅπως ὄξος γίνεται. πῶς δὲ ἀπέπτη; πῶς δὲ οἴχεται; καὶ πόθεν ἥκει τὰ τῆς τοῦ ὄξους ποιότητος, ἀποτελεσματικὰ σώματα; εἰ δὲ ἐν ὑπῆρχε τῷ οἴνῳ, καὶ τέως πᾶς ἦν οἶνος, ἀλλ' οὐκ ὄξος; σημεῖον τῆς δὲ ἀμφοῖν τρίτη ποιότης, οὔτε οἶνος οὖσα, οὔτε ὄξος. εἴγε μὴ τὰ μίξιν ἐστὶν ἡ κρᾶσις. εἴτε κατὰ παράθεσιν. πρὸς οἷς ἔφην ἀτόποις, οὐδὲν ὢν μένειν ἔτι χρὴ λέγειν ὑπάρχειν τὴν οὐσίαν, ἐκ πολλῶν τε καὶ ποικίλων καὶ διαφόρων, καὶ ἐναντίων, καὶ ἀπείρων ἢ μόνον οὐκ ἀπείρων κατ' ἀριθμὸν συγκείσεων συνεστηκυῖαν, καὶ εἰς ἀπείρους πάλιν συγκείσεις τεμνομένην τὴν μίαν ταύτην δὲ τινὰ τὴν ὁρωμένην, φέρε τοῦ μήλου φύσιν, ἥν τε λέγουσιν οἱ στωϊκοὶ πρώτην ὕλην καὶ πρώτην οὐσίαν, δεῖ ἧς φασὶ τόν τε κόσμον, καὶ τῶν ἐν αὐτῷ πραγμάτων ἕκαστον πεποιημένον ἀεὶ καθάπερ αἱ ποιότητες σῶμα ἦν, πῶς οὐκ ἦν καὶ αὕτη ποιότης, εἰ εἶχε γε ποιότητα. εἴτε τὰς ἄλλας ποιότητας οὐκ εἶχε δηλαδή, πάντως ὑπῆρχε βάρος, ἅπερ φασὶν εἶναι σώματος. πῶς ἁπλῆν ἔτι φασὶ τὴν πρώτην οὐσίαν, ἀλλ' οὐχὶ σύγκειμα. εἰ δὲ πεπερασμένην εἶναι φασὶ καὶ πέρασι κεχρημένην. καὶ σχῆμα δῆλον ὡς ἐκέκτητο. ἄτοπον γὰρ ἐστὶν ἰδίοις περικλινόμενον σῶμα πέρασι μὴ καὶ σχῆμα πάντως ὑπάρχειν, εἰ καὶ μὴ συννοοῖτο τοῦτ' αὐτὸ κατ' ὑπόθεσιν. ὡς εἴπερ εἶδεν ἐνταῦθα ἅπαντα, ταῦτα δὴ ἐστὶ καθάπερ αὐτοί φασι σώματα. οὔτε ἄποιος ἦν δηλαδή, οὔτε ἁπλῆ. πολλῶν δὲ καὶ διαφόρων συνόδος ἦν σωμάτων καὶ σύγκειμα. ταύτῃ δὲ οὐδὲν ἀμιγὲς ἦν κατ' αὐτούς. εἰ δὲ μηδὲν εἶχεν τούτων. πρῶτον μὲν ἀδιανόητον καὶ πλὴν ὀνόματος οὐδέν, εἴτε γὰρ μὴ δεῖ ποῖον εἶναι, ὅτι οὐδέν ἐστιν. εἴτε ποιόν, οὐχὶ δὲ καὶ τὰς τρεῖς διαστάσεις ἔχειν, καὶ σχήματα, πάντως αὐτῷ συμβεβηκὸς ἴδιον ἀδιανόητόν τε καὶ τὸ μήτε βαρὺ τοῦτ' ὑπάρχειν, μήτε κοῦφον. οὐχ ἧττον ἄτοπον εἰ λέγοι τις ἅμα τοῦτ' ἔχειν ἀμφότερα, καὶ μὴ τὰ αὐτά, καὶ μὴ πρὸς ἄλλο καὶ ἄλλο κείμενον. ὑπὸ μηδὲ ἐκείνης ἐχούσης οὐσίαν τῆς δὲ αὐτῶν, ὡς φασι, γεγονότων. πρότερον τεττάρων ἕκαστον ἔχειν ποιότητα. εὐλογώτερον γὰρ ἐστὶν εἴπερ ἦν ἄποιος, καὶ τὰ δι' αὐτῆς ἔχειν γιγνόμενα καὶ πλαττόμενα. εἰ δὲ μὴ δι' αὐτὸς εἶχε τοῦτον μὴ δὲ ἐν καθ' ὑπόθεσιν. τὸ αἰθέρειον δ' ἦν ἐκεῖνο πῦρ, ὑφ' οὗ πᾶσι τά τε στοιχεῖα καὶ τὸν κόσμον γεγονέναι. πῶς ταῦτ' ἔχει τὰ γεννήματα καὶ ποιήματα καὶ πλάσματα οὐ μᾶλλον χρυσοῦ περιθήσει, πότ' ὁ κεραμεὺς ποιότητα οὖσ ἐκ πηλοῦ πλαττομένοις ὑπ' αὐτοῦ. ὁ μὲν οὖν ἰατρὸς αἴτιος εἷς ἐκ πολλῶν φαρμάκων, ἕτερον φάρμακον, ἴσην ποιότητα πάντων ἐχόντων, ποῖον ἕτερον ἐκ τῆς μίξεως ποιεῖ. τὸν Δία δ' οὔ φασι μίξαι τῇ πρώτῃ οὐσίᾳ καὶ σχηματότητα, οὐδὲ μηκότητα, οὐδὲ τῶν ἄλλων τι συμβεβηκότων. εἰ δὲ μιγνύειν ὄντα καὶ αὐτά, δῆλον ὡς ἴδια τοῦτ' ἐστιν. πῶς ἔτι λέγουσιν μόνην τὴν πρώτην ὕλην ἀΐδιον, τὴν ἄποιον; οὐχὶ δὲ καὶ τὰς ἄλλας ποιότητας, καὶ πάντα τὰ συμβαίνοντα. οὔτε γὰρ ποιητὴν εἶναι φασίν, καθάπερ τινὰ χειροτέχνην, τὸν Δία ἀλλ' ὅλον δι' ὅλης τῆς ὕλης διεληλυθότα πάντων δημιουργὸν γεγονέναι. τήν τε πηλικότητα τοῦ θείου πυρός, καὶ τὰ περὶ μέρους τῇ πηλικότητι συμβεβηκότα, τό, τε μῆκος, καὶ πλάτος, καὶ βάθος, καὶ πρὸς τούτοις τὸ λογικὸν αὐτοῦ καὶ τὴν μακαριότητα, εἰ μὲν οὐσίας εἶναι φήσουσιν, καὶ σωματικὰς αὐτὰς ἐροῦσιν, ἐκ σωμάτων, ὡς δῆλον ἦν ὁ Ζεὺς συνεστηκώς, καὶ οὐχ ἁπλοῦν, ἦν ἀλλὰ καὶ σύγκειμα. εἰ δὲ ἀνουσίως αὐτὰς τοῖς συμβεβηκόσι φύσεις ἐροῦσι, τὸ λεγόμενον ὑφ' ἡμῶν, κρατύνεται, τὸ μὴ σωματικὴν ἔχειν φύσιν τὰ συμβεβηκότα, μηδὲ τὰς ποιότητας. εἰ δὲ μεταποιήσας αὐτὸν ὁ Ζεὺς ἰσαρίθμως οἷς ἔφην συμβεβηκόσι, τροπὰς ἔχει ποιοτήτων μυρίας, χείρων ἐστὶ τοῦ μυθολογουμένου Πρωτέως. ὁ μὲν γὰρ εἰς ὀλίγας φύσεις ἑαυτὸν μετεποίει, καὶ μετεμόρφου, καὶ ταύτας οὐκ ἀπρεπεῖς. Ἀλλ' ἤτοι πρώτιστα λέων γένετ' ἠϋγένειος. Αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις, ἠδὲ μέγας σῦς. Γίγνετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδρεον ὑψιπέτηλον. ὁ δὲ οὐκ ἔστιν, ὅτι μὴ δὲ τῶν αἰσχίστων γίγνεται. διὰ μὲν ἀνδρὸς ἄφρονος, ἄφρων ἐστὶν δηλαδή. διὰ δὲ αἰσχροῦ γνώμης, αἰσχροποιός. διὰ δὲ ζώων ἀλόγων, ἀποθηριούμενος. διὰ δὲ λίθων καὶ ξύλων, ἄψυχος γινόμενος. διὰ δὲ κοπρίου, βδελυρὰ φύσις. ἔτι δι' ἀρχαῖον εἰ δι' αὐτὸν μετ' οὖν ἅτε τὴν ὕλην

μεταπλάττειν καὶ σχηματίζειν καὶ ποιεῖν ζητῶν πῶς ἐστιν οἷός τε ταῦτα ποιεῖν, οὐ μᾶλλον ἢ πλάσεις περὶ ἀνδριάντα ποιεῖν χρυσοῦν ἐκ μολύβδου. κἀκεῖνα φιλεῖν τοῖς φιλονείκοις ἀνδράσιν, οὐκ ἄτοπον. καὶ γάρ τοι κίνησις εἰ προσγίγνεται τοῖς σώμασι, καὶ πάλιν ἀπογίγνεται, σώματ' εἶναι φασί. ὥρα λέγειν προϊόντων ἡμῖν σωμάτων κινεῖσθαι, καὶ πάλιν ἀπ' αὐτῶν ἠρεμεῖν, εἶτα πάθη προσγίγνεται, καὶ πάλιν ἀπογίγνεται, καὶ φασὶ ταῦτ' ὑπάρχειν σώματα. πῶς οὐ γελοῖον τὸ κνίσμα λέγειν σῶμα, καὶ μὴ μόνον τὸ κνήθειν, ἀλλὰ καὶ τὸ κνησιᾶσθαι; ἀλλ' ἐπεὶ δίχα σώματος, τοῦ τε δρῶντος καὶ τοῦ πάσχοντος οὐδὲν πάθος προσγίνεται, τοῦτ' αὐτοὺς ἠπάτησε, πρὸς τὸ καὶ τὰ πάθη καλεῖν σώματα. ἀλλ' εἰ μὲν τῷ κατὰ ἀναφορὰν τρόπῳ τῆς κλίσεως οὕτως ἐκάλουν, οὐδ' ἂν οὐδ' αὐτὸς ἐχαλέπαινον αὐτοῖς, οἶδα γὰρ οὕτω καὶ ἄμπελον λεγομένην λευκὴν κατὰ τὴν ἐπὶ τοὺς γιγνομένους ἀπ' αὐτῆς λευκοὺς βότρυας ἀναφοράν, καὶ χρόνον κακόν, διὰ τὰς ἐν αὐτῷ γιγνομένας συμφοράς, καὶ νύκτα ἀβοήθητον, ἐν ᾗ τῆς ἐπικουρίας οὐκ ἔτυχον. εἰ δὲ καὶ πρώτως καὶ κυρίως ἁμαρτάνουσιν. ἐσχηματισμένον γοῦν σῶμα λέγομεν καὶ πεπονθὸς καὶ κινούμενον, οὐ τὸ σχῆμα σῶμα, καὶ τὸ πάθος, καὶ τὴν κίνησιν. οὐ δὲ τὴν πυγμὴν σῶμα, ἀλλὰ χεῖρας πως ἐσχηματισμένας. ἔτι δὲ ποιήσουσιν πρὸς τὸ μὴ δὲ ποιεῖν φάσκοντας τὰ σώματα, μόνα δὲ τὰ ἀσώματα. τί δεῖ πρὸς Ἀριστοτέλην, ὡς καὶ αὐτὸς γενικὴν τῶν ὄντων διαίρεσιν ποιούμενος. τὰ μὲν εἶναι φησὶν οὐσίας. τὰ δὲ συμβεβηκότα. τί δὲ καὶ αὖθις βουλόμενοι λέγουσιν οὐσίας τε καὶ συμβεβηκότα, εἰ καὶ αὐτὰ φησὶ σώματα, καὶ ταῦτα μηθ' ὡς τὰ μέρη τοῦ σώματος ὀνομάζονται σώματα, καθάπερ χεῖρα καὶ δάκτυλον, μηθ' ὡς ἡ μνᾶ ἐν τῷ ταλάντῳ. εἴγε τὸ σχῆμα τοῦ ἀνθρώπου σῶμα φασίν, ὥρα καὶ τὴν ζωότητα σῶμα λέγειν, καὶ τὸ γεννητὸν εἶναι καὶ φθαρτόν, καὶ τὴν λογικότητα καὶ φρονιμότητα, καὶ τὴν ἀθηναιότητα, καὶ τὸ φιλοσοφεῖν, καὶ σωφρονίσκου παῖδας εἶναι, καὶ τὸ σιμόν, καὶ τὸ φαλακρόν, καὶ προγάστορα, καὶ τοῖς ἄλλοις συμβεβηκόσιν ἰσαρίθμους λέγειν σωματότητας, ὥσπερ τὸν Βριάρεών τε καὶ Τύφωνα λέγειν αὐτόν, πολυπλοκώτερον, καὶ πολυσωματώτερον εἶναι ζῷον. εἴτε ζωότης, σῶμα ἐστί, πῶς πᾶσι τοῖς ζῴοις συμβέβηκεν; πῶς δὲ τὸ εἶναι; πῶς δὲ τὸ ἐν τόπῳ εἶναι; καὶ εἰ καθάπερ ἴδιον ἐπέχει τόπον. πᾶς ὀφθαλμὸς διαφανὲς σῶμα, οὕτω καὶ τῶν συμβεβηκότων ἕκαστον. ἄτοπον. οὕτω γὰρ ἥ τε τούτων ἐπιμιξία, οὐδεμία τις αὐτῶν ἀποτελεσθήσεται φύσις. ἄπορον δὲ καθάπερ ἔφην, καὶ τὸ ἕνα τόπον ἐπέχειν ἅπαντα φάναι. συγχυθέντα γὰρ εἰς μισγαγγείαν, τὴν ἑτερότητα οὐ φυλάξειεν, οὐ δὲ τὴν ἑαυτοῦ φύσιν ἕκαστον. καθάπερ ἐπὶ τῶν μιγνυμένων φαρμάκων ἔφην μίγνυσθαι. πότερον ὅλον φημὶ τὸ σῶμα τῆς ζωότητος ἑκάστῳ τῶν τοσούτων συμβεβηκότων συμβέβηκεν, ἢ κατὰ διαιρούμενον ἰσαρίθμως; ἑκάτερον γὰρ ἄτοπον ὁ προκηρυσμένος λόγος ἔδειξε. τί δὲ δεῖται φημὶ σωματότητος ἕκαστον αὐτῶν εἰ φανεῖ καὶ αὐτὸ σῶμα ὄν; ὅτι δὲ οὐκ ἔστι τῶν συμβεβηκότων ἕκαστον σῶμα κἀκ τούτου τις ἂν μάθοι. μύοντες γὰρ σῶμα μὲν τῇ θίξει χρόνῳ καταλαμβάνομεν. χρόαν δὲ ἢ χυμόν, οὐ συγκαταλαμβάνομεν, οὐ δὲ σχῆμα κατὰ τὴν θίξιν τοῦ σώματος. ἐχρῆν δὲ καὶ τούτων ἕκαστον ὑπὸ τῆς ὕλης, καὶ μὴ κατὰ περίληψιν θίξεως καταλαμβάνεσθαι. οὐ δὲ γάρ ἐστι λόγῳ θεωρητή. φέρ' ἐστὶ τοῦ μήλου στρογγυλότης. ὁ δ' ὅμοιος περὶ τοῦ χυμοῦ λόγος. εἴτε καὶ τῶν συμβεβηκότων ἕκαστον σῶμα ἐστί. τί βουλόμενοι; τὸ σῶμα μόνον φασὶν ἐπ' ἄπειρον τέμνεσθαι, οὐχὶ δὲ καὶ τὸ σχῆμα. φέρε καὶ τὴν γλυκύτητα, καὶ τῶν ἄλλων ἕκαστον. οὕτω κατὰ συμπλοκὴν τρόπῳ φημί, οὐ δὲ κατὰ ἀναφοράν, ἐπὶ τὸ συνήθως καλούμενον σῶμα, ἀλλ' ἀπ' εὐθείας. διὰ τί δὲ μόνου, καθάπερ ἔφην, τοῦ σώματος, ὥσπερ ὅρον φασὶν εἶναι, τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας, οὐχὶ δὲ καὶ χρόαν, καὶ χυλόν, καὶ χυμόν, καὶ τῶν λοιπῶν συμβεβηκότων ἕκαστον, οὕτως ὁρίζονται. εἰ δὲ σῶμα, πάντα ταῦτ' εἶναι φασί, κἂν γὰρ ἐπ' εἴδους διαφέρῃ κοινῶς γε καὶ πάντα σώματα εἶναι φασίν, ὥσπερ οὖν κἂν ἄνθρωπον ὁρίζωμαι, κἂν ἵππον, κἂν βοῦν, ζῷον γεννητὸν καὶ θνητὸν ἐρῶ. ἅπερ ἐστὶ κοινά. προσαποδώσω δὲ τὴν ἑκάστου ἰδιότητα. οὕτω καὶ τῶν συμβεβηκότων ἕκαστον ὁριζόμενοι, λεγέτωσαν οὐσίαν διαστατὴν σωματικὴν τριχῇ μετὰ ἀντιτυπίας. ταῦτα τοὺς στωϊκοὺς φίλε Πίνδαρε λύειν ἄξιον, μὴ συγκατασπᾶν ἑαυτοῖς ἄλλους, ὡς τοῖς αὐτοῖς ἐνεχομένους πταίσμασιν. ἀλλ' ἀποσκευαζομένους τὰ ἐγκλήματα. οὐ γάρ ἐστιν ἡ ἀντιλογία τῶν ψευδοδόξων ἡ κοινωνία πρὸς ἑτέρους ἀλλ' ἡ λύσις.

ΓΑΛΗΝΟΥ ΕΙ ΖΩΟΝ ΤΟ ΚΑΤΑ ΓΑΣΤΡΟΣ.

Ὅπερ φυσικοῖς καὶ πᾶσι φιλοσόφοις παρέχει μέχρι τῆς τήμερον περὶ τῆς τοῦ παντὸς φύσεως ζήτησιν, ὥσπερ τοῖς Ἀσκληπιάδαις, καὶ τοῖς τούτων ἐγγόνοις ἡ τοῦ γινομένου καὶ συνισταμένου βρέφους ἐν μήτρᾳ ἀμφίβολος ἔννοια. ὡς γὰρ οἱ τοῦ ὅλου ἔρευναν ποιούμενοι, οὐδὲν σαφῶς ὡρίσαντο πότερον ζῷον ἢ μή, τὸν αὐτὸν τρόπον καὶ οἱ τῆς τέχνης τῆς ἰατρικῆς προϊστάμενοι, ἀόριστον τὸν ὑπὲρ τοῦ φυομένου παιδίου παρέδοσαν λόγον. ὡς οὖν δυσκόλου καὶ δυσκαταλήπτου καὶ μήπω στάσιν εἰληφότος πράγματος, τῶν εἰς αὐτὸ ῥηθέντων ποιήσασθαι χρὴ κοινὴν ἀκρόασιν. ὅ, τε γὰρ λέγων ἐγώ, ὑμεῖς τε οἱ κεῖται, φύσεως ἀνθρωπίνης κατὰ τὸν Σωκράτην λελόγχαμεν, διόπερ μᾶλλον ἀγαπᾶν χρὴ τὰ λεγόμενα, ἢ πέρα τοῦ προσήκοντος ἐπιζητεῖν. τὰ γὰρ ὑπερουράνω τοῦ προκειμένου, καὶ πρῶτος θεὸς οἶδε, καὶ ὁ τούτου συνοπαδός, καὶ ἀνδρῶν, ὃς ἂν ἐκείνῳ φίλος ἢ κατὰ Πλάτωνα, ἔστω δὴ φιλία τε ἅμα καὶ μὴ φθόνος ἢ ὕβρις ὑπὸ τῶν τὰ τοιαῦτα περωμένων, οὕτω γὰρ ἂν ἡμεῖς τε φιλικώτερον προΐοιμεν εἰς τὰ τοιαῦτα χωρία, ὑμεῖς δ' ἕξετε τὴν διὰ παντὸς εἰς πάντα αἰώνιον εὔνοιαν, καὶ τὴν πρὸς τὸ ὁμόφυλον ἀνεπίφθονον ἀρετήν. ἀλλὰ γὰρ ὥσπερ περὶ σμικροῦ κόσμου τοῦ ἀνθρώπου μέλλοντες λέγειν τὴν ἀρχὴν ἀπὸ τοῦ μεγάλου ποιησόμεθα, ὥσπερ οἷον διάφραγμα καὶ μοῖρα ὑπάρχομεν. προκατασκευασθείσης δὲ παρ' ἡμῖν τῆς περὶ τούτου φύσεως, εὐδηλοτέρα ἡ ἀνθρωπεία γενήσεται σύστασις. περὶ αὐτοῦ δὴ πρότερον τοῦ,

τερον τοῦ, ὅτι ποτ' ἐστὶν ὁ κόσμος, ὁριζόμεθα. συστήσεται γὰρ ῥᾶστα ἡ οὐσία τοῦ ὅλου ὅρου τὸ πᾶν σημαίνοντος. περὶ δὲ τῆς ὑπάρξεως αὐτοῦ τί ἐστι ζῶον εἴπωμεν, ἵνα τοῦ ὅρου τοῦ προκειμένου ἐπηγγελμένου, φανῇ τὰ περὶ φύσεως τοῦ παντὸς σπέρματος. ζῶον τοίνυν ἐστὶν οὐσία ἔμψυχος αἰσθητική τῷ γένει πάντων τῶν ὑπ' αὐτοῦ κατηγορουμένων. μέχρι μὲν οὖν ἁπλῶς τοιοῦτον λέγηται ἄν, πάντα περιλαβὼν ἐν ἑαυτῷ ἔχει. ἐπειδὰν δὲ τὸ εἰδοποιὸν ἑκάστῳ προστεθῇ, τὸ διαφέρον ἐδέχθη γένος, εἰς εἴδη μεριζόμενον. εἴδωμεν οὖν εἰ ζῶόν ἐστιν ὁ κόσμος, καὶ εἴ γε τὴν ἀρχὴν ἐγένετο, εἶτ' αὖ πάλιν τὴν ὁλόκληρον ἐπεῖχε φύσιν. κόσμος τοίνυν ἐστὶν, σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν μεταξὺ φύσεων καὶ ὕδατος καὶ ἀέρος, καὶ τὸ διῆκον ἔχον διὰ πάντων αὐτῶν ἀρχηγὸν καὶ πρωτόγονον πνεῦμα, ὅπερ καλοῦσι πάντες οἱ φιλόσοφοι, ἢ ψυχὴν, ἢ μονάδα, ἢ ἄτομον, ἢ πῦρ, ἢ ὁμωνύμως τῷ γένει πνεῦμα τὸ πρῶτον. ταῦτα δὲ ἦν μὲν καὶ πρὸ τούτων ταύτην ἔχειν τὴν ἐπωνυμίαν, ἀλλὰ τότε μὲν ἔκειτο ἦν ἀδιάλλακτα, καὶ ὥς φασί τινες ὕλην εἶχε τοὔνομα, κόσμον δὲ νῦν, διὰ τὸ ποιεῖν ἐμμελῶς καὶ εὐτάκτως, καὶ ὡς ἂν ἐν ῥυθμῷ καὶ κόσμῳ ποιεῖσθαι τὴν κίνησιν. ἀκινήτοις γὰρ ἡγοῦμαι εἶναι καὶ λίθοις παραπλησίους, τοὺς ἀκίνητον εἶναι λέγοντας τὸ πᾶν. ἐξ ὅλων μὲν οὖν ὁ κόσμος ὅλος ἥρμοσται. καὶ ἐκ τελείων τέλειος. καὶ ἐξ αὐτοτελῶν, ἀνενδεής. καὶ ἦν καὶ ἔσται κινούμενον ζῶον. ἀλλὰ τότε μὲν ἐσπαρμένην καὶ τὴν τοῦ παντὸς ἔχουσαν λόγου δύναμιν ἐκέκτητο. διακριθεὶς δὲ, καὶ τοῦ σκότους προελθὼν, τὴν οἰκείαν τῶν σπερμάτων ἀρετὴν ἔδειξεν. ἔνθα μὲν, γῆ φαινόμενος. δι' ὕδωρ. ὅπου δὲ πῦρ σὺν ἀέρι ἐκτεινόμενος, πανταχοῦ τῷ περὶ αὐξήσεως τρόπῳ, τῇ τῶν στοιχείων φύσει φωτίζων τὸ ὅλον, οἷον ὀφθαλμοῖς, ἡλίῳ καὶ σελήνῃ, καὶ τῇ τούτων διαυγείᾳ, καὶ λαμπρᾷ στιλπνότητι, κινήσει πάσῃ ὁδηγὸς γενόμενος. συνεκκέκραται γὰρ αὐτῷ, καὶ οὕτως ἐξ ἀρχῆς ἐπιγινομένῳ, καὶ τὴν πρώτην συνισταμένῳ φύσιν. ζῶον τε γὰρ πρῶτον καὶ ἔμπνουν τε καὶ ἔννουν ὅδε ὁ κόσμος, καὶ τότε ἦν καὶ νῦν φαίνεται. ὥσπερ οὖν οὐκ ἄν τις τολμήσας εἴποι μὴ ζῶον αὐτὸν ἡνίκα ἐκυΐσκετο, ἀπεδείξαμεν γὰρ ὡς ἐξ ὅλων, ὅλος, καὶ ὡς ἐκ τελείων, τέλειος. πῶς γὰρ ἂν ὁλοτελῆ παρέχοιτο μὴ ὢν ὅλως; οὕτω καὶ τὸ περὶ γαστρὸς μὴ ζῶον εἴποι τις ἄν, ὅνπερ τρόπον ὁ χαλκουργὸς, ἢ ὁ σιδηρεὺς, ἢ ὁ ἀνδριαντουργὸς, ἢ ὁ ναυπηγὸς, ἢ τις τῶν ὁμοίων οὐκ ἂν λέγοιτο τέλειον τι τῶν ἐξ αὐτοῦ, καὶ ὁλόκληρον παρεσχηκέναι, ἐλλείποντός τινος, ἢ τῷ ἀνδριάντι χειρὸς, ἢ ποδὸς, ἢ τῇ μαχαίρᾳ τῆς ἀκμῆς, ἢ τῷ σκάφει τοῦ πηδαλίου· τὸ δ' ἀνελλιπὲς καὶ τοῖς ἅπασιν ἀπηρτισμένον, ἡνίκα λείπει μηδὲν, τέλειον ἐστὶν, κατὰ τὸν αὐτὸν τρόπον καὶ ὁ κόσμος καὶ τὸ περὶ γαστρὸς, οὐκ ἄν ποτε τὸν τέλειον ἐπεῖχε λόγον, εἰ μὴ τότε, ὅτε πρῶτον τοῦ εἶναι μεταλαμβάνων τὴν τοῦ παντὸς ἀνεδέξατο οὐσίαν. ἀλλὰ καὶ ὅτι ἦν ὁ κόσμος ζῶον, καὶ διὰ τοῦτο καὶ νῦν ἐστιν εἰρηκότες, ἐπὶ τὸν περὶ ἀνθρώπου, τοῦ μετ' αὐτὸν κόσμου δευτέρου, μετέλθωμεν λόγον. προδιωρισμένον ἡμῖν ἐστὶ ζῶον, καὶ ἐξ ὧν μὲν, ὅτι τὴν τοῦ ζώου παρέχοιτο χρείαν, ὅτε ἦν καὶ ἐν τῇ μήτρᾳ τὸ παιδίον. εἰρηκότος γε δὴ καὶ προθεσπίζοντος καὶ προκηρύττοντος, οἷον ἐκ δελφικοῦ τρίποδος τοῦ τῶν ἀσκληπιαδῶν ἱπποκράτους. τὴν γὰρ πρώτην καταβολὴν αὐτοῦ, καὶ οἱονεὶ ζωότητα συνίστησιν ἀπὸ τῶν ὅλων. εἰδὼς μὴ ἄλλως δυνήσεσθαι τὸ αὐτοτελὲς παρασχεῖν, εἰ μὴ τὴν ἀπὸ τῶν τελείων ζωογονίαν λάβοι. ἔρχεται μὲν ὁ γόνος φησὶν ἀπὸ παντὸς τοῦ σώματος, καὶ ἀπὸ μὲν τῶν ὑγιεινῶν, ὑγιεινός. ἀπὸ δὲ τῶν νοσερῶν, νοσερός. ἀπὸ παντὸς εἴτε μέρος, καὶ ὅλον ἐξ ὅλου. καὶ τοσοῦτον ἐνεδέησε τοῦ μὴ ζῶον εἰπεῖν, ὥστε καὶ ἀπελύσατο τὰ ἐγκλήματα τοῦ φήσαντος ἂν πρὸς αὐτὸν τὰ ἀνάπηρα μὴ εἶναι τέλειον. βουλόμενος γὰρ μὴ ἀμφιβάλλειν, ζῶον ἔφη. τοὺς μὲν ὑγιεινοὺς ἔχοντας τὸ πᾶν ἀνενδεὲς, εἰς ἀρτιότητα τὸ σπέρμα καταβάλλεσθαι. τοὺς κεκωλυμένους δὲ ἐλλείψει τούτου. ὃ τὴν χρείαν οὐκ ἔχει. πῶς γὰρ αὐτὸ μὴ ὂν, ἐν γενέσει ὑγιὲς ἂν γένοιτο. μόνου γὰρ τοῦ ὄντος μὲν, οὐδέπω δὲ γενομένου. ὑγιοῦς δὲ δυνάμει ὄντος, καὶ διὰ τοῦτο γένεσιν ἐπιδεχομένου. τῶν γὰρ οὐκ ὄντων ἐμφανῶς, τὰ μὲν οὕτω γέγονεν, τὰ δὲ δύναται. ὥσπερ καὶ τὸ *οὐδέτερον σπέρμα. τὸ μὲν δύνασθαι ζῶον γενέσθαι, ἔχει δὲ τό τε καὶ ἐνεργείᾳ, ἡνίκα αὐτὸ ἀνθρώπου παρέχηται. τὰ δὲ οὔτ' ἐστὶν, οὔτε δύναται γενέσθαι, οὔτε λόγον ἔχει. ὥσπερ αὐτὸ φύσει μὴ ὄν. τοῦτο γὰρ οὔτε τὸν τοῦ ὄντος, οὔτε τὸν τοῦ γενησομένου δέχεται λόγον. ὀρθῶς ἄρα τοίνυν κατὰ τὸν Ἱπποκράτην ζῶον αὐτὸ περὶ γαστρὸς λέγοιτο, καὶ τοῦ σπείραντος αὐτὸ ἐξ ὅλων, καὶ τὴν ὅλου παρέχοντος δύναμιν. οὐ μόνον δὲ ὅτι ἀπὸ παντὸς, καὶ ὅτι ζῶον ἐδήλωσεν, ἀλλ' ἔδειξεν ἐπὶ ποσότητος, ὅτι τὰς τοῦ παντὸς ἀρχὰς ἔχει, καὶ δύναται τὰ ὅμοια τῶν ἀφ' ὧν τὴν ῥίζαν ἔσχεν. λέγων δίδυμα, γίνεται μὲν ὑφ' ἑνὸς λαγνεύματος. ἔχουσι δὲ κόλπους καὶ γόμφους αἱ μῆτραι. ἐνταῦθα γὰρ σαφῶς νοεῖν ἔνεστι δύνασθαι τοῦτο τὸ καταβληθὲν εἰς τὴν μήτραν σπέρμα, ὅπερ ἦν ζώου φύσις. ὀλίγον γὰρ ὂν τῷ πλήθει πολὺ τῇ δυνάμει γίνεται. καὶ δείκνυσι τὴν ἀρχηγὸν αἴτιον, καὶ τὴν τοῦ ζώου τούτου οὐσίαν. καὶ ὥσπερ τὸ ἐν ταῖς πυρείταις πῦρ, καὶ τὸ ἐν τιτάνῳ συνεσπαρμένον, οὐκ ἄν τις φήσει μὴ εἶναι πῦρ, ὅτι μὴ καίει. γίνεται γὰρ ἐνεργείᾳ τότε καὶ τὸ πῦρ, ἡνίκα ἂν ὕλης λάβηται, καὶ περὶ ἔξωθεν ἀπὸ τοῦ παντὸς εἰσπνοῆς. οὕτω καὶ τὸ καταβληθὲν εἰς τὰς γυναῖκας σπέρμα, ἀληθεύσει τις ζῶον εἶναι λέγων. καὶ γὰρ τοῦτο δυνάμει μὲν ἐστὶ ζῶον ἤδη. γίνεται δὲ καὶ ἐνεργείᾳ, ἡνίκα προελθὸν ἔξω τῆς μήτρας ἑαυτῷ συνάψει τῷ τὴν ἀρχὴν παρεσχηκότι. μόριον γὰρ καὶ ἀπόσπασμα ὂν τοῦ μεγάλου ζώου τοῦ κόσμου, μένον μὲν ἐν μυχοῖς καὶ φωλεῦον, συγκρίσεως ἐπέχει λόγον, διακριθὲν δὲ καὶ γενόμενον ἔξω τούτου τοῦ βάθους οἷον χάους, ἀσπάζεται τὴν ὁμόφυλον καὶ ὁμοίαν φύσιν ταῖς περὶ ἐνεργείας προσθέσιν. κινεῖσθαι γὰρ ταῖς ἐξ αὐτοῦ κινήσεσιν ἄρχεται. καὶ τὰ φωσφόρα ὄμματα τείνει διὰ παντὸς τοῦ ἡλίου καὶ σελήνης, μιμούμενον φύσιν καὶ τὸν νοῦν ἵστησι τῇ πρὸς τὸ ὅμοιον ἀπεικαζομένῃ φορᾷ. ὡς μὲν οὖν ἀπεικότως τινὲς εἶπον οὐ ζῶον, τὸ περὶ γαστρὸς, ἐκ τῶν εἰρημένων τεκμαίρεσθαι. ὅσα δὲ καὶ ποῖα ζῶον ποιεῖ, νῦν φράσω. τὸ γοῦν ζῶον διοικούμενον ὑπὸ ψυχῆς καὶ φύσεως καὶ τροφῆς καὶ πνεύματος. τρέφεται μὲν γὰρ ψυχὴ πνεύμονι. τροφαῖς δὲ ὑγραῖς καὶ ξηραῖς ἡ φύσις. εὑρεθήσεται δὲ καὶ τὸ ἐν τῇ μήτρᾳ πάσαις ταῖς οἰκονομίαις χρώμενον. καὶ ταῖς πρὸς τὴν τῆς ψυχῆς κινήσεσι, καὶ ταῖς πρὸς τὴν τῆς φύσεως αὔξησιν. καταπίνει τε γὰρ, καὶ ὡς Ἱπποκράτει δοκεῖ τῷ τε γὰρ στόματι καὶ τῇ ῥινὶ τὴν πνοὴν ἄνωθεν ποιεῖσθαι φησί. τινὲς δὲ καὶ τῶν ἀσκληπιαδῶν, καὶ θηλάζειν αὐτὸ τὰς ἐν τῇ μήτρᾳ κοτυληδόνας λέγουσί τε καὶ πέττειν, ἐπειδὴ γὰρ ἀνάγκη τοῖς καταποθεῖσι καὶ πέψις, κἂν ὅτι μάλιστα κατειργασμένην ἤδη παρὰ τῆς μητρὸς λαμβάνει τὴν τροφήν. προσεῖθεν δὲ χωρὶς τῆς δεξαμένης αὐτὸ φύσεως, οὐκ ἂν δυνατὸν οὐ δὲ ὁμοιωθῆναι πρότερον εἰ μὴ ἐξ ἀνάγκης τῷ τρεφομένῳ τὸ τρέφον περὶ τῆς παιδὸς φύσεως τὴν ὁμοίωσιν ἐργαζομένου. καὶ τό τε τὰ ἔργα περὶ

φύσεως παρέχειν, καὶ ἀναλαμβάνειν. καὶ ἕτοιμον πρὸς διάκρισιν, καὶ διακρίνειν τὸ ἀλλότριον. ὅτι γοῦν καὶ χολαὶ καὶ οἱ σύμπαντες χυμοὶ διακριθείσης τῆς τροφῆς γίνονται. μὴ γὰρ δὴ μόνον τὴν διὰ πυλῶν εἰς ἧπαρ δι' ὀμφαλοῦ φερομένην ἐκ τῶν ἐμβρύων ὕλην τρέφειν νομιζέτω. τρέφεται μὲν γοῦν καὶ διὰ τούτων τῶν ὁδῶν, μάλιστα δὲ καὶ διὰ τῶν τελειοτέρων, καὶ δι' ὃ ἂν κατενεχθείη, ἀπολαύει τροφῆς. μὴ γοῦν διὰ δόξης τοῦ Ἱπποκράτους εἰπόντος, ἡ δὲ ἀρχαιοτέρη τροφὴ διὰ τῆς γαστρὸς ὀμφαλοῦ, ἀγνοεῖν αὐτὸν μὴ καὶ διὰ στόματος τρέφεσθαι. εἶπε γοῦν καὶ περὶ ταύτης τῆς ὁδοῦ ὡς ἐπάνω προείρηται. μαρτύριον δὲ, τὸ καὶ ἐν μήτρᾳ διὰ στόματος τὴν τροφὴν λαμβάνειν τὸ ἅμα τῷ τεχθῆναι τὴν ὁρμὴν πρὸς τὸν μαστὸν ἔχειν. οὐ γὰρ μὴ προεθισθὲν, χρῆσθαι τῇ ὁδῷ ταχεῖαν οὕτω τὴν πρὸς αὐτὸ ὁρμᾷ ὁδόν. ἀτμίζει δὲ καὶ πνεύματι τὴν διακριθεῖσαν τροφὴν, καὶ προστίθησιν ἑκάστῳ μορίῳ ῥαδίως. μεταβάλλεται δὲ καὶ τὰ ἐκ σπέρματος εἰς χυμοὺς, καὶ τὴν ἐκ χυμῶν εἰς σάρκας, καὶ φλέβας, καὶ νεῦρα, καὶ ἀρτηρίας, καὶ ὀστέα, καὶ σπλάγχνα, καὶ πιμελήν. καὶ τὰ ἐξ ὀλίγου εἰς πολὺ, καὶ τὸ ἐκ μικροῦ γίνεται μέγα, τῆς αὐξητικῆς δυνάμεως μέχρι τῶν οἰκείων ὅρων τῆς αὐξήσεως ἐκτεινούσης αὐτὸ καὶ περατούσης. ἃ μὲν οὖν τῆς φύσεως ἔργα ἱκανῶς ἡμῖν ἐδείχθη λογοποιοῦντι τὰ περὶ γαστρός. ὡς δὲ καὶ ψυχῆς μετέχει καὶ λογισμοῦ, διὰ τῶν ἑξῆς πειράσομαι δεῖξαι. τῶν γοῦν αἰσθητηρίων ὑπὸ τῆς φύσεως μηχανωμένων, εἰς τὸ διαπορθμεύειν τὰς ψυχικὰς δυνάμεις, δι' ὀφθαλμῶν μὲν τὴν ὁρατικὴν, δι' ὤτων δὲ, τὴν ἀκουστικὴν, γευστικὴν δὲ, καὶ ὀσφρητικὴν διὰ γλώττης καὶ ῥινὸς, καὶ τὴν ἁφὴν δὲ διὰ τῶν χειρῶν, καὶ τῆς λοιπῆς τοῦ σώματος ἐπαφῆς, φανερὸν ὅτι κενὸς οὐ λείπεται τόπος, ἀλλ' ἔχει τὰ προειρημένα χωρία, καὶ περὶ γαστρὸς ὄντος τοῦ βρέφους, τὰ τῆς ψυχῆς οὐσι. καὶ τὸν ἐγκέφαλον δὲ ὄντα ταύτης οἰκητήριον, ἐξ ἀρχῆς ἔτι συνιστάμενον ἐν αὐτῷ τῷ κύτει τῆς κεφαλῆς ἐγγινόμενον ἔχει. δῆλον οὖν κἀν τούτῳ ὡς ἅμα τῇ τοῦ σπέρματος εἰς τὴν μήτραν ἐξακοντίσει, συγκατέσπειρεν ὁ τῶν ὅλων δημιουργὸς καὶ τὴν ψυχὴν, ἵνα τῷ σώματι καὶ τὴν διοικοῦσαν αὐτῷ δύναμιν ἔχῃ. ἢ γὰρ οὐκ ἴσμεν τοὺς ἔξωθεν δημιουργοῦντας τινῶν ὀργάνων κατασκευὴν ποιουμένους, πρός τινων ἐνεργειῶν πράξεις. τρόπιν μὲν τὸν ναυπηγὸν ὑποβάραθρον τῆς νεὼς ἕνεκα γινομένην. χαράκωμα δὲ τῶν κυμάτων. καὶ τεῖχος ἀσφαλές. καὶ ἕρκος τῶν ὑφάλων πετρῶν. κοιλαίνοντα δὲ μακραῖς σύριγξι τὸν αὐλοποιὸν τὴν ὕλην τοῦ χαλκοῦ πρὸς ὑποδοχὴν τῶν ἐνιεμένων πνευμάτων. τὸν δὲ μουσικὸν ἐκτείνοντα τὰς χορδὰς, πρὸς φθόγγων μελῳδίαν. καὶ τὸν ἑτοιμάζοντα ἤγουν παιωνικὰ φάρμακα, πρὸς ἄμυναν τῶν παθῶν. καὶ τὸν στρατηγὸν πρὸς τῆς παρατάξεως τακτικὰ προδιδάσκοντα πρὸς ὑπομονὴν τῶν πολεμίων. ὥσπερ οὖν οἱ τὰ τοιαῦτα μηχανώμενοι, τινὸς ἕνεκα τὴν παρασκευὴν ἐργάζονται, οὕτω καὶ ἡ φύσις διαπλάττει τῶν ἐν ἡμῖν ἕκαστον, ὡς ἐσόμενον τινὸς ὄργανον. οὕτως τε καὶ ἡ τῶν νεύρων φύσις οὖσα ψυχῆς οἰκητήριον ἐξ ἀρχῆς ἅμα τῷ πνεύματι συμβλαστάνουσα, δηλοῖ τὴν ψυχὴν, ἅμα τῷ σώματι συνισταμένῳ συνίστασθαι. καὶ γὰρ εἰ μήπω ὀφθαλμὸς ὁρᾷ. γλῶττα δὲ γεύεται. οὖς δὲ φωνῶν ἀντιλαμβάνεται. καὶ θερμῶν, ἢ ψυχρῶν, ἢ ὑγρῶν, ἢ ξηρῶν, ἀναίσθητος ἡ ἁφὴ γίνεται κατ' ἐνέργειαν, ἀλλ' οὖν γε ὑπόκειται φυλάττειν, καὶ δύναται ταῦτα μετ' ὀλίγον τεχθέντος τοῦ βρέφους ἐργάζεσθαι. τολμήσας δ' ἂν εἴποιμι τὴν ἡσυχίαν ἐνέργειαν. τὸ γὰρ ἔτι ἐν μήτρᾳ ὄντος τοῦ παιδίου, μύειν τοῖς βλεφάροις, καὶ τῇ ῥινὶ συνεστάλθαι, καὶ τοῖς ὠσὶν ἀνηκουστεῖν, ἔργον ἐστὶ προεστώσης ψυχῆς. τὴν γλῶτταν δὲ, οὐκ ἄν τις φήσῃ μὴ γεύεσθαι ἐπὶ τῶν κυουμένων, ἔτι καὶ τῆς ποιότητος ἀντιλαμβάνεσθαι, φανεροῦ τοῦ πράγματος γινομένου διά τι πάθος. πολλάκις γὰρ ἴσμεν ἐναποθνήσκοντα ἐν ταῖς μήτραις παιδία, φαυλότητι τῶν προσφερομένων διὰ στόματος, τὴν τροφὴν ἀποστραφέντα καὶ ἀπαγορεύσαντα. ἐπειπούσης διὰ τῆς ἐν τῇ γλώττῃ γευστικῆς δυνάμεως τῆς φύσεως πρὸς τὴν τοῦ παιδὸς διαμονήν. καὶ τὸ ἀναπνεῖν δὲ ὂν ἔργον τῆς ψυχῆς παρεχόμενα τὰ ἔμβρυα. ἀναπνεῖ γὰρ διὰ στόματος, ὡς καὶ μικρὸν πρόσθεν εἴπομεν. δῆλον ἐκ τοῦ συμπαρεῖναι καὶ τῷ σπέρματι καὶ τὴν ψυχὴν ἅμα τῇ φύσει. ψυχικὸν γὰρ ἐνέργημα, καὶ οὐ φυτικὸν, ἰατρῶν παῖδες οἱ πλεῖστοι τὴν ἀναπνοὴν ὡρίσαντο. παιδαριῶδες γὰρ οἴεσθαι παραγραφὴν εἶναι τοῦ μὴ ψυχῆς ἔργον ὑπάρχειν αὐτὴν, τῷ φάναι τοὺς καθεύδοντα ἀναπνεῖν ἀπροαιρέτως, οὔσης τῆς ἀναπνευστικῆς καὶ προαιρετικῆς. ὥσπερ γὰρ ἐγρηγορότος τοῦ ζώου τῷ πάσας ὑπάρχειν τὰς ἐνεργείας ἡ ψυχὴ, ὁρᾷ τε γὰρ καὶ ἀκούει, καὶ διὰ τῶν λοιπῶν αἰσθητηρίων ἐπιτελεῖ, κινεῖται, δὲ καὶ τούτων δι' αἰσθήσεως ἀντιλαμβάνεται, καὶ πᾶσαν ὑφίσταται πραγματείαν, τείνασα ἑαυτὴν ἀκινδύνως καὶ παρασπείρασα τοῖς ὀργάνοις, δι' ὧν τὰ χρειώδη συντελεῖ. τὸν αὐτὸν τρόπον καὶ νύκτωρ συστελεῖσα, καὶ σωρευθεῖσα μήτε ὑπὸ τῶν ὁρατῶν ἐνοχλουμένη, μήτε ὑπὸ τῶν ἀκουστῶν θορυβουμένη, μήτε ὑπὸ τῶν γευστῶν διακρινομένη, μήθ' ὑπὸ τῶν ὀσφραντῶν ἀναστρεπομένη, μήτε ὑπὸ τῆς ἁφῆς προσπιπτόντων ἀλλοιουμένη, μήτε δρόμοις, ἢ περιπάτοις, ἢ ἄλλοις γυμνασίοις διαπονουμένη, μηδὲ ἐν αὐτοῖς γινομένη, τὴν περὶ ἀναπνοὴν ἐνέργειαν ἀπεργάζεται. ἢ τὴν μὲν φύσιν ἑκοῦσαν, καὶ οὐ παθοῦσαν τὰ δέοντα ποιεῖν πεπιστεύκαμεν, ψυχὴν δὲ τῆς θειοτέρας μοίρας λαχοῦσαν, οὐ παρακολουθεῖ τοῖς ἰδίοις ἐνεργήμασιν. θνητὸν καὶ γεῶδες ἡ φύσις, καὶ διανοίας ἐκτὸς ἐστὶν, ἢ ὅτι λογισμὸν ἔχει, τήν τε θνητὴν μόνην οἶδε περίοδον, τήν τε φθαρτὴν πρᾶξιν εἴληφεν. ἡ ψυχὴ δὲ ἀπόρροια μὲν τῆς πάσης ψυχῆς, καὶ τῆς οὐρανίου χορείας, ἐπιστήμης ἀντιλαμβάνεται. ἀεὶ δὲ ἐπὶ τὴν πρὸς τὸ ὅμοιον ἐπιγινομένην ὁδὸν ὑπερβαίνει μὲν γῆν. τὴν ἐν ὕδατι πλάνην ἀποστρέφεται. καὶ ὑπεραναβαίνει τὸν ἀέρα. καὶ πυρὸς ἀνωτέρα γίνεται. καὶ τῆς οὐρανίου θεότητος τυγχάνει. καὶ τὸν ὑπερουράνιον πολλάκις βλέπει τόπον. συμπαραστατεῖ τῷ τῶν ὅλων δεσπότῃ περίοδος τῶν ἄνω γίνεται. πολλάκις τοῖς αὐτοῖς ὁμοιοειδέσι τυγχάνει οἶδε κἂν ἐν σώματι γίνηται, πόθεν ἐστὶ, καὶ ὅθεν. καὶ ἔτι σύνεσι τοῖς ὅλοις ὁ τῶν πάντων πατὴρ, τούτοις τοῖς ὄμμασιν, ἐν οἷς ἂν καθιδρύσηται αὐτὴν, χωρῶμεν μὴ τοίνυν ἀγνοούσης φασκέτωσαν τῆς ψυχῆς γίγνεσθαι τὴν ἀναπνοὴν, ὕπνῳ σχολάζοντος τοῦ σώματος. ἱκανωτέρον γὰρ πρὸς πάντα φύσεως ἡ ψυχή. καὶ δυνατωτέρα ἐστί. καὶ μὲν φύσιν ὁμοίως τὴν ἐγρηγορότων καὶ καθευδόντων, ἐνεργεῖν δύνασθαι. πέττει γὰρ καὶ ἀναδίδωσι. καὶ διακρίνει. καὶ προστίθησι καὶ αὐξάνει, ἐν ἑκατέρῳ χρόνῳ. ψυχὴν δὲ μόνην ἐγρηγορότων πράττειν, ἃ προσήκει τῷ σώματι. κοιμωμένων δὲ τὰ ὅμοια μὴ δύνασθαι ἤ. ἄτοπον δὲ καὶ τὸ ἱκανῶς δεδειγμένου τοῦ ζώου εἶναι τὸ περὶ γαστρὸς, μὴ καὶ ἀπὸ τῶν ἔξωθεν πιστώσασθαι τὰ προειρημένα. μύας τε καὶ σκώληκας οἷον ἐν μήτρᾳ τῇ ὕλῃ ὁρῶντες γινόμενα ὀνομάζομεν ζῶα, ἀποβλέποντες ἰλυσπώμενα, κἀκεῖνα δὲ οἶμαι τῆς προνοούσης αὐτῶν δυνάμεως ἐπιστατούσης. ἀμφισβητοῦμεν δὲ αὐτὴν, περὶ τῶν

ἐν μήτρᾳ

ἐν μήτρᾳ ζωουμένων, εἰ δεῖ σαφῶς ζῷον καλεῖν. καὶ ταῦτα κηρύττοντος Ἱπποκράτους. ζωοῦται τὰ μὴ ζῷα ἐκ τῶν ζώων, φύσιες πάντων ἀδίδακτοι. δέον γοῦν εἰπεῖν, μὴ ζῷα, ἢ εἰπεῖν, γίνεται τὰ μέρεα. τοῦτο μὲν γὰρ παρέλειπε, τὸ δὲ τοῦ τελείου ὀνόματος κατεχρήσατο, ἵνα ἅμα συνίστασθαι, καὶ ζῷα εἶναι νοῶμεν. φιλοτιμότερον δὲ καὶ ἀμαχέστερον καὶ τὸ φύσιες δὲ πάντων ἀδίδακτοι προστέθεικεν. ἵν᾽ εἴ τις τρόπῳ ἢ λόγῳ ἀπαιτοίη τῆς ζωώσεως, ὑπὲρ τὴν πάντα γεννῶσαν αὐτὴν ἀδιδάκτως ἀναφέρεται φύσιν. καὶ τὸ φύσιες δ᾽ ἐξαρκεῖ παντάπασι περιγράφεσθαι τῶν ἀπίστων τὰς γνώμας, καὶ τῶν μὴ ζώων φασκόντων. εἰ γὰρ ἑκάστῳ τῶν ὄντων τὰ τέλη πρὸς τὸ εἶναι παρεχομένην δίδωσι καὶ περὶ κυοφορουμένῳ τὴν τοῦ ζώου εἶναι τελείωσιν. πῶς δ᾽ οὐκ εὔηθες, ψυχὴν μὲν καὶ σῶμα, ζῷον εἶναι φάσκειν, ἀφαιρεῖν δὲ τοῦ ὄντος τοὔνομα. ὅμοιον γὰρ εἰ καὶ τοῦ τὸ πῦρ εἰδοποιοῦντος, ὅπερ ἐστὶν τὸ καῖον ἔχοντος τοῦ πυρός, τὸ μὲν ἔργον τις ὁμολογοίη, τὸ δ᾽ ὄνομα μὴ λέγοι. ἢ πάλιν τοῦ ἡλίου φωτίζοντος τὸ σκότος, τὸ μὲν γινόμενον τις ὁμολογοίη. τὸ δ᾽ ἡμέραν εἶναι τοῦτο, ἀρνοῖτο τοὔνομα. ἢ εἴ τις τῆς ἐξ ὑγρῶν καὶ στερεῶν εἰς τοῦτο σύνοδον τρέφειν λέγει, τὸ δὲ τροφὴν λέγεσθαι μὴ συντίθοιτο. ἢ τὸ μὲν τέμνον τὸν χαλκὸν ἢ σίδηρον, φεύγειν δὲ τὸ ὄνομα τῆς μαχαίρας. ἢ τὸ τμῆμα τοῦ τέμνοντος. ἀλλ᾽ οὐδὲ τοῦ ζαφώδους ἀέρος ὑπὸ ἡλίου φωτιζομένου τὸ ἔργον βλέπων εἴποι τις ἂν τὸ τοιοῦτον, μὴ εἶναι ἡμέραν. ὅτε τοῦ πυρὸς τὴν χρείαν τὸ πῦρ μὴ λέγεσθαι. ὅτε τοῦ τέμνοντος τὴν ἐνέργειαν, τὸ μὴ μάχαιραν εἶναι τοῦτο τὸ ὄνομα. ὅτε τὸ σπέρμα ζωούμενον, καὶ καταλαμβάνον τῆς ζωώσεως ἀφαιρήσεταί τις τὴν προσηγορίαν. ὡς μὲν οὖν καὶ φύσεως καὶ ψυχῆς μετέχει τὸ ἔμβρυον, καὶ τῶν ἐφ᾽ ἑκατέρας ἐνεργειῶν, καὶ πῶς ἐστὶ ζῷον, ἀρκούντως ἐδείξαμεν. λοιπὸν δὲ δείξομεν ζῷον εἶναι τὸ τοῖς μυχοῖς τῆς μήτρας ἔτι ἐγκείμενον. εἰ δέ τις ἡμᾶς ἀπαιτοίη φύσεως λογισμοὺς, ἴστω πάντα πράττουσαν αὐτὴν, αὐτοδιδάκτως τε καὶ αὐτομαθῶς. οὐδὲ γὰρ ὅπως ἐν φυτοῖς σκώληκες γίνονται, ἢ ἀφ᾽ ἵππων καὶ βοῶν οἱ σφῆκες, καὶ μέλιτται, ῥᾴδιον ἡμῖν λέγειν, ἀλλ᾽ ὑπὸ τῆς φύσεως ἁπλῶς γίνεται. οὐδὲ γὰρ τοὺς ὄρνεις πέτεσθαι διδάσκει τις. οὐδὲ τὸ νοεῖν ἡμᾶς ἢ ἀκούειν ἢ βλέπειν. ἀλλ᾽ ὅμως καὶ τοὺς ὄρνιθας ὁρῶμεν πετομένους, καὶ ἡμᾶς αὐτοὺς, χωρὶς μαθήσεως νοεῖν τε καὶ βλέπειν. ἀπόρρητος γάρ τις καὶ κεκρυμμένη καὶ πολὺ τῆς ἡμετέρας διανοίας βυθιωτέρα, ἡ περὶ τὴν φύσιν αὐτουργία. μὴ τοίνυν μηδὲ περὶ τὴν τὰ ἔμβρυα ζωογονίαν ἀπιστῶμεν εἶναι ζώωσιν. οὐδὲ γὰρ ἐκεῖνα μανθάνει πρός τινος μετὰ τὸ τεχθῆναι τί τῶν οἰκείων ἔργων, ἀλλ᾽ ἐνόντα ταῖς μήτραις καταπίνει καὶ πέττει καὶ διακρίνει τὴν ἀναδοθεῖσαν, καὶ προστίθησι τὴν καθαρθεῖσαν, καὶ τὴν περιττὴν ἀπωθεῖται. ἵν᾽ ἐπειδὰν πρὸς φῶς προέλθῃ, τὴν περιττεύουσαν ἐκκρίνει. τό τε γὰρ μηκώνιον καλούμενον περίττωμα ὄν, ἐξ ὅλης τῆς τοῦ ἐμβρύου τροφῆς ἐστίν. καὶ τὸ ἐν περὶ οὐραχῷ ὑγρόν. ἥ τε γὰρ κοιλίη, φυσᾶται, φησὶν ὁ παλαιὸς, ἀπὸ τῆς διὰ στόματος εἰσπνοῆς, καὶ τὰ ἔντερα, καὶ εἰς τὸν κύσταρον ὁδός τις ὧδε γίνεται, κατὰ μικρὸν γοῦν, ἐμπίπτον τὸ περιττὸν εἰς τὸν ἀρχὸν παραγίνεται. κύσταρον γὰρ τὸν ἀρχὸν εἴρηκε. καὶ μηδεὶς ἡμᾶς παραγέτω διὰ τὴν τοῦ ἀμνίου ὑμένος παράθεσιν, μὴ δύνασθαι διὰ στόματος τρέφεσθαι τὰ ἔμβρυα, ἱκανὴ γὰρ ἡ φύσις διὰ τῶν πόρων εὐπορίαν παρέχειν, καὶ ὁδὸν εὐπρέπειαν οὖσαν αὐτάρκη. φησὶ δὲ Δημόκριτος ἄνθρωπον ἐξ ἀνθρώπου ἐξεσσεῖσθαι. καὶ κύνα ἐκ κυνός. καὶ βοῦν ἐκ βοός. ἀνὴρ εἰδὼς μὲν καὶ τὴν οὐράνιον θεωρίαν. θεωρίας δὲ καὶ τὴν ἐν ἡμῖν φύσιν, οὐχ οἷόν τε ἀγνωμονεῖν χρήζει λέγειν, μὴ ζῷον τὸ κατὰ γαστρὸς, ὅλον ἐξ ὅλου συνιστάντος αὐτὸ φράσαντος νή καὶ γὰρ οὐδ᾽ ἂν ἔχειν ἀνθρώπου λόγον τὸ γινόμενον. εἰ μὴ πάντας μὲν ἐν ἑαυτῷ περιεῖχε τοὺς τελείους λόγους. ἔμελλε δὲ ποιήσειν, οἷα ταῦτα ἀφ᾽ ὧν τὸ σπέρμα κατεσπάρη. ὥσπερ γοῦν ἢ τὰ περὶ ποσῷ. ἢ τὰ τῇ ποιότητι καταβληθέντα σπέρματα ἀναδέχεται τόπους. ἢ περί τε τὰ ὁλομελοῦντα, ἢ μὴ τοῖς πᾶσιν ἀπηρτισμένα, ἢ μορφὰς ἄλλων ζώων ἔχοντα, τὸν αὐτὸν τρόπον καὶ ὅσα ἐκκαθῆ καὶ διακεκριμένα σπέρματα τυγχάνει, τὸν ἐν τέλει τῶν ζώων ἐπέχει λόγον. τὸ γὰρ λεῖπον παραποδισμὸν τῆς ὅλης φύσεως εἴληφε, καὶ ἐκλείποντα τὰ ἔμβρυα, καὶ διὰ τὸ αὐτὸ τοῦτο μὴ παραποδισθὲν ζῷα ποιεῖται ἐκ σπέρματος. μήτ᾽ οὖν φιλόσοφός τις ὡς ἀμύητος τοῖς ἄνω, μήτ᾽ ἰατρὸς τῶν ἀπὸ Ἀσκληπιάδου, ὡς ἀθεώρητος, τοῦ ἀνθρώπου τῆς φύσεως ἀποκηρυττέτω, καὶ ἀπαρνείσθω τὰ ἔμβρυα, ἀλλ᾽ αὐτὸς πολὺ πρότερον ἀναθεωρησάτω ἐπ᾽ ἑαυτόν. καὶ ἢ παρὰ πρεσβυτέρων μαθέτω. ἢ ὑπὸ τῶν γεννησάντων ἀναμνησθήτω, ὡς ἦν ποτε καὶ αὐτὸς ἔμβρυον. καὶ τοίνυν αὐτοῦ ἦν τότε ὡς ὑπὸ μήτρας πρότερον τελείως ἐν μήτρᾳ ἐσχηματούργηται, καὶ ὡς ἐκ σπέρματος τοῦ εἶναι γέγονεν ἡ ῥίζα αὐτῷ. καὶ ὡς οὐκ ὀφείλει παρανοίᾳ ἄγειν τὴν φύσιν. ῥᾳδιουργῆσαι γάρ ἐστι τὰ ἐκείνης θέσμια, καὶ τοὺς τῆς γῆς δημιουργουμένους ὑπ᾽ αὐτῆς φάναι ζῷον μὲν ὑπάρχειν τὴν αὐτὴν τῆς γεννήσεως, καὶ πάντα ἐσχηκότα, τοῖς αὐτοῖς μυχοῖς ἐντεθραμμένον. φάσκειν δὲ μὴ ζῷα τοὺς ἐν μήτρᾳ τεθραμμένους. ἢ ἐκ μὲν πυρῶν, οἱ πυροὶ γεννήσονται. καὶ ἐκ τῶν ἄλλων σπερμάτων τὰ ὅμοια. καὶ ἐκ φυτοῦ, φυτὰ, τὴν αὐτὴν τοῖς γιγνομένοις φύσιν εἰληφότα. ἀνθρώπου δὲ τὸ θειότερον τῶν ἄλλων καὶ τῶν ὅλων κρεῖττον, τὸ ὅμοιον κατὰ δύναμιν θεῷ, μὴ τὴν αὐτὴν τοῖς σπείρασιν ἀναδέξασθαι θειότητα. ἀλλὰ γὰρ ἤδη καὶ νόμῳ καὶ τοῖς συμβεβηκόσι δείξομεν ζῷα τὰ ἔμβρυα. οἱ τοῦ μὲν ζῆν τῇ φύσει τὴν αἰτίαν προστιθέντες, τοῦ δ᾽ εὖ ζῆν μετὰ τῆς ψυχῆς αὐτοὶ τὴν πρόσβασιν ἀναδεξάμενοι νομοθετοῦσι. τοῦτο γάρ εἰσιν οἱ νόμοι, κωλύειν μὲν τὰ κακὰ πράττεσθαι. φυλάττειν δὲ τὰ ἤδη ὄντα καλά. ἢ τὰ μέλλοντα ἢ τὰ παρόντα προσποιεῖν, τιθέμενοι τοὺς νόμους δύο τοῖς μεγίστοις ἀπεδείξαμεν εἶναι τὰ ἐν τῇ γαστρὶ ζῷα. ἑνὶ μὲν περὶ προσθεῖναι τιμωρίαν τῷ αἰτίῳ τῆς ἐξαμβλώσεως γενομένῳ. ἑτέρῳ δὲ καὶ δευτέρῳ, περὶ δύνασθαι καὶ κλήρου μεταλαμβάνειν, καὶ τοὺς μήπω γεγεννημένους. εἰδότες γὰρ ἀκριβέστερον τῶν πλειόνων, ὡς ἂν καὶ θεῶν ἔργα μιμούμενοι. θεῶν γὰρ τὸ νομοθετεῖν πρῶτον, εἴπερ ὁ μὲν τῶν ὅλων πατὴρ ἐν θεοῖς πάντα διέταξε νόμῳ, κινεῖται γὰρ καὶ ὁ κόσμος ταῖς ἐκείνου προστάξεσι. καὶ οἱ πλανῆται δὲ τὴν οἰκείαν ἕκαστος σφαῖραν ἐν νενομοθετημένῳ χρόνῳ, καὶ ἥλιος καὶ σελήνη τοὺς ὡρισμένους δρόμους. ἐρρίζωται δὲ ἡ γῆ, τοῖς τοῦ δημιουργοῦ κελεύσμασιν. κέχυται ὕδωρ. καὶ ἀὴρ ἥπλωται. καὶ πῦρ ἵεται. καὶ τὴν ἰδίαν ἐνέργειαν ἕκαστον τηρεῖ. φοβούμενον ὑπερβῆναι τὸν ἴδιον νόμον. ἐνομοθέτησε μὲν καὶ Κρησὶν ὁ Ζεύς. καὶ Λακεδαιμονίοις ὁ Πύθιος. καὶ Ἀθηναίοις ἡ Παλλάς. οἱ οὖν τούτων μαθηταὶ νομοθέται Λυκοῦργος καὶ Σόλων. βεβαίως ἡμῖν δι᾽ ὧν προεῖπον κεφαλαίων δύο,

τὴν ὑπὲρ τῶν ἐμβρύων ἀναμφισβήτητον παρέχον ὑπόθεσιν. εἰ γὰρ ὅπερ μὴ ζῶα ἦν, οὐ κἂν ἐκόλαζον τοῖς νόμοις φανερῶς τιμωρησάμενοι τοὺς αἰτίους τῆς ἐξαμβλώσεως. ἐπειδὴ δὲ ἔφησαν ζῶα εἶναι τὴν τιμωρίαν, ἐπήγαγον. τίς γὰρ τὸν ἤδη τέλειον καὶ ὡμολογημένον ἄνθρωπον εἰσπράττεται δίκην, ὑπὲρ τοῦ μή τε κατὰ τὴν μήτραν ὄντος ἀνθρώπου, μή τε τὴν ἀρχὴν ἐζωουμένου ποτὲ κλῆρον ἀφίκησιν, οὐ γινώσκων, εἰ ζῶον τὸ ἔμβρυον; πῶς οὖν ἐπισκήπτεις τὸ κατὰ γαστρός, μὴ ζῶον εἶναι λέγων; τίς χρῆται διαδόχῳ τὸ μήπω εἶναι πεπιστευμένῳ; τίς ἐρεῖ τὸν αὐτὸν κύριον τὸν ἀμφισβητούμενον, οὔπω Περικλῆς ἐγένετο ὀλύμπιος, καὶ πᾶσιν ἤδη φοβερὸς τοῖς ἕλλησι διὰ τὸ ἐνύπνιον ἦν. οὔπω Πεισίστρατος, καὶ τύραννος ἦν. οὔπω ὀλυμπιὰς Ἀλέξανδρον ἐκύει, καὶ πάντες ἄμμωνος ἔλεγον ἤδη παῖδα, καὶ βασιλείας ἦρχες καὶ Κύψελος ἔτι ζωογονούμενος, καὶ εἰ τοῖς Βακχιάδαις οὐκ ἐδόκει, φοβοῦντος αὐτοὺς ἰνδάλματος. λέγεται δὲ ὡς καὶ Ἑκάβη τὸν Ἀλέξανδρον ἐδεδοίκει πρὶν τεκεῖν, ἐκπλήξαντα αὐτὴν γυναικοτέρου θεάματος, ἀλλὰ καὶ πάντες φρύγες ἐκ τοῦ μήπω γεγενημένου πορὸς δεχόμενοι τὰς συμφοράς. καὶ Ἀλκμήνη δὲ γεννήσασα τὸν ἡρακλέα, φοβερὰ τοῖς ἀντιστρατιώταις ἐγένετο. καὶ τοὺς ἐχθροὺς μὴ θαρρεῖν ἐποίει, τὸν παῖδα κατὰ γαστρὸς ἔχουσα. τοσοῦτον οὖν ἀπέχει τοῦ μὴ ζῶα λέγειν τὰ ἔμβρυα, παρόσον καὶ τοῦ μὴ μόνον ὡς ζῶα, ἀλλὰ καὶ τῆς ἀνθρώπου φύσεως ἀλκιμώτερα, κἂν ἔτι ταῖς μήτραις ἦ προσερριζωμένα. ἀλλὰ γὰρ ἤδη καὶ πρὸς αὐτά μοι τὰ ἔμβρυα γινέσθω ὁ λόγος, ὡς ἤδη τὴν ἀνθρώπῳ ἐντελῆ ζωότητα μεμορφωμένα. πρόϊτέ μοι τῶν μυχῶν μηδὲν πεφοβημένα μή τε γάμους πάρεσιν, μή τε φιλτάτων ἀπαλλοτρίωσιν, μήτε κτημάτων ἀφαίρεσιν, οὐδὲν ὑμᾶς ἡ τῶν πολλῶν συκοφαντία, καὶ τῶν αὐτὰ ἀδικούντων τὴν φύσιν πανουργία παραγράψεται, ὅθεν αὐτῶν ὑμεῖς τιμωροὶ καταστήσεσθε, ὡς Περικλῆς. ὡς Πεισίστρατος. ὡς πάρις. ὡς ὁ μακεδὼν Ἀλέξανδρος. καὶ ὡς Ἡρακλῆς.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΟΥΡΩΝ.

ΤΩΝ οὔρων αἱ διαφοραί, πολλαὶ μὲν κατὰ μέρος. αἱ δὲ πρῶται δύο, χῦμά τε καὶ τὸ περιϊστάμενον. καλῶ δὲ χῦμα, αὐτὸ τὸ οὖρον παρὰ τὸ κεχύσθαι. περιϊστάμενον δὲ τὸ ἐν αὐτῷ ἑτεροίως ἐμφαινόμενον. ἀλλὰ τοῦ χύματος πάλιν ἰσάριθμοι τυγχάνουσιν αἱ διαφοραί. δύο γάρ εἰσι τούτου. τὸ μέν, σύστασις. τὸ δέ, χροιά. ἑκάτερον δὲ τούτων, εἰς ἕτερα διαιρεῖται. ἡ μὲν οὖν σύστασις, εἰς λεπτότητα, παχύτητα καὶ τὸ ἐξ ἀμφοτέρων σύμμετρον. ἀλλὰ τὸ μὲν σύμμετρον ἐπειδὴ κατὰ φύσιν ἐστὶν ἀδιαίρετον ὑπάρχει. τὸ δὲ λεπτὸν καὶ τέμνεται διχῆ. τὸ μὲν λεπτὸν ἢ οὐρεῖται λεπτόν, καὶ μένει λεπτόν, ἢ ἀναβολοῦται καὶ παχὺ γίνεται παχύ.

Τί δηλοῖ τὸ οὐρούμενον λεπτὸν καὶ μένον καὶ τὸ ἀναβολούμενον.

τούτων τὸ μὲν πρότερον, ἐσχάτην ἀπεψίαν δηλοῖ. οὐ γὰρ ἐνεχείρησεν ὅλως ἡ φύσις ἐπὶ τούτου πρὸς τὴν πέψιν. τὸ δὲ δεύτερον ὅ ἐστιν λεπτόν, ἀναβολούμενον δέ, δηλοῖ τὴν φύσιν ἄρχεσθαι πέττειν. τὸ μὲν λεπτὸν οὕτως διαιρεῖται καὶ ταῦτα σημαίνει.

Τί σημαίνει τὸ οὐρούμενον παχὺ καὶ μένον παχὺ καὶ τὸ καθιστάμενον.

Τὸ δὲ παχὺ καὶ αὐτὸ παραπλησίως τῷ λεπτῷ, ἢ οὐρεῖται παχὺ καὶ μένει παχύ. καθίσταται δὲ καὶ γίνεται λεπτόν. καὶ δηλοῖ τὸ μὲν πρότερον, ἀκμάζειν. τὸ δὲ δεύτερον, τὴν τῶν παχέων χυμῶν ζύμωσιν, ἄρχεσθαι δὲ τὴν διάκρισιν. καὶ αὗται μὲν αἱ τοῦ χύματος ἐν συστάσει διαφοραί. ἀλλ' ἐπειδὴ τούτου ποιούμενοι τὴν διαίρεσιν, ἐλέγομεν οὖν καὶ ἐν χρώματι διαφορὰς αὐτῶν, φέρε δὴ καὶ ταύτας ἐφεξῆς ἐκθώμεθα. ἔστιν οὖν πρῶτον τὸ λευκόν. εἶτα τὸ ὠχρόν. ἐφεξῆς δὲ τούτων, τὸ πυρρόν. τέταρτον δὲ τὸ ξανθόν. μετὰ δὲ τούτων ἐστὶ τὸ ἐρυθρόν. ὕστατον δὲ τὸ μέλαν. καὶ ἔστιν ἄκρα μὲν δύο, τὸ λευκὸν καὶ τὸ μέλαν, τὰ δὲ λοιπὰ τούτων μεταξὺ τέτακται. ἔστιν μὲν οὖν τὸ ὠχρόν, ἐγγὺς τοῦ λευκοῦ. τὸ δὲ πυρρὸν τοῦ μὲν λευκοῦ, πόρρωθεν, τοῦ δὲ ὠχροῦ, σύνεγγυς. πάλιν δὲ τὸ ἐρυθρόν, σύνεγγυς μὲν τοῦ μέλανος, τοῦ δὲ πυρροῦ καὶ ὠχροῦ πυρρωτάτω. τὸ δὲ ξανθόν, ἴδιον ἔχει ἐξαίρετον τὸ μίγμα, ὡς εἶναι δύο χρωμάτων τοῦ τε πυρροῦ καὶ τοῦ ἐρυθροῦ, ὅθεν καὶ στίλβον αὐτὸ κέκληκεν ὁ Γαληνός, ἐν τῷ περὶ κρίσεων, εἰκότως γὰρ καὶ στίλβει. καταλάμπεται γὰρ ὑπὸ τοῦ πυρροῦ. φαιδρύνεται δὲ ὑπὸ τοῦ ἐρυθροῦ. ἐφεξῆς οὖν ἐστὶν ἀλλήλων ἐν χρώματι, οὖρα ταῦτα. λευκόν. ὠχρόν. πυρρόν. ξανθόν. ἐρυθρόν. μέλαν γίνεται μὲν τὸ ὠχρόν, ὅταν ὀλίγη χολὴ τὸ ὑδατῶδες ἐπιχρώσῃ. τὸ δὲ πυρρόν, ὅταν πλείων. τὸ δὲ ἐρυθρὸν ἐξ αἵματος. τὸ δὲ μέλαν, ἐξ ὑπεροπτήσεως καὶ ἑτέρων τινῶν, καθὰ μετ' ὀλίγον εἰρήσεται. τὸ δὲ λευκόν, ἐσχάτην ἀπεψίαν δηλοῖ. αὗται μὲν οὖν εἰσὶν αἱ ἁπλαῖ τοῦ ὑποχύματος διαφοραί, ἔν τε συστάσει καὶ χροιᾷ. λοιπὸν δ' ἂν εἴη καὶ τὰς τούτων συμπλοκὰς εἰπεῖν καὶ θεάσασθαι, ποῖαι μὲν δύνανται συναφθῆναι, τίνες δὲ οὔ. καὶ συμπλεκόμεναι, τί σημαίνουσιν.

Περὶ λεπτοῦ καὶ λευκοῦ οὔρου.

Ἔστω οὖν πρότερον ἐν τῇ συστάσει ἄπεπτον, καὶ γινέσθω λεπτόν, καὶ τούτου μένοντος λεπτοῦ, ἀμειφθείτω τὸ χρῶμα καὶ ἔστω τελέως λευκόν, ὡς εἶναι αὐτό. λεπτὸν καὶ λευκόν. τὸ τοιοῦτον οὖρον, πολλὰ σημαίνει, ἢ γὰρ ἀσθένειαν δυνάμεως, καθάπερ καὶ ἐπὶ τῶν γερόντων ἐπιφαινόμενον δηλοῖ. καὶ ἐπὶ τῶν χρονίων δὲ νοσημάτων, ὡς ἐπὶ τὸ πλεῖστον, φαίνεται λεπτόν, καὶ λευκὸν διὰ τὴν ἀσθένειαν, ὁμοίως καὶ ἐπὶ τούτων τῆς φύσεως. σημαίνει δὲ καὶ ἔμφραξιν ὡς ἐπὶ τοῖς φρενιτικοῖς ἐπιφαινόμενον ἐνδείκνυται. καὶ ἐπὶ τῶν τεταρταίων πάλιν ἐν ταῖς ἀρχαῖς τοιοῦτον οὐρούμενον, ἔμφραξιν σημαίνει. τὸ γὰρ τῶν μελαγχολικῶν τῇ παχύτητι τὰς ὁδοὺς σφηνοῦν

ὥσπερ

ὥσπερ διηθισμένον τὸ οὖρον, φαίνεται λεπτὸν καὶ λευκόν. ἕτερον δὲ μέγιστον σημαίνει κακὸν καὶ τὸ τοιοῦτον οὖρον. κἂν γὰρ ἤδη διακαεῖ καὶ καυσώδει πυρετῷ ἐπιφανῇ λευκόν, καὶ λεπτόν, σημαίνει φρενῖτιν. εἰ γὰρ ὁ πυρετὸς πλῆθος δηλοῖ χολῆς, οὐκ ἐπιχρώννυται δὲ τὸ οὖρον, εὔδηλον ὡς ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις χολή, ἀλλ' ὅτι οἰκείᾳ κουφότητι περὶ τὸν ἐγκέφαλον ἀνέδραμεν. εἰ μὲν οὖν μὴ πάρεστιν ἡ φρενῖτις τοῦ οὔρου τυγχάνοντος λεπτοῦ καὶ λευκοῦ, ἀλλ' εἴη πυρετὸς καυσώδης, μαντευόμεθα φρενῖτιν. εἰ δὲ τοιοῦτον μὲν εἴη τὸ οὖρον, πάρεστι δὲ ἡ φρενῖτις, προαγγέλλειν θάνατον ὡς ἐπὶ τὸ πολύ. οὐ γὰρ ὑπομένει ἡ δύναμις ἡ ἐγκεφάλου σώζεσθαι ὑπὸ τῆς χολῆς ἀνιώσης καὶ δακνούσης τῇ δριμύτητι. τοσαῦτα μὲν δηλοῖ τὸ λεπτὸν καὶ λευκὸν οὖρον.

Τί δηλοῖ τὸ λεπτὸν καὶ ὠχρόν.

Ἔστω πάλιν τῇ συστάσει ἄπεπτον, τουτέστι τὸ λεπτόν, ἐν δὲ τῷ χρώματι μετρίως πεπεμμένον ὡς εἶναι αὐτὸ ὠχρόν. τὸ τοιοῦτον ἀσθένειαν δηλοῖ. τῷ μὲν γὰρ χρώματι τῶν οὔρων ἐπεψεν ὡς ἂν ῥᾴδιον ὑπάρχον, οὐκέτι δὲ καὶ τῇ συστάσει διὰ τὸ δυσκολώτερον.

Τί δηλοῖ λεπτὸν καὶ πυῤῥόν.

Πάλιν δὲ λεπτὸν ἔστω, ἀλλ' ἀμειβέσθω τῷ χρώματι καὶ ὑπαρχέτω πυῤῥόν, βέλτιον μὲν τοῦ προτέρου τὸ τοιοῦτον τυγχάνει, ἔστι δὲ ἄπεπτον διὰ τὴν σύστασιν.

Τί δηλοῖ τὸ λεπτὸν καὶ ξανθὸν οὖρον.

Ἀλλ' ἔστω λεπτὸν ὡς ὑπόκειται, ἀλλ' ξανθόν. τοῦτο σημαίνει οὐ μόνον ἀπεψίαν, ἀλλὰ καὶ ὕλης ἔνδειαν δηλοῖ, ὡς νεώτερος ἀσιτήσας. ἐκδιδάσκει δὲ καὶ θερμότητα πολλὴν ἐν τῷ βάθει τίκτειν χολήν, ὡς ὁ τριταῖος. δηλοῖ καὶ ἀγρυπνίαν καὶ φροντίδα. ἅπαντα ταῦτα ξανθὰ τὰ οὖρα ποιεῖ.

Τί δηλοῖ λεπτὸν καὶ ἐρυθρόν.

Ἔστω δὲ πάλιν ἄπεπτον τῇ συστάσει λεπτόν, ἀλλ' ἐρυθρόν. τὸ τοιοῦτον, οὐ συνίσταται. εἰ γοῦν τὸ ἐρυθρὸν ἀφ' αἵματος γίνεται, τὸ δ' αἷμα πάλιν ἀπὸ πέψεως γίνεται. ἡ δὲ πέψις παχύνει τὴν σύστασιν εὔδηλον, ὅτι τὸ ἐρυθρὸν οὐ συνίσταται μετὰ τοῦ λεπτοῦ. εἰ γὰρ καὶ ποτὲ μιγεῖ μετὰ τοῦ ἐρυθροῦ χρώματος τὸ λεπτόν, ἀλλ' οὐκ ἀπ' ἀκριβῶς ἐρυθροῦ, ἀλλὰ καὶ ἰχωροειδοῦς.

Λεπτὸν μέλαν.

Ἡ δὲ τελευταία ἐστὶ συμπλοκή, ἡ τοῦ λεπτοῦ καὶ μέλανος, οὐδ' αὐτὴ δυναμένη συστῆναι. ἔστι γὰρ τὸ μέλαν χρῶμα ἢ διὰ τὸ ἐκκαθαίρεσθαι τὸν μελαγχολικὸν χυμόν. ἢ διὰ ψύξιν. ἢ δι' ὑπερόπτησιν τοῦ αἵματος. ἔστι δὲ καὶ τὰ τρία παχέα.

Πῶς τὸ λεπτὸν μετὰ τούτου συνίσταται.

Ὅτι δὲ τοῦ μέλανος αἱ τρεῖς εἰρημέναι διαφοραί, παχυτάτης κέκτηνται συστάσεως, ἐντεῦθεν κατάδηλον. ἤδη τῇ παρακμῇ γὰρ τοῦ τεταρταίου καὶ τῇ λύσει τῆς μελαγχολίας οὖρα φαίνεται μέλανα γινόμενα. γίνονται δὲ μέλανα διὰ τὸ ἐκκαθαίρεσθαι τὸν μελαγχολικὸν χυμόν. οὗτος δὲ γεώδης τῇ οὐσίᾳ καὶ παχὺς κατὰ σύστασιν. οὐκοῦν καὶ τὰ οὖρα ποιεῖ παχέα. ὁμοίως δὲ καὶ τὰ ἐξ ὑπεροπτήσεως αἵματος μέλανα γινόμενα οὖρα παχέα τυγχάνει. εἰ γοῦν ὄπτησις ἀνικμᾶται τὴν ὑγρότητα τοῦ αἵματος, εὔδηλον ὡς παχύνει τὴν σύστασιν. καὶ φανερὸν ὅτι καὶ τὰ οὖρα παχέα γίνεται. ἢ γὰρ τοῦ χρώματος μεταλαμβάνει καὶ γίνεται μέλανα, καὶ τῇ συστάσει ὡς κατακαύσει τοῦ αἵματος. καὶ ἡ ψύξις δὲ φανερῶς τῇ πήξει παχύνει τὴν ὕλην, καὶ τὴν σύστασιν τοῦ οὔρου, ὁμοίαν ἀπεργάζεται τῇ τοῦ χύματος συστάσει, καὶ πάλιν τὰ οὖρα γίνονται παχέα ὥσπερ ἐδίδαξα.

Παχὺ λευκόν.

Καὶ περὶ μὲν τὸ πλοκὸν τοῦ λεπτοῦ πρὸς τὰ χρώματα τοῦ οὔρου τὰ προειρημένα ἀρκείτω, νῦν δὲ λοιπὸν τὴν σύστασιν ἀμείψωμεν, καὶ ἔστω τὸ οὖρον παχύ, καὶ τούτου μένοντος παχέος, ἀναλλαττέσθω τὸ χρῶμα, καὶ ἔστω λευκόν. τὸ τοιοῦτον δηλοῖ τὸ ὠμὸν χυμὸν πολὺν συνάγεσθαι κατὰ τὸ σῶμα.

Παχὺ πυῤῥόν. παχὺ ξανθόν. παχὺ ὠχρόν.

Ἀλλὰ δὴ ἔστω παχὺ καὶ ὠχρόν, αὕτη οὐ δύναται συνελθεῖν εἰς συμπλοκήν, οὔτε γοῦν παχὺ καὶ πυῤῥόν, οὔτε παχὺ καὶ ξανθὸν συνελθεῖν δύνανται. τὰ τοιαῦτα γὰρ χρώματα, δι' ἔνδειαν ὕλης γίνεται, καὶ δυνάμεως ἀσθένειαν. τὸ δὲ παχύ, διὰ τὰ ἐναντία. φανερὸν ὅτι καὶ πυῤῥὸν ἢ ὠχρὸν καὶ ξανθὸν οὐ δύνανται ἅμα συστῆναι.

Παχὺ ἐρυθρόν

Ἀλλ' δὴ ἔστω παχὺ καὶ ἐρυθρόν. τὸ τοιοῦτον οὖρον συνίσταται. καὶ σημαίνει πλῆθος αἵματος, ὡς ἐν συνόχοις πυρετοῖς.

Παχὺ μέλαν.

Ἔστω δὴ παχὺ καὶ μέλαν λοιπόν. καὶ αὐτὴ δὲ συνίσταται καὶ σημαίνει τὸν μελαγχολικὸν χυμὸν ἐκκενοῦσθαι, πολλὴν ὡς ἤδη τῇ παρακμῇ τοῦ τεταρταίου καὶ ἤδη τῇ λύσει τῆς μελαγχολίας. περὶ δὲ τῶν διὰ ψύξιν καὶ ὄπτησιν γινομένων μελάνων ὕστερον ἐροῦμεν, καὶ αὗται μὲν τοῦ παχέος μετὰ τῶν ἐνδεχομένων χρωμάτων αἱ συμπλοκαί.

Ἀρξόμεθα δὴ τῶν ἐμπλοκῶν ὧδέ πως, λευκὸν καταστάσει λεῖον ἀνώμαλον.

Ἔστω δὴ πρότερον λευκόν, καὶ τὴν ἄνω χώραν ἔχον, καὶ λεῖον, μηκέτι δὲ ὁμαλὸν ἀλλὰ σύμμετρον μὲν πεπεμμένον, αὐειον δὲ οὔ. τὸ τοιοῦτον ἀσθένειαν δηλοῖ, καὶ μὴ δύνασθαι διὰ παντὸς ὁμοτίμως πέττειν τὴν ὕλην.

Λευκὸν καταστάσει οὐ λεῖον ἀνώμαλον.

Ἀλλὰ δὴ ἔστω λευκὸν μὲν καὶ τὸν κάτω κεκτημένον τόπον, μηκέτι δὲ λεῖον, ἀλλὰ διεσπασμένον. τοῦτο χεῖρον τοῦ προτέρου ὑπάρχον. ἐκεῖνο μὲν γὰρ δείκνυσι τὴν φύσιν διὰ πολλῶν, τὴν ἀνωμαλίαν ὑπομένειν, τοῦτο δὲ ἐν μιᾷ πέψει, ὅπερ ἐστὶ μοχθηρότατον, ὥσπερ καὶ τὸ φθινόπωρον κακόν, ὅτι ἀνώμαλον. ἀλλ' ἐὰν μὲν διὰ τεττάρων ἢ πέντε ἡμερῶν γίνοιτο, ἔλαττον τὸ κακόν. ἐὰν δὲ ἐν μιᾷ ἡμέρᾳ, χεῖρον ὑπάρχει. τὸν αὐτὸν τρόπον καὶ τὰ διεσπασμένα τῶν πρώτων, χείρονα, εἰ γὰρ ἐν μιᾷ πέψει διακοπὴν φύσεως δηλοῖ. διακόπτει δὲ τὴν φύσιν, πνεῦμα παρεμπεσόν,

τὸ διασπᾶ τὴν συνέχειαν τῶν πεμπομένων χυμῶν. ἐπεὶ οὖν ὑποθέμεθα κατὰ φύσιν τὸ παρυφιστάμενον ἐν τῇ χροιᾷ τὸ ἐν τόπῳ, παρὰ φύσιν δὲ ἐν τῇ συστάσει, δῆλον ὅτι τῶν ταῦτ᾽ ἐχόντων, οὕτως, ἐν τῇ συστάσει ἡ ὁμαλότης ἐστὶν ἡ ἀνωμαλία.

Οὐ λεῖον ὁμαλόν.

Τὸ οὖν πρότερον ὁμαλὸν διεσπασμένον, κακόν. πλῆθος γοῦν ἐνδείκνυται πνεύματος παχέος ἐν τῷ βάθει μὴ δυναμένου λεπτυνθῆναι ὑπὸ φύσεως.

Οὐ λεῖον ἀνώμαλον.

Ἀλλὰ δὴ ἔστω διεσπασμένον ἀνώμαλον. τουτέστι ποτὲ μὲν φαινόμενον τοιοῦτον, ποτὲ δὲ τοιοῦτον, τοῦ προτέρου τυγχάνειν ἄμεινον. ὀλίγον γὰρ δηλοῖ πνεῦμα, καὶ τοῦτο λεπτὸν ἔσεσθαι ταχέως. καὶ θαυμαστὸν ὑπὸ τῆς φύσεως ἀκολουθεῖ, τὸ τὴν μὲν ὁμαλότητα εἶναι κακόν, τὴν ἀνωμαλίαν δὲ ἀγαθόν. καὶ μάλιστα δὲ εἰκότως τὸ τοιοῦτον συμβαίνει. τὰ γὰρ κατὰ τὴν αὐτὴν ἔχοντα δύναμιν, μοχθηρὰ τυγχάνει. οὕτως οὖν καὶ ὁ διαλείπων σφυγμός, ἀεὶ μὲν ὁ αὐτὸς φαινόμενος, μοχθηρότατός ἐστι. ποτὲ δὲ φαινόμενος τοιοῦτος, ἄλλο τε δὲ, οὐ, ἔλαττον κακὸν τοῦ προτέρου δηλοῖ. οὕτως οὖν καὶ τὸ διεσπασμένου ἀνώμαλον τοῦ διεσπασμένον μέν, ὁμαλῶς δὲ φαινομένου, μετριώτερόν ἐστι κακόν. καὶ περὶ μὲν ταύτης τῆς συμπλοκῆς, ἱκανὰ τὰ προειρημένα.

Εναιώρημα λευκόν, ὁμαλόν, λεῖον.

Ἔστω δὲ ἑτέρα ἤδε. τὸ παρυφιστάμενον πεπεμμένον ἔστω τῷ χρώματι, καὶ ὑπαρχέτω λευκόν, μηκέτι δὲ τὴν κάτω χώραν ἐχέτω, ἀλλὰ τὴν μέσην. καὶ τὸ ἔχον τὴν μέσην χώραν, ἔστω πρότερον καὶ λεῖον ἐν συστάσει, καὶ ὁμαλὸν ἐν χρόνῳ τὸ τοιοῦτον πέψιν σημαίνει. ἀλλ᾽ οὐ τελείαν· οὐ γὰρ ὑπόστασίς ἐστιν, ἀλλὰ μέση πέψις. ἤτοι σαφῆ δηλοῦσα, τὸ γὰρ ἐν μέσῳ ἐποχούμενον, ὑπόστασις ἐστὶ τῇ φύσει, τῷ τόπῳ δὲ διαφέρουσα. τὸν δὲ τόπον ἀμείβουσα διὰ πνεύματος περιουσίαν. ἐὰν γὰρ μή τε τελείως ἐν τῇ πέψει λεπτυνθῇ τὸ πνεῦμα, ἀλλὰ τοῦ παρεισαμένου ὄντος ἀποκλυσθῇ διὰ παχύτητα, ὠθεῖ τοῦτο καὶ φέρει μετέωρον πρὸς ἄκραν ἐπιφάνειαν, καὶ καλεῖται νεφέλη. ἢ πρὸς μέσην χώραν, καὶ καλεῖται ἐναιώρημα. ἢ οὐδ᾽ ὅλως ἐστὶ πνεῦμα, καὶ τῷ βάθει φαίνεται κάτω, καὶ ὀνομάζεται ὑπόστασις. περὶ μὲν ἐναιωρήματος εἴρηται τοσαῦτα.

περὶ τῆς ὑποστάσεως καὶ τῆς νεφέλης εἰρῆσθαι νομίζομεν.

Τὰ γὰρ τοιαῦτα εἰρημένα τῇ θέσει μὲν διαλλάττουσι, τὴν δὲ χροιὰν ἀμείβει ἡ τοῦ πνεύματος παρέμπτωσις. ἀλλὰ τὸ πνεῦμα ἀπὸ τῆς πέψεως γίνεται, καὶ ἡ μὲν τελεία πέψις εἴη, καὶ ἡ φύσις τὸ πνεῦμα λεπτύνει. διὸ ἡ ὑπόστασις τελεία δηλοῖ τὴν πέψιν. εἰ δὲ μὴ δυνηθείη τὸ πνεῦμα λεπτυνθῆναι, ἀλλὰ τῇ παχύτητι τὸ μὴ διαφορούμενον ἐκ τοῦ χυμοῦ, διὸ τὸ ἀκατέργαστον ἔχει τὸν χυμὸν ὅθεν καὶ οὐ τελείαν πέψιν δηλοῖ, ἀλλὰ † σαφῆ τὴν μέσην, διὸ καὶ τὴν μέσην

† al. ἀσαφῆ

καταλαμβάνει χώραν, οὐ γάρ ἐστι πολύ, εἰ γοῦν τὴν ἄνω πέψιν κατεῖχε καὶ ἐγίνετο νεφέλη, πέψιν μὲν σημαίνει, ὅτι ἐγεννήθη. ἀμυδρὰν δέ, ὅτι πολὺ καὶ παχύ ἐστι τὸ τοιοῦτον. καὶ δῆλον ὅτι ἐκ τοῦ τόπου οὐδὲν πλέον μανθάνομεν, ἢ μέτρα τῶν δηλουμένων. εἰ μὲν γοῦν μέλαν εἴη τὸ παρυφιστάμενον, κακόν. ἀλλ᾽ ἐὰν μέν τι εἴη νεφέλη, ἀμυδρὸν τὸ κακόν. ἐὰν δὲ ὑπόστασις εἴη, τέλειον. περὶ μὲν τῆς θέσεως, ἱκανὰ τὰ εἰρημένα. δεδήλωται γοῦν οὔτε ἀγαθὸν οὔτε κακόν, ἀλλὰ μέτρια ἀγαθοῦ τε καὶ κακοῦ. ἀλλ᾽ ἐπειδὴ τέσσαρα ζητοῦμεν, ἐν τῷ παρυφισταμένῳ, χρῶμα τε καὶ τόπον, σύστασίν τε καὶ χρόνον, εἴρηται δὲ περὶ τοῦ χρόνου καὶ τῆς συστάσεως, τὸ λοιπὸν προσθήσωμεν, ὅ ἐστι περὶ τοῦ χρώματος ἀλλ᾽ ἐπειδὴ λευκόν ἐστι τὸ κατὰ φύσιν, τοῦτο μὴ ἔστω λευκόν, μέλαν δέ, ἢ πελιδνόν, ἢ ὠχρόν, ἢ ἐρυθρόν.

Τί δηλοῖ τὸ ἐρυθρόν.

Τὸ μὲν οὖν ἐρυθρόν, ἀπὸ ἰχωροειδοῦς αἵματος γίνεται καὶ ἀπεψίαν σημαίνει, ἀλλ᾽ οὐ θάνατον, ὅτι μὲν οὖν κίνδυνον οὐκ ἐπάγει τὸ χρηστὸν καὶ οἰκεῖον τῆς ὕλης ἐνδείκνυται. εἰ δὲ ἀπεψίαν σημαίνει καὶ διὰ τοῦτο καὶ χρόνιον. ἐκ τοῦ δὲ φανερὸν τῶν χυμῶν, οἱ μὲν εἰσι τοῦ φλέγματος γίνονται, ὡς τὸ φλέγμα καὶ ἰχώρ. οἱ δὲ μετὰ τοῦ αἵματος ὡς ἡ ξανθὴ χολὴ καὶ ὁ μέλας χυμός. ὅταν οὖν τὸ οὖρον ἐρυθρὸν φανῇ, σημαίνει ἀπὸ ἰχῶρος ἔχειν τὸ χρῶμα, ὁ δὲ ἰχὼρ ἐστὶ πρὸ τοῦ αἵματος, οὐ γὰρ ἡ φύσις τελείαν ἐπέθηκε τῷ αἵματι τὴν βαφήν, εὔδηλον ὡς οὐδέπω ἐπέφθη. εἰς δὲ τοῦτο τοῦ χρόνου χρῄζει ἡ φύσις, πρὸς τὴν πέψιν τοῦ αἵματος. τί μὲν οὖν σημαίνει τὸ ἐρυθρὸν οὖρον, εἰρήκαμεν.

Τί δηλοῖ τὸ μέλαν.

Τὸ δὲ μέλαν, ποτὲ μὲν ἐνδείκνυται ψύξιν, ποτὲ δὲ θερμότητα. διορίσαιμεν δ᾽ ἂν οὕτως. εἰ μὲν οὖν προηγήσατο τὸ πελιδνόν, εἶθ᾽ οὕτως ἐγένετο μέλαν, ψύξιν ἔχει τὴν πρόφασιν. εἰ δὲ τὸ χλωρὸν προεγένετο, ἠκολούθησε δὲ τὸ μέλαν, φανερὸν ὅτι ἀπὸ θερμότητος ἐγένετο. τὰ τέτταρα μὲν ὧδε τοῦ παρυφισταμένου ἐζητοῦμεν χρῶμα τε καὶ τόπον καὶ σύστασιν καὶ χρόνον. ἁπάντων δὲ τούτων πεποιήμεθα τὴν σύγκρισιν.

Τί δηλοῖ τὸ πελιδνόν.

Τὸ δὲ πελιδνόν, ψύξιν καὶ νέκρωσιν ἐμφαίνει τῆς δυνάμεως.

Διαφοραὶ τῶν ἐλαιωδῶν οὔρων.

Τῶν ἐλαιωδῶν οὔρων, τὰ μέν ἐστιν ἐλαιόχροα, τὰ δὲ ἐλαιοφανῆ, τὰ δὲ ἐλαιώδη. ταῦτα δὲ σημαίνει ἀρχὴν τῆς συντήξεως. τὰ δὲ ἐλαιοφανῆ, ἀκριβεστέραν μὲν ἔχει τὴν μίξιν τοῦ ἐλαίου πρὸ τοῦ οὔρου, σημαίνει δὲ τοῦ πάθους ἐπίδοσιν. τὰ δὲ ἐλαιώδη ὅλα δι᾽ ὅλων τὰ οὖρα καὶ ἐν χρώματι καὶ ἐν συστάσει οἷον ἔλαιον ἐστί, καὶ σημαίνει ταῦτα ἀκμὴν τῆς ἐπιδόσεως. ἀλλ᾽ ἤδη καὶ τὰ τῶν νεφρῶν πιμελῆς ἀναλυομένης γίνεται, τὰ δὲ ἐλαιώδη διορίσωμεν, διά τινων γνωρισμάτων. μέμνηται δὲ καὶ Ἱπποκράτης ἐν ἀφορισμῷ περὶ τῆς τῶν νεφρῶν πιμελῆς ἀναλυομένης ἐν τῷ φάναι. ὁκόσοισι λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ σημαίνει. αὐτὸς δὲ καὶ τοῦ διορισμοῦ ἐχαρίσατο προσθεὶς τὸ ἀθρόη. ὧδε μὲν γὰρ τῶν νεφρῶν, ταχέως ἐκκρίνεται. ὧδε δὲ τῆς ἐν ὅλῳ τῷ σώματι πιμελῆς, οὐκ ἔτι ταχέως, ἀλλὰ καὶ βραδέως. τὸ γὰρ διαδίδοσθαι αὐτὴν ἀπὸ τῶν δὲ τῶν φλεβῶν ὑπὸ τὰ σύνεγγυς κἀκεῖθεν, ὑπὸ τὰ πλησίον, καὶ μετὰ χρόνον ὑπὸ τοὺς νεφροὺς καὶ τὴν κύστιν, εὔδηλον ὅτι μετὰ πολὺν ἐκκρίνεται χρόνον. ὧδε δὲ τῶν

νεφρῶν

οὔρων.

νεφρῶν διὰ τὸ σύνεγγυς τοῖς διεξόδοις, ταχέως ἐκκρίνεται, τὸ γὰρ ἀθρόον παρὰ τῷ Ἱπποκράτει, νῦν ἀντὶ τοῦ ταχέως εἴρηται. καὶ περὶ μὲν ἐλαιωδῶν οὔρων ἱκανῶς διώρισται.

Τί σημαίνουσιν αἱ ὀροβοειδεῖς ὑποστάσεις.

Ὅταν δ' ἡ σὰρξ τήκηται ὀροβοειδεῖς ὑποστάσεις γίνονται, ὀρίζονται δὲ ταῦτα πέψει τε καὶ ἀπεψίᾳ, καὶ τῷ παρεῖναι ὀξὺν πυρετόν, εἰ μὲν γὰρ ἐστι πυρετός, ὅλου τοῦ σώματός ἐστι τὸ πάθος. εἰ δὲ μή, τῶν νεφρῶν. καὶ πάλιν εἰ μὲν ἐστιν ἀπεψία τῶν οὔρων, τοῦ ὅλου σώματος κακόν. εἰ δὲ πέψις μὲν ᾖ, ὀροβοειδεῖς δὲ ὑποστάσεις, τῶν νεφρῶν δηλοῖ πάθος. εἰκότως δὲ ἀπεψία κρατεῖ, ὅταν ὅλου τοῦ σώματος πάθος ἐστί. τὰ γὰρ ποιοῦντα τὴν πέψιν ἀγγεῖα νενόσηκεν. ἐπὶ δὲ τῶν νεφρῶν οὐκ ἔστιν ἀπεψία. οὐ γὰρ ὁ νεφρὸς πέττει τὸ οὖρον. καὶ περὶ μὲν τῆς πιμελῆς καὶ τῆς σαρκὸς ἱκανὰ τὰ εἰρημένα.

Τί δηλοῖ τὰ πεταλώδη.

Ὅταν δ' αὖ πάθωσι τὰ στερεά, πρῶτον μὲν ἐπὶ πολὺ διαζέονται καὶ γίνονται πεταλώδη τὰ οὖρα. ἀλλὰ καὶ τῆς κύστεως τοιαῦτα δηλωτικά. τοῖς δὲ προειρημένοις ἐπὶ τῶν νεφρῶν, διορίζεται. εἰ μὲν εἴη πυρετός, ὅλον κεκάκωται. εἰ δὲ μὴ ᾖ πυρετός, τῆς κύστεως τὸ πάθος. καὶ ἡ μὲν ἀπεψία τοῦ ὅλου. ἡ δὲ πέψις, τῆς κύστεως.

Τί δηλοῖ τὰ πιτυρώδη.

Ὅταν δὲ ὁ πυρετὸς ἐν τῷ βάθει τῶν ἀγγείων καταδῇ, γίνονται πιτυρώδεις αἱ ὑποστάσεις, στενώτεραι μὲν τῶν πεταλωδῶν, ἀλλὰ παχύτεραι. καὶ τὰ τοιαῦτα δὲ πάλιν τῆς κύστεως σημαντικά. ἀλλὰ καὶ τοῖς εἰρημένοις, τὸ πάθος διακρίνεται. εἰ μὲν γὰρ παρῇ πυρετός, τοῦ ὅλου τὸ πάθος, εἰ δὲ μή, τῆς κύστεως.

Πόσα σημαίνει τὰ κριμνώδη.

Ἐπειδὰν δὲ ὁ πυρετὸς μετὰ τοῦ καταληφθῆναι τὸ πάθος, μεῖζον ἐπιλάβῃ μῆκος καὶ πλάτος, ἁδρομερέστερα δὲ γίνονται τὰ τοιαῦτα τῶν πιτύρων, καὶ καλεῖται κριμνώδη. ἀλλὰ καὶ τὰ κριμνώδη, δύο σημαίνει. εἰ μὲν σῆψιν αἵματος ἢ σύντηξιν ἰσχυράν, τῶν στερεῶν ὑπάρχει τὸ πάθος. εἰ δ' ἐρυθρά, τοῦ αἵματος.

Περὶ δυσώδους.

Τὸ δυσῶδες οὖρον τὴν σῆψιν δηλοῖ καὶ τῆς φύσεως νέκρωσιν. λείπει δὲ τῷ λόγῳ λοιπὸν θεωρῆσαι, τὰς τοῦ χύματος καὶ τοῦ παρυφισταμένου συμπλοκάς, καὶ τί σημαίνουσιν. αἱ γὰρ ἔμπροσθεν συζυγίαι, αἱ μὲν πρότερον, τοῦ χύματός εἰσι μόνου. αἱ δὲ ἕτεραι, παρυφισταμένου. νυνὶ δὲ τὰς τοῦ χύματος, καὶ τὰς τοῦ παρυφισταμένου συμπλέξωμεν. καὶ τί σημαίνει τούτων ἑκάστη διαφορὰ παραδώμεθα.

Περὶ λεπτοῦ καὶ λευκοῦ.

Ἔστω οὖν πρῶτον ἐν τῇ συστάσει τοῦ χύματος, ἄπεπτον τουτέστι λεπτόν, καὶ ἐν τῇ χροιᾷ, λευκόν. ἐπὶ τοῦ τοιούτου οὔρου, οὐ δύναται ἐνστῆναι παρυφιστάμενον. ἡ γὰρ λεπτότης, ἔνδειαν ὕλης σημαίνει, πῶς ὑπὸ τούτων ἔχομεν ὑποθέσθαι γινόμενον ὑπόστασιν; ἀλλ' οὐδ' ἂν ὠχρὸν γένηται ἢ πυρρὸν ἢ ξανθόν† μέν, ὂν δὲ λεπτόν, ὑφίσταταί τι. ἐπὶ τούτων γὰρ ἡ φύσις ἀποροῦσα ὕλης, εἰς χρῶμα μεταβάλλει τὸ οὖρον, ὥς τε θέλοντας ἐργάσασθαι συμπλοκὰς ὁμοῦ τε τοῦ χύματος καὶ τοῦ παρυφισταμένου, τὸ λεπτὸν ἐκβάλλωμεν καὶ ὑποθώμεθα, τὸ παχύ. † al. ὂν μὲν

Περὶ παχέος καὶ λευκοῦ. παχὺ λευκὸν οὐ λεῖον.

Ἔστω δὲ τῇ χροιᾷ λευκόν. ἐπὶ τούτου ὑφίσταται, καὶ τὸ ὑφιστάμενον ἔστω λευκόν, ἀλλ' οὐ λεῖον. ὁ γὰρ ὠμὸς χυμὸς ἐπὶ τῶν τοιούτων ἀθροίζεται πολύς, ὡς τῇ μὲν χροιᾷ, πέττεται. τῇ δὲ συστάσει, ἄπεπτον ὑπάρχει.

Παχὺ ἐρυθρὸν οὐ λεῖον.

Ἀλλ' ἔστω πάλιν παχύ, καὶ συναπτέσθω τῷ ἐρυθρῷ τῷ ὠχρῷ καὶ πυρρῷ καὶ ξανθῷ τὸ παχὺ οὐ μίγνυται διὰ τὰς ἔμπροσθεν εἰρημένας αἰτίας. ἐὰν τοίνυν τῷ ἐρυθρῷ μιγῇ τὸ παχὺ καθάπερ ἐπὶ τῶν συνόχων, ἔσται σημεῖον ἀπεψίας καὶ ἐν τῷ χύματι καὶ ἐν τῷ παρυφισταμένῳ καὶ κατὰ τὴν σύστασιν καὶ τὴν χροιὰν ἀμφοτέρων τοῦ τε χύματος καὶ τοῦ παρυφισταμένου.

Παχὺ μέλαν οὐ λεῖον.

Ἀλλὰ δὴ ἔστω παχὺ μὲν ἀλλὰ μέλαν. ἐνταῦθα δὲ καὶ αὐτὸ πέπονθεν ἀπεψίαν καὶ ἐν τῷ χρώματι καὶ ἐν τῇ συστάσει τοῦ τε χύματος καὶ τοῦ παρυφισταμένου. καὶ αὗται μὲν αἱ συμπλοκαὶ τοῦ οὔρου μένοντος παχέος. ἔστω δὲ σύμμετρον ἐν συστάσει, ἀμειβέσθω δὲ τοῖς χρώμασιν. ἀλλὰ λευκὸν τὸ τοιοῦτον οὐ δύναται εἶναι. εἰ γὰρ λευκόν ἐστιν ἄπεπτον ὑπάρχει. εἰ δὲ ὕπερ φαίνεται, καὶ τὸ χρῶμα πέψαι φύσις οὐδὲ δύναται, πῶς τὴν σύστασιν ἐπάχυνε, μείζονος καμάτου δεομένου; οὐκοῦν τὸ σύμμετρον μετὰ λευκοῦ συστῆναι οὐ δύναται. σπανίως δὲ μετὰ ὠχροῦ, εἰ μὴ πλείων ἢ δεδωκὼς καὶ τῇ περιουσίᾳ τῆς ὑγρότητος ἡ χολή, τὸ μὲν χρῶμα μὴ λάβοι πυρρὸν ἢ ξανθόν, τὴν δὲ σύστασιν ἔχοι σύμμετρον. ἀλλ' ὅμως κἂν συστοιχῇ, οὐδὲ ἐπὶ τούτων ὑφίσταται, ὥς τε καὶ ταύτην ἐκβάλλομεν τὴν συμπλοκὴν μιγνυμένην μετὰ ὑποστάσεως.

Τί δηλοῖ τὸ λεπτὸν καὶ ὠχρόν.

Τὸ δὲ λεπτὸν καὶ ὠχρὸν οὖρον, ἄπεπτον μέν ἐστι τῇ συστάσει. πεπεμμένον δὲ μετρίως τῇ χροιᾷ. ἀσθενείαν δὲ καὶ τοῦτο δηλοῖ τῆς φύσεως, τῷ μὲν χρώματι γὰρ ἐπέψεν ὡς ῥᾴδιον ὑπάρχον, οὐκέτι δὲ καὶ τῇ συστάσει διὰ τὸ δυσκολώτερον.

Τί σημαίνει τὸ λεπτόν.

Τὸ δὲ λεπτὸν τῇ συστάσει καὶ πυρρὸν τῷ χρώματι βέλτιον τοῦ ὠχροῦ, ὅμως ἄπεπτον διὰ τὴν σύστασιν.

Τί δηλοῖ τὸ ἐρυθρόν.

Ἀπεψίαν σημαίνει, οὐ θάνατον, ἀλλὰ χρόνου δεῖται εἰς πέψιν. ἔστι δὲ ἐξ αἵματος ἰχωροειδοῦς μήποτε λείαν πέψιν λαβόντος, μηδὲ τὴν ἰδίαν χροιάν, καὶ διὰ τοῦτο χρονιώτερον σημαίνει τὸ νόσημα. ἐπὶ δὲ τῶν συνεχῶν πυρετῶν ἐπὶ πλήθει αἵματος συνισταμένων ἐκκρίνεται οὖρον καὶ παχύ. δηλονότι τοιοῦτόν ἐστι καὶ τῷ χρώματι καὶ τῇ συστάσει τοῦ χύματος καὶ τὸ παρυφιστάμενον ἅπτεται.

Τί δηλοῖ τὸ λεπτὸν οὐρούμενον, καὶ ἔξω ἀναθολούμενον.

Τὸ δὲ λεπτὸν οὐρούμενον, καὶ μετὰ ταῦτα ἔξω ἀναθολούμενον, ἄπεπτον ἐστὶ διὰ περιουσίαν αἵματος πάχεως. δηλοῖ δὲ τὴν φύσιν ἄρχεσθαι πέττειν.

Τί δηλοῖ τὸ παχὺ οὐρούμενον, καὶ μένον παχύ.

Τὸ δὲ παχὺ οὐρούμενον καὶ μὴ καθιστάμενον, οἷον ἀκμάζειν δηλοῖ τὴν τῶν παχέων πνευμάτων τε καὶ χυμῶν ζύμωσιν. ἐπὶ τούτων, κεφαλαλγίαι πάρεισιν, ἢ παρέσονται, διὰ τὴν ἐν τοῖς χυμοῖς ταραχὴν καὶ τὰς ἀναθυμιάσεις.

Τί δηλοῖ τὸ οὐρούμενον παχύ, καὶ μετὰ ταῦτα ἀποκαθιστάνεσθαι.

Παύεσθαι μὲν τὴν ἐν τοῖς χυμοῖς ζύμωσιν, καὶ δηλοῖ πως ἄρχεσθαι τὴν διάκρισιν.

Τί δηλοῖ τὸ λεπτὸν καὶ λευκόν.

Ἐσχάτην ἀπεψίαν. οὐ γὰρ ἐνεχείρησεν ἐπὶ τούτων οὐχ ὡς πρὸς τὴν πέψιν. γίνεται δὲ τοῦτο ἢ δι᾽ ἀσθένειαν τῆς δυνάμεως, ἢ δι᾽ ἔμφραξιν, ἢ διὰ τὸ χρόνιον εἶναι τὸ νόσημα. ἐπὶ γοῦν τῶν τεταρταίων χρονιωτάτων ὄντων ἐν ἀρχαῖς διὰ τὸ πλῆθος καὶ δυσπαθὲς τῆς ὕλης διορθούμενον τὸ οὖρον, γίνεται λεπτὸν καὶ δι᾽ ἔμφραξιν ἥπατος ἢ νεφρῶν, ἀλλὰ διαγινώσκεται ἐκ τῆς τοπικῆς ὀδύνης. οὐρεῖται δ᾽ ἐνίοτε λεπτὸν καὶ λευκὸν καὶ ἐπὶ τῶν διακαῶν πυρετῶν καὶ σημαίνει φρενῖτιν. καὶ γὰρ ὁ καυσώδης πυρετός, πλῆθος δηλοῖ χολῆς. οὐ χρώννυται δὲ τὸ οὖρον, δῆλον ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις ἡ χολή, ἀλλὰ τῇ κουφότητι, εἰς τὸν ἐγκέφαλον ἀνέδραμεν, εἰ μὲν οὐ πάρεστι φρενῖτις, ἐπὶ τούτων γίνωσκε αὐτὴν ἤδη ἔσεσθαι. εἰ δὲ καὶ παρούσης φρενίτιδος οὐρεῖται λεπτὸν καὶ λευκὸν ἐπὶ διακαεστάτου πυρετοῦ, προσαγγέλλει θάνατον ὡς ἐπὶ τὸ πολύ. οὐ γὰρ ὑπομένει ἡ ἐγκεφάλου δύναμις ἤδη προκαταβεβλημένη. τῷ διακαεῖ πυρετῷ ἐνέγκαι δριμύτητα καὶ δῆξιν χολῆς ἤδη σεσηπυίας.

Οὖρα δὲ πονηρά εἰσι ταῦτα.

Χλωρὰ ἢ πελιδνὰ μέλανα αἱματώδη καὶ λίαν παχέα τὰ πυρρὰ λίαν ἄκρατα τὰ πυρρὰ καὶ λεπτὰ καὶ μηδεμίαν ὑπόστασιν ἔχοντα. μοχθηρὰ δὲ τὰ δυσώδη. κακὰ δὲ τὰ λιπαρὰ καὶ ἐλαιώδη καὶ ὑπερβάλλοντα τὸ πλῆθος τοῦ πινομένου.

Νεφέλαι δὲ καὶ ὑποστάσεις πονηραί.

Πελιδναὶ καὶ μέλαιναι καὶ ζοφώδεις. ποικίλαι, διεσπασμέναι. κριμνώδεις. δίαιμοι. πυρετώδεις καὶ χολεραὶ φλεγματώδεις καὶ δυσώδεις. τὰ δὲ ἀνυπόστατα οὖρα, πονηρὰ πάντως. καὶ ταῦτα μὲν τὰ εἴδη τῶν οὔρων σημαίνουσι πλῆθος αἰτιῶν διαφόρων νοσημάτων. καὶ αὔξησιν τούτων καὶ μείωσιν. διάκρισίν τε καὶ σύγκρισιν. πέψιν τε καὶ ἀπεψίαν. καὶ τρόπους κινδύνων γενησομένων. σκοπεῖν δὲ δεῖ τὸν ἰατρὸν ἐπὶ τούτων ἁπάντων τὸ πλῆθος καὶ τὴν δύναμιν τῶν αἰτίων καὶ τὴν ὑπεροχὴν ὑπὲρ τὸ ἀδιαμάρτητον φυλαχθῆναι.

Τί δηλοῦσιν αἱ πεταλώδεις ὑποστάσεις.

Ὅταν αὐτὰ πάθωσι τὰ στερεά, πρῶτον μὲν ἐπὶ πολὺ διαξέονται καὶ γίνονται πεταλώδη τὰ ἐν τοῖς οὔροις, ἀλλὰ καὶ ἐκ τῆς κύστεως μόνης, τοιαῦτα ἐκκρίνεται. εἰ μὲν οὖν ἢ πυρετός, τὸ ὅλον σῶμα κεκάκωται. εἰ δὲ μή, τῆς κύστεως τὸ πάθος. καὶ εἰ μὲν ἄπεπτα τὰ οὖρα, τοῦ ὅλου σώματος τὸ πάθος. εἰ δὲ μή, τῆς κύστεως μόνης.

Τί δηλοῖ αἱ κριμνώδεις.

Ἐπειδὰν δὲ ὁ πυρετὸς μετὰ τὸ καταληφθὲν τὸ πάθος καὶ μεῖζον πάθος ἐπιλάβοι καὶ μῆκος, ἀμφότερα γίνονται τὰ τοιαῦτα τῶν πιτύρων, καὶ καλεῖται κριμνώδη, ἀλλὰ καὶ τὰ κριμνώδη, δύο σημαίνουσιν, ἢ γοῦν ὄπτησιν αἵματος ἢ σύντηξιν ἰσχυρὰν τῶν στερεῶν. εἰ μὲν οὖν λευκὰ ἦ, τῶν στερεῶν σωμάτων ἐστὶ τὸ πάθος. εἰ δ᾽ ἐρυθρὰ τοῦ αἵματος.

Τί δηλοῖ τὰ δυσώδη.

Σῆψιν, καὶ τῷ σώματι νέκρωσιν μέλλουσαν.

Τί δηλοῖ τὰ ἰχωρώδη καὶ σανδαραχίζοντα.

Ἧπαρ ἡλκωμένον καὶ αὐτὴν τὴν οὐσίαν ἀναλύεσθαι, καὶ τὸ μὲν λεπτομερὲς αὐτῶν, τὴν ἰχωρώδη χροιάν. τὸ δὲ παχυμερές, τὴν σανδαραχίζουσαν, καὶ ὡς ἐπὶ τὸ πολύ, θάνατον μηνύουσαν. εἰ δὲ περισώζοιντο, ὕδρωπα.

Ἕτερον περὶ διαφορᾶς οὔρων.

Ἐπὶ τῶν πυρετικῶν μάλιστα νοσημάτων ἡ ἐκ τῶν οὔρων σημείωσις, χρησιμωτάτη καθέστηκεν. ἐπειδὴ δὲ πᾶν τὸ παρὰ φύσιν ἀπὸ τοῦ κατὰ φύσιν εὑρίσκεται ἀπὸ τῶν κατὰ φύσιν ἀρξώμεθα. οὖρον οὖν ἄριστον ἐστὶν ἐπὶ τῶν ἐν ὑγιείᾳ καὶ εὐεξίᾳ τε λουόντων ἀνθρώπων ὑπόπυρρόν τε καὶ ξανθὸν ἢ ὑπόξανθον καὶ τῷ πάχει σύμμετρον καὶ μένον τοιοῦτον τῇ χροιᾷ οἷον ἀπουρηθῇ. λείαν δὲ καὶ ὁμαλὴν καὶ λευκὴν ἔχον ὑπόστασιν παρὰ πάντα τὸν χρόνον. πλῆθος δὲ πρὸς λόγον τοῦ πινομένου. ἐπὶ δὲ τῶν γυναικῶν τὸ κατὰ φύσιν οὖρον τῇ χροιᾷ λευκότερον τοῦ ἀνδρείου εἶναι χρὴ καὶ ὑπόστασιν ἔχειν πλείονα. ἐπὶ δὲ τῆς παιδικῆς ἡλικίας. ἱκανῶς παχεῖαν ἔχειν αὐτὰ ὑπόστασιν χρὴ διὰ τὰς τῶν παίδων ἀδδηφαγίας καὶ ἀτάκτους καὶ ἀκαίρους κινήσεις. λείαν δὲ ὑπόστασιν Ἱπποκράτης καλεῖ, τὸ συνεχὲς καὶ ἀδιάσπαστον δηλῶσαι βουλόμενος, ὁμαλὸν δέ φησιν εἶναι. ὃ δι᾽ ὅλου ἀεὶ ὅμοιον οὐρεῖται, καὶ μὴ σήμερον πεπεμμένον τῇ δ᾽ ἑξῆς ἄπεπτον. καὶ ὃ μὴ τὴν ὑπόστασιν ἢ τὸ χρῶμα ἔχει ὅλον ἀνώμαλον, ζητοῦμεν οὖν ἐπὶ τοῦ κατὰ φύσιν οὔρου, χρῶμα, καὶ σύστασιν τοῦ σώματος, καὶ τὰ παρεμφαινόμενα τῷ χύματι, οἷον νεφέλην, ἐναιώρημα, καὶ τὴν ἐν τῷ πυθμένι ὑπόστασιν. εὔδηλον οὖν ὅτι κατά τι τούτων τρεπόμενον τὸ οὖρον, ἀπεψίαν τὴν ἐν ταῖς φλεψὶν ἐνδείκνυται.

Ὁποῖον οὖρον ἄριστόν ἐστιν ἐπὶ τῶν νοσούντων.

Ἄριστον μὲν οὖν οὖρον ἐστὶν ἐπὶ τῶν νοσούντων, τὸ τοῖς ὑγιαίνουσιν ὁμοιότατον ὑπόχρον, ἢ ὑπόξανθον. λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ἔχον ὑπόστασιν. ὑποδεέστερον δέ, τὸ ἔχον ἐναιώρημα, λευκὸν καὶ λεῖον καὶ ὁμαλόν. ἕτερον δὲ τούτου ἀπεπτότερον, τὸ νεφέλην τοιαύτην ἔχον. ἐφ᾽ ὧν γὰρ τὸ πνεῦμα ἐστὶν ἐν τῷ βάθει παχὺ καὶ ἄπεπτον, εἰ μὲν ὀλίγον εἴη, συγχωρεῖ μὲν τὴν ὕλην ἐπὶ τὸν πυθμένα τοῦ ἀγγείου καταφέρεσθαι. εἰ δέ τι πλεονάσαν, τὸ ἄπεπτον ἐν τῷ βάθει

τῷ βάθει πνεῦμα πρὸς τὴν ἄνω ἐπιφάνειαν τοῦ χύματος φέρει τὴν ὑπόστασιν, καὶ ποιεῖ τὴν καλουμένην νεφέλην. ἐφ' ὅσον οὖν ἰσχύει τὸ πνεῦμα μετεωρίζει καὶ μετεωρίζει τὴν ὑπόστασιν, ἐπὶ ποσοῦτον ἀπεπτότερον γίνεται τὸ οὖρον. ἐπὶ δὲ τῶν ἀκριβῶν τριταίων καὶ τῶν ἐφημέρων πυρετῶν, ἡ νεφέλη μόνη ἢ ἐναιώρημα πολλάκις ἤρκεσε πρὸς λύσιν τοῦ νοσήματος. ἐνίοτε καὶ τὸ σύγχυν γίνεσθαι τὸ οὖρον μόνον.

Ὅτι οὐ πᾶσα ὑπόστασις λευκὴ, ἀγαθόν τι σημαίνει.

Πολλάκις δὲ καὶ τὸ λευκὸν χρῶμα τοῦ παρεμφαινομένου ἐν τῷ χύματι, ἀπατᾷ τοὺς ἰδιώτας, ὡς ὑπόστασιν χρηστὴν νομίζεσθαι, οὐκ οὖσαν χρηστήν. συμβαίνει γοῦν ὠμὸν καὶ λευκὸν χυμὸν συνεκκρινόμενον τὸ οὖρον ὑφίστασθαι καὶ φαντασίαν ὑποστάσεως χρηστῆς παρέχειν. ἐνίοτε δὲ καὶ ἥπατος ἢ νεφρῶν πεπονθότων, πύον ἐκκρίνεται σὺν τῷ οὔρῳ ὑφιστάμενον, καὶ ἀπατᾷ τὸν τεχνίτην, ἀλλὰ τοῦτο μὲν πρῶτον διορίζεται προπεπονημένον τὸν ἄνθρωπον τοὺς νεφροὺς, ἢ τὸ ἧπαρ, ἢ τι ἕτερον μόριον τῶν εἰωθότων ἐκκαθαίρεσθαι διὰ τῶν οὔρων. ἔπειτα δὲ καὶ δυσῶδες εὑρίσκεται τὸ μετέχον πύου. ὁ δὲ ὠμὸς χυμὸς διορίζεται τῆς χρηστῆς ὑποστάσεως, τῇ ἀνωμάλῳ συστάσει τοῦ περιυφισταμένου· οὐ γὰρ συνεχὲς ἑαυτῷ μένει, ἀλλὰ διορίζεται εἰς μικρὰ οἷον ψαμμία, καὶ οὐδ' ὅλως λεῖόν ἐστι καθὼς ἡ ἀληθὴς ὑπόστασις. ἐπὶ μὲν τῶν χρηστῶν οὔρων, πρῶτα μὲν ἐπιφαίνεται νεφέλη. ἔπειτα ὑποκαταβαίνουσα, ποιεῖ τὸ ἐναιώρημα. ἐπὶ τέλει δὲ ὑφανίζουσα ἐν τῷ πυθμένι τοῦ ἀγγείου ποιεῖ τὴν ὑπόστασιν, δηλονότι ὅταν τελείως πεφθῇ. ἐπὶ δὲ τῶν ὠμῶν χυμῶν εὐθὺς ἐξ ἀρχῆς εἰς τὸν πυθμένα τοῦ ἀγγείου ὑποχωρεῖ πλῆθος πολὺ, μετὰ τοῦ εἶναι κάκωχρον καὶ τὸ χῦμα ὅλον. ἔπειτα κατὰ βραχὺ πεττόμενον καὶ λεπτυνόμενον, αἰωρεῖται κατὰ τὸ μέσον τοῦ χύματος καὶ ποιεῖ τὸ ἐναιώρημα. ὅταν δ' ἐπὶ πλεῖστον λεπτυνθῇ καὶ πεφθῇ, ἐφίσταται ἐπὶ πολὺ τοῦ χύματος καὶ ποιεῖ τὴν νεφέλην, καὶ πλανᾷ τοὺς ἰδιώτας, ὡς ὑπολαμβάνειν ἐπὶ τὸ χεῖρον προβαίνειν τὴν νόσον.

ΓΑΛΗΝΟΥ ΔΙΑΓΝΩΣΙΣ ΤΩΝ ΕΝ ΝΕΦΡΟΙΣ ΠΑΘΩΝ ΚΑΙ ΘΕΡΑΠΕΙΑ.

Περὶ οὐσίας νεφρῶν

Η Οὐσία τῶν νεφρῶν ἰδία, καὶ οὐδενὶ ἄλλῳ μορίῳ κοινὴ, ἐξ ἰνῶν καὶ σαρκῶν συνεστηκυῖα, σαρκῶν δὲ πυκνῶν. γέγονε δὲ τοιαύτη, ἵνα μὴ ῥαδίως τὸ αἷμα φερόμενον, ἀπορρέῃ καὶ ἐκχῆται, καὶ φέρηται μετὰ τοῦ οὔρου. ἡ σαρκοειδὴς αὕτη οὐσία πολλὰς ἔχει ἐν αὐτῇ περιγραφὰς, καὶ ἐπειδὴ καθ' ἑκάστην περιγραφὴν τῆς οὐσίας λίθοι γίνονται, ὡς ἐπὶ τὸ πολὺ, διὰ τοῦτο καὶ χαλεπαὶ γίνονται ὀδύναι ἐν αὐτοῖς καὶ ταῦτα μὲν περὶ οὐσίας.

Περὶ σχήματος νεφρῶν.

Σχῆμα δὲ ἔχουσι σιγμοειδὲς, ἐν μέσῳ δὲ κοιλότης ἐστὶν ἡ ὑποδέχεται διὰ φλεβῶν καὶ ἀρτηριῶν τὸ ὀρρῶδες περίττωμα. ἔρχονται δὲ εἰς τοὺς νεφροὺς οὐ μόναι αἱ μείζους φλέβες, ὧν αἱ μὲν, εἰς τὴν κοιλότητα βάλλουσιν. ἕτεραι δὲ, εἰς τὸν περιαλείφοντα αὐτοὺς ὑμένα, ἀλλὰ καὶ ἕτερα ἀγγεῖα τριχοειδῆ.

Διὰ τί ὁ μὲν δεξιὸς νεφρὸς ὑψηλότερος. ὁ δ' ἀριστερὸς ταπεινότερος.

Ι ναμὴ ἐν τῇ ἐνεργείᾳ, ὁ μὲν, ἑλκη. ὁ δὲ, ἀνθέλκη.

Ἐν ποίῳ κεῖνται τῶν μερῶν τοῦ σώματος

Κεῖνται οἱ νεφροὶ κατὰ τῆς ῥάχεως ἀνωτέρω βραχὺ τῶν λαγόνων. ἀπ' αὐτῶν δ' ἐκφύονται οἱ οὐρητῆρες διάγοντες τὸ οὖρον ἐπὶ κύστιν. ἡ οὐσία τῶν οὐρητήρων, ἰδία καὶ οὐδενὶ ἑτέρῳ μορίῳ κοινή.

Διὰ τί δύο νεφροὶ γεγόνασιν ὑπὸ τῆς φύσεως ἀνθ' ἑνός.

Ε πειδὴ ὑπεραίρει τὸ ὀρρῶδες περίττωμα τῶν ἄλλων περιττωμάτων. χρεία δ' αὐτοῖς τὸ ἕλκειν τὸ ὀρρῶδες περίττωμα. δεῖ γὰρ εἰδέναι ὅτι ἀπὸ τῆς κοίλης φέρεται φλὲψ ἐπὶ τὰ κάτω. διχῆ δ' αὕτη τεμνομένη. τὸ μὲν, ἄνω φέρεται. τὸ δ' ἕτερον, κάτω. ὅπερ πάλιν διχῆ τεμνόμενον δηλονότι τὸ κάτω, τὸ μὲν, εἰς τοὺς μηροὺς. τὸ δ' εἰς τοὺς ὄρχεις. ἄλλο δ' εἰς τοὺς νεφροὺς φέρεται. φέρονται δὲ καὶ ἀπὸ τῆς καρδίας ἀρτηρίαι ἐμβάλλουσαι καὶ αὗται ὀρρῶδες περίττωμα καὶ θερμότητα, ἵνα θερμαίνωνται ὑπ' αὐτῶν. ἐπειδὴ οἱ νεφροὶ εἰσὶν ἐκ τοῦ ὀρρώδους περιττώματος, ὥσπερ καὶ ὁ σπλὴν ἐκ τοῦ μελαγχολικοῦ χυμοῦ, διὰ τοῦτ' οὖν παρὰ τῶν εἰρημένων ἀρτηριῶν χορηγοῦνται θερμότητα, ἵνα ὑπερνικήσωσι τὴν ψύξιν αὐτῶν. μετὰ δὲ τὸ ἕλξαι τὸ ὀρρῶδες περίττωμα, τὸ χρηστὸν τοῦ αἵματος κατέχουσι καὶ τρέφονται ἐξ αὐτοῦ. τὸ δὲ ὀρρῶδες περίττωμα ἀποτρίβεται διὰ τῆς ἀποκριτικῆς, ὡς ἄχρηστον. ἐν ὅσῳ δέ ἐστιν ἐν ταῖς φλεψὶ καὶ ταῖς ἀρτηρίαις σὺν τῷ αἵματι, ὀρρῶδες περίττωμα λέγεται. ὅταν δ' ἀποδιωχθῇ, λέγεται οὖρον. ὥς τε οὖν τὸ χρηστὸν τοῦ αἵματος κατέχουσιν οὗτοι καὶ τρέφονται ἐξ αὐτοῦ. τὸ δ' ἄχρηστον ἀποτρίβονται. καὶ ὥσπερ ἡ χοληδόχος κύστις χαίρει τῇ χολῇ, καὶ ὁ σπλὴν τῷ μελαγχολικῷ χυμῷ, οὕτω καὶ οὗτοι τῷ ὀρρώδει περιττώματι.

Περὶ ἐνεργείας νεφρῶν.

Ε νέργεια δ' αὐτοῖς, τὸ διακρίνειν καὶ διηθεῖν τὸ ὀρρῶδες ὑγρὸν ἀπὸ τοῦ αἵματος. ἐνταῦθα δέ τις ἡ χρεία τῆς ἐνεργείας αὐτῶν. ζητεῖται δὲ, οὐ μόνον νεφροῦ, ἀλλ' ἑκάστου μορίου ἐνέργεια, ὁπηνίκα γὰρ αὕτη βλάπτεται, ἀποφαίνει ὁποῖόν ἐστι τὸ πάσχον μόριον. Πᾶν πάθος περὶ αὐτοῦ λέγεται νεφρῖτις. εἴτε ὁμοιομερές ἐστιν εἴτε ὀργανικὸν, ἢ ἐπίκοινον. κυρίως δὲ νεφρῖτις ἡ λιθίασις λέγεται.

Αἰτίαι τοῦ λίθου.

Αἱ δὲ τοῦ λίθου αἰτίαι, τέσσαρες. ποιητικὸν, ὑλικὸν. ὀργανικὸν. καὶ τελικόν. τοῦτο ἐκ τῶν ἔξωθεν μανθάνεις ὅτι ποιεῖ ἔξωθεν λίθου σύστασιν, ἢ ψῦξις, ἢ θερμότης. ὥσπερ ἐν ὑπονόμοις καὶ σωλῆσι τῆς θερμότητος ἐγγινομένης ἀπὸ ὕλης ἀδιαπνευστούσης. οἷον ὕδατος ὄντος ἐν τῷ σωλῆνι γίνεται θερμότης παρὰ φύσιν. ταύτης δὲ διαφορούσης τὸ λεπτομερὲς ἐκείνου ἰλυώδους ὕδατος, τὸ παχυμερὲς ἀποξηραίνεται, καὶ μένον ἐν τῷ σωλῆνι προστίθεται τῇ οὐσίᾳ τοῦ λίθου καὶ οὕτως γίνεται λίθος. καὶ ἄλλο σαφὲς παράδειγμα. πολλάκις ἐν λέβητι ὁρῶμεν λίθους γινομένους, τοῦ ὕδατος τὸ λεπτομερὲς διαφθειρομένου, καὶ μένοντος τοῦ γεώδους καὶ παχυμεροῦς καὶ οὕτως προστίθεται τῇ οὐσίᾳ τοῦ λέβητος ἢ ἄλλου χαλκοῦ, καὶ γίνεται λίθος. ἐν ἡμῖν δὲ ψῦξις λίθον οὐ ποιεῖ, οὐδὲ γὰρ ἐν ζῶντι σώματι δυνατὸν ὑποθέσθαι τοσαύτην ψῦξιν, ὡς δυνηθῆναι τὴν ψῦξιν ποιῆσαι λίθον ἡμῖν, ὡς ἐπὶ τῶν ἐκτὸς ὁρῶμεν γινόμενον. ἀλλὰ ἀπὸ θερμότητος ἐν ἡμῖν γίνεται λίθος, ἢ σφοδρᾶς, ἢ χλιαρᾶς. ἀλλ᾽ εἰ μὲν παχεῖα ἐστὶν ἡ ὕλη, τότε ἀρκοῦσα ἐστὶ καὶ ἡ χλιαρὰ καὶ μετρία καὶ κατὰ φύσιν θερμότης, πρὸς τὸ ἰσχῦσαι καὶ ἀποξηρᾶναι τὴν παχεῖαν ὕλην, ἑτοίμη γὰρ ὡς παχεῖα πρὸς τὴν γένεσιν τοῦ λίθου. εἰ δὲ λεπτοτέρα ἐστὶ, τότε πάνυ σφοδροτέρας δεῖται τῆς κατὰ φύσιν, καὶ παρὰ φύσιν θερμότητος, ἵνα ἀποξηράνῃ αὐτήν. θέλει γὰρ διαφορῆσαι τὸ λεπτομερὲς αὐτῆς, καὶ οὕτως ἵνα ἰσχύσῃ ποιῆσαι λίθον. ἁπλῶς γοῦν ἀπὸ θερμότητος γίνεται ἐν ἡμῖν λίθος. ὑλικὸν δὲ αἴτιον, ἢ παχὺς, ἢ γλίσχρος χυμὸς, ἢ ἀμφότεροι. ὀργανικὸν δὲ αἴτιον, νεφρὸς, ἢ κύστις, ἢ ἕτερον ἐπιτήδειον μόριον. τελικὸν δὲ, οὐκ ἔστιν ἐνταῦθα εἰπεῖν, εἰ μὴ αὐτὸν τὸν λίθον.

Τὸ φερόμενον αἷμα ἐν αὐτοῖς, ἢ παχύτερόν ἐστιν ἑαυτοῦ, ἢ φλεγματικώτερον, ἢ μελαγχολικώτερον, ἢ ξανθοχολικώτερον. φέρεται δὲ ἐν αὐτοῖς διὰ φλεβῶν καὶ ἀρτηριῶν, ἢ ἐν τῇ κοιλότητι, ἢ ἐν τῇ οὐσίᾳ καὶ ἐκεῖ φερόμενον ὑπερβάλλον τῇ ποσότητι, ἢ τῇ ποιότητι, ἢ τῇ συστάσει σφηνοῦται, καὶ ἵσταται καὶ ἴσχει θερμότητα παρὰ φύσιν. αὕτη δὲ ἡ παρὰ φύσιν θερμότης πλεῖον παχύνει, καὶ καταγλισχραίνει, καὶ ἐξυπεροπτᾷ, καὶ ἀποξηραίνει τὸν χυμὸν ἐκεῖνον, καὶ ποιεῖ τὸν λίθον. ὅσοι μὲν ἡγοῦνται κατὰ τὴν κοιλίαν τῶν νεφρῶν συνίστασθαι τοὺς λίθους, ἐν τῇ διεξόδῳ μόνῃ τῇ κατὰ τοὺς οὐρητῆρας ὀδυνᾶσθαί φασι τοὺς πάσχοντας. ὅσοι δὲ ἐν αὐτῇ αὐτῶν τῇ σαρκὶ (ἀνάλογον) τοῖς ἐπὶ τῶν ἀρθριτικῶν πώροις, οὐκ ἐν μόναις ταῖς διεξόδοις, ἀλλὰ καὶ καθ᾽ ὃν γίνονται χρόνον ἐνταῦθα καὶ καθ᾽ ὃν εἰς τὴν κοιλίαν διεξέρχονται τῶν νεφρῶν. οὐκ ἀδύνατον δὲ ἑκατέρως γίνεσθαι, γλίσχρου χυμοῦ, καὶ παχέος ἐν τῷ χρόνῳ κατοπτωμένου τε καὶ ξηραινομένου κατ᾽ αὐτούς. δέδεικται γὰρ ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἕλκων ἐφ᾽ ἑαυτὸν ὁ νεφρὸς, ὅσονπερ ἐν ταῖς φλεψὶν ὀῤῥῶδές τε καὶ λεπτὸν ἀναμέμικται τῷ αἵματι. τῶν οὖν εἰς τὴν κοιλίαν αὐτῶν διηθούντων τοιούτων πόρων, ἐπὶ πλέον ἀναστομωθέντων συνηδεῖται τι καὶ παχύτερον, ὅπερ θερμαινόμενον καὶ ξηραινόμενον ἐν τῇ κοιλίᾳ τοῦ νεφροῦ, πωρώδη λαμβάνει σύστασιν. ἐὰν μὲν οὖν ἡ τοῦ νεφροῦ δύναμις ἀποκριτικὴ δυνάσηται πᾶν αὐτὸ ἐν τοῖς οὔροις, ἡ ψαμμώδης ὑπόστασις ἐν αὐτοῖς γίνεται. ἐὰν δὲ ἐμπλησμένον τε καὶ δυσαπόλυτον ἡ τῆς κοιλίας τοῦ νεφροῦ τὸ δεχόμενον, ἐν αὐτῷ ἔτι παραπλήσιον ἕτερον ἐκ τῆς κοίλης φλεβὸς ἐπὶ πλέον αὐξάνεται. περιπλάττεται γὰρ ἀεὶ τὸ ἐπιῤῥέον, τῷ ὑπάρχοντι, καὶ οὕτως ὁ πῶρος ἀξιόλογος τῷ μεγέθει συνίσταται. συντελεῖ καὶ εἰς τοῦτο μάλιστα, καὶ ἡ τῶν νεφρῶν αὐτῶν κρᾶσις, ὅταν οἷον πυρώδης τε καὶ δριμὺ τὸ κατὰ φύσιν ἡ θερμόν. ἐὰν δὲ ἀραιωθῇ μὲν ἡ εἰς τὸν νεφρὸν ἐκ τῆς κοίλης φλεβὸς εἴσοδος. ὑγρὸν δ᾽ ἦ τὸ αἷμα καὶ μήτε παχὺ, μήτε γλίσχρον, αἱματῶδες οὕτως γίνεται τὸ οὖρον. ἐὰν μὲν οὖν ἐκ φλέγματος μόνου γλίσχρου καὶ παχέος σύστασις γένηται, τῶν ἐν τοῖς νεφροῖς πωροειδῶν τε καὶ λιθωδῶν σωμάτων ἡ καλουμένη τεφρώδης ἔσται χροιά. παραπλησίως τοῖς αὐτοφυέσιν ὕδασι κἂν χλιαρώτερον τῶν συμμέτρων ᾖ, φαίνονται συνιστάμενοι πῶροι. τὰ μὲν οὖν παιδία τοὺς ἐν κύστει γεννῶντα λίθους φαίνεται. τοὺς δ᾽ ἐν τοῖς νεφροῖς οἱ ἀκμάζοντες. ἐπὶ μὲν γὰρ τῶν παιδίων ἰσχυρῶν ἁπασῶν τῶν φυσικῶν ἐνεργειῶν οὐσῶν, κέχυται καὶ διαλέλυται τὸ πάχος τῶν χυμῶν. ἐπὶ δὲ τῶν προηκόντων κατὰ τὴν ἡλικίαν, τοὐναντίον, ἀσθενῶν οὐσῶν, συνῆκται. φαίνεται δὲ κἀπὶ τῶν ἐκτὸς ὅσα παχέα φύσει διά τινων λεπτῶν ἠθεῖν βουλόμεθα. τὰ μὲν ὑπὸ θερμασίας χυθέντα, διερχόμενα ῥαδίως ταχύ. τὰ δὲ ἄτηκτα, μὴ διιόντα παραδείγματά τε τῶν τοιούτων ὑλῶν, πίσσα, ῥητίνη, στέαρ. κηρός τε, καὶ μέλι. καὶ τῶν παιδίων οὖν ἐχόντων πολὺ τὸ ἔμφυτον θερμὸν καὶ τὰς ἐνεργείας ἰσχυρὰς τὸ πάχος τῆς ὕλης κεχυμένον εἰς τοὺς νεφροὺς ἀφικνεῖται, καὶ διὰ τοῦτο διηθεῖται ῥαδίως εἰς τὴν κύστιν, οὐ σμικρόν. οὐ δὲ τῆς τῶν ἐνεργειῶν ῥώμης εἰς τὸ τάχος τῆς διεξόδου συντελούσης. ἅτε δὴ τῆς κύστεως οὔσης ψυχρᾶς, ὅτι τε ὑμενώδης ἐστὶ, καὶ ὀλίγαιμος, ὅτι τε πλείστην εὐρυχωρίαν ἐντὸς ἑαυτῆς ἔχει, συνίσταται πάλιν ἐνταῦθα καὶ πήγνυται τὸ διεξελθὸν εἰς ταύτην πάχος, ὡς ἔμπροσθεν εἶπον, ἀρχὴν λαμβάνον τῆς τοιαύτης συστάσεως, ὅταν ἐπὶ πλέον ἐν τῇ κύστει χρονίσῃ. καὶ μὴν καὶ γλίσχρον αὐτὸ εἰκὸς μᾶλλον ἢ τοῖς παιδίοις κατεργάζεσθαι ὑπὸ τῆς ἐμφύτου θερμασίας, καὶ διὰ τοῦτο δὴ μᾶλλον ἑνοῦται καὶ συνίσταται, καὶ πήγνυται, καὶ προσθετέον ἔτι τὴν περὶ τοῦ πάχους τῶν οὔρων ἐν τοῖς παιδίοις, αἰτίαν, ἔστι δὲ, τό, τε ἀδδηφάγον αὐτῶν, καὶ τὸ μετὰ τὴν τροφὴν ἀτάκτως κινεῖσθαι, παίζοντα καὶ σκιρτῶντα. τοῖς δ᾽ ἔτι θηλάζουσι, καὶ ἡ ὕλη συντελεῖ. καὶ τῶν τελείων τοῖς πλεονάζουσιν ἐν τυρῶν ἐδωδῇ καὶ ὁμοίων, λίθους ἐν κύστει καὶ νεφροῖς γενομένους ἔγνωμεν. ἔστιν οὖν πάθημα τῆς κύστεως ἡ λιθίασις, παιδικόν. οὐ γὰρ δύναται στενὸς οὕτως ὁ τράχηλος τῆς κύστεως ἐπὶ τῶν μειζόνων σωμάτων γενέσθαι, ὡς κατέχειν τὸ παχύτερον ὑγρόν. οὐ μὴν τοῦτό γε μόνον ἱκανὸν εἶναι νομίζειν πρὸς τὴν τῶν λίθων γένεσιν, ἀλλὰ καὶ δυσκρασίαν θερμὴν, ὡς πυρῶδες ἔχειν τὸ θερμὸν, οὐκ εὔκρατον, οὐδὲ μέτριον. ἐπὶ δὲ τῶν θηλέων παιδίων. ὁ τῆς κύστεως αὐχὴν, εἰς τὸ αἰδοῖον συντέτρηται αὐτὸ, βραχὺς ὢν ἅμα καὶ εὐρὺς, ὥστε ῥαδίως αὐτοῦ διεξουρεῖσθαι τὰ παχέα τῶν οὔρων, ἃ τοῖς ἄῤῥεσι παιδίοις ἰσχόμενα, διά τε τὸ μῆκος καὶ τὴν στενότητα τοῦ τῆς κύστεως αὐχένος, ὕλην παρέχει τῇ πυρώδει κύστει πρὸς τὴν τῶν λίθων γένεσιν. Τῶν σημείων τὰ μὲν, εἰσὶν ἐπιστημονικά. τὰ δὲ τεχνικά. τὰ δὲ ἴδια. σημεῖον ἴδιον ἀπαράβατον δηλοῦν ἀμέσως τὸ πάθος ἤγουν λίθον τὸν ἐν τοῖς νεφροῖς ἐὰν κατενεχθῶσιν ἐν τῷ ποτηρίῳ ψάμμια, τότε ἀκριβῶς διαγινώσκεται, ὅτι λίθος ἐστὶν ἐν τοῖς νεφροῖς.

καὶ ἰδοὺ

καὶ ἴδιον τὸ ἴδιον καὶ βεβαιότατον σημεῖον. ἐπεὶ δὲ ἐπιπλέκονται αἱ διαθέσεις, εἴπομεν καὶ τὰ κοινὰ σημεῖα, τὰ δὲ κοινὰ σημεῖα, ταῦτά ἐστιν. ἐὰν αἱματώδη εἰσὶ τὰ οὖρα τὰ φερόμενα, τοῦτο κοινὸν δύναται εἶναι σημεῖον, ἢ ὅτι ἀναστόμωσις γέγονεν ἀγγείων, ἢ ῥῆξις. ἢ ἀνάβρωσις, ἢ ἀτονία, ἢ εὐρύτης, ἢ ἕτερόν τι. ὅτι ἡ μὲν ῥῆξις ἀκριβοῦς καὶ ἀθρόου αἵματος ἐργάζεται κένωσιν. ἡ δὲ ἀναστόμωσις, καὶ κατ' ὀλίγον φέρεται, καὶ τὸ λεπτότατον διηθοῦσα, τὸ οὖρον ὕφαιμον ἀπεργάζεται. εἰ δὲ καθ' ἑκάστην ὥραν καὶ ῥοπὴν φέρεται, ἀτονία ἐστίν. εἰ δὲ σὺν τῷ αἵματι καὶ ἕτεραι παχύτητες ἐκκρίνονται, εὐρύτης ἐστίν. εἰ δὲ ὑδατῶδές ἐστι τὸ αἷμα, εὔδηλον καὶ πιθανόν, λίθον συστῆναι. εἰ δὲ παχὺ τὸ αἷμα ἢ τὸ φερόμενον, εὔδηλον ὅτι ἡ παχύτης τοῦ αἵματος εἰς λίθον τῇ βιαίᾳ σφηνώσει μεταληφθήσεται. ἐπὶ γοῦν τῇ τοῦ αἵματος κενώσει δίδοαμεν ψυχρά, ἵνα στενωθῇ ἡ φλέψ, καὶ ἡ ἀρτηρία, καὶ μηκέτι ἄλλο ἐνέγκῃ αἷμα εἰς τοὺς νεφρούς. ἵνα μὴ σφηνωθῇ. ἀμέλει καὶ ἐπὶ τούτων ἀπάτη γίνεται εἰς θεραπείαν. στενοῖ γοῦν τὴν φλέβα, καὶ οὐκ ἐᾷ ἄλλο ἐνεχθῆναι. αἴτιον δὲ τοῦ αἵματος μένοντος ἐν τοῖς νεφροῖς γίνεται ὥστε εἰ δώσεις ψυχρὸν τὴν φλέβα στενοῖς καὶ οὐκέτι φέρεται. τὸ δὲ ἐνεχθὲν ἐν αὐτοῖς αἷμα, ταχέως ἀχρειοῖς.

Ἐκ τῆς νάρκης τοῦ κατ' ἴξιν μηροῦ δύνασαι μαθεῖν εἰ πάσχει ὁ νεφρός. ἐὰν γὰρ γίνεται τοῦ δεξιοῦ μηροῦ νάρκη, ὁ δεξιὸς πάσχει νεφρός. εἰ δὲ τοῦ ἀριστεροῦ, ὁ ἀριστερός. νάρκη δ' ἐστὶ δυσαισθησία καὶ δυσκινησία τοῦ μορίου. γίνεται δέ, ὅτι ἡ φλὲψ ἡ φερομένη ἐπὶ τὰ κάτω, τριχῇ τέμνεται. καὶ τὸ μέν, μετὰ ἀρτηριῶν ἔρχεται ἐπὶ τοὺς ὄρχεις, καὶ εἰς τὰ σπερματικὰ ἀγγεῖα. τὸ δ' ἄλλο ἐμβάλλει εἰς τοὺς νεφρούς. τὸ δὲ ἐπὶ τοὺς μηρούς. ὅταν οὖν γένηται λίθος ἐν τοῖς νεφροῖς, ταύτῃ συνδιατίθεται καὶ ἡ φερομένη εἰς τοὺς μηρούς. ἀπ' αὐτῆς γάρ εἰσι τῆς μιᾶς ἀρχῆς ἀμφότεραι. οὐκοῦν πληροῦται φερομένη εἰς μηρούς, αὕτη δὲ οὖσα πεπληρωμένη, ἔστιν ὅτε θλίβει νεῦρον, ἢ μῦν. τὸ δὲ νεῦρον θλιβόμενον, οὐ πέμπει ψυχικὸν πνεῦμα ἐπὶ τοὺς μηρούς, καὶ ἀναισθητεῖ, καὶ γίνεται νάρκη. Ἐκ τοῦ ἀνασπᾶσθαι τὴν κατ' ἴξιν ὄρχιν δύνασαι μαθεῖν, ὅτι νεφρὸς πάσχει. εἰ μὲν γὰρ δεξιὸς ὄρχις ἀνασπᾶται. ὁ δεξιὸς πάσχει νεφρός. εἰ δὲ ἀριστερὸς ὁ ἀριστερός.

Ὅτι ἀπὸ τοῦ ἥπατος καὶ τῆς καρδίας φέρεται φλὲψ καὶ ἀρτηρία ἐπὶ τοὺς νεφρούς, καὶ ἐμβάλλουσιν εἰς αὐτὴν τὴν κοιλότητα αὐτῶν.

Τὰ δὲ σπερματικὰ ἀγγεῖα φέρονται ἐπὶ τοὺς ὄρχεις. ὅταν οὖν γένηται λίθος ἐν τοῖς νεφροῖς, ἀντιτείνεται ἡ φλὲψ ἐκείνη καὶ ἡ ἀρτηρία, καὶ τὰ σπερματικὰ ἀγγεῖα φερόμενα ἐπὶ τοὺς ὄρχεις. καὶ οὕτως κατὰ συμπάθειαν ἀνασπῶνται, οἱ ὄρχεις. Τινὲς μὲν λέγουσιν ὅτι διὰ λόγον τῆς ὀδύνης βιαία ἐστίν, ὡς ἀγρυπνίαν ἐργάζεσθαι. οὐκοῦν ὀφείλουσι καὶ οἱ ποδαγριῶντες καὶ ὀφθαλμιῶντες, καὶ πάντες οἱ σφοδρῶς ὀδυνώμενοι καὶ ἀγρυπνοῦντες ἐμεῖν, ἀλλ' οὐ διὰ ταῦτα ἐμοῦσιν, ἀλλὰ διὰ τὴν θέσιν αὐτῶν. οἱ γὰρ νεφροὶ κεῖνται κατὰ τὴν ῥάχιν ὀπίσω τῶν ἐντέρων καὶ τῆς γαστρός. ἐὰν οὖν γένηται βιαία τάσις αὐτῶν, διὰ μέσων τῶν συνδέσμων διέρχεται ἡ διάθεσις ἐπὶ ἔντερα καὶ γαστέρα, καὶ ἐντεῦθεν ποιότητος ἀνιούσης ἀκολουθεῖ ἀνατροπή.

Ὅτι ἐκ τῆς παρατρίψεως τοῦ λίθου πνεύματα διὰ μέσα ἐπιτρέχουσι καὶ ἐρεθίζουσι καὶ ποιοῦσι κνησμόν, ὥσπερ τῆς φύσεως ἐπιδεικνυούσης τὸν πεπονθότα τόπον.

Ἐπειδὴ τοῦ λίθου ἐγκειμένου οἷον γαργαλισμός τις γίνεται, καὶ ἐπεγειρομένης τῆς φύσεως πρὸς τὸ κενῶσαι τὸ λυποῦν, πνεύματα ἐπιτρέχουσιν, ἅ τινα εἰς τὸ σηραγγῶδες τοῦ αἰδοίου ἐμπίπτοντα παραλόγως αὐτὸ ἐντείνουσιν. ἐπὶ πάσῃ γὰρ κινήσει φυσικῇ, συντρέχει τὸ αἷμα καὶ τὸ πνεῦμα, τὰ ὀχήματα αὐτῆς.

Οἱ μὲν ἰδιῶται ὀδύνην βαρεῖαν λέγουσι, τὴν συναίσθησιν τὴν ἀνιαράν, οἱ δὲ ἰατροί, τὴν σφοδροτάτην.

Δέδεικται μὲν ὅτι καρδία καὶ ἧπαρ καὶ νεφροί, οὐκ αἰσθάνονται κατὰ τὴν κοιλότητα. κατὰ δὲ τὴν ἐπιφάνειαν ἕκαστος αἰσθάνεται. ἐπειδὴ ἐκεῖ νεῦρα αἰσθητικὰ φέρονται. ἐν δὲ ταῖς κοιλότησιν, οὐ φέρονται, πῶς οὖν ταῦτα ὑπομένουσιν ὀδύνην; διὰ βαρεῖσθαι τὴν κοιλότητα, γίνεται ὀδύνη. περιτείνεται γὰρ ὁ ὑμὴν ὁ ἔξω ἐκ τοῦ πληροῦσθαι τὴν κοιλότητα, καὶ περιτεινόμενος ὁ ὑμήν, ποιεῖ τὴν ὀδύνην. ἐπὶ δὲ τῆς οὐσίας τῶν νεφρῶν πάλιν ὡσαύτως γίνεται ὀδύνη διὰ βαρεῖσθαι τὴν κοιλότητα ἐκ τοῦ λίθου, καὶ περιτείνεσθαι, καὶ γίνεσθαι τὴν συναίσθησιν τῆς ὀδύνης, ἐπὶ τὴν ἐπιφάνειαν ὡς ἐχούσαν νεῦρα αἰσθητικὰ καὶ ὑμένα. ἐπὶ δὲ τῆς οὐρήθρας, ὡς νευρώδους οὔσης καὶ αἰσθητικῆς, διὰ τοῦτο γίνεται ὀδύνη σφοδροτάτη. πρὸς τούτοις δὲ γίνεται ὀδύνη σφοδροτάτη ἐν τοῖς νεφροῖς, διότι οὐκ εἰσὶν αἱ κοιλίαι τῶν νεφρῶν εὐρεῖαι, ἀλλὰ στεναί. καὶ οἱ νεφροὶ ὑπὸ στερρότητος οὐκ ἂν διαστεῖοιντο, ὥσπερ ἡ κύστις. Διότι οἱ ἐν τοῖς νεφροῖς λίθοι ὡς ἐπὶ τὸ πλεῖστον καὶ μικρότεροι, καὶ ἴσοι, καὶ μαλθακώτεροι, ἅτε οὐ πολυχρόνιοι ὄντες. Εἰσὶ δὲ τὰ οὖρα τοῖς λιθιῶσι κατ' ἀρχὰς μὲν ὑδατώδη. ἐμφράξεως γὰρ οὔσης, κατὰ διήθησιν φέρονται. μετὰ δὲ ταῦτα ψαμμώδη. ὕστερον δέ, καὶ λίθος κενοῦται, ὅταν ἡ ὀδύνη παύηται.

Ἐκ τοῦ ἀθρόως φέρεσθαι λίθον περὶ τὴν ὀσφὺν γίνεσθαι βάρους συναίσθησιν.

Ὥσπερ ἐπὶ τῶν τικτουσῶν γυναικῶν εὐρύνονται τὰ μόρια πρὸς διέξοδον τοῦ ἐμβρύου, οὕτω κἀνταῦθα τῇ βίᾳ εὐρύνεται ἡ οὐσία τῶν νεφρῶν καὶ ἐξέρχεται ὁ λίθος καὶ ἐρχόμενος εἰς τὴν κοιλότητα αὐτῶν, περὶ τῶν ἐκεῖσε ὑμένα εὐαίσθητον ὄντα, ὀδύνην ἐργάζεται σφοδρὰν καὶ πολλῷ μᾶλλον εἰς τοὺς οὐρητῆρας ἐρχόμενος ὀδυνᾷ, διὰ τὴν στενότητα καὶ εὐαισθησίαν τούτων. ἡνίκα γὰρ ἐν τῇ οὐσίᾳ τῶν νεφρῶν ἐστίν, οὐ ποιεῖ πολλὴν ὀδύνην ἐπειδὴ ἡ οὐσία αὐτῶν, ὡς εἴρηται, δυσαίσθητος ἐστί. πολλάκις γὰρ εἰς τὸν τράχηλον ὑπὸ μεγέθους ἐνισχόμενοι, εἰς ἔσχατον κίνδυνον ἄγουσι τῇ τῶν πόνων ὀξύτητι, καὶ οὐκ ἐῶσι τὸ οὖρον, διαχωρεῖν. οἶδα δέ τινας, τὰ μὲν ἄλλα διεξελθόντα τὸν λίθον, κατὰ δὲ τὸ ἄκρον τοῦ αἰδοίου ἐμφραχθέντα, ὀλίγα ἐδέησαν ἀπολέσθαι τὸν ἄνθρωπον ταῖς δυσουρίαις, καὶ διὰ ὀξυτάτῳ πόνῳ. ἀλλὰ τῇ στενῇ λαβίδι οἷοί τε ἐγενόμεθα ἐξελκῶσαι αὐτόν, τομὴν παραμήκη ἄνωθεν διελογιζόμεθα. τὸν γὰρ οὐρητῆρα, εἰ μὴ μεγάλη ἀνάγκη, οὐ χρὴ τέμνειν. συρρηγνῦνται γὰρ τοὔπιπαν, καὶ τὸ οὖρον ταύτῃ ὑποπτύουσιν. οἱ δέ, οὔτε τινὰ ὀδύνην ἔσχον, οὔτε αἷμα οὔρησαν. οἷς πῶροι μέν, οὐ συνίσανται.

ψαμμία δὲ λεπτά, οὐδὲν μέγα πρᾶγμα συμβῆναι. οὗτοι δὲ νοσεῖν οἴονται, ἅτε οὐκ ὀδυνώμενοι. χρὴ δὲ μηδενὸς ἀμελεῖν, ἐν γὰρ τῷ χρόνῳ ἀποτελοῦνται πάντα δεινότερα. Ὁ δὲ λίθος καὶ τὰ ψαμμία διάφορον ἔχουσι χροιὰν παρὰ τὴν θερμασίαν καὶ τὴν ὕλην. τὸ γὰρ μᾶλλον τοῦ χρόνου κατέχεσθαι πυῤῥὸν, ἢ ξανθὸν, ἢ ἐρυθρὸν, ἢ μέλαν αὐτὸν ποιεῖ, καὶ ἡ πολλὴ θερμασία. ὡσαύτως καὶ ἀπὸ τῶν χυμῶν γίνονται οἱ λίθοι, καὶ ψαμμία, ἢ σανδαραχώδη, ἢ μέλανα, ἢ ὠχρόλευκα, ἢ ἑτέραν χρόαν ἔχοντα ἐκ τῆς ποικιλίας τῶν χυμῶν. Συνίστανται δὲ ἐν τοῖς νεφροῖς οἱ λίθοι κατὰ τὴν κοιλίαν αὐτῶν καὶ κατὰ τὰς οὐσίας. καὶ ὅπου ἐπιτηδειότητα ἔχουσι γίνεσθαι ἢ μικροὶ ἢ μείζονες. καὶ ποτὲ μὲν ἐλάττονες, ποτὲ δὲ, πλείονες. διαφέροντες τῷ μεγέθει, τῷ σχήματι, τῇ χροιᾷ, τῇ τραχύτητι, καὶ τῷ πλήθει. καὶ γὰρ μέλανες εὑρίσκονται καὶ ὑπόλευκοι. καὶ ὠχροί. καὶ οἱ μὲν περιφερεῖς καὶ λεῖοι καὶ μικροί, εὐέκκριτοι. οἱ δὲ, μείζονες ἢ ἄλλως πως ἐσχηματισμένοι, καὶ μάλιστα οἱ ἐπιμήκεις καὶ τραχεῖς, δυσέκκριτοι. φέρονται δὲ ψαμμία καὶ ἐξουροῦνται ἐν τῇ γενέσει τούτων. μετὰ δὲ τὸ γενέσθαι λίθον. ἀδύνατον ἐξενεχθῆναι αὐτὸν, διὰ τὸ πωρωθῆναι, εἰ μὴ ἡ φύσις αὐτὴ καθ' ἑαυτὴν, θρύψῃ αὐτὸν καὶ ἐκκρίνει. ἢ ἡ τέχνη διὰ φαρμάκου θρυπτικοῦ συνεργοῦσα τῇ φύσει θρύψει καὶ κενώσει ταῦτα. Ὡς ἐπὶ τὸ πλεῖστον ἅμα εἰσβάλλουσιν ἥτε κωλικὴ ὀδύνη καὶ ἡ νεφριτική. καταλαμβάνονται δὲ, διὰ τῶν ἰδίων σημείων. ἡ γὰρ τῆς γαστρὸς κένωσις, θεραπεύει μὲν τοὺς κωλικούς. παραμυθεῖται δὲ ἐν ταῖς ἀρχαῖς καὶ τοὺς νεφριτικούς. καὶ ἤδη τινὲς ἔδωκαν ὑπαγωγὸν γαστρὸς καὶ ἀνωδυνίαν ἐποίησαν, τῇ α΄. καὶ β΄. καὶ γ΄. ἡμέρᾳ καὶ τῇ δ΄. ἐξηνέχθη ὁ λίθος. ὁπόταν δὲ ἅμα εἰσβάλλωσιν αἱ νεφριτικαὶ καὶ κωλικαὶ διαθέσεις, τότε μεταδιδόασιν ἀλλήλοις τὰ μόρια τάσεως καὶ ἀνέσεως. τείνονται γὰρ κατὰ τὸ συνεχὲς δίκην σχοινίου. καὶ οὔτε ἐρυγὴ ἄνω, οὔτε φῦσα κάτω.

Θεραπεία τοῦ λίθου.

Εἰ μὲν ἐξαίφνης εἰσβάλλῃ ἡ νεφριτικὴ διάθεσις, καὶ ὁ κάμνων νεωστὶ βεβρωκὼς εἴη, καὶ τὰ σιτία παντελῶς ἄπεπτα, καθὼς προσελήφθησαν, ἢ ἡμίπεπτα, ἢ πλῆθος χυμῶν προϋπάρχει, δεῖ πρὸ τῆς ἄλλης θεραπείας, ἢ μᾶλλον εἰπεῖν παρηγορίας, εἰ μηδὲν ἐστὶν ἐμποδὼν ἔμετον ἐπιτηδεύσασθαι. εἰ δὲ περιττώματα εἰσὶν ἐν τοῖς ἐντέροις, δεῖ ταῦτα δι' ἐπιτηδείων κενῶσαι κλυστήρων, εἰ μηδὲν ἐστὶ τὸ ἐναντιούμενον. εἶτα εἰ μὲν πεπλήρωται τὸ πᾶν σῶμα, σκοπεῖν τί ἐστι τὸ πληρῶσαν αὐτό. καὶ εἰ μὲν αἷμα, ποιεῖν ἀποκένωσιν μηδενὸς ἀντιπράττοντος. κένωσιν δὲ, ἐλάττονα πολλῷ, ἤπερ ἣν ἀπαιτεῖ τὸ πλῆθος, διά τι; ἐπεὶ οὐ πάντως ἐκ τοῦ παραχρῆμα προσῆκόν ἐστιν ἐκπεσεῖν τὸν λίθον, καὶ μάλιστα εἰ μέγας ᾖ, διὰ τοῦτο τηρεῖν χρὴ τοῦ αἵματος τὴν πλείονα κένωσιν εἰς τὴν μέλλουσαν γίνεσθαι ἐν τῷ σώματι τῷ χρόνῳ δαπάνην. εἰ δὲ αἱ τέσσαρες χυμοὶ πλεονάζουσι, πρότερον φλέβα τέμνειν πρὸ τῆς καθάρσεως, ἢ καθαίρειν πρὸ τῆς φλεβοτομίας.

Διατί φλεβοτομοῦμεν πρὸ τῆς καθάρσεως.

Ἐπειδὴ εἰ προκενώσομεν διὰ φλεβοτομίας τὸ σῶμα, τὸ καθάρσιον διδόμενον, εὑρίσκει τὰς φλέβας καὶ τὰς ἀρτηρίας καὶ τὰς κενὰς χώρας μὴ πεπληρωμένας, καὶ διέρχεται ἀκωλύτως ἐπὶ ὅλον σῶμα, καὶ ἕλκει τοὺς χυμοὺς καὶ ῥᾴστη γίνεται ἡ κένωσις αὐτῶν διὰ τὴν εὐρύτητα τῶν ἀγγείων καὶ τὴν χύσιν καὶ λεπτότητα τῶν χυμῶν, εἰ δὲ πεπλήρωται ἀπὸ τοῦ αἵματος τὰ ἀγγεῖα καὶ δώσεις καθάρσιον, οὐ δύναται διελθεῖν διὰ τὴν πλήρωσιν, ἀλλ' ἵσταται, καὶ οὐδὲν ποιεῖ, ἢ κακῶς ποιεῖ, ὃ ποιεῖ. ἰδοὺ περὶ τοῦ ἰατροῦ, τὸ καθάρσιον. τῆς δὲ φύσεως, τὸ πᾶν. αὕτη γὰρ κεντρωθεῖσα παρὰ τοῦ καθαρσίου, χρῆται τῇ διακριτικῇ δυνάμει καὶ διακρίνει ἀπὸ τῶν ἀχρήστων τὰ χρηστά. καὶ τὰ μὲν χρηστά, κατέχει ἡ καθεκτικὴ δύναμις. τὰ δ' ἄχρηστα, ἀποτρίβεται ἡ ἀποκριτική, οὐ δεῖ δὲ ἅμα φλεβοτομεῖν καὶ καθαίρειν, ἀλλὰ πρῶτον φλεβοτομεῖν. εἶτ' ἀνακτᾶσθαι τὴν δύναμιν καλῶς. ἐπεὶ ταύτη διοικεῖ ἡμᾶς καὶ ὑπουργεῖ τοῖς φαρμάκοις. οὐ γὰρ ἐνεργοῦσιν καθ' ἑαυτὰ τὰ φάρμακα, καὶ διὰ ταῦτα δεῖ ῥωννύειν ταύτην. ἵνα προσφερομένων τῶν καθαρσίων δυνηθῇ χρῆσθαι αὐτοῖς, ὡς ὀργάνῳ, ἡ φύσις, καὶ ἐργάσηται τὸ δέον. ἐννοοῦμεν τὸ ἅμα τῷ αἵματι πολὺ συνεκκρίνεται καὶ ζωτικὸν πνεῦμα, τούτου δὲ ἐκκενουμένου τό, τε ὅλον σῶμα καταψύχεται, καὶ πάντα τὰ φυσικὰ ἔργα χείρω γίνεται, διὰ τοῦτο δεῖ πρότερον ἀνακτᾶσθαι τὴν δύναμιν, καὶ οὕτω διδόναι τὸ καθάρσιον.

Ἀπ' ἀγκῶνος μὲν, ἐὰν ἔτι ἐπιῤῥευματίζηται ὁ νεφρὸς χρὴ ἀφαιρεῖν τὸ αἷμα. ἀπὸ τῆς ἰγνύος δὲ, ἐὰν στῇ τὸ ἐπιῤῥέον. Τήν τε φλέβα τὴν ὑποκάτω τοῦ γόνατος, αὕτη γὰρ ἰσοδυναμεῖ τῇ καθόλου φλεβί, εἰδ' ἀπορήσαις αὐτῆς, ἀποχίδας αὐτῆς χρὴ τέμνειν.

Ἐπειδὴ νεφριτική ἐστιν ἡ διάθεσις καὶ παχεῖα ἡ ὕλη ἡ ποιοῦσα τὸν λίθον, οὐ δυνατὸν ἀντισπᾶν τὴν παχεῖαν ὕλην ἐπὶ τὰ ἄνω, ἀλλὰ πρὸς τὴν φορὰν αὐτῆς σκοπεῖν, καὶ κάτω κενοῦν. ἀλλ' εἰ μὲν ἰσχυρά ἐστιν ἡ δύναμις, τέμνειν τὴν ἐν ἰγνύϊ, ἢ τὴν ἐν σφυρῷ. εἰ δ' ἀσθενής, τὴν ἐν ἀγκῶνι. ἐὰν γὰρ κενώσωμεν ἐπὶ τῆς ἀσθενοῦς δυνάμεως κάτω διὰ τὴν ἀσθένειαν οὐ κατέχει ἡ καθεκτική, ἀλλ' ὅλη φέρεται ἐπὶ τὰ κάτω, καὶ ῥευματίζεται συνεχῶς τὸ μόριον ἐπιτρέχοντος τοῦ χυμοῦ ἐπὶ τὸ ἀσθενές. ὥστε εἰ μὲν ἰσχύει ἡ δύναμις, δεῖ τὴν ἐν ἰγνύϊ. εἰ δ' ἀσθενεῖ, ἀντισπᾶν ἐπὶ τὰ ἄνω. Διατί; ἵνα μὴ χορηγῆται πλείων ὕλη ἐπ' αὐτούς, εἰ γὰρ κενώσεις σιτία, καὶ φλέγμα, καὶ χυμὸν δι' ἐμέτων, ῥᾳστώνη γίνεται. κενοῦται γὰρ τὸ σιτίον καὶ τὸ φλέγμα τὸ βαρῦνον τὴν γαστέρα, καὶ διὰ τὴν γαστέρα θλίβονται οἵ τε νεφροὶ καὶ οἱ οὐρητῆρες καὶ πλεῖον ὀδυνῶνται καὶ τὰ πρῶτα ἀναλυόμενα, ἃ δεχόμενος ὁ στόμαχος ὡς ἀσθενέστερος διετείνετο, καὶ ἐθλίβετο, τούτων κενουμένων, ῥᾳστώνη γίνεται, ἀλλ' οὐ τελεία ἀπαλλαγή, κενοῦμεν καὶ τὴν κόπρον διὰ κλυστῆρος, ἵνα μὴ τοῦ κώλου καὶ τῶν λοιπῶν ἐντέρων θλιβομένων καὶ βαρυνομένων θλίβηται, καὶ πιλοῦται ὁ νεφρὸς, καὶ πλεῖον ὀδυνᾶται. δῆλον δὲ ὅτι ἐπ' ἐμφράξει κόπρου πολλάκις παροξύνεται ὁ νεφρὸς, ἐδήλωσα γὰρ ἔντερα ὀδύνην παραμυθεῖσθαι νεφριτικήν. ἢ ὅτι ἐπὶ τῇ κενώσει, οὐκέτι ἐθλίβη νεφρὸς, ἢ ὅτι οὐ γεννᾶται πνεύματα ἐκ τῆς κόπρου, ἃ ὀφείλοντα τρέχειν ἐπὶ τὸν νεφρὸν, ὡς ἀσθενῆ θλίβουσι καὶ διατείνουσιν αὐτόν. ἀλλὰ μὴ δὲ αἷμα, ἢ ἕτερον χυμὸν πλεῖον τοῦ δέοντος ἐὰν ἐν τῷ σώματι ἐᾶν, ἵνα μὴ τὰ πολλὰ ἀγγεῖα τοῦ νεφροῦ τεινόμενα, ὀδυνήσωσι πλεῖον. τὸ γὰρ ὀδυνώμενον καὶ θερμαινόμενον καὶ τεινόμενον προσκαλεῖται

καλεῖται τὰς ὕλας, διὰ τὰς σφοδρὰς καὶ ὀξείας ὀδύνας. ἀλγηδόνων μὲν ἐξαίφνης εἰς νεφρὸν, ἢ κατ' ὀλίγον, εἰσβαλλουσῶν διὰ τὰς εἰρημένας πρώην αἰτίας, εἰ μηδὲν ἐστὶ τὸ κωλῦον, κλύζειν αὐτίκα τὴν κοιλίαν, δι' ἀφεψήματος, ἰσχάδος, τήλεως, ἀριστολοχίας, καὶ τῶν ὁμοίων. καὶ εἰ μὲν κενωθείη δεόντως, ἔστω οὕτως. εἰ δὲ μὴ, δὶς καὶ τρὶς καὶ πολλάκις χρὴ κενοῦν ἐνέματι, καὶ διὰ τῶν προσφόρων καὶ οἰκείων τῇ τοῦ κάμνοντος φύσει, ἵνα μὴ πιέζωνται οἱ νεφροὶ, καὶ οἱ οὐρητῆρες. μετὰ δὲ τὸ ἱκανὸν ἐκκενῶσαι τὴν κοιλίαν, ἐνιέναι χρή τι τῶν πραΰνειν καὶ εὐρύνειν τοὺς οὐρητῆρας, καὶ τοὺς νεφροὺς, καὶ χαλᾶν τὸν λίθον, καὶ τὰς δήξεις δυναμένων. ἡ δὲ πρόσφορος ὕλη, αὕτη, ἀνηθέλαιον ἐντακὲν αὐτῷ, στέαρ ὄρνιθος, ὡς πρόσφατον, καὶ μάλιστα φασιανοῦ. ἢ βουτύρου νέου, καὶ τῶν ὁμοίων, μὴ παρόντος τούτου, τῆλιν καὶ τῆς ἀλθαίας τὴν ῥίζαν, ἢ τὸ σπέρμα, καὶ τῶν ὁμοίων ἑψήσαντες, μετ' ἐλαίου ἐνιέναι. ταῦτα γὰρ πάντα εὐρύνει τοὺς πόρους, καὶ τοὺς λίθους χαλᾷ, καὶ παραμυθεῖται τὰς σφοδρὰς ὀδύνας. τὴν δὲ χρῆσιν τούτων, μὴ πυκνότερον ἐπιτελεῖν, ἄμεινον, ἐστοχασμένος καὶ τῆς τῶν φυσικῶν δυνάμεων εὐτονίας. ἡ γὰρ ἄμετρος θάλψις καὶ χάλασις, ἐκλυτικὴ τῆς ἰσχύος γίνεται, δι' ἧς παραμυθεῖται πᾶσα ὀδύνη, καὶ θεραπεύεται τελέως. μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰ ἐνέματα, πυριᾶν τὸ πάσχον μόριον διὰ τῶν ὑγραινόντων, καὶ χαλώντων, ἕως ἂν ὁ λίθος ἐν τῷ νεφρῷ πάρεστι. μὴ δὲ τούτοις καταχρῆσθαι, ὡς εἴρηται. καὶ σικύαι δὲ ἐπὶ τῶν τοιούτων χρήσιμοι. μετακινοῦσι πολλάκις οὕτως ἀθρόως τὸν λίθον, ὡς ἀνακοπὴν ἀφνίδιον φέρειν τοῦ λίθου εἰς εὐρύτερον μετενεχθέντος χωρίον. διὸ καὶ τὴν ἀρχὴν ἄνωθεν ἀπὸ νεφρῶν ποιητέον, ἐπί τε βουβῶνα προχωρητέον ἐν λοξῇ τῇ τοῦ κτενὸς θέσει, καθ' ὃν ὑφηγοῦνται τόπον αἱ ἀλγηδόνες ἑκάστοτε. βέλτιον δὲ, προθερμαίνειν τὰ μέρη τοῖς εἰρημένοις. εἶθ' οὕτως ποιεῖσθαι τὴν τῶν σικύων θέσιν. ἐπεὶ ἐνίοτε μέγας εὑρεθεὶς ὁ λίθος σφηνοῦται σφοδρῶς. ἑλκόμενος δὲ βίᾳ καὶ κίνδυνον ἔσθ' ὅτε ἐξ ἀλγηδόνων προσφέρει. εἶθ' οὕτως πυριᾶν ἐν τοῖς ὀνομαζομένοις ἐγκαθίσμασιν, εἰ μέχρι τῶν αἰδοίων ἡ συμπάθεια προέρχεται, διὰ τήλεως, ἀλθαίας, λινοσπέρμου, ἀνήθου, κόμεως, καὶ τῶν ὁμοίων, ὕδατι καλῶς ἑψημένων, καὶ ἐλαίῳ τῷ γλυκεῖ ἐπιχεομένων. καταπλάττειν δὲ δι' ἀλεύρου πυρίνου, ἢ κριθίνου μετὰ λινοσπέρμου καὶ τήλεως, καὶ μέλιτος, καὶ ἐλαίου ἀνηθίνου, ἢ γλευκίνου. ἕψειν δὲ ταῦτα μετὰ ἑψήματος, ἐπιπάσσοντες ἐν τῇ ἑψήσει τοῦ καταπλάσματος, καὶ ἀλθαίας ῥίζαν, καλῶς κεκομμένην, καὶ σεσησμένην καλῶς. ἐπὶ τέλει δὲ τῆς ἑψήσεως καὶ τερέβινθον ἐμβαλεῖν, καί τινα τῶν ἀφύσων σπερμάτων, ἐὰν ἐμπνευματῶσις ἐστὶν, οἷον ἀνήθου, καὶ σελίνου σπέρματα. μάλαθρον, λυβιστικὸν, καί τινα τούτοις ὅμοια πρὸς τὴν κρᾶσιν τοῦ νοσοῦντος. κάλλιστον δὲ γίνεται κατάπλασμα καὶ ἐξ ἀλεύρων θερμίνων ἑψημένων μετὰ γλυκέος. μετὰ δὲ τὴν ἕψησιν μιγνύειν πευκεδάνου ῥίζαν λειοτάτην, καὶ χαμαίμηλον. ἀγαθὸν δὲ καὶ ἄρτον ἕψειν μετὰ γλυκέος, καὶ ἐπικαταπλάττειν ὀσφὺν καὶ κτένας. οὐ μὴν οὐδὲ κύστιν καὶ ἦτρον καταπλάσσειν ἀσύνθετον. πυκνὰ δὲ ἄλλα καὶ ἄλλα ἐπιφέρειν πρὶν ψυχρὸν γενέσθαι τὸ πρῶτον. εἰ δὲ μὴ, θερμάσματι ἔξωθεν ἑτέρῳ σκέπειν, ὡς μὴ καταψύχεσθαι. τοῦτο δὲ γενήσεται ἐπιτιθεμένων ἐν τῷ καταπλάσματι πυριῶν, ἢ θερμοῦ ὕδατος ἐν ὀστρακίνῳ ἀγγείῳ, ἢ χαλκῷ. μετὰ δὲ τὴν κένωσιν τῆς γαστρὸς τὴν ἄνω καὶ κάτω, ὡς εἴρηται, τὴν φλεβοτομίαν, τὴν κάθαρσιν, τὰς πυρίας, τὰ ἐγκαθίσματα. εἰ δὲ ἔτι μένουσιν αἱ ὀδύναι, χρῆσθαι λουτροῖς τῶν γλυκέων ὑδάτων. τινὲς γὰρ καὶ πρὸ τῆς φλεβοτομίας, καὶ τῆς λοιπῆς ἐπιμελείας παραλαμβάνουσι τὰ βαλανεῖα, διὰ τὴν τῆς ὀδύνης σφοδρότητα. ἕτεροι δὲ, ἐὰν οὐδὲν ἐστὶ τὸ κατεπεῖγον μετὰ τὴν φλεβοτομίαν, καὶ τὴν λοιπὴν ἐπιμέλειαν. βαλανεῖα μὲν ὑγραίνει καὶ θερμαίνει αὐτίκα. τὸ γὰρ θερμὸν ὕδωρ ῥᾳστώνην φέρει σὺν τῇ θερμασίᾳ. εἰ δέ τις ἐπὶ πλέον εἰς αὐτὰ παραβάλλοι δελεαζόμενος τῆς ἐν αὐτοῖς αὐτοῖς ἀνωδυνίας ἐκλύει τὰς δυνάμεις τοῦ σώματος. αἷς διωθοῦνται πάντα τὰ λυπηρὰ αἴτια. καθ' ὃν οὖν χρόνον ἀνωδυνία γίνηται, ἀφαιρεῖν μὲν, τῶν βαλανείων, πυριᾶν δὲ, τὰ μέρη, τοῖς προσφόροις τῇ τοῦ κάμνοντος φύσει φαρμάκοις. εἰ δὲ δι' ὑπερβολὴν πόνων κινδυνεύει ὁ ἄνθρωπος, ἄμεινον τοῖς ναρκωτικοῖς χρῆσθαι, ἄλλως γὰρ οὐκ ἂν χρήσαιο αὐτοῖς. ταῦτα γὰρ οὐ λυτικὰ τῶν ὀδυνῶν, ἀλλὰ διὰ τὴν οἰκείαν κρᾶσιν, ἀναισθησίαν καὶ ἀπάτην ἐμποιοῦσιν, ἥτις μετὰ ταῦτα, πολλῆς ἐπιμελείας δεῖται. εἰ δὲ καὶ πνεῦμά τι παχὺ ὑπονοήσομεν ἐνοχλοῦν ἅμα τῷ λίθῳ, προσεπιπλέκειν ταῖς προειρημέναις πυρίαις καὶ καταπλάσμασιν, ὅσα τε ἀφύσου δυνάμεώς ἐστιν. οἷον τὸ πήγανον, ἄνηθον, μελάνθιον, καὶ τὰ ὅμοια, λελειωμένα μετὰ τὴν τελείαν ἕψησιν, καὶ δίχα λειώσεως ἐναφεψεῖν τῷ ὕδατι ἔν τε ταῖς πυρίαις καὶ τοῖς ἐνέμασιν. εἰ δὲ ἐστηριγμένοι εἶεν ἔτι καὶ μετὰ ταῦτα πάντες οἱ λίθοι, φυλάττειν δεῖ τὰ πλείονα, καὶ ἀνεπιτήδεια τῇ τοῦ κάμνοντος φύσει βρώματά τε καὶ πόματα ἵνα μὴ ἡ γαστὴρ διὰ τούτων πληρωθῇ καὶ βαρυνθῇ καὶ ἐμπνευματωθῇ, ὑπὸ τροφῶν, ἢ χυμῶν, ἢ πνευμάτων καὶ τῇ πληρώσει θλίψῃ τούτους, καὶ σφοδρότητα ἐργάσηται. ἔστωσαν δ' ἅπαντα μέτρια καὶ κατάλληλα κατά τε ποιότητα, καὶ ποσότητα τῇ τοῦ κάμνοντος φύσει. θερμοτέρας δὲ οὔσης τῆς τοῦ κάμνοντος φύσεως, καὶ δίψους σφοδροῦ, προκεκενωμένου τοῦ παντὸς σώματος, καὶ ἀπειράστου γινομένου εἴ γε ἔθος ἔχει ψυχροποτεῖν, σπλάγχνων μηδενὸς φλεγμαίνοντος, ἢ ἀσθενῶν ὄντων, δεδώκαμεν πολλάκις ὕδωρ ψυχρὸν ἀθρόως τῷ κάμνοντι, μηδενὸς κωλύοντος, καὶ παραχρῆμα ῥωσθέντων τῶν νεφρῶν, ἐξώθησαν τὸν ἐσφηνωμένον λίθον. ἐπὶ δὲ τῶν πληθωρικῶν καὶ περιττωματικῶν σωμάτων, καὶ ἐφ' ἧς σπλάγχνων ἀσθενὲς ὑπόκειται, καὶ τὰ λοιπὰ σύστοιχα, † κωλύουσι παραφυλάττεσθαι τὴν τοῦ ψυχροῦ πόσιν. εἰ δὲ μετὰ ταῦτα πάντα τὰ προειρημένα ἔτι ἐστηριγμένος ὁ λίθος ἐστὶ, τοῖς θρυπτικοῖς χρῆσθαι, καὶ τοῖς χλιαρὰν ἔχουσι τὴν ἰσχύν. τὰ γὰρ θερμὰ καὶ διουρητικὰ ἀγριαίνουσι τὸν λίθον. τὰ δὲ χλιαρᾶς ὄντα δυνάμεως κατὰ μέρος θρύπτουσι, καὶ οὐκ ἀγριαίνουσιν. εἰσὶ δὲ ταῦτα δαμασώνιον πετροσέλινον, πολύτριχον, καὶ τὰ ὅμοια κατὰ δύναμιν τούτοις. καὶ ἴσως τις ἀπορήσειεν πῶς, εἰ χλιαρᾶς εἰσι δυνάμεως, ἰσχύουσι θρύψαι τὸν λίθον. πρὸς ὃν εἴπωμεν. ἐπειδὴ ὁ λίθος ἀπὸ δυσκρασίας καὶ ἄγαν θερμότητος ἀγριαίνεται, εἰκότως παρέχομεν τὰ χλιαρᾶς ὄντα δυνάμεως, ὡς ἐναντία τῇ δυσκρασίᾳ τῇ ποιούσῃ τὸν λίθον, ἵνα τῷ πολλῷ χρόνῳ λεπτύνωμεν, καὶ θρύψωμεν, καὶ προεκκενώμεθα αὐτοῦ. τὰ γὰρ χλιαρὰ, ὡς ἧττον θερμὰ, ἐναντία ἐστὶ τοῖς ἄγαν θερμοῖς. τοῖς γὰρ διουρητικοῖς καὶ ἄγαν θερμοῖς, οὐ δυνη-

† ἄλ. κελεύουσι

σῃ χρήσασθαι, ἐπὶ πλέον γὰρ ἀγριαιώσῃς τὴν παχεῖαν ὕλην, καὶ ταχέως ποιήσῃς αὐτούς. εἰ δὲ μήπω συνέστη ὁ λίθος, καὶ μέγας ἐγένετο, ἀλλὰ μόνον ἔμφραξις παρὰ τῶν ψαμμίων καὶ παχέων καὶ γλίσχρων χυμῶν, τό τε δώσεις τὰ θερμὰ καὶ ἐκφρακτικά, οὔτε δεδιέναι χρὴ ἵνα μὴ ἀγριαιώσῃς αὐτούς. ψαμμία γὰρ εἰσὶ καὶ ἔμφραξιν ἐποίησαν, καὶ ἐὰν δώσεις ἐκφρακτικὰ καὶ θερμά, οἷον τὰ διὰ ἀνίσου, διὰ πεπέρεως. σελίνου, φοῦ, καὶ τῶν παραπλησίων, κινοῖς καὶ ἐκφράξεις αὐτά.

Πρὸς τοῖς ἄλλοις ἤδη καὶ περὶ προφυλακῆς βραχέα διαλαβεῖν, ἵνα μὴ πρὸς τοὺς δυνατῶς ἔχοντας θεραπευθῆναι πάλιν γένεσις τῶν λίθων γένηται. ἐπεὶ δὲ τῶν λιθιώντων, οἱ μὲν ἐθεραπεύοντο, οἱ δὲ οὔ. μέγιστόν ἐστιν ἐν τῇ προφυλακῇ, μετριότης σιτίων καὶ πέψεις χρησταί. αἱ γὰρ πλησμοναὶ καὶ ἀπεψίαι, οὐ μόνον παροξύνουσι τὴν νόσον, ἀλλὰ καὶ τὴν μὴ οὖσαν γεννῶσι. διὸ μὴ δὲ πυρῶδες προσφερέσθωσαν, ὃ μέλλει τοὺς νεφροὺς ἢ τὴν κύστιν θερμαίνειν. φυλάττεσθαι δὲ προσήκει, τά τε σκληρὰ ταῖς οὐσίαις καὶ δυσδιαίρετα τῶν βρωμάτων, τά τε πολυούσια, καὶ πολύτροφα, καὶ τὰ ἀθρόως ἀναδιδόμενα, πρὸ τῆς τελείας πέψεως. τά τε ἐπιπολάζοντα. καὶ δυσκόλως ὑποχωροῦντα καὶ ἐμπνευματοῦντα καὶ παρεμπλαστικά, ἢ ἄλλως ἐγκαθίζοντα τοῖς σώμασιν ἐπιμόνως. πονέσασα γὰρ ἡ γαστὴρ ὑπὸ τῶν τοιούτων σιτίων, μεταδίδωσιν αὐτὰ ἄπεπτα ἥπατι καὶ νεφροῖς. καὶ τὸ ἀθρόως δὲ ἄπεπτον ἀπενεχθέν, ἀφυῶς ἐξυλίζεται, καὶ σὺν θορύβῳ διεξελθὸν ἅπαξ καὶ δὶς εἰς τοὺς νεφροὺς λίθους ὑφίσταται, διὰ τὴν τοῦ νεφροῦ χρονίαν μάστιξιν. οἶνος δὲ ἔστω πάνυ λεπτός, καὶ λευκὸς καὶ μὴ πάνυ παλαιός. οἱ δὲ γλυκεῖς τῶν οἴνων καὶ οἱ μέλανες, ἄθετοι τοῖς λιθιῶσι, χρὴ δὲ καὶ τὸ ὕδωρ παρὰ πᾶσαν τὴν δίαιταν καθαρώτατον εἶναι καὶ διυλισμένον. τὰ γὰρ ποταμιαῖα, καὶ λιμναῖα, καὶ πάντα τὰ στάσιμα, καὶ βραδύπορα, οὐ κενοῦντα, τοὺς λίθους ποιήσειαν ἄν. συντόμως δὲ εἰπεῖν, πᾶσα ἡ δίαιτα, ἐπὶ μὲν τῶν ψυχροτέρων τὴν κρᾶσιν καὶ πολυσάρκων, ἀκριβῶς λεπτύνουσα ἔστω. ἐπὶ δὲ τῶν θερμοτέρων, καὶ κατισχνῶν ἡ μέση τῶν λεπτυνόντων καὶ παχυνόντων. τὸ δὲ κατακορὲς τῶν ἄλλων ἁπάντων φυλάττεσθαι χρή, καὶ μάλιστα τῶν γλυκέων, καὶ τυρωδῶν τροφῶν, καὶ παχέων, καὶ γλίσχρων, καὶ πιμελωδῶν. ὅθεν καὶ ἀπεψίαν πολεμιωτάτην νομιστέον εἶναι, καὶ εἴποτε περιπέσῃ ἐν τῷ ὕπνῳ μενέτωσαν, ἢ ἡσυχίᾳ παντελῶς, καὶ θάλψει τῶν ὑποχονδρίων διὰ τῶν οἰκείων χειρῶν, ἕως οὗ πάντα καλῶς πεφθῶσι, καὶ κάτω ὑπέλθωσιν. ἐν εὐκράτοις δὲ τόποις καὶ ἀέρι καθαρῷ αἱ διατριβαὶ ἔστωσαν. ἐν οἷς αἱ ὧραι ἄθραυστοι. παραλαμβανέσθωσαν δὲ καὶ σχολαί. περίπατοι καὶ γυμνάσια πρὸς τὴν τοῦ κάμνοντος φύσιν ἔστωσαν σύμμετρα. ἡ γὰρ ἀργία βλαβερά. τὴν δὲ γαστέρα εὔλυτον ἔχειν ἀεί, εἰ μὴ ἕτερόν τι προϊστάμενον ᾖ. ταύτης γὰρ καλῶς ὑπιούσης, ἀκωλύτως οὐρήσεις γίνονται. ἀλείμμασι δὲ χρῆσθαι ἐὰν δέῃ, καὶ ὅτε δεῖ, τοῖς εὐπάθειαν τοῖς τόποις περιποιεῖν δυναμένοις, ὥς εἰσι τὰ φοινίσσοντα καὶ δρώπακες. καὶ σιναπισμοί. καὶ ἡ τῶν αὐτοφυῶν δὲ ὑδάτων χρῆσις, ὠφέλιμος. ἐὰν μηδὲν ᾖ τὸ κωλῦον πεφροντισμένως δὲ ἔχειν τοῦ κατὰ καιρὸν ἐπιτηδείως φλεβοτομεῖν, εἰ δοκεῖ πλεονάζειν αἷμα. πλεονάσαν γάρ, εἰ μὴ κενώσειας, πάντως συρρεύσει εἰς τὸ ἀσθενέστερον. ἐπιτήδειον δὲ καθαρσίαις τοῖς κακοχύμοις χρῆσθαι. ἐπὶ δὲ τῶν ποσῶς ἀτακτούντων, καὶ χυμὸν ἄπεπτον ἐν τῇ ἄνω γαστρὶ ἀθροιζόντων πολύν, συνεχῶς ἀπὸ δείπνου ἐμέτωσαν, εἰ μηδέν ἐστιν αὐτοῖς τι προϊστάμενον. μετὰ δὲ τὴν τοῦ ὅλου σώματος πρόνοιαν, δεῖ τοπικῶς καθαίροντα φάρμακα προσφέρειν οἷον τὰ ἐκφρακτικά, καὶ οὖρα παχύτατα, καὶ γλίσχρα, καὶ δυσώδη, καὶ πολλὰ ἀπό τε φλεβῶν, νεφρῶν, οὐρητήρων, καὶ κύστεως ἄγοντα, ὡς σκολύμου ῥίζης ἀφέψημα, καὶ τὰ προειρημένα. πολλάκις δὲ καὶ διουρητικὰ χρήσιμα. ταῦτα μὲν οὖν κοινῶς εἰς ὑπόμνησιν, πᾶσιν ἀνθρώποις, καὶ οὐ εἰς τελείαν διδασκαλίαν ἐκτέθειται. σοὶ δὲ καὶ τούτου ἕνεκα χάρις, ἐπεὶ καὶ τὸ πᾶν διὰ σέ.

Ἐπεὶ δὲ οὐκ ἀρκούμεθα ἐκ μόνης τῆς διαθέσεως τελείαν ἀπαλλαγὴν καὶ ἀκριβῆ καταλαβέσθαι, ἀλλὰ καὶ τῶν συστοίχων ἔτι δεόμεθα, χρὴ καὶ τούτων ἔτι μνημονεῦσαι. ἐξαλλάττεται γὰρ ἡ θεραπεία κατὰ τὰς διαφόρους αἰτίας, ἡλικίας, χώρας, ὥρας, ἕξεις τε καὶ διαθέσεις, ἤθη, ἔθη, κράσεις, εὐαισθησίας, δυσαισθησίας, μορίων ἐναλλαγάς, θέσεις, καὶ ἕτερά τινα. ὥστε χρὴ τὸν ἄριστον ἰατρὸν ἀκριβῶς εἰδέναι τὸ κατὰ φύσιν. ὃς γὰρ ἀκριβῶς οἶδε τὸ κατὰ φύσιν, ταχέως εἴσεται καὶ τὸ παρὰ φύσιν. ἐπεὶ οὐ μόνον τὰ προειρημένα αἴτια ἐξαλλάττουσι τὴν θεραπείαν, ἀλλὰ καὶ αἱ ἰδιότροποι φύσεις, ἐφ᾽ ὧν οὐχ ἁρμόζει τὰ ἐπὶ πλεῖστον δοκιμασθέντα φάρμακα, πολλάκις γὰρ ἀποτυγχάνουσι. τούτου ἕνεκα παρατηρεῖν χρή, κἂν μὴ ὑπακούοι τῆς θεραπείας, διὰ τὴν ἰδιότητα τῆς φύσεως, ἢ τὴν τοῦ πάθους κατασκευήν, ἤ τι ἄλλο τούτων ἀφιέμενοι, μεταβαίνειν ἀναγκαῖον ἐπὶ τὰ πάντως ὠφέλημα. τοῦτο δὲ μηδὲ μόνον ἐπὶ φαρμάκων, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων βοηθημάτων τε καὶ διαιτημάτων ποιητέον. τῶν δὲ προρρηθέντων ἰδιοτήτων τε καὶ ἑτέρων τινῶν ἀρρήτων οὐ πάντες οἱ τὴν τέχνην κατερχόμενοι, εἰ καὶ ἴσως ἐλλογιμώτεροι τῶν ἄλλων, ἀλλ᾽ οἱ ἀεὶ προσκαθήμενοι καὶ τὰ κινήματα τῆς φύσεως ἀνιχνεύοντες. εἰ δὲ καὶ τὰ ἀπὸ τοῦ τεχνικοῦ στοχασμοῦ ἀποτυγχάνουσι φάρμακα δι᾽ ἄρρητόν τι καὶ ἴδιον, δεῖ διὰ τὴν τοῦ κατεπείγοντος σφοδρότητα ἐπὶ τὰ τῶν παλαιῶν ἄρρητα, καὶ καθ᾽ ὅλην τὴν οὐσίαν ἐνεργοῦντα χωρεῖν, ἃ ἐκ πείρας καὶ ἀλόγου τριβῆς εὑρημένα εἰσίν, ὡς τρωγλοδύτου καὶ λαγωοῦ δέρμα κεκαυμένον, καὶ αἷμα τράγειον, ἢ ἕτερα ἄπειρα ἁπλᾶ τε καὶ σύνθετα. ὧν καὶ τὰ πλείω βδελυρά, ἃ ἡ ἄλογος τριβὴ ἐφεῦρεν, ἢ ἐκ φύσεως, ἢ ἐκ τύχης. ἢ αὐτοσχεδίου. ἢ ἐκ τοῦ μιμητικοῦ. ἢ ἐξ ὀνειράτων, ὡς ὁ τρογλωδύτης. ἢ ἐκ χρησμῶν. ἢ ἐκ μαθήσεως. ἢ ἐξ ἑτέρων τινῶν, ἐξ ὧν συνέστηκεν ἡ ἐμπειρική. ἐπεὶ δὲ ἄρρητα πάντα ταῦτα καθ᾽ ἡμᾶς, οὐ δεῖ ἐπὶ τούτοις μέγα θαρρεῖν, διὰ τὸ ἀγνοεῖν τὸν τρόπον τῆς αὐτῶν ὠφελείας. εἰ δέ ποτε προσφέρομεν διά τινα βίαν, οὐ δεῖ καταχρῆσθαι τούτοις, ἵνα μὴ ὡς ἀρρήτως ἡμᾶς ὠφελοῦντα, καὶ ἀρρήτως βλάψωσι. δεῖ δὲ τὸν μέλλοντα κατὰ λόγον πράττειν ἰατρὸν κατὰ τὰς δραστικὰς ποιότητας δυνάμεις τε καὶ ἐνεργείας σεμνύνεσθαι καὶ θαρρεῖν, ὡς εἰδότα διὰ τῆς μεθόδου τὴν δύναμιν θερμοῦ, τε καὶ ψυχροῦ, ξηροῦ τε καὶ ὑγροῦ τῶν τε στρυφνῶν, αὐστηρῶν, ὀξέων, γλυκέων, ἁλυκῶν, πικρῶν, δριμέων, ἀποίων, παχυμερῶν τε καὶ λεπτομερῶν, τήν τε ἐνέργειαν τῶν ἐκφρακτικῶν, ἐπισπαστικῶν, ἐμπλαστικῶν, καὶ τῶν λοιπῶν κατὰ μέρος. ἐπεὶ δὲ ὡς ἐπὶ τὸ πολὺ ῥυτὴ ἡ τῶν θεραπευόντων τοὺς

των τοὺς λίθους ὕλη, μᾶλλον τούτοις δεῖσθαί γε δέον, ἢ τοῖς ἀῤῥήτοις. οἷον δαμασωνίῳ, πετροσελίνῳ, πολυτρίχῳ, καὶ τοῖς ὁμοίοις κατὰ δύναμιν τούτοις. ἀλλὰ καὶ τὰ χλιαρὰν ἔχοντα δύναμιν, οὐκ ἄθετα εἶδος. καὶ ταῦτα δὲ διὰ τὸ, ὡς ἐπὶ τὸ πολὺ ἀποτυγχάνειν, δεῖ καὶ ἡμᾶς τοὺς χριστιανοὺς ἐπὶ τὰ καθ᾽ ἡμᾶς μέγιστα καὶ κυρίως μυστηρια εἰώθει χωρεῖν. τούτοις γὰρ ἐγὼ πιστεύω καὶ ὁμολογῶ μὴ μόνον τὰ σωματικὰ πάθη καὶ ἀπηγορευμένα παρὰ πάντων τῶν ἰατρῶν φυγαδεύεσθαι, ἀλλὰ καὶ ψυχικὰ τελέως ἀφανίζεσθαι. λοιπὸν τὸν λόγον ὡς τὴν ὑπόθεσιν ἰδικῶς πρὸς σὲ τρέπομεν. πολλῶν ὄντων τῶν τῆς ὑγείας περιποιητικῶν, ἀπὸ τροφῆς ἀναγκαίας ἀρκτέον. τοῖς μὲν γὰρ ἄλλοις βοηθήμασιν, οὐκ ἐν παντὶ καιρῷ χρώμεθα, τροφῆς δὲ χωρὶς, οὐχ οἷόν τε ζῆν, οὔτε ὑγιαίνοντας, οὔτε νοσοῦντας. ἐπεὶ δὲ μία ἐστὶν ἀσφαλεστέρα ἡ ἐπίτομωτάτη ὁδὸς, εἰς ἀπαλλαγὴν τοῦ πάθους ἡ δίαιτα. ἡ δὲ τῶν ἄλλων φαρμάκων κατάχρησις καὶ ἐπαλληλία πολλοῖς πολλάκις οἶδα ἐπιτρίβεσθαι νόσοις. τοίνυν ἐπειδὴ θερμοτέρας καὶ ὑγροτέρας κράσεως μετείληφας, ἥλικε τῆς ἐμῆς ψυχῆς, καὶ ἡλικίας παιδικῆς, καὶ δυνάμεως ἀσθενοῦς, καὶ ἕξεως ἰσχνῆς, καὶ χέσεως ἀραιᾶς, καὶ πρὸς τούτοις εὐαισθησίας, δεῖσε διὰ μὲν τὴν κρᾶσιν καὶ τὴν ἡλικίαν τὴν ἕξιν τε καὶ χέσιν, λαμβάνειν τὰ ὅμοια κατὰ ποιότητα ἐν τροφαῖς καὶ πόμασι καὶ ὅσα πέψαι δύνῃ. διὰ δὲ τὴν ἀσθένειαν τῆς δυνάμεως, ὀλίγα καὶ πολλάκις. ὀλίγα μὲν, διὰ τὴν ἀσθένειαν. πρὸς γὰρ τὴν ἐργάτιν δεῖ εἶναι καὶ τὸ φορτίον. πολλάκις δὲ διὰ τὴν κατεπείγουσαν χρείαν. τοὺς γὰρ γυμναστὰς καὶ ὁδοιπόρους πολεμιστάς τε καὶ πάντας τοὺς τὰ σφοδρὰ γυμνάσια μελλόντας καὶ ἀμέμπτως ὑγιαίνοντας οὐκ ἐγχωρεῖ διακεῖνδε, ἃ δεῖ προσφέρεσθαί τε καὶ σιτία καὶ ποτὰ, χρῆσθαι γὰρ ἀναγκαῖον αὐτοῖς οἷς ἂν εὐπορήσωσιν. οὐ μόνον δὲ τούτοις δεῖ οὕτως διαιτᾶσθαι, ἀλλὰ καὶ τοὺς ἐν ἀσχολίαις πολιτικαῖς ὄντας, ἢ τῷ καλουμένῳ περιστατικῷ βίῳ. ἐπεὶ δὲ σύμμετρον ἰδιοπραγεῖ, τοῦ μὲν χειμῶνος ἐσθίειν ὡς πλεῖστα. πλεῖστα δὲ λέγω, οὐ πρὸς τὴν δύναμιν σου. ἀλλὰ πρὸς τὰς λοιπὰς ὥρας. διὰ τοῦτο καὶ Ἱπποκράτης ὁ τῆς ἡμετέρας τέχνης καθηγητὴς φησί. θέρους καὶ φθινοπώρου σιτία, δυσφορώτατα φέρουσι. χειμῶνος ῥήϊστα. ἦρος δεύτερον. ὁ αὐτὸς πάλιν ἐν ἑτέρῳ λέγει. αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμότεραι φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύταις οὖν ταῖς ὥραις καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολὺ, τροφῆς οὖν πλείονος δέονται. σημεῖον αἱ ἡλικίαι καὶ οἱ ἀθληταί. πίνειν δὲ καὶ ἐλάχιστα πρὸς τὰς λοιπὰς ὥρας. εἶναι δὲ τὸ πόμα, οἶνον λευκὸν καὶ λεπτὸν, καὶ μὴ ἄγαν παλαιόν. τὰ δὲ ὄψα ἐν ταύτῃ τῇ ὥρᾳ, ὡς ἐπὶ τὸ πλεῖστον ὀπτά. τῶν δὲ λαχάνων καὶ τῶν ὀσπρίων ὀλίγον χρῆσθαι. ταῦτα δὲ τὰ ὡς ἐπὶ τὸ πλεῖστον θερμὰ καὶ ξηρὰ, οὐ διὰ τὴν κρᾶσιν καὶ τὴν ἡλικίαν δεῖ σε λαμβάνειν, ἀλλὰ διὰ τὴν ἀμετρίαν τῆς κατὰ τὴν ὥραν κράσεως. ὅταν δὲ τὸ ἔαρ ἐπιλαμβάνῃ, χρὴ τὸ πόμα πλέον καὶ ὑδαρέστερον κατ᾽ ὀλίγον προσίεσθαι, καὶ τὰ σιτία μαλακώτερα καὶ ὀλιγώτερα εἶναι. καὶ τὰ ὄψα ἐκ τῶν ὀπτῶν ἑφθὰ ποιεῖσθαι. καὶ λάχανα κατάλληλα. ἐπὶ δὲ τὴν τούτων μετάληψιν, οὐκ ἀθρόως, ἀλλὰ κατὰ μέρος δεῖσε προσέρχεσθαι, ἵνα μὴ ἐκ τῆς ἀθρόας μεταβολῆς βλαβῇς, ὡς Ἱπποκράτης φησί. τὸ κατὰ πολλὰ καὶ ἐξ ἀτόνου κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁπωσοῦν τὸ σῶμα κινεῖν, σφαλερόν. καὶ πάντη περιττὸν τῇ φύσει πολέμιον. τὸ δὲ κατ᾽ ὀλίγον, ἀσφαλές. καὶ ἄλλως τὸ ἐξ ἑτέρου μεταβαίνειν ἐφ᾽ ἕτερον. πλεῖον λέγω καὶ ὑδαρέστερον τὸ πόμα εἶναι, οὐ πλεῖστον δὲ, οὐ δὲ ὑδαρέστατον. τὸ γὰρ πλεῖστον καὶ ὑδαρέστατον, περὶ θέρει κελεύω πίνειν γε, ὡς ἐναντίον τούτου. τὸ γὰρ ἔαρ ὥσπερ ἐν περὶ μεταξὺ τῶν ἄκρων ἔχει, οὕτως καὶ διαίτης μέσης δεῖται. αὕτη γὰρ ἡ δίαιτα πρόσφορός σοι, μὴ μόνον τῇ ὥρᾳ, ἀλλὰ καὶ τῇ κράσει, καὶ τῇ ἡλικίᾳ πρόσεσι, καὶ ἐν περὶ ἔαρι ταύτης ἔχεσθαι δεῖσε. ἐν δὲ τοῖς λοιποῖς καιροῖς ὀλίγον τῶν ἐναντίων οὐ διὰ τὴν ἡλικίαν καὶ κρᾶσιν, ἀλλὰ διὰ τὴν τῶν ὡρῶν δυσκρασίαν. ὥσπερ αἱ διαφοραὶ τῶν ὡρῶν διάφορον ἐνδείκνυνται δίαιταν, οὕτως καὶ αἱ τοῦ σώματος ἕξεις. τοὺς μὲν πολυσάρκους καὶ μαλακοὺς, καὶ ψυχροὺς καὶ ὑγροὺς, ὡς ἐπὶ τὸ πλεῖστον, ξηροτέρας δεῖσθαι τροφῆς. τοὺς δ᾽ ἐναντίον ἔχοντας, τῆς ἐναντίας. ἐπεὶ δὲ σὺ ὡς ἐπὶ τὸ πλεῖστον μέσον καὶ εὔκρατον, εὔκρατον δεῖσε τὸ πλεῖστον τοῦ χρόνου διαιτᾶσθαι δίαιταν. τὰ γὰρ κατὰ φύσιν, ὡς ἐπὶ τὸ πλεῖστον, τῶν ὁμοίων δεῖται. τὰ δὲ παρὰ φύσιν, τῶν ἐναντίων. ἡ γὰρ τῶν παίδων κρᾶσις θερμὴ ἐστὶ καὶ ὑγρὰ καὶ δυναμένης τῆς αὐξήσεως καὶ διαπλάσεως ἐν ἑτέρᾳ κράσει γίνεσθαι, ἢ ἐν τῇ παιδικῇ, διὰ τοῦτο οὖν χρὴ λαμβάνειν σε ὁμοίας τροφὰς καὶ πολλὰς, ἵν᾽ ἐθίσῃς πολλὰ καὶ παντοδαπὰ πέττειν. οὕτω γὰρ εὐρυχωρον τὴν γαστέρα καὶ τὸ ἧπαρ ἀπεργάσεται ἡ φύσις, καὶ πάντα τὰ μόρια. εἰ καὶ πλεῖον πρὸς ὑγιεινὴν ἕξεις ποτὲ τὸ ὑγρὸν, ὅμως οὐ χρή σε ξηραίνεσθαι, καθάπερ ἐπὶ τῶν ἄλλων. ἡ γὰρ ξηρότης, ἐναντιοῦται τῇ αὐξήσει, τούτου χάριν τὰ ξηραίνοντα καὶ θερμαίνοντα καὶ λεπτύνοντα φευκτέον ἐπὶ σέ. ὥς τε ἀβλαβῶς φέρῃ ἡ κατὰ σὲ φύσις ταῦτα. οἱ δὲ γέροντες διὰ μὲν τὰ στερεὰ μόριά εἰσι ψυχροὶ καὶ ξηροί. διὰ δὲ τὰ περιττώματα, ψυχροὶ καὶ ὑγροί. καὶ χρὴ διὰ μὲν ψυχρότητα τῶν στερεῶν, τὰ ἐναντία τῶν ἐναντίων ἔχεσθαι, ἔν τε σιτίοις, καὶ πόμασι, καὶ τοῖς λοιποῖς. κένωσιν δὲ τῶν κατ᾽ ἀλλήλων διὰ τὰ αὐτὰ περιττώματα. ἡ δὲ τροφὴ ἔστω αὐτῶν ὀλίγη ἔστω διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, ὡς Ἱπποκράτης εἶπε. τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. πλείστης οὖν δέονται τροφῆς. ἢν δὲ μὴ τὸ σῶμα ἀναλίσκηται, γέρουσι δὲ ὀλίγον θερμὸν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται. ὁ αὐτὸς πάλιν. γέροντες εὐφορώτατα νηστείην φέρουσι. Διαφέρουσιν οἱ ἄρτοι, τῇ ὕλῃ, τῇ ζυμώσει, καὶ τῇ ὀπτήσει. καὶ ὁ μὲν πρῶτος αὐτῶν, ὀνομάζεται, σιλιγνίτης. ὁ δὲ ἐφεξῆς αὐτῷ σεμιδαλίτης. τρίτος δὲ ὁ αὐτόπυρος, ὃς καὶ συγκομιστός. καὶ τέταρτος, ὁ πιτυρίας. ἐγὼ δὲ καὶ τὰς τούτων βλάβας καὶ ἐνεργείας λέξω. τροφιμώτατος μὲν αὐτῶν ἐστὶ πάντων, ὁ σιλιγνίτης καὶ ἐπιμονώτατος, καὶ δυσαμώτατος. δεύτερος δὲ κατὰ πάντα, ὁ σεμιδαλίτης. ἧττον δὲ τούτων ὁ μέσος καὶ συγκομιστός. πάντων δ᾽ ἀσθενέστερος, ὁ πιτυρίας. σὺ δὲ, †πῶς τε μία μοι κεφαλὴ, ὑγιαίνων μὲν, χρῶ τῷ σιλιγνίτῃ. εἰ δὲ καὶ νεφρίτις γένηταί σοι, ὅπερ ἀπεύχομαι ἐν νόσῳ, ὑπὸ ταύτης κατέχῃ, ἐὰν ὄρεξις νύττησε, ἀβλαβῶς χρῶ τοῖς πιτυρίαις καὶ τοῖς μέσοις αὐτῶν. εἰ μηδέν τι προσιστάμενον εἴη, πρόσφορος οὗτός σοι πλέον. ὀλιγότροφος ὢν καὶ περίττωμα ἐν τῇ γαστρὶ ποιεῖν εἰωθὼς, διὰ τοῦτο καὶ ῥᾳδίως ὑπερχόμενος. τῆς γὰρ ῥυπτικῆς δυνάμεως τὸ πίτυρον μετέχει. καὶ διὰ τοῦτο ταχέως διαχωρεῖ, πρὸς τὴν ἔκκρισιν ἐρεθιζομένων τῶν ἐντέρων, τὴν γαστέρα γὰρ εὔλυτον ἔχειν ἀεὶ καλόν. ταύτης γὰρ καλῶς ὑπεισούσης,

† αἱ ὧ ζ μία μοι

καθαρώτεραι αἱ οὐρήσεις γένοιντο ἄν. οἱ δὲ ἄρτοι ὅτε σιλιγνίτης καὶ ὁ σεμιδαλίτης, τοὐναντίον ἐφεκτικοί, δυσέκκριτοι, καὶ ἐμφρακτικοί, ἥπατός τε καὶ νεφρῶν, εἰ καὶ πολύτροφοι, καὶ δυναμικώτεροι. ἀπὸ δὲ τῶν πτηνῶν, τὰ μέσα τῶν λεπτυνόντων καὶ παχυνόντων. εἰσὶ δὲ ταῦτα, πέρδικες, ἀτταγῆνες, ἀλεκτρυόνες, ἀλεκτορίδες περιστεραί, καὶ τῶν φασιανῶν ζώων πλῆθος, καὶ τῶν στρουθῶν, καὶ μᾶλλον τῶν ἄλλων, οἱ πυργῖται καλούμενοι. φυσικὴν γὰρ ἐνέργειαν κέκτηνται. ἀπὸ δὲ τῶν πεζῶν, τὸ χοίρειον κρέας εὐχυμώτατον, καὶ πάντων μάλιστα ἀνθρώποις οἰκειότατον καὶ τροφιμώτατον, διὰ τοῦτο καὶ δυναμικώτατον. γλίσχρον δέ τι καὶ παχὺ ἔχει πλεονάζον γοῦν ἐν ταῖς ἐδωδαῖς αὐτοῦ, ἐμφρακτικὸν ἥπατός τε καὶ νεφρῶν, καὶ χρὴ ἐκ μακρῶν διαλειμμάτων τούτου ἀπέχεσθαι. τῶν δὲ μικρῶν χοιρείων κρεῶν ἐὰν ὀλίγω καὶ συχνῶς, οὐδὲν βλαβήσει. φευκτέον δὲ καὶ τὸ τῆς ἐλάφου, ὡς σκληρὸν καὶ δύσπεπτον καὶ μελαγχολικόν. καὶ τὸ τῶν προβάτων, ἐκ διαλειμμάτων, ὡς περιττωματικώτερον καὶ κακόχυμον. τὸ δ' ἀρνῶν καὶ ἐρίφων, ὁσάκις ἂν βουληθείης. ἀπὸ δὲ τῶν ἐνύδρων ζώων, οἱ πετραῖοι καλούμενοι ἰχθύες λυσιτελεῖς σοι γίνονται προσφερόμενοι αὐτοί. εἰσὶ δὲ ταῦτα κωβιοί, τρίγλαι, σελάχια, καὶ τὰ λοιπὰ εὔχυμα καί τινα τῶν πελαγίων. καὶ τὰ μαλακόστρακα ἀστακοί, πάγουροι, καρκίνοι, κάραβοι, καραβίδες, καί τινα τῶν ὀστρακοδέρμων. περὶ δὲ τῶν ὀπωρῶν, τί χρὴ καὶ λέγειν; οὐδὲ γὰρ ὡς τροφὴ τὰ πλεῖστα μὲν σὰ ἡμῖν αὐτῶν ἐστιν. ἀλλ' ὡς φάρμακα ῥωστικὰ στομάχου τε καὶ γαστρὸς παραλαμβάνεται, καὶ περὶ μὲν βρώσεως, τοσοῦτον. περὶ δὲ πομάτων, νῦν ἤδη λεκτέον. καὶ πρῶτόν γε περὶ οἴνου. τὰ μὲν γὰρ ἄλλα ὑγρά, ἢ οὐδὲν πρὸς ἀνάθρεψιν συντελοῦσιν, ἢ καὶ ἐναντιοῦνται τὰ πλείω. μόνος δὲ ὁ οἶνος δύναται τρέφειν. ἐπειδὴ πάντων ὑγρῶν πλείστην οἰκειότητα ἔχει πρὸς τὰ ἡμέτερα σώματα. ἔχει γάρ τινα καὶ τὸ ἔλαιον καὶ μέλι, ἀλλ' οὐ τοσαύτην, ὅσην ὁ οἶνος. διαφοραῖς δὲ κρίνεται. καὶ πρώτη μὲν αὐτοῦ διαφορά, ἡ κατὰ χρόαν. δευτέρα δὲ ἡ κατὰ τὴν γευστικὴν ποιότητα. τρίτη, ἡ κατὰ τὴν σύστασιν. τετάρτη, ἡ κατὰ τὴν ὀσμήν. πέμπτη, ἡ κατὰ τὴν δύναμιν. ἀλλὰ περὶ τούτων κατὰ μέρος διεξιέναι, περιττόν. ῥητέον τε ἰδικώτερον, ποῖος τῶν οἴνων σοι πρόσφορος. ἄλλος γὰρ ἄλλοις λυσιτελεῖ, καὶ ἑτέρῳ πάλιν οὐχ ὁ αὐτός. σοὶ δὲ φημὶ συμφέρει τὸ λεπτὸν καὶ λευκόν, καὶ ὀλιγοφόρον. ὁ γὰρ τοιοῦτος τῶν οἴνων, εὐανάδοτός τέ ἐστι καὶ λεπτύνει τοὺς ἐν ἡμῖν χυμούς, καὶ δι' οὔρων ἐκκρίνει, καὶ τὴν δύναμιν ῥώννυσιν. ἀσύμφοροι δὲ οἱ λοιποί, ὥσπερ ἤδη ἄλλων ὠφέλιμοι. χρὴ δὲ καὶ περὶ ὕδατος βραχέα προσδιατρίψαι τοῖς λόγοις. κοινὸν γὰρ τοῦτο καὶ ὑγιαίνουσι καὶ νοσοῦσι παραμύθιον, καὶ ἀναγκαῖον ἐστὶ μάλιστα. ἐπειδὴ τῶν κοσμικῶν τε καὶ μοναχῶν στοιχείων ἐξ ὧν ἁπάντων σῶμα τὴν σύστασιν ὅλην ὂν καὶ αὐτό. διὰ τοῦτο οὐ παρέργως ῥηθήσεται ἡμῖν. τρισὶν αἰσθήσεσι κρίνεται τὸ καθαρώτατον ὕδωρ, γεύσει, ὄψει, καὶ ὀσφρήσει, γεύσει, εἰ μηδεμίαν προσλάβοι ποιότητα, ἀλλ' ἀκριβῶς ἄποιον φαίνοιτο. ὄψει εἰ καθαρὸν καὶ εἰλικρινὲς ἢ διαυγὲς ἀκριβῶς. ὀσφρήσει, εἰ μηδὲν αὐτῷ ἔνεστι ὅσα τοῖς μοχθηροῖς ἐνυπάρχει. ταῦτα γὰρ ὀξύτητος, ἢ σηπεδόνος, ἢ δριμύτητος, ἢ ἅλμης, ἤ τινος ἄλλης κακίας μετέχει ἀρρήτου. χρὴ δέ σοι τὸ ὕδωρ παρὰ πᾶσαν τὴν δίαιταν, καθαρώτατον εἶναι, καὶ διυλιστόν, καὶ κοῦφον, καὶ πηγαῖον, τοῦτο δὲ καὶ ψυχρὸν ἐστὶν κατὰ τὴν αὐτοῦ φύσιν εἰ δὲ δὴ καὶ ταχέως ὑποχωροίη τῶν ὑποχονδρίων, μηδὲν ζήτει ἕτερον βέλτιον. καὶ οὐχὶ καθάπερ οἴνων τε καὶ σιτίων καὶ γυμνασίων, καὶ ἐγρηγόρσεως, καὶ ὕπνων ἄλλων ἄλλους ἀπολαύειν προσήκει κατὰ τὰς διαφερούσας ἡλικίας τε καὶ κράσεις, οὕτω καὶ ὕδατος. ἀλλ' ὅπερ ἄριστον εἴρηται νῦν, τοῦτο πειρᾶσθαι χρῆσθαι καὶ παῖδα καὶ νεανίσκον καὶ πρεσβύτην, κἂν ὁποιασοῦν φύσεως ἔτυχον. ἐπεὶ δὲ ψυχρὸν ἕτερον μᾶλλον ἑτέρου εὑρίσκεται, διὰ τοῦτο οὐ πᾶσιν ἀδιαφόρως χρῆσθαι τοῖς ψυχροπόταις λυσιτελές. ἀλλὰ τοῖς μέν, ἀμέτρως θερμοῖς, καὶ πιμελώδεσι, καὶ πολυσάρκοις, ἢ διὰ τὴν φυσικὴν κρᾶσιν, ἢ δι' ἐπίκτητον, καὶ σφοδρῶς γυμναζομένοις, καὶ ἔθος ἔχουσιν, ἀβλαβές, εἰ τοῦ ψυχροῦ πίνοιεν, εἰ δ' ἄλλως ἔχονται, ἧττον ἐμφορεῖν τοῦ ψυχροῦ. οἱ δέ γε νέοι τὴν ἡλικίαν καὶ πράγμασιν ἀσχολούμενοι πολιτικοῖς, ὡς μὴ τεταγμένως γυμνάζεσθαί τε καὶ διαιτᾶσθαι, εἰ τοῦ πηγιαίου λαμβάνοιεν ἀπεχόμενοι χιόνος. αὕτη γὰρ κἂν μηδὲν ἐκ τοῦ παραυτίκα τὰ νέα τῶν σωμάτων φαίνοιτο βλάπτουσα, λεληθότως γοῦν κατὰ βραχὺ τῆς βλάβης αὐξανομένης, ἤδη προήκοντι τοῦ χρόνου παρακμαζούσης τε τῆς ἡλικίας δυσίατα ἢ καὶ παντελῶς ἀνίατα νοσήματα ἐμποιεῖν πέφυκε, κατά τε νεῦρα καὶ ἄρθρα καὶ σπλάγχνα, καὶ πάσχει βλαπτόμενον ἐκεῖνο τὸ μέρος τοῦ σώματος, ὅπερ ἀσθενέστατόν ἐστι φύσει, ὥστε διὰ ταῦτα δεῖ χρῆσθαι σε τοῖς πηγιαίοις, καὶ τούτοις διυλισμένοις, καὶ πλείω τούτων μεταλαμβάνειν ἢ οἴνου καὶ περὶ μὲν ὕδατος διὰ βραχέων εἰς τοσοῦτον, καιρὸς δή μοι λοιπὸν καὶ περὶ γυμνασίων ἐρεῖν. χρὴ τοίνυν μὴ ὑπὲρ ἀγνωσίας γυμνάζειν τὸ σῶμα, ἕως ἂν δηλαδὴ ἡ δύναμις καταβληθῇ. μὴ μὴν πάλιν ἀτελὲς περιλαμβάνειν γυμνάσιον, ὅπερ οὐχ ἱκανὸν διαφορῆσαι τὰ μόρια, ἀλλὰ τὸ ἀναλογοῦν τῇ ἑκάστου δυνάμει. ἐπειδὴ γὰρ ἐν τῷ πρός τι τὸ σφοδρόν, ὡς εἴη ἂν ἡ αὐτὴ κίνησις ἑτέρῳ μὲν γυμνάσιον, ἑτέρῳ δέ, οὐ γυμνάσιον, συμφέρων δὲ ἑκάστῳ τὸ εἰθισμένον αἱρεῖσθαι, καὶ μὴ τὸ πυκτικὸν ἢ δρομικόν, ἢ τὸ διὰ πάλης ὑπέρχεσθαι. χρήσιμα δὲ περὶ τοῦ γυμνασίου, τρία τὰ πρῶτα, ἐργάζεται μὲν γὰρ σκληρότητα τῶν ὀργάνων, ἀλλήλοις παρατριβομένων, αὔξησίν τε τῆς ἐμφύτου θερμότητος, καὶ βιαιοτέραν τὴν τοῦ πνεύματος κίνησιν. τούτοις δ' ἕπεται τὰ ἄλλα σύμπαντα κατὰ μέρος ἀγαθά, τοῖς σώμασι δι' αὐτῶν ἐγγιγνόμενα. τῇ μὲν γὰρ σκληρότητι τῶν ὀργάνων, ἡ δὲ δυσπάθεια αὐτῶν, καὶ ἡ πρὸς τὰς ἐνεργείας εὐτονία. τῇ δὲ αὐξήσει τῆς θερμότητος, ἡ τῶν ἀναδιδομένων ὁλκὴ ἰσχυρά, καὶ ἡ ἑτοιμοτέρα ἀλλοίωσις, καὶ ἡ βελτίων θρέψις, καὶ ἡ τῶν περιττωμάτων χύσις, ἐφ' ἣ χύσει τὰ μὲν στερεὰ τῶν σωμάτων μαλάττεσθαι συμβαίνει. τὰ δὲ ὑγρά, λεπτύνεσθαι καὶ διαφορεῖσθαι, καὶ τοὺς πόρους εὐρεῖς γίνεσθαι. τῇ δὲ τοῦ πνεύματος ἰσχυρᾷ κινήσει ἐκκαθαίρεσθαί τε τοὺς πόρους ἀναγκαῖον ἐστι, καὶ κενοῦσθαι τὰ περιττώματα. ἐπεὶ δὲ ταῦτα ποιεῖ τὰ γυμνάσια, οὐ χαλεπόν ἐστι τὸν καιρὸν τῆς χρήσεως ἐξευρεῖν. διότι μὲν γὰρ ἀναδόσεσι συνεργεῖ, οὐ χρὴ πλῆθος ὠμῶν καὶ ἀπέπτων οὔτε σιτίων, οὔτε χυμῶν, ἢ κατὰ τὴν κοιλίαν, ἢ τὰς μεσαραϊκὰς φλέβας, ἢ καθ' ἧπαρ, ἢ τὰ λοιπὰ ἀγγεῖα περιέχεσθαι, ἐπεὶ κίνδυνος αὐτὰ ἐκχυθῆναι πρὸς

ἅπαντα

ἅπαντα τοῦ ζώου τὰ μόρια, πρὶν χρηστὰ γίνεσθαι πεφθέντα. διό τι δὲ ἐκκαθαίρει τοὺς πόρους καὶ κενοῖ τὰ περιττώματα, κάλλιον αὐτὰ πρὸ τῶν σιτίων παραλαμβάνειν. τὰ γὰρ μὴ καθαρὰ τῶν σωμάτων, ὁπόσῳ ἂν θρέψῃς, Ἱπποκράτης ἔφη, μᾶλλον βλάψεις, ὥς τε ἐκ τῶν εἰρημένων εὔδηλον ὡς οὗτος ἄριστός ἐστι γυμνασίων καιρός. χρὴ δὲ μάλιστα φροντίδα τίθεσθαι ἐπὶ παντὸς γυμνασίου ἐν ὑγιεινῷ χωρίῳ ἐπιτελεῖσθαι, καὶ ἀέρι καθαρῷ. ἀρκείτω οὖν καὶ περὶ γυμνασίων ταῦτα. λουτροῖς δὲ χρῆσθαι συχνοῖς, εὐκράτοις, καὶ ἐπιτόμοις, οὐ διὰ τὸ νόσημα, ἀλλὰ διὰ τὸ συνεισβάλλεσθαι ταῦτα τῇ αὐξήσει σου, καὶ θρέψει, καὶ διαπλάσει. ἄριστος δὲ καιρὸς βαλανείων, ἡνίκα ἡ μὲν χθεσινὴ τροφὴ τελέως ᾖ κατειργασμένη, ὑποβεβηκυῖα. ἑτέρας δ' ἐφεδρεύει τροφῆς καιρός. καὶ ἐν ἥπατι καὶ φλεψὶν ὡσαύτως. ταῦτα δ' εἴσεται ὁ προσκαθήμενος, καὶ ὁ ἀεὶ σοῦ φροντίζων ἰατρός. τὴν μὲν τῆς γαστρὸς τὴν τελείαν πέψιν, ἐκ τῶν διαχωρημάτων. τὴν δὲ τοῦ ἥπατος καὶ τῶν φλεβῶν, ἐκ τῶν κατὰ φύσιν οὔρων. οὐ δεῖ οὖν οὐδὲ μετὰ τὴν τροφὴν λούεσθαί σε, ἵνα μὴ ἔμφραξις κατὰ νεφροὺς καὶ ἧπαρ γίνηται. φευκτέον δὲ καὶ τὴν ἀπὸ τοῦ βαλανείου εὐθέως τοῦ οἴνου μετάληψιν, κεφαλῆς γὰρ ἅπτεται οἶνος, ὕδατος εὐκράτου πρότερον μεταλαμβάνων. ὑονοῦν οὐ δὲ τοῦ ψυχροῦ ὕδατος, ἢ οἴνου, ἢ ζύθου, ἢ ἑτέρου σικεροῦ πόσις ἀβλαβής ἐστι. βλάπτουσι γὰρ καὶ αὐτὰ σαφῶς, τήν τε γαστέρα καὶ τὸ ἧπαρ καὶ τὰ νεῦρα. ἣν οὐ τῇ κράσει, ἀλλὰ τῇ θίξει. συμφέρον δέ σοι καὶ τὸ μὴ εὐθέως τῇ ἐκ τοῦ ὕπνου ἐξαναστάσει λούεσθαι. χρῆσθαι δὲ πρότερον κινήσει, ἔστιν ὅτε καὶ γυμνασίῳ, συμμέτρῳ. τὰ γὰρ σύμμετρα γυμνάσια καὶ κατ' ἄλληλα καὶ πρόσφορα τῇ φύσει σου, καὶ τὴν πέψιν, καὶ αἱμάτωσιν καὶ θρέψιν ἐργάζεται βελτίονα, διὰ τοῦτο οὖν καὶ συνεργεῖ εἰς τὴν εὐτροφίαν καὶ δύναμιν καὶ εἰς τελείαν ἐνέργειαν τῆς τρίτης πέψεως. ἀρκείτω οὖν καὶ περὶ τούτων ταῦτα. εἰ δ' αἰφνιδίως ἐπιγίνηταί σοι ἡ νεφρῖτις, εἰ μὲν νεωστὶ βεβρωκὼς εἴης, καὶ ναυτίας ὑφιστάμενος, ἐξέμει πάντα, ἢ φυσικῶς, ἢ τεχνικῶς, ὡς τῷ ἰατρῷ σου δοκεῖ, καὶ εἰς ὕπνον ἑαυτὸν ἐπίτρεπε. εἰ δὲ σκύβαλα παλαιὰ ὑποπτεύεις εἶναι εἰς τὴν κάτω γαστέρα, κενώσεις ταῦτα διὰ κλυστῆρος, εἰ μή τι κωλύει. εἰ δ', ἀκαρτερήτως ὀδυνῆς, εἰς θερμὸν σαυτὸν ἐμβίβαζε ὕδωρ. πλὴν μὴ καταχρῶ τούτῳ, ὡς ἀνώτερον εἰρήκαμεν. ἡ γὰρ τοῦ θερμοῦ κατάχυσις παρηγορεῖ μὲν πως τὰς ὀδύνας, ἐκλύει δὲ τὰς ἐν ἡμῖν δυνάμεις, δι' ὧν ἀποτρίβεται πᾶν νοσοποιὸν καὶ ἄχρηστον. μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰ ἐνέματα, δεῖ πυριᾶν καὶ καταπλάττειν τὰ πάσχοντα μόρια, τοῖς προσφόροις τῇ φύσει φαρμάκοις. εἰ δέ τι ἐστήρικται ἐν τῷ νεφρῷ ὁ λίθος, λαμβάνειν ὄξος, σάκαρ, καὶ ὄξος σκιλλητικόν, καὶ τὰ ἁπλῶς θρυπτικὰ τῶν λίθων, οἷον ἀγρώστεως ῥίζης ἀφεψήματα, δαμασωνίου, ἀδιάντου, τριχομανοῦς, καὶ τῶν ὁμοίων. εἰ δὲ καὶ ταῦτα ἀπρακτήσουσι, χρῶ τοῖς διαιρετικοῖς τῶν λίθων ὡς τῶν ἀσπαράγων τῶν βασιλικῶν αἱ ῥίζαι, βδέλλιον τὸ ἀπὸ τῆς ἀραβίας, ἀλθαίας σπέρμα, λιθόσπερμον, βετονίκη, σαξίφραγος, γλήχων, καππάρεως ῥίζα τοῦ αἰγυπτίου. καὶ τῶν σικύων τῶν ἡμέρων τὰ σπέρματα, καὶ τὰ τούτοις παραπλήσια. εἰ δὲ διά τι καὶ ταῦτα ἀποτύχωσι, χρῶ τοῖς κατὰ κράτος διαιροῦσι. κατὰ κράτος δὲ διαιρεῖ, λίθος ἰουδαϊκός. καὶ εἰ μὲν ἐν τῷ νεφρῷ ἐστήρικται, χρῶ τῷ ἀρρενικῷ. εἰ δὲ ἐν τῇ κύστει, καὶ διὰ μέγεθος οὐκ ἐκκρίνεται, χρῶ τῷ θηλυκῷ. ὁ γὰρ ἄρρην, τοὺς ἐν νεφροῖς θρύπτει. ὁ δὲ θῆλυς, τοὺς ἐν κύστει. καὶ ὕαλος κεκαυμένη. καὶ ὁ καπαδοκῖος λίθος. καὶ τὸ τῶν παλιούρων σπέρμα, καὶ ταῦτα κατὰ κράτος διαιροῦσιν. εἰ δὲ χυμὸς παχὺς ἐν τῷ σώματι ἐνέστι καὶ χρεία ἐστὶ κενώσεως οὔρων παχέων, οὖρα παχέα ἄγουσι σκολύμου ῥίζαι, ἐρυθέδανον, καὶ τὰ παραπλήσια. εἰ δὲ καὶ συχνῶν οὔρων χρεία. συχνὰ μὲν οὖν κενοῦσιν οὖρα, ἄκορον, σταφυλῖνος, ἄσαρ, ἄμμι, καὶ ὅμοια. εἰ δὲ ἡ φύσις κατά τι ὀκλάσει εἰς τὴν τῶν οὔρων ἀπόθεσιν, διεγερτικὰ τῆς φύσεώς ἐστι, σκόρδιον, χαμαιδάφνη, ἀσπάραγοι τῆς βρυωνίας, καὶ τὰ τούτοις ἰσοδύναμα. τὰ δὲ διουρητικά, ὡς ἀγαθὰ ἄθετον τοῖς λιθοῖς ἔχουσιν. ἐπεὶ εἰ μὲν κρᾶσις τῶν διουρητικῶν δριμεῖα, καὶ διὰ τοῦτο, θερμὴ καὶ ξηρά, καὶ προσέτι συνακτική τε καὶ διακριτικὴ συναγομένου τοῦ ὀρρώδους. ὅσα δὲ τὰς ἐν αὐτοῖς πυρώδεις συστάσεις οὐκ ἔχει ἐπιτήδεια, τμητικὰ μὲν γὰρ ἱκανῶς ὑπάρχει, θερμότητος δὲ ἥκιστα μετέχει. συνίστησι γὰρ ἀποξηραίνουσα τὸν πόρον ἡ θερμότης, οὐ τέμνει καὶ διαιρεῖ. τὰ δὲ ἧττον θερμὰ μετὰ τοῦ τέμνειν δύνασθαι βελτίω, καθάπερ τὰ προρρηθέντα. τὰ δὲ διουρητικά ἐστι θερμὰ καὶ ξηρὰ καὶ δριμέα, καὶ διὰ τοῦτο διακριτικὰ μὲν τοῦ ὀρρώδους αἵματος, συνακτικὰ δὲ τοῦ πάχεος. καὶ διὰ τοῦτο ἄθετα τοῖς λιθιῶσιν. εἰ δὲ ὡς προηγητῷ καὶ ὀχηματικοῖς χρησόμεθά ποτε, ὀνήνασι. μετὰ δὲ τὴν τοῦ λίθου ἔκκρισιν, χρῶ τοῖς καταλλήλοις κατακεραστικοῖς διὰ τὴν ἐκ τῆς παρόδου τοῦ λίθου δῆξιν καὶ τραχύτητα καὶ ζέσιν, καὶ μᾶλλον εἰ μέγας εἴη καὶ γωνιώδης. μετὰ δὲ τὸ ἀκρατώτατον εἶναι τὸ σῶμά σου, διὰ τῶν προειρημένων κατακεραστικῶν, χρῶ τοῖς προφυλακτικοῖς ἔνδοθέν τε καὶ ἔξωθεν. ταῦτα δὲ μὴ μόνον τὸ τέλειον ἀξιῶσιν, ἐν ὅσῳ δὲ προφυλάττῃ, χρῶ τοῖς καταλλήλοις καὶ προσφόροις ἐν τροφαῖς καὶ πόμασι, καὶ ὅσα πέψαι δύνῃ. ἐκ γὰρ τῶν καταλλήλων τῇ φύσει σου τροφῶν καὶ πόσεων καὶ βαλανείων καὶ γυμνασίων, καὶ τῶν ὁμοίων, ῥωννύονται αἱ δυνάμεις. ὥσπερ ἐκ τῶν ἐναντίων, καταβάλλονται. διὰ δὲ τὸ ἀξίωμα τῶν δυνάμεων χρεία τῶν ὁμοίων. τούτων γὰρ ἐρρωμένων οὐσῶν, ἀποτρίβεται πᾶν νοσοποιὸν καὶ ἄχρηστον. ταῦτα δὲ τὰ βραχέα, οὐκ εἰς διδασκαλίαν, ἀλλ' εἰς μικρὰν ὑπόμνησιν ὁ δοῦλός σου προσφέρω. τὴν γὰρ τελείαν πάντων κατάληψιν, οἱ παλαιότατοι τῶν σοφῶν, ἤσκησάν τε καὶ ἐξέθεντο. ὁ δὲ προσκαθήμενος καὶ ἀεί σου φροντίζων ἰατρὸς καὶ σύνδουλός μου, καὶ ταῦτα καὶ τὰ τῶν παλαιῶν καὶ τὰ τῆς φύσεως σου πλεῖον ἐμοῦ τε καὶ ἄλλων, ὅσον εἰς ἀνθρωπίνην δύναμιν, εὗρεν, ἐξ ὧν ἐδιδάχθη, καὶ ἐξευρεῖν δυνηθείη, διὰ τὴν ἀκριβῆ τῆς φύσεώς σου κατάληψιν. ὥστε μόνῳ τούτῳ καὶ σεαυτὸν ἀνάθου. φροντιεῖ γάρ σου ἐπὶ θεῷ μάρτυρι, εἴπερ τις ἄλλος. ὁ γὰρ εἰδὼς τὸ κυρίως κατὰ φύσιν, ταχύτερον τῶν ἄλλων εἴσεται καὶ τὸ παρὰ φύσιν. ἐβουλόμην λογικὰ περὶ ὀλίγων γράφειν, ἀλλ' ἐν ἑτέρῳ τὰ μὲν ζητηθήσεται, οὐ γὰρ τοῦ νῦν καιροῦ ταῦτα, οἷον τίνες τῶν λιθιώντων θεραπεύονται, καὶ τίνες οὔ. καὶ ἆρα αἴτιος ὁ λίθος, ἢ νόσος, ἢ σύμπτωμα. καὶ εἰ αἴτιον ἢ προκαταρκτικόν, ἢ προηγούμενον, ἢ συνεκτικόν. καὶ ὁμοιομεροῦς, ἢ ὀργανικῶν, ἢ κοινοῦ. εἰ νόσημα ὁμοιομερές, ἢ ὀργανικόν, ἢ κοινόν. εἰ δὲ σύμπτωμα βλάβη ἐστὶν ἐνεργείας ἢ ἐκκρινόμενον, ἢ ἐπεχόμενον, ἢ διάθεσίς τις, ἢ ἄμφω αὐτῷ συμβέβηκεν, ὡς καὶ αἴτιον καὶ νόσον καὶ σύμπτωμα εἶναι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ ΙΣΤΟΡΙΑΣ.

Τῶν δὲ ἀρχῆς φιλοσοφησάντων, φυσιολογεῖν μόνον προελομένων, καὶ τοῦτο τέλος τῆς κατ' αὐτοὺς φιλοσοφίας πεποιημένων, ἐπιγεγονὼς πολλοῖς ὕστερον χρόνοις Σωκράτης, οὗτος τὸ μὲν ἀνέφικτον φησὶν ἀνθρώποις ὑπάρχειν. τὴν γὰρ δήλων κατάληψιν βεβαίαν εἶναι λαβεῖν, τῶν χαλεπωτάτων ἐνόμισε, τὸ δὲ ζητεῖν ὅπως ἄμεινον διάγοι τις, καὶ τῶν μὲν κακῶν ἀποτρέποιτο, τῶν δὲ καλῶν ὡς πλείστων μετάσχοι, τοῦτο μᾶλλον συνοίσειν. καὶ τοῦτο νομίσας χρησιμώτερον, τῆς μὲν φυσιολογίας ἠμέληκεν, οὐ πάνυ τι πρὸς τὸν χρήσιμον βίον συμβαλλομένης, ἡδονὴν δέ τινα διάθεσιν ἐπεγνωκὼς ἀγαθῶν τε καὶ κακῶν, αἰσχρῶν τε καὶ καλῶν, τιμῆς τε καὶ τῶν ἐναντίων, τοῖς προνοουμένοις ταῦτα πάντων ἀπηλλάχθαι τῶν ἀλυσιτελῶν ἡγεῖτο ῥᾳδίως, διὸ προσεπάγεται τῇ φιλοσοφίᾳ τὸ ἠθικὸν, καθ' ὃ συνέστησε τὴν προαίρεσιν τῶν κάλλιστα ζῆν πειθομένων. κατιδὼν δὲ ὅτι δεήσει τὸν τούτων προεστησόμενον τῆς πειθοῦς μετέχειν. τοῦτο δ' ἂν ὑπάρξειεν, εἰ λόγοις διαλεκτικοῖς φαίνοιτο πρὸς τοὺς προσιόντας καλῶς κεχρημένος καὶ τὴν διαλεκτικὴν δύναμιν, δι' ἧς πείθονται τελέως ἐπεγνωκὼς, ἀπαλλαξόμεθα τῶν βλαβερῶν, ἐπελευσόμεθα δὲ ἐπὶ τὰ πάντως ὠφελεῖν πεφυκότα, ὥστε διὰ τὸν Σωκράτην γενέσθαι τριμερῆ τὴν φιλοσοφίαν, πρότερον ἐπὶ τοῖς φυσικοῖς μόνοις ὁρίζεσθαι δοκοῦσαν. ταῦτα μὲν οὖν ἔχρην προειπεῖν, ἵνα ἐκ τινὸς ἀρχῆς ποιησώμεθα τὸν περὶ φιλοσοφίας λόγον. προὐθέμεθα δὲ διαλεχθῆναι περὶ τούτου, οὐδὲν μὲν ἴδιον εὑρηκότες, τὰ δὲ † περὶ τῶν προτέρας

† ἄλ. περὶ τοῖς προτέροις.

εἰρημένα συνάγοντες σαφῶς τε καὶ συντόμως σπουδάσαντες περὶ τούτου διαλεχθῆναι, ἵνα οἱ φιλομαθεῖς τούτοις προσεντυγχάνοντες, μὴ δέονται τῶν ἐξηγουμένων, ἀλλὰ δι' ἑαυτῶν γιγνώσκοιεν τὰ καθ' ἕκαστα τῶν εἰρημένων σαφέστερον. ἀσφαλέστερον δὲ πειρώμεθα περὶ τούτου εἰπεῖν, τὰ σοφιστικὰ καὶ πάνυ κεκοσμημένα τῶν διαλεκτικῶν παρεληλυθότες. οὐ γὰρ ἐπιδείξεως ἕνεκα προυστησάμεθα τὴν περὶ τούτου σπουδὴν, ἀλλὰ χρηστόηθες ποιῆσαι βουληθέντες, τοῖς ἐκ φιλοσοφίας λαβεῖν τι χρήσιμον προεγνωκόσιν. οἱ νομίσαντες φιλοσοφεῖν, οὐ μόνον τοὺς τὰ τριβώνια περιεμμένους, ἀλλὰ καὶ τοὺς πρόοδον μὲν τοῖς πολλοῖς ὁμοίαν ἐνστησαμένους, τὴν δὲ διάνοιαν φιλοσοφωτάτην ἔχειν σπουδάσαντας. ἁπλούστερον δὲ ὅσα παρὰ τῶν πεπαιδευκότων ἡμᾶς ἀκηκόαμεν καὶ δι' ἀναγνωσμάτων ἐμάθομεν, νῦν συνάγειν ἐπεχειρήσαμεν ἵνα δὲ ἁπάντων ἔχῃ τις γινώσκειν πόθεν τε φιλοσοφία πρῶτον μὲν εἰς τοὺς Ἕλληνας παρεληλυθέναι. καὶ τίνες οἱ ταύτην εἰσαγαγόντες. καὶ τοὺς δοκοῦντας περὶ τὴν παιδείαν διενηνοχέναι τῶν ἐπὶ ταῦτα τετραμμένων. Ἐστὶ τοίνυν ὁ πρῶτος ὑπὸ τῶν πλείστων ὑπειλημμένος τὸν φιλόσοφον τρόπον εἰς τοὺς Ἴωνας εἰσηγμένος, Θαλῆς ὁ Μιλήσιος. δι' ὃν καὶ τὴν κατ' ἐκεῖνον φιλοσοφίαν Ἰωνικὴν ἅπαντες ὀνομάζουσιν. τούτου δὲ γνώριμος Ἀναξίμανδρος γεγονὼς ὅμοιος φιλοσόφων γέγονε. καὶ τὸν Ἀναξιμένην μετὰ ταῦτα ζηλωτὴν εἶναι τῆς αὐτοῦ προαιρέσεως πεποιηκὼς, Ἀναξαγόρου καθηγητὴν γενέσθαι παρεσκεύασεν. οὗτος δὲ τὴν Μίλητον ἀπολελοιπὼς ἧκεν εἰς τὰς Ἀθήνας, καὶ τὸν Ἀρχέλαον Ἀθηναῖον πρῶτον εἰς φιλοσοφίαν παρώρμησεν. οὗπερ Σωκράτης ἀκροατὴς, ὡς τὰ πολλὰ, καὶ τῶν ὕστερον γεγονότων, καὶ τῶν κατ' αὐτὸν αἴτιος τοῦ φιλοσοφεῖν εἰλικρινῶς γέγονε. καὶ τοὺς ἐπιγινομένους σχεδὸν ἅπαντας, ὡς εἰπεῖν, φιλοσοφίας ἐπιθυμητὰς ἀπέφηνε. τῶν δὲ Σωκρατικῶν πολλῶν γεγονότων, ἀναγκαῖον ἐστὶ νῦν μόνον ποιήσασθαι μνήμην τῶν ὡς διαδοχὴν λελοιπότων. Πλάτων τοίνυν μάλιστα διενήνοχε τῶν ἄλλων ἐπὶ φιλοσοφίαν ἐλθὼν, ὡς ἄν φαίη τις ἀνεπίφθονον Σωκρατικὴν μαρτυρίαν παρεσχηκὼς τῆς ἀρχαίας λεγομένης ἀκαδημίας κατῆρξε διαβεβοημένος. Σπεύσιππος μὲν οὖν χρόνον τινὰ βραχὺν ἐπὶ τῆς αὐτῆς αἱρέσεως διαμεμενηκὼς, ἀρθριτικοῖς δὲ νοσήμασι περιπεσὼν, Ζενοκράτην ἀντ' αὐτοῦ κατέστησε τῶν Πλατωνικῶν δογμάτων ἐξηγητήν. μετὰ δὲ τοῦτον Πολέμων. ἐπεὶ καὶ ἦν αὐτὸς ἐπὶ τοὺς λόγους τοῦ Πλάτωνος. καὶ Κράντης γέγονε καθηγητικός. εἰς ὃν κατέληξεν ἡ ἀρχαία ἀκαδημία. τοῦ δὲ Κράντεως ἀκουστὴς ἦν Ἀρκεσίλαος καὶ τὴν μέσην ἀκαδημίαν ἐπινενόηκεν, ὥς τις μέχρι σιγῆς ἐπινενόηκε. τούτου δὲ Καρνεάδης κατέστη διάδοχος, τῆς νέας ἀκαδημίας τὰς ἀρχὰς συνεώρακεν. οὐκ Λυτόμαχος μετέχων. εἰσὶ δὲ πρὸς ταύτας πάσας ἀκαδημίαι δύο νεώταται. ὧν τῆς μὲν προτέρας προέστη Φίλων. Ἀντίοχος δὲ τῆς ἐφεξῆς. ἡγοῦμαι δὲ τῶν Σωκρατικῶν πάνυ πολλῶν γενομένων οὐδενὸς ἴσος ἦν, καταδεέστερος δὲ, ὃς τὴν κυνικὴν εἰς τὸν βίον παρήγαγε. οὗ Διογένης γέγονε ζηλωτὴς καὶ προσωμοιώθη κατὰ τὰ ἐπιτηδεύματα. τούτου δὲ Ζήνων ὁ Κιτιεὺς ἀκήκοεν. ὅς τινα στωϊκὴν φιλοσοφίαν ἐξεῦρεν. οὗ μετειλήφει τῶν λόγων Κλεάνθης. καὶ τούτου Χρύσιππος ἀκροώμενος. τὴν ὁμοίαν ἀγωγὴν μετελήλυθε. τοῦ δὲ Διογένης ὁ Βαβυλώνιος ἀκροατὴς γεγονὼς. Ἀντιπάτρου καθηγητικὸς γέγονε. τούτου δὲ Ποσειδώνιος ἠκροᾶτο. Ἀρίστιππος δὲ Κυρηναῖος ὢν, τῆς Σωκρατικῆς ἀκροάσεως μετέχων. ἀφ' οὗ τὴν

† ἄλ. μενέδημος.

Κυρηναϊκὴν φιλοσοφίαν ἔγνωμεν, ἀλλ' οὐ δὲ τῶν Μεγαρικῶν Ἐρετρικὴν δίκαιον παριδεῖν. ὡς τῶν Σωκρατικῶν, οὐδενὸς δεύτερος τὴν διάνοιαν γεγονὼς. ἧς Στίλπων Μεγαρικὸς τῶν αὐτῶν δογμάτων εὑρετὴς ἦν. τούτου δὲ Παρμενίδης ὁ Ἐρετριεὺς διεδέκτο. ἀφ' οὗ Ἐρετρικὴ φιλοσοφία ἐπικέκληται. Φαίδωνα τὸν Ἠλεῖον οὐδεὶς ἠγνόησε τῶν Σωκρατικῶν εἰς πρώτους ἥκειν ὑπειλημμένων. ὅσπερ Ἀναξαγόρας ὁ Αὐδηρίτης τῶν λόγων εἰς μίμησιν ἀφικόμενος τῷ Πύρρωνι καθηγήσατο, σκεπτικῆς ὢν φιλοσοφίας. Ἀριστοτέλης δὲ Πλάτωνος πάνυ πολὺν χρόνον συνδιαγεγονὼς δόγμασιν, ἑτέροις ἑαυτὸν προσενήνοχεν. ὅνπερ Θεόφραστος προέστησατο τῆς κατ' αὐτὸν αἱρέσεως, καὶ τὸν Στράτωνα προσήγαγεν εἰς ἴδιον τινὰ χαρακτῆρα φυσιολόγως. Ἐπίκουρος δὲ κατολιγωρήσας ὥς τινες ὑπειλήφασι, τῆς κατὰ φιλοσοφίαν σεμνότητος, ἐπί τινα τρόπον μετελήλυθεν οὐ πάνυ παρὰ τοῖς ἀκριβέσι τῶν φιλο/

σόφων

σόφων εὐδοκιμώτατον. τούτου δὲ Μητρόδωρος ἠκροᾶτο. εἰσὶ δὲ τῶν γενικωτέρων φιλοσόφων εἴδη δύο. τινὲς μὲν, ἰταλιῶται, ὧν Πυθαγόρας εὑρετὴς γεγένηται. καὶ ὁ κατὰ τὴν ἐλαίαν ἀκμάσας. ταύτης δὲ λέγεται κατάρξαι Ξενοφάνης ὁ κολοφώνιος ἀπορητικῆς μᾶλλον ἢ δογματικῆς τοῖς πολλοῖς εἶναι δοκῶν. μετὰ δὲ τοῦτον τοῖς αὐτοῦ βουλήμασιν ἐναρεσθεὶς καὶ Παρμενίδης οὐ τῶν ἀφανεστέρων ἀποβεβηκέναι δοκεῖ. Ζήνων δὲ ὁ ἐλεάτης τῆς ἐριστικῆς φιλοσοφίας ἀρχηγὸς μνημονεύεται γεγονώς. τούτου δὲ Λεύκιππος ὁ ἀβδηρίτης ἀκουστὴς, τὴν τῶν ἀτόμων εὕρεσιν ἐπινενόηκε πρῶτος. Δημόκριτος δὲ παρ' αὐτοῦ τὸ δόγμα παρειληφὼς μᾶλλον ἐκράτυνεν, οὗ Πρωταγόρας ὁ ἀβδηρίτης ζηλωτής. ὃς καὶ συστάτης τῆς κατὰ φιλοσοφίαν τέχνης. Ὠνομάσθη δὲ τῶν φιλοσοφιῶν, ἡ μὲν ἐξ ἀνδρὸς ὥσπερ ἡ κατ' ἐπίκουρον συμβέβηκεν. ἐκ τέλους καὶ δόγματος, ὥσπερ ἡ εὐδαιμονική. ὁ γὰρ Ἀνάξαρχος, τέλος τῆς κατ' αὐτὸν διαγωγῆς τὴν εὐδαιμονίαν ἔλεγεν. ἡ δὲ ἐξ ἐνεργείας, ὡς ἡ περιπατητική. τὸν γὰρ Ἀριστοτέλη κατὰ τοὺς περιπάτους συνουσίας πρὸς ὁμιλητὰς ποιούμενον τῆς ἐπωνυμίας ταύτης κατηξίωκε τὴν κατ' αὐτὸν φιλοσοφίαν. ἡ δὲ δι' ἔνστασιν. ὡς κυνικὴ, διαλεκτική. ἡ δ' ἀπὸ τόπου, ὡς στωϊκὴ, καὶ ἀκαδημαϊκή. ἡ δὲ ἀπὸ διαθέσεως, ὡς σκεπτική, ἡ δὲ ἐξ ἀνδρὸς καὶ δόγματος, ὡς ἡ κατὰ Ἀρίστιππον μὲν ἀπὸ τοῦ εὑρηκότος. κυρηναϊκὴ δὲ ἀπὸ τῆς πόλεως ἧς ἐκεῖνος μετεῖχεν. ἡδονικὴ δὲ ἀπὸ τοῦ τέλους τῆς κατ' αὐτὸν φιλοσοφίας. τὸν γὰρ Ἀρίστιππον τὴν ἡδονὴν προσκεκλεῖσθαι μᾶλλόν τινες ὑπενόησαν.

Περὶ τοῦ λογικοῦ μέρους τῆς φιλοσοφίας.

Τὸ λογικὸν μέρος τῆς φιλοσοφίας, τῶν ὕστερον γεγονότων προτετάχθαι, ἡγούμενοι δεῖν τοὺς μέλλοντας ἀκριβῶς φιλοσοφεῖν, μὴ πρότερον τοῖς ἄλλοις μέρεσιν ἐπιχειρεῖν, πρὶν ὅ,τι τούτων ἕκαστόν ἐστι γιγνώσκειν. οἱ μὲν γὰρ ἔφασαν τὴν φιλοσοφίαν εἶναι δύναμιν γνωστικὴν καὶ περιποιητικὴν ἀρίστου βίου. ἄριστον βίον εἰπόντες, τὸ ζῆν ἕκαστον κατ' ἀρετήν. οἱ δὲ ἄσκησιν ἀνθρώποις ἀρίστης ζωῆς ἐπιτηδείου τέχνης ὡρίσαντο, ἄσκησιν μὲν, τὴν φιλοσοφίαν πάντες ἐπιτήδειον τέχνην, τὴν σοφίαν νομίσαντες, ἥτις ἐστὶ κατάληψις θείων καὶ ἀνθρωπίνων πραγμάτων. εἰς δὲ θεωρητικὴν ἕξιν αἱρετὴν καὶ φευκτὴν ὑπέλαβον χρῆναι μᾶλλον. ὀνόμασαν δὲ αὐτὴν αἱρετὰ μὲν, καὶ τὰ ἀγαθὰ φήσαντες εἶναι, φευκτὰ δὲ τὰ κακά. τὸ ἀγαθὸν τὸ δι' ἑαυτοῦ αἱρετὸν, ὠφελείας τῷ μετόν τι γιγνόμενον αἴτιον. κακὸν δὲ τὸ δι' ἑαυτοῦ ἐκκλινόμενον, βλάβης καθιστάμενον αἴτιον. μέρη δὲ τῆς φιλοσοφίας κατὰ τοὺς πλείστους ἀκριβέστατα εἶναι δοκοῦντα τρία παρειλήφαμεν. τό,τε λογικὸν, δι' οὗ καταμανθάνομεν. τῶν τὸν ὄντων ἕκαστον κατ' οὐσίαν, κατὰ συμβεβηκὸς καὶ τὰς διαφορὰς τούτων πρὸς ἄλληλα, καὶ τὰ τοιαῦτα γινώσκομεν. τὸ φυσικὸν δι' οὗ πάρεστι καθορᾶν, τίς ἡ τοιαύτη αἰτία τοῦ τάξει περιϊέναι τῶν οὐρανίων τὴν κίνησιν, ὅσα φαίνεσθαι δοκεῖ. καὶ τίνες αὐτῶν ταχυτῆτες ἢ βραδυτῆτες πρὸς ἄλληλα, καὶ ὅσα τούτων ἐστὶν ὅμοια. καὶ τρίτον τὸ πάντων ἀναγκαιότατον καὶ τοῖς ἐπιτηδεύμασι χρησιμώτατον, τὸ ἠθικὸν, δι' οὗ μανθάνομεν ἀλλήλοις ὁμιλεῖν, καὶ συμβάλλειν προσηνῶς. καὶ τοὺς μὲν θρασυτάτους ὑποφέρειν. οὐ μισοῦντες, ἀλλὰ γελῶντες καὶ ἐλεοῦντες. τοὺς δὲ σπουδαιοτάτους καὶ ἐπιεικεστάτους στέργοντες. τούτων μὲν τὸν βίον ῥᾶον ἀσκεῖν, βέλτιον τὰς πρὸς ἀλλήλους ἐντεύξεις ἀγαθὰς ποιουμένων. ἐκείνων δὲ τὸ ἦθος δυσπρόσοδον καὶ παντάπασιν ἀνομίλητον τὸν βίον ἀπεργαζομένων.

Περὶ αἱρέσεως.

Τὴν αἵρεσιν ὑπολαμβάνουσί τινες εἰρῆσθαι τριχῶς, κοινῶς, καὶ ἰδίως, καὶ ἰδιαίτατα. κοινῶς μὲν τὴν ἔν τινι πράγματι τῶν κατὰ τὸν βίον σύνθεσιν. ἰδίως δὲ τὴν ἐν τέχνῃ. ἰδιαίτατα δὲ τὴν φιλοσοφίαν κατ' ἔννοιαν γὰρ τὴν αἵρεσιν εἶναι πρόσκλισιν δογμάτων πολλῶν πρὸς ἄλληλα συμφώνων καὶ εἶναι πρὸς ἓν τέλος ἀναφερόντων. τέσσαρες δὲ εἰσὶν ἃς γενικωτάτας νομίζουσιν οἱ περὶ τούτων διειληφότες. μίαν μὲν τὴν δογματικὴν τοῖς πολλοῖς κατατιθεμένην, καὶ βεβαιοτέραν. τὴν σκεπτικὴν, τὴν περὶ πάντων ζητητικήν. πρὸς δὲ τούτοις εἶναι τρίτην τὴν ἐριστικὴν, τὴν διὰ σοφισμάτων νικᾶν ἐν ταῖς νικήσεσιν ἐπαγγελοῦσαν. σοφίσματα δὲ τοιαῦτα νομίζουσιν, οἷον. ὅπερ εἰμὶ ἐγὼ, οὐκ εἶ σύ, ἄνθρωπος δὲ εἰμι. σὺ ἄρα οὐκ ἄνθρωπος. καὶ τοὺς τοιούτους μειρακιώδεις λόγους καὶ ἐριστικούς. μικτὴν δ' αἵρεσιν προσειρήκασι, τὴν τισὶ μὲν δόγμασι κατατιθεμένην, περὶ πολλῶν δ' ἠπορηκυῖαν, καὶ μὴ πάντα δεξιοῦσαν συγκαταθετικῶς, εἶναι δὲ δογματικῶς* καὶ τοῖς ἐνδικωτέροις προσεισμένοις. σκεπτικοὺς δὲ Ζήνωνα τὸν ἐλεάτην, καὶ Ἀνάξαρχον τὸν ἀβδηρίτην, καὶ τὸν ἄγαν ἠκριβωκέναι τὴν ἀπορητικὴν ἀπειληφθέντα Πύῤῥωνα. ἐριστικοὺς δὲ, κεκλήκασιν, Εὐκλείδην καὶ Μενέδημον. καὶ Κλειτόμαχον. τοὺς δὲ καταμικτὴν αἵρεσιν μετεληλυθότας ὑπάρχειν, Ξενοφάνην μὲν περὶ πάντων ἠπορηκότα, δογματίσαντα δὲ μόνον τὸ εἶναι πάντα ἕν. καὶ τοῦτον ὑπάρχειν θεὸν πεπερασμένον, λογικὸν ἀμετάβλητον. ἔτι δὲ Δημόκριτον ὁμοίως, περὶ μὲν τῶν ἄλλων μηδενὸς ἀποφηνάμενον, ἔνδειγμα δὲ καταλέλοιπε τὸ περὶ τῶν ἀτόμων καὶ τοῦ κενοῦ καὶ τοῦ ἀπείρου.

Τίς ἀρχὴ φιλοσοφίας.

Ἀρχὴ δὲ λέγεται τριχῶς. ἡ μὲν ὡς αἰτιώδης. ἡ δὲ ὡς ἐν τρόπῳ συστάσεως. ἡ δὲ ἀποδείξεως. αἰτιώδης μὲν οὖν ἐστιν ἀρχὴ, ὅταν ζητήσωμεν τί ποτ' ἐστὶ τὸ πεποιηκὸς εἰς ἐπίνοιαν τοὺς πρώτους ἐλθεῖν φιλοσοφίας. ἐν τρόπῳ δὲ συστάσεως, ὅταν ζητήσωμεν ποῖον μέρος ἐστὶ πρῶτον, ὃ ἐκ τῆς τέχνης συνέστηκεν. ἀποδείξεως δὲ, ὅταν τὰ ὑφ' ἡμῶν κατασκευαζόμενα ἀποδείκνυμεν, αἰτία δὲ φιλοσοφίας εὑρέσεώς ἐστι κατὰ μὲν Ἰσοκράτην, τὸ ταραχῶδες ἐν τῷ βίῳ καταπαύσαις τῶν πραγμάτων.

Περὶ σημείου.

Σημεῖον τοίνυν, οἱ μὲν διαλεκτικοί φασιν ἀξίωμα ἐν ὑγιεῖ συνημμένον. καὶ ὑγούμενον ἐγκαταλυπτικὸν τοῦ λήγοντος. τῶν δὲ σημείων τὰ μὲν, ἐστὶν ἐνδεικτικὰ, τὰ δὲ ὑπομνηστικά. ὑπομνηστικὸν μὲν οὖν ἐστιν, ὅπερ παρατέθεικε τὸ σημεῖον τῷ ἅμα φανῆναι τὸ σημεῖον. καὶ τοῦ σημείου τοῦ εἰς γνῶσιν ἡμᾶς ἀγαγεῖν. ὁποῖόν ἐστι ἐπὶ τοῦ καπνοῦ. τοῦτον γὰρ ἰδόντες, εὐθὺς γινώσκομεν ὅτι ἐκ πυρὸς γεγονώς ἐστιν. ἐνδεικτικὸν δέ ἐστι σημεῖον, ὃ μὴ πρότερον παρατηρηθὲν τοῦ σημείου τοῦ διαφανέντος εἰς γνῶσιν οὐκ ἀφικόμεθα τοῦ σημείου, ὥσπερ ἐπὶ τῆς γάλα ἐχούσης, εὐθὺς γινώσκομεν, ὅτι τετοκυῖά ἐστι.

Περὶ συλλογισμοῦ.

Συλλογισμὸς δέ ἐστι λόγος διδομένων ἀρεσκείσεων περὶ τῶν διαλεγομένων συναγωγῶν, συμπέρασμα ἀπροσδόκητον, ὡς ἐν τῇ πολιτείᾳ παρὰ Πλάτωνι. τοῦ γὰρ Θρασυμάχου εἰρηκότος ὅτι τὸ δίκαιόν ἐστι τοῦ κρείττονος συμφέρον αὐτοῦ προστάττουσι ποιεῖν.

Περὶ ὅρου.

Ὅρος δέ ἐστι λόγος σύντομος εἰς γνῶσιν ἡμᾶς ἄγων ἑκάστου πράγματος. ἢ λόγος διὰ βραχείας ὑπομνήσεως ἐμφανὲς ἡμῖν ἀπεργαζόμενος τὸ ὑποκείμενον πρᾶγμα. τῶν δὲ ὅρων, οἱ μὲν, εἰσὶν οὐσιώδεις. οἱ δὲ, ἐννοηματικοί.

Περὶ κριτηρίου.

Κριτήριόν ἐστι πράγματος διαγνωστικὴ κατανόησις. κριτήριον δέ ἐστι διττόν. τό, τε ᾧ χρώμενοι βιοῦμεν. καὶ τὸ περὶ ὑπάρξεως καὶ ἀνυπαρξίας. λέγεται δὲ τὸ κριτήριον τριχῶς. κοινῶς. ἰδίως. ἰδιαιτάτως.

Περὶ ἀληθοῦς.

Ἀληθές ἐστι, τὸ ἀντικείμενον τινί. διηλλαγμένον δὲ τὸ ἀληθὲς τῆς ἀληθείας τριχῶς. οὐσίᾳ. συστάσει. δυνάμει. οὐσίᾳ μὲν, ἐπειδὴ τὸ ἀληθὲς ἀσώματόν ἐστιν. ἀξίωμα γάρ ἐστι καὶ λεκτόν. ἡ δὲ ἀλήθεια σῶμά ἐστιν. ἐπιστήμη γὰρ πάντων ἐστιν. ἀληθῶν δ᾽ ἐπιστήμη.

Πῶς ἡγεμονικόν ἐστι.

Τὸ δὲ ἡγεμονικὸν, πνεῦμα εἶναι δοκεῖ. ὅπερ σωματοφυὴ μάλιστα ἂν εἰκότως δοκῇ, ἡ σύστασις δὲ διήλλακται τούτα. τῷ, τὸ μὲν ἀληθὲς δῆλον εἶναι. οἷον ἐγὼ διαλέγομαι τὴν ἀλήθειαν ἡμῖν εὑρῆσθαι, περιληπτικὴν οὖσαν πάντων ἀγαθῶν. δυνάμει δὲ ἐξήλλακται παρὰ τὸ μὲν ἀληθὲς καὶ φαύλῳ τινὶ ἐπιγίνεσθαι. λέγει γάρ ποτε ἀληθῶς, καὶ ὁ μὴ πάνυ ἐσπουδασμένος. τὴν δὲ ἀλήθειαν μόνην ἔντροφον εἶναι τοῖς τρόπον εἶναι σπουδαίοις.

Περὶ διαιρέσεως.

Τὴν διαίρεσιν ὑπολαμβάνουσι, χωρισμὸν εἶναι τῶν συνεληλυθότων εἰς ἕν. διαιρεῖσθαι δὲ νομίζουσιν ὀνόματα εἰς σημαινόμενα. καὶ ὅλον εἰς μερικὰ μέρη. καὶ γένη ἰδικά. διαφορὰς εἰς τὸ καθ᾽ ἕκαστον καὶ εἰς συμβεβηκότα.

Περὶ φύσεως.

Φύσιν τινὲς εἶναι λέγουσι, πνεῦμα ἔντεχνον, ὁδοποιητικόν. ἄλλοι δὲ τὴν τῶν σωμάτων σύγκρισιν εἶναι καὶ διάκρισιν τὴν φύσιν ὑπολαμβάνουσιν. Ἀριστοτέλης δὲ ἀρχὴν τε κινήσεως εἴρηκεν, ὡς πρῶτόν ἐστι καὶ οὐ κατὰ συμβεβηκὸς γεγενῆσθαι νομίζων. φυσικὰ δὲ εἶναι λέγει τὰ περὶ τὸν ἀέρα, φυτά, ζῶα, καὶ τὰ τοιαῦτα.

Περὶ διαφορᾶς στοιχείων καὶ ἀρχῆς.

Τῶν μὲν ἀπὸ ἰωνίας φιλοσόφων οὐδὲν διαλλάττειν αὐτὰ νομιζόντων, Πλάτων πλεῖστον διενήνοχεν. ἀλλὰ ταῦτα κέκρικε τῆς μὲν ἀρχῆς. καὶ γὰρ οὐδὲν εἶναι πρότερον ἀφ᾽ ἧς γεννᾶσθαι ταῦτα. συμβέβηκε δὲ στοιχείων πρότερα εἶναι τὴν ἀειδῆ καὶ ἄμορφον οὐσίαν. ἣν οἱ μὲν ἄποιον ὕλην εἶναι. οἱ δὲ ἐντελέχειαν καὶ στέρησιν ὀνομάζουσιν. ἔτι δὲ τὰ μὲν στοιχεῖα. οἱ μὲν σύνθετα καὶ ἀποτελέσματα. τὴν δ᾽ ἀρχὴν οὐδετέραν τούτων ὑπάρχει. ὥστ᾽ εἰκότως ὁ Πλάτων τὴν ἐν τούτοις παραλλαγὴν κατειληφὼς ἀποφαίνεται.

Περὶ κινήσεως.

Τὴν κίνησιν, σχεδὸν τῶν φιλοσόφων πάντες οἱ ἀκριβέστατοι γίνεσθαι νομίζουσιν. τὴν μὲν γὰρ τοπικὴν μετάβασιν, ὅταν ἀπὸ τόπου εἰς τόπον ἕτερον φαίνεται μεταβαῖνον. τὴν δὲ φυσικήν. ὅταν εἰς ἕτερον ἐξ ἑτέρου γινόμενον ἀποφαίνωνταί τινες. τρίτον δὲ τὴν γένεσιν ὅταν ἐξ οὐκ ὄντων γένηταί τις. τὴν διαφθοράν, ὅταν ἐξ ὄντος πρὸς τὸ μὴ εἶναι καθίσταται. καθάπερ ἐπὶ τῶν ἀπογινομένων ζώων. τὴν δ᾽ αὐξητικὴν ἀπὸ βραχέος πρὸς τὸ μεῖζον προΐεσθαι. τὴν δὲ μειωτικὴν ὅταν ἐκ μείζονος βραχύνηταί τι καὶ πρὸς ἔλαττον μεθαρμόζηται.

Περὶ σωμάτων.

Σῶμα τινῶν ὑπολαβόντων τὸ εἴτε ποιεῖν εἴτε πάσχειν, ἕτεροι τὸ τριχῆ διαστατὸν μετὰ ἀντιτυπίας τὸ σῶμα καθεστάναι φασίν. εἶναι μὲν γὰρ σημεῖον οὗ μέρος οὐδέν. ἐπιφάνειαν δέ, τὸ μῆκος καὶ πλάτους μετέχον. τοῦτο δὲ ὁπόταν μεγέθους προσλάβῃ σῶμα νομίζουσιν εἶναι. τινὲς δὲ τὰ πέρατα σώματα εἶναι ὑπειλήφασιν.

Περὶ ψυχῆς.

Πολλὴν μὲν ἐστιν εὑρεῖν παρὰ τοῖς προτέροις ἀντέρησιν περὶ τῆς ψυχῆς γενομένην. ἀλλ᾽ ὅμως μὴ τὸν τῆς εἰσαγωγῆς τρόπον ὑπερβαίνειν δοκοῖμεν τὰ πᾶσιν εἰρημένα περὶ ταύτης διεξιόντες, ὅσα τοῖς ὀνομαστοτάτοις εἰρῆσθαι περὶ ταύτης νομίζομεν, ὡς ἐν βραχέσι πειρώμεθα λέγειν. ψυχὴν τοίνυν οἱ μὲν πνεῦμα παντὶ τῷ σώματι παρακείμενον, ὅπου μὲν μᾶλλον, ὅπου δὲ ἧττον νομίζουσιν εἶναι. οὗτοι δὲ οἱ περὶ τὸν Ἀσκληπιάδην εἰσίν. ἄλλοι δὲ δύναμιν δι᾽ ἣν ζῶμεν. οἱ δὲ κινήσεως ἀρχὴν πάντων γινομένων τε καὶ ὄντων. Ἐπίκουρος δὲ τὸν ἐφελκόμενον ἔξωθεν ἀέρα διὰ τῆς εἰσπνοῆς τὴν ψυχὴν ὑπέλαβεν. τὴν δὲ οὐσίαν ταύτην, οἱ μὲν ἀσώματον ἔφασαν, ὡς Πλάτων. οἱ δὲ σώματα κινεῖν, ὡς Ζήνων καὶ οἱ ἐξ αὐτοῦ. πνεῦμα γὰρ εἶναι ταύτην ὑπενόησαν. καὶ οὗτοι θνητὴν μὲν ψυχὴν ὡς Ἐπίκουρος καὶ Δικαίαρχος ᾠήθησαν. ἀθάνατον δὲ Πλάτων καὶ οἱ στωϊκοί. ἀλλ᾽ ὁ Πλάτων ἀεικίνητον καὶ οὐδέ ποτε διαφθειρομένην. οἱ στωϊκοὶ δὲ καθ᾽ ἑκάστην τοῦ κόσμου μεταβολὴν διαμένειν ἀθάνατον, ἕως ἂν ἡ τοῦ κόσμου μεταβολὴ συστᾶσα, καὶ ταύτην τυχεῖν διαφθαρῆναι. τοῖς δὲ σώμασι συνδεῖσθαι νομίζουσιν οἱ μὲν αὐτοφυεῖς ἥκουσιν ἐγκρατεῖς οὔσας, ὥστε ταῦτα πάσχουσας παρὰ ἐπιθυμεῖν ἡδονῶν τῶν διὰ τῶν σωμάτων αὐταῖς προσγινομένων. οἱ δὲ κατὰ θεὸν ἐγγίνεσθαι τοῖς σώμασι βουλόμενοι. μηδ᾽ ἐν τῶν στοιχείων ἀρχὸν μὴ δὲ ἔξω ὂν ἄμοιρον εἶναι διὰ τέλους, ἐξαμαρτάνειν δὲ τὰς ψυχάς. οἱ μὲν αὐτεξουσίας οὔσας καὶ διὰ τὰς σφετέρας ἐπιθυμίας ἐπὶ τὸ πλημμελὲς τρεπομένας. τῶν ἡδίων γὰρ οὔσας ὀρεκτικὰς διὰ τὴν τούτου κάθεξιν μηδὲν διωθεῖσθαι τὰς φαυλοτάτας τῶν ἀτοπωτάτων εἶναι νομιζομένων. οἱ δὲ κατ᾽ εἱμαρμένην πάντα συμβαίνειν νομίσαντες, καὶ τὴν ψυχὴν ἀπροαιρέτως τοῖς πλημμελήμασι περιπίπτειν ὑπολαμβάνουσι. διδόναι δὲ δίκην τὰς

πονηροτάτας

πονηροτάτας τῶν σωμάτων ἀπαλλαττομένας, ὁ Πλάτων οἴεται, καὶ τὰς ἄμεινον βεβιωκυίας εἰς θεὸν ἀναπέμπεσθαι, καὶ τοῖς ἄστροις ἐγκαταλέγεσθαι. στωϊκοὶ δὲ τούτων οὐδὲν προΐενται. ἀλλ' ἐπειδὰν ἀρχὼ ἐλθῶσι τῶν σωμάτων φασὶ τὰς ἀκρατεστέρας, καὶ τῶν ἡδέων ἐπιθυμητικὰς αὖθις ἡμφιεσμένας τῶν διὰ σωμάτων ἡδονῶν προσγιγνομένων, ἐγκαταδύεσθαι πάλιν τοῖς σώμασιν ἐξ ἀρχῆς. καὶ μηδέποτε παύεσθαι τούτου περιπιπτούσας, ἕως ἂν παιδεύσεως τῆς προσηκούσης τύχωσι καὶ τῶν καλῶν εἰς γνῶσιν ἀφικόμεναι, χρυσὸν ἕλωνται βίον. καὶ μετὰ τὴν διάλυσιν καὶ τὴν ἀπαλλαγὴν τοῦ σώματος κατ' αὐτὰς διαφανεῖς ἀπεδαίων δεομένας ἰδέας μετελθούσας τὰς ἀγαθὰς, καὶ μετὰ ταῦτα διὰ παντὸς οὔσας, τὰς πάλιν οὕτω διακειμένας. εἶναι δὲ τὰ μέρη τῆς ψυχῆς. Πλάτων μὲν, τρία νενόμικε. λογικόν. θυμικόν. ἐπιθυμητικόν. Ἀριστοτέλης δὲ προσήγαγε καὶ τὸ φυσικόν τε καὶ τὸ ζωτικόν. στωϊκοὶ δὲ τέσσαρα μέρη τῆς ψυχῆς εἶναί φασι, λογικόν. αἰσθητικόν. φωνητικόν σπερματικόν. τινὲς δὲ τὴν ψυχὴν ἁπλῆν καὶ ἀμερῆ τυγχάνειν. οὐδὲν γὰρ ἄλλο τὴν ψυχὴν ὑπολαμβάνουσιν, ἢ φρόνησιν ὑπάρχειν. ἣν καὶ νοῦν καὶ νόησιν προειρήκασι. Μνήμαχος δὲ τῶν στωϊκῶν ὑπόληψιν ἐπ' ἐκείνων, τὸ φωνητικὸν τὸ σωματικὸν περιεῖλεν. οἴεται γὰρ αἰσθητικῆς δυνάμεως ταῦτα μετέχειν. μέρη δὲ τῆς ψυχῆς ᾠήθη εἶναι, τὸ λογικὸν καὶ τὸ αἰσθητικόν. ὧν καὶ μᾶλλον ἄν τις συγχωρήσειεν εὐλόγως.

Περὶ ἰδέας

Ἰδέα ἐστὶν οὐσία ἀσώματος αὐτὴ μὲν ὑφεστῶσα κατ' αὐτήν. εἰκονίζουσα δὲ τὰς ἀμόρφους ὕλας καὶ αἰτία γιγνομένη. Πλάτων δὲ συγχωρεῖ ὅσον δυνατὸν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις ζητεῖν περὶ τοῦ θεοῦ. Ἀριστοτέλης δὲ εἴδη μὲν καὶ ἰδέας ἀπέλειπεν, οὐ μὴν κεχωρισμένας τῆς ὕλης. οἱ δὲ στωϊκοὶ ἐννοήματα ἡμέτερα τὰς ἰδέας εἶναι νομίζουσι.

Περὶ ἐλαχίστων.

Τῶν τεσσάρων στοιχείων πράγματα βραχύτατα οἷον στοιχεῖα ἀπὸ στοιχείων ἢ ψήγματα νομίζουσιν, εἶναί τινες τὸ λεγόμενον ἐλάχιστα. Ἡράκλειτος εἰσάγει ταῦτα νοήσει μόνον ληπτά.

Περὶ χρωμάτων.

Χρῶμά ἐστιν ποιότης σώματος ὁρατόν. οἱ πυθαγόρειοι δὲ χροιὰν καὶ χρῶμα ἐκάλουν τὴν ἐπιφάνειαν τοῦ σώματος Ἐμπεδοκλῆς δὲ † τῆς ὄψεως ἀπ' αὐτῶν. σύμμετρα μόρια ἔχουσα πρὸς τὴν ὄψιν. Ζήνων δὲ ὁ στωϊκὸς τὰ χρήματα ἐπίχρωσιν τῆς ὕλης ὑπολαβών. οἱ δὲ ἀπὸ Πυθαγόρου τὰ γένη τῶν χρωμάτων λευκόν τε καὶ μέλαν καὶ ἐρυθρὸν νομίζουσι. τὰς δ' ἄλλας διαφορὰς περὶ τὰς ποιὰς μίξεις τῶν στοιχείων. τὰς δὲ τῶν ζώων περὶ τὰς τῶν τόπων καὶ τῶν ἀέρων.

† al' τὸ τοῖς πόροις τῆς ὄψεως ἐναρμόττον πλάτων φλόγα ἀπὸ τῶν σωμάτων σύμμετρα μόρια ἔχουσαν &c. ex Plutarcho.

Περὶ σχήματος.

Σχῆμά ἐστιν ἐπιφάνεια καὶ περιγραφὴ καὶ πέρας σώματος.

Περὶ μίξεως.

Οἱ μὲν παλαιότεροι τὰς τῶν στοιχείων κατ' ἀλλοίωσιν ἤτοι κρᾶσιν ᾠήθησαν γίνεσθαι. οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Δημόκριτον κατὰ παράθεσιν. Ἐμπεδοκλῆς δὲ ἐκ μικροτάτων οἴεται τὰ στοιχεῖα συγκεῖσθαι. Πλάτων δὲ τὰ ποιὰ μὲν εἶναι εἰς ἄλληλα λέγει, τὴν δὲ γῆν ἀμετάβλητον μόνην.

al' τρία

Περὶ κενοῦ.

Οἱ ἀπὸ Πυθαγόρου καὶ οἱ φυσικοὶ πάντες μέχρι Πλάτωνος ἐν τῷ κόσμῳ κενὸν εἶναι λέγουσι. Λεύκιππος δὲ καὶ Δημόκριτος καὶ Ἐπίκουρος τὰ μὲν ἄτομα ἀπέραντα πλήθει. τὸ δὲ κενὸν, ἄπειρον τῷ μεγέθει. οἱ στωϊκοὶ δὲ ἐντὸς μὲν τοῦ κόσμου κενὸν οὐδὲν εἶναι νομίζουσιν, ἔξωθεν δ' αὐτοῦ ἄπειρον. Ἀριστοτέλης δὲ τοσοῦτον εἶναι κενὸν ἔξω τοῦ οὐρανοῦ, ὥστ' ἀναπνεῖν εἰς αὐτὸν τὸν οὐρανόν. ἐνδοθεν γὰρ εἶναι † τόπον πύρινον.

al' ἀέριον

Περὶ χώρας.

Οἱ στωϊκοὶ καὶ ἐπικούρειοι διαλλάττειν τὸν τόπον τῆς χώρας ἐνόμισαν. τὸν μὲν τόπον ὑπὸ σώματος κατὰ μέν τι κατέχεσθαι. κατὰ δ' ἔτι οὐδαμῶς εἶναι τὸ πᾶν.

Περὶ κόσμου.

Οἱ μὲν ἀπὸ τῆς στοᾶς ἕνα κόσμον εἰρήκασι καὶ τοῦτον σωματικόν. Ἐμπεδοκλῆς δὲ κόσμον ἕνα, οὐ μέντοι τὸ πᾶν εἶναι τὸν κόσμον † ἕνα φησί, καὶ ἐν τῷ παντὶ εἶναι γεννητὸν ἐὰν μὴ πάντα περιέχῃ, τοῦ μὴ ἔσεσθαι ὁμοῦ ὄντων παραδείγματα. τουτέστι τῷ θνητῷ κόσμῳ. ἐὰν μὴ μόνῳ γεννήσῃ τοῦ μὴ ἔσεσθαι ἄνω ἢ τὸ ἐλλιπές τι ἔχει.

† al' πλάτων δὲ ἕνα φησὶ καὶ ἓν τὸ πᾶν εἶναι ἐκ τοῦ μὴ εἶναι τέλειον, ἐὰν μὴ πάντα περιέχῃ, ἐκ τοῦ μὴ ἔσεσθαι ὅμοιον τῷ παραδείγματι, τουτέστι τῷ θνητῷ κόσμῳ, ἐὰν μὴ μονογενὴς ᾖ, ἐκ τοῦ μὴ ἔσεσθαι ἀΐδιον etc. ex Plutar.

Πῶς συνέστηκεν ὁ κόσμος.

Συνέστηκε τοίνυν ὁ κόσμος περικεκλεισμένος. ἐσχηματισμένος τὸν τρόπον τοῦτον τῶν βαρυτάτων σωμάτων φερομένων εἰς τὸ κάτω. τῶν δὲ κούφων εἰς τὸ ἄνω, φερομένων δὲ πέριξ ἐκ τούτων συνηρμοσμένων.

Πόθεν ἔχομεν ἔννοιαν θεῶν.

Ὁρίζονται τὸν θεὸν οἱ στωϊκοὶ, πνεῦμα νοητὸν οὐκ ἔχον μορφὴν, μεταβαλλόμενον δὲ εἰς ὃ βούλεται. ἔχομεν δὲ ἔννοιαν τούτου ἐκ τοῦ κάλλους καὶ μεγέθους τῶν ὁρωμένων αὐτοῦ δημιουργημάτων. οὐδὲν γὰρ τῶν καλῶν εἰκῆ γεγένηται, ἀλλ' ὑπὸ δημιουργοῦ σοφοῦ. ὅθεν Εὐριπίδης εἶπεν. ἀστέρες δ' ἐν οὐρανῷ ποίκιλμα τέκτονος σοφοῦ, ἐλάβομεν δὲ ἔννοιαν ἐκ τοῦ τὸν ἥλιον καὶ τὴν σελήνην σὺν τοῖς λοιποῖς τῶν ἀστέρων τὴν † ὑποφθορὰν ἐνεχθέντες ὁμοίως ἀνατέλλειν τοῖς σώμασι καὶ τοῖς σχήμασιν. ἴσα δὲ καὶ τοῖς μεγέθεσι καὶ κατὰ τόπους τοὺς αὐτοὺς καὶ χρόνους.

† al' ὑπόγειον φοράν

Περὶ θεοῦ

Ὅσα κατ' ἀρχὰς περὶ θεοῦ λέγοντες παρελίπομεν, ταῦτα νῦν ἐροῦμεν. τοὺς μὲν τῶν προτέρων φιλοσοφησάντων εὕρημα θεοὺς ἠγνοηκότας ὡς Πρωταγόραν τὸν ἠλεῖον. καὶ Θεόδωρον τὸν κυρηναῖον. καὶ Εὐήμερον τὸν τεγεάτην. οὐ γὰρ εἶναι θεοὺς εἰπεῖν τε τολμήκασιν. ἔοικε δὲ ταύτης τῆς ὑπολήψεως Εὐριπίδης, ἐπὶ θεοῖς δ' ἰδὲ τῶν ἀρεοπαγιτῶν, ἐκκαλούμενος τοῦτο δὲ ἔξιν ὑφίστασθαι. ἀγορὰν δὲ τῶν θεῶν ἐπὶ τὸ διατετακέναι τὸν κόσμον παρειληφότα ἐστί,

κατὰ τὰ σώματα κατ᾽ ἀρχὰς διακεκοσμηκέναι φησίν. οὐδ᾽ εἶναι τὸν πεποιηκότα ταῦτα ὑπέλαβε. Πλάτων δὲ οὐκ ἑστηκότα ταῦτα ὑπέθετο, ἀτάκτως δὲ κινούμενα ὑπὸ τοῦ θεοῦ εἰς τάξιν ἦχθαι, καὶ τοῦ προσήκοντος μετειληφέναι. Θαλῆς δὲ νοῦν τοῦ κόσμου τὸν θεὸν ἡγήσατο. Ἀναξίμανδρος δὲ τοὺς ἀπείρους νοῦς, θεοὺς εἶναι νομίζει. Δημόκριτος δὲ νοῦν ἐν πυρὶ σφαιροειδεῖ τὴν τοῦ κόσμου ψυχὴν ὑπολαμβάνει. Πυθαγόρας δὲ τῶν ἀρχόντων μονάδα θεὸν καὶ τὸ ἀγαθὸν ᾤηθη. εἴ τις ἐστὶν τοῦ ἑνὸς φύσις αὐτὸς ὁ νοῦς. τὴν δὲ ἀόριστον δυάδα δαίμονα καὶ τὸ κακὸν περὶ ἥν ἐστιν ὁ ὁρατὸς κόσμος. καὶ Πλάτωνι τοίνυν δοκεῖ τὸν θεὸν ἀμιγῆ πάσης ὕλης καὶ μηδενὶ πάθει συμπεπλεγμένον. Ἀριστοτέλης δὲ τὸν ἀνωτάτω θεὸν, εἶδος χωριστὸν ἐπιβεβηκὸς τῇ σφαίρᾳ τοῦ παντὸς. ὅθεν ἐστὶν αἰθέριον σῶμα τὸ μέγιστον ὑπ᾽ αὐτοῦ νομιζόμενον. διῃρημένον κατὰ τὰς σφετέρας διαιρέσεις, τῇ μὲν φύσει ἡμῶν συναφθὲν, τῷ δὲ λόγῳ κεχωρισμένον. ὥστ᾽ εἶναι ζῶον σύνθετον ἐκ σώματος καὶ θεότητος καὶ τὸ μὲν αἰθέριον κινούμενον κυκλοφορητικόν. τὴν δὲ ψυχὴν, λόγον ἀκίνητον. αἴτιον τῆς κινήσεως κατ᾽ ἐνέργειαν. στωϊκοὶ τὸν θεὸν πῦρ ἔντεχνον ἢ πνεῦμα νομίζουσιν. ὁδῷ βαδίζον ἐπὶ κόσμου γένεσιν, ἐμπεριειληφὸς πάντας τοὺς σπερματικοὺς λόγους καθ᾽ οὓς ἕκαστα καθ᾽ εἱμαρμένην γίνεσθαι. καὶ διήκειν δι᾽ ὅλου τοῦ κόσμου τὰς προσηγορίας μεταλαμβάνων τε κατὰ τὰς τῆς ὕλης δι᾽ ἧς κεχώρηκε παραλλάξεις. θεὸς δὲ καὶ τὸν κόσμον καὶ τοὺς ἀστέρας, καὶ τὴν γῆν εἶναι νομίζουσι. τὸ δὲ ἀνώτατον πάντων τὸν νοῦν εἶναι τὸν θεόν. Ἐπίκουρος δὲ ἀνθρωποειδεῖς εἶναι τοὺς θεοὺς, λόγῳ δὲ πάνυ θεωρητοὺς διὰ τὴν λεπτομέρειαν τῆς τῶν εἰδώλων φύσεως. ὁ δὲ οὕτω τέτταρας φύσεις κατὰ γένος ἀφθάρτους ὁμοιοτάτας αὐτῷ λέγοντα καὶ ὁμοιομερεῖς καὶ στοιχείων καὶ περὶ αὐτῷ.

Περὶ τοῦ φυσικοῦ.

Ὡς μὲν εἰκὸς ἦν περὶ τῶν συντελούντων εἰς τὸ λογικὸν μέρος τῆς φιλοσοφίας εἰπεῖν, ἐν ἑτέρῳ διήλθομεν διὰ πλειόνων. ἡμεῖς δὲ συντομώτατα περὶ τούτων διαλεχθέντες συμμετρία μὲν ἐπὶ τὰ φυσικώτερα καὶ περὶ τούτων εἰ λέγοι τοῖς πᾶσι ῥᾳδίως ἐπιτιμῶντες μὴ πάνυ δυσχεραίνειν. καὶ περὶ τούτου δυνατὸν εἶναι νομίζομεν ἐμφανῆ καθεστάναι. καὶ τοῖς πρῶτα μαθοῦσιν οὕτως ἂν ὑπολάβωμεν διὰ ῥᾳστώνην ὑπάρχειν ἀπὸ τούτων τὰ περὶ τέλεια τῶν κατὰ φιλοσοφίαν. λαμβανόντων τοίνυν πρότερον ἀπὸ τῶν ἀρχῶν τε καὶ τῶν δραστικῶν καὶ τῶν ὑλικῶν ἡγουμένων τῆς φυσικῆς πραγματείας. τούτοις ἡμῖν εἰκότως διανοηθέντες ἁρμόττειν νομίζομεν αἱ περὶ τούτου ἀρχαὶ ποιεῖσθαι τὸν λόγον. εἰρηκότων τοίνυν ἐκείνων πρὸς τὸ πάντα δραστικώτατον αἴτιον τῶν ὄντων καὶ γινομένων ἐστὶ θεὸς, καὶ νῦν μοι ὡς ἡμῖν ποιητής. Πλάτων μὲν οὖν, καὶ Ζήνων ὁ στωϊκὸς περὶ τῆς οὐσίας τοῦ θεοῦ διεληλυθότες οὐ κόσμον παρὰ ταῦτα διενοήθησαν. ἀλλ᾽ ὁ μὲν Πλάτων, θεὸν ἀσώματον. Ζήνων δὲ σῶμα. περὶ δὲ μορφῆς, μηδὲν εἰρηκότες. Ἐπίκουρος δὲ ἀνθρωπόμορφον τοῦτον ὑπέλαβεν. οἱ στωϊκοὶ δὲ ἰδίαν μὲν ἰδέαν οὐκ ἔχειν διηνεκῶς, πνεῦμα δὲ πυρῶδες ὁμοιούμενον πᾶσι ῥᾳδίως, οἷς ἂν προσεγγύῃ. τόπον δὲ κρατεῖν ὡρισμένον. καὶ κινεῖσθαι μεταβατικῶς μὲν Ἐπίκουρος αὐτὸν εἰπεῖν ἐπεχείρησεν. οἱ δὲ στωϊκοὶ ἔμφυτον μὲν ἐπὶ πάντων διήκειν. ὁμοιούμενον δὲ ἑκάστῳ. κινούμενον καὶ μεταλλάττειν προνοεῖν τε τῶν ἀρχομένων κατ᾽ ἀρετήν. οἱ στωϊκοὶ τὸν θεὸν διηγητικὸν εἰρήκασι. μηδενὸς δὲ τῶν ἁπάντων ἐπιμέλειαν ἔχειν. Ἐπίκουρος δὲ ἰσχυρίζεται λέγων τὸ μακάριον καὶ ἀδιάφθαρτον οὔτ᾽ αὐτὸ πραγματείας ἔχειν. οὔθ᾽ ἑτέρῳ παρέχειν. ἀγαθὸν δὲ πᾶσιν ἀνθρώποις τὸν θεὸν διατελεῖν. Πλάτων δ᾽ ὑπείληφε καὶ πάντων συλλήβδην τῶν κατὰ τὸν βίον καθηγητικὸν. οὐκ ἄλλον νενόμικε. Τὸν κόσμον, οἱ μὲν, γεννητὸν εἶναι νομίσαντες, τὸν θεὸν ἔφασαν γεγονέναι τούτου δημιουργόν. ἄλλοι δὲ γεννητὸν εἶναι συγκεχωρηκότες οὐχ ὁμοίως περὶ τοῦ τέλους κεκρίκασιν. ἀλλὰ Πλάτων μὲν ἀνόλεθρον εἶναι νομίζει καὶ ἀθάνατον διὰ τὴν εὐτεχνίαν τοῦ πεποιηκότος. στωϊκοὶ δὲ φθορᾶς ἐπιδεκτικὸν εἶναι. καὶ διὰ πυρὸς γίνεσθαι τούτου τὴν μεταβολὴν εἰς τὸ ἄπειρον χεομένου. καί τινα χρόνον τῆς ὕλης ἀναπαυομένης. καὶ τῆς ἐπὶ λῆξιν λαμβανούσης. αὖθις δὲ τῶν ὄντων ἀνανεούμενον ἐκ πυρὸς καὶ μεταβάλλων κατ᾽ ἀρχάς εἰς τὴν τῶν ἄλλων στοιχείων φύσιν καὶ πάλιν συγκρινόμενον καὶ σωματοποιούμενον ὑπὸ τοῦ θεοῦ καὶ τὰ πάντα ἐκ νέας κοσμοποιούμενον. οἱ μὲν ἄλλοι πάντες ὑπολαμβάνοντες εἶναι τὸν θεὸν ἁπάντων δημιουργὸν, αὐτῷ μόνῳ τὴν αἰτίαν τῶν γενομένων προσάπτειν ἐπικεχειρήκασι. Πλάτων δὲ καὶ τὰς ἰδέας εἰσήγαγεν. εἰς ὅσα μὲν ἀπεργάσασθαι δύναται. εἰσάγουσι δὲ καὶ τὴν ἄποιον ὕλην ὡς οὐκ ἄνευ ταύτης τὰ καθ᾽ ἕκαστα συντελεῖσθαι, δεδώκασιν. ἀλλὰ ταύτης τε ὑπ᾽ αὐτῆς τὰ ἀποτελέσματα γίγνεσθαι. καὶ περὶ μὲν τῆς δραστικῆς διεξελθεῖν ἂν εἴη καιρός. οἱ Κωικοὶ δὲ περὶ ταύτης εἰπόντες εἶναι μὲν ἀρχὴν ὑλικὴν ἅπαντες ὁμοίως δεδώκασιν. οὐ μὴν ἅπαντες εἶναι τὴν αὐτήν. ἀλλὰ Φερεκύδης μὲν ὁ σύριος γῆν εἶναι ταῦτα ἐνόμισε. Θαλῆς δὲ ὕδωρ. Ἀναξίμανδρος δὲ αἰθέρα. Ἀναξιμένης δὲ καὶ Διογένης ὁ ἀπολλωνιάτης, ἀέρα. πῦρ δὲ Ἱππέας ὁ μεταποντῖνος. Ξενοφάνης δ᾽ ὁ κολοφώνιος, γῆν καὶ ὕδωρ. Ἵππων δὲ ὁ ῥηγῖνος πῦρ καὶ ὕδωρ. Οἰνοπίων δὲ ὁ χῖος, πῦρ καὶ ἀέρα. Δημόκριτος δὲ ἐν τοῖς σοφιστικοῖς, γῆν καὶ πῦρ καὶ ὕδωρ. οἱ στωϊκοὶ δὲ τέσσαρα στοιχεῖα. γῆν καὶ πῦρ, καὶ ὕδωρ καὶ ἀέρα. Ἀριστοτέλης δὲ τούτοις προσέθηκε καὶ τὸ κυκλοφορικὸν σῶμα. Ἐμπεδοκλῆς δὲ τέτρασι στοιχείοις προσήγαγε, τῆς μὲν τεσσάρων στοιχείων ὑλικῶν ὄντων τῆς φιλίας ταῦτα συγκρινούσης, τοῦ δὲ νείκους διαλύοντος καὶ διακρίνοντος. Δημόκριτος δὲ καὶ Ἐπίκουρος τὰς ἀτόμους ἀρχὰς πάντα νομίζουσιν. Ἡρακλείδης δὲ ὁ ποντικὸς καὶ Ἀσκληπιάδης ὁ Βυθινὸς ἀνάρμους ὄγκους τὰς ἀρχὰς ὑποτιθέντες τῶν ὅλων. Ἀναξαγόρας δὲ ὁ κλαζομένιος τὰς ὁμοιομερείας. Διόδωρος δὲ ὁ κρόνος ἐπικεκλημένος ἀμερῆ καὶ ἐλάχιστα σώματα. Πυθαγόρας δὲ τὸν ἀριθμὸν, μαθηματικοὶ δὲ τὰ πέρατα τῶν σωμάτων. Στράτων δὲ ὁ φυσικὸς προωνομασμένας τὰς ποιότητας. Ἀρχὴν δὲ καὶ αἰτίαν, τινὲς μὲν ᾠήθησαν μηδὲν ἀλλήλων διαφέρειν. τινὲς δὲ τὴν ἀρχὴν καθηγητικὴν πάντων εἶναι νομίζουσιν, οὐκ αἰτίαν οὖσαν τοῦ παντὸς ἀποτελέσματος, τοῦ δὲ ἐν ἑκάστῳ τρόπῳ εἶναι δοκοῦν τὸ αἴτιον ἡγήσατο καθεστάναι, δι᾽ ὃ γίγνεται τὰ ἀποτελέσματα, αἰτίας δὲ ὑπέθεντο τέσσαρας. εἰ καταρκτικὸς ὁ πεποιηκὼς παραμεμένηκεν, καὶ οὐ παρόντος τὸ ἀποτέλεσμα πάρεστι. καὶ πεπαυμένου παρήλλακται, καὶ αὐξομένου εἰς ἐπίδοσιν πρόεισι. καὶ μειούμενα ἢ ἐλάττω τὰ συναίτια. ὑπάρχειν ἔφασαν ὑπὸ τῆς ἴσην δύναμιν συμβάλλεσθαι πρὸς τὸ ἀποτέλεσμα. ὡς ἐπὶ τῶν ἀροτικῶν.

συνεργεῖν δὲ δοκεῖ τὸ μικρὰν ῥοπὴν πρὸς τὸ ἀποτέλεσμα εἰσάγον ὡς περὶ δεῖν δοκεῖν ἀμφοτέροιν ὁ δύσκολος καὶ ῥᾷον οἰσόντων. ἡ τρίτη ἐπείγετο συνδιακουφίζων.

περὶ ἀποδεικτικῆς.

Ἐπειδὴ δοκεῖ τῷ λογικῷ μέρει τῆς φιλοσοφίας προσήκειν ὁ περὶ τῶν ἀναποδείκτων λόγος, εὔλογόν ἐστι καὶ περὶ τούτου εἰπεῖν ἀναποδείκτους καλῶ συλλογισμοὺς τοὺς διὰ τὰς τὴν ἀπόδειξιν, ἢ οὐ δεομένους ἑτέρου μηνύματος. εἰσὶ δὲ οἵδε. οὐκ ἐκ συνημμένου τοῦ ἡγουμένου τὸ λογικὸν ὁ ἐπιφέρων οἷον, ἡμέρα ἐστί, φῶς ἐστι, δεύτερος δὲ ὁ ἐκ ἡγουμένου καὶ τοῦ ἀντικειμένου τοῦ λήγοντος, τὸν ἀντικείμενον τοῦ ἡγουμένου ἐπιφέρων οἷον ἡμέρα ἐστί, φῶς ἐστι. τρίτος δὲ ὁ ἐκ ἀποφαντικῆς συμπλοκῆς καὶ ἑνὸς τῶν ἐν τῇ συμπλοκῇ τὸ ἀντικείμενον τοῦ λοιποῦ ἐπιφέρων. οὐχὶ καὶ ἡμέρα ἐστὶ καὶ νύξ ἐστι. τέταρτος δὲ ἐκ διαζευγμένου καὶ ἑνὸς τῶν ἀντικειμένων τοῦ λοιποῦ ἐπιφέρων. εἰ τοίνυν ἡμέρα ἐστί, νὺξ οὐκ ἔστι. ἀλλὰ μὴν ἡμέρα οὐκ ἔστι, νὺξ ἄρα ἐστί. πέμπτος ὁ διεζευγμένος καὶ τοῦ ἀντικειμένου ἑνὸς τῶν ἐν τῷ διεζευγμένῳ τοῦ ἀντικειμένου τοῦ λοιποῦ ἐπιφέρων. οἷον ἡμέρα ἐστί, νὺξ ἐστιν. ἀλλὰ μὴν ἡ νὺξ οὐκ ἔστιν, ἡμέρα οὐκ ἔστιν.

περὶ ἡρώων καὶ δαιμόνων.

Θαλῆς μὲν καὶ Πλάτων καὶ Πυθαγόρας, καὶ πρὸς τούτοις οἱ στωϊκοὶ γιγνώσκουσιν ὁμοίως εἶναι, καὶ τούτοις οὐσίαις φυσικαῖς. τοὺς δὴ ἥρωας, ψυχὴν κεχωρισμένην τῶν σωμάτων. τὰς μὲν ἀγαθάς, τῶν τὸν βίον διαγόντων ἄριστα ἀνθρώπων. κακὰς δὲ τῶν πονηρῶν. Ἐπίκουρος δὲ οὐδὲ τούτους τούτων εἶναι συγκεχώρηκε.

περὶ χρόνου.

Τὸν χρόνον εἶναι Πυθαγόρας ὑπείληφε τὴν σφαῖραν τοῦ περιέχοντος. Πλάτων δὲ διάστημα τῆς τοῦ κόσμου κινήσεως. Ἐρατοσθένης δὲ τὴν τοῦ κόσμου πορείαν.

περὶ οὐσίας χρόνου.

Τοῦ δὲ χρόνου τὴν οὐσίαν οἱ στωϊκοὶ ἡλίου τὴν κίνησιν νομίζουσι. Πλάτων δέ, τὴν πορείαν ταύτην. καὶ τινὲς μὲν ἀγένητον τὸν χρόνον εἶναι. Πλάτων δὲ γεννητόν.

περὶ γενέσεως καὶ φθορᾶς.

Οἱ περὶ Μέλισσον καὶ Ζήνωνα τὸν Ἐλεάτην καὶ Παρμενίδην, γένεσιν καὶ φθορὰν εἰρήκασιν, ἀκίνητον εἶναι τὸ πᾶν ὑπολαβόντες, Ἐμπεδοκλῆς δὲ καὶ Ἐπίκουρος, καὶ ὅσοι κατὰ συναθροισμὸν τῶν λεπτῶν σωμάτων κοσμοποιοῦσι, σύγκρισιν μὲν καὶ διάκρισιν εἰσάγουσι. γενέσεις δὲ καὶ διακρίσεις καὶ φθορὰς οὐκ οἰκείως, οὐ γὰρ κατὰ ποιὰν ἀλλοίωσιν, ἀλλὰ κατὰ παράθεσιν καὶ συναθροισμὸν γίνεσθαι τὰ πάντα νομίζουσι. Πυθαγόρας δέ, καὶ ὅσοι παθητὴν ὕλην ὑποτίθενται κυρίως, γένεσιν καὶ φθορὰν λέγουσι γίνεσθαι, καὶ ἀλλοιώσεις καὶ τροπὰς στοιχείων καὶ διαλύσεις.

περὶ ἀνάγκης.

Τὴν ἀνάγκην Θαλῆς ἰσχυροτάτην εἶναί φησι. κρατεῖν γὰρ αὐτὴν τοῦ παντός. Πυθαγόρας δὲ περὶ κόσμῳ τὴν ἀνάγκην περικεῖσθαι ὑπολαμβάνει. Παρμενίδης δὲ καὶ Δημόκριτος πάντα κατὰ ἀνάγκην συμβαίνειν εἰρήκασιν. εἶναι δὲ τὴν αὐτὴν εἱμαρμένην καὶ δίκην καὶ πρόνοιαν. Πλάτων δὲ τὰ μὲν εἰς πρόνοιαν. τὰ δὲ εἰς ἀνάγκην ἀνάγεσθαι.

Τίς οὐσία ἀνάγκης.

Τῶν ἀρχῶν καὶ τῶν στοιχείων αἰτίαν χρησικὴν τὴν ἀνάγκην. Ἐμπεδοκλῆς δὲ ἡγεῖται. Δημόκριτος δέ, τὴν ἀντιτυπίαν καὶ φορὰν καὶ πληγὴν τῆς ὕλης. Πλάτων δὲ ὅτε μὲν τὴν ὕλην, ὅτε δὲ τὴν τοῦ ποιοῦντος πρὸς αὐτὴν σχέσιν.

περὶ εἱμαρμένης.

Ἡράκλειτος οὐσίαν εἱμαρμένης λόγον διὰ παντὸς διήκοντα. ἡ δὲ εἱμαρμένη ἐστὶν αἰθέριον σῶμα. σπέρμα τῆς τοῦ παντὸς γενέσεως, Πλάτων λόγον ἀΐδιον καὶ νόμον ἀΐδιον τῆς τοῦ παντὸς φύσεως. Χρύσιππος δύναμιν πνευματικὴν καὶ τάξιν τοῦ παντὸς διοικητικήν. καὶ πάλιν ἐν τοῖς ὅροις λέγει τὴν εἱμαρμένην, καθ' ἣν τὰ μὲν γεγονότα γέγονε, τὰ δὲ γινόμενα, γίνεται, τὰ δὲ γενήσεται. οἱ δὲ ἄλλοι στωϊκοὶ εἱρμόν. Ποσειδώνιος δὲ τρίτον ἀπὸ Διός. πρῶτον γὰρ εἶναι τὸν Δία, εἶτα τὴν φύσιν, εἶτα τὴν εἱμαρμένην.

περὶ τύχης.

Πλάτων αἰτίαν ἐν προαιρετικοῖς κατὰ συμβεβηκὸς παρακολούθημα. Ἀναξαγόρας δὲ καὶ στωϊκοί, αἰτίαν ἄδηλον ἀνθρωπίνων λογισμῶν καὶ τὰ μὲν εἶναι κατὰ ἀνάγκην. τὰ δὲ κατὰ τύχην. τὰ κατὰ αὐτόματον.

περὶ κόσμου.

Πυθαγόρας πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχήν, κόσμον, ἐκ τῆς ἐν αὐτῷ τάξεως. Θαλῆς ἕνα τὸν κόσμον. Δημόκριτος καὶ Ἐπίκουρος καὶ ὁ τούτου καθηγητὴς Λεύκιππος, ἀπείρους κόσμους ἐν τῷ ἀπείρῳ κενῷ. Ἐμπεδοκλῆς τὸν τοῦ ἡλίου δρόμον εἶναι περιγραφὴν τοῦ πέρατος τοῦ κόσμου. οἱ στωϊκοὶ διαφέρειν τὸ πᾶν καὶ τὸ ὅλον. τὸ μὲν γὰρ ἅπαν εἶναι σὺν τῷ κενῷ ἀπείρῳ. ὅλον δὲ χωρὶς τοῦ κενοῦ εἶναι πολὺ καὶ κόσμους.

περὶ σχήματος.

Οἱ μὲν στωϊκοὶ τὸν κόσμον σφαιροειδῆ. ἄλλοι κωνοειδῆ. ἄλλοι κυκλοειδῆ Ἐπίκουρος ἐνδέχεσθαι τούτου ἕκαστον.

Εἰ ἔμψυχος ὁ κόσμος.

Οἱ μὲν ἄλλοι πάντες ἔμψυχόν τε τὸν κόσμον καὶ προνοίᾳ διοικούμενον. Δημόκριτος δὲ καὶ Ἐπίκουρος καὶ ὅσοι εἰσάγουσιν, οὐδέτερον τούτων συγχωροῦσι, φύσει δὲ τὸ ἄτομον τινὶ ἀλόγῳ διοικεῖσθαι. Ἀριστοτέλης οὔτε ἔμψυχον εἶναι ὅλον δι' ὅλου αἰσθητὸν οὔτε προνοίᾳ διοικούμενον, τὰ μὲν γὰρ οὐράνια, τούτων πάντα μετέχειν. σφαίρας γὰρ περιέχειν ἔμψυχον καὶ ζωτικόν. τὰ δὲ περὶ γῆν μηδενὸς τούτων μετειληφέναι. μήτε προηγουμένως. μήτε συμβεβηκός.

Εἰ ἄφθαρτος ὁ κόσμος.

Τὸν Πυθαγόραν τε καὶ Πλάτωνα ὑπὸ θεοῦ γεγονέναι τὸν κόσμον, καὶ πάντας τοὺς διαδεδεγμένους τούτους ὑπο-

λαμβάνειν εἰρήκασι. καὶ εἶναι μὲν ὅσον ἐπὶ τῇ φύσει φθαρτὸν, αἰσθητὸν ὑπάρχειν, οὐ μὴν φθαρησόμενον προνοίᾳ τοῦ πεποιηκότος. Ἐπίκουρος δὲ καὶ οἱ Στωϊκοί, φθαρτὸν νομίζουσιν, ὅτι γεννητόν. Ἀριστοτέλης δὲ τὸ ὑπὸ τὴν σελήνην μέρος παθητὸν καὶ φθαρτὸν, ἐν ᾧ τὰ περίγεια κηραίνεται.

Πόθεν τρέφεται ὁ κόσμος.

Ἀριστοτέλης εἰ τρέφεται, φθαρήσεσθαι νενόμικεν. οὐδέτερον δὲ τούτῳ περὶ κόσμου συμβεβηκέναι. Πλάτων ἐκ τοῦ φθίνοντος κατὰ μεταβολὴν τρέφεσθαι τοῦτόν φησι. Φιλόλαος ὁ Πυθαγόρειος διττὴν εἶναι φθορὰν ὑπέλαβεν. τὸ μὲν, ἐξ οὐρανοῦ πυρὸς ῥυέντος. τὸ δὲ ἐξ ὕδατος σεληνιακοῦ, περὶ τοὺς ἀστέρας ὑπερχόμενον.

Ἀπὸ ποίου στοιχείου ἤρξατο ὁ θεὸς κοσμοποιεῖν.

Οἱ φυσικοὶ ἀπὸ γῆς ἄρξασθαι λέγουσιν αὐτὸν, καθάπερ ἀπὸ κέντρου. Πυθαγόρας δὲ ἀπὸ πυρός. Ἐμπεδοκλῆς τὸν μὲν αἰθέρα πρῶτον διακριθῆναί φησι. δεύτερον δὲ πῦρ. ἐφ' ᾧ γῆν ἐξ [illegible]. εἶτα ὕδωρ. ἐξ οὗ ἀναθυμιαθῆναι τὸν ἀέρα. γενέσθαι δὲ τὸν μὲν οὐρανὸν ἐκ τοῦ † ἀέρος. τὸν δὲ † πλεῖστον ἐκ τοῦ πυρός. Πλάτων δὲ γεγονέναι τὸν κόσμον, ὃν γίγνεται πρὸς παράδειγμα τοῦ νοήματος. τοῦ δὲ ὁρατοῦ, πρότερον μὲν τὴν ψυχήν. μετὰ δὲ τοῦ σώματος τὸ εἶδος γεγονέναι ἐκ τοῦ πυρὸς μὲν καὶ γῆς πρῶτον, ὕδατος δὲ καὶ ἀέρος δεύτερον. Πυθαγόρας σώματα τῶν στερεῶν ὄντων ἅπερ καλεῖ μαθηματικά. ἐκ μὲν γὰρ τοῦ κύβου γεγονέναι τὴν γῆν φησι. ἐκ δὲ τῆς πυραμίδος, τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα. ἐκ δὲ τοῦ εἰκοσαέδρου τὸ ὕδωρ. ἐκ δὲ τοῦ δωδεκαέδρου, τὴν τοῦ παντὸς σφαῖραν, Πλάτων δὲ συμφέρεται καὶ ἐν τούτῳ, περὶ Πυθαγόρᾳ.

† al. αἰθέρος
† al. ἥλιον

Περὶ † ἕξεως.

† al. τάξεως

Παρμενίδης. στεφάνους εἶναι πεπλεγμένους περὶ ἀλλήλους. τὴν μὲν ἐκ τοῦ ἀραιοῦ, τὴν δὲ ἐκ τοῦ πυκνοῦ. καὶ τὸ περιέχον δὲ τὸ πᾶν στοιχεῖον δίκην στεφάνου στερεὸν εἶναι πρώτῳ πυρί. μεθ' ὃ αἰθέρα, εἶτ' ἀέρα, μεθ' ὃ ὕδωρ. Ἐμπεδοκλῆς δὲ μὴ διὰ παντὸς ἑστῶτα εἶναι, μὴ δὲ ὡρισμένους τόπους τῶν στοιχείων ὑπείληφεν, ἀλλὰ πάντα ἄλλων ἀντιλαμβάνειν.

Τίς αἰτία τοῦ τὸν κόσμον κλιθῆναι.

Διογένης καὶ Ἀναξαγόρας, μετὰ τὸ συστῆναι τὸν κόσμον καὶ τὰ ζῷα ἐκ τῆς γῆς συμφῦναι τὸν κόσμον ἐκ τοῦ αὐτομάτου εἰς τὸ μεσημβρινὸν κλιθῆναι πῶς ὑπὸ προνοίας, ἵνα τινὰ μὲν, ἀοίκητα γένηται, τινὰ δὲ οἰκητὰ κατὰ ψῦξιν καὶ ἐκπύρωσιν. Ἐμπεδοκλῆς τοῦ πυρὸς εἴξαντος τῇ τοῦ † πλείστου ὁρμῇ ἐπικλῖναι τοὺς ἄρκτους. καὶ τὰ μὲν βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι.

† al. ἡλίου

Περὶ τοῦ ἐκτός.

Ἐκτὸς εἶναι τοῦ κόσμου † ἔθ' ἀναπνεῖν τὸν κόσμον καὶ ἐξ οὗ. οἱ δὲ Στωϊκοὶ † ἔθ' ἀναπνεῖν μόνον. Πλάτων δὲ μήτε ἐκτὸς εἶναι τοῦ κόσμου, μήτ' ἐντὸς κενόν. † ἐκτὸς δὲ μικρόν τι † ἔθ' ἀναπνεῖν.

† al. εἰς ὃ
al. εἰς ὃ

Τίνα δεξιὰ τοῦ κόσμου.

Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης δεξιὰ τοῦ κόσμου ἔφασαν εἶναι τὰ ἑῷα, ἀφ' ὧν ἀρχὴν εἶναι τῆς κινήσεως ἀριστερὰ δὲ, τὰ ἑσπέρια. Ἐμπεδοκλῆς δὲ δεξιὰ εἶναι τὰ κατὰ τῶν θερινῶν τροπικῶν. ἀριστερὰ δὲ τὰ κατὰ τῶν χειμερινῶν.

† al. Ἀριστοτέλ.
al. εἰς ὃ

Περὶ οὐρανοῦ.

Ἀναξιμένης τὴν περιφορὰν τὴν ἐξωτάτην γηΐνην εἶναι. Ἐμπεδοκλῆς δὲ στερέμνιον τὸν οὐρανὸν ὑπάρχειν οἴεται, ἐξ ἀέρος παγέντος ὑπὸ πυρὸς κρυσταλλοειδοῦς, τό, τε πυρῶδες ἑκάτερα τὰ ἡμισφαίρια περιέχον. Ἀριστοτέλης ἐκ πέμπτου σώματος πύρινον εἶναι τὸν οὐρανὸν ἐκ θερμοῦ καὶ ψυχροῦ συνεστῶτα.

Περὶ διαιρέσεως οὐρανοῦ.

Θαλῆς τὸν οὐρανὸν, μεμερίσθαι τὰς τοῦ παντὸς σφαίρας εἰς κυκλοειδεῖς τινὰς προσαγορευομένας ζώνας. καλεῖσθαι δὲ αὐτῶν τὸν μὲν ἀρκτικὸν, καὶ ἐμφανῆ. τὸν δὲ τροπικὸν θερινόν. τὸν δὲ χειμερινὸν τροπικόν, τὸν δὲ ἰσημερινόν. τὸν δὲ ἀνταρκτικὸν ἀφανῆ. λοξὸν δὲ τοῖς τρισὶ μέσον τὸν καλούμενον ζῳδιακὸν ὑποβεβλῆσθαι. Πυθαγόρας δὲ πρῶτος ἐπινενοηκέναι. † λέγεται τὴν λόξωσιν τοῦ Ζῳδιακοῦ κύκλου, ἣν Οἰνοπίδης ὁ Χῖος ὡς ἐπίνοιαν ἰδίαν σφετερίζεται.

† al. λέγεται δὲ τὸ λόξωσιν

Τίς ἐπίνοια οὐσίας τῶν πλανητῶν καὶ ἀπλανῶν.

Θαλῆς μὲν ὑπολαμβάνει γεώδη εἶναι τὰ ἄστρα, ἔμπυρα δέ. Ἐμπεδοκλῆς δὲ πύρινα μόνα. Ἀναξαγόρας δὲ τὸν περικείμενον αἰθέρια, ἀέρα πύρινον ὄντα. τῇ δὲ εὐτονίᾳ τῆς περιδινήσεως ἀναρπάσαντα πέτρους ἀπὸ τῆς γῆς καὶ καταφλέξαντα τούτους ἠστερικέναι. Διογένης δὲ κισηροειδῆ τὰ ἄστρα λέγει. διάπνοιαν αὐτὰ νοεῖται κόσμου. Πλάτων δὲ ἐκ μὲν τοῦ πλείστου μέρους, πυρίνους εἶναι τοὺς ἀστέρας ὑπολαμβάνει, μετέχοντας δὲ τῶν ἄλλων στοιχείων † κόμης τρόπον. Ξενοφάνης δὲ ἐκ νεφῶν πυρωμένων συνεστάναι τοὺς ἀστέρας ἡγεῖται, σβεννυμένους δὲ καθ' ἑκάστην ἡμέραν, ἡγεῖται ἀναζωπυρεῖσθαι νύκτωρ, καθάπερ τοὺς ἄνθρακας. τὰς γὰρ ἀνατολὰς καὶ δύσεις ἐξάψεις εἶναι καὶ σβέσεις. Ἡρακλείδης δὲ καὶ οἱ Πυθαγόρειοι ἕκαστον τῶν ἀστέρων κοινὸν εἶναι νομίζουσι, γῆν περιέχοντα καὶ αἰθέρα ἐν περὶ ἀπείρῳ ἀέρι. ταῦτα δὲ τὰ δόγματα ἐν ἐνίοις ὀρφικοῖς φέρεσθαι λέγουσι κοσμοποιοῦσι τῶν ἀστέρων ἕκαστον. οὐδὲ ἐν ἀπογιγνώσκει Ἐπίκουρος τούτων ἐχόμενος τοῦ ἐνδεχομένου. οἱ Στωϊκοὶ σφαιρικοὺς τοὺς ἀστέρας καθάπερ τὸν κόσμον οἴονται καὶ ἥλιον καὶ σελήνην. Κλεάνθης κωνοειδεῖς, Ἀναξιμένης ἥλων δίκην καταπεπῆχθαι περὶ κρυσταλλοειδεῖ. ἔνιοι πέταλον πύρινον νομίζουσιν εἶναι ὥσπερ ζωγραφήματα τοὺς ἀστέρας.

† al. κόλλης

περὶ τάξεως.

Ξενοφάνης κατ' ἐπιφάνειαν οἴεται κινεῖσθαι τοὺς ἀστέρας. Δημόκριτος τὰ μὲν ἀφανῆ πρῶτα. μετὰ δὲ ταῦτα τοὺς πλανήτας, ἐφ' οἷς ἥλιος καὶ σελήνη. Πλάτων † τοὺς ἀφανεῖς λέγων φαίνεσθαι τοῦ Κρόνου. δεύτερον φαέθοντα τοῦ Διός. τρίτον πυρόεντα τὸν τοῦ Ἄρεως. τέταρτον φωσφόρον τὸν τῆς Ἀφροδίτης. πέμπτον στίλβοντα τὸν τοῦ Ἑρμοῦ. ἕκτον ἡλίου. ἕβδομον σελήνης. τῶν μαθηματικῶν τινὲς μὲν ὡς Πλάτων. τινὲς δὲ μέσον πάντων τὸν ἥλιον. † μετὰ δ' αὐτὸν τὴν σελήνην.

† al. μετὰ τὴν ἀπλανῆ λέγει πρῶτον φαίνοντα
† al. deest aliquantū ex Plu.

περὶ τῆς τῶν ἀστέρων κινήσεως.

Ἀναξαγόρας καὶ Δημόκριτος καὶ Κλεάνθης ἀπὸ ἀνατολῆς εἰς δυσμὰς φέρεσθαι τοὺς ἀστέρας νομίζουσιν. Ἀλκμαίων καὶ οἱ μαθηματικοὶ τοὺς ἀστέρας τοὺς πλανήτας ἀπὸ δυσμῶν εἰς ἀνατολὴν ἀνταναφέρεσθαι τὸν ἥλιον πρῶτον. καὶ οἱ μαθηματικοὶ ἰσοδρόμον εἶναι τὸν ἥλιον, τὸν φωσφόρον, τὸν στίλβοντα.

Πόθεν φωτίζονται οἱ ἀστέρες.

Μητρόδωρος ἅπαντας τοὺς ἀστέρας τοὺς ἀφανεῖς ὑπὸ τοῦ ἡλίου προσλάμπεσθαι.

περὶ διοσκούρων.

Ξενοφάνης τοὺς ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας, νεφέλην εἶναι κατὰ τὴν ποιὰν κίνησιν περιλάμπουσαν. Μητρόδωρος τῶν ὁρώντων ὀφθαλμῶν μετὰ δέους στιλβηδόνα εἶναι.

περὶ ἐπισημασίας.

Πλάτων τὰς ἐπισημασίας τὰς χειμερινὰς καὶ τὰς θερινὰς κατὰ τὰς τῶν ἀστέρων ἐπιτολὰς γίνεσθαι.

περὶ ἡλίου.

Ἀναξίμανδρος τὸν κύκλον αὐτοῦ εἶναι ὀκτὼ καὶ εἰκοσαπλάσιον τῆς γῆς ἁρματείῳ τροχῷ τὴν ἀψῖδα παραπλησίως ἔχοντα κοίλην καὶ πλήρη πυρὸς κατὰ μέρος διὰ στομίου τὸ πῦρ ὡς δι' αὐλοῦ πρὸς ἡμᾶς ἐκπέμπεσθαι. οἱ στωϊκοὶ † νάμα νοερὸν ἐκ θαλάσσης. Πλάτων ἐκ πλείστου πυρός. Ἀναξαγόρας καὶ Δημόκριτος καὶ Μητρόδωρος πέτρον ἢ μύδρον διάπυρον. Φιλόλαος ὁ Πυθαγόρειος ὑαλοειδῆ δεχόμενον τοῦ ἐκ κόσμου πυρὸς τὴν † δὐάως, διηθοῦντα δὲ πρὸς ἡμᾶς τὸ φῶς. ὥστε τρεῖς εἶναι ἐν τῷ ἡλίῳ διαφοράς. τὸ ἐν τῷ οὐρανῷ πυρῶδες τὸ ἀπὸ τοῦ πυροειδοῦς. τρίτον ἀπὸ τοῦ τοῦ ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς. Ἐμπεδοκλῆς δύο ἡλίους τὸν μὲν * ἄριστον ἡμισφαίριον. τὸν δὲ φαινόμενον ἐν ταυτῷ ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ. Ἐπίκουρος γῆς ἴδιον. κύκλῳ μὲν κισσηροειδῆ καὶ σπογγοειδῆ ταῖς κατατρήσεσιν ἐνημμένον. Ἡράκλειτος ἄναμμα ἐν μὲν ταῖς ἀνατολαῖς τὴν ἔξαψιν ἔχοντα. τὴν δὲ σβέσιν ἐν ταῖς δυσμαῖς.

† αλ. ἀνάμμα

† αλ. ἀνταύγειαν

περὶ μεγέθους ἡλίου.

Ἀναξίμανδρος τὸν μὲν ἥλιον ἴσον εἶναι τῇ γῇ. τὸν δὲ πόλον ἀφ' οὗ τὴν ἐκπνοὴν ἔχει ἑπτάκις καὶ εἰκοσαπλασίως τῆς γῆς. Ἀναξαγόρας πολυπλάσιον τῆς γῆς. Ἐπίκουρος τοιοῦτος οἷος φαίνεται, ἢ μικρῷ μείζων, ἢ ἐλάττων.

περὶ σχήματος ἡλίου.

Ἀναξιμένης πλατὺν εἶναι τὸν ἥλιον οἴεται ὥσπερ οἷον πέταλον, καὶ τὰ ἄστρα. Ἐπίκουρος δέχεσθαι τὰ προειρημένα πάντα.

περὶ τροπῶν ἡλίου.

Ἀναξιμένης ὑπὸ πεπυκνωμένου ἀέρος καὶ ἀντιτύπου ἐξωθεῖσθαι τὰ ἄστρα. Ἀναξαγόρας ἀπὸ τοῦ πρὸς ταῖς ἄρκτοις ἀέρος τῆς πυκνώσεως ἰσχυρότερον ποιεῖν. Ἐμπεδοκλῆς ὑπὸ τῆς περιεχούσης αὐτὰ σφαίρας κωλυόμενον μέχρι παντὸς εὐθυπορεῖν. καὶ ὑπὸ τὸν τροπικὸν κύκλον εἰργόμενον. Διογένης ὑπὸ τοῦ ἀντιπίπτοντος τῇ θερμότητι ψύχους σβέννυσθαι. οἱ στωϊκοὶ κατὰ τὸ διάστημα τῆς ὑποκειμένης τροφῆς διιέναι τὸν ἥλιον. ὠκεανὸν δὲ καὶ τὴν θάλασσαν παρέχειν τῷ ἡλίῳ τροφὴν τὴν αὐτοῦ ὑγρότητα ἔχουσαν ἐν αὐτῷ καὶ τὴν γεώδη ἀναθυμίασιν.

περὶ ἐκλείψεως ἡλίου.

Θαλῆς πρῶτον εἶπεν ἐκλείπειν τὸν ἥλιον τῆς σελήνης αὐτὸν ὑπερχομένης κατὰ κάθετον οὔσης φύσει γεώδους. Ἀναξίμανδρος τοῦ στόματος τῆς τοῦ πυρὸς διεκπνοῆς ἀποκλινομένου. Ξενοφάνης κατὰ σβέσιν τὴν ἔκλειψιν γίνεσθαι, ἕτερον δὲ πάλιν πρὸς ταῖς ἀνατολαῖς ἐξάπτεσθαι. παρεισήγαγε δὲ καὶ ἔκλειψιν ἐντελῆ, ὥστε τὴν ἡμέραν ἀφανῆ εἶναι. Ἀρίσταρχος κατὰ τῆς γῆς σκιάζεσθαι τὸν δίσκον τοῦ ἡλίου.

περὶ σελήνης.

Ἀναξίμανδρος, κύκλον εἶναι ἑκκαιδεκαπλασίονα τῆς γῆς. Ξενοφάνης δὲ εἶναι νέφος πεπυρωμένον. οἱ στωϊκοὶ μικτὴν εἶναι τὴν σελήνην ἐκ πυρὸς καὶ γεώδους ὠήθησαν. Πλάτων ἐκ πλείονος πυρός. Ἀναξαγόρας καὶ Δημόκριτος στερέωμα διὰ πυρός, ἔχον ἐν ἑαυτῷ πεδία, καὶ ὄρη καὶ φάραγγας. οἱ στωϊκοὶ μείζονα τῆς γῆς νομίζουσι τὴν σελήνην, ὡς καὶ τὸν ἥλιον. Παρμενίδης ἴσην τῷ ἡλίῳ καὶ ἐξ αὐτοῦ φωτίζεσθαι.

περὶ σχήματος.

Οἱ στωϊκοὶ τὴν σελήνην σφαιροειδῆ ὡς καὶ τὸν ἥλιον νομίζουσιν. Ἡράκλειτος δὲ σφαιροειδῆ. Ἐμπεδοκλῆς δὲ δισκοειδῆ. ἄλλοι δὲ κυλινδροειδῆ. σχηματίζεται δὲ ἡ σελήνη ἑπταχῶς. ὅτε γὰρ τίκτεται, δοκεῖ φαίνεσθαι μηνοειδής. διχότομος. εἶτ' ἀμφίκυρτος. εἶτα πανσέληνος. εἶτα πάλιν ἐπαναχωροῦσα αὖθις γίνεται ἀμφίκυρτος, εἶτα διχότομος. καὶ τὸ ὕστερον μηνοειδής. εἶτ' ἀφανὴς κατὰ τὴν καινήν. πλεῖστος γίνεται περὶ αὐτῆς λόγος. λέγεται τοίνυν σχηματίζεσθαι τὸν τρόπον σκιαζούσης ἑκάστοτε τῆς γῆς, πρῶτον μὲν κατὰ τὸ μόριον ἑαυτοῦ. ποτὲ δὲ κατὰ τὸ παντελὲς ὑπορρεούσης τῆς σελήνης εἰς τὸ κοῖλον τῆς γῆς.

περὶ φωτισμοῦ σελήνης.

Ἀναξίμανδρος ἴδιον ἔχειν αὐτὴν φῶς εἴρηκεν. ἀραιότερον δὲ πῶς. Θαλῆς δὲ ἀπὸ τοῦ ἡλίου φωτίζεσθαι τὴν σελήνην.

περὶ ἐκλείψεως.

Ἀναξίμανδρος μὲν ὑπέλαβε τοῦ στομίου περὶ τὸν τροχὸν ἐμφραττομένου, καὶ τὴν σελήνην ἐκλείπειν. τῶν Πυθαγορείων. δὲ τινὲς κατὰ ἀνταύγειαν καὶ ἀντίφραξιν τῆς τε γῆς καὶ ἀντίχθονος. Πλάτων δὲ καὶ Ἀριστοτέλης καὶ οἱ στωϊκοί, ἔτι δὲ καὶ οἱ μαθηματικοὶ τὰς μὲν μηνιαίους συνοδεύουσαν τῷ ἡλίῳ καὶ περιλαμπομένην ποιεῖσθαι. τὰς δὲ ἐκλείψεις σκιαζομένην ὑπὸ τὴν γῆν.

Διὰ τί γεώδης φαίνεται ἡ σελήνη.

Οἱ πυθαγόρειοι γεώδη φαίνεσθαι τὴν σελήνην οἴονται, διὰ τὸ περιοικεῖσθαι ταύτην ὑπὸ μειζόνων ζώων καὶ

φυτῶν καὶ καλλιόνων. εἶναι γὰρ πεντεκαιδεκαπλάσια τὰ ἐφ' αὐτῷ ζῶα τῇ δυνάμει μηδὲν περιττώματος κοινὸν ἀποκρίνοντα. καὶ τὴν ἡμέραν τοσαύτην εἶναι τῷ μήκει. Αναξαγόρας ἀνωμαλότητα τοῦ συγκρίματος, διὰ τὸ ψυχρομιγὲς ἅμα καὶ γεῶδες. περιμεμίχθαι δὲ τῷ πυρώδει τὸ ζοφῶδες.

περὶ τῶν διαστημάτων τῆς σελήνης.

Εμπεδοκλῆς διπλάσιον ἀπέχειν τὴν σελήνην ἀπὸ τοῦ ἡλίου ἤπερ ἀπὸ τῆς γῆς. οἱ μαθηματικοὶ ὀκτωκαιδεκαπλάσιον. Ερατοσθένης τὸν ἥλιον ἀπέχειν τῆς γῆς σταδίων μυριάδας, τρεῖς καὶ ὀκτάκις μυριάδας. τὴν δὲ σελήνην τῆς γῆς ἀπέχειν σταδίων μυριάδων ἑβδομηκονταοκτώ.

περὶ ἐνιαυτοῦ.

Ενιαυτὸς μέν ἐστιν κρόνου ἐτῶν τριάκοντα. διὸς δώδεκα. ἄρεως † δεκαπέντε μηνῶν. σελήνης ἡμέραι λ΄. τοῦτο γὰρ τέλειος. τὸν δὲ μέγαν ἐνιαυτὸν. οἱ μὲν ὀκταετηρίδι τίθενται. οἱ δὲ ἐννεακαίδεκα. ἕτεροι δὲ, ἐν τοῖς ἑξήκοντα. καὶ τῶν κέντρον καὶ τῆς σφαίρας τὴν γῆν νομίζουσι.

† ἀλ. δυεῖν. διὸς δὲ ιβ΄.

περὶ γαλαξίου.

Ο γαλαξίας κύκλος ἐστὶ νεφελοειδὴς, ἐν μὲν τῷ ἀέρι διὰ παντὸς φαινόμενος, διὰ τὴν λευκόχροιαν ὀνομαζόμενος γαλαξίας. καὶ τῶν πυθαγορείων τινὲς ἀστέρος εἶναι διάκαυσιν ἐκπεσόντος ἐκ τῆς ἰδίας ἕδρας δι' οὗ περιέδραμε χωρίου γλαφυρώτερον αὐτῶν περικαύσαντα ἐπὶ τοῦ κατὰ φαέθοντα ἐμπρησμοῦ διὰ τῆς ἐκείνου παρόδου. οἱ δὲ ἡλιακὴν ταῦτά φασι κατ' ἀρχὰς γεγονέναι δίοδον. τινὲς δὲ τὸ κατοπτρικὴν εἶναι φαντασίαν τοῦ πλείονος οὐρανίου πυρὸς πρὸς τὸν οὐρανὸν τὰς αὐγὰς ἀνακλῶντα. ὅπερ ἐπὶ τῶν τῆς ἴριδος νεφῶν συμβαίνειν εἴωθεν. Μητρόδωρος διὰ τὴν πάροδον τοῦ ἡλίου καὶ τὸ τῆς δρόσου μίγμα γαλακτοειδὲς ἀποτελεῖ χρῶμα. Αναξαγόρας τὴν σκιὰν τῆς γῆς. κατὰ δὲ τὸ μέρος ἵστασθαι τοῦ οὐρανοῦ ὅταν τὰ ὑπὸ τὴν γῆν ὁ ἥλιος μὴ πάντη περιφωτίζῃ. Δημόκριτος περὶ πολλῶν μικρῶν καὶ συνεχῶν ἑτέρων συμφωτιζομένων εἶναι. Αριστοτέλης ὡς περὶ κόμην πυρὸς ὑπὸ τὸν ἀέρα καὶ τρόπον πλανήτων φαίνεσθαι. οἱ στωϊκοὶ τοῦ αἰθερίου πυρὸς ἀραιότητα ἀνώτερον τῶν πλανήτων. Ποσειδώνιος πυρὸς σύστασιν.

περὶ κομήτου καὶ διαττόντων ἀστέρων.

Τῶν Πυθαγορείων τινὲς μὲν ἀστέρα φασὶν εἶναι τῶν κομήτων τῶν οὐκ ἀεὶ μενόντων, διά τινος δὲ ὡρισμένου χρόνου περιοδικῶς ἀνατέλλειν. ἄλλοι δὲ ἀνάκλασιν τῆς ἡμετέρας ὄψεως πρὸς τὸν ἥλιον παραπλησίαν ταῖς κατοπτρικαῖς ἐμφάσεσιν. Αναξαγόρας καὶ Δημόκριτος σύνοδον ἀστέρων δυοῖν ἢ καὶ πλειόνων κατὰ συναυγασμόν. Αριστοτέλης δὲ τῆς ξηρᾶς ἐκ τῆς γῆς ἀναθυμιάσεως διὰ τὴν ἔμπυρον ἐπίτασιν. Στράτων ἄστρου φῶς πεπληρωμένον περιληφθὲν ψυχῇ τινι. Διογένης σημεῖον ἐπὶ τοῦ σημείων ἐπισφαλῶν τινὸς εἶναι τοὺς κομήτας. Αναξαγόρας τοὺς καλουμένους ἅπτοντας ἀπὸ τοῦ αἰθερίου πυρὸς σπινθῆρος δίκην καταφέρεσθαι καὶ παραυτίκα σβέννυσθαι. Μητρόδωρος τὴν εἰς τὰ νέφη τοῦ ἡλίου ἔμπρησιν ὡς βέλος πολλάκις σπινθηρίζει. Ξενοφάνης τὰ τοιαῦτα νεφῶν πεπυρωμένων σύστημα ἢ κίνημα εἶναι.

περὶ βροντῶν καὶ ἀστραπῶν.

Αναξίμανδρος ἐκ τοῦ πνεύματος ὑπιόντος ὅταν περιληφθὲν νέφει παχεῖ βιαζόμενον ἐμπέσῃ τῇ λεπτομερείᾳ καὶ κουφότητι, τότε ἡ μὲν ῥῆξις τὸν ψόφον ἀποτελεῖ, ἡ δὲ διαστολὴ, μελανίαν τοῦ νέφους. Μητρόδωρος ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος ἐμπέσῃ πνεῦμα, τῇ μὲν θραύσει, τὸν κτύπον ποιεῖ, τῇ δὲ πληγῇ καὶ τῷ σχισμῷ διαυγάζει, τῇ δὲ ὀξύτητι τῆς φορᾶς προσλαμβάνον τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα κεραυνοβολεῖ. τοῦ δὲ κεραυνοῦ τὴν ἀσθένειαν εἰς πρηστῆρα περιΐστησι. Αναξαγόρας δὲ ὅταν τὸ θερμὸν ἢ ψυχρὸν ἐμπέσῃ, τοῦτο δ' ἐστὶν αἰθέριον μέρος ἀερῶδες τῷ μὲν ζόφῳ, μελανίαν ἀποτελεῖ. τῷ δὲ χρώματι τοῦ νεφώδους, τὴν ἀστραπήν. τῷ δὲ πλήθει τοῦ φωτὸς τὸν κεραυνόν τῷ δὲ πολυσωματωτέρῳ πυρὶ τὸν τυφῶνα. τῷ δὲ νεφώδει τὸν πρηστῆρα. Βροντὴν μὲν κρουσμὸν νεφῶν. τὴν δὲ ἀστραπὴν ἔξαψιν. πρηστῆρα τὸ νωχελέστερον. Αριστοτέλης δὲ ἐξ ἀναθυμιάσεως πάντα τὰ τοιαῦτα φησὶ συμβαίνειν. ὅταν οὖν ἐντύχῃ τῇ ὑγρᾷ παραβιάζεται τὴν ἔξοδον, καὶ τῇ μὲν παρατρίψει καὶ τῇ ῥήξει τὸν ψόφον τῆς βροντῆς γίνεσθαι. τῇ δὲ ἐξάψει τῆς ξηρότητος, τὴν ἀστραπήν. πρηστῆρα δὲ καὶ τυφῶνα πλεονασμὸν τῆς ὕλης ἣν ἑκάτερος αὐτῶν ἐφέλκεται. θερμότερος μὲν ὁ πρηστήρ. παχύτερος δὲ ὁ τυφών.

περὶ νεφελῶν καὶ χιόνος.

Αναξιμένης ἔφη συμβαίνειν παχυνθέντος ἐπὶ πλεῖστον τοῦ ἀέρος, μᾶλλον δὲ ἐπισυναχθέντος ἐκθλίβεσθαι καὶ τοὺς ὄμβρους γίγνεσθαι χιόνα δ' ἐπειδὰν τὸ καταφερόμενον ὕδωρ παγῇ ὑπὸ ψύξεως. χάλαζαν δὲ ὅταν περισυλληφθῇ τῷ ὑγρῷ πνεύματι καὶ Μητρόδωρος ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς συνίστασθαι τὰ νέφη. Επίκουρος ἀπὸ τῶν ἀτόμων στρογγύλεσθαι τὴν χάλαζαν, καὶ τὸν ὑετὸν γίγνεσθαι ἀπὸ τῆς μακροτέρας φορᾶς διὰ τοῦ ἀέρος συμβαινούσης ἀποπληττομένην.

περὶ ἴριδος.

Τῶν μεταρσίων παθῶν τὰ μὲν καθ' ὑπόστασιν γίγνεται, οἷον ὄμβρος, χάλαζα. τὰ δὲ κατ' ἔμφασιν, οὐκ ἔχοντα σύστασιν ἰδίαν. ὥσπερ ὅταν καμπύλας γραμμὰς ὁρῶμεν*. τὰ δὲ κατὰ τῶν λίθων τῶν διαυγῶν καὶ κεράτων. λεπτομερῆ γὰρ ταῦτα πάντα, καὶ καμπύλας δὲ τὰς γραμμὰς ὥσπερ τὰ καθ' ὕδατος ὁρᾶται. κάμπτεται γὰρ πρὸς τὴν πυκνοτέραν τοῦ ὕδατος ὕλην ἡ ὄψις. διὸ τὴν κώπην ἐν τῇ θαλάττῃ ὁρῶμεν κεκλασμένην. τρίτος δὲ τρόπος τοῦ βλέπειν τὰ ἀνακλώμενα, ὥσπερ τὰ κάτοπτρά ἐστιν οὖν τῆς ἴριδος εἶδος τοιοῦτον. δεῖ γὰρ ἐπινοῆσαι τὴν ἀναθυμίασιν τὴν ὑγρὰν εἰς νέφος μεταβάλλουσαν. εἶτα ἐκ τούτου κατὰ βραχὺ εἰς μικρὰς ῥανίδας δροσιζούσας μετιοῦσαν, ὅταν ἥλιος γένηται ἐν δυσμῷ. ἀνάγκη γὰρ πᾶσαν ἶριν ἄντικρυς τοῦ ἡλίου γίγνεσθαι, τότε ἡ ὄψις προσπεσοῦσα ταῖς ῥανίσιν ἀνακλᾶται, ὥστε συμβαίνειν τὴν ἶριν. εἰσὶ δὲ αἱ ῥανίδες οὐ σχήματος μορφαὶ, ἀλλὰ χρώματα φαίνεται. τὸ μὲν γὰρ πρῶτον ἔχει φοινικοῦν, τὸ δὲ δεύτερον ἁλουργὲς καὶ πορφυρίζον. τὸ δὲ

τρίτον

τρίτον κυανοῦν, καὶ πράσιον. μή ποτε τὸ μὲν φοινικοῦν, ὅταν ἡ λαμπρότης τοῦ πυρὸς περιαστράπτῃ, ἀνακλᾷ τὸ χρῶμα, τὸ δὲ δεύτερον μέρος ἐπιθολούμενον καὶ ἐκλυόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας ἀλουργὲς δοκεῖ. ἔτι δὲ μᾶλλον ἐπιθολούμενον τὸ πρασίζον μεταβάλλεται. ἔστι γὰρ τοῦτο δοκιμάσαι δι' ἔργων. εἰ γάρ τις εἰς τὸ ἄντικρυς τοῦ ἡλίου λάβῃ ὕδωρ καὶ πτύσῃ, αἱ δὲ ῥανίδες ἀνάκλασιν λάβοιεν πρὸς τὸν ἥλιον, εὑρήσει γιγνομένην ἶριν. καὶ οἱ ὀφθαλμιῶντες δὲ τοῦτο πάσχουσιν, ὡς ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσιν. Ἀναξιμένης δὲ ἶριν γίνεσθαι νομίζει κατὰ ἀνταυγασμὸν ἡλίου πρὸς νέφη πυκνῷ καὶ παχεῖ καὶ μέλανι παρὰ τὸ μὴ δύνασθαι τὰς ἀκτῖνας εἰς τὸ πέρας διακόπτειν ἐπισυνισταμένας ἐκεῖ. Μητρόδωρος δὲ ὅταν διὰ νεφῶν ὁ ἥλιος διαλάμψῃ, τὸ μὲν νέφος κυανίζει, τὴν δὲ αὐγὴν ἐρυθραίνεσθαί φησι.

Περὶ ἀνέμων.

Ἀναξίμανδρον οἴεται ἄνεμον εἶναι λύσιν ἀέρος τῶν λεπτοτάτων ἐν αὐτῷ καὶ ὑγροτάτων ὑπὸ τοῦ ἡλίου † τηκομένων ἢ κινουμένων. στωϊκοὶ δὲ πνεῦμα ἀέρος εἶναι λέγουσιν. ἡγοῦνται τε τὸν τρόπον παραλλαγὰς τὰς ἐπωνυμίας παραλλάττειν. οἷον ἀπὸ ζόφου καὶ τῆς δύσεως, ζέφυρον ὠνόμαζον. τὸν ἀπὸ τῆς ἀνατολῆς καὶ τοῦ ἡλίου ἀπηλιώτην. τὸν ἀπὸ ἄρκτων βορέαν. τὸν ἀπὸ τῆς μεσημβρίας, νότον. Μητρόδωρος δὲ ὑδάτων ἀναθυμίασιν διὰ τὴν ἡλιακὴν ἔκλυσιν γίγνεσθαι ὁρμὴν πνευμάτων. τοὺς δὲ ἐτησίας πνεῖν τοὺς πρὸς ταῖς ἄρκτοις παχυνθέντος τοῦ ἡλίου κατὰ τὴν θερινὴν τροπήν. † al. τυφομένων

Περὶ χειμῶνος καὶ θέρους.

Ἐμπεδοκλῆς καὶ οἱ στωϊκοὶ χειμῶνα μὲν γίνεται τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει, καὶ εἰς τὸ ἀνώτερον βιαζομένου. θέρος δὲ τοῦ πυρός, ὅταν εἰς τὸ κάτω βιάζεται.

Περὶ γῆς.

Θαλῆς καὶ οἱ περὶ αὐτοῦ μίαν εἶναι τὴν γῆν ὑπολαμβάνουσιν. τῶν δὲ πυθαγορείων τινὲς καὶ ταύτην εἶναι καὶ τὴν ἀντίχθονά φασιν. οἱ στωϊκοὶ δὲ γῆν εἶναι μίαν πεπερασμένην. Μητρόδωρος δὲ τὴν γῆν ὑπόστασιν εἶναι καὶ οἱονεὶ τρύγα τοῦ ἀέρος νομίζει, ὡς τὸν ἥλιον τοῦ πυρός.

Περὶ σχημάτων γῆς.

Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ, σφαιροειδῆ τὴν γῆν νομίζουσιν. Ἀναξίμανδρος δὲ λίθῳ κίονι τῇ περιφερείᾳ ἐκ τῶν ἐπιπέδων. Ἀναξιμένης τραπεζοειδῆ. Λεύκιππος τυμπανοειδῆ κατὰ πλάτει, κοίλην δὲ κατὰ μεγέθει.

Περὶ θέσεως.

Οἱ ἀπὸ Θαλοῦ μέσην τὴν γῆν οἴονται εἶναι. Ξενοφάνης πρῶτος τὴν γῆν εἰς ἄπειρον ἐρριζῶσθαι. Φιλόλαος ὁ πυθαγόρειος, τὸ μὲν πῦρ μέσον. τοῦτο γὰρ εἶναι τοῦ παντὸς αἴτιον. ἑτέραν δὲ τὴν ἀντίχθονα. τρίτην δὲ τὴν οἰκουμένην, ἐξ ἐναντίας κειμένην καὶ περιφερομένην τῇ ἀντίχθονι. Παρμενίδης ὁ πρῶτος ὁρίσας τοὺς οἰκουμένους τόπους ὑπὸ ταῖς δύο ζώναις τροπικαῖς εἶναι τὴν γῆν.

Περὶ κινήσεως γῆς.

Οἱ μὲν ἄλλοι μένειν τὴν γῆν ὑπολαμβάνουσι. Φιλόλαος δὲ ὁ πυθαγόρειος κύκλῳ περιφέρεσθαι. Ἡρακλείδης δὲ ὁ πόντιος κινητὴν γῆν ὡρισμένην ἀπὸ δυσμὰς ἐπ' ἀνατολὴν περὶ τὸ ἴδιον αὐτῆς † κίνημα. † al. κέντρον

Περὶ διαιρέσεως γῆς.

Τῶν πυθαγορείων τινὲς τὴν γῆν ἀναλόγως διῃρῆσθαι τοῦ παντὸς σφαίρας εἰς πέντε ζώνας. ἀρκτικήν, ἀνταρκτικήν, θερινήν, χειμερινήν, ἰσημερινήν. ὧν ἡ μέση τὸ μέσον τῆς ὁρίζεται διακεκαυμένης. ἡ δὲ οἰκητή ἐστιν μέση, τῆς θερινῆς καὶ τῆς χειμερινῆς εὔκρατος οὖσα.

Περὶ σεισμοῦ γῆς.

Θαλῆς καὶ Δημόκριτος ὕδατι τὴν αἰτίαν τῶν σεισμῶν προσάπτουσιν. οἱ στωϊκοί, σεισμὸν εἶναι λέγουσι τὸ ἐκ τῆς γῆς ὑγρὸν εἰς ἀέρα διακρινόμενον καὶ ἐκπίπτον. Ἀριστοτέλης δὲ διὰ τὴν τοῦ ψυχροῦ πανταχόθεν ἀντιπερίστασιν κάτωθεν καὶ ἄνωθεν αὐτοῦ περιστάντος. τὸ γὰρ θερμὸν ἀνωτέρω γενέσθαι σπεύδει, ἅτε δὲ κοῦφον, καὶ διὰ τοῦτο ἐν ἀπολείψει γινόμενον τῆς ὑγρᾶς ἀναθυμιάσεως τῇ ἀνατιππάσει καὶ τοῖς ἀντιλογισμοῖς τὸν σεισμὸν ποιεῖ. Πλάτων ἀκίνητον μὲν εἶναι τὴν γῆν ὑποτίθεται, κατὰ δέ τινας τόπους αὐτῆς τοὺς σεισμοὺς συμβαίνειν τοῦ πνεύματος ἀναποκλεισθέντος.

Περὶ θαλάττης διὰ τί ἁλμυρά ἐστιν.

Ἀναξίμανδρος εἶναί φησι τὴν θάλασσαν τῆς προτέρας ὑγρασίας τὸ λείψανον. ἧς τὸ μὲν πλεῖστον ἀνεξηραμμένον γλυκύ. τὸ δὲ ὑπολειφθὲν διὰ τὴν ἔκκαυσιν μετέβαλλε. Ἐμπεδοκλῆς ἱδρῶτα γῆς καιομένης ὑπὸ τοῦ ἡλίου. οἱ ἀπὸ Πλάτωνος τοῦ στοιχειώδους ὕδατος, τὸ μὲν ἐξ ἀέρος κατὰ περίψυξιν ὑποσυνισταμένην γλυκὺ γίγνεσθαι. τὸ δὲ κατὰ περίθραυσιν καὶ ἔμπυρον ἀναθυμίασιν, ἁλμυρὸν εἶναι.

Πῶς ἀμπώτιδες γίνονται καὶ πλημμυρίαι.

Ἀριστοτέλης ὑπὸ τοῦ ἡλίου τὰ πλεῖστα τῶν πνευμάτων κινεῖσθαι καὶ περιφέρεσθαι ὧν ἐμβαλόντων ἐνοιδεῖν τὴν ἀτλαντικὴν θάλασσαν καὶ κατασκευάζειν τὰς πλημμυρίας. ληγόντων δὲ αὐτῇ περισπωμένην ὑποβαίνον, ὅπερ εἶναι τὴν ἄμπωτιν. † Εὐθυμένης ὁ μασσαλιώτης, τῇ πληρώσει τῆς σελήνης τὰς πλημμυρίας, τῇ δὲ ἐκλείψει τὰς ἀμπώτιδας. Τίμαιος τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν ἀτλαντικὴν διὰ τῆς κελτικῆς ὀρεινῆς αἰτιᾶται. προωθοῦντας μὲν τὰς ἐφόδους καὶ πλημμυρίαν ποιοῦντας. ληγόντων δὲ τὰς ἀμπώτιδας γίνεσθαι. † al. Πυθέας

Περὶ ἀναβάσεως τοῦ Νείλου.

Θαλῆς τοὺς ἐτησίους ἀνέμους αἰτιᾶται πνέοντας ἐν τῇ Αἰγύπτῳ. καὶ τῇ παροιδήσει τοῦ ἀντιπαρήκοντος πελάγους ἀντικόπτεσθαι καὶ πληροῦσθαι τὸν Νεῖλον. Εὐθυμένης ὁ μασσαλιώτης ἐκ τοῦ ὠκεανοῦ καὶ τῆς ἔξωθεν θαλάττης πλημμυρεῖν τὸν ποταμὸν οἴεται. Ἀναξαγόρας ἐκ τῆς χιόνος τῆς ἐν τῇ Αἰθιοπίᾳ τηκομένης μὲν κατὰ θέρει.

ψυχομένης δὲ περὶ χειμῶνι. Δημόκριτος χιόνος τῆς πρὸς τοῖς ἄρκτοις μέρεσιν ὑπὸ θερινὰς τροπὰς ἀναλυομένης, νέφη ἐκ τῶν ἀτμῶν πληροῦσθαι, καὶ συνελαυνόμενα πρὸς τὴν μεσημβρίαν καὶ τὴν Αἴγυπτον ὑπὸ τῶν ἐτησίων ἀνέμων ἀποτελεῖν ῥαγδαίους ὄμβρους, ὑφ᾽ ὧν ἐγείρεσθαι τὸν ὄμβρον. Ἡρόδοτος ἴσον μὲν φέρεσθαι καὶ χειμῶνος ἐκ τῶν πηγῶν. φαίνεσθαι δὲ ἐλάττονα τοῦ χειμῶνος, διὰ τὸ ἐν τούτῳ περὶ καιρῷ πλησίον ὄντα τὸν ἥλιον τῆς Αἰγύπτου ἐξατμίζειν τὰ νάματα.

Περὶ αἰσθήσεως καὶ αἰσθητοῦ

Κατὰ τοὺς στωϊκοὺς αἴσθησίς ἐστιν ἀντίληψις αἰσθητοῦ ἀντίληψις δὲ πολλαχῶς λέγεται. ἥ, τε γὰρ ἕξις καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια. καὶ ἡ φαντασία καταληπτικὴ καὶ αἰσθητή. καὶ αὐτὸ τὸ ἡγεμονικὸν ἀφ᾽ οὗ πάλιν αἰσθητὰ διὰ γίγνεται τὰ πνεύματα νοερὰ ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα ἀνατεταμένα. Πλάτων τὴν αἴσθησιν ἀναφαίνεται τῆς ψυχῆς καὶ σώματος κοινωνίας πρὸς τὰ ἐκτός. ἡ μὲν γὰρ δύναμις, ψυχῆς, τὰ δὲ ὄργανα, σώματος, ἄμφω δὲ συνελθόντα ἀντιλαμβάνεσθαι τῶν ἔξωθεν. Λεύκιππος καὶ Δημόκριτος τὴν αἴσθησιν εἰδώλων, ἔξωθεν προσιόντων.

Εἰ ἀληθὴς ἡ αἴσθησις καὶ ἡ φαντασία.

Οἱ στωϊκοὶ τὰς αἰσθήσεις μὲν ἀληθεῖς. τῶν δὲ φαντασιῶν, τὰς μὲν, ἀληθεῖς, τὰς δὲ, ψευδεῖς. καὶ αἱ μὲν αἰσθήσεις μοναχῶς ψευδοποιοῦνται. καὶ τὰ νοήματα διττῶς, καὶ παρ᾽ αἰσθητῶν ἐστι φαντασίας καὶ νοητῶν.

Πῶς γίνεται ἡ αἴσθησις καὶ ἡ νόησις καὶ ὁ κατὰ διάθεσιν λογισμός.

Οἱ στωϊκοί φασιν ὅταν ἄνθρωπος γεννηθῇ, ἔχει τὸ ἡγεμονικὸν μέρος τῆς ψυχῆς αὐτοῦ ὥσπερ χάρτην ἐνεργοῦντα εἰς ἀπογραφὴν εἰς τοῦτο μίαν ἑκάστην τῶν ἐννοιῶν ἐναπογράφεται. πρῶτος δὲ ὁ τῆς ἀναγραφῆς τρόπος ὁ διὰ τῶν αἰσθήσεων, αἰσθανόμενοι γάρ τινος οἷον λευκοῦ, ἀπελθόντος αὐτοῦ μνήμην ἔχομεν, ὅταν δὲ ὁμοειδεῖς πολλαὶ μνῆμαι γένωνται τότε φαμὲν ἔχειν ἐμπειρίαν. ἐμπειρία γάρ ἐστιν, ὁμοειδῶν φαντασιῶν πλῆθος. τῶν δὲ ἐννοιῶν φυσικῶς γίγνονται κατὰ τοὺς εἰρημένους τρόπους, καὶ οὐ τεχνικῶς. αἱ δὲ δι᾽ ἡμετέρας ἐπιμελείας καὶ διδασκαλίας, αὗται δὲ καὶ ἔννοιαι καλοῦνται μόναι. ἐκεῖναι δὲ καὶ προλήψεις. ὁ δὲ λόγος καθ᾽ ὃν προσαγορευόμεθα λογικοὶ ἐκ τῶν πληρώσεων. συμπληροῦσθαι μὲν λέγεται κατὰ τὴν πρώτην ἑβδομάδα. ἔστι γάρ ἐστι νόημα φαντασίας διάνοια λογικοῦ ζώου. τὸ γὰρ φάντασμα, ἐπειδὰν λογικῇ προσπίπτῃ ψυχῇ, ἐννοήματος δεῖται εἰληφότος τοὔνομα παρὰ τοῦ νοῦ. διόπερ ὅσα τοῖς ἀλόγοις ζώοις προσπίπτει, φαντάσματα μόνα ἐστίν, ὅσα δὲ ἡμῖν καὶ τοῖς θεοῖς καὶ τοῖς κατὰ γένος καὶ κατ᾽ εἶδος, νοήματα.

Περὶ φαντασιῶν.

Χρύσιππός φησι διαφέρειν ἀλλήλων τέτταρα ταῦτα. φαντασίαν, φανταστόν. φανταστικόν. φάντασμα. φαντασία μὲν οὖν ἐστι, πάθος ἐν ψυχῇ γινόμενον καὶ ἐνδεικνύμενον αὐτό τε καὶ τὸ πεποιηκός. οἷον ἐπειδὰν ἴδωμεν τὸ λευκόν. ὅ ἐστι πάθος, ἐγγίγνεται τῇ ψυχῇ ἐναλλακτικὸν τοῦ πεπονθότος. εἴρηται δὲ φαντασία ἐκ τοῦ φαίνεσθαι αὐτήν τε καὶ τὸ πεποιηκός. ὅπερ ἐστὶ φανταστόν. οἷον τὸ λευκὸν καὶ εἴτ᾽ ἄλλο διὰ τῶν αἰσθήσεων δύναται κινεῖν τὴν ψυχὴν φανταστόν ἐστι. φανταστικὸν δὲ κενοῦ ἑλκύσματος πάθος ἐν ψυχῇ ἀπ᾽ οὐδενὸς φανταστοῦ σκιομαχοῦντος. φάντασμα δέ ἐστιν, ἐφ᾽ ὃ ἑλκόμεθα κατὰ τὸν φανταστικὸν διελκυσμόν. ταῦτα δὲ γίνεται ἐπὶ τῶν μελαγχολικῶν. ὥσπερ ἐπὶ Ὀρέστου καὶ τοῦ παρ᾽ Ὁμήρῳ Θεοκλυμένου.

Περὶ τοῦ πῶς ὁρῶμεν.

Δημόκριτος καὶ Ἐπίκουρος κατ᾽ εἰδώλων εἴσκρισιν οἴονται τὸ ὁρᾶν συμβαίνειν. ἕτεροι κατ᾽ ἀκτίνων ἔκχυσιν μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστραφείσης τῆς ὄψεως. Ἐμπεδοκλῆς τοῖς εἰδώλοις τὰς ἀκτῖνας φησὶν ἐφ᾽ ἑκατέρου τῶν ὀφθαλμῶν ἀποτεινομένους τοῖς πέρασιν αὐτῶν, οἷον χειρῶν ἐπαφαῖς περικαθαπτούσαις τοῖς ἐκτὸς σώμασι τὴν αἴσθησιν πρὸς τὸ ὁρᾶν προσάγει. Πλάτων κατὰ συναυγασμὸν τοῦ ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὅμοιον ἀέρα.

Περὶ κατόπτρου.

Δημόκριτος καὶ Ἐπίκουρος τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ᾽ εἰδώλων ὑποστάσεις. ἅ τινα φέρεσθαι μὲν ὑφ᾽ ἡμῶν. συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατὰ ἀντιστροφὴν, οἷον ἐπὶ ἡμᾶς. Πυθαγόρειοι κατὰ τὰς ἀνανακλάσεις τῆς ὄψεως. φέρεσθαι μὲν γὰρ τὴν ὄψιν τεταμένην ὡς ἐπὶ τὸν χαλκὸν, ἐντυχοῦσαν δὲ πυκνῷ καὶ πάλιν πληγεῖσαν ὑποστρέφειν.

Εἰ ὁρατὸν τὸ σκότος

Οἱ στωϊκοὶ ὁρατὸν εἶναι τὸ σκότος ὑπολαμβάνουσιν. ἐκ γὰρ τῆς ὄψεως ἐξικνεῖσθαι εἰς αὐγήν. καὶ οὐ ψεύδεται ἡ ὅρασις. βλέπεται γὰρ ὑπ᾽ αὐτῆς τὸ σκότος. προέρχονται δὲ ἐκ τῆς ὄψεως ἀκτῖνες ὁμιχλώδεις. τὸ μὲν σκότος, συνάγει καὶ συγκινεῖ τὴν ὅρασιν, καὶ ἀμβλύνει. τὸ δὲ φῶς διακρίνει καὶ ποδηγεῖ τὴν ὅρασιν ἡμῶν ἐπὶ τὰ ὁρατὰ διὰ τοῦ μεταξὺ ἀέρος. διὰ τὸ μὴ ὁρᾶν ἡμᾶς ἐν τῷ σκότῳ, ἀλλ᾽ αὐτὸ μόνον τὸ σκότος.

Περὶ ἀκοῆς.

Ἐμπεδοκλῆς τὴν ἀκοὴν γίγνεσθαι κατὰ ἔμπτωσιν τῶν πνευμάτων περὶ † χόνδρῳ ὅπερ φησὶν ἐξηρτῆσθαι ἐκ τοῦ ὠτὸς, κώδωνος τρόπον αἰωρούμενον καὶ τυπτόμενον. Ἀλκμαίων ἀκούειν ἡμᾶς φησὶ περὶ κενῷ τοῦ ὠτός. τοῦτο γὰρ εἶναι τὸ περιηχοῦν κατὰ τὴν τοῦ πνεύματος εἰσβολήν. πάντα γὰρ τὰ κοῖλα ἠχεῖν. Διογένης τοῦ ἐν τῇ κεφαλῇ ἀέρος ὑπὸ φωνῆς τυπτομένου. Πλάτων πλήττεσθαι τὸν ἐν τῇ κεφαλῇ ἀέρα. τοῦτον δ᾽ ἀνακλᾶσθαι εἰς τὸ ἡγεμονικὸν καὶ γίνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν.

† αλ. κοχλιοειδεῖ

Περὶ ὀσφρήσεως.

Ἀλκμαίων ἐν τῷ ἐγκεφάλῳ φησὶ εἶναι τὸ ἡγεμονικὸν, τούτῳ οὖν ὀσφραίνεσθαι ἕλκοντος διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς. Ἐμπεδοκλῆς ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τοῦ πνεύμονος συνεκκρίνεσθαι, ὥσπερ ἐπὶ τῶν ῥευματιζομένων.

Περὶ γεύσεως.

Ἀλκμαίων οἴεται περὶ ὑγρῷ περὶ ἐν τῇ γλώττῃ κρίνεσθαι τοὺς χυμούς. Διογένης, τῇ ἀραιότητι, καὶ διὰ τὸ συνάπτειν

τὰς διὰ

τὰς διὰ τοῦ σώματος εἰς αὐτὴν φλέβας, καὶ διαχεῖσθαι τοὺς χυμοὺς ἑλκομένους εἰς τὴν αἴσθησιν καὶ τὸ ἡγεμονικὸν καθάπερ ὑπὸ σπογγίας.

Περὶ φωνῆς.

Πλάτων φωνὴν ὁρίζεται πνεῦμα διὰ στόματος ἀπὸ διανοίας ἠγμένον καὶ πληγὴν ὑπ' ἀέρος διὰ τῶν ὤτων ἐγκεφάλῳ καὶ στόματι μέχρι ψυχῆς διαδιδομένην. οἱ δὲ στωϊκοί φασι τὸν ἀέρα μὴ συγκεῖσθαι ἀπὸ θραύματος ἀλλὰ συνεχῆ δι' ὅλου μηδὲ κενὸν ἔχοντα, δι' ἐπειδὰν πλῆξις τοῦ πνεύματος κυματοῦται κατὰ κύκλους εἰς ἄπειρον, ἕως πληρώσει τὸν περικείμενον ἀέρα, ὡς ἐπὶ κολυμβήθρας τῆς πλήξεως λίθου, καὶ κινουμένους κυκλοειδῶς καὶ σφαιροειδῶς. Ἀναξίμανδρος τὴν φωνὴν γίνεσθαι πνεύματος ἐμπεσόντος στερεμνίῳ ἀέρι, τῇ δὲ ὑποστροφῇ τῆς πλήξεως μέχρι τῶν ἀκοῶν περιενεχθέντων, καθ' ἣν λεγομένην ἠχὼ γίνεσθαι.

Εἰ ἀσώματος ἡ φωνὴ, καὶ πῶς ἦχος γίνεται.

Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης ἀσώματον εἶναι τὴν φωνὴν ὑπολαμβάνουσιν. οὐ γὰρ τὸν ἀέρα τοῦ δὲ περὶ τὸν ἀέρα καὶ τὴν ἐπιφάνειαν κατὰ ποιὰν πληγὴν γίνεσθαι φωνήν. οἱ δὲ στωϊκοὶ σῶμα εἶναι τὴν φωνήν. πᾶν γὰρ τὸ ποιοῦν καὶ δρῶν, σῶμα εἶναι. καὶ γὰρ ἡ φωνὴ καὶ δρᾷ καὶ ποιεῖ. ἀκούομεν γὰρ αὐτῆς καὶ αἰσθανόμεθα προσπιπτούσης. πᾶν τὸ κινοῦν καὶ ἐνοχλοῦν σῶμά ἐστι, κινεῖ δὲ ἡμᾶς εὐμουσία, ἐνοχλεῖ δὲ ἀμουσία.

Πόθεν αἰσθητικὴ γίνεται ἡ φωνή.

Οἱ στωικοί φασιν εἶναι τῆς ψυχῆς μέρος τὸ ἀνώτατον τὸ ἡγεμονικόν. ἀπὸ δὲ τοῦ ἡγεμονικοῦ ἐστὶν ἵνα τείνοντα ὥσπερ τὰ ἄλλα μέρη τῆς ψυχῆς, ἃ ποιεῖ τὴν αἴσθησιν ἐνεργεῖν. διόπερ ὅρασιν λέγουσι πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῶν ὀφθαλμῶν, τῶν δὲ λοιπῶν, τὸ μὲν σπερματικὸν ὅπερ καὶ αὐτὸ πνεῦμά ἐστι. τὸ δὲ φωνητικὸν διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι φάρυγγος καὶ γλώττης. αὐτὸ δὲ τὸ ἡγεμονικὸν εἶναι ἐν τῇ σφαιροειδεῖ κεφαλῇ.

Περὶ ἀναπνοῆς.

Ἀσκληπιάδης αἰτίαν τῆς ἀναπνοῆς εἶναί φησι, τὴν ἐν τῷ θώρακι λεπτομέρειαν, πρὸς ἣν τὸν ἔξωθεν ἀέρα ῥεῖν τε καὶ καθαιρεῖσθαι παχυμερῆ ὄντα. πάλιν δὲ ἀπωθεῖσθαι μηκέτι τοῦ θώρακος τοιοῦτόν τι ὑποδεχομένου. ὑπολειπομένου δέ τινος ἐν τῷ σώματι ὑπὸ λεπτομεροῦς ἀεὶ βραχέος. οὐ γὰρ ἅπαν ἐκκρίνεσθαι. καὶ πρὸς τοῦτο πάλιν τὸ ὑποκείμενον ἡ βαρύτης τοῦ ἐντὸς ἀντιπεριφέρεσθαι. ταῦτα δὲ ταῖς σικύαις ἀπεικάζει, τὴν δὲ κατὰ προαίρεσιν ἀναπνοὴν γίνεσθαι συναγομένων τῶν ἐν τῷ πνεύμονι πόρων. ταῦτα γοῦν τῇ ἡμετέρᾳ προαιρέσει ὑπακούειν. Ἡρόφιλος δὲ, δύναμιν ἀπολείπει περὶ τὰ σώματα κινητικὴν ἐν νεύροις καὶ ἀρτηρίαις καὶ μυσί. τὸν οὖν πνεύμονα νομίζει προσορέγεσθαι διαστολῆς τε καὶ συστολῆς φυσικῶς, εἶτα δὲ καὶ τἆλλα ἐνέργειαν μετ' εἶναι τοῦ πνεύμονος τὴν ἔξωθεν τοῦ πνεύματος ὁλκὴν, ὑπὸ δὲ τῆς πληρώσεως τῆς † ἔξωθεν γιγνομένου ἐφέλκεσθαι μὴ δυνάμενον εἰς τὸν θώρακα τὸ περιττὸν ἀναπέμπειν τὸν δὲ εἰς τὸν ἔξωθεν ἀέρα ἀπωθεῖν. † al' θύραθεν

Περὶ παθῶν.

Ἐπίκουρος τὰ μὲν πάθη καὶ τὰς αἰσθήσεις ἐν τοῖς πεπονθόσι τόποις. τὸ δὲ ἡγεμονικὸν ἀπαθὲς νομίζει. Στράτων δὲ καὶ τὰ πάθη τῆς ψυχῆς καὶ τὰς αἰσθήσεις ἐν τῷ ἡγεμονικῷ, οὐκ ἐν τοῖς πεπονθόσι τόποις συνίστασθαι, τῶν δεινῶν καὶ τῶν ἀλγεινῶν τὴν ἐνέργειαν

Περὶ μαντικῆς

Πλάτων καὶ οἱ στωϊκοὶ καὶ τὴν μαντικὴν εἰσάγουσι. καὶ γὰρ θεόπεμπτον εἶναι ὅπερ ἐστὶν ἐνθεαστικὸν, καὶ κατὰ τὸ θειότατον τῆς ψυχῆς, ὅπερ ἐστὶν ἐνθουσιαστικόν. καὶ τὸ ὀνειροπολικὸν, καὶ τὸ ἀστρονομικόν. καὶ τὸ ὀρνεοσκοπικόν. Ξενοφάνης καὶ Ἐπίκουρος ἀναιροῦσι τὴν μαντικήν. Πυθαγόρας μόνον τὸ † θυτικὸν οὐκ ἀναιρεῖ. Ἀριστοτέλης δὲ καὶ Δίαρχος τοὺς ὀνείρους εἰσάγουσιν. ἀθάνατον μὲν τὴν ψυχὴν οὐ νομίζοντες, θείου δέ τινος μετέχειν. † al'. θυηλικόν

Πῶς οἱ ὄνειροι γίνονται.

Δημόκριτος ὀνείρους γίνεσθαι κατὰ τὰς τῶν εἰδώλων παρατηρήσεις. Στράτων ἀλόγῳ τινὶ φύσει τῆς διανοίας ἐν τοῖς ὕπνοις αἰσθητικωτέρας μὲν τῆς ψυχῆς γιγνομένης, δι' αὐτὸ δὲ τοῦτο γνωστικῆς γινομένης. Ἡρόφιλος τῶν ὀνείρων τοὺς μὲν θεοπέμπτους κατ' ἀνάγκην γίγνεσθαι τοὺς δὲ φυσικοὺς, εἰδωλοποιουμένους τῆς ψυχῆς τὸ συμφέρον αὐτῇ, καὶ τὸ πρὸς τούτοις ἐσόμενον, τὴν δὲ συγκρατικὴν ἐκ τοῦ αὐτομάτου, ὅταν ἃ βουλόμεθα βλεπώμενον, ὡς ἐπὶ φιλούντων γίγνεται τὰς ἐρωμένας ἐρώντων εἰς ὕπνους.

Περὶ οὐσίας σπέρματος.

Ἀριστοτέλης σπέρμα εἶναί φησι, κινεῖν δι' αὐτὸ πρὸς τὸ ἀποτελέσαι τὸ τοιοῦτον, οἷόν ἐστιν, ἀφ' οὗ συνεκκρίθη. Πυθαγόρας ἀφρὸν τοῦ χρηστοτάτου αἵματος ἢ περίττωμα τῆς τροφῆς. Ἀλκμαίων ἐγκεφάλου μέρος. Πλάτων τοῦ νωτιαίου μυελοῦ ἀπόρροιαν. Ἐπίκουρος ψυχῆς γὰρ σώματος ἀπόσπασμα. Δημόκριτος ἀφ' ὅλων τῶν σωμάτων καὶ τῶν κυριωτάτων μερῶν οἷον τῶν σαρκίνων ὀστῶν καὶ ἰνῶν.

Εἰ σῶμα τὸ σπέρμα.

Λεύκιππος καὶ Ζήνων σῶμα εἶναι. ψυχῆς γὰρ εἶναι ἀπόσπασμα. Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης, ἀσώματον μὲν εἶναι τὴν δύναμιν τοῦ σπέρματος σωματικήν.

Εἰ καὶ αἱ θήλειαι προΐενται σπέρμα.

Πυθαγόρας καὶ Δημόκριτος καὶ Ἐπίκουρος καὶ τὸ θῆλυ προΐεσθαι σπέρμα. ἔχει γοῦν παραστάτας ἀπεστραμμένους, διὰ τοῦτο ὀρεκτικὰς ἔχει περὶ τὰς χρήσεις. Ἀριστοτέλης δὲ καὶ Ζήνων καὶ ὕλην μὲν ὑγρὰν προΐεσθαι, καὶ ἀπὸ τῆς γυμνασίας ἱδρῶτα, οὐ μὴν σπέρμα πεπτικόν.

Πῶς αἱ συλλήψεις γίνονται.

Ἀριστοτέλης ὑπολαμβάνει τὰς συλλήψεις γίγνεσθαι τὰς κυήσεις περὶ καθαρσίαν μήτρας ἢ ἐμπνευματώσιν ἢ φόβον ἢ λύπην ἢ ἀσθένειαν τῶν γυναικῶν ἢ δι' ἀγονίαν τῶν ἀνδρῶν.

Πῶς ἄῤῥενα καὶ θήλεα γίνονται.

Ἐμπεδοκλῆς οἴεται καὶ Ἀσκληπιάδης ἄῤῥεν καὶ θῆλυ γίνεσθαι, παρὰ θερμότητος καὶ ψυχρότητος. ὅθεν ἱστορεῖται τοὺς μὲν πρώτους τοὺς ἄῤῥενας ἀπὸ ἀνατολῆς καὶ μεσημβρίας γίγνεσθαι ἐκ τῆς γῆς. τὰς δὲ θηλείας, πρὸς ταῖς ἄρκτοις. Παρμενίδης δ' ἀντιστρέφει. πρὸς ταῖς ἄρκτοις ἄῤῥενα γίγνεσθαι, τοῦ πλείστου μετέχειν πλείονος. τὰς δὲ πρὸς τὴν μεσημβρίαν διὰ ἀραιότητα. Ἱππῶναξ δὲ, εἰ μὲν ἡ γονὴ κρατήσειεν, ἄῤῥεν. εἰ δὲ ἡ ὕλη, θῆλυ.

Πῶς τέρατα γίνονται.

Ἐμπεδοκλῆς νομίζει σπέρματος ἔλλειμμα περὶ τὴν τῆς κινήσεως ταραχὴν. ἢ περὶ τὴν εἰς πλείω διαίρεσιν. ἢ περὶ ἀπόπνευσιν τέρατα γίγνεσθαι. Στράτων, πρόσθεσιν ἢ ἐμπνευμάτωσιν. τῶν ἰατρῶν τινὲς δὲ παρὰ τὸ διεστράφθαι τὴν μήτραν ἐμπνευματωμένην.

Διὰ τί πολλάκις γυνὴ συνουσιάζουσα οὐ συλλαμβάνει.

Διοκλῆς ὁ ἰατρὸς περὶ θερμασίαν ἢ ὑγρασίαν ἢ ξηρότητα ἢ πλεονασμὸν ἢ ἔνδειαν ἢ παράλυσιν τῶν μορίων. οἱ στωϊκοὶ περὶ λοξότητα τοῦ μορίου μὴ δυναμένου εὐθὺ βάλλειν τὸν γόνον. ἢ διὰ τὸ ἀσύμμετρον τῶν μορίων. Ἐρασίστρατος περὶ τὴν μήτραν. ὅταν τύχῃ ἔχουσα σάρκας, ἢ εὐρυτέρα ἢ μικροτέρα τυγχάνει οὖσα.

Πῶς δίδυμα γίνονται.

Ἐμπεδοκλῆς οἴεται δίδυμα καὶ τρίδυμα γίνεσθαι κατὰ πλεονασμὸν καὶ περὶ σχισμὸν τοῦ σπέρματος. Ἀσκληπιάδης περὶ τὴν τῶν σπερμάτων διαφορὰν, ὥσπερ τὰς κριθὰς τὰς διστίχους, καὶ τριστίχους. Ἐρασίστρατος διὰ τὰς ἐπισυλλήψεις γίνεσθαι. οἱ στωϊκοὶ περὶ τοὺς ἐν τῇ μήτρᾳ τόπους. ὅταν γὰρ πρῶτον καὶ δεύτερον ἐμπέσῃ τὸ σπέρμα, τό τε γίνεσθαι τὰς ἐπισυλλήψεις καὶ διδύμους καὶ τριδύμους.

Πόθεν γίνεται τῶν γονέων ὁμοίωσις καὶ τῶν προγόνων.

Ἐμπεδοκλῆς ὁμοιότητα οἴεται γίγνεσθαι κατ' ἐπικράτειαν τῶν σπερμάτων. ἀνομοιότητα δὲ ὅτε μὲν ἀπὸ τῶν δεξιῶν μερῶν τῆς μήτρας τὸ σπέρμα προσιθῇ τοῖς πατράσιν. ὅτε δὲ ἀπὸ ἀριστερῶν ταῖς μητράσιν. οἱ στωϊκοὶ ἀπὸ τοῦ σώματος ὅλου καὶ τῆς ψυχῆς φέρεσθαι τὸ σπέρμα, καὶ τὰς ὁμοιομερείας ἀναπλάττεσθαι ἐξ αὐτοῦ τοὺς τύπους καὶ χαρακτηρίζειν. ὡς ζωγραφία ἀπὸ τῶν ὁμοίων χρωμάτων ὁμοιότητα τοῦ τικτομένου. προΐεσθαι δὲ καὶ τὴν γυναῖκα σπέρμα, κἂν ἐπικρατῇ τὸ τῆς γυναικὸς, ὅμοιον εἶναι τῇ μητρί.

Πῶς ἄλλοις ὅμοια γίνεται τὰ γεννώμενα.

Οἱ μὲν πλεῖστοι τῶν ἰατρῶν τυχικῶς καὶ ἐκ τοῦ αὐτομάτου ὅταν διαψυγῇ τὸ σπέρμα καὶ τὸ τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικὸς ἀνόμοια γίνεσθαι. Ἐμπεδοκλῆς τῇ κατὰ σύλληψιν ὄψει τε καὶ φαντασίᾳ τῆς γυναικὸς μορφοῦσθαι τὰ βρέφη. πολλάκις οὖν ἀνδριάντων καὶ εἰκόνων ἠράσθησαν καὶ ὅμοια τούτοις τετόκασι. οἱ στωϊκοὶ κατὰ συμπάθειαν τῆς διανοίας καὶ ῥεύματος καὶ ἀκτίνων εἰς κρίσιν γίγνεσθαι τὰς ὁμοιότητας.

Πῶς στεῖραι γίνονται γυναῖκες καὶ ἄνδρες ἄγονοι.

Οἱ ἰατροὶ στεῖραν φασὶ γίγνεσθαι παρὰ τὸ τὴν μήτραν στενωτέραν εἶναι ἢ ἀραιοτέραν ἢ διάστροφον ἔχουσαν τὸν σχηματισμόν. ἢ παρὰ τὸ περιέπεσθαι δυσκρασίαν μοχθηράν. Διοκλῆς δι' ἀτονίαν τῶν ἀνδρῶν. ἢ διὰ τὸ μὴ δ' ὅλως προΐεσθαι γονήν. ἢ παρὰ τὸ ἔλαττον εἶναι τοῦ δέοντος. ἢ παρὰ τὸ ἄγονον εἶναι καὶ καθάπερ ἔκλυσιν τῶν μορίων. οἱ στωϊκοὶ αἰτιῶνται τὰς συμφύτους εἰς ἑκάτερα τῶν πλησιαζόντων δυνάμεις τε καὶ ποιότητας.

Διατί ἡμίονοι στεῖραι.

Ἀλκμαίων τῶν ἡμιόνων τοὺς ἄῤῥενας ἀγόνους παρὰ τὴν λεπτότητα τῆς σαρκὸς καὶ ψυχρότητα. τὰς δὲ θηλείας, παρὰ τὸ ἄνω μὴ ἀνακύπτειν τὰς μήτρας.* ἀπεστραμμένη προσπεφυκυῖα τῇ σαρκί. Διοκλῆς δὲ μαρτυρεῖ λέγων πολλάκις ἑωρακέναι τοιαύτην μήτραν ἐν ταῖς ἀνατομαῖς τῶν ἡμιόνων, καὶ ἐνδέχεσθαι διὰ τὰς αἰτίας ταύτας καὶ τὰς γυναῖκας στείρας εἶναι.

Εἰ τὸ ἔμβρυον ζῶον.

Πλάτων ζῶον εἶναι τὸ ἔμβρυον ὑπείληφε. καὶ γὰρ καὶ κινεῖσθαι ἐν τῇ γαστρὶ καὶ τρέφεσθαι καὶ αὔξεσθαι. οἱ στωϊκοὶ μέρος εἶναι γαστρὸς τὸ ἔμβρυον καὶ ἀνάπνουν εἶναι ἐν τῇ γαστρί. πρῶτον δὲ ἀναπνοὴν τοῦ ζῴου γίγνεσθαι κατὰ τὴν ἀποκύησιν, τῆς μὲν περὶ τοῖς βρέφεσιν ὑγρασίας ἀποχωρούσης, τῇ δ' ἐπεισόδῳ τοῦ ἐκτὸς ἀέρος γινομένου εἰς τὰ παραχθέντα τῶν αἰτίων. διὸ τίκτεσθαι μὲν τὰ βρέφη ἐκθερμανθέντος τοῦ ἐμφύτου θερμοῦ, εὐθὺ περιχυθέντος τοῦ βρέφους τὸ ψυχρὸν εἰς τὸν πνεύμονα ἐφέλκεσθαι. Ἡρόφιλος κίνησις ἀπολείπεται φυσικὴ ἐν τοῖς ἐμβρύοις τοῦ πνευματικοῦ. τῆς δὲ κινήσεως αἰτιᾶται τὰ νεῦρα τοῦ ζῴου γίγνεσθαι ὅταν περιχυθέντος περιβῇ τοῦ ἀέρος.

Πῶς τρέφεται τὰ ἔμβρυα.

Δημόκριτος καὶ Ἐπίκουρος διὰ τοῦ στόματος τρέφεσθαι, εὐθὺς γοῦν ἐπὶ τὸν μαζὸν φέρεσθαι τῷ στόματι. εἶναι γὰρ καὶ ἐν τῷ σώματι θηλὰς ἐπιγινομένας καὶ στόμα δι' ὧν τρέφεσθαι. οἱ στωϊκοὶ διὰ τοῦ χορίου καὶ ὀμφαλοῦ, ὅθεν τοῦτο εὐθὺς ἀποδεῖν ἵνα διὰ τοῦ στόματος αἰσθητῶς τρέφεσθαι.

Τί πρῶτον τελειοῦται τοῦ βρέφους.

Οἱ στωϊκοὶ ἅμα ὅλον γίνεσθαι νομίζουσιν. Ἀριστοτέλης πρῶτον τὴν ὀσφὺν, ὥσπερ τρόπιν νεώς. Ἀλκμαίων τὴν κεφαλὴν ἐν ᾗ ἐστι τὸ ἡγεμονικόν. οἱ ἰατροὶ τὴν καρδίαν ἐν ᾗ καὶ φλέβες καὶ ἀρτηρίαι. οἱ δὲ τὸν μέγαν δάκτυλον τοῦ ποδός. οἱ δὲ τὸν ὀμφαλόν.

Διατί τὰ ἑπτάμηνα γόνιμα.

Ἀριστοτέλης καὶ Ἱπποκράτης οἴεται ἐὰν πληρωθῇ ἡ μήτρα ἐν τοῖς ἑπτὰ μησὶ τότε προκύπτει, καὶ τὸ γόνιμον γίνεται. ἐὰν δὲ προκύψῃ μὲν μὴ τραφῇ δὲ ἀσθενήσαντος τοῦ ὀμφαλοῦ διὰ τὸ ἐπίπονον αὐτὰ ἄτροφα γίνεσθαι, ἐὰν δὲ
al. πόλυβος μείνῃ, ποιεῖ ἐννέα μῆνας ἐν τῇ μήτρᾳ προκύψαν τό τε ὁλόκληρόν ἐστι. † ὁ λυκιος ἐν. ς π. ἡμέρας γίγνεσθαι

γόνιμα τὰ ἔμβρυα. τὰ δὲ ὀκτάμηνα μὴ ζῆν οἷον πέκυψαν μὲν τὸ βρέφος τῆς μήτρας ἤδη πλέον τε ὁ ὀμφαλὸς ἐβασανίσθη διατεινόμενος. ἄτροφον γὰρ γίνεται τὸ ἔμβρυον. τοῦ τρέφοντος αἴτιος ὁ ὀμφαλός. οἱ δὲ μαθηματικοὶ τοὺς η, μῆνας φασὶ ἐστερῆσθαι πάσης γενέσεως. τοὺς δὲ ἑπτὰ συνδετικούς. τὰ δὲ ἀσύνδετα ζῶα ἔχειν τοὺς οἰκοδεσποτοῦντας φαύλους τῶν ἀστέρων. ἂν γάρ τις τούτων τὴν ζωὴν καὶ τὸν βίον κληρώσῃ δυστυχὴς ἔσεσθαι σημαίνει. ἀσύνδετα δὲ ἐστὶ ζώδια ὀκτὼ ἀριθμούμενα.* κριός, παρθένος. ἀσύνδετοι δὲ δίδυμοι πρὸς σκορπίον καὶ καρκῖνος πρὸς ὑδροχόον. ζυγὸς πρὸς ἰχθῦν. Διοκλῆς δὲ καὶ Ἐπίκουρος καὶ τὸν ὄγδοον μῆνα εἶναι γόνιμον, ἀτονώτερον δὲ Τίμων καὶ δωδεκάμηνον φησὶ τινα κύεσθαι, περί τε ἐπίσχεσιν τῶν καταμηνίων τὰ πρὸ τῆς συλλήψεως, οὕτω καὶ ἑπτάμηνα νομίζεσθαι, οὐκ ὄντα προγεγενημένης τῆς συλλήψεως. δυναμένης δὲ τῆς μήτρας εἰς καταμήνια καὶ μετὰ σύλληψιν.

Πῶς ἐγένετο τὰ ζῶα, καὶ ἡ φθορά.

Επίκουρος, εἰ ἐγένετο ὁ κόσμος καὶ τὰ ζῶα γεννητὰ καὶ ἡ φθορά, γεννητὸς ἐκ μεταβολῆς τῆς ἀλλήλων γίγνεσθαι. μέρη γὰρ εἶναι τοῦ κόσμου ταῦτα, ὡς Αναξαγόρας καὶ Ευριπίδης. ἴλις δὲ οὐδὲν τῶν γιγνομένων. διακρινόμενα δὲ ἄλλος πρὸς ἄλλων μορφὰς ἑτέρας ἐπέδειξε. Δημόκριτος γεγενημένα εἶναι τὰ ζῶα συστάσει, εἰ δὲ ἐν ἄστρον πρῶτον τοῦ ὑγροῦ ζωογονοῦντα.

Πόσα γένη ζώων.

Πλάτων καὶ Αριστοτέλης δ᾽ εἶναι, ζώων γένη λέγουσι καὶ αὐτὸς ὁ κόσμος ζῶον χερσαῖα. πτηνὰ οὐράνια. καὶ γὰρ τὰ ἄστρα ζῶα εἶναι, καὶ αὐτὸς κόσμος ζῶον λογικὸν ἀθάνατον. Πυθαγόρας καὶ Πλάτων λογικὰς μὲν εἶναι καὶ τὰς τῶν ἄλλων ζώων ἀλόγων τὰς λεγομένας ψυχάς, οὐ μὴν λέγω ἐνεργῶς διὰ τὴν δυσκρασίαν τῶν σωμάτων. καὶ διὰ τὸ μὴ μετέχειν τοῦ φραστικοῦ λόγου ὥσπερ ἤδη τῶν πιθήκων καὶ κυνῶν. νοοῦσι μὲν οὐ δυνάντες δὲ φράζειν νοοῦσι.

Εν πόσῳ χρόνῳ μορφοῦνται τὰ βρέφη.

Εμπεδοκλῆς ἤδη τῆς τῶν ἀνθρώπων ἄρχεσθαι τῆς διαρθρώσεως ἀπὸ τοῦ † ἐκ τῆς τριακοστῆς ἡμέρας. τελειοῦσθαι δὲ τοῖς μορίοις ἀπὸ † πεντηκονταμιᾶς. Ασκληπιάδης δὲ ἤδη μὲν τῶν ἀρρένων, διὰ τὸ θερμότερον εἶναι τὴν κρᾶσιν τῆς διάρθρωσιν γίγνεσθαι ἀπὸ ἕκτης καὶ εἰκοστῆς. πληροῦσθαι δὲ ἀπὸ τῆς πεντηκοστῆς. τῶν δὲ θηλείων ἐν. δ. μησὶ γίνεσθαι τὴν διάρθρωσιν διὰ τὸ ἐνδεὲς τοῦ θερμοῦ. † αλ. ἐκ τῆς † αλ. πεντηκοστῆς μιᾶς δεούσης

Εκ ποίων στοιχείων συνίσταται ἕκαστον τῶν ἐν ἡμῖν μερῶν.

Εμπεδοκλῆς τὰς μὲν σάρκας γίγνεσθαι τῆς ἰσοκρατείας τῶν δ. στοιχείων. τὰ δὲ νεῦρα ἐκ τοῦ πυρὸς καὶ γῆς. ὕδατος διπλασίου μιχθέντος. τοὺς δὲ ὄνυχας, γίγνεσθαι τοῖς ζώοις ἐκ τῶν νεύρων καθὰ τοῖς ζώοις συνέτυχε τῷ μέρει ψυχθέντων τῶν λοιπῶν στοιχείων. ἱδρῶτα καὶ δάκρυον γίνεσθαι τηκομένου τοῦ αἵματος, καὶ περὶ τὸ λεπτύνεσθαι διαχεομένου.

Πότε ἄρχεται τῆς τελειότητος ὁ ἄνθρωπος.

Ηράκλειτος καὶ οἱ στωϊκοὶ ἄρχεσθαι ἡμᾶς τῆς τελειότητος περὶ τὴν. β. ἑβδομάδα περὶ ἣν ὁ σπερματικὸς κινεῖται ὀρρός. καὶ γὰρ τὰ δένδρα τελειοῦται ὅταν ἄρχηται καρπὸν φέρειν. Αριστοτέλης κατὰ τὴν. α. ἑβδομάδα καθ᾽ ἣν ἔννοια γίγνεται καλῶν τε καὶ αἰσχρῶν διδασκαλίας ἀρχή. ἕτεροι δὲ νομίζουσι τελειοῦσθαι ἡμᾶς τῇ τρίτῃ ἑβδομάδι. ὅταν καὶ γένεια ἔχωμεν καὶ τῇ ἰσχύϊ χρώμεθα.

Πῶς ὕπνος γίγνεται καὶ θάνατος.

Αλκμαίων ἀναχωρήσει τοῦ αἵματος, εἰς τὰς † μορρυούσας φλέβας, ὕπνον γίγνεσθαι. τὴν δὲ παντελῶς ἀναχώρησιν διὰ τῆς ψύξεως θάνατον φέρειν. Εμπεδοκλῆς τὸν μὲν ὕπνον κατάψυξιν τοῦ ἐν τῷ αἵματι θερμοῦ σύμμετρον. ἀσύμμετρον δὲ τὴν ἐπαγγελίαν θάνατον. Πλάτων καὶ οἱ στωϊκοὶ τὸν μὲν ὕπνον γίγνεσθαι ἀνέσει τοῦ αἰσθητικοῦ πνεύματος. ὅταν δὲ παντελῶς γίγνηται ἀναισθησία τοῦ αἰσθητικοῦ πνεύματος θάνατον συμβαίνειν. † αλ. ὁμόρρους

Πότερον τοῦ σώματος ὁ ὕπνος ἢ τῆς ψυχῆς.

Αριστοτέλης τὸν ὕπνον σώματος εἶναι καὶ ψυχῆς. αἴτιον δὲ αὐτοῦ τὸ ἀναθυμιᾶσθαι ἀπὸ τοῦ θώρακος ὑγρὸν εἰς τοὺς περὶ κεφαλὴν τόπους ἐκ τῆς ὑποκειμένης τροφῆς. θάνατον δὲ γίνεσθαι, διὰ τῆς παντελοῦς καταψύξεως. Αναξαγόρας κατὰ κόπον τῆς σωματικῆς ἐνεργείας γίνεσθαι τὸν ὕπνον. σωματικὸν γὰρ εἶναι τὸ πάθος, εἶναι δὲ καὶ τῆς ψυχῆς θάνατον, κατὰ χωρισμόν.

Πῶς αὐξάνεται τὰ φυτὰ καὶ εἰ ζῶα.

Θαλῆς καὶ Πλάτων τὰ φυτὰ ἔμψυχα ζῶα. φανερὸν δὲ ἐκ τοῦ σαλεύεσθαι, καὶ ἐν ταῖς συναγωγαῖς ἥκειν μετὰ βίας, καὶ πάλιν σφοδρῶς ἀναχαλᾶσθαι, ὥστε καὶ συνέλκειν βαρέα. Αριστοτέλης ἔμψυχα μὲν ζῶα ὁρμητικὰ εἶναι καὶ αἰσθητικά. ἔνια δὲ ἔμψυχα. πᾶσαν γὰρ ψυχὴν ὁρμητικὴν εἶναι αὐτόματον γεγενῆσθαι δίχα ψυχῆς. Εμπεδοκλῆς τὰ δένδρα πρῶτα τῶν ζώων ἐκ τῆς γῆς ἀναφῦναι ὀλίγον περὶ πολύ. διὰ δὲ ἀμετρίαν τῆς κράσεως τὸν τοῦ ἄρρενος καὶ θήλεως περιέχειν λόγον. ἅψασθαι δὲ ὑπὸ τῆς ἐν τῇ γῇ θέρμης διαιρούμενα. ὥς τε γῆς εἶναι μέρη. καὶ γὰρ τὰ ἔμβρυα τὰ ἐν τῇ γαστρὶ τῆς μήτρας εἶναι μέρη. τοὺς δὲ καρποὺς περιττώματα εἶναι τοῦ ἐν τοῖς φυτοῖς ὕδατος καὶ πυρός. καὶ τὰ μὲν ἐλλιπὲς ἔχοντα τὸ ὑγρὸν ἐξικμαζομένου τούτου τῷ θέρει φυλλορροεῖ. τὰ δὲ τέλεια παραμένει ἀεὶ φύλλοις τεθηλότα. ὥσπερ ἤδη τῆς δάφνης καὶ τῆς ἐλαίας, τὰς διαφορὰς τῶν χυμῶν παραλλαγὰς γίνεσθαι τῆς πολυμερείας. καὶ τῶν φυτῶν διαφόρων ἑλκόντων τὰς ἀπὸ τῶν τρεφόντων ὁμοιομερείας, ὥσπερ ἐπὶ τῶν ἀμπέλων. οὐ γὰρ αἱ διαφοραὶ τούτων ποιοῦσι τὸν οἶνον διαλλάττοντα, ἀλλὰ τοῦ τρέφοντος ἐδάφους.

Πῶς γίνεται πυρετὸς καὶ εἰ ἐπιγίνεται.

Ερασίστρατος ὁρίζεται τὸν πυρετὸν κίνημα αἵματος παρεμπεπτωκότος εἰς τὰ τοῦ πνεύματος ἀγγεῖα ἀπο φερετος

γινόμενον, καθάπερ ἐπὶ τῆς θαλάττης ὅταν μηδὲν κινῇ αὐτὴν πνεῦμα ἠρεμοῦν. Διοκλῆς ἐπιγέννημα εἶναι τὸν πυρετόν. ἐπιγίνεται δὲ τραύματι, καὶ βουβῶνι. Ἡρόδοτος φησὶ μηδεμίας αἰτίας προηγησαμένης ἐνίοτε πυρέττειν τινάς.

Περὶ νόσου.

Διοκλῆς αἰτίας πλείστας τῶν νόσων διὰ ἀνωμαλίαν γίνεσθαι τῶν ἐν τοῖς σώμασι στοιχείων, καὶ τοῦ καταστήματος ἀέρος. Στράτων διὰ πλῆθος τροφῆς γίνεσθαι τὰς νόσους.

Περὶ γήρως.

Οἱ στωϊκοὶ καὶ οἱ ἰατροὶ παρὰ τὴν τοῦ θερμοῦ ὑπονόστησιν. Ἀσκληπιάδης δέ φησι τοὺς αἰθίοπας λ΄. ἔτει γηρᾶν καὶ διὰ τὸ ψύχεσθαι τὰ σώματα ὑπὸ τοῦ ἡλίου διαφλεγομένους. τοὺς δὲ ἐν τῇ Βρεττανίᾳ, ρ΄. κ΄. ἐτῶν γηρᾶν. διὰ τὸ στέλλειν ἐν αὐτοῖς τὸ πυρῶδες. τὰ μὲν γὰρ τῶν αἰθιόπων σώματα ἀραιότερα, διὰ τὸ κεχαλᾶσθαι ὑπὸ τοῦ ἡλίου. τὰ δὲ ὑπὸ τὴν ἄρκτον πεπυκνῶσθαι καὶ διὰ τοῦτο πολυχρόνια.

ΓΑΛΗΝΟΣ ΣΩΛΟΝΙ ΑΡΧΙΑΤΡΩ ΠΕΡΙ ΕΥΠΟΡΙΣΤΩΝ.

Λέπει.

ἄλλο. Σπυράθους τουτέστιν ἀφοδεύματα αἰγὸς λειοτριβήσας κατάχριε τὸ μέτωπον καὶ κατάδησον φασκίᾳ. ποίει δὲ πρωῒ καὶ δείλης. καὶ ἰάσῃ τὸν κεφαλαλγοῦντα. ἄλλο. εὐφόρβιον καὶ μέλαν γραφικὸν λειώσας μετ᾽ ὄξους κατάχριε τὸ μέτωπον. ἄλλο. παῖς ἄφθορος οὐρησάτω ἐπὶ τὴν οὐδὸν τῆς θύρας τοῦ πάσχοντος. σὺ δ᾽ ἐπιβάλλων ὄξος τρίβε ἀμφότερα εἰς ἓν ἐπὶ τὴν οὐδὸν, ὡς γλοιοῦ γίνεσθαι πάχος. καὶ κατάχριε τὸ μέτωπον αὐθωρόν.* ἄλλο. ἐάν τις τίκτουσα κεφαλὴν πονῇ σποδὸν ὄξει φυράσας κατάχριε. ἄλλο δάκρυον κισσοῦ μετὰ ὄξους καὶ ῥοδίνου λειώσας κατάχριε τὸ μέτωπον. ἐπίθεμα πρὸς ταῦτα. κάρδαμον φυράσας ὄξει καὶ ῥοδίνῳ καὶ ποιήσας κηρωτῆς τὸ πάχος ἐπιτίθει ἀπὸ κροτάφου ἐπὶ κρόταφον, παραχρῆμα τῆς ὀδύνης παύει.

Πρὸς ἑτεροκράνιον.

Ἀκακίαν λαβὼν κηρωτῇ ῥοδίνῃ χρῶ. ἄλλο. κιχώρειον ἐπιτιθέμενον καὶ πόνους κεφαλῆς καὶ τὰς ἐγκαύσεις τὰς γινομένας ἀφ᾽ ἡλίου παύει.

Πρὸς ἐπιληπτικοὺς πότιμα.

Ἰκτῖνον καύσας ζῶντα ἐν χύτρᾳ δίδου πίνειν τὴν τέφραν καὶ ὑγιάσεις. ἄλλο. ἧπαρ αὐτοῦ καύσας καὶ τρίψας δίδου δι᾽ ὕδατος. ἄλλο. κόπρον ὀνείαν φρύξον, καὶ λάμβανε ἀπ᾽ αὐτῆς ὅσον κοχλιάρια β΄. καὶ πότιζε καθ᾽ ἡμέραν καὶ ἀπαλλαγήσεται τοῦ πάθους. τοῦτο τῶν λίαν πεπειραμένων ἐστίν. ἄλλο. οὖρον κάπρου ἐν καπνῷ ξηρὸν ποιεῖ ποτιζόμενον δι᾽ ὀξυμέλιτος. ἔστω δὲ τοῦ οὔρου τὸ μέγεθος κυάμου αἰγυπτίου, μάλιστα δὲ συάγρου. ἄλλο. κόπρος τράγειος ποιεῖ διδομένη, ἕως πεντεκαίδεκα σπυράθων. ἄλλο. μαλάχης ἀγρίας χυλὸν δίδου ἐπὶ ἡμέρας λ΄. πίνειν νηστικῷ, καὶ ἰάσῃ. ἄλλο. γαλῆς αἷμα περίχριε, καὶ τὴν γαλῆν δίδου φαγεῖν, ἀποκόπτων αὐτῆς τοὺς πόδας, καὶ τὴν κεφαλήν. ποιεῖ ὁμοίως καὶ πρὸς χοιράδας διδομένη γαλῆ. ἄλλο. μῦν ἀνατεμὼν ἐν ληγοσελήνῳ, δέξαι αὐτοῦ τὸ ἧπαρ, καὶ ὀπτήσας, δὸς φαγεῖν τῷ πάσχοντι. ἄλλο ὀσφραντικὸν πρὸς ἐπιληπτικούς. τιθύμαλλον τρίψας μετὰ ὄξους καὶ ἀλφίτων μάζιαν ποιήσας δίδου ὀσφραίνεσθαι τῷ ἐπιληπτικῷ καὶ οὐ πεσεῖται. ἐπιθυμίαμα τοῦ γνῶναι εἰ ἔστιν ἐπιληπτικός. λίθον ἐπιθυμίασον τὸν ἀγάτην, αὐτῷ συμπεριβαλὼν, ὡς μὴ διασκίδνασθαι τὴν ὀσμήν, καὶ καταπεσεῖται εἴπερ ἑάλω τῷ πάθει. πότιμα πρὸς τὸ γνῶναι εἰ ἀθεράπευτοί εἰσιν οἱ ἐπιληπτικοί. ἀκακίας δραχμὴν ὕδατι διεὶς πότιζε. ἐὰν ἐμέσῃ, ἀνίατον ἐστίν. ἐὰν δὲ πυρέξῃ, πότερον συμφέρει αὐτῷ. ἀστροπλήκτων θεραπεία. ὄνου οὖρον κατάχεε, αὐτοῖς, καὶ θεραπεύονται. ἐὰν πεπτωκότα ἐπιληπτικὸν θέλῃς ἐγεῖραι παραχρῆμα. θύμον ἢ γλήχωνα τρίψας προσένεγκε αὐτοῖς τοῖς μυκτῆρσι.

Καθαρτικὸν διὰ μυκτήρων.

Ἀναγαλλίδος τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης τὸν χυλὸν εἰς τοὺς μυκτῆρας ἐνθεὶς, κέλευε ὕπτιον ἀνανεύσαντα. τοῦτο δὲ βοηθεῖ πᾶσι τοῖς περὶ κεφαλὴν ὀχλουμένοις. ἄλλο. μελάνθιον χυλίσας μετὰ ὑδρομέλιτος καὶ ἶριν, οὕτως χρῶ, ἔλαιον παλαιὸν μίξας. ἄλλο. σεύτλου ῥίζαν χυλίσας ἔγχει εἰς μυκτῆρας καὶ καθαίρει.

Περὶ ὤτων. καὶ πρῶτον πρὸς τὰς διαθέσεις τὰς ἐν τοῖς ἀκουστικοῖς πόροις,

Ἐγκλύζας οἴνῳ κεκραμένῳ ἢ ὑδρομέλιτι τὸ οὖς ἔνσταζε λύκιον λεάνας ἐν λεπυρίαις. πρὸς φλεγμονὰς καὶ πόνους. σκορόδου τὸ ἐντὸς ἀμυγδαλοειδὲς θλάσας μετὰ ἐλαίου εἰς ξύστραν θερμάνας ἔγχει τὸ ἔλαιον εἰς οὖς καὶ ἄπονος ἔσται. πρὸς περιωδυνίαν. ἧπαρ χήνειον τεταριχευμένον τήξας μετὰ νάρδου καὶ ἀπομάξας εἰς τὸ οὖς ἐντίθει. πρὸς ὦτα πυορροοῦντα. στυπτηρίαν ὑγρὰν ἀνεὶς, ὕδατι ἔμβαλον εἰς ὑέλινον ἀγγεῖον, καὶ λεάνας ἔνσταζε. πρὸς τὰ πυορροοῦντα καὶ περιωδυνοῦντα. πράσου χυλὸν μέλιτι διεὶς χρῶ. ἄλλο. ὄπιον ἀνιεὶς γλυκεῖ εἰς τὸ οὖς ἔνσταζε χλιαίνων. ἄλλο. κεδρίαν ἐν ὀλίγῳ ναρδίνῳ ἔνσταζε. ἄλλο. μέλι καὶ ἔλαιον ἐν κερώμασι περιχλιάνας ἔνσταζε. πρὸς τερηδόνας καὶ πυορροοῦντας. στυπτηρίαν σχιστὴν μετ᾽ ὄξους καὶ γλυκέος ἑψήσας ἔνσταζε ποιῶν μέλιτος πάχος. ἐνεργὲς ἐπὶ προσφάτου, καὶ ἐπὶ χρονίου. πρὸς ἤχους καὶ περιωδυνίας. κεδρίαν μέλιτι μίξας ἔνσταζε. ἄλλο. ἀλόην ἡπατικὴν μετὰ οἰνομέλιτος ποιῶν γλοιοῦ πάχος ἔνσταζε. ἄλλο. ἀλώπεκος στέαρ ἀνειμένον ἔνσταζε. ἄλλο. νάρδιον χλιαρὸν ἔνσταζε. ἄλλο κασίαν μετὰ

σίαν μετὰ ῥοδίνου ἔνσταζε. ἄλλο. σιλφὰς τὰς κατοικιδίους μετὰ ῥοδίνου θερμαίνων ἔνσταζε. πρὸς τὰς κατὰ μικρὸν βαρυηκοΐας. θρία οἰσυπηρὰ προβρέξασας ὄξει ἐγχυμάτιζε, καὶ δὲ αὐτὸ τὸ θρίον ἐντίθει εἰς τὸ οὖς. ἄλλο. ῥοᾶς ἀώρου τῷ χυλῷ μετὰ μέλιτος χρῶ. ἢ ξίνου τῷ χυλῷ. ἢ περδικίου βοτάνης ἢ κύπρου ἢ βάτου. τούτων τὸν χυλὸν κατ' ἰδίαν ἑκάστου, ἢ καὶ μετὰ μέλιτος σμήγων, καὶ ἑψῶν χρῶ. ἢ ἀρνογλώσσου, ἢ θριδακίνης ἢ πολυγόνου χυλοῦ ὁμοίως χρῶ. πρὸς πόνους χωρὶς ἑλκώσεως. θεῖον ἄπυρον ἐμφύσα διὰ συριγγίου. ἄλλο. ὄπιον ἀνιεὶς γυναικείῳ γάλακτι ἔνσταζε. πρὸς δυσηκοοῦντας. ἀψίνθιον ἀφέψων διὰ ὕδατος. κλύζε τὸ οὖς τῷ ἀφεψήματι. πρὸς τοὺς ἐκ γενετῆς κωφούς. αἰγὸς νεωστὶ ἐσφαγμένης τὸ κέρας πλῆσον οὔρου αἰγός, καὶ κρέμασον εἰς καπνὸν ἐπὶ ἡμέρας. θ. καὶ χρῶ. πρὸς τοὺς ἐκ βάθους ἤχους. ὄξος καὶ ῥόδινον. πήγανον. κύμινον λεάνας μετὰ μέλιτος χρῶ. πρὸς βόμβους καὶ ἤχους ἐξαπίνης γινομένους. ὄξος δριμὺ χλιαίνων ἔνσταζε. ἄλλο. βετονίας μέλιτος, καὶ ἐλλεβόρου λευκοῦ, καὶ ῥοδίνου λεάνας ἔνσταζε. πρὸς ἀλγοῦντα καὶ πυοῤῥοοῦντα. ὄξος καὶ μέλι καὶ ῥόδινον μίξας, καὶ χλιάνας χρῶ. πρὸς βαρυηκοΐας. δὲ ὑπαστον ἐλαίου * στέαρ ἔνσταζε, καὶ σπόγγῳ τὸν τόπον ἐπέχει. ποιεῖ καὶ πρὸς τὰ νευρώδη σμιγόμενον καὶ μετὰ ἀλωπεκίου στέατος. καὶ ἰουλίσι ἰδίοις. πρὸς ἀλγηδόνας καὶ φλεγμονάς. ἀσφοδέλου ῥίζαν καθάρας βάλλε εἰς ἔλαιον ἐν ἀγγείῳ ὑελίνῳ καὶ ἡλίαζε ταῖς ὑπὸ κυνὸς καύμασιν ἡμέραις. μ. καὶ χρῶ. πρὸς τὰ ἡλκωμένα καὶ πυοῤῥοοῦντα σαύρας τὰς μικρὰς λαβὼν τῆξον ἐλαίῳ καθαρῷ, καὶ οὕτως ἐγχυμάτιζε, καὶ ἐὰν σκώληκας ἔχῃ ἰᾶται. πρὸς τὰ ἐν ὠσὶ σκωλήκια, καὶ τὰ παρεισδυόμενα εἰς τὰς ἀκοάς. κρόμμυα καὶ ὕσσωπον τρίψας οὔρῳ παλαιῷ ἐγχυμάτιζε. κολοκυνθίδος τὸ σπέρμα τοῦ ἐντεριώνης, στυπτηρίας αἰγυπτίας ἴσα μετὰ κεδρίνου ἐλαίου λειώσας ἐγχυμάτιζε. πρὸς τὸ ῥύπον ἐξελεῖν κροκίδα βρέξας μυροβαλάνῳ ἔνθες, καὶ εὑρήσεις τὴν κροκίδα πλήρη τοῦ ῥύπου. ἄλλο. Νίτρον μετὰ ὕδατος ἔμβαλλε εἰς τὸ οὖς, καὶ ἐπίσταξον ὄξος καὶ πρόσθες θρίον ἔασον ἐννυκτερεῦσαι τῇ δὲ ἐπιούσῃ κλύσον ὑδρελαίῳ θερμῷ. πρὸς ὠταλγίαν. ἁλὸς ἄνθος μετὰ ῥοδίνου καὶ ὄξους ἔνσταζε. πρὸς τὰ πυοῤῥοοῦντα. καὶ περιωδυνοῦντα Νίτρον μετὰ ῥοδίνου δὶς ἐγχυμάτιζε τὸ οὖς. ἄλλο. ἐλλέβορον λευκὸν μετὰ οἴνου, ἢ ὄξους ἔνσταζε σὺν στυπτηρίᾳ. καὶ χυλὸν καλαμίνθης ῥίζας συλλειοτριβήσας μετ' ὄξους ἐγχυμάτιζε. ἄλλο πρὸς τὰ χρόνια. λύκιον καὶ μέλι ἴσα μίξας χρῶ. πρὸς φλεγμαίνοντα. † κωδίων κελύφη κόψας εἰς ὠμὴν λύσιν, ἕως τρίτου μέρους, καὶ ἑψήσας ἐν γλυκεῖ κεκραμένῳ κατάπλασσε.

Πρὸς μυκτῆρας ἡλκωμένας καὶ πολύποδας καὶ ὀζαίνας.

Α ἰφρυγιλλίῳ περὶ ἄπτου διαστέλλων τοὺς μυκτῆρας, καὶ πρὸς ὀδωδίαν λευκοῖου ἄνθους μήπως ἐκπεπτωκότος τοῦ βλαστοῦ ἐπιμύων τρίβων τε μεθ' ὕδατος, πάχος ποιῶν μέλιτος, ἐφάπτου τῶν ἡλκωμένων. ἄλλο. ἰὸν ἑφθὸν μετὰ μέλιτος περιάπτου. πρὸς τὰς ἐνδοτέρω φλεγμονάς. στέαρ χήνειον χυλῷ πράσου καὶ στρύχνου δεὶς ἴσον διάχριε τῇ ἡμέρας. πρὸς τὰ ἐν μυκτῆρσι ἕλη σκληρώδη. μόλιβδον λεάνας ἐπίχεε οἶνον ἀπαράχυτον καὶ μυρσινελαίου τὸ ἀρκοῦν, ἵνα ἔχῃ μέλιτος πάχος. ἄλλο. λεπίδα ἑψήσας μετὰ μέλιτος χρῶ.

Αἷμα ἀπὸ μυκτήρων ἀναστῆσαι.

Η δύοσμον ἀναλαβὼν μέλιτι καὶ κολλύρια ποιήσας, θὲς εἰς τοὺς μυκτῆρας. πρὸς τοὺς ἀπὸ μυκτήρων αἱμοῤῥαγοῦντας. πήγανον τρίψας ἀναλάμβανε ἐλαίῳ καὶ εἰς τοὺς μυκτῆρας ἐπιτίθει. ἄλλο. κόμι καὶ λιβανωτὸν λεάνας καὶ δεύσας ἐν ὄξει τίθει. ἄλλο. σποδὸν κυπρίαν μετὰ πράσου χυλοῦ δεύσας χρῶ. ἄλλο. σπόγγον κεκαυμένον μετὰ πίσσης, ξηρῷ χρῶ. ἐν μότῳ. ὀξυσχοίνου ἄνθος ἐντίθει τοῖς μυκτῆρσιν. πρὸς τὰς ἀκατασχέτους αἱμοῤῥαγίας, καὶ μάλιστα ὅταν χρονίως πυρέξαντες αἱμοῤῥαγῶσιν. θυεῖον ἐντίθει. ὅτε μὲν ξηρόν. ὅτε δὲ κολλύριον ποιῶν ἰσομέγεθες τοῖς μυκτῆρσι. καὶ οὕτως ἐπιτίθει. κατάπλασσε τούτοις καὶ τοὺς μυκτῆρας καὶ τὰς παρειὰς καὶ τὸ μέτωπον. ἄλλο. δὶ φρύγες καύσας, καὶ λειοτριβήσας μετὰ ὄξους κατάπλασσε. ἄλλο. ἔριον βρέξας εἰς τὸ λευκὸν τοῦ ὠοῦ ἐντίθει. ἄλλο, πολυγόνου χυλῷ βρέχων ἔριον ἐπιτίθει. ἢ στρύχνου χυλῷ. Ἄλλο. πήγανον τρίψας λεῖον μετ' ὄξους κατάπλασσε, καὶ ἐπιθυμία. δεῖ δὲ χρῆσθαι τοῖς δυναμένοις ἐπισύφειν, καὶ ἐποῦλειν τὴν φορὰν τοῦ αἵματος, τοιούτοις οὖσιν, οἷον κώνιον ὑποθυμία τοῖς μυκτῆρσι, καὶ τὸ ἀφρὸ ραῦ ἕλκε. τὸ περιπιέζειν δὲ καὶ τοῖς δακτύλοις τοὺς μυκτῆρας. μύε δὲ τὰς ἀκοὰς κηρωτῇ, ἢ ἄλλῳ τινὶ ἐπιμελῶς. ἢ καὶ τὴν ἀκροποδίαν ἐπιδεσμεῖν παρ' ὅρον, ἐπὶ δὲ γυναικῶν θηλὴν τοῦ μαζοῦ ὁμοίως. χρῆσθαι δὲ καὶ τοῖς ψύχειν δυναμένοις κατὰ τοῦ μετώπου καὶ τῆς κεφαλῆς. εὔθετον δὲ σικύαν τῇ κεφαλῇ προσάγειν, ἢ καὶ τὴν ἐν μετώπῳ φλέβα λύειν. ποιοῦσι δὲ καὶ οἱ πταρμοὶ πολλάκις στῆναι. ἢ βούγλωσσον τὴν βοτάνην ὁμοίως, ἢ ὀνίδα δεύσας ἐν ὄξει προστίθει τοῖς μυκτῆρσιν.

Πρὸς τοὺς ῥέγχοντας.

Α νηθον ὑποτίθει ὑπὸ τὴν κεφαλὴν μὴ γινώσκοντος. ποιεῖ δὲ τοῦτο καὶ πρὸς τοὺς ἐκ σκιμπόδων ἐξαλλομένους.

Πρὸς στίγματα, καὶ αἴραν χωρὶς οὐλῆς καὶ ἕλκους.

Αποσμίξας τὸν τόπον νίτρῳ, ῥητίνῃ τερεβινθίνῃ κατάπλασσε. καὶ ἔασον ἡμέρας. ε. καὶ οὕτως λύσας κατακέντησον τὰ στίγματα γραφείῳ, ἔπειτα λιβάνῳ χρῶ μετὰ νίτρου καὶ μετὰ μέλιτος ἴσον ἑκάστου κατάπλασσε, ὡς πάχος κηρωτῆς ὑγρᾶς, λύε δὲ καὶ καταντλεῖ. ἄλλο. ἐλλέβορον λεῖον μετ' ἄρτου κατάπλασσε, ἢ ὀξύγαλα καθ' ἑαυτὸ κατάπλασσε. ἄλλο. συκῆς φλοιὸν λεῖον κατάπλασσε. ἄλλο. σταφίδα ἀγρίαν κατάπλασσε.

Πρὸς ἀλφοὺς καὶ ἔφηλιν καὶ φακοὺς καὶ τὰ τοιαῦτα.

Σ ικύου ἀγρίου ῥίζης χυλοῦ κεκομμένου, καὶ σεσησμένου σμῆχε τὸ πρόσωπον. ἄλλο. ἀλκυόνιον μετὰ οἴνου τρίψας κατάπλασσε. ἄλλο. ἀγρίαν ἄμπελον κόψας μετὰ οἴνου αἰγυπτίου κατάχριε λειοτριβήσας. ἄλλο, δὲ ζώμου ἀγρίου ῥίζαν τρίψας καὶ ἀναλαβὼν χολῇ προβατείᾳ, κατάχριε τὸ πρόσωπον νίτρῳ. ἄλλο. ἐλατήριον λειοτριβήσας μετὰ ὄξους, καὶ ποιήσας μέλιτος πάχος κατάχριε μετὰ κηρωτῆς μίξας

ἄλλο. κινάβαρι μετὰ μέλιτος χρίε τὸ πρόσωπον. ἄλλο. κάχρυος σπέρμα λειώσας, αὐτοὺς τοὺς φακοὺς κατάχριε. καὶ ὅταν ξηρανθῇ ἔκκλυζε. ἄλλο. Σικύου ἀγρίου τὴν ῥίζαν καὶ συκῆς τοὺς ἀκρέμονας ἕψει ἐν ὄξει καὶ λείοις κατάπλασσε. ἄλλο. κοτυληδόνος ῥίζας λειώσας μετὰ μέλιτος κατάχριε τὸ πρόσωπον. ἄλλο. ἐρυθρόδανον ποιεῖ πρὸς ἔφηλιν καὶ ἀλφούς, ἤγουν κόψας μετὰ ἐλαίου κατάχριε, ζόγχον πικρὸν λειώσας μετὰ μέλιτος κατάχριε. ἄλλο. ἀνήθου σπέρμα τρίψας μετὰ οἴνου παλαιοῦ καὶ ποιῶν μέλιτος πάχος ἐπίχριε τὸ πρόσωπον, καὶ ἐννυκτερευέτω. πρωῒ δὲ ἐκτρίβων, μεμασησμένου δὲ αὐτοῦ. πρὸς ἔφηλιν καὶ φακούς. τὸν λευκὸν ἰὸν μετὰ ὕδατος κατάχριε. ἄλλο. ἀφρόνιτρον λειώσας μετὰ κηρωτῆς ἐσκευασμένης διὰ κηροῦ τυρρηνικοῦ κατάχριε τὸ πρόσωπον. πρὸς ἀλφοὺς καὶ χρῶμα λευκόν. ἀλκυόνιον καύσας μίξον μέλιτι καὶ κατάχριε, καὶ ἀλεύρῳ μίξας ὀροβίνῳ καὶ σιτίνῳ σμηχέσθω θερμῷ ὡς τὰ μάλιστα. ἄλλο. ἀμύγδαλα πικρὰ λελεπισμένα ὄξει δριμεῖ ἀναλαβὼν κατάπλασσε. ἄλλο. ὠκίμου σπέρμα τρίψας μετ᾽ ὀρνιθείου στέατος, ἢ χηνείου κατάχριε. ἄλλο. πήλιν μετ᾽ ὄξους λίαν κατάχριε ἀφίστησι λεπίδας πρὸς ἔφηλιν καὶ φακούς. σμύρναν καὶ κρόκον μεθ᾽ ὕδατος λεάνας κατάχριε. ἄλλο. πορφύρας, ἢ κήρυκας λαβὼν εἰς πολτοειδὲς δὸς εἰς κάμινον ὀπτηθῆναι, καὶ λεάνας μετὰ μέλιτος χρῶ.

Ποιοῦν λευκὸν καὶ τεταμένον τὸ πρόσωπον.

Σικύου ἀγρίου τὰς ῥίζας τέμνων ψύξον, καὶ ἑψήσας δι᾽ ὕδατος τρίψον λεῖον κατάπλασσε. στίλβον ποιοῦν τὸ πρόσωπον. ὀρόβους οἴνῳ εὐώδει λειώσας κατάπλασσε. ἄλλο. σεμιδάλεως χυλὸν καταστήσας ἀπόχεε τὸ ὑγρόν, καὶ τῇ ὑποστάθμῃ πρόσμιξον ᾠοῦ τὸ λευκὸν ποιῶν μέλιτος πάχος, καὶ τούτῳ χρίων τὸ πρόσωπον ἐλαίῳ διατρίβε, ἀπὸ δὲ τοῦ ἡλίου γινόμενος ψυχρῷ πρόσκλυζε πολλῷ. ὥστε εὔχρουν ποιεῖν εἰς μίαν ἡμέραν † ὕκος ἑψήσας ἔμβαλλε στυπτηρίαν ὀλίγην. εἶτα κονίαν προσμίξας τρίψας χρῶ πολλῷ χριόμενος ἐλαίῳ ὥστε εὔχρουν τὸ πρόσωπον καὶ τὸ χρῶμα ποιῆσαι ἡδὺ ὄζον. τελεκήματι κυπαρίσσου καὶ πρίνου ἐν τῷ αὐτῷ ζέσας, ἄλειφε ὅλον τὸ σῶμα. ἄλλο. λιβανωτὸν καὶ παιδέρωτα ἴσα μίξας μετὰ μέλιτος τρίψας χρίε τὸ πρόσωπον, καὶ ἔα δι᾽ ὅλης ἡμέρας. εἶτα ἀπόκλυζε. ἄλλο. λίνου μίξας τρύγα σύγχριε εἰς τὸν ἥλιον μέλλων πορεύεσθαι προεκνιτρώσας τὸ σῶμα.

† αλ. φῦκος

Πρὸς τὸ μὴ ὑπὸ ἡλίου ὑποκαίεσθαι ἀλλὰ καὶ τὴν ἐκκαυθεῖσαν ὄψιν ἰάσασθαι.

Βολβὸν λευκὸν λεῖον μετὰ μέλιτος κατάχριε. ἐὰν οἰδῇ τὸ πρόσωπον χωρὶς φλεγμονῆς γῆν μέλαιναν τρίψας δι᾽ ὕδατος κατάχριε. ἄλλο. ἀλκυόνιον μετὰ νάρδου κελτικῆς λείοις ἅμα.

Πρὸς χείλη κατερρωγότα.

Κηκίδα ὀμφακίνην λείαν ἀναλάμβανε, καὶ ῥητίνην τερεβινθίνην σὺν ὑσσώπῳ καὶ μέλιτι, καὶ ἐπίχριε. πρὸς τὰς βαθυτέρας ῥήξεις ἐνάλειφε αἰγείῳ θεραπευομένῳ λίπει.

Πρὸς τὸ εὐωδεῖν τὸ στόμα.

Ἐὰν ἀποβρέξας οἴνῳ παλαιῷ εὐώδει τὸ διακλύζῃ συνεχῶς κατέχων ὀλίγον ἐν τῷ στόματι χρόνον. ἄλλο ἕρπυλλον ἀποβρέχων οἴνῳ διακλύζου ἐπ᾽ ὀλίγον. Πρὸς δυσφόρους ὀσμὰς χωρὶς ἑλκῶν γινομένας. τινὲς ἀκράτῳ διακλύζονται μετὰ σμύρνης. καὶ τοῦ σχοίνου δὲ ἄνθος λεάναντες παρατρίβουσι τὰ αὐτά, καὶ κιμωλίαν ποιήσαντες μεθ᾽ ἁλὸς παρατρίβουσιν, ὁμοίως καὶ μαρμάρῳ ὀπτῷ μετ᾽ ἀνίσου. ὁμοίως δὲ καὶ κριθὰς μετὰ ἁλὸς καὶ μέλιτος. τινὲς δὲ καὶ ὀθόνιον καίουσι καὶ ἐμβάλλουσι, καὶ οὕτω λείῳ χρῶνται, καὶ κυστίει καὶ νάρδῳ, καὶ σμύρνῃ μετὰ μέλιτος. καὶ σεμίδαλιν καὶ ἶριν μέλιτι μίξαντες καίουσι καὶ τούτῳ χρῶνται. καὶ τῶν ὀστρέων τῇ πορφύρᾳ καὶ κήρυκι καὶ σμύρνῃ, καὶ ὅταν πρὸς κοίτην ἀπέρχονται ὄξει δριμεῖ διακλύζονται. διαμασῶνται δέ τινες καὶ τὰ τοῦ ἄγνου φύλλα, ὅταν ἐκπορεύονται, καὶ ὕδατι διακλύζονται. τινὲς δὲ καὶ ἄνισον διαμασσῶνται. ἢ γλυκύρριζον. ἢ ἶριν. ἤτι τοιοῦτον ἐκπορευόμενοι.

Πρὸς τὸ λευκαίνειν ὀδόντας, καὶ τὰ πάθη αὐτῶν.

Χρῶνται δὲ καὶ ὀδοντοτρίμμασι τοιούτοις τισὶ ποιοῦσιν ἅμα πρὸς τὰ οὖλα, καὶ ὀδόντας λευκαίνουσι καὶ στερεοῦσι, γῆν ἐρετριάδα καύσαντες καὶ λειώσαντες χρῶνται, λευκαίνει γὰρ τοὺς ὀδόντας σφόδρα καλῶς ὀροβίνῳ βρέχων ἐν οὔρῳ λεῖον κατάχριε. ἄλλο. δασύποδος κεφαλὴν καύσας μίξον τῷ μαράθρῳ, ὡς λευκοτάτῳ καὶ σηπίας ὀστράκοις λείοις χρῶ. ἄλλο. ἐλάφειον ὀστοῦν καύσας καὶ λειώσας χρῶ. τοῦτο γὰρ καὶ τοὺς πόνους τῶν ὀδόντων ἰᾶται καὶ μετὰ ῥοδίνου χριόμενον κεφαλαλγίας παύει. ἄλλο. γλήχωνα καὶ ἁλὸς πεφρυγμένου μίξας εἰς τὰ αὐτὰ λείοις χρῶ. ἄλλο. ἀστράγαλον προβάτειον καύσας ὁμοίως χρῶ. ἄλλο. κριθὰς ὀπτήσας μεθ᾽ ἁλὸς λείοις χρῶ. διάκλυσμα πρὸς ἕλκη καὶ ὀδόντας σειομένους † διεστῶτας. ἀλικακάβου ῥίζαν καθεψήσας μετὰ σιδίων λιπαρῶν κατάχριε. ἄλλο. λευκῆς ῥίζαν καὶ πολυστρέφους βοτάνης τὴν ῥίζαν, ἢ ἠρυγγίου ῥίζαν, ἢ αὐτὸ τὸ ἤρυγγι) ἢ πολίου ῥίζαν λειώσας κατάχριε. πρὸς κινουμένους ὀδόντας. ὄνου χήλινον καύσας τρίψον ὄξει ἀναλάμβανε. καὶ ποιῶν κυκλίσκια ἀποθοῦ καὶ χρῶ ἀνιῶν ὄξει. ἓνα κυκλίσκον δίδου διακλύζεσθαι, παύει παραχρῆμα τοὺς πόνους καὶ ἵστησιν. ἄλλο. χαμαιλέων μέλας διακλυζόμενος παύει ὀδονταλγίας. τοῦτο γὰρ καὶ μῦς κτείνει. ἄλλο. σεύτλου διακλυζόμενος χυλὸς ὀδονταλγίας παύει παραχρῆμα. ἄλλο. ὑοσκυάμου ῥίζαν διάκλυζε θερμοτέρως, καὶ ἄπονος ἔσται. ἄλλο. πήγανον καὶ ὕσσωπον καὶ σμύρναν μετὰ οἴνου λεάνας διακρατείτω. ἄλλο. φλόμου ῥίζαν ἑψήσας μετὰ ὄξους. ἢ οἴνου ὀξυκράτου δίδου διακλύζεσθαι. ἄλλο. νίτρον σὺν ἐλαίῳ δίδου διακλύζεσθαι καὶ ἄπονον ποιεῖ. ἄλλο. σφαιρία κυπαρίσσου ἑψηθέντα διὰ οἴνου καὶ ῥόδου διακλυζέσθω. ἐὰν δὲ ὅλοι πονῶσιν οἱ ὀδόντες, κεδρίαν διακλύζοντες ἄπονον ποιεῖ παραχρῆμα. ἄλλο. μύλη ἐὰν ἀλγοῦσα ᾖ, μονοκλώνου μολόχης ῥίζαν ἐφάπτου καὶ ἄπονος ἔσται. δίδου διαμασήσασθαι τοῖς ἀλγοῦσι τοὺς ὀδόντας περδικίου τῆς βοτάνης ῥίζαν εἰσερχομένοις εἰς τὸ βαλανεῖον καὶ διακρατείτω τὴν μύλην μέχρις ἂν ἐξέλθῃ καὶ ἄπονος ἔσται. ἄλλο. πυρέθρου ῥίζα διαμασηθεῖσα

† αλ. καὶ ἀσαλεύοντας.

αὐθημερὸν

αὐθημερὸν τὸν πόνον παύει. ἄλλο. Βοτάνης ποντίτιδος ῥίζα διαμασηθεῖσα παύει τὸν πόνον. ὑποθυμίαμα τοῖς A ἀλγοῦσιν ὀδοῦσιν. ἀλκυόνιον ὑποθυμία καὶ εὐθέως ἄπονος ἔσται. ἄλλο. ὑοσκυάμου σπέρμα ὑποθυμιαθὲν, ἄπονον ποιεῖ. πρὸς ὀδυνωδίαν ὀδόντων. κιμωλίαν μεθ᾽ ἁλὸς διάτριβε χείλεσι σὺν ὀδόντας. ἄλλο. ὀδόντα κυνὸς λαβὼν ἐπὶ πῦρ ἐπίθες καὶ ὑποθυμία, ἅμα γὰρ τῷ καίεσθαι στερεοῦνται. πρὸς βεβρωμένους ὀδόντας. πρὸς σὺν δὲ βεβρωμένους ὀδόντας ἔμβαλε πέπερι λευκὸν, λεῖον ἀνειμένον χαλκάνθῳ. ἢ κνηκίδα. ἢ μετὰ μέλιτος χίσσιν ἐντίθει εἰς τὸ βρῶμα, καὶ ἄπονον ποιήσει. ἄλλο. τὸν τοῦ λίμακος λίθον θραύσας εἰς σησαμοειδῆ μεγέθη, καὶ ἐπίθες εἰς τὸ βρῶμα τοῦ ὀδόντος καὶ παραχρῆμα ἄπον ποιεῖ. ἐπιπωμάτιζε δὲ κηρῷ. ἄλλο. ἢ παρ ταύρου, ἡσυχῶς, πεφρυγμένον καὶ ἐντιθέμενον εἰς τὸν ὀδόντα, ἅμα τῇ τήξει ἄπονον ποιεῖ. ἄλλο. ὄνυξ χελώνης ἐντιθέμενος τῇ βεβρωμένῃ μύλῃ ποιεῖ καλῶς. ἄλλο. χολὴ ἄρκτου ἐντεθεῖσα αὐτίκα ἀπόνους ποιεῖ, θεραπεύει δὲ καὶ πάντα τρόπον ἐπιχριομένη. πρὸς κινουμένους ὀδόντας. τὸ τῆς χελώνης αἷμα διακερατούμενον ἐν τῷ στόματι στερεοῖ. ἄλλο. ἀλκυόνιον ἰνδικὸν ἐν οἴνῳ τριπτὸν διακλυζέσθω καὶ ἵστησι τὴν κίνησιν. πρὸς σὺν ἐκ πληγῆς κινουμένους ὀδόντας. Κοράλλιον ἐπιτίθει καὶ κράτει ἐπὶ ἱκανὸν χρόνον. χωρὶς σιδήρου ἀπόνως ἆραι ὀδόντας. Περιπλάσας ζύμην ἔασον αὐτὸν ὀλίγον. εἶτα περίχυσον αὐτὸν σαύρας αἵματι, καὶ ἐκπεσεῖται. ὥστε αὐτόματον ἐκπεσεῖν. Πύρεθρον ἐν ὄξει φυράσας καὶ ταριχεύσας ἐπὶ ἡμέρας λ΄. ἐν τούτῳ περίπλασσε τὸν ὀδόντα καθάρας. ἄλλο. ἀρτεμισίαν τὴν βοτάνην ἐν ὄξει τρίψας περίπλασσε. ἄλλο. περιχαράξας τὸν ὀδόντα κάμπαις ταῖς εὑρισκομέναις ἐπὶ ταῖς ἀκρέμοσι τῶν βοτανῶν καὶ κραμβῶν κατάχριε φυλασσόμενος σὺν ἄλλους ὀδόντας. εἰ δὲ σὺν κάτω ἆραι θέλεις ταῖς εὑρισκομέναις ὑποκάτω χρῶ. ἄλλο. Σανδαράχην ἐν ὄξει τρίψας χρησίμως ἔασον ξηρανθῆναι καὶ χρῶ ξηρῷ αἰμάξας τὴν μύλην, ἐάσας γὰρ βραχὺ ἑλκύσεις τοῖς δακτύλοις αὐτὴν, ἢ κολοκυνθίδος ἀγρίας ἐντίθει ῥίζαν τῷ ὀδόντι. ἄλλο. Μοίδου* ὀμφακίτου ῥίζαν ξηράνας ἐν σκιᾷ καὶ κόψας καὶ σήσας, περίπασσε τὰς ῥίζας καὶ μετ᾽ ὀλίγον ἐπιλαμβάνου τοῖς δακτύλοις καὶ ἀκολουθεῖ, ἢ τῷ τῆς αἰθιοπικῆς ἐλαίας δακρύῳ παράπτου τοῦ πεπονθότος ὀδόντος. ἄλλο. σαύραν ἀγρίαν ξηράνας, καὶ ἀναχίσας καὶ κόψας ἀπόθου ὅταν περικαθάρῃς τὸν ὀδόντα ἐντίθει. καὶ μετ᾽ ὀλίγον ἕλκε καὶ ἀκολουθήσει. ἄλλο. Κόκκους κνίδης μίξας μετὰ χαλβάνης περίπλασσε τῷ πάσχοντι καὶ παραχρῆμα πεσεῖται. ἀπόνως ἆραι ὀδόντας. Η τῆς ξανθοῦ βοτάνης ῥίζα θερμαινομένη καὶ πρὸς τῷ ὀδόντι εὐθέως. αἴρει τοῖς δακτύλοις. ὥστε τοῖς δακτύλοις αἴρειν. κολοκυνθίδας ἀγρίας κόψον. καὶ ὄξει ἀπόβρεξον, ὥστε πάχος γεῖν μέλιτος. καὶ ἀπόβαπτε εἰς τὸ φάρμακον τὸ περιχαρακτήριον περιχάρασσε. καὶ κέλευε συμμύσαι τὸ στόμα ἐπ᾽ ὀλίγον. εἶτα ἐπιλαμβανόμενος τοῖς δακτύλοις ἕλκε τὸν ὀδόντα, ἀπόνως ἀκολουθεῖ.

Πρὸς τὰ ἐν τῷ στόματι ἕλκη καὶ σηπεδόνας.

Μελανθεία κεκομμένη. ποιεῖ δὲ πρὸς ταῦτα καὶ τὸ ὀμφάκινον κατ᾽ ἰδίαν καὶ μετὰ μέλιτος πινόμενον. ποιεῖ δὲ καὶ ἡ γλαύκουρις θλασθεῖσα μετὰ μέλιτος καὶ ὕδατος ἴσου διδομένου τοῦ χυλοῦ ἀναγαργαρίζεσθαι.

Πρὸς κιονίδας.

Κνίδα λείαν καθ᾽ αὐτὴν προσάπτου βρέχων τὸν δάκτυλον εἰς ἔλαιον, ἢ εἰς κοχλιάριον βαλὼν παράπτου. ἄλλο. ἀκάνθης αἰγυπτίας τὸ σπέρμα λειώσας ξηρῷ παράπτου. Ισχάδας νήστει μετὰ φύλλων ἐλαΐνων δὶς φαγεῖν. ὀπὸν κυρηναϊκὸν μετὰ ἁλὸς λειάνας ξηρῷ προσάπτου πρότερον ἀναγαργαρίσας ὕδατι θερμῷ. ἢ χίσσιν καύσας ἐπιμελῶς παράπτου, ἢ ἀσκαλαβώτην ἐπὶ ἀμπελίνοις ξύλοις παράπτου, ποιεῖ καλῶς. ἄλλο. Βάτου σὺν καυλοὺς μετὰ μέλιτος καὶ πίσσης ὑγρᾶς λειώσας κατάπλασσε. ἄλλο. λίθου ἀγηράτου ἄνθος μίξας, δίδου ἀναγαργαρίζειν, ἢ κράμβης χυλῷ μίξας στυπτηρίαν σχιστὴν ἀναγαργαριζέτω, ὠφελεῖ καλῶς. καυστικὸν κιονίδος. Μίσυ καὶ ἄσβεστον ἀναλαβὼν ἴσα ῥητίνῃ τερεβινθίνῃ ὑποτίθει καὶ ἔα ὑποκρατεῖν. αἴρει ἐντὸς ὡρῶν τριῶν. ποιεῖ δὲ καὶ πρὸς σταφυλὰς καλῶς τὸ ἀπόῤῥυμα τῆς πίσσης τὸ φερόμενον ἀπὸ κιλικίας λαμβανόμενον εἰς κοχλιάριον καὶ ὑποτιθέμενον. καὶ ὀμφάκιον μετὰ μέλιτος ἢ γλυκέος λίαν, λέγεται δὲ ἀπαθῆ φυλάσσειν τὴν κιονίδα, ἐάν τις ῥᾶγας σταφυλῆς καταπίνῃ νῆστις ἑκάστου ἔτους, καὶ οὐδέποτε ἕξει τὸ πάθος. καὶ τοῖς ἐπὶ τῶν παρισθμίων τεχθησομένοις ἀναγαργαρίσμασι χρηστέον ἐπὶ σταφυλῆς πασχούσης. πρῶτον καὶ ἐν ἀρχῇ κέλευε ὕδωρ θερμὸν διακρατεῖν, καὶ ἀναγαργαρίζεσθαι ψυχρῷ, ἢ ὀξυκράτῳ, ἢ ῥοιᾶς γλυκείας χυλῷ καθεψημένῳ, μέχρις ἂν σχῇ πάχος μέλιτος, ἀνεθέντι μετ᾽ ὀξυμέλιτος, ἢ ὀξυκράτου, ἢ δρακοντίου χυλῷ καὶ ποιοῦντι καλῶς.

Πρὸς φλεγμονὰς καὶ συνάγχας.

Ποιεῖ δὲ πάνυ καλῶς ἐπὶ παρισθμίων. οἱ τὰ μύρτα κατασκευάζοντες εἰώθασιν ἐν μέλιτι χρίειν, καὶ ἀψινθίῳ. τοῦτο οὖν διαχριόμενον, ἢ μετά τινος ἀναγαργαριζόμενον θαυμαστῶς ποιεῖ. ἐὰν ἐπιμένῃ τι τῆς φλεγμονῆς μετὰ τοῦ τετραχῶσθαι τὰ παρίσθμια χρηστέον γάλακτι πάντῃ θερμῷ καθ᾽ ἑαυτὸ καὶ μετά τινος τῶν εἰρημένων. ἢ πιτύροις ἀφεψημένοις δι᾽ ὕδατος, ἢ ὑδρομέλιτος, ἢ πιτύρων ἀποβρέγματι, ἢ τραγοείζης βρέξας ἐν ὕδατι θερμῷ ἄλευρον δὶς, ἢ τρὶς χρῶ τῷ χυλῷ. ἢ ζωμῷ ὀρνιθείῳ, ἢ ἐριφείῳ, ἢ πτισάνην ἕψει μετὰ σταφίδος καὶ τῷ χυλῷ. ἢ μολόχης ἀφεψήματι καθ᾽ αὐτό. ἢ καὶ μετὰ μέλιτος ἕψει τὴν μολόχην. ἢ καὶ μετὰ θερμῶν καὶ μετὰ γλυκέος χρῶ. πρὸς παρίσθμια καὶ συναγχικούς. Γλυκυρρίζης χυλὸν ἀνεὶς χρῶ, ἐὰν δὲ ἐσχάραι γένωνται πρὸς τὸ ταύτας χαλάσαι, ὑδρομέλιτι ἀναγαργαρίζεσθαι δεῖ. ἢ φακῆς ἀφεψήματι καθ᾽ αὑτὸ καὶ μετὰ ὑσσώπου. ἢ ἴρεως, ἢ κολυμβάδων ἐλαιῶν ὕδατι ἀναγαργαριζέσθω, ἢ κρόκου βραχὺ καὶ σμύρνης μετὰ βραχέος γλυκέος ἀναζεσθέντα. ἢ σῦκα παρεψήσας περίπλασσον αὐτοῖς* ὠμηλύσι, καὶ χυλώσας δίηθησον, καὶ τῷ χυλῷ χρῶ. ἢ τῷ τῶν σύκων ἀφεψήματι μίξας νάπυ ὀλίγον δίδου ἀναγαργαρίζεσθαι, φλέγμα γὰρ ἄγει, καὶ λύει τὴν φλεγμονήν. πρὸς δὲ τὰς ἀποστάσεις τὰς ἐν παρισθμίοις συμφέρει τι τῶν εἰρημένων ἀφρονίτρῳ λεώπα

ράπτου ἐνίοτε δὲ καὶ ἄνθος νίτρου μίσγε. ἀποχύει γὰρ τὰς ἐσχάρας καὶ τήκει τὰς ἀποστάσεις ἐν διακλύσματι διδόμενον. καὶ στακτῇ κονίᾳ πρασίου τε χυλὸς δευθεὶς, ἢ αὐτὸ τὸ πράσιον τὴν βοτάνην ἐν ὑδρομέλιτι ἑψηθεῖσαν ἢ πηγάνου ἀφεψήματος μετὰ πρασίου, ἢ καθ᾽ ἑαυτό. ἢ ἐν ὑδρομέλιτι καθεψηθὲν ποιεῖ. καὶ ὁ χυλὸς ἀναγαργαριζόμενος. καὶ ὀρόβων ἀφεψήματι ἀναγαργάριζε, ἢ μίσυ σμήγων μετὰ κηκίδος ὀμφακίνης, καὶ μυρσίνης δὲ ἴσου λειοτριβήσας μετὰ συνηθείας ὑγρᾶς, καὶ μέλιτος ἴσου σμήγων διάχριε. τοῦτο οὐ μόνον ἐσχάρας ἐκβάλλει ἀλλὰ καὶ τὰς ἀντιάδας τήκει θαυμαστῶς. ἢ δέλφακος αἵματι χρίσας τὰς χεῖρας καθάψου τοῦ τραχήλου τρίς. ἄλλο. κοχλίους γυμνοὺς βάλε εἰς πολτάριον καὶ καῦσον, καὶ λειώσας τὴν τέφραν ἀναλάμβανε μέλιτι λείῳ διάχριε ἀπαράβατόν ἐστιν.

Πρὸς περικοπὰς καὶ ἐλαττώσεις τῆς φωνῆς.

Βολβοὺς δύο μετὰ μέλιτος δίδου φαγεῖν ὠμούς. ὠφελεῖ δὲ καὶ τὸ σῦκον ἑψόμενον καὶ ἀναγαργαριζόμενον μετὰ λιβάνου καὶ σμύρνης. ποιεῖ δὲ καὶ τὸ θεῖον ἄπειρον μετὰ ᾠῶν λαμβανόμενον κοχλιάρια. β΄. ἢ γ΄.

Πρὸς τοὺς ἤδη πνιγομένους.

Ἀνθρωπείαν κόπρον εἰς ῥάκος ἐνδήσας καὶ καύσας δίδου πιεῖν. τοῦτο τοῖς ἤδη πνιγομένοις βοηθεῖ. ἄλλο. ποιεῖ δὲ καὶ κόπρος αἰγεία σὺν μέλιτι καὶ πίσσῃ ὑγρᾷ διαχριομένη ἐπὶ τῆς συναγχικῆς ἄκρως, ἢ πηγάνου χυλῷ καὶ γάλακτι κλύζε διὰ κλυστῆρος τὸν φάρυγγα τοῦ συναγχικοῦ, κατασπᾷ γὰρ δάκρυον πολὺ καὶ κουφίζει. ἄλλο. οὖρον συνεχῶς ἀναγαργαριζόμενον ὑγιάζει. δεῖ δὲ συναναγαργαρίζεσθαι καὶ χυλὸν κράμβης. ἄλλο. πρὸς δὲ τὰς τῶν παίδων ἐσχάρας, τὰς ἐν τῷ φάρυγγι γιγνομένας διάχριε. εἶτα δίδου ἀριστολοχίαν ἐν οἴνῳ ἑψήσας ἀναγαργαρίζεσθαι. τάχιστα θεραπεύει.

Πρὸς ὀστᾶ ἄνω καὶ πάντα ἐκ τοῦ βρόγχου ἐκβαλεῖν.

Ὕδατος καὶ ἐλαίου τὸ ἴσον εἰς τὸ στόμα ἐγχέας κατεχέτω ἕως ἐκβάλῃ τὸ καταποθέν. ἐάν τις ἐσθίων καὶ καταπίνῃ καὶ πνίγεται. ἐκ τοῦ αὐτοῦ οὗ ῥώγει εἰς ἑκάτερον ὠτίων ἐπάνω ἐπιτιθέτω καὶ ἐπὶ τῇ κεφαλῇ καὶ ὑποβιβάζεται γὰρ τὸ καταποθὲν καὶ πνίγον. βδέλλας ἐκ βρόγχου ἐκβαλεῖν. ἀναγαργαριζέσθω θαλασσίαν ἅλμην. ἄλλο. ἐλαίου, ἢ ὀποῦ κυρηναϊκοῦ τὸ μέγεθος ὀρόβου τρίψας μετὰ ἀκράτου δίδου πιεῖν θερμόν. ἢ χυλὸν ἀναγαλλίδος πότιζε, ἢ ὄξος μετὰ θύμου δριμύ. μετὰ δὲ ταῦτα ἀναγαργαριζέσθω θερμῷ ὕδατι.

Πρὸς κατάῤῥους.

Τυρὸς παλαιὸς λαμβανόμενος ὠφελεῖ, ἀναξηραίνει γὰρ αὐτούς. ἐν ἐλαίῳ παλαιῷ διάχριε τοὺς μυκτῆρας συνεχῶς, ἢ θείῳ καὶ σμύρνῃ τετριμμένῃ μετ᾽ οἴνου καὶ μέλιτος καὶ ἐλαίου.

Πρὸς βῆχας.

Σῦκα βαπτόμενα εἰς ἄκρατον, καὶ λαμβανόμενα ὠφελεῖ. ἄλλο. ῥητίνην τερεβινθίνην σὺν μέλιτι ἑψῶν δίδου ἐκλείχειν. καὶ οἶνον κεκραμένον γλυκεῖ δίδου ἐπιῤῥοφεῖν. ἄλλο. παιδίοις μᾶλλον ἁρμόζον. πυτίαν καθαρὰν ἀναλάμβανε μέλιτι ἑψηθέντι καὶ δίδου. ἄλλο. λυκοῦργον τὸν λεγόμενον κῶον ψυλὸν δίδου φαγεῖν. ἄλλο. σκόροδα ἑφθὰ μετὰ μέλιτος ὠφελεῖ. ἄλλο. σκύλλαν λαβὼν περιόρυξον αὐτῆς τὴν κεφαλὴν, καὶ βαλὼν ἐκεῖ ᾠὸν, περιπήλωσον τὸν τόπον καὶ ὀπτήσας δὸς φαγεῖν. πρὸς τοὺς διηνεκῶς πυρέσσοντας. ὑσσώπου δεσμίδιον μετὰ ὕδατος εἰς τρίτον ἑψήσας δὸς πιεῖν νήστει ἐπὶ ἡμέρας λ΄. εἰς θερμὸν, παιδίοις δὲ μετὰ ἰσχάδων. ἄλλο. πιτύρων κόψας καὶ σήσας ἐπίπασσε ὡς ἄλφιτα εἰς τὸν τόπον. ποιεῖ δὲ τοῦτο καὶ πρὸς ἀ[.]οπτοικοὺς καλῶς. ἄλλο. σίνηπι κόψας καὶ λειοτριβήσας δίδου κοχλιάριον α΄. μετὰ οἴνου κυάθων β΄. πίνειν ἑξῆς ἐπὶ ἡμέρας γ΄. πρὸς τοὺς νυκτερινοὺς βῆχας. ἡδύοσμον τρίψας βάλε εἰς ὄξος καὶ δίδου ῥοφεῖν.

Πρὸς ἀσθματικούς.

Σκύλλαν ἑψήσας ἐν οἴνῳ ἢ μελικράτῳ πίνειν δίδου. ποιεῖ καὶ πνεύμων ἀλώπεκος ξηρὸς καταξυόμενος εἰς οἶνον μέλανα. καὶ πινόμενος. ἄλλο. κάρδαμον λεπτὸν κόψας καὶ μίξας μέλιτι δὸς ἐκλείχειν.

Πρὸς δυσπνοοῦντας.

Λαβὼν προβάτων τὰς περὶ τὸν δακτύλιον κοτύλας λεγομένας, καὶ καύσας καὶ τρίψας ἐν γλυκεῖ δὸς πιεῖν. ἄλλο. θεῖον ἄπυρον δὸς πιεῖν μετὰ οἴνου κο. δ΄.

Πρὸς ὀρθοπνοϊκούς.

Στρουθίον ἐν ὕδατι θερμῷ δὸς πιεῖν. ἄλλο. ἀείζωον μετὰ μέλιτος δίδου λεῖον ἐκλείχειν, ἢ βολβὸν, ἢ ἀβρότονον, ὡς χόνδρον δίδου μετ᾽ ὑδρομέλιτος, ἢ ὑσσώπου ἑφθῶν δίδου σὺν ὑδρομέλιτι, ἢ στιχάδα τὴν βοτάνην, ἢ καστόρειον μετὰ γλυκέος πινόμενον, ἢ σκύλλης τὸ ἐντὸς μετὰ ὀξυμέλιτος.

Πρὸς αἱμοπτυϊκούς.

Συμφύτου ῥίζαν δὸς φαγεῖν ὅσον δύναται, καὶ τῇ αὐτῇ ἡμέρᾳ ὄξος μὴ ἁπτέσθω. ἄλλο. σαμίας γῆς ἀστέρα δίδου, ὅτε μὲν μετὰ πολυγόνου χυλοῦ. ὅτε δὲ καθ᾽ ἑαυτὸ ἔλεγε δὲ ἱππίων ὁ κενταύρειος πρὸς αἱμοπτυϊκοὺς καλῶς ποιεῖ, κνίδης χυλὸς διδόμενος σὺν οἴνῳ κυάθων γ΄. ποιεῖ δ᾽ ἐπὶ τούτῳ καὶ ὄξος ῥοφόμενον, καὶ μάλιστα ὁ σκιλλίτης. ἔτι δὲ χυλὸς ἡδυόσμου καὶ τραγακάνθης ὑπὸ τὴν γλῶσσαν κατεχόμενος.

Πρὸς τοὺς ἔκ τινος βίας εἰς τὰ ἔνδον αἱμοῤῥαγοῦντας.

Λαβὼν ἀμπελίνην σποδὸν ὄξει κατάσβεσον καὶ ἐπιχέας πλεῖον ὄξος διάσεισον καὶ διήθησον διὰ ῥάκους, καὶ μίξας ὕδατι ὀλίγον, δὸς πιεῖν ὅσον κοχλιάρια ς΄. τοῦτο καὶ σύφει τὸν αἱμοῤῥαγήσαντα τόπον, καὶ τὸ πηχθὲν αἷμα καὶ βρωθὲν ἐκκρίνει, καὶ ἵστησι τὴν αἱμοῤῥαγίαν. ἴσχαιμον γάρ ἐστι τῶν ἐντὸς αἱμοῤῥαγιῶν. πρὸς πᾶσαν αἱμοῤῥαγίαν. συμφύτῳ μετ᾽ ὄξους κατάπλασσε τὸ πρόσωπον, ἐὰν μὲν ἀπὸ μυκτῆρος ᾖ. ἐὰν δὲ ἀπὸ θώρακος τὸ στέρνον ἐὰν δὲ ἀπὸ κύστεως, ἢ μήτρας, ἢ νεφρῶν καὶ τὰ ἰσχία κατάπλασσε.

πρὸς ἀνα/

πρὸς ἀναφορικοὺς καὶ φθισικούς.

Κομίδος τὸ μέλαν καθεψήσας διὰ γλυκέος δίδου ὑπὸ γλῶσσαν κατέχειν καὶ καταπίνειν, ποιεῖ γὰρ πρὸς ἀναφορικοὺς τὸ κομίδος τὸ μέλαν. καὶ πρὸς βῆχα καλῶς. φθίσιν μὴ τελείαν παῦσαι. πνεύμονα ἐλάφου καλάμῳ ὀβελῶν καὶ ξηράνας, λειοτριβήσας δίδου κοχλιάρια γ΄. μετὰ μέλιτος κυάθων γ΄. εἶτα διαστήσας ὀλίγας ἡμέρας δὸς πάλιν πιεῖν. ἐπὶ τῶν φθισικῶν καὶ τῶν ἀγόντων αἱμόπτυα. χρώμεθα τῷ ταρίχῳ μετ' ἄρτου διδόντες ἐσθίειν οὕτως βρέχοντες αὐτὸ εἰς ὕδωρ τρὶς ἢ τετράκις, ἕως οὗ πλυνόμενον τὸ ὕδωρ μὴ ἐνδιδοῖ ἅλμην εἰς αὐτό, ἐνδεσμεύοντες αὐτὸν εἰς χάρτην, ὀπτοῦμεν καὶ δίδομεν χωρίς, οἰνομέλιτος ὀλίγον ἐπιχέοντες. Ἡρόφιλος δὲ ἐπ' αὐτῷ χωρίς τινος δίδωσι ταρίχους σὺν ἄρτῳ καὶ ἐπιπίνειν ὕδωρ κελεύει λέγων ὅτι ἐπείπερ ἅλας ἐπὶ ταρίχῳ συστρέφουσι τὴν κοιλίαν, οἶνος δὲ οὐδεὶς λύει. χρώμεθα δὲ καὶ σκίλλῃ ὀπτῇ. καὶ μετὰ ταρίχου ἐν αὐτῇ καὶ ἀνακαθαίρονται ἰσχυρῶς. καὶ πράσοις δὲ μετὰ ἄρτου, εἶτα ὅταν δόξωσιν ἀνακεκάρθαι ἐπιμελῶς, καὶ εἰ ἀσθενέστεροι ὦσιν, ἀνατρέφομεν αὐτοὺς κρέασι καὶ τοῖς ὁμοίοις. τῇ αὐτῇ δ' ἀγωγῇ χρώμεθα καὶ ἐπὶ τῶν συρραγέντων ἀποστημάτων ἐν τοῖς πρὸς κάθαρσιν. καὶ ἰχθὺς δὲ ἡ βοτάνη μετὰ ἀξουγγίου ἀνάλου διδομένη τρώγειν τοὺς ἀναφορικοὺς καὶ βήσσοντας ποιεῖ καλῶς.

πρὸς πλευριτικούς.

Φλοιοῦ ῥίζης δίδου πίνειν. κυμίνου ἐπὶ τὰ ὄψα ἐπίπασσον ὕδατι καὶ δὸς πιεῖν. ἄλλο. πηγάνου κλωνία ε΄. δίδου λειάνας καθημέραν. ἢ στοιχάδος βοτάνης τρισὶ δακτύλοις δίδου. τριφύλλου σπέρμα πότιζε. πάνακος ῥίζαν πότιζε. χαμαιπίτυν ὁμοίως.

πρὸς τοὺς μαστοὺς κεκλιμένους ὀρθῶσαι.

Λαβὼν γῆν γραφίλην μετὰ μέλιτος ἑψήσας, εἰς ῥάκος ἐπιτίθει ἀπὸ ὄρθρου ἕως ἑσπέρας. εἶτα σπόγγον ἐκ χύτρας ἐπιτίθει, ἕως ἀποσπάσῃς τὸ κατάπλασμα. ποιεῖ δὲ τοῦτο, καὶ ὀρθοὺς, καὶ τεταμένους. κατάπλασσε δ' ἐπὶ πάχος· ἐὰν θέλῃς ἐνεργότερον αὐτὸ ποιῆσαι κηκῖδος ὀμφακίτιδος Γο.ι. Μαστοὺς μένειν ἀπαλοὺς ἐπὶ πολλὰ ἔτη. Κωνείῳ κατάπλασσε καρυϊστίῳ. Μαστοὺς μείζονας μὴ γίνεσθαι. Χοίρου ἐκτετμημένου τῷ αἵματι κατάχριε τοὺς μαστούς, καὶ οὐκ αὔξονται. Πρὸς δυσώδεις ἱδρῶτας ἐν μασχάλαις. Ἀσάρῳ χρίε τὰς μασχάλας ἀπὸ βαλανείου καὶ πρωῒ καθημέραν. ἢ στυπτηρίαν ὑγρὰν κατάχριε καθημέραν. ἢ ὠκίμου σπέρμα δι' οἴνου καὶ μέλιτος κατάχριε, τοῦτο αἴρει τὰς δυσωδίας τῶν μασχαλῶν, ἢ κονίαν πρόσπλασσε λεπτήν. Γάλα ἱστᾶσιν. Κενταύρειον λειωθὲν ὄξει καὶ καταχρισθὲν καὶ ἐπιτιθέμενον.

πρὸς στομαχικούς.

Κεδραίας κοχλιάρια δύο, ἐλαίου ὠμοτριβοῦς κύαθον ἴσα μίξας δὸς ῥοφῆσαι. τοῦτο πάντα πόνον παντελῶς ἀποθεραπεύει. ἔστι δὲ τῷ σώματι ἀπαράβατον. ἄλλο. ἄνισον εἰς ὀθόνιον ἐνδήσας κάθυγρον καὶ ἀποβρέξας εἰς ὕδωρ θερμὸν δίδου καταρροφεῖν. Πρὸς ἀτόνους καὶ ναυτιῶντας. ἡδυόσμου κλῶνας δύο ἢ γ΄. ῥοᾶς γλυκείας χυλῷ καὶ ὄξει ἀναζέσας δὸς καταρροφεῖν. ἄλλο. ἀκτέας τὰ ἁπαλὰ φύλλα καθαρείως διὰ ὕδατος δίδου πιεῖν, ἀπαράβατόν ἐστι. Πρὸς δηγμοὺς ἄνευ τοῦ ἀναχεῖσθαι τι χολῶδες. τραγοριγάνου λειάνας ἐν ὕδατι ἴσα δίδου καταρροφεῖν, γαλακτῶδες ποιῶν τὸ κρᾶμα. Πρὸς τὰς τοῦ στομάχου ἀτονίας. σίνηπι πεφρυγμένον λεῖον μετὰ ὕδατος δίδου πίνειν. Ἐπίθεμα πρὸς στομαχικοὺς καὶ ὑποχονδριακούς. τρύγα ξηρὰν ἀναλάμβανε κηρωτῇ ἢ μυρσίνῃ, ἢ ῥοδίνῃ καὶ χρῶ. Πρὸς λυγμὸν ἐὰν ἅπαξ ἐπαίσθῃ τοῦ λυγμοῦ. Τὸν δάκτυλον σοῦ τῆς ἀριστερᾶς χειρὸς τὸν ἀσπαστικὸν τρὶς κρατείτω, ἢ ὄξος ἐπιρροφησάτω, ὥστε ἐν κυμίνου χόνδρον. ἢ ἐμεσάτω καὶ παύσεται. ἢ πνεύματος κατοχὴν ποιείτω. ἢ πταρμοῖς χρήσθω, ἢ πήγανον μετὰ οἴνου πινέτω ἢ ψωμὸν ἐν ὄξει δεύσας καταπινέτω ἢ ὀστάριον χοίρειον τῇ χειρὶ ἀνατριβέτω. παύει δὲ τοὺς λυγμοὺς, καὶ ἔκπληξις.

πρὸς χολέρας.

Ὀλβῖνος οἶνος ἐπὶ τῶν χολερικῶν εὔθετος ἐστί, καὶ γὰρ εὐστόμαχός ἐστι καὶ πρὸς κοιλίαν ποιῶν. Ἐμέτων παῦσαι. Πολυγόνου χυλῷ χρίε τὰ ἐσθιόμενα. ἄλλο. ἀψίνθιον ἑψήσας ἐν ὕδατι ἐπὶ τρίτον μέρος, δὸς πιεῖν πρὸς τὴν ἕξιν ἀποβλέπων. κενταύρειον, ἢ θύμον, ἢ μυρτίδας μελαίνας. ὥστε ἐμέσαι ἀλύπως. Σαμψύχου φύλλα δὸς φαγεῖν. Ἔμετον παῦσαι. Πολυγόνου χυλὸν χρίε τὰ ἐσθιόμενα. ἄλλο. ἀψίνθιον ἑψήσας ἐν ὕδατι εἰς τρίτον μέρος καθεψηθέντος πιεῖν πρὸς τὴν ἕξιν βλέπων. ἢ κενταύρειον, ἢ θύμον, ἢ μυρτίδας μελαίνας. Ἐμέσαι ἀλύπως. Σαμψύχου φύλλα δὸς φαγεῖν. ἄλλο. Στακτὴν κονίαν χρίε τὸ ἔσχατον ποτήριον.

πρὸς ἔλεον θαυμαστὸν καὶ κόπρον ἐμοῦσι, ποίησον οὕτω.

Ἑψήσας ἔλαιον ἐξ ἀνήθου δὸς πιεῖν. ἕως δὲ τοῦτο ἑψηθῇ, αὐτὸν εἰς θερμὸν καχλάζον ἔμβαλε καὶ μετὰ τὸ πιεῖν τὸ ἔλαιον θερμοὺς τοὺς ψωμοὺς δὸς φαγεῖν. σωθήσεται καὶ ἐὰν ἤδη πνίγηται, τοῦτο ἔσωσα ἡγεμόνα περὶ τὴν ἡμετέραν Ἀσίαν. Πρὸς τοὺς πυκνὰ ἐμοῦντας. Ῥοῦν καὶ κύμινον τρίψας ἐν τῷ αὐτῷ δὸς πίνειν ὀξυμέλιτι κυάθους ς΄. οὐγγίαν α΄. Πρὸς χολερικοὺς λίαν καλόν. ἡδύοσμον ἐν οἴνῳ δὸς πιεῖν, ἐὰν ἀπύρετος ᾖ. καὶ βοτάνην πενταδάκτυλον ξηράνας δὸς πιεῖν. λειάνας ἐν οἴνῳ διὰ κυάθων ζ΄. ἢ διὰ ὕδατος θερμοῦ κυάθων β΄. εὐθέως ἄπονος ἔσται. ἄλλο. κοχλίον τρίψας σὺν τῷ κελύφῳ δίδου πιεῖν. Πρὸς τὴν τῶν ἐμέτων ἐποχήν. ἀμπέλων φύλλα καὶ ἕλικας χυλίσας μετὰ ἀλφίτων δίδου πιεῖν νήστει ἐν ὕδατι κοχλιάριον ἕν. ἄλλο. πάνακος ὀβολὸν ἐν οἴνῳ καὶ ἐλαίῳ θερμῷ πότιζε.

πρὸς ἡπατικούς.

Πετροσελίνου σπέρματος κοχλιάριον α΄. ἡδύοσμον πασσόμενον καὶ πινόμενον ὠφελεῖ. ἄλλο. ἡ καλουμένη ἄκαπνος βοτάνη λυθεῖσα, καὶ εἰς τροχίσκους ἀναπλασθεῖσα καὶ ξηρανθεῖσα ἀπονίαν παρέχει. τρίτον δὲ ποθεῖσα μεθ' ὕδατος ἀπαλλάσσει. ἄλλο. λύκου ἧπαρ διδόμενον ὠφελεῖ ὁλκῇ δηναρείου διὰ γλυκέος ξέστου. καὶ πεπέρεως λευκοῦ κόκκους θ΄. καὶ σμύρνης μέγεθος καρύου ποντικοῦ, τρίψας πάντα ὁμοῦ, ἀναθεὶς ὀν-

τος παρὰ μίαν ποιήσους ἡμέραν, ἢ τρεῖς. ἄλλο. ἧπαρ ἵππου ἀγρίου ἐν κεδρίνῳ γλωσσοκόμῳ. καὶ ἀπὸ τούτου δίδου μετὰ οἴνου χίου καὶ ὕδατος. οἷς τὸ ἧπαρ ἥλκωται, καὶ νομὴν ἔχει. ἄλλο. μολόχης χύλισμα πινόμενον μετὰ μέλιτος, ἡπατικοὺς ἰᾶται. ἄλλο. ἀσφοδέλου ῥίζα πινομένη ἰᾶται πόνους ἥπατος. ἄλλο. λευκόϊον πινόμενον ἐπὶ ἡπατικῶν ἕξεσιν εὐθὺς ἀπόνους ποιεῖν. ἐπίθεμα πρὸς ἡπατικούς. σίλφιον κόψας ἀναλάμβανε ὀξυγγίῳ παλαιῷ. καὶ ἐμπλάσας εἰς ὀθόνην ἐπιτίθει. ἄλλο. σῦκον ἐν μελικράτῳ ἑψήσας καὶ λειάνας σμῆγε. ἀψίνθιον λεῖον εἰς πλεῖστον καὶ χρῶ. ἄλλο. Κράμβη ὠμὴ καταπλασσομένη ὠφελεῖ ἡπατικοὺς ἐν τάχει.

Πρὸς ἰκτερικοὺς καὶ νεφριτικοὺς καὶ λιθάρια μικρὰ οὐροῦντας.

A κάνθου ῥίζας ὃ καλεῖται ῥωμαϊστὶ τρικαρδουμαίας χλωρὰς γʹ. ἐὰν δὲ μὴ. ξηρὰς δʹ. μεθ' ὕδατος ἕψει ἕως ἥμισυ λειφθῇ. καὶ τὴν ῥίζαν ἐκθλίψας δίδου τὸ ὕδωρ πιεῖν. πρὸς ἴκτερον καλὸν λίαν καὶ ἐπὶ πολλῶν πεπειραμένων. ῥαφάνους χλωρούς, σὺν τοῖς φύλλοις λειώσας τοῦ χυλοῦ μετὰ οἴνου κυάθου α. ἢ δύο πότιζε δὲ πρὸ τοῦ βαλανείου, ἐὰν νῆστις ᾖ. καὶ εἰς τὸ θερμὸν ἐμβαίνειν ποίει. ὄψει γὰρ τὸν ἴκτερον εἰς τὸ ὕδωρ ἐπιπλέοντα. ἐὰν δὲ πλείονα πόνον, τοῦ χυλοῦ δίδου πιεῖν ἢ ἀγχούσης τῆς ῥίζης ξηρᾶς κοχλιάρια βʹ. λαβὼν μεθ' ὕδατος κυάθων γʹ. δίδου πίνειν, ἢ θείου ἀπύρου κοχλιάρια δʹ. δίδου ἐν οἴνῳ. ἢ βράθυος 𐅻. αʹ. μετὰ οἰνομέλιτος δίδου πίνειν. ἐγὼ μὲν τοι καὶ τοιούτῳ χρῶμαι ἐναργῶς ποιοῦντι. ἀφρονίτρου 𐅻. βʹ. βρέχων ἐν οἴνῳ ἀμμιναίῳ κυάθων βʹ. καὶ διαιθριάσας τὴν νύκτα ὅλην, δίδωμι νήστει πιεῖν. ποιῶ δὲ τοῦτο τριῶν ἡμερῶν ἢ δʹ. ἐφεξῆς, καὶ ἰῶμαι. ἄλλο. βοτάνην ὑποδικόν, καὶ ἀδίαντον ἑψήσας δὸς πιεῖν. ἄλλο. μυρίκην μετ' ὄξους τρίψας, δὸς πιεῖν, ἰᾶται ἰκτερικούς, ἀπάγων εἰς βαλανεῖον τὸν ἰκτερικόν. καὶ ἐμβιβάσας εἰς τὴν ἐμβατὴν δίδου χιόνου ἄνθος 𐅻. ιβ. μετ' οἰνομέλιτος κυάθων γʹ. πιεῖν, βάψει τὴν μακράν, καὶ ἀπαλλαγήσεται. ἄλλο. βοτάνη ῥοβεία χρώμενος τῇ καθημερινῇ διαίτῃ χωρὶς χοιρείου κρέως, κόψας ταύτην καὶ σήσας δίδου ἐπὶ ἡμέρας ϛʹ. τῇ αʹ. κοχλιάριον μετὰ κοχλιαρίων δʹ. οἴνου. εἶτα προσαφαιρῶν τοῦ οἴνου δὸς κοχλιάρια θʹ. εἶτα ζʹ. εἶτα εʹ. εἶτα δʹ. εἶτα γʹ. ἐὰν δὲ τῇ λʹ. εἴη κατάλειμμα δίδου τὰ αὐτὰ ὁμοίως ποιῶν. ἄλλο. παρθένιον σὺν ὕδατι πινομένη ἴκτερον ἀποκαταστήσει, καὶ ἡπατικοῖς ἄκρως ποιεῖ. ἄλλο. στρουθίον μετὰ μέλιτος καὶ γάλακτος ἰᾶται πινόμενον. ἄλλο. ὀνίσκοι οἱ ὑπὸ τῆς ὑδρείας γινόμενοι λεῖοι διὰ οἰνομέλιτος πινόμενοι ἰῶνται ἴκτερον. ἄλλο. ἕρπυλον ἑφθὸν σὺν ὕδατι πινόμενον, ἀποκαταστήσει ἰκτερικούς. ἄλλο. θεῖον ἄπυρον διὰ οἴνου πινόμενον θεραπεύει ἴκτερον, ὅσον κοχλιάριον αʹ. καὶ βʹ. λαμβανόμενον τοῦ σιδήρου ἰὸς καταστήσει ἐν τάχει. ἄλλο. αἰγὸς βοσκάδος ἄφοδον ξηράνας, κόψας σῆσον, δὸς νήστει λυσαμένῳ οἴνῳ εὐώδει κυάθους δʹ. κοχλιάριον. μὴ δειπνήσαντος. πυρέσσουσι δὲ διὰ ὕδατος τὸ αὐτὸ πλῆθος. ἄλλο. χολῆς ἀρκείας ὅσον κύαμον ἑλληνικὸν διὰ δισ. εἶτα ὕδωρ ἐπιπινέτω. ἄλλο. βράθυος κύαθον αʹ. μετ' οἰνομέλιτος πινόμενον ἰᾶται ἴκτερον. ἄλλο. λίβανον ἀφέψων τῷ ὕδατι πότιζε. ἄλλο. γῆς ἔντερον λειοτριβήσας δίδου πιεῖν. ἄλλο. ἀριστολοχίας διὰ ὑδρομέλιτος πότιζε. ἄλλο. κιχωρίου χυλοῦ κυάθους δʹ. δὸς πιεῖν. καὶ ἰαθήσεται. ἄλλο. εἰς τὸν μέσον οἶκον τοῦ βαλανείου ἱδρώσειν ἐμβίβασον, καὶ ἐξελθὼν ἀρθήσει. ἄλλο. κωνίας λευκῆς τῆς καλουμένης γλυκουβέως κοχλιάριον αʹ. μετ' οἴνου καλοῦ κυάθων γʹ. δίδου πιεῖν ἐπὶ ἡμέρας ιʹ. ποιεῖ δὲ καὶ πρὸς κωλικοὺς καὶ πνευματώσεις ὁμοίως. Ἔρρινον πρὸς ἰκτερικούς. Ἐλατήριον, ὅσον κύαμον ἑλληνικὸν διεὶς γάλακτι γυναικείῳ εἰς τοὺς μυκτῆρας ἔγχει. ἄλλο. μελάνθιον ἑψήσας ἐγχυμάτιζε τοὺς μυκτῆρας ἐν βαλανείῳ ἐκχεῖ τὸν ἴκτερον.

Πρὸς σπληνικούς.

A σπάθου ἀγρίου ῥίζαν κόψας ἐν ὅλμῳ καὶ τρίψας τὸν χυλὸν δίδου πιεῖν ἐπὶ ἡμέρας γʹ, ἀνὰ κύαθον αʹ. ἄλλο. Πάνακος ῥίζαν κόψας δὸς νήστει ἐν ὕδατι θερμῷ κυάθων γʹ. κοχλιάριον αʹ. Πρὸς σπληνικοὺς κἂν ὦσιν ἐσκιρρωμένοι. Καππάρεως ῥίζης τοῦ φλοιοῦ 𐅻. βʹ. ὄξους ξ. τὸ ἥμισυ, ὕδατος ξ. αʹ. ἕψει ἕως εἰς τρίτον κατέλθῃ μέρος, καὶ δίδου εὐπέπτῳ ὄντι κύαθον αʹ. ἢ βʹ. τοῦτο ποίει ἐκ διαστημάτων. ἄλλο. Κισσοῦ φύλλα ἑψήσας ἐν ὄξει, καὶ κόψας, ἔκθλιψον τὸ ὑγρόν, κἂν ἰσχυρὸς ᾖ. ἄκρατον αὐτῷ δίδου πιεῖν. τοῖς δὲ τῶν τρυφερωτέρων, ὕδωρ ἐπιμίσγων τῷ χυλῷ, δεῖ μὲν πρῶτον πίνειν αὐτοὺς ἀναγκάζειν συχνῶς περιπατεῖν. ἄλλο. Κενταυρίου λεπτοῦ γεγηρακότος κοπτομένου ἐν ὅλμῳ δίδου κοχλιαρίου τὸ πλῆθος ἀπυρέτοις. ἄλλο. λαγωοῦ σπλὴν πρόσφατος καταπινόμενος, ὥστε τοῖς ὀδοῦσι μὴ ἅπτεσθαι ὑγιάζει τοὺς σπληνικούς. ἀγνοείτω δὲ ὁ πάσχων ὅτι κατέπιεν ἐνδεδεμένος τοὺς ὀφθαλμούς, ποιεῖ δὲ καὶ ὁ τῶν μήπω βλεπόντων κυνιδίων σπλήν. ὡσαύτως καταπινόμενος. ἄλλο. Κυνηγετικοῦ κυνὸς σκυλάκιον λεῖον ξηρὸν δίδου νήστει προσβαλὼν νάρδου ὀλίγους. ἔλεγε δὲ Μάρκελλος ποιεῖν καλῶς πρὸς σπληνικοὺς καρδαμώμου κοχλιάριον αʹ. ἢ βʹ. μετὰ ὄξους σκιλλητικοῦ κυάθου αʹ. ἢ βʹ. διδόμενος πιεῖν ἐπὶ ἡμέρας βʹ. νήστει δίδου. ἄλλο. κισσοῦ ῥίζας ἁπαλὰς ἑψήσας διὰ οἴνου πότιζε. ἢ ὠμὰς κόψας πότιζε διὰ οἴνου. ἄλλο. ὀνίδας ξηρὰς διάλυσον ὄξει καὶ διηθήσας διὰ ὀθόνης δίδου πιεῖν. ἄλλο. ῥαφάνου χυλὸν λειοτριβήσας διὰ ὀξυμέλιτος δὸς ἐπὶ ἡμέρας γʹ. τῆς ἡμέρας ἀνὰ κυάθους βʹ. πιεῖν τήκει τὸν σπλῆνα. ἄλλο. Σκωρίαν σιδήρου δίδου πιεῖν, ὅσον κοχλιάριον μετὰ ὀξυκράτου. ἄλλο. ἶριν μακρὰν ἑψήσας διὰ ὄξους δίδου πιεῖν τὸ ὄξους ἀπόζεμα. ἄλλο. Ἑλκορόδαλου καρδίαν δίδου πιεῖν καὶ ἐσθίειν. ἄλλο. μοῦξιν καθεψήσας διὰ ὕδατος ἐὰν ᾖ ξηρὸς δὸς πιεῖν τὸν χυλόν. μοῦξιν δὲ λέγεται καππαδοκιστί. ἄλλο. Σπιχάδος κοχλιάριον μετὰ οἴνου χοινίνου κυαθὸν αʹ. λειοτριβήσας δὸς πιεῖν. ἄλλο. ἀμμωνιακοῦ θυμιάματος λειοτριβήσας μετ' ὄξους δίδου πιεῖν κύαθον νήστει. ἄλλο. Μυὸς σπλῆνα καὶ πεπέρεως κόκκους ζʹ. εἰς σῦκον ὀπτήσας, δὸς λεληθότως φαγεῖν. Ἐπίθεμα πρὸς σπληνικούς. Λίθον † ἄδιον ἐμβαλὼν εἰς κύστιν βοείαν. μετὰ ὄξους

† al. ἄσιον δριμὺ ἀρδήσας ἐπιτίθει κατὰ τοῦ σπληνός, καὶ καταδέλης. ἄλλο. μυροβάλανον μετ' ὄξους λειοτριβήσας καὶ ποιήσας κηρωτῆς πάχος ἐπιτίθει. ἄλλο. ἀλώπεκος σπλὴν ἐπιδεσμούμενος ἰᾶται σπληνικούς ἐρίφου σπλὴν ἐπιτιθέμενος τήκει σπλῆνα. ἄλλο. ἀγρία κράμβη καταπλασσομένη ἰᾶται σπληνικούς. ἄλλο.

κοῦς. ἄλλο. Περσικῆς φύλλα καταπλασσόμενα ποιεῖ καλῶς. ἄλλο. Μυρίκης καρπὸν ἐν ὄξει καθεψήσας λεῖον ἑλκύσας ἐπιτίθει. ἄλλο. Ἀμμωνιακὸν θυμίαμα λειοτριβήσας μετ' ὄξους ἕψει καὶ ἐπιτίθει. ἄλλο. Κρομμύου κόμμα ἐν ὄξει λειοτριβήσας, καὶ ποιήσας κηρωτῆς πάχος ἐπίθες, οὐκ ἀφίσταται μέχρις οὗ ἀπροθεραπευθήσεται. ἄλλο. Καππάρεως ῥίζαν, κόψας ἐπιμελῶς εἰς ὀθόνην ἐπιτίθει. αὐθημερὸν ἐπιτιθέμενον ὠφελήσει. Πρὸς σπληνικούς. Καππάρεως ῥίζης φλοιοῦ μεθ' ὕδατος λι. α. καὶ ὄξους λι. S. ἕψε ἕως ἂν ἀποτριτωθῇ καὶ δίδου. Γο. α. S. ἄλλο. φύλλα κισσοῦ ἑψήσας σὺν ὄξει καὶ κοπανίσας ἐκπίεσον τὸ ὑγρὸν καὶ τοῖς μὲν ἰσχυροτέροις δίδου ἐξ αὐτοῦ. τοῖς δὲ τρυφεροῖς, ὕδωρ μιγνύων περιπατείτω δὲ καὶ οὕτως ποτιζέ. ἄλλο. Καππάρεως ῥίζαν κοπανήσας καὶ ζέσας μετ' ὄξους καὶ μέλιτος δίδου πιεῖν νήστει. Πρὸς σπλῆνα. Λαβὼν κυπαρίσσου κώνους κόψον εὐτόνως, καὶ ἄλευρον ὀρόβινον λεπτότατον βάλε εἰς ὄξος καὶ ἕψε ἕως γένηται ὡς ἔμπλαστρον. ἐπιτίθει εἰς τὸν σπλῆνα ἕως ἡμερῶν γ'. καὶ μετὰ γ'. ἡμέρας λύσον, καὶ εὑρήσεις τὸ ἔμπλαστρον πεπληρωμένον. ἄλλο. Ἀμμωνιακοῦ θυμιάματος ἐναποβρέξας ὄξει σκιλλητικῷ ἐπὶ ἡμέρας γ'. καὶ λειώσας εἰς ῥάκος ἐπίθες, καὶ μὴ λύσῃς, ἕως τὸ ἔμπλαστρον ἀποπέσῃ. ἄλλο. Φύλλα συκαμίνου χλωρὰ ψύξας ἐν σκιᾷ καὶ τρίψας ποίησον ξηρίον, γραμμάρια δ'. καὶ μετὰ ὀλίγου πεπέρεως καὶ καρυοφύλλων μετὰ οἴνου ἀκράτου θερμοῦ εἰς ἔμβασιν δίδους πιεῖν.

Πόμα πρὸς ὑδρωπικοὺς ὥστε διουρεῖν τὸ προκείμενον ὑγρόν.

Χαλκοῦ κεκαυμένου ὅσον κυάμου αἰγυπτίου, κόπρου περιστερᾶς Γο. α. οἴνου κυάθους γ'. δίδου. ἔστω δὲ μία πόσις. Ἀλλ' ἀπεπειραμένον ἡμῖν ἐπὶ πολλῶν. Τιθυμάλλου χαρακτικοῦ τὴν ῥίζαν δίδου ἐσθίειν πρὸς δύναμιν καὶ παραχρῆμα κενοῖ. ἄλλο. Κόκκον κνίδιον κεκομμένον καὶ σεσησμένον ἀναλάμβανε μέλιτι ποιῶν πάχος γλοιοῦ, καὶ δίδου κοχλιάριον α. πλῆρες δι' οἰνομέλιτος κυάθων γ'. καὶ ὀλίγου θερμοῦ ὕδατος. ὡς εἶεν γαλακτῶδες, ἢ διὰ ὠοῦ ῥοφητοῦ. ὑδραγωγὸν κάλλιστον πάνυ. Χαμαιάκτης τὸν χυλὸν τὸν ἐκ τῆς ῥίζης κυάθων Β'. καὶ οἴνου κυάθους Β'. ἀπαλλάσσει δίχα τοῦ τὸν στόμαχον ἀνατρέπειν. ἄλλο. Ἀγρώστεως ἀφέψημα πινόμενον ἐστὶ διουρητικόν. ἄλλο. στρύχνου χυλοῦ κυάθους δ'. μέλιτος κυάθους ις. δὸς πιεῖν. ἄλλο. ὕσσωπον, καὶ γλυκεῖ τράγου οὖρον ποτιζόμενον, διουρητικόν ἐστιν. ὁμοίως ἐὰν αἴγειον ἔχῃς. Ἐπίθεμα πρὸς ὑδρωπικούς. Ἡ τέφραν κεκαυμένην ἐπιμελῶς κατάπλασσε. ἄλλο. ῥαφάνους καθεψήσας δι' ὕδατος ἕως τακεραὶ γένωνται κομισάμενος κρίθινον ἄλευρον μίξας ἕψε καὶ κατάπλασσε.

A πρὸς στρόφον καὶ ὀδύνην γαστρός.

Ἀριστολοχίας ῥίζαν ἐν οἴνῳ δὸς πιεῖν. Πρὸς στρόφον καὶ λυγμὸν καὶ κεφαλαλγίαν καὶ δυσουρίας. Ἁρμόζει πταρμὸς πρὸς στρόφον καὶ πάντα τὰ ἐντὸς πάθη. ἄλλο. Τῆς λυχνίτιδος ἡ ῥίζα πλυθεῖσα, καὶ ἑψηθεῖσα μετὰ γλυκέος εἶτα διυλισθεῖσα καὶ ποθεῖσα ποιεῖ καλῶς. εἰ δὲ μή, βρώματι σεαυτοῦ πρόσβαλλε ὀλίγην κασίαν καὶ ὀλυρίδα μὴ κόψας. Πρὸς στρόφον ἐντέρων καὶ κοιλίας. Κυμίνου πεφρυγμένου, καὶ κεκομμένου κοχλιάριον α. ἢ Β'. μεθ' ὕδατος κυάθων τριῶν δίδου πιεῖν. καὶ πρὸς ἐμπνευματώσεις ὄξος ζέσας καὶ ψύξας. ἔπειτα σελίνου σπέρματος τρίβε παράζεων τὸ ὄξος. καὶ ἐκ τοῦ αὐτοῦ δίδου πιεῖν. ἄλλο. Ἐρέσιμον βοτάνην μετὰ ὕδατος τρίψας δίδου πίνειν. ἄλλο. ἐκ τοῦ λαμπροῦ τὸ ἀρκοῦν τρίψας μετ' ὄξους δίδου πίνειν νήστει. ἄλλο. δάφνην μασησάμενος νῆστις τὸν χυλὸν καταπινέτω. καὶ τὸ μάσημα ἐπιτιθέτω ἐπὶ τὸν ὀμφαλόν, καὶ παραχρῆμα παύσεται. Πρὸς κάθετον δακτύλιον καθαρτικὸν κοιλίας. εἰς χολὴν ταύρου κρόκιδα βρέξας ἐντίθει εἰς τὸν δακτύλιον. ἄλλο. σάπωνα γαλλικὸν εἰς ἔριον ἐνδύσας ὑπόθου, ἢ μάλιστα συνήθειαν ὑγράν.

πρὸς δυσεντερικούς.

Σάκον ἑψήσας σὺν βάτου ῥίζῃ τρυφερὸν κεκομμένον ἐπίβαλε καὶ δὸς φαγεῖν. ἄλλο. Κυτίνους καθεψήσας εἰς ὀξύγαλα λειοτριβήσας ἔμβαλλε ἔλαιον τὸν αὐτὸν τρόπον καὶ δίδου φαγεῖν. ἄλλο. Κέγχρον κεκομμένον ἑψήσας βάλε στέαρ μόσχιον. καὶ ποιήσας λιπαρότατον δὸς ῥοφῆσαι θερμότατον. εἶτα ψυχρότατον τὸ ὕδωρ ἐπιρροφείτω. καὶ παραχρῆμα ὑγιὴς ἔσται. ἄλλο. Κνίκου τὸ ἐντὸς λαβὼν τρίψον λεῖον. καὶ μίξας ἄλευρον. καὶ ὠοῦ τὸ λευκὸν φυράσας ποίησον ἀρτύσκιον καὶ ὀπτήσας κατάκλα. καὶ ἔγχει εἰς οἶνον ἀπαράχυτον καὶ δὸς φαγεῖν. Ἔκλειγμα πρὸς δυσεντερικοὺς καὶ κοιλιακοὺς καὶ λειεντερίαν. Σιλφίου ξύσματα μέλιτι παραμίξας δὸς ἐκλείχειν. ὠὸν μέλι οἶνον σίδια ἴσα διαβάλλων τηγάνιζε. καὶ πεπέρεως μικρὸν ἐπιπάσσων δίδου πιεῖν, ἀκρως. Ἄλλο. ὠὰ τρία βαλὼν εἰς ὄξος ἔα ἐμβρέχεσθαι ἐπὶ ἡμέρας τρεῖς, καὶ λαβὼν σεμιδάλιον φύρασον τοῖς ὠοῖς τοῖς τρισί, καὶ ὀπτήσας, καὶ ἐμβάψας εἰς ἄκρατον δὸς. Πόσιμα πρὸς δυσεντερικοὺς καὶ κοιλιακοὺς καὶ λειεντερίαν. Ῥοῦν καθεψήσας δι' οἴνου σύφου εἰς γ'. δίδου πιεῖν. οἷς ἡ κοιλία οὐ καλὰ φέρει. ἄλλο. Κνίκιδα δι' οἴνου αὐστηροῦ καθεψήσας πότιζε τοὺς ῥευματιζομένους τὴν κοιλίαν πρὸς δύναμιν.

πρὸς διάρροιαν γαστρός.

Καλλίτριχον ἑψήσας ἐν ὕδατι δίδου πιεῖν. ἄλλο. σιβὴν τὴν εἰς τὰ ὑφάσματα τὴν ἀκανθώδη κόψον εἰς ὅλμον καὶ ἕψει δι' ὕδατος καὶ δίδου πιεῖν τὸ ὕδωρ κοιλιακῷ ὄντι ἀπυρέτῳ δὲ οἴνου πυρέττοντι χωρὶς οἴνου. ἄλλο. Καρύων φλοιὸν τὸν περικείμενον περὶ τὰ τρωγόμενα λεῖον δι' ὕδατος δίδου πιεῖν κοχλιάρια γ'. ἄλλο. Κέρας ἐλάφειον τρυφερὸν καύσας δίδου μετὰ κηκίδος ἴσης πιεῖν. ἄλλο. Λαπάθου σπέρμα λειώσας καὶ ἐπιπάσας εἰς τὸν ποτὸν δίδου, ἢ εἰς τὸ βρωτόν. ἄλλο. Καρύων τὸ ἐντὸς τὸ ὡσανεὶ κιόνιον, καὶ μήκωνος κωδειῶν τὸ ἐπικείμενον ὡς πῶμα ἴσον δίδου δι' οἴνου. ἄλλο. Δρυὸς βαλάνους κόψας καὶ σήσας, πλεῖον ἐπίπασσε εἰς οἶνον αὐστηρὸν ὡς ἄλφιτα καὶ δίδου πιεῖν. ἄλλο. καράβου τὰ ὄστρακα φρύξας λεῖα διὰ ὕδατος. ἄλλο. στρουθοκαμήλου κοιλία πινομένη. καὶ ὀρνίθων ὁμοίως ὅσον κοχλιάρια Β'. ἀπυρέτοις δι' οἴνου, πυρέσσουσι δι' ὕδατος. ἄλλο. λιβάνου χονδρὸν κυαμιαῖον δὶς οἴνῳ μέλανι κύαθον α.

καὶ στρύχνου χυλοῦ κυάθους β'. δίδου πίειν. ἄλλο. Κόμμι τὸ λευκὸν κόψας μετ' οἴνου μέλανος κυάθων ς'. δίδου 𐅻. α'. πίνειν, ποιεῖ ὑπόθετον τοῖς αὐτοῖς. κοχλιάριον ἀφρικανὸν λαβὼν βάλε εἰς αὐτὸ πίσσαν ὑγρὰν, καὶ θερμάνας, ἔξελε τὸ κρέας, καὶ ὑπόθες εἰς τὸν δακτύλιον δὶς, ἢ τρίς. ἄλλο. ὄφεως γῆρας ἐν χαλκώματι μετὰ ἐλαίου φρύξας ἕως ἀνθρακωθῇ συλλειώσας. τῷ ἐλαίῳ διάλειχε τὸν δακτύλιον τῷ δακτύλῳ. ἄλλο. Βοτάνη ὑποκάτω ὕδατος μὴ ἁπτόμενος. ἄλλο. σεῦτλιον κεκομμένον μετ' ὄξους καταπλαττόμενον ἀπ' ἄνωθεν μέχρι κάτω καλῶς ποιεῖται δυσεντερικοῖς. κράτιον ὅσα κόψας κατάπλασσε τῇ κοιλίαν. πρὸς ἀλγήματα δυσεντεριῶν. Μῆλον κυδώνιον ὀπτὸν μετὰ κηρωτῆς ῥοδίνης ἑκάστου τὸ ἴσον μίξας κατάπλασσε, πρᾶγμα ἄπονον ποιεῖ.

πρὸς κωλικούς.

Ο στρέων ὄστρακα καύσας καὶ λεάνας δίδου πιεῖν κοχλιάρια β'. δι' ὕδατος θερμοῦ κυάθων γ'. ἄλλο, θύμον κρητικὸν καθεψήσας διὰ ὕδατος, ἕως εἰς τρίτον καταστῇ μέρος, μετὰ μέλιτος ἀττικοῦ δὸς πιεῖν. ἄλλο. ἱερὰν ῥίζαν λεπτὴν κόψας βάλε εἰς ὕδωρ, καὶ ἕψει εἰς ἥμισυ, καὶ δίδου πιεῖν τὸ ἀφέψημα ἐπὶ ἡμέρας ε'. καὶ ἰᾶται. ἐπὶ πολλῶν δεδοκίμασται. ἄλλο. ἡδύοσμον χλωρὸν καθεψήσας δὸς ἐπὶ τρεῖς ἡμέρας. καὶ οὐδέποτε πονήσει. καὶ τῆς δάφνης οἱ ἀκρέμονες τρυφεροὶ ξύλοι τρωγόμενοι ἐπὶ ἡμέρας ἰῶνται. τὸ δὲ πολτάριον ἐν ᾧ ἕψεις τὸ ἡδύοσμον βλέπε μὴ γῆς ἅψηται ἐπὶ τὰς τρεῖς ἡμέρας. Προς διάφραγμα. Φραξίνου ξύλου κύαθον δὸς ἐπὶ ἡμέρας γ'. πιεῖν ξύσματα καὶ ὑγιὴς ἔσται. ἄλλο πολύχρηστον. κολοκυνθίδα ἀλεξανδρινὴν τρήσας μὴ σιδήρῳ, καὶ ἐκκενώσας βάλε εἰς οἴνου κώου ξ. α'. καὶ ἀναζέσας. καὶ εὔκρατον ποιήσας δὸς πιεῖν καὶ περιπατείτω. καὶ ἀνάλγητος ἔσται. κατάγει ἀκριβῶς* κατέχειν δὲ ἅλας ἐν τῷ στόματι ἵνα μὴ ναυτιάσῃ. ποιεῖ δὲ καὶ πρὸς ἰσχιάδας. Πρόσθετον κωλικοῖς. Ὀπιὸν σπανὸν ἀναλάμβανε θείδακος καὶ πεσσὸν ποιῶν ἐντίθει τῷ δακτυλίῳ. ἄλλο. Σκορόδου σκελίδιον. α'. κονία θερμάνας θὲς εἰς τὸ δακτύλιον καὶ σκύβαλα κατασπάσας ὑγιάσει. ἄλλο. ἐὰν κῶλον πονῶν κύνα κοιμώμενον ἐγείρῃ, ἐπὶ δὲ αὐτὸν τόπον, οὗ ἐκοιμᾶτο ὁ κύων οὐρήσει εὐθέως ἄπονος ἔσται. ὁ δὲ κύων ἀποθανεῖται. Επίθεμα κωλικοῖς, καὶ ἐμπνευματουμένοις. Κηρωτῇ κυπρίνῃ σίλφιον ἀναλάμβανε πολὺ καὶ ἐπιτίθει, ἐγὼ δὲ σμήγω καὶ καστόρειον ὀλίγον καὶ γίνεται ἐνεργέστερον. πρὸς τρόφον. κύμινον ἑλληνικὸν μασσάσθω καὶ καταπινέτω. ἄλλο. κνίκον κόψας καὶ τῆλιν ἑψήσας πότιζε τῷ χυλῷ. Αλλο. Κτένα εἰς θερμὸν ὕδωρ ἐμβρέξας καὶ ἀποκλύσας πότιζε. ἄλλο. Δαφνίδων ξηρῶν λεπισμάτων ὅσον κοχλιάρια β'. δίδου πιεῖν. ἄλλο. Ερπυλον λειώσας μετὰ ἀκράτου δίδου πιεῖν. Προς πάντα τὰ ἐντὸς ἀλγήματα. Εντερα ἀλγοῦντι, εἴ τις τοὺς πόδας νίψας δὸς πιεῖν τὸ ἀπόνιμμα ἄπονος ἔσται πρᾶγμα.

πρὸς διακοπὴν ἐντέρων.

Λ αβὼν ἀκάνθης αἰγυπτίας ῥίζαν, καὶ κρέα ἐρίφεια σὺν ταῖς θριξὶ καὶ τῷ δέρματι, ἢ αἴγεια λέαινον, καὶ ἐκ σεμιδάλεως γινομένων κρομμύων. καὶ ἐν οἴνῳ συγκεράσας δίδου πίνειν. αὕτη ἡ ῥίζα ἐπειράθη καὶ ἐπὶ πνευμονιακοῖς πινομένη. ἡ δὲ αὐτὴ καὶ περιαπτομένη ποιεῖ πρὸς τριταῖον καὶ ἀμφημερινὸν καὶ μετὰ ἐλαίου πινομένη ἐστὶ τραυματική.

Ισχιάδος καθαρτικόν.

Τ ιθυμάλλου τοῦ ὀποῦ ἐνστάξας σταλαγμοὺς ε'. εἰς τὸν σῦκον δίδου φαγεῖν καθαίρει.

Επίθεμα κοιλίας λυτικόν.

Κ όκκον κνίδιον σὺν στέατι ἀναλάμβανε κηρωτῇ καὶ ἐπιτίθει ἐπὶ τῆς κοιλίας τοῖς παιδίοις ἐπὶ τὸν ὀμφαλόν. ἄλλο. χολῇ ταύρου διάχριε τὸν ὀμφαλόν. ἄλλο. ἀστράγαλον χοίρειον καύσας καὶ λειοτριβήσας δὸς πιεῖν διὰ ὕδατος. ἄλλο. Τὴν ἀνθεμὶν βοτάνην τρίψας μετὰ ἐλαίου ἄλειψον καὶ παύσεται. ἄλλο. Κροκοφάντιον λαβὼν, οἷον θέλεις, ἀπὸ κεφαλῆς γυναικὸς, ἐπίθες ἐπὶ τὴν κεφαλὴν τοῦ πάσχοντος, καὶ ἰάσῃ.
† αλ. κοσίανον κάλλιον δὲ ἐὰν θερμάνας αὐτὸ, οὕτως ἐπιθῇς. ἄλλο. †Κορίαν καύσας, καὶ δεὶς ἐλαίῳ ἐπίθες ἐπὶ τὸν ὀμφαλὸν καὶ ἐπάνω ἔρια.

πρὸς δυσουροῦντας καὶ λιθιῶντας.

Σ κορπίοι ὀπτημένοι καὶ τρωγόμενοι. πρὸς δὲ τοὺς ἀπροθύμως ἔχοντας στέατι ἐμφυράσας καὶ ὀπτήσας δίδου φαγεῖν, ἀνυπόπτως, παραδόξως ποιεῖ. καὶ ὄρνιθος δὲ λίθος πυελίνη ὁμοίως ἐλαίας τριβομένους ἂν εἰς ἔμπυρον λευκὸν, οὗτος ποτιζόμενος τοὺς ἐν κύστει λίθους τήκει. καὶ αἰλούρου δὲ ἧπαρ καυθὲν καὶ τριβὲν ὥστε πονηθῆναι, τοὺς λιθιῶντας ἰᾶται. καὶ ὁ ἴασπις λίθος πινόμενος θρύπτει τοὺς ἐν κύστει λίθους. ἄλλο. Κοτυληδόνος ῥίζα ποθεῖσα, καὶ λεία πινομένη καθημέραν ὁλκὴ μία κατὰ κράματος, ποιεῖ πρὸς τὰς ἐν νεφροῖς λίθους λίαν καλῶς. ὀμφακίου καὶ κισσοῦ πυροῦ τῶν κορύμβων μετ' οἴνου λευκοῦ τετριμμένου τὸν ὄμφακα περίχριε τοὺς δυσουροῦντας. πεσσὸς πρὸς λιθιῶντας. ὅταν οὐρήσῃ βούτυρον παλαιὸν μαλάξας περίχριε τὸ αἰδοῖον εἰς δὲ τὴν κοίτην ἐρίῳ προστεθείσθω ἡμέρας. γ'. ἐπίθεμα διουρητικὸν, ποιεῖ δὲ καὶ πρὸς νεφριτικούς. καλαμίνθην μετ' ὄξους καὶ πεπέρεως κηρωτῇ ἀναλάμβανε, καὶ τῷ ὀμφαλῷ ἐπιτίθει. ἄλλο. εἰς ἕψημα σαμψύχου ἐγκάθιζε. ἄλλο. Βοτάνην περδίκιον καθεψήσας δι' ἐλαίου κατάπλασσε τὰ περὶ τὴν κύστιν καὶ παραχρῆμα οὐρήσῃ. πρὸς λιθιῶντας. χαμαίδρυν ὀρεινὴν καθεψήσας δι' ὑδρομέλιτος δίδου πιεῖν, τούτῳ ἐχρήσατο Σάμιος Πρίσκος. ἄλλο. Κισσοῦ λευκοῦ κορύμβους πότιζε ἐν οἴνῳ, τήκει λίθους. ἄλλο. φύλλα ἰτέας λειοτριβήσας ἐν οἴνῳ αὐστηρῷ πότιζε, ἕως ὑγιάσῃς.

πρὸς σύλληψιν.

Ι σχάδας νήστει μετὰ φύλλων ἐλαινῶν δὸς φαγεῖν. ἄλλο. Προβάτου μαρυκωμένου ἄρας τῷ δακτύλῳ τὸν ἀφρὸν δὸς πιεῖν μετὰ οἴνου. ἄλλο. Κάρδαμον λεῖον μετ' ὄξους δίδου φαγεῖν ἐπὶ ἡμέρας δ'. μετὰ τὴν

κάθαρσιν

κάθαρσιν. ἄλλο. ἀλώπεκος ἀφόδευμα ἐν πεσσῷ παρατιθέμενον καὶ ὑποχριόμενον συγγινέσθω. ἄλλο. Ἀρτεμισίαν λείαν πρόσθες, καὶ συλλήψεται. χριέσθωσαν δὲ τὴν φύσιν κόμμι, ὅταν ἡ ἀπὸ τῶν ἐμμήνων τρίτη καὶ συλλήψεται. ἐὰν γυνὴ ἄρρενα γεννῆσαι θέλῃ. Φασκία λευκῇ παιδικῇ δῆσον τὸν δεξιὸν πόδα, καὶ συγγινέσθω, ἐὰν δὲ θῆλυ φασκίᾳ μελαίνῃ τὸν ἀριστερόν. Πρὸς γνῶναι εἰ ἄρρεν ἢ θῆλυ τὸ ἐν γαστρί. σέλινον μὴ γινωσκούσης ἐπὶ τὴν κεφαλὴν ἐπίθες καὶ ὃ ἂν φωνήσῃ πρῶτον, εἴτε ἄρρεν, εἴτε θῆλυ ἐκεῖνο τέξεται. ἀπαράβατόν ἐστιν. ἄλλο. λαβὼν τῆς ἐν γαστρὶ ἐχούσης οὖρον, ὄρυξον βοθείσκους δύο καὶ εἰς τὸν ἕνα βάλε κριθάς, καὶ εἰς τὸν ἕτερον πυρούς, καὶ ἐπίχεε γῆν μετὰ τὸ ἐμβάλαι τὸ οὖρον αὐτῆς, καὶ ἐὰν πρῶτον ἐκβλαστήσουσιν οἱ πυροὶ ἄρρεν τέξεται. ἐὰν δὲ αἱ κριθαὶ θῆλυ. πρὸς σύλληψιν ἀρρενοτόκιον. χηνὸς στέαρ καὶ ῥητίνην τερεβινθίνην διαχριέσθω ἐπὶ ἡμέρας β'. τῇ δὲ γ'. συγγινέσθω, καὶ συλλήψεται. ἄλλο. ἀνὴρ τὸν δεξιὸν ὄρχιν ἀποδήσας συγγινέσθω ἐὰν δὲ θῆλυ τὸ ἀριστερόν. κατόχιον ἐμβρύων. ἀετίτην λίθον περίαπτε. κατέχει δὲ ἔμβρυον λίθος ὁ βλαστήσας εἰς ἀχλάδα, καὶ περιμείνας εἶτα περιαπτόμενος. καὶ μολόχης δὲ ἀγρίας ῥίζαν ἁπτόμενος, καὶ ἀλθαίαν ἢ ἐπιβόσκον λέγουσι, κατέχει καὶ ἑπτὰ τὰ ἔμβρυα μέχρι τέλους. χρὴ δὲ τῇ κοιλίᾳ περιάπτειν. ἔστι δὲ καὶ ἡ σιδηρῖτις βοτάνη τῶν ἐμβρύων τηρητικὴ περιαπτομένη. ὠκυτόκιον. Βολβοὺς πικροὺς τρίψας διὰ γλυκέος δὸς πιεῖν, καὶ παραχρῆμα τέξεται. ἄλλο. Δίκταμον διὰ οἴνου, ἢ ὕδατος πότιζε. ἄλλο. ὕειον γάλα ἐν μέλιτι πινέτω. ἄλλο. χαλβάνην τρίψας ἐν ὕδατι δὸς πιεῖν καὶ τέξεται παραχρῆμα. ὑποθυμία μαδυστοκούσαις. χαμαιπίτυν ἐπὶ τῶν ἀνθράκων θείς, ἢ ἄσφαλτον οἷον οἱ χαλκεῖς χρῶνται, β'. προστιθέσθω, καὶ εὐθέως ποιεῖ. ἄλλο. γλήχωνος δεσμίδιον εἰς ὕδωρ θερμὸν βαλὼν ποίει περικαθίσαι τὴν γυναῖκα, καὶ λέγε εἰς τὸ οὖς αὐτῆς, χοῦ. κα. μι. δοῦς. ἄλλο. λαβὼν ἔλαιον εἰς τὰς χεῖρας ἀνάτριψον αὐτῆς τὰ ἰσχία ἐπιλέγων. χορίον στῆθι σῶμα ὅτι ἐπιτάσσει σοι μεγάλη ἡ θεότοκος. γάλα καταπαῦσαι. Ῥαφανίδας μετὰ πυρῶν ἀναζέσας ἐν οἴνῳ καὶ διηθήσας δὸς πιεῖν. ἄλλο. πίτυρα μετὰ μαράθρων ῥιζῶν ἑψήσας τὸ ὕδωρ δὸς πιεῖν. ἄλλο. μελάνθιον διεὶς ἐν μελικράτῳ οἷον ὁλκὴν δίδου. πιεῖν ἄλλο. Κισσοῦ φύλλα διεὶς ἐν μελικράτῳ δὸς πιεῖν. γάλα σβέσαι. Καταντλεῖ θαλάσσῃ καὶ κατάπλασσε τοῖς σύφειν δυναμένοις, καὶ ἀναξηραίνειν. ἄλλο. ἅλμην ποιήσας θερμήν, καὶ σπόγγοις ἐκθλίβων καὶ μάννα ἐπιπάσσων ἐπίδει καὶ χάρτας ὁμοίως. ἐὰν δὲ σκληροὶ ὦσι, καὶ φλεγμαίνωσι, κατάπλασσε λινοσπέρμῳ δι' ὀξυμέλιτος ἑφθῷ, ἢ τήλει ὁμοίως ἑψηθείσῃ, ἢ σησάμῳ, ἢ ἀπλύτῳ ψυχθέντι καὶ λειωθέντι μίξας μέλιτι, ἢ σύκοις κατάπλασσε. ἄλλο. Κύμινον τρίψας μετ' οἰνομέλιτος καὶ κηρωτῆς πάχος ποιήσας ἔμπλασσε εἰς ὀθόνιον ἐπιτιθείς. πότιμα ἐκβόλιον ἐπὶ τεθνηκότος, ἢ μὴ φερομένου κατὰ φύσιν. Χολῆς ταύρου τὸ μέγεθος ἀμυγδάλου διεὶς οἴνῳ παλαιῷ κεκραμένῳ κοχλιάρια β'. δὸς πιεῖν, ἐκβάλλει παραχρῆμα. ἄλλο. ὠὸν ὠμὸν κεδρίᾳ χρίσον καὶ θερμανον καὶ δὸς ῥοφῆσαι νήστει. ἄλλο. Ἀρτεμισίαν ἑψήσας μετὰ μελικράτου δὸς πιεῖν. ἄλλο. Ὁ φοινικίτης λίθος ἐγχριόμενος ἐκβόλιόν ἐστιν. ἀτελὲς δὲ ἔμβρυον ἐκβάλλει λίθος κυνόδηκτος ἂν τεθῇ, καὶ ὑπερβῇ αὐτὸν ἡ κύουσα ὡς τάχος ἐκβάλλει τὸ κατὰ γαστρός. Γυναῖκα γνῶναι εἰ ἐκτρώσει τὸ ἐν γαστρί. Ἐὰν οἱ μαστοὶ ἰσχναίνοιντο σημαίνει ἔκτρωσιν. Κατάπλασμα φθόριον. Ἐρεγμοῦ καθαροῦ κύαθοι δύο. ἕψει ἐν πολταρίῳ μετ' ὄξους. μετὰ δὲ τὸ ἡμίεφθον γενέσθαι ἀλόης 𐅻 α'. καὶ μαλακτῶδες ποιήσας ἐπιτίθει κατὰ τοῦ ὀμφαλοῦ μέχρι κτενός, καὶ ἐπίδει. Κατάπλασμα ὥστε φθεῖραι ἄνευ πάσης βλάβης καὶ βασάνου. Κυπαρίσσου φύλλων ἑψήσας μέρος ὕδατι λεῖανον ἐπιμελῶς. ὡς μαλαγματῶδες γενέσθαι καὶ ἐπίθες ἐπὶ τὸν ὀμφαλὸν καὶ τὸ ὑπογάστριον καὶ κατάδει φασκίᾳ. κέλευσον ἐπικαθίσαι ὑπτίαν. ἢ ἐπὶ κυρικοῦ βάθρου καθίσαι καὶ κοιμωμένη ἀπόνως ἐκβάλλει. Ἐκβόλιον ἀκίνδυνον ὥστε μηνῶν τριῶν ἢ δ'. ἐκβαλεῖν. Ὀποπάνακος ὀβολοῦ κολλύριον ποιήσας ὑπόθες, ἀκίνδυνον ἐστὶ καὶ πεπείραται ἐπὶ πολλῶν. ἄλλο. Στρουθίον λεῖον μετὰ μέλιτος ἀναλαβὼν ἀνάπλασσε πεσσοὺς μικροὺς καὶ ὑποτίθει. ἄγει καὶ τὰ δεύτερα καὶ καταμήνια. ἄλλο. Ἀρτεμισίας τῶν φύλλων λειοτριβήσας μετὰ ῥοδίνου καὶ ποιήσας γλοιοῦ πάχος προστίθει. Καταμηνίων ἀγωγόν. Ἰσχάδας β 𐅵. νίτρου ὀβολὸν πεσσὸν ποιήσας ἐπιτίθει. ἄλλο. Ἀρτεμισίαν τρίψας ἐπιτίθει. ἄλλο. Πηγάνου ἀγρίου σπέρμα προστίθει. ἄλλο. Γαλάτης λίθος ὑποθυμιώμενος τὰς μὴ καθαιρομένας καθαίρει. Ἐὰν τεκούσῃ αἷμα μὴ ἐκκριθῇ.

Ἄρου σπέρμα τρίψας ἐν οἴνῳ λευκῷ νηστικῇ δίδου πιεῖν. Πρὸς τὰς ἐκ τοκετοῦ χλωράς. Πάνακος ῥίζας τρίψας ἐν οἴνῳ γλυκεῖ δίδου πιεῖν νηστικῇ. ἄλλο. Κυτίνων ἄνθος ῥοδῶν μετὰ μύρων ἑψημένων δὸς πιεῖν.

Πρὸς κοιλίαν κατερρωγυῖαν καὶ μαστοὺς καὶ μηροὺς καὶ ἰσχία. Κοχλίου θαλασσίου τὸν ὑπόμακρον καύσας καὶ λειοτριβήσας πρόσβαλε, ὡς τὸ λευκόν, ἢ ὄνειον γάλα καὶ κατάχριε. ἄλλο. Διοφανὲς κόψας καὶ τρίψας ὅταν εἰς βαλανεῖον εἰσέρχεται καὶ κατάχριε πρὶν ἀλείψασθαι ἐπὶ ἡμέρας κ'. ἀφανίζονται. Πρὸς τὸ κοιλίαν ἢ ὑποχόνδριον ἢ μηροὺς ἱδροῦσθαι ἐν τοκετῷ. Κιμωλίας καὶ μάννης ἑκάστου ἴσον ἀναλάμβανε ὡς λευκόν, καὶ κατάχριε μετὰ κηρωτῆς κυπρίνης. Πρὸς τὰ ἐν τοῖς ἰσχίοις ἐμφυσήματα. Ἄρτου τὸ ἐντὸς καὶ μελαντηρίαν συμφυράσας, ἐπιτίθει πρὸ τοῦ καθίστασθαι. Πρὸς ἐξομφάλους. Κνίδας καύσας τρίψας μετὰ ὕδατος κατάπλασσε. Ὀμφαλὸν ἐκ τοκετοῦ μέγαν καὶ καλὸν ποιῆσαι. Λαβὼν βύσμα ἀπὸ ληκύθου βίβλινον περιείλησον ὀθονίῳ ἔπειτα μάννα ὡς ὑπὸ λευκῷ ἀναλαβὼν κατάχρισον. καὶ ἔνθες εἰς τὸν ὀμφαλὸν καὶ ἐπίδει προστύπως.

πρὸς ὑστερικὰς πνίξεις.

Χελώνης χερσαίας ἧπαρ λεῖον ἐν πεσσῷ ὑποτίθει, ἀπαράβατόν ἐστι μηδενὶ μεταδίδου. Πόμα πρὸς πόνον ὑστέρας. Λαγωοῦ καρδίαν ξηράνας ἐπὶ ξύων δίδου πιεῖν. Πρὸς τοὺς γινομένους στρόφους ἀπὸ τοκετοῦ καὶ φθορᾶς καὶ πνιγμούς. Λεπτοσφαίρου ὀβολοῦ 𐅵. ὀρεσίνημα καλοῦσι τοῖς τρισὶ δακτύλοις μετὰ γλυκέως πινέτω

Πρὸς ὑστέρας πόνους Γλυκείας ῥοᾶς ῥίζαν ἐν οἴνῳ πινέτω. Πρὸς τὰς ἐκ μήτρας σκληρείας. Κύμινον λεῖον καὶ πηγάνου φύλλα ἀναλάμβανε πίσσῃ ὑγρᾷ καὶ βουτύρῳ καὶ πεσσὸν ποιήσας δι' ἐρίου ἐντίθει. Πόμα πρὸς ὑστερικὰς γυναῖκας. Καστόριον μετὰ ἀνίσου πότιζε. ἄλλο. Κύμινον τρίψας καὶ μελανθίου μέρος 𐅵. μετὰ ὀξυμέλιτος πότιζε.

Πόμα πρὸς ῥοῦν γυναικεῖον.

Πευκεδάνου ῥίζαν, καὶ κυπαρίσσου σφαιρίων ἴσα ἑκάστου ἐν οἴνῳ λευκῷ δίδου πιεῖν. ἄλλο. Γίγαρτα σταφυλῆς μελαίνης ξηρὰ λειώσας ἐν οἴνῳ μελαυστηρῷ δίδου πίνειν. ἄλλο. Πιτύαν ἐρίφου λαβὼν λείανον σὺν ὄξει δριμυτάτῳ καὶ δίδου νήστει πιεῖν. ἄλλο. Κουράλιον δίδου ἐν οἴνῳ μέλανι. καὶ παραχρῆμα στήσεται. ἄλλο. Νάρθηκος σποδιόν, καὶ μήκωνος κονίαν ἐν ὕδατι δίδου πίνειν πρὸς ὀλίγον. εἰ δὲ ἐν πλέον φερόμενον σπόγγον καύσας δίδου ὅσον στ. γ'. ἄλλο. Κέρας ἐλάφειον καύσας δὸς πιεῖν. Πρόσθετα. Ῥοιὰν σὺν ἐρίῳ καταπλάσας προσίθει. ἢ σίδια ἑψήσας καὶ τρίψας ἐν ἐρίῳ, δεῖ προστίθεσθαι ἐν πεσσῷ. ἄλλο. Κηκῖδος τὸ ἐντὸς καὶ λιβάνου ἀνὰ λαβὼν ἐν πεσσῷ προστίθει διὰ ὕδατος. ἄλλο. Γλήχωνα λεῖον ἀναλαβὼν ἐρίῳ καθαρῷ προστίθει, βοηθεῖ δὲ, ὄξει ξεσῷ σπόγγος βαπτόμενος καὶ ἐκθλιβόμενος συμμέτρως, καὶ μηρῶν δὲ συναγωγὴ καὶ δέσις ἄκρων, καὶ κατάκλισις ἐπὶ κεφαλήν.

Πρὸς τὸ μὴ καθυγραίνεσθαι τὸ αἰδοῖον ἐν ταῖς συνουσίαις τῶν γυναικῶν.

Κηκῖδος ὀμφακίνης κόκκους δ'. σποδίου, ᾧ χρῶνται εἰς τὰ ὀφθαλμικὰ μύστρα δύο. τρίψον καὶ μῖξον εἰς τὸ αὐτὸ καὶ ἀπόθου εἰς ἀγγεῖον καθαρόν, καὶ τούτου λαμβάνουσα μύστρον οἴνῳ παλαιῷ δεῖς, καὶ τούτῳ ὑπονοτίζεσθω ταῖς πρώταις ἡμέραις ἡ γαμηθεῖσα καθόλου τοῦ βίου διαμένει τοὺς τόπους μὴ καθυγρουμένη. ἄλλο. Κηκῖδας ἐμβρέχων εἰς ὕδωρ ἡμέρας η'. εἶτα βρέχε ἔριον τεθυωμένον τρυφερὸν τῷ ἀποβρέγματι καὶ μὴ ἐκπιέζειν ἕα ξηρανθῆναι. καὶ πεσσὸν ποιῶν τοῦ ἐρίου δίδου ὑποτίθεσθαι. καὶ ἔσται ὡς παρθένος ἐν τῇ συνουσίᾳ. αἰρέτω τὸ ἔριον καὶ ξηρανέτω, καὶ πάλιν χρήσθω εἰ θέλει. ἄλλο. Ὀξυλαπάθου σπέρμα τρίψας δίδου ὑποτίθεσθαι καὶ ἔσται ὡς παρθένος. ἄλλο. Κηκῖδας κόψας εἰς ὕδωρ ἔμβαλε, καὶ δίδου προσκλύζεσθαι καὶ θερμοτέρας ποιεῖ τὰς γυναῖκας. ἄλλο. Ὀθόνια ἰσχνὰ ἀποβρέχειν εἰς συνήθειαν μετὰ ὕδατος ἀνιεμένην, καὶ ξηραίνειν. εἶτα κυπέρου καὶ κασίας καὶ κηκῖδος ἴσον ἑκάστου τρίβε ἐν οἴνῳ παλαιῷ πάχος ποιεῖν μέλιτος. τούτῳ τὰ ὀθόνια βρέχων ἀναξήρανον, καὶ δίδου προστίθεσθαι. καὶ κέλευε συνέχειν ὥραις δυσὶ ταμιευομένην πρὸς τὴν χρείαν. ὅταν δὲ ὁμιλεῖν μέλλῃ τότε ἀφαιρείτω ἐκεῖνα. λαβοῦσα δὲ μέλι καὶ νίτρον καταχριέτω τὸ μόριον μέχρι τοῦ ἐφηβαίου. οὕτως συγγίνου.

Πρὸς τὰ ἀνέντατον ἵνα γενέσθαι.

Κυνείαν καύσας σβέσον οὔρῳ βοὸς τομίου. καὶ λάμβανε ἀπὸ τούτου. ἢ ποτῷ ἢ ἐν βρωτῷ. τὸ δὲ ἄλλο εἰς ἀγγεῖον ἀπόθου. ἄλλο. Λύσις. ἄναψον τὸ ξυλήειον καὶ παύεται. ἄλλο. Ὀξύχοινος ἐν τεθεῖσα καὶ γινομένη κυρείκου χρῆμα τοῦ ὄξεως ἐκχεθέντος εἰς τὴν κοίτην ἐπιτίθει ὑπὸ τὰ στρώματα καὶ κατέχει τὰς περὶ τὰ ἀφροδίσια ὁρμάς. ἄλλο. Κόρεις ἢ γλήχων ἐσθιόμενος πολλάκις ἀνέντατον ποιεῖ. ἄλλο. Χολὴ νάρκης ἐάν τις τὸ μόριον ἀνέντατον ἔσται. ἄλλο. Ἀπὸ λύχνου αὐτομάτως σβεσθέντος λαβὼν πομφόλυγα τὴν ἐπιζῶσαν βάλλε εἰς τὸ πόμα καὶ δὸς πιεῖν, γενήσεται γὰρ ἀνέντατον ὅλην τὴν νύκτα ὁ πιών.

Πρὸς ἐνουροῦντας.

Ἀλέκτορος λαρύγγια καύσας δίδου πιεῖν νήστει ἐν ὕδατι κοχλιάριον α'. ἄλλο. Ἄνθη λευκανθέμου τῇ ζ'. πότιζε ἐν ὕδατι τρίψας. ἄλλο. Λαγωοῦ ὄρχιν ξηρὸν ξύων εἰς οἶνον εὐώδη δίδου πιεῖν. ἄλλο. Κόρεις γ'. θλάσας μετὰ οἴνου αὐστηροῦ δὸς πιεῖν ἐπὶ ἡμέρας θ'. ἄλλο. Καλαμίνθην καὶ σμύρναν ἐν ὕδατι δὸς πιεῖν πρὸ τοῦ δειπνῆσαι. ἄλλο. Χηνείας γλώσσας ἑφθὰς δὸς φαγεῖν ἐπὶ ἡμέρας γ'. ἀνὰ μίαν. ἄλλο. Πηγάνου ἀγρίου σπέρμα δὸς φαγεῖν ἐπὶ ἡμέρας γ'. ἄλλο. Καταχριέσθω αὐτοῦ τὸ αἰδοῖον κιμωλίαν μετὰ περδικίου χυλοῦ.

Πρὸς ὕπνον.

Εἰς φύλλον δάφνης ἐπίγραφε καὶ ὑποτίθει ἐπὶ τὴν κεφαλὴν λεληθότως, ὀνομάζων κόνκοφον βραχόρεον.

Πρὸς τοὺς μὴ δυναμένους συνουσιάζειν.

Σκαμμωνίαν μεθ' ὕδατος χρίου.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΕΥΠΟΡΙΣΤΩΝ ΒΙΒΛΙΟΝ γ'.

Περὶ σταφυλῆς.

Θεραπεύσης σταφυλὴν οὕτως. ἐν ἀρχῇ μὲν αὐτῆς τῆς φλεγμονῆς δίαιτα λεπτὴ καὶ εὔχυμος ἔστω, καὶ ῥοφήματα καὶ ἀναγαργαρίσματα δι' οἰνομέλιτος, ἢ μελικράτου, ἢ ἑψήματος χλιαροῦ, ἢ ὀξυμέλιτος ἀναγαργαριζομένου καὶ ἀποχεομένου, καὶ μὴ καταπινομένου καὶ μασήματα διὰ πυρέθρου ἢ πεπέρεως, ἢ σταφίδας ἀγρίας λειώσας μετὰ νίτρου καὶ ἁλὸς παράτριβε τὸν οὐρανίσκον καὶ τὴν σταφυλὴν καὶ παύει τὴν φλεγμονήν, ἔξωθεν δὲ ἐπίθετα τὰ αὐτὰ καὶ τὰ ὁμοίως θερμαίνοντα, καὶ τὴν φλεγμονὴν παρηγοροῦντα καὶ τὴν ὀδύνην παύοντα, ἐπιθέματα δὲ καὶ καταπλάσματα ἐπιτήδεια.

Περὶ τῆς ἀνακρεμασθείσης σταφυλῆς.

Ὑσσώπου ῥίζαν, καὶ ἰσχάδων χυλὸν μίξας ἀναγαργάριζε, ὁμοίως καὶ εἰς παρίσθμια καὶ σταφυλήν, ὁμοῦ ζέσας ἀναγαργάριζε φοίνικας δηλονότι καὶ φακήν.

Εἰς τὸ τηρεῖν ἀδίψους ἀεί ποτε.

Δλυκυρρίζης χυλὸν πότιζε, ἢ ἀνδράχνης, ὅσον κύαθον κατάπιε. ἄλλο. Ἀνίσου Γο. α'. γλυκυρρίζης χυλοῦ Γο. β'. τραγακάνθης βεβρεγμένης Γο. β'. ἀνάπλασον τροχίσκους, καὶ ξήρανον ἐν σκιᾷ, καὶ ἐκ τούτων δίδου

κατέχειν

κατέχειν ὑπὸ τὴν γλῶτταν ἀνὰ βροχίσκον, καὶ τὸν χυλὸν καταπίνειν καὶ οὐ διψήσει.

Πρὸς δυσηκοΐας καὶ κωφώσεις.

Χολὴν αἰγείαν πρόσφατον ἴσα μίξας μέλιτι ἀκάπνῳ, χλιαρὸν ἔνσταζον εἰς τὸ οὖς. ἄλλο. Λαγωοῦ χολὴν νεαρὰν μέλιτι μίξας ἐπίσης καὶ χλιάνας ἐν φλοιῷ κρομμύου, ἐπίσταζον εἰς τὸ οὖς, καὶ γὰρ καὶ τοὺς μηδόλως ἀκούοντας ποιεῖ ἀκούειν. ἄλλο. Συὸς ἡμέρου χολὴν ἴσα μέλιτι ἀκάπνῳ ἑνώσας χλιαρὸν ἐγχυμάτισον. ἢ σκίλλης χυλὸν καὶ ῥόδινον μίξας χρῶ. ἄλλο. Ὀρόβου χυλὸν ἔνσταζον καὶ ἐπίθες στυπτηρίαν μετὰ ῥοδίνου.

Πρὸς κοιλιακοὺς ὀργαλεῖον.

Μύρτων χλωρῶν, ῥόδων ξηρῶν σιδίων ῥοιᾶς, βαλαύστια, κηκίδας ἑ. οἰνομέλιτι φυράσας διὰ γαστρὸς παράπεμψον, ἢ κυάμων λέπυρα σὺν οἴνῳ ἀποζέσας ἔνιε διὰ κλυστῆρος, ἢ φακὴν ἀποζέσας τὸν χυλὸν χλιαρὸν ὁμοίως ποίει, ἢ ὀρύζης μὴ κεκαθαρισμένης τὸν χυλὸν ὁμοίως, ἢ σιδηρίτιδος βοτάνης τὸν χυλὸν χλιαρὸν ὁμοίως, ἢ ἀκακίας χυλὸν ἔνιε ἢ ψιμμύθιον καὶ λιθάργυρον λειώσας μετὰ μέλιτος καὶ οἴνου παράπεμψον.

Εἰς στρόφον κοιλίας.

Κύμινον μετὰ μέλιτος δίδου φαγεῖν, καὶ θαυμάσεις ἢ καλάμου ῥίζαν καύσας πότισον μετὰ οἴνου καυκίου ἑνός.

Εἰς τὸ στῆσαι κοιλίαν.

Ὀρίγανον μετὰ ὕδατος ἑψήσας δίδου πιεῖν. ἄλλο. Σηπίας ὄστρακον καύσας καὶ τρίψας μετὰ οἴνου παλαιοῦ δὸς πιεῖν, ἢ βάτου καρπὸν σὺν τοῖς φύλλοις ἀποτριτώσας δὸς πιεῖν. ἄλλο. Κύμινον ἐλλάδικον, καὶ κηκίδα ἄτρητον καύσας καὶ μετὰ οἴνου παλαιοῦ δὸς πιεῖν, μετὰ τὸ ἀποτριτωθῆναι ἐπὶ ἡμέρας τρεῖς.

Πρὸς ἐσωχάδας ῥαγάδας, καὶ συνάμινα.

Ἀρσενικοῦ σχιστοῦ γο. γ. σφέτλης δρυΐνης γο. δ. λειώσας πάντα ὁμοῦ ἔχε ξηρίον, ἐπὶ δὲ τῆς χρείας ἀπονίψας οὔρῳ παιδὸς ἀφθόρου τοὺς τόπους ἐπίπασον.

Πρὸς ἐσωχάδας καὶ ἐξωχάδας.

Ῥίζαν σιλφίου κόψας καὶ λειώσας κατάπλασον. Ξηρίον πρὸς βεβρωμένας οὖλας, καὶ ὀδόντας σειομένους. Μαστίχης γο. α. λιβάνου γο. β. σμύρνης ῥόδων ξηρῶν ἀνὰ γο. γ. σαρκοκόλλης κηκίδος ἀνὰ γο. δ. ὁμοῦ λειώσας ἐπίπασον τὰ οὖλα, προδιακλύσας ἀεὶ ζώου, ἢ μύρτων, ἢ σχοίνου, ἢ ἄγνου, ἢ ἐλαίας τῶν φύλλων τῶν χλιαρῶν.

Πρὸς ὀδονταλγίας.

Ὕσσωπον ὀρίγανον μετὰ ὄξους ἑψήσας δὸς διακλύζεσθαι, ἢ πύρεθρον καὶ πέπερι, καὶ ζέμμα καὶ μαστίχην, ἐξ ἴσου δίδου διαμασᾶσθαι. ἄλλο. Σταφίδας ἀγρίας κόκκους δ. μαστίχης κόκκους η. δίδου διαμασᾶσθαι.

Εἰς πεσόντας ὀδόντας ἀπὸ πληγῆς.

Σταφίδας ἐν ἐλαίῳ ζέσας πυρίαζε τὸν τόπον, καὶ γλῶσσαν ἐξῆς τῷ ὄξει τῆς ὀδύνης δηλονότι ὀρεθιζούσης, ἐπὶ ἡμέρας δὲ τρεῖς ποίει, οὕτως καὶ πάλιν ἀναφύουσιν οἱ ὀδόντες.

Πρὸς οὖλα βιβρωσκόμενα.

Ἀριστολοχίας τρίψας μετὰ μέλιτος ἐπίπασον τὰ οὖλα, ἢ κέρας ἐλάφειον κεκαυμένον ἕως ἂν γένηται λευκόν, καὶ ψιμμύθιον, καὶ λιθάργυρον καὶ νάρδον κίστηριν κηρωτῇ ἀναλαβοῦ, καὶ κατάχριε, ἢ χελώνης ὄστρακον καύσας καὶ τρίψας μίξας τε μετ' ἐλαίου ἔνσταζον εἰς τὸ οὖς. ἄλλο Εὐζώμου σπέρμα σὺν τῷ χυλῷ, καὶ χολῇ αἰγὸς καὶ μέλιτι κατάχριε ἢ μελάνθιον μέλιτι κατάχριε.

Πρὸς ὀφθαλμοπονίαν.

Μυελὸν αἴγειον περίχριε καὶ ἰᾶται, ἢ στέαρ αἴγειον ἢ προβάτειον ἀποβρέχων εἰς ὕδωρ θερμὸν ἐπιτίθει, ἢ λινοσπέρμου χυλὸν ἢ γάλα γυναικεῖον ἐπίχριε.

Πρὸς λεύκωμα καὶ οὐλὰς παλαιὰς ἐν ἐλαχίσταις ἡμέραις, ἔστι δὲ καὶ ὀξυδερκικὸν θαυμαστόν.

Ἰοῦ ξυστοῦ γο. δ. ἀμμωνιακοῦ γο. δ. ψιμμυθίου γο. β. κόμεως γο. α. τὸ δὲ ὑγρὸν ἔστω συκῆς ἀγρίου χυλὸς ὁ τῆς ῥίζης. ἄλλο. Δαφνοκόκκων κεκαθαρισμένων, καὶ λελειωμένων, κόμεως τὸ ἀρκοῦν, πρόπλεξον καὶ ποίει κολλύρια, ἐπὶ δὲ τῆς χρείας λειώσας οὔρῳ παιδὸς ἀφθόρου ἀναλάμβανε, καὶ οὕτως χρίε. πεπείραται γάρ.

πρὸς αἰγίλωπας.

Κόπρον περιστερᾶς ξηρὸν στ. δ. σὺν λιβάνῳ ἄρρενι λειώσας ἐπίπασον ἕως οὗ παύσηται. ἐδοκιμάσθη γάρ.

πρὸς λευκώματα δόκιμον. καὶ γὰρ πολλοὺς ὤνησεν.

Πέρδικος ἄρρενος χολὴν μετὰ μέλιτος χρίε. ἄλλο. Λαδάνου γο. β. λειώσας μετὰ καλλίστου οἴνου καὶ ἐλαίου ἀφ' ἱκανοῦ χρίε τοὺς ὀφθαλμούς.

πρὸς ὑπόχυσιν ὑπερφυῶς παραχρῆμα τὸ βλέπειν ποιῶν.

Αἷμα μυὸς καὶ χολὴν ἀλέκτορος καὶ γάλα γυναικεῖον ἴσα μίξας καὶ λειώσας χρῶ, ἐδοκιμάσθη γὰρ καὶ ἄκρως ὠφέλησεν.

Ἄλλο πρὸς ὑποχύσεις παλαιάς τε καὶ νέας καὶ ἀμβλυωπίας καὶ πᾶν ἐπισκοτοῦν τὴν ὅρασιν.

Ἀφνίδας ἐκλελεπισμένας ἀριθμὸν κοκκίων ι. κόμεως στ. β. ὕδατι ὀμβρείῳ ποιήσας κολλύρια, καὶ χρίε τοῖς μὲν ὑποχυμένοις μετὰ οὔρου παιδίου ἀφθόρου, τοῖς δὲ ἀμβλυωποῦσι μετὰ ὕδατος ὀμβρείου.

πρὸς πόνον ὀφθαλμῶν καὶ ἀγρυπνίας.

Μελίκρατον ἐγχυματίσας, καὶ προβρέξας ᾠόν, καὶ περικαθάρας, καὶ τεμὼν εἰς β. δῆσον ἐπάνω τῶν ὀφθαλμῶν, καὶ ὑπνώσει.

πρὸς ἄνθρακας ὀφθαλμῶν καὶ παντὸς τοῦ σώματος.

Περδικιάδα βοτάνην μετὰ ψυχίων λειώσας προβρέξας τὰς ψυχίας ὀξυκράτῳ χρῶ.

Ὀξυδερκικόν.

Μαράθρου ξύλον τρίψας καλῶς μετὰ μέλιτος πωλίου νεαροῦ ἀκάπνου χρῶ ὑπεγχρίων.

Περὶ τῶν ἐν βλεφάροις κριθῶν.

Ἀκακίαν σὺν οἴνῳ χρῖε, ἐπὶ δὲ τῶν ῥευματιζομένων τοὺς ὀφθαλμοὺς ἐν ἀρχῇ μὲν ἁρμόζει ὀλιγοσιτία, καὶ ὑδροποσία καὶ ἀποχὴ συνουσίας, καὶ ἡ κοιλία ὑποσυρέσθω, καὶ πολλῷ ψυχρῷ πρότερον, καὶ ὀλίγου μιγνυμένου ὄξους, συνεχῶς τὸ πρόσωπον νιπτέσθω, καὶ ἐν τῇ κλίνῃ ἀσφραινέσθω, κονιορτόν τε καὶ καπνοῦ, καὶ τὴν ἀφ' ἡλίου καὶ λύχνου αὐγὴν ἀποφευγέτω. ἔπειτα ῥόδα χλωρὰ ἢ ξηρὰ βρέξας ἐν γλυκεῖ λέαινε καὶ μίξας ᾠοῦ λεκίθῳ καταπλάττε, ἢ κριθίνου ἀλεύρου σὺν γλυκεῖ ἑψηθέντος, ἐὰν δὲ ἡ ὀδύνη μεγίστη ἡ πρόσμιξον καὶ ὑοσκύαμον. Κατάπλασμα εἰς ῥευματιζομένην κεφαλήν, τοῦτο τὸ μίγμα οὐκ ἐᾷ κεφαλὴν ῥευματίζεσθαι, οὔτε ὀφθαλμὸν ἀδικεῖσθαι ποτέ.

Κιμωλίας νίτρου, βρυωνίας ῥίζης ξηρᾶς, συκίου ἀγρίου ῥίζης κυάμου ἀλεύρου ἀνὰ γο. β. λειοτριβήσας ὁμοῦ, καὶ ἑνώσας εἰς γλοιοῦ πάχος χρῶ ἐν βαλανείῳ, ὡς κάλλιστον.

Ἀποφλεγματισμὸς κατασπῶν ἐκ τοῦ κρανίου φλέγμα.

Ἀγριοσταφίδας μετὰ μαστίχης δίδου μασᾶσθαι ἢ μαστίχην, καὶ ζιγγίβερ, εἰ δὲ ἡ μαστίχη σκληρὰ εἴη, πρόσμιξον καὶ ὀλίγον κηρόν.

Πρὸς κεφαλαλγίαν.

Πήγανον κόψον ἐπιμελῶς καὶ σὺν ὄξει καὶ ῥοδίνῳ κατάχριε τὸ μέτωπον.

Πρὸς ἡμικρανίαν.

Πράσου κεφαλήν, καὶ κόμην ἑψήσας, ἐλαίῳ βρέχε τὴν κεφαλήν, καὶ παύεται εὐθὺς ἡ ὀδύνη. ἄλλο. Κισσοῦ ἀκρέμονας ἐλαίῳ ἑψήσας βρέξον τὴν κεφαλὴν καὶ θαυμάσῃς. ἄλλο Ἀμύγδαλα πικρὰ λειοτριβήσας κατάχριε τὸ μέτωπον.

Πρὸς ἥλους δόκιμον κἂν ἐν κεφαλῇ εἰσίν.

Σανδαράχης σχιστῆς, χαλκάνθου, μίσυος καὶ ἀσβέστου ζῶντος, καὶ σάπωνος, ὅλα μίξας ἐξ ἴσου τὸ ἄσβεστον δὲ πλέον λειώσας μετὰ πρωτείου ζωμοῦ τοῦ σάπωνος χρῶ. θαυμάσιον γάρ ἐστι.

Πρὸς ἡμικρανίαν.

Εὐζώμου σπέρμα. γο. γ. πηγάνου χλωροῦ γο. ζ. πεπέρεως κόκκους. λε. ᾠῶν τριῶν τὸ λευκόν, ὄξους τὸ ἀρκοῦν, χρῖε τὸν τόπον. Τροχίσκος ὁ ἔνδοξος Σωκράτους πρὸς κεφαλαλγίαν, καὶ ἡμικρανίαν καὶ πρὸς πάντα τὰ ῥευματικὰ πάθη θαυμάσιος.

Εὐφορβίου στ. δ. θαψίας χυλοῦ στ. ϛ. ζιγγιβέρεως στ. α. ὀπίου στ. γ. ὀποπάνακος στ. β. λύσον τὰ πάντα ὁμοῦ μετὰ ὄξους. καὶ ποίει τροχίσκους, ἐπὶ δὲ τῆς χρήσεως ἀναλαβὼν ὄξει χρῖε τὸ μέτωπον. ἔστι δὲ καὶ καπνιστικὸν καὶ τοῖς μορίοις τοῖς ῥευματιζομένοις ποιεῖ θαυμαστῶς.

Περὶ ἥλων.

Ἀρίθμησον τοὺς ἥλους, καὶ λαβὼν τοσούτους μύρμηκας, δῆσον ἐν λινῷ πανίῳ καὶ κοχλίαν ἕνα μετ' αὐτῶν καὶ καύσας αὐτοὺς λείωσον σὺν ὄξει καὶ ἐπίχριε, ἢ κόπρον βόειον μετὰ ὄξους λειώσας ἐπίχριε ἐπὶ ἡμέρας τρεῖς κατάπλασον καὶ πεσοῦνται οἱ ἧλοι.

Πρὸς ἥλους καὶ μυρμηκιασμούς.

Ὀστᾶ φοινίκων καύσας καὶ τρίψας μετὰ ἅλατος καὶ θυμιάματος καὶ μίξας ἐν ἡλίῳ ἐπίθες καὶ θεραπεύσεις.

Πρὸς ἡμίκρανον δόκιμον.

Λαβὼν γῆς ἔντερα ιε. κόκκους πεπέρεως ιε. ὄξους τὸ ἀρκοῦν. λειώσας ὁμοῦ χρῖε.

Πρὸς θηριοδήκτους πληγάς.

Θηριοδήκτους, καὶ λυσσοδήκτους ἰᾶται καρκίνου τὰ ἐντὸς ἡ τέφρα σὺν ὕδατι πινομένη ἅπαξ καὶ δὶς ἀνὰ δραχμῆς μιᾶς.

Πρὸς τὰς ἐξ οἴνου κεφαλαλγίας.

Πολυγόνου κλῶνους β. πλέξας στεφάνωσον.

Πρὸς πόνον ἡμικρανίου.

Καρδάμου σπόρον τρίψας, μίξον μετ' ᾠοῦ λευκῷ, καὶ κατάχριε τὸ μέτωπον, καὶ ἐπάνω θὲς στυπία, ἢ τοῦ ἀετοῦ τῆς κεφαλῆς τὸ ὀστοῦν τὸ ὅμοιον τῷ ὁμοίῳ περίαπτε, ὁμοίως καὶ τοῦ γυπός. ἄλλο. Οἱ ἐν τῇ κεφαλῇ τοῦ λάβρακος εὑρισκόμενοι λίθοι, κεφαλαλγίᾳ ἰῶνται, καὶ εἰς ἡμικρανίαν περιαπτόμενοι δεξιὸς δεξιᾷ καὶ ἀριστερὸς ἀριστερᾷ.

Πρὸς τρίχας ῥεούσας ἀπὸ κεφαλῆς καὶ πώγωνα.

Σεύτλου μετὰ μυρσινελαίου καὶ πολυτρίχου τρίχας κατάχριε, ἢ ἀδίαντον καὶ λάδανον ἴσα λειώσας μετ' ἐλαίου ὀμφακίνου ἢ μυρσινίνου ἢ σχινίνου ἐπίχριε. ἄλλο. Λάδανον ἀποβρέξας σὺν οἴνῳ ἀμιναίῳ, καὶ μυρσινελαίῳ λειώσας ἄμφω πάχος μέλιτος καὶ χρῖε τὴν κεφαλὴν ἐν βαλανείῳ, βέλτιον δ' ἐστι καὶ τὸ ἀδίαντον, ὅ τινες καλοῦσι πολύτριχον, τὸ ζ. μέρος λαδάνου πρόσβαλλε καὶ χρῖε.

Πρὸς τρίχας ῥεούσας ἵνα δὲ καὶ πλέον γίνονται.

Μυοχόδων στ. γ. καλάμων κονατήλων κεκαυμένων στ. δ. ἀμύγδαλα πικρὰ οβ. ὀπὸν βαλσάμου λάδανον ἀνὰ στ. δ. πολυτρίχων στ. ζ. νάρδου κοροῦ στ. α. ἐν ὑγροπίσσῃ βρέξας τὸ λάδανον, καὶ οἴνῳ καὶ οἴνῳ καὶ ἐλαίῳ λειώσας. τὰ δὲ ξηρὰ κόψας εἰς χνοῦν μετὰ τῶν ὑγρῶν μίξας χρῶ, ἀλειφόμενος καθημέραν, ἐμοὶ δοκεῖ καὶ φαλακροὺς τριχῶσαι.

Βηχὸς θεραπεῖαι διάφοροι.

Ἀρκευθίδος ὁ καρπὸς ἐσθιόμενος καὶ πινόμενος, ἢ βδέλλιον πινόμενον, ἢ δαῦκος κρητικὸς σὺν οἴνῳ πινόμενος, ἢ δρακοντίου ῥίζα ὁμοίως ἑψηθεῖσα, καὶ λειωθεῖσα μέλιτι, ἢ ἐλξίνης βοτάνης ἢ περδικιάδος χλιαρῶς, νηστικῶς καταῤῥοφούμενος ὁ χυλὸς σὺν ὕδατι πινόμενος, ἢ πολυγόνου χυλὸς σὺν ὕδατι πινόμενος, ἢ ἀρκίου βοτάνης ἡ ῥίζα, ἢ στροβιλίου σὺν ὕδατι πινόμενον, ἢ πρόπολις θυμιωμένη, ἢ ῥητίνη πινομένη, καὶ τερεβινθίνη θυμιωμένη, ἢ ἀρσενίκιον σχιστὸν μετὰ χαλβάνης θυμιωμένη, καὶ ὁ καπνὸς καταπινόμενος, ἢ ἄσφαλτον καὶ λίβανον καὶ στύραξ, καὶ κύμινον θυμιαζόμενα, ἢ κιννάμωμον σὺν μέλιτι χλιαρῷ πινόμενον, ἢ κυπαρίσσου σφαιρία τριβέντα μετὰ γλυκέος καὶ σμύρνης νηστικῶς λαμβανόμενον, ἢ μαράθρου ῥίζας καὶ σπέρμα σὺν οἴνῳ ἑψηθέντα καὶ πινόμενα, ἢ νάρθηξ χλωρός, σὺν οἴνῳ ἑψηθεὶς καὶ ποθείς, ἢ ὀρίγανον σὺν μέλιτι ἑψηθὲν καὶ ποθέν, ἢ μυρίκης ἄνθος, καὶ ὁ καρπὸς καὶ τὰ φύλλα σὺν οἴνῳ ἑψηθέντα καὶ πινόμενα, ἢ πευκίου ὁ φλοιὸς σὺν ὕδατι πινόμενος, ἢ λεύκης φύλλα καὶ τὰ κλωνία σὺν ὕδατι, ἢ οἶνα πινόμενα, ἢ φλόμου ῥίζα σὺν οἴνῳ πινομένη ἐν βαλανείῳ, ἢ σκόροδον ὠμὸν καὶ ἑψημένον ἐσθιόμενον, ἢ στρουθίου βοτάνης ἡ ῥίζα, σὺν μέλιτι ἀναλαμβανομένη τοὺς πάνυ ἐσχάτως ἔχοντας ἐν τῷ πάθει, λαγωοῦ κόπρος λεία σὺν οἴνῳ θερμῷ ποθεῖσα ὠφελεῖ. ἀρτηριακοὺς καὶ κιονικοὺς καὶ δυσπνοϊκοὺς μεγάλως θεραπεύει ἀετοῦ γλῶσσα περιαπτομένη, ἢ στροβίλιον ἀκέραιον καύσας καὶ τρίψας μετὰ πεπέρεως ὀλίγου, καὶ ἀναλαβὼν μέλιτι δίδου τῷ πάσχοντι κοχλιάριον ἕν, πρὸς δὲ χρόνιον βῆχα, θεῖον ἄπυρον τρίψας καλῶς ἐμβαλὼν ὠὸν ῥόφησον ἐν βαλανείῳ, ἢ σίναπι τρίψας καὶ μίξας μέλιτι δίδου δακτύλους τρεῖς, ἢ καρδαμόσπορον λεῖον σὺν ὕδατι πινόμενον εἰς κοίτην, ἢ λίβανον τριβόμενον μετὰ μέλιτος, καὶ ἐκλειχόμενον πρωῒ καὶ εἰς κοίτην, ἢ ῥαφάνου χυλὸς μετὰ μέλιτος καταῤῥοφούμενος τῷ πρωΐ. ἄλλο. Ἀρκευθίδες ε. ἢ ζ. μετὰ μέλιτος πινόμεναι. ἄλλο. Πεπέρεως sr. δ. καρύων sr. β. στροβίλου ὑσσώπου ἀνὰ L. α. γλήχωνος sr. δ. ἴρεως sr. δ. κνίδης σπέρμα sr. δ. μέλιτος, ἡ δόσις κοχλιάριον α. ἄλλο. Σίναπι καὶ κύμινον, μελάνθιον, κάρδαμον, ἴσα ὁμοῦ κόψας ἀνάλαμβανε οἴνῳ καὶ δίδου. ἄλλο. Γλήχωνα δίδου μασᾶσθαι συνεχῶς, καὶ συντρίψας μετὰ οἴνου καὶ λεάνας δίδου πιεῖν. ἄλλο. Κύμινον πεφρυγμένον sr. α. μελανθίου πεφρυγμένου sr. α. πεπέρεως κοκκία μ. συντρίψας καὶ ζυμώσας μέλιτι δίδου νῆστει, καὶ εἰς κοίτην.

Κάπνισμα.

Ἀρσενίκιον σχιστόν, πέπερι, πράσιον, κριθῆς ἄλευρον, χαμαίδρυος, ἀμπέλου ῥίζης δέρμα, χαμαιλεύκης, μαστίχης κόστου. κρόκου ὠῶν πάντα ἑνώσας πλάττε κολλύρια καὶ κάπνιζε νῆστει, καὶ εἰς κοίτην. ἄλλο. Πέπερι κάρυα ἀρσενίκιον σχιστὸν συντρίψας καὶ μίξας μέλιτι πότισον. ἄλλο. Βουτύρου στέαρ χηνὸς ῥητίνην μέλιτι συντρίψας δίδου νῆστει καὶ εἰς κοίτην. ἄλλο. Ῥόδον, μαράθρου σπέρμα πεπέρεως συντρίψας, καὶ μετὰ μέλιτος ζυμώσας δίδου. ἄλλο. Φυσαλίδας ἑψήσας σὺν ταῖς ῥίζαις δὸς πιεῖν. Βηχικὸν καὶ εἰς ἀναγωγὴν αἵματος. ὄσον, κιννάμωμον, ῥέον βάρβαρον ἀνὰ sr. α. συντρίψας, καὶ ἑνώσας μετ' οἴνου χλιαροῦ πότισον.

Ἄλλο ποιῶν καὶ ἐκτηκομένοις.

Λιβάνου πεπέρεως, ἀρσενικίου σχιστοῦ, καρυοφύλλου πάντα ὁμοῦ συντρίψας μετὰ μέλιτος καὶ ζυμώσας, δίδου πρωῒ καὶ εἰς κοίτην ἢ ἀρσενίκιον σχιστὸν ἀντὶ ἅλατος εἰς ὠὸν ῥυτὸν καὶ ῥόφησον νῆστις, ἢ ἀρσενικὸν συντρίψας μετ' οἴνου χλιαροῦ πότισον ἐν λουτρῷ, ἢ ἀρσενίκην σχιστὸν καὶ κρόκον ὠοῦ μίξας ἐπάλειφε εἰς βάμβακα καὶ κάπνιζε διὰ κιχώνης, ὅταν δὲ ὀλιγωθῇ ὁ καπνιζόμενος δίδου αὐτὸν καὶ καταπιεῖν βούτυρον. ὅσον λεπτοκαρύου μέγεθος, καὶ πάλιν καπνιζέσθω, ποίει δὲ ἑπτάκις. ἄλλο. Στύρακος καλοῦ καὶ κράμβης χυλὸν συντρίψας καὶ ζυμώσας δίδου νῆστει, καὶ εἰς κοίτην, ἢ δαφνελαίου καὶ οἴνου καλοῦ ἀνὰ sr. γ. μίξας χλιαρὸν πότισον ἐν λουτρῷ καὶ οἰνέλαιον θερμὸν κεραμὸν πυρίαζε τὸν στόμαχον, τὸ οἰνέλαιον μὴ δίδου φθισικῷ πίνειν, ἀλλὰ τὴν σκευασίαν τοῦ οἰνελαίου ἀκριβῶς σκευάσας καὶ χλιάνας πυρίαζον μετὰ σπόγγων τὸν στόμαχον. ἄλλο. Θερμῶν ἀφέψημα θερμὸν στακτὴν βρέξας πυρίαζε τοὺς πόδας βήσσοντος, καὶ ἀποσπογγίσας αὐτοὺς ἐπάλειφε βουτύρῳ καὶ πυρίαζε τῶν τρισέβας ἰαθήσεται. ἄλλο. Κισσοῦ κόκκους, ἢ ξύλα, ἢ φύλλα κάπνιζον τὸν βήχοντα, ἢ ῥητίνην σὺν οἴνῳ παλαιῷ συντρίψας πότισον νῆστιν, ἢ ἀγριοκανάβης σπέρμα τρίψας πότιζον μετὰ ὕδατος, ἢ κεδρίαν πότιζον νηστικῷ, ἢ ὕσσωπον, καὶ γλήχωνα μετὰ ὀξυκράτου δὸς πιεῖν προεψήσας, ἢ βερονίκην φυράσας μετὰ μέλιτος δίδου φαγεῖν, ἢ ῥάφανοι ὀπτοὶ ἐσθιόμενοι πρωῒ καὶ ὀψέ, ἢ χαμελεύκη θυμιωμένη. ἄλλο. Δαφνίδας μετὰ πεπέρεως, καὶ στροβίλους μετὰ μέλιτος δίδου πρωῒ καὶ εἰς κοίτην.

Εἰς βήσσοντας καὶ τετραχωμένοις τὴν ἀρτηρίαν ἀποκεκομμένοις τὴν φωνὴν καὶ ἀναφορικοῖς.

Τραγακάνθης κόμμεως ἀνὰ sr. α. σμύρνης καλῆς sr. α. γλυκυῤῥίζης χυλοῦ καὶ γλυκέος τὸ ἀρκοῦν, κόψας πάντα καὶ ἑνώσας, ἐπειδὰν λειωθῶσιν, τὰ ξηρὰ μίξον μετὰ τῶν λοιπῶν.

Ἄλλο πρὸς βηχίον καὶ ἑλκομένην ἀρτηρίαν.

Τερεβινθίνης κόμμεως καλοῦ μέλιτος ἀνὰ sr. α. τὸ μέλι καὶ τὴν τερεβίνθην προεψήσας βάλλε τὸ κομμίδιον, καὶ δίδου ὅσον ἐλαίας μέγεθος διακρατεῖν ἐν τῷ στόματι. ἄλλο. κόμμεως λευκοῦ ἀνὰ γο. δ. βάλλε εἰς ὕδωρ καὶ ἔασον τακῆναι, εἶτα βάλλεται κοτύλην κρητικοῦ γλυκέος μίαν καὶ ἕψε ἕως οὗ γένηται γλοιῶδες, καὶ χρῶ ἐν ἐλικτῷ.

Ἄλλο εἰς βηχίους καὶ βρόμους, καὶ αἵματος ἀναγωγάς.

Τραγακάνθης sr. β. λινοσπέρμου πεφρυγμένου sr. δ. ἀμύγδαλα λελεπισμένα ι. στροβίλου ὀπτημένης στέατι, τὴν τραγάκανθον ἐν ὕδατι βρέχε χλιόν, καὶ τὰ λοιπὰ μίξον γλυκύ. καὶ τραχέας λειοτριβεῖ. πρὸς δὲ τὰς ἀνακοπὰς τῆς φωνῆς. καὶ ἐὰν ἀνάγει αἷμα, χρῶ μέλιτι ἀντὶ τοῦ γλυκέος. ἄλλο. Ῥάφανον κατακόψας, καὶ στρογγύλα ποιήσας, ὄπτησον ἐπ' ἀνθράκων, καὶ μετὰ μέλιτος φάγε νῆστις.

Πρὸς βῆχα χρόνιον.

Πεπέρεως στ. α΄. θέρμου ἀλεύρου ∟∟. γ΄. καὶ μέλιτος κοχλιάριον α΄. δὸς ῥοφεῖν. ἄλλο. Τῆς ἀκοῆς τοῦ χοίρου τὸ τετριμμένον ὅσον περιαφθὲν τραχήλῳ προφυλακτικόν ἐστι βηχός.

Βηχικὸν καὶ κιονικὸν καὶ ἐν φλεγμονῇ παρισθμίων.

Οἱ ἐν ταῖς κοιλίαις τῶν νοσσιῶν τῶν χελιδόνων εὑρισκόμενοι λίθοι περιαπτόμενοι προφυλακτικόν ἐστι βηχός.

Βηχικοῖς καὶ ἐν ῥίζῃ σταφυλῆς καὶ εἰς κατάῤῥουν.

Ζυγγιβέρεως στ. α΄. χαλβάνης ὀπίου ἀνὰ στ. α΄. στύρακος στ. α΄. γλυκὺ ἀναλαβὼν ποίει ὀρόβια, καὶ ἀντικαταποτίου, πάρεχε ἐν κοίτῃ δύο. καὶ ἐπιρόφα καὶ τὸ γλυκὺ κεκραμένον. ἄλλο ζιγγιβέρεως στ. δ΄. στύρακος στ. δ΄. γλυκεῖ ἀναλάμβανε, καὶ ποίει ὀρόβια, καὶ ἀντὶ καταποτίου δίδου εἰς κοίτην γ΄. ἐπιροφείτω γλυκὺ κεκραμμένον.

Εἰς κατάῤῥουν καὶ βῆχα δόκιμον.

Ὀπίου στ. β΄. καστορίου στ. α΄. ποίει ὀροβιαῖα καὶ δίδου εἰς κοίτην πρὸς δύναμιν.

Ἄλλο ὅπερ ἐχρήσατο ὁ σοφώτατος ἀλέξανδρος.

Πυρέθρου στ. β΄. κόστου στ. α΄. κόψας καὶ σήσας. ἐν δὲ τῇ χρήσει κέλευε ἀπτέσθαι τῶν μυκτήρων, καὶ στέλλει εὐθύς.

Πρὸς τοὺς ἐκ κατάῤῥου τὴν ἀρτηρίαν ῥευματισθέντας, καὶ βήχοντας.

Στύρακος στ. η΄. καστορίου στ. δ΄. ζυγγιβέρεως στ. δ΄. χαλβάνης στ. δ΄. ἑνώσας ποίει ὀροβιαῖα καὶ πάρεχε εἰς νύκτα β΄. ἢ γ΄. καὶ μὴ ἐπιπινέτω ὀπίνων παράχρημα καὶ ὠφεληθήσεται.

Πάσμα κρανίου παῦον ῥεῦμα αὐτοῦ.

Ὑπερικοῦ. χίου ἄνθους ἀνὰ γο. α΄. ἴρεως γο. α΄. ξυλοβαλσάμου γο. α΄. κόψας καὶ σήσας χρῶ ἐπιπάσσων τοῦ κρανίου.

Πάσμα κρανίου ἀναξηραντικόν.

Κόστου φύλλα μαράθρου κικίδων ναρδοστάχυος ἴρεως νάρδου κελτικῆς ῥόδων ξηρῶν ἀνὰ γο. α΄. κόψας καὶ σήσας ἐπίπασσον. ἄλλο πάσμα. Ἐρείκης καρποῦ. κικίδων. χίου ἄνθους ἀνὰ γο. α΄. σαμψύχου, κόστου. ἴρεως. ξυλοβαλσάμου ἀνὰ γο. α΄. κόψας, καὶ σήσας ἐπίπασσον τὴν κεφαλήν.

Ἀποφλεγματισμὸς χειμερινός.

Ὑσσώπου στ. δ΄. ὀριγάνου στ. δ΄. γλήχωνος στ. β΄. καλαμίνθης στ. α΄. σταφίδος ἀγρίας στ. α΄. πυρέθρου στ. β΄. πρασίου στ. α΄. σινήπεως στ. α΄. ἑψήματος ξέστην α΄. ὄξους ξέστην α΄. ἑνώσας ἕψει ἕως οὗ ἀποτριτωθῇ καὶ ἀποφλεγμάτιζε.

Ἀποφλεγματισμὸς ἐαρινός.

Ὑσσώπου γο. δ΄. ὀριγάνου γο. γ΄. γλήχωνος γο. β΄. καλαμίνθης γο. α΄. ἑψήματος ξέστην α΄. ὄξους ξέστας τρεῖς.

Ἀποφλεγματισμὸς θερινὸς καὶ φθινοπωρινός.

Ὑσσώπου γο. δ΄. ὀριγάνου γο. γ΄. γλήχωνος γο. β΄. καλαμίνθης γο. α΄. ναρδοστάχυος γο. α΄. καρυοφύλλου γο. α΄. κινναμώμου γο. γ΄. πρασίου γο. δ΄. ἴρεως γο. γ΄. κυπέρου γο. β΄. πυρέθρου γο. α΄. ἑψήματος ξέστην μίαν, ὄξους ξέστην α΄. ἕψει ἕως ἀποτριτωθῇ καὶ ἀποφλεγμάτιζε.

Εἰς κατάῤῥουν.

Ὀριγάνου δεσμίδια. β΄. γλήχωνος δεσμίδιον α΄. μετὰ ὄξους βαλὼν εἰς χύτραν καθαρὰν καὶ ἰσχάδας ϛ΄. καὶ σταφίδας ὡσεὶ ιβ΄. ἃς ἀποτριτωθῇ, καὶ σακέλισον, καὶ βάλλε εἰς ποτήριον καὶ λαβὼν ἀναγαργάριζε.

Πρὸς τοὺς ἐν τῷ θώρακι χυμούς.

Κνίδης τὰ φύλλα συνεψηθέντα πτισάνῃ δίδου. λύει δὲ καὶ ἐμπνευματώσεις καὶ ἀνάγει τὰ ἐν τῷ θώρακι.

Πρὸς βῆχα καὶ δύσπνοιαν ἐν στομάχῳ καὶ ἀναγωγὰς αἵματος.

Λαβὼν σπόγγον λευκὸν καὶ καινόν, καὶ καύσας καὶ λειοτριβήσας μίξον τὴν σποδιὰν σὺν μέλιτι καὶ περίχρει τῷ ἀρκοῦντι, καὶ ποιήσας ὡς ἔκλειγμα λάμβανε ὀψὲ μετὰ τὸ δεῖπνον ὅσον αἴροις τοῖς τρισὶ δακτύλοις.

Χολὴν βοὸς ἄῤῥενος χρίε τὸν τράχηλον. Πρὸς συνάγχην.

Πρὸς βῆχα ξηραντικόν.

Τῆλιν ἑψήσας ἕως ὅτου ἀποτριτωθῇ, καὶ τὸ ζεμμάτιον λαβέτω πρωῒ μετὰ μέλιτος.

Τροχίσκος βηχικὸς τοῖς τὸν θώρακα ῥευματιζομένοις.

Γλήχωνος. ὑσσώπου. πεπέρεως. καρδάμου ἀνὰ γο. α΄. μέλιτι ἀναλαβὼν ποίει τροχίσκους ἀνὰ γο. α΄. καὶ χρῶ.

Περὶ παρισθμιῶν.

Ἰτέας φύλλα καὶ καρπὸν ἑψήσας ὕδατι ἐπὶ πόσον δίδου ἀναγαργαλίζεσθαι. τοῦτο ἀποσπᾷ τὰ παχέα τῶν δερμάτων μάλιστα, καὶ εἰς συναγχικοὺς ποιεῖ. ἄλλο. Μυρσίνην καὶ φακὴν ἑψήσας δίδου ἀναγαργαρίζεσθαι.

Πρὸς συνάγχην.

Αἰγεία κόπρος σὺν μέλιτι ἀναγαργαριζέσθω, ἢ πηγάνου χυλὸν ἀνοίξας τὸ στόμα ἐπίκλυζε τὸν φάρυγγα.

Πρὸς κατάῤῥοιαν.

Ὕσσωπον ἑψήσας μετὰ σύκων, καὶ μέλιτος καὶ πηγάνου μετὰ ὕδατος δὸς ἀναγαργαρίζεσθαι.

Εἰς καλλιφωνίαν.

Τραγάκανθος ἀποβραχεῖσα ἐν οἴνῳ καὶ ποθεῖσα φωνὴν λαμπρυνεῖ.

Πρὸς ἀποκοπὰς φωνῆς.

Στύρακα λειώσας μετὰ ὕδατος ποίει καταπότια ἴσα ἐρεβίνθου καὶ δίδου τρία, καὶ εὐθέως λαλήσει.

Πρὸς φλεγμονὴν ἐρυσιπέλατος.

Ἀγνος σὺν ἀλφίτοις καταπλασσόμενα, ἢ ἀνδράχνης φύλλα σὺν ἀλφίτοις καταπλασσόμενα, ἢ κράμβης φύλλα καταπλασσόμενα, ἢ καλάμου φύλλα χλωρὰ, λεῖανον καὶ κατάπλασσον, ἢ βάτου φύλλα καταπλασσόμενα ἢ ῥάμνου καὶ ῥόδων φύλλα καταπλασσόμενα.

Πρὸς

Πρὸς ἕλμινθας.

Πολυποδίου ῥίζα μιγνυμένη μετὰ ἑψήματος, καὶ ἐσθιομένη, ἢ ῥαφάνου σπέρμα σὺν ὕδατι πινόμενον, ἢ σκόροδον τρωγόμενον, ἢ πτελέας ῥίζα σὺν μελικράτῳ πινομένη, ἢ συκαμίνου ῥίζης ὁ φλοιὸς σὺν ὕδατι ἑψηθεὶς καὶ ποθείς, ἢ μελάνθιον πινόμενον καὶ καταπλασσόμενον, ἢ κράμβης σπέρμα σὺν ὕδατι πινόμενον, ἢ ἡδυόσμου χυλὸς πινόμενος, ἢ κάρδαμος μετὰ ἡδυόσμου πινόμενος. ἰδία πεῖρα. Κανάβεως σπέρμα ξηρὸν κόψας, καὶ σείσας ὕδατι μίξας καὶ χυλώδες ποιήσας, καὶ ῥάκει καθαρῷ ἐκπιέσας δὸς πιεῖν, ἢ βόλβιτον ξηρὸν καύσας καὶ ποιήσας ξηρίον ἐξ αὐτοῦ δὸς πιεῖν ςτ. α. μετ' οἴνου.

Ἄλλο πρὸς ἕλμινθας πλατείας καὶ ἀσκαρίδας.

Νίτρου καρδάμου πεπέρεως ἀνὰ 𐅻ο. α. ποιήσας ξηρίον δίδου κοχλιάριον α. μετὰ οἴνου.

Εἰς τὸ κινεῖν ἱδρῶτας, καὶ ἀποκοπτειν πυρετούς

Κάγχρυος σπέρμα, μετ' ἐλαίου συγχριόμενον, ἢ πύρεθρον μετὰ ἐλαίου θερμανθὲν καὶ ἐπιχρισθὲν πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας.

Ἄλλο πρὸς πυρετὸν δόκιμον.

Ἔλαιον κινομόλαιον χαμαιμήλινον. ὄξος. νίτρον ἅμα φύλλοις δάφνης καλῶς συνεψήσας χρίε τὸν κάμνοντα, καὶ σκεπάσας ἐπιεικῶς αὐτίκα ἱδρώσει.

Σύγχρισμα πυρέσσουσιν.

Βουτήρου μέτρα δύο, μέλιτος μέτρον α. μίξας καὶ χλιάνας χρῶ, ἄλλο. Θρίδακος φύλλων χυλὸν μέτρον α. ἔλαιον κοινὸν μέτρα β. μίξας καὶ ἀνασκεύας ἐπιμελῶς, σύγχρισον ὅλον τὸ σῶμα. δόκιμον γάρ ἐστιν. ἄλλο. Ἀρτεμισίας χυλοῦ μέτρον α. ῥοδίνου μέτρα β. μίξας χρῶ,

Πρὸς πόνους ἡμικρανίου.

Στρύχνου χυλὸς μετ' ἐλαίου συγχριόμενος πάνυ ὠφελεῖ. ἄλλο. σινήπεως σπέρμα μετὰ μέλιτος κατάπλασον. ἄλλο. Πηγάνου ἡμέρου σὺν ὄξει καὶ ῥοδίνῳ ἑψηθέντος καταχριομένου.

Πρὸς κυνοδήκτους.

Κνίδης σπέρμα καταπλασσόμενον, ἢ πρασίας μελαίνης τὰ φύλλα καταπλασσόμενα, ἢ μελισσόφυλλον σὺν οἴνῳ πινόμενον καὶ τοῖς δήγμασιν ἐπιτιθέμενον, ἢ σκόροδα καταπλασσόμενα, καὶ ὀπτὰ ἐσθιόμενα, καὶ πινόμενα.

Πρὸς τοὺς φοβουμένους τοὺς κύνας.

Ῥοδοδάφνης ῥίζαν περίαψον τὸν τράχηλον καὶ ἀπαλλαγήσεται. ἐὰν δὲ θέλῃς πειράσαι ὅταν κύων μανῇ ἐπίθες περὶ αὐτὸν καὶ εὐθέως ἀφίσταται τῆς μανίας.

Πρὸς λυσσοδήκτους.

Λυσσοδήκτων τοῖς τραύμασι κράμβης φύλλα λεῖα μετὰ σιλφίου καὶ ὄξους ἐπιτιθέσθω. καθ' ἑαυτὴν γὰρ λυττώντος κυνὸς δῆγμα ὠφελεῖ, καὶ τὸ ἀφέψημα αὐτοῦ πινόμενον, ἑφθὴ δὲ κράμβη προσφερομένη φθισικοὺς θεραπεύει, καὶ τὰς περὶ τὴν ἀρτηρίαν διαθέσεις ἰᾶται. λειοτριβηθεῖσα δὲ καὶ καταπλασθεῖσα ἐπὶ σπληνὸς τοῦτον ὑπεκτήκει.

Πρὸς συνάγχην καὶ πόνον τραχήλου.

Σῦκα ξηρὰ μέλιτι λειωθέντα καὶ ἐπιχρισθέντα περὶ τράχηλον, ἢ καρδάμου σπόρον καὶ κόπρον περιστερᾶς σὺν μέλιτι ἐμπλασσόμενα, σὺν μέλιτι χλιαρῷ ἀναγαργάριζε, ἢ κυναίαν λευκὴν λεάνας μετὰ ὄξους ἐπίχριε εἰς τὸν τράχηλον.

Πρὸς δυσωδίας μυκτήρων.

Κισσοῦ τῶν φύλλων ὁ χυλὸς χλιαρὸς ἐγχυματιζόμενος τοῖς ῥώθωσιν, ἢ καλαμίνθης χυλὸς ὁμοίως χλιαρὸς ἐγχυόμενος, ἢ σμύρνα λειωθεῖσα σὺν γάλακτι γυναικείῳ καὶ ἐγχυομένη.

Πρὸς αἱμοῤῥοίαν μυκτήρων.

Ἀκακίαν σὺν ὄξει λειώσας ἔγχεε τοῖς ῥώθωσιν. ἄλλο. Λαβὼν ὄξος σὺν ἅλατι βάλλε ἐν χύτρᾳ ἢ ἐν τρυβλίῳ, καὶ βαλὼν ὀθόνια ἔμβρεχε ἐν αὐτῷ καὶ χλιάνας αὐτὰ ὅσον ἔχει δέχεσθαι ἐπίθες εἰς τὴν κεφαλήν, καὶ συντόμως λέλυε σκεπάζεσθαι πλείστοις σκεπάσμασι.

Καθάρσιον ῥινῶν.

Θύμον καὶ ὀρίγανον ἀναλαβὼν μέλιτι ποίει τροχίσκους καὶ δίδου διαμασᾶσθαι.

Πρὸς πλευριτικούς.

Βδέλλιον σὺν οἴνῳ πινόμενον ὁμοίως καὶ ὕδατι ἢ καρπὸς βαλσάμου σὺν ὕδατι πινόμενος, ἢ σὺν μέλιτι ἐκλειχόμενος, ἢ ἀριστολοχίας ῥίζα σὺν ὕδατι πινομένη, ἢ πήγανον σὺν μελικράτῳ πινόμενον.

Πρὸς ὀξὺν πυρετόν.

Γεπώνης ἡμέρου ὁ χυλὸς συγχριόμενος, ἢ κολοκύνθης ξυσμάτων ὁ χυλὸς συγχριόμενος, καὶ ῥόδα μετ' ἐλαίου, ἢ ἀρνόγλωσσον καταπλασσόμενον.

Πρόγνωσις ἐπὶ πυρεσσόντων.

Ῥόδινον ἀλείψας κατάπλασον σελινόσπερμον βιπτόν, καὶ ἐπίθες εἰς τὴν καρδίαν αὐτοῦ ἐπάνω, ὡς τροχὸν καὶ ἐπίχεε τὸν λεκιθὸν τοῦ ᾠοῦ, καὶ σκέπασον αὐτὸν νεφέλια, καὶ ἐὰν γένηται σκορπισμὸς τοῦ ᾠοῦ γίνωσκε θάνατον. τοῦτο λέγεται αὐτὴ ἡ ψυχὴ ποιεῖν.

Πρὸς τραῦμα παρακολλᾶν.

Ἀγρώστεως ῥίζα λεῖα καταπλασσομένη ὡς ξηρίον, ἢ σιδηρίτιδος βοτάνης τὰ φύλλα ἐπιπλασσόμενα.

Θεραπεία ὠταλγίας.

Ἀμυγδαλέλαιον ἐνσταζόμενον εἰς τὸ οὖς, ἢ καρύελαιον ἐνσταζόμενον, ἢ δαφνέλαιον, ἢ βαλσαμέλαιον, ἢ δρακοντίου βοτάνης τοῦ καρποῦ ὁ χυλὸς μετ' ἐλαίου ἐγχεόμενος, ἢ περδικιάδος ὁ χυλὸς μετ' ἐλαίου ῥοδίνου χλιαρὸς

ἐνσταζόμενος, ἢ πήγανον χλωρὸν σὺν ἐλαίῳ ἑψηθὲν καὶ χλιαρὸν ἐνσταζόμενον, ἢ σμύρνα καὶ μέλι χλιαρῶς ἐνσταζόμενα, ἢ πήγανον μετὰ γυναικείου γάλακτος ἀρρενοτόκου πρὸς χλιάνας ἔνσταζον, ἢ σκόροδον χυλώσας ἔνσταζον εἰς τὸ οὖς, ἢ πράσον χυλώσας χλιαρὸν ἢ ἕψημα χλιαρὸν, ἢ πράσου χυλὸν σὺν μέλιτι μίξας ἔνσταζον, ἢ βαλὼν ἔλαιον εἰς τὸ στόμα εἰς τὸ ὠτίον ἔμπνευ, ἢ κολοκύνθης χυλὸν μετὰ ῥοδίνου ἔνσταζον.

πρὸς ψώρας καὶ κνησμούς.

Πτελέας φύλλα ξηρὰ λειωθέντα καὶ ἐπιπασσόμενα ἐν βαλανείῳ, ἢ θεῖον ἄπυρον καὶ σταφυλὴ ἀγρία, καὶ ἀρσενίκιον καὶ σανδαράχη σὺν ἐλαίῳ καὶ ὄξει ἐπιχριόμενα ἐν βαλανείῳ. ἄλλο. Σμύρναν μετὰ γάλακτος γυναικείου ἐπίχριε, ἢ γλυκυρρίζης χυλὸν μετὰ γλυκέως δὸς πιεῖν, ἢ ὠὰ ὄρνιθος ὁλόκληρα βάλλε εἰς ὄξος δριμύτατον ἢ ἡμερονύκτιον, καὶ ἐμβαλὼν αὐτὰ, τριῶν δηλονότι ὄντων τῶν ὠῶν τρίβε αὐτὰ μετὰ τῶν ὀστράκων ἐν τῷ αὐτῷ ὄξει, καὶ θεῖον ἄπυρον γο. α. καὶ ἀρσενίκιον σχιστὸν γο. σταφίδα ἀγρίαν γο. α. ψιμμύθιον γο. α. λιθάργυρον γο. α. ῥοδοδάφνης χυλὸν γο. α. ἔλαιον παλαιὸν τὸ ἀρκοῦν λειοτριβήσας χρίε ἐν βαλανείῳ.

Κατάπλασμα στομαχικοῖς.

Καλαμίνθης φύλλα χλωρὰ σὺν κριθίνῳ ἀλεύρῳ κατάπλασσον.

πρὸς ἀπεψίαν καὶ ἐμπνευματώσεις στομάχου, ὅς τις γὰρ λάβοι ταύτην πρὸ αὐτὰ πεινάσει.

Πεπέρεως λευκοῦ στ. ς. ἀνίσου στ. ιβ. λιβυστικοῦ στ. ς. ἄμεως, πετροσελίνου, μαράθρου ἀνὰ στ. ς. ταῦτα κόψας καὶ σείσας ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου στ. α.

πρὸς καυσούμενον στόμαχον καὶ μὴ κατέχοντα τὴν τροφήν.

Θρίδακος χυλὸν μετὰ γλυκέως δὸς πιεῖν, καὶ οὐκ ἔτι ἐμέσει.

πρὸς πόνον στομάχου.

Ἄνθρακα δρυὸς εἰς γάλα σβέσας πότιζον τῷ πάσχοντι.

πρὸς ὀξυσμὸν στομάχου.

Χαμαίδρυον μετὰ οἴνου πινόμενον παύει ὀξυσμόν.

πρὸς ἐμπνευμάτωσιν στομάχου.

Πεπέρεως δαφνίδων κυμίνου ἀνίσου ἴσα κόψας καὶ σείσας, δίδου νήστει μετὰ εὐκράτου κοχλιάριον α. ἐπὶ ἡμέρας τρεῖς, ἢ ἄνισον νηστικὸς μασσοῦ.

πρὸς ὀφθαλμοὺς ῥευματιζομένους.

Μαράθρου χυλὸς ἐπὶ ἡμέρας τρεῖς ἐπιτιθέμενος, ἢ λίβανον σὺν μέλιτι καὶ γάλακτι ἐπιχριόμενον, ἢ κενταυρείου χυλὸς σὺν μέλιτι ἐπιχριόμενος, ἢ πενταδακτύλου φύλλα σὺν μέλιτι ἐπιτιθέμενα.

πρὸς ἀχλὺν ὀφθαλμῶν.

Κολοκύνθης ξυσμάτων ὁ χυλὸς ἐπιπλασσόμενος.

πρὸς λεύκωμα.

Υοσκυάμου φύλλα μετὰ ἀλφίτου καταπλασσόμενα, ἢ ξυλοβάλσαμον σὺν γυναικείῳ γάλακτι ἐπιχριόμενα ἢ πήγανον χλωρὸν καταπλασσόμενον ἢ ψύλλιον σὺν γάλακτι γυναικείῳ ἐπιχριόμενον, ἢ καλάμων χλωρῶν τῶν φύλλων ὁ χυλὸς ἐπιχριόμενος.

πρὸς ὀφθαλμῶν ἀπόκρουσμα περίδνωμα.

Λαβὼν φύλλα ἐλαίας κόψον καὶ ἐκπιάσας τὸν χυλὸν ἐπίχριε, καὶ θαυμάσεις.

πρὸς ῥεῦμα κατάπλασμα.

Ἀνδράχνην λείωσον μετὰ κρόκου, καὶ στέατος χηνείου. ἢ σελίνου φύλλα μετὰ ἀλφίτων, ἐπὶ δὲ τῶν μεγάλων ῥευμάτων ῥόδα καὶ μελίλωτα ἑφθὰ μετὰ ἀμύλου τοὺς ὀφθαλμοὺς κατάπλασσε. πρὸς ὀδονταλγίαν.

Μελάνθιον σὺν ὄξει διακλυζόμενον, ἢ κηκίδες σὺν ὀμφακίνῳ διακλυζόμεναι ἢ πλατάνου σφαιρία σὺν ὄξει ἑψηθέντα καὶ διακλυζόμενα ἢ πενταφύλλου ῥίζα σὺν ὄξει διακλυζομένη, ἢ πευκεδάνου ῥίζα λεία καυθεῖσα ἐπιπλασσομένη, ἢ σίδια ῥόδων ἑψήσας τὸ ἀφέψημα διακλυζόμενον.

πρὸς ὀδόντων τραῦμα.

Νίτρου γο. α. σηπίας ὄστρακον σμύρνα ἀνὰ γο. α. λειώσας χρῶ. Ξηρίον πρὸς ὀδόντας πλαδαρὸν στόμα καὶ αἱμώδεις σμῆξαι καὶ οὖλα σαρκῶσαι, καὶ ὀδόντας λευκᾶναι.

Νίτρου κεκαυμένου γο. α. σμύρνης τρωγλίτιδος γο. α. σηπίας ὄστρακον γο. α. ῥόδων ξηρῶν γο. δ. κόψας καὶ σείσας χρῶ, πρόσβαλλε δὲ καὶ ἴρεως γο. α. τούτῳ χρώμενος θαυμάσεις.

πρὸς πόνον πλευροῦ.

Κράμβης χλωρᾶς καυλοὺς σὺν ταῖς ῥίζαις κατακαύσας ἀναλάμβανε στέατι χοιρείῳ καὶ χρῶ. θαυμάσιον τὸ βοήθημα, ἢ σελίνου σπέρμα ἀκριτώσας πότισον. πάνυ γὰρ ὠφελεῖ.

πρὸς ἐσωχάδας.

Ἀμάραντον ἀποβρέξας ὀψὲ καὶ πρωῒ πότισον.

Εἰς σπλῆνα κατάπλασμα πάνυ καλόν.

Σελίνου σινήπεως δαφνίδων κατὰ λόγον κοπανήσας εἶτα ἐκλεπὼν φλοιοῦ καρύας νέας κόψον μικρὰ, καὶ βαλὼν ἐν ὅλμῳ κόψον ἰσχυρῶς, καὶ ἐκβαλὼν ἀπόβρεξον ἐν ὄξει δριμεῖ ἡμέρας γ. καὶ ἑνώσας ἀμφότερα μετὰ χυλοῦ τι βοριάδος ἕψει ἕως γένηται κατάπλασμα, καὶ τίθει ἐπάνω τοῦ σπληνὸς, ἀπὸ πρωῒ ἕως ὥρας ι. προεξερήξας τὴν γαστέρα καὶ θαυμάσει.

Ἄλλο σπληνικὸν διὰ πείρας.

Ἐλαιοῦ συκέας ἐκ δείρας χλωρὰν νέου δένδρου τάραξον σὺν ποδία θερμύνων.

πρὸς

Πρὸς τριταῖον. Μέλι μετὰ σκαμμωνίας πινόμενον ἅπαξ ἰᾶται. Περὶ τεταρταίου. Πέπερι τετριμμένον. δαφνόκοκκα, καὶ κύμινον καὶ μαστίχην, καὶ σμύρναν, καὶ λίβανον καθαρὸν κοπανήσας καθ' ἓν ἕκαστον, καὶ ἑνώσας αὐτὰ καὶ βάλλε μέλι καλὸν τὸ ἀρκοῦν καὶ ἐπίδος ἕως ἡμέρας τέσσαρας.

πρὸς αἷμα ῥέον ἐκ μυκτήρων.

Ὠοῦ φλοῦν ἀκέραιον καύσας, καὶ ποιήσας στακτὴν μίξον σὺν χυτῷ ἀρσενικίῳ, καὶ βάλλε εἰς τὰς ῥῖνας τοῦ πάσχοντος, εἰ δὲ οὐκ ἔστιν ἀρσενίκιον ἔστω ἡ στακτὴ μόνη τοῦ ὠοῦ. Ἄλλο. Τρίχας αἰγὸς θηλείας καύσας καὶ τρίψαι, ὁμοίως καὶ σμύρναν τρίψας, καὶ μίξας τὰ ἀμφότερα ἐμφύσησον εἰς τὰς ῥῖνας εἰ μὲν ἀνδρὸς εἴη μετὰ χάρτου εἰ δὲ γυναικὸς εἴη μετὰ ἄλλου τινὸς οἷον δὲ μέρος, ἐκβάλῃ τὸ αἷμα τὸ βυζιν δῆσον.

πρὸς βιασμοὺς καὶ αἱμοῤῥοίας.

Κηκίδας ἀλέσας, καὶ ῥοιᾶς φλοιὸν, σὺν δὲ κόκκους κοπανήσας, καὶ μίξας ἐλαίῳ χυτῷ καὶ μέλιτι καὶ φυράσας δὸς πρωῒ καὶ ὀψὲ, ὡς κηκίδος μέλιτος.

πρὸς κοιλίας στρόφους καὶ ἐμπνευματώσεις.

Πηγάνου πεπέρεως, ἴσα λειώσας μεθ' ὕδατος θερμοῦ δίδου, ἢ ἀρτεμισίαν κόψας σείσας δίδου, ἢ νίτρου καύσας καὶ λειώσας ἐγχυμάτισον.

Εἰς τὸ μὴ νοσεῖν βόας.

Ἐλάφου κέρας θὲς ἐπάνω πανίου, καὶ ἐπάνω ἅψον κανδήλαν, καὶ μὴ ἀπολάθου τῇ ἡμέραν, καὶ ἐπὶ χρόνον ὑπηκαλοῦ τὸν ἅγιον δημόσιον, καὶ αὐτὸν φυλάξοντας τὰ κτήνη καὶ τὸν βίον σου.

Εἰς τὸ μὴ νοσεῖν χοίρους.

Ῥάσδου ῥίζαν κοπανήσας βάλλε εἰς τὸ πλύμμα αὐτῶν.

Εἰς τὸ ποιῆσαι σαρκόκολλαν.

Τρίψας σκώληκας ἐκ γῆς μετὰ τὸ φρύξαι ἐπίπασον.

Θεραπεία πληγῶν.

Σμύρναν καὶ ἀλόην τρίψας ἐπίπασον, ἢ ῥητίνην πεύκης, ἢ καὶ μαστίχην, καὶ κισσοῦ δάκρυον ποιήσας ἔμπλαστρον ἐπίθες, ἢ τράγειον ἀξούγγιον ἄλειφε τὴν πληγὴν, καὶ κέρας αἰγὸς μελαίνης ἐπίπασον. Ἄλλο. Κόστον στάχος, κινάμωμον ζιγγίβερ. κύμινον δὲ ἴσον τρίψας καὶ πίσση φυράσας ἐπίθες, ἢ ὄψιν ἄρτου ξηρὰν, τρίψας καὶ σὺν οἴνῳ καὶ ἐλαίῳ φυράσας ἐπίθες ἐπὶ ἡμέρας καθ' ἑκάστην ἀλλάσσων.

Εἰς ψώραν ἵππου.

Σχίσας ὄφιν καὶ λαβὼν, τὸ στέαρ αὐτοῦ, ἄλειψον μετὰ ξύλου τὸ στεφάνιον τῶν ὀνύχων αὐτοῦ.

Εἰς τὸ κοιμηθῆναι τὸν ἀγρυπνοῦντα.

Γράψον εἰς φύλλα δάφνης τὰ στοιχεῖα ταῦτα καὶ θὲς ὑπὸ κάτω τῶν σαγιῶν αὐτοῦ, μὴ νοοῦντος τοῦ ἀνακειμένου. ξσ. χσς. φθ.

Εἰς τὸ μὴ φαντάζεσθαι ἄνθρωπον τὴν νύκτα.

Πηγάνου σπέρμα κρέμασον εἰς τὸ προσκεφάλαιον αὐτοῦ μὴ νοοῦντος καὶ οὐ φαντάζεται.

πρὸς θύρακα.

Ὠς ἀρσενίκιον μίξας χυτὸν καὶ πέπερι, λειθάργυρον καὶ δαφνόκοκκα καὶ κωνάρια, καὶ δίδου. ἄλλο. Σκόροδα κόκκια. ζ. ἀρσενίκιον χυτὸν καὶ πέπερι ἀνὰ κόκκων. ιγ. βάμβυκα κωνάριον, κηρὸν ὀλίγον μίξας μετὰ κρόκον ὡς οὐ λάβε στεγνόν.

πρὸς ὀδόντας βεβρωμένους.

Ἀρσενίκιον πέπερι πυρὸν, ἄσβεστον ζῶσαν, ζυμώσας μετ' ὄξους πρόπλασον.

Ἐργαλεῖον νεφριτικόν.

Γλήχωνος, ὀριγάνου. σαμψύχου ἕρπυλλος χαμαιμήλου, ἀψινθίου. κενταυρίου, δάφνης φύλλα, συκῆς ἀγρίας, πέπονος ὁμοῦ ἑψήσας μέλιτι σὺν ὕδατι προαναπόψας μέλιτι σὺν ἐλαίῳ καὶ ἅλατι ἐπίβαλλε ἐκ τοῦ ἀποζέμματος τὸ ἀρκοῦν.

Ἐργαλεῖον ἰσχιαδικόν.

Σικύου ἀγρίου ῥίζας δάφνης φύλλα. πηγάνου φύλλα. ἀψινθίου. κενταυρίου. χαμαίδρυος. πρασίου. καλαμίνθης γλήχωνος. ὀριγάνου. θύμου. θερμίδακος. εὐφορβίου ἀνήθου. πυρέθρου σταφίδος ἀγρίας. ταῦτα πάντα ἑψήσας ἐν ὕδατι, καὶ μίξας μετὰ μέλιτος. ἐλαίου, καὶ ἅλατος. δίδου εἰς ἐργαλεῖον.

Εἰς τὸ λευκᾶναι ὀδόντας σαθροὺς, καὶ μελανούς.

Ἅλατος λείου μέρος. α. ῥόπου μέρος. α. σηπίας ὀστράκου μέρος α. λειώσας ὁμοῦ ἀνάτριβε. προδιακλύσας ὄξει καθαρῷ.

Κατάπλασμα εἰς ῥευματιζομένην κεφαλὴν πρὸς τὸ σμῆγμα οὐκ ἐᾷ κεφαλὴν ῥευματισθῆναι οὔτε ὀφθαλμὸν ἀδικηθῆναι ποτέ.

Μαστίχης γο. α. σμύρνης γο. α. σαρκοκόλλης γο. α. λιβάνου γο. α. λαδάνου γο. α. νίτρου γο. α. ψιμμυθίου γο. α. κιμωλίας γο. α. στύρακος γο. α. ῥόδων γο. α. σάπωνος σταγῶνος λι. α. μέλιτος λι. α. θερμίων πικρῶν ἀπόζεμα τὸ ἀρκοῦν ἑνώσας αὐτὰ σάπωνος ἐν λουτρῷ.

Τροχίσκος ὁ διὰ σπερμάτων εἰς βηχικούς.

Ἀνίσου πικροῦ γο. α. μαράθρου σπέρμα ὑοσκυάμου σπέρμα ἄμεως ἀνὰ ζ. α. σελίνου σπέρμα ζ. γ. ὀπίου ζ. α. λειοτριβήσθω ἕκαστον καὶ παράχεε ὕδωρ χλιαρὸν μέχρις ἂν γένηται γλοιῶδες, καὶ ποίει τροχίσκους, κυάμου τὸ μέγεθος ἡ δόσις α. ὠφελεῖ γὰρ τοῖς βήσσουσιν.

Ἡπατικὰ ἐκλελεγμένα διὰ πείρας.

Κηκίδας ἑψήσας ἐπὶ λόγον τὸν ζωμὸν δὸς πιεῖν μετὰ κωδίας, ἐν βαλανείῳ σκεπαζόμενος, καὶ πίπτων ὑπὸ τὸ πάχος μέρος, ἢ κισσοῦ ῥίζαν ἑψήσας μετὰ οἴνου δὸς πιεῖν. ἄλλο. Δάφνης κόκκους ζ. πεπέρεως κόκκους κ.

λειώσας μετὰ οἴνου δίδου πιεῖν. ἄλλο. Ἀλόης sr. δ̄. ἀσάρου. κόστου. εὐπατωρίου ἢ ἡδυσάρου. μέλιτος. μαστίχης. κρόκου ὠκίμου σπέρμα. ἀνὰ sr. β̄. κόψας καὶ σήσας δίδου μετὰ εὐκράτου.

Ἄλλο εἰς ἧπαρ ἐναργὲς καὶ εὐστόμαχον.

Δαφνίδων κινναμώμου καλοῦ. καρυοφύλλου. ἀλόης ἢ ἡδυσάρου κόστου ἀνὰ sr. ᾱ. κόψας καὶ μέλιτι ἑνώσας μετὰ οἴνου παλαιοῦ πότιζε. ἄλλο. Ἀκόρου sr. ᾱ. λινοσπέρμου sr. ᾱ. ζιγγιβέρεως sr. ᾱ. ἀνίσου sr. δ̄. πηγάνου φύλλων τῶν ἁπαλῶν sr. ᾱ. σὺν μελικράτῳ δίδου. ἄλλο. Ἀρτόμελι κατάπλαττε θερμὸν ὡς ἔμπλαστρον, ἢ ἀψινθίου κοχλιάριον ᾱ. μίξας σὺν εὐκρατομέλι δὸς πιεῖν, καὶ ἀναπαυθήτω ἐπάνω τοῦ ἥπατος.

πρὸς γλῶσσαν ῥευματιζομένην.

Φύλλα κινάρων τρίψας μετὰ μέλιτος ἄλειφε τὴν γλῶσσαν, ἢ φλεβοτόμησον τὴν φλέβα τοῦ μέρους, ὃ ῥεῖ, καὶ ὠφεληθήσεται.

πρὸς ξηρότητα στόματος.

Σῦκα ἑψήσας ἐν ἑψήματι φοινίκων περίχει διάχριε καὶ διακρατείτω. πρὸς χείλη ἐρρηγνύμενα

Λινόσπερμα λεπανίσας μετὰ μέλιτος ἐπίθες.

περὶ τοὺς λειψοτριχοῦντας τὸ γένειον οὓς καλοῦσιν σπανοπώγωνας.

Πεπέρεως. εὐφορβίου. πυρέθρου ἀνὰ Γο. ᾱ. καλάμων φύλλων ἁπαλῶν χυλὸν, μυοχόδου, ἐλαίου δὲ ἀρκοῦντος, λειώσας πρόστριβε καὶ συνεχῶς ἐπίξυρα.

Ἐμετικὸν ὃ παρείληφα ὡς μυστικόν.

Ἀφρόνιτρον λευκὸν βάλλε εἰς χλιαρὸν ὕδωρ. ἕως οὗ λυθῇ, καὶ βραχύ τι ἐλαίου ἐπίβαλλε, καὶ παράσχου πιεῖν.

Σταλτικὰ ἐμέτων.

Ἡδύοσμον κόψας καὶ σήσας, καὶ μίξας ἐλαίῳ ῥοδίνῳ χρίε τὰς ῥῖνας καὶ τὸ στῆθος. ἄλλο. Φοίνικας θηβαϊκὰς, καὶ ἡδυόσμου κλῶνας ἑψήσας μεθ᾽ ὕδατος ὡσεὶ ποτηρίων β̄. μέχρι γλοιώδους συστάσεως τὸ ἥμισυ πότιζε. ἄλλο. Φοινίκων βαλάνων λειῶν τὸ αὔταρκες κατ᾽ ὀλίγον παράσταξον, οἴνου μυρτίνου, καὶ ἀναλαβὼν δίδου μετ᾽ οἰνομέλιτος καὶ ὕδατος κοτύλης μιᾶς.

πρὸς τοὺς ἐμοῦντας αἷμα.

Σχίνου ἄνθος ἑψήσας μεθ᾽ ὕδατος πότιζε.

Ἐμετικὰ χολῆς.

Ἡδύοσμον χλωρὸν, ἢ ξηρὸν μετὰ εὐκράτου πινέτω, πρὸς δὲ τὸ ἀλύπως. σαμψύχου φύλλα δὸς πιεῖν, καὶ ῥαφάνου σπέρμα δὸς φαγεῖν. ἐμέσει δὲ πλῆθος φλέγματος. Σύνθεσις κοκκίων καθαρτικῶν κενούντων φλέγμα.

Ἀλόης Γο. ϛ̄. μαστίχης Γο. β̄. ἀψινθίου χυλὸν Γο. β̄. κολοκυνθίδος Γο. δ̄. ἡ δόσις κόκκια κθ̄.

πρὸς καρδιακούς.

Φακὴν σὺν σπαντίῳ, φοίνικας καὶ οἴνῳ μενδησίῳ πότιζε ἑψητὸν, πρὸς δὲ τοὺς ὀδυνωμένους τὴν καρδίαν πολύγονον λειώσας εὖ μάλα, ἢ μῆλα ἢ κυδώνια σὺν ὄξει ἑψηθέντα καὶ λειωθέντα μετὰ κηρωτῆς ῥοδίνης ἀναλαβὼν κατάπλασσε, ἢ ἀνδράχνην μετὰ κηρωτῆς ῥοδίνης ἀναλαβὼν ἢ μυρσινίνης ἐπίθες. Ἕτερον θαυμάσιον διὰ πείρας. Λινοσπέρμου κοτύλας δ̄. ὕδατος κοτύλας ζ̄. ἑψήσας χρῶ, τοῦτο δὲ τὸ φάρμακον ποιεῖ ὑγείαν. οὐδὲν γὰρ ὁ ἀσθενὴς οὔτε τὸ χεῖρον ἀπέλθοι, ἀλλὰ οὔτε τὸ κρεῖττον.

Τροχίσκος δυσπνοϊκοῖς καὶ τοῖς βήσσουσι πολλοῦ χρόνου εἰς κάπνισμα.

Καρδάμου Γο. ᾱ. σινήπεως Γο. ᾱ. ἀβρότου Γο. ᾱ. πηγάνου ἀγρίου Γο. ᾱ. σανδαράχης Γο. ᾱ. λειώσας ὕδατι ποίει τροχίσκους, καὶ χρῶ συνδαίως.

πρὸς δύσπνοιαν καὶ αἵματος ἀναγωγάς.

Θύμον μετὰ πεπέρεως κόψας καὶ λειώσας μέλιτι, ποίει ἔκλειγμα καὶ χρῶ συνδαίως. πάνυ γὰρ καλόν ἐστι. ἄλλο. Πράσων κεφαλὰς μέλιτι συνεψήσας δίδου νήστει, ἐσθίειν, ἢ πηγάνου ξηροῦ Γο. δ̄. ἡδυόσμου ξηροῦ Γο. δ̄. λῦσον μετὰ μέλιτος, καὶ λάμβανε κοχλιάρια β′. εἰς κοίτην μετὰ εὐκράτου, ὠφελεῖ δὲ δυσπνοϊκοὺς καὶ πιστάκια ἐσθιόμενα.

πρὸς αἱμοπτοϊκούς.

Συμφύτου sr. δ̄. μαστίχης κιρρᾶς sr. δ̄. λημνίας σφραγῖδος sr. β̄. βαλαυστίων sr. β̄. κόψας καὶ σήσας δίδου κοχλιάριον ἓν σὺν ὀξυμέλιτι πίνειν. ἄλλο. διὰ πείρας λημνίας σφραγῖδος Γο. ᾱ. γῆς ἀστέρος Γο. β̄. κοραλλίου Γο. β̄. δίδου μετὰ ὀξυμέλιτος ἀκράτου κοτύλην. ᾱ. πρωῒ καὶ ἑσπέρας τοῦτο χρῶ. ἄλλο. Ἀκακίας κιρρᾶς, ἀμύλου ἴσα τρικοῦ ἴσα λειώσας δίδου πιεῖν μετὰ εὐκράτου κοχλιάρια ε̄.

Ἀλεξοπύρετον τοῖς ἐκ πυρετοῦ καυσουμένοις.

Λαβὼν ἀειζώου καὶ ἀνίσου φύλλα. ε̄. ἢ ζ̄. ἀπόζεσον ἐλαίῳ ῥοδίνῳ, καὶ χρίε ἀπὸ κεφαλῆς ἕως πέλματος, καὶ θαυμάσεις ἢ πυρέθρου ῥίζαν λεάνας σὺν ἐλαίῳ σύγχριε. τοῦτο γὰρ ἱδρῶτας κινεῖ, καὶ τὰ χρόνια ῥίγη παύει, καὶ τὰ κατεψυγμένα μέρη τοῦ σώματος, ἢ πεπηρωμένα ἰᾶται. ἄλλο. Δαφνίδας καὶ θύμον ἐν οἴνῳ τὰ ἀμφότερα λειώσας ἐπίχριε καὶ περίβαλλε ἱματίοις καὶ ἱδρώσει. πρὸς ἰσχὺν αἰδοίων καὶ χρονίας διαθέσεις.

Λαβὼν καλαμίνθην καὶ κόψας, καὶ σήσας ἐπίβαλλε ἐν τρυβλίῳ, καὶ ἀναλαβὼν μέλιτι ἕψει ὡς δίκην καταπλάσματος, καὶ οὕτω πλάσας λεπτῇ ὀθόνῃ ἐπίθες φασκιῶν, πεπείραται γὰρ παρὰ πολλοῖς.

Ἄλλο. πρὸς ἰσχὺν αἰδοίων καὶ νεφρῶν, μὴ γοῦν τινὰ θεραπεύσῃς πρὸ τοῦ τὸν μισθὸν ἆραι, πεπείραται γὰρ παρὰ πολλοῖς.

Ζιγγιβέρεως sr. δ̄. βράθυος sr. ᾱ. πεπέρεως λευκοῦ sr. ᾱ. δίδου μετ᾽ οἰνομέλιτος. ἄλλο. Πίσσης ξηρᾶς. τερεβινθίνης. κολοφωνίας μαστίχης ὑέλου λευκοῦ ἴσα λεία, καὶ ποίει ξηρίον, καὶ περιλούσας ἐπὶ θερμοῦ ἔχοντος τοῦ χρωμένου περιχρίσας ὑγρᾷ πίσσῃ ἐπίπασσε τὸ ξηρίον καὶ ἄνωθεν ἐπίθες, καὶ δέσμει καλῶς.

Εἰς τὸ σκορπίσαι τὰ ἐν τοῖς γόνασι ῥεύματα.

Ἀγιοσυκῆν κοπανήσας ἐκ τοῦ χυλοῦ τριβέσθω, ἢ τῆς ῥίζης τὸν χυλὸν ἀνατριβέσθω ἐν βαλανείῳ. ἢ ἅλας καὶ περιστερᾶς κόπρον λειώσας μετ᾽ ἐλαίου ἐπίχριε. Κατάπλασμα πρὸς πόνον ποδῶν ἀπὸ προσκρούσματος, ἢ ἀπὸ καταπτώσεως, ἢ ἄλλης τινὸς δριμείας ὀδύνης.

Ἀλατος ὀπτοῦ ὀριγάνου, σποδὸν κληματίδων ἴσα λεκύθους ὠῶν β̄. ἢ γ̄. σὺν οἴνῳ μίξας κατάπλασον.

πρὸς λεπριῶντας ὄνυχας θειότατον βοήθημα.

Ὀνυξιν ἀπὸ παραδεῖσιν ἀπὸ προπτώματος καὶ εἰς παρωνυχίαν ὄχαρ λειώσας καὶ ξηρίον ποιήσας ἐπίπαττον, ὄνυχας δὲ λεπρώδεις καθαιρείσης, ἢ θεῖον ἄπυρον καὶ κρόκον ὠοῦ ἴσα μίξας μετ᾽ ὄξους καὶ ἐπίθησον.

πρὸς πυρίκαυστα.

Λιθαργύρου γο. β̄. κρόκου γο. β̄. ὠῶν ὀπτῶν λεκύθους γο. δ̄. ῥοδίνου τὸ ἀρκοῦν. ἄλλο. Ὀθόνιον καύσας τὴν σποδιὰν ῥοδίνῳ μίξας, καὶ κηρῷ καὶ ἀγχούσῃ ἑνώσας χρῶ.

Πρὸς αἱμοῤῥοΐας ἐκ παντὸς φερομένας.

Σώρεως χαλκάνθου. στυπτηρίας. χαλκίτεως. μίσυος. γύψου. κόμεως ἀνὰ στ. η̄. λειώσας χρῶ πάνυ γὰρ καλόν ἐστι καὶ πεπείραται. ἄλλο. Χαλκίτεως στ. ς̄. ῥητίνης φρυκτῆς. στ. δ̄. μάννης στ. β̄. ξηρῷ χρῶ.

πρὸς λειχῆνας δόκιμον.

Λιβάνου ἄῤῥενος. ζιγγιβέρεως. ἀλόης. θείου ἀπύρου. ἀνὰ στ. β̄. ὄξει ἀναλαβὼν χρίε πρότερον, περιψήσας ῥάκει ἐξ ἐρίου. ἄλλο. Αμμωνιακοῦ θυμιάματος. ἀλκυονίου. θείου ἀφροῦ ἴσα λειώσας χρῶ.

Εἰς τὸ λευκᾶναι πρόσωπον.

Ἀλκυονίου κεκαυμένου, καὶ λειωθέντος σὺν μέλιτι καὶ ἀλεύρῳ μίξας σμῆχε. ἄλλο. Λυσσομέμενον λειώσας μεθ᾽ ὄξους χρίε ἐν ἡλίῳ, ἢ ἄνθος κεράμων λειοτριβήσας μετ᾽ ὄξους εἶτα τρίψας τὸν τόπον ῥάκει, ἕως ἐρυθρὸν γένηται χρίε ἐν ἡλίῳ.

Εἰς τὸ καθάραι πρόσωπον.

Βούτυρον σαπωνίῳ μίξας κατάχριε.

πρὸς πόνον μήτρας τῶν ἁγίων ἀναργύρων.

Λαβὼν ἄσαρον μετὰ γλήχωνος δὸς πιεῖν.

Γαξαμάδων καθαρτικά.

Σκαμμωνίας στ. β̄. ἢ τρία μαστίχης στ. γ̄. σελίνου σπέρμα στ. β̄. πολυποδίου στ. δ̄. κιναμώμου στ. ᾱ. ζύμης καθαρᾶς λίτραν μίαν τὰ ξηρὰ ἐπίβαλλε, καὶ μάλασσε ἐπιμελῶς.

Εἰς τὸ ἀποκτεῖναι κώνωπας.

Μελάνθιον καὶ χάλκανθον θυμίασον.

Εἰς τὸ διῶξαι ὄφεις.

Χαλβάνην καὶ κέρας ἐλάφου, καὶ ὄνυχας αἰγός, καὶ ῥίζαν κρίνου θυμίασον, ἐπὶ δὲ τοῦ δήγματος τοῦ ὄφεως, ἅλας καὶ πράσον κατάπλασον.

Εἰς τὸ διῶξαι ψύλλας.

Συκῆς ἀγρίας φύλλα ζέσας ῥαῖνε εἰς τὴν οἰκίαν.

πρὸς δυσουρίαν κτηνῶν.

Ὀστρέα κολυμβάδων ἐλαιῶν θλάσας περιιστάμενος κάπνιζε ἐπὶ ἡμέρας ε̄.

πρὸς πληγὴν καλάμου.

Καλάμου ῥίζαν καύσας τὴν τέφραν ἐπίθες.

πρὸς ἐπιληπτικοὺς πάνυ καλόν.

Ὀρτύγων ἐγκέφαλον μετὰ μυρσίνου μύρου λειώσας ἀπόθου ἐν ἀγγείῳ κασσιτερινῷ, καὶ ὅταν ἴδῃς πεσόντα ἀπὸ τῆς ἐπιληψίας περίχριε τὸ πρόσωπον, καὶ θαυμάσεις τὴν ἐνέργειαν τοῦ φυσικοῦ τούτου βοηθήματος, καὶ γὰρ ἀναστήσεται ὁ νοσῶν παραυτίκα.

πρὸς ἀνορεκτοῦντας.

Σμύρναν. λίβανον. ἀμμωνιακόν. μαστίχης. μετὰ λευκοῦ ὠοῦ λειώσας ἐπὶ πλείστην ὥραν περίχριε τὸ στῆθος καὶ τὰ σπλάγχνα καὶ ἐπίθες στυπτία.

περὶ βδελλῶν.

Τοὺς βδέλλας καταπίοντας χρὴ στῆσαι πρὸς τὸν ἥλιον. καὶ κατανοῆσαι ἐν ποίῳ τόπῳ κρέμανται, καὶ ἐπιστάξαι αὐταῖς γάρος, καὶ εὐθέως ἀφίστανται τοῦ τόπου, καὶ ἀποπίπτουσι, ἢ ὄξος καὶ βούτυρον μίξας καὶ πυρώσας σίδηρον καὶ σβέσας ἐν αὐτοῖς δὸς πιεῖν, καὶ βάλλει τὰς βδέλλας, ἢ βάλλε τὸν καταπιόντα τὴν βδέλλαν εἰς θερμὸν ὕδωρ, ἕως τοῦ πώγωνος, καὶ γεμώσας φιάλην ὕδατος ψυχροῦ πρόσαγε ταῖς χερσὶν αὐτοῦ, μὴ δὸς δὲ πιεῖν καὶ εὐθέως ἡ βδέλλα ἐξελεύσεται. ἄλλο. Βδέλλας καταποθείσας ἀνάγει ὄξος θερμὸν καταῤῥοφούμενον, ἢ ὀπὸς συκαμίνου καταῤῥοφούμενος, ἢ κόρεις ὑποθυμιώμεναι.

περὶ μελισσῶν δήγματος.

Χυλὸς μαλάχης τοὺς ὑπὸ μελισσῶν πληγέντας ἀπόνους ποιεῖ.

πρὸς ὀφίτην.

Κέρας αἴγειον καύσας καὶ μετὰ ὄξους λειώσας κατάπλασον, ἢ καπνίαν φούρνου μετὰ μέλιτος κατάχριε, ἢ καλάμου ῥίζας καὶ ἐρεβίνθιον, καὶ σφαιρία κυπαρίσσου, καὶ κέρας ἐλάφου κεκαυμένα τὰ πάντα λειώσας, καὶ ἑνώσας πότισον σὺν ὄξει καὶ πράσῳ.

πρὸς τὰς ἀπὸ φλεβοτόμου γινομένας φλεγμονὰς καὶ σκληρίας τῶν βραχιόνων, καὶ πυρακτώσεις καὶ θρομβώσεις.

Σμιλὴν σιτίνην μετὰ ἀξουγγίου μαλάξας ἐπιμελῶς χρῶ. δόκιμον γάρ ἐστι.

πρὸς ὑδρωπικούς.

Λαβὼν βόλβιτον, ἐὰν ἀνὴρ πάσχῃ, ἄῤῥενος. εἰ δὲ θήλεια, θηλείας, καὶ βαλὼν εἰς κίθραν καινήν, καὶ πωμάσας περίπλασον πηλὸν τῷ πώματι. ὥστε μὴ διαπνεῖν, εἶτα λαβὼν τὴν κίθραν θὲς ἐπὶ τέφραν ἄσβεστον ἐπὶ ἡμέρας ζ̄. περὶ δὲ τὴν ὀγδόην ἀνοίξας ἔξελε τὸν βόλβιτον, καὶ ποιήσας ξηρίον ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ, ἐπὶ δὲ τῆς χρείας δίδου κοχλιάρια γ̄. μετ᾽ οἴνου ἐπὶ ἡμέρας ζ̄. δέον δὲ τὸν οἶνον εἶναι ἀπεζεσμένον ἐν πηγάνῳ. τοῦτο τὸ

πόμα ποιεῖ, καὶ ἐὰν ὦσιν ὄγκοι καὶ οἱ δήματα. ξηραίνει καὶ κενοῖ διὰ τῶν οὔρων. ὁ δὲ πάσχων μὴ πινέτω δι᾽ ὅλης τῆς ἡμέρας. εἰ μὴ τρία μόνον. δόκιμον γάρ ἐστι.

πρὸς τὸ μισῆσαι τὸν οἶνον τοῦ μὴ μεθῦσαι.

Ἔγχελυς ἰχθὺς πνιχθεὶς ἐν οἴνῳ, καὶ δοθεὶς ὁ οἶνος εἰς πόμα, μῖσος οἴνου ποιεῖ. ὁμοίως καὶ σταφυλὴ ἀπεζεσμένη. ἀμέθυσος διατηρηθῆναι εἰ θέλεις καὶ ἄνοσος. φύλλα πηγάνου ἐσθιε. παύει δὲ καὶ κεφαλαλγίαν τὴν ἐξ οἴνου. ὁμοίως καὶ ἡ ἄκορος ἐσθιομένη, καὶ ἡ θηβαία, ἀμέθυστος διατηρεῖται ὁ προφαγὼν ἀμύγδαλα πικρὰ τὸν ἀριθμὸν ζ. ἢ θ. ἢ ια. ἀμέθυστος διατηρεῖται ὁ πνεύμονα προβάτου νῆστις ἐσθίων ἑφθόν. ὅσα γὰρ πίει οὐ μεθύσει.

Εἰς τὸ μεθύειν ἐξ ἑνὸς ποτηρίου.

Κλημματίδων ἀμπέλων χλωρῶν, ἢ ξηρῶν μικρὸν καύσας ἀπόσβεσον ἐν τῇ φιάλῃ ἔνθα ἐστὶν ὁ οἶνος καὶ εὐθέως μεθύσει.

πρὸς φακοὺς ἐν προσώπῳ.

Δαφνίδων τὸ ἐντὸς λειώσας μετὰ μέλιτος ἐπίχριε ἢ στρόβηλον μέλιτι συνεψήσας ἐπίχριε τοὺς ὀφθαλμούς.

πρὸς τὰς ἐκπιπτούσας ἕδρας τῶν βρεφῶν.

Τὸ τῶν χαλκέων ὕδωρ, εἰς ὃ τὸν σίδηρον ἀποσβεννύουσι θερμάνας πρόσκλυζε. εἶτα οὕτως κοχλίον καύσας καὶ ποιήσας ξηρίον ἐπίπασον.

πρὸς οὖλα παιδὸς καὶ ὀδόντας φυομένους.

Ῥόδων ἄνθη λεάνας μετὰ μέλιτος ἔγχριε, ἢ ἐγκέφαλον προβάτου μετὰ μέλιτος ἔγχριε, ἢ βούτυρον μετὰ μέλιτος.

Εἰς τὸ πλεονέσαι γάλα.

Σήσαμος λειωθεὶς, μετὰ γλυκέος καὶ πινόμενος, ἢ πτισάνη ἑψηθὴ σὺν μαλάθρῳ ῥοφουμένη, ἢ κάρδαμον μετὰ κράμβης πινόμενον.

πρὸς τὰ ἀπὸ χειμῶνος ἀποκαύματα.

Ἅλμην καταντλα καὶ φακὴν ἑφθὴν καὶ ψυχίας καὶ ῥόδινον λειώσας κατάπλαττε.

πρὸς ὑδροκήλην.

Μολίβδην ἑψήσας μετὰ θείου, καὶ ὄξους ὀλίγου, καὶ ἐλαίου περίχριε τὸν τόπον. ἄλλο. Κάρυα παλαιὰ σεσηπότα λειώσας ἔμβαλλε εἰς τρίβλιον καὶ χρίε. ἄλλο. ὄξος πότιζε καὶ ἐλάφου κέρας καύσας κατάπλασον, ἢ λιθάργυρον, καὶ ὄξος καὶ ἔλαιον μίξας χρίε εἰς ἥλιον.

πρὸς τραῦμα ἀνιάτως ἔχον ἐν οἱῳδήποτε μέρει τοῦ σώματος.

Βούγλωσσον βοτάνην, ἀνάσπασον καὶ κόψας τὰς ῥίζας πλύνων καλῶς, καὶ ὁλμοκοπήσας πρόσπλεξον χοίρειον ἀξούγγιον καὶ μαλάξας καλῶς ἐπίθες τῷ τραύματι.

πρὸς ἔμετον.

Σελίνων ῥίζης ε. μαλάθρων ῥίζας τρυφερὰς δ. ἀνίσου ∠. α. ὄξος καὶ μέλι, καὶ κρόκος ἀληθινὸς, ἑψηθήτωσαν πάντα χοεὶς τοῦ κρόκου, καὶ μετὰ τὴν ἕψησιν ἐμβληθήτω ὁ κρόκος, καὶ διδόσθω ἥμισυ φιάλης.

πρὸς ἄφθας.

Ἐλαῖαι μαῦραι διαμασσόμεναι, ἢ ἀγριοσταφὶς ἐν ὄξει ἑψηθεῖσαι, καὶ διακλυζόμεναι.

πρὸς ἀσφαλακίας.

Γλῶον αὐτὰς πρῶτον μετ᾽ οἰνομέλιτος εἶθ᾽ οὕτως ἔμβαλλε χολὴν βοίαν, καὶ λαγωοῦ ἀφόδευμα, ἢ τὸ διὰ σάπωνος, ἢ πηγάνου χυλὸν ἐνστάξον, εἰς τὰς ὀπὰς ἢ ἀειζωολοχίαν τρίψας γέμισον ἐν αὐταῖς τὰς τρύπας μετ᾽ ὄξους.

περὶ πηγάνου.

Τὸ πήγανον πρῶτον μὲν ἐσθιόμενον καὶ πινόμενον ὀξυδορκίαν ποιεῖ. καὶ συνουσίας ἀποστρέφει, πόνον δὲ κεφαλῆς ἰᾶται, εἴτις τοῖς ἁπαλοῖς τῆς καρδίας τὰ ὀστᾶ ἐμφράσσει ἐνωθεὶς δὲ χυλὸς τοῦ πηγάνου, μετὰ χυλοῦ μαράθρου καὶ μέλιτος, καὶ καταχριόμενος ἀμβλυωπίας ἰᾶται, τὸ αὐτὸ ποιεῖ καὶ ὁ χυλὸς τοῦ καρποῦ τῆς ῥάμνου μετ᾽ οἰνομέλιτος χριόμενος, καὶ ἡδύοσμος μετ᾽ ἀλφίτου καταπλασθὲν ἰᾶται ἀποστήματα.

πρὸς τὸ στῆσαι αἷμα.

Βρωνίκην μέλιτος ἀκάπνου πληρώσας δὸς φαγεῖν καὶ κράμβης σπέρμα, καὶ βασιλικοῦ, σπέρμα τρίψας ἀνὰ κόκκων ς. μετὰ οἴνου δὸς πιεῖν γυναικὶ ἀπὸ πολλοῦ αἵματος πασχούσης.

προγνωστικὸν ἀρρώστου.

Ἰτέας ἁπλᾶ φύλλα κόψας ἐπίχριε, καὶ ἐὰν ῥόδινον γένηται ζῇ. εἰ δὲ χλωρὸν τελευτᾷ.

πρὸς τὸ μὴ δύνασθαι συνουσιάζειν.

Τὸ εὔζωμον οἱ ἱερεῖς ἐσθίουσιν, καὶ τὸ πήγανον καὶ τὸ ἄγνον, τὸ οὖν σπέρμα τοῦ εὐζώμου σὺν μέλιτι νῆστις καὶ σὺν τήλει χριόμενον οὐκ ἐᾷ ὀρθοῦσθαι.

πρὸς πόνον ὀφθαλμῶν.

Κρόκον συντρίψας καὶ ἀναζυμώσας μετὰ ῥοδοστάγματος ἐπάλειφε. περὶ πόνον κεφαλῆς ἀνθρώπου.

Ἐὰν γένηται τὰ σημεῖα ταῦτα, σκοτισμὸς ὀφθαλμῶν, καὶ πόνος αὐτοῦ τῆς κεφαλῆς, ὤτων ἦχος, καὶ ῥινῶν ἔμφραξις καὶ ὀφθαλμοὶ δακρύουσι τῷ πρωῒ, τινὲς δὲ καὶ ἀμβλυωποῦσιν ὅτε ταῦτα γίγνονται τὴν κεφαλὴν καθάρειζον τρόπῳ τοιῷδε, λαβὼν ὀρίγανον καὶ ὕσσωπον, καὶ ἅλας τὰς ῥῖνας ἀνάτριψον καὶ οὐκέτι ἀλγήσει ἡ κεφαλὴ, εἰ δ᾽ ἀμελὴς γένοιο ἐπιγίνονται αἱ νόσοι αὗται, ἀμβλυωπία, ὤτων ἦχος τριχῶν ἔκρησις, καὶ πόνος ὀδόντων.

περὶ στήθους ἀνθρώπου.

Ἡνίκα οὖν τὸ στῆθος μέλλει πάθος γενέσθαι, τὸ πρῶτον φαίνεται ἐν αὐτῷ ὑγρότητα ἔχειν καὶ εἰς τὰς πλευρὰς ὠμοὺς χυμοὺς ἐκκαύσιν, καὶ δίψαν ἔχων, καὶ ἡ γλῶσσα αὐτοῦ τραχέως ἄφρον ἔχουσα καθ᾽ ἑκάστην ὥραν πτύων, ἔξεστι δ᾽ αὐτὸν μετὰ τὸ δειπνῆσαι ἐμέσαι, εἴτε τῷ πρωῒ ξηράσαι προλαμβάνων λεπτορίζια ῥαφάνου, εἴτε σίνηπι

χλωρὸν

χλωρὸν, ἢ ἡδύοσμον, ἢ κάρδαμον μετὰ χλιαροῦ ὕδατος, καὶ ἐμέσας εὐθέως σωθήσεται. εἰ δ' ἀμελήσῃ γίνεται αὐτῷ δύσπνοια, καὶ πλευροῦ πόνοι καὶ πυρετοὶ ὀξεῖς καὶ πᾶν τότε ἄυπνος γίνεται.

περὶ κοιλίας.

Ὁπόταν δὲ περὶ τὴν κοιλίαν μέλλει πάθος τι συνίστασθαι, κατὰ πρῶτον γίνονται αὐτῷ στρόφοι καὶ πόνοι περὶ αὐτὴν τὴν κοιλίαν, καὶ στένωσις γαστρὸς, καὶ ἀνάδοσις καὶ ταράσσονται ἐν αὐτῷ τὰ σιτία καὶ τὰ ποτὰ πικρὰ φαίνονται, καὶ βάρος ἐπὶ τῶν γονάτων, καὶ ἐπὶ τὰς ψοιὰς καὶ τοὺς νεφροὺς πόνοι καὶ πυρέσσει πάντοτε, τούτου οὖν οὕτως γινομένου δεῖ τοῖς ἁπλοῖς φαρμάκοις καθαίρειν λαβὼν κύμινον κόψας καὶ διαλύσας ὕδατι θερμῷ δίδου πίνειν, ἢ κράμβης, ἢ σεύτλου χυλὸν μετὰ μέλιτος γλυκάνας πρόσβαλλε, καὶ ἅλας ὀλίγον, καὶ δὸς πιεῖν καὶ θαυμάσεις. εἰ δ' ἀμελὴς γένηται ἐπέρχεται αὐτῷ δυσεντερία, καὶ τεινεσμοί, καὶ ἁρμοπονίαι.

πρὸς βαρυηκοΐαν καὶ ἦχον ὤτων.

σὺν νίτρου εἰς ὄξος ἐμβάλας ἐπίσταξον ῥόδελαιον καὶ οἶνον, καὶ ἄλειφε τὰ ὀπίσθια τῆς κεφαλῆς. ἄλλο.

Ἐλεβόρου μέλανος ῥίζαν ἐμβάλων εἰς τὸ οὖς καὶ ὑγιαίνει. δόκιμον γάρ ἐστι.

πρὸς τὸ φυλαχθῆναι ἄμπελον.

Κενταυρίου τὸ ἀπόζεμα ῥαινόμενον τοῖς κλήμασι. τοῦτο καὶ κύνας καὶ ἀλώπεκας, καὶ πετεινὰ τοῦ οὐρανοῦ ἀποδιώκει.

περὶ στειρῶν.

Ὀστοῦν ἐλάφου ὃ ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ λαβὼν τρίψον καὶ πότισον τὴν γυναῖκα καὶ ὄψῃ τὴν δόξαν τοῦ θεοῦ.

πρὸς ἕλμινθας θαυμαστόν.

Μελάνθιον τρίψας μετὰ γάρου δὸς πιεῖν.

Εἰς τὸ γνῶναι ἐκ τοῦ ἀνδρογύνου ὁποῖος ἐστὶν ἄπαις.

Φακὴν ἀπόβρεξον τῶν ἀμφοτέρων τὸ οὖρον χωρὶς, καὶ ὁ ποῖον φυράσει, ἐκεῖνος ἐστὶν ὁ ποιῶν παῖδα καὶ τὸ μὴ φῦον ἄπαις.

πρὸς ῥῖγος.

Γράψον εἰς μῆλα τρία, ἢ πεπώπυλα οὕτως, φκσόν. σαός. δράος. δλάνονος. δανάβιος καὶ δίδου τρώγειν.

Κατασκευὴ γάρου Ἰσαάκου τοῦ μαρτυροπολίτου.

Ψωμίον ἄζυμον ἀνάρτητον, σεσημμένον λι. α. μελάνθιον τζιαιρίκην α. ἡμικλου τάνητον ἡδύοσμον, καλαμίνθην βουνίσιν. ἄνυδρον. ἀνὰ ἡμίλιτρον. πήγανον τράμια μ. ἀγριοθρύμπον τράμια μ. μάλαθρον τράμια μ. ἀνισὸν τράμια λ. ναναχουὰν τράμια μ. σταφίδας μαύρας λιπαρὰς ἡμίλιτρον. φοινίκια καθαρὰ τζιαιρίκην α. μέλι ἀληθινὸν, ἱλαροῦ μελισσίου ἡμίλιτρον σάκκαρ κάντιον τζιαιρίκην α. ῥόδα ξηρὰ, ἢ ῥοδόσταγμα τράμια ε. ταῦτα δεῖ. τίθεσθαι ἐν πίθῳ μετὰ ὕδατος, καὶ τίθεσθαι ἐν ἡλίῳ ἡμέρας μ. σὺν αὐτοῖς δὲ δεῖ βάλλειν ἐν ὀθονίῳ καθαρῷ ξυλαλόην τράμια ε. στάχος τράμια ζ. καρυόφυλλα τράμια β. κρόκκον τράμια γ. μαστίχην τράμια ι. λίβανον τράμια ι. πρατζίου φλοιὸν τράμια ιε. μόσχου τάγκια α. ἄμπαρ τάγκια β. βάλλε ὁμοῦ ὅλα ἐν τῇ ὀθόνῃ καὶ θὲς μέσον τοῦ χυλοῦ ἐν τῷ πίθῳ, καὶ τὰς μ ἡμέρας καθ' ἑκάστην τρίβειν, καὶ ἀπὸ πιάνειν κρεμμάμενον δηλονότι ἐν τῷ πίθῳ μέσον τοῦ χυλοῦ καὶ μετὰ μ. συνάγειν τὸ ὕδωρ τὸ ἐπάνω τοῦ χυλοῦ, καὶ τίθειν εἰς ἕτερον ἀγγεῖον, τῷ δὲ χυλῷ τίθειν ἕτερον ὕδωρ ἡλιαζόμενα ἀμφότερα. μετὰ δὲ τὸ συναχθῆναι τὸν ζωμὸν ὅλον εἰς ἕτερον ἀγγεῖον βαλὼν ἐν κανναβίῳ γανωτῷ, ἢ ἐν χύτρᾳ καὶ ἀποτρίψας σὺν κυδώνια ὄριμα πλήρεις, τὴν δὲ ὀθόνην μηδέποτε ἄρῃς ἐκ μέσου τοῦ γάρου, καὶ λάβῃς γάρος ἄριστον καὶ ὠφέλιμον ἐν πᾶσιν ἀνθρώποις.

περὶ κεφαλαλγίας Βαρλαὰμ μοναχοῦ.

Ἀλεύρου κυάμινον λεῖον πλήρεις, καὶ μαστίχης ὁμοίως ὀλίγον σὺν κιμίνῳ ὀλιγοστῷ. δεῖ ἑνῶσαι μετὰ τοῦ ζωμοῦ τῶν ὀξοινῶν μήλων καὶ ποιῆσαι ἔμπλαστρον, καὶ ἐπιθεῖναι τῷ μετώπῳ ἀπὸ μήνιγγος.

περὶ δυσουρίας.

Μοῦρον χριστὸν βάλλε εἰς τὸν οὐρητῆρα καὶ εὐθέως οὐρήσει, ἢ μέλι καὶ ἀγριοκανάβην ἑνώσας ποίησον ὑπόθεμα καὶ θὲς ὑπὸ τὸν ἀφεδρῶνα, ἢ μόσχον θὲς ἐν τῷ οὐρητῆρι.

πρὸς αἷμα ἐκ ῥινῶν.

Κανάβου φύλλα ξηράνας καὶ τρίψας ἐμφύσα εἰς τὸ ῥύθωνον, ἢ πανίον λινὸν καύσας μεθ' ὄξους δριμέως ἐμφύσα εἰς τὰς ῥινάς.

περὶ ὑστέρας γυναικός.

Ὄψιν ψωμίου, καὶ ἀμαντάρειον ἀληθινὸν, καὶ καρδίαν. καύσας μετὰ οἴνου παλαιοῦ δὸς πιεῖν.

περὶ τοῦ μὴ ἀπόλλειν τὸ δένδρον τὸν καρπόν.

Κισσοῦ ῥίζαν κρέμασον καὶ εἰς τὸ δένδρον, καὶ στήκει ὁ καρπὸς αὐτοῦ καὶ μὴ πίπτει. πρὸς τραῦμα γλυκύ.

Καρδίαν μετὰ τοῦ φλοιοῦ, καὶ κέρας ἐλάφου καύσας μετὰ ἐλαίου ἄλειφε. πρὸς στόμαχον

Πήγανον καὶ θρύμβον μετὰ ὠοῦ καὶ κύμινον καὶ ἡδυόσμου τὰς ῥίζας δὸς πιεῖν. περὶ λιχῆνας.

Πεπέρι τρίψας μετὰ γυναικείου γάλακτος ἐπάλειφε καὶ ἰᾶται. πρὸς πόνον ὀδόντων.

Λεπίδια ὠὸν καὶ σηπίαν καὶ ἔλαιον μίξας ἀποτρίψας καὶ χλιάνας βάλλε εἰς τὸν πόνον.

πρὸς ἕλμινθας.

Κέρας ἐλάφου ῥινίσας μετὰ οἴνου παλαιοῦ δὸς πιεῖν ἀπὸ λουτροῦ. πρὸς δυσουρίαν.

Κορίανδρον καὶ ἡδύοσμον καὶ ὕδωρ μετὰ μέλιτος ἀποτρίψας δός. πρὸς τραῦμα γλυκύ.

Ἀφόδευμα χοίρου μετ' ἐλαίου καὶ ὄξους δριμέος μίξας, καὶ τὸν τόπον ἐκδείρας μετὰ τρίχινον πανίον ἐπάλειφε.

πρὸς πόνον πλευροῦ.

αλιουρέας ῥίζαν μετὰ οἴνου ἀποτρίψας καὶ δὸς πιεῖν ἀπὸ λουτροῦ. πρὸς ἧπαρ καὶ στόμαχον.

Γλοίην καὶ στάχος, ἀνὰ μιλιαρισίου ἑνὸς μίξας μετὰ οἴνου ἀπὸ λουτροῦ πότισον καὶ ἰᾶται.

πρὸς ὕπνον.

Αἰγὸς κοπρίαν μετὰ χαμαιδρύος πηλὸν ποιήσας ἄλειφε τὸ πρόσωπον.

πρὸς βῆχα.

Ῥαφάνου σπόρον καὶ μάλαθρον μετὰ μέλιτος δὸς πιεῖν.

πρὸς καρδιόπονον.

Γήγανον, καὶ λινόσπερμα καὶ μάραθρον ἐπὶ τὴν καρδίαν.

πρὸς ἕλμινθας.

Ἀψινθάκεια καὶ δαφνόκοκκα καὶ χολὴν ταύρου μίξας ἐπίθες εἰς τὸν ὀμφαλόν.

περὶ αἱμοῤῥοοῦσι.

Χελώνης καύκαλον ὑποκάπνισον.

πρὸς καῦσον.

Ὠὰ ὀπτὰ, σὺν κρόκους καύσας εἰς τηγάνην, καὶ ἀναπλάσας ἄλειφε.

περὶ κνησμονῆς.

Γάρον καὶ θεῖον ἄπυρον καὶ ἔλαιον ἄλειφε καὶ θαυμάσῃς.

πρὸς ἴκτερον.

Χρυσολαχάνου σπόρον καὶ μέλι καὶ κρόκον ταράξας εἰς τὸ κραβάτιον χρίε, καὶ ὠφελεῖ.

περὶ σκωλήκων.

Χαμαιλέοντος τὴν ῥίζαν βάλλε καὶ κνίδους τὰς κορυφὰς λειώσας ἐπίβαλλε.

περὶ βηχός.

Μαράθρων τὰς ῥίζας τρίψας δὸς πιεῖν νήστει ἐπὶ ἡμέρας θ. καὶ θαυμάσῃς.

περὶ κεφαλῆς πλοκάμους.

Μολόχην, καὶ ἐλελίφασκον τὴν ῥίζαν λειώσας ἐπὶ λόγον καὶ βάλλε εἰς ἀγγεῖον μετὰ οἴνου καλοῦ καὶ ἀπὸ λουτροῦ χρίε σοῦ πλοκάμους.

πρὸς ὤτων πόνους.

Τοῦ βάτου ὁ χυλὸς ἐκπιεζόμενος καὶ χλιαινόμενος καὶ ἐνσταζόμενος εἰς τὸ οὖς παύει τὸν πόνον.

περὶ ἰκτέρου.

Χρυσολάχανον κοπανήσας κοχλιάριον ἕν, καὶ μέλι κοχλιάριον ἕν καὶ οἶνον θερμὸν δὸς νήστει. ἄλλο πάνυ καλόν. Εἰς τὸ δεξιὸν ὠτίον τὸ ἐπικείμενον λεπτὴν φλέβα κόψον, καὶ ἐξερχομένου τοῦ αἵματος θαυμάσεις, ἐὰν δὲ πονήσῃ σπλὴν, ποίησον ὁμοίως εἰς τὸ ἀριστερόν.

πρὸς ἡπατικοὺς, σπληνικοὺς, καὶ στομαχικοὺς ἀπαράβατον.

Ἀγνοκόκκια δίδου ἐσθίειν καὶ πίνειν, καὶ οἴνου πρωῒ καὶ ὀψὲ, ἄλλο σελίνου σπόρον καὶ μακεδονησίου. καὶ ἐρεβίνθων καὶ ἀγνόκοκκα πάντα συντρίψας μετὰ οἴνου θερμοῦ δὸς πιεῖν βοήθημα.

πρὸς νεφρικούς.

Εὐζώμου σπέρμα, καρδάμου σπέρμα, ῥαφάνου σπέρμα λειώσας ἔνωσον μετὰ μέλιτος ἀττικοῦ, καὶ δίδου. sr. α. μετὰ οἴνου παλαιοῦ.

Βασιλείου ἰατροῦ τοῦ μελιτινώτου δίαιτα πρὸς βασιλεία νοτάριον τὸν γραμματικὸν σκευασία οἴνου εἰς τὸ ποιῆσαι εὔγνωστον καὶ κόκκινον.

Οἴνου ὡσεὶ μέτρα εἴκοσι, πλήρεις γέμισον πίθον, καὶ ἆρον ἐξ αὐτοῦ. μέτρα β. καὶ βάλλε ἐν χύτρᾳ λιθίνῃ ἐπίβαλλε μελάθρου μιλιάρεια ρ. σελινόσπορον μιλιάρεια ρ. ἄνισον μιλιάρεια ν. μετὰ τούτων δεῖ βράσαι καλῶς καὶ στασελίζειν, καὶ ξεστοῦ ὄντος ἐνστρέφειν ἐν τῷ πίθῳ, εἶτα ἔπαρον τριψίδιον μιλιάρεια ρ. καρυόφυλλον μιλιάρειον ε. κρόκον μιλιάρειον α. μαστίχης μιλιάρεια γ. κύπερον μιλιάρεια ε. ξυλαλόης μιλιάρεια ε. τρίψας ὅλα ὁμοῦ καὶ σείσας ἔμβαλλε ἐν ὀθόνῃ λινῇ, καὶ θὲς μέσον τοῦ πίθου καὶ χρῶ.

Τοῦ αὐτοῦ περὶ ἐνδυναμωμένα στομάχου διὰ τὸ πληθυνθῆναι τὰ φλέγματα ἐν αὐτῷ, καὶ ἀνενέγκαι κεφαλαλγίαν.

Δεῖ σε λαβεῖν ῥοδόμελι καθ' ἑκάστην ἡμέραν μιλιάρεια κ. σελινόσπερμον μιλιάρειον ἕν, ἄνισον μιλιάρειον τὸ S. καὶ ἐπινηστεύειν τὸν μεσημβρινὸν καὶ τότε γεύεσθαι, καὶ γὰρ διὰ τοῦτο ὠρίσαμεν πιεῖν σε οὕτως διὰ τὸ εἶναι τὸ ῥόδον ἐνδυναμοῦντα τὸν στόμαχον, τὸ δὲ μαστίχην θερμαῖνον τὸ μάραθρον καὶ τὸ σέλινον διὰ τὸ ἐὰν εὕρωσιν ἐν τῷ ἥπατι καὶ τῷ σπληνὶ πλῆθος χυμῶν μελανικῶν, αἴρωσι καὶ κατάγωσι διὰ τῶν οὔρων ἀνωδύνως, τὸ ἄνισον διὰ τὸ διώκειν τὰ πνεύματα ἀπὸ τῆς γαστρὸς καὶ ῥωννύειν τὸν στόμαχον, καὶ διὰ τοῦτο ὠρίσαμεν νηστεύειν ἕ. τὸ μεσημβρινὸν, ἵνα μὴ φανῇ ἕτερον νόσημα, καὶ ἀπομείνῃ ἡ δύναμις τῶν βοτανῶν μετὰ δὲ τὸ διαβιβάσαι τὰς ι. ἡμέρας τὴν αὐτὴν ἀκολουθίαν ἀείποτε ποίει μετὰ ῥοδοσάχαρος διὰ τὸ ῥωννύειν τὸν στόμαχον καὶ ζῆν ἀνωδύνως, ὠρίσαμεν δὲ καὶ περὶ τροφῆς δεκάλογον τρόπῳ τοιῷδε.

Διαγωγὴ ἐν κρέοις καὶ νηστείαις.

Τὴν πρώτην ἡμέραν δεῖ σε φαγεῖν ἀμύγδαλα πικρὰ τὸν ἀριθμὸν ι. σὺν ἄρτῳ καὶ οἴνῳ τὸ ἀρκοῦν, τῇ δευτέρᾳ ἡμέρᾳ φάγε μέλι μετὰ ἄρτου καὶ οἴνου τὸ ἀρκοῦν, τῇ τρίτῃ ἡμέρᾳ ἀκρέας ἀμνοῦ ἐνιαυσιαίου μονοπλάτην κοπανήσας καὶ ἑψήσας ὀπτὰ πνεῖ, καὶ τρέφου σὺν οἴνῳ τῷ ἀρκοῦντι καὶ ἄρτῳ καὶ παξαμαδίου, τῇ τετάρτῃ ἡμέρᾳ, ὀρύζην μόνον ἕψει ἐν ὕδατι καὶ τίθου μέλι, καὶ τρέφου μετὰ ἄρτου καὶ οἴνου τὸ ἀρκοῦν, τῇ ε. ἡμέρᾳ ῥοΐδια, καὶ ἀμύγδαλα καὶ σκόροδον, δαύκων καὶ σύκων ἰσχάδων, σταφίδων καὶ μέλιτος ἕψει, καὶ τρέφου μετὰ ἄρτου καὶ οἴνου τοῦ ἀρκοῦντος. τῇ ς. ἡμέρᾳ κρέας ὅμοιον ἐνιαυσιαῖον τίθει ἐν τηγάνῳ μετὰ δαύκων καὶ ἕψει καὶ τρέφου μετὰ ἄρτου καὶ οἴνου τὸ ἀρκοῦν, διὰ τὸ τὴν δύναμιν τῶν ῥοιῶν σβέσαι. ψυχραὶ γὰρ ὄντως εἰσὶν, καὶ διὰ τοῦτο ὠρίσθησαν αἱ ῥοιαὶ πρὸς ψυχρασίαν δηλονότι τῶν προωρισθέντων ἔμπροσθεν εἰς τὰς ε. ἡμέρας. θερμὰ γὰρ ὄντως, τῇ ἑβδόμῃ ἡμέρᾳ κρέας κοπανιστὸν μετὰ ἐρεβίνθων, καὶ ἀρτυμάτων ἕψει, τρέφου τὸ ἀρκοῦν, τῇ ὀγδόῃ ἡμέρᾳ κρέας σὺν μέλιτι καὶ ὀξεῖ συνάδων ἀμυγδάλων καρύων ποντικῶν, κρόκου, δαύκου σταφίδων σὺν ἑτέροις κρέασι κοπανιστοῖς ἕψει μετὰ μέλιτος ἱκανοῦ καὶ τρέφου σὺν οἴνῳ τὸ ἀρκοῦν, τῇ ι. ἡμέρᾳ ἐν κρέοις καὶ ἐν νηστείαις ῥοὸς κόκκον ὁμοίως τοῖς προειρημένοις ἕψει καὶ τρέφου σὺν οἴνῳ τὸ ἀρκοῦν, αὕτη ἐστὶν ἡ δίαιτα τῶν τροφῶν, ἐν τῇ ὥρᾳ τοῦ δείπνου ἀεὶ χρῶ ἡδυοσμόμελι, διὰ τὸ τὰς τροφὰς χωνεύειν, καὶ οὐκ ἐὰν πληθυνθῶσι φλέγμα ἐν τῷ στομάχῳ καὶ ὅσα ὑγιὴς μένῃς μηκέτι φλεβοτόμει ἄνευ πάθους. ὅταν δέ σοι συμβῇ νόσημα περὶ τὴν κεφαλὴν, φλεβο

λὴν, φλεβοτόμησον τὴν κρανιακὴν φλέβα, καὶ ἔμβαλε ὅσον μιλιαρεία ī. συνουσίαζε δὲ τὸν χρόνον δίς, τὸν ἀπρίλλον μῆνα καὶ τὸν σεπτέμβριον ποιῶν ἀρχὴν ἡμέρας γ̄. ἔμπροσθεν, καὶ ὄπισθεν, πίνειν καὶ βοήθημα τὸν χρόνον δὶς τοῖς προειρημένοις μησὶ, καὶ κωδείας χρῶ διὰ τὸν ὕπνον· δεῖ σε ἀπέχεσθαι τῶν συνουσιῶν, εἰ δὲ βούλει ἅπαξ τὴν ἑβδομάδα μετὰ τὸ διαβῆναι τὸ μεσόνυκτον, τὸν δὲ ἰούλιον μῆνα, καὶ τὸν αὔγουστον δεῖ σε ἐμεῖν ἡμέρας β̄. ἄμφω διὰ τὸ εἰς μίαν ἡμέραν ὁ στόμαχος κάθαρσιν οὐ λαμβάνει, ὅταν δὲ ἐμεῖς, βλέπε μήποτε πίεις ὕδωρ, ἢ ἔμπροσθεν, ἢ ὄπισθεν, ὅταν δὲ ἐμεῖς τοὺς ὀφθαλμοὺς σκέπασον καὶ δῆσον, καὶ ἱστάμενος ἔμει ἐν ὑψηλῷ τόπῳ, ἢ ἐν ποταμῷ. μετὰ τὸ ἐμέσαι εἰ διψεῖς πίε ζουλάβιν, καὶ ἀποκοιμήθητι, δεῖ σε λούεσθαι τὸν ἀπρίλλον μῆνα, μέχρι καὶ ὅλου τοῦ νοεμβρίου μηνός, καὶ τοὺς ἀπηγορευμένους μῆνας ἀπέχου τὸ λούεσθαι, ὅταν δὲ λούεσθαι τὴν ἑβδομάδα ἅπαξ ἀεὶ δὲ ποτε νῆστις λούου, καὶ ἐὰν διψῇς πίε εὔκρατον ὕδωρ, καὶ μετὰ τὸ ἐξελθεῖν ἄλειφε τὴν κεφαλὴν ἔλαιον, ἢ γάλα γυναικεῖον θηλυτρόφου, τοὺς δὲ πόδας κατάνυκτα ἄντλει θερμῷ ὕδατι σὺν πιτύροις.

περὶ κεφαλαλγίας.

Αμύγδαλα λι. γ̄. ῥόδον κολοκυνθίδος λι. ᾱ. ἔκβαλον τὸ ἔλαιον τῶν ἀμφοτέρων, καὶ ἄλειφε τὴν κορυφὴν, καὶ τοὺς μυκτῆρας, τὰς χεῖρας καὶ τοὺς πόδας.

πρὸς βοήθειαν οἴνου.

Επαρον κυδώνια ὥριμα καὶ γλυκέα, καὶ καθαρὰ, καὶ ἆρον τὸν ζωμὸν καὶ ἔγχει τῷ οἴνῳ.

Αλειμμα δόκιμον πρὸς ἀρμοπονίαν καὶ πρίσμα χειρῶν καὶ ποδῶν καὶ ἀποφθορὰς καὶ ἀπόκαυσιν χειμῶνος καὶ ἀνέμου καπουλίων χειρῶν τε καὶ ποδῶν λεγομένων σαρακινισὴ τλευ*. ἡ σκευασία αὕτη.

Επαρον ἀξούγγιον χηνὸς μοίρας β̄. μυελὸν ἐλάφων ἐκ τῶν ἀστζῶν, καὶ μαρατασάγκην ταπαρὴν καὶ μέλι ἄκαπνον ὑλιστὸν, καὶ τίθου ἐν πετρίνῳ τηγάνῳ καὶ βράσον, ὥστε λυθῆναι τὰ ῥηθέντα ἀλείμματα, καὶ θερμοῦ ὄντος ἔμβαλλε τὸ μαρτασάγκην, καὶ ὅταν ψυχρανθῇ τελείως βάλε τὸ μέλι καὶ μάλαξον καλῶς δίκην μαλάγματος καὶ ἄλειφε ἐν πυρὶ, ἢ ἐν κλιβάνῳ, καὶ τρῖψον καλῶς, ἄλειφε δὲ ἕως ὅτι ἀπέλθῃ ὁ πόνος.

περὶ αἰγίλωπος.

Χολὴν βοὸς, καὶ ὑγρόπισσον, καὶ ὄξος ἑνώσας ποίει ἔμπλαστρον καὶ ἐπίθες, ἢ πηγάνου φύλλα μετὰ χοιρυγίου ἐπίθες εἰς τὰς ὀπάς.

πρὸς τραύματα ἀνίατα.

Αειρεπανίου ῥίζαν βάλλε μετ' οἴνου γλυκέος καὶ δὸς πιεῖν τῷ κάμνοντι.

περὶ πνευμονίας.

Τεύψον πεπερικόκκους ιε̄. καὶ ἅλας ὁμοίως βάλλε ἄπλυτον, καὶ τέφρην, καὶ ἑνώσας, μετὰ ἀποδεύματος ὀρνιθίου ξανθοῦ σὺν ἐλαίῳ ἄλειφε, ἢ δαύκου σπέρμα, καὶ μελάνθιον καὶ πράσον λειώσας πότισον.

πρὸς ἀσφαλκίας.

Λαβὼν χαμαίδρυον, καὶ κειβάλευρον, καὶ ζυμώσας ταῦτα μέλιτι ἐπίχεε καὶ κατάπλαττε.

πρὸς πόνον κοιλίας καὶ στομάχου.

Βάλλε δενδρολίβανον εἰς τζουκάλιον μετὰ οἴνου παλαιοῦ καὶ ἀποτριτώσας ἐν λουτρῷ πότισον, ἢ ἔλαιον καὶ οἶνον ὁμοίως ποίησον καὶ πότισον ἐν λουτρῷ χλιαρόν.

πρὸς στομαχίας.

Κύμινον καὶ κινάμωμον κοπανήσας ἀμφότερα, καὶ βαλὼν σμύρναν, καὶ μαστίχην, καὶ βλυσκὸν ἢ ὀλίγον, καὶ ἑψήσας καὶ προσμίξας δὸς πιεῖν, ἢ ἡδυόσμου κλῶνας γ̄. καὶ ῥόδιον καὶ φοινίκια πότισον.

πρὸς ἀδυναμίαν γονάτων.

Φρύγε ὕδωρ καὶ βράσον λινόσπερμα μετὰ μέλιτος καὶ κατάπλασον εἰς τὴν καρδίαν.

πρὸς πόνον πλευροῦ.

Κύμινον καὶ σίτινον ἄλευρον, καὶ οἶνον παλαιὸν ποίησον κατάπλασμα καὶ τίθει ἐπάνω τῆς καρδίας.

πρὸς σπληνικούς.

Κράμβης φύλλα, καὶ ἀμμωνιακὸν καὶ ὄξος δριμὺ τρίψον καὶ μίξας ἐπίχεε τὸν τόπον ἡμέρας γ̄. ἢ πλατάνου φύλλα ἕψησον μεθ' ὕδατος, ἕως οὗ ἀποτριτωθῇ, καὶ πότισον, ἢ κραμβίου φύλλα, φλόγησον ἐν πυρὶ καὶ λειώσας μετὰ οἴνου πότισον.

πρὸς αἱμόρροιαν γυναικός.

Ταύρου κέρατα ξυόμενα καὶ μετὰ ὕδατος πινόμενα, αἱμορροίας ἰᾶται, ἢ λουλάκην, καὶ κραμβόσπορα καὶ σαμμωνίας ἑνώσας τὰ τρία δὸς πιεῖν.

πρὸς βιβιασμούς.

Κνικίδας τετριμμένας καὶ ῥόδου ἄνθη, ἢ τὰ σίδια μετ' οἴνου ἀποτριτώσας δὸς πιεῖν. ἢ τῆλιν ἑψήσας μετὰ μέλιτος δὸς πιεῖν τὸν ζωμόν.

πρὸς κοιλιακούς.

Βάλλε καρδαμοσπόρον εἰς καινὸν τζουκάλιον ἕως ἑψηθῇ, καὶ λαβὼν ὠὸν ἔκζεσον χωρὶς, καὶ ἐκλέπισον καὶ ἔπαρον τὸ ἄσπρον αὐτοῦ χωρὶς, καὶ κόψον αὐτὸ λεπτῶς, καὶ ἔμβαλον τῷ ἑψηθέντι καρδαμοσπόρῳ, καὶ βρασάτωσαν μίαν, καὶ εἰ θέλει ὁ νοσῶν, ἂς φάγει αὐτὸ, εἰ δὲ οὐχὶ ἂς γένηται ὕδωρ καὶ ἂς πίει αὐτὸ, ἢ ταύρου νεφρῶν φρίξας πότισον, ἢ τυρὸν παλαιὸν ὀξύσας μετ' ὄξους δριμέος δὸς φαγεῖν νῆστει.

πρὸς δυσουρίαν.

Γαγούρην ποτάμιον κοπανήσας, καὶ εἰς πανίον ἀποπιάσας δὸς πιεῖν, ἢ μαλάθρων ῥίζας ἀποτριτώσας δὸς πιεῖν τῷ πάσχοντι.

πρὸς ἀζωχάδας.

Ἄσβεστον, καὶ ἀρσενικὴν νέον ἑνώσας ἐπίθες.

πρὸς ἁρμοπονίας.

Κενταύρειον, καὶ σκορπίδιον καὶ ὄξος βραχὺ ἄλειφε τὸν τόπον, ἢ βάλλε σίνηπι, καὶ ἰσχάδας καὶ κυπάνησον καὶ ἐπίπλασον ἐν λουτρῷ.

πρὸς πόνον γονάτων.

Μαλάχην καὶ κελιδάλειον, καὶ λινόσπορον κυπανήσας καὶ τηγανήσας μετ' ἐλαίου ἐπίθες τῷ τόπῳ.

πρὸς κλάσμα ὀστέων.

Λαβὼν πίσσαν, καὶ κόνιν τοῦ λιβάνου, καὶ φοινίκια, καὶ ἄνθος μαλάχης καὶ τοῦ ὠοῦ τὸ λευκὸν ἐπίθες καὶ ἐπάνω στυπία, καὶ καλάμωσον καὶ φασκίωσον καὶ ἰᾶται.

Ἄλλο περὶ τεταρταίου.

Χαμαίδρυον ἑψήσας μετ' οἴνου παλαιοῦ δὸς πιεῖν τρίτον. πρὸς δῆγμα σκορπίου.

Ὄστεον πυρωθὲν ἐπίθες, ἢ πηδρύγιον μετὰ μέλιτος δὸς πιεῖν, ἢ κύψας οἷον λίθον πιάσῃς ἐπίθες.

πρὸς φαρμακείας.

Καρίδιον καὶ πλατυκύμινον, καὶ ζωχίου ῥίζαν ἀποτριτώσας δὸς πιεῖν μετ' οἴνου παλαιοῦ καὶ φορείτω καὶ γλαυκῶν ὀστᾶ, καὶ γὰρ καπνιζόμενα δαίμονας διώκει.

Εἰς σύλληψιν γυναικός.

Λαγωοῦ μήτραν φρύξας καὶ λειώσας πότισον συνεχῶς ἐχέτω δὲ καὶ τὸ αἷμα αὐτοῦ, ἢ ἀλώπεκος κόπρον μίξας μετὰ βοΐνου ἀλείματος ἄλειφε τὸ αἰδοῖον τῆς γυναικὸς ὁμοίως καὶ τοῦ ἀνδρός.

περὶ τεθνηκότος ἐμβρύου ἐν τῇ μήτρᾳ.

Γάλα γυναικεῖον μετὰ μέλιτος καὶ ῥίζας ἀμαράντου δὸς πιεῖν καὶ ἐξέρχεται.

Εἰς τὸ πλεονάσαι γάλα.

Μάραθρον, καὶ ἄνηθον μετὰ μέλιτος ἑψήσας καὶ οἴνου χρίε καθημέραν τοὺς μαστούς, καὶ ποιεῖ γάλα ἡ γυνή.

πρὸς ὑστέρας.

Ὀρνίθην σφάξας, καὶ καρδίον τυλίξας πανὶῳ λινοῦ, καὶ βάλλε ἔσωθεν τῆς ὄρνιθος καὶ ἄς ἑψηθῇ καὶ δὸς πιεῖν τὸν ζωμόν, ῥάψον δὲ τὴν ὄρνιν, ἢ ὄψιν ψωμίου καὶ μαννοτάρην ἀληθινόν, καὶ καρίδιον καύσας δὸς πιεῖν.

περὶ ἐνουρούντων.

Κόψαι γύλαν ἀλέκτορος καθὼς ἐστὶ μετὰ τοῦ λάρυγγος καὶ καύσας καὶ ψίψας καλῶς μετ' οἴνου παλαιοῦ δὸς πιεῖν.

περὶ ἐν δυναμώσεως αἰδοίου.

Ῥεπαπόσπορον τρίψας ἐν ῥίνῃ μετὰ μέλιτος, καὶ τίθου εἰς ῥάκος καὶ τύλιξον τὸ αἰδοῖον.

πρὸς λεπριῶντας ὄνυχας.

Σινάπιν καὶ ἡδύοσμον ἕψει μετ' ὄξους καὶ τίθει. εἰς πρίσματα.

Ὕδωρ θαλάσσιον, βρύον θαλάσσης ἐκζέσας καὶ ὑποπιάσας ἐπίθες.

περὶ ποδαλγίας.

Σμύρναν λεγομένην μούρ.. καὶ ψήλεον, ἤτοι φυζερκατουῦ μιστρὶν μετ' ὄξους, ἄλειφε τοὺς πόδας.

περὶ ἐν δυναμώσεως στομάχου.

Ξυλαλόην καὶ ἄκαρον κύπερον καὶ μαστίχην, λιβάνον μελάνθιον μάλαθρον καὶ ἀπάντως, ψίψον λίαν καὶ ἑνώσον μεθ' ὕδατος ῥοιᾶς καὶ μέλιτος ἀκάπνου δίδου νήστει.

περὶ πτύσεως.

Ἀροστέχον τοῦ ζουφᾶ, ἤτοι τοῦ ὑσσώπου, ὅπερ ὠφελεῖ εἰς τὸν βῆχα, καὶ τὴν στένωσιν, καὶ εἰς τὸν πόνον τοῦ στήθους ἡ σκευασία. Μανουσιάκων στ. β. οὐνάπια, ἤτοι ξυύτζιφα κ. ζεπιστάνια, ἤτοι μιξία κ. συκάδια αστρ. γλυκέα ιε. ἤτοι γλυκορίζην μεσότριπτον στ. α. χαχάσιν κυπανησμένον, ἤτοι κωδίαν στ. ε. παρησαυσά, ἤτοι πολύτριχον στ. β. ἀνησούγι, ἤτοι γλυκάνισον στ. β. τόλμη καρδαμὸς ἤτοι σελινόσπορμον στ. β. σταφίδας, κόκκια καλὰ λογαρικῆς ς. ζουφάν, ἤτοι ὕσσωπον στ. γ. ῥαζανόν, ἤτοι μαλαθρόσπορον στ. β. σταφίδας κόκκινα, τὰ ἀμφότερα ἀναμίξας πλύνον, καὶ ἀμοχάσων μεθ' ὕδατος κρύου ἡμέραν α. καὶ τὸ πρωΐ. ἵν' ἑψηθοῦν μετὰ τοῦ ῥηθέντος δηλονότι λογαρικὸν ιο. δ. καὶ νὰ ἑψηθῇ ἕως γένηται τὸ ὕδωρ λογαρικὴ ας. καὶ τὸ τηνασακελιαθῆ, καὶ ἵνα κατασταθείη μὴ ἔχειν ὕλην, καὶ ἔπειτα βάλλε σάκχαρ λογαρικὴν α. ἵνα γένηται ζουλάπιν, καὶ καθ' ἑκάστην ἡμέραν α. πίει δὲ αὐτοῦ ἕως ἡμέρας η. ἐπίσταξον ἀμυγδαλέλαιον.

περὶ χολεμεσίας.

Τοῖς χολὴν ἐμοῦσιν κατάπλασμα προσοιστέον διὰ φοινίκων, συκιδίων, κικίδων ἑψημένων ἐν οἴνῳ, ἢ ὀξυκράτῳ συνελεομένων ἄρτῳ. καὶ ἀκακίας δέ, καὶ ὑποκυστίς, καὶ βαλαυστίων καὶ ῥοῦς συμπλεκέσθω τῷ καταπλάσματι, καὶ σικύα δὲ προσβαλλομένη μεγάλη ὠφελεῖ μετὰ φλογὸς πολλῆς. τὴν δὲ τροφὴν πολλάκις κατὰ βραχὺ διδόσθω. ἐπὶ δὲ τῶν χολὴν μέλαιναν ἐμούντων καὶ φυσωμένων τὸν στόμαχον σπόγγους ὄξει δριμυτάτῳ θερμῷ βεβρεγμένους ἐντίθει. ἢ κισσοῦ φύλλοις ἑφθοῖς ἐν οἴνῳ κατάπλασσε.

περὶ λυγμοῦ.

Λυγμὸς γίνεται ἤτοι διὰ πλήρωσιν, ἢ διὰ κένωσιν, ἢ δριμέων χυμῶν δακνόντων τὸν στόμαχον, ὧν ἐμεθέντων παύεται, πολλοὶ δὲ καὶ τὸ διὰ τριῶν πεπέρεων λαβόντες εὐθέως ἂν ἐπιπίνωσιν οἶνον λύζουσιν. ὅτι δὲ καὶ διαφθείροντές τινες λύζουσιν ἔμετον μὲν ἐμέσαντες ἂν εὕρησομεν αὐτάρκες ἴαμα τῶν διὰ πλῆθος. ἢ δῆξιν λυζόντων. θερμασίαν δὲ τῶν διὰ ψύξιν. ὅταν δὲ ὑπὸ πληρώσεως ὑγρῶν γένηται λυγμός. βιαίας δεῖται κενώσεως. ὑπὸ δὲ

ὁ πταρμὸς

ὁ πταρμὸς ἐργάζεται. τοὺς δ' ἐπὶ κνηώσει λυγμοὺς οὐκ ἰᾶται πταρμός, διδόναι δὲ τοῖς λύζουσιν τήγανον μετ' οἴνου. ἢ νίτρου ἐν μελικράτῳ, ἢ σέσελι ἢ δαῦκον ἢ κύμινον. ἢ ζιγγίβερ. ἢ καλαμίνθην. ἢ νάρδον κελτικήν. ταῦτα τῶν ἐπὶ διαφθορᾷ σιτίων, ἢ ἐπὶ ψύξεσιν, ἢ ἐπὶ πληρώσει βοηθήματα. τοῖς δὲ ὑπὸ πλήθους λύζουσιν ἐπὶ ψυχροῖς ἢ γλίσχροις χυμοῖς. καστόρειον δίδου πίνειν διὰ ὀξυκράτου. καὶ κατὰ τοῦ δέρματος δὲ ἐπιτιθέμενον ὠφελεῖ. ἅμα συκιωνίῳ παλαιῷ ἐλαίῳ. ἁρμόζει καὶ τὸ σκιλλιτικὸν ὄξος. ἢ ὀξύμελι πινόμενον, καὶ κατοχὴ πνεύματος μεγάλως ὀνίνησι.

πρὸς πρίσματα ποδῶν καὶ ῥαγάδας καὶ πτέρνας.

Μελιτάειν ἤτοι σινωπίδα, καὶ κιμωλίαν τὸ ἴσον μετὰ χυλοῦ ἀγριοσύκης χρίε. ἄλλο. Κισσὸν καὶ καλαμίνθην καὶ ἅλας δασεῖαν ἑψήσας ὕδατι καλῶς νίπτε τοὺς πόδας ἅπαξ καὶ δὶς καὶ ἀπαρτίσκονται. ἄλλο. Ποιήσας ἅλμην δασεῖαν μετὰ θερμοῦ ἄντλει τοὺς πόδας καὶ τὰς πτέρνας, καὶ τρίτον, ἅλας καὶ κύμινον καὶ ἐμβαλὼν ἔλαιον ἀνάλαβε. καὶ περιαλείψας τοὺς πόδας κατάχειζον καλῶς. καὶ διὰ τῶν ἀδήλων πόρων διέρχεται ἡ ὕλη.

πρὸς ποδαλγίαν.

Αειζώου τὸν χυλὸν ἕψει καλῶς καὶ χρῶ. ἄλλο. Οἴνου χυλὸν μίξας ὀνίῳ γάλακτι καὶ γλυκεῖ οἴνῳ κατάχειε. ἄλλο. Φωκῆς δέρμα, ἢ λέοντος ἢ λύκου ἢ ἀλώπεκος, ἐάν τις ἐργάζηται, καὶ φορεῖ ὑποδήματα, οὐκ ἀλγήσει τοὺς πόδας. ἄλλο. Νυκτερίδας πάσας ἕψει ἐν ὕδατι ὀμβρίμῳ ὥσει γ'. εἶθ' οὕτως ἐν αὐτῷ τῷ ὕδατι βάλλε λινόσπερμον τριπτὸν γο. δ'. εἶθ' ᾠὰ ὠμὰ γ'. καὶ ἐλαίου κύαθον, βόειαν κόπρον γο. δ'. κηροῦ γο. δ'. ἑνώσας ἀμφότερα καὶ μαλάξας χρῶ εἰς κοίτην ἅπαξ καὶ δίς.

Γαληνοῦ σκευασία σκιλλητικοῦ ὄξους.

Υγιεινὸν κάλλιστον τὸ περὶ σκίλλης πυθαγόρα γραφὲν ὡς πᾶς μὲν αὐτοκράτως κέχρηται, λέγεται δὲ παρὰ τοῦ δεδωκότος ὅτι μακροβίους ποιεῖ, τοὺς τοῦτον λαμβάνοντας καὶ τὰ ἄκρα ἄρτια ὑπάρχει ἕως τέλους. καὶ αὐτὸς μὲν ὁ σάμιος γέρων, οὐκ ἀγνοεῖς γὰρ ὅσον χρόνον περιεκόψεν, μέμνηται ἐν τῷ συντάγματι, ὡς τῷ κατ' αὐτὸν γένει μεταδεδωκὼς τὴν δύναμιν. ὅταν δὲ ἤρξατο τούτῳ χρῆσθαι, πεντηκονταετὴς ὑπῆρχεν. καὶ ἐβίωσεν εἰς ἑπτὰ καὶ δέκατον, καὶ ἑκατοστὸν ἔτος. ἄρτιος, καὶ ἄνοσος διατελέσας, καὶ ταῦτα μὲν ὁ πατὴρ τοῦ φαρμάκου. καὶ τάχ' ἀνὴρ φιλόσοφος, καὶ ψεύσασθαι μὴ δυνάμενος, ἡμεῖς δὲ διὰ τοῦ ἀνδρὸς πίστεως πεῖραν ἐπιθέντες, βεβαίαν καὶ ἀδιάπτωτον τὴν δύναμιν ἐπιφαίνομεν. χρὴ τοίνυν λαβόντα σκίλλαν ὀρεινὴν λι. α'. περιελεῖν τὰ σκληρά, καὶ κατατεμεῖν τὰ ἁπαλά, καὶ βαλεῖν ὄξους δριμυτάτου. ξέστας η'. εἰς ἀγγεῖον ὑέλινον. εἶθ' οὕτως καταδύσας ἔασον ἀποβρέχεσθαι ἐν τοῖς τοῦ ἀπὸ κυνὸς καύμασιν ἡμέρας. λ'. εἶτα ἐξελὼν τὴν σκίλλαν. καὶ ἀποπιάσας, ἐκ τούτου δεῖ τὸ πρωῒ μικρὸν καταῤῥοφεῖν. συμβήσεται δέ σοι τὰ περὶ τὸν φάρυγγα ἢ τὸ στόμα μηδέποτε μαλακισθῆναι. καὶ τὰ περὶ τὸ στόμα τῆς κοιλίας ὑγιαίνειν. ἔμπνους τε ὑπάρξεις. καὶ τὰ περὶ τῆς φωνῆς εὐεκτεῖν. σπουδαῖον καὶ τὰ περὶ ὄμματα ὀξυδερκέστατον, καὶ περὶ τὴν ἀκοὴν ὀξύηκοον. οὐδὲν γὰρ πνεῦμα ἐν κοιλίᾳ ποτὲ συστήσεταί σοι. οὔτε σπλάγχνον μετέωρον ἕξεις. εὔπνους τε καὶ εὔχρους διαμένῃς. καὶ πρὸς τὰ ἀσεῖα πάντοτε εὖ διακείμενος. οὐκ ὀξυρεγμίσῃς οὐ λύξῃς ἀλυκῶς. ἐὰν πᾶς τίς τι δῶς ἐξ αὐτοῦ. καὶ κελεύομεν μετὰ τὸ ῥοφῆσαι τοῦτον νηστικὸν ὄντα κινεῖσθαι σταδίους ζ'. καὶ διαλυθήσεται. ὁ δὲ τούτῳ χρώμενος περὶ τὴν δίαιταν παῤῥησίαν ἀγέτω ἥν τινα βούλεται, πάντα γὰρ κατεργάζεται ταῦτα. ὡς ἀπὸ μηδενὸς βλαβῆναι ποτέ, μήτε εἰς πλησμονὴν ἐλθόντα. μήτ' ἐφ' ᾧ δοκοῦμεν συμφέρειν. περιουσίαν γ' οὐδὲν καταλειφθήσεται ἐν τῷ σώματι οὐ πνεῦμα. οὐ χολή. οὐ σκύβαλον, οὐκ οὖρον. ἀλλὰ πάντα εὐέκκριτα καὶ εὐανάγωγα ποιεῖ. κοιλία διὰ παντὸς εὔλυτός ἐστι. καθάρσιον δὲ τοῦ σώματος τὸ βοήθημα. κἂν ἐν τοῖς ὀστέοις ἡ ῥυπαρία. φθισικοὺς τε τοὺς ἐκ πάντων ἀπηγορευομένους ἀπὸ τοῦ φαρμάκου τούτου θεραπευθέντας εἴδομεν. ἐπιληψίας τὰς μακρὰς ὤνησεν ἱκανῶς. ὥστε ἀπὸ διαλειμμάτων χρόνου πολλοῦ γίνεσθαι. τὰς δὲ ἀρχομένας καὶ νέας εἰς τέλος ἰᾶται. καὶ τὸ πάθος γίνεσθαι οὐκ ἐᾷ ποδάγρας τε καὶ ἀρθρίτιδας. καὶ σκληρίας ἥπατος καὶ σπληνὸς ἐθεράπευσε. καὶ αἱ μὲν κατὰ μέρος ἐνέργειαι αὗται. αἱ δὲ κοιναὶ καὶ πλεῖσται. καὶ ὑφ' ὧν κινηθέντες ἐκδεδώκαμέν σοι τὸ ὑγιεινὸν φάρμακον τῆς ὑγείας καὶ ἀρτιότητος ἕνεκα ἀπολείπεται.

Γαληνοῦ σκευασία οἴνου τοῦ σκιλλιτικοῦ.

Οὗτος ὁ οἶνος πινόμενος, πάσης ὑγείας ἐστὶ παρεκτικός. λεπτύνει γὰρ τοὺς χυμούς, καὶ ἐξαιρέτως τὸ φλέγμα, καὶ οὐκ ἐᾷ συστῆναι ἐν τῷ στομάχῳ ἢ ἐν τῇ κοιλίᾳ. ἢ ἐν κεφαλῇ ἢ ἥπατι, ἢ σπληνί. ἢ νεφροῖς. ἢ ὀστέοις. ἢ τι τοιοῦτον γλίσχρον χυμὸν καὶ ποιοῦντα τὰς ἐμφράξεις. ἀλλὰ πάντα λύει καὶ γαστέρα μαλάσσει. καὶ οὕτως ὑπάγει καὶ οὖρα κινεῖ. καὶ διὰ αὐτῆς τὰς αἰτίας λεπτομερεῖ, καὶ ἐκκρίνει. οὕτως δὲ καθαίρει κεφαλήν, ὡς μηδὲ τοὺς μυξοτῆρας ὑγρότητα ἔχειν. πεποίηται δὲ ποδαγρικοῖς ἀρθριτικοῖς ἐπιληπτικοῖς. οὕτως γὰρ πάσης ὑγείας ἐστὶ περιποιητικός. ἔχει δὲ οὕτω, λαβὼν σκίλλαν ἐξ ὀρέων λευκὴν περὶ τὴν κυνὸς ἐπιτολὴν λι. α'. διάψυξον ἐν σκιᾷ ἡμέρας ι'. καὶ διεμβαλλὼν λας εἰς ὕελον τὰ φύλλα τὰ διαψυχθέντα τῆς σκίλλης. βάλλε οἴνου λευκοῦ παλαιοῦ ξέστας. ιβ'. καὶ κρεμάσας ἡμέρας μ'. ἔπαγον τὴν σκίλλαν ἐκ τοῦ οἴνου. καὶ ῥίψον, καὶ τὸν οἶνον χρῶ πρὸς τὰ ἐπαγγελθέντα. καὶ εὑρήσεις αὐτοῦ τὴν δύναμιν χρώμενος ἑκάστοτε πρὸ σιτίων ἐκ τοῦ οἴνου γο. β'. εἰ δ' ἀπὸ κοίτης. γο. ϛ'. εἰ δὲ βούλει πρὸς πόμα αὐτὸ ποιῆσαι διὰ τὴν ἀδήκτητα πρὸς μίξον καὶ μέλιτος ξέστας δύο. ἢ γ'.

Ἀποφλεγματισμός, ἀνασπῶν ἐκ τοῦ στομάχου φλέγμα ἐσθιόμενος.
ἀπὸ δὲ τῆς κεφαλῆς ἀναγαργαριζόμενος.

Ὀριγάνου. κόμεως. ὑσσώπου. σαμψύχου. γλήχωνος. θύμου. ταῦτα ἕψει μετὰ γλυκέως. sr. γ'. ἕως οὗ γένηται α'. καὶ δίδου ἀναγαργαρίζεσθαι. ἐκτινάσσει γὰρ καὶ τὰ ἐν τῷ πνεύμονι ἐσθιόμενος. ποιεῖ δὲ τοῦτο ἐπὶ ἡμέρας. πεπείραται γάρ.

πρὸς δυσουροῦντας. καὶ μὴ δυνάμενον οὐρῆσαι.

Κόριδας ἀπὸ κλίνης, λειώσας κατάχριε τὸν οὐρητῆρα καὶ εὐθέως οὐρήσει. τοῦτο δὲ καὶ παιδίοις μὴ δυναμένοις οὐρῆσαι ποιεῖ.

πρὸς λιθιῶντας καὶ διουρητικὸν δόκιμον.

Δ αφνίδων, καὶ πεπέρεως ἴσα κόψας, καὶ σήσας μετὰ ὑδρομέλιτος μέτρον α. δίδου. ἑκάστῳ δὲ τὸ ὑδρόμελι θερμόν.

Αλλο θρύπτον λίθους καὶ παρασκευάζον οὐρεῖν ἄνδρας καὶ γυναῖκας.

Δ άφνης φλοιὸν ἀναζέσας ὕδατι συμμέτρῳ. καὶ δίδου ἐκ τούτου ῥοφᾶν. ἐνεργεῖ γὰρ λίαν.

πρὸς αἷμα οὐροῦντας.

* Ζιγγιβέρεως ς. β. κραμβίου σπέρμα ς. δ. μήκωνος ς. α. χλίον ἀναλαβὼν ποίει καταπότια καὶ δίδου τῷ πάσχοντι.

Οὐρητικὸν στραγγουριῶσιν.

Θ ύμου μαράθρου ἐξ ἴσου κόψας ἐν εὐκράτῳ θερμῷ δὸς πιεῖν.

πρὸς πόνον οὐρητῆρος. καὶ δυσουρίαν καὶ δυσπνοίαν. καὶ οὐροῦντας αἷμα καὶ λιθιῶντας.

Α σάρου, μύσιος, νάρδου κελτικῆς ἴσα ἀναλάμβανε μέλιτι ἀττικῷ ἀπαφρισμένῳ, καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος, εὐρουστεῖν γὰρ ποιεῖ καὶ πρεσβύτας. τοὺς ξηρὰν ἔχοντας ῥῦσιν. καὶ εὐτονωτέραν ποιεῖ.

πρὸς ἐνουροῦντας.

Ρ ίζαν κρίνου δὸς πιεῖν προαναζέσας. ἢ ὑοσκυάμου χυλόν. ἢ καρπὸν μετὰ οἰνογάλακτος φυράσας ἔμβαλλε εἰς δέρμα ἐλάφου καὶ περίαπτε τὸν δεξιὸν μηρὸν καὶ θαυμάσεις. ἄλλο. συάγρου ὄνυχας ὀπτήσας μετ᾿ οἴνου πότισον. ἢ ἀλέκτορος ὄρχιν ὀπτήσας δὸς φαγεῖν.

πρὸς ἐνουροῦντας.

Κ οχλίον καύσας μετὰ τοῦ ὀστράκου καὶ λειώσας δίδου πιεῖν μετὰ οἴνου εἰς κοίτην.

Εἰς δυσουρίαν καὶ λιθίασιν.

Λ ινοσπέρμου. πεπέρεως. πετροσελίνου κόψας καὶ σήσας μετὰ κονδίτου λάμβανε κοχλιάριον α.

Λίθων θρυπτικὸν δόκιμον.

Σ κορπίδια θαλάσσια τρία μικρὰ καύσας ὁλόκληρα τὴν τέφραν πότιζε μετὰ κονδίτου.

Ες τὸ στῆσαι κοιλίαν.

Ρ οῦ μετὰ οἴνου καὶ ὀρίζης ἑψήσας καὶ ἀκριβῶς τρίψας ἐσθίε. ἢ τράγου ἧπαρ ἑψήσας μετὰ οἴνου αὐστηροῦ δὸς πιεῖν ἢ κυνίδια καύσας λείωσον καλῶς καὶ μίξας στέαρ χοίρειον καὶ τηγανίσας μετὰ ὄξους δὸς φαγεῖν τῷ πάσχοντι. Πεπέρεως ς. α. θερμίνου ἀλεύρου. ἤτοι λουπουναρίου. ∠ γ. καὶ μέλιτος κοχλιάριον α. τὸ κινεῖν ἱδρῶτας καὶ ἀφαιρεῖν πυρετοὺς κάχρυος σπέρμα μετ᾿ ἐλαίου συγχριόμενον. ἢ πύρεθρον μετ᾿ ἐλαίου θερμανθὲν καὶ ἐπιχρισθὲν μετὰ μιᾶς ὥρας τῆς ἐπισημασίας.

πρὸς κυνοδήκτους.

Κ νίδης σπέρμα καταπλασσόμενος. ἢ πρασίας μελαίνης τὰ φύλλα καταπλασσόμενα. ἢ μελισσόφυλλον σὺν οἴνῳ πινόμενον. ὁ τοῖς δήγμασιν ἐπιτιθέμενον. ἢ σκόροδα καταπλαττόμενα καὶ ὀπτὰ ἐσθιόμενα. καὶ πινόμενα.

πρὸς λυσσοδήκτους.

Κ υνοδήκτων τοῖς τραύμασι κράμβης φύλλα λεῖα μετὰ σιλφίου καὶ ὄξους ἐπιτιθέσθω, καθ᾿ ἑαυτὴν γὰρ λυττῶντος κυνὸς δῆγμα ὠφελεῖ. καὶ τὸ ἀφέψημα αὐτῆς πινόμενον. ἑφθὴ δὲ κράμβη προτρωγομένη. φθισικοὺς θεραπεύει. καὶ τὰς περὶ ἀρτηρίαν διαθέσεις ἰᾶται. λειοτριβηθεῖσα δὲ καὶ καταπλασθεῖσα ἐπὶ σπληνὸς τοῦτον ὑπεκτήκει.

πρὸς συνάγχην καὶ πόνον τραχήλου.

Α ὐκῆ ξηρὰ μέλιτι λειωθεῖσα καὶ ἐπιχρισθεῖσα τῷ τραχήλῳ. ἢ καρδάμου πόρον καὶ κόπρον περιστερᾶς σὺν μέλιτι ἐμπλασσόμενον.

πρὸς ἐσωχάδας.

Α μάραντον ἀποβρέξας μεθ᾿ ὕδατος ὀψὲ καὶ πρωῒ πότισον.

Εἰς σπλῆνα κατάπλασμα πάνυ καλόν.

Ε λγινίου. σινήπεως. δαφνίδων κατὰ λόγον κοπανήσας. εἶτα ἐξελὼν φλοιὸν καρύας νέας κόψον μικρά. εἶτα βάλλε ἐν ὅλμῳ. καὶ κόψον αὐτὸ ἰσχυρῶς. καὶ ἐκβαλὼν ἀπόβρεξον ἐν ὄξει δριμεῖ ἡμέρας τρεῖς. καὶ ἑνώσας ἀμφότερα μετὰ χυλοῦ τιθυμάλλου ἕψει ἕως γένηται κατάπλασμα καὶ τίθει ἐπάνω τοῦ σπληνὸς ἀπὸ πρωῒ ἕως ἡμέρας η. προκενώσας τὴν γαστέρα καὶ θαυμάσεις.

Αλλο πρὸς τῆξιν σπληνός.

Κ αππάρεως ῥίζης ∕. γ. ἀσβέστου ∕. δ. κόψας καὶ σήσας. καὶ ὄξει μίξας ἐπίθες μὴ πλέον ὥρας μιᾶς. καὶ ὅλον τήκεται. Αλλο. Κραμβίου ζωμὸν ἕψει μόνον μετὰ δὲ ὀξυμέλιτος πότισον νῆστιν. ἢ βάτου ῥίζαν μετ᾿ ὄξους ἀκριβῶς τρίψας δίδου πιεῖν ἡμέρας τρεῖς. Αλλο. Φλοιὸν καρύας μετ᾿ ὄξους καὶ μέλιτος ἑψήσας πότισον νηστικῷ. ἢ σίδηρον πυρώσας ἐν οἰνομέλιτι σβέσας, ἐν ποτηρίῳ δὸς πιεῖν καὶ θαυμάσεις.

πρὸς ὀδόντας μέλανας.

Φ οινίκων ὀστᾶ καὶ μαστίχην καὶ μέλι τρίβε τοὺς ὀδόντας ἐπὶ ἡμέρας ζ. καὶ λευκαίνονται.

πρὸς ἑλμινθας.

Θ έρμια καὶ δάφνης φύλλα καὶ χολὴν ταύρου μίξας ἐπίθες ἐπὶ τὸν ὀμφαλὸν τῆς κοιλίας, καὶ ὠφελεῖ.

πρὸς ἐσωχάδας. καὶ ἐξωχάδας.

Α μυλον καὶ πίσσαν καὶ ὕδωρ ζύμης δὸς πιεῖν ἐπὶ ἡμέρας ἑπτὰ μετὰ τὸ ἀκριβῶς τριβῆναι τὸ εἰς τὸ ἕψημα.

πρὸς πόνον ὀδόντων.

Α μπελόβοτρα νεαρὰ κρατήσας τηγάνισον μετ᾿ ἐλαίου καὶ ἔμβαλλε τῷ ὠτίῳ καὶ ὑγιαίνει. πρὸς βδέλλας.

Τ εῦτλα ἐν ἀεισολοχίαν ἀλάτιζε. πρὸς λιθιῶντας διουρητικόν.

Δ αφνίδων πεπέρεως ἴσα δίδου μύστρον α. μετὰ ὑδρομέλιτος.

Αλλο

Ἀλλο θραῦον λίθους.

Δάφνης φλοιὸν ἀνάζεσον ὕδατι, ἕως ἀπὸ τριτώσεως. καὶ δίδου ῥοφεῖν. Ἄλλο. ὅμοιον τρυγόνος ὄρνεις, κόπρον καῦσας πάρεχε μετὰ μελικράτου, ποιεῖ γὰρ ἐξουρεῖσθαι τοὺς λίθους.

Πεπειραμένον εἰς λιθιῶντας.

Στρουθίου ῥίζης ποντικοῦ κατάρξεως ἀνὰ ∠. α΄. δίδου σὺν οἴνῳ λευκῷ καθ᾽ ἡμέραν ∠. α΄. καὶ θρύψεις ὑπόστασιν ἐν τῷ οὔρῳ λιθώδη. ἄλλο. ὀρίγανον ἀπόζεσας ἕως ἀποτριτώσεως μεθ᾽ ὕδατος πάρεχε κύαθον ἐκ τοῦ ἀποζέματος πιεῖν.

Εἰς στραγγουρίαν.

Μαράθρου σπέρμα δαφνίδων θηβαϊκῶν ἐξ ἴσου κόψας σὺν εὐκράτῳ δίδου θερμόν.

Πρὸς δυσουρίαν καὶ στραγγουρίαν.

Κόστου μέλιτος. ὕδατος κυάθους θ΄. δίδου πιεῖν κρατῆρα τὸν μισθὸν προαπαιτῶν. ἄλλο. Κυπέρου ἀσιατικοῦ κοχλιάριον α΄. μετὰ ἀκράτου δίδου λεῖον ἢ μετὰ μέλιτος. ἔστι γὰρ δόκιμον.

Πρὸς δυσουρίαν.

Πετροσελίνου μακεδονικοῦ κόψας δίδου κοχλιάριον α΄.

Πρὸς στραγγουρίαν.

Πολυκνήμην κουπάνησον ξηρὰν ὡς ἀλεύρου. καὶ κοχλιάριον μικρὸν μεθ᾽ ὕδατος δὸς πιεῖν.

Πρὸς τοὺς ἐνουροῦντας εἰς τὰ σαγία.

Λαγωοῦ ἐγκέφαλον σὺν οἴνῳ πότιζον. ἄλλο. φύσαν ὀπτήσας δὸς φαγεῖν ἐπὶ ἡμέρας γ΄. ἢ κύπερον λειώσας πότιζε. ἢ λαγωοῦ ὄρχιν ἐν οἴνῳ εὐώδει χλιαρῷ δὸς πιεῖν.

Πρὸς στραγγουρίαν.

Δενδρολίβανον λαβὼν βράσον μετ᾽ οἴνου πλεῖστον ἐπὶ ἡμέρας τρεῖς πάρεχε πίνειν. λαβὼν ῥαφίδα τὸ θαλάσσιον ὄψαριον καύσας καὶ τὴν σποδιὰν δὸς πιεῖν.

Πρὸς λειχῆνας.

Κέρας ἐλάφου ῥινήσας μετ᾽ ὄξους δριμυτάτου ἀποτριτώσας ἐπάλειφε. Πρὸς ἀγρίας λειχῆνας.

Κεθάλευρον μετ᾽ ὄξους δριμυτάτου ἐμμίξας ἄλειφε ἢ ἀκροσφοδίλου ῥίζαν σὺν ὄξει λειώσας χρίε συχνῶς ἢ καῦσον λινοῦν πανίον ἐπάνω σιδήρου. καὶ ἄλειφε. ἢ φύλλα καρύας χλωρὰ ἀποζέσας μετὰ πλατεῖ τόπον καὶ ἐπὶ ψώρας.

Πρὸς αἰδοίου πόνον καὶ φλεγμονήν.

Κύμινον ἑψήσας πολλά. καὶ λέπυρα ὠῶν ἐπάντλει καὶ θαυμάσεις.

Πρὸς λειχῆνας.

Σκόροδον καὶ θεάφιν ὕδωρ καὶ ἔλαιον σμήξας ἄμφω ἄλειφε.

Κατάπλασμα πρὸς τραύματα πρόσφατα ἀπὸ ξίφους ἢ ξύλου.

Ἰτέας φύλλα τρίψας ἐπίθες. καὶ τὸ αἷμα στήσεις, καὶ τὰ τραύματα παρακολλᾷ. καὶ ὑγιαίνει, ἢ βολβοὺς προβάτων ἅμα ἐλαίῳ λειώσας κατάπλασον.

Πρὸς δηλητήρια φάρμακα.

Πήγανον καὶ σῦκον, καὶ κάρυον τρίψας πότισον μετ᾽ οἴνου. ἢ τῆς νύσσης τὸ αἷμα ὑγρὸν σὺν ἐλαίῳ πινόμενον σώζει τοὺς πιόντας δηλητήριον φάρμακον. καὶ τοὺς ὑπὸ ἐχίδνης δηχθέντας.

Πρὸς ῥεῦμα ἐν τῷ λαιμῷ.

Χελιδόνος νεοττιὰν λειώσας μετ᾽ ὄξους κατάχριε. Πρὸς μαστῶν γυναικῶν ὄγκους.

Αἰγὸς ἀφόδευμα ξηρὸν μετὰ οἴνου ἀκράτου ἐπίθες, καὶ λύει τὴν φλεγμονήν.

Εἰς λυκοκεφαλίαν.

Χοίρου ἀφόδευμα καύσας, καὶ λαβὼν σποδὸν μίξας μετὰ μέλιτος ξηρήσας τὴν κεφαλὴν ἄλειφε καὶ ἐπίθες ἐπάνω κράμβης φύλλα. Βηχικοῖς καὶ ἐκτικοῖς

Στύρακος καὶ κράμβης χυλοῦ συντρίψας καὶ ζυμώσας δίδου νῆστει καὶ εἰς κοίτην. ἢ δαφνελαίου καὶ οἴνου καλοῦ ἀνὰ. στ. γ΄. σμίξας καὶ χλιάνας. ἐν λουτρῷ ἔσωθεν. καὶ οἰνελαίου θερμοῦ βρέχε καὶ συμπυριώσας τὸν στόμαχον. ἄλλο. θερμὴν πυρίαν στακτὴν βρέξας πυρία πόδας τοῦ βήσσοντος, καὶ ἀποσφογγίσας αὐτοὺς ἐπάλειφε καὶ πυρίαζε. τὰς δὲ βῆχας ἰαθήσεται.

Εἰς βῆχας.

Ῥητίνην συντρίψας μετὰ οἴνου παλαιοῦ πότισον νῆστει, καὶ γλήχωνα μετὰ ὀξυκράτου προεψήσας δὸς πιεῖν. ἢ βερονίκην ζυμώσας μετὰ μέλιτος δίδου φαγεῖν. ἢ ῥάφανος ὀπτὴ ἐσθιομένη δίδου πρωῒ καὶ ὀψέ. βούτυρον ἄναλον καταπινέτω βασιλικοῦ καρύου μέγεθος.

Πρὸς τοὺς ἐν τῷ θώρακι χυμούς.

Κνίδης τὰ φύλλα συνεψηθέντα πτισάνῃ δίδου πίνειν. ποιεῖ δὲ καὶ πρὸς πνευματώσεις, καὶ ἀνάγει τὰ ἐν τῷ θώρακι.

Πρὸς βῆχας.

Τῆλιν ἑψήσας ἕως ὅπου ἀποτριτωθῇ τὸ ζεμάτιον λάβε τὸ πρωῒ μετὰ μέλιτος.

Εἰς καλλιφωνίαν.

Τραγάκανθος ἀποβραχεῖσα ἐν οἴνῳ καὶ ποθεῖσα φωνὴν λαμπρύνει. Πρὸς ἀποκοπὰς φωνῆς.

Στύρακα λειώσας μετὰ ὕδατος ποίει καταπότια ἴσα ἐρεβίνθοις. καὶ δίδου τρίτον καὶ εὐθέως λαλήσει.

Αὐξητικὰ πλοκάμων καὶ πώγωνος εἰ ὑπορρέουσι.

Τεῦτλον μετὰ μυρσινελαίου καὶ πολυτρίχου μίξας κατάχριε τὰς τρίχας ἢ ἀδίαντον, καὶ λάδανον ἴσα λειώ

ξας μετ' ἐλαίου ὀμφακίνου, ἢ μυρσίνου ἢ σχινίνου ἐπίχει. ἄλλο. λάδανον ἀποβρέξας σὺν οἴνῳ ἀμιναίῳ καὶ μυρσινελαίῳ λειώσας ἄμφω ποίει πάχος μέλιτος, καὶ ἐπίχει τὴν κεφαλὴν ἐν βαλανείῳ. βέλτιον δέ ἐστι καὶ τὸ ἀδίαντον, ὅ τινες καλοῦσι πολύτριχον τὸ ἕβδομον μέρος λαδάνῳ ἐπίβαλλε καὶ χρίε.

πρὸς ὀδύνας νεφρῶν.

Γ λήκωνι συνεψέσθωσαν πίτυρα ἐξ ἀλεύρων, καὶ σακελίσας τὸν ζωμὸν καὶ σπόγγῳ τούτῳ βρέξας πυριαζέσθω οὕτως.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΜΕΤΡΩΝ ΚΑΙ ΣΤΑΘΜΩΝ ΔΙΔΑΣΚΑΛΙΑ ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ.

† αἱ τὸ δ' ἀγγεῖον

Ο σταθμὸς βάρει μετρούμενος, κρίνεται. τὸ δὲ μέτρον, ἀγγείου κοιλότητι. † ἢ ξηροῦ ποσοῦ μέτρον ἐστίν, ἢ ὑγροῦ ὡς εἶναι τρεῖς τοῦ μετρουμένου ποσοῦ διαφοράς. μίαν μὲν τὴν τοῦ σταθμοῦ. ἑτέραν δὲ, τὴν τῆς ξηρᾶς οὐσίας. οἷον χώματος. καὶ τρίτην τὴν τῆς ὑγρᾶς. πολλῶν δὲ καὶ σχεδὸν ἀπείρων ὑπαρχόντων τῶν τε σταθμῶν, καὶ τῶν μέτρων παρά τε τὰς χώρας καὶ τὰ ἔθη τῶν χρωμένων, περὶ τῶν μάλιστα συνήθων ἅπασιν ὁ λόγος ἡμῖν ἔσται. περὶ τῶν δηλούντων τοὺς σταθμοὺς καὶ τὰ μέτρα χαρακτήρων.

Ἀλλ' ἐπειδή τινες, οὐχ ὁλογραμμάτως, ἀλλὰ διὰ χαρακτήρων ταῦτα σημαίνουσι βέλτιον ἂν εἴη, τοῖς παλαιοῖς κατακολουθοῦντα. πρῶτον τοὺς χαρακτῆρας αὐτοὺς διασαφηνίσαι. πρῶτον μὲν οὖν, τὸ χ. στοιχεῖον. ἔχον ἐπικείμενον αὐτῷ τὸ ἄλφα, χαλκοῦν σημαίνει καθὼς ὁρᾷς χ. εἰ δὲ ο ἔχει τὸ χ, χόα χ. εἰ δὲ, ν, χοίνικα χ. εἰ δὲ η. χήμας χ. τὸ ἤ κ. εἰ μὲν ἔχει ε. ἐπικείμενον αὐτῷ καὶ λοξὴν εὐθεῖαν γραμμὴν τέμνουσαν τὴν κάτω κεραίαν αὐτοῦ, κεράτιον δηλοῖ. Κ. εἰ δὲ τὸ υ. ἔχει τὸ κ κύαθον σημαίνει. Κυ. εἰ δὲ τὸ ο, κοτύλην Κο. ἡ δὲ ἀπερίσκιστος εὐθεῖα γραμμὴ πλαγία τεθεῖσα ἐπὶ πᾶν, ὀβολὸν δηλοῖ. εἰ δὲ δύο ἀπερίσκιστοι, δύο ὀβολούς. ὃ ποιοῦσι τὸ γράμμα δηλούμενοι ὑπό τινος εὐθείας γράφεται. αἱ δὲ δύο γραμμαὶ συνάπτουσαι καθ' τὰ θάτερον πέρας. ὥστε γωνίαν ποιεῖν. ἐμφερῶς ταῖς τοῦ κ. δύο κεραίαις ταῖς πρὸς τὴν ὀρθὴν δραχμὴν σημαίνουσιν ∠. τὴν συνωνύμως, ἣν καὶ ταύτην ὁλκὴν καλοῦμεν ἰδίως δὲ παρὰ παλαιῶν, τὴν ὁλκὴν, τὸ λ. δηλοῖ, ἔχον μέσον τὸ ο, ὁλ. ἡμεῖς δὲ καὶ ταύτην, ὁλκὴν καλοῦμεν. εἰ δὲ τὸ ι. ἔχει τὸ λ. λι. σημαίνει. τινὲς δὲ τὴν ἑτέραν τοῦ λ. γραμμὴν λοξῶς τέμνοντες, δηλοῦσι τὴν λίτραν. λι. τὸ δὲ γ. ἔχον οὐγγίαν ἐν ταῖς ἑαυτοῦ γωνίαις. τὸ ο γο. δηλοῖ. γο. τὸ μ. δὲ ἐπὶ τὸ μέσον ἔχον αὐτοῦ τὸ ν. μναῦ σημαίνει μ. εἰ δὲ τὸ υ. ἔχει τὸ μ. μύστρον σημαίνει μ. εἰ δὲ τὸ ε. μέδιμνον μ. εἰ δὲ τὸ ο. μόδιον σημαίνει. μ. τὸ δὲ τὸ τ. ἔχον σὺν αὐτοῦ ρ. καὶ υ, ἐπικείμενον τρυβλίον δηλοῖ ἐπικείμενον τὸ ε. ξέστην σημαίνει. ξε. εἰ δὲ ο. ἔχει, ὀξύβαφον. ξο. τινὲς δὲ τὸν ξέστην διὰ τοῦ ξ. τέμνουσιν αὐτὸ εὐθείας γραμμῆς. δηλοῦσιν ξ. τὸ δὲ η. ἔχον ἐπικείμενον τὸ μ. ἡμίναν δηλοῖ. ημ. εἰ δὲ κ. καὶ ρ. ἐπικείμενον ἔχον τὸ μ. κεράμιον δηλοῖ κρ.

περὶ σταθμῶν.

Η μνᾶ ἡ ἀττικὴ καὶ ἡ αἰγυπτία, ἔχει γο. ις'. ἡ μνᾶ ἡ ῥωμαϊκὴ, ἔχει γο. κ'. ἡ λι. ἔχει γο. ιβ'. ἡ δὲ γο. ∠'. κ'. αἵτινες καὶ ὁλκαὶ λέγονται, ἡ δὲ ὁλκὴ, κεράτια ιη. ἡ δὲ δραχμὴ, κεράτια ιη. ἄλλοι δὲ λέγουσιν, ἔχει γράμματα γ'. τὸ γράμμα, ὀβολοὺς β'. ὁ δὲ ὀβολὸς, κεράτια γ'. τὸ δὲ κεράτιον, ἔχει σιτάρια δ'. ἄλλοι δὲ χαλκοὺς δύο δίμοιρον. ὁ γὰρ ὀβολὸς ἔχει χαλκούς.

περὶ μέτρων ὑγρῶν.

Τ ὸ ἰταλικὸν κεράμιον, ἔχει χόας η. ὁ χοῦς, ξ. ς'. ὁ ξέστης κοχλιάρια β'. αἵ τινες καὶ τρυβλία λέγονται. ἄλλοι δὲ λέγουσιν, ἔχει ὁ ξ. σταθμὸν λι. α. S'. τὸ δὲ τρυβλίον, γο. θ'. τὸν αὐτὸν δὲ σταθμὸν ἔχει τὸ κοχλιάριον. ἡ κοτύλη, ταυτὸν δὲ εἰπεῖν, ὡς τὸ τρυβλίον. τὸ τρυβλίον δὲ τὸ μικρὸν αγ. ἔχει μύστρα μεγάλα γ'. ὀξύβαφα δὲ δ'. τὸ γὰρ μέγα μύστρον, ἔχει ὀξύβαφα γ'. τὸ δὲ ὀξύβαφον ἔχει κύαθον τὰ ἥμισυ. ὁ δὲ κύαθος ἔχει χήμας μικράς. ἤτοι. μύστρα μικρὰ β'. εἰ δὲ βούλοιο καὶ τὸν σταθμὸν τῶν ὑγρῶν εἰδέναι μέτρων. πάμπολλαι μὲν, αἱ τῶν ὑγρῶν οὐσιῶν εἰσὶν κατὰ τὴν ῥοπὴν διαφοραί. ὡς ἐνθάδε παραδείγματος, ἐλαίου τε καὶ οἴνου καὶ μέλιτος. λεξόμεν. τὸ μὲν οὖν μέλι, τοῦ οἴνου βαρύτερον ἐστὶν τέταρτον μέρος. καὶ προσέτι δεκάτῳ. ὅπερ ἐστὶν τὸ ὅλον, συνεγγύς. τρίτῳ, ἔχει, ποσὸν ὅλον τὸν τοῦ οἴνου σταθμόν. καὶ προσέτι τὸ τρίτον αὐτοῦ. τοῦ δὲ ἐλαίου τὸ μέλι τῷ ἡμίσει μέρει βαρύ ἐστιν ἔχει γοῦν ὅλον τὸν τοῦ ἐλαίου καὶ προσέτι τὸ ἥμισυ αὐτοῦ. ὁ δὲ οἶνος τοῦ ἐλαίου. ἔνατον μέρος ὑπερέχει. ὅλον γὰρ αὐτὸν ἔχει καὶ τὸ ἔνατον αὐτοῦ πρὸς σαφήνειαν πλείονα. καὶ ὡς ἐν διαγράμματος τῶν κατὰ μέρος μέτρων τὸν σταθμὸν ὑπετάξαμεν. δῆλον καθεστῶτος. ὡς ἐπὶ κοινοῦ πάντων τῶν ὑποκειμένων αὐτοῖς κατὰ τὸν στοῖχον. τό τε ἔλαιον καὶ ὁ οἶνος καὶ τὸ μέλι καταγορούμενοι κεῖται τὸ ἰταλικὸν ἐλαίου, οἴνου μέλιτος ὁ κέραμος, ἔχει λι. οβ'. λι. π'. λίτραν ρη. ὁ χοῦς λίτραν θ'. λι. ι. λι. γ'. ιι. ὁ ξ. οὐγγίας. ιη. οὐγγίας. κ'. γο. κζ'. ἡ κοτύλη γο. θ'. οὐγγίας. ι. γο. ιγS'. τὸ μέγα μύστρον οὐγγίας γ'. γξ. ἡ γο. δS'. τὸ ὀξύβαφον, ὁλκὰς ιη. γο. β'. γράμματα ιβ'. γο. κγ. ὁ κύαθος ὁλκὰς ιβ'. γο. αS'. γράμματα δ'. οὐγγίας β'. ὁλκὰς β'. τὸ μικρὸν μύστρον, ὁλκὰς ς. γράμματα κ'. ὁλκὰς θ. ὁ δὲ ὀρειβάσιος φησί, ἐπὶ ἀδαμάντινον τὸν ξ. τὸν ἰταλικὸν τοῦ οἴνου, μέτρῳ μὲν ἔχειν γο. κδ'. σταθμῶν δὲ λι. α. γο. η. τὸν ξ. ὡδὶ μέτρου τοῦ μέλιτος ἄγειν σταθμῷ λι. β', S'.

περὶ μέτρων ξηρῶν διδασκαλία σαφής.

Αἰγυπτία ἀρτάβη, ἔχει μόδια ε̄. ὁ δὲ μόδιος ὁ αἰγύπτιος καὶ ὁ ἰταλικὸς ἔχει χοίνικας η̄. ὁ δὲ χοῖνιξ, ξ. β̄. ὁ δὲ ξ. ἡ μίξεστα β̄. ἃ δὴ, καὶ ἡμίνας προσαγορεύουσι· ἡ δὲ ἡμίνα ἔχει κυάθους η̄. ὁ ἀττικὸς μέδιμνος, ἔχει ἡμίεκτα ιβ̄. τὸ δὲ ἡμίεκτον, ἔχει χοίνικας δ̄. ὥστε τὸν μέδιμνον, ἔχειν μνᾶς μη̄. ξ. ϛ̄ζ. περὶ δὲ τὸν σταθμὸν, εἰπεῖν οὐκ εὔκολον. ὅτι τῶν οὐσιῶν, ἄπειρος ἐστὶν, ἡ κατὰ τὴν ῥοπὴν διαφορά, κατὰ τὴν τῆς ἰατρικῆς τέχνης διδασκαλίαν. καθὼς οἱ πρὸ ἡμῶν σοφοί, ἰατροί τε καὶ διδάσκαλοι ταῦτα ἡμῖν διεσάφησαν θαυμαστῶς.

περὶ σημείων καὶ χαρακτήρων τῶν ἐν ταῖς συσταθμίαις καὶ περὶ σταθμῶν καὶ μέτρων.

Τὴν τῶν σημείων καὶ χαρακτήρων διδασκαλίαν ἀναγκαιοτάτην οὖσαν οὐ πάρεργον ἀναγράψασθαι. ὅπως ταῖς τῶν φαρμάκων σκευασίαις συμβολικῶς εὑρόντες κείμενα, αὐτίκα γνωρίσωμεν τὴν ἐξ αὐτῶν σημαινομένην συσταθμίαν. τὴν οὖν μνᾶν σημαίνει τὸ μ'. στοιχεῖον, ἐπικείμενον ἔχον τὸ ν, μ̆. τὴν δὲ λι. τὸ λ. ἔχον ὑποκείμενον τὸ ι. λι. τὴν δὲ οὐγγίαν. τὸ γάμμα ἔχον ὑποκείμενον τὸ ο. Γο. παρ' ἐνίοις δὲ εὗρον τὸ ν. ἐπικείμενον ἔχον τὸ ο. νο. μ̆. δὲ καὶ ε̄. ἐπικείμενον, μόριος δηλοῖ. μ̆. πλάγιον δὲ λ'. εἰς μὲν τὰ δεξιὰ τὰς καιραίας νεῦον δραχμὴν δηλοῖ. ∠. εἰς δὲ τὰ εὐώνυμα ἡμίσειαν >. τὸ δὲ ῥωμαϊκὸν σίγμα, παρ' ἐνίοις μὲν τριώβολον, παρ' ἡμῖν δὲ παντὸς σταθμοῦ τὸ ἥμισυ. S. πλάγιον δὲ ἓν μὲν ὀβολόν. ᴗ. δύο δὲ διώβολον. ᴗᴗ. ἔσω δὲ ἐστραμμένον τὸ ἑλληνικὸν σίγμα, ἡμιώβολον Ͻ. ξ. δὲ ε̄. ἐπικείμενον ἔχον ξέστην δηλοῖ. ξ. τὸ δὲ κ. ἐπικείμενον ἔχον τὸ υ. κύαθον Κῠ. προσκείμενον δὲ τοῦ ο. τὸ λ. ὁλκὴν Ͻ. συνωνύμως τὴν καὶ δραχμὴν καλουμένην.

περὶ μέτρων.

Η μνᾶ πρὸς τὸ ἰταλικὸν ἔχει δραχμὰς ρμδ'. πρὸς δὲ τὸ ἀττικὸν, δραχμὰς ρκβ'. ὥστε τὴν ἰταλικὴν μνᾶν εἶναι λι. μίαν ἡμίσειαν. πρὸς δὲ τὴν ἀττικὴν λι. ά. Γο. γ'. δραχμὰς. δ'. ἡ οὐγγία ἄγει παρὰ μὲν τοῖς ἀττικοῖς δραχμὰς ζ'. παρὰ δὲ τοῖς ἰταλικοῖς δραχμὰς δὲ η̄. ἡ δὲ δραχμὴ γράμματα ἔχει γ'. ἡ δὲ Γο. κδ'. ἡ λίτρα ἔχει Γο. δώδεκα. ὁλκὰς β'. τὴν δὲ ὁλκὴν συνωνύμως τῇ δραχμῇ λέγουσι. τὸ δὲ γράμμα ἔχει ὀβολὸν ά. χαλκοῦς δ'. ὁ δὲ ὀβολὸς χαλκοῦς S. ὁ δὲ χαλκοῦς καὶ τὸ κεράτιον παντὸς γράμματος ἐστὶ σμικρότατον πρὸς ἐκπλήρωμα τιθέμενον περὶ σταθμῶν. ὁ μέδιμνος ἔχει ἡμίεκτα ιβ'. τὸ δὲ ἡμίεκτον χόας μὲν β'. χοίνικας δὲ ὁ δὲ χοῦς χοίνικας β̄. ξ. η. ὡς ἔχειν τὸν μέδιμνον χοίνικας μβ'. ξ. ϟβ'. ὁ δὲ χοῖνιξ κοτύλας η̄. ξ. η̄. ὁ δὲ ξέστης κοτύλας β'. κυάθους ιβ'. καὶ διὰ τούτων οἱ πλεῖστοι τῶν ἑλλήνων μετροῦσι. παρὰ δὲ τοῖς ἰταλοῖς εὑρίσκεται ὁ χοῦς μέτρῳ μὲν ἔχων ξ. ιϛ̄. κοτύλας ιβ̄. σταθμὸν δὲ ὕδατος ὀμβρίου, ὅπερ ἐστὶν ἀδιαφορώτατον δραχμὰς ψκ'. ὁ δὲ χοῖνιξ ἔχει ξ. γ'. κοτύλας ϛ'. καὶ οὗτος δὲ παρὰ τοῖς ἀττικοῖς τρύβλιον ὀνομάζεται. τὸ δὲ ὀξύβαφον τέταρτον ἐστὶ τῆς κοτύλης. ἔχει δὲ ὁ ξέστης σταθμῷ δραχμὰς ρκ'. ἰδίως δὲ ἑλληνικὴ κοτύλη ἡ ἐλαίου, ὁλκὴ λι. ά. ὁ δὲ ξ. λι. β'. ὁ δὲ ἰταλικὸς λι. ά. Γο. η. τοῦ δὲ οἴνου Γο. θ'. εἰδέναι δὲ δεῖ ὡς τὰ μέτρα κατὰ τὸν σταθμὸν οὐ μετρίως ἐξαλλάσσεται κατὰ τὴν τῆς ὕλης διαφοράν.

Εκ τῶν κλεοπάτρας κοσμητικῶν περὶ σταθμῶν καὶ μέτρων.

Η μνᾶ ὄνομα ἔχει σταθμοῦ. ἔχει οὐγγίας ιϛ̄. ∠. ρκη. γράμματα τπδ̄. ὀβολοὺς ψξη̄. θέρμους, ανβ. κεράτια βτδ̄. χαλκοῦς Sρμδ̄. Η ἀττικὴ μνᾶ ἔχει οὐγγίας ιβS̄. ∠. ρ. γράμματα τ. ὀβολοὺς χ. θέρμους Ϡ. κεράτια αω̄. χαλκοῦς ,υω̄. Η πτολεμαϊκὴ μνᾶ ἔχει Γο. ιη̄. ∠. ρμδ'. γράμματα υλβ̄. ὀβολοὺς ωξδ̄. θέρμους ασϛϛ. κεράτια ,βφιβ. χαλκοῦς SϠιβ. Η λίτρα ἔχει Γο. ,ιβ. ∠. ϛϛ̄. γράμματα σπη̄. ὀβολοὺς φοϛ'. θέρμους ωξδ. κεράτιον ,αψκη̄. χαλκοῦς ,υχη̄. Η οὐγγία ἔχει ∠. η. γράμματα κδ'. ὀβολοὺς μη̄. θέρμους οβ̄. κεράτια ρμβδ̄. χαλκοῦς τωδ̄. καλεῖται δὲ ἡ Γο. τετράσσαρον ἰταλικόν. Η δραχμὴ ἔχει γράμματα γ'. ὀβολοὺς ϛ'. θέρμους θ'. κεράτια ιη. χαλκοῦς μη̄. Τὸ ἰταλικὸν δηνάριον ἔχει δραχμὴν ά. δραχμὴ δὲ καὶ ἄλλη ὁμωνύμως καλεῖται αἰγυπτιακὴ, ἥτις ἕκτον μέρος ἐστὶ τῆς ἀττικῆς δραχμῆς, ἄγουσα ὀβολὸν ά. τὸ γράμμα ἔχει ὀβολοὺς β'. θέρμους γ'. κεράτια ϛ'. χαλκοῦς ιϛ'. ὀβολὸς ἔχει θέρμον α S'. κεράτια γ. χαλκοῦς η̄. Τὸ ἡμιώβολον ἔχει κεράτια αs. χαλκοῦς δ̄. θέρμος ἔχει κεράτια β̄. χαλκοῦς γ̄. ἀττικὸν δὲ ἡμιώβολον. καὶ ἡμιοβόλου δ̄. πέμπτα. Τὸ κεράτιον ἔχει ἀττικοὺς χαλκοῦς β̄. καὶ χαλκοῦ β̄. πέμπτα χαλκοῦς ἔχει ἡμιωβόλου τὸ δ̄. ὥστε τοὺς τέσσαρας χαλκοῦς ἄγειν ἡμιώβολον. Ο στατὴρ ἄγει ∠. δ̄. καλοῦσι δὲ αὐτὸν τετράδραχμον. καὶ τὸ διπονδίον δὲ ὁμοίως ἄγει ∠. δ̄. καὶ τὸ βασιλικὸν κάρυον ὁμοίως ἄγει ∠. δ̄. Χήμη ἡ μεγάλη ἔχει ∠. γ'. καὶ ἡ μικρὰ ∠. β'. Λοσχάριον ἔχει ∠. β. κοχλιάριον ἔχει ∠. ά. Ο κύαθος ἔχει ∠. ι Γο. δ̄. γρ. λ. ὀβολοὺς β'. θέρμους ϛ'. κεράτια ρη̄. χαλκοῦς υπ. ἔστι δὲ ὁ κύαθος κοτύλης τὸ ϛ'. Η κοτύλη μέτρῳ μὲν ἔχει κυάθους ϛ'. σταθμῷ δὲ ∠. ξ'. Γο. ζ. γρ. ρπ̄. ὀβολοὺς τξ̄. θέρμους φμ'. κεράτια αω̄. χαλκοῦς ,βω̄. Τὸ τρύβλιον, τὸ αὐτὸ μέτρον χωρεῖ τῇ κοτύλῃ. ἔχει γὰρ μέτρῳ μὲν κυάθους ϛ̄. σταθμῷ δὲ ∠. ξ. Ο ξέστης μέτρῳ μὲν ἔχει κοτύλας β'. σταθμῷ δὲ ∠. ρκ. καλεῖται δὲ παρὰ αἰγυπτίοις ὁ ξέστης ἴνιον. Τὸ ὀξύβαφον ἔχει κοτύλης δ'. κύαθον αS'. σταθμῷ δὲ ∠. ιε̄. Η κόγχη ἡ μεγάλη τὸ αὐτὸ μέτρον σώζει τῷ ὀξυβάφῳ. ἔχει γὰρ μέτρον μὲν κύαθον αS' σταθμῷ δὲ ∠. ιε̄. ἡ δὲ ἐλάττων κόγχη, ἔχει μέτρῳ μὲν ἡμικύαθον σταθμῷ δὲ ∠. ε. Μύστρον τὸ μέγα ἔχει κοτύλης τὸ ἑκκαιδέκατον ὃ γίνεται ∠. γS'. τέταρτον. τὸ δὲ μικρότερον, κοτύλης τὸ αβ̄. ὃ γίνεται δραχμὰς δύο. κερατίου τὸ ἑνδέκατον. Ο χοῦς ἔχει μέτρῳ μὲν κοτύλας ἀττικὰς δώδεκα. ξέστας δὲ ἥμισυ. χοίνικας δὲ δ̄. σταθμῷ δὲ ἔχει ὁ χοῦς ∠. ψκ. Ο χοῖνιξ ἔχει μέτρῳ μὲν κοτύλας τρεῖς, σταθμῷ δὲ ∠. ρπ. ἐν δὲ τοῖς γεωργικοῖς εὗρον τὴν κοτύλην τρίτον ἢ τέταρτον ξέστου. τοῦ δὲ χοῶν ξεστῶν θ̄. κοτυλῶν δὲ ιβ καὶ τὸν ἀμφορέα ξεστῶν λϛ'. κοτυλῶν μη̄ τὸν δὲ μετρητὴν ξεστῶν οβ. κοτυλῶν ϛϛ'. τὸν δὲ μέδιμνον ξ. ρβ. κοτυλῶν ρλϛ'. ὁ δὲ κατὰ σύρους μετρητὴς ξ. ϛ. ἰταλικῶν ρκ. τὸ τρύβλιον καὶ τὸ ὀξύβαφον ὁμοίως ἔχουσι κοτύλης τὸ δ̄. ὁ δὲ κύαθος κοτύλης τὸ ϛ̄.

Αλλως περὶ τῶν αὐτῶν.

Μνᾶ ἡ ἀττικὴ ἔχει Γο. ιβ'. ἡ δὲ ἑτέρα Γο. ιϛ. ἡ δὲ πτολεμαϊκὴ ἔχει Γο. ιη̄. ἡ λίτρα ἔχει Γο. ιβ. ἡ Γο. ἔχει ∠. η. ἡ δραχμὴ ἔχει. γρ. γ̄. τὸ γράμμα ἔχει ὀβολοὺς β̄. ὁ ὀβολὸς ἔχει θέρμον αS'. ὁ θέρμος ἔχει

κεράτια β̄. χαλκοῦς δὲ γ̄. ἢ ε̄. ἀττικὸν δὲ ἡμιώβολον. καὶ ἡμιωβόλου τέσσαρα πέμπτα τὸ κεράτιον ἔχει ἀττικοὺς χαλκοῦς β̄. καὶ χαλκῶν β̄. πέμπτα. ὁ χαλκοῦς ἔχει ἡμιωβόλου τὸ τέταρτον. ὡς τὸ τοὺς τέσσαρας χαλκοῦς ἄγειν ἡμιώβολον. ὁ στατὴρ ἄγει ∠. δ̄. καλοῦσι δὲ αὐτὸν τετράγραμμον. καὶ τὸ διπονδίον δὲ ∠. δ̄. καὶ τὸ βασιλικὸν δὲ κάρυον ὁμοίως ἄγει ∠. δ̄. ἡ χήμη ἡ μεγάλη ἔχει ∠. δ̄. ἡ μικρὰ ∠. β̄. τὸ ἀοσάειον ἔχει ∠. β̄. τὸ κοχλιάρειον ∠. ᾱ.

περὶ μέτρων καὶ σταθμῶν ἱπποϊατρικῶν.

ʃο. ἔχει ∠. η̄. ἡ δραχμὴ ἔχει γρ. γ̄. ὀβολοὺς ς̄. ἡ κοτύλη ἔχει ʃο. ιβ̄. ὀξύβαφα δύο. τὸ δὲ ὀξύβαφον κυάθους γ̄. κύαθος ἔχει μύστρα δ̄. κοχλιάρειον δέ ἐστι μύστρου τὸ ἥμισυ. τὸ δὲ ὀξύβαφον ποιεῖ ʃο. ς̄. ὁ κύαθος ποιεῖ ʃο. β̄ τὸ μύστρον ποιεῖ ʃο. τὸ ἥμισυ. τὸ κοχλιάρειον ποιεῖ γρ. ς'. ἡ δραχμὴ ποιεῖ γρ. γ̄. ὁ ὀβολὸς ποιεῖ γράμμα. τὸ σίκλιον ἔχει ʃο. τὸ S. ὁ κύαθος μύστρας δ̄. ὡς εἶναι τὸ μύστρον ʃο. τὸ S̄. τὸ δὲ μύστρον κοχλιάρεια β̄. ὡς εἶναι τὸ κοχλιάρειον ʃο. δ̄. ἡ μνᾶ ἔχει ʃο. ιε̄ ὁλκὰς ρῑ. βS'. ἡ λίτρα ἔχει ὁλκὰς ς̄. τὸ δὲ δυνάρειον ἔχει γράμματα δ̄.

περὶ μέτρων ὑγρῶν.

Τὸ ἰταλικὸν κεράμιον ἔχει χοὰς η̄. ὁ χοῦς ἔχει ξέστας ς̄. ὁ ξέστης κοτύλας β̄. αἳ καὶ τρίβανα λέγονται. ἡ κοτύλη τὸ αὐτὸ ἔχει. τὸ τρίβανον ἔχει μύστρα μεγάλα γ̄. ὀξύβαφον δὲ δ̄. τὸ μέγα μύστρον ἔχει ὀξύβαφον ᾱ. τὸ ὀξύβαφον ἔχει κυάθους αS'. ὁ δὲ κύαθος ἔχει μνᾶς μικρὰς ἤτοι μύστρα μικρὰ β'.

ἰταλικὸν	ἐλαίου	οἴνου	μέλιτος
Τὸ κεράμιον ἔχει	λι. οβ.	λι. π̄.	λι. ρκ.
ὁ χοῦς	λι. θ̄.	λι. ι̅.	λι. ιγS̄.
ὁ ξέστης.	ʃο. ιη̄.	ʃο. κ̄.	ʃο. κζ̄.
ἡ κοτύλη	ʃο. θ̄.	ʃο. ι̅.	ʃο. ιγS.
τὸ μέγα μύστρον	ʃο. γ̄.	ʃο. γ.. η̄. γρ.	ʃο. δS̄.
τὸ ὀξύβαφον	∠. ιη̄.	ʃο. β̄. γρ. *	ʃο. γS̄.
τὸ μικρὸν μύστρον	∠. ις'.	γρ. η̄.	∠. θι̅.
ὁ κύαθος	ʃο. αS'.	∠. ιβ. ὅ. ι. ιι̅ θ.	∠. ιγ. ὅ. ι. ιι. ι̅.

διοσκορίδου περὶ μέτρων καὶ σταθμῶν.

Ἐγὼ φίλτατε, περὶ σταθμῶν καὶ μέτρων οὕτως ἠκρίβωσα ἀπὸ τῶν ἐλαχίστων ἀρξάμενος, ἐπὶ τὴν μνᾶν πολυπλασιάζων ἀνῆλθον. τὸ κεράτιον τὸν αὐτὸν σταθμὸν ἔχει δυοῖν χαλκῶν. ὁ δὲ ὀβολὸς, χαλκοῦς ἔχει τρεῖς. ὅθεν τὸ ἡμιοβόλιον ἔχει σταθμοῦ κεράτιον ἓν ἥμισυ. γράμμα ἄγει ὀβολοὺς δύο. τουτέστι χαλκοῦς ἕξ. ἡ δὲ δραχμὴ ἡ καὶ ὁλκὴ ἄγει γράμματα τρία. τουτέστιν ὀβολοὺς θ. ἡ δὲ ʃο. ἔχει ∠. η̄. γρ. κδ̄. ἡ λίτρα δὲ ἔχει ʃο. ιβ. ∠. δὲ ςς̄. ἡ μνᾶ, κατὰ μὲν τὴν ἰατρικὴν χρῆσιν, ἄγει ʃο. ις. τουτέστιν ὁλκὰς ρκη̄. κατὰ δὲ τὴν ἰταλικὴν μνᾶ, ʃο. ιη. τουτέστι λίτραν μίαν ἡμίσειαν. ∠. δὲ ρμδ. ἡ δὲ ἀλεξανδρίνη μνᾶν ἄγει ʃο. κ̄. τουτέστιν ὁλκὰς ρξ.

περὶ μέτρων ὑγρῶν οἴνου.

Τὸ κεράμιον ἄγει λι. π̄. ἡ δὲ οὖρνα λι. μ̄. ὁ χοῦς τουτέστι τὸ κόγγιον, ἔχει λι. ι̅. τὸ ἡμικόγγιον ἔχει λι. ε̄. ὁ ξέστης ἔχει λίτραν μίαν, ʃο. η̄. ἡ μνᾶ τουτέστι ἡμικοτύλη, ʃο. ι̅. τὸ ὀξύβαφον ὅπερ ἐστὶ τέταρτον κοτύλης α. ἄγει ʃο. β̄. S̄. ὁ δὲ κύαθος ὅπερ ἐστὶν ἕκτον κοτύλης, ἄγει ʃο. ᾱ. ἡμίσειαν γράμματα δ̄. ἡ δὲ χήμη ἐστὶ κυάθου τέταρτον. δὲ ∠. γ'. γράμμα ἕν, ὁ αὐτὸς δὲ σταθμός ἐστι τοῦ ὕδατος καὶ ὄξους. φασὶ δὲ τούτου ὀμβρίου ὕδατος πληρωθεῖσαν ἀποδιδέσθαι τὸν εἶναι τὸν σταθμὸν, ἄγει δὲ ὁλκὰς ψκ̄. τὸν χοῦν. περὶ ἐλαίου τὸ κεράμιον ἔχει λι. οβ. ἡ οὖρνα ἔχει λι. λς'. τὸ κόγγιον ἔχει λίτρας θ'. τὸ ἡμικόγγιον λι. δ'. S̄. ὁ ξέστης ἔχει λι. α'. S̄. ἡ μίνα τουτέστιν ἡμικοτύλη ʃο. θ'. τὸ τέταρτον ἔχει ʃο. δ'. S̄. τὸ ὀξύβαφον, ὅπερ ἐστὶ κοτύλης τέταρτον, ἄγει ʃο. β'. S̄. ὁ δὲ κύαθος ὅπερ ἐστὶν ἕκτον κοτύλης, ἄγει ʃο. α. S̄. ἡ χήμη κυάθου τέταρτον, ἄγει δραχμὰς γ'.

περὶ μέλιτος.

Τὸ μέλιτος τὸ κεράτιον ἔχει λι. ρκ. ἡ οὖρνα ἔχει λίτρας ξ'. τὸ κόγγιον ἔχει λίτρας ιε̄. τὸ ἡμικόγγιον ἔχει λίτρας ζ'. S̄. ὁ ξέστης ἔχει λι. β'. S̄ ἡ μίνα ἔχει λίτραν α. ʃο. γ'. τὸ τέταρτον ἔχει ʃο. ζ'. S̄. τὸ ὀξύβαφον ἔχει ʃο. γ'. S̄. ∠. β'. ὁ κύαθος δὲ ἔχει ʃο. β'. S̄. ἡ δὲ χήμη ὅπερ ἐστὶ κυάθου τέταρτον, ἄγει ∠. ε

περὶ μέτρων.

Μέδιμνος ἔχει ἡμίεκτον. τὸν δὲ ἡμίεκτον, χοῦς δύο, ὁ δὲ χοῦς, χοίνικας τέσσαρας, ὁ δὲ χοῖνιξ κοτύλας ἀττικὰς ἄγει τρεῖς. σταθμῷ δὲ ἔχει ὁλκὰς ρ̄. π̄. ὁ δὲ χοῦς, ἐστὶ μὲν μέτρῳ κοτυλῶν ἀττικῶν ιβ̄. σταθμῷ δὲ ἄγει ∠. ψκ̄ ὁ δὲ ξέστης μέτρῳ μὲν κοτυλῶν β'. σταθμῷ δὲ ∠. ρ. κ̄. ἡ δὲ κοτύλη ἔχει κυάθους ἓξ σταθμῷ δὲ ∠. ξ̄ τὴν δὲ κοτύλην οἱ ἀττικοί, καὶ τρυβλίον ὀνομάζουσι. τὸ ὀξύβαφον μέτρῳ μὲν κοτύλης τέταρτον ὅπερ ἐστὶ κύαθος εἷς ἥμισυ. σταθμῷ δὲ δραχμὰς ιε̄. ὁ κύαθος ἐστὶ ∠. ι̅. ἡ δὲ χήμη, ἐστὶ κυάθου τέταρτον ∠. β'. S̄. τὸ μέγα μύστρον, κοτύλης ἐστὶν, ὀκτὼ καὶ δέκατον. ἄγει δραχμὰς γ'. γράμμα α. τὸ δὲ μικρὸν κοτύλης, εἰκοστὸν τέταρτον ἄγει ∠. β'. S̄. τὸ δὲ δικαιότατον μύστρον, γράμματα ἔχει ὀκτὼ. τὸ δὲ κοχλιάρειον γράμματα ἔχει τρία. τοῦ βασιλικοῦ καρύου τὸ μέγεθος, ∠. ἄγει ἑπτά, τοῦ δὲ ποντικοῦ, ∠. α. τὸ δὲ τῆς βαλάνου δραχμῆς ἥμισυ. τὸ δὲ τοῦ αἰγυπτιακοῦ κυάμου, ἔχει ὀβολὸν καὶ ἥμισυ. τοῦ ὀρόβου, χαλκοῦς β'.

περὶ μέτρων

Περὶ μέτρων καὶ σταθμῶν.

Τῶν σταθμῶν καὶ μέτρων διδασκαλίαν, καὶ τὴν τῶν σημείων τῶν ἐν αὐτοῖς ἔκθεσιν ἀναγκαῖον οὖσαν, ἀνεγράψαμεν ἵν᾽ ἔχοις ἄπταιστον, τὴν ἐν τοῖς βοηθήμασιν εὕρεσιν. τὴν οὖν μνᾶν δηλοῖ ἐπὶ τόνων στοιχεῖον τὸ ν΄. μ΄ τὴν δὲ λίτραν, τὸ λι. ἔχον ὑποκείμενον τὸ ι. λι. τὴν δὲ Γο. τὸ γ΄. ἔχον ὑποκείμενον. ἢ ὑπερκείμενον τὸ ο. Γο. παρ᾽ ἐνίοις δὲ εὗρον Γο. τὸ ν΄. ἐπικείμενον τὸ Γο. τὸ δὲ μ΄. ἐπικείμενον ε. μέρος δηλοῖ μ. πλάγιον δὲ λ΄. τὰς κεραίας ἔχον, δραχμὴν δηλοῖ ∠. εἰς δὲ τὰ δύωνυμα, ἡμισίαν. τὸ δὲ ῥωμαϊκόν, S΄. παρ᾽ ἐνίοις μὲν τριόβολον. παρ᾽ ἡμῖν δὲ παντὸς σταθμοῦ τὸ ἥμισυ. πλάγιον δὲ ι. ὀβολῶν.

ΠΕΡΙ ΜΕΛΑΓΧΟ ΛΙΑΣ ΕΤ ΤΩΝ ΓΑΛΗΝΟΥ ΚΑΙ ΡΟΥΦΟΥ, ΚΑΙ ΑΓΟ ΣΙΚΑΜΙΟΥ ΤΟΥ ΑΕΤΙΟΥ.

ΩΣΠΕΡ ἐν τοῖς φαινομένοις μέλεσι τοῦ σώματος, ἐνίοτε μὲν ἅπασιν ἡ αὐτὴ φαίνεται κρᾶσις, ὡς ἐν καχεκταῖς τε καὶ τοῖς καλουμένοις ἐλεφαντιῶσι καὶ τοῖς ὑδέρους. ἐνίοτε δὲ ἔν τι μόριον ἤτοι πικρόχολον, ἢ μελαγχολικόν, ἢ φλεγματικόν, ὑποδεχόμενον χυμόν, αὐτὸ μόνον ἐξαλλάττεται τὴν κρᾶσιν. οὕτως ἐγχωρεῖ καὶ τὸν ἐγκέφαλον, ἐνίοτε μὲν παντὸς τοῦ κατὰ τὰς φλέβας αἵματος μελαγχολικοῦ γενομένου τῷ κοινῷ λόγῳ τῆς βλάβης καὶ τὸν ἐγκέφαλον βλαβῆναι. καθ᾽ ἕτερον δὲ καιρὸν ἀπαθοῦς διαμένοντος τοῦ καθ᾽ ὅλον τὸν ἄνθρωπον αἵματος ἀλλοιωθῆναι τὸ κατὰ μόνον τὸν ἐγκέφαλον καὶ συμβαίνει τοῦτο διττῶς, ἢ ῥυέντος εἰς αὐτὸν ἑτέρωθεν. ἢ γεννηθέντος ἐν τῷ τόπῳ τοῦ μελαγχολικοῦ χυμοῦ. γεννᾶται δὲ ὑπὸ θερμασίας πολλοῖς ἐγχωρίου κατοπτώσης. ἢ τὴν ξανθὴν χολήν, ἢ τὸ παχύτερον τε καὶ μελάντερον αἷμα. ὡς ἐπίπαν δὲ τὰ κατὰ ὑποχόνδρια μέρη πρῶτα παθόντα εἰς συμπάθειαν ἄγει τὴν κεφαλὴν καὶ τὴν παραφροσύνην ἐργάζεται, ἤτοι αὐτῆς τῆς χολῆς καταλαβούσης τὸν ἐγκέφαλον, ἢ τινὸς ἀναθυμιάσεως ἀτμοῦ μελαγχολικοῦ καθάπερ ἐν τῷ νοσήματι τῷ φυσώδει καὶ ὑποχονδριακῷ προσαγορευομένῳ. οὐδὲν γὰρ παρεμποδὼν γίγνεται τῷ λόγῳ. ἑτέρωθεν, καὶ ἐξ ἄλλου μορίου εἶναι τὴν ἀρχὴν καὶ γένεσιν τοῦ πάθους. ῥαδίως γὰρ τὸ στόμα τῆς γαστρὸς ὁπότερον πάσχον, εἰς συμπάθειαν ἄγει τὸν ἐγκέφαλον τῇ συγγενείᾳ διὰ τῶν καθηκόντων, εἰς αὐτὸν ἄνωθεν μεγίστων δύο νεύρων. εἰς συμπάθειαν δὲ ἄγει καὶ τὴν καρδίαν τῇ γειτνιάσει. ὁμοίως δὲ καὶ τὸ διάφραγμα ᾧ καὶ συμπέφυκε. κοινωνία δέ ἐστι τῷ στομάχῳ καὶ πρὸς τὸν νωτιαῖον καθ᾽ ὃ μέρος καὶ ἐγκεῖται καὶ συνδέδεται τοῖς τῆς ῥάχεως σπονδύλοις. ἀρχὴ τοίνυν τῆς τοιαύτης μελαγχολίας. ὡς ἐπίπαν ἐξ ἀπεψίας γίνεται. φῦσαι γὰρ αὐτοῖς ἐπιγίγνονται πολλαὶ καὶ ἐπὶ τῷ τυχόντι σιτίῳ μετέωροι, καὶ περὶ τὰ ὑποχόνδρια ἐπὶ πολὺ διατρίβουσαι ἐρυγαὶ ὀξώδεις καὶ βρωμώδεις καὶ οἷον ἰχθυώδεις αὐτοῖς ἐπιγίνονται, μηδενὸς τοιούτου ἐδηδεσμένου. ξηραὶ ὡς ἐπίπαν αὐτοῖς αἱ κοιλίαι ὕπνοι μικροὶ διεσπασμένοι ἐνύπνια ταραχώδη καὶ ἀλλοκότατα παλμοὶ ἄλλοτε ἄλλου τοῦ σώματος. ἴλιγγοι τῆς κεφαλῆς καὶ πνευμάτων ἦχοι κατὰ τὰ ὦτα. δοκεῖ δὲ τοῖς μὲν αὐτῶν μεστὴ καὶ βαρεῖα εἶναι ἡ κεφαλή. τοῖς δὲ κενὴ καὶ ἡ κούφη τοῖς δὲ ξηρά. ἤδη δέ τις οὐδὲ τὴν κεφαλὴν ἔχειν τὸ παράπαν ᾤετο πρὸς ὃν ἐξευρεῖν ὁ Φιλότιμος λέγεται πρὸς τῇ ἄλλῃ θεραπείᾳ τὸν πῖλον τὸν μολίβδινον ἀφ᾽ οὗ βαρυνόμενος συνίει τῆς κεφαλῆς. γίγνονται δὲ οἱ πολλοὶ τῶν μελαγχολικῶν, καὶ ἀκόλαστοι πρὸς ἀφροδίσια τὴν γνώμην. ἐπίλυποι καὶ δειλοὶ καὶ ἐλεήμονες καὶ δακρυτικοί, καὶ διώκουσι τὰ εὑρήματα. τινὲς καὶ δαίμονας ἀπὸ γοητειῶν τῶν ἐχθρῶν ἐπῆχθαι αὐτοῖς ὑπολαμβάνουσιν. ἕτεροι δὲ δηλητήριον φάρμακον εἰληφέναι πιστεύουσι. καὶ βεβαίαν αὐτῶν τὴν ὑποψίαν ἐργάζονται, αἱ συνεδρεύουσαι αὐτοῖς βρωμώδεις, καὶ ἀλλόκοτοι ἐρυγαί, δοκεῖ δὲ ἄλλοις ἄλλα, καὶ ἔστιν ἡ νόσος παντοδαπής, καὶ οὐκ εὐαρίθμητος. οἷον αὐτίκα περὶ τοὺς φόβους, ὁ μὲν δέδοικε τοὺς φιλτάτους. ὁ δὲ ὅλους ἀνθρώπους. καὶ ὁ μὲν δέδοικεν εἰς φῶς εἶναι, τὰ δὲ σκοτεινὰ διώκει. ὁ δὲ φεύγει τὰ ζοφώδη. οἱ πλείους μέντοι ἐν σκοτεινοῖς τόποις χαίρουσι διατρίβειν καὶ ἐν μνήμασι καὶ ἐν ἐρήμοις. ἔνιοι δὲ καὶ τὸ ὕδωρ δεδοίκασι καὶ οἶνον καὶ ἔλαιον, καὶ πᾶν ὑγρὸν ὁτιοῦν. ὥσπερ οἱ δηχθέντες ὑπὸ λυττῶντος κυνός καὶ συντόμως εἰπεῖν, αἱ μελαγχολικαὶ παράνοιαι, πολυειδεῖς μέν εἰσι, ταῖς κατὰ μέρος ὑπ᾽ ἄλλοις φαντασίαις, ἐν δὲ αὐταῖς ὑπάρχει κοινὸν ὁ φόβος καὶ ἡ δυσθυμία. δυσθυμοῦσι μὲν γὰρ πάντες ἀλόγως οὐδ᾽ ἂν ἐρωτήσῃς ἔχοντες εἰπεῖν ἐφ᾽ ὅτι λυποῦνται. δεδίασί τε ἐξ αὐτῶν οὐκ ὀλίγοι θάνατον καὶ ἕτερα τινὰ μηδενὸς ἄξια δείματος. εἰσὶ δὲ οἱ καὶ σφοδρῶς ἐπιθυμοῦσι θανάτου. τὸ μὲν οὖν ἐπὶ τῇ μελαίνῃ χολῇ καταλαβούσῃ τὰς ἀρχὰς τῆς λογικῆς ψυχῆς φόβους τε γίγνεσθαι, καὶ δυσθυμίας καὶ θανάτου προσδοκίας οὐδὲν θαυμαστόν. ὁρῶμεν γὰρ καὶ τῶν ἔξωθεν τοῦ σώματος, οὐδὲν οὕτως ἡμῖν φοβερόν, ὡς τὸ σκότος. ὅταν οὖν ζόφος τις περιχυθῇ τῷ λογικῷ μορίῳ τῆς ψυχῆς ἀναγκαῖον ἀεὶ φοβεῖσθαι τὸν ἄνθρωπον, ὡς ἂν τὴν αἰτίαν τοῦ φόβου συμπεριφέροντα τῷ σώματι. ὡς γὰρ ἐν σκότῳ βαθεῖ τὰ παιδία φοβεῖται, καὶ τῶν τελείων οἱ ἀπαίδευτοι, οὕτω καὶ τῆς μελαίνης χολῆς τὸ χρῶμα παραπλησίως σκότῳ τὸν φρονοῦντα τόπον ἐπισκιάζον ἐργάζεται τοὺς φόβους. πάντων μὲν οὖν τῶν παρεπομένων ἑκάστῳ συμπτωμάτων, τὰς αἰτίας εἰπεῖν ἀδύνατον. ἀπειρίαν γὰρ πολλὴν ἔχει τὰ πλεῖστα, οἷον διὰ τί τὰ μὲν φεύγουσιν ὡς δεινὰ μὴ ὄντα δεινά. τὰ δὲ διώκουσιν ὡς χρηστά, μὴ ὄντα χρηστά, καὶ διὰ τί ὁ μὲν τοὺς οἰκείους φοβεῖται. ὁ δὲ ὅλους ἀνθρώπους καὶ τὰ τοιαῦτα. τῶν πλείστων δὲ συμπτωμάτων εἰπεῖν τὰς αἰτίας τὸν ἰατρὸν οὐ χαλεπόν, οἷον δοκῶν ἑαυτὸν κέραμον εἶναι, διὰ τὴν ξηρότητα τοῦτο πάσχει. ψυχρὸν γὰρ καὶ ξηρόν, ὁ μελαγχολικὸς χυμός. ὁμοίως καὶ ὁ τὸ ἑαυτοῦ δέρμα δοκῶν εἶναι ταῖς ξηραῖς διφθέραις ὅμοιον. ὁ δὲ οἰόμενος μὴ ἔχειν κεφαλήν, ἴσως διὰ κουφότητα τῆς κεφαλῆς τοῦτο ᾤετο. τὴν δὲ κουφότητα τὸ ἀναφερόμενον πνεῦμα παρεῖχεν αὐτῇ. διὰ τί δὲ οἱ μελαγχολικοί, πλειόνων σιτίων ὀρέγουσιν ἢ ὅτι

ψύχεται αὐτοῖς τὸ στόμα τῆς γαστρός; διατί δὲ ἔνιοι αὐτῶν οἰνοπόται. ἢ ὅτι τὸ ψυχρὸν θερμανθῆναι χρῄζει. διὰ τί δὲ ἀποκτείνουσι σφᾶς αὐτούς, ἢ ὅτι μειζόνων κακῶν ὑπολαμβάνουσιν ἀπαλλάττεσθαι; εἰ μὴ ἄρα δόξα τοιαύτη ὑπογίγνεται αὐτοῖς ὅτι τὸ ἀποθνήσκειν ἐστὶ καλόν, ὥσπερ τῶν βαρβάρων ἐνίοις. διατί δὲ ἀπεψίαι συνεχεῖς αὐτοῖς γίγνωνται, ἢ ὅτι θολερὸν καὶ περιττωμάτων μεστόν ἐστιν αὐτῶν τὸ σῶμα, καὶ διὰ τοῦτο καὶ δύσκρατος ἡ γαστὴρ ψυχομένη διαπαντὸς ἐκ τοῦ μελαγχολικοῦ χυμοῦ. διὰ τί δὲ αἱ κοιλίαι αὐτοῖς ὡς ἐπίπαν ξηραίνονται, ἢ ὅτι τὸ πνεῦμα τοῖς ἄνω περὶ τὰ ὑποχόνδρια περιΐσταται, καὶ οὐ πάνυ κάτω διαχωρεῖ. ἀνάγκη τοίνυν διὰ τοῦτο καὶ τὰς γαστέρας εἶναι ξηράς, ἐκ δὲ τῆς πολλῆς ἐπισχέσεως ἀθρόα ποτὲ καὶ περιττετηκότα διαχωροῦσι. σκαρδαμύκται δὲ καὶ ἐξόφθαλμοι καὶ παχύχειλοι. ὡς ἐπίπαν γίγνονται διὰ τὸ παχὺ πνεῦμα. μελάγχροες δὲ διὰ τὴν φύσιν τοῦ χυμοῦ. δασεῖς δὲ οἱ πλείους αὐτῶν διὰ τὸ πλῆθος τῶν παχέων περιττωμάτων. ταχύγλωσσοι δὲ ὡς ἐπίπαν εἰσὶ τραυλοὶ καὶ ἰσχνόφωνοι, διὰ ἀκρατεῖ τῆς γλώσσης. αἱ γὰρ συντονίαι τῆς κινήσεως κατὰ τὸ πνεῦμα γίγνονται. καὶ πᾶν δὲ τὸ συντόνως κινηθέν, ἀπορρεῖ ταχέως. εὐπετὴς μὲν διὰ βουλομένῳ καὶ τῶν λοιπῶν συμπτωμάτων ἀνευρεῖν αἰτίας ἐκ τούτων ὁρμώμενος. μελαίνεται δὲ ὁ χυμὸς οὗτος, ποτὲ μὲν ὑπερθερμαινόμενος, ποτὲ δὲ ὑπερψυχόμενος. οἷον γάρ τι πάσχουσιν οἱ καιόμενοι ἄνθρακες, διαυγέστατοι μένοντες τῇ φλογί, σβεννυμένης δὲ τῆς φλογός, μελαίνονται, τοιοῦτόν τι καὶ ἡ ψύξις περὶ τὸ φαιδρὸν χρῶμα τοῦ αἵματος ἐργάζεται. ὁρῶμεν γὰρ κἀπὶ τῶν ἐκτὸς πελιδνὰ γινόμενα τινὰ τῶν σωμάτων, καὶ μελαινόμενα ὑπὸ ψύξεως. ἡ δὲ ὑπερβολὴ τοῦ θερμοῦ πάλιν ξηράνασα καὶ δαπανήσασα τὰς ὑγρότητας, ὑφ' ὧν τρέφεται τὸ θερμόν, μελαίνει τοὺς χυμούς, ὥσπερ καὶ ὁ ἥλιος τοὺς καρπούς, καὶ τὰ τῶν ἀνθρώπων σώματα. τὰ μὲν οὖν πρὸ τῆς θεραπείας εἰς τοσοῦτον διεγνωκέναι τὸν ἰατρόν, ἃ δ' ἄν τις ἔχει βοηθεῖν τοῖς οὕτω νοσοῦσιν, ἤδη καιρὸς τίθεσθαι. διαφέρει δὲ εἰς τὴν θεραπείαν, ὡς μηκέτι εἰδέναι. ὅθεν τὴν ἀρχὴν ἔχει τὸ νόσημα. ὅταν μὲν γὰρ ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχῃ ὅλον τὸ αἷμα τὴν ἀρχὴν τῆς θεραπείας ἀπὸ φλεβοτομίας ποιεῖσθαι προσήκει. ὅταν δὲ τὰ περὶ μόνον τὸν ἐγκέφαλον οὐ χρῄζει φλεβοτομίας ὁ κάμνων. μή τί γε πολύαιμος εἴη. καὶ χάριν προφυλακῆς τὴν ἄφεσιν ποιούμεθα. ἔτι δὲ οὖν διάγνωσις ἀπὸ τῶν τότε σοι γινέσθω πότερον ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχει τὸ αἷμα, ἢ καὶ τὸν ἐγκέφαλον μόνον ἤθροισταί τι τοιοῦτον, οἱ μὲν μελάντεροι, καὶ δασεῖς καὶ φλέβας εὐρείας ἔχοντες, ἐπιτηδειότατοι πρὸς τὴν τοῦ μελαγχολικοῦ χυμοῦ γένεσιν, ἔσθ' ὅτε τε καὶ οἱ ἐξέρυθροι τὴν χρόαν ἄνθρωποι καταπίπτουσιν ἀθρόως εἰς τὴν μελαγχολικὴν κρᾶσιν. ἐφεξῆς αὐτῶν οἱ ξανθοί, καὶ μάλιστα ὅταν ἀγρυπνίαις καὶ πόνοις πλείοσι, καὶ φροντίσι καὶ λεπτῇ διαίτῃ, ἢ μελαγχολικοῖς ἐδέσμασι διαιτημένοι τύχωσιν ὄντες. πρὸς τούτοις εἰ ἐπίσχεται τις αἱμορροῒς ἐν ἕδρᾳ, ἢ ἄλλη τις συνήθης κένωσις αἵματος ἢ καταμήνια ταῖς γυναιξίν, οὐ μικρὰ δὲ συντελεῖ καὶ ἡ ὥρα τοῦ ἔτους καὶ ἡ κατάστασις τοῦ ἀέρος καὶ τὸ χωρίον ἥ τε τοῦ κάμνοντος ἡλικία καὶ τὸ ἐπιτήδευμα. ταῦτα δὲ πάντα προδιασκεψάμενος, ὅταν ἐλπίσῃς ἐν ταῖς καθ' ὅλον τὸ σῶμα φλεψὶ μελαγχολικὸν αἷμα περιέχεσθαι τὴν βεβαιοτάτην ἐπαγάγῃ διάγνωσιν, ἐκ τοῦ τέμνειν τὴν κατ' ἀγκῶνα φλέβα. βέλτιον δὲ τὴν μέσην τέμνειν. εἶτα εἰ μὴ φαίνοιτο μελαγχολικὸν εἶναι τὸ ῥέον αἷμα, ἐπίσχειν εὐθέως. εἰ δὲ τοιοῦτον φαίνοιτο κένωσον ὅσον ἂν ὑποβάλῃς αὐταρκὲς ἔσεσθαι τῇ τοῦ κάμνοντος σώματος ἕξει.

Τρίτη διαφορά.

Ἡ δὲ τρίτη διαφορὰ τῆς μελαγχολίας ἡ τὴν ἀρχὴν ἀπὸ τῆς κοιλίας ἴσχειν λεγομένη, ὑποχονδριακὸν πάθος ὀνομαζομένη, διαγινώσκεται ἐκ τῶν προειρημένων πολλάκις. πρῶτον γὰρ ἄρχεται περὶ τὴν γαστέρα συμπτώματα. οἷον ἐμπνευματώσεις, βορβορυσμοί, ἐρυγαὶ ὀξώδεις, καὶ βρομώδεις καὶ τὸ ἐπιξηραίνεσθαι τὴν γαστέρα καὶ τὸ ἐπὶ ταῖς διαχωρήσεσι καὶ τοῖς ἐμέτοις καὶ ταῖς ἐρυγαῖς ἐπικουφίζεσθαι. καὶ τὸ τοῦ κάμνοντος αὐτοῦ συναισθάνεσθαι τῶν ὀχληρῶν πάντων, περὶ τὰ ὑποχόνδρια συνεδρευόντων. ὥσπερ οὖν τισι πολλάκις ἀναφερομένης ἐκ τῆς γαστρὸς αἰθαλώδους τινός, ἢ καπνώδους ἀναθυμιάσεως, ἢ ὅλως ἀτμῶν τινῶν παχέων. ὅμοια τοῖς τῶν ὑποχεομένων δοκεῖ φαίνεσθαι πρὸ τῶν ὀφθαλμῶν, κατὰ τὸν αὐτὸν λόγον καὶ νῦν, ἐπὶ τὸν ἐγκέφαλον ἀναφερομένης τῆς μελαγχολικῆς ἀναθυμιάσεως. οἷον αἰθάλη ἢ καπνὸς τὰ μελαγχολικὰ γενήσεται περὶ τὴν διάνοιαν συμπτώματα. ὅταν μὲν οὖν τὰ καὶ μελαγχολικῆς παρανοίας ἴδια σημεῖα φαίνηται μεγάλα. περὶ δὲ τὴν κοιλίαν
* ἤτοι μηδὲν ἐνοχλεῖν ἢ εἰς μικρότατον, τοῦτον εἶναι ἢ τὸν ἐγκέφαλον ἡγητέον. ἐπὶ τούτων πρώτῳ παθεῖν,
* καθὼς προείρηται.

* Θεραπεία Γαληνοῦ εἰς μελαγχολικὸν βοήθημα τὸ διὰ ἀμαράκου εἰς ὑποχονδριακὴν κάθαρε* μετὰ τούτων
T ἣν μὲν οὖν ἐξ ἐγκεφάλου πρωτοπαθοῦντος συνισταμένην μελαγχολίαν. διά τε λουτρῶν συνεχῶν καὶ διαίτης εὐχύμου τε καὶ ὑγρᾶς, καὶ ἀφύσου ἐκ θεραπεύειν, χωρὶς ἑτέρου δραστικοῦ βοηθήματος, ὅταν γε μή πως διὰ χρόνου μῆκος δυσκίνητος ἦ ὁ λυπῶν χυμός, ἡνίκα ποικιλωτέρας καὶ ἰσχυροτέρας προσάγειν δεῖ τὰς ἰάσεις. ἀρχόμενον δὲ τὸ πάθος, θεραπεύειν προσήκει. χρονίσαν γὰρ καὶ αὐξηθέν, δυσμεταχείριστον γίγνεται. κοινὰ δ' ἐστὶ κἂν ὁ ἐγκέφαλος πρωτοπαθεῖ κἂν τὰ καθ' ὑποχόνδρια, τὰ ὑπακτικὰ τῆς γαστρὸς βοηθήματα. πρῶτον μὲν οὖν εὐπεψίας φροντίδα τίθεσθαι χρή. ἔπειτα δὲ καθαίρειν. πρῶτον μὲν ἐπιθύμῳ καὶ ἀλόῃ. τοῦτο γὰρ εἰ καὶ ὀλίγον ἐφ' ἑκάστης ἡμέρας λαμβάνει. ὠφελεῖται τὰ μέτρια καὶ ἡσυχῇ ὑπάγειν ἐφ' ὧν τὸ αἷμα πλεονάζειν φαίνοιτο ἐξ ἀρχῆς εὐθύς, φλέβα τέμνειν προσήκει τὴν ἐν ἀγκῶνι καὶ μάλιστα ἐφ' ὧν συνήθεις ἐκκρίσεις εἰσὶ τοῦ αἵματος ἐπεσχημέναι. ἐπὶ δὲ γυναικῶν, αἷς ἐκλείπει τὸ καταμήνιον τὴν ἐν τῷ σφυρῷ φλέβα τέμνειν χρή, κενοῦν δὲ ἕκαστον πρὸς δύναμιν. ἐφ' ὧν δὲ ἡ κακοχυμία μᾶλλον πλεονεκτεῖ, προδιαιτήσας τὸν πάσχοντα, κάθαιρε τῇ ἱερᾷ ῥούφου. ἢ ἀρχιγένους. ἢ ἰούστου. εἰ δὲ ἄμφω πλεονάζει, προφλεβοτομήσας κάθαιρε. μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέρας τινάς, κλυστῆρσι τὴν κοιλίαν κένου πρῶτον μὲν διὰ χυλοῦ πιτύρων καὶ ἀφονίτρου καὶ μέλιτος. μετέπειτα δὲ καὶ πολυποδίου ῥίζας τεθλασμένας συνεψεῖν τοῖς πιτύροις. ἢ ἐπίθυμον. μετὰ δὲ τρεῖς ἡμέρας τοῦ κλυστῆρος, δοτέον αὐτοῖς τὴν διὰ ἀλόης πικρὰν προσειληφυῖαν πρὸ τοῖς ἄλλοις πᾶσι καὶ ἐπιθύμου. σκευάζειν δὲ αὐτὴν ὡς

θέμις ὢν

θέμις ὧν βούλεται. Ἀλόης μὲν βαλῶν L ϛ. μαστίχης δὲ καὶ κρόκου. καὶ νάρδου στάχυος κινναμώμου τε ἢ κασσίας τὸ διπλοῦν ἀσάρου καὶ καρποβαλσάμου. ἑκάστου ἀνὰ οὐγγία μία. προσθεῖναι δὲ τούτοις καὶ ἐπιθύμου οὐγγίας β'. καὶ σχοίνου ἄνθους οὐγγίαν α. καὶ διδόναι καὶ κοχλιαρίου μεγάλου τὸ πλῆθος μετὰ μελικράτου. δοτέον δὲ αὐτοῖς ἐκ διαστημάτων ὀλίγων, δεύτερον ἢ τρίτον. εἶτα πάλιν διαιτήσας καὶ ἀναλαβὼν τὰς δυνάμεις δίδου πάλιν τὴν ἱερὰν ῥούφου, ἢ ἀρχιγένους ἢ ἰούστου. πλῆθος δὲ ἔστω τὸ διδόμενον, L δ. μετὰ μελικράτου καὶ ἄλλων ὅσον κοχλιάριον μικρόν, βέλτιον δὲ καὶ τοῖς ἐφήμερον κενοῦσι πράως ὑπάγειν τὴν γαστέρα. μελάνων δὲ ἀγωγὴ ἐστὶν ἀμάρακον καὶ ἰκονία λεγομένη. ὅθεν L. β'. ἐπιπασσόμεναι μελικράτῳ καὶ πινόμεναι. συμφέρει δὲ καὶ διὰ ὀρρῷ τοῦ γάλακτος ὑπάγειν τὴν κοιλίαν. ἀλλὰ μὴν ἀπὸ τῶν τυρῶν δοτέον τὸν ὀρόν. ἄμεινον γὰρ τὸ ἐκ τοῦ ἑψομένου γάλακτος ἀποχωριζόμενον. μᾶλλον δὲ ἵππιον ἔστω τὸ γάλα ἐν καινῇ χύτρᾳ κινοῦντα κλάδῳ συκῆς. ὅταν δὲ ἀναζέσῃ τρὶς ἢ τετράκις καταρραίνων ὀξυμέλιτι. εἶτα διηθήσας δίδου πίνειν. τὰ μὲν πρῶτα, μέλι προσμίγων. ὅταν δὲ ἄρξηται ὑπορρεῖσθαι ἡ γαστήρ, μηκέτι λαβεῖν τὸ μέλι. λαμβανέτω δὲ ἐπὶ κοτύλην μὴ ἔλαττον τῶν πέντε κοτυλῶν. χρῆσθαι δὲ ὧδε πάσῃ κενώσει μαλάχης σπέρματι λειοτάτης διδοὺς τὰ ὅθεν L. β'. μεθ' ὕδατος κυάθων γ'. ἀκρως γὰρ ποιεῖ. ὅθεν πολλάκις αὐτῷ χρηστέον † δὲ καὶ γλήχωνος καὶ πρὸ τῶν καθαρτικῶν καὶ μετὰ τὰ καθαρτικὰ καὶ τοῦ μικροῦ κενταυρείου ὁμοίως. τοῦ δὲ ἀψινθίου τὸ ἀφέψημα καὶ συνεχῶς καὶ ἐφεξῆς δίδου. στομάχῳ γὰρ καὶ γαστρὶ κατάλληλον. ὧδε γὰρ καὶ φῦσαν οὐ συγχωρεῖ ἐγγίνεσθαι τῇ γαστρὶ πολλήν, ὥστε εἰς τέλος ἀποξηραίνεσθαι τὴν διαχώρησιν καὶ οὔρησιν κενῇ καὶ πέψιν ἀκριβεστέραν παρασκευάζειν, ὥστε ἐν μόνῳ τούτῳ τινὰς οἶδα ἀπηλλαγμένους τοῦ νόσου. διδόναι δὲ καὶ τῶν διουρητικῶν. ἀνίσου δαύκου πετροσελίνου ἀσάρου, καὶ νάρδου καὶ μᾶλλον τούτων τὸ τοῦ ἱππομαράθρου σπέρμα καὶ ῥίζαν. τὴν δὲ χαμαιπίτυν καὶ τὴν χαμαίδρυν προθυμότερον λαμβάνειν ἕκαστον γὰρ ἑψῶντα σὺν ὕδατι καὶ ξηρὸν λεῖον ἐπιπάσσοντα διὰ πότῳ.

† ἀλ. χρηστέον

Ἀγαθαὶ δὲ καὶ αἱ διὰ τῶν ἱδρώτων καθάρσεις διά τε πόνων καὶ λουτρῶν γιγνόμεναι καὶ χρίσμασιν ἐν ἡλίῳ. οἷον τότε διὰ τοῦ χαμαιμήλου ἔλαιον καὶ νίτρον σὺν ἐλαίῳ καὶ ὅταν ἐπιδιδῷ, ἢ ἕξις πάλιν καθαίρειν τῇ ἱερᾷ. προσήκει δὲ μὴ τῶν ὑποχονδρίων ἀμελεῖν ἀρχομένων τοῖς θεραπείας καὶ μάλιστα προεληλυθότα. πυριαίων μὲν οὖν, ἁρμόδει ἐλαίου ἐναφεψημένου ἐν αὐτῷ πηγάνου ἀνήθου. ἑρπύλλου. ἀψινθίου. ἀρτεμισίας γλήχωνος ἄγνου σπέρματος δάφνης τοῦ καρποῦ ἢ τῶν φύλλων ἁπαλῶν. ταῦτα καὶ τοὺς πόνους παρηγορεῖ καὶ τὰς φύσας μειοῖ. ὧδε δὲ τῶν μετὰ δήξεων τοῦ στομάχου ἐμπνευματώσεων ὄξει ἀφεψήσαντες, κύμινον καὶ γλήχωνα σπόγγοις πυριῶν τὸν στόμαχον. ἐνίοτε δὲ καὶ συπτηρίαν ἐπιπάσσομεν, διὰ ὄξει.

Κολλύριον ὀφθαλμικὸν παρὰ στεφάνου ἰατροῦ τοῦ μαγίστρου ἐνεργὲς καὶ ἄγαν ὠφέλιμον πρός τε τὰς τῶν ὀφθαλμῶν φλεγμονάς, καὶ ἑλκώσεις τοῦ κερατοειδοῦς, καὶ προπτώσεις τοῦ ῥαγοειδοῦς διὰ ῥεύματος λεπτοῦ, καὶ ἄγαν δριμέος γιγνομένας ἐφ' ὧν οὐδὲν τῶν ἁπλῶν φαρμάκων καθ' αὑτὸ ἁρμόττειν δύναται, τῶν μὲν ἁπλῶς στυφόντων κατεχόντων τοὺς ἐκρέοντας ἰχῶρας, καὶ ἐπὶ τούτῳ τὴν ἐκ τῆς δήξεως αὐτῶν ὀδύνην ἐπιτεινόντων, τῶν δὲ δριμέων καὶ θερμῶν, οὐ μόνον οὐδὲν ὠφελούντων, ἀλλὰ καὶ συναυξανόντων τὴν ποιότητα τῶν δακνωδῶν χυμῶν, ἡ δὲ τῶν χαλαστικῶν τε καὶ διαφορητικῶν φαρμάκων δύναμις ἐκκενοῦν μὲν δύναται τὸ γινόμενον, οὔτε δὲ τὸ ἡλκωμένον † τρέφειν, ἢ ἐπουλοῦν, οὔτε τὸ προπεπτωκὸς προστέλλειν, καὶ κατακλείειν, οὔτε τὸ ἐπιρρέον ἀποκρούεσθαι, οὔτε τὴν δριμύτητα ὑπαμβλύνειν ὁμοίως ταύτῃ. καθ' αὑτὴν ἔχει καὶ ἡ τῶν συμπεπτόντων, εἰ καὶ τὸ πέπτειν τὰς διαθέσεις οὐ σμικρὸν ἀγαθὸν ἔχει. τί δεῖ λέγειν περὶ τῶν ὀξείας, ἢ πικρὰς, ἢ νιτρώδεις, ἢ ἁλμυρὰς, ἢ αὐστηρὰς ἐχόντων δυνάμεις φαρμάκων.

† ἀλ. σύφειν

Ὑπόλοιπον οὖν ἐστὶ γένος φαρμάκων θεραπεύειν δυνάμενον ἕλκη τὰ μετὰ ῥεύματος δριμέος, ὅσα γνώδη ταῖς οὐσίαις ὄντα, μέσα κατά τε θερμότητα καὶ ψύξιν εἰσίν. ἢ μᾶλλον τινὰ μὲν βραχείας ψύξεως ἢ θερμασίας μετέχει τινὰ δὲ οὐδὲ ὅλως ἐμφαίνει δύναμιν. ὅλον δ' οὖν τὸ γένος αὐτῶν καλεῖται ἐμφρακτικόν, ἐμπλαστικόν, καὶ ἄποιον, διὸ καὶ χρόνῳ πλέονι τὴν ἀφ' ἑαυτῶν ὠφέλειαν αἰσθητὴν ἐργάζεται, ἐπὶ τὰς πρώτας ἡμέρας οὐδὲν ὠφελεῖν δοκοῦντα, προσφερόμενα δὲ ὅμως ὡς ἀδηκτότατα ἐπὶ τὰς δυσιατοτάτας διαθέσεις, ἐν αἷς ἕλκος ἐστὶν ἤτοι μόνον, εἴτε μετὰ διαβρώσεως τοῦ τε κερατοειδοῦς, ἐκ ῥεόντων ἰχώρων δριμέων ἄγαν, καὶ δακνωδεστάτων, μεγάλως ἀρήγουσι, πλὴν εὐκαίρως προσφερόμενα, ἀκαίρως γὰρ οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ ὀδύνην μεγάλην ἐργάζεται, διὰ διατείνειν τοὺς χιτῶνας. χρεία δὲ ἐν ἀπόροις εὑρεῖν καὶ διὰ τοῦτο, πρῶτον μὲν τοῦ ὅλου σώματος πρόνοιαν ποιήσασθαι χρή, ἤτοι διὰ φλεβοτομίας, ἢ καθάρσεως ἢ δι' ἀμφοτέρων, εἰ δέοι. εἶτα τῆς κεφαλῆς. μετὰ δὲ ταύτης πρόνοιαν, καὶ τὴν πρόσφορον δίαιταν, χρήσασθαι διὰ τοιούτῳ φαρμάκῳ. ἔστι δὲ ἡ σύνθεσις αὐτοῦ τοιάδε. Πομφόλυγος πεπλυμένης L. β. ἀμύλου καλῶς πεπλυμένου προσφάτου καὶ ἀποίου L. ε. καδμίας κεκαυμένης καὶ πεπλυμένης L. δ'. μολίβδου κεκαυμένου καὶ πεπλυμένου L. γ'. ψιμμυθίου πεπλυμένου L. α. λίθου αἱματίτου L. ζ'. ὀπίου L. α. S. ῥόδων χυλοῦ L. γ. λιβάνου L. α. S. κρόκου L. τὸ S. ἀλόης ἰνδικῆς ὡσαύτως, σμύρνης L. α. S. σαρκοκόλλης πεπλυμένης L. η. σακχάρεως πεφωγμένου L. γ'. τραγακάνθης L. ιβ'. ἀποβραχείσης ἐν χυλῷ τελέως. Ἔστι δέ, ὁ μὲν πεπλυμένος πομφόλυξ ξηραίνων ἀδήκτως, εἴπερ τι καὶ ἄλλο ἐστί. καὶ διὰ τοῦτο χρώμεθα αὐτῷ πρὸς τὰ λεπτὰ καὶ δριμέα ῥεύματα, ἔτι δὲ καὶ πρὸς ἕλκη. πρὸς τούτοις ὁ πομφόλυξ ἔχει βραχύ τι καὶ στυπτικόν, ἡ δὲ ἀρίστη καδμία καυθεῖσα καὶ πλυθεῖσα ἀδηκτότατον γίνεται φάρμακον. ἔχει δέ τι βραχὺ καὶ ῥυπτικόν, ἐάν τε μετὰ τὴν καῦσιν, ἐάν τε καὶ χωρὶς ταύτης. πλυθῇ. τὸ δὲ πρόσφατον ἄμυλον πρὸς διὰ ἀδηκτότατον εἶναι, ἔτι καὶ τῆς οὐσίας εὐκράτου μετείληφεν κατά τε θερμότητα καὶ ψυχρότητα καὶ ψυχρότητα. ὁ δὲ αἱματίτης λίθος ξηραντικὴν ὑγρῶν ἔχει δύναμιν τὸ ψύχειν καὶ στύφειν, ἐξ ὑγρᾶς οὐσίας παγείσης τὴν γένεσιν ἐσχηκώς. ἔστι δὲ καὶ ἄδηκτος. ὁ δὲ κεκαυμένος καὶ πεπλυμένος μόλιβδος ἄδηκτός ἐστι, καὶ ψύχει καὶ στύφει μετρίως, μετέχει δὲ καὶ σύψεως. ὁ δὲ τῆς

μήκωνος ὀπὸς οὐ μόνον ἄδηκτος, ἀλλὰ καὶ ὑπνοποιός ἐστι, καὶ διὰ τοῦτο τὰς σφοδρότητας τῶν ὀδυνῶν πραΰνει. ὁ δὲ χυλὸς τῶν ῥόδων διὰ τὸ στύφειν μετρίως ἀναστέλλει τὰ ῥεύματα. ὁ δὲ λιβανωτὸς πέττει καὶ διαφορεῖ. ἔστι δὲ καὶ ἀνώδυνος. ἡ δὲ σμύρνα πεπτικόν ἐστι φάρμακον, οὐ μόνον ἕλκει γενναίως τὰς τῶν ὑγρῶν μοχθηρίας ἐκ βάθους, ἀλλὰ καὶ διαφορεῖ τὸ ἑλχθέν. ὁ δὲ κρόκος πέττει, καὶ στύφει μετρίως. ἡ δὲ σαρκοκόλλα πέττει, καὶ διαφορεῖ. ἡ δὲ τραγάκανθα ἐμπλαστικήν τινα καὶ δριμυτήτων ἀμβλυντικὴν ἔχει δύναμιν. ὁ μὲν τοι τῶν τήλεως χυλὸς ὅσον μὲν ἐπὶ τῇ γλισχρότητι παραπλησίως ἐστὶ τῇ λευκῇ τῶν ὠῶν ὑγρότητι, διαφορεῖ δὲ καὶ θερμαίνει μετρίως, καὶ διὰ τοῦτο τὰς πολλὰς τῶν ὀδυνῶν πραΰνει. τὸ δὲ λεπτὸν ὑγρὸν τὸ ἐν τοῖς ὠοῖς ἐκ περιττοῦ ἔχον τὸ ἀποπλύνειν ὑγρότητας, ὑπαλείφειν τε τραχυνθέντα, διὰ τὸ ἐμπλάττεσθαι τοῖς κατὰ λεπτὸν πόροις, οὐκ ἔχει, καθάπερ οὐδὲ τὸ ξηραίνειν. τὸ δὲ γάλα τῆς νέας εὐχύμου γυναικός, ἄδηκτόν τε ἐστι, καὶ ῥυπτικόν, καὶ διὰ τὴν ὀρρώδη ὑγρότητα. ἡ δὲ ἀλόη μικτῆς πως ἐστι δυνάμεως διὰ μὲν γὰρ τὸ πικρὸν αὐτῆς, ῥύπτει. διὰ δὲ τὴν στύψιν, συνάγει καὶ συνουλεῖ τὰ ἕλκη, ὡς εἰπεῖν βραχεῖ λόγῳ τὴν ὅλην δύναμιν τοῦ φαρμάκου ψύχουσαν, ξηραίνουσαν ἀδήκτως πέττουσαν, παρηγοροῦσαν, σαρκοῦσαν, ἐπουλοῦσαν, διαφοροῦσαν, ἕλκουσαν ἐκ τοῦ βάθους καὶ εἰ δεῖ συνελόντα φάναι, πάντ' ἔχουσαν, ὅσων τά τε φλεγμαίνοντα, καὶ ἡλκωμένα, καὶ ἀσθενῆ, καὶ ῥευματιζόμενα μόρια δέονται. χρησιμωτάτη δὲ γενήσεται πάσῃ τε ἡλικίᾳ, καὶ ὥρᾳ, καὶ κράσει, καὶ εὐαισθησίᾳ, καὶ δυσαισθησίᾳ καὶ τοῖς λοιποῖς συστοίχοις, ὑγρῶν τε ἀνιεμένων καταλλήλῳ μετ' ἐπιτηδείου τρόπου χρήσεως, καὶ τῆς ἐνδεχομένης συστάσεως. οὐ χρὴ δὲ τὸ τοιοῦτον κολλύριον προσφέρειν, ἐάν τε ἐν τοῖς ὀφθαλμοῖς μόνοις ἡ καχεξία ᾖ, ὡς διαφθείρειν τὸ ὑπέρυθρον, κἂν χρυσὸν ᾖ ἐάν τε καὶ αὐτὸ τὸ ὑπέρυθρον μοχθηρόν ἐστιν, ἢ διὰ τὴν κεφαλὴν μόνην, ἢ καὶ ὅλον τὸ σῶμα τοιοῦτον ὑπάρχει ὅθεν καὶ προπαρασκευάζειν δέον εἰς τὴν ἴασιν ἐπιτήδειον τὸ πεπονθὸς μόριον, τοῦ μὲν ὅλου σώματος πρόνοιαν ποιουμένους καθάρσεσι καὶ φλεβοτομίαις ὡς λέλεκται. τῆς δὲ κεφαλῆς πρῶτον μὲν ἀποφλεγματισμοῖς, ἔπειτα δὲ καὶ ταῖς ἐπὶ τὸ ἰνίον σικύαις, εἶτα εἰ δέοι καὶ τῇ ἀρτηριοτομίᾳ καὶ μετὰ ταῦτα διὰ τοιούτῳ κολλυρίῳ χρῆσθαι. ἐπὶ δὲ τῆς τούτου χρήσεως, εἰ μὲν ἐπιφέρεται τὸ δριμὺ ῥεῦμα, ἢ ἑλκωσίς ἐστι τοῦ κερατοειδοῦς, ἢ λήμη, ἢ ῥύπος, ὀφείλει ἐνστάζεσθαι γάλα ἐκ τιτθῶν γυναικὸς εὐχύμου καὶ νέας εἰς τοὺς ὀφθαλμούς, ἕως ἀπορυφθῶσι πάντα, καὶ καθαρὸς γένηται ὁ ὀφθαλμός, εἶτ' ἀποματτέσθαι μετά τινος τῶν μαλακωτάτων σπογγιῶν, καὶ οὕτως ἐγχεῖσθαι διὰ ὀφθαλμῶν τὸ κολλύριον μετὰ τοῦ δέοντος ὑγροῦ, κατ' ἀρχὰς μὲν ὑδαροῦς, προϊόντος δὲ τοῦ χρόνου παχυτέρου καὶ εἰ δέοι προπυριᾶν καὶ καταπλάττειν καταλλήλαις πυρίαις, καὶ καταπλάσμασι. μετὰ δὲ τὸ στῆναι τὸ ὑπέρυθρον, ἢ καὶ ὀλίγον ἔτι ὑπέρυθρεῖν, ἐγχεῖσθαι τὸ τοιοῦτον κολλύριον, ὡς προείρηται μετὰ τοῦ καταλλήλου τῇ διαθέσει ὑγροῦ χλιαροῦ γινομένου. τοιοῦτον δὲ γενήσεται ἐὰν ἡ ἀκόνη ἐφ' ἧς τρίβεται τὸ κολλύριον προθερμανθῇ ἐν ὕδατι ζέοντι γλυκεῖ, ὑγρὰ δὲ ἔστω τάδε. ὠοῦ αὐθημερινοῦ τὸ λευκόν, καὶ λεπτὸν ὑγρόν, γάλα νέας καὶ εὐχύμου γυναικός, τήλεως χυλὸς κάλλιστος, χυλὸς πτισάνης, χυλὸς λινοσπέρματος, χυλὸς τοῦ τῶν κυδωνίων σπέρματος, χυλὸς πολυγόνου, σαχαρόθερμον, ὄμφακος χυλὸς ῥόσταγμα καὶ οἶνος.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΝΤΙΒΑΛΛΟΜΕΝΩΝ.

ΕΝ Ἀλεξανδρείᾳ φησὶν ἐπί τινος γυναικὸς κινδυνευούσης ζητήσας λυχνίδα καὶ μὴ εὑρηκώς, εἰ μὴ εὐθέως ἀντὶ τῆς λυχνίδος εὑρὼν ἐχρησάμην τοῦ ἀκανθίου τὸ σπέρμα, ἀπώλωλεν ἂν τὸ γύναιον, ὅθεν αἰτηθεὶς ὑπὸ τῶν μετ' ἐμὲ ἰατρῶν, ἐπὶ τήνδε τὴν τῶν ἀντιβαλλομένων ἦλθον ἔκθεσιν κατὰ στοιχεῖον, ἐξ αὐτοῦ τοῦ πρώτου τὴν ἀρχὴν ποιησάμενος. Α. Ἀντὶ ἀκανθίου σπέρματος, λυχνίδος. Ἀγαλόχου. κενταύρειον. Ἀρμενίου μέλαν ἰνδικόν. Ἀκτέας, ἢ γλαύκιον, ἢ κόπρον οἰός. Ἀλικακάβου, στρυχνίου σπέρμα. Ἀσφάλτου, πίττη ὑγρά. Ἀκονίτου, ἴρεως ἀγρίας ῥίζαν. Ἀψινθίου, ἀβρότονον. Ἀβροτόνου, ὀρίγανον. Ἀσβέστου. ἀδάρκην. Ἀγχούσης, ὑάκινθος. Ἀλὸς ἀμμωνιακοῦ. ἅλας καππαδοκικόν. Ἀρσενικοῦ, σανδαράχην. Ἀγαρικοῦ ἐπιθύμου ἢ εὐφόρβιον. Ἀμμωνιακοῦ θυμιάματος, ἀθηνᾶ῾ αν. Ἀρακος, σήσαμον. Ἀσπαλάθου, ἐρείκης σπέρμα, ἢ ἄγνου. Ἀσφοδέλου. τεύτλου φύλλων χυλόν. Ἀργεμώνης, στοιβή. Ἀειζώου, θρίδακος. Ἀδιάντου, ἀφροσέλινον. Ἀσίου λίθου, γαγάτην, ἢ σανδαράχην, ἢ ἅλος ἀμμωνιακοῦ. Ἀμύλου, ξηρὰν γῆρην. Αἰγείρου ἀκρεμόνων σάμψυχον, Ἀνακαρδίων ψύχα βοτάνης. Β. Βουπρίστεως, σίλφιον, ἢ βδέλλα. Βουτύρου, γάλα ἐπίπαγον βόειον. Βαλσάμου ὀποῦ, στακτὴν σμύρνης. Βδελλίου, σφάγνος ἀρωματικός. Γ. Γεντιάνης, ῥίζα σελίνου ἀρωματικοῦ. ὑπάρχει δὲ τὸ πετροσέλινον, ἢ ῥαίδον, ἔστι δὲ τὸ ἐλένιον. Γῆς σαμίας, λευκογραφὶ αἰγυπτία, Γῆς ἐρυθριάδος, τίτανος θηβαϊκή. Γογγυλίδος, ἡλιοτρόπιον. Γλυκυρρίζης χυλοῦ, χυλὸς συκαμίνων. Γυπὸς κόπρον, περιστερᾶς. γῆς ἀπαλῆς, μολιβδαίνη. Δ. Δορυκνίου, σπέρμα κυάμου, θυρεὸς ἄπαξ καδία*. Δικτάμνου, ἐλελίσφακον. Δαφνίδων, σέρπυλον ξηρόν. Δαύκου σπέρματος, σίου. Διφρυγοῦς, λίθος φρύγιος. Δρακοντίας, ἀβρώσιμον. Δαμασονίου, ἠρύγγιον. Ε Ἑρπύλου, ποταμογείτων, Ἐλαίας αἰθιοπικῆς δάκρυον, ὑποκυστίδος, ἢ ἀκακίας. Εὐζώμου σπέρμα, ἐρυσίμου. Ἐλατηρίου, χυλὸς τῆς αὐτῆς πόας. Ἐρυσίμου, στρούθιον. Ἐρείκης καρπόν, κικίδος ὀμφακίτιδος, Ἐβένου, λώτινον ξηρόν. Ἐρίνου φύλλων, κόπρον ἥβεως. Ἐλλεβόρου μέλανος, ῥίζαν παπύρου. Ἐννεάφυλλον, ποταμογείτονος. Ἐλαίου παλαιοῦ, ἔλαιον διπλοῦν ἑψηθὲν μετὰ στέατος ὑείου. Ἐβίσκου ῥίζης, φύλλα μορέας. Ἐλαφείου στέατος, ὑείου. Ζ. Ζιγγιβέρεως. ναυπλίου εὐβοέως. Θ. Θαψίας χυλοῦ, χυλὸς χαμαιλέοντος μέλανος ἢ ἐλύδριον. Θερμουντιάδος, γλυκόφυλλον. θείου ἀπύρου, σανδαράχην. Ι. Ἰοῦ σιδήρου, σκωρία σιδήρου,

† αλ. πρόπωλιν.

ῥίζα σιδήρου, ἰξοῦ δρυΐνου, χαμαιλέοντος μέλανος. Ἴρεως ἰλλυρικῆς. ἔλγινον ἀρωματικόν. Κ. Κασίας, κινάμωμον κινναμώμου, κασίαν διπλῆν ἢ πηγάνου ἢ λιβανωτοῦ κυπρέως, ἀρκευθίδων μήλων, ἢ καρδάμωμον. καρδαμώμου, κυπρέως. κόστου, ἀμμωνιακόν. κεδρέας, κεδρίδας. καλάμου ἀρωματικοῦ, σφάγνου, ἢ τραγοπώγωνος. κρόκου, κροκομάγματος. κασσίας, ἀγάλοχον, ἢ σίλφιον. κροκομάγματος, ἀγαλόχου ἰνδικῆς, καδμίας, λευκογραφὶς αἰγυπτία. κροκοδείλου στέαρ, κυνὸς θαλασσίου στέαρ. κωνίου σπέρμα, κορίανου. κανθαρίδων, φαλάγγια, κνίκου, ἄγνου σπέρμα κισσοῦ ὀποῦ, περσίας. κίκεως, γλοιὸς ἀπὸ παλαίστρας. καππάρεως ῥίζης, βρίκης ῥίζαν ἢ μυρίκης, καλλικρέας, ἢ τῖλις. κόπρου βιγώνος, περιστερᾶς. κοραλίου, μῶλυ. κόπρου αἰλούρου. κόπρον ἰχνεύμονος. Κινναβάρεως, ῥοδοειδές. κυμίνου, κράμβης σπέρμα. κλινοποδίου, ἡλιοτρόπιον. καλαμίνθης, ἄγριον ἡδύοσμον. κολοκυνθίδος, κρότωνας, κοτυληδόνας, ἀνακάρδιον. κολοφωνίας, ἀπόχυμα. κυνοσβάτου, ἁλικακάβου σπέρμα. κρίνανθεμον, ἀφροδίσιον. κυνοσβάτου, ἁλικακάβου σπέρμα. κισσήριος. γῆ κιμωλία. κύφεος, κεκαυμένην ἰσχάδα. κυρήνων, ὄστρεα. κηροῦ, βρέγμον μετὰ † ἀθωαίας ἕψεται καὶ τρίβεται. κυμίνου αἰθιοπικοῦ, μελάνθιον. Λ. Λιβάνου, γῆ ἀμπελῖτις. λαθυρίδων, κόκκος κνίδιος. λεπίδος, ἐρυθρόδανον. λίθου ἀσίου, γαγάτης. λυχνίδος, ἀκάνθου σπέρματος λίθου φρυγίου, λίθος πυρίτης ἢ ἀργυρίτης. (ἐλελισφάκου καλαμίνθης,) λυβιστικοῦ, σταφυλίνου. λευκίνου, ἄνθος στρουθίου. λωτοῦ σπέρματος, τεύτλου καρπός. λεπιδίου ῥίζης, φύλλα καππάρεως. λαγωοῦ θαλασσίου, ποταμίου λινοσπέρμου, κυάμων χυλὸς λαπάθου ῥίζης, ναυπλίου εὐβοέως. λίθου πυρίτου, λίθος πυρόβολος. Μ. Μαραθάθρου, κασσίας σφαιρίτιδος ἢ ναρδοστάχυος. μανδραγόρου, ἐλαίας δάκρυον. μυρσινίτης, ὀποὶ ῥοδακίνου ἢ μορέας. μαστίχης, σχίνου κάλαμον. μυροβαλάνου, γλεύκιον. Μαλάχης, τήλεως. Μαγνίτου, λίθου φρυγίου. μέλιτος ἑψήματος, μάννης λιβάνου φλοιόν. μυοχόδων, μύας ἴσα. μαγνησίνης ἢ σιελίνης, πτύελον ἰταλικόν. μυελοῦ ἐλαφείου, ἢ μοσχίου στέατος ἢ ἐλαφείου. μήλων κυδωνίων, μελίλωτον. μίσυος, κυπρίοι ὠχρά. μόρων χυλός, βάτου φύλλα. μίσυος ὀπτοῦ, διφρυγοῦς. μανδραγόρου χυλοῦ, δορύκνιον. μήκωνος, μανδραγόρου χυλὸς μέσος, μυροβαλάνου. Ν. Νάρδου συριακοῦ, σχίνου ἄνθος. Νάπυος, γογγυλίδος σπέρμα. Ξ. Ξυλοβαλσάμου, ῥίζας λευκῶν ἴων. Ο. Ὀποῦ μήκωνος, μανδραγόρου χυλὸς ὀποπάνακος, γάλα συκαμίνου. ὀποῦ κυρηναϊκοῦ, ὀπὸν συριακὸν ἢ μόσχου μυελόν. ὀποῦ βαλσάμου, ὀπὸν καρπάσου. ὀποῦ σύκης, ὀπὸν μορέας. ὀποῦ ἰτέας, ὀπὸν κισσοῦ μέλανος. ὀποῦ ῥοδοδάφνης, ἰξὸν δρυΐνον. Οἰνάνθης χυλοῦ, ἀμπελίνου δένδρα χυλόν. οἴνου ῥοδίνου, οἶνον αὐστηρόν. ὀποῦ πευκεδάνου, γλυκυρρίζης χυλόν. ὀποῦ καρπάσου ὀπὸν μυρσίνης. ὀρίζης, κριθάλευρον. ὀρνιθογάλου, ἀνθαλεῖς λάδανον. ὀρμίνου, λινόσπερμα. οἴνου ἰταλικοῦ, οἶνον μενδήσιον. ὀμφακος, κηκὶς ὀμφακίτης. Π. Προπόλεως τραγοπώγων. πιτυοκάμπης, σφῆκας εἰς κεδρίαν. πέπερι, ζιγγίβερ ἢ χαμαιλέοντα. περιστερεῶνος, χαμαιλέαν, ἢ χαμαιλεύκην. πολυτρίχου, ἀψίνθιον. πυρέθρου, ζιγγιβέρεως. Ρ. Ῥητίνης, τερεβινθίνης. ῥόδων ξηρῶν περσέας φύλλα ξηρὰ ῥαφανίνου, ἔλαιον κίκινον. ῥοδοειδοῦς, σίνηπι. ῥίζης λαπάθου, (κινάρας) Σ. Σχίνου ἀρωματικοῦ. καρδαμώμου. Σπονδυλίου, κυπέρεως σπόδιον, ἢ φύλλων ἐλαίας. Σμύρνης τρωγλίτιδος, καλάμου ἀρωματικοῦ. Στέατος ἐλαφείου, χηνός. Στέατος ὑαίνης, ἀλώπεκος. Στέατος ἀλώπεκος, ἄρκτου. Στρουθίου ῥίζης, ἐλλεβόρου μέλανος. Σατυρίου, εὔζωμον. Σαλαμάνδρας σαύρας χλωράς. Σφάγνου ἀρωματικοῦ, σχίνου εἰργασμένου. Σώρεος, λιθαργύρου. Σαμψύχου, ῥοῦν μαγειρικόν. Σινήπεως, καρδάμωμον. Σαγαπηνοῦ, πίτυος. Σκαμμωνίας, κρότωνας ἢ φυτοβριῶνας. ἢ κολοκύνθιδα ἢ λαθυρίδα. Σαφίνου, ἐλαίου κικίνου. Στροβίλων, συκίων σπέρμα. Στυπτηρίας, ἅλας ὀρυκτόν. Σκίγγου, σατύριον. Στίμεος κοπτικοῦ, λεπίδα χαλκοῦ. Σχίνου, πολυγόνου ῥίζα. Σκωρίας κυπρίας, μελαντηρίαν αἰγυπτιακήν. Σισυμβρίου, ὤκιμον. Σηπίας ὄστρακον, κισσήρεως. Σαραπιάδος, παιώνιον. Σκίλλης, βολβόν. Σησαμοειδές, πίσμα ἀμαράντινον. Σησάμου, λινόσπορον. Σφέκλης, σανδαράχην. Τ. Τρώξιμον, μαιούνιον γὰρ καὶ μαιούλιον. Υ. Ὑοσκυάμου σπέρμα κωνοῦ βάθου καρπόν, Ὑποκυστίδος, ἀκακίας. Ὑγροπίσσης, ὀποπάνακα. Ὑσσώπου μυελὸν μόσχου, ἢ σιχάδα. Ὑακίνθου, ἄνθος ἰσάτεως. Ὑπερικοῦ, ἀνήθου σπέρμα. Ὑαίνης χολῆ, πέρδικος. Χ. Χαλβάνης, σαγαπηνόν. χαμαίμηλον, ἀνθεμίς. χαμαιδρύου, λαπάθου ῥίζαν, χολὴν ἔχεως. χολὴν ἰχνεύμονος. χολὴν καμήλου, χολὴν ἀσκαλαβώτου. χολὴν γαλῆς, χολὴν καμήλου. Ψ. Ψιμμυθίου, σκωρίαν μολίβδου. Ψυλλίου φακὴ ἐπὶ τῶν τελμάτων. Ω. Ὠκίμου, σισύμβριον. Ὠκιμοειδές, ἡδύοσμον ἄγριον.

† al. πεπόλεως
† al. ἀρμωνιακοῦ
† al. λιγυστικοῦ
† al. ὀξυροδίνου

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΚΑΤΑΚΡΙΣΕΩΣ ΠΡΟΓΝΩΣΤΙΚΑ ΕΚ ΤΗΣ ΜΑΘΗΜΑΤΙΚΗΣ ΕΠΙΣΤΗΜΗΣ.

ΠΕΡΙ μὲν τῆς ὑπαρχούσης ἐν τῇ μαθηματικῇ ἐπιστήμῃ, ἤρκει καὶ ἡ τῶν στωϊκῶν φιλοσόφων ἀνδρῶν καὶ λόγους διεκπεπονημένων, καὶ τὸν βίον ὁποῖος δεῖ παραστησάντων δόξα. Οὐδὲν δὲ ἧττον ἐπεὶ καὶ ὁ παρὼν λόγος δεῖ, περὶ ὧν καὶ ἡ ἰατρικὴ τέχνη ἐπαγγέλλεται, ἀναγκαῖον δεῖ τῶν δοκιμωτάτων ἐν αὐτῇ τὰς ἱστορίας ἐκθέσθαι, ἵνα γνώριμος πᾶσι γένηται. ὅτι καὶ αὐτοὶ οἱ ἰατροὶ διὰ τὸ περὶ πλείστου ποιεῖσθαι τὸ προορατικὸν μέρος τῆς αὐτῶν τέχνης, τῇ μαθηματικῇ ἐπιστήμῃ ἀπένειμαν. καὶ εἰ μὴ πάντες κατά γε τὸ πλεῖστον. Ἱπποκράτης γοῦν ὁ πολὺς σὺν τῇ ἀρχαιότητι καὶ θαυμαστὸς τὴν ἐπιστήμην, φησίν. „Ὁπόσοι τὴν ἰατρικὴν ἀσκέοντες φυσιογνωμονικῆς ἀμοιρέουσι, τουτέων ἡ γνώμη ἀνὰ σκότος καλινδουμένη, νωθρὰ γηράσκει. Οὐ μόνον εἶπεν οὐ κατορθώσουσιν, ἀλλ' ὅτι καὶ διασφαλήσονται. ἀνὰ σκότος γὰρ ἔφη τὴν γνώμην πλανᾶσθαι τῶν τῇ φυσιογνωμίᾳ μὴ χρησαμένων. τὸ δὲ φυσιογνωμονικὸν μέρος τῆς

ἀστρολογίας ἐστὶ μέγιστον μόριον. ὁ οὖν τι μόριον ἐπαινέσας, πολλῷ μᾶλλον ἂν τὸ ὅλον ἐγκωμιάζει. Διοκλῆς δὲ ὁ καρύστιος καὶ ῥήτωρ οὐ μόνον αὐτός φησιν ὡς καὶ σὺ γινώσκεις ἀλλὰ καὶ τοὺς ἀρχαίους ἱστορεῖ ἀπὸ φωτισμοῦ καὶ τοῦ δρομήματος τῆς ☾ τὰς προγνώσεις τῶν νόσων ποιουμένους. ὁπότε οὖν οἱ τηλικοῦτοι ἄνδρες κατά γε ἀξίωμα καὶ τὴν ἐπιστήμην οὐ διάδοχοι τῆς ἐν ἰατρικῇ προγνώσεως μόνον, ἀλλὰ καὶ κτίσται ἰδίων δογμάτων ταύτην διαδεξάμενοι καὶ ἀλλοτρίους κόπους καρπούμενοι, περὶ τούτων τι διαστάσωσιν. ὅθεν καὶ σὺ φίλτατε Ἀφροδίσιε διεκποιήσας τὸν τῆς κατακλίσεως τρόπον καὶ στοιχήσας τοῖς προειρημένοις ἀνδράσι, καρπώσῃ τὸ κάλλιστον μέρος τῆς ἑαυτοῦ τέχνης προγινώσκων καὶ προλέγων τὰ μέλλοντα τοῖς κάμνουσι συμβήσεσθαι. ἀρξώμεθα δὲ τῶν πραγμάτων ἐντεῦθεν.

Πρὸ παντὸς δέον σκοπεῖν τὴν ☾ κινουμένην, κατὰ πρόσθεσιν, ἢ ἀφαίρεσιν τοῖς ἀριθμοῖς, οὐ τοῖς φωσίν, ὥς τινες πεπλάνηνται. ἂν οὖν γινομένης κατακλίσεως, ἔν τινι τῶν δωδεκατημορίων ζωδίων, ἡ ☾ ἄρξηται τοῖς ἰδίοις ἀριθμοῖς κινεῖσθαι, κατὰ τὸ ἰσόμοιρον ἐλθοῦσα, ἰσόμοιρον δέ ἐστι ὁ διάμετρος, ἐπισημασίαν τὴν μεγίστην ποιήσει. μάλιστα δέ, ἐὰν καὶ σύνδεσμος ἐστιν, ὅταν ἀπὸ συνόδου εἰς π ☾. σύνδεσμον λύῃ καὶ πορεύσηται ἐπὶ τὸ μεῖζον μέγεθος τοῦ δρομήματος, περὶ τὰς ρπ μοίρας ἀναιρεῖ. ἐὰν δὲ γινομένης κατακλίσεως,
† ἄλ. κατὰ τὸ ἰσόμοιρον ἡ ☾ κατ' ἀφαίρεσιν κινῆται, ἡ νόσος μέχρι τοῦ ἰσομοίρου ἐπισημασίαν ποιησαμένη ἐπὶ τὸ ἰσόμοιρον τῆς νόσου ἐπὶ ὑγιέστερον τρέπεται. πρόσεχε δὲ καὶ τὰς κινήσεις ἤτοι μαρτυρίας τῶν ἀστέρων. ἐὰν γὰρ ἡ ☾ κατακλίσεως γινομένης κινεῖται ἐπὶ τὸ μεῖζον συσχηματιζομένη τὴν νόσον αὔξει καὶ ἐπικίνδυνον ποιήσει. αὐξανομένη δὲ τοῖς τε φωσὶ καὶ τοῖς ἀριθμοῖς περὶ τῷ ♂ τῇ ☍. ἀπαραβάτως κίνδυνον ἐποίησε. Ἐὰν δὲ φαέθοντι δὴ τύχῃ συσχηματιζομένη καθ' οἷον δή ποτ' οὖν τρόπον, τὰς νόσους ἀκινδύνους ποιήσει. ἢ ἐπὶ τετραγώνου ἐπισημασίας γινομένης, ἀποκαταστήσει σώους ἐπὶ τὸ κατὰ τὴν ☍. ἐὰν δὲ φλεγέθοντι κρόνῳ σχηματίζηται ἀφαιροῦσα τοῖς ἀριθμοῖς, ἐπισφαλεῖς καὶ ἐπικινδύνους περὶ τὰς Ϛ'. μοίρας ἀπεργάζεται. ἐὰν δὲ καὶ σύνδεσμον λύσασα ἐπὶ τὰ ἥττονα φέρηται περὶ τὰς ρπ. μοίρας,
† ἄλ. ἐὰν δὲ ☌ ἢ ☍ τῷ τῆς ♀ ἢ ☿ συσχ. τὴν ἀναίρεσιν ἀνυπερβάτως ποιήσει. † Ἐὰν δὲ ἥλιος ἢ ☍. Ἐὰν δὲ τῷ ♀ ἢ ☿ συσχηματισθῇ κατὰ τὴν κατάκλισιν ἀφαιροῦσα τοῖς ἀριθμοῖς, ἢ καὶ τῷ φωτὶ λήγουσα, μειωθήσεται ἡ νόσος περὶ τὰς Ϛ'. μοίρας καὶ ἐπισημασίας γινομένης τραπήσεται ἐπὶ τὸ ὑγιαίνειν. ἐὰν δὲ καὶ σύνδεσμον λύσῃ ἔτι μειουμένη ἐπικαθίστησιν ὑγιαίνοντα διὰ ρπ. μοίρας. δεήσει δὲ προλαμβάνειν καὶ τοὺς λοιποὺς τῶν ἀστέρων καθ' ἕκαστον ζώδιον πῶς διάκεινται. τῆς γὰρ ☾ ἐπιπορευομένης τὰ ιβ'. ζώδια, τὰ αἴτια τῶν νόσων ἐντεῦθεν γνωρίζονται. χρὴ δὲ πρὸ πάντων εἰδέναι ὡς εἴ τις ἀμελῶς περὶ τὰς ψήφους διατεθείη, οὐδὲν αὐτὸ κατὰ τὸ ἀληθὲς ἀποβήσεται. μὴ ἀποβαίνοντος δέ, δικαίως ἂν αὐτός, οὐχὶ τὸ πρᾶγμα αἰτίας ἔχῃ. οἱ δὲ ἀριθμοὶ ὡς ἐπὶ γενέσεως ἐξεταζέσθωσαν. ἐκ γὰρ τούτων τὸ ἀκριβὲς γνωσθήσεται.

Ἐὰν γένηται κατάκλισις. ☾ οὔσης ἐν ♈ πρὸς ♂ ἢ ☉ σχηματιζομένης, ἔσται ἡ νόσος ἀπὸ κεφαλῆς διὰ ἐκκαύσεως, καὶ τὴν μήνιγγα ἀλγήσει. καὶ ἔσονται πυρετοὶ συνεχεῖς. καὶ ἀγρυπνίαι. καὶ καύσωμα. καὶ δίψα. καὶ τραχώδης ἡ γλῶσσα. καὶ τοῦ θώρακος ἐκπύρωσις. ἢ ἥπατος πόνος. καὶ σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι, τούτοις ὠφέλιμος ἡ τοῦ αἵματος ἀφαίρεσις, καὶ προσαγωγὴ πάντων τῶν δυναμένων ψύχειν καὶ παρηγορεῖν. ἔσται γὰρ παρακοπὴ καὶ φρενῖτις. Ἀγαθοποιοῦ δὲ μηδενὸς παρεμπλεκομένου τῇ ☾ καὶ ♄ τὸ αὐτὸ σχῆμα ἔχοντες, μέχρι τῆς ζ'. ἡμέρας τελευτήσει ἐν τῷ α'. τετραγώνῳ καὶ μάλιστα ἐὰν τοῖς ἀριθμοῖς ἀναυξάνῃ ἢ τῷ φωτὶ ἡ ☾. Ἐὰν γένηται κατάκλισις ☾ οὔσης ἐν ♈ σχηματίζεται δέ τις αὐτῇ τῶν κακοποιῶν διάμετρος ἢ □. ἢ σὺν αὐτῇ, φάσιν ποιούμενος, δεήσει τὸν ἀστέρα αὐτὸν ἐφορᾶν ποῖός τίς ἐστιν. καὶ εἰ μὲν ᾖ ♄, τὰ περὶ τὴν κεφαλὴν αἴτια γίνεται. λήθαργος. ἀναίσθητοι. καταφορικοί. κατεψυγμένοι. ἔτι δὲ ἀνώμαλοι, τῆς νόσου ποτὲ μὲν ἀνειμένης, ποτὲ δὲ ἐπιτεινομένης. Ἐὰν δὲ καὶ τοῖς φωσὶν ἀφαιρεῖ ἢ τοῖς ἀριθμοῖς ἢ τὸ συναμφότερον ὡς προεῖπόν σοι εἰς τὴν εἰρημένην Ϛ'. μοῖραν ἐπισημασίαν μεγίστην ἕξει. προσλάμβανε δὲ καὶ τὰς λοιπάς. Ἐὰν γὰρ ♃: ἢ ἥλιος προσνεύσῃ κατά τι σχῆμα, μέχρι τοῦ ἄκρου κινδύνου ἐλεύσεται, καὶ παραλλάξας τὴν διάμετρον σωθήσεται. Ἐὰν δὲ ἑρμῆς μόνος σχηματισθῇ τῷ προκειμένῳ ὅρῳ, ἀπαραλλάκτως τελευτήσει. εἰ δὲ καὶ πυρόεις ἄρης πρὸς τὸ προκείμενον σχηματισθείη σχῆμα, ἀντιλήπτορές σοι μᾶλλον νομιζέσθωσαν. διὸ δεήσει σε πᾶσαν σύνεσιν προσάγειν εἰδότα ὅτι τοῦ ἀστέρος ψυκτικώτερα τὰ πάθη καὶ ῥευματωδέστερα ἐστί. Ἐὰν δὲ ἄρης συσχηματίζεται ἢ τῷ ☍ προστιθεῖσα τοῖς ἀριθμοῖς ἢ καὶ τῷ φωτὶ ποιήσει τὰ περὶ τὴν κεφαλὴν πάθη. παρακοπάς. φρενίτιδας. περιωδυνίας. φλεγμονάς. πυρώσεις. αἱμαγμούς. δεήσει οὖν ἐν πᾶσι χρῆσθαι τοῖς δυναμένοις ψύχειν καὶ διαφορεῖν. καὶ τούτοις μάλιστα περὶ τὴν □ Ἐπεὶ δὴ ἀπὸ τῆς διὰ τρίτου ἄρχεται τοῦ αὔξειν τὸ μέγεθος τῆς νόσου, ἐπισφαλῆ δὲ καὶ ὀξύτατα πάθη, μέχρι τῆς διαμέτρου γενήσεται. Ἐὰν δὲ ἑρμῆς συσχηματισθῇ τῷ προκειμένῳ ὅρῳ, σωθήσεται κινδυνεύσας
† ἄλ. ♂ μετὰ γὰρ † ♀. συμφωνεῖ μετὰ δὲ ♄ τοὐναντίον. Ἐὰν δὲ γινομένης κατακλίσεως σχηματισθῇ ἡ ☾ τῷ
† ἄλ. ♂ Διῒ ἢ τῷ ἑρμῇ, καὶ τῷ † ☿. κἂν ὁποτέρῳ αὐτῶν μόνῳ ἀνωμάλους μὲν τὰς νόσους ποιεῖ, καὶ εἰς ἕτερα πάθη μετακυλίονται. σώζονται δὲ ἀπαραβάτως. χρὴ οὖν σε προσέχειν ταῖς διαίταις. ὥραις τε καὶ περιπάτοις, καὶ βαλανείοις, καὶ οἴνου δόσει. Οἱ μὲν γὰρ πρὸς ♄ κατακλιθέντες, ἐπιθυμήσουσι καὶ βαλανείων. καὶ ἠρεμίας ἐπικλίνης. πολυτροφίας τε καὶ θερμοποσίας. Οἱ δὲ πρὸς ἄρεως ψυχροποσίας. κινήσεως. οἴνου. ἀνέμων. Χρὴ οὖν σε καθ' ἕκαστον ἀστέρα, ἰδιοτρόπως τῆς ἐπιθυμίας μὴ ἀποσπᾶν. ἕκαστος γὰρ τῶν ἀστέρων οἷς ἥδεται καὶ ἐπιθυμεῖ, τούτοις καὶ ὠφελεῖται. ὡς γὰρ ἐμοὶ δοκεῖ κράτιστε Ἀφροδήσιε, μὴ νομίσεις ταύτας τὰς θεραπείας ἐναντιώματα εἶναι κατὰ τὸν ἰατρικὸν λόγον. ἐγὼ γὰρ γνοὺς τὰς φύσεις τῶν ἀστέρων προσεφώνησά σοι ᾧτινι ἕκαστος ἥδεται ἵνα ᾖς ἐν πᾶσιν ἀδιάπτωτος.

Περὶ τοῦ κατὰ τοῦ σχηματισμοῦ. Ἐὰν δὲ τῆς ☾. οὔσης ἐν ♉. κατακλιθῇ τις, κρόνου ὄντος ἐν τῷ □. ἢ διαμέτρῳ ἢ συνόντος τῇ ☾. μάλιστα ἀφαιρούσης καὶ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, ἔσται ἡ νόσος καὶ ἐν τῇ καταρχῇ, ἀπὸ κραιπάλης καὶ περιφορῶν καὶ πλήθους καὶ ἔσονται στεγνοὶ πυρετοὶ καὶ τῶν ὑποχονδρίων ἄλγησις καὶ τῶν ἄρθρων πόνος καὶ σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι, καὶ ὅλου τοῦ σώματος φλεγμονή. καὶ περὶ τὸν πνεύμονα βάρους αἴσθησις. καὶ εὐωνύμου

πλευροῦ

πλευροῦ. τούτοις βοηθεῖ ἡ τοῦ αἵματος ἀφαίρεσις, καὶ πάντων τῶν διαιτημένων καθελεῖν τὴν ἕξιν. Ἀγαθοποιῶν οὖν μὴ παρεμπλεκομένων μέχρι τῆς διαμέτρου, ἀπαραβάτως τελευτήσει. Ἐὰν δὲ καὶ τοῦ πυρέσσοντος τὸ αὐτὸ σχῆμα ἐπέχει, ἢ ☍ ἐν τῷ πρώτῳ □ τελευτήσει. Ἀγαθοποιῶν δὲ παρόντων, καὶ τὴν πανσέληνον ἐπιθεωρούντων, κινδυνεύσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾ πανσελήνου οὔσης ἐν τῷ ταύρῳ κατακλιθῇ τις μάλιστα ἡμέρας οὔσης ♂ συνόντος αὐτῇ ἢ διαμέτρως ἢ □ ἔσται ἡ νόσος ἐκ πλήθους αἵματος, καὶ στέγνωσις. καὶ ἐκπύρωσις. καὶ τοῦ τραχήλου καὶ ὀστέων ἄλγησις. καὶ ἀγρυπνία ὑποβάλλουσα. καὶ ἐπιθυμία πολλὴ οἴνου, καὶ ψυχροῦ. τούτοις οὖν ἡ τοῦ αἵματος ἀφαίρεσις ὠφέλιμος, καὶ πάντα τὰ ἀναχαλῶντα. ♄ δὲ τὸ αὐτὸ σχῆμα ἐπέχοντος τῇ πανσελήνῳ, μηδενὸς ἀγαθοποιοῦ παρεμπλεκομένου, τὴν θ΄. ἡμέραν οὐχ ὑπερβήσονται. Ἀγαθοποιῶν δὲ παρόντων ἢ συσχηματιζομένων, κινδυνεύσαντες μέχρι τῆς η. ἡμέρας σωθήσονται. Ἐὰν δὲ τῆς σελήνης οὔσης ἐν ♉. κατακλιθῇ τις ἐπὶ τὸν προκείμενον ὅρον μειουμένης αὐτῆς, καὶ τοῖς φωσὶ καὶ τοῖς ἀριθμοῖς, αὐτῇ δὲ σχηματισθῇ ♄ καθ' οἷον δή ποτ' οὖν τρόπον, μάλιστα ἐὰν ὁ ♀ συμπαρειλημμένος ᾖ, τὰ πάθη κατ' ἰδιοτροπίαν μὲν τοῦ ζωδίου, κατὰ τὰς ἀρχὰς ἔσται βραδυκίνητα, δυσώπητα ὡς μὴ ὑπαρχούσης νόσου, νωχελεῖς τε τοῖς σώμασι καὶ τὰς μαλιὰς τεθραυσμένοι. ἀνόρεκτοι δὲ τῷ στομάχῳ καὶ τὰς ἐν βάθει θερμασίας ὑποφαίνοντες. τοῖς τε ἄρθροις ἐπαλγεῖς. καὶ τὸ ὅλον σῶμα παρειμένοι. Ταῦτα δέ σοι τὰ σημεῖα προστίθημι ἐπὶ παντὸς ζωδίου. καὶ ἐάν τι τῶν εἰρημένων φαίνεται, δυσώπητος ἡ περὶ τοὺς κάμνοντας ἀπόφασις ἂν εἴη. φύσει γὰρ τὸ ζώδιον τοῦτο ἔχον ἐπισημασίας τῶν ὑδάτων ἄγει χειμῶνας, καὶ κατὰ γῆν τε καὶ κατὰ θάλασσαν, καὶ πνευμάτων παντοίων ἐπισημασίας κινεῖ, διὸ δεῖ σε τῆς κεφαλῆς ἐπιμέλειαν ποιεῖν. ὑποφανεῖ γάρ σοι ἀπαθὲς τὸ αἴτιον τῆς καταρχῆς τῆς νόσου διὸ καὶ τὸ νευρῶδες ὅλον συμπαθήσει. καὶ τὰ τοῦ στομάχου παρακολουθήσει αἴτια. οἵ τε γὰρ σφυγμοὶ ἐκλελυκότες καὶ μυρμηκίζοντες μάλιστα περὶ τὴν ἡμέραν, διὸ χρὴ τρέφειν μὲν, μὴ εὐλαβεῖσθαι δὲ ὡς ὑποβάλλουσαν ἀσθένειαν ὅσον διὰ τὴν μικροψυχίαν τάς τε τοῦ αἵματος ἀφαιρέσεις καὶ τῆς κοιλίας τὴν ὑπαγωγὴν ποιεῖσθαι πάντα ἀφαιροῦντα. ἀπὸ δὲ τῆς □ ἐπὶ τὴν ☍ παρατηρεῖσθαι. ἐὰν γὰρ σύνδεσμον λύσασα τῆς σημασίας ἐπὶ τὸ βέλτιον κινήσῃ, ἔσται ἐπὶ τῆς ☍ ἡ κατάλυσις τῆς νόσου. ἐὰν δὲ λύσασα τὸν σύνδεσμον ἐπισημασίας ἐπὶ τὸ χεῖρον ποιήσει, μάλιστα μηδενὸς ἀγαθοποιοῦ ἐπὶ τῆς κατακλίσεως παρεμπλακέντος τὴν ☍ οὐχ ὑπερβήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♉ κατακλιθῇ τις καὶ σχηματισθῇ τῷ ♂ ἢ τῷ ☉ μάλιστα ἐπὶ πανσέληνα ἢ ἀμφίκυρτα αὔξουσα τοῖς ἀριθμοῖς, ἔσται τὰ αἴτια περὶ τὸν τράχηλον, καὶ τὰ ὑποχόνδρια ἐκ πλησμονῆς. οἵ τε πυρετοὶ καυσώδεις, καὶ ἐστεγνωμένοι. καὶ περὶ τὴν γλῶσσαν τραχύτης. καὶ πικρία στόματος. αὐτοί τε τοὺς ὀφθαλμοὺς ταυρηδὸν σχηματίζοντες, πᾶσάν τε ἀπειλὴν περὶ τὸ πρόσωπον. τάς τε λαλιὰς θρασείας, καὶ πυκνότερον ἀναπηδῶσι πικραινόμενοι πρὸς τοὺς οἰκείους. διψαλέοι τε. χρὴ οὖν τῆς κοιλίας ποιεῖσθαι ἐπιμέλειαν πρὸς τὸ στεγνῶσαι, τάς τε τοῦ αἵματος ἀφαιρέσεις μάλιστα προσάγειν. καὶ μὴ πολὺ ἀποσπᾶν τῆς ἐπιθυμίας τοῦ ψυχροποτεῖν. αἱ γὰρ νόσοι ἀπὸ τῆς ἀρχῆς ὀξύτεραι μέχρι τῆς διὰ πέμπτου ἕως τῆς ζ΄. προσεδρεύειν δὲ χρὴ ἐὰν γὰρ †ἴδῃς τὸν ♌. ἐπὶ τὸν δ΄. ἔσται καρδιακὴ διάθεσις. διὸ χρὴ τῇ ἑβδομαίᾳ προσεδρεύειν πᾶσαν τὴν ὥραν. καὶ παρασκευάζεσθαι πρός τε τοῦ οἴνου καὶ ψυχροῦ δόσιν. ἀπὸ δὲ τῆς ἑβδομαίας ἐὰν ἐπὶ τὸ χεῖρον τραπῇ, χρὴ ἀπογινώσκειν, ἀπαραιτήτως γὰρ τελευτήσει. συνορᾶν δὲ χρὴ καὶ τὰς ὥρας ἐπὶ ταύτης τῆς ἐπισημασίας πῶς δυνηθείης ἂν πρὸς τοὺς ἀγαθοποιοὺς σχηματίζειν τὴν ὥραν, καὶ βοηθεῖν πρὸς τὸ ὑποστρέφειν, ἢ λούειν, ἢ οἰνοποτεῖν. ἐὰν γὰρ κατὰ ταύτην τὴν ἐπισημασίαν δοθῇ τροφή, ὅπερ ἐστὶ κατὰ τὸν ἰατρικὸν λόγον ἐναντίωμα, πρὸς δὲ ἀγαθοποιὸν ὥραν φερομένη, μεγάλως βοηθήσει. Ἐὰν δὲ τῆς ☾ οὔσης κατὰ τὸν προειρημένον τρόπον, σχηματισθῇ ὁ ♃ ἢ ὁ ☿ ἢ ἡ ♀ ἐάν τε προστιθῇ τοῖς ἀριθμοῖς ἐάν τε ἀφαιρῇ ἡ ☾ μέχρι τῆς ☍ τῆς σωτηρίας πρόδηλος ὁ τρόπος. χρὴ οὖν ἄπερ πάσης προσαγωγῆς διὰ τῶν ἀφαιρούντων διαιτᾶν.

† al. ἴδῃ τῆς ♌ ἐπὶ τῆς □

Περὶ τῶν κατὰ ♊ σχηματισμῶν τῆς ☾.

Ἐὰν δὲ τῆς ☾ ἐν ♊ οὔσης κατακλιθῇ τις συνόντος ♄ ἢ ☍ ἢ □. ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ κόπου καὶ ἀγρυπνίας, ἢ ὁδοιπορίας μάλιστα, ἐὰν ἡ ☾ ἀφαιρῇ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς. ἕξει γὰρ ἐναργῆ τὰ ἄρθρα καὶ κατὰ μικρὸν ἡ νόσος ἐκφαίνει. καὶ ἀπὸ τῆς διατρίτου, ἄρχεται αὔξειν μέχρι τῆς †κ. ἔσονται γὰρ λεπτοὶ οἱ πυρετοί. καὶ καθαιρέσεις παντὸς τοῦ σώματος νυκτεριναῖς ἐπιτάσεσι πυκνοτέραις, καὶ ἁπλῶς αἴσθησις. ἀγαθοποιοῦ δὲ μηδενὸς παρεμπλεκομένου πυρέσσοντος τοῦ ♂ τὸ αὐτὸ σχῆμα ἐπέχοντος μετὰ τὴν λ΄. ἡμέραν τελευτήσει. ἀγαθοποιῶν δὲ παρόντων καὶ τὴν ☾ ἐπιθεωρούντων, εἰς χρονίων πάθη, καὶ περιοδικὰ ἐμπεσὼν σωθήσεται. Ἐὰν δὲ ☾ οὔσης ἐν ♊. κατακλιθῇ τις πυρέσσοντος ἢ συνόντος. ἢ □ ἢ ☍ αὐξούσης τοῖς ἀριθμοῖς καὶ τῷ φωτί, ἔσται ἡ νόσος ἐπισφαλὴς καὶ ἐπικίνδυνος. ἔσονται γὰρ πυρετοὶ συνεχεῖς καὶ στεγνοὶ καὶ καυσώδεις. καὶ σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι. τούτοις οὖν ὠφέλιμος ἔσται, ἡ τοῦ αἵματος ἀφαίρεσις. Ἐὰν δὲ ἀγαθοποιὸς μηδεὶς τὴν ☾. θεωρεῖ, τοῦ ♄. τὸ αὐτὸ σχῆμα ἔχοντος. μέχρι τοῦ ☍. τελευτήσει. Ἐὰν δὲ ἀγαθοποιὸς ἐπιθεωρεῖ τὴν ☾. κινδυνεύσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♊ κατακλιθῇ τις, ἔσται ἀπὸ κόπου καὶ βαλανείων τὸ προκαταρκτικὸν αἴτιον πᾶσά τε ὑγρότης καθέξει τὸ πάθος. Ἐὰν δὲ συσχηματισθῇ φαίνων ♄ συμπαραλαβὼν στίλβοντα ☿ †τῆς ☾. μάλιστα ☾ ἐκ τοῦ ☉ ἀφαιρούσης τοῖς ἀριθμοῖς, ἔσται ἐπαλγὴς τὰς ὠμοπλάτας καὶ περὶ τὰς ψόας. ὅλον τε τὸ σῶμα διάπυρον. καὶ περὶ τὴν ἐπιφάνειαν ὡς ἐκ κατακαύσεως ἀλγῶν. ἔσονται δὲ ἀνωφελεῖς αἱ τοῦ σώματος ἀφαιρέσεις, ὅπερ αὐτοὶ ἐπιθυμοῦσιν. ἐναντιοῦται δὲ καὶ ψυχροῦ πόσις μέχρι τῆς ζ΄. σύνδεσμον δὲ λυούσης καὶ κινουμένης αὐτῆς ἐπὶ τὰ ἥττονα ἀπαραβάτως ἀναιρεθήσεται. Ἐὰν δὲ ἐν τῷ προκειμένῳ ὅρῳ σχηματισθῇ τις τῶν ἀγαθοποιῶν ἐπὶ τὴν κατάκλισιν, εἰς ἕτερα ἀφ' ἑτέρων πάθη περιπίπτουσιν. οἷον, ἰσχιάδας καὶ ἄλλα τινὰ ἀλγήματα περὶ αὐτὰ τὰ ἄρθρα. ἡ δὲ ποσότης τοῦ χρόνου δηλωθήσεται διὰ τῆς συναφῆς τῆς ☾. τουτέστι τῆς προβάσεως τοῦ ἀγαθοποιοῦ ἀστέρος. σώζονται γὰρ ἀπαραβάτως. ὁ δ' αὐτὸς ὅρος καὶ ἐπὶ παντὸς ζωδίου. Ἐὰν δὲ ἀσχημάτιστος ἅπασι τοῖς ἄστρασιν ἡ κατάκλισις γένηται, ἀνώμαλοι εἰσὶν αἱ νόσοι. ἐπὶ δὲ τῆς ☍. ἀπαλλάσσονται. κείσθω δέ σοι ἡ ἀνωμαλία οὕτως. ἐφ' ὧν ἂν

† al. λ΄.

† al. τῆς ☾ μάλιστα ἐκ τοῦ ☉ ἀφ.

ζῳδίῳ γένηται ἡ ☾ τὴν οἰκοδεσποτείαν λάμβανε. σημαίνει γάρ σοι αὐτὸς ὁ ἀστὴρ τὴν διήμερον, πότερον ἐπιταθήσεται, ἢ ἀνεθήσεται. Ἐὰν δὲ ἐν τῷ προκειμένῳ ὅρῳ τῆς κατακλίσεως τῆς ☾ οὔσης ἐν ♊ συσχηματισθῇ ♂ ἢ ☉ καθ' οἷον δή ποτ' οὖν τρόπον. ἢ καὶ ἀμφότεροι, καὶ μάλιστα. Ἐὰν πανσέληνος ἡ ☾ ἢ ἀμφίκυρτος τύχοι, φέρεται δὲ ἐπὶ τὰ μεγάλα κινουμένη, ἔσται μὲν ἐκ παντὸς τρόπου, πρόληψις τοῦ κάμνοντος ἐπὶ τῷ ἀπελπίζειν τοῦ ἑαυτοῦ. καὶ δακρύουσιν ἐπὶ τῷ οὕτως διατεθεῖσθαι ἔκπληκτοι δὲ καὶ θρασεῖς ταῖς λαλιαῖς γίνονται. εἰδώλων φαντασίαις ἐνταλλόμενοι. κατὰ αὔξησιν τῶν ὅλων, τὸ πάθος κινούμενον. ἐπὶ δὲ τῆς ἡμέρας καὶ στομάχου ἀσθενείας καὶ περὶ τὴν μήνιγγα διάθεσις, ὥστε καὶ ἐκλύτους καὶ ἀσφύκτους γίνεσθαι. χρὴ οὖν τῶν ἄκμων ἐπιμελεῖσθαι, διαδεσμεύοντας καὶ πνεύμονας, τάς τε τοῦ αἵματος ἀφαιρέσεις εὐθέτους ἡγεῖσθαι. κατὰ δὲ τὸ ζῴδιον, μᾶλλον δὲ ὀρεγομένων αὐτῶν πρὸς τὰς τροφὰς ἐπιδιδόναι. ἀπὸ γὰρ τοῦ συνδέσμου γνώσῃ τὸ σημεῖον. καὶ ὑπακούσει λύειν τὴν νόσον. ἢ καὶ παρὰ τῷ στομάχῳ εὐτονώτερόν σοι φανήσεται. ἢ τὸ τῆς μήνιγγος ἀρθέμενοι σώζονται, οὗτοι ἀνυπερβάτως. Ἐὰν δὲ ἀπὸ τῆς ☍ ἐπὶ τὸ μεῖζον τραπῇ ἡ νόσος, καὶ ἐπὶ τὴν κοιλίαν λεπταὶ ἀναχεχυθῶσι, ἀπαραβάτως ἀναιροῦνται. Βοηθεῖ δὲ μεγάλα ἡ προσαγωγὴ τῶν εἰωθότων. Ἐὰν δὲ τῷ προκειμένῳ ὅρῳ οἱ ἀγαθοποιοὶ συσχηματισθῶσι κατὰ τόδε τὸ ζῴδιον, καὶ ἡ ☾ ἐάν τε ἀφαιρῇ ἐάν τε προσθῇ, πᾶσαν μὲν φαρμακείαν παραιτεῖσθαι δεῖ, διαιτᾶν δὲ ἁπλοῖς καὶ εὐκρόοις βαλανείοις καὶ αἰώραις καὶ γυμνασίοις ταῖς διὰ τῶν χειρῶν. ἀνυπερβάτως γὰρ σώζονται τινὲς δὲ ἐπὶ αὐτῆς τῆς □ ἀπαλλάττονται τῆς νόσου. Περὶ τοῦ κατὰ ♋ σχηματισμοῦ. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♋ κατακλιθῇ τις, ♄ συνόντος τε ἢ ☍. ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου, ἀπὸ βαλανείων. καὶ περιψύξεως καὶ περὶ τὸν θώρακα ῥευματισμὸς καὶ βῆχες καὶ στέγνωσις τοῦ σώματος καὶ πυρέτια λεπτὰ καὶ κακοήθη καὶ σφυγμοὶ λεπτοὶ καὶ ἀσθενεῖς. καὶ πλευροῦ αἴσθησις. τούτοις οὖν πάντα τὰ θερμαίνοντα ἁρμόσει. ἐὰν δὲ ἀγαθοποιὸς μὴ ἐπιθεωρήσῃ τὴν ☾. παρελκύσας τὴν νόσον οὗτος τελευτήσει μέχρις μ. ἡμερῶν. Ἐὰν δὲ ἀγαθοποιὸς τὴν ☾ ἐπιθεωρήσῃ, πολλὰ κακοπαθήσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾. οὔσης ἐν ♋ ἢ ♂ συνόντος αὐτῇ ἢ □ ἢ ☍ κατακλιθῇ τις ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἐμέτων καὶ χολέρας, καὶ τῆς τοῦ στομάχου ἀνατροπῆς. τούτοις οὖν ἁρμόσει, πάντα ψύχοντα καὶ στεγνοῦντα. Ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾ ἐν τῇ α. □. τελευτήσει. Ἐὰν δὲ ἀγαθοποιὸς ☾ ἐπιθεωρήσῃ τὴν ☾ ἐν τῇ α. □, σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♋ κατακλιθῇ τις, ἔσται ἡ νόσος, ἐκ πληθώρας οἴνου, καὶ ἐμφορήσεως. ἄρξεται δὲ ἀπὸ διαστάσεως καὶ ὑψηλώσεως τῶν μελῶν συγκαμνόντων. καὶ διαλογιστικοὶ ὑποφαίνουσι τὸ νόσημα. ἔσται δὲ ἀπὸ ἐμέτων πυκνοτέρων καὶ χολῆς πλεονασμοῦ. δυσπνοοῦσιν οὖν καὶ τὰ πλευρὰ ἐπαισθάνονται ῥυπτιζόμενοι πάνυ, καὶ ἐν ἀέρι ψυχρῷ βουλόμενοι εἶναι ἀεί. ὥστε καὶ τὰ περιβόλαια ἀπορρίπτειν. καὶ περὶ τὰ κῶλα ἐναλγεῖς μετανιστάμενοι πυκνότερον, μάλιστα ἀπὸ ☍ διὸ δεῖ, μὴ μόνον ἀφιστάναι τῆς τοῦ ψυχροῦ δόσεως, ἀλλὰ καὶ προσάγειν τὰ δυνάμενα ψύχειν, καὶ διαφορεῖν, καὶ μάλιστα κατὰ τὰς ἀρχάς. Ἐὰν δὲ καὶ ἡ ☾ τοῦ ♂ ἢ ☉ ἢ καὶ ἑκατέροις σχηματισθῇ καθ' ὁπότερον φάσεως τρόπον οἱ πυρετοὶ κατ' ἐπίθεσιν καὶ αὔξησιν. οἵ τε σφυγμοὶ ἀνώμαλοι. ποτὲ μὲν αὐξάνοντες. ποτὲ δὲ διαλειπόμενοι. διὸ συμφέρει ἡ τοῦ αἵματος ἀφαίρεσις ἀπὸ γὰρ τῆς διὰ πέμπτου μέχρι τῆς ϛ. μοίρας, τουτέστι τῆς τοῦ ♊ πλευρὰς ἐπακολουθήσει ἐπάλληλα καὶ κακοήθη πάθη. μηδενὸς δὲ παρεμπλακέντος ἀγαθοποιοῦ μέχρις οὗ τὸν σύνδεσμον λύσῃ περὶ τὸ νευρῶδες πάσχουσι καὶ παρακόπτονται ἐπιβοῶντες καὶ κραυγάζοντες. φυσικῶς δὲ καὶ κατὰ τόδε τὸ ζῴδιον, ἐν ταῖς νυξὶ τὰ πάθη ἐπιγίνεται. ἐὰν δὲ τὸν σύνδεσμον λύσῃ καὶ ἐπὶ τὰ ἧττον κινεῖται, συνάψῃ δὲ ἀγαθοποιῷ, εἰς περιοδικὸν πάθος, οἷον τεταρταῖον, ἐμπεσὼν σωθήσεται. Ἐὰν δὲ κακοποιῷ συνάπτῃ οὐδὲν ἧσσον τῷ περιοδικῷ τρόπῳ, ἀναιρεθήσεται. Ἐὰν δὲ ἐν τῷ προειρημένῳ τρόπῳ μηδεὶς τύχοι μέσος μέχρι τῆς ☍ τῆς ☾ σύνδεσμον λυούσης καὶ κινουμένης ἐπὶ τὰ ἥσσονα, σωθήσεται. Ἐὰν δὲ ἐπὶ τὰ μείζονα ἀπὸ συνδέσμου κινεῖται, μέσος δὲ τύχοι κακοποιός, λέγω δὴ ♄ μέχρι τῆς ☍ κινδυνεύσας σωθήσεται. φύσει δὲ οἱ κατακλιθέντες ἐν τῷδε τῷ ζῳδίῳ, δυσεκλείπτους τὰς νόσους ἔξουσι, καὶ κακοήθεις. καὶ τὰ δοκοῦντα αὐτοῖς βοηθεῖν θεραπεύματα ἐναντιοῦνται. ἁρμόζει δὲ καὶ οἴνου δόσις. καὶ βαλανεῖα καὶ τροφαὶ δυνάμεναι ταχέως ἀναδίδοσθαι. Ἐὰν δὲ ἐν τῷ προκειμένῳ ὅρῳ ♄ ἢ ♀ σχηματισθῶσιν, ἀνεθήσονται μὲν αἱ νόσοι καθώς σοι ὑποδέδεικται. περισσότερον δὲ περὶ τὰ ἄρθρα ἕξουσι πόνους, καὶ περὶ τὰ ὦτα. Τινὲς δὲ περὶ τὸν πνεύμονα, ἢ περὶ τὸ ἧπαρ τὰ πάθη ἴσχουσι. οὕτως δὲ καὶ πολυχρόνιοι αἱ νόσοι. ἐὰν οὖν τούτῳ τῷ σχήματι κινεῖται ἡ ☾ ἀφαιροῦσα τοῖς ἀριθμοῖς, χρονίζουσι τὰ πάθη. καὶ οὐδὲν ἧσσον ἐν τῷ πάθει τελευτήσουσι. Ἐὰν δὲ κατὰ αὔξησιν τοῖς ἀριθμοῖς προσθῇ καὶ τῷ φωτὶ ἡ ☾ καὶ ὁ ♃ καθ' οἷον δή ποτ' οὖν τρόπον προσκληθῇ, κατακλιθήσονται μέχρις οὗ ἡ ☾ παραγένηται ἐπὶ τὸ ι. ζῴδιον τῆς κατακλίσεως. Ἐὰν δὲ ἀνεπιθεώρητος εἴη ἀπό τε

†αἱ ♌ κακοποιῶν καὶ ἀγαθοποιῶν, ἐν αὐτῷ τῷ ζῳδίῳ τῆς νόσου λυθήσονται. Ἐὰν δὲ ἀγαθοποιοὶ μόνοι καὶ † ♉ καθ' οἷον δή ποτ' οὖν τρόπον σχηματισθῶσι μέχρι τῆς □ τὰ πάθη λύουσι. χρὴ οὖν τῶν πυκνοτέρων βαλανείων ἀπέχεσθαι. ἐπὶ τὰ γυμνάσια δὲ καὶ τὰς αἰώρας τρέπεσθαι. οὕτω γὰρ παραμυθήσονται αἱ νόσοι. Περὶ τοῦ κατὰ ♌ σχηματισμοῦ. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♌ κατακλιθῇ τις ϛ' συνόντος ἢ ☍ ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου ἐκ πλήθους, καὶ ὠμότητος. ἔσται γὰρ περὶ τὸν θώρακα αἴσθησις καὶ τὰ ὑποχόνδρια. καὶ πυρετοὶ ἐπιτεταμένοι γενήσονται. καὶ ἡ ἐν βάθει θερμασία μᾶλλον ἢ τῇ ἐπιφανείᾳ, καὶ κοιλία στεγνή. τούτοις οὖν ἁρμόσει πάντα τὰ ἀναθερμαίνοντα, καὶ ἀναχαλῶντα. Ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾ μέχρι τῆς ☍ τελευτήσει. Ἐὰν δὲ ἀγαθοποιοὶ τὴν ☾ ἐπιθεωρήσωσι, πολλὰ κακοπαθήσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♌ κατακλιθῇ τις ♂ συνόντος, ἢ ☍ ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου, ἀπὸ πλήθους αἵματος, καὶ ἔσονται, πυρετοὶ ῥοώδεις. καὶ σφυγμοὶ ἄτονοι καὶ ἐνδεδυκότες. καὶ λειποθυμίαι, καὶ ἀνορεξίαι καὶ βάρος. καὶ καταφορά. καὶ πάρεσις παντὸς τοῦ σώματος. καὶ καρδιακὴ διάθεσις. τούτοις οὖν ἁρμόσει πάντα τὰ στεγνοῦντα καὶ ψύχοντα. Ἐὰν οὖν μηδεὶς ἀγαθοποιὸς ἐπιθεωρεῖ τὴν ☾ μέχρι τῆς θ τελευτήσει. ἀγαθοποιῶν

θοποιῶν δὲ ἐπιθεωρούντων τὴν ☾ ἀπὸ τοῦ ☍ κινδυνεύσας σωθήσεται. Εὰν δὲ τῆς ☾ οὔσης ἐν ♋ κατακλιθῇ τις ἐφ' οἵας ποτ' οὖν μοίρας, τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων ζῳδίων νοείσθω, ὡς θέμις, συνκείνοντός μου ἢ ὡροσκοποῦντος. ♌. ἔσται ἡ νόσος ἀπὸ ψυχικῶν τόπων λυπηρῶν ἢ πραγμάτων καὶ δι' ἄλλων μεριμνῶν. πυρωμένου μὲν τοῦ θώρακος, τῶν δὲ ἄκρων ψυχομένων καὶ περὶ τὴν κεφαλὴν τῶν αἰτίων γινομένων. καὶ τῶν ὀφθαλμῶν κοιλουμένων, περιτεινομένης τε τῆς ῥινός, καὶ ἀσφύκτων φαινομένων τῶν καμνόντων, καὶ ὑποφαινόντων πολυχρόνιον νόσον. εὐτονοῦσι δὲ ὅσον κατὰ τὸ πλῆθος. χρὴ οὖν αἵματος εὐθέως ἀφαίρεσιν ποιεῖσθαι, εἰ μὲν δυνατόν, ἐν αὐτῷ τῷ ζῳδίῳ κινουμένης τῆς σελήνης, μάλιστα μέν τοι ἐὰν ἄρξεται τὰ μεγάλα κινεῖσθαι. εἰ δὲ μή, ἕως τῆς διατρίτου. ἀνατρίβειν τε τὰ ἄκρα καὶ διαφορεῖν πάντα τὰ ἀπὸ τοῦ θώρακος. Εὰν δὲ ♂ τε καὶ ☉ ἀμφότεροι κατὰ πρόσθεσιν ὦσι τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ σχηματισθεῖεν, καρδιακὴ περίστασις ἀπαραβάτως ἔσται μέχρι τῆς διὰ πέμπτου. Ἐπὶ δὲ τὴν ☐ πλευρὰν ἐὰν λήγῃ τοῖς ἀριθμοῖς, ἢ καὶ ἐπαύξῃ σχηματισθῇ δὲ τῷ ♄. σωθήσεται. Εὰν δὲ ♃. ἢ ♀ σχηματίζων ἐπὶ τῆς κατακλίσεως ἐλθούσης αὐτῆς τῆς ☾ εἰς τὸ ☐. σωθήσονται. Εὰν δὲ καὶ αὕτη μόνη ᾖ κατὰ ἀφαίρεσιν τοῖς ἀριθμοῖς, κινεῖται, σωθήσεται. εὔχρηστοι δὲ αἱ τοῦ οἴνου δόσεις, καὶ τὰ βαλανεῖα. καὶ μετὰ τὴν διὰ τρίτου, ἢ διὰ πέμπτου ἀθρόαι. Εὰν δὲ ἐν τῷ προκειμένῳ σχήματι τῆς ☽ οὔσης ἐπὶ τῆς κατακλίσεως ἐν ♌ κινουμένης τε αὐτῆς ἐπὶ τὰ μεγάλα, ἢ καὶ τῷ φωτὶ προσιθείσης σχηματισθῇ αὐτῇ. ♄. καὶ μεσουρανήσει, ἢ καὶ εἰς τῶν ἀγαθοποιῶν, καὶ μέχρι μὲν τῆς ☐ τὰ προκείμενα γενήσεται, οὐδὲν δὲ ἧττον περὶ τὴν κύστιν ἀλγήματα ἔσται, καὶ ἐμπνευματώσεις στομάχου πλὴν σώζονται. Εὰν δὲ τὰ μείζονα ἀπὸ τοῦ συνδέσμου τρέχῃ ἀπαραβάτως σωθήσονται. Εὰν δὲ τῷ προκειμένῳ σχήματι ♄ καὶ ♂ καὶ ἕτερός τις σχηματισθῇ ἐπὶ τὸ βόρειον αὐτῆς φερομένης, ἀπαραβάτως ἐπὶ τὴν τῆς ☍ ἐλθούσης λύσις ἔσται τῆς νόσου. Χρὴ δὲ μὴ θάλπειν, μὴ δὲ ἐν σκοτεινοῖς κατακλίναι. ἀεὶ δὲ τῆς ἐπιθυμίας μακρὰν ἀπάγειν. εὔχρηστος δὲ καὶ ἡ τοῦ ψυχροῦ δόσις. τροφαὶ δὲ αἱ δυνάμεναι ὀγκοῦν καὶ μὴ ἀφερεῖν. Εὰν δὲ αὐτὴ ἡ ☾ ἀνεπιθεώρητος πάντα ᾖ, κινεῖται δὲ ἐπὶ τὰ μεγάλα ἐπὶ τὴν ☍ ἐλθοῦσα ἐπὶ τὴν κρίσεως σημασίαν ποιησαμένη λύει τὴν νόσον. Εὰν δὲ ἐπὶ τὰ ἥσσονα κινεῖται μέχρις παρέλθῃ τὴν ☍ οὐ ἀνωμάλως νοσήσας καὶ πυκνότερον ἀναβοπιάζων, σωθήσεται.

Περὶ τοῦ κατὰ τὴν σχηματισμοῦ. Εὰν δὲ τῆς ☾ οὔσης ἐν ♍ κατακλιθῇ τις ♄. συνόντος αὐτῇ ἢ ☍ ἢ ☐. ἔσται ἡ καταρχὴ τῆς νόσου ἐκ βραδύτητος καὶ ὠμότητος περὶ τὴν κοιλίαν καὶ τῶν ἐντέρων πόνος. καὶ τῶν ὑποχονδρίων φλεγμονή, καὶ πυρετοὶ στεγνοί. καὶ ἀνώμαλοι ἐν ἀνέσει καὶ ἐπιτάσει. καὶ σφυγμοὶ ἐνδεδυκότες πυκνοί. καὶ ἄτακτοι. τούτοις οὖν ἁρμόσει πάντως τὰ θερμαίνοντα καὶ ἀναχαλῶντα. ἐὰν δὲ ἀγαθοποιοὶ τὴν ☾ μὴ θεωρήσωσι, κινδυνεύσει περὶ τὴν. † μ. Εὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾ πολυχρόνιον πάθος ἔχων σωθήσεται. † αἱ ιδ. Εὰν δὲ τῆς ☾ οὔσης ἐν ♍ κατακλιθῇ τις ὄντος ♂ σὺν αὐτῇ, ἢ ☐ ἢ ☍ ἔσται ἡ νόσος ἀπὸ κοιλίας ῥύσεως, καὶ περιστήσεται εἰς δυσεντερικὸν πάθος, καὶ ἔσται αἵματος ῥύσις καὶ ἕλκωσις περὶ τὰ ἔντερα. πυρετοὶ λεπτοὶ ῥυώδεις. καὶ σφυγμοὶ ἄτονοι, καὶ πυκνοί. καὶ ἀνορεξίαι. καὶ στομάχου ἀνατροπή. τούτοις ἁρμόσει, πάντα τὰ στεγνοῦντα. εἰ δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾ τῇ λ. ἡμέρᾳ τελευτήσει. Εὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾ σωθήσεται. Εὰν δὲ τῆς ☾ οὔσης ἐν ♍ κατακλιθῇ τις, ἔσται ἡ νόσος ἐπὶ κοιλιακῆς διαθέσεως. πόνων τε τῆς κοιλίας καὶ ἐμπνευματώσεως. καὶ ἄρξεται ὡς ἂν ἐξ ἀπεψίας τὰ ♏ κατὰ τὴν κοιλίαν ῥεῖν δριμέα. τὰ δὲ ἐπὶ τὰ οὖρα φέρεσθαι χλωρὰ καὶ δυσώδη. μάλιστα δὲ νυγμῶν γινομένων ὡς ἐπὶ τὸ διάφραγμα, καὶ τοῦ στομάχου ἀναλυομένου. συγκάμνοντος δὲ τοῦ νευρώδους ὅλου. κατ' ἀρχὴν γὰρ εὐθὺς ἀγρυπνοῦσι τὰς ὄψιας δεινῶς. Εὰν δὲ καὶ ἀπὸ τοῦ ἐλαχίστου δρομήματος ὁρμηθεῖσα ἐπὶ τὰ μείζονα κινεῖται σχηματισθῇ δὲ αὐτῇ ♂ ἢ ☿ ἢ καὶ ☉ καὶ παρακόψουσι ταῖς λαλιαῖς ἐμποδιζόμενοι. χρὴ οὖν τοῖς δυναμένοις πυκνοῦντι καὶ συστέλλειν τὰ ὑγρὰ χρῆσθαι. ἄχρηστος δὲ ἡ τοῦ ὑγροῦ προσαγωγὴ καὶ πᾶς χυλὸς καταψυχρός. ἐὰν δὲ ἀπὸ τῆς ☾ ἐπὶ τὰ μείζονα τρέπηται περιοσοτέρως παντὸς τοῦ ψύχοντος ἀπεχέσθωσαν. μέχρι γὰρ τῆς ☍ κινδυνεύσαντες, εἰς διάθεσιν κοιλιακὴν ἢ δυσεντερίαν περικυλίονται, καὶ οὕτως δὲ χρονίσαντες ἐλαττοῦσι. Εὰν δὲ τούτῳ τῷ οὔρῳ ὁ ♄ σχηματισθῇ μετὰ ☿ ἢ ♀ ἢ τοῦ ♃ μόνου, οὐδὲν ἧσσον πολυχρόνιος ἡ νόσος, καὶ σπληνικὰ πάθη, καὶ νεφριτικά. καὶ οὕτως δὲ χρονίσαντες καὶ μοχθήσαντες ἐν τῷ πάθει διασώζονται. Εὰν δὲ τῆς ☾ μόνης κινουμένης καὶ ἀνεπιθεωρήτου οὔσης ἢ κατὰ πρόσθεσιν, ἢ ἀφαίρεσιν, ἢ κατὰ οἷον δήποτ' οὖν τρόπον σχήματος κατακλιθῇ τις αἱμοῤῥοήσει. τούτοις δ' ἡ ☾ περιοδεύουσα τοῦ πάθους λύει ὠχροὶ δὲ καὶ μελάγχροοι ἐπὶ πολὺν χρόνον νοσήσαντες γίνονται, οὐδὲν δὲ ἧττον διασώζονται. ἐὰν δὲ ♃ ἢ ♀. ἢ ☿. καὶ ὁπότερος αὐτῶν, ἢ καὶ οἱ πάντες κατὰ τὴν κατάκλισιν προσνεύσωσι, οὐδὲν ἧττον τὰ κατὰ τὴν κοιλίαν ῥευματίζονται. ἐν αὐτῷ δὲ τῷ ζῳδίῳ μέχρι τῆς διὰ πέμπτου λύουσι τὰς νόσους. χρὴ δὲ τὰς μὲν τοῦ οἴνου δόσεις προσάγειν. τὰς δὲ τῶν βαλανείων παραιτεῖσθαι. Εὰν δὲ τῆς ☾ οὔσης ἐν ♎ κατακλιθῇ τις ♄ συνόντος ἢ ☍ ἢ ☐ ἔσται ἡ καταρχὴ τῆς νόσου, ἐξ οἰνοποσίας καὶ κραιπάλης μάλιστα. Εὰν ἡ ☾ ἀφαιρῇ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, καὶ ἐν νυκτὶ γένηται ἡ κατάκλισις, ἔσται δὲ τὰ περὶ τὴν κεφαλὴν καὶ τὸν θώρακα πάθη, ῥευματισμοί. καὶ βῆχες κατ' ἀρχήν. καὶ κάρος περὶ τὴν κεφαλήν, καὶ ἀνορεξίαι, καὶ διπλαῖ ἐπιτάσεις. καὶ συνεχεῖς πυρετοὶ καὶ πυκνοὶ καὶ ἄτονοι. τούτοις οὖν ἁρμόσει πάντα τὰ θερμαίνοντα. Εὰν δὲ καὶ μετὰ ♂ τὸ αὐτὸ σχῆμα ἐπέχῃ, ἀπαραβάτως ἐν τῇ ☍ τελευτήσει. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♎ κατακλιθῇ τις ὄντος ♂ σὺν αὐτῇ ἢ ☍ ἢ ☐ ἔσται ἡ νόσος ἐκ πλήθους αἵματος καὶ ἔσονται πυρετοὶ ἐπιτεταμένοι. καὶ σφυγμοὶ ἐπηρμένοι. καὶ παρακοπή, καὶ φρενῖτις, καὶ ἀγρυπνία ὑπερβάλλουσα, καὶ περὶ ὅλον τὸ σῶμα, φλεγμονή. τούτοις ἁρμόσει ἡ τοῦ αἵματος ἀφαίρεσις, καὶ πάντα τὰ δυνάμενα καθαίρειν τὴν ἕξιν. ἀγαθοποιοῦ δὲ μὴ ἐπιθεωροῦντος τὴν ☾ ἐν ταῖς ι. ἡμέραις τελευτήσει. ἀγαθοποιῶν δὲ ἐπιθεωρούντων, μέχρι τῆς ☍ κινδυνεύσας σωθήσεται. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♎ κατακλιθῇ τις ἔσται τὸ αἴτιον εἰς τὰ ἄκρα. ἐπαλγῆ γὰρ ἔσται αὐτὰ καὶ πυρώδη. καὶ τὴν ἐν βάθει μᾶλλον θερμασίαν ὑπεμφαίνονται. εὐθὺς δὲ καρεῦνται καὶ μᾶλλον οἱ ὀφθαλ

μοὺς ὡς εἰς ὕπνον τρέπουσι. καὶ ἀποκρίνονται ἀνόρεκτον. οὕτω μὲν οὖν φυσικῶς, ἐπὶ τούτου τοῦ ζῳδίου αἱ νόσοι γίνονται, ὅπερ καταψεύδονται τινὲς αἰτιώμενοι τὸ ἀεὶ φθείρειν. ἐὰν δὲ καὶ αὐτῆς κινουμένης ἐπὶ τὰ ἥττονα ♄. ἢ ♀ ἢ ☿ ἢ καὶ ὁπότερος αὐτῶν προσγένηται, μέχρι τοῦ ☍ φρενιτίζουσιν ἀπαραβάτως. διὸ δεῖ θάλπειν καὶ τοῖς δυναμένοις διαφορεῖν κεχρῆσθαι καὶ ἀποκρούεσθαι καὶ ἐν ἠρεμίᾳ καὶ δεσμοῖς φυλάττειν, μήποτε κλέψαντες ὑδροποτήσωσιν. οὕτω γάρ τε τὰ κατὰ τὴν κοιλίαν ἐκκριθέντα, μέχρι τῆς ☍ διαφόρησιν ποιήσονται τῆς νόσου. οὐδὲν δὲ ἧσσον εἰς χρονιώτερα καὶ ἀνώμαλα πάθη περικυλισθέντες οἷον περιοδικὰ οὕτως διασωθήσονται. ἐὰν μόνος δὲ ♄ ᾖ, ἀπόλλυνται. ἐὰν δὲ τὰ μεγάλα τροχάζῃ τῷ προειρημένῳ τρόπῳ τοῦ ☍ πολλὰ παθόντες κατὰ ἄνεσιν καὶ ἐπίτασιν τῶν πυρετῶν διασώζονται. ἐὰν δὲ ☽ οὔσης ἐν ♎ καὶ ὁ ♂ ☉ διαμετρήσωσι, ἔσται τὰ περὶ τὴν κεφαλὴν αἴτια. κεφαλαλγία καὶ ῥευματισμὸς καὶ ἡμικρανία. Ἐὰν δὲ ☿ παραγένηται, τὰ περὶ τοὺς ὀφθαλμοὺς αἴτια. ὑποχύσεις. γλαυκώσεις. μυδριάσεις. χρὴ οὖν ὡς ἐπὶ τὸ πλεῖστον τὴν τοῦ αἵματος ἀφαίρεσιν προσάγειν. εὔχρηστοι δὲ, καὶ αἱ κατὰ τὴν κοιλίαν ἐκκρίσεις. οὕτω δὲ πολυχρονήσαντες, οὐδὲν ἧττον κινδυνεύσουσι, ἐπὶ τῆς αὐτῆς διαθέσεως μένοντες. Ἐὰν δὲ ♃ ἢ ♀ παρεπιπλακῶσι καθ' οἷον δήποτ' οὖν τρόπον σχηματισμοῦ διασωθήσονται μένοντες ἐπὶ τῶν αὐτῶν παθῶν. ἀνεπιθεωρήτου δὲ αὐτῆς οὔσης, εἴτε μειουμένης κακοήθεις μὲν αἱ νόσοι, καὶ ἡ περὶ τοὺς ὀφθαλμοὺς ἀταξία, δυσκατάληπτος, οὐδὲν δὲ ἧττον ἐπὶ τὸ διάμετρον ἐλθοῦσα ἡ ☽ λύει τὴν νόσον. ἐπὶ πάντων δὲ τῶν τροπικῶν καὶ ἰσημερινῶν τῶν ζῳδίων νοείσθω σοὶ κακοήθεις εἶναι τὰς νόσους.

Περὶ τοῦ κατὰ ♏ σχηματισμοῦ.

Ἐὰν δὲ τῆς ☽ οὔσης ἐν ♏ κατακλιθῇ τις ♄ συνόντος αὐτῇ. ἢ ☍ ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἑλκώσεως ἢ βουβώνων. ἢ τόπων κρυπτῶν περὶ τὸν δακτύλιον ἢ αἰδοῖον. καὶ ἐὰν προσθῇ ἡ ☽ τοῖς ἀριθμοῖς, ἢ τῷ φωτὶ σωθήσεται ὁ νοσῶν. καὶ μάλιστα ἀγαθοποιῶν ἐπιθεωρούντων. Ἐὰν δὲ τῆς ☽ οὔσης ἐν ♏ κατακλιθῇ τις ♂ συνόντος αὐτῇ ἢ ☍ ἢ □. τῷ δὲ φωτὶ λειπομένου καὶ τοῖς ἀριθμοῖς ἀφαιρούσῃ, μάλιστα ἀγαθοποιῶν ἐπιθεωρούντων σωθήσεται ἐν τῷ α. □ ἢ μέχρι τοῦ ☍ καὶ γὰρ αἱ νόσοι ἔσονται ἐπιεικεῖς, καὶ εὐμετάγωγοι. ὁ δὲ αὐτὸς τρόπος νοείσθω σοι καὶ ἐπὶ πάντων τῶν ζῳδίων, ὅταν τοιαῦτα σχήματα ἐμπέσωσι. Ἐὰν οὖν τῆς ☽ οὔσης ἐν ♏ κατακλιθῇ τις, ἔστιν ἡ νόσος, ἀπὸ φρικίων ἢ λαχίτων. οὗτοι τε καταφρονοῦντες αὔξουσι τὰ πάθη. τὸ δὲ προκαταρκτικὸν αἴτιον ἔσται περὶ τὴν κύστιν, καὶ τὰ μεσομήρια ἢ καὶ περὶ τὴν ἕδραν ἕλκωσις. μέχρι δὲ τῆς διατρίτου ὀρθοπυρεταίνων αὐξήσει τὴν νόσον. ἐὰν δὲ προσθῶσι τοῖς ἀριθμοῖς, καὶ μάλιστα ἀπὸ ☍. συμπαρῇ δὲ αὐτῇ ♂ κατὰ τὸν ♏ καὶ σιδήρου πεῖραν ἕξουσι κατὰ τοὺς κρυπτοὺς τόπους. ἐὰν δὲ καὶ ☉ συμπαρῇ καὶ σχηματισθῇ, ἀποστήματα περὶ τὰ πλευρὰ πεῖραν ἕξουσι. ἐὰν δὲ ἐπὶ τὰ μείζονα τρέπονται, τότε δὲ ὅσιν ἐπὶ τὰς ις κατὰ μῆκος πεῖραν δέξηται περὶ τὰ πλευρά. καὶ δι' αἱμάτων ἐκλύσονται. ἢ αἷμα ἐκκρίνουσιν. χρὴ οὖν τῆς τοῦ ψυχροῦ προσαγωγῆς ἀπέχεσθαι διαπαντὸς, ἐν ἠρεμίᾳ δὲ φυλάττειν. ἄχρηστοι δὲ οἱ κλυσμοὶ καὶ τὰ δυνάμενα ψύχειν καταπλάσματα, καὶ ἡ τοῦ αἵματος ἀφαίρεσις διὰ σικυῶν. ἄχρηστα δὲ καὶ τὰ βαλανεῖα. μέχρι δὲ τῆς ☽ ια. γινομένης, οὕτως δὲ ὑπερβαίνοντες, χρόνια τὰ πάθη ποιοῦσι, καὶ ὁμοίως κινδυνεύουσι.

Ἐὰν δὲ ♃ καὶ ♀ συμπαρῇ τῇ ☽ ἢ σχηματίζωνται τὰ μὲν προκείμενα πάθη ἔσται. σωθήσονται δὲ ἐγχρονίσαντες ἡ δὲ ποσότης τῶν χρόνων ἤτοι ἡμερῶν ἀπὸ τῆς τῶν ἀστέρων παρεμπλοκῆς, γνωσθήσεταί σοι. μέχρι γὰρ τῆς ἐπομμάσεως αὐτῶν παραμένει τὰ πάθη. ἡ γὰρ ὡρισμένη ἡμέρα κατακλίσεως μέχρι τοῦ ☍. ὑπερτιθέμενοι δὲ τὴν διάμετρον χρονίους τὰς νόσους ποιοῦσιν ἀστέρες. Ἐὰν δὲ τῆς ☽ οὔσης ἐν ♏ κατακλιθῇ τις, καὶ ♄ συμπαρῇ αὐτῇ ἢ σχηματισθῇ καὶ κατὰ ἥσσονα τρέχῃ, ἢ καὶ ἐπὶ σύνδεσμον φέρηται, παραλυθήσονται ἀπαραβάτως καὶ εἰς χρόνια πάθη περικυλίονται, οἱονεὶ ῥευματιζόμενοι τὸ αἰδοῖον, ἢ τὰ περὶ τὴν ἕδραν. ἐὰν δὲ μηδεὶς ἀγαθοποιὸς παρεμπλακῇ, ἢ σχηματισθῇ, ἐν τοῖς πάθεσι τελευτήσει. Ἐὰν δὲ ἐπὶ τὰ μείζονα ἐγείρηται ☽ καὶ σχηματίζηται αὐτῇ ♄ ἢ συμπαρῇ τὰ μὲν προκείμενα πάθη ἐπιγένονται. ἐγχρονίσαντες δὲ διακαυθήσονται. φύσει δὲ κατὰ τόδε τὸ ζῴδιον, ἄχρηστα τὰ βαλανεῖα, καὶ πάντα τὰ δυνάμενα ῥευματίζειν.

Περὶ τοῦ κατὰ τοῦ ♐ σχηματισμοῦ. ἐὰν δὲ τῆς ☽ οὔσης ἐν ♐ κατακλιθῇ τις ὄντος ♄ σὺν αὐτῇ ἢ ☍ ἢ □ ἔσται ἡ κατ' ἀρχὴν τῆς νόσου ἐκ ῥύσεως ὑγρῶν, καὶ λεπτῶν ῥευμάτων, καὶ δριμέων. ἔσονται δὲ ἐπαλγεῖς τοῖς ἄρθροις, καὶ ῥιγοπυρετοῖς σχεθήσονται, καὶ ἐπισημασίαι μετὰ ῥίγους, καὶ τῶν ἄκρων ψύξεις. ὅταν οὖν μάλιστα ἡ ☽ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς ἀφαιρῇ, ἔσονται διπλαῖ σημασίαι. καὶ οἱ πυρετοὶ στεγνοί. καὶ οἱ σφυγμοὶ, ἐνδεδυκότες, τούτοις ἁρμόσει τὰ ἀναχαλῶντα καὶ θερμαίνοντα. εἰ δὲ ἀγαθοποιὸς ἐπιθεωρήσει τὴν ☽ κινδυνεύσας σωθήσεται παραλλάξας τὴν ☍. ἐὰν δὲ τῆς ☽ οὔσης ἐν τῷ ♐ κατακλιθῇ τις ♂ αὐτῇ συνόντος ἢ ☍ ἢ □ ἢ τῷ φωτὶ αὐξούσης τῆς ☽ καὶ τοῖς ἀριθμοῖς. ἔσται ἡ νόσος ἐπισφαλὴς καὶ ἐπικίνδυνος ἀπὸ πλήθους καὶ κραιπάλης. ἔσονται γὰρ πυρετοὶ συνεχεῖς καὶ ἐπιτεταμένοι καὶ ῥοώδεις καὶ χολερικὰ πάθη καὶ κοιλίας ῥύσεις καὶ σφυγμοὶ ἄτονοι, ἁρμόσει οὖν τούτοις πάντα τὰ ψύχοντα, καὶ στεγνοῦντα ἐὰν δὲ καὶ κακοποιοὶ τὴν ☽ ἐπιθεωρήσωσι τῇ ζ. ἡμέρᾳ ἀναιρεθήσεται. Ἐὰν δὲ ἀγαθοποιοὶ τὴν ☽ ἐπιθεωρήσωσι, μετὰ τὴν ☍ κινδυνεύσας σωθήσεται. Ἐὰν δὲ τῆς ☽ οὔσης ἐν ♐ κατακλιθῇ τις ἔσται ἡ νόσος ἀπὸ βαλανείου καὶ ἀέρος ψυχροῦ. ὅλον δὲ ῥευματισθήσεται τὸ σῶμα, καὶ περὶ τὸ πρόσωπον σφυγμοί, καὶ τῶν οὔλων ἄλγησις, καὶ τῶν ὀδόντων. τὸ δὲ προκαταρκτικὸν αἴτιον ἔσται περὶ τὸν θώρακα. ἐὰν δὲ ἥττονα τροχάζῃ, μάλιστα δὲ ἐπὶ ☉ ☽ φερομένη, συμπαρῇ δὲ ♄ ἢ ☿ συσχηματισθῇ, περὶ τὸν πνεύμονα ἑλκώσεις, καὶ φλεγμοναὶ περὶ τὸ διάφραγμα ἔσονται, ὅλον τε τὸ σῶμα ἔσται φλεγμαῖνον. χρὴ δὲ προσάγειν τὰ δυνάμενα ξηραίνειν. εὔχρηστοι δὲ καὶ αἵματος ἀφαιρέσεις, μέχρι τῆς διὰ πέμπτου. ἐὰν δὲ ἀπὸ τῶν ιγ. ἐπὶ ιδ. τροχάζῃ, πειραθέντες μέχρι τοῦ διὰ πέμπτου τελευτήσουσι. Ἐὰν δὲ ♃ ἢ ♀ συμπαρῶσι τῷ προκειμένῳ ὅρῳ, τὰ μὲν προκείμενα πάθη ἔσται, σωθήσονται δέ. ἐὰν δὲ τὰ μείζονα ἡ ☽ τροχάζῃ καὶ μόνη ἢ σώζονται. Ἐὰν δὲ ἐπὶ τὰ

μείζονα

μείζονα προχαζούσης τῆς ☾ ♂ καὶ ☉ αὐτῇ σχηματίζωνται μάλιστα μὲν ψυγμῷ, ἢ βηχίοις συσχεθήσονται. φύσει δὲ ἐπὶ τόδε τὸ ζώδιον ἀγρυπνίαι καὶ ἐπιτάσεις νυκτεριναὶ γίνονται. ἀσφυκτοῦσι δὲ εἰς ὑπερβολήν. χρὴ δὲ καὶ θάλπειν, καὶ ἐν σκοτεινῷ κατακλίνειν, τά τε βαλανεῖα ἀρχῆς, καὶ πάντα τὰ λύοντα. τῶν μὲν οὖν ἀγαθοποιῶν ἐπιθεωρούντων κινδυνεύσας σωθήσεται. Ἐὰν δὲ ἡ ☾ ἐπιθεωρεῖται ὑπὸ τῶν ἀγαθοποιῶν, ἢ ὑφ᾽ ἑνὸς αὐτῶν, λυθήσονται αἱ νόσοι οὐκ ἄγαν † σφοραυθεῖσαι περὶ τὴν ☍ [† al. σφοδρανθεῖσαι]

Περὶ τοῦ ἐπὶ ♋ σχηματισμοῦ.

Ἐὰν δὲ τῆς ☾ οὔσης ♋ κατακλιθῇ τις ἀφαιρούσης τῆς ☾ καὶ τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ ♄ συνόντος αὐτῇ, ἢ ☍ ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ βαλανείων περιψύξεως, καὶ ῥευμάτων λεπτῶν, καὶ περὶ τὸν θώρακα βάρος, καὶ περὶ τὸν πνεύμονα. καὶ βῆχες κατ᾽ ἀρχήν. καὶ μετὰ ῥίγους ἐπισημασίαι. καὶ ἐπιτάσεις νυκτεριναί. καὶ πυρετοὶ ἐπιτεταμένοι. τούτοις οὖν ἁρμόζει πάντα τὰ θερμαίνοντα. ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾ τελευτᾷ τῇ κα. ἡμέρᾳ. ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσιν αὐτήν, ζήσεται πολυχρόνιον πάθος ἔχων περὶ τὸν πνεύμονα. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♋ κατακλιθῇ τις συνόντος αὐτῇ ♂ ἢ ☍ ἢ □. ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἐμέτου καὶ χολέρας ἢ φθορᾶς, ἢ βραδυπεψίας. ἡ οὖν νόσος ἔσται ἐπικίνδυνος, καὶ ὀξεῖα. καὶ νεύρων συντάσεις. καὶ κοιλίας ῥύσις. καὶ περὶ τὸν δακτύλιον δριμύτης, καὶ ἕλκωσις. τούτοις ἁρμόσει πάντα τὰ ψύχοντα καὶ στυφοῦντα. ἐὰν οὖν ἀγαθοποιὸς μὴ ἐπιθεωρῇ τὴν ☾ ἐν τῇ διαπέμπτῳ τελευτήσει ἤγουν ἐν τῇ ζ. ἐὰν δὲ ἀγαθοποιὸς ἐπιθεωρήσῃ τὴν ☾ μετὰ τὴν ζ᾽. κινδυνεύσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♋ κατακλιθῇ τις ἔσται τὸ προκαταρκτικὸν αἴτιον, ἀπὸ κόπου, ἢ ἐνδείας. ἔσονται δὲ περὶ τὸ νῶτον ἐναλγεῖς, καὶ φρικίων ἐπιβολαί. καὶ πυκνότεραι ἐπισημασίαι τῶν ἐπιβολῶν, ὡς καὶ τὴν δευτέραν καὶ τρίτην γενέσθαι καὶ ὅλου τοῦ σώματος ὀρθοτριχίαι. καὶ πυρετοὶ στεγνοί. καὶ ἀταξίαι πυκνότερον σοι ταῦτα ἐκτίθεμαι, ἵνα ἀπὸ τῶν τοιούτων σημείων παρακολουθεῖς, καὶ τεκμαίρῃ τὴν νόσον. ἐὰν δὲ τοῖς ἀριθμοῖς ἀφαιρῇ ἐκλύτους καὶ νοσωδεστέρους ποιεῖ. καὶ ταῖς λαλιαῖς τετραυλωμένους. καὶ βραδέως ἄνω βλέποντας. ἐὰν δὲ καὶ ♄ συσχηματισθῇ, ἢ συμπαρῇ. μέχρι μὲν τῆς ☍ κινδυνεύουσι διὰ τὰς ἐπιτάσεις τῶν πυρετῶν. ἐὰν δὲ ἀγαθοποιὸς παρεμπλακῇ σώζονται καὶ χρονίζουσι τοῖς πάθεσι. Ἐὰν δὲ ♂ ἢ ☉ ἐν τῷ προκειμένῳ ὅρῳ συσχηματισθῶσι τοῦ μὲν πάθους ἀπαλλαγήσονται. εἰς περιοδικὰ δὲ πάθη περιπίπτουσι, καὶ οὕτω σώζονται. Ἐὰν δὲ ἐπὶ πρόσθεσιν αὔξῃ τοῖς ἀριθμοῖς, ἡ ☾ συμπαρῇ δὲ αὐτῇ. ἢ συσχηματισθῇ ♄ ἢ ☉ μέχρι τῆς ☍ αὔξει τὰ πάθη, καὶ ἐπικινδύνως νοσοῦσι. ἐὰν δὲ ἐπὶ ταῖς αὔξῃ, ἀπαραβάτως τὴν ☍ οὐχ ὑπερβήσονται. Ἐὰν δὲ ἡ ☾ γένηται σὺν ♃ ἢ ♀ ἢ ☿ ἢ καὶ ἀμφοτέρων, τὰ μὲν προκείμενα αἴτια γενήσονται σωθήσονται δέ. πρόσεχε οὖν. φύσει γὰρ ἐπὶ τούτου τοῦ ζωδίου ἐπικίνδυνοι νόσοι γίνονται. διὸ χρὴ τῶν βαλανείων ἀπέχεσθαι καὶ τῆς τοῦ ψυχροῦ προσαγωγῆς. ἐπὶ δὲ τοὺς μετεωρισμοὺς καὶ ἀλείμματα, καὶ γυμνάσια τρέπεσθαι.

Περὶ τοῦ ♒ σχηματισμοῦ.

Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♒ κατακλιθῇ τις προστιθείσης αὐτῆς τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ ♄ συνόντος αὐτῇ. ἢ □ ἢ ☍ ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ κόπων, ἢ ἀγρυπνίας, ἢ ὁδοιπορίας. ἔσται οὖν ἀνώμαλος ἡ νόσος ἐν ἐπιτάσει, καὶ μέχρι τῆς ☍ σωθήσεται, μάλιστα ἐὰν ἀγαθοποιὸς τὴν ☾ ἐπιθεωρήσῃ. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♒ κατακλιθῇ τις, ἀφαιρούσης αὐτῆς καὶ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, συνῇ δὲ ὁ ♂ ἢ ☍ ἢ □ ἔσται ἡ νόσος ἐκ προϋποκειμένου τινὸς αἰτίου βουβωνιάσεως. ἢ ἀντικνημίου. ἢ δι᾽ αἰδοίων πόνου. οὕτως τε πυρετοὶ καυσώδεις, καὶ ἐπιτεταμένοι. καὶ μάλιστα τῶν ἄκρων ἡ πύρωσις ἔσται. διψαλέοι τε καὶ ψυχροῦ ἐπιθυμητικοί. καὶ πυκνότερον διανιστάμενοι. Ἐὰν δὲ ἐπὶ μεγάλα προχάζῃ καὶ συσχηματισθῇ. ἢ ♂ προσγένηται μέχρι τῆς □ παραλλάξει τῇ διανοίᾳ. σύντομοι δὲ ἔσονται αἱ τοῦ αἵματος ἀφαιρέσεις. καὶ τὸ μὴ ἀκρατεῖν τῆς τοῦ ψυχροῦ ἐπιθυμίας, καὶ ἐν φωτὶ κατακλίνειν. Ἐὰν δὲ καὶ ἐπὶ τὰ μείζονα προχάζῃ γινομένης αὐτῆς ἀπὸ τῆς ⊔ καὶ ἐπὶ μηδὲν ἐλαττωθείσης τῆς νόσου, ἀναιρεθήσεται μέχρι τῆς ☍ ἐὰν δὲ τῷ προκειμένῳ ὅρῳ ♃ ἢ ♀ ἢ καὶ ἀμφότεροι μαρτυροῦσι καὶ αὐτὴ ἡ ☾ ἐπὶ τὰ ἥσσονα ἐπρόχασεν ὅτε κατεκλίθη, μέχρι τῆς ☍. κινδυνεύσας σωθήσεται. Ἐὰν δὲ ἀφαιρεῖ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, συσχηματισθῇ δὲ ♄ ἢ καὶ ♀ προσγένηται, τὰ μὲν πάθη τὰ αὐτὰ γενήσεται. τριοσῶς δὲ ῥευματισθήσονται περὶ τὰ σκέλη. καὶ χρονιώτερα τὰ πάθη γενήσεται, ὑποφαίνει πού ὕδρωπα. ἐὰν δὲ καὶ ἀπὸ μέσου ὅρου ἐπὶ τὰ ἥττονα κινεῖται, ἐν αὐτῷ τῷ πάθει τελευτήσει. ἐὰν δὲ τὰ μέσα τρέχει ἡ ☾ ὑπὸ τὴν κατάκλισιν, τὸ μὲν προκείμενον αἴτιον γενήσεται. χρονήσαντες δὲ ἐν τῇ νόσῳ, σώζονται.

Περὶ τοῦ τῶν ♓ σχηματισμοῦ.

Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♓ κατακλιθῇ τις ἀφαιρούσης τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς ♄ συνόντος αὐτῇ ἢ ☍ ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ βαλανείων καὶ περιψύξεως, ἢ ῥευμάτων λεπτῶν. ἔσονται γὰρ τῶν ἄκρων ψύξεις πυκναί. καὶ ῥιγοπύρετοι. καὶ ἐπισημασίαι διπλαῖ. καὶ στέγνωσις τῆς κεφαλῆς. καὶ νυγμοὶ ἐπὶ τῶν μαστῶν. καὶ ὑποχονδρίων αἴσθησις. καὶ σφυγμοὶ ἐνδεδυκότες, καὶ λεπτοί, καὶ τῶν ἄρθρων αἴσθησις. τούτοις ἁρμόσει πάντα τὰ θερμαίνοντα καὶ ἀναχαλῶντα. Ἐὰν δὲ ἀγαθοποιὸς ἐπίδῃ τὴν ☾ ἐπὶ ☍ διαλλάξας σωθήσεται. ἕξει δὲ πολυχρόνιον αἴσθησιν περὶ τὰ ἄρθρα. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♓ τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ αὐξούσης ♂ συνόντος. ἢ □ ἢ ☍. ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ πλήθους οἰνοποσίας καὶ ὠμότητος. ἄρχεται γὰρ ἀπὸ τῆς διατρίτου ἡ νόσος αὔξειν. ἐπιτάσεις δὲ νυκτὸς ἔσονται. καὶ πυρώσεις τοῦ θώρακος. καὶ παρακοπὴ τῶν λογισμῶν, καὶ φρενίτης. καὶ περὶ τὴν κεφαλὴν σφήνωσις. καὶ πυρετοὶ καυσώδεις. καὶ δίψα. καὶ ἐπιθυμία οἴνου. καὶ σφυγμοὶ ἐπηρμένοι, τούτοις ἁρμόσει ἡ τοῦ αἵματος ἀφαίρεσις καὶ πάντα τὰ δυνάμενα καθελεῖν τὴν ἕξιν. ἐὰν οὖν ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾ ἐν τῷ πρώτῳ □ τελευτήσει. ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾, παραλλάξας τὴν ☍ κινδυνεύσας σωθήσεται. ἐὰν δὲ τῆς ☾ οὔσης μετὰ τοῦ ♃ ἢ ♀ ἢ □ ἢ ☍ κατακλιθῇ τις κἂν ἐν οἵῳ δή ποτε ζωδίῳ κατακλιθῇ τις μέχρι τῆς α. □, ἢ τῆς ☍ σωθήσεται. πολὺ δέ τι καὶ ἡ ὥρα συμβάλλεται ἐν τῇ κατακλίσει. ἐὰν γὰρ ὡροσκοπῶσιν ἢ μεσουρανῶσιν οἱ ἀγαθοποιοὶ τῆς ☾ μετὰ κακοποιῶν οὔσης ἢ □ ἢ ☍ ἀντιλήψονται τῆς ζωῆς, ἐὰν δὲ κακοποιοὶ ὡροσκοποῦσι τῆς ☾ οὔσης μετὰ ἀγαθοποιῶν, βλάπτουσι τὸν κατακλιθέντα.

δεῖ δὲ τὸν ἄριστον ἰατρὸν μεμνῆσθαι μὲν τῆς μαθηματικῆς ἐπιστήμης, ἐξετάζειν δὲ ἀκριβῶς τὴν ἡμέραν, καὶ τὴν ὥραν τῆς κατακλίσεως. καὶ συνορᾶν τὸν κόσμον πῶς διάκειται. ἄτερ γὰρ τῆς κοσμικῆς συμπαθείας οὐδὲν γίνεται. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♓ κατακλιθῇ τις ἔσται τὰ προκαταρκτικὰ τῆς νόσου αἴτια ἀπὸ βαλανείων, ἢ ψυχροποσίας. εὐθέως γὰρ τὸ νευρῶδες πάσχει. καὶ περὶ τὸν στόμαχον ἀλγήσει. γυμνοὶ δὲ διατροχάζουσιν. ὀδύναι περὶ τὰ πλευρά. καὶ δυσπνοοῦσι. καὶ πυρετοὶ ἐστεγνωμένοι, καὶ ἐν βάθει. καὶ σφυγμοὶ λεπτοὶ καὶ δυσκατάληπτοι ἐπὶ τὰς ἐπισημασίας. ἐναλλάσσουσι δὲ τοὺς σφυγμοὺς περὶ ὥρας β'. ἀνιέντοσι δὲ διηνεκῶς καὶ ἐπὶ τὴν κοιλίαν λεπτά. ἔπειτα τὰ οὖρα δυσώδη ἔχουσι δὲ πάντες χυλοὶ καταψύχοντες. ἀπὸ δὲ τῆς □ ἐὰν ἡ ☾ τὰ μείζονα τροχάζῃ σχηματισθεῖσα ὑπὸ ♄ μέχρι τῆς ☍ κινδυνεύσαντες σώζονται. ἐὰν δὲ τοῦ προκειμένου ὅρου ὄντος τρέχει καὶ σχηματίζηται ♃ ἢ ☿ ἢ καὶ ἄμφω, τὰ μὲν προκείμενα αἴτια ἔσται, πρὸς τούτοις δὲ ἐπὶ τὴν κοιλίαν πάσχουσι καὶ ἐκλύονται πυκνότερον ὥστε ἀσφυκτεῖν. ἐὰν δὲ ἐπὶ τὰ ἥσσονα ἀπὸ τοῦ μέσου ὅρου φέρηται σχηματιζομένη ♄ οὐδὲ τὴν □ παραλλάξει. ἐὰν δὲ ♀ παρεμπλακῇ καθ' οἷον δή ποτ' οὖν τρόπον, οἱ παρατεθέντες τὴν ☍. εἰς τὴν δυσεντερίαν περιπίπτουσι. ὠχροὶ δέ, καὶ τοὺς πόδας φλεγμαίνοντες, καὶ ταῖς σαρξὶ συμπεπτωκότες. οὕτως δὲ καὶ ἐγχρονίσαντες, οὐδὲν ἧσσον ἀναιροῦνται. ἐὰν δὲ ἐπὶ τὰ μεγάλα τρέχῃ. σχηματίζεται δὲ ὁμοίως ♂ ἢ ☉ ἢ ἀμφότερος, τὰ προκαταρκτικὰ αἴτια γενήσεται ἅπαντα. πρὸς δὲ τούτοις καὶ πυρετοὶ ἐπιτεταμένοι. καὶ περὶ τὸ ἧπαρ φλεγμονή. ἐναλγεῖς τε ὅλῳ τῷ σώματι. τὰ δὲ ἄκρα πυρούμενα διὰ τὰς ἐπαλλήλους σημασίας. προσήκει οὖν διαίταις δυναμέναις τρέφειν καὶ χρὴ ὥραν. φύσει γὰρ ἐπὶ τούτου τοῦ ζωδίου οὔτε αἱ τοῦ αἵματος ἀφαιρέσεις συνήσουσιν αἱ διὰ φλεβοτομίας. Ἐὰν δὲ μηδεὶς τῶν ἀγαθοποιῶν παρεμπλακῇ μέχρι τῆς ☍ κινδυνεύσει. ἐὰν δὲ ♃ ἢ ♀ ἐπιθεωρήσωσιν ἡ αὐτὴ ἡ ☾ ἐπὶ τὰ ἥσσονα φέρηται μέχρι τῆς ☍ πολλὰ σκυλέντες διασώζονται, χρῆσθαι οὖν ταῖς ὁμαλαῖς καὶ ὑπαγώγοις θεραπείαις. Ἐὰν δὲ ♃ ἢ ♀ συσχηματισθῶσι τῇ ☾ συσχηματιζομένης αὐτῆς ♂ ἢ ☉ καὶ προστιθείσης τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ οὐδὲν ὠφελήσωσιν οἱ ἀγαθοποιοί, ἀναιρεθήσονται. οὐδὲν ἧττον καὶ τοῦτο γινώσκειν σε θέλω ὅτι τὰ περὶ τοὺς τοκετούς, καὶ τὰς πτώσεις καὶ τοὺς τραυματισμοὺς τοὺς ἐξαίφνης καὶ ὅσα τούτοις ὅμοια δεῖ ὁρᾶν, ὡς ἐπὶ τῶν κατακλίσεων δεδήλωται, τὰς δὲ ἐκ προαιρέσεως χειρουργίας, καὶ ὅσα τούτοις ὅμοια δεῖ ὁρᾶν ἤγουν τὰ περὶ τοὺς ὀφθαλμοὺς χειρουργίας, οἷον εἰ μυδριάσεως ἢ ὑποχύσεως, γλαυκώσεώς τε. καὶ ὅσα τούτοις ὅμοια τῆς ☾ ἰούσης πρὸς αὔξησιν τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, ποιεῖσθαι, καὶ σχηματιζόντων τῶν ἀγαθοποιῶν κατάρχεσθαι. Χρὴ δὲ εἰδέναι ὅτι αὐξούσης τῆς ☾. καὶ προστιθείσης τοῖς ἀριθμοῖς ♂ ἢ ☉ συνόντος, ἢ σχηματιζομένων ἐκπυρούμενοι τὰ σώματα ἀναλίσκονται. μειουμένης δὲ τῆς ☾ καὶ τῆς ἀριθμοῖς ἀφαιρούσης ♄ ἢ ☿ συνόντων ἢ συσχηματιζομένων τῇ ☾ ψυχόμενοι τὰ σώματα ἀναλίσκονται. ἐκεῖνο δέ σοι προστίθημι. ὁπότε δύο τῇ αὐτῇ ὥρᾳ καὶ τῇ ἡμέρᾳ κατακλιθῶσι σκέψαι οὕτως, τὰς ἡλικίας αὐτῶν συγκρίνων, καὶ ἐὰν ἡ ☾ ἀφαιρεῖ τοῖς ἀριθμοῖς, καὶ κατακλιθῶσί τινες, συσχηματίζηται δὲ † ♄ καὶ ♀ ὁ νεώτερος πρῶτα σωθήσεται καθὰ προεῖπον καὶ ἐν τοῖς ἔμπροσθεν συντάγμασι, καὶ παρὰ τὸ ὁμοιότροπον τοῦ ζωδίου ἐπὶ τῆς ☍ ἀπαλλαγήσεται. ὁ δὲ πρεσβύτερος κινδυνεύσει, ἢ εἰς ἕτερα πάθη περικυλισθήσεται, ὁμοιοτρόπως τῷ ζωδίῳ. ἢ μακρονοσήσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾ αὐξούσης τοῖς ἀριθμοῖς καὶ τοῖς φωσὶ συσχηματισθῇ ♂ ἢ ☉ ὁ νεώτερος κινδυνεύσει μετὰ τὴν □ καὶ ☍ ὁμοιοτρόπως τῷ ζωδίῳ ἐν ᾧ ἡ ☾ ἔτυχε. Ἐὰν δὲ πρὸς τοὺς ἀγαθοποιοὺς ἡ ☾ συσχηματισθῇ ἐπί τε πρεσβυτέρων καὶ νεωτέρων σωθήσονται ὁμοιοτρόπως αὐτῷ τῷ ζωδίῳ, διό σοι ἀπηγόρευσα, ἵνα δὲ σκέψει ταύτῃ χρώμενος, ἀδιάπτωτος ἔσῃ ἐν ἅπασι.

Τέλος.

† ἀλ. ♄ ἢ ☿

Ordo chartarum.

AAa BBb CCc DDd EEe FFf GGg HHh IIi KKk LLl MMm NNn OOo PPp QQq RRr SSs TTt VVu XXx YYy ZZz

AAAa BBBb CCCc DDDd EEEe FFFf GGGg HHHh IIIi KKKk LLLl MMMm NNNn OOOo PPPp

Omnes ſunt terniones, exceptis ſeptem primis quaternionibus, et principio duerno.

BASILEAE APVD IOAN. HERVAGIVM ET
IOAN. ERASMIVM FROBENIVM.
ANNO D. M.D.XXXVIII.